θανα συντίθησι: διὸ καὶ μυθικώτερον μᾶλλον, ἢ ἀληθέστερον ἡγεῖσθαι τὸν ἄνθρωπον, δίκαιον. ὑπὲρ ὧν δὲ δόγματα ἐνίσταται, ἔστι ταῦτα. ὅτι ὁ οὐρανὸς οὐκ ἔστι σφαιρικὸς, οὐδὲ ἡ γῆ: ἀλλ' ὁ μὲν ὡσεὶ καμάρα, ἡ δὲ ἑτερομήκης· καὶ κεκόλληνται τὰ πέρατα τοῦ οὐρανοῦ πρὸς τὰ πέρατα τῆς γῆς. καὶ, ὅτι πάντες οἱ ἀστέρες κινοῦνται, ἀγγέλων αὐτοῖς τῇ κινήσει διακονούντων· καὶ ἕτερα τινα τοιαῦτα. ποιεῖται καὶ, ὡς ἐν παρεκβάσει, μνήμην καὶ τῆς γενέσεως καὶ τῆς ἐξόδου. διατρίβει δὲ τῇ διηγήσει καὶ τῇ θεωρίᾳ ὡς ἐπίπαν τῆς σκηνῆς. ἐπιτρέχει δὲ καὶ τοὺς προφήτας, κἀκεῖθεν τοὺς ἀποστόλους. λέγει δὲ, ὅτι τὸ μέγεθος ἔχει ὁ ἥλιος δύο κλιμάτων· καὶ, ὅτι οἱ ἄγγελοι οὐκ εἰσὶν ἐν τῷ οὐρανῷ, ἀλλὰ μόνον ὑπὲρ τὸ στερέωμα, καὶ μεθ' ἡμῶν· καὶ, ὅτι ὁ Χριστὸς ἀνελθὼν ἀπὸ τῆς γῆς, εἰς τὸ μεταξὺ τοῦ οὐρανοῦ καὶ τοῦ στερεώματος εἰσῆλθε· καὶ, ὅτι τοῦτό ἐστι καὶ μόνον ἡ βασιλεία τῶν οὐρανῶν. λέγει δὲ καὶ ἄλλα τινὰ ἀλλόκοτα. προσφωνεῖ δὲ τοὺς μὲν ἓξ αὐτοῦ λόγους Παμφίλῳ τινί: τῶν δὲ λοιπῶν ἓξ (οἱ γὰρ πάντες αὐτοῦ δώδεκά εἰσι) τὸν μὲν ἕβδομον Ἀναστασίῳ, ἐν ᾧ ὅτι ἀκατάλυτοί εἰσιν οἱ οὐρανοί: τὸν ὄγδοον δὲ, ὅς ἐστιν εἰς τὴν ᾠδὴν Ἐζεκίου, καὶ εἰς τὸν ἀναποδισμὸν τοῦ ἡλίου, Πέτρῳ προσφωνεῖ· ἐν ᾧ, ὅτι καὶ ὑπεμνημάτισε τὰ ᾄσματα τῶν ᾀσμάτων, λέγει. οἱ δὲ λοιποὶ τέσσαρες οὐ πρός τι πρόσωπον αὐτῷ συνετάγησαν.

ΠΕΡΙ ΠΟΛΙΤΙΚΗΣ.

λζ'. Libri de Rep. [a]

ΑΝΕΓΝΩΣΘΗ περὶ πολιτικῆς, ὡς ἐν διαλόγῳ Μηνᾶν πατρίκιον, καὶ Θωμᾶν ῥεφερενδάριον, τὰ διαλεγόμενα εἰσάγων πρόσωπα. περιέχει δὲ ἡ πραγματεία λόγους ἕξ, ἐν οἷς καὶ ἕτερον εἶδος πολιτείας παρὰ τὰ τοῖς παλαιοῖς εἰρημένα εἰσάγει, ὃ καὶ καλεῖ δικαιαρχικόν. ἐπιμέμφεται δὲ τῆς Πλάτωνος δικαίως πολιτείας. ἣν δ' αὐτοὶ πολιτείαν εἰσάγουσιν, ἐκ τῶν τριῶν εἰδῶν τῆς πολιτείας, δεῖν αὐτὴν συγκεῖσθαί φασι, βασιλικοῦ καὶ ἀριστοκρατικοῦ καὶ δημοκρατικοῦ. τὸ εἰλικρινὲς αὐτῆς ἑκάστης πολιτείας συνεισαγούσης, κἀκείνην τὴν ὡς ἀληθῶς ἀρίστην πολιτείαν ἀποτελούσης.

[a] al. ξ'.

ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΟΧΕΩΣ ἑρμηνεία τῆς κτίσεως.

λη'. Theodorus Antiochenus.

ΑΝΕΓΝΩΣΘΗ Θεοδώρου Ἀντιοχέως, οὗ ἡ ἐπιγραφὴ ἑρμηνεία τῆς κτίσεως. ἐν τόμοις ἑπτὰ ἡ πρώτη βίβλος ἐπεραίνετο· τὴν δὲ φράσιν οὐδὲ λαμπρὸς οὐδὲ λίαν σαφής: φεύγων δὲ τὸ δυνατὸν αὐτῷ τρόπον τὰς ἀλληγορίας, καὶ κατὰ τὴν ἱστορίαν, τὴν ἑρμηνείαν ποιούμενος. ταυτολογεῖ δὲ τὰ πλεῖστα, καὶ ἀχαρίς πως, καὶ ἀηδὴς εἶναι δοκεῖ· ἀλλὰ καὶ τὸ Νεστορίου δόγμα, εἰ καὶ πρὸ Νεστορίου ὑπῆρχεν, ὑπερεμούμενος. οὗτος δέ ἐστιν ὁ Μοψουεστίας, ὃν καὶ πλείστας εὐθύνας Ἰωάννης ὁ Φιλόπονος, ὡς αὐτός φησι, τῆς τοιαύτης ἑρμηνείας ἐν οἰκείῳ, τῷ εἰς τὴν κτίσιν πονήματι, ἐδίωξεν οὐδαμῶς εἰς πρᾶγμα τραπόμενος.

ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ πρὸς τοὺς ὑπὲρ Ἀπολλωνίου τοῦ Τυανέως Ἱεροκλέους λόγους.

λθ'. Eusebii contra Hieroclem.

ΑΝΕΓΝΩΣΘΗ Εὐσεβίου τοῦ Παμφίλου ἀνασκευαστικὸν βιβλιδάριον πρὸς τοὺς ὑπὲρ Ἀπολλωνίου τοῦ Τυανέως Ἱεροκλέους λόγους.

ΦΙΛΟ-

PHILOST. XL.

ΦΙΛΟΣΤΟΡΓΙΟΥ ΑΡΕΙΑΝΟΥ ἱστορικόν.

Ἀνεγνώσθη Φιλοστοργίου, ἀρειανοῦ τὴν θρησκείαν, ὡς δῆθεν ἐκκλησιαστικὴ ἱστορία. ἱστορεῖ δὲ τἀναντία σχεδὸν ἅπασι τοῖς ἐκκλησιαστικοῖς ἱστορικοῖς. ἐξαίρει τοὺς ἀρειανίζοντας ἅπαντας, λοιδορίαις πλύνει τοὺς ὀρθοδόξους. ὡς εἶναι τὴν ἱστορίαν αὐτοῦ, μὴ ἱστορίαν μᾶλλον, ἀλλ' ἐγκώμιον μὲν τῶν αἱρετικῶν· ψόγον δὲ γυμνὸν καὶ κατηγορίαν τῶν ὀρθοδόξων. ἔστι δὲ τὴν φράσιν κομψὸς καὶ ποιητικαῖς, ἀλλ' οὐ κατακόρως, οὐδ' ἀχαρίτοις λέξεσι κεχρημένος. καὶ ἡ τροπὴ δὲ αὐτοῦ τῷ * ἐμφατικῷ τὴν χάριν μετὰ τῆς ἡδίας ἐφέλκεται. πλὴν ἐνίοτε παραβόλως αὐταῖς καὶ πλεῖστον ἀποτετραμμέναις χρώμενος, εἰς ψυχρολογίαν καὶ ἀκαιρολογίαν ἐκπίπτει. περιβέβληται δὲ αὐτῷ ποικίλως ὁ λόγος, καὶ ἐν κόρῳ: ὡς εἰς τὸ ἀσαφὲς, καὶ οὐκ ἀεὶ χαρίεν τὴν ἀκρόασιν ὑποσύρεσθαι. ἐν πολλοῖς δὲ καὶ οἰκείως γνωμολογεῖ. ἱστορεῖ δὲ [τὰ] ἀπὸ τῆς ἀρείου περὶ τὴν αἵρεσιν σπουδῆς τε καὶ καταρξεως, μέχρι τῆς ἀετίου τοῦ δυσσεβεστάτου ἀνακλήσεως. οὗτος δὲ ὁ ἀέτιος, παρ' αὐτῶν μὲν τῶν συναιρεσιωτῶν, διὰ τὸ κἀκείνους ὑπερβάλλεσθαι τῇ δυσσεβείᾳ, ὡς αὐτὸς οὗτος καὶ μὴ βουλόμενος ἱστορεῖ, τῆς διακονίας καθῃρέθη. ὑπὸ δὲ τοῦ δυσσεβεστάτου Ιουλιανοῦ ἀνεκλήθη τε, καὶ φιλοφρόνως ἐδεξιώθη. καὶ ἡ μὲν ἱστορία αὐτοῦ δι' ἑνὸς βιβλίου, τόμοις ἓξ συμπληρουμένη, μέχρι τοῦδε πρόεισι τοῦ χρόνου. ἔστι δὲ ἀνὴρ ψευδολόγος τε, καὶ οὐδὲ μυθολογίας ἀπεχόμενος· ἐξαίρει δὲ ἐν μὲν λόγοις μάλιστα Ἀέτιον καὶ εὐνόμιον, μόνους ἀνακαθᾶραι τὰ τῆς εὐσεβείας δόγματα τῷ χρόνῳ συγκεχωσμένα, τερατευόμενος: ἐν τερασίοις δὲ καὶ βίῳ, εὐσέβιον τὸν νικομηδείας, ὃν καὶ μέγαν ἀποκαλεῖ, καὶ θεόφιλον τὸν Ινδὸν, καὶ ἄλλους πλείονας. κατηγορεῖ δὲ ἀκακίου μάλιστα, τοῦ καισαρείας τῆς κατὰ παλαιστίνην ἐπισκοπήσαντος, δριμύτητά τε ἀνυπέρβλητον, καὶ κακουργίαν ἄμαχον, μεθ' ὧν καὶ πάντων φησὶ κατισχῦσαι τῶν τε ὁμοφρονεῖν δοκούντων, εἰς ἔχθραν δέ τινα καταστάντων, καὶ τἀναντία θρησκευόντων, καὶ ταῦτα μέν μοι ἤδη ἀνέγνωσται. μετ' οὐ πολὺ δὲ ἐν ἄλλῳ βιβλίῳ καὶ ἕτεροι αὐτοῦ λόγοι ἕξ: ὡς συμπληροῦσθαι αὐτοῦ τὴν σύμπασαν πραγματείαν ἐν λόγοις ιβʹ. ὧν αἱ ἀπαρχαὶ συντιθέμεναι, τὸ τοῦ συγγραφέως ἀπαρτίζουσι φιλοστοργίου ὄνομα. κάτεισι δὲ μέχρι τῶν θεοδοσίου τοῦ νέου χρόνων. κατ' ἐκεῖνον τὸν χρόνον παυόμενος, καθ' ὃν οὐαλεντινιανὸς ὁ τῆς πλακιδίας καὶ Κωνσταντίνου υἱὸς, ὀνωρίου τελευτήσαντος, θεοδοσίου τὰ τῆς ῥώμης σκῆπτρα τοῦ ἀδελφιδοῦ ἐνεχειρίζετο. οὗτος δὲ ὁ φιλοστόργιος καίτοι κατὰ τῶν ὀρθοδόξων λυσσῶν, Γρηγορίου μὲν τοῦ θεολόγου καθάψασθαι οὐκ ἐτόλμησεν: ἀλλὰ καὶ τὴν παιδείαν καὶ ἄκων συνωμολόγει. βασιλείου δὲ τοῦ μεγάλου ἐπεχείρησεν ὑφᾶναι μῶμον, δι' οὗ λαμπρότερον ἐδείχθη. τὴν μὲν γὰρ ἰσχὺν καὶ τὸ κάλλος τῶν ἐν ταῖς πανηγύρεσιν ὁμιλιῶν, ὑπ' αὐτῆς τῆς τῶν πραγμάτων ἐναργείας ἐβιάσθη συμφθέγξασθαι. θρασὺν δὲ αὐτὸν ὁ δείλαιος ἀποκαλεῖ, καὶ ἀγωνιστικῶν λόγων ἄπειρον: ὅτι, φησὶν, ἀπετόλμησεν Εὐνομίου ταῖς συγγραφαῖς ἀντιτάξασθαι.

Philostorgij Arianus Eccles. historia.

* *al.* ἐμφαντικῷ.

Aetius.

Iulianus apostata.

Acacius Caesareae Palaestinae Episcopus.

Theodosius II.

Valentinianus.

Greg. Nazian. Basil. M.

PHILOSTORGII *Ecclesiastica historia libri XII.*

Lecta est[a] Philostorgii Ariani veluti *Historia Ecclesiastica*. Narrat fere contraria omnibus Ecclesiasticis historicis, laudibus extollens, quos nouit Arianismo infectos, & conuitiis orthodoxos perfundens: vt esse hoc eius opus non tam historia videatur, quàm hæreticorum laudatio, cum nuda & mera vituperatione atque accusatione Catholicorum. Stylus illi comptior, & poëticis sine tædio, miniméque ingratis vocibus vtitur. Tropi quoque, ac verba significantia, gratiam ipsi cum iucunditate conciliant: nisi quod interdum temerè ipsis, vel nimium detortis vtendo, in frigidum & importunum sermonem incidit. Ornatur ab eo variè oratio, vel ad satietatem; ita vt in obscuritatem, nec eam semper gratam, occultè trahatur auditor: in multisque non incommodas loquitur sententias. Incipit autem ab Arij studio in hæresim ac primo incœpto, vsque ad [b] Aëtij impiissimi hominis reuocationem. Aëtius hic ab ipsis vnà sentientibus hæreticis, quòd illos impietate superaret (vt ipse Philostorgius vel inuitus refert) ministerio submotus, postea ab impiissimo [c] Iuliano Imperatore reuocatus, humaniterque acceptus est. Et hæc quidem ipsius historia vno volumine sex libros complexa, ad hoc vsque tempus progredietur. Ipse verò scriptor mendax est, & fabulis minimè abstinens, prædicatque doctrinæ maximè causa Aëtium, & Eunomium, quasi soli repurgassent pietatis dogmata tempore contaminata; prodigiosè hoc ipsum mentiendo: signorum autem, & vitæ gratia laudat Eusebium Nicomediæ episcopum (quem etiam *Magnum* nominat) & Theophilum Indum, aliósque complures. Reprehendit ad hæc Acacij in primis Cæsareæ Palæstinæ episcopi seueritatem intolerandam, & inexpugnabilem [d] versutiam: quibus artibus ait eum omnibus præualuisse, tam qui cum illo sentirent, licet mutuo flagrarent odio, quam qui contrariam de religione sententiam sequerentur. Et hæc quidem in præsens legimus.

Post non diu in alio volumine sex reliqui reperti, vt impleuisse totum opus duodecim libris videatur: [e] quorum librorum principes litteræ si connectantur, scriptoris Philostorgij nomen conficiunt. Peruenit ad Theodosij vsque Minoris tempora: ac tum desinit, cùm mortuo Honorio, [f] Theodosius Romani imperij sceptra Valentiniano Minori, Placidiæ & [g] Constantini filio, patrueli suo tradidit.

Quantumuis autem Philostorgius hic in orthodoxos fureret, [h] in Gregorium tamen, Theologi cognomento, incurrere non est ausus, cuius doctrinam vel inuitus prædicat: sed Basilio Magno calumniam texere conatus est; qua tamen clarum magis reddidit. Vim enim & venustatem agendi in Panegyricis ipsa rerum euidentia coactus est confiteri: attamen temerarium ipsum homo timidus appellare non veretur, quòd contentiosarum orationum rudis, vt ait, Eunomium scriptis oppugnare sit ausus.

a Meminit eius Suidas in Lexico Tripolitano, allata & narratione quadam ex hac Philostorgij historia: rursumque in Phlegone Tralliano. Niceph. Callist. lib. 1. c. 1. init. Deo inuisum *nominat, recitátque ex eodem de Eunomio quaedam libro 12. cap. 29. fin.*

b De quo plurima scriptu digna non vno loco scripta reliquit Niceph. Callist. in histor.

c Eius hac de re ad Aetium ipsum scripta epistola hodie exstat, cum cæteris eiusdem Imper. Græcè & Latinè edita Parisiis.

d πανουργίαν.

e Per ἀκροστιχίδα, vt Planudeum argumenta comœdiarum, & Niceph. Callisti XVIII. hist. libri, carmináque Ethica Basilij Maced..

f Lege Olympiod. inf. Cod. LXXX. in fine & Niceph. lib. XIV. c. 7.

g Constantij ex historicorum cæterorum fide leges, eundémque errorem etiam alibi in hoc Photio corriges.

h Lege de his, & Apollinario Laodicensi, Philostorgij huius ἀπομνημόνευμα apud Suid. in Basilio quid ad verbum reperies repetitum in Apollinario.

IO. PRESB. XLI.

IOANNIS PRESBYTERI ÆGEATÆ *Ecclesiasticæ historiæ libri V.*

LECTA est IOANNIS *Ecclesiastica historia:* quam à Theodosij Minoris imperio inchoauit, atque ab ipsa Nestorij blasphemia, & è sede deturbatione: perduxitque ad Zenonem vsque & [a] Petri hæretici, qui Antiochenā sedē per nefas occuparat depositionē. Huius clarus est & floridus stylus. Refert verò, singula excutiendo, tertiam Synodum, quæ in Ephesō est habita: quin & alteram ibidem coactam, λῃστρικὴν [id est, *prædatoriam ac latrocinantem*] appellatam, quam hic scriptor diuinam facit, vt & eius præsidem Dioscorum cum asseclis. Narrat item Chalcedonense concilium, sed non sine probris, atque calumniis. Vnde colligere liceat Ioannem Presbyterum Aegeatem libri auctorem esse, qui, vti hæreticus, [b] peculiare aduersus Chalcedonensem synodum opus composuit. Huius historiæ libri decem sunt, vt ille ipse pollicetur, quorum quinque duntaxat legere mihi contigit, historiam continentes (vt iam dixi) à Nestorij blasphemia, vsque ad Petri hæretici è sede deiectionem.

[a] Q. i. Gnaphcus, seu Fullo dictus: itémque Impius. apud Candidum historicum, inf. p. 1. diuersus ab illo Mongo Alexandrinæ eccles. peruasore, de quo ad seq. vide Niceph.

[b] De quo inf. Cod. LV.

μα'.

ΙΩΑΝΝΟΥ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ἱστορία.

ΑΝΕΓΝΩΣΘΗ Ἰωάννου ἐκκλησιαστικὴ ἱστορία. ἄρχεται ἀπὸ τῆς Θεοδοσίου τοῦ [*] νέου βασιλείας, ἀπ' αὐτῆς πως τῆς Νεστορίου βλασφημίας καὶ καθαιρέσεως: καὶ κάτεισι μέχρι Ζήνωνος καὶ τῆς καθαιρέσεως Πέτρου τοῦ αἱρετικοῦ, ὃς τὸν ἀντιοχικὸν ὑφήρπασε θρόνον. ἔστι δὲ οὗτος τὴν φράσιν σαφὴς καὶ ἀνθηρός. διέρχεται δὲ τὴν τρίτην σύνοδον, τὴν ἐν Ἐφέσῳ λεπτομερῶς. ἀλλὰ καὶ τὴν μετ' ταύτην ἐν αὐτῇ συναγελασθεῖσαν, τὴν λῃστρικὴν λέγω· ἣν οὗτος θειάζει, καὶ τὸν ταύτης ἡγεμόνα Διόσκορον, καὶ τοὺς σὺν αὐτῷ. διέξεισι δὲ καὶ τὴν ἐν Χαλκηδόνι σύνοδον, διασύρων ταύτην. ἐξ ὧν ἔστι συμβαλεῖν, Ἰωάννην εἶναι τὸν πατέρα τοῦ βιβλίου, τὸν πρεσβύτερον τὸν αἰγεάτην: ὃς καὶ ἰδίως ὡς αἱρετικὸς κατὰ τῆς ἐν Χαλκηδόνι συνόδου βιβλίον συνέταξε. τῆς μέντοι γε ἱστορίας αὐτοῦ δέκα τυγχάνουσι τόμοι, ὡς καὶ αὐτὸς ἐκεῖνος ἐπαγγέλλεται: ὧν ἡμῖν τοὺς πέντε γέγονεν ἀναγνῶναι, περιέχοντας (ὡς ἔφημεν) ἀπὸ τῆς Νεστορίου βλασφημίας μέχρι τῆς τοῦ αἱρετικοῦ Πέτρου καθαιρέσεως.

Ioannes, Presbytero Ægeat. Ecclesiastica historia.

[*] μικροῦ.

Synodus III.

Σύνοδος λῃστρική.

Concilium Chalcedonense.

XLII.

BASILII CILICIS *Ecclesiastica historiæ libri III.*

LECTA est [a] *Basilij Cilicis historia Ecclesiastica.* Incipit ab interitu Simplicij vrbis Romæ Episcopi, qui ad Acacium Constantinopolitanum scripsit, ne cum Petro qui *Mongus* cognominatus est, & tunc Alexandriam corrumpebat, communicaret. Hic enim Petrus sanctam Chalcedone habitam Synodum publicè atque in Ecclesia anathemate damnabat. Per quem & Acacius (rectè quidem initio contra ipsum permotus) post, quod ab illo non abhorreret, hæretici opinionem apud multos non effugit, à Romanis vero etiam sede motus est, quæ res [b] sub Zenone iterum regnante agitata fuit. Auspicatur itaque ab his quidem temporibus, peruenitque ad Anastasij Imp. excessum, qui septem & viginti annos, mensésque tres, vt hic scribit, imperauit, cuius imperium excepit Iustinus Thrax, vt ibidem refert. Verum ibi fere hic liber absoluitur, à Zenone vsque ad Anastasij exitum, & Iustini electionem pertingens. Refert item alios duos à se libros fuisse conscriptos, primum & tertiū: & illum quidem ab imperio Marciani ducto initio, ad Zenonem vsque perduci, vnde & secundum sit auspicatus. tertium vero huius alterius libri finem excipere, à Iustini temporibus incipiendo.

Est hic scriptor, ad stylum quod attinet, non valde accuratus, sed & sui interdum dissimilis. Adfert autem maximè Episcoporum vltro citróque missas epistolas, quo narrationi suæ, vt affirmat, fidem conciliet: quæ cum immensum reddant volumen, in magno tamen verborum aceruo vix modicam adferunt historiam, & narrationis insuper perspicuitas, vi atque copia eorum quæ interiiciuntur, rescinditur.

[a] Meminit huius Niceph. Callist. lib. I. c. 1. init. Eius etiam est Cod. CVII. inf.

[b] Lege Card. Baron. Annal. Tom. VI. ad A. C. 484.

μβ'.

ΒΑΣΙΛΕΙΟΥ ΚΙΛΙΚΟΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗ ἱστορία.

ΑΝΕΓΝΩΣΘΗ Βασιλείου Κίλικος ἐκκλησιαστικὴ ἱστορία· ἄρχεται ἀπὸ τῆς τελευτῆς Σιμπλικίου τοῦ Ῥώμης: ὃς πρὸς Ἀκάκιον τὸν Κωνσταντινουπόλεως ἔγραψεν, ἀποστῆναι τῆς πρὸς Πέτρον τὸν τὴν Ἀλεξάνδρειαν λυμαινόμενον κοινωνίας, ᾧ ἐπίκλην Μογγός. οὗτος γὰρ τὴν ἐν Χαλκηδόνι ἁγίαν σύνοδον δημοσίᾳ καὶ ἐν ἐκκλησίᾳ ἀνεθεμάτιζεν: δι' ὃν καὶ Ἀκάκιος καλῶς πρότερον κατ' αὐτοῦ κεκινημένος, ὕστερον οὐκ ἀποστρεφόμενος, αἱρετικοῦ δόξαν παρὰ πολλοῖς ἐκτήσατο, τοῖς δὲ Ῥωμαίοις καὶ ὑπὸ καθαίρεσιν ἔπεσεν. ἐπὶ Ζήνωνος δὲ τὸ δεύτερον ταῦτα ἐπεπράττετο. ἄρχεται μὲν οὖν ἐκ τῶνδε τῶν χρόνων, καὶ κάτεισι μέχρι τελευτῆς Ἀναστασίου, ὃς εἰκοσιεπτὰ ἔτη καὶ μῆνας τρεῖς, ὡς οὗτός φησιν, ἐν τῇ βασιλείᾳ διήρκεσεν. μεθ' ὃν Ἰουστῖνον τὸν Θρᾷκα ἀναρρηθῆναι γράφει βασιλέα. ἀλλ' ἡ μὲν βίβλος αὕτη ἐνταῦθά πως τὴν γραφὴν ἔστησεν, ἀπὸ Ζήνωνος μέχρι τῆς τελευτῆς Ἀναστασίου καὶ τῆς Ἰουστίνου ἀναρρήσεως κατιοῦσα. λέγει δὲ οὗτος, ὡς [*] εἶησαν αὐτῷ καὶ ἕτεραι δύο πεπονημέναι βίβλοι, πρώτη καὶ τρίτη: ὧν τὴν μὲν ἀπὸ Μαρκιανοῦ τοῦ βασιλέως ἀρξαμένην· καταλήγειν δὲ ἕως Ζήνωνος, ἀφ' οὗ τὴν ἀρχὴν ἡ δευτέρα ἐπεποίητο· τὴν δὲ τρίτην ποιεῖσθαι προοίμιον τὸ τέλος τῆς δευτέρας, καὶ ἀπὸ τῆς βασιλείας Ἰουστίνου ἀπάρξασθαι. ἔστι δὲ ὁ συγγραφεὺς οὐ λίαν τὴν φράσιν ἀπηκριβωμένος, ἀλλὰ καὶ ἀνωμάλως ἔχων πρὸς ἑαυτόν. κέχρηται δὲ μάλιστα ταῖς παρ' ἀλλήλων τῶν ἐπισκόπων στελλομέναις ἐπιστολαῖς, εἰς πίστιν (ὥς φησιν) ὧν αὐτὸς γράφει: αἳ καὶ πολύστιχον ποιοῦσι τὸ βιβλίον, καὶ ἐν πλήθει λόγων ὀλίγην συναγαγεῖν ἱστορίαν. διὸ καὶ τὸ σαφὲς τῆς ἱστορίας τῷ πλήθει περικόπτεται τῶν παρεντιθεμένων.

Basilij Cilicis Eccles. histor.

Anastasius Dicorus Imp.

Iustinus. Thrax.

[*] ἴσ. ἦσαν.

XLIII.

IOAN. PHILOPONVS *In hexaëmeron.*

LEGIMVS IOANNEM PHILOPONVM [a] *In Hexaëmeron.* quo in libro purus est

[a] Huius operis excerpta inuenies inf. Cod. CXL.

μγ'.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΦΙΛΟΠΟΝΟΥ εἰς τὴν ἑξαήμερον.

ΑΝΕΓΝΩΣΘΗ Ἰωάννου τοῦ Φιλοπόνου εἰς τὴν ἑξαήμερον. ἔστι δὲ ἐν τούτῳ τῷ βιβλίῳ καθαρὸς καὶ σαφής,

Ioan. Philoponus in Hexaëm.

καὶ σαφὴς, καὶ κρείττων τῇ λέξει ἑαυτοῦ· καὶ συμφωνῶν σχεδὸν ἐν τοῖς πλείστοις Βασιλείῳ τῷ μεγάλῳ. ἀντιπίπτων δὲ δι᾽ ὅλου τῷ Μοψουεστίας Θεοδώρῳ, ὃς τὴν αὐτὴν ὑπόθεσιν ἐνστησάμενος, ἑρμηνείαν τῆς κτίσεως τὸ βιβλίον ἐπέγραψεν· οὗ τὰς δόξας διελέγχων ὁ Φιλόπονος, τὴν ἐναντίαν ἐξάπτετο.

μδ´. Philostratus in Apollonij vita.

ΦΙΛΟΣΤΡΑΤΟΥ ΤΥΡΙΟΥ ΕΙΣ τὸν Ἀπολλωνίου τοῦ Τυανέως βίον λόγοι.

ΑΝΕΓΝΩΣΘΗ Φιλοστράτου Τυρίου εἰς τὸν τοῦ Ἀπολλωνίου τοῦ Τυανέως βίον λόγοι ὀκτώ. ἔστι δὲ τὴν φράσιν σαφὴς, ἐπίχαρίς τε καὶ ἀφελιστικὸς, καὶ βρύων γλυκύτητος, καὶ τῷ ἀρχαϊσμῷ καὶ ταῖς καινοπρεπεστέραις τῶν συντάξεων ἐμφιλοτιμούμενος. ἱστορεῖ δὲ τὸν Ἀπολλώνιον πρὸς τοὺς Ἰνδοὺς (οὓς καλεῖ καὶ Βραχμᾶνας) ἀπιέναι, ἐξ ὧν καὶ πλεῖστα τῆς παρ᾽ αὐτοῖς θεοσοφίας ἐκμαθεῖν· καὶ πρὸς τοὺς Αἰθιόπων σοφοὺς, οὓς καὶ γυμνοὺς ὀνομάζει, ὅτι καὶ γυμνοὶ τὸν βίον ὅλον διάγουσι, μηδὲ τοῦ ἀέρος ἐνοχλοῦντος αὐτοὺς εἰς περιβολὴν ἐλθεῖν. πολλῷ δέ φησι τοὺς Ἰνδῶν τῶν ἐν τῇ Αἰθιοπίᾳ σοφῶν προέχειν. ὅτι τέ φησι πρὸς ἀκτῖνα οἰκοῦντες ἡλίου, μᾶλλον εἰσὶ τὴν διάνοιαν ὀξεῖς καὶ καθαροί· καὶ ὅτι καὶ χρόνῳ προήκοντες. τῶν μέντοι Ἀπολλωνίῳ οὐδὲν ὅλως φησὶ τελεσθῆναι, οἷα ὁ μυθώδης αὐτοῦ χαρίζεται λόγος· φιλόσοφον δέ τινα καὶ ἐγκρατῆ βίον ἀποσεμνύνει αὐτὸν βιοῦντα, ἅτε καὶ Πυθαγορικὴν ἐπιδεικνύμενον φιλοσοφίαν ἔν τε ἤθεσι καὶ ἐν δόγμασι. τὸν δὲ θάνατον αὐτοῦ ἄδηλόν τε καὶ πολλοῖς διαφωνούμενον λέγει γενέσθαι, αὐτοῦ ἐκείνου τοῦτο σπουδάσαντος. καὶ γὰρ καὶ ζῶντα [a] ἐπιλέγειν, ὡς δεῖ τὸν σοφὸν τοὺς πολλοὺς λαθόντα βιῶναι· εἰ δὲ μὴ, κἂν γοῦν ἀποβιῶναι λαθόντα. τάφον δὲ αὐτοῦ μηδαμοῦ γῆς ἐγνῶσθαι. λέγει δὲ αὐτὸν μάλιστα χρημάτων κρείττω γενέσθαι, ὡς καὶ τὴν κτῆσιν αὐτοῦ τῷ τε ἰδίῳ ἀδελφῷ καὶ ἑτέροις καταλιπεῖν· καὶ παρὰ μηδενὸς τῶν ὑπ᾽ ἐξουσίαις, καί τοι πολλὰ ἀξιούντων, λαβεῖν χρήματα. αὐτὸν τὸν ἐν Ἐφέσῳ λιμὸν καὶ προϊδεῖν, καὶ γεγονότα παῦσαι. καὶ λέοντα δὲ ἰδεῖν, καὶ εἰπεῖν· ὡς ἡ τοῦ Ἀμάσιδος τοῦ Αἰγυπτίων βασιλέως ψυχὴ ἐν τῷ θηρίῳ εἴη, ὑπέχουσα δίκην τῶν βεβιωμένων. καὶ ἔμπουσαν ἐλέγξαι, ἐν ὑποκρίσει ἑταίρας ἐρᾶν Μενίππου προσποιουμένην. καὶ κόρην ἐν Ῥώμῃ, ἄρτι τεθνάναι δοκοῦσαν, ἐπαναστρέψαι τῷ βίῳ. καὶ λῦσαι τὸ σκέλος ἐν τῷ δεσμωτηρίῳ, ὄντα δεδεμένον. καὶ ἀπολογήσασθαι μὲν πρὸς Δομετιανὸν, ὑπέρ τε αὐτοῦ καὶ Νερούα, ὃς μετὰ Δομετιανὸν Ῥωμαίων ἐβασίλευσεν· ἀφανισθῆναι δὲ μετὰ τὴν ἀπολογίαν τοῦ δικαστηρίου, καὶ πρὸς Δημήτριον καὶ Δάμιν, οὕτω καὶ συνθέμενος αὐτοῖς, παραγενέσθαι· οὐ διὰ χρόνου, παραυτίκα δὲ, καί τοι ὁδὸν ἡμερῶν τινῶν [b] διεστηκότας. ταῦτα μὲν περὶ ἑαυτοῦ ἀναπλάττει. οὐ μέντοι γε, ὥς εἴη τελεστὴς, εἴ τινα ἀποτελέσματα τῶν ἐνίοις διαθρυλλουμένων ὑπ᾽ αὐτοῦ πεποιῆσθαι τελεσμάτων· φιλοσοφίᾳ δὲ καὶ βίου καθαρότητι, καὶ ἅπερ αὐτὸς ἔφησεν, ἐκεῖνον εἰσάγει διαπεπρᾶχθαι. ἀπεχθάνεσθαι δὲ μᾶλλον μάγοις καὶ φαρμακοῖς· μὴ ὅτι γε αὐτὸν τῇ μάγων προσανακεῖσθαι τέχνῃ. Περὶ δὲ τῶν Ἰνδῶν σχεδὸν τὰ πάντα παραλογώτατα καὶ ἀπιστότατα διαρραψῳδεῖ. πίθους γὰρ αὐτοῖς πλήρεις ὄμβρων καὶ ἀνέμων δοὺς, ὑφ᾽ ὧν τὴν χώραν, ἀνομβρίας [c] ἐπισχούσης·

[a] Fo. ἐπαίνειν al. ἐπαίνεσε.

[b] ἀποστάντας.

[c] al. ἀποσχούσης.

& clarus, seque ipse dicendi modo vincit, atq; vt Basilio Magno plurimum fere consentit, sic per omnia Theodoro Mopsuestiæ repugnat, qui idem ipse argumentum aggressus, [a] *Interpretationem Geneseos*, librum inscripsit, cuius opiniones Philoponus reprehendens, contra nisus est.

IOAN. PH.

[a] Sup. Cod. 38.

PHILOSTRATI TYRII *De vita Apollonij Tyanei libri VIII.*

XLIV.

LEGI PHILOSTRATI *Tyrij de* [a] *vita Apollonii Tyanei* libros octo. Stylo vsus est aperto, gratioso, [b] conciso, pleno etiam dulcedine, ac cum ex prisci loquendi formis, tum ex recentioribus elegantiis laudem quærit.

Narrat Apollonium ad Indos (quos & *Brachmanas* nominat) profectum esse, ex quibus pleraque diuinæ eorum sapientiæ didicerit. Profectum item ad Æthiopum sapientes, quos & [c] *Γυμνοὺς* appellat, quod nudi ætatem perpetuo transigant, & ne cœli quidem tempestate atque inclementia vexati amictum induant. Indorum autem sapientes longe ait his antecellere, tum quod Solis radiis propiores, mente sint magis acuta, & pura, tum ex eo quoque, quod ætate sint priores.

Ab Apollonio porro corū nihil omnino gestum refert, quæ fabulosè de ipso narrantur: tantum philosophicam quandam temperatámque eius vitā extollit, qua Pythagoreā sectam, cum moribus tum doctrina expresserit. Mortē ipsius obscuram fuisse, & à multis variè narratam scribit, studiosè hoc ipsum Philostrato agente. Etenim & [d] viuētem dicere solitum, sapiētem oportere fallere omnes, ac latere in vita, id si nequeat, mori saltem latentem debere. Sepulcrum eius nusquam ostendi. Addit & diuitiarum mirificum contemptorem fuisse, vt & suas ipse possessiones germano fratri aliisq; sponte concesserit, & à nemine [e] potentiorum pecunias acceperit, quantumuis illi multa merenti obtruderent. Famem Ephesi longe ante prouidisse, & ortam sustulisse. Leone forte viso, dixisse, Amasydis Ægyptiorum Regis animam, pœnas vitæ scelerum dantem, in feram illam cōmigrasse. [f] Empusam item deprehendisse, sub persona meretricis Menippi se amore captam fingentem. Puellam Romæ pridem exspirare visam, in vitam reuocasse. Soluisse compedes sibi, dum in carcere constrictus teneretur. Apud Domitianum Imp. causam dixisse, pro se & Nerua, qui Domitiano in imperio successit, causāque dicta è foro euanuisse, & ad Demetrium, ac Damin (sic cum iis pacto inito) nullo temporis spatio, sed momento, accessisse, licet dierum aliquot itinere distantes. Talia de ipso Philostratus comminiscitur. Negat tamen pro [g] Initiatore habēdum, propterea quòd eorum operum quædam effecerit, quæ ab illo confecta à quibusdam iactabantur: sed per philosophiā, ac vitæ puritatem hæc etiam, quæ ipse mox narrauerit, ab illo profecta fingit. Quin potius exosum Magis, ac [h] veneficis, non vero magicæ arti deditum fuisse.

Iam de Indis omnia iste, maxima absurda, fidéque indigna consuit. Dolia enim apud istos statuit, plena imbriū & ventorum, quibus datum sit regionem cōpluere in imbriū penuria,

[a] Quæ Græcè atque Lat. extat, cuius etiā excerpta leges infr. Cod. CCXLI.

[b] ἀφελιστικός.

[c] Philo, Laërtius, & Lucanus Gymnosophistas nominant.

[d] Inf. in excerptis Cod. CCXLI. λάθε βιώσας, εἰ δὲ μὴ λάθε ἀποθανών. In quod Epicuri dictum singularis extat Plutar. libellus.

[e] ὑπ᾽ ἐξουσίαις leg.

[f] De empusa fusius agit Lil. Gyraldus hist. Deor. syntag. XII. vide & Phauor. in Lexico.

[g] τελεστής.

[h] Lege φαρμακοῖς.

PHILOST. iterúmque discussis imbribus siccare, dum alternis aquam ventúmque è doliis suppeditant. His similia, dementiæ plena, & alia plurima prodigiosè confingit, itaque libris octo omnis ab illo vanissimi laboris opera consumitur.

ANDRONICIANVS *contra Eunomianos.*

XLV. LECTI sunt ANDRONICIANI *aduersus Eunomianos libelli duo.* Promittit quidem in proœmiis grandia, quæ tamen non præstitit, in altero præsertim libro. Philosophiæ hic perstudiosus est, cum moribus, tum mente, atq; dicendi forma: Religione verò Christianus.

THEODORETI *contra Hæreticos libri XXVII. & Eranistæ libri III.*

XLVI. LECTI THEODORETI *Episcopi Cyri libri septem & viginti, aduersus varias propositiones. Primus liber* agit contra asserentes, vnius fuisse naturæ Deum verbum, & quod ex semine Dauid sumpsit principium, itémque aduersus eos, qui diuinitati [a] passiones attribuunt.

[a] τὰ πάθη.

Secundus liber, cum eisdem è scriptura manum validius conserit.

Tertius, de eadem re disputat.

Quartus, sanctorum Patrum continet doctrinam, de gloriosa Incarnatione Domini nostri IESV Christi Filij DEI.

Quintus, hæreticorum colligit opiniones, quas componit cum opinione eorum, qui in Christo duas naturas minimè agnoscunt, & ostendit magnam eos inter se affinitatem habere.

Sextus, ponit vnum esse Filium Dominum nostrum IESVM Christum.

Septimus, Epistolæ locum tenet, quibus volumen primum absoluitur.

Octauus verò, contra eos, qui multitudine duntaxat veritatem dijudicant.

Nonus, in eos qui iactant, non oportere è scripturis aut loqui, aut quærere, sed fidem suam sibi sufficere.

Ioan. 1. *Decimus*, in male obiicientes illud: VERBVM caro factum est.

Vndecimus, aduersus prohibentes duas capere in [b] Incarnatione naturas.

[b] ἐνανθρωπήσει.

Duodecimus, in eos qui asserunt dicentem, Aliud esse verbum, Aliud esse Carnem, duos filios profiteri.

Decimus-tertius, Contra dicentes, quod idem sit CHRISTVM hominem agnoscere, atque in homine spem collocare.

Decimus-quartus, Aduersus enunciantes: *Passus est sine passione.*

Decimus-quintus, In eos, qui dicunt: *Passus est vti voluit.*

Decimus-sextus, In asserentes, oportere voces ipsas accipere, non autem earum sensa, vt quæ omnium captum excedant, considerare.

Decimus-septimus, Aduersus dicentes: *Verbum per carnem passum est.*

Decimus-octauus, Contra asserentes, quales Iudæi pœnas daturi fuissent, si Deum cruci non affixissent.

Decimus-nonus, In affirmantes Iudæum illum esse, qui Deum minimè crucifixum asserit.

Genes. 18. *Vicesimus*, Contra aientes, Angelos eos, qui apud Abrahamum cibum sumpserunt, non continuo etiam carnis naturam attulisse.

Vicesimus-primus, Aduersus eos, qui miracula singulatim extenuant, dum carnem negant.

ἐξικμάζειν τε αὖ, καταῤῥηγνυμένων ὄμβρων, ταῖς * ἐκ πίθων ἀνὰ μέρος χορηγίαις, κυρίοις ἐκάθισε. παραπλήσια τούτοις ἀνοίας μεστὰ καὶ ἕτερα πλεῖστα τερατολογούμενος. ἐν ὀκτὼ δὲ λόγοις ἡ πᾶσα αὐτῷ τῆς ματαιοπονίας σπουδὴ καταναλοῦται.

* ἐν τοῖς πίθοις.

ΑΝΔΡΟΝΙΚΙΑΝΟΥ ΠΡΟΣ ΕΥνομιανοὺς λόγοι βραχεῖς δύο.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ ἀνδρονικιανοῦ πρὸς εὐνομιανοὺς λόγοι βραχεῖς δύο. ὑπισχνεῖται μὲν οὖν ἐν προοιμίοις μεγάλα. οὐ τοιαῦτα δὲ διέρχεται, καὶ μάλιστά γε ἐν τῷ δευτέρῳ λόγῳ. ἔστι δὲ οὗτος φιλοσοφίας ἐραστὴς, τῷ τε ἤθει, καὶ τῇ διανοίᾳ, καὶ τοῦ λόγου τῷ σχήματι· χριστιανὸς δὲ τῷ σεβάσματι. με'. Andronicianus contra Eunomianos.

ΘΕΟΔΩΡΗΤΟΥ ΕΠΙΣΚΟΠΟΥ κύρου λόγοι κζ. πρὸς διαφόρους θέσεις.

ΑΝΕΓΝΩΣΘΗ Θεοδωρήτου ἐπισκόπου κύρου λόγοι κζ. πρὸς διαφόρους θέσεις. ὧν ὁ μὲν πρῶτος λόγος πρὸς τοὺς λέγοντας, μίαν φύσιν γεγενῆσθαι τὸν θεὸν λόγον, καὶ τὴν ἐκ σπέρματος δαβὶδ ληφθεῖσαν ἀπαρχὴν· καὶ προσάπτοντας τὰ πάθη τῇ θεότητι. ὁ δὲ δεύτερος πρὸς τοὺς αὐτοὺς γραφικώτερον συμπλεκόμενος. καὶ ὁ τρίτος περὶ τῆς αὐτῆς ὑποθέσεως. ὁ δὲ τέταρτος, διδασκαλίας τῶν ἁγίων πατέρων περιέχει περὶ τῆς ἐνδόξου οἰκονομίας τοῦ δεσπότου ἡμῶν χριστοῦ, τοῦ υἱοῦ τοῦ θεοῦ. ὁ μέντοι πέμπτος, αἱρετικῶν δόξας ἀθροίζει, καὶ παρατίθησιν αὐτὰς τῇ δόξῃ τῶν μὴ ὁμολογούντων ἐπὶ χριστοῦ δύο φύσεις: καὶ δείκνυσι πολλὴν πρὸς ἀλλήλους διασώζοντας τὴν συγγένειαν. ὁ δὲ ἕκτος διαλαμβάνει, ὅτι εἷς υἱὸς ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ χριστός. ὁ ἕβδομος ἐπιστολῆς ἐπέχει τόπον, ἐν οἷς τὸ πρῶτον συμπληροῦται βιβλίον. ὁ δὲ ὄγδοος καὶ πρὸς τοὺς πλήθει μόνῳ κρίνοντας τὴν ἀλήθειαν. ὁ ἔνατος πρὸς τοὺς λέγοντας, μὴ δεῖν ἀπὸ τῶν γραφῶν ζητεῖν ἢ λαλεῖν, ἀλλ᾽ ἀρκεῖσθαι τῇ παρ᾽ ἑαυτοῖς πίστει. ὁ ι. πρὸς τοὺς προβάλλοντας κακοήθως τὸ, ὁ λόγος σὰρξ ἐγένετο. ὁ ια. πρὸς τοὺς κωλύοντας δύο φύσεις ἐπὶ τῆς ἐνανθρωπήσεως ἐκλαμβάνειν. ὁ ιβ'. πρὸς τοὺς λέγοντας, ὅτι ὁ λέγων ἄλλο μὲν τὸν λόγον, ἄλλο δὲ τὴν σάρκα, δύο υἱοὺς λέγει. ὁ ιγ'. πρὸς τοὺς λέγοντας, ὅτι τὸ, καὶ ἄνθρωπον γινώσκειν τὸν χριστὸν, ταυτόν ἐστι τῷ καὶ εἰς ἄνθρωπον ἔχειν τὰς ἐλπίδας. ὁ ιδ'. πρὸς τοὺς λέγοντας. ἔπαθεν ἀπαθῶς. ὁ ιε. πρὸς τοὺς λέγοντας, ἔπαθεν ὡς ἠθέλησεν. ὁ ιϛ'. πρὸς τοὺς λέγοντας, ὅτι χρὴ δέχεσθαι τὰς φωνὰς, καὶ μὴ σκοπεῖν τὰ δι᾽ αὐτῶν σημαινόμενα, ὡς πάντας ὑπερβαίνοντα. ὁ ἑπτακαιδέκατος πρὸς τοὺς λέγοντας. ἔπαθεν ὁ λόγος σαρκί. ὁ ὀκτωκαιδέκατος πρὸς τοὺς λέγοντας, ποίαν δώσουσιν οἱ Ἰουδαῖοι δίκην, εἰ μὴ θεὸν ἐσταύρωσαν. ὁ ἐννεακαιδέκατος πρὸς τοὺς λέγοντας, Ἰουδαίους εἶναι, ὁ μὴ θεὸν ἐσταυρῶσθαι λέγων. ὁ εἰκοστὸς, πρὸς τοὺς λέγοντας, ὅτι καὶ ἄγγελοι ἐπὶ τοῦ Ἀβραὰμ ἐσθίοντες, οὐ πάντως σαρκὸς φύσιν ἐπιφέρεσθαι. ὁ εἰκοστὸς πρῶτος πρὸς τοὺς σμικρύνοντας ἕκαστον θαῦμα, τῷ ἀρνεῖσθαι τὴν σάρκα.

μϛ'. Theodoretus contra hæreticos.

ὁ εἰκοστὸς

THEODO.

ὁ εἰκοστὸς δεύτερος, πρὸς τοὺς ζημιοῦντας ἡμῶν τὸ γένος, τῷ μὴ λέγειν, ἐκ τῆς φύσεως ἡμῶν εἰλῆφθαι τὴν ἀπαρχήν. ὁ εἰκοστὸς τρίτος, πρὸς τοὺς λέγοντας, πιστεύειν ἁπλῶς* οἷς λέγουσι, καὶ μὴ κατανοεῖν, τί πρέπον ἢ ἀπρεπές. ὁ εἰκοστὸς τέταρτος, πρὸς τοὺς ἀναιροῦντας τὴν τῶν φύσεων διαφορὰν μετὰ τὸ πάθος καὶ τὴν ἀνάληψιν. ὁ εἰκοστὸς πέμπτος, ἀνακεφαλαίωσις τῶν κατὰ μέρος ῥηθέντων. ὁ εἰκοστὸς ἕκτος, περὶ τῆς ὕστερον μηνυθείσης συνθέσεως ἤτοι συνουσιώσεως. ὁ εἰκοστὸς ἕβδομος, περὶ τοῦ κατὰ τὸν κοινὸν ἄνθρωπον ὑποδείγματος. δῆλον δὲ καὶ ἐκ μόνης αὐτῶν τῆς ὑποθέσεως, ποῖοι τῶν εἰρημένων λόγων τὸ ὀρθόδοξον κρατύνουσι φρόνημα, καὶ τίνες ἐκκλίνουσιν. ἔτι ἐν τῷ αὐτῷ τεύχει ἀνεγνώσθησαν αὐτοῦ λόγοι τρεῖς, μείζους τῶν προειρημένων: ἐρανιστὴς ἢ πολύμορφος ἔφερον ἐπιγραφήν. ὧν ὁ μὲν πρῶτος, ὅτι ἄτρεπτος ὁ θεὸς λόγος: ὁ δεύτερος, ὅτι ἀσύγχυτος ἡ ἕνωσις: ὁ τρίτος, ὅτι ἀπαθὴς ὁ θεὸς λόγος. ἔτι καὶ τέταρτος, ἐν ᾧ συλλογισμοῖς τῆς αὐτῆς ὑποθέσεως ὑπεραγωνίζεται. οὗτοι δὲ οἱ τρεῖς λόγοι ἐν διαλόγῳ εἰσὶν αὐτῷ διεσκευασμένοι: οἱ δὲ ἄλλοι καταλογάδην. σαφὴς δέ ἐστιν ἐν ἅπασι τὴν φράσιν, ὡς εὐκρινὴς καὶ καθαρὸς, καὶ οὐκ ἀμοιρῶν τοῦ ἡδέος: καταλλήλως τε τοῖς νοήμασιν ἐξηνεγμένος.

* al. ὧν.

Vicesimus secundus, Aduersus eos, qui humano generi damnum irrogant, dum concedere nolunt ex nostra natura principium sumptum esse.

Vicesimus-tertius, Contra iactantes, Credere simpliciter iis, quæ dicuntur; & non attendere, quid decens sit, aut indecens.

Vicesimus-quartus, Aduersus tollentes naturarum differentiam, post Passionem & Ascensionem.

Vigesimus-quintus, summatim ea repetit, quę per partes hactenus tradita sunt.

Vicesimus-sextus, De post-manifestata compositione seu consubstantiatione.

Vicesimus-septimus, De eo quod secundum communem hominem est, [a] exemplo. Clarum vero vel ex solo argumento quinam ex suprascriptis libris Orthodoxam corroborent doctrinam, quique ab ea discedant.

a ὑποδείγματος.

Adhuc in eodem ipso Volumine legi tres eiusdem libros superioribus maiores. Titulum præferunt [b] ΕΡΑΝΙΣΤΗΣ, ἢ Πολύμορφος (id est, *Sodalis*, seu *Multiformis*) Horum *primus*, Deum verbum immutabile esse docet. *Alter*, Inconfusam, minimeque mistam vnionem esse. *Tertius*, [c] Impassibilem siue imperturbabilem esse Deum verbum. Accedit *Quartus*, in quo syllogismis hæc eadem argumenta retexit. Atque hi quidem libri per dialogum ab ipso conscripti sunt, reliqui vero continenti, ac perpetua serie. Stylus ei in omnibus perspicuus (est enim distinctus ac purus) neque incunditatis expers: proportione vero sensibus exuberat.

b Emendicator redditur à Gentiano Herveto ex ipsius Theodoreti versione. Sodalem ere voce, qui simul edulem, & eiusdem participem symbolæ.

c ἀπαθὴς.

ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙΟΥ ΤΑ κατὰ Ἰουδαίους πάθη, καὶ ἡ τῆς Ἱερουσαλὴμ ἅλωσις.

μζ'.

Flavius Iosephus de bello Iudaico.

Ἀνεγνώσθη Ἰωσήπου Ἰουδαίου τὰ κατὰ Ἰουδαίους πάθη, ἐν οἷς ἔτι τῆς Ἱερουσαλὴμ ἐπὶ τέλει τῶν λόγων ἅλωσις, καὶ ἡ τῆς Μασάδας πολίχνης. πρὸ δὲ τούτων, ἡ τῶν Ἰωταπάτων, ἐν ᾗ καὶ αὐτὸς Ἰώσηπος ἥλω, ἔτι δὲ Γισχάλων ἅλωσις: καὶ ἄλλων Ἰουδαϊκῶν φρουρίων ἐρημία. ἔστι δὲ αὐτῷ τὸ σύνταγμα ἐν λόγοις ἑπτά. καθαρὸς τὴν φράσιν, καὶ ἀξίωμα λόγου μετ' εὐκρινείας καὶ ἡδονῆς δεινὸς ἐκφῆναι: πιθανός τε ταῖς δημηγορίαις καὶ ἐπίχαρις, κἂν ἐπὶ τἀναντία ὁ καιρὸς καλῇ χρήσασθαι τῷ λόγῳ: δεξιὸς καὶ γόνιμος ἐνθυμημάτων εἰς ἑκάτερα. καὶ γνωμολογικὸς δὲ ὡς εἴ τις ἄλλος, καὶ πάθη τῷ λόγῳ περιστῆσαι ἱκανώτατος, καὶ ἐγεῖραι πάθος, καὶ πραῦναι δοκιμώτατος. πολλὰ δὲ σύμβολα καὶ σημεῖα λέγει προϋπάρξαι τῆς Ἱερουσαλὴμ ἁλώσεως. α'. βοῦν τε γὰρ ἐπὶ θυσίαν ἀγομένην, ἄρνα τεκεῖν. β'. καὶ φῶς ἀναλάμψαι ἐν τῷ ναῷ. γ'. καὶ φωνῆς ἐκεῖθεν ἐπακοῦσαι, Μεταβαίνωμεν ἐντεῦθεν. δ'. καὶ τὰς τοῦ ἱεροῦ πύλας οὐδ' ὑπὸ ἀνδρῶν εἴκοσιν ἀνοιγομένας, αὐτομάτως ἀνεῷχθαι. ε'. καὶ στρατὸν ἑσπέρας ἐπιφαίνεσθαι, ὅπλοις περιπεφραγμένον. ς'. καὶ ἄνθρωπόν τινα, ὄνομα αὐτῷ ὁ τοῦ Ἀνανίου Ἰησοῦς, μηδὲν ἄλλο ἐπιφθέγγεσθαι ἐπὶ ἔτη ς'. καὶ μῆνας γ'. ὥσπερ βεβακχευμένον ὄντα ἐπὶ* αὐτὸ τοῦτο, ἢ τὸ αἲ αἲ τῇ Ἱερουσαλήμ. ὃς καὶ ὑπὲρ τούτου αἰκισθεὶς, πλὴν ταύτης τῆς φωνῆς, οὐδὲν ἄλλο ἀπεκρίνατο. ἐν αὐτῇ τε τῇ ἁλώσει παρὼν, καὶ ἑαυτῷ τὴν αὐτὴν φωνὴν ἐπειπὼν: λίθῳ βληθεὶς ὑπὸ τῶν πολεμίων, ἐτελεύτησε.

* al. αὐτῷ.

IOSEPHI IUDÆI *De libro Iudaico libri VII.*

XLVII.

Legi Iosephum Iudæum, *De Iudaicæ gentis calamitate atque interitu.* Quo in libro extremo Hierosolymorum excidium narrat, & Masadæ oppidi: & ante hæc Iotapatorum, in quo & ipse Iosephus captus: præterea Gischalorum euersionem, & aliorum Iudaicorum munimentorum desolationem. Sunt autem huius operis libri septem. Candidus illi sermo; qui rationum pondus atque momentum cum puritate ac iucunditate exprimere possit. In concionibus persuadendi vi præditus est, ac gratiosus, tum etiam cum suadet opportunitas orationem in contrariam partem flectere. Dexterè quoque & copiosè enthymematis in vtramque partem vtitur, sententiásque, si quis alius, adhibet. Orationi insuper affectum imprimendi, & concitandi motus, eosdémq; mox leniendi, est peritissimus.

Multa vero signa atque prodigia Hierosolymæ excidium præcessisse commemorat. I. Bouem ad sacrificium ductam agnum peperisse. II. Lucem in templo splenduisse. III. Vocem exinde auditam: *Hinc abeamus.* IV. Templi portas, quas ne viginti quidem viri aperire poterant, sponte patuisse. V. Exercitum vespert visum armis indutum. VI. Virum, cui nomen Iesus Ananiæ, nihil aliud annis sex & mensibus tribus sonuisse, tanquam furore percitum, quam identidem: *Va, Va, Hierusalem*, eundémque cum ea de causa verberibus quoque cæderetur, præter hanc vnam vocem, nullam emisisse aliam. Hunc item vrbis excidio cum interesset, eandémque apud se vocem ingeminaret, lapidis ictu ab hoste occisum esse.

IOSEPHVS.

Atque hæc quidem ante vrbem captam signa monstrata fuere, intestini verò belli seditio & hostes vrbem euerterunt. In zelotarum enim factionem & sicariorum diuisi, se mutuo Iudæi interfecerunt, ipsamque adeo Reipub. corpus vulgus, ab vtrisque acerbè est atque crudeliter dilaniatum. Fames item sic vrbem inuasit, vt & ad alia flagitia homines impulsi fuerint, & mulier suum ipsa filium comederit. Pestis adhæc famem excipiens, satis omnibus clarè ostendit, diuinæ id iræ opus esse, ac Dominicæ denunciationis minarúmque, fore nimirum vt vrbs funditus euersa periret. (Luc. 19.)

τὰ μὲν οὖν προδειχθέντα τῆς ἁλώσεως σημεῖα, ταῦτα. ἡ στάσις δὲ τῶν ἐμφυλίων, ἢ οἱ πολέμιοι τὴν πόλιν ἐπόρθησαν. εἰς ζηλωτὰς γὰρ ἑαυτοὺς καὶ σικαρίους διαστήσαντες: ἀλλήλους τε ἔφθειρον, καὶ τὸ κοινὸν σῶμα ὁ δῆμος ὑπ' ἀμφοῖν πικρῶς τε καὶ ἀνηλεῶς ἐσπαράττετο. λιμός τε οὕτω κατεῖχεν, ὡς καὶ εἰς ἄλλα μὲν παράνομα, τοὺς ἀνθρώπους ἐκβιασθῆναι, καὶ γυναῖκα δὲ τὸ οἰκεῖον τέκνον θοινήσασθαι. καὶ τῷ λιμῷ ὁ λοιμὸς συνεπιλαβόμενος, ἐδείκνυ πᾶσιν ἐμφανῶς θεομηνίας ἔργον, καὶ τῆς δεσποτικῆς προρρήσεως, καὶ ἀπειλῆς, τὴν τῆς πόλεως ὑπάρξαι πανωλεθρίαν καὶ ἅλωσιν.

XLVIII.

IOSEPHVS, vel CAIVS PRESBYTER *De vniuerso.*

ΤΟΥ ΑΥΤΟΥ, ΜΑΛΛΟΝ ΔΕ Γαΐου πρεσβυτέρου, περὶ τοῦ παντός· ὃ ἐν ἄλλοις, περὶ τῆς τοῦ παντὸς οὐσίας ἐπιγράφεται. οὗτος λέγεται καὶ τῶν ἐθνῶν χειροτονηθεὶς ἐπίσκοπος.

LECTVS est IOSEPHVS *De vniuerso*; qui liber alibi inscriptus legitur, *De vniuersi causa*: in aliis vero libris, *De vniuersi natura.* Súntque libelli duo, quibus secum pugnare Platonem docet. De anima quoque, Materia, & Resurrectione [a] Alcinoum, vt absurde ac falso disserentem, reprehendit, suas vero ipse de his thesibus opiniones opponit; docétque Iudæorum nationem longe esse, quàm Græcorum antiquiorem. Putat compositum hominem ex igne, terra, aqua, ac præterea è spiritu, quem *Animam* appellat. De quo spiritu hisce verbis vsus est: Huius principem partem apprehendens, vna cum corpore formauit, & per omnia membra artúsque viam ipsi patefecit. Qui spiritus corpori conformatus, totúmque pertradens, eadem forma, qua corpus hoc spectatur, insignitus est; naturam vero frigidiorem habet, ad tria illa, per quæ corpus compactum est. Hæc ille, non satis apte ad Hebræorum de hominis natura doctrinam, neque satis è dignitate reliquorum à se disertè scriptorum elocutus. De mundi quoque generatione per compendium disserit. De CHRISTO autem vero Deo aptissimè loquitur, quando & ipsam CHRISTI appellationem illi attribuit, & inenarrabilem ex patre generationem citra reprehensionem describit. Quæ res ambigendi fortasse cuipiam causam præbeat, sitne hoc Iosephi opusculum: etsi nihil dicendi genere à reliquis eiusdem scriptis discedit.

a Caius de compar. Platon. & Aristot. libellus Græcè atque Latinè in medio est.

Comperi annotatum fuisse, non esse Iosephi hoc opus, sed Cay cuiusdam Presbyteri Romæ agentis, quem & auctorem faciunt Labyrinthi: cuius etiam dialogus est aduersus Proclum quendam, hæresis Montanistarum defensorem. (CAIVS Presbyt.)

Cum enim sine titulo opus relictum esset, alij quidem Iosepho inscriptum referunt, alij Iustino Martyri, nonnulli Irenæo: quemadmodum & Labyrinthum Origeni quidam tribuere. Alioqui *Cay* est opus eiusdem reuera, qui Labyrinthum composuit, quando ille ipse in extremo Labyrintho testatum reliquit, esse se libri *De vniuersi natura* auctorem. Verum hic ne liber ille sit, de quo agitur, an alius, nondum mihi liquet.

Hunc [b] Caium Presbyterū Romanæ Ecclesiæ

b Vide B. Hieron. in Catalogo, c. LIX. & Euseb. lib. VI. c. 14. & lib. II. cap. 24.

μη'. (F. Ios. pro libro de Vniuerso)

ΑΝΕΓΝΩΣΘΗ Ἰωσήπου περὶ τοῦ παντός: ὃ ἐν ἄλλοις ἀνέγνων ἐπιγραφόμενον, περὶ τῆς τοῦ παντὸς αἰτίας, ἐν ἄλλοις δὲ περὶ τῆς τοῦ παντὸς οὐσίας. ἔστι δὲ ἐν δυσὶ λογιδίοις. δείκνυσι δὲ ἐν αὐτοῖς πρὸς ἑαυτὸν στασιάζοντα Πλάτωνα. ἐλέγχει δὲ καὶ περὶ ψυχῆς καὶ ὕλης καὶ ἀναστάσεως Ἀλκίνουν ἀλόγως τε καὶ ψευδῶς εἰπόντα. (Alcinoum.) ἀντεισάγει δὲ τὰς οἰκείας περὶ τούτων τῶν ὑποθέσεων δόξας. δείκνυσί τε, πρεσβύτερον Ἑλλήνων πολλῷ τὸ Ἰουδαίων γένος. δοξάζει δὲ συγκεῖσθαι τὸν ἄνθρωπον ἐκ πυρὸς, καὶ γῆς, καὶ ὕδατος, καὶ ἔτι ἐκ πνεύματος, ὃ καὶ ψυχὴν ὀνομάζει. περὶ οὗ πνεύματος αὐταῖς λέξεσιν οὕτω φησί. τούτου τὸ κυριώτερον ἀνελόμενος, ἅμα τῷ σώματι ἔπλασε: καὶ διὰ παντὸς μέλους καὶ ἄρθρου, πορείαν αὐτῷ κατεσκεύασεν: ὃ τῷ σώματι συμπλασθὲν, καὶ διὰ παντὸς διϊκνούμενον, τῷ αὐτῷ εἴδει τοῦ βλεπομένου σώματος τετύπωται. τὴν οὐσίαν δὲ ψυχρότερον ὑπάρχει πρὸς τὰ τρία, δι' ὧν * τὸ σῶμα συνήρμοσται. (* al. τῷ σώματι.) οὕτω μὲν οὖν ἀναξίως τῆς τε τῶν Ἰουδαίων περὶ ἀνθρώπου φυσιολογίας ταῦτα εἰπὼν, καὶ τῆς ἄλλης αὐτοῦ περὶ τοὺς λόγους ἀσκήσεως: διέξεισι καὶ περὶ τῆς κοσμογονίας κεφαλαιωδῶς. περὶ μέντοι Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν ὡς ἔγγιστα θεολογεῖ: κλῆσίν τε αὐτὴν ἀναφθεγγόμενος Χριστοῦ, καὶ τὴν ἐκ πατρὸς ἄφραστον γέννησιν ἀμέμπτως ἀναγράφων. ὃ τινὰς ἴσως καὶ ἀμφιδοξεῖν, ὡς Ἰωσήπου εἴη τὸ σύνταγμα τοῦτο, ἀναπείσειεν. οὐδὲν δὲ τι τῆς φράσεως αὐτοῦ πρὸς τὰ ὑπόλοιπα τοῦ ἀνδρὸς ἀποδεῖ. εὗρον δὲ ἐν παραγραφαῖς, ὅτι οὐκ ἔστιν ὁ λόγος Ἰωσήπου, ἀλλὰ Γαΐου τινὸς πρεσβυτέρου ἐν Ῥώμῃ διατρίβοντος, ὅν φασι συντάξαι καὶ τὸν Λαβύρινθον: οὗ καὶ διάλογος φέρεται πρὸς Πρόκλον τινὰ ὑπέρμαχον τῆς τῶν Μοντανιστῶν αἱρέσεως. (Caius, Presbyter Ecclesiæ Romanæ.) ἀνεπιγράφου δὲ καταλειφθέντος τοῦ λόγου: φασὶ τοὺς μὲν Ἰωσήπου ἐπιγράψαι, τοὺς δὲ Ἰουστίνου τοῦ μάρτυρος, ἄλλους δὲ Εἰρηναίου: ὥσπερ καὶ τὸν Λαβύρινθόν τινες ἐπέγραψαν Ὠριγένους. ἐπεὶ Γαΐου ἐστὶ πόνημα, τῇ ἀληθείᾳ * αὐτοῦ συντεταχότος τὸν Λαβύρινθον: ὡς καὶ αὐτὸς ἐν τῷ τέλει τοῦ Λαβυρίνθου διεμαρτύρατο, ἑαυτοῦ εἶναι τὸν περὶ τῆς τοῦ παντὸς οὐσίας λόγον. εἰ δ' ἕτερος καὶ οὐχ οὗτός ἐστιν: οὔπω μοι γέγονεν εὔδηλον. τοῦτον τὸν Γάϊον πρεσβύτερόν φασι γεγενῆσθαι τῆς κατὰ Ῥώμην ἐκκλησίας, (* al. τὸ συντεταχότα.)

ἐκκλησίας, ἐπὶ οὐίκτορος καὶ ζεφυρίνου τῶν ἀρχιερέων: χειροτονηθῆναι δὲ αὐτὸν καὶ ἐθνῶν ἐπίσκοπον. συντάξαι δὲ καὶ ἕτερον λόγον ἰδίως, κατὰ τῆς ἀρτέμωνος αἱρέσεως. καὶ κατὰ Πρόκλου δὲ σπουδαστοῦ μοντανοῦ σπουδαίαν διάλεξιν συντεταχέναι, ἐν ᾗ τρεῖς καὶ δέκα μόνας ἐπιστολὰς ἀριθμεῖται παύλου, οὐκ ἐγκρίνων τὴν πρὸς ἑβραίους.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΚΥΡΙΛΛΟΥ τοῦ ἀλεξανδρείας, κατὰ τῶν Νεστορίου βλασφημιῶν λόγοι έ.

μθ'. *Cyrillus Alexandrinus contra Nestorium.*

Ἀ ΝΕΓΝΩΣΘΗ τοῦ ἐν ἁγίοις κυρίλλου τοῦ ἀλεξανδρείας, κατὰ τῶν Νεστορίου βλασφημιῶν, ἐν λόγοις πέντε. φυλάττει δὲ κἀν τούτοις τῶν οἰκείων λόγων τὸν χαρακτῆρα καὶ τὸ ἰδίωμα. σαφέστερος δέ ἐστι τοῦ πρὸς ἑρμείαν, καὶ τοῦ περὶ τῆς ἐν πνεύματι λατρείας. ὁ δὲ λόγος αὐτῷ πεποιημένος, καὶ εἰς ἰδιάζουσαν ἰδέαν ἐκβεβιασμένος, καὶ οἷον λελυμένη καὶ τὸ μέτρον ὑπερορῶσα ποίησις.

ΝΙΚΙΟΥ ΜΟΝΑΧΟΥ ΚΑΤΑ ΤΩΝ τοῦ Φιλοπόνου κεφαλαίων ζ'.

ν'. *Nicias Monachus contra Philoponum.*

Ἀ ΝΕΓΝΩΣΘΗ Νικίου μοναχοῦ κατὰ τῶν τοῦ Φιλοπόνου κεφαλαίων ζ. ὧν διεμνημόνευσεν ἐν τῷ καλουμένῳ αὐτοῦ λόγῳ διαιτητῇ. ἔστι δὲ τὴν φράσιν ἁπλοῦς καὶ σύντομος καὶ ταῖς ἀντιρρήσεσιν ἱκανὸς καὶ ἀπερίττος. ἀνεγνώσθη δὲ τοῦ αὐτοῦ καὶ κατὰ τοῦ δυσσεβοῦς σευήρου: ἔτι δὲ καὶ κατὰ ἑλλήνων. λόγοι δύο.

ΗΣΥΚΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ Κωνσταντινουπόλεως εἰς τὸν χαλκοῦν ὄφιν, λόγοι δ'.

να'. *Hesychius Presbyter Constantinopol.*

Ἀ ΝΕΓΝΩΣΘΗ ἡσυχίου πρεσβυτέρου Κωνσταντινουπόλεως εἰς τὸν χαλκοῦν ὄφιν λόγοι δ'. ἔστι δὲ ὁ λόγος εἰς ἐπίδειξιν διεσκευασμένος, καὶ ἐν ἠθοποιΐας εἴδει μεμελετημένος. ἐν οἷς δημηγορίαι τε διατυποῦνται τοῦ μωσέως πρὸς τὸν λαόν, καὶ αὐτῶν πάλιν καταχηματίζονται πρὸς τὸν * μωσέα διαλαλιαί. ἔτι δὲ καὶ τοῦ θείου πρός τε μωσέα καὶ τὸν λαόν: καὶ τούτων ἐν τύπῳ δεήσεων καὶ ἀπολογίας ἐκπεποιημένοι λόγοι. ἐν οἷς καὶ ὁ πολὺς αὐτοῦ καταναλοῦται τοῦ βιβλίου λόγος, πολύστιχον ὄγκον ἐμπεριειληφώς. ὁ δέ γε ἀνήρ, ὡς ἔστιν ἐκ τοῦδε αὐτοῦ τεκμηριῶσαι τοῦ συντάγματος, τῶν ὀρθοδόξων ἐστίν.

* μωσία.

ΣΥΝΟΔΟΣ ΓΕΝΟΜΕΝΗ ΕΝ σίδῃ κατὰ αἱρέσεως τῶν μεσσαλιανῶν, ἤγουν εὐχιτῶν.

νβ'. *Synodus contra Messalianos praeside Amphilochio.*

Ἀ ΝΕΓΝΩΣΘΗ σύνοδος γενομένη ἐν σίδῃ, κατὰ τῆς αἱρέσεως τῶν μεσσαλιανῶν, ἤγουν εὐχιτῶν, ἤτοι ἀδελφιανῶν. ἐξῆρχε δὲ τῆς συνόδου Ἀμφιλόχιος ὁ τῆς ἰκονίου, συνεδρευόντων αὐτῷ καὶ ἑτέρων ἐπισκόπων κέ. ἐν τῇ αὐτῇ δὲ βίβλῳ ἀνεγνώσθη τῆς αὐτῆς συνόδου πρὸς τὸν μέγαν Φλαβιανὸν τὸν ἀντιοχείας ἐπιστολὴ συνοδική, τῶν πεπραγμένων πληρουμένη τὴν διδασκαλίαν. διόπερ καὶ αὐτὸς συναθροίζει σύνοδον κατὰ τῶν αὐτῶν αἱρετικῶν, συμπαρόντων μὲν αὐτῷ ἐπισκόπων τριῶν, * βίζου τοῦ σελευκείας, καὶ μαρουθᾶ τοῦ σουφαρηνῶν ἔθνους, καὶ Σάμου: πρεσβύτεροι δὲ καὶ διάκονοι συμπαρῆσαν μέχρι τριάκοντα. ἐν ταύτῃ τῇ συνόδῳ μετάνοιαν ἐπαγγελλόμενον τὸν Ἀδελφιον,

* al. Βίζου.

uiſſe affirmant, ſub Victore & Zephyrino Pontificibus, ordinatúmque & gentium Epiſcopum, ſcripſiſſe quoque peculiarem alium librum contra [a] Artemonis hæreſim, & aduerſus Proclum, Montani ſtudioſum, accuratam diſputationem, in qua tredecim duntaxat B. Pauli Epiſtolas enumeret, [b] non recepta in cenſum ea, quæ eſt ad Hebræos.

CAIVS PR.

a De quo lege Theodoret. atque Niceph.
b Quæ item ſententia tribuitur Hippolyto inf. Cod. CXXI.

B. CYRILLI ALEXANDRINI *Contra Neſtorium libri V.*

XLIX.

LECTVS eſt B. CYRILLVS *Alexandriæ Epiſcopus aduerſus blaſphemias Neſtorij, libris quinque.* Seruat in his quoque ſuum dicendi characterem, & ſermonis proprietatẽ. Clarior vero eſt quam ad Hermiam ſcribens, aut in libris [a] *De adoratione in Spiritu.* Sermo illi confictus, & ad propriam dicendi formam contortus, ac veluti ſolutum numeróſque negligens metrum.

a Extant hodie XVII. Dialogi De adoratione in ſpiritu & veritate, Romæ editi interp. Ant. Agellio Epiſc.

NICIAS MONACHVS *Contra Philoponum, Seuerum, ac Gentes.*

L.

LECTVS NICIAS MONACHVS, *Contra Philoponi capita ſeptem*, quorum meminerat in libro quem inſcripſit ΔΙΑΙΤΗΤΗΝ, (hoc eſt, *Arbitrum*, ſeu *Cognitorem*) Stylus ipſi ſimplex atque conciſus, & reſponſionibus ſatisfaciens, miniméque redundans.

Legi eiuſdem & *contra impium Seuerum* adhuc etiam *contra gentes libros duos.*

HESYCHII PRESBYTERI CONSTANT. *In aneum ſerpentem libri IV.*

LI.

LECTI ſunt *Heſychij Presbyteri Conſtantinopolitani in aneum ſerpentem libri quatuor.* Sermo illi ad oſtentationem comparatus, & concitandis affectibus meditatus videbatur. Hic orationes finguntur Moyſis ad populum, & huius viciſſim ad Moyſen artificioſa alloquia. Dei quoque ad Moyſen & populum, & horum vtriuſque rurſum ad Deum, precationis atque excuſationis forma ſermones compoſiti. Quibus orationibus magnam libri partem conſumit, ingens mole volumen efficiens. Porro Scriptor ipſe, quantum ex hoc opere diiudicare licet, in Orthodoxis eſt numerandus.

SYNODVS SIDETANA, ALIAQVE *contra Meſſalianos.*

LII.

LECTA *Synodus Sidæ habita* aduerſus [a] hæreſim Meſſalianorum, hoc eſt, Euchetarũ, ſeu Adelphianorum. Præfuit ſynodo Amphilochius, Iconij Epiſcopus, conſidentibus & aliis viginti quinque Epiſcopis. In eodem ipſo libro lecta eſt ipſius ſynodi ad magnum Flauianum, Epiſcopum Antiochiæ, *Synodica epiſtola*, rerum geſtarum rationem reddens.

Quapropter etiam ipſe Flauianus Synodum indixit aduerſus eoſdem illos hæreticos, accedentibus tribus Epiſcopis, [b] Biza Seleuciæ, & [c] Marutha gentis Suphatenorum, & Sami, ad quos ſe cum Preſbyteri, tũ diaconi ad triginta coniunxerunt. Noluit hæc Synodus Adelphiũ

a De quo Vide Theodoret. lib. IV. hiſt. c. 10. & Niceph. lib. XI. cap. 15. & Epiph.
b F. Baſilio.
c Ille fortaſſis Meſopotamiæ Epiſc. in hiſt. de rebus D. Chryſoſt. valde celebratus.

SYN. SID. pœnitentiam profitentem, hæresimque abiurantem admittere: quòd neque ea hæreseos abiuratio, neque pœnitentia, vera atque ex animo facta probaretur. Hæresis huius auctores fuêre Adelphius, quem dixi, neque monachorum, neque sacerdotum in ordinem lectus, sed plebeius, ac priuatus, & Sabbas, Monachorum habitum præferens, quem ex rei euentu ἀπόκοπον (hoc est, *Resectum*) nominarunt: alter item Sabbas, & Eustathius Venerandus, & Dadoes, & [a] Semesones, dæmonis zizania, aliique his adhærentes. Condemnatus verò Adelphius, eiúsque sectatores: neque pœnitentiæ locum (quamuis, vt diximus, quæsierint) propterea repererunt, quod, quos anathemate tanquam Messalianos condemnarant, cum his veluti consortibus scripto communicare deprehensi sunt.

Porro scripsit Flauianus ad Osroinenses epistolam, ea quæ gesta essent, edocentem, in qua etiam hæreticos punitos, & excommunicatos refert, responsúmque est, acceptis ab Episcopis literis, & Flauiano pro his gratiæ actæ, atque assensum.

Scripsit & [b] Litoius Armeniæ Episcopus, de Messalianis interrogans, missúmque ad illum Synodicum de illis decretum atque sententia.

Scripsit quoque magnus Flauianus Armenio cuidam Episcopo, iterum de eadem ipsa re: qua quidem altera epistola, etiam queritur & expostulat, patrocinij apud ipsum aliquid Messalianitas inuenire.

Scripsit & Atticus Constantinopolitanus Episcopis in Pamphylia existentibus, vt vndique Messalianos veluti sacros ac detestandos exturbarent. Quin & idem ad Amphilochium Sidæ præsidentem similiter scripsit.

Sisinnius item Constantinopolitanus, & Theodotus Antiochenus, communem epistolam ad Berinianum, & Amphilochium, cæterósque in Pamphilia Episcopos scripsere, cuius epistolæ hæc inscriptio est: *Deo charissimis sacrorum collegis, Beriniano, & Amphilochio, omnibúsque adeo in Pamphylia Episcopis, Sisinnius, atque Theodotus & vniuersa sancta Synodus, quæ Dei gratia, [c] in magna vrbe Constantinopolitana coacta est, consecrandi gratia Deo amantissimi Episcopi Sisinnij, iussu & auctoritate pientissimi, & CHRISTO cari Imperatoris nostri Theodosij, salutem in Domino.* In ea ipsa Synodica epistola Neon Episcopus exclamauit, vt, si quis post anathematismum vllo tempore deprehensus fuerit, re aut verbo, in suspicionem malę huius sectę incidisse, nunquam postea locum teneat, ne si millies quidem pœnitentibus constitutas pœnas luiturum se polliceatur. Pari cum hoc periculo & eum subiicit, qui consentiat applaudátque, siue Episcopus, siue quis alius ille fuerit.

Missa quoque epistola Ioannis [d] Antiocheni ad Nestorium, de Messalianitis.

Fecit item decretum (de hoc ipso Adelphio hæretico) sacra & œcumenica Synodus Ephesina tertia, quæ & illum cum blasphemiis capitibúsque hereseos, quotquot in illorum libro Ascetico essent, detexit, & anathemati subiecit.

Scripsit & Archelaus Cęsareę Cappadocię Episcopus quatuor & viginti anathematismos capitum ipsorum.

[a] Symeones Theodoreto atque Niceph.

[b] Letoius Ecclesiæ Melitinensis Episc. Theodoreto lib. IV. hist. cap. 10. Lætoius Niceph.

[c] ἐν τῇ μεγαλοπόλει Κωνσταντινουπόλει. Niceph. autem etiam (lo voce Μεγαλοπόλεως regiam κατ' ἐξοχὴν alicubi appellat lib. XII. cap. 13.

[d] Patriarcha accipio, quod Theodoreto sacrepit, atque ad Nestorium scripsisse legitur. Niceph. lib. XIV. cap. 54.

d Qui à Græcis Maurusij appellantur, eos Romani & indigenæ Mauros vocant. Strabo lib. 17.

e Sisaurorum vrbem sup. nominat Procop. lib. 2. videtur.

f Niceph. lib. XIIX. cap. 18.

g Varamus hic est Niceph. lib. XIIX. cap. 19.

h Niceph. lib. XIIX. cap. 19.

i Cuius & sup. meminit lib. 2.

k Qui antea Prætorio præfectus. Latine dictus. vt lege Pet. Fabri Semest. lib. 2. c. 2. & duo sqq.

l Niceph. lib. XIIX. c. 19.

κὸν πάλιν στρατηγόν. ἡ δὲ στρατιὰ καὶ πρὸς αὐτὸν ἐστασίαζε. καὶ πολιορκεῖται μὲν Κωνσταντῖνα ὑπὸ Περσῶν, ῥύεται δὲ τῶν κινδύνων, ἐπιστάντος αὐτῇ Γερμανοῦ. καὶ πόλεμος Πέρσαις καὶ Ῥωμαίοις κατὰ τὴν Μαρτυρόπολιν γίνεται. καὶ νικῶσι Ῥωμαῖοι λαμπρῶς, ἅτε τοῦ Περσῶν στρατηγοῦ Μαρούζα καὶ τρισχιλίων πεσόντων, χιλίων δὲ ζωγρηθέντων. καὶ διαλλάσσεται πρὸς τὸν αὐτοκράτορα δι' Ἀριστοβούλου τὸ στρατόπεδον· γίνεταί τε κατὰ τὸ φρούριον Γιλιγέρδων τῶν δεσμωτῶν Ῥωμαίων ἀριστεία. καὶ Γρηγόριος ὁ Ἀντιοχείας ἀρχιερεὺς, Φιλιππικὸν διὰ πρεσβείας ἀποκαθίστησι τῷ στρατεύματι. ἁλίσκεται δὲ ὑπὸ Περσῶν ἡ Μαρτυρόπολις * διὰ Σίττα δόλῳ, καὶ ἀποχειροτονεῖται Φιλιππικὸς, καὶ Κομεντίολος ἀντ' αὐτοῦ τὸν Περσικὸν ὑπὸ τοῦ αὐτοκράτορος πιστεύεται πόλεμον. οἱ δὲ Γέται, ἤτοι Σκλάβοι, τὰ περὶ τὴν Θρᾴκην ἐλυμαίνοντο: ἡ Ῥώμη δὲ πρὸς τοὺς * Λογιβάρδους ἀνθωπλίζετο: καὶ Λιβύη τῶν Μαυρουσίων περιεγίνετο. Κομεντιόλου δὲ στρατηγοῦντος, συμπλέκονται περὶ τὸ Σισάρβανον, πλησίον Νισίβεως, Πέρσαι καὶ Ῥωμαῖοι. καὶ νικῶσι κατὰ κράτος Ῥωμαῖοι, Ἡρακλείου περιφανῶς ἐνδοκιμοῦντος τῷ δόρατι. πίπτει γὰρ καὶ αὐτὸς ὁ τῶν Περσῶν στρατηγὸς Φραάτης, καὶ σκυλεύεται τὸ πολέμιον. ἔτι δὲ διαλαμβάνει, ὅπως ὁ Βαρὰμ Τούρκους καταπολεμήσας καὶ πολὺν πλοῦτον Ὁρμίσδᾳ τῷ βασιλεῖ ἐκεῖθεν χορηγήσας, ἦρε τὴν μάχαιραν καὶ κατὰ Σουανίας. Ῥωμαῖοι δὲ, Ῥωμανοῦ στρατηγοῦντος, συμπλέκονται Βαρὰμ καὶ τοῖς ὑπ' αὐτὸν στρατοῖς, καὶ κατὰ κράτος νικῶσι. καὶ ὡς διὰ τὴν ἧτταν Ὁρμίσδας τὸν Βαρὰμ ἐπονειδίζων, γυναικείαν ἔστελλεν ἐσθῆτα: ὁ δὲ ἀνθύβριζε, θυγατέρα Χοσρόου, ἀλλ' οὐχ υἱὸν Ὁρμίσδαν, τοῖς γράμμασιν ἐπιγραφόμενος. ἐν ᾧ καὶ Ἀρμένιοι ὑποθήκαις Σαββατίου (καὶ) τὸν μὲν σφῶν στρατηγὸν Ἰωάννην ἀναιροῦσι: προσχωρεῖν δὲ Πέρσαις ἐγχειροῦσι. Κομεντίολος δὲ σταλεὶς ὑπὸ τοῦ βασιλέως: τήν τε στάσιν κατευνάζει, καὶ * Συμβάτιον εἰς Βυζάντιον ἄγει. ὁ δὲ θηρίοις βορὰ γενέσθαι καταδικάζεται, φιλανθρωπίᾳ δὲ βασιλικῇ τοῦ θανάτου ἀπολύεται. Ὁρμίσδας δὲ Σαράμην κατὰ Βαρὰμ ἀποστέλλει: Βαρὰμ δὲ μάχῃ νικήσας Σαράμην, ἐλεφάντων βορὰν ἐποιήσατο, καὶ ἀναφανδὸν κατὰ Ὁρμίσδα παρατάσσεται. ὁ δὲ Βαρὰμ ἐπὶ τοσοῦτον δόξης ἦν κεχωρηκὼς [πρὶν ἢ μελετῆσαι τὰ τῆς ἀποστασίας] ὡς μετά γε βασιλέα μηδένα τῶν πάντων μείζονα δόξαν ἔχειν αὐτοῦ. ἦν γὰρ κουροπαλάτου Ῥωμαῖοι καλοῦσι, ταύτης ἀπήλαυε τῆς τιμῆς. ἐμπεριέχεται δὲ τῷ λόγῳ καὶ ἀναδρομὴ τῶν συγκυρησάντων περὶ τοὺς πρεσβυτέρους χρόνους: καὶ σύντομος ἀφήγησις τῶν κεκινημένων ἐπὶ τῆς βασιλείας Ἰουστίνου καὶ Τιβερίου τῶν αὐτοκρατόρων: καὶ περὶ τῆς ὠμότητος Ὁρμίσδου τοῦ Περσῶν βασιλέως: καὶ τῆς Περσικῆς γενεαρχίας ἀφήγησις. ταῦτα μὲν καὶ ὁ γʹ.

Ὁ δὲ τέταρτος διαλαμβάνει, ὅπως τε Πέρσαις ὁ ἐμφύλιος ἐκρατύνετο πόλεμος· καὶ ὅσα * συνεχώρησε κατὰ τυραννίδα Βαρὰμ τρόπαιά τε καὶ εὐτυχήματα: καὶ ἡ τοῦ Φερεχάνου ἀναίρεσις: καὶ ἡ Ζαδέσπρα προσχώρησις: ὅπως τε ὑπὸ Βινδόη καθαιρεῖται τῆς βασιλείας Ὁρμίσδας: ὅπως τε ᾔτησε, δέσμιος ὤν, δημηγορῆσαι· καὶ ὡς δημηγορεῖ, ὅπως τε Βινδόης δημηγορεῖ, καὶ κατασφάζεται ἐνώπιον Ὁρμίσδα ὁ

παῖς δ

* ἄλ. διὰ Σίττα

Gr. e. Sclaui

* λογγιβάρδοι.

* ἴσ. Σαββάτιον

* ἄλ. συνέβησαν

τομῆς· καὶ τὸ μὲν δέχεται ἡ βασιλίς· καὶ τυφλοῦται καὶ αὐτὸς Ὁρμίσδας. ὅπως τε ὕστερον ὑπὸ τοῦ παιδὸς Χοσρόου, ὃν ἐστήσαντο Πέρσαι βασιλέα, ῥοπάλοις ἀναιρεῖται. ἐπικράτησίς τε τῆς τυραννίδος Βαράμ· καὶ φυγὴ Χοσρόου τοῦ Περσῶν βασιλέως, ὅπως τε ἐπὶ τὸ Κιρκήσιον ὁ Περσῶν βασιλεὺς παραγίνεται, προσχωρήσας Μαυρικίῳ τῷ αὐτοκράτορι. ὅπως τε διαπρεσβεύεται πρὸς αὐτόν. περὶ Βαρὰμ δὲ πάλιν, ὅπως τε χαριζόμενος ὑπ' αὐτῶν ἀναῤῥηθῆναι βασιλεύς, καὶ μὴ τυχὼν, ἑαυτὸν ἀνηγόρευσε βασιλέα. ὅπως ὁ βασιλεὺς Χοσρόην ἐπὶ τὴν ἱερὰν πόλιν μετάγει, βασίλειον αὐτῷ θεραπείαν συστησάμενος· καὶ περὶ τῶν * συγχωρησάντων Βαρὰμ καὶ Χοσρόῃ περὶ τῆς ῥωμαϊκῆς συμμαχίας. καὶ ὡς διαπρεσβευσάμενος Βαρὰμ πρὸς τὸν αὐτοκράτορα Μαυρίκιον, ἀποπέμπεται. διαπρεσβεύεται δὲ πάλιν Χοσρόης καὶ τυγχάνει. ὅπως ὁ βασιλεὺς τὸν τῆς μελιτινῆς ἱερέα, ἅμα (τῷ) Γρηγορίῳ τῷ ἀντιοχείας ἀρχιερεῖ, πρὸς Χοσρόην ἐξέπεμψε περὶ τῆς δολοφονίας Βαρὰμ, ἣν Ζαμέρδης καὶ Ζωανάμβης συνεσκευάσαντο· καὶ περὶ τοῦ φόνου τῶν εἰς τοῦτο συμπραξάντων. περὶ Βινδόου τοῦ πέρσου, καὶ ὅπως δραπετεύει Περσίδα, τῷ κατὰ Βαρὰμ ἐπιβουλῆς κοινωνὸς γεγονώς. ὅπως ἡ Μαρτυρόπολις ὑπὸ Χοσρόου ἀποδίδοται ῥωμαίοις· καὶ περὶ τοῦ Σίττα διὰ πυρὸς ἀναιρέσεως. καὶ ἑορταστικὴ τοῦ ἐπισκόπου μελιτινῆς, Δομετιανὸς ὄνομα αὐτῷ, ἐπὶ τῇ ἀναλήψει τοῦ ἄστεος: (ἐν οἷς καὶ ὁ δ'. λόγος.)

Ὁ δὲ πέμπτος διέξεισιν, ὅπως Χοσρόης ὁ Περσῶν βασιλεὺς, ἀπορίᾳ τῆς ψυχῆς καταξυχόμενος, ἐπρέσβευε τὸν ἐν μάρτυσι Σέργιον, ὃν καὶ τὰ λοιπὰ βάρβαρα πρεσβεύουσιν ἔθνη, λύσιν τῶν δυσχημάτων εὑρεῖν· καὶ ὡς σταυρῷ χρυσῷ λιθοκολλήτῳ ἐτίμησεν· ἐνθένδε τε Ζαδέσπρας διὰ Ῥοσᾶ δολοφονεῖται Βλησχάνης ὑποθήκαις, καὶ τἄλλα θυμήρη Χοσρόῃ συναιτία. περὶ τοῦ ἐκδανεισθέντος χρυσίου Χοσρόῃ τῷ Περσῶν βασιλεῖ ὑπὸ Μαυρικίου τοῦ αὐτοκράτορος· καὶ ὡς χειρογραφεῖ Χοσρόης τὸ δάνεισμα. πρεσβεία τε Χοσρόου, ἐφ' ᾧ ἀποστῆναι Κομεντίολον τῆς ἡγεμονίας, καὶ χειροτονία Ναρσοῦ, ἀντὶ Κομεντιόλου· καὶ συμμαχία ῥωμαίων κατὰ τοῦ τυράννου Βαράμ. καὶ περὶ τῶν βασιλικῶν δώρων, τῶν σταλέντων Χοσρόῃ ὑπὸ τοῦ αὐτοκράτορος· καὶ ὅπως τὰς κλεῖς τῶν Δαρᾶς ὁ Χοσρόης διὰ τῆς πρέσβεως Δόλβα παραδίδωκε τῷ βασιλεῖ. δημηγορία τοῦ Δομετιανοῦ μελιτινῆς, προτρέπουσα τὸ ῥωμαϊκὸν συμμαχεῖν Χοσρόῃ κατὰ Βαράμ· καὶ περὶ τῶν * συγχυρησάντων εὐτυχημάτων πρὸ τῆς συμπλοκῆς ῥωμαίων τε καὶ Περσῶν Χοσρόῃ. καὶ ὅπως οἱ βασιλικοὶ θησαυροὶ, τά τε περσικὰ βασίλεια ἀποκαθίσταται Χοσρόῃ διὰ Βινδόου. ἕνωσις τῶν ῥωμαϊκῶν δυνάμεων ἀρμενίας τε καὶ τῆς ἑῴας, καὶ μάχη κατὰ Βαράμ· καὶ νίκη ῥωμαίων περιφανεστάτη. ἐν ᾗ μάχῃ Ναρσοῦ στρατηγοῦντος, καὶ τοῦρκοι συνελήφθησαν, οἳ ἐπὶ τῶν μετώπων τὸν τύπον ἔφερον τοῦ σταυροῦ, ὃ ἐπέθεντο (ὡς ἐκεῖνοι διηγοῦνται) εἰς ἀπαλλαγὴν πάλαι ἐπενεγκούσης αὐτοῖς λοιμικῆς νόσου. τὰ κατὰ τὴν Γολινδοὺχ ἐν Περσίδι γεγονότα, καὶ οἷον ἐκείνη βίον ἀσκητικὸν ἠγωνίσατο. ἐπανάλθοις τε Χοσρόου εἰς τὰ οἰκεῖα βασίλεια. καὶ περὶ τῶν σταλέντων δώρων παρὰ Χοσρόου Σεργίῳ τῷ μάρτυρι. πρεσβεία τε τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν ἅγιον, ὥστε ἐκ τῆς Ἱερὴμ παιδοποιήσασθαι. Χριστιανὴ δὲ ἐτύγχανεν αὕτη,

* al. συγχωρησάντων.

* al. συγχυρησάντων.

lius, Regina quoq; a in partes dissecta: ipse excæcatus Hormisdas: postetiam à Chosroë filio suo, quem Persæ regem sibi constituerant, fustibus necatus est. Tyrannidis Barami potentia; & Chosroë Persarum Regis fuga, vtque ad Circesium delatus, ad Mauricium Imperatorem tendens, legationem ad eum miserit. Rursum de Baramo, vti dum astu ageret, vt rex ab illis crearetur, nec voti fieret compos, regem se ipse pronunciarit. Quomodo Cæsar Hierapolim deduxerit Chosroën, addita etiam b familia rege digna. De iis, quæ gesta Chosroën inter, & Baramum, antequam cum Romanis fœdus fieret: vtque ad Mauricium Imp. legatione missa, Baramus repulsam tulerit, Chosroës contra impetrarit. De legatione c Domitiani Meletinæ Episcopi, & Gregorij præsulis Antiochiæ, ab Imperatore ad Chosroën missa. De nece Baramo per fraudem à Zamerda, & Zoanamba, parata, eorúmque cæde, qui rei conscij fuissent. De Bindoë homine Persa, vtque è Perside fugerit, quod percussorum Barami socius esset; De Martyropoli à Chosroë Romanis reddita, déque Sitta d flammis exusto. Oratio item e solennis publicè de recepta vrbe habita à Domitiano Melitinensium præsule.

QVINTVS LIBER continet, vt animi dubius, & æger Chosroës Persarum rex, beatum Sergium martyrem veneratus sit, quem & Barbaræ nationes honore afficere consueuissent, quo malorum liberationem reperiant. a vtque Cruce aurea, margaritis distincta, eum honorarit: indéque Zadespræ fraudulenta per Rhosam cædes, consilio Bleschanis, aliaque, quæ ex animi sententia Chosroæ obuenerint. De auri pecunia mutua Chosroæ Persarum regi à Mauricio Imper. data, eiusdémque Regis chirographo acceptæ pecuniæ. Legatio item Chosroæ vt Comentiolo exercitus præfectura adimeretur. b Narsen ergò Comentiolus successorem habuit; fœderatúmque Romanorum aduersus Baram tyrannum bellum. De regiis Chosroæ ab Imperatore missis muneribus; vtque claues vrbis Daras ille per Dolbam Legatum Cæsari remiserit. Oratio Domitiani Melitinæ Episcopi, qua hortatur Romanos, vt belli societatem fœdúsque ineant cum Chosroë contra Baram, quæ item ante congressum ac prælium Romanorum cum Persis felicia Chosroi secundáque euenerint, vtque thesauros regios cum regia ipsa Persica Chosroës receperit per Bindoen. Coniunctio Romanarum copiarum cum ex Armenia, tum ex Oriente. Pugna cum Baramo, victoriáque valde memoranda Romanorum. Quo in prælio, Narsis ductu, capti & Turci, c qui tum in fronte Crucis signum gestabant, quod sibi impresserant, vt ipsimet narrabant, depellendæ sic olim luis pestilentis causa. Quæ item in Perside à d Golinduch acta, quamque illa e vitam monasticam egerit austerè. Chosroæ in pristinam regiam postliminij reditus, quæque dona Sergio martyri miserit. Ad eundem sanctum virum legatio eiusdem, vt ex Hierem, quæ religione Christiana erat, liberos susciperet,

THEOPH. SIMOCAT.

a Vi & Rexane apud Ctesifontem in Persia infr.

b Cum multis muneribus regiis, inquit Nicephor. lib. XIIX. c. 20.

c Mauritij cognati Nicepho ibidem.

d In crucem actum Sitam refert Niceph. lib. XIIX. c. 20. & prius etiam lapidibus obrutum Euagr. lib. VI cap. 13.

e ἑορταστική.

a Niceph. lib. XIIX. c. 11. & lib. XVII. cap. 17.

b Niceph. lib. XIIX. cap. 20.

c Narrat eadem Niceph. XIIX. cap. 20.

d Lege vitam apud Niceph. lib. XIIX. cap. 25. à quo tamen nonnihil recedit Gr. Menolog. 11. Iul.

e Βίον ἀσκητικόν.

THEOPH. SIMOCAT.

& quomodo voti compos redditus, dona iterum egregia templo eius martyris dedicarit. Chosroës tyrannidis consortes, atque adeo Bindoën ipsum, vt qui in Regem manum armarat, mortis pœna vindicauit. [a] De iis quæ prænunciauit Chosroes, fore, vt Romani tyrannide pressi tumultuarentur. Legatio Probi Chalcedonensis præfecti: & de imagine Deiparæ Virginis, quæque in ea legatione acciderint. [b] Imperatoris ad Anchialum Europæ vrbem profectio, & quod ei in [c] sue oblatum portentum; vtque domum ad palatium reuertit, cum Persica legatio, cui Zalamban præerat, iam aduenisset.

a Niceph. lib. XIIX. cap. 27.

b Niceph. ibid. cap. 28.

c Georg. Cedren. eandem hoc portentum meminit. An ergo κυνὶ forte in hoc loco pro ὑὶ legas.

Libro Sexto hæc insunt: Vti exeuntem ex Vrbe Augustum, marina tempestas exceperit: [a] vtque ad Heracleam, dum ibi commoratur, monstrosus partus natus: infans manibus, & oculis carens, adhæc & superciliis ac palpebris, ad femur piscis cauda appendente: & quomodo sublatum hoc monstrum. De tribus illis Sclauis, citharas importantibus, qui ex Oceani partibus ad Chaganum missi ferebantur, & à Mauricio Imperatore spectati sunt. Legatio item Francorum ad Cæsarem, qua stipendio se illi militaturos polliciti, repulsam tulerunt. Bossus, & Bettus legationem hanc à Theodoricho missi obibant. De grege ceruorum; vtque ingens quidam telo ictus in syluam se contulerit: insequente vero hastifero, & altero item [b] Gepæde, vt hic illum ob aurea ornamenta ex insidiis interfecerit, & longo post interuallo cædis reus deprehensus, flammis sit traditus.

a Niceph. lib. XIIX. c. 35.

b ἐπὶ Γηπαίδος infra Gepades populi nominantur, ab hoc autore vt & Suid. Γηπαίδες, scribit Etymol. οἱ λεγόμενοι Λεγγίβαρδοι, ὅσοι Γηπαίδες, οἱ Γετῶν παῖδες & recentior quidam Græcus οἱ Οὔγγροι ἐλέγοντο τὸ παλαιὸν Γήπαιδες.

Abarorum contra Romanos expeditio, vrbisque Singidonis obsidium. [c] Vti Priscus belli dux delectus, & militiæ Europææ præfectus sit. Vt Chaganus Driziperam delatus beati Alexandri martyris templum obsederit: & quomodo Tzurulo oppido inclusos Romanos Chaganus cinxerit: vtque Mauricius astu deceptum Barbarum ab obsidione auerterit. Missa ab Abaris ad Romanos legatio, & quæ Ardagastus ab exercitu Romano acceperit incommoda, præterea quæ sub Tatimero acta. Alexandri Tribuni militum fortitudo, Romanorúmque res fortiter gestæ, & Sclauorum interitus, horúmque vicissim in Romanos impetus. [d] De monstris ad regiam vrbem natis, infantes, vnus biceps, alter quadrupes. Vti Prisco imperium fuerit abrogatum, [e] quod partem prædæ è Sclauis abductæ Chagano donasset, vtique pro illi Petrus Europæo bello dux præficiatur. De Theodoro item legato ad Chaganum à Prisco ire iusso, & de eius doctrina, atque rerum gerendarum dexteritate.

c Niceph. hoc eadem lib. XIIX. c. 28.

d Niceph. lib. XIIX. c. 35.

e Niceph. eod. cap. 39.

Libro Septimo agitur de turbatis Romanorum ordinibus, eorundémque rebus fortiter gestis contra Sclauos, siue Getas: hoc enim nomine antiquitus appellati sunt. De iis quæ [a] in ignobili quodam Thraciæ oppido Petro & incolis ciderunt: Vtque Sclauorum Præfectus Piragastus sit interfectus.

a ὡ ἀσήμῳ τῇ Θρακικῇ πόλει.

ἐπιτυχία τε τῆς αἰτήσεως: καὶ δῶρα πολυτελῶν ἀποστολὴ παρ' αὐτοῦ εἰς τὸν νεὼν τοῦ μάρτυρος. ὅπως τε Χοσρόης τοὺς κεκοινωνηκότας τῇ τυραννίδι, καὶ Βινδόην αὐτὸν, ὡς κατὰ βασιλέως χεῖρας ἄραντα, θανάτῳ διώλεσε. περὶ τῶν προαγορευθέντων ὑπὸ Χοσρόου, καὶ ὡς στασιάσει τὰ ῥωμαίων πράγματα τυραννοῖς δουλεύοντα. πρεσβεία τε Πρόβου, τοῦ * χαλκηδόνος προέδρου. καὶ περὶ τῆς εἰκόνος τῆς θεομήτορος: καὶ ὅσα κατὰ τὴν πρεσβείαν ἀπήντησε. (καὶ) ἐκδημίαν τοῦ αὐτοκράτορος ἐπὶ τὴν τῆς εὐρώπης ἀγχίαλον: καὶ περὶ τοῦ συναντήσαντος αὐτῷ ἐν ὑὶ φάσματος. ὅπως τε ὑπέστρεψεν εἰς τὰ βασίλεια ὁ αὐτοκράτωρ, πρεσβείας περσικῆς ἐπιστάτης, διὰ ζαλαμβαν. (ἐν οἷς καὶ ὁ πέμπτος λόγος.)

* χαλχηδόνος.

Ὁ δὲ ἕκτος λόγος περιέχει, ὅπως ἀπὸ τῆς πόλεως ἐξιόντι τῷ βασιλεῖ ἐνέσκηψε κλύδων θαλάττιος. ὅπως τε περὶ ἡράκλειαν, ἐκεῖσε τοῦ βασιλέως διατρίβοντος, τέρας ἐγεννήθη, παιδίον, μήτε χεῖρας, μήτε ὄμματα ἔχον, μήτε ὀφρῦς, μήτε βλέφαρα· πρὸς δὲ τῷ ἰσχίῳ ἰχθύος οὐρὰ ἀπεκρέματο: καὶ ὅπως τὸ τέρας ἀνῄρητο. περὶ τῶν τριῶν σκλαβηνῶν, τῶν κιθάρας ἐπιφερομένων, οἳ ἐκ τῶν μερῶν τοῦ ὠκεανοῦ ἐλέγοντο πρὸς τὸν Χαγάνον ἀπεστάλθαι. οἳ καὶ ἐνεφανίσθησαν Μαυρικίῳ τῷ βασιλεῖ. πρεσβεία τε * φράγκων πρὸς τὸν βασιλέα, ἐφ' ᾧ συμμαχεῖν ἐπὶ δώροις: καὶ ἀποστροφὴ τῆς αἰτήσεως. Βόσσος, καὶ Βέττος οἱ πρέσβεις: ὁ δὲ ἀποστείλας, ὄνομα τι Θεοδώριχος. περὶ τῆς ἀγέλης τῶν ἐλάφων: καὶ ὅπως ἡ μείζων βάλλεται, καὶ εἰς λόχμην τινὰ φεύγει. καὶ ὡς ἐπιδιώκεται ὑπό τινος * δορυφόρου, καὶ ἑτέρου τινὸς γήπαιδος. ὅπως τε ὁ δορυφόρος διὰ τὰ περὶ αὐτὸν χρύσεα δολοφονεῖται: καὶ ὡς χρόνῳ μακρῷ ὕστερον ὁ γήπαις, δολοφονήσας φωραθεὶς, πυρὶ παραδίδοται. στρατεία Ἀβάρων κατὰ ῥωμαίων: καὶ πολιορκία Σιγγιδόνος τῆς πόλεως. χειροτονία τε Πρίσκου τοῦ στρατηγοῦ: καὶ ὅπως τοῦ κατὰ τὴν εὐρώπην πολέμου τοῦτον προεστήσατο. καὶ ὅπως ὁ χαγάνος εἰς Δριζιπέραν γενόμενος, τὸν νεὼν Ἀλεξάνδρου τοῦ μάρτυρος ἐπολιόρκησε. καὶ ὅπως ἐν Τζουρουλῷ τῇ πόλει ῥωμαῖοι συγκλεισθέντες, ὑπὸ τοῦ χαγάνου πολιορκοῦνται. ὅπως τε δόλῳ φενακίζει τὸν βάρβαρον ὁ Μαυρίκιος, καὶ τῆς πολιορκίας ἀπάγει. πρεσβεία τε Ἀβάρων πρὸς ῥωμαίους, καὶ ὅσα τῷ Ἀρδαγάστῳ ἐκ τῆς ῥωμαίων ἀπήντησε δυνάμεως: ἔτι δὲ καὶ τὰ κατὰ τὸν Ταtίμηρον. ἀνδραγαθία τε τοῦ ῥωμαίων ταξιάρχου Ἀλεξάνδρου: καὶ ἀνδραγαθία ῥωμαίων, καὶ σκλαβηνῶν ἀναίρεσις. ἔφοδός τε σκλαβηνῶν κατὰ ῥωμαίων. περὶ τῶν τεχθέντων τεράτων πρὸ τοῦ ἄστεος τῆς βασιλίδος: ὧν τὸ μὲν ἦν τετράπουν παιδίον, τὸ δὲ δικόρυφον. ὅπως Πρίσκος ἀποχειροτονεῖται στρατηγὸς τῆς κατὰ τὴν εὐρώπην μάχης: καὶ περὶ Θεοδώρου τοῦ πρέσβεως, σταλέντος πρὸς τὸν χαγάνον ὑπὸ τοῦ Πρίσκου, τῆς τε περὶ αὐτὸν παιδείας καὶ δεξιότητος. (ἐν οἷς καὶ ὁ ἕκτος λόγος.)

Partus monstrosus.

* al. φράγγων.

* τῶν δορυφόρων.

Partus monstrosi.

Ὁ δὲ ἕβδομος λόγος διαλαμβάνει περὶ τῆς γεγενημένης ἀταξίας ταῖς ῥωμαίων δυνάμεσιν: ἀριστείαν τε ῥωμαίων κατὰ Σκλαβηνῶν, ἤτοι γετῶν, γέται γὰρ τὸ παλαιὸν ἐκαλοῦντο. καὶ περὶ τῶν ἐν ἀσήμῳ τῇ Θρακικῇ πόλει Πέτρῳ τε καὶ τοῖς πολίταις συμβεβηκότων. καὶ ὡς Πειράγαστος ὁ τῆς τῶν σκλαβηνῶν δυνάμεως φύλαρχος ἀνῄρηται. καὶ ἀνδρα-

καὶ ἀνδραγαθία ῥωμαίων. περὶ τῆς ἀνυδρίας τῆς περικυκλωθείσης ταῖς ῥωμαίων δυνάμεσι. καὶ ὅπως τοῦ Πέτρου καταπολεμηθέντος ὑπὸ τῶν σκλαβηνῶν, Πρίσκος αὖθις γίνεται στρατηγός. Θάνατος Ἰωάννου τοῦ νηστευτοῦ Κωνσταντινουπόλεως, καὶ περὶ τῶν * ἐκδανεισθέντων αὐτῷ χρημάτων ὑπὸ Μαυρικίου, καὶ περὶ τοῦ ἐν τῇ ὁμολογίᾳ * χειρογραφήματος. καὶ ὅπως διὰ τιμῆς ἦγεν ὁ φιλευσεβὴς ὡς ἀληθῶς αὐτοκράτωρ τὰ εὑρεθέντα τοῦ ἀρχιερέως μετὰ θάνατον ῥάκια. περὶ τῆς Μαυρουσίων τῶν * συστραφέντων κατὰ Καρχηδόνος τῆς πόλεως: καὶ ὅπως τῇ τοῦ Γενναδίου τόλμῃ ὁ πόλεμος ἔσβετο: καὶ περὶ τοῦ κομήτου τοῦ φανέντος ἐπὶ ἡμέρας πολλάς. περὶ τοῦ ἐμφυλίου πολέμου τοῦ γενομένου τοῖς τούρκοις: καὶ ἐν ἐκθέσει, τὰ περὶ τῆς τῶν τούρκων πολιτείας. καὶ ὡς τὸν ἐθνάρχην τῶν * ἐφθαλιτῶν ὁ χαγάνος τῶν τούρκων ἀνελὼν, τὸ ἔθνος ἐδουλώσατο. ἔτι δὲ καὶ τοὺς Ἀγὰρ τὸ ἔθνος, καὶ δὴ καὶ τοὺς κόλχους, ἄχρι τριακοντα μυριάδων διέφθειρεν. ἀλλὰ καὶ τὸν ἐπαναστάντα, αὐτῷ Τοῦρον ἀνελὼν, ἐπινίκιον ἐπιστολὴν Μαυρικίῳ τῷ αὐτοκράτορι ἔστειλεν. ἐδουλώσατο δὲ καὶ Ἀβάρους. διέξεισι δὲ καὶ περὶ τῶν κατὰ τὴν Ταύγας ἐθνῶν, καὶ περὶ τοῦ * Νουκεὶ, ἐν οἷς οἱ ἄβαρες ἡττηθέντες διεσπάρησαν. καὶ περὶ τῶν Οὐὰρ καὶ Χουνὶ τῶν ἐθνῶν. ἐξ ὧν ἐπὶ Ἰουστινιανοῦ ἀπόμοιρα τῶν δὲ τῶν ἐθνῶν ἐνδημεῖ τῇ Εὐρώπῃ: οἳ καὶ ἀβάρους ἑαυτοὺς ἐπεφήμισαν. καὶ ὡς ἡ τούρκων χώρα σεισμοῦ καὶ λοιμοῦ * ἀπείρατος. περί τε τοῦ χρυσοῦ λεγομένου ὄρους, καὶ περὶ τῆς Ταύγας· περί τε τῶν σκωλήκων τῶν τικτόντων τὴν ἐσθῆτα τὴν σηρικήν: καὶ ὡς πολλή ἐστι περὶ τὴν λεγομένην Χουβδὰν ἡ τῆς μετάξης γένεσις, καὶ τὰ περὶ αὐτὴν νόμιμα. καὶ περὶ τῶν ἰνδῶν, τῶν λευκῶν τὸ σῶμα. διάλεξις πρὸς τὸν Πρίσκον Χαγάνου, περὶ ἀνδραποδισμοῦ τῶν Σιγηδόνος: καὶ ἀντιλογία Πρίσκου πρὸς αὐτόν: καὶ ὅπως ὁ Πρίσκος Σιγηδόνα σώζει τὴν πόλιν. ὅσα τε κατὰ δαλματίας οἱ βάρβαροι διεπράξαντο, καὶ πόλεις ἐπόρθησαν. ὅπως τε ὁ Γουνδόης, παρὰ Πρίσκου σταλεὶς κατὰ τῶν ἐν δαλματίᾳ βαρβάρων, ἠρίστευσεν· ὅτι τῷ ἐννεακαιδεκάτῳ ἔτει τῆς βασιλείας Μαυρικίου προαγορεύει μοναχός τις τὸν αὐτοῦ θάνατον, καὶ τῶν τέκνων. ξίφος γὰρ γυμνώσας, ἀπὸ τοῦ φόρου μέχρι τῶν προαυλίων τῶν ἀνακτόρων διαδραμὼν, αὐτόν τε Μαυρίκιον καὶ τὰ τέκνα ξίφει τεθνάναι προηγόρευσεν. ἀλλὰ καὶ Ἡρωδιανός τις τῷ βασιλεῖ διεῖπε τὰ συμβησόμενα, περὶ τοῦ συμβάντος λοιμοῦ τοῖς στρατεύμασι, καὶ ὡς ὁ Χαγάνος παραδόξῳ φιλανθρωπίᾳ πενθημέρους σπονδὰς τοῖς λιμώττουσιν ἔθετο, ὡς ἂν ὁ ἐπισιτισμὸς ἀπὸ τῶν βαρβάρων τοῖς ῥωμαίοις ἀδεὴς ἔσοιτο. καὶ ὡς δωρήμασιν ὑπὸ Πρίσκου φιλοτιμηθεὶς, ἐπὶ τὰ κατὰ μυσίαν ἐχώρησεν. ὡς συνῆψεν ὁ χαγάνος περὶ τὴν μυσίαν πρὸς Κομεντίολον μάχην: ἐπιβουλῇ δὲ Κομεντιόλου διαφθείρεται ὑπὸ τῶν βαρβάρων τὸ ῥωμαϊκὸν, καὶ φεύγει Κομεντίολος· καὶ πρὸς Δριζίπεραν τὴν πόλιν παραγίνεται καὶ ἀποπέμπεται τῆς πόλεως, ὡς φυγάς, καὶ πρὸς τὰ μακρὰ παραγίνεται τείχη. οἱ δὲ βάρβαροι κατόπιν ἰόντες, πορθοῦσι τὰ Δριζίπερα αἱροῦσι, καὶ τὸν ἀλεξάνδρου τοῦ μάρτυρος ἐμπρήσαντες ναὸν καὶ τὸ σῶμα τῆς θήκης ἐκσύραντες, ὑβρίζουσιν. θεία δὲ δίκη μετῆλθε τοὺς ὑβριστὰς τοῦ μάρτυρος.

De militum Romanorum virtute, licet aquarum ingenti penuria premerentur. Petro à Sclauis pugna superato, Priscus iterum belli Imperator delectus est. Obitus [a] Ioannis cognomento *Ieiunatoris* patriarchæ Constantinopolitani: deque mutuò à Mauricio Imperatore accepta pecunia, datóque æris accepti confessique chirographo: quantoque in pretio verè pius Augustus ille relictas à Præsule post mortem [b] pannosas vestes habuerit. De Maurusiorum aduersus Carthaginem expeditione, vtque Gennadij fortitudine bellum illud extinctum sit. De Cometa, qui dies complures visus est. De intestino apud Turcos, & ciuili bello: Accessit de eorundem Republic. narratio, vt [c] Turcorum Chaganus, Ephthalitarum principe interfecto, totam eam gentem subegerit: vt Agarenorum adhæc, & Colchorum gentem trecentarum millium strage cæciderit, vtque insurgentem aduersus se Turum interfecerit, quo nomine victoriæ nunciam epistolam Mauricio Imp. scripserit. Idem Abaros quoque sub iugum victos misit. [d] Refert & de gentibus, quæ Taugas incolunt, & de Nucri, in quas deuicti Abari dispersi sunt. Item de Var, & Chuni, quorum pars magna iam inde à Iustiniani temporibus, in Europa sedes habent, Abarósque sese nominarunt. Turcorum regionem terræ motui, ac pesti minimè obnoxiam. De monte qui Aureus sit dictus, ac de ipsa vrbe, Taugas. [e] De bombycibus, qui ex se vestes gignunt sericas, & quod [f] serici ingens gignatur ad Chubdam vrbem, quam appellant, copia, quæque in illis vermibus glomerandis fieri solita. De indis, qui candido sunt corpore. Disceptatio Chagani cum Prisco, de Singidonensibus in seruitutem abducendis, Priscique contraria sententia, vtque eam vrbem Priscus seruarit. Quæ per Dalmatiam Barbari gesserint quasque vrbes euerterint. Quomodo Gundoës à Prisco aduersus Barbaros in Dalmatiam missus, res fortiter gesserit.

[g] Vndeuicesimo imperij Mauricij anno Monachus quidam mortem illi, liberisque eius prædixit. Stricto enim gladio, à foro ad palatij vestibulum procurrens, Mauricium vnà cum liberis ferro occisum iri denunciat. [h] Quin & Herodianus quidam Imperatori euentura prænunciauit: famem scilicet illam, quæ post in castris orta. Vt incredibili Chaganus humanitate esurienti exercitui quinque dierum inducias concesserit, quibus absque metu Barbarorum, commeatus annonáque ferretur Romanis, vtque vicissim à Prisco [i] donis honoratus, in proxima Mysiæ loca discesserit. In Mysia Chaganus cum Comentiolo signis collatis conflixit, perfidiáque Comentioli Romanorũ exercitus, clade accepta, cæsus à Barbaris est, fuga interim dilapso Comentiolo: quem ad [k] Driziperam vrbem delectum ciues, vt transfugam repellunt: quare inde ad *Muros longos*, quos vocant, ille se recepit. Barbari porro pone insequentes Driziperam capiunt, [l] & Alexandri martyris templo incenso, corpus capsa extrahentes contumeliis afficiunt. Verũ diuina mox vltio martyris est violatores consecuta.

* al. ἐκδανεισθέντων.
* χειρογραφήματος.
* συστραφέντων.
* al. Ἀβδελῶν ὡς τῶν ἐφθαλιτῶν.
* al. Μουκρὶ.
* al. ἀπείρατος.

THEOPH. SIMOCAT.

[a] *Quarti huius nominis, de quo legendus Baron. Card. Tom. VII. & VIII.*

[b] *Niceph. lib. XIIX. cap. 34. lectulum addit ligneum. Hic non rectè à quibusdam cum Ioanne Eleemosynario Alexandrino confunditur. Minus etiam rectè pro sancto habitus à suis, teste D. Baron. VIII. Annal. ad an. Ch. 596. ex B. Gregorij Magni auctoritate.*

[c] *Niceph. lib. XIIX. cap. 30.*

[d] Nicephor. ibid.

[e] *De his etiam supra in Theophane Byzantio, & Procop. lib. 4. & Niceph. l. XIIX. cap. 30.*

[f] *τῆς μετάξης, Μέταξαν sericum esse crudum, nondum lotum, neque tinctum, sed αὐτοφυές, ex quo vestimenta serica conficiuntur docent Lexicographi. Vide Suidam voce Σῆρες & Συρικά.*

[g] Niceph. lib. XIIX. cap. 38.

[h] Niceph. ibid.

[i] *Lege δωρήμασι.*

[k] *Vide quæ notauimus sup. ad c. huius auct.*

[l] *Niceph. lib. 18. c. 38.*

THEOPH. SIMOCAT.

Septem enim Chagani filij vna die, inguinum morbo correpti, perierunt. Comentiolus in his turbis Constantinopoli hæret. Barbaris interim ad *Muros longos* propius accedentibus. Vnde tantus Constantinopolitanos terror inuasit, vt de Europa deserenda, & in Asiam transmittendo delibetarint. Legationem itaque extemplo Imperator per Harmatonam ad Chaganum mittendam censuit, splendidisque muneribus, & viginti millium auri pondo accessione, pacem ægrè redemit: dicente illo: *Iudicet Deus Chaganum inter, & Mauritium: Romanos item inter, ac Barbaros.* [a] De monstris humana forma in Nilo flumine visis: déque Nili incremento atque eluuione variæ discrepantésque sententiæ. Hic verò scriptor [b] Agatharcidæ Gnidio assentitur. Quotannis enim ille ait in Æthiopiæ locis magnos continentésque cœli imbres decidere ab æstiuo solstitio, ad vsque autumni æquinoctium. Non sine causa itaque angustius hyeme Nilum fluere, quod suas dumtaxat è fontibus suapte natura natas vehat vndas: at æstate, decurrentibus in Nilum ex Æthiopia imbribus, crescere nimium quantum, atque augeri. Et hæc quidem libro septimo.

a *Niceph. lib. 18. c. 36. De Nilo vide Herodotum, & Melam.*
b *Al. Agatharchida.*

OCTAVVS hæc ferè complectitur. Chosroën ob illorum Saracenorum, qui [c] Romanis parebant, incursiones, rumpere inducias conatum; Georgij tamen legatione persuasum, fœdus sartum tectum seruasse: [d] Georgium verò Cæsaris indignationem incurrisse, quòd Chosroës dixisset, se Georgij potissimum gratia, non Imperatoris Mauritij causa, ratam pacem fecisse. Vt Comentiolus proditionis reus actus, mox Romanorum sibi militum animos conciliarit; atque eam ob rem dux iterum exercitus ab Imperatore creatus sit. Romanorum pugna commemoratur & Abarorum, Prisco & Comentiolo ducibus: Comentiolo tamen nescio quid causante, & à pugna abstinente, Prisco verò copias ducente. Militum Romanorum fortitudo, & Abarorum cædes quatuor millium. Prœlium item alterum, eorundémque Abarorum millium nouem strages. Tertia pugna cum quidecim millium clade Abarorum. Quartum rursum prœlium illustrem Romanis victoriam concessit, cæsis ad internecionem Abarorum & [e] Gepædum triginta millibus. Quinta in pugna penes Romanos victoria quoque stetit: cæsi captique Abari, ac viui quidem in potestatem venere ad tria millia, cæterorum Barbarorum quatuor; aliorum ad hæc duo millia & ducenti, & [f] Sclauorum octo millia. Postea tamen Chaganus, decepto Mauritio Imperatore, viuos Abaros recepit. [g] De Comentioli præfracto mœrore; vtque eius temeritate Romanorum copiæ, quas ad Philippopolim proficisci iubebat, frigore sint extinctæ. Quomodo Petrus iterum belli dux totius Europæ, ab Imperatore creatus sit. [h] De nuptiis Theodosij filij Mauritij, & filiæ Germani. [i] Vrbem regiam fame ea tempestate laborasse; precésque in Ecclesia fundente Mauritio, plebem esse tumultuatam. De eius mansuetudine ac lenitate, militúmque ablegatione; vtque eodem sint die reuocati. Petrum ab Augusto missum, vt omni ope atq; opere Thracicas

c *Duplicis generis Saracenos alios Persis, Romanis alios subditos didicisti ex Procop. supra.*
d *Niceph. lib. 18. cap. 37.*
e *Vide sup. ad c. huius autoris.*
f Σκλαβηνῶν *lege.*
g *Niceph. lib. 18. c. 37.*
h *Niceph. lib. 18. c. 37.*
i *Niceph. lib. 18. c. 38.*

ἑπτὰ γὰρ παῖδες τοῦ Χαγάνου ἐν ἡμέρᾳ μιᾷ βουβῶσι περιληφθέντες, ἐτελεύτησαν. Κομεντίολος δὲ μετὰ τῶν θορύβων ἐνδημεῖ τῇ Κωνσταντινουπόλει. οἱ δὲ βάρβαροι τοῖς μακροῖς πλησιάζουσι τείχεσι. καὶ οἱ τοῦ Βυζαντίου ἐπὶ τοσοῦτον ἔδεισαν: ὡς (καὶ) καταλιπεῖν διενοοῦντο τὴν Εὐρώπην, καὶ πρὸς τὴν Ἀσίαν περαιωθῆναι διημελέτησαν. πρεσβεύεται δ' οὖν ὅμως ὁ βασιλεὺς πρὸς τὸν Χάγανον διὰ Ἁρματῶνος: καὶ δώροις λαμπροῖς καὶ προσθήκαις χρυσοῦ χιλιάδων εἴκοσι, πείθει μόλις τὴν εἰρήνην δέξασθαι, λέγοντα: Κρίναι ὁ Θεὸς ἀνὰ μέσον Χαγάνου καὶ Μαυρικίου, καὶ ἀνὰ μέσον ῥωμαίων καὶ * βαρβάρων. περὶ τῶν φανέντων ἀνθρωπομόρφων τεράτων ἐν τοῖς νειλῴοις ὕδασι, καὶ περὶ τῆς τοῦ Νείλου ἀναβάσεως δόξαι διάφοροι. ὁ δὲ συγγραφεὺς * ἀναρχίδου τοῦ Κνιδίου τῇ δόξῃ προστίθεται. φησὶ δὲ ὅτι ἀνὰ ἔτος ἕκαστον ἐν τοῖς κατὰ τὴν αἰθιοπίαν μεγάλους τε καὶ συνεχεῖς γίνεσθαι ὄμβρους, ἀπὸ θερινῶν τροπῶν, μέχρι τῆς ἰσημερίας τῆς ἐν τῷ μετοπώρῳ γινομένης καθ' ἕκαστον. εὐλόγως οὖν τὸν Νεῖλον ἐν μὲν τῷ χειμῶνι συστέλλεσθαι, κατὰ φύσιν ἔχοντα ῥύσιν ἀπὸ μόνων τῶν ἑαυτοῦ πηγῶν: κατὰ δὲ τὸ θέρος, διὰ τοὺς ἐκεῖθεν ἐκχεομένους εἰς αὐτὸν ὄμβρους, λαμβάνειν τὴν αὔξησιν. ταῦτα μὲν οὖν καὶ ὁ ἕβδομος.

* ἀβάρων
* ἀγαθαρχίδου.

Ὁ δὲ ὄγδοος λόγος διαλαμβάνει, ὅπως ὁ Χοσρόης διὰ τὰς ἐπιδρομὰς τῶν Σαρακηνῶν, τῶν ὑπὸ ῥωμαίοις ταττομένων, λύσαι τὰς σπονδὰς ἐνεχείρησε: Γεωργίου δὲ πρὸς αὐτὸν σταλέντος, αἱ σπονδαὶ μεμενήκασι· καὶ Γεώργιος ἀτιμάζεται, ὡς εἰπόντος Χοσρόου διὰ Γεώργιον αὐτοὺς τηρεῖν τὰς σπονδάς, ἀλλ' οὐ διὰ τὸν βασιλέα Μαυρίκιον. ὅπως τε Κομεντίολος προδοσίας κρίνεται: καὶ διαλλαγαὶ τῶν ῥωμαϊκῶν στρατευμάτων πρὸς αὐτόν. καὶ ὅπως αὖθις ὑπὸ τοῦ αὐτοκράτορος στρατηγὸς * στέλλεται. μάχη ῥωμαίων τε καὶ ἀβάρων, στρατηγοῦντος Πρίσκου καὶ Κομεντιόλου μὲν ἀπομάχου, διά τινας προφάσεις, ὄντος: Πρίσκου δὲ τῷ στρατοπέδῳ παρόντος. ἀριστεία ῥωμαίων καὶ ἀναίρεσις τῶν ἀβάρων, μέχρι τεσσάρων χιλιάδων. δευτέρα μάχη, καὶ ἀναίρεσις τῶν αὐτῶν, ἄχρι χιλιάδων θ'. τρίτη μάχη, καὶ ἔτι τῶν αὐτῶν ὄλεθρος, μέχρι πεντεκαίδεκα * χιλιάδων. τετάρτη μάχη, καὶ νίκη πάλιν ῥωμαίων λαμπρά, καὶ ἀναίρεσις * βαρβάρων ἅμα γηπαίδων χιλιάδων λ'. πέμπτη μάχη, καὶ νίκη ῥωμαίων: καὶ ἀναίρεσις ἀβάρων, καὶ ἅλωσις. τῶν μὲν ζωγρηθέντων ἀβάρων γ, ἄλλων δὲ βαρβάρων δ, καὶ ἑτέρων δισχιλίων τε καὶ διακοσίων. καὶ Σκλαβηνῶν χιλιάδων ὀκτώ. ἐξ ὧν ὁ Χαγάνος ἀπατήσας τὸν αὐτοκράτορα, τοὺς ζωγρηθέντας ἀβάρους ἀνέλαβε. περὶ τῆς Κομεντιόλου μελαγχολίας, καὶ ὅπως τῇ τούτου ἀβουλίᾳ πλῆθος ῥωμαίων πρὸς φιλίππου πόλιν ἀπαιρόμενον, τῷ κρύει διώλοντο. ὡς Πέτρος αὖθις στρατηγὸς τῆς εὐρώπης ὑπὸ τοῦ αὐτοκράτορος προχειρίζεται. περί τε τοῦ γάμου τοῦ παιδὸς Θεοδοσίου, τοῦ παιδὸς Μαυρικίου ἐπὶ τῇ θυγατρὶ Γερμανοῦ. καὶ περὶ τῆς ἐνδείας τῆς γινομένης τῇ βασιλίδι τῶν πόλεων: καὶ τῆς συμβάσης ἀταξίας τοῦ δήμου λιτανεύοντος τοῦ βασιλέως. καὶ περὶ τῆς μακροθυμίας αὐτοῦ, καὶ ἐξορίας τῶν στρατιωτῶν, καὶ μετονομάσεως ἐπανόδου. ὅπως Μαυρίκιος * ἔστελλε Πέτρον, παντὶ τρόπῳ τὰς θρακικὰς δυνάμεις

* συνίσταται
* al. μυριάδων
* al. ἀβάρων.
* ἐπίσωμα.

δυνάμεις εἰς τὸ ἀντιπέρας τοῦ Ἴστρου διαβιβάζειν. ὅπως τε θεία προσέπεσεν ὀμφὴ τῷ Πέτρῳ: καὶ ὅπως στάσις ταῖς ῥωμαϊκαῖς * εἰσῴκησε δυνάμεσι, καὶ τυραννὶς συνέστη κατὰ τοῦ αὐτοκράτορος, Φωκᾶ τοῦ τυράννου ὑπὸ τοῦ πλήθους ἀναῤῥηθέντος. ὅπως φεύγει Πέτρος, καὶ ὅπως ἡ στάσις διαγγέλλεται τῷ βασιλεῖ. καὶ ὅπως τὰ πρῶτα διὰ τῶν δημάρχων Σεργίου καὶ Κοσμᾶ πολυπραγμονεῖ τὸ πλῆθος τῶν δήμων. καὶ εὑρίσκονται πρασίνων μὲν αφ'. Ἐνέτων δὲ σ'. καὶ ὅπως τῆς * δημιουργικῆς φιλοτιμίας παρέσχετο. πρεσβεία τε τοῦ αὐτοκράτορος πρὸς τὰς στασιαζούσας δυνάμεις: καὶ ἀποστροφὴ τῆς πρεσβείας: ὅπως τε περιφρουρεῖ τὴν βασιλίδα τῶν πόλεων. πρεσβεία τε τῶν στρατευμάτων πρὸς Θεοδόσιον τὸν Μαυρικίου υἱὸν, ἀξιοῦσα ἢ αὐτὸν, ἢ τὸν πενθερὸν Γερμανὸν βασιλέα σφῶν ἀναῤῥηθῆναι. γνῶσις τε τούτων * εἰς Μαυρίκιον ἀφιγμένη: καὶ ὑπόνοια εἰς Γερμανὸν, ὡς αἴτιον τῆς τυραννίδος: καὶ ἀπειλὴ, καὶ μήνυσις τῆς βασιλικῆς ἀπειλῆς, διὰ τοῦ γαμβροῦ Θεοδοσίου: καὶ καταφυγὴ Γερμανοῦ πρὸς τὸν νεὼν τῆς θεομήτορος. τῶν Κύρου καὶ Στεφάνου τοῦ * ἡμιάῤῥενος, ὃς ἐπιτρόπους ἐτέτακτο τοῖς βασιλέως παισὶ, πρὸς Γερμανὸν * ἀποστολὴ εἰς τὸ ἐξελθεῖν αὐτὸν τοῦ ναοῦ: καὶ ἀπραξία: καὶ ἡ διὰ ῥάβδων μαστίγωσις Θεοδοσίου τοῦ παιδὸς, ὑπὸ τοῦ πατρὸς, ἕνεκα τῆς πρὸς τὸν πενθερὸν καταμηνύσεως. καὶ μεταφοίτησις Γερμανοῦ ἀπὸ τοῦ νεὼ τῆς θεομήτορος ἐπὶ τὴν ἁγίαν Σοφίαν. καὶ πάλιν πρόσκλησις ἐπὶ τὸ ἐξελθεῖν, καὶ ἀπείθεια, Ἀνδρέου τινὸς, συνεχῶς φοιτῶντος ταῖς λιτανείαις, τὴν ἔξοδον κεκωλυκότος. θόρυβοί τε καὶ ἐμπρησμὸς τῆς κατὰ τὴν πόλιν οἰκίας Κωνσταντίνου τοῦ πατρικίου, ὃν Λάρδυν ἐπεκάλει τὰ πλήθη. καὶ ἀπορία Μαυρικίου καὶ ἀπόδρασις. ὅπως, κλύδωνος γενομένου, ἐγκοπὴν πρὸς τὴν ἀπόδρασιν λαμβάνει. καὶ ἀποστολὴ Θεοδοσίου τοῦ παιδὸς πρὸς Χοσρόην: καὶ ὑποστροφὴ πάλιν ἀπὸ Νικαίας τῇ ἐπιδείξει τοῦ δακτυλίου, ὃ ἦν εἰς σύνθημα τῷ παιδὶ παρὰ τοῦ πατρὸς ποιηθέν. ὅπως τε πρὸς τὸν τύραννον οἱ τοῦ ἄστεος, ἐν οἷς καὶ ὁ Ἑβδομίτης, προσεχώρησαν. ὅπως τε Γερμανὸς κατασκευάζων ἑαυτῷ τὴν βασιλείαν, ἀποτυγχάνει τῶν πρασίνων, ἀπειπόντων τὴν ἀνάῤῥησιν, διὰ τὸ τῆς αἱρέσεως αὐτὸν εἶναι, ὡς ἐκεῖνοι ἔφασκον τῶν Ἐνέτων. εἶτα ἀναγόρευσις ἐν τῷ ναῷ τοῦ ἁγίου Ἰωάννου ἐν τῷ ἑβδόμῳ τοῦ Φωκᾶ. Κυριακὸς δὲ τηνικαῦτα τοὺς τῆς βασιλίδος ἀρχιερατικοὺς ἐγκεχείριστο νόμους. εἴσοδός τε Φωκᾶ πρὸς τὰ βασίλεια: καὶ ἀνάῤῥησις Λεοντίας τῆς γυναικὸς Φωκᾶ: καὶ περὶ τὴν τῶν τόπων στάσιν, τῶν δημάρχων ἔρις: καὶ ὠθισμὸς Κοσμᾶ τοῦ δημάρχου τῶν Ἐνέτων, ὑπὸ Ἀλεξάνδρου: καὶ μνήμη Μαυρικίου, ὡς οὐκ ἀπέθανε, καὶ διὰ τοῦτο τοῦ τυράννου πρὸς τὸν φόνον τοῦ βασιλέως * πάλιν ὁρμή. ἀναίρεσίς τε τῶν τοῦ βασιλέως παίδων ἐνώπιον τοῦ πατρὸς, ἐν τοῖς Εὐτροπίου: καὶ φιλοσοφία καὶ εὐχαριστία τοῦ βασιλέως: καὶ αὐτοῦ ἐκείνου διὰ Λιλίου ἀναίρεσις. καὶ περὶ τῆς ἐπὶ Ἡρακλείου τοῦ βασιλέως εὑρεθείσης διαθήκης Μαυρικίου τοῦ αὐτοκράτορος ἀνάγνωσις. ὅπως τε τὰ σώματα τῶν βασιλέων τῷ θαλαττίῳ ῥοθίῳ παρεδόθησαν. ἐπιτάφιός τε εἰς Μαυρίκιον: καὶ ὅπως τὰς ἀντιδόσεις τῶν παρανομηθέντων αὐταῖς εἰς Μαυρίκιον αἱ ῥωμαϊκαὶ δυνάμεις, χειρὸς προνοίας θείας, ἐλάμβανον. ὡς ἐν ὀλίγῳ χρόνῳ μηδένα τῶν κοινωνησάντων, τῆς τυραννίδος ἐκ τοσούτου πλήθους ὑπολειφθῆναι.

Marginalia (left): * al. [illegible] — * Reperitur. — * φασὶ. — * ἐπιχε. — * ἐπιτρόπ. — * μᾶλλον

copias ad oppositum Istri ripam [a] distineret: déque diuinitus [b] Petrum appellante voce. [c] Tumultuantem rursum in castris Romanorum, & contra Mauritium factio instituta, electo ab incondita multitudine Phoca. Petrus fuga interim salutem quærit, & seditionis ad imperatorem rumor defertur. Plebs autem à Sergio atque Cosma tribunis plebis primùm incitata, nouis studere rebus incipit; repertique Prasinorum ∞ 1ↄ. 1ↄ. Venetorum verò trecenti duntaxat. hinc plebeiis donatiua Mauritius præbuit. Sequitur ad tumultuantes milites eiusdem legatio, & legationis repulsa; vtque regiam vrbem præsidio munierit. Exercitus ad Theodosium Mauritij F. legatio, ipsum, aut socerum illius Germanum dari sibi Imperatorem postulans. Eius rei nuncius ad Mauritij aures accidit, indéque suspectio in Germanum, vt tyrannidis auctorem. Minæ, minarúmque Augusti in Germanum per Theodosium generum delatio:[d] & Germani in Deiparæ templum, vt in asylum fuga. Hinc Cyro, & Stephanus Eunuchus (qui Cæsaris liberis morum præfectus fuerat) ad Germanum missi, vt templo digrederetur; sed irrita legatio fuit. [e] Fustibus cæsus Theodosius à parente Mauritio, quòd socero suas minas indicasset. Germani è templo B. Virginis ad S. Sophiæ transitus, & iterata, vt inde digrediatur, hortatio; sed qua nihil persuadetur, Andrea quodam egressum dissuadente, dum precandi gratia templum frequentat. [f] Turbæ iterum, incendiúmque Vrbanæ domus Constantini Patricij, quem Lardyn vulgò cognominabant. [g] Mauritij æstuatio, ac fuga, vtque [h] exorta maris tempestas fugam ipsi intercideret. Theodosij filij ad Chosroën missio, reductióque Nicæa ex indicio annuli, quem filio parens Mauritius signi tesseræque loco tradiderat. Vrbanorum ad tyrannum, in quibus & Hebdomites erat, concursus. Imperium Germanus affectans voto excidit, Prasinis se cum creaturos Imperatorem negantibus; quod, vt ipsi affirmabant, factionis esset Venetorum.[i] Ergo Phocas deinde in templo B. Ioannis, quod est in Septimo, Imperator renunciatur, Cyriaco regiæ vrbis patriarcha, [k] Phocæ in regiam ingressus, & Leontiæ eius vxoris, vt Augustæ consalutatio. Tribunorum plebis ingens tum [l] de locorum statione contentio atque altercatio. Cosmæ partis Venetæ tribuni plebis ab Alexandro propulsatio, & iniecta mentio; nondum obiisse Mauritium. Quo factum, vt impetu quodam ad Imperatoris cædem tyrannus se proripuerit: Hinc cædes liberorum Augusti in parentis oculis ad [m] Eutropij. Animi sapientia Cæsaris, actis Deo gratiis; vtque à Lilio percussus obierit. Legitur & testamentum Mauritij Heraclio imperante inuentum. Quomodo regia corpora marinis cómissa fluctibus; & funebris in Mauritium laudatio; [n] vtque diuinæ iudicio prouidentię, Romani milites, eorum, quę in Mauritium flagitiosè patrarunt, pœnas dederint; quòd post non diu, cędis, tyrannidisque sociorum nemo, in tanta multitudine, superfuerit:

Marginalia (right): THEOPH. SIMOC.
a διαβιβάζειν.
b Niceph. Chronum ipsum ei fama apparuisse, Mauritiumque appellasse narrat.
c Niceph. lib. 18. c. 39.
d Niceph. lib. 18. c. 39.
e διὰ ῥάβδων.
f Niceph. lib. 18. c. 39.
g Niceph. lib. 18. c. 40.
h Podagræ quoque dolores Nicephor. adiungit.
i Niceph. ibid.
k Niceph. ibid.
l [illegible] XX.
m Subaudio Portum, qui erat Chalcedone ex Zonar. in vit. Phocæ.
n Niceph. lib. 18. cap. 42.

E

THEOPH. SIMOCAT.

peste enim alij, alij cœlesti igne, ferro cæteri ad vnum omnes perierunt: atque adeò Heraclius post paulò rerum potitus, cum Rasate Persa bellum gesturus, delectu habito, vix duos ex illis partium studiosis relictos reperit. Ac tum demum Romani Persis superiores esse cœperunt, qui dum illi nefarij superstites essent, à Persis victi semper discesserant. [a] Cædes à tyranno per Alexandrum intẽtata Theodosio, Augusti filio; Petro item, & Comentiolo; atque Constantino, Lardy cognomento. Falsus etiam rumor de Theodosio exortus est, quasi is tum non fuisset interfectus. [b] Quomodo Alexandriæ statuæ suis sedibus sponte motæ, quæ Byzantij accidissent, nunciarint Calligrapho cuidam (sic fortè appellato) [c] à cœna domum reuertenti. [d] Vt Mauritius tertiam vectigalium portionem subditis remisisse feratur: triginta quoque Byzantinis donasse talenta, reficiendis aquæductibus. Quo honore, præmióque disciplinarum studiosos publicè affecerit. Quæ in fluxu sanguinis Euphemiæ martyris admiranda acciderint: [e] vtque Mauritius, rei periculo facto, quòd initio non crediđisset, miraculum magis confirmarit. [f] Vti Phocas tyrannus Constantiam, Mauritij Augusti coniugem, cum filiabus, priuatæ domui inclusérit. Phocæ ad Chosroën Persarum regem missa legatio: sed irrita. [g] Ruptæ enim induciæ sunt, Chosroë prætexente, quòd Mauritium iustè vindicaret. Sic Lilius, qui legatus erat, re infecta domum retro reuertit. Cædes Alexandri rerum nouarum Phocæ socij, eo nomine suspecti, quasi Theodosium, Mauritij filium, quem occidit, seruasset. Atque hic vniuersæ finis historiæ.

a Niceph. lib. 18. c. 41.
b Niceph. ib.
c Ex matutina vigilia, inquit Dux.
d Niceph. lib. 18. c. 42.
e Niceph. lib. 18. c. 31.
f Niceph. lib. 18. c. 41.
g Niceph. lib. 18. c. 43.

ἀλλ' οἱ μὲν λοιμῷ, οἱ δὲ πυρὶ οὐρανίῳ, οἱ δὲ καὶ στόματι διεφθάρησαν μαχαίρας. ὥστε, ἡνίκα Ἡράκλειος ὁ βασιλεὺς πρὸς * Ῥαζάτην τὸν Πέρσην πολεμεῖν ἔγνω, ἐξέτασιν τῆς στρατείας ποιησάμενος, δύο μόνους εὗρεν ὑπολελειμμένους τοῦ φιλοτυράννου πλήθους. καὶ τότε ἤρξατο τὸ ῥωμαϊκὸν κατὰ Περσῶν ἐνισχύειν. μέχρι γὰρ αὖ ἐκεῖνοι περιῆσαν, ἡ νίκη τοῖς Πέρσαις ἐπηυλίζετο. ἀναίρεσις ὑπὸ τοῦ τυράννου διὰ Ἀλεξάνδρου, Θεοδοσίου τοῦ βασιλέως τοῦ αὐτοκράτορος παιδός· καὶ Πέτρου, καὶ Κομεντιόλου, καὶ Κωνσταντίνου τοῦ Λάρδυος· πλάνη τε περὶ Θεοδοσίου, ὡς οὐ πεφόνευται· καὶ ὅπως κατὰ Ἀλεξάνδρειαν τὰ ἀγάλματα τῆς οἰκείας ἕδρας ἀποφοιτῶντα * προηγόρευε τὰ γεγονότα καλλιγράφῳ τινί, κατὰ τὸ τυχαῖον οὕτω καλουμένῳ, ἀπὸ δείπνου πρὸς τὰ οἴκοι διερχομένῳ. ὅπως τε ὁ Μαυρίκιος λέγεται τρίτην μοῖραν τοῦ φόρου * συγχωρεῖν τοῖς ὑπηκόοις, καὶ τριάκοντα δὲ ἔτι τάλαντα τοῖς Βυζαντίοις εἰς νεουργίαν τῶν τοῦ ὕδατος ὁλκῶν. καὶ ὅπως ἐφιλοτιμεῖτο λαμπρῶς τοὺς τῶν μαθημάτων ἐραστάς. καὶ περὶ τῶν γεγονότων παραδόξων ἐν τῇ τῶν αἱμάτων ῥύσει Εὐφημίας τῆς μάρτυρος: καὶ ὡς Μαυρίκιος πειράσας, μᾶλλον τὸ θαῦμα δι' ἀπιστίας ἐπίστωσε. καὶ ὅπως ὁ τύραννος Κωνσταντίαν τὴν τοῦ βασιλέως Μαυρικίου γυναῖκα, ἅμα ταῖς θυγατράσιν, ἐν ἰδιωτικῇ οἰκίᾳ * ἐνέκλεισε. πρεσβεία τοῦ τυράννου πρὸς Χοσρόην τὸν Περσῶν βασιλέα, καὶ ἀποτυχία. κατάλυσίς τε τῶν σπονδῶν, προφασιζομένου Χοσρόου, τὴν * ὁσίαν ἐκδικεῖν Μαυρικίου: καὶ οὕτως ὁ Λίλιος, οὗτος γὰρ ὁ πρεσβεύων ἦν, ἄπεισιν ἄπρακτος. ἀναίρεσις Ἀλεξάνδρου τοῦ συννεωτερίσαντος τῷ Φωκᾷ δι' ὑπόνοιαν, ὅτι Θεοδόσιον τὸν Μαυρικίου παῖδα, ὃν ἀνεῖλε, περιεποιήσατο. ἐν οἷς καὶ τῆς ὅλης ἱστορίας τὸ πέρας.

* Ῥαζάτη.
* προηγόρευον.
* συγχωρῆσαι.
* al. ἔκλεισε.
* ὁσίας.

SCHOLION. Extant hi Theophilacti libri VIII. de vita Mauritij Imp. *Græcè compositi: quos nuperrimè Latinos fecit Augustæ Vindel. P. Iacobus Pontanus noster, de re litteraria pridem optimè meritus. Circumferuntur & hæc eiusdem Simocattæ, à nobis reperta.* Physica problemata, Legationum excerpta *ex libris illis historiarum: item* Epistolæ mixtæ. *ab Aldo maiore olim epistolarum Græcarum volumini insertæ. Meminit huius Sophistæ Suidas ac Cedrenus: & hinc Nicephorum Callistum pleraque vitæ Mauritij sublegisse obseruandò ad oram notaui.*

S. Nicephori Patriar. Constantinopolitani,

Historica Epitome.

LXVI.

Huius Chronologia Latinè excusa, exstat Græcè in Augustana Bibliotheca.

Lecta *Epitome historica* Nicephori *Constantinopolitanæ sedis Antistitis.* A Mauritij Imp. interitu ducit initium, tenditque ad Leonis, & Irenes coniugium. Nihil stylus habet superuacaneum, aut obscurum: verborum delectu, orationisque compositione neque nimis dissoluta, neque contra nimis astricta, anxiè est vsus; sed qualia adhibere possit rhetor quiuis, vel perfectus reuera orator. Vitat enim nouè ficta, neque antiquitate vsúque probata præterit. Iucunditas adhæc illi gratiam conciliat in dicendo. Denique, vt verbo expediam, plerosque, qui antecesserunt, historica scriptione transeundo obscurat, nisi quòd nimia breuitate non videatur omnes venustatis partes expleuisse.

ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ἀρχιεπισκόπου Κωνσταντινουπόλεως

ἱστορικὸν σύντομον.

ξε'. *Nicephori Patriarchæ C. P. epitome historica.*

Ἀνεγνώσθη ἱστορικὸν σύντομον Νικηφόρου τοῦ ἐν ἁγίοις Κωνσταντινουπόλεως ἀρχιερέως. ἄρχεται ἀπὸ τῆς ἀναιρέσεως Μαυρικίου, καὶ κάτεισι μέχρι τῆς εἰς γάμον κοινωνίας Λέοντος καὶ Εἰρήνης. ἔστι δὲ τὴν φράσιν ἀπέριττός τε καὶ σαφής: καλλιλεξίᾳ τε καὶ συνθήκῃ λόγου οὔτε λελυμένῃ, οὔτε αὖ πάλιν συμπεπιεσμένῃ περιέργως κεχρημένος: ἀλλ' οἵᾳ ἂν χρήσαιτο ὁ ῥητορικὸς ὡς ἀληθῶς καὶ τέλειος ἀνήρ. τό, τε γὰρ νεωτεροποιὸν * ἐκκλίνει, καὶ τὸ ἀρχαιότροπον καὶ ἐξησκημένον οὐ παρατρέχει. ἔτι δὲ καὶ ἡδονὴ κέκραται αὐτοῦ σὺν χάριτι τοῖς λόγοις. καὶ ὅλως πολλοὺς ὅσοι τῶν πρὸ αὐτοῦ ἀποκρυπτόμενος τῇδε τῆς ἱστορίας τῇ συγγραφῇ: εἰ μή που τὸ λίαν συνεσταλμένον οὐχ ὁλόκληρον δόξει διαπεραίνειν τὴν χάριν.

* ἐκλίνει.

Sergii Confessoris.

Historia.

LXVII.

a Ob defensum enim cultum sacrarum imaginum exercitatus, fortunis exutus, atque in exilij ærumnis mortuus est, vt docet Græcorum Menologium ad 13. Maij, idque sub Leonis Isaurici tyrannide.

Lecta est Sergii [a] Confessoris *historia.* Incipit à Michaëlis Imp. rebus gestis,

ΣΕΡΓΙΟΥ ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ

στηλιτευτικὸν τῶν εἰκονομάχων.

ξς'. *Sergii confessoris historia.*

Ἀνεγνώσθη Σεργίου τοῦ ὁμολογητοῦ. ἄρχεται ἀπὸ τῶν τοῦ Μιχαὴλ πράξεων,

καὶ ἀνα-

καὶ ἀνατρέχει ἐπὶ τὰ τοῦ Κοπρωνύμου ἀθέμιτα καὶ ἐβδελυγμένα ἔργα, καὶ κάτεισιν ἐκεῖθεν, ἐφεξῆς διεξιὼν, μέχρι τοῦ ὀγδόου ἔτους αὐτοῦ Μιχαήλ, τάς τε κατὰ τὴν πολιτείαν, τάς τε κατὰ τὴν ἐκκλησίαν ἀναγραφόμενος αὐτοῦ πράξεις. οὐ μὴν ἀλλὰ καὶ ἃ κατὰ πόλεμον αὐτῷ ξυνηνέχθη, καὶ οἷος ἐτύγχανε τὴν δόξαν περὶ τὰ θεῖα: πάντα λεπτομερῶς διεξιών. ἔστι δὲ τὴν φράσιν, εἴπερ τις, σαφηνείᾳ καὶ τῷ ἀπεριέργῳ κοσμούμενος: ἔν τε τῷ εὐσήμῳ τῶν λέξεων καὶ τῇ συνθήκῃ, καὶ τῇ ἄλλῃ τοῦ λόγου οἰκονομίᾳ· ὥς τε δοκεῖν ἐξ αὐτοσχεδίας πως αὐτῷ συγγεγράφθαι. ἐμφύτῳ γὰρ ὁ λόγος ἀνθεῖ χάριτι, τῆς ἐκ περιεργίας οὔ τι προσδεόμενος μόρφωσιν. διὸ καὶ πρέπων ὁ λόγος ἐκκλησιαστικῇ μάλιστα ἱστορίᾳ: ὃ ἐκβέβληται.

SERGII CONF.

recurritque ad impia & nefaria Copronymi facinora: à quibus porrò narrare ex ordine pergit ad octauum vsque Michaëlis annum, res ab eo partim in Republica, partim in Ecclesia gestas. Quin & quæ militiæ gessit, quidque de rebus diuinis senserit, accuratè recenset.

Dictio eius imprimis perspicua, & non affectatè exornata, cùm verborum significatu, atque compositione, tum cætera orationis dispositione; vt ex tempore fusus illi sermo quodammodo videatur. Oratio enim natiua venustate florida nullam formæ mutationem ex anxia nimis accuratione admisit. Qualis maximè dictio, quod & studio illi fuit, Ecclesiasticam historiam decet.

ΚΕΦΑΛΑΙΩΝΟΣ ΣΥΝΤΟΜΟΝ ἱστορικόν.

ξη΄. *Cephalaeonis historico compendium.*

ΑΝΕΓΝΩΣΘΗ Κεφαλαίωνος σύντομον ἱστορικόν. ἄρχεται ἀπὸ τῆς βασιλείας Νίνου καὶ Σεμιράμεως, καὶ κάτεισι μέχρι τῶν τοῦ βασιλέως Ἀλεξάνδρου χρόνων. συμπεραίνεται δὲ αὐτῷ ἡ ἱστορία ἐν λόγοις θ΄ κατ᾽ ἐπωνυμίαν τῶν θ΄ μουσῶν, Κλειοῦς, Θαλείας, Πολυμνείας, Μελπομένης, Τερψιχόρης, Εὐτέρπης, Καλλιόπης, Ἐρατοῦς, Οὐρανίας: ἐν ᾗ καὶ τὰ κατὰ Ἀλέξανδρον τὸν Μακεδόνα διέξεισιν. ἔστι δὲ τὴν φράσιν ἰωνίζων, καὶ τοῦ προσήκοντος πλέον τῇ συντομίᾳ ἀποχρώμενος. οὐδ᾽ ἄλλο οὐδὲν ἄξιον θαυμάσαι καὶ ζηλῶσαι ἐνδεικνύμενος, πλὴν τὴν κατὰ τὴν ἱστορίαν μαθήσεως. ἀλλὰ τὸ μὲν γένος αὐτοῦ καὶ πατρίδα, ὡς αὐτὸς ἐκεῖνός φησιν, ὥσπερ Ὅμηρος ἀποσιωπᾷ· ὅτι δὲ διατρίβων ἐν Σικελίᾳ φυγῆς ἕνεκα τὴν ἱστορίαν συνέταξεν, ἀποφαίνεται. τὸ μὲν ἀναγκαῖον πατρίδα εἰπεῖν καὶ γένος, παρείς: τὸ δὲ καὶ μικροψυχίας ἐμφαῖνον, ἐν μνήμῃ πεποιηκώς. καὶ τὸ ἐκ ποσῶνδε καὶ τόσων συνειλέχθαι αὐτῷ τὴν ἱστορίαν, σεμνύνεται: οὐ πάνυ ψυχῆς τὸ μικρολόγον τε καὶ τῆς μειρακιώδη φιλοτιμίας ἀποστεφομένης, ἀπόδειξις. φησὶ δ᾽ ὅμως τὴν πρῶτον τῆς ἱστορίας συνειλέχθαι μὲν ἐκ λόγων φό, ὧν πατέρας λ΄ καὶ α΄ ἀπομνημονεύει: τὴν δὲ δεύτερον ἐκ βιβλίων σή, συγγραφέων δὲ κέ. καὶ τὴν τρίτον δὲ ἐκ βιβλίων χ΄, συγγραφέων δὲ κϛ΄. τὴν μέν τοι τέταρτον ἐκ βιβλίων μὲν ων΄, συγγραφέων δὲ λϛ΄. καὶ τὴν πέμπτον ἐκ βιβλίων μὲν σ΄, συγγραφέων δὲ κϛ΄. τὴν δὲ ἕκτον, ἐκ βιβλίων μὲν . . . συγγραφέων δὲ . . . τὴν δὲ ἕβδομον, ἐκ βιβλίων μὲν . . . συγγραφέων δὲ . . . τὴν δὲ ὄγδοον, ἐκ βιβλίων μὲν . . . συγγραφέων δὲ . . . καὶ τὴν ἔννατον, ἐκ βιβλίων μὲν . . . συγγραφέων δὲ τριάκοντα. ἐν οἷς καὶ ἡ Κεφαλαίωνος ἱστορία.

CEPHALÆONIS MVSÆ, SIVE *Historica epitomes libri IX.*

LXVIII.

LECTA & [a] CEPHALÆONIS *historica epitome*: cuius arcessit initium à Nino, & Semiramide, pergitque ad Alexandri magni tempora. Libris nouem vniuersa comprehensa est historia, inditis totidem Musarum nominibus, Clius, Thaliæ, Polymniæ, Melpomenes, Terpsichoræ, Euterpes, Calliopes, [b] Eratus, & Vraniæ. quo in opere & Alexandri regis Macedonum gesta refert.

Ionica dialecto est vsus; tanta quoque citra decorum breuitate adhibita, vt præter nudam gestarum rerum narrationem, nihil mirandum, aut imitandum adferat. Genus & patriam, vt & ipse non inficiatur, Homeri exemplo, premit silentio. in Sicilia tamen exsilij causa degentem, historiam scripsisse apparet. Quod ergo necessarium erat, [c] patriam & genus profiteri id omisit, quod autem abiecti est animi indicium, [exsilium] memoriæ prodidit. Animi quoque nondum prorsus inanem, puerilemque gloriam repudiantis, magnum satis argumentum est, è quot quantisque scriptoribus historia collecta sit, iactare. Ait enim compositum librum primum è libris quingentis & septuaginta, quorum auctores vnum & triginta commemorat. Librum verò secundum è libris ducentis & octo, scriptorum XXV. Tertium è libris DC. scriptoribus verò sex & viginti. Quartum è XXXVI. scriptorum libris octingentis & quinquaginta. Quintum, è ducentis libris, quorum scriptores sex & viginti. [d] Sic de reliquis. Nonum è libris, . . . collectum affirmat, scriptoribus verò triginta. Atque hæc ferè Cephaleonis historia.

a Al. Cephalionis, vt infr. Cod. LXX. & Cod. CLXI. & apud Suid. qui Cephalonem quoque dictum scribit, ac de Cephalone etiã consentit Strabo lib. 13.

b Quo liber inf. aduocatur Cod. CLXI.

c Strabo libr. 13. in Troade Gergethium fuisse hunc Cephalonem docet vt & Suidas.

d Quatuor hic librorum calculus auctorum eorumdemque totidem perijt.

ΗΣΥΧΙΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ καθολικὴ ἱστορία.

ξθ΄. *Hesychius Illustris, Milesius.*

ΑΝΕΓΝΩΣΘΗ βιβλίον ἱστορικὸν ὡς ἐν συνόψει κοσμικῆς ἱστορίας. ὁ δὲ συγγραφεὺς Ἡσύχιος ὁ Ἰλλούστριος, Μιλήσιος μὲν ἐκ πατρίδος, παῖς δὲ Ἡσυχίου καὶ Σοφίας. καθ᾽ ὃ καὶ ἡ ἐπιγραφὴ τοῦ βιβλίου, μετ᾽ ἱστορίας ῥωμαϊκῆς τε καὶ παντοδαπῆς τυγχάνει. ἄρχεται μὲν οὖν ἀπὸ τῆς Βήλου τοῦ Ἀσυρίων

Belus.

βασιλέως βασιλείας, κάτεισι δὲ μέχρι τῆς τελευτῆς Ἀναστασίου, ὃς ῥωμαίων γέγονεν αὐτοκράτωρ.

HESYCHII ILLVSTRIS MILESII *Historia omnigena, atque Romana libri VI. & res à Iustino seniore Imp. gesta.*

XLIX.

LECTVS & *historicus liber*, (authore [a] HESYCHIO ILLVSTRI, patria Milesio, Hesychij & Sophiæ filio) qui veluti comprehensio quædam est totius de mundo historiæ, vt inde quoque titulus *Romana* simul, & *omnigena* HISTORIÆ inscriptionem præferat. Incipit à Belo Assyriorum rege, & in Anastasij Romanorum Imperatoris excessum desinit.

a De quo legendus Suidas. Extat Græcolatina huius epitoma Catalogi virorum doctrinæ laude clarorum, alphabeti serie typis Plantinianis edita.

HESYCH. ILL.

Concisus est, atque disertus. Nam & dictione vsus florida, ac significante; & ipsa orationis structura pari est ratione ab illo elaborata, dum verborum maximè gaudet proprietate. Sicubi verò dictionem significantem, etiam cum maxima emphasi, sectatur[a] ita sua translatione auditorem oblectat, vt nihilo obscurius, quin fortè clarius, rem ob oculos ponat, quàm si nulla figura vsus fuisset. Veritatis præterea se hic imprimis studiosum promittit.

Cæterum opus sex in partes diuisum. Primus liber, quæ bellum Troianum antecesserunt, refert. Secundus, ab Ilio capto ad Romam vsque conditam, gesta. Tertius, quæ ab vrbe condita sub Regibus acciderunt, donec consulibus Romæ creatis regnum esse desiit, commemorat, Olympiade circiter sexagesima octaua. Quartus, ex quo Consules Romæ præfuerunt, hoc est, à sexagesima octaua Olympiade vsque ad CLXXXII. cùm Consules, Iulio Cæsare solùm imperante, esse desierunt. Quinto libro ea narrantur, quæ à Iulij Cæsaris imperio vsque dum Byzantinæ vrbis gloria ac virtus ad summum perducta est, contigerunt; Olympiade CCLXXVII. inchoante. Sexto libro, ex quo Constantinum Constantinopolis magno suo bono nacta est Imperatorem, vsque ad Anastasij excessum gesta narrat, quem Cæsarem scriptor hic clementia, ac benignitate, [a] nescio quomodo, multis antecelluisse prędicat: cuius obitus in vndecimam incidit indictionem, Magno Consule sine collega. Temporum verò periodus, qua historia illa absoluitur, annorum est CIↃ. CXC.

a Fortasse ob Chrysargyron, tributi genus, sublatum, aliaque nonnulla memorabilia.

Legimus item eiusdem HESYCHII [b] alterum opus, Iustini Imperat. res gestas continens: quomodo Anastasio mortuo suffectus Iustinus, & huius vicissim imperium Iustinianus exceperit, aliáque annis aliquot sub eo gesta. Ne cætera scriptor memoriæ mandaret, reuocatus est morte Ioannis filij, quæ mentem hominis adeò perculit, vt commentandi scribendique conatum infregerit.

b Cuius nulla est apud Suidam mentio.

LXX.

DIODORI SICULI *Historiarum libri XL.*

LEGIMUS DIODORI SICULI *historiarum libros* [a] *quadraginta*, qui vniuersam quandam mundi continent historiam. Est Cephalione longè vberior, saltem cum eadem refert; vt & Hesychio illustri. Stylo vtitur perspicuo, nec affectato, sed qui historiam maximè deceat. neque etiam, vt sic dixerim, nimium Atticissat, aut antiquariu, est supra modum; neque contra ad humile dicendi genus se demittit: sed medioeri forma sermonis delectatur, figuratam orationem, aliáque vitans; nisi quod de gentium diis, & heroibus, poëtarum more, fabulatur. Ducit historiæ initium à Græcorum, Barbarorúmque fabulosis temporibus: pergitque ad inchoatum bellum, quod cum Gallis Romani gessêre: qua tempestate C. Iulius Cæsar (cui ob res gestas *Diui* cognomentum addidêre Romani) plurimas, maximéque bellicosas Gallorum nationes debellauit.

a Horum XV. duntaxat extant, cum paucis fragm. cum Iulo edit. Rhodomanni.

Triginta annos, vt de se fatetur, huic scribendæ historiæ impendit, variis interim regionibus discendi gratia peragratis, periculisque, vt fit, obitis, ac superatis.

ἔστι δὲ σύντομος καὶ καλλιεπής. λέξει τε γὰρ εὐανθηρᾷ καὶ εὐσήμῳ κέχρηται· καὶ ἡ συνθήκη τῆς λέξεως κατὰ λόγον αὐτῷ ἡρμοσμένη, κυριολογίᾳ μὲν μάλιστα χαίρων. εἰ δέ πῃ καὶ τροποῖτό τι τῶν εὐσήμων καὶ ἐμφατικωτάτων τῆς λέξεως· ἥδυνε μὲν τῇ τροπῇ τὸν ἀκροατὴν, οὐδὲν δὲ ἧττον, εἰ μὴ καὶ μᾶλλον[*] σαφῶς τὸ πρᾶγμα, ἢ εἰ μὴ ἐτέτραπτο, παρεστήσατο. ὑπισχνεῖται δὲ καὶ ἀληθείας εἶναι φροντιστής. διαιρεῖται δὲ αὐτῷ τὸ σύνταγμα εἰς τμήματα ἕξ. ὧν τὸ μὲν πρῶτον τμῆμα περιέχει τὰ πρὸ τῶν Τρωϊκῶν· τὸ δὲ δεύτερον, τὰ ἀπὸ Ἰλίου ἁλώσεως, ἕως τῆς κτίσεως Ῥώμης· τὸ δὲ τρίτον, τὰ ἀπὸ τῆς κτίσεως Ῥώμης, μέχρις ὅτου Ῥωμαίοις ἡ τῶν ὑπάτων εἰσήχθη ἡγεμονία, καταλύσασι τοὺς βασιλέας, κατὰ τὴν ὀγδόην καὶ ἑξηκοστὴν ὀλυμπιάδα. τὸ δὲ τέταρτον, ἐξ οὗπερ Ῥωμαίων ἡγήσαντο ὕπατοι· ἤτοι ἀπὸ τῆς ὀγδόης καὶ ἑξηκοστῆς ὀλυμπιάδος, μέχρι β΄. καὶ π΄. καὶ ρ΄. ὀλυμπιάδος. οὗ καὶ ἔληξεν ἡ τοιαύτη ἀρχὴ, Ἰουλίου τοῦ Καίσαρος μοναρχήσαντος. τὸ δὲ πέμπτον τμῆμα περιέχει τὰ ἀπὸ τῆς Ἰουλίου τοῦ Καίσαρος μοναρχίας, μέχρις ὅτου Βυζάντιον ἐπὶ μέγα δόξης ἰσχύος ἤρθη, ὀλυμπιάδος ἑβδόμης καὶ ο΄, καὶ διακοσιοστῆς ἱσταμένης. τὸ δὲ ἕκτον, ἐξ οὗ βασιλέα Κωνσταντινούπολις ηὐτύχησε Κωνσταντῖνον, μέχρι καὶ τῆς Ἀναστασίου τελευτῆς· ὃν φησὶν ὁ συγγραφεὺς πραότητί τε καὶ ἡμερότητι οὐκ οἶδ᾽ ὅπως πολλῶν ἀποσεμνύνει διενεγκεῖν. οὗ συνέπεσεν ἡ τελευτὴ κατὰ τὴν ἑνδεκάτην ἰνδικτιῶνα, Μάγνου μόνου ὑπατεύοντος. ἡ δὲ περιοχὴ τῶν χρόνων χιλίων καὶ ἐνενήκοντα καὶ ἑκατόν. ἐν οἷς καὶ ἡ συγγραφή. *al.* σαφῶς.

Iulius Cæsar.

ΑΝΕΓΝΩΣΘΗ δέ μοι καὶ ἑτέρα τοῦ αὐτοῦ βίβλος, ἐν ᾗ περιείχετο τά τε Ἰουστίνῳ πραχθέντα· ὅπως τε Ἀναστασίου τελευτήσαντος, αὐτὸς ἀνερρήθη. εἶτα καὶ τὴν Ἰουστινιανοῦ, τοῦ μετὰ Ἰουστῖνον, ὅσην ἀναρρησιν κατιδεῖν. καὶ τὰς ἄλλας πράξεις μέχρις ἐτῶν τινων τῆς αὐτοῦ βασιλείας. καὶ τὸ λοιπὸν ὁ συγγραφεὺς ἐπεσχέθη, θανάτῳ τοῦ παιδὸς Ἰωάννου τὴν ψυχὴν καιρίαν βληθεὶς, καὶ τῆς πρὸς τὸ γράφειν ὁρμῆς ἀνακοπείς.

ΔΙΟΔΩΡΟΥ ΣΙΚΕΛΙΩΤΟΥ ἱστορικόν.

ο΄.

Diodori Siculi historiarum libri XL.

ΑΝΕΓΝΩΣΘΗ βιβλίον Διοδώρου Σικελιώτου ἱστορικὸν ἐν λόγοις μ΄. οἰκουμενικὴν περιέχουσιν ἱστορίαν. ἔστι δὲ πολλῷ πλατύτερος τοῦ τε Κεφαλίωνος, ἐν οἷς τοὺς αὐτοὺς χρόνους συμβαίνει αὐτοῖς ἀναγράφειν· καὶ τοῦ Ἡσυχίου τοῦ Ἰλλουστρίου. κέχρηται δὲ φράσει σαφεῖ τε καὶ ἀκόμψῳ, καὶ ἱστορίᾳ μάλιστα πρεπούσῃ· καὶ μήτε τὰς, ὡς ἂν εἴποι τις, λίαν ὑπεραττικισμένας ἢ ἀρχαιοτρόπους διώκων συντάξεις, μήτε πρὸς τὴν[*] καθωμαλισμένην καὶ ὑπτίαν νεύων παντελῶς, ἀλλὰ τῷ μέσῳ τῶν λόγων χαρακτῆρι χαίρων. φεύγων τε τροπὰς καὶ τἆλλα· πλὴν τῶν παρ᾽ Ἕλλησι μυθολογουμένων θεῶν τε καὶ ἡρώων, ὅσα τὸ ποιητικὸν ἔθος νέμει. ἄρχεται μὲν οὖν τῆς ἱστορίας ἀπὸ τῶν μυθολογουμένων παρ᾽ Ἕλλησι καὶ βαρβάροις, ἑξῆς διιὼν μέχρι τῆς ἀρχῆς τοῦ συστάντος πολέμου Ῥωμαίοις τε καὶ Κελτοῖς· καθ᾽ ὃν χρόνον Γάϊος Ἰούλιος Καῖσαρ, ᾧ διὰ τὰς πράξεις θεὸν ἐπίκλην ἔθεντο Ῥωμαῖοι, κατεπολέμησε τὰ πλεῖστα καὶ μαχιμώτατα τῶν Κελτῶν ἔθνη. ἐν τριάκοντα δὲ ἔτεσιν, ὥς αὐτός φησι, περὶ ταύτην ἐπόνησε τὴν ἱστορίαν· τόπους τε πολλοὺς ἀμείβων χάριν πολυμαθίας, καὶ ταλαιπωρίαις, οἷα εἰκὸς, ἐντυγχάνων.

* al. καθωμαλισμένην.

Σικελιώτης

* al. Ἀγύρ. Σικελιώτης δὲ ὤν, ἐξ Ἀγυρίου τὸ γένος ἦγε, καὶ διὰ τὴν ἐπιμιξίαν τῶν Ῥωμαίων, πολλὴν ἐμπειρίαν τῆς Ῥωμαίων εἰληφὼς διαλέκτου, πάσας τὰς ἡγεμονικὰς αὐτῆς πράξεις καὶ πάθη ἀκριβῶς ἀνελάβετο. Ἐν μʹ δὲ βιβλίοις τῆς ὅλης συμπεραινόμενος πραγματείας· ἐν μὲν ϛʹ ταῖς πρώταις, τὰς πρὸ τῶν Τρωϊκῶν πράξεις τε καὶ μυθολογίας ἐκτίθεται· ἐν δὲ ταῖς ἐφεξῆς ιαʹ τὰς ἀπὸ τῶν Τρωϊκῶν κοινὰς πράξεις εὑρήσεις ἀναγεγραμμένας, ἕως τῆς τελευτῆς Ἀλεξάνδρου τοῦ Μακεδόνων βασιλέως· ἐν δὲ τοῖς ὑπολοίποις κγʹ βιβλίοις, αἱ λοιπαὶ τυγχάνουσι πράξεις ἀναγεγραμμέναι, μέχρις ὅτε Ῥωμαίοις πρὸς Κελτοὺς ὁ πόλεμος συνερράγη· καθ' ὃν ἡγούμενος Γάϊος Ἰούλιος Καῖσαρ, ἐκράτησε μὲν τῶν πλείστων καὶ μαχίμων παρὰ Κελτοῖς ἐθνῶν τῷ πολέμῳ· προεβίβασε δὲ τὴν ἡγεμονίαν τῆς Ῥώμης, μέχρι τῶν Βρεττανικῶν νήσων, ἐν οἷς καὶ ἡ ἱστορία τελευτᾷ. DIOD. SIC.

Siculus verò fuit, Agyrio [vrbe] genus repetens; qui longo Romanorum vsu ac familiaritate, & linguam callsuit, & præcipuas quasque res ab ea gente feliciter infeliciterve gestas, accuratè collegit.

Libris quadraginta historiam complexus est vniuersam: quorum sex prioribus, quæ ante Troiani belli tempora acciderunt, fabulosaque commemorat: Vndecim verò insequentibus, quæ à capto Ilio vbique gentium acciderunt, litteris consignata reperies, vsque ad Alexandri Magni obitum. Reliquis tribus & viginti libris, quæ deinceps euenerunt, memoriæ prodita leges; dum exortum est Romanorum cum Gallis bellum, ductu Iulij Cæsaris gestum; qui plerasque & fortissimas eorum gentes debellauit, Romanúmque pronexit imperium in Britanniam vsque: in qua expeditione historia desinit.

ΚΑΣΣΙΑΝΟΥ ΚΟΚΚΙΑΝΟΥ Η κοκκίου Δίωνος ἱστορικοὶ λόγοι πʹ.

οαʹ. Dionis Coccij historia.

Ἀνεγνώσθη βιβλίον Κασσιανοῦ Κοκκιανοῦ ἢ Κοκκίου Δίωνος, ἐν λόγοις πʹ. Ἄρχεται μὲν ἀπὸ τῆς Αἰνείου ἐπὶ τὴν Ἰταλίαν ἐκ Τροίας καθόδου, καὶ τῆς κτίσεως Ἄλβα πόλεως, καὶ Ῥώμης· διέρχεται δὲ καθεξῆς ἀποπαυόμενος εἰς τὴν τοῦ Ἀντωνίνου, ὃν Ἐλαγάβαλον ἀπεκάλουν, σφαγήν. Τοῦτον δὲ καὶ Τιβερῖνον καὶ Σαρδανάπαλον, καὶ Ψευδαντωνῖνον, καὶ Ἀσσύριον, ἀπὸ τῶν αὐτοῦ πραττομένων, ἐπωνόμαζον. Οὐ μόνον δέ· ἀλλὰ καὶ εἰς τὴν ἀρχὴν κάτεισιν Ἀλεξάνδρου· ὃς Ἀντωνίνου σφαγέντος (σὺν αὐτῷ γὰρ τὸ κράτος εἶχεν) ἀναληφθεὶς ὑπ' αὐτοῦ, μόνος τὸν ὑπ' αὐτοῦ μελετηθέντα κίνδυνον φυγών, τὴν βασιλείαν ἐκδέχεται. Τοῦτον, φησί, τὸν Ἀλέξανδρον καὶ συνυπατεῦσαι αὐτῷ ὁ συγγραφεὺς τὸ [βιβλίον] δεύτερον· καὶ τὸ ὑπὲρ τῆς ἀρχῆς κατὰ τὸ προσῆκον ἀνάλωμα, φιλοτιμίᾳ τῇ ἐς τὸν συνύπατον, αὐτὸν τὸν αὐτοκράτορα ἀναλῶσαι. Ἐπεὶ δὲ ὁ συγγραφεὺς, Περγάμου μὲν καὶ Σμύρνης * Μακρῖνος αὐτῷ τὴν ἀρχὴν ὁ αὐτοκράτωρ ἐγχειρίζει, ἐπεστάτησεν· ἔπειτα τῆς Ἀφρικῆς ἡγεμόνευσεν. Εἶτα Παννονίας ἦρξε. Καὶ ὑπατεύσας τὸ δεύτερον, ὡς ἐρρήθη, οἴκαδε ἀπῆρε, παρῃτημένος ἐπὶ τῇ τῶν ποδῶν ἀρρωστίᾳ. Ἐκεῖ τὸ λοιπόν, ὡς καὶ τὸ δαιμόνιον αὐτῷ φησὶ προειπεῖν, ἐν Βιθυνίᾳ διατρίβειν, βιωσόμενος

* [illegible]

* [illegible]

Ἐκ τ' ἀνδροκτασίης, ἔκ θ' αἵματος, ἔκ τε κυδοιμοῦ.

Ἔχει δὲ πατρίδα τὴν ἐν Βιθυνίᾳ Νίκαιαν, ἣν κατὰ μέρη ἡ καλουμένη λίμνη Ἀσκανία περιλιμνάζει. Ἔστι δὲ τὴν φράσιν μεγαλοπρεπής τε καὶ ἐς ὄγκον διεσκευασμένος, ὅτι καὶ μεγάλων ἔργων ἐννοίας ἀπαγγέλλει. Ἀρχαϊκῶν τε αὐτῷ συντάξεων ὁ λόγος μεστός· καὶ λέξεων πρεπουσῶν μεγέθει, περίοδοί τε μετὰ παρενθέσεων παρατεταμέναι· καὶ ὑπερβατῶν εὔκαιρος χρῆσις. Ῥυθμός τε καὶ ἀνάπαυσις εἰς ἐπιμέλειαν ἠσκημένα, διὰ τὸ σαφὲς οὐκ ἔστι τοῖς ἁπλῶς ἀναγινώσκουσιν ἐμφανῆ. Ἐν δέ γε ταῖς ἱστορίαις καὶ δημηγορίαις καὶ μιμητὴς ἄριστος Θουκυδίδου· πλὴν εἴ τι πρὸς τὸ σαφέστερον ἀφορᾷ. Σχεδὸν δὲ κἀν τοῖς ἄλλοις Θουκυδίδης ἐστὶν αὐτῷ ὁ κανών.

DIONIS CASSII *Historiarum libri LXXX.* LXXI.

LEGIMUS DIONIS CASSIANI *Cocciani* seu *Coccij historiarum libros* [a] *octoginta*: Hic inchoando ab Ænea in Italiam aduentu, & Alba vrbe, ac Roma condita, tendit continenter, finiens in Antonini, eius qui [b] *Elagabalus* est cognominatus, cædem: quem & *Tiberinum, & Sardanapalum, & Pseudantoninum*, atque *Assyrium*, à flagitiis nominarunt. Quin & ad Alexandri principatum peruenit; qui percusso Antonino quîcum imperarat, ab illo in societatem adscitus solus, periculum sibi comparatum effugiendo, sceptra susceperat. Hunc Alexandrum consulatum iterum secum gessisse scriptor refert, sumptúsque, quos in [c] magistratus administrationem Dionem impendisse oportuit, Imperatorem ipsum, collegam nimis honorandi cupidum, contulisse. Idem quoque historicus à Macrino Imperatore Pergamo ac Smyrnæ præfectus, post in Africa dux fuit. Pannoniam hinc administrauit; Consulque iterum, vt dictum est, creatus, reuertit domum pedibus iam æger, vitæ reliquum ibi (quod in Bithynia agenti Genius ille, vt ait, prædixerat) victurus.

a De quibus XXV. modò exstant, & vicesimam XLV. excerpta per Ioannem Xiphilinum.

b Herodianus Elagabalus, Eutrop. Heliogabalus. Vide quæ notata in Indice Lat. ad Dion. &c. in Germanica Græci & Lat. editis in fol.

c Sic & Honorius Aug. sumptus Constantij collegæ tolerauit ex Heraclîani bonis, apud Olympiodorum, infr. Cod. LXXX.

Ἐκ τ' ἀνδροκτασίης, ἔκ θ' αἵματος, ἔκ τε κυδοιμοῦ.
Extra hominum cædem, sine sanguine, & absque tumultu. d Iliad. Λ. v. 164.

Patria illi Nicæa Bithyniæ: quam ex parte palus, *Ascania* dicta, circumluit. Grandis eius sermo, & tumidus, eò quòd rerum ingentium sensa afferat. Veteris item ipsi constructionis sermo plenus, verborúmque, quæ rerum magnitudini respondeant. Periodi parenthesibus traiectæ, & hyperbatorum opportunus vsus. [e] Numeri porrò, & intercisio, etsi accuratè adhibita, ob orationis tamen perspicuitatem, obiter legentibus non sunt manifesta. In narrationibus præterea & concionibus, Thucydidis maximè est æmulus; nisi quòd ad perspicuitatem magis tendit: cætera ferè Thucydides illi norma est, ac regula.

e ῥυθμὸς καὶ ἀνάπαυσις.

ΚΤΗΣΙΟΥ ΤΟΥ ΚΝΙΔΙΟΥ ΤΑ ΠΕΡΣΙΚΑ.

οβʹ. Ctesiæ Cnidii Persica.

Ἀνεγνώσθη βιβλίον Κτησίου τοῦ Κνιδίου τὰ Περσικά, ἐν βιβλίοις κγʹ. Ἀλλ' ἐν μὲν

CTESIÆ CNIDII *Persicarum rerum libri XXIII.* LXXII.

LEGI CTESIÆ CNIDII *Persica*, in libros distributa tres supra viginti. Attamen

CTESIÆ PERSICA.

prioribus sex libris Assyriorum res, & quæcunque Persicum imperium antecesserunt, complexus, nonnisi a septimo deinceps res Persicas narrare pergit. Ipso itaque septimo libro, octauo item ac nono, decimo, vndecimo, & duodecimo, ad tertium vsque decimum, quæ ad Cyrum, & Cambysen, ac [a] Magum illum, itemque ad Darium & Xerxem pertinent, descripsit; in omnibus propemodum [b] Herodoto aduersatus, quem (vt posterior illo scripsit) mendacem in multis, & fabularum confictorem facit. De se verò prædicat, eorum quæ scribit maiorem partem coram vidisse; cætera, quæ videre non licuerit, ab ipsismet Persis accepisse, atque ita ad historiam scribendam accessisse. At non ab Herodoti tantummodo historia discedit, sed ab ipso etiam Xenophonte Grylli F. alicubi dissentit. Floruit illius Cyri temporibus, qui [c] Dario & Parisatide genitus, frater fuit [d] Artaxerxis, eius ad quem Persicum regnum deuenit.

Mox ergo refert de [e] Astyage, quem & Astyigan vocat, nulla Cyrum [f] ipsi generis propinquitate iunctum fuisse. Fugisse autem Astyigan à Cyri conspectu in Ecbatana, ibique in ipsis regiarum ædium [g] crisferanis ab [h] Amyti filia, & eius viro Spitama occultatum, latuisse. at superuenientem Cyrum: non è Spitama solùm, atque Amyti, sed ex eorum quoque liberis Spitace & Megaberne, quæstiones de Astyiga per tormenta exerceri imperasse. Ipsum igitur Astyigan, vt nè pueri nepotes eius causa torquerentur, sese prodidisse, captúmque grauibus ab Oebara compedibus oneratum fuisse. Solutum tamen non ita multo post ab ipso Cyro, parentísque loco habitum, obseruatumq; quin & Astyigæ ipsius filiam Amytin, pro matre primùm in honore à Cyro habitam, eidémque tandem nupsisse; post virum eius Spitamam interfectum, propterea quòd dum quæreretur Astyigas, ignorare se illum mentitus fuisset. Hæc de Cyro Ctesias, ab iis diuersa quæ Herodotus commemorat.

Addit aduersus Bactrios Cyrum bellum gessisse, & æquo Marte cum ipsis prælium commisisse. Bactrios dein, intellecto Astyigã, Cyro patrẽ factum, Amytin verò matrẽ atq; vxorem vltrò sese lubẽtésque Amyti ac Cyro dedidisse.

Narrat item Cyrum bellum [i] Sacis intulisse, regémque ipsorum Amorgén, Sparethræ reginæ maritum cœpisse. Hanc ergo marito capto, exercitum collegisse, atque aduersus Cyrum bellum suscepisse, eductísque in aciem virorum trecentis, mulierum ducentis millibus, Cyrum superasse, & viuum cum aliis plurimis, Parmysen Amytis fratrem, ac ternos eius liberos, cepisse. Horum autem causa postea Amorgen liberum dimissum, quòd ipsi prius omnes liberati fuissent.

Scribit æquè Cyrum, Amorgæ adiutum ope Crœsum, atque Sardeis vrbem, bello petiuisse. Quomodo etiam Oebaræ consilio [k] lignea Persarum simulacra per muros exhibita, & incolis terrorem incusserint, & vrbis capiendæ causam dederint. Quo item pacto ante captam vrbem, pro obside Crœsi filius datus fuerit, cùm Crœsus ipse antea diuino quodam spectro deceptus fuisset. Rursus quomodo, dolos nectente Crœso, in parentis oculi [obses] filius sit interfectus; vtque mater illij cædem intuita, è muro sese præcipitem egerit.

τοῖς πρώτοις ἓξ τά τε Ἀσσύρια διαλαμβάνει, καὶ ὅσα πρὸ τῶν Περσικῶν, ἀπὸ μέντοι τοῦ ζ, τὰ Περσικὰ διεξέρχεται. καὶ ἐν μὲν τῷ ζ, καὶ η, καὶ θ, καὶ ι, καὶ ια, καὶ ιβ, καὶ ιγ. διέξεισι τὰ περὶ Κύρου καὶ Καμβύσου, καὶ τοῦ Μάγου, Δαρείου τε καὶ τοῦ Ξέρξου· σχεδὸν ἐν ἅπασιν ἀντικείμενα Ἡροδότῳ ἱστορῶν. ἀλλὰ καὶ ψεύστην αὐτὸν ἀπελέγχων ἐν πολλοῖς, καὶ λογοποιὸν * ἀποκαλῶν. καὶ γὰρ νεώτερος μέν ἐστιν αὐτοῦ. φησὶ δὲ αὐτὸν τῶν πλειόνων, ἃ ἱστορεῖ, αὐτόπτην γενόμενον, ἢ παρ' αὐτῶν Περσῶν, ἔνθα τὸ ὁρᾶν μὴ ἐνεχώρει, αὐτήκοον καταστάντα, οὕτω τὴν ἱστορίαν συγγράψαι. οὐχ Ἡροδότῳ δὲ μόνῳ τἀναντία ἱστορεῖ, ἀλλὰ καὶ πρὸς Ξενοφῶντα τὸν Γρύλλου ἐπ' ἐνίων διαφωνεῖ. ἤκμασε δὲ ἐν τοῖς χρόνοις Κύρου τοῦ ἐκ Δαρείου καὶ Παρυσάτιδος, ὃς ἀδελφὸς Ἀρταξέρξου, εἰς ὃν ἡ Περσικὴ βασιλεία κατῆλθεν, ἐτύγχανε. Φησὶν οὖν αὐτίκα περὶ τοῦ Ἀστυάγους, ὡς οὐδὲν αὐτῷ Κῦρος πρὸς γένος ἐχρημάτιζεν. οὗτος δὲ αὐτὸν καὶ Ἀστυΐγαν καλεῖ. φυγεῖν δὲ ἀπὸ προσώπου Κύρου Ἀστυΐγαν ἐν Ἐκβατάνοις, καὶ κρυφθῆναι ἐν τοῖς * κριοκράνοις τῶν βασιλείων οἰκημάτων, κρυψάντων αὐτὸν τῆς τε θυγατρὸς * Ἀμύτιος, καὶ τοῦ ἀνδρὸς αὐτῆς Σπιτάμα. ἐπιστάντα δὲ Κῦρον, ἐπιτάξαι ἀνακρίνειν διὰ στρεβλώσεων Σπιτάμαν τε καὶ τὴν Ἀμύτιν, ἀλλὰ καὶ τοὺς παῖδας αὐτῶν Σπιτάκην τε καὶ Μεγαβέρνην, περὶ Ἀστυΐγα. τὸν δὲ ἑαυτὸν προσαγγεῖλαι, ἵνα μὴ δι' αὐτὸν στρεβλωθεῖεν οἱ παῖδες. ληφθέντα δὲ, πέδαις παχείαις ὑπὸ Οἰβάρα δεθῆναι. λυθῆναι δὲ ὑπ' αὐτοῦ Κύρου μετ' οὐ πολὺ, καὶ ὡς πατέρα τιμηθῆναι: καὶ τὴν θυγατέρα Ἀμύτιν πρῶτον μὲν μητρικῆς ἀπολαῦσαι τιμῆς, ἔπειτα δὲ καὶ εἰς γυναῖκα ἀχθῆναι τῷ Κύρῳ, Σπιτάμα τοῦ ἀνδρὸς αὐτῆς ἀνῃρημένου, ὅτι ἐψεύσατο· ἀγνοεῖν εἰπὼν ἐρευνώμενον Ἀστυΐγαν. ταῦτα λέγει Κτησίας περὶ Κύρου, καὶ οὐχ οἷα Ἡρόδοτος. καὶ ὅτι πρὸς Βακτρίους ἐπολέμησε, καὶ ἀγχώμαλος ἡ μάχη ἐγένετο. ἐπεὶ δὲ Βάκτριοι Ἀστυΐγαν μὲν πατέρα Κύρου γεγενημένον, Ἀμύτιν δὲ μητέρα καὶ γυναῖκα ἔμαθον, ἑαυτοὺς ἑκόντες Ἀμύτι καὶ Κύρῳ παρέδοσαν. καὶ ὅτι πρὸς Σάκας ἐπολέμησε Κῦρος, καὶ συνέλαβεν Ἀμόργην τῶν Σακῶν μὲν βασιλέα, ἄνδρα δὲ Σπαρέθρης, ἥτις καὶ μετὰ τὴν ἅλωσιν τοῦ ἀνδρὸς στρατὸν συλλέξασα, ἐπολέμησε Κύρῳ· ἀνδρῶν μὲν στράτευμα, τριάκοντα μυριάδας ἐπαγομένη, γυναικῶν δὲ εἴκοσι, καὶ νικᾷ Κῦρον, καὶ συλλαμβάνει ζωγρίας μετὰ καὶ ἄλλων πλείστων, Παρμίσην τε τὸν Ἀμύτιος ἀδελφὸν, καὶ τρεῖς αὐτοῦ παῖδας. δι' οὓς ὕστερον, καὶ Ἀμόργης ἀφείθη, ἐπεὶ κἀκεῖνοι ἀφείθησαν. καὶ ὅτι στρατεύει Κῦρος ἐπὶ Κροῖσον καὶ πόλιν Σάρδεις, συνεργὸν ἔχων Ἀμόργην· ὅπως τε τῇ βουλῇ Οἰβάρα Περσῶν εἴδωλα ξύλινα ἀνὰ τὸ τεῖχος φανέντα, εἰς δέος μὲν κατέστησε τοὺς ἐνοικοῦντας, ἥλω δὲ διὰ ταῦτα καὶ αὐτὴ ἡ πόλις. ὅπως τε πρὸ τῆς ἁλώσεως δίδοται ὁ παῖς Κροίσου ἐν ὁμήρου λόγῳ, δαιμονίου φαντάσματος ἀπατήσαντος Κροῖσον. ὅπως τε δολορραφοῦντος Κροίσου, ὁ παῖς κατ' ὀφθαλμοὺς ἀναιρεῖται· καὶ ὅπως ἡ μήτηρ τὸ πάθος ἰδοῦσα, ἑαυτὴν τοῦ τείχους ἀποκρημνίζει καὶ ἡ

a Sphendadaten Hesych. nominat. Herodot. Smerden.
b Qui de quatuor dūtaxat scripsit: Ctesias verò hu alios quinque addidit.
c Darium hunc non Darium, in iis quæ sequuntur vocat.
d De quo hic autor.
e De Astyage, Amyti, Oebare & Petesaca (vt illi scribitur) Vide ex Ctesia quæ breuiter excerpsit Ioan. Tzetzes in Chiliad. hist. in fine.
f Cyrus hic Mauer.
g al. κριοκράνοις.
h al. Amyatis.
i De Sacis & hac Cyri bellicarum scripsit. Strabo lib. 11.
k [illegible]

* al. λόγχων.
* al. κριοκράνοις.
* al. Amyitis, & sic editio H. St.

καὶ οὐ θνήσκει. ὅπως τε ἁλούσης τῆς πόλεως, πρὸς τὸ ἐν τῇ πόλει ἱερὸν τοῦ Ἀπόλλωνος καταφεύγει ὁ Κροῖσος, καὶ θνήσκει. καὶ ὡς τρὶς ἐν τῷ ἱερῷ πεδηθεὶς ὑπὸ Κύρου, λύεται τρίτον ἀοράτως, καίτοι σφραγίδων τῷ ἱερῷ ἐπικειμένων· καὶ τούτων τὴν φυλακὴν Οἰβάρα ἐμπεπιστευμένου. ὅπως τε οἱ συνδεδεμένοι Κροίσῳ, τὰς κεφαλὰς ἀπετέμνοντο, ὡς καταπροδιδόντες λυθῆναι Κροῖσον. καὶ ὅτι ἀναληφθεὶς ἐν τοῖς βασιλείοις, καὶ δεθεὶς ἀσφαλέστερον, βροντῶν καὶ σκηπτῶν ἐπενεχθέντων, λύεται πάλιν· καὶ τότε μόλις ὑπὸ Κύρου ἀφίεται. ἐξ οὗ καὶ περιείπετο, καὶ ἔδωκε Κῦρος Κροίσῳ πόλιν μεγάλην Βαρήνην, ἐγγὺς Ἐκβατάνων· ἐν ᾗ ἦσαν ἱππεῖς μὲν πεντακισχίλιοι, πελτασταὶ δὲ καὶ ἀκοντισταὶ καὶ τοξόται, μύριοι. ἔτι [*] δὲ καὶ λαμβάνει, ὡς ἀποστέλλει Κῦρος ἐν Πέρσαις Πετισάκαν τὸν [*] ἡμιάρρενα, μέγα παρ' αὐτῷ δυνάμενον, ἐφ' ᾧ καὶ ἀπὸ Βαρκανίων Ἀστυΐγαν. ἐπόθει γὰρ αὐτός τε καὶ ἡ θυγάτηρ Ἀμύτις τὸν πατέρα ἰδεῖν. καὶ ὡς Οἰβάρας βουλεύει [*] Πετισάκαν ἐν ἐρήμῳ τόπῳ καταλιπόντα Ἀστυΐγαν, λιμῷ καὶ δίψῃ ἀπολέσαι. καὶ γέγονε. δι' ἐνυπνίων δὲ τοῦ μιάσματος μηνυθέντος, Πετισάκας, πολλάκις αἰτησαμένης Ἀμύτιος, εἰς τιμωρίαν παρὰ Κύρου ἐκδίδοται. ἡ δὲ τοὺς ὀφθαλμοὺς ἐξορύξασα, καὶ τὸ δέρμα περιδείρασα, ἀνεσταύρωσεν. Οἰβάρας δὲ δεδιὼς μὴ τὰ ὅμοια πάθοι, καίτοι Κύρου μηδὲν τοιοῦτον ἰσχυριζομένου παραχωρῆσαι· αὐτὸς ὅμως ἀποκαρτερήσας, δι' ἡμερῶν δέκα ἑαυτὸν ἐξήγαγεν. Ἀστυΐγας δὲ μεγαλοπρεπῶς ἐτάφη. καὶ ἐν τῇ ἐρήμῳ δὲ, ἄβρωτος αὐτοῦ διέμενεν ὁ νεκρός. λέοντες γὰρ αὐτοῦ, φησὶ, μέχρι [*] Πετισάκα πάλιν ἐλθεῖν καὶ ἀναλαβεῖν, ἐφύλαττον τὸν νεκρόν. Κῦρος δὲ στρατεύει ἐπὶ Δέρβικας Ἀμοραίου βασιλεύοντος αὐτῶν. καὶ ἐξ ἐνέδρας οἱ Δέρβικες ἱστῶσιν ἐλέφαντας, καὶ τοὺς ἱππεῖς Κύρου τρέπουσι. καὶ πίπτει καὶ αὐτὸς Κῦρος ἐκ τοῦ ἵππου, καὶ Ἰνδὸς ἀνὴρ [*] (συνεμάχουν γὰρ καὶ Ἰνδοὶ τοῖς Δερβίκεσιν, ἐξ ὧν καὶ τοὺς ἐλέφαντας ἔφερον.) τοῦτον ὁ Ἰνδὸς πεπτωκότα Κῦρον βάλλει ἀκοντίῳ ὑπὸ τὸ ἰσχίον, εἰς τὸν μηρόν· ἐξ οὗ καὶ τελευτᾷ. τότε δὲ ζῶντα ἀνελόμενοι αὐτὸν οἱ οἰκεῖοι, ἐπὶ τὸ στρατόπεδον ἦλθον. ἀπέθανον δὲ ἐν τῇ μάχῃ καὶ Περσῶν πολλοὶ, καὶ Δερβίκων ἴσοι, μύριοι γὰρ καὶ αὐτοί. Ἀμόργης δὲ περὶ Κύρου ἀκούσας, σπουδῇ παραγίνεται, ἔχων Σακῶν δισμυρίους ἱππέας. καὶ πολέμου συῤῥαγέντος Περσῶν καὶ Δερβίκων, νικᾷ κατὰ κράτος ὁ Περσικὸς καὶ Σακῶν στρατός. ἀναιρεῖται δὲ ὁ τῶν Δερβίκων βασιλεὺς [*] Ἀμοραῖος καὶ αὐτὸς, καὶ οἱ δύο παῖδες αὐτοῦ. ἀπέθανον δὲ Δερβίκων μὲν τρισμύριοι. Περσῶν δὲ ἐννακισχίλιοι. καὶ προσεχώρησεν ἡ χώρα Κύρῳ. Κῦρος δὲ μέλλων τελευτᾶν, Καμβύσην μὲν τὸν πρῶτον υἱὸν βασιλέα [*] καθίστη. Τανυοξάρκην δὲ τὸν νεώτερον [*] ἐπέστησε δεσπότην Βακτρίων, καὶ τῆς χώρας, καὶ Χοραμνίων, καὶ Παρθίων, καὶ Καρμανίων, ἀτελεῖς ἔχειν τὰς χώρας διορισάμενος· τῶν δὲ Σπιτάμα παίδων, Σπιτάδην μὲν Δερβίκων ἀπέδειξε σατράπην· Μεγαβέρνην δὲ [*] Βαρκανίων· τῇ μητρὶ δὲ πάντα πείθεσθαι προσέταττε. καὶ Ἀμόργην φίλον τούτοις, τῶν δεξιῶν ἐμβαλλομένων, ἐποιεῖτο, καὶ ἀλλήλοις,

[*] ὑπολαμβάνει.
[*] εὐνοῦχον, μεγάλως.
[*] Πετισακᾶν.
[*] Πετισακᾶ.
[*] συνεμάχοντο. H. S.
[*] ἀλλ Ἀμοργαῖος.
[*] πολύτεκνα.
[*] ἵστησι.
[*] Βαρκανίου.

nec tamen occubuerit. Vt post captam vrbem ad Apollinis, quæ ibi erat, ædem Crœsus confugerit, a perieritque. Vt tertiùm in templo vinctus à Cyro Crœsus, tertiùm etiam b fallente oculos fascino solutus sit, quamuis pluribus templum esset sigillis obsignatum, OEbara ipso ad horum custodiam apposito. Vti & illis, qui cum Crœso vincti vna fuerant, capita sint amputata, quòd eorum proditione vinculis solutus esse Crœsus putaretur. Crœsum in ° regiam adductum, firmiúsque vinctum, cùm fulmina atque tonitrua irruissent, iterum fuisse solutum, ac tum demum à Cyro ægrè esse liberum dimissum. Ex eo itaque tempore Cyrum cum aliis cum humanitatis officiis prosecutum esse, tum vrbem ei magnam, c Barenen nomine, prope Ecbatana dedisse, in qua quinque essent equitum, peltatorum verò iaculatorúmque & sagittariorum ad decem millia.

Refert præterea Petisacam eunuchum, magna apud Cyrum auctoritate pollentem, in Persas amandatum, qui Astyigan à Barcaniis adduceret; quòd cum ipse, tum Amytis filia parentem videre exoptaret. OEbaran autem consilium Petisacæ dedisse, vt in deserto loco aliquo Astyigan relictum, fame sitique cóficeret. illúdque etiam ita factum esse. Verùm scelere per somnia patefacto, Petisacá à Cyro, identidem illud exposcenti amyti ad supplicium deditú esse. Illam oculos primum semiuiro exsculpsisse, tum pellem detraxisse, ita denique in crucem egisse. Hinc OEbaran, ne idé aliquádo pateretur, veritum (etsi certò illi affirmaret Cyrus, nihil se eiusmodi vnquá permissurum) decem nihilominus dierú inedia ipsum sibi mortem consciuisse. Iam ipsum Astyigan splendidè cum primis atque magnificè sepultum fuisse; intactum quippe feris eius cadauer locis illis desertis permansisse, quòd illud ibi leones, dum Petisacas reuersus auferret, conseruassent.

Cyrus in d Derbices, quorum tum rex Amoræus, exercitú ducit: ac illi ex insidiis productis elephantis, Cyri equitatum in fugá conuertút. Ipsus ibi Cyrus ex equo decidit, & Indus quidam (Derbicibus enim Indi opem in bello ferebant, atq; ab his illi, quos ducebant elephantos, acceperant.) Indus igitur ille Cyrum delapsú iaculo sub coxa in femore vulnerauit, quo ille ex vulnere postea moritur. Ipsum aût tum adhuc viuú familiares sui sustulerût, atq; in castra cócesserunt. Occubuere hoc in prœlio Persarú multi, neq; Derbicú pauciores. decé enim etiam horú millia cecidere. Amorges ibi, accepto de Cyro nuntio, properè ad Persas accedit, Sacarú ducens equitú viginti millia. Prœlio ergo Persas inter ac Derbices conserto; à Persis atq; Sacis fortissimè pugnantib. victoria stetit. Occumbit Derbicú rex ipse Amoræus cum duobus filiis. Ceciderunt & Derbicú triginta millia, Persarum nouê: ita regio illa in Cyri ditionem concessit. Cyrus vero sub mortis tempus filium natu maximum Cambysen, Regé creat: Iuniorem dein e Tanyoxarcé nomine, f Bactriorum dominum ipsiúsq; regionis, nec non Choramniorú, Parthiorúmq;, & Carmaniorú cósti tuit, immunésq; suas sibi regiones à tributo habere iubet. E Spitamæ verò liberis, g Spitaden Derbicib. præfecit; Megaberné Barcaniis, eósq; Amyti matri in omnib. parere præcipit. Daris etiá dextris, & inter se, & cú Amorge amicitiam

a Negantem hanc particulã in præcedentem versum perperam transferri plane mihi persuadeo. Alij omissa voce Crœsus, eã ad eius vxorem referunt.

° ἀνάκτορα.

c Hinc forsitan Steph. Byzant. Βαρήνη, πόλις Μηδίας, ἐγγὺς Ἀγβατάνων. Ego & de bonis vasis [illegible] : Κτησίας περσικῶν [illegible] τὰ κατὰ Μήδοις Ἀγβάτανα διὰ τοῦ α γράφουσι, μετὰ δὲ τοὺς ἀρχαίους διὰ τοῦ ε. Vide alibi plura.

d Derbica (inquit Steph. Byzant.) populus est Hircanis vicinus. Apollonius duplex ec scribit. Ctesias vero Derbicas vocat, aut Terbissos.

e Smerdem Cyri prognatũ Herodotus nominat.

f Vide quæ de his Stephan. & Strabo.

g Spitacem supra.

CTESIAE PERSICA.

inire voluit; fausta illis omnia precatus, qui in mutua perstarēt beneuolētia, diris vero illos deuouens, qui priores iniuriā illaturi essēt. Ista locutus, viuere desiit, tertio ab accepto vulnere die cùm annos iam regnasset triginta.

Hic finis vndecimi Ctesiæ Cnidij librorum.

Dvodecimvs liber à Cambysis regno inchoatur. Hic regnum adeptus, patris mox corpus per Bagapatē eunuchū in Persiā sepeliendū misit, reliquáq; ex patris decreto administrauit. In iis autem, qui plurimū auctoritate apud Cambysen valebant, Artasyras erat Hircanius, atque ex eunuchis Izabates, & Aspadates, & qui apud patrē etiam maximus fuerat, Bagapates. Hic enim post Petisacæ mortem exercitum aduersus Ægyptum, ipsúmque Ægyptiorum regē Amyrtæum ducebat, quē & superauit, cùm ei Combapheus, qui apud Ægyptiorum regem multum poterat, pontes ac cæteras Ægyptiorū res prodidisset, quò ipse [per Cambysen] Ægypti præfecturam consequeretur. id quod & obtinuit. nam hæc ita ei Cambyses constituerat, per Izabaten primum Combaphei patruelem, & suis ipse verbis postea. Viuus autem Amyrtæus cùm in Cambysæ potestatem venisset, aliud ille nullum incommodum accepit, quàm quòd in Susa cum sex Ægyptiorum millibus, quos ipsemet delegisset, ablegatus sit. Vniuersa est itaque subacta Ægyptus, occisis in prælio Ægyptiorum millibus quinquaginta, Persarum septem, cum duobus viris.

Magus interim quidam, cui [a] Sphendadatæ nomen erat, cùm fuisset ob delictum à Tanyoxarce verberibus multatus, ad Cambysen accedit, atque apud eum Tanyoxarcen fratrem struxisse in ipsum insidias calumniatur. addit argumentum rebellionis: non venturum Tanyoxarcen, si aduocetur. Iubet igitur Cambyses fratrem ad se venire. Ille, vt eum fortè alia res quæpiam manere suadebat, venire distulit. Ergo magus eum audacius ex eo criminari. Amytis interea mater, id quod erat de mago suspicata, Cambysen filium admonebat, ne quam fidem mago haberet. Et fingebat rex, nihil se horum credere: cùm tamen crederet maximè. Tertium igitur à Cambyse accersitus frater, venit tandem: & amplexatus est eum rex, nihilo tamem secius de illo interficiendo cogitans. maturat autem clam matre Amyti meditatum facinus ad exitum perducere: quod equidem pefectum est. Etenim magus, consilium cum rege communicans, tale hoc suggessit. Simillimus Tanyoxarcæ magus ipse cùm esset, suadet vt palam quidem atque in propatulo, tanquam falso regij fratris delatori caput sibi amputari iubeat; clam verò atque in occulto Tanyoxarcen ipsum interfici curet, & illius sibi vestem indui, vt ex ipso etiam vestitu pro Tanyoxarce haberi possit. atque ita factum est. [b] Taurino enim hausto sanguine Tanyoxarces interit, & illius indutus vestem magus, pro Tanyoxarce agnoscitur, diúque latet omnes, præter Artosyran, Bagapaten, atque Izabaten. his quippe solis rem aperire Cambyses ausus est. Rex inde Labyzum, qui inter Tanyoxarcæ eunuchos facile primus erat, & præter hunc alios ad se vocat: Magum in illa veste sedentem exhibet, & numquid hunc Tanyoxarcen agnoscerent, interrogat. Ad quæ Labyzus: Et quem nam, inquit, alium agnosceremus?

a Smerden magum, constanter Herodot. vocat.

b Venenosum eam esse docent Medici, & non alia ratione extincti Midas, Themistocles, alij. Vide sup. Cod. CXC. lib. 1. Ptolem. Hephæst.

καὶ τοῖς μὲν ἐμμένουσι ταῖς πρὸς ἀλλήλους εὐνοίαις ἀγαθὰ ηὔχετο, ἐπηρᾶτο δὲ τοῖς χειρῶν ἄρξουσιν ἀδίκων. ταῦτα εἰπὼν, ἐτελεύτησε τρίτῃ ὕστερον ἀπὸ τοῦ τραύματος ἡμέρᾳ, βασιλεύσας ἔτη λʹ. ἐν οἷς ὁ ιαʹ, Κτησίου λόγος τοῦ Κνιδίου. ἄρχεται δὲ ὁ ιβʹ. ἀπὸ τῆς Καμβύσου βασιλείας: οὗτος βασιλεύσας, ἀπέστειλε τὸν τοῦ πατρὸς νεκρὸν διὰ Βαγαπάτου τοῦ ἡμιάῤῥενος εἰς Πέρσας ταφῆναι (νεκρὸν.) καὶ τἄλλα, ὡς ὁ πατὴρ ὡρίσατο, διῳκήσατο. μέγιστον δὲ παρ' αὐτῷ ἠδύνατο Ἀρτασύρας Ὑρκάνιος: τῶν δὲ ἡμιαῤῥένων *Ἰζαβάτης τε καὶ Ἀσπαδάτης καὶ Βαγαπάτης. ὃς καὶ παρὰ τῷ πατρὶ μέγιστος ἦν. καὶ μετὰ τὸν Πετισάκα θάνατον, οὗτος στρατεύει ἐπ' Αἴγυπτον, καὶ *τῶν Αἰγυπτίων τὸν βασιλέα Ἀμυρταῖον: καὶ νικᾷ Ἀμυρταῖον, Κομβαφέως τοῦ ἡμιάῤῥενος, ὃς ἦν μέγα δυνάμενος παρὰ τῷ Αἰγυπτίων βασιλεῖ καταπροδόντος τάς τε γεφύρας καὶ τἄλλα τῶν Αἰγυπτίων πράγματα, ἐφ' ᾧ γενέσθαι ὕπαρχος Αἰγύπτου, καὶ γέγονε. ταῦτα γὰρ αὐτῷ Καμβύσης διὰ Ἰζαβάτου τοῦ Κομβαφέως ἀνεψιοῦ συνέθετο, καὶ αὐτὸς οἰκειοφώνως ὕστερον. ζωγρίαν δὲ λαβὼν τὸν Ἀμυρταῖον, οὐδὲν ἄλλο κακὸν εἰργάσατο, ἢ ὅτι εἰς Σοῦσα ἀνάσπαστον σὺν ἑξακισχιλίοις Αἰγυπτίοις, οὓς αὐτὸς ᾑρετίσατο, ἐποιήσατο: καὶ τὴν Αἴγυπτον δὲ πᾶσαν ὑπέταξεν. ἀπέθανον δὲ ἐν τῇ μάχῃ, Αἰγυπτίων μὲν μυριάδες πέντε, Περσῶν δὲ ἑπτακισχίλιοι δύο. μάγος δέ τις Σφενδαδάτης ὄνομα, ἁμαρτήσας καὶ μαστιγωθεὶς ὑπὸ Τανυοξάρκου, ἀφικνεῖται πρὸς Καμβύσην, ἐνδιαβάλλων τὸν ἀδελφὸν Τανυοξάρκην, ὡς ἐπιβουλεύοντα αὐτῷ· καὶ σημεῖον ἐδίδου τῆς ἀποστάσεως, ὡς εἰ κληθείη ἐλθεῖν, οὐκ ἂν ἔλθοι. δηλοῖ τοίνυν ὁ Καμβύσης ἐλθεῖν τὸν ἀδελφόν: ὁ δέ, χρείας ἄλλης ἀπαρτιζούσης μένειν, ἀνεβάλλετο. παῤῥησιάζεται δὲ ταῖς διαβολαῖς πλέον ὁ μάγος. Ἀμύτις δὲ ἡ μήτηρ τὰ τοῦ μάγου ὡς ἦν ὑπονοοῦσα, ἐνουθέτει Καμβύσην τὸν υἱὸν μὴ πείθεσθαι. ὁ δὲ ὑπεκρίνετο μὴ πείθεσθαι: ἐπείθετο δὲ μάλιστα. διαπεμψαμένου δὲ τρίτον Καμβύσου, πρὸς τὸν ἀδελφὸν παραγίνεται. καὶ ἀσπάζεται μὲν αὐτὸν ὁ ἀδελφὸς (ἐπεὶ) οὐδὲν δὲ ἧττον ἀνελεῖν ἐμελέτα. κρύφα δὲ Ἀμύτιος εἰς πρᾶξιν ἀγαγεῖν τὴν μελέτην ἐσπούδαζε. καὶ λαμβάνει πέρας ἡ πρᾶξις: ὁ γάρ τοι μάγος βουλῆς τῷ βασιλεῖ κοινωνῶν, βουλεύεται τοιοῦτον. ὅμοιος ἦν αὐτὸς ὁ μάγος κατὰ τὰ Τανυοξάρκῃ. βουλεύεται τοιγαροῦν αὐτὸν μὲν ἐν τῷ φανερῷ, ὡς δῆθεν ἀδελφοῦ βασιλέως καταψευσάμενον, τὴν κεφαλὴν προστάξαι *ἀποτμηθῆναι. ἐν δὲ τῷ κρυπτῷ ἀναιρεθῆναι Τανυοξάρκην, καὶ τὴν ἐκείνου στολὴν ἀμφιασθῆναι τὸν μάγον. ὥστε καὶ τῷ ἀμφιάσματι νομίζεσθαι Τανυοξάρκην· καὶ γίνεται ταῦτα. αἷμα γὰρ ταύρου ἐκπιὼν, ἀναιρεῖται Τανυοξάρκης. ἀμφιάζεται δὲ ὁ μάγος, καὶ νομίζεται Τανυοξάρκης· καὶ λανθάνει πάντας ἐπὶ πολὺν χρόνον, πλὴν Ἀρτασύρα καὶ Βαγαπάτου καὶ Ἰζαβάτου. τούτοις γὰρ μόνοις Καμβύσης ἐθάῤῥησε τὴν πρᾶξιν. *Λάβυζον δὲ τῶν ἡμιαῤῥένων τὸν πρῶτον, οἳ ἦσαν Τανυοξάρκου, προσκαλεσάμενος ὁ Καμβύσης καὶ τοὺς ἄλλους, καὶ ὑποδείξας τὸν μάγον ὡς ἐσχημάτιστο καθεζόμενον: τοῦτον, ἔφη, νομίζετε Τανυοξάρκην, ὁ δὲ Λάβυζος θαυμάσας, καὶ τίνα ἄλλον (ἔφη) νομίζομεν

τοσοῦτον

* Ἰζαβάτης. H. S.

* τὸν Αἰγυπτίων βασιλέα. H. S.

* al. ἀποτμηθῆναι δεῖ.

* al. Λάβυζον.

ὥστε ἐλάνθανε τῇ ὁμοιότητι ὁ μάγος. ἐκπέμπεται οὖν εἰς Βακτρίους, καὶ πράττει πάντα, ὡς Τανυοξάρκης. πέμπτου δὲ ἐνιαυτοῦ διελθόντος, μηνύεται ἡ Ἀμύτις τὸ δρᾶμα διὰ Τιβέθεως τοῦ εὐνούχου, ὃν ὁ μάγος τυπτήσας ἐτύγχανε. καὶ αἰτεῖ τὸν Σφενδαδάτην παρὰ Καμβύσου. ὁ δὲ οὐ δίδωσιν. ἡ δὲ ἐπαρᾶται, καὶ πιοῦσα φάρμακον τελευτᾷ. Θύει ὁ Καμβύσης: καὶ τῶν ἱερείων σφαζομένων, αἷμα οὐκ ἀπορρεῖ, καὶ ἀθυμεῖ. καὶ τίκτει αὐτῷ ἡ Ῥωξάνη παιδίον ἀκέφαλον: καὶ πλέον ἀθυμεῖ· καὶ οἱ μάγοι λέγουσιν αὐτῷ τὴν τῶν τεράτων δήλωσιν, ὅτι * οὐκ ἐγκαταλείψει τῆς ἀρχῆς διάδοχον. καὶ ἐφίσταται αὐτῷ ἡ μήτηρ ἐν νυκτὶ, ἀπειλοῦσα τῆς μιαιφονίας: καὶ πλέον ἀθυμεῖ. ἀφικόμενος δὲ εἰς Βαβυλῶνα, καὶ ξέων ξυλάριον μαχαίρᾳ, διατριβῆς χάριν: παίει τὸν μηρὸν εἰς τὸν μῦν, καὶ ἑνδεκαταῖος τελευτᾷ, βασιλεύσας δυοῖν δέοντα εἴκοσι. Βαγαπάτης δὲ καὶ Ἀρτασύρας, πρὶν ἢ Καμβύσης τελευτήσῃ, ἐβουλεύσαντο βασιλεῦσαι τὸν μάγον. καὶ ἐβασίλευσαν, ἐκείνου τελευτήσαντος. λαβὼν δὲ τὸ Καμβύσου σῶμα * Ἰζαβάτης, ἦγεν εἰς Πέρσας. τοῦ μάγου δὲ βασιλεύσαντος ἐπ' ὀνόματι τοῦ Τανυοξάρκου, ἧκεν Ἰζαβάτης ἐκ Περσίδος, καὶ κατειπὼν τῇ στρατιᾷ πάσῃ, καὶ θριαμβεύσας τὸν μάγον, κατέφυγεν εἰς τὸ ἱερόν· κἀκεῖθεν συλληφθεὶς, ἀπετμήθη. ἐντεῦθεν ἑπτὰ τῶν Περσῶν ἐπισήμων συνέθεντο ἀλλήλοις κατὰ τοῦ μάγου, Ὀνόφας, Ἰδέρνης, Νοροδαβάτης, Μαρδόνιος, * Βαρίσης, Ἀταφέρνης, καὶ Δαρεῖος Ὑστάσπεω. τούτων ἀλλήλοις πίστεις δόντων, προσλαμβάνεται καὶ ὁ Ἀρτασύρας, εἶτα καὶ ὁ Βαγαπάτης, ὃς τὰς κλεῖς πάσας τῶν βασιλείων εἶχε. καὶ εἰσελθόντες διὰ τοῦ Βαγαπάτου οἱ ἑπτὰ εἰς τὰ βασίλεια, εὑρίσκουσι τὸν μάγον παλλακῇ Βαβυλωνίᾳ συγκαθεύδοντα. ὡς δὲ εἶδεν, ἀνεπήδησε: καὶ μηδὲν εὑρὼν τῶν πολεμικῶν ὀργάνων (πάντα γὰρ ὁ Βαγαπάτης λάθρα ὑπεξήγαγε) δίφρον χρύσεον συντρίψας, καὶ λαβὼν τὸν πόδα, ἐμάχετο. καὶ τέλος, κατακεντηθεὶς ὑπὸ τῶν ἑπτὰ, ἀπέθανε, βασιλεύσας μῆνας ἑπτά· βασιλεύει δὲ τῶν ἑπτὰ ὁ Δαρεῖος, τοῦ ἵππου (καθὰ συνέκειτο ἀλλήλοις) * πρῶτον μηχανῇ τινι καὶ τέχνῃ, * ἐπεὶ δ' ὁ ἥλιος πρὸς ἀνατολὰς ἐληλύθει, χρεμετίσαντος. ἄγουσι τοῖς Πέρσαις ἑορτὴ τῆς μαγοφονίας, καθ' ἣν Σφενδαδάτης ὁ μάγος ἀνῄρηται. Δαρεῖος προστάσσει τάφον ἑαυτῷ κατασκευασθῆναι ἐν τῷ δισσῷ ὄρει, καὶ κατασκευάζεται. ἐπιθυμήσας δὲ ἰδεῖν αὐτὸν, ὑπό τε τῶν Χαλδαίων, καὶ τῶν γονέων κωλύεται. οἱ δὲ γονεῖς ἀνελθεῖν βουληθέντες, ἐπεὶ οἱ ἱερεῖς εἶδον (ὄφεις) οἱ ἀνέλκοντες αὐτοὺς, καὶ ἐφοβήθησαν· καὶ φοβηθέντες ἀφῆκαν τὰ σχοινία, ἔπεσον καὶ ἐτελεύτησαν. καὶ ἐλυπήθη Δαρεῖος λίαν. καὶ ἀπετμήθησαν αἱ κεφαλαὶ, τεσσαράκοντα οὖσαι τῶν ἀνελκόντων.

Ὅτι ἐπιτάσσει Δαρεῖος * Ἀριάμμῃ τῷ σατράπῃ Καππαδοκίας, ἐπὶ Σκύθας διαβῆναι, καὶ ἄνδρας καὶ γυναῖκας αἰχμαλωτίσαι. ὁ δὲ διαβὰς πεντηκοντόροις λ', ᾐχμαλώτισε. συνέλαβε δὲ καὶ τὸν ἀδελφὸν τοῦ βασιλέως τῶν Σκυθῶν Μασσαγέτην, ἐπὶ κακώσει εὑρὼν παρὰ τοῦ οἰκείου ἀδελφοῦ δεδεμένον.

* καταλείψει. R. S.
* Ἰζαβάτης.
* Βαρίσσης. R. S.
* ἐνόντι.
* ἐληλ.. R. S.
* al. Ἀριαράμνῃ.

adeò texit magum corporis habitúsque similitudo. Mittitur ergo in Bactrios, omniáq; haud aliter quàm si ipsemet esset Tanyoxarces, administrat. Post quintum tandem annum res tota per Tybetheum eunuchum, quem magus pulsauerat, Amyti exponitur. Postulat hæc sibi Sphendadaten à Cambyse dedi. at rex dedere noluit quamobrem diras illi imprecata, epótoque veneno, moritur. Accidit deinde, vt sacris operante Cambyse, cùm victimæ iugularentur, sanguis non flueret. qua sanè ex re animo concidere cœpit. ac magis etiam postea, quando ei Roxane carentem capite puerum peperit; & magi renuntiarunt, nullum ab eo regni successorem relictum iri, hisce monstris portendi. Quin & adstans noctu in somnis mater; minásque ob perpetratam cædē intentans, longè maximè regem perculit. Cùm itaq. Babylonem venisset, atque ibi paruum lignum cultro poliens, quò tempus falleret, femoris musculum percussisset, vndecimo post die mortem obiit, cùm annos regnasset duodeuiginti.

Bagapates autem & Artasyras, consilium, antequam Cambyses moreretur, inierunt, de regno ad magum deferendo. & verò post illius mortem detulere. Corpus Cambysæ Izabates sumptum in Persidem auexit. Vnde aliquando reuersus, regnantem iam sub Tanyoxarcæ nomine magum prodere apud vniuersum exercitum, atque infamare aggressus, in templum confugit, verùm inde extractus, capite pœnas luit. Hinc septem inter Persas illustres viri vnà aduersus magum conspirauere, Onophas, Idernes, Norodabates, Mardonius, Barises, Ataphernes, & Darius Hystaspe F. Hi cùm primi inter se fidem dedissent, post etiam Artasyras adsumitur, & Bagapates præterea, qui claues omnes regiarum ædium in potestate habebat. Septem ergo illi; Bagapatæ opera, in regias ædes ingressi, dormientem cum Babylonia pellice magum offendunt. Quos ille; vt vidit, subitò prosiliit; & cùm nullum sese telum bellicum offerret (clam enim omnia Bagapates subtraxerat) sedile fortè aureum confregit, eiúsque arreptò pede pugnare cœpit, dum tandem à septem illis viris confossus occubuit; septimo regni aditi mense.

Regnat deinde ex septem illis viris Darius; cùm eius equus (sic inter illos conuenerat) arte quadā adhibita, primus post ortū solē hinniisset. Ceterū quo die Sphēdadates magus interfectus est, festum ex eo apud Persas, [a]Magophonia dictū, celebratur. Darius hic sepulchrū sibi in [b] bicipiti mōte exstrui imperabat, & iam exstruebatur quod videre ipse cùm desideraret, à Chaldæis atq. parentibus prohibitus est. eo tamen parētes eius ascēdere voluerūt: sed in præceps acti mortui conciderūt, cūm ad serpētum aspectum funes territi remisissent, qui eos sursum trahebāt Sacerdotes, quę res ingentē Dario mœrorē attulit, & verò capita illis quadraginta viris amputata sunt, qui hos attraxerant.

Ariamnen pręterea Cappadocię Satrapā aduersus Scythas proficisci, & viros inde ac fœminas captiuos abducere Darius imperat. Ille cum triginta nauib. quinquaginta remorū traiiciens, mādata perfecit. Cepit inter alios regis Scytharum fratrē Masagetem, quē ob illata mala in vincula à rege fratre coniectum reperit.

a Herodotus lib. 3. & Agathias lib. 2.
b ἐν τῷ δισσῷ ὄρει. Lege Persepoleos arcis descriptionem apud Diodor. Sicul. lib. 17. Biblioth. ubi βασιλικὸν ὄρος, hunc locum vocat. Potentiores autem in montibus fere sepeliri solitos, multa veterum scriptorum testimonia ind. cent.

CTESIAE PERSICA.

Ergo [a] Scytharces Scytharum rex indignatus, contumeliis plenas ad Darium litteras scripsit; & simili ad ipsum modo rescriptum est. Darius tandem octingentorum millium coacto exercitu, & Bosphoro Istróque ponte constratis, aduersus Scythas quindecim dierum itinere progressus est. Hi [b] arcus sibi mutuo miserunt. Sed cùm Scythicus validior esse deprehenderetur, fugiens per pontes Darius, festinanter eos, antequam totus transiisset exercitus, dissoluit. Quare factum est, vt qui reliqui ad octoginta millia in Europa relicti erant, à Scytharce omnes interfecti fuerint. Darius autē ponte transmisso, flammis [c] Chalcedonensium domos atque templa cōbussit: tum quòd eos, qui apud ipsos pontes erant, rescindere tentassent: tum quòd aram, quam ipse transmittens, in *Iouis* [d] *diabaterij* honorem statuerat, illi euertissent. Datis verò ex Ponto reuertens, vt [e] Ponticæ præerat classi, insulas passim Græciámq; vastabat. huic apud [f] Marathonē Miltiades occurrens Barbaros vicit, ipso etiam occumbente Date, cuius vel cadauer petentibus Persis denegatū est. Darius quoque ad Persas reuersus, post oblata sacrificia, & dierum triginta morbum, vita functus est, cùm annos vixisset ante regnum XII. post regnum aditum triginta & vnum. Obiit item extremum vitæ diem Artasyras. Bagates etiam cùm septem ad Darij sepulchrum resedisset annos.

Regnum excipit Xerxes filius, apud quem magnam obtinet auctoritatē Artapanus Artasyræ filius, æquè vt huius pater apud regis patrem olim obtinuerat. Itémq; Mardonius [g] ille priscus. De eunuchis autem potentia præstabat Natacas. Vxorem deinde ducit [h] Xerxes Amistrin Onophæ filiam: ex qua illi filius nascitur Dariæus, & post duos annos alter, Hystaspes nomine; itémque tertius, Artaxerxes: duæ quoque filiæ, quarum altera de auiæ nomine Amytis dicta; altera [i] Rhodogune.

Xerxes aduersus Græcos expeditionem suscepit, tum quod Chalcedonenses dissoluere pontem, vt modò dictum est, conati essent: tum quòd aram, quam Darius excitarat, disturbassent; tum etiam quòd Datin Athenienses occidissent, eiúsque cadauer tradere recusassent. Verùm antea Babylonem proficisci, & [k] Belitanæ sepulchrum inspicere voluit; & inspexit, Mardonio adiuuante; sed vrnam olei non potuit (quemadmodum scriptum fuerat) implere. Inde Ecbatana profecto Xerxæ, nuntius adfertur de Babyloniorum defectione, déque Zopyro, belli apud illos duce, ab eisdem necato. Atque hunc quidem in modum de his loquitur Ctesias, aliter atque Herodotus. Quæ verò de Zopyro ille refert (hoc vno excepto quòd mula ipsius pepererit) cetera saltem noster hic auctor confecta narrat per Megabyzum, qui Xerxæ gener, ducta eius filia Amyti, iam factus erat. Ita Babylon per Megabyzum capta. cui Xerxes, præter alia multa, molam donauit auream sex talentorum pondo. quod munus apud Persas omnium habetur regiorum munerum præstantissimum. Xerxes itaque Persico exercitu coacto, (constabat is, præter currus, millibus hominum octingentis, & triremibus mille) cum Abydum ponte iunxisset, in Græciam copias duxit. Ibi primùm Demaratus Lacedæmonius ad eum accessit, atque vnà traiecit,

[a] Ianthyrum nominat Iustin. lib. 2.

[b] ἀντέπεμψαν ἀλλήλοις τόξα. De arcu ab Æthiopum rege sic ad Cambysen misso, lege Herod. lib. 3. post init.

[c] Al. Καρχηδονίων.

[d] Solenne quippe gentibus fuit, transitus causa diis sacrificare. Sic Lucull. apud Plut. Euphrati taurum fecit.

[e] Al. Μηδικοῦ.

[f] Marathonia pugna nihil vnquam celebratum magis. CCC. ad eam describendam occupatis doctorum ingeniis, Plut. teste.

[g] ὁ παλαιός quem Maiorem etiam dixeris.

[h] Xerxem & Amistrin Scaliger Asuerum & Estherem interpretatur, quod Nic. Serarius confutat.

[i] Rhodogunes cuiusdam Persicæ imaginem habes apud Philostratum lib. 2. Icon. 5.

[k] Ælian. lib. 13. κοτύλας ε. legend.

* Σκυθάρκης δὲ ὁ σκυθῶν βασιλεὺς ὀργισθεὶς ἔγραψεν, ὑβρίζων Δαρεῖον· καὶ ἀντεγράφη αὐτῷ ὁμοίως. στράτευμα δὲ ἀγείρας Δαρεῖος, ὀγδοήκοντα μυριάδας. καὶ ζεύξας τὸν βόσπορον καὶ τὸν ἴστρον: διέβη ἐπὶ σκύθας, ὁδὸν ἐλάσας ἡμερῶν ιε΄. καὶ ἀντέπεμψαν ἀλλήλοις τόξα. * ἐπικρατέστερον δ' ἦν τὸ τῶν σκυθῶν: διὸ καὶ φεύγων Δαρεῖος διέβη τὰς γεφύρας· καὶ ἔλυσε σπεύδων πρὶν ἢ τὸ ὅλον διαβῆναι στράτευμα. καὶ ἀπέθανον ὑπὸ * σκυθάρχου οἱ καταλειφθέντες ἐν τῇ εὐρώπῃ μυριάδες ὀκτώ. Δαρεῖος δὲ τὴν γέφυραν διαβάς, * καρχηδονίων οἰκίας καὶ ἱερὰ ἐνέπρησεν, ἐπεὶ τὰς πρὸς αὐτοῖς γεφύρας ἐμελέτησαν λῦσαι· καὶ ὅτι τὸν βωμόν, ὃν περῶν Δαρεῖος κατέθετο ἐπ' ὀνόματι διαβατηρίου Διός, ἠφάνισαν. Δάτις δὲ ἐπανιὼν ἐκ πόντου, καὶ τοῦ * ποντικοῦ στόλου ἡγούμενος, ἐπόρθει νήσους καὶ τὴν ἑλλάδα. ἐν μαραθῶνι δὲ Μιλτιάδης ὑπαντιάζει, καὶ νικᾷ τοὺς βαρβάρους, καὶ πίπτει καὶ αὐτὸς Δάτις. καὶ οὐδὲ τὸ σῶμα πέρσαις αἰτησαμένοις ἐδόθη. Δαρεῖος δὲ ἐπανελθὼν εἰς πέρσας, καὶ θύσας, καὶ ἡμέρας νοσήσας λ΄, τελευτᾷ. ζήσας μὲν ἔτη ιβ΄. πρὸ τῆς βασιλείας, βασιλεύσας δὲ ἔτη λα΄. ἀπέθανε δὲ καὶ Ἀρτασύρας: καὶ ὁ Βαγαπάτης δὲ τὸ σῆμα Δαρείου παρακαθίσας ἔτη ζ΄, ἐτελεύτησε. βασιλεύει Ξέρξης ὁ υἱὸς αὐτοῦ, καὶ Ἀρτάπανος ὁ Ἀρτασύρα παῖς, γίνεται δυνατὸς παρ' αὐτῷ, ὡς ὁ πατὴρ παρὰ τῷ πατρί, καὶ Μαρδόνιος ὁ παλαιός. ἡμιαρρένων δὲ μέγιστον ἠδύνατο * Ναθάκας. γαμεῖ δὲ Ξέρξης Ὀνόφα θυγατέρα * Ἄμιστριν, καὶ γίνεται αὐτῷ παῖς Δαρειαῖος. καὶ ἕτερος μετὰ δύο ἔτη Ὑστάσπης, καὶ ἔτι Ἀρταξέρξης. καὶ θυγατέρες δύο, ὧν ἡ μὲν Ἄμυτις κατὰ τὴν ὀνομασίαν τῆς μάμμης· ἡ δὲ Ῥοδογύνη. ὁ δὲ δὴ Ξέρξης στρατεύει ἐπὶ τοὺς ἕλληνας. ὅτι τε * καρχηδόνιοι λῦσαι τὴν γέφυραν, ὡς ἤδη εἴρηται, ἐπεχείρησαν. καὶ ὅτι τὸν βωμόν, ὃν ἔστησε Δαρεῖος, καθεῖλον. καὶ ὅτι Δάτιν ἀθηναῖοι ἀνεῖλον, καὶ οὐδὲ τὸν νεκρὸν ἔδοσαν. πρότερον δὲ εἰς βαβυλῶνα ἀφίκετο, καὶ ἰδεῖν ἐπεθύμησε τὸν Βελιτανᾶ τάφον, καὶ εἶδε διὰ Μαρδονίου. καὶ τὴν πύελον ἐλαίου οὐκ ἴσχυσεν, ὥσπερ καὶ ἐγέγραπτο, πληρῶσαι. ἐξελαύνει Ξέρξης εἰς ἐκβάτανα, καὶ ἀγγέλλεται αὐτῷ ἀπόστασις βαβυλωνίων· καὶ Ζωπύρου τοῦ στρατηγοῦ αὐτῶν ὑπὸ σφῶν ἀναίρεσις. οὕτω καὶ περὶ τούτων φησὶ Κτησίας, καὶ οὐχ ὡς Ἡρόδοτος. ἃ δὲ περὶ Ζωπύρου ἐκεῖνος λέγει, πλὴν ὅτι ἡμίονος αὐτῷ ἔτεκεν. ἐπεὶ τἆλλα Μεγάβυζον οὗτος λέγει διαπράξασθαι, ὃς ἦν γαμβρὸς ἐπὶ τῇ θυγατρὶ Ἀμύτι τοῦ Ξέρξου. οὕτω μὲν ἥλω διὰ τοῦ Μεγαβύζου βαβυλών. δίδωσι δὲ αὐτῷ Ξέρξης ἄλλα τε πολλά, καὶ μύλην χρυσῆν, ἓξ ἕλκουσαν τάλαντα: ὃ τιμιώτατον τῶν βασιλικῶν δώρων παρὰ πέρσαις ἐστί. Ξέρξης δὲ συναγείρας * στρατείαν περσικήν, ἄνευ τῶν ἁρμάτων, ὀγδοήκοντα μυριάδας, καὶ τριήρεις χιλίας, ἤλαυνεν ἐπὶ τὴν ἑλλάδα, ζεύγνυς τὴν ἄβυδον. Δημάρατος ὁ λακεδαιμόνιος παρεγίνετο ἤδη πρότερον, καὶ συνὼν αὐτῷ ἐν τῇ διαβάσει,

καὶ

* al. Σκυθάρβης & Σκυθάρνης.

* ἐπικρατέστερα δ' ἦν τὰ τῶν H. S.

* al. Σκυθάρκου, i. Σκυθῶν.

* al. Χαλκηδονίων. H. S.

* μηδικοῦ. H. S.

* Ναταχᾶς & Νατακᾶς.

* Ἄμαστριν & Ἄμεστριν.

* χαλκηδόνιοι.

* στρατιάν.

καὶ ἀπεῖργε τῆς εἰς Λακεδαίμονα ἐφόδου. Ξέρξης δὲ προσβάλλει ἐν Θερμοπύλαις Λεωνίδᾳ τῷ στρατηγῷ τῶν Λακεδαιμονίων, διὰ Ἀρταπάνου, ἔχοντος μυρίους. καὶ κατακόπτει τὸ περσικὸν πλῆθος, τῶν Λακεδαιμονίων δύο ἢ τριῶν ἀναιρεθέντων. εἶτα προσβαλεῖν κελεύει μετὰ δισμυρίων, καὶ ἡττᾶται καὶ κείνων· εἶτα μαστιγοῦνται ἐπὶ τὸ πολεμεῖν· καὶ μαστιγούμενοι, ἐπηττῶντο. τῇ δὲ ὑστεραίᾳ κελεύει μάχεσθαι μετὰ πενταχισμυρίων· καὶ ἐπεὶ οὐδὲν ἤνυεν, ἔλυσε τότε τὸν πόλεμον. Θώραξ δὲ ὁ Θεσσαλὸς καὶ Τραχινίων οἱ δυνατοὶ, Καλλιάδης καὶ Τιμαφέρνης, παρῆσαν * στρατείαν ἔχοντες. καλέσας δὲ Ξέρξης τούτους τε καὶ τὸν Δημάρατον, καὶ τὸν Ἡγίαν τὸν Ἐφέσιον, ἔμαθεν ὡς οὐκ ἂν ἡττηθεῖεν Λακεδαιμόνιοι, εἰ μὴ κυκλωθεῖησαν· ἡγουμένων δὲ τῶν δύο Τραχινίων, διὰ δυσβάτου στρατὸς περσικὸς διεληλυθε, μυριάδες τέσσαρες· καὶ κατὰ νώτου γίνονται τῶν Λακεδαιμονίων, καὶ κυκλωθέντες, ἀπέθανον μαχόμενοι ἀνδρείως ἅπαντες. Ξέρξης δὲ πάλιν στράτευμα πέμπει κατὰ Πλαταιέων, μυριάδας ιβʹ, ἡγούμενον (δὲ) αὐτοῖς Μαρδόνιον ἐπιστήσας. Θηβαῖοι δ' ἦσαν οἱ κατὰ Πλαταιέων τὸν Ξέρξην κινοῦντες. ἀντιστρατεύει δὲ Παυσανίας ὁ Λακεδαιμόνιος, τριακοσίους μὲν ἔχων Σπαρτιάτας, χιλίους δὲ τῶν περιοίκων, ἐκ δὲ τῶν ἄλλων πόλεων χιλιάδας ἓξ καὶ νικᾶται κατακράτος ἡ περσικὴ * στρατεία, καὶ φεύγει τραυματισθεὶς καὶ Μαρδόνιος. οὗτος ὁ Μαρδόνιος πέμπεται συλῆσαι τὸ τοῦ Ἀπόλλωνος ἱερὸν παρὰ Ξέρξου· κἀκεῖ, φησὶ, θνήσκει, χαλάζης ἐπιπεσούσης παχείας. ἐφ' ᾧ λίαν Ξέρξης ἐλυπήθη. Ξέρξης δὲ ἐπ' αὐτὰς Ἀθήνας ἐλαύνει· καὶ Ἀθηναῖοι, πληρώσαντες ἑκατὸν δέκα τριήρεις, φεύγουσιν εἰς Σαλαμῖνα. καὶ Ξέρξης τὴν πόλιν κενὴν * αἱρεῖ, καὶ ἐμπίμπρησι, πλὴν τῆς ἀκροπόλεως· ἐν αὐτῇ γὰρ ἔτι τινὲς ὑπολειφθέντες, ἐμάχοντο. τέλος κἀκείνων νυκτὶ φυγόντων, κἀκείνην συνέπρησεν. ὁ δὲ Ξέρξης αὐτόθεν ἐλθὼν ἐπὶ στενώτατον τῆς Ἀττικῆς, ὃ Ἡράκλειον καλεῖται, ἐχώννυε χῶμα ἐπὶ Σαλαμῖνα, πεζῇ ἐπ' αὐτὴν διαβῆναι διανοούμενος. βουλῇ δὲ Θεμιστοκλέους Ἀθηναίου καὶ Ἀριστείδου τοξόται μὲν ἀπὸ Κρήτης προσκαλοῦνται καὶ παραγίνονται· εἶτα ναυμαχία Περσῶν καὶ Ἑλλήνων γίνεται· Περσῶν μὲν, ναῦς ἐχόντων ὑπὲρ τὰς χιλίας, στρατηγοῦντος αὐτοῖς Ὀνόφα. Ἑλλήνων δὲ ἑπτακοσίας. καὶ νικῶσιν Ἕλληνες, καὶ διαφθείρονται περσικαὶ πεντακόσιαι νῆες καὶ φεύγει Ξέρξης, βουλῇ πάλιν καὶ τέχνῃ Ἀριστείδου καὶ Θεμιστοκλέους. ἐν δὲ ταῖς λοιπαῖς ἁπάσαις μάχαις ἀπέθανον Περσῶν δώδεκα μυριάδες. Ξέρξης δὲ περάσας εἰς τὴν Ἀσίαν, καὶ ἀπελαύνων εἰς Σάρδεις, ἔπεμπε Μεγάβυζον τὸ ἐν Δελφοῖς ἱερὸν συλῆσαι. ἐπεὶ δὲ ἐκεῖνος παρῃτεῖτο, ἀποστέλλεται * Ματακᾶς ὁ εὐνοῦχος, ὕβρεις τε φέρων τῷ Ἀπόλλωνι, καὶ πάντα συλήσων· καὶ δὴ οὕτω ποιήσας, πρὸς Ξέρξην ὑπέστρεψε. Ξέρξης δὲ ἀπὸ Βαβυλῶνος εἰς Πέρσας παραγίνεται, καὶ Μεγάβυζος κατὰ τῆς γυναικὸς τῆς ἰδίας Ἀμύτιος (ἣ θυγάτηρ, ὡς προείρηται, Ξέρξου ἐτύγχανεν) ὡς μεμοιχευμένης, λόγους ἐκίνει. καὶ ἐπιτιμᾶται Ἄμυτις λόγοις ὑπὸ τοῦ πατρὸς, καὶ ὑπισχνεῖται συμφέρειν. * Ἀρτάβας δὲ μέγα παρὰ Ξέρξῃ δυνάμενος μετὰ Σπαμίτρου τοῦ ἡμμάρρενος,

* στρατιὰν. * στρατιά. * [illegible] * Μάτακας. * Ἀρτάπανος. H. S.

& ne Lacedæmona Rex inuaderet, impediuit. Inde per Artapanum, decem hominum millia ducentem, confixit Xerxes ad Thermopylas cum Leonida Lacedæmoniorum duce. quo in prœlio cæsæ miserè sunt Persarum copiæ, è Lacedæmoniis vix duobus aut tribus desideratis. Viginti postea millia in aciem educi iubet, qui & ipsi superantur. Cum autem verberibus in pugnam adacti, victi nihilominus etiam tunc fuissent, quinquaginta postridie millia educi præcepit. At cum ne hi quidem aliquid effecissent, pugnare vltra destitit. Thessalus & Tracheniensium principes Calliades atque Timaphernes, cum exercitu aderant. His Xerxes ad se vocatis, vnàque Demarato, & Hegia Ephesio, nulla ratione vinci posse Lacedæmonios intellexit, nisi copiis cincti in orbem pugnare cogantur. Quadraginta ergo Persarum millia, ducibus Tracheniensibus illis duobus, per inuia transgressi, à tergo Lacedæmonios adoriuntur, qui hoc pacto circumdati, fortiter pugnantes ad vnum omnes occubuere. Mittit rursus exercitum Xerxes aduersus Platæenses centum & viginti millium, duce Mardonio. Thebani autem Regem in Platæenses concitabant. Mardonio occurrit Pausanias Lacedæmonius, Spartanos non nisi trecentos, accolas mille, & ex aliis vrbibus ad sex millia secum ducens. Ibi Persico exercitu superato, Mardonius vulneratus aufugit. Idem hic Mardonius ad diripiendam Apollinis ædem à Xerxe missus, ingenti oppressus grandine interiit, magno admodum Regis dolore. Xerxes deinde Athenas ipsas petit cum exercitu. Verum Athenienses, centum & decem triremibus instructis, ad Salaminam insulam fugerunt. vrbem itaque vacuam cum cepisset, incendit; præter solam arcem, quam aliquot adhuc ibi relicti propugnabant. Sed cum tandem & hi noctu fugissent, etiam illam exussit. Rex inde ad angustissimum Atticæ locum, quem Heracleum appellãt, profectus, aggerẽ Salaminã versus ducere cœpit, eo consilio, vt pedestri ad insulã itinere transire aliquãdo posset. At ex Themistoclis Atheniensis & Aristidæ consilio sagittarij ex Creta accersuntur, & veniunt: deinde & nauali pugna Persæ cum Græcis congrediuntur. Ducebant illi naues supra mille, quibus Onophas præerat, hi septingentas. Vincũt tamen Græci, & quingentas Persæ naues amittunt. Ipse quoque Xerxes consilio rursus & arte Aristidis atque Themistoclis; fugam arripit, interfectis de Persico exercitu, omnibus hisce prœliis, non minus centum viginti millibus.

Cum autẽ in Asiã Rex traiecisset, & Sardeis pergeret, Megabyzũ designat, qui tẽplum Delphicum diriperet. sed detrectauit ille facinus. quare Matacas eunuchus iniurias Apollini illaturus, omniaque expilaturus mittitur: qui confectis ita rebus, ad Regem reuersus est. In Persiam interim Xerxes Babylone venerat, cum Megabyzus vxorem suam Amytin (quæ, vt iam antea dictum, Xerxæ filia erat) adulterij insimulat, quam ob rem illa acriter à parente increpita, spondet se castam esse. Artapanus item, qui plurimum apud Xerxen auctoritate valebat, & cum eo Spamitres eunuchus

CTESIÆ PERSICA.

(qui ipse quoque plurimum apud regem poterat) de Xerxe interficiendo consilium agitant, eadémque patrant. Artaxerxe interim filio persuadent, à Dariæo altero filio patrem esse necatum. Adducitur ergo ab Artapano in Artaxerxæ domum Dariæus, multo cum clamore identidem pernegans se parricidam esse, is tamen capite plexus moritur nihilominus.

a Longimanus cognomento.

[a] Artaxerxes deinde Artapani opera regno potitur. Attamen etiam huius vitæ Artapanus idem insidias tendit, & communicato cum Megabyzo consilio, (qui iam ob suspectã adulterij vxorem suam Amytin, magno in mœrore versabatur) iureiurando sibi mutuo cauent. Verum re tota Megabyzi indicio prodita, eodem mortis genere quo Artaxerxes tollendus fuerat, Artapanus ipse tollitur, atque adeo quæcumque in Xerxem ac Dariæum perpetrata fuerant, patefiunt omnia. quare [b] Aspamitres quoque, qui Xerxis atque Dariæi cædis conscius fuerat, acerbo in primis ac duro [c] mortis genere, adhibitis per scapham tormentis, afficitur. Post Artapani mortem pugna exoritur inter cõiurationis illius socios, reliquósque Persas: qua in pugna Artapani filij cadunt, Megabyzo quoque grauiter saucio. Quem huius casum Artaxerxes, itémque Amytis & Rhodogune, ipsarúmque mater Amistris vehementer luxerunt. tandem tamen, etsi ægrè admodum, insigni diligentia Apollonidæ Coï medici seruatus est.

b Paulò ante Spamitres dictus.
c Habes id à Plut. descriptum in vita Artaxerxæ, non à principio.

Desciscunt ab Artaxerxe Bactra, vna cum Satrapa Artapano altero, & pugnatur æquo vtrimque Marte. Sed cum iam altero inito prœlio in Bactriorum faciem ventus spiraret, superior Artaxerxes efficitur, atque in eius ditionem Bactria concedit vniuersa.

Defecit & Ægyptus, Inaro Lydio, alteróque Ægyptio quodam defectionis auctoribus, & omnia bello gerendo necessaria comparantur. quin & Athenienses Inaro petenti quadraginta naues submittunt. Quamobrem *Artaxerxes* ipse in hãc expeditionem proficisci cogitabat. Verum id ei amicis dissuadentibus, Achæmenidem fratrem cum peditum millibus quadringentis, & nauibus octoginta in Ægyptum mittit. Confligit Inarus cum Achemenide: superãt Ægyptij: Achemenides ipse ab Inaro percussus moritur, corpúsque ad Artaxerxen mittitur. In mari quoque victoriam Inarus obtinuit, magnam ibi gloriam indepto Charitimide, qui quadraginta illarum nauium, quæ ab Atheniẽsibus aduenerant, præfectus erat. Nam ex quinquaginta nauib. Persicis, viginti cum ipsis hominibus captæ sunt, reliquæ triginta periere. Mittitur post hæc Megabyzus aduersus Inarum, qui ad copias quæ reliquæ fuerant, alium ducebat exercitum ducentorum millium, cum nauibus trecentis. quibus Oriscus præerat: vt præter naues, reliquæ copiæ quingentorum millium numerum explerent. nam cum Achæmenides cecidit, è quadringentis millibus quæ duxerat, centum vnà millia perierant. Pugnatur itaque modo acriter, ac multis vtrimque cadentibus, plures tamen Ægyptij occumbũt. Inarum tandem Megabyzus in femore vulnerat, atque in fugam vertit: & viribus Persæ fortiores facti vincunt. Fugiens autem Inarus, Byblũ se recepit (vrbs hęc in Ægypto est admodũ munita) & cum eo Græci omnes, quicumq; vel in prælio, vel cũ Charimitide cæsi non fuerãt.

καὶ αὐτοῦ μέγα δυναμένου, βουλεύονται) ἀνελεῖν Ξέρξην: καὶ ἀναιροῦσι· καὶ πείθουσιν Ἀρταξέρξην τὸν υἱὸν, ὡς Δαρειαῖος αὐτὸν ὁ ἕτερος παῖς ἀνεῖλε. καὶ παραγίνεται) [*] Ἀρταξέρξης ἀγόμενος ὑπὸ Ἀρταπάνου εἰς τὴν οἰκίαν [*] Δαρειαίου, πολλὰ βοῶν καὶ [*] ἀπαρνούμενος ὡς οὐκ εἴη φονεὺς τοῦ πατρός. καὶ ἀποθνήσκει. καὶ βασιλεύει Ἀρταξέρξης, σπουδῇ Ἀρταπάνου· καὶ ἐπιβουλεύεται πάλιν ὑπ' αὐτοῦ, καὶ λαμβάνει κοινωνὸν τῆς βουλῆς Ἀρτάπανος Μεγάβυζον, ἤδη λελυπημένον ἐπὶ τῇ ἰδίᾳ γυναικὶ Ἀμύτι, διὰ τὴν τῆς μοιχείας ὑπόληψιν. καὶ ὅρκοις ἀλλήλους ἀσφαλίζονται). ἀλλὰ μηνύει πάντα Μεγάβυζος, καὶ ἀναιρεῖται Ἀρτάπανος ᾧ τρόπῳ ἔμελλεν ἀναιρεῖν [*] Ἀρταξέρξην. καὶ γίνεται πάντα δῆλα τὰ εἰργασμένα ἐπὶ Ξέρξῃ καὶ Δαρειαίῳ. καὶ ἀπόλλυται πικρῷ καὶ κακίστῳ θανάτῳ Ἀσπαμίτρης, ὃς ἦν κοινωνὸς ἐπὶ τοῖς φόνοις Ξέρξου καὶ Δαρειαίου· σκαφεύεται γὰρ, καὶ οὕτως ἀναιρεῖται. μάχη δὲ γίνεται μετὰ τὸν θάνατον Ἀρταπάνου, τῶν τε συνωμοτῶν αὐτοῦ, καὶ τῶν ἄλλων περσῶν. καὶ πίπτουσιν ἐν τῇ μάχῃ οἱ τρεῖς τοῦ Ἀρταπάνου υἱοί. τραυματίζεται δὲ καὶ Μεγάβυζος ἰσχυρῶς· καὶ θρηνεῖ Ἀρταξέρξης καὶ ἡ Ἄμυτις, καὶ ἡ Ῥοδογούνη, καὶ ἡ μήτηρ αὐτῶν Ἀμιστρις. καὶ μόλις πολλῇ ἐπιμελείᾳ περισώζεται [*] Ἀπολλωνίου ἰατροῦ τοῦ κῴου. ἀφίσταται Ἀρταξέρξου Βάκτρα, καὶ ὁ σατράπης ἄλλος Ἀρτάβανος· καὶ γίνεται μάχη ἰσοπαλής. καὶ γίνεται πάλιν ἐκ δευτέρου. καὶ ἀνέμου κατὰ πρόσωπον Βακτρίων πνεύσαντος, νικᾷ Ἀρταξέρξης, καὶ προσχωρεῖ αὐτοῦ πᾶσα Βακτρία. ἀφίσταται Αἴγυπτος, Ἰνάρου λυδίου ἀνδρὸς, καὶ ἑτέρου Αἰγυπτίου τὴν ἀπόστασιν μελετήσαντος· καὶ ἀντευτρεπίζεται τὰ πρὸς πόλεμον. πέμπουσι καὶ ἀθηναῖοι, αἰτησαμένου αὐτοῦ, τεσσαράκοντα νῆας [καὶ] μελετᾷ αὐτὸς Ἀρταξέρξης ἐκστρατεῦσαι. καὶ τῶν φίλων οὐ συμβουλευόντων, πέμπει Ἀχαιμενίδην τὸν ἀδελφὸν, τεσσαράκοντα μὲν μυριάδας ἐπαγόμενον στράτευμα πεζικὸν, νῆας δὲ π'. συμβάλλει πόλεμον Ἴναρος πρὸς Ἀχαιμενίδην. καὶ νικῶσιν Αἰγύπτιοι, καὶ βάλλεται Ἀχαιμενίδης ὑπὸ Ἰνάρου, καὶ θνήσκει, καὶ ἀποπέμπεται ὁ νεκρὸς αὐτοῦ εἰς Ἀρταξέρξην. ἐνίκησεν Ἴναρος καὶ κατὰ θάλασσαν, Χαριτιμίδου εὐδοκιμήσαντος, ὃς τῶν ἐξ ἀθηνῶν τεσσαράκοντα νηῶν [*] ἐχρημάτισε ναύαρχος. καὶ ν' περσῶν νῆες, αἱ μὲν εἴκοσιν, αὐτοῖς ἀνδράσιν ἐλήφθησαν: αἱ δὲ λ' διεφθάρησαν. εἶτα πέμπεται κατὰ Ἰνάρου Μεγάβυζος, ἐπαγόμενος ἄλλο στράτευμα πρὸς τῷ ὑπολειφθέντι, μυριάδας εἴκοσι, καὶ νῆας τ'. καὶ ἐπιστάτην αὐτοῖς [*] Ὠρίσκον. ὡς εἶναι χωρὶς τῶν νεῶν, τὸ ἄλλο πλῆθος ν' μυριάδας. Ἀχαιμενίδης γὰρ ὅτε ἔπεσε, δέκα μυριάδας αὐτοῦ, ἐξ ὧν ἦγε μ'. συνδιεφθάρησαν. γίνεται οὖν μάχη κρατερὰ, καὶ πίπτουσιν ἀμφοτέρωθεν πολλοὶ, πλείους δὲ αἰγύπτιοι. καὶ βάλλει Μεγάβυζος εἰς τὸν μηρὸν Ἴναρον, καὶ τρέπεται: καὶ νικῶσι πέρσαι κατακράτος. φεύγει δὲ [*] πρὸς τὴν Βύβλον Ἴναρος (πόλις δὲ ἰσχυρὰ ἐν αἰγύπτῳ αὕτη) καὶ οἱ ἕλληνες δὲ μετ' αὐτοῦ, ὅσοι μὴ ἐν τῇ μάχῃ καὶ μετὰ Χαριτιμίδου ἀπέθανον.

προσχωρεῖ

[*] Δαρειαίου. H. St.
[*] Ἀρταξέρξῃ. H. St.
[*] ἀπαρνούμενος. H. St.
[*] Ἀρταξέρξην. H. St.
[*] Ἀπολλωνίδου. H. St.
[*] ἐχρημάτιζε. H. St.
[*] Ὀρίσκον. H. St.
[*] ἐς.

CTESIAE PERSICA.

προσχωρεῖ δὲ Αἴγυπτος πλὴν Βύβλου πρὸς Μεγάβυζον. ἐπεὶ δὲ ἐκείνη ἀνάλωτος ἐδόκει, σπένδεται πρὸς Ἴναρον καὶ τοὺς Ἕλληνας ἑξακισχιλίους ὄντας καὶ ἔτι πρός, ὁ Μεγάβυζος, ἐφ' ᾧ μηδὲν κακὸν παρὰ βασιλέως λαβεῖν, καὶ τοὺς Ἕλληνας, ὅτε βούλοιντο, πρὸς τὰ οἰκεῖα ἐπανελθεῖν. καθίστησι δὲ τῆς Αἰγύπτου σατράπην * Σαρτάμαν· καὶ λαβὼν Ἴναρον καὶ τοὺς Ἕλληνας, παραγίνεται πρὸς Ξέρξην, καὶ εὑρίσκει λίαν κατὰ Ἰνάρου τεθυμωμένον, ὅτι τὸν ἀδελφὸν Ἀχαιμενίδην ἀπεκτόνως εἴη. διηγεῖται τὰ γεγονότα πάντα, Μεγάβυζος, καὶ ὡς πίστεις δοὺς Ἰνάρῳ καὶ τοῖς Ἕλλησι, Βύβλον εἴληφε. καὶ ἐξαιτεῖται λιπαρῶς βασιλέα περὶ τῆς * αὐτοῦ σωτηρίας, καὶ λαμβάνει. καὶ ἐξάγεται τέλος τῇ * στρατιᾷ ὡς Ἴναρος καὶ οἱ Ἕλληνες οὐδὲν κακὸν πείσονται. Ἄμυτις δὲ ὑπὲρ τοῦ παιδὸς Ἀχαιμενίδου δεινὰ ἐποιεῖτο, εἰ μὴ * τιμωρήσαι τὸν Ἴναρον καὶ τοὺς Ἕλληνας· καὶ αἰτεῖται ταῦτα * βασιλεῖ, ὁ δὲ οὐκ ἐνδίδωσιν· εἶτα Μεγάβυζον, ὁ δὲ ἀποπέμπεται. εἶτα ἐπεὶ διώχλει τὸν υἱόν, κατειργάσατο· καὶ πέντε παρελθόντων ἐτῶν, λαμβάνει τὸν Ἴναρον παρὰ βασιλέως καὶ τοὺς Ἕλληνας. καὶ ἀνεσταύρωσε μὲν ἐπὶ τρισὶ σταυροῖς· πεντήκοντα δὲ Ἑλλήνων, ὅσους λαβεῖν ἴσχυσε, τούτων ἔτεμε τὰς κεφαλάς. καὶ ἐλυπήθη λύπην σφοδρὰν Μεγάβυζος, καὶ ἐπένθησε· καὶ ᾐτήσατο ἐπὶ Συρίαν τὴν ἑαυτοῦ χώραν ἀπιέναι· ἐνταῦθα λάθρα καὶ τοὺς ἄλλους τῶν Ἑλλήνων προέπεμψε, καὶ ἀπῄει· καὶ ἀφίστη βασιλέως· καὶ ἀθροίζει μεγάλην δύναμιν, ἄχρι πεντεκαίδεκα μυριάδων, χωρὶς τῶν ἱππέων καὶ τῶν πεζῶν. καὶ πέμπεται * Ὄσιρις κατ' αὐτοῦ σὺν εἴκοσι μυριάσι. καὶ συνάπτεται πόλεμος, καὶ βάλλουσιν ἀλλήλους Μεγάβυζος καὶ * Ὄσιρις, ὁ μὲν ἀκοντίῳ καὶ τυγχάνει Μεγαβύζου εἰς τὸν μηρόν, καὶ τιτρώσκει ἄχρι δακτύλων δύο· ὁ δὲ ὡσαύτως ἀκοντίῳ τὸν τοῦ * Ὀσίριος μηρόν· εἶτα βάλλει εἰς τὸν ὦμον· καὶ καταπίπτει ἐκ τοῦ ἵππου. καὶ περισχὼν Μεγάβυζος, προστάσσει ἀναλαβεῖν καὶ περισώσαι. ἔπεσον δὲ πολλοὶ τῶν Περσῶν, καὶ ἐμάχοντο ἀνδρείως οἱ τοῦ Μεγαβύζου παῖδες, Ζώπυρος καὶ * Ἀρτύφιος· καὶ νίκη γίνεται Μεγαβύζῳ κραταιά. περιποιεῖται Ὄσιριν ἐπιμελῶς, καὶ ἀποπέμπει * τοῦτο αἰτησάμενον πρὸς Ἀρταξέρξην. πέμπεται δὲ κατ' αὐτοῦ ἑτέρα στρατιὰ καὶ Μενοστάτης ὁ τοῦ Ἀρταρίου παῖς. ὁ δὲ Ἀρτάριος, σατράπης μὲν ἦν Βαβυλῶνος, Ἀρταξέρξου δὲ ἀδελφός. καὶ συμβάλλουσιν ἀλλήλοις, καὶ φεύγει ἡ Περσικὴ στρατιά. καὶ Μενοστάτης βάλλεται εἰς τὸν ὦμον ὑπὸ Μεγαβύζου. εἶτα εἰς τὴν κεφαλὴν τοξεύεται οὐ καιρίαν· φεύγει δὲ ὅμως αὐτὸς καὶ οἱ μετ' αὐτοῦ, καὶ νίκη λαμπρὰ γίνεται Μεγαβύζῳ. Ἀρτάριος δὲ πέμπει πρὸς Μεγάβυζον, καὶ παραινεῖ σπείσασθαι βασιλεῖ. ὁ δὲ δηλοῖ σπείσασθαι μὲν βούλεσθαι καὶ αὐτόν· οὐ μέν τοι παραγενέσθαι πρὸς βασιλέα· ἀλλ' ἐφ' ᾧ μένειν ἐν τῇ * αὐτοῦ. ἀπαγγέλλεται ταῦτα βασιλεῖ· καὶ συμβουλεύουσιν * Ἀρτοξάρης τε ὁ Παφλαγὼν [εὐνοῦχος.] ἀλλὰ καὶ ἡ Ἄμιστρις, σπουδῇ σπείσασθαι. πέμπεται οὖν Ἀρτάριός τε αὐτός, καὶ Ἄμυτις ἡ γυνή, καὶ Ἀρτοξάρης, ἐτῶν ἤδη ὢν εἴκοσι, καὶ Πετίσας ὁ * Ὀσίριος καὶ Σπιτάμα πατήρ.

* Σαρτάμαν.
* αὐτοῦ.
* στρατιᾷ.
* al. τιμωρήσαιτ. Ἴναρον.
* βασιλέα, H. S.
* al. Ὄσιρις.
* Ὀσίριος.
* Ὀσίριος.
* Ἀρτύφιος.
* τοῦτο H. St.
* ἑαυτοῦ H. St.
* Ἀρτοξάρης.
* al. Ὀσίριος.

Qua ex re præter Byblum, Aegyptus vniuersa ad Megabazi partes se adiunxit. & quoniam byblus expugnari non posse videbatur, Megabyzus cum Inaro & Græcis, quorum erant supra sex millia, fide data pacifcitur, nullum eos a rege incommodum accepturos, ac Græcos etiam, cum liberet, domum reuersuros. Sartaman igitur cùm Ægypto præfecisset, adsumpto secum Inaro Græcisque ad Artaxerxem proficiscitur. quem inuenit Inaro vehementer iratum, quod is Achæmenidem regis fratrem interfecerat. Porro Megabyzus, quæ gesta fuerant, omnia narrat, & quomodo fide Inaro Græcisque data Byblum ceperit: precibus dein multis apud regem instando, vt saluos eos esse vellet, postulata impetrat: tandémque ad exercitum defertur, Inarum ac Græcos nihil mali esse passuros.

Enimuerò [a] Amytis, præ dolore ex filij Achemenidæ interitu, indignam rem fore arbitrabatur, nisi cum Græcis Inaris quoque pœnas sibi daret, quare ab rege sibi illos poposcit. Verum ille non tradidit. Deinde Megabyzum ipsum exposcit, sed æque repellitur: donec tandem, dum filio molesta esse non desinit, quod optabat confecit, quintúmque post annum Inarum pariter & Græcos à rege accepit. Et crucibus quidem [b] tribus illum suffixit: de Græcis verò quinquaginta (tot enim capere potuit) capita curauit amputari.

Magno ergo Megabyzus dolore luctuque oppressus, vt sibi in Syriam regionem suâ proficisci liceret, petiit, quò iam occulte cæteros Græcorum præmiserat, eóque aliquando profectus, à rege desciuit, magnas omnino copias colligens, ad centū vsque & quinquaginta millia, seorsum equitum peditúmq; Aduersus eum Osiris mittitur, cum ducentis millibus. Conserta dein manu, mutuo sese vulnerant Osiris ac Megabyzus. Ille iaculo Megabyzi femur attingens, duos altum digitos vulnus inflixit. Hic itidem iaculo Osiris primum femur, deinde & humerum ita percussit, vt etiam ex equo ceciderit. at complexus eum Megabyzus, sublatum seruari iussit. Multi illic Persæ ceciderunt, Zopyro atque Artiphio Megabyzi filiis strenuè pugnantibus, ingentique Megabyzus potitur victoria. Osirin autem omni cura conseruare studet; quem etiam ad Artaxerxem, ipsum repetentem, dimisit. Mittitur deinde & alter aduersus Megabyzum exercitus, vnáque Menostrates Artarij filius. erat Artarius Babylonis Satrapa, & Artaxerxæ ipsius frater. Concurrunt iterum exercitus: sed Persæ fugiunt, & Menostates in humero à Megabyzo percutitur, post etiam in capite, at non lethali vulnere, sagittā excepit. fugit tamen cum suis omnibus, & Megabizo illustrem victoriam concedit. His rebus ita gestis, monet Megabyzum per legatos Artarius, cum Rege vt pacifcatur. Ille se pacisci quidem cum rege paratum ostendit, non tamē ad eum proficisci, sed in sua manere prouincia velle. Hæc regi nuntiantur, quem Artoxares, è Paphlagonia eunuchus, ipsáque adeo Amistris hortantur, properè vt pacifcatur. Ipse itaque Artarius, & Amytis vxor, vnáque Artoxares, vicesimum iam agens annum, & Osioros filius Petisas, qui & Spitamæ pater, mittuntur:

a [illegible] Artaxerxis mater.

b Ita Plut. in Artaxerxe refert [illegible]

CTESIAE PERSICA.

Hi multis sermonibus ac iuramentis securum Megabyzũ reddentes, ægrè tamen persuadent, vt ad regem proficiscatur. Cui tandem reuerso, rex significauit, veniam se illi eorum quæ admisisset, dare. Egressus post hæc aliquando ad venationem rex, à leone inuaditur, quem in sublime sese attollentem, iaculo percutiens Megabyzus interficit. Id factum grauiter tulit Artaxerxes, quod antequam ipse feram nactus esset, eam Megabyzus confecisset, quare caput ei abscindi imperat. Sed Amistris, & Amytis, & aliorum precibus, mortis ei pœna condonata, ad vrbem quandam Cyrtæ nomine, circa mare rubrũ, relagatur. Artoxares quoque eunuchus, quod sæpius apud regem pro Megabyzo liberius locutus fuisset, in Armeniam mittitur exsulatum. At Megabyzus, quinque in exsilio transactis annis, pisagan sese simulando, aufugit (Pisagas autem Persis dicitur leprosus, ad quem nemini omnium accedere permittitur) domumque ad Amytin reuersus, ægrè tandem agnitus est. Hinc per Amistrin atque Amytin cum rege reconciliatur: qui eum, vti antea, suæ mensæ participem fecit. Verum cum sex iam & septuaginta vixisset annos, magno regis cum dolore mortuus est.

Post Megabyzi mortem, cum multis admodum viris Amytis consuescebat, vt ante eam mater quoq; Amistris. Apollonides ergo, Cous ille medicus, cum Amytis leuiter ægrotaret, & eius ipse amore captus esset, fore dixit, vt ea in pristinam valetudinem restitueretur, si cum viris congrederetur, nam vuluæ vexari morbo. Quæ cum illi ars ex voto successisset, atque cum ea concubuisset, vbi fœminam contabescere animaduertit, abstinuit à consuetudine. Igitur illa, morte accedẽte, matri indixit, Apollonidẽ vt vlcisceretur. Hæc regi ipsi Artaxerxi rẽ omnẽ exposuit, & quomodo filia vellet de Apollonide suppliciũ sumi, sibi indicasset. Rex, quidquid matri visum agendi fecit potestatem: quæ cum vinctum Apollonidem integro bimestri excruciasset, viuum postea defodi, eodem ipso tempore curauit, quo Amytis diem suum obiit.

Zopyrus autem, Megabyzi & Amytis filius, vtroque orbatus parente, à rege desciuit, Athenásque profectus est, propterea quod mater eius Athenienses olim beneficiis affecerat. Caunum ergo ipse, nauibus cum asseclis delatus, tradi sibi vrbem postulat. Caunij tradere se ipsi quidem vrbem paratos responderunt; qui vero ipsum sequebantur Atheniensibus, nequaquam. quare in Zopyri muros subeuntis caput, saxum Alcides Caunius coniecit, ex quo ille ictu mortuus est. Caunium hunc Amistris auia cruci affixit: ac tandem ipsa quoque senio confecta decessit. Quin & Artaxerxes vita abiit, cum duos & quadraginta regnasset annos [Atque hic finis septimi-decimi historiarum libri, inchoaturque octauus-decimus.]

REGNVM Artaxerxæ defuncti filius Xerxes excepit, solus legitimus è coniuge Damaspia, quæ ipso illo die quo Xerxes [postea] vita decessit. Bagorazus vero patris matrísque corpus in Persiam auexit. Septemdecim huic Artaxerxæ spurij filij fuerunt, in quibus Secyndianus, ex Alogune Babylonia; & Ochus,

πολλοῖς οὖν * ὅρκοις καὶ λόγοις πληροφορήσαντες Μεγάβυζον, μόλις ὅμως πείθουσι πρὸς βασιλέα παραγενέσθαι. καὶ βασιλεὺς τέλος, ἔπεμπε παραγενομένῳ συγγνώμην ἔχειν τῶν * ἡμαρτημένων. ἐξέρχεται βασιλεὺς ἐπὶ θήραν, καὶ λέων ἐπέρχεται αὐτῷ. μετεώρου δὲ φερομένου τοῦ θηρίου, βάλλει ἀκοντίῳ Μεγάβυζος, καὶ ἀναιρεῖ· καὶ ὀργίζεται Ἀρταξέρξης, ὅτι πρὶν ἢ αὐτὸς τύχῃ, Μεγάβυζος ἔβαλε. καὶ προστάσσει τὴν κεφαλὴν τὸν Μεγάβυζον ἀποτμηθῆναι. Ἀμύστριος δὲ καὶ Ἀμύτιος καὶ τῶν ἄλλων τῇ παραιτήσει, τοῦ μὲν θανάτου ῥύεται: ἀνάσπαστος δὲ γίνεται εἰς τὴν ἐρυθρὰν ἔν τινι πόλει, ὀνόματι Κυρταῖ. ἐξορίζεται δὲ καὶ Ἀρτοξάρης [ὁ εὐνοῦχος] εἰς Ἀρμενίαν, ὅτι πολλάκις ὑπὲρ Μεγαβύζου βασιλεῖ ἐπαρρησιάσατο. ὁ δὲ Μεγάβυζος πέντε διατρίψας [ἐν] τῇ ἐξορίᾳ ἔτη, ἀποδιδράσκει, ὑποκριθεὶς [εἰς] τὸν * Πισάγαν. Πισάγας δὲ λέγεται παρὰ Πέρσαις ὁ λεπρὸς, καὶ ἔστι πᾶσιν ἀπρόσιτος. ἀποδρὰς οὖν παραγίνεται πρὸς Ἄμυτιν καὶ τὸν οἶκον, καὶ μόλις ἐπιγινώσκεται. καὶ διὰ Ἀμύστριος καὶ [διὰ] Ἀμύτιος καταλλάσσεται ὁ βασιλεὺς, καὶ ποιεῖ αὐτὸν, ὡς τὸ πρόσθεν, ὁμοτράπεζον. ζήσας δὲ ἓξ καὶ ἑβδομήκοντα ἔτη, ἀπέθανε: καὶ κάρτα ἤχθέσθη βασιλεύς. τελευτήσαντος δὲ Μεγαβύζου, κάρτα ἦν Ἄμυτις ἀνδράσιν ὁμιλοῦσα. καὶ πρό γε ταύτης, καὶ ἡ μήτηρ Ἄμυστρις ὁμοίως. ὁ δὲ Ἀπολλωνίδης ὁ ἰατρὸς ὁ Κῷος, ἐπεὶ ἀσθενῶς εἶχεν Ἄμυτις, εἰ καὶ * ἀβληχρῶς καὶ οὐκ ἰσχυρῶς· ἐκεῖνος δὲ ἠράσθη αὐτῆς, ἔφη: εἰς τὴν ὑγιείαν αὐτὴν ἐπανελθεῖν, ἐὰν ἀνδράσιν ὁμιλήσῃ, τῆς γὰρ ὑστέρας εἶναι τὸ νόσημα. ἐπεὶ δὲ αὐτῷ ἐγεγένητο τὸ ἐπιτήδευμα, καὶ ὡμίλει αὐτῇ, ἡ δὲ ἀθρόως ἐμαραίνετο: ἀπέστη τῆς συνουσίας. τελευτῶσα δὴ οὖν ἐπέσκηψε τῇ μητρὶ ἀμύνασθαι Ἀπολλωνίδην. ἡ δὲ ἀπήγγελλε πάντα Ἀρταξέρξῃ τῷ βασιλεῖ, ὅπως τε ὡμίλει, καὶ ὅπως ἀπέστη ὑβρίσας, καὶ ὅπως ἡ θυγάτηρ ἐπέσκηψεν Ἀπολλωνίδην ἀμύνασθαι. ἐκεῖνος δὲ τῇ μητρὶ τὸ παριστάμενον αὐτῇ πράττειν ἐπιτρέπει. ἡ δὲ λαβοῦσα ἔδησε τὸν Ἀπολλωνίδην, δυσὶ μησὶ κολάζουσα. ἔπειτα ζῶντα κατώρυξεν, ὅτε καὶ Ἄμυτις ἀπέθανε. Ζώπυρος δὲ ὁ Μεγαβύζου καὶ Ἀμύτιος παῖς, ἐπεὶ αὐτῷ ὅ τε πατὴρ καὶ ἡ μήτηρ ἐτελεύτησεν, ἀπέστη βασιλέως· καὶ εἰς Ἀθήνας ἀφίκετο, κατὰ τὴν τῆς μητρὸς εἰς αὐτοὺς εὐεργεσίαν. εἰς Καῦνον δὲ ἅμα τοῖς ἑπομένοις εἰσέπλευσε, καὶ ἐκέλευσε παραδιδόναι τὴν πόλιν. Καύνιοι δὲ αὐτῷ μὲν παραδιδόναι τὴν πόλιν ἔφασκον: Ἀθηναίοις δὲ τοῖς συνεπομένοις, οὐκ ἔτι. εἰσιόντι δὲ Ζωπύρῳ εἰς τὸ τεῖχος, λίθον Ἀλκίδης Καύνιος ἐμβάλλει εἰς τὴν κεφαλὴν, καὶ οὕτω Ζώπυρος ἀποθνήσκει. Ἄμιστρις δὲ ἡ μάμμη τὸν Καύνιον ἀνεσταύρωσεν. ἀποθνήσκει δὲ καὶ (ἡ) Ἄμιστρις κάρτα γραῦς γενομένη. καὶ Ἀρταξέρξης δὲ ἀποθνήσκει μβʹ ἔτη βασιλεύσας. [τέλος τῆς ιζʹ ἱστορίας, ἀρχὴ δὲ τῆς ιηʹ.]

Ἀρταξέρξου δὲ τελευτήσαντος, Ξέρξης ὁ υἱὸς βασιλεύει, ὃς μόνος ἦν γνήσιος ἐκ Δαμασπίας· ἣ ἐν αὐτῇ τῇ ἡμέρᾳ, ἐν ᾗ καὶ Ξέρξης ἐτελεύτησεν, ἀπεβίω. Βαγόραζος δὲ τὸν νεκρὸν τοῦ πατρὸς καὶ τῆς μητρὸς ἀπήγαγεν εἰς Πέρσας, ἑπτακαίδεκα δὲ νόθους υἱοὺς ἔσχεν ὁ Ἀρταξέρξης, ἐξ ὧν ἐστὶ καὶ Σεκυνδιανὸς, ὁ ἐξ Ἀλογούνης τῆς Βαβυλωνίας, καὶ Ὦχος,

* λόγοις ἢ ξ. ... H. St.

* ἁμαρτημάτων.

* πισαγᾶν.

* βληχρῶς.

καὶ

* Κοσμαρτιδήνης

καὶ Ἀρσίτης· ὁ ἐκ * γυναικὸς Μαρτιδηνῆς, καὶ αὐτῆς Βαβυλωνίας· ὁ δὲ Ὦχος ὕστερον καὶ βασιλεύει. ἔτι δὲ παῖδες αὐτοῦ, πρὸς τοῖς εἰρημένοις, καὶ Βαγαπαῖος καὶ Παρύσατις, ἐξ Ἀνδίας, καὶ αὐτῆς Βαβυλωνίας. αὕτη ἡ Παρύσατις Ἀρταξέρξου καὶ Κύρου μήτηρ ἐγένετο. τὸν δὲ Ὦχον ζῶν ὁ πατὴρ, Ὑρκανίων σατράπην ἐποίησε, δοὺς αὐτῷ καὶ γυναῖκα Παρύσατιν ὄνομα· ἥτις ἦν Ξέρξου μὲν θυγάτηρ, ἀδελφὴ δὲ οἰκεία. ὁ δὲ Σεκυνδιανὸς προσποιησάμενος Φαρνακύαν [τὸν εὐνοῦχον] ὃς ἦν μετὰ Βαγόραζον καὶ Μενοστάνη καὶ ἑτέρους τινὰς, μεθυσθέντος ἐν ἑορτῇ τινι τοῦ Ξέρξου, καὶ καθεύδοντος ἐν τοῖς βασιλείοις, εἰσελθόντες ἀποκτείνουσιν αὐτὸν, τεσσαρακοστῆς καὶ πέμπτης ἡμέρας διαγενομένης ἀπὸ τῆς τοῦ πατρὸς τελευτῆς. συνέβη οὖν ἀμφοτέρους ἅμα εἰς Πέρσας ἀποκομισθῆναι. αἱ γὰρ ἄγουσαι τὴν ἁρμάμαξαν ἡμίονοι, ὥσπερ ἀναμένουσαι καὶ τὸν τοῦ παιδὸς νεκρὸν, οὐκ ἤθελον πορεύεσθαι. ὅτε δὲ κατέλαβε, σὺν προθυμίᾳ ἀπῄεσαν. βασιλεύει δὲ Σεκυνδιανὸς, καὶ γίνεται ἀζαβαρίτης αὐτῷ Μενοστάνης. ἀπιὼν δὲ Βαγόραζος, καὶ ὑποστρέψας πρὸς Σεκυνδιανὸν, ἐπεὶ παλαιὰ αὐτοῖς ἔχθρα ὑπετύφετο, ὡς δῆθεν ἄνευ τῆς ἑαυτοῦ γνώμης, τοῦ πατρὸς λιπὼν τὸν νεκρὸν αὐτοῦ προστάξει βασιλέως λιθόλευστος ἐγεγόνει: ἐφ' ᾧ στρατιὰ εἰς λύπην κατηνέχθη. ὁ δὲ δῶρα αὐτῇ ἐδίδου· οἱ δὲ ἐμίσουν αὐτὸν, ὅτι τε τὸν ἀδελφὸν Ξέρξην ἀπέκτεινε, καὶ ὅτι Βαγόραζον. διαπέμπεται Σεκυνδιανὸς προσκαλούμενος Ὦχον. ὁ δὲ ὑπισχνεῖται μὲν, οὐ παραγίνεται δέ. καὶ γίνεται τοῦτο πολλάκις. τέλος περιβάλλεται Ὦχος πολλὴν στρατιὰν, καὶ ἔνδηλος ἦν βασιλεύσων. ἀφίσταται Ἀρβάριος ὁ τῶν ἱππέων Σεκυνδιανοῦ ἄρχων πρὸς Ὦχον· εἶτα Ἀρξάνης ὁ Αἰγύπτου σατράπης· καὶ Ἀρτοξάρης δὲ ἐξ Ἀρμενίας ἧκε πρὸς Ὦχον. καὶ ἐπέθεντο αὐτῷ τὴν κίταριν, οὔ τι ἑκόντι. βασιλεύει Ὦχος, καὶ μετονομάζεται Δαρειαῖος. καὶ μετέρχεται ἀπάτῃ καὶ ὅρκοις, ὑποθήκῃ Παρυσάτιδος, τὸν Σεκυνδιανόν· πολλὰ * μὲν Ὀστάνους παραινοῦντος Σεκυνδιανὸν, μὴ πιστεύειν τοῖς ὅρκοις, μηδὲ σπένδεσθαι τοῖς ἐξαπατῶσι. πείθεται δ' οὖν ὅμως, καὶ ἁλίσκεται, καὶ εἰς τὴν σποδὸν ἐμβάλλεται, καὶ ἀπόλλυται. βασιλεύει οὖν μόνος Ὦχος, ὁ καὶ Δαρειαῖος, μῆνας ϛ', ἡμέρας ιε'. εὐνοῦχοι δὲ τρεῖς ἠδύναντο παρ' αὐτῷ, μέγιστον μὲν * Ἀρτοξάρης, δεύτερος δὲ * Ἀρτιβαρζάνης, καὶ τρίτος Ἀθῷος. ἐχρῆτο δὲ μάλιστα τῇ γυναικὶ συμβούλῳ: ἐξ ἧς πρὸ τῆς βασιλείας δύο ἔσχε τέκνα, Ἄμιστριν θυγατέρα, καὶ Ἀρσάκαν υἱὸν ὃς ὕστερον μετωνομάσθη Ἀρταξέρξης. τίκτει δὲ αὐτῷ ἕτερον υἱὸν βασιλεύουσα, καὶ τίθεται τὸ ὄνομα αὐτῷ ἀπὸ τοῦ ἡλίου Κῦρον. εἶτα [τίκτει] Ἀρτόστην, καὶ ἐφεξῆς μέχρι παίδων δεκατριῶν. καί φησιν ὁ συγγραφεὺς, αὐτὸς παρ' αὐτῆς ἐκείνης τῆς Παρυσάτιδος ταῦτα ἀκοῦσαι. ἀλλὰ τὰ μὲν ἄλλα τῶν τέκνων ταχὺ ἀπεβίω: οἱ δὲ περιγενόμενοι, οἱ προρρηθέντες τυγχάνουσι, καὶ ἔτι τέταρτος υἱὸς, Ὀξένδρας ὀνομασμένος. ἀφίσταται βασιλέως Ἀρσίτης ὁ οἰκεῖος ἀδελφὸς, ὁμοπάτριος καὶ ὁμομήτριος, καὶ Ἀρτύφιος ὁ Μεγαβύζου.

* Μενοστάνους H. St.

* Ἀρτοξάρης H. St.

* Ἀρτιβαρζάνης H. St.

atque Arsites: ille ex muliere quadam Martidene nomine, etiam ipsa Babylonia: Ochus autem hic post etiam regno potitur. Porro præter iam dictos ipsius æque liberi fuêre, Bagapæus & Parysatis ex Andia, item Babylonia: Hæc Parysatis Artaxerxæ postea Cyrique mater fuit. Ochum pater, dum adhuc in viuis esset, Hyrcaniorum Satrapam constituerat, data ei vxore cui Parysati nomen, quæ Xerxæ filia, ipsiusque Ochi soror erat.

CTESIAE Persica.

Secyndianus vero, adscito sibi Pharnacyo eunucho (qui Bagorazo, & [a] Menostane, ac quibusdã aliis auctoritate inferior erat) cũ Xerxes die quodam festo ebrius in regia dormiret, ingressi vnà eum interficiũt, quadragesimo quinto à patris morte die. Ita euenit, vt amborum simul corpora in Persiam auveherentur. quæ enim antea mulæ currum, [*cum Artaxerxæ cadauere*] protracturæ, tanquam filij quoque cadauer exspectarent, progredi noluerant, eædem, postquam ista contigerunt, magna cum alacritate sunt iter ingressæ.

a sup. Menostanes.

Ita regno potitus Secyndianus, Menostanem sibi creat azabariten: reuersúmque deinde Bagorazum, quando vetus inter eos simultas ardebat, prætexens quod absque suo consilio patris cadauer ibi reliquisset, lapidibus obrui imperauit. Quod factum exercitus molestè admodum tulit: neque vllis largitionibus ille efficere potuit, vt non eum tum ob Xerxæ fratris, tum ob Bagorazi cædem, vehementer odissent. Dimittit postea Secyndianus qui Ochum accerseret. Qui se venturum sæpius pollicitus, non tamen venit, donec multis tandem munitus copiis, regnum occupaturus putaretur. Et verò Arbarius equitum Secyndiani præfectus, ab eo ad Ochum deficit, post hunc Ægypti Satrapa Arxanes: quin & Artoxares ab ipsa vsque Armenia ad Ochum accessit: cui etiam [b] inuito citarim, hi imposuere.

Ochus ergo regnum adit, mutatóque nomine [c] Dariæus appellatur. Hic dolis mox iuramentísque, Parysatidis monitu, Secyndianum aggreditur: ac multum licet Menostanes hortaretur, ne iuramentis Secyndianus crederet, néue cum fallacibus hominibus pactum vllum iniret, credit tamen, capitur itaque, & [d] in cinerem coniectus moritur, [e] cum menses sex, & dies xv. regnasset.

b De Citari, siue cidari lege doct. Brissonium in Persicis lib. 1.

c Alias Darius Nothus dictus.

d ἢ εἰς τὴν σποδὸν ἐμβάλλεται.

e Sequor versionem editam, quæ locum hunc ex historia ratione restituit.

Solus inde regnat Ochus, qui & Dariæus, apud quem auctoritate valebant tres eunuchi: maximè quidem Artoxanes, post hunc Artibazanes, tertio loco Athôus. Sed vxorem potissimum in consilium adhibebat: ex qua iam ante aditum regnum binos susceperat liberos, Amistrin filiam, & filium Arsacan, qui mutato post nomine [f] Artaxerxes dictus. Parit autem ipsi & alterum filium iam regnans vxor, cui à sole [g] Cyri nomen imponitur: Deinde Artosten, aliósque deinceps ad tredecim vsque liberos. (Hæc scriptor hic ex ipsamet se audisse Parysatide refert.) Verum ceteri quidem cito viuere desierunt, superstitibus relictis iis, quos modo nominauimus, cum quarto insuper filio, cui Oxendræ nomen fecerunt.

f Cognominatus Mnemon.

g Cyrus hic Minor est.

Defecerunt à rege germanus eius frater Arsites, eodem patre, eadémque matre prognatus, & Megabyzi filius Artyphius. Mittitur aduersus hos Artasyras, belloque Artyphium inuadens, duobus è prœliis victus abiit:

πέμπεται Ἀρτασύρας κατ' αὐτῶν, καὶ πολεμεῖ Ἀρτύφιον, καὶ δυσὶ μάχαις Ἀρτασύρας ἡττᾶται.

CTESIÆ PERSICA.

tertio deinde congressus, Artyphium superat, & quos ille secum habebat. Græcos, ita muneribus ad se pellexit, vt tandem cum tribus admodum Milesijs relictus fuerit. quare iureiurando fidéque ab Artasira data, regi sese dedidit. Parysatis vero regi ad Artyphium interficiendum incitato, id consilij dedit, illo ne vt tempore occideret. per eam enim fraudem etiam Arsiten ipsum sese dediturum. vbi hic quoque deceptus, captúsque esset, tum demum tempus vtriusque necandi. Et vero ita factum est, dum ei consilio optatus respondit exitus, & vterque [a] in cinerem coniicitur, etsi Arsiten rex perditum noluit, quod tamen Parysatis partim precibus, partim vi, aliquãdo effecit. Pharnacyas quoque, qui cum Secyndiano Xerxem occiderat, lapidibus obrutus: & Menostanes ipse sibi mortem consciuit, cum iam ad cædem comprehenderetur.

Desciscit Pisuthnes, in quem Tissaphernes mittitur, atque Spithradatas, & Parmises. Tenditque aduersus hos Pisuthnes, Lycônen Atheniensem, cum iis Græcis quorum ille dux erat, secum educens, verum acceptis à regiis ducibus pecuniis, Lycon Græcique Pisuthnẽ deserunt, quem duces deinde, fide data, acceptáque ad regem perducunt. qui ipsum in cinerem coniecit, eiusque satrapiam Tissaphernæ tradidit. Lycon interim vrbes integras ac regiones pro huiusce proditionis mercede accepit.

Artoxares quoque, qui plurimum apud regem poterat, regnandi cupiditate adactus, insidias regi molitur. Hic eunuchus cum esset, barbam sibi mystacásque vt conficeret, vxori imperauit, quò vir esse putaretur, ab ea ipse proditus capitur, & Parysatidi traditus necatur.

Regis autem filius Arsaces, qui ARTAXERXÆ postea nomen tulit, Stateiram Idernæ filiã vxorem accipit, & huius vicissim filius regis filiam. Hæc Amistris, eius sponsus Terituchmes dicebatur, qui & in patris demortui locum Satrapa creatus est. Erat huic soror eodem patre genita, Roxane nomine, quæ cùm forma, tum sagittandi iaculandique peritia præstabat. cuius amore captus Terituchmes, vsuque consuetudine, Amistrin scilicet oderat, vt eã tãdem in saccũ coniicere statuerit, à trecentis ita viris, cũ quibus ille defectionem meditabatur, confodiendam. Verum Vdiastes quidam, qui auctoritate apud Terituchmen pollebat, & litteras iam à rege acceperat promissis plenas, si sua ipsi filia seruaretur incolumis, Terituchmen inuadit atque interficit, cum prius ipse fortiter inuasoribus resistens, eorum multos strauisset, septem enim supra triginta mactasse traditur. Ipsius autem Vdiastæ filius Mithridates, qui Terituchmæ armiger erat, nec turbis hisce interfuerat, vbi facinus intellexit, multas patri diras imprecatus est, captámq; Zarin vrbem, Terituchmæ filio conseruauit. At Parysatis matrẽ Terituchmæ, fratrésq; Metrosten atque Helicum, sorores item duas, quas præter Statiram habebat, [b] viuas defodi iussit; & ipsam Roxanen, viuam item secari. Tantundem de Statira, Arsacæ filij vxore, rex coniugi imperauit.

εἶτα πάλιν συμβαλὼν, νικᾷ Ἀρτύφιον, καὶ ὑπάγεται τοὺς σὺν αὐτῷ Ἕλληνας δώροις, καὶ καταλιμπάνονται αὐτῷ Μιλήσιοι μόνοι τρεῖς. τέλος ὅρκους καὶ πίστεις λαβὼν παρὰ Ἀρτασύρα, ἐπεὶ ὁ Ἀρσίτης οὐκ ἐφαίνετο, προσεχώρησε βασιλεῖ. Παρύσατις δὲ βουλεύεται βασιλεῖ, ὁρμῶντι πρὸς τὸν Ἀρτυβίου θάνατον, μὴ ἀνελεῖν τέως· ἔσεσθαι γὰρ τούτῳ ἀπάτην, καὶ εἰς τὴν προσχώρησιν τοῦ Ἀρσίτου. ἐπειδὰν δὲ κἀκεῖνος ἀπατηθεὶς ἁλῷ, δεῖν τότε ἄμφω διαχρήσασθαι. καὶ γέγονεν οὕτως, εὐοδωθείσης τῆς συμβουλῆς. καὶ ἐμβάλλεται εἰς τὴν σποδὸν Ἀρτύβιος καὶ Ἀρσίτης. καίτοι Ἀρσίτην ὁ βασιλεὺς οὐκ ἐβούλετο * ἀπολέσθαι. ἀλλ' ἡ Παρύσατις τὰ μὲν πείθουσα, τὰ δὲ βιαζομένη ἀπώλεσε. κατελεύσθη δὲ καὶ Φαρνακύας, ὁ συνανελὼν Σεκυνδιανῷ Ξέρξην. ἀνῃρέθη δὲ καὶ Μενοστάνης ὑφ' ἑαυτοῦ, ἤδη πρὸς θάνατον συλλαμβανόμενος. ἀφίσταται Πισσούθνης· καὶ ἀποστέλλεται κατ' αὐτοῦ Τισσαφέρνης, καὶ * Σπιθαραδάτης, καὶ Παρμίσης. ἀντεπεξῄει δὲ Πισσούθνης, ἔχων καὶ Λύκωνα τὸν Ἀθηναῖον, ἅμα Ἕλλησιν ὧν ἐκεῖνος ἦρχε. λαμβάνουσι δὲ οἱ τοῦ βασιλέως στρατηγοὶ * χρήματα, Λύκωνα καὶ τοὺς Ἕλληνας, καὶ ἀφιστῶσι Πισσούθνου. εἶτα δόντες αὐτῷ πίστεις καὶ λαβόντες, ἄγουσι παρὰ βασιλέα. ὁ δὲ εἰς τὴν σποδὸν ἐνέβαλε, * Τισσαφερνίδης τὴν Πισσούθνου σατραπείαν. ἔλαβε δὲ Λύκων καὶ πόλεις καὶ χώρας ὑπὲρ τῆς προδοσίας. Ἀρτοξάρης δὲ, ὃς μέγα ἠδύνατο παρὰ βασιλεῖ, ἐπιβουλεύει βασιλέα, θέλων αὐτὸς βασιλεῦσαι, ἐκτομίας ὑπάρχων· πώγωνα γὰρ καὶ ὑπήνην προσέταξεν αὐτῷ γυναικὶ κατασκευάσαι, ἵνα ὡς ἀνὴρ φαίνοιτο. δι' ἧς καὶ καταμηνύεται, καὶ συλλαμβάνεται, καὶ παραδίδοται Παρυσάτιδι, καὶ ἀναιρεῖται. Ἀρσάκης δὲ ὁ τοῦ βασιλέως παῖς, ὁ καὶ ὕστερον μετονομασθεὶς Ἀρτοξέρξης, γαμεῖ τὴν Ἰδέρνεω θυγατέρα Στάτειραν· τὴν δὲ τοῦ βασιλέως θυγατέρα ὁ τοῦ Ἰδέρνεω υἱός. Ἄμιστρις ἦν ἡ θυγάτηρ. τῷ δὲ ταύτης νυμφίῳ [ὄνομα] * Τεριτούχμης. ὃς καὶ τοῦ πατρὸς τελευτήσαντος, ἀντ' αὐτοῦ σατράπης κατέστη. ἦν δὲ ὁμοπατρία αὐτῷ ἀδελφὴ Ῥωξάνη, καλὴ τῷ εἴδει, καὶ τοξεύειν καὶ ἀκοντίζειν ἐμπειροτάτη. ἐρασθεὶς δὲ ταύτης ὁ Τεριτούχμης, καὶ συγγινόμενος, ἐμίσει Ἄμιστριν. καὶ τέλος ἐμβαλεῖν αὐτὴν εἰς σάκκον, καὶ κατακεντηθῆναι ὑπὸ τριακοσίων ἀνδρῶν, μεθ' ὧν καὶ τὴν ἀπόστασιν * μελετήσασα ἐβουλεύσατο. ἀλλά τις * Οὐδιάστης ὄνομα, ἰσχὺν ἔχων παρὰ Τεριτούχμῃ, καὶ γράμματα παρὰ βασιλέως, πολλὰς ὑποσχέσεις ἔχοντα, εἰ περισωθείη αὐτῷ ἡ θυγάτηρ, δεξάμενος, ἐπιτίθεται καὶ ἀναιρεῖ Τεριτούχμην, γενναίως ἐν τῇ ἐπαναστάσει ἀνδρισάμενον, καὶ πολλοὺς ἀποκτείνοντα. μέχρι γὰρ λʹ καὶ ζʹ φασὶν αὐτὸν ἀποκτεῖναι. ὁ δὲ υἱὸς τοῦ Οὐδιάστου * Μιθριδάτης, ὑπασπιστὴς ὢν Τεριτούχμου, καὶ μὴ παρὼν, ἐπεὶ ἔμαθε· πολλὰ τῷ πατρὶ κατηράσατο, καὶ πόλιν Ζάριν καταλαβὼν, ἐφύλαττε ταύτην τῷ παιδὶ τοῦ Τεριτούχμεω. ἡ δὲ Παρύσατις, τήν τε μητέρα τοῦ Τεριτούχμεω καὶ τοὺς ἀδελφοὺς Μητροστὴν καὶ Ἥλικον, καὶ τὰς ἀδελφὰς δύο οὔσας, χωρὶς τῆς Στατείρας, ζώσας ἐκέλευσε καταχῶσαι· τὴν δὲ Ῥωξάνην ζῶσαν κατατεμεῖν· καὶ ἐγένετο. ὁ δὲ βασιλεὺς εἶπε τῇ γυναικὶ Παρυσάτιδι, ποιῆσαι ὁμοίως καὶ Στάτειραν τὴν Ἀρσάκου γυναῖκα τοῦ παιδός. ἀλλ',

a Eodem hoc mortis genere sublatum quoque Secyndianum sup. & inf. Pisuthnes Brisson. in Persis, vnius exemplum censet. Lycophronis sane Scholiastes φλόγεσσιν [illegible] σποδιὰν, & κόνιν. Sed numquid vtrosque flammam tradere licebit, saltem nouos, apud quos mortuum quid, aut cadauerum, in ignem conijciens, morte puniebatur, vt refert Strabo lib. XV. extr. An forte in Pyratheiorum copiosa cinere, ibid. descripto, extinctos istos suspicari liceat.

Additio Schotti. Præter mentem meam accidit, vt hæc [illegible] nostra prima de Cinerum supplicio hoc loco expressa sit. Nam ecce tibi clarissime descripsit Valerius Max. lib. IX. cap. 2. externorum [illegible] serta, quo supplicij genere perierint, qui hic ἐμβάλλεσθαι εἰς τὴν σποδὸν dicuntur, quod etiam Ouid. in Ib. in his versibus indicat: Vtque necatorum Darii fraude secundi, Sic tua subsidens deuoret ossa cinis. Diuum & beatum Hieronymum olim hanc ipsam phrasin, alterius Machabæorum libri cap. xiij. nu. 5. legisse, quum de sacrilego illo Menelao eodem hoc supplicij genere necato, vulgata eius versio refert, Inde in cinerem deijci iussit sacrilegum.

b Vsitato apud Persas supplicio, vt ex Herod. non vno loco discimus.

c Quod genus supplicij multo etiam post seculis ap. eam gentem vsurpatum, vt quando Regina Hermisdæ regis vxor [illegible] dicitur sup.

* ἀπολέσαι H. St.

* Σπιθραδάτης H. S.

* χρήματα H. St.

* Τισσαφέρνει δοὺς τὴν H. S.

* al. Πητούχμης.

* ἐμελέτησεν, H. St.

* Οὐδιάστου.

* Μιθραδάτης H. S.

ἀλλ' ὅμως Ἀρσάκης πολλὰ τὴν μητέρα καὶ τὸν πατέρα δάκρυσι καὶ κοπετοῖς * ἐξιλεούμενος, ἐπεὶ [δὲ] ἡ Παρύσατις ἐπεκάμφθη, συνεχώρησε· καὶ Ὦχος ὁ Δαρειαῖος εἰπὼν Παρυσάτιδι, πολλὰ μεταμελήσει αὐτήν. [τέλος τῆς ιη. ἱστορίας.]

Ἐν δὲ τῇ ιθ', ἱστορία διαλαμβάνει, ὡς Ὦχος ὁ Δαρειαῖος ἀπέθανεν, ἀσθενήσας ἐν Βαβυλῶνι, ἔτη βασιλεύσας λέ. βασιλεύει δὲ Ἀρσάκης ὁ μετονομασθεὶς Ἀρταξέρξης, καὶ ἐκτέμνεται ὁ Οὐδιάστης τὴν γλῶτταν, καὶ ἐξελκύεται ταύτην ἐξόπισθεν, καὶ θνήσκει. ὁ δὲ παῖς αὐτοῦ * Μιθραδάτης, ἀντὶ τοῦ πατρὸς καθίσταται σατράπης. ἐπεπράχθη δὲ ταῦτα σπουδῇ Στατείρας: καὶ ἠνιᾶτο Παρύσατις. διαβάλλεται Κῦρος ὑπὸ Τισσαφέρνους πρὸς Ἀρταξέρξην τὸν ἀδελφὸν, καὶ καταφεύγει Παρυσάτιδι τῇ μητρὶ, καὶ ἀπολύεται τῆς διαβολῆς. ἀπελαύνει Κῦρος ἠτιμωμένος παρὰ τοῦ ἀδελφοῦ πρὸς τὴν οἰκείαν σατραπείαν, καὶ μελετᾷ ἐπανάστασιν. διαβάλλει Σατιβαρζάνης * Ὀρόνδην, ὡς Παρυσάτιδι μίγνυται, καίτοι λίαν αὐτῆς σωφρονούσης. καὶ ἀναιρεῖται Ὀρόνδης, καὶ ὀργίζεται ἡ μήτηρ τῷ βασιλεῖ, ὅτι Παρύσατις φαρμάκῳ διαφθείρει τὸν Τεριτούχμεω υἱόν. καὶ περὶ τοῦ θάψαντος τὸν πατέρα διὰ τοῦ πυρὸς, παρὰ τὸν νόμον. ἐξ οὗ καὶ ἔλεγχος Ἑλλανίκου καὶ Ἡροδότου, ὡς ψεύδονται. ἀπόστασις Κύρου ἀπὸ τοῦ ἀδελφοῦ, καὶ συναγωγὴ ἑλληνικοῦ στρατεύματος καὶ βαρβαρικοῦ, καὶ στρατηγῶν Κλέαρχος ἑλλήνων. ὅπως τε Συέννεσις ὁ κιλίκων βασιλεὺς ἀμφω συνεμάχει Κύρῳ τε καὶ Ἀρταξέρξῃ. ὅπως τε Κῦρος τῇ ἰδίᾳ * στρατείᾳ καὶ Ἀρταξέρξης πάλιν τῇ οἰκείᾳ παρῄνεσαν. Κλέαρχος δὲ ὁ λακεδαιμόνιος, ὃς ἦρχε τῶν ἑλλήνων, καὶ Μένων ὁ Θετταλὸς, οἳ μετὰ Κύρου ἦσαν, ἀεὶ διαφόροι ἀλλήλοις ἐτύγχανον. διότι τοῖς μὲν Κλεάρχῳ ἅπαντα ὁ Κῦρος συνεβουλεύετο, τοῦ δὲ Μένωνος λόγος οὐδεὶς ἦν. ηὐτομόλουν δὲ ἀπὸ μὲν Ἀρταξέρξου πρὸς Κῦρον πολλοὶ, πρὸς δὲ Ἀρταξέρξην ἀπὸ Κύρου οὐδείς. διὸ καὶ * Ἀρταβάριος προσχωρῆσαι Κύρῳ μελετήσας, καὶ διαβληθεὶς, εἰς τὴν σποδὸν ἐνεβλήθη. προσβολὴ Κύρου πρὸς τὴν βασιλέως στρατιὰν, καὶ νίκη Κύρου. ἀλλὰ καὶ θάνατος Κύρου, ἀπειθοῦντος Κλεάρχῳ. καὶ * αἰκισμὸς τοῦ σώματος Κύρου ὑπὸ τοῦ ἀδελφοῦ Ἀρταξέρξου. τήν τε γὰρ κεφαλὴν καὶ τὴν χεῖρα, μεθ' ἧς τὸν Ἀρταξέρξην ἔβαλεν, αὐτὸς ἀπέτεμε καὶ ἐθριάμβευσεν. ἀναχώρησις Κλεάρχου τοῦ λακεδαιμονίου, ἅμα τοῖς σὺν αὐτῷ ἕλλησι τῆς νυκτὸς, καὶ μία τῶν τῆς Παρυσάτιδος πόλεων μιᾶς κατάληψις. εἶτα σπονδαὶ βασιλέως πρὸς τοὺς ἕλληνας. ὡς Παρύσατις εἰς Βαβυλῶνα ἀφίκετο, πενθοῦσα Κῦρον, καὶ μόλις ἐκομίσατο τὴν κεφαλὴν αὐτοῦ καὶ τὴν χεῖρα: καὶ ἔθαψεν, καὶ ἀπέστειλεν εἰς σοῦσα. τὰ περὶ Βαγαπάτου τοῦ ἀποτεμόντος, προστάξει βασιλέως, τὴν κεφαλὴν ἀπὸ τοῦ σώματος Κύρου. ὅπως ἡ μήτηρ μετὰ βασιλέως κύβοις ἐπὶ συνθήκαις παίξασα, καὶ νικήσασα, ἔλαβε Βαγαπάτην. καὶ ὃν τρόπον τὸ δέρμα περιαιρεθεὶς * ἀνεσταυρώθη ὑπὸ Παρυσάτιδος. ὅτε καὶ τὸ πολὺ ἐπὶ Κύρῳ πένθος * αὕτη ἐπαύσατο, διὰ τὴν πολλὴν τοῦ Ἀρταξέρξου δέησιν.

* ἐξιλεωσάμενος H. St. * Μιθριδάτης. * Ὀρόντην H. St. * στρατιᾷ. * al. Ἀρβάριος H. St. * Βαρβάριος. * ἐκακοποίει H. St. * ἀνεσταυρώθη H. St. * αὐτὴ H. St.

At cum Arsaces multis matrem patrémque lacrymis atque planctibus mitigasset, postquam ipsa Parysatis flexa est, etiam rex pœnam illi condonauit, hoc addito ad vxorem, fore aliquando, vt eam valde pœniteret.

Decimo nono deinde libro refert, vt Ochus Dariæus ex morbo mortuus sit Babylone, cum annos regnasset quinque supra triginta.

ARSACES, idémque [a] ARTAXERXES mutato nomine, regnum deinde suscipit: & exacta retro [per ceruicem] lingua Vdiastæ exsecatur, atque ita moritur, Mithridate eius filio pro parente Satrapa creato. quæ quidem Statiræ studio non sine magno Parysatidis dolore peracta sunt.

Tissaphernes criminatur Cyrum apud Artaxerxem fratrem, mox ille ad matrem confugit, atque ab obiecto crimine absoluitur. Hac ergo à fratre affectus ignominia Cyrus, ad Satrapiam suam recedit, ac de rebellione cogitat.

Criminatur Oronden Satibarzanes cum Parysatide consuetudinem habere, cum alioquin castissime viueret. Morte igitur multatur Orondes, & mater regi indignatur, venenóque Teriteuchmæ filium necat.

De eo quoque fit hic mentio, qui parentem [b] contra legem per ignem sepeliuit. Vnde etiam Hellanicus atque Herodotus mendacij arguuntur.

Deficit à fratre Cyrus, [c] Græco simul & barbarico collecto exercitu. porro Clearchus Græcorum dux erat. Synennesis vero Cilicum rex vtrumque, Cyrum dico & Artaxerxem, in bello adiuuabat. Cyrus suum, & Artaxerxes vicissim suum exercitum cohortatus est. Clearchus Lacedæmonius, idémque Græcorum dux, & Menon Thessalus, quorum vterque Cyrum sequebatur, assiduè inter se dissidebant, propterea quod Cyrus in omnibus Clearchi consilio vteretur, nulla Menonis habita ratione. Cum multi ab Artaxerxe ad Cyrum transfugerent, nullus tamen ab hoc ad illum transibat. Quam etiam ob causam Artabarius, cum ad Cyrum sese adiungere statuisset, cóque nomine accusatus esset, in cinerem coniectus est.

Cyrus in regium exercitum impressionem facit, victoriáque potitus, dum Clearchum audire non vult, deinde occumbit. Indignis modis à fratre Artaxerxe in Cyri corpus sæuitum. nam & caput, & manum ipsam, qua Regem hic percusserat, abscidit, eamque velut in triumpho circumtulit. Recedit cum suis Græcis nocte Clearchus Lacedæmonius, vnámque de Parysatidis vrbibus occupat. Ita rex fœdus cum Græcis init. Parysatis Babylonem profecta est, Cyrum lugens, cuius vix tandem caput atque manum recuperare potuit; quæ illa funerum more curauit, & Susa misit. De Bagapate [*pergit narrare auctor*] qui regis iussu caput Cyri à trunco amputarat: quomodo item regis mater, cum filium in talorum lusu vicisset, [d] Bagapaten ex pacto obtinuerit, & quomodo idem [e] detracta pelle, in crucem deinde à Parysatide sit actus. quo item tempore magnum illa suum è Cyri morte luctum compressit, multis ad id Artaxerxæ precibus adducta.

CTESIAE PERSICA.

a Mnemon cognominatus cuius totam accurate descriptã habemus apud Plut.

b Herodot. Thalia, & Strabo lib. XV.

c Cyri hanc aduersus fratrem rebellionem persecutus est diligentissimè Xenophon, lib. I. & II. Anabaseωs.

d Plut. in Artaxer. vocat Mesabaten.

e Pari supplicio affectus fuit Persarum.

CTESIÆ PERSICA.

Vti Artaxerxes dona illi largitus sit, qui Cyri tiaram attulerat: & Carem item illum honorificè exceperit, qui Cyrum à se vulneratum putabat, vtque illum ipsum miserè excruciatum Parysatis interfecerit. Vt rex petenti Parysatidi Mithridatem quoque condonarit, qui se interfecisse Cyrum gloriatus in mensa fuerat: vtque hunc abreptum crudeliter necarit. Hæc libro XIX. atque XX. narrantur.

Vicesimo autem primo, itémque XXII. & XXIII. (qui totius etiam historiæ finis est) ista continentur. Quonam pacto Tissaphernes Græcis insidias struxerit, adscitóque in socium sibi Menone Thessalo, per eum dolo ac iuramentis Clearchum cæterosque duces in suam redegerit potestatem; etsi Clearchus insidias præuideret, atque amoliri conaretur. Sed tum vulgus per Menonem deceptum, Clearchum vel inuitum coëgit ad Tissaphernem accedere: tum Proxenus quoque Bœotius, iam antea dolo circumuentus, hoc eum facere hortabatur. Clearchum ille cum cæteris vinctos compedibus, Babylonem misit ad Artaxerxen, vbi omnes ad Clearchum conspiciendum accurrerunt. Ctesias ipse, medicus tum Parysatidis, multa per eam illi humanitatis officia exhibuit. Et verò vinculis virum Parysatis exemisset, dimisissetque, ni Statira maritum Artaxerxen ad eum interficiendum hortando compulisset. Necatus ergo Clearchus; ad cuius cadauer portentum hocce exstitit, quod flante vento vehementissimo, magnæ altitudinis tumulus sponte sua supra illud coierit. Interfecti insuper quotquot cum eo missi fuerant Græci solo Menóne excepto.

Côuitiis Parysatis Statiram proscindit, quam & veneno sustulit, hunc in modum præparato. cauebat enim sibi Statira diligenter ab eo malo, quod tamen ei aliquando contigit. [a] Cultelli alterum latus veneno illinitur, cæteris eo partibus non contactis, hoc cultello parua adinstar oui auicula (*rhyndacen* Persæ appellant) in duas secatur partes, & veneno intactam partem sibi assumptam Parysatis comedit, infectam alteram Statiræ porrexit. Hæc igitur, vt illam ipsam quæ porrexerat, suam vidit partem comedentem, neque ita quidquam potuisset mali suspicari, etiam ipsa cœpit vnà mortiferum venenum comedero. Hinc matri succenset rex, ministrantésque ipsi eunuchi comprehensi torquentur atque necantur. Ginge præterea comprehenditur, quæ Parysatidi familiaris erat, iudicioque de ipsa instituto, iudicum quidem sententiis innocens absoluitur, sed tamen à rege damnatur. quare & hæc cruciatibus inflictis necatur, qua de causa & Parysatis filio, & hic vicissim matri succenset.

Post annos octo palmis obsitus Clearchi tumulus apparuit, quas ibi clam Parysatis, quo tempore ille mortuus est, per inseruientes sibi eunuchos defoderat.

Causæ ob quas ab Euagora Rege Salaminis Artaxerxes dissenserit Euagoræ nuntij ad Ctesiam, [b] vt ab Abuleta epistolas acciperent: & Ctesiæ ad ipsum epistola de reconciliando ipsum cum Anaxagora Cypriorum rege. Nuntiorum Euagoræ aduentus in Cyprum,

[a] Hac ipsa ratione enecatum fuisse dolo à consanguineo suo L. Verum Imp. finxerunt quidam vt refert Aurel. Victor. in hist. August. in Anton. Philosopho.

[b] ὑπὲρ τοῦ λαβεῖν παρὰ Ἀβουλήτου ἐπιστολάς.

ὡς Ἀρταξέρξης δῶρα ἔδωκε τῷ ἐνέγκαντι τὸν Κύρου πῖλον, καὶ ὡς τὸν * Κᾶρα τὸν δοκοῦντα βαλεῖν Κῦρον Ἀρταξέρξης ἐτίμησε. καὶ ὡς Παρύσατις τὸν τιμηθέντα Κᾶρα αἰκισαμένη, ἀπέκτεινεν. ὡς Ἀρταξέρξης παρέδωκεν αἰτησαμένῃ * Μιθριδάτην Παρυσάτιδι, ἐπὶ τραπέζης μεγαλαυχήσαντα ἀποκτεῖναι [τὸν] Κῦρον: κἀκείνη λαβοῦσα, πικρῶς [αὐ] ἀνεῖλε. ταῦτα καὶ ἡ ιθ', καὶ ἡ κ' ἱστορία.

* κᾶρα H. S.

* Μιτραδάτην H. S.

Ἐν δὲ τῇ κα' καὶ β', καὶ γ', ἥτις καὶ τῆς ὅλης πέρας ἐστὶν ἱστορίας, τάδε * διείληπται. ὡς Τισαφέρνης ἐπιβουλεύει τοῖς Ἕλλησι, καὶ προσεταιρισάμενος Μένωνα τὸν Θετταλὸν, δι' αὐτοῦ Κλέαρχον, καὶ τοὺς ἄλλους στρατηγοὺς, ἀπάτῃ καὶ ὅρκοις ἐχειρώσατο: τοῦ Κλεάρχου καὶ προειδομένου καὶ ἀποκρουομένου τὴν ἐπιβουλήν. ἀλλὰ τό, τε πλῆθος διὰ Μένωνος ἀπατηθὲν, κατηνάγκασε καὶ ἄκοντα Κλέαρχον πρὸς Τισαφέρνην παραγενέσθαι, καὶ Πρόξενος ὁ Βοιώτιος, αὐτὸς ἤδη προαλοὺς ἀπάτῃ, συμπαρῄνει. Ὡς εἰς Βαβυλῶνα πρὸς Ἀρταξέρξην Κλέαρχον καὶ τοὺς ἄλλους ἀπέστειλεν ἐν πέδαις· καὶ ὡς ἐπὶ θέαν Κλεάρχου ἅπαντες συνερρύησαν· ὡς Κτησίας αὐτὸς ἰατρὸς ὢν Παρυσάτιδος, πολλὰ Κλεάρχῳ ἐν τῷ δεσμωτηρίῳ ὄντι πρὸς ἡδονὴν καὶ θεραπείαν δι' αὐτῆς ἔπραξε· καὶ τῶν δεσμῶν ἂν Παρύσατις * ἔλυσε καὶ ἀφῆκεν, εἰ μὴ Στάτειρα τὸν ἄνδρα Ἀρταξέρξην ἀνέπεισε τοῦτον ἀναιρεθῆναι. καὶ ἀνῃρέθη Κλέαρχος καὶ τέρας ἐπὶ τῷ σώματι συνέστη. αὐτομάτως γὰρ ἐπ' αὐτῷ τάφος, μεγίστου πνεύσαντος ἀνέμου, ἐπὶ μέγα ἠρμένος, ἐπισυνέστη. ἀνῃρέθησαν δὲ καὶ οἱ σὺν αὐτῷ ἀναπεμφθέντες Ἕλληνες, πλὴν Μένωνος.

* δὲ διείληπται.

* al. ἔλυσε.

Λοιδορία Παρυσάτιδος πρὸς Στάτειραν, καὶ ἀναίρεσις διὰ φαρμάκου, τοῦτον διασοφισαμένης τὸν τρόπον· ἐφυλάττετο γὰρ Στάτειρα λίαν, μὴ παθεῖν ὃ πέπονθε. μαχαιρίου τὸ ἓν μέρος ἐπαλείφεται τῷ φαρμάκῳ, τὸ δὲ λοιπὸν οὐ μετεῖχε. τούτῳ τέμνεται ὀρνίθιον μικρὸν, μέγεθος * ὅσον ᾠοῦ (ῥυνδάκην Πέρσαι τὸ ὀρνίθιον καλοῦσι) τέμνεται δὲ δίχα. καὶ τὸ μὲν καθαρεῦον τοῦ ἰοῦ ἥμισυ * αὐτὴ λαβοῦσα Παρύσατις ἐσθίει: τὸ δὲ προσομιλῆσαν τῷ φαρμάκῳ, ὀρέγει Στατείρᾳ. ἡ δὲ, ἐπεὶ ἐσθίουσαν τὴν ἐπιδοῦσαν ἑώρα τὸ ἥμισυ: μηδὲν συνιδεῖν δυνηθεῖσα, καὶ αὐτὴ συνεσθίει τοῦ θανάτου τὸ φάρμακον. ὀργὴ διὰ ταῦτα τοῦ βασιλέως πρὸς τὴν μητέρα, καὶ σύλληψις τῶν ὑπηρετούντων εὐνούχων * αὐτῇ, καὶ αἰκισμὸς καὶ ἀναίρεσις. καὶ ἔτι σύλληψις Γίγγης, ἣ ᾠκείωτο Παρυσάτιδι, καὶ κρίσις ἐπ' αὐτῇ: καὶ ἀθῴωσις μὲν παρὰ τῶν κριτῶν, καταδίκη δὲ παρὰ βασιλέως. καὶ αἰκισμὸς Γίγγης, καὶ ἀναίρεσις. καὶ ὀργὴ διὰ τοῦτο Παρυσάτιδος πρὸς τὸν υἱὸν, κἀκείνου πρὸς τὴν μητέρα. καὶ τὸ χῶμα δὲ τὸ Κλεάρχου, δι' ἐτῶν ὀκτὼ, μεστὸν ἐφάνη φοινίκων, οὓς ἦν κρύφα Παρύσατις, καθ' ὃν καιρὸν ἐκεῖνος ἐτελεύτησε, διὰ [εὐνούχων] τῶν ὑπηρετούντων αὐτῇ καταχώσασα. αἰτίαι δι' ἃς Εὐαγόρᾳ βασιλεῖ Σαλαμῖνος βασιλεὺς Ἀρταξέρξης διηνέχθη. καὶ ἄγγελοι Εὐαγόρα πρὸς Κτησίαν ὑπὲρ τοῦ λαβεῖν παρὰ Ἀβουλήτου τὰς ἐπιστολάς. καὶ Κτησίου πρὸς αὐτὸν ἐπιστολὴ, περὶ τοῦ διαλλαγῆναι αὐτὸν Ἀναξαγόρᾳ τῷ Κυπρίων βασιλεῖ. τῶν παρὰ Εὐαγόρα ἀγγέλων εἰς Κύπρον ἄφιξις,

* al. ἴσον.

* αὐτὴ H. St.

* αὐτῆς H. St.

ἄφιξις, καὶ τῶν διὰ Κτησίου γραμμάτων ἀπόδοσις Εὐαγόρᾳ. καὶ Κόνωνος πρὸς Εὐαγόραν λόγος, ὑπὲρ τοῦ πρὸς βασιλέα ἀναβῆναι: καὶ Εὐαγόρα ἐπιστολή: περὶ ὧν ἠξιώθη ὑπ' αὐτοῦ. καὶ Κόνωνος πρὸς Κτησίαν ἐπιστολή. καὶ βασιλεῖ διὰ Εὐαγόρα φόρος. καὶ τῶν ἐπιστολῶν Κτησίᾳ ἀπόδοσις. Κτησίου λόγος πρὸς βασιλέα περὶ Κόνωνος, καὶ ἐπιστολὴ πρὸς αὐτόν. τῶν διὰ Εὐαγόρου δώρων ἀπόδοσις Σατιβαρζάνῃ, καὶ τῶν ἀγγέλων τῶν εἰς κύπρον ἄφιξις. καὶ Κόνωνος ἐπιστολὴ πρὸς βασιλέα καὶ Κτησίαν. ὡς ἐτηρήθησαν οἱ διὰ λακεδαιμονίων ἄγγελοι πεμφθέντες πρὸς βασιλέα. βασιλέως ἐπιστολὴ πρὸς Κόνωνα καὶ πρὸς λακεδαιμονίους, ἣν Κτησίας αὐτὸς ἐκόμισεν. ὡς ὑπὸ Φαρναβάζου ναύαρχος Κόνων ἐγένετο. Κτησίου εἰς κνίδον τὴν πατρίδα ἄφιξις καὶ εἰς λακεδαίμονα: καὶ κρίσις πρὸς τοὺς λακεδαιμονίων ἀγγέλους, ἐν * λόγῳ. καὶ ἄφεσις ἀπὸ ἐφέσου μέχρι βάκτρων. καὶ ἰνδικῆς ἀριθμὸς σταθμῶν, ἡμερῶν, παρασαγγῶν. κατάλογος βασιλέων ἀπὸ Νίνου καὶ Σεμιράμεως, μέχρι Ἀρταξέρξου, ἐν οἷς καὶ τὸ τέλος.

* fors. in sc.

Ἔστι δὲ οὗτος ὁ συγγραφεὺς σαφής τε καὶ ἀφελὴς λίαν, διὸ καὶ ἡδονῇ αὐτοῦ σύγκρατός ἐστιν ὁ λόγος. κέχρηται δὲ τῇ Ιωνικῇ διαλέκτῳ, εἰ καὶ μὴ δι' ὅλου, καθάπερ Ηρόδοτος, ἀλλὰ κατ' ἐνίας τινὰς λέξεις. οὐδὲ πρὸς ἐκτροπάς δέ τινας ἀκαίρους, ὥσπερ ἐκεῖνος, ἀπάγει τὸν λόγον. τῶν μέντοι γε μύθων, ἐν οἷς ἐκείνῳ λοιδορεῖται, οὐδ' οὗτος ἀφίσταται, καὶ μάλιστα ἐν τοῖς ἐπιγραφομένοις αὐτοῦ ἰνδικά. ἡ δὲ ἡδονὴ τῆς ἱστορίας αὐτοῦ τὸ πλεῖστον ἐν τῇ τῶν διηγημάτων αὐτοῦ γίνεται διασκευῇ, τὸ παθητικὸν καὶ ἀπροσδόκητον ἐχούσῃ πολὺ, καὶ τὸ ἐγγὺς τοῦ μυθώδους αὐτὴν διαποικίλλειν. καὶ διαλελυμένος δέ ἐστι πλέον τι τοῦ δέοντος αὐτοῦ ὁ λόγος, ὡς καὶ εἰς ἰδιωτισμὸν ἐκπίπτειν. ὁ δὲ τοῦ Ηροδότου λόγος ταύτῃ τε καὶ τῇ ἄλλῃ τοῦ ἔπους δυνάμει καὶ τέχνῃ, κανών ἐστιν Ιωνικῆς διαλέκτου.

redditæque Euagoræ, quas ad ipsum Ctesias dederat, litteræ Cononis ad Euagoram oratio de adeundo ad regem, & Euagoræ epistola de honoribus, quibus ab illo fuerat affectus. Cononis ad Ctesiam epistola, & tributum ab Euagora Regi datum. Epistolas Ctesias accipit, qui de Conone cum rege collocutus, epistolam ad illum mittit. Traduntur Satibarzanæ munera ab Euagora missa, nuntiique in Cyprum perueniunt. Cononis epistola ad regem ac Ctesiam, Lacedæmoniorum nuntij ad regem missi ab eo retenti sunt. Regis ad Cononem ac Lacedæmonios epistola, quam Ctesias ipse tulit. Conon à Pharnabazo Classi præfectus est. Ctesiæ in Cnidum patriam suam, deindéque Lacedæmonem aduentus. eius disceptatio aduersus Lacedæmoniorum legatos apud Rhodum, & vt Ephesio dimissus fuerit Bactra.

Indicæ regionis [a] mansionum, dierum, atque parasangarum enumeratio Catalogus item regum inde à Nino & Semiramide ad vsque Artaxerxen: quibus & [b] hoc opus absoluitur.

SCRIPTORIS huius Ctesiæ candidus est ac valdè simplex sermo, quo etiam fit, vt non iniucundus accidat. Vsus verò dialecto est Ionica, etsi non per omnia, vt Herodotus, sed in quibusdam tantummodo vocibus. neque etiam in diuerticula quædam, vt ille importunè sermonem auertit, quanquam à fabulis quas illi probrosè obijcere audet, ne ipse quidem abstinet, in eo præsertim libro, quem INDICA inscripsit. Iucunditas verò historiæ magnam illi partem in narrationum posita est apparatu, qui multum habet & vehementiæ, & inexspectati. quanquam illa etiam rebus penè fabulosis magna cum varietate exornatur. Oratio illi plus æquo dissoluta, vt & in idiotismum triuialémque sermonem incidat. Herodoti autem stylus hac ipsa & simili orationis virtute atque artificio, Ionicæ dialecti norma est ac regula.

CTESIAE PERSICA.

a σταθμῶν.

b A Nino id & Semiramide inchoatum, ad magistratum vsque Ithyclis id est, Olym. XCV. an. 1. deduxisse Ctesiam auctor est Diod. lib. 14. pag. 421. edit. Græc.

SEQVVNTVR ECLOGÆ VARIÆ SCHOLIORVM LOCO.

REGVM PERSICORVM SERIES ex CTESIA.

Rex	*Vxor*	*Liberi*	*regnauit*	*Mortuus.*
I. Cyrus.	Amytis.	Cambyses, & Tanyoxarces	annos XXX.	*ex vulnere in prælio accepto.*
II. Cambyses.	Roxane.		annos XVIII.	*casu ictus suomet cultello.*
III. Sphendadates *magus, aliis* Smerdes.			menses VII.	*à VII. coniuratis interfectus.*
IV. Darius Hystaspæ F.		Xerxes.	annos XXXI.	*post XXX. dierum morbum.*
V. Xerxes.	Amistris.	Dariæus, Hystaspes, Artaxerxes, Achæmedides, Artarius, Amytis, & Rhodogune.	annos XXII. *aliis auctoribus.*	*ab Artapano & Spamitre peremptus.*
Artapanus Xerxæ *percussor ab aliis*	*hic inseritur, &*	*dicitur regnum tenuisse*	*menses VII.*	*eadem morte, qua Artaxerxem statuerat è medio tollere.*
VI. Artaxerxes, *Longimanus appellatus*	Damaspia.	Xerxes, *solus legitimus: Spurij XVII. inter quos Secyndianus & Ochus postea in regnum successerunt.*	annos XLII.	*morte naturali.*
VII. Xerxes alter.			dies XLV.	*Secyndiani & Pharnacia manu.*
IIX. Secyndianus, aliis *Sogdianus.*			mens. VI. dies 25.	*in cinerem coniectus.*
IX. Ochus, qui & *Darius,* Darius Nothus aliis.	Parysatis.	Arsaces, Cyrus, Artostes, Oxendras, *& alij XIII. qui cito vita abierunt. Amistris filia.*	annos XXXV.	*ex morbo, Babylone.*
X. Arsaces, *idemque mutato nomine* Artaxerxes, *aliis* Mnemon *cognominatus*	Stateira.	*Aduersus hunc Cyrus frater consurgens*	*in prælio occubuit.*	*Reliqua huius dabit Plutarch. in Artoxerxe.*

Quatuordecim porro Persicorum Regum breuem tibi Catalogum exhibebit noster P. Benedictus Pererius Comment. in Daniel. lib. XIII. initio.

CTESIAE PERSICA.

E CTESIÆ PERSICIS VARIORVM Auctorum EXCERPTA.

Clemens Alexandrinus Stromateo I.

Assyriorum res multis annis Græcorum rebus antiquiores sunt, vt ex dictis Ctesiæ constat.

Athenagoras legatione pro Christianis.

Propter De certo [Semiramidis matrem] & columbas, & Semiramida venerantur Syri. Quod enim fieri nequit, in columbam versa est Semiramidis, vt habet fabula apud Ctesiam.

Apud Athenæum Dipnosoph. XII.

Ctesias libro Persicorum tertio scribit, omnes quidem quoquot in Asia regnarint, luxui & voluptatibus deditos fuisse, sed præ cæteris Ninyam, Nini & Semiramidis filium. At certè hic quoque voluptatibus domi indulgebat, ita vt à nemine conspiceretur, præterquam ab eunuchis, & suis vxoribus. Talis autem erat & Sardanapalus, quem alij Anacindaraxis, alij Anabaxaris filium fuisse memorant. At cum Arbaces, genere Medus, vnus è ducibus qui illi suberant, egisset cum Paramcizæ, &c.

Paulo post de eodem Sardanapalo.

Ctesias autem narrat, ipsum ad bellum deuenisse, & cum collecto numeroso exercitu ab Arbace regno eiectus esset, mortem obiisse, cum se ipsum cremasset, exstructo rogo ad quatuor iugerum altitudinem: cui imposuerat lectos aureos CL. ac totidem mensas, & quidem aureas. Struxerat autem in ipsa pyra cenaculum pedum centum, ex lignis: atque hic quoque lectos strauerat, in quibus cum vxore cubuit: pellices autem in aliis. Filios enim tres, & duas filias, cum malum rerum suarum videret, antea miserat in vrbem Ninum, ad eum qui ibi regnabat, dederátque illis tria talentorum auri millia. Texerat autem illud ædificium trabibus magnis & crassis, quin etiam multa ligna, & ea quidem crassa, circumposuerat, ita vt nullus pateret exitus: quin etiam talentorum auri imposuerat illi mille myriades, argenti decies mille: nec non vestes & purpuras, & omne genus eorum, quæ ad cultum corporis pertinent. Quæ cum fecisset, accendere pyram iussit, quæ per quindecim dies ardebat. At qui fumum videbant mirabantur, ac putabant illum sacrificare: soli vero eunuchi rem nouerant. Sardanapalus igitur, qui prodigiosè voluptatibus deditus fuerat, quam potuit generosissimè vitam finiuit.

Non multo post.

Ctesias verò Annarum regis præfectum, & qui Babyloniæ regionis imperium obtinuerunt, veste & ornatu muliebri vsum esse tradit. & ad eum cœnantem, cum regis seruus esset, accedere solitas centum quinquaginta psallentes & canentes mulieres. Psallebant autem hæ, & canebant illo cœnante.

Apud DEMETRIVM PHALEREVM *in libro qui περὶ ἑρμηνείας vocatur.*

Stryaglius quidam Medus, cum ex equo Sacidem mulierem deiecisset (apud Sacas enim mulieres eodem quo Amazones modo prœliantur) cámque & formosam, & ætate florentem esse vidisset, saluam dimisit. At percusso postea fœdere, cum illa, quam alioqui deperibat, potiri non posset, statuerat quidem inedia vitam finire: scribit tamen prius illi hanc epistolam, qua expostulat. *Ego te seruaui, & tu per me seruata es. At ego per te perij.*

Stephanus Byzantius voce Δυρβαῖοι ex Ctesia Persicorum X.

ΑΝΕΓΝΩΣΘΗ Ἡλιοδώρου αἰθιοπικά. ἔστι δὲ τὸ σύνταγμα, δραματικόν: φράσει δὲ κέχρηται ὡς πρέπουσῃ τῇ ὑποθέσει. καὶ γὰρ ἀφελείᾳ καὶ γλυκύτητι πλεονάζει. καὶ πάθεσι δὲ τὰ μὲν παροῦσι, τὰ δὲ (καὶ) ἐλπιζομένοις, τὰ δὲ ἀνελπίστοις διαποικίλλεται ἡ διήγησις: καὶ παραδόξοις δὲ ἐκ συμφορῶν σωτηρίαις. λέξεσί τε διασήμοις καὶ καθαραῖς. καὶ εἴπου, ὡς εἰκὸς, καὶ ταῖς εἰς τροπὴν κλινούσαις ἀποχρήσαιτο: εὔσημοί τέ εἰσι, καὶ ἐναργῶς παριστῶσι τὸ προκείμενον. * περίοδοι σύμμετροι, καὶ εἰς τὸ βραχύτερον (οἷα δὴ) καὶ ἡ συνθήκη δὲ καὶ τἄλλα τῷ λόγῳ ἀνάλογα, ἔρωτα μὲν ἀνδρὸς ὑφαίνει καὶ γυναικός: σωφροσύνης δὲ δείκνυσι πόθον καὶ φυλακὴν ἀκριβῆ. καὶ ἔστιν αὐτῷ ἡ τοῦ δράματος ὑπόθεσις Χαρίκλεια καὶ * Θεαγένης, σώφρονες ἀλλήλων ἐρασταί: καὶ πλάνη τούτων, καὶ αἰχμαλωσία παντοδαπὴ, καὶ φυλακὴ τῆς σωφροσύνης. τὰ δὲ ἐμφερόμενα ὀνόματα, καὶ ὡς ἐν κεφαλαίῳ τὰ πάθη, καὶ αἱ πράξεις, * ἑορτὴ ἀθηναίων. καὶ Χαρίκλεια ἱερατεύουσα, καὶ Θεαγένης σταδιοδρόμος, καὶ πρὸς ἀλλήλους ἔρως ἀπὸ τῆς ὄψεως· καὶ νόσος Χαρικλείας ἀπὸ τοῦ ἔρωτος, καὶ ἁρπαγὴ ταύτης * ἑκούσης ἀπὸ Χαρικλέους, ὃς ἐνομίζετο αὐτῇ πατήρ· καὶ Θεαγένης δ' ἦν ὁ ἡρπακὼς διὰ Καλασίριδος. ἀπόπλους καὶ κατάπλους * ἐπὶ ζάκυνθον. καὶ ἔρως τοῦ ναυάρχου πρὸς Χαρίκλειαν. καὶ πεπλασμένη * περὶ Καλασίριδος τοῦ γάμου ὑπόσχεσις, καὶ κατάλυσις παρὰ τὸν αἰγιαλὸν, τῶν περὶ Χαρίκλειαν· καὶ μήνυσις περὶ τοῦ ὑποδεξαμένου ἁλιέως. ὅτι * Τραχῖνος ὁ λῄσταρχος ἁρπαγὴν τῆς κόρης βουλεύεται· καὶ ἀπόπλους διὰ τοῦτο Καλασίριδος, καὶ τῶν περὶ Χαρίκλειαν.

* al. περίοδοι.
* al. Θεαγένης.
* al. ἑορτὴ.
* al. ἑκούσης.
* al. εἰς.
* al. περὶ.
* al. Τραχῖνος.

LXXIII.

HELIODORI *Æthiopicῶn libri X.*

LEGIMVS HELIODORI *Æthiopica*. Opus est dramaticum, ea phrasi, quæ argumentum conscriptum deceat. multa etenim est in eo sine affectatione simplicitas, atque iucunditas. Affectibus præterea rerum partim præsentium, partim speratarum, aut insperatarum, temperata narratio est, salute sæpenumero prӕter opinionem in mediis calamitatibus allata. Verba quoque adhibentur significantia, & pura, quæ si interdum, vt par est, in figuram deflectantur, perspicua tamen sunt, euidentérque propositam rem exhibent. Periodi etiam, pro subiecta re, aptæ, quippe aliquanto breuiores, contractiorésque. Compositio denique, vt cætera omnia, narrationi ipsi accommodata, qua viri quidem, fœminæque refertur amor, sed qui castitatis præferat desiderium, custodiámque accuratam.

Dramatis huius argumentum auctori præbuere Theagenes, & Chariclea, castè inter se ac pudicè amantes, cum vltro citróque iactati errarunt, & capti etiam identidem, fidem tamen coniugalem constanter seruarunt. Ergo nomina horum adducũtur, & summatim quidquid passi sunt, egerúntve. Athenensium festus dies, quo, Chariclea sacerdote, Theagenes cursu certat. ab oculis tunc natus inuicem amor, ortúsque ex eo morbus in Chariclea, quæ rapta, non inuita, à domo Charielis, qui parens habebatur. Raptor verò, opera Calasiridis, Theagenes. Abnauigatio atque appulsio in Zacynthum. Nauarcus Charicleæ amore capitur, & ficta promissio facta à Calasiride coniugij. In littore Chariclea hospitio accepta, & indicium factum à piscatore, qui receperat, Trachinũ quẽdam, latronum præfectũ, virginis raptũ meditari. Hinc Calasiridis fuga & Charicleæ

HELIODORUS.

quos Trachinus insectatus, nauem capit, captúsque amore est, & Chariclea nuptias velle fingit. Expostulatio Theagenis vt fratris, Calasiridis verò vt parentis, qui & voti compotes redditi. Maris hinc tempestate suborta, & naufragium vitant, & ad quandam Ægypti oram nauem appellunt. Charicleæ nuptiarum à Trachino facta mentio, & Calasiridis ficti parentis promissa atque deceptio, nuptiali epulo instituto. Pelóris amor, incitante Calasiride, & contentio Trachini & Pelóris super Chariclea. Strages hinc tandem nata, mutuáque latronum internecio, quam ipsa quoque Chariclea mittendis in illos telis multum promouit. Luctus Charicleæ super Theagene, vulneribus strato. Aliorum iterum latronum incursus, qui aspectu Charicleæ consternati animo, eam deinde rapiunt cum Theagene, & ad Thyamin adducunt. Is erat latronum [a] Bucolorum (sic enim appellabantur, qui eam insulam tenebant) præfectus. Ardet & hic Charicleam, Theagenesque frater nominatur. Impetus item in Bucolos fit, pugnáque excitata, horum oritur cædes: Thyamis fuga dilapsus, [b] Hermutis quoque, & Cnemon, atque Theagenes. Chariclea interim illo in antro [ad quod abducta fuerat] remansit, ad cuius ostium cæsa iacebat Thisbe, qua visa tanquam super Chariclea ingens Theagenis dolor exstitit, donec ex imo antro Chariclea acclamaret. De Thisbes cæde hæsitatio, & super ea Hermuthis luctus, ac fletus.[c] Abitus Cnemonis atque Hermuthis, aliáque ex parte Charicleæ atque Theagenis. Cnemon ab Hermuthi discedens Calasiridi occurrit. narrant vtrinque, quæcumque acciderint: Cnemon quidem de Thisbe, & [d] Deménete nouerca, déque exsilio per testularum suffragia, præter alia aduersa: Calasiris verò de Charicle & Chariclea, atque Theagene. Vtrimque comploratio ob hæc ipsa mala. Mox Cnemon lætum narrat nuncium, Theagenem & Charicleam superstites etiamnum esse, se enim cum illis in Thyami manibus fuisse. Nausicles autem, apud quem & Calasiris habitabat, Chariceam adducit, sub Thisbes nomine. ad huius ergo nomen turbatur Cnemon, quod nosset eam mortem obijsse: verum mox gaudium oritur super Chariclea. Inuestigatio primum Theagenis, nuptiæque Cnemonis, & Nausicleæ. Calasiridis item peregrinatio cum Chariclea, vt Theagenem inueniant. Anus deprehensa, quæ filium bello exstinctum lamentaretur, magicisque artibus ac superstitione filij cadauer consuleret: aspicientibus Calasiride & Chariclea quæ fierent. Interrogat illa iterum diris adhibitis cadauer, alterne filius viueret, & imprecatur mortuus matri, quod vi ageret, ac per nefas; alterum ergo filium occisum iri, sed illam prius, eo quod iniuriam mortuo fecisset. Vetulæ interitus, per hastæ fragmentum inultè morientis.

Thyamis & Theagenes cum reliqua latronum manu in Ægypti vrbem Memphim ibant, vt sacerdotiũ ille à fratre Petósiri natu minore occupatũ, repeteret. Hinc tumultus ad vrbẽ excitat*. Arsace ad vrbẽ sedẽs, ab armis discedere,

καὶ ἐπιδίωξις * Τραχινοῦ, καὶ κατάληψις τῆς νεώς· καὶ ἔρως Τραχινοῦ, καὶ ὑπόκρισις εἰς συγκατάθεσιν Χαρικλείας, καὶ ἐξαίτησις Θεαγένους, ὡς ἀδελφοῦ, ὡς δὲ πατρὸς Καλασίριδος· καὶ ἐκπλήρωσις τῆς αἰτήσεως, καὶ τρικυμία θαλάσσης, καὶ διαφυγὴ ναυαγίων, καὶ προσόρμησις μέρεσί τισι τῆς αἰγύπτου· καὶ Τραχῖνος τοῦ γάμου Χαρικλείας μεμνησκόμενος, καὶ Καλάσιρις ὁ δῆθεν πατὴρ ὑπισχνούμενος. καὶ ἀπάτη, καὶ γαμήλιος εὐωχία· καὶ Πελώρου ἔρως, Καλασίριδος παροξύνοντος. καὶ ἔρις Τραχινοῦ καὶ Πελώρου, περὶ Χαρικλείας· καὶ τέλος σφαγὴ, καὶ ἀπώλεια παρ' ἀλλήλων τῶν λῃστῶν, συνεργούσης καὶ Χαρικλείας τῇ ἐκείνων ἀπωλείᾳ τοῖς τοξεύμασι. καὶ θρῆνος Χαρικλείας ἐπὶ Θεαγένει τραύμασι κειμένῳ. λῃστῶν πάλιν ἄλλων ἔφοδος, καὶ τούτων ἐπὶ Χαρικλείᾳ ἔκπληξις. εἶτα σύλληψις αὐτῆς καὶ Θεαγένους, καὶ ἀπαγωγὴ πρὸς Θύαμιν, ὃς ἐπῆρχε τῶν βουκόλων λῃστῶν. τοῦτο γὰρ αὐτοῖς ὄνομα, ὅσοι τὴν νῆσον ᾤκουν. ἐρᾷ πάλιν Θύαμις Χαρικλείας, καὶ (ὁ) Θεαγένης εἰς ἀδελφὸν ὀνομάζεται. ἐπιδρομὴ κατὰ τῶν βουκόλων καὶ πόλεμος· καὶ σφαγὴ τῶν βουκόλων, καὶ φυγὴ Θυάμιδος, καὶ φυγὴ Ερμούθιος, Κνήμωνος καὶ Θεαγένους· καὶ ἐν τῷ σπηλαίῳ Χαρίκλεια, καὶ Θίσβη κατὰ τὰς εἰσόδους τοῦ σπηλαίου ἐσφαγμένη κειμένη νεκρά· καὶ Θεαγένους ὡς ἐπὶ Χαρικλείᾳ πένθος ἀφόρητον, ἕως ἔνδοθεν Χαρίκλεια ἀνεβόησε· καὶ ἀπορία ἐπὶ τῆς Θίσβης τῆς σφαγῆς. καὶ Ερμοῦθις ἐπ' αὐτῇ ὀδυρόμενος. καὶ ἀποχώρησις Κνήμωνος καὶ Ερμούθιος, καὶ δι' ἑτέρας Χαρικλείας καὶ Θεαγένους. καὶ Κνήμων ἀπολιμπάνων Ερμοῦθιν· καὶ συνάντησις Καλασίριδος καὶ Κνήμωνος. καὶ διήγησις τῶν συμπεσόντων ἀλλήλοις. Κνήμων μὲν περὶ Θίσβης, καὶ Δημαινέτης τῆς μητρυιᾶς, καὶ τοῦ ἐξοστρακισμοῦ καὶ τῆς ἄλλης δυστυχίας: Καλάσιρις δὲ περὶ Χαρικλέους καὶ περὶ Χαρικλείας καὶ Θεαγένους· καὶ θρῆνος ἐπὶ τούτοις. εἶτα Κνήμων εὐαγγελιζόμενος, ὅτι σώζοιτο Χαρίκλεια καὶ Θεαγένης. καὶ ὅτι Θύαμις αὐτόν τε κἀκείνους εἶχε· Ναυσικλῆς ἄγων Χαρίκλειαν, παρ' ᾧ καὶ Καλάσιρις ᾤκει ἐν τῷ ὀνόματι Θίσβης. καὶ ταραχὴ διὰ Θίσβης, Κνήμωνος· ᾔδει γὰρ αὐτὴν τεθνηκυῖαν: καὶ χαρὰ ἐπὶ Χαρικλείᾳ. ἐπιζήτησις πρῶτον Θεαγένους, καὶ γάμος Κνήμωνος καὶ Ναυσικλείας. καὶ ἀποδημία Καλασίριδος, σὺν Χαρικλείᾳ ἐπὶ τὴν Θεαγένους ζήτησιν. καὶ γραῦς καταλαμβανομένη ἐπὶ * παιδίῳ κατὰ πόλεμον πεσόντι κωκύουσα: καὶ μαγγανείαις τὸν τοῦ παιδὸς ἐπιγειρῶσα νεκρὸν· καὶ Χαρίκλεια καὶ Καλάσιρις ὁρῶντες καὶ τὰ ποιούμενα. ἐρώτησις πάλιν βιαία πρὸς τὸν νεκρὸν, εἰ περισωθείη * αὐτῆς ὁ ἕτερος υἱός: καὶ ἀρὰ κατὰ τῆς μητρὸς, ὅτι βιάζοιτο, καὶ ὅτι * πράττει * ἀθέμιτα. καὶ ὅτι ὁ ἕτερος υἱὸς σφαγήσεται: αὐτὴ δὲ πρὸ ἐκείνου, ἀνθ' ὧν ἀθέμιτα εἰς τὸν νεκρὸν ἔδρασε καὶ σφαγὴ τῆς γραὸς, κλάσματι δόρατος ἀκούσης * περιπεσούσης. Θύαμις καὶ Θεαγένης, καὶ τὸ ἄλλο λῃστρικὸν σύνταγμα ἐπὶ πόλιν αἰγυπτίαν μέμφιν, ἐπὶ ἀναζητήσει τῆς ἱερωσύνης, ἣν αὐτὸν ἀφελὼν ὁ νεώτερος εἶχεν ἀδελφὸς Πετόσιρις. καὶ θόρυβος περὶ τὴν πόλιν. καὶ Αρσάκη προκαθημένη, καὶ παύειν ἐπιχειροῦσα τὸν πόλεμον. καὶ μό-

a Bucolorum in Ægypto meminit Strabo lib. XVII.

b Thermuthis est in libris exceptis.

c Lego ἀπὸ τρόπου, vt exigit Heliodori narratio.

d Libri editi secundum syllabam per diphthongum exprimunt, Demænete.

* al. Τραχίνου.

* al. παιδὶ.

* al. αὐτοῦ.

* al. ἀθέμιτα.

* al. περιπεσούσης.

καὶ μονομαχεῖν ἀλλήλοιν τοῖν ἀδελφοῖν ἐπιτρέπουσα, καὶ τῷ νικῶντι τὴν ἱερωσύνην ἁρμόζειν δικάζουσα. μάχη τῶν ἀδελφῶν, καὶ ἄκοντος Πετοσίριδος· ἄπειρος γὰρ ἦν περὶ τὸν πόλεμον. Θύαμις δὲ ἐγεγόνει ἐμπειρότατος, διὸ καὶ τρέπεται τὸν ἀδελφόν· ὁ δὲ πάντα ῥίψας φεύγει, καὶ ἐπιδιώκει Θύαμις· καὶ κυκλοῦται πολλάκις ἡ πόλις ὑπὸ τοῦ δρόμου· καὶ παρέπεται Θεαγένης Θυάμιδι· καὶ ἐρᾷ τούτου ἰδοῦσα Ἀρσάκη ἡ * Ὀροδάτου γυνή, καὶ καταλαμβάνει Καλάσιρις καὶ Χαρίκλεια. καὶ ὁ μὲν ἰδὼν τοὺς παῖδας κατ' ἀλλήλων φονῶντας· παῖδες γὰρ Καλασίριδι Θύαμις καὶ Πετόσιρις· προστρέχει, ἀναβοᾷ· μόλις ἐπέχει τὸν θάνατον, μόλις τῶν παίδων αὐτὸν ἐπεγνωκότων. ἡ δὲ Χαρίκλεια ἐπιπίπτει Θεαγένει καὶ τοῦ πολέμου συστάντος, δέχεται Θύαμις τὴν ἱερωσύνην παρὰ πατρός. αὐτὸς δὲ τελευτᾷ. ἀλλ' ἡ πάλιν ἐπιβουλὴ Ἀρσάκης κατὰ τῶν νεανιῶν Θεαγένους καὶ Χαρικλείας· καὶ Κυβέλης τῆς θεραπαινίδος αὐτῆς πρόθυμος εἰς πάντα ὑπουργία. καὶ πρόσκλησις αὐτῶν ἐπὶ τὴν οἰκίαν Ἀρσάκης· καὶ ἔρως αὐτῆς πρὸς Θεαγένην ἀκατάσχετος· καὶ μηχαναὶ πᾶσαι καὶ μέθοδοι κακώσεών τε καὶ θεραπειῶν· καὶ ἐπιβουλὴ Κυβέλης διὰ φαρμάκου κατὰ Χαρικλείας. σωτηρία Χαρικλείας· καὶ ἀναίρεσις, δι' ὧν ἀναιρεῖν ἐμελέτησε, Κυβέλης. στρέβλωσις καὶ κάκωσις Χαρικλείας καὶ Θεαγένους. ὅτι μὴ συντίθεται πρὸς τὸν Ἀρσάκης ἔρωτα ὁ Θεαγένης· καὶ Χαρικλείας εἰς πῦρ καταδίκη, καὶ τοῦ πυρὸς διὰ τῆς παντάρβης τοῦ λίθου κατάσβεσις, καὶ τῆς Χαρικλείας τέως ἄφεσις. καὶ Ἀρσάκη μαινομένη. καὶ θάνατον ἐς αὔριον * Χαρικλείᾳ διξεπίζουσα. ἀποστολὴ * Ὀροονδάτου τῆς Ἀρσάκης ἀνδρός, καὶ ἀνάληψις διὰ τῆς νυκτὸς τῶν νεανιῶν. τοῦτο γὰρ προσετέτακτο, ἐπεὶ ὁ παῖς [τῆς Κυβέλης] ἀποτυχὼν τοῦ πρὸς Χαρίκλειαν γάμου, πάντα ὅσα τῇ Ἀρσάκῃ διεπέπρακτο, πρὸς τὸν δεσπότην ἀπάρας ἀπήγγελλεν. ἐπίθεσις τῶν Αἰθιόπων, καὶ ἁρπαγὴ Θεαγένους καὶ Χαρικλείας, καὶ πρὸς Ὑδάσπην τὸν βασιλέα τῶν Αἰθιόπων ἀπαγωγή. εἶτα ἀφιέρωσις τούτων εἰς τὸ τυθῆναι, τὴν μὲν τῇ σελήνῃ, τὸν δὲ τῷ ἡλίῳ. εἶτα ἀγῶνες καὶ θυσίαι. καὶ Σισιμίθρου τοῦ πρώτου τῶν γυμνοσοφιστῶν· καὶ αὐτῶν παρουσία, καὶ Περσίνης τῆς γυναικὸς τοῦ βασιλέως. καὶ αἴτησις Χαρικλείας, ἵνα δικαιολογηθῇ Ὑδάσπῃ. καὶ δικαιολογία, καὶ κρίσις Σισιμίθρου· καὶ μαρτυρία, ὅτι Χαρίκλεια παῖς εἴη Ὑδάσπου καὶ Περσίνης. πείθεται μόλις Ὑδάσπης· ἀλλὰ καὶ οὕτως ἄγειν ἔμελλεν εἰς θυσίαν, τιμῶν τὸν πάτριον νόμον. ὁ δὲ δῆμος ἀπηγόρευε, καὶ ἀφίεται Χαρίκλεια· καὶ χαρὰ πάντων ἐπὶ τῇ ἀφέσει. ἀγὼν πάλιν ἄλλος Χαρικλείᾳ. Θεαγένης ἔτι δέσμιος ἐπὶ τῇ θυσίᾳ. καὶ λόγοι πρὸς τὸν πατέρα περὶ αὐτοῦ πολλοὶ καὶ ποικίλοι. τοῦ δὲ πατρὸς ἀπόνευσις ἐπὶ τῇ ἀθωώσει Θεαγένους· καὶ ἀδημονία Χαρικλείας, καὶ πρὸς τὴν μητέρα ἐξαγόρευσις πάντων, ὅσα αὐτῇ συνηνέχθη καὶ Θεαγένει. καὶ ἀριστεία Θεαγένους ἐπὶ τῷ ταύρῳ, καὶ τοῦ δήμου τέρψις. ἔτι ἀριστεία ἐν τῇ πρὸς τὸν Αἰθίοπα τὸν μέγιστον πάλῃ. καὶ νίκη λαμπρά· καὶ κρότος τοῦ δήμου.

* al. Ὀροονδάτου.

* al. Χαρικλείαν. * al. Ὀροονδάτου.

HELIOD.

duello vero fratres confligere iubet, victorem sacerdotio dignum, idoneúmque fore iudicās. Singulare dehinc fratrum certamen, Petosiri inuito, vtpote armis ferendis insueto, Thyamide contra belligerandi peritissimo. Fratrem hic itaque tergum vertere, abiectísque armis se proripere cogit. Insectatur Thyamis, & vrbem sæpius cursu ambiunt. Thyamin Theagenes sequitur, quem visum deperit Arsace Oroondati coniux. Superueniunt Calasiris & Chariclea. Et ille quidem liberos cognito in mutuam cædem ruere (Calasiridis enim filij Thyamis ac Petosiris erant) accurrit, & clamore sublato, ægrè cædem inhibuit, quod vix parentem liberi agnoscerent. Chariclea ibi in Theagenem incidit,[a] ac positis deinde armis, Sacerdotium Thyamis adeptus à patre est, qui mox vita decessit.

En iterum insidiæ Arsaces in Theagenem adolescentem, & Charicleam. Cybeles quoque ancillæ promptum ad omnia obsequium, domum Arsaces eos euocantis, huius quoque amor in Theagenem immodicus, machinis omnibus nequitiæ adhibitis, viisque quæsitis omni delinimentorum genere. Prauum huc accedit consilium Cybeles, quæ venenatum Chariclеæ poculum miscuit, sospite tamen Chariclea, sibi necem attulit venefica. Cruciatus atque ærumna Theagenis & Chariclеæ, quòd Arsaces amorem Theagenes detrectaret. Chariclea ignis pœna condemnatur, sed is[b] Pantarbes lapidis beneficio exstinguitur. Sic euasit in præsentia Chariclea. Arsace interim furibunda necem in posterum diem machinatur Chariclеæ. Oroondates, Arsaces maritus, mittit [Bogoam eunuchum] qui noctu hos iuuenes secum sumpsit. Sic enim imperatum fuerat, postquam Cybeles filius, spe potiundi Chariclеæ nuptiis frustratus, quæcunque ab Arsace patrata essent, ad herum profectus nunciasset omnia.

Æthiopum mox irruptio, raptúsque Theagenis & Chariclеæ, atque ad Hydaspen Æthiopum regem abductio narratur, & vt ille quidē Soli Deo, Chariclea vero Lunæ consecretur victima. Hinc certamina & sacrificia, præsentibus Sisimithro, Gymnosophistarum principe, cum suis Gymnosophistis, atque Persina regis vxore. Postulat Chariclea sui defendendi potestatem fieri apud Hydaspen. Causa dicta est, iudicante Sisimithro, testibúsque superstitibus probantibus, Hydaspis ac Persinæ filiam esse Charicleam. Regi non satis persuadetur, qui etiam sic hostiam, patriæ legi moribúsque obsecutus, cædere illos parat. Populus contradicit. Sic sursum libera abire iussa Chariclea, quæ quidem liberatio incredibilem omnibus peperit lætitiam. Sed iterum Chariclеæ discrimen creatum. Theagenes vinctus, vt hostia aris adhuc destinatur. Variæ multæque eo nomine apud parentem preces, sed ille liberationem Theagenis, impunitatémque abnuit. Animo itaque externata Chariclea, omnia quæ sibi & Theageni aduersa accidissent, matri enarrat. Theagenes interim taurū fortiter pugnādo superauit, ingenti spectātis plebis voluptate: Æthiopū itē maximū palæstra vicit, illustriq; victoria parta, plausū etiā populi meruit.

[a] Lege τοῦ πολέμου συστάντος.

[b] De quo vide Ctesiam Indica supr. & Philostr. lib. 3. de vita Apollonij.

HELIOD. Ducitur nihilominus ad aras coronatus, vt hostiæ instar cadat Theagenes. Chariclés tum forte Athenis profectus, huic stadio adstabat, filiámque vti credebat suam ab ipso rege postulat. Spondet rex daturum, si amissam reperisset. Verum illam non inueniebat. Arripitur deinde, trahitúrque Theagenes ab Chaticle clamante: Hic meam Athenis rapuit filiam. Lata denique sententia, qua & Theagenes tandem indemnis est declaratus, ipso etiam adiudicante Sisimithro, néve post hac humanis victimis mortalium damno litaretur statuente. Gaudio hinc cuncti atque lætitia exsultare, Theagenes etiam & Chariclea, quod tot tantisque defuncti periculis inuicem potirentur. Sacerdotiis itaque illa quidem matris, hic soceri beneficio acceptis, & re diuina facta, nuptias adornant.

Hæc quidem Heliodorus Theodosij F. domo Phœnix [a] Emisenus conscripsit, finiuitque historiam: quem etiam [b] Episcopi post dignitatem auctum ferunt.

a Emisenus est in edito Heliodoro extremo. b Trica in Thessalia. auctores Socrat. lib. V. cap. 22. & Niceph. lib. XII. c. 34. Addit hic, Episcopatum deponere maluisse Heliodorum, quam sua hæc ἐρωτικά, olim in adolescentia conscripta, supprimere.

ἀλλ' ἔτι πρὸς τὴν θυσίαν καὶ μετὰ τοὺς στεφάνους Θεαγένης ἀγόμενος. Χαρικλῆς ἀπὸ Ἀθηνῶν πρὸς αὐτὸ τὸ στάδιον * ἀφιστάμενος, καὶ τὸν βασιλέα τὴν νομιζομένην αὐτοῦ θυγατέρα αἰτούμενος. καὶ συγκατάθεσις βασιλέως διδόναι, ἂν αὐτὸς εὕρῃ. ὁ δὲ οὐχ εὑρίσκον. ἁρπαγή τε [ὑπὸ] αὐτοῦ, καὶ συρμὸς Θεαγένους, καὶ βοή· ὡς οὗτός ἐστιν ὁ τὴν ἐμὴν ἁρπάσας ἐξ Ἀθηνῶν θυγατέρα. καὶ κρίσις, καὶ τέλος ἀθῷωσις καὶ Θεαγένους Σισιμίθρου ἐπικρίναντος. καὶ μηκέτι τὴν ἐπ' ἀνθρώπων ὀλέθρῳ θυσίαν * γίνεσθαι διατυπώσαντος. εὐφροσύνη ἁπάντων καὶ θυμηδία πολλὴ (καὶ Θεαγένους) καὶ Χαρικλείας· μετὰ μυρίους κινδύνους ἀλλήλους ἀπολαμβανόντων· καὶ τὰς ἱερωσύνας ἡ μὲν παρὰ τῆς μητρός, ὁ δὲ παρὰ τοῦ κηδεστοῦ ἐκδεχόμενοι, καὶ θύοντες, καὶ πρὸς τοὺς γάμους εὐτρεπιζόμενοι. ταῦτα * δὲ συνέγραψε Φοίνιξ ἀνὴρ Ἀμινδηνὸς Θεοδοσίου παῖς Ἡλιόδωρος, ἐν οἷς καὶ τὸ τέλος. τοῦτον δὲ καὶ ἐπισκόπου τυχεῖν ἀξιώματος ὕστερον φασιν.

* al. ἱστάμενος.
* al. γίνεσθαι.
* al. μὲν.

LXXIV. Themistij orationes 36.

THEMISTII *Orationes ciuiles XXXVI.*

ΘΕΜΙΣΤΙΟΥ ΠΟΛΙΤΙΚΟΙ λόγοι λϛ'.

LECTÆ sunt *Ciuiles orationes* [a] THEMISTII *sex & triginta.* Harum aliæ ad Constantinum Imper. habitæ: in Valentem quoque, & Valentinianum minorem, sed & in Theodosium August. laudibus eos encomiisque celebrantes. Sermo illi apertus, superuacaneis carens, ac floridus. Verbis vsus quidem est vulgaribus, sed in grauitatem aliquantum flexis.

Floruit potissimum Valente rerum potito, vt vel orationes ipsæ loquuntur. Constantio imperante, iuuenis etiam num erat, à quo & in Senatum Romæ lectus est, quemadmodum Cæsaris de illo ad Senatum Rom. missa epistola fidem facit. Pater Themistio Eugenius nomine, qui & ipse Philosophiæ operam dedit.

Huius Themistij in omnia ferè Aristotelis scripta feruntur, non solum commentaria, sed etiam [b] Metaphrases, vtiliter & compendio scriptæ: vt Analyticorum, vt librorum de Anima, & Physicæ auscultationis, similiúmque operum. Platonis etiam quædam exposuit: cætera Philosophiæ amans in primis, ac per studiosus.

LXXIV. a XIV. huius Orationes Græcè dedit H. St. Alias præterea ἀνεκδότους apud Petr. Pantinum V. CL. amicum singularem, vidimus. Legendus & D. Baron. Card. Tom. IV. Annal. Ecclesia. b Exstat hodie Paraphrasis in Aristot. lib. VIII. φυσικῆς ἀκροάσεως Græcè atque Latinè. Item in lib. de Cœlo, de Anima, parváque (vt vocant) Naturalia. Lege Suidam.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Θεμιστίου λόγοι πολιτικοὶ λϛ'. ὧν εἰσὶ καὶ οἱ πρὸς Κωνστάντιον τὸν βασιλέα, καὶ εἰς Οὐάλεντα καὶ Οὐαλεντινιανὸν τὸν νέον· ἀλλὰ καὶ εἰς Θεοδόσιον, τοὺς βασιλεῖς· ἐπαίνους αὐτῶν καὶ ἐγκώμια περιέχοντες. ἔστι δὲ τὴν φράσιν σαφὴς καὶ ἀπέριττος καὶ ἀνθηρός, καὶ λέξεσι πολιτικαῖς, καὶ εἰς τὸ σεμνόν τι ἐπικλινούσαις, χρώμενος. ἤκμαζε δὲ μάλιστα ἐν τοῖς Οὐάλεντος χρόνοις, ὡς κἀκ τῶν αὐτοῦ λόγων δῆλον. ἐπὶ δὲ Κωνσταντίου ἔτι νέος ἦν, ὑφ' οὗ καὶ ἐνετάχθη τῇ τῶν ῥωμαίων γερουσίᾳ, ὡς καὶ ἡ πρὸς αὐτὴν τὴν ἐν ῥώμῃ γερουσίαν ὑπὲρ αὐτοῦ παρὰ τοῦ βασιλέως ἀποσταλεῖσα ἐπιστολὴ δηλοῖ. πατὴρ δὲ ἦν Θεμιστίου Εὐγένιος, καὶ αὐτὸς φιλοσοφήσας. τούτου τοῦ Θεμιστίου εἰς πάντα τὰ ἀριστοτελικὰ φέρονται ὑπομνήματα. οὐ μόνον δέ· ἀλλὰ καὶ μεταφράσεις αὐτοῦ εἴσομεν, εἰς τὸ χρήσιμον * ἐπιτετμημένας, τῶν τε ἀναλυτικῶν καὶ τῶν περὶ ψυχῆς βιβλίων, καὶ τῶν τῆς φυσικῆς ἀκροάσεως, καὶ ἑτέρων τοιούτων. εἰσὶ δὲ καὶ εἰς τὰ πλατωνικὰ αὐτοῦ ἐξηγητικοὶ πόνοι. καὶ ἁπλῶς, ἐραστής ἐστι καὶ σπουδαστὴς φιλοσοφίας.

* al. ἐπιτετμημένας & ἐπιτετμημένα.

LESBONACTIS *Orationes politicæ XVI.*

ΛΕΣΒΩΝΑΚΤΟΣ ΛΟΓΟΙ ΠΟΛΙΤΙΚΟΙ ιϛ'.

a Lesbonactis duæ leguntur Orationes: Politica vna, De bello Corinthio. altera Protreptica ad pugnam cum Lacedæmoniis Historiam refert Thucyd. lib. VII. Antiquior hic ille Lesbonacte est, quem sub Augusto Philosophum vixisse scribit Suidas.

Lesbonactis orationes.

LECTÆ sunt & [a] LESBONACTIS *Orationes Politicæ sedecim.* Hic autem Lesbonax...

ΑΝΕΓΝΩΣΘΗΣΑΝ δὲ καὶ Λεσβώνακτος λόγοι πολιτικοὶ δεκαέξ: οὗτος δὲ ὁ Λεσβῶναξ λάθει.

LXXV.

IOAN. PHILOPONI *Libellus contra* [a] IOANNEM *Patriarch. CP. Cognom.* Scholasticum.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΦΙΛΟΠΟΝΟΥ πρὸς τὸν Ἰωάννην ἀρχιεπίσκοπον Κωνσταντινουπόλεως.

Ioan. Philoponus contra IV. Synodum.

LEGI IOAN. PHILOPONI *libellum* aduersus ea, quæ pro certo dogmate, *De sancta ac consubstantiali Trinitate* diuinè tradidit B. Ioannes Scholasticus, Archiepiscopus, Constantinopolitanus in oratione sua Catechetica, quam Iustino [minore] imperante habuit [b] prima Indictione.

Dictionis genere sui similis est, perspicuus videlicet, nihilque intensum habens, aut graue; Verum argumentationis forma, non impius modo, sed & putidus, atq; imbecillus est,

a Huius Ioannis Patriarchæ mentio est supr. Cod. XXIV. Quem sanctum dictum puta ex formula tantum Græcorum. Vide D. Bar. Tom. VII. b ἐπὶ τῆς πρώτης ἐπινεμήσεως Glossarum vetus Indictionem interpretatur. Sub. in Hesychio, ἐπὶ ἐπινεμήσεως ... vicem exsoluit.

ΑΝΕΓΝΩΣΘΗ Ἰωάννου τοῦ Φιλοπόνου βιβλιδάριον κατὰ τῶν ἐνθέως δογματισθέντων, περὶ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος, ὑπὸ τοῦ ἐν ἁγίοις Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ ἀπὸ σχολαστικῶν, ἐν τῷ κατηχητικῷ αὐτοῦ λόγῳ, ὃν εἶπεν ἐπὶ τῆς πρώτης ἐπινεμήσεως, βασιλεύοντος Ἰουστίνου. ἔστι δὲ τὴν φράσιν ὅμοιος ἑαυτῷ· σαφής τε γὰρ καὶ οὐδὲν μετέχων τόνου ἢ σεμνότητος. τοῖς ἐπιχειρήμασι δὲ οὐ μόνον ἀσεβὴς, ἀλλὰ καὶ λίαν σαθρὸς καὶ ἀνίσχυρος.

κομιδῇ

καὶ μηδ' ἐπιπολαίῳ φαντασίᾳ τῆς ἀληθείας, τὰ οἰκεῖα δυνηθεὶ; ἐπιχρῶσαι καὶ τῆς ἀσεβείας σοφίσματα. φύσεις γὰρ καὶ οὐσίας, καὶ θεοὺς πλασάμενος, εἶτ' ἐντεῦθεν ἀθυροστόμως πᾶσαν βλασφημίαν τῆς χριστιανῶν καταχέεται πίστεως: τὸ ἓν πόσα σημαίνει; μικρολογῶν. κἀκ τῆς τεχνικῆς αὐτοῦ * προσποιεῖται ματαιολογίας, μᾶλλον δὲ παιδαριώδους ἀπειροκαλίας, τὴν θεολογικὴν ἡμῶν ἐξουθενεῖν ἐφρυάξατο μυσταγωγίαν. οὐ μόνον δὲ * τούτων τοῖς ἐπιχειρήμασιν ἐστὶν ἀσθενὴς, καὶ ἀνόητος: ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν αὐτοῦ συντάγμασιν, ὧν ἐστὶν αὐτὸς πατὴρ, ἀλλὰ μὴ ἀλλαχόθεν ἐκκλέψας τὰς εὑρέσεις ὑπεβάλλετο. λίαν δέ ἐστιν ἀπῳκισμένος τῶν συνιδεῖν ἰσχυόντων τὸ ψεῦδος ἢ τἀληθὲς, καὶ τῶν ἐς δριμύτητα τεινόντων νοημάτων ἐφάψασθαι. ἃ δ' ἐστὶν αὐτοῦ ὑποβολιμαῖα, σώζει μὲν τῶν φυόντων τὸν χαρακτῆρα. πλὴν ἐστὶ καὶ ἃ τῇ μοχθηρᾷ παρ' αὐτοῦ διαίτῃ καὶ διασκευῇ τοῦ λόγου τὸ γνήσιον καὶ ἀρρενωπὸν τῶν γεννησαμένων * ἀπεβάλλετο. καὶ ἔστιν ὥσπερ συνθέντα, φύσιν μὲν ἄριστα, τροφῇ δὲ καὶ διαίτῃ τὸ νόθον καὶ μοχθηρὸν ὑποφαίνοντα. πλὴν ἀλλ' ἔν γε τούτῳ τῷ λόγῳ καὶ πατέρων ῥήσεις παραφέρει τοῦ τε θεολόγου Γρηγορίου καὶ τοῦ μεγάλου Βασιλείου, Ἀθανασίου τε τοῦ πολυάθλου, καὶ τοῦ ἐν ἁγίοις Κυρίλλου. ἀλλ' οὐδὲν αὐτοῦ συντελοῦσιν οὐδ' αὗται εἰς τὸν προκείμενον καὶ ἠσεβημένον σκοπόν.

* al. ὡς εἴρηται.

* al. τούτῳ.

* al. ἀπεβάλλοντο.

ΦΛΑΒΙΟΥ ΙΩΣΗΠΟΥ ΙΟΥΔΑΙ-κῆς ἀρχαιολογίας λόγοι κ'.

οϛ'.
Fl. Iosephi de Antiquitate Iudaica libri XX.

ΑΝΕΓΝΩΣΘΗ Φλαβίου Ἰωσήπου Ἰουδαϊκῆς ἀρχαιολογίας, ἐν λόγοις κ'. ἄρχεται ἀπὸ τῆς Μωσέως κοσμογονίας, τὰ πολλὰ συνᾴδων τῇ Μωσέως * γραφῇ: ἔστι δὲ ἔνθα ἀλλοιότερον συγγραφόμενος. κάτεισι δὲ μέχρι τῆς ἀρχῆς τοῦ πρὸς Ῥωμαίους Ἰουδαίων πολέμου. ἐβασίλευε δὲ τότε τῶν Ἰουδαίων Ἀγρίππας, ὁ τοῦ Ἀγρίππα τοῦ μεγάλου παῖς· ὃς Ἰησοῦν τὸν τοῦ Γαμαλιὴλ τὴν ἀρχιερωσύνην ἀφελόμενος, δίδωσι Ματθίᾳ τῷ τοῦ Θεοφίλου. πρῶτος δὲ Ἀντίοχος, καὶ ὁ στρατηγὸς αὐτοῦ Λυσίας, ἀφ' οὗ τοῖς Ἰουδαίοις ἀρχιερωσύνης ἐγνώσθη ἀξίωμα, εἰς ταύτην τὴν τολμηρὰν κατέστη ἐγχείρησιν. τὸν γὰρ Ὀνίαν, ᾧ Μενέλαος ἐπίκλην, τὴν ἀρχιερωσύνην ἀφελόμενοι, καὶ ἀνελόντες, εἶτα καὶ τὸν παῖδα τῆς διαδοχῆς ἀπελάσαντες, καθιστῶσιν Ἰάκιμον, γένους μὲν τοῦ * Ἀαρὼν, οὐκ ὄντα δὲ τῆς οἰκίας ταύτης. πρὶν δὲ τούτους διὰ βίου ἀρχιερατεύειν ἀπὸ Ἀαρὼν ἀρξάμενος, καὶ παῖς παρὰ τοῦ πατρὸς τὴν τιμὴν διεδέχετο. τελευτήσαντος δὲ Ἰακείμου, τρισὶν ἐνιαυτοῖς ἀρχιερατεύσαντος, ἔμεινεν ἡ πόλις ἐνιαυτοὺς ἑπτὰ χωρὶς ἀρχιερέως. οἱ δὲ τοῦ Ἀσαμωναίου παίδων ἔγγονοι. ὁ δὲ τοῦ Ἀσαμωναίου ἔγγονος * Ματθίας, καὶ οἱ τούτου παῖδες, τὴν προστασίαν τοῦ ἔθνους πιστευθέντες, καὶ πολεμήσαντες Μακεδόσιν, Ἰωνάθην ἀρχιερέα καθιστῶσιν. ἐξ ἧς γενεᾶς ἦν καὶ Ἰούδας, ὁ ἐπικληθεὶς Ἀριστόβουλος, ὃς καὶ πρῶτος διάδημα περιέθετο. ἀρχιερεὺς δὲ ὁ αὐτὸς ἅμα καὶ βασιλεὺς χρηματίσας, καὶ ἐπιβιοὺς ἐνιαυτὸν ἕνα, διάδοχον ἔσχε καὶ τῆς βασιλείας καὶ τῆς * ἱερατικῆς ἀρχῆς τὸν ἀδελφὸν, Ἀλέξανδρος αὐτῷ ὄνομα,

* al. συγγραφῇ.

* al. Ἀαρῶνος.

* al. Ματταθίας.

* al. βασιλικῆς.

PHILOPONVS.

vt ne vmbratili quidem veritatis specie, propria potuerit colorare aduersus pios sophismata. Naturas etenim atque essentias, Deósque commentus, nullas inde non ore infrænato [a] in Christianam fidem blasphemias vomit, istud identidem [b] *Vnum quam multa significat?* anxiè nimis, nimiúmque minute consectans. Ita per suam artificiosam, vt illi quidem videtur, nugacitatem, vel pueriles potius ineptias, Mystagogiam nostram Theologicam nihili se facere, insolenter iactauit. At non in hoc solum argumentandi genere infirmus est, ac demens, sed & in aliis omnibus suis, quorum quidem auctor est, scriptis. excipio illa, quæ, aliorum inuenta compilans, sibi vindicauit. Longissimè enim infra eos auctores est, qui falsum norunt à vero diiudicare, & ad ipsa sensorum acumina pertingere. Quæ ergo sibi subditicia arrogat, seruant illa quidem scriptorum characterem: attamen sunt in iis nonnulla, maligno improbóque orationis veluti victu quodam, atque apparatu ab ipso corrupta, id quod germanum erat in ipsis auctoribus, ac masculum, amiserunt: suntque ijs similia [c] compositis, quæ quidem natura optima, ob cibi tamen victúsque rationem, illegitimum quid, & improbum præ se ferunt. Verumtamen in hoc ipso libro sanctorum Patrum dicta colligit: vt Gregorij cognomento Theologi, & Basilij Magni, Athanasij item illius variis malis exerciti, ac B. Cyrilli, quæ tamen causam ipsius impiam, quam habet propositam, minimè promoueant.

a Illuc atque aliunde merito, vt à fide Christiana abhorrens traducitur à Conone, & sociis sup. Cod. XXIII.

b τὸ ἓν πόσα σημαίνει, σμικρολογῶν. Quo fere modo apud Cassiod. in vita B. Chrysost. legimus Arianos certauisse: Vbi sunt, qui dicunt tria virtute vnum.

c συνθέντα

LXXVI.

Fl. Iosephi *Antiquitatum Iudaicarum libri XX.*

LEGIMVS FLAVII IOSEPHI *Iudaicæ antiquitatis libros XX.* A mundi creatione apud Mosen initium ducit, qui cum etsi magnam partem concinit, interdum tamen diuersus abit, pergitque vsque ad bellum cum Romanis Iudaicum. Iudæis tum rex imperabat Agrippa, Agrippæ Magni F. qui Iesum Gamalielis F. Pontificatu deiecit, suffecitque Matthiam Theophili F. Quo audaciæ post cognitam Hebræis Sacerdotij dignitatem primus omnium Antiochus, eiusque dux Lysias conando progressus est. Oniam enim illi, cui *Menelao* cognomentum fuit, Pontificio submouerunt, necarúntque: quin & filium paternæ dignitatis successione priuarunt, subrogato [a] Iacimo, è genere quidem Aaronis, sed alterius familiæ. Olim verò per omnem vitam Pontificatum gerere, iam inde ab Aaronis temporibus, & filium in demortui patris dignitatem succedere [b] lex iubebat. Mortuo autem post triennij Pontificatum Iacimo, septennio deinde ciuitas Pontifice caruit Quare cum ex [c] Asamonæi stirpe [d] Matthiæ huiusque filijs gentis Iudaicæ esset credita præfectura, bellúmque ijdem cum Macedonibus gessissent, Ionatham Pontificem creant. Ex qua stirpe & Iudas cognomento *Aristobulus* fuit, qui & diadema capiti primus imposuit. Regis ergo idem hic iure simul, & sacerdotij vsus, anno vno superstes, successorem reliquit regni simul & Pontificatus fratrem, cui Alexandro nomen.

a al. Alcimo vel Iacchimo.

b πάτριον ἦν ad dendum.

c De his multa de Asid. Orat. lauro Epist. Ioseph. Stephanus in cap. 1. Macchabaeor.

d al. Mattathia.

IOSEPHVS.

Gessit hic imperium annos septem & viginti. Ab hoc peruenit deinceps regnum cum sacerdotio, Asamonæi posteris seruatum, ad Hyrcanum vsque, quem Romanorum dux Pompeius, captis Hierosolymis, regno quidem spoliauit, sacerdotium tamen summum Iudaicæ gentis gerere permisit. Præfuit in vniuersum annos tres & triginta, cum sub Pharnabazo & Pacoro Parthorum præfectis captus est, suffectúsque ab illis rex Aristobuli fratris filius Antigonus. Hunc ipsum, cum annos tres, totidémque menses imperasset, Sosius quidem Romanorum dux, & Herodes primus (is qui Antipatri Ascalonitæ sacerdotis, & Cypridis Arabicæ filius fuit) debellarunt. Antonius autem Antiochiam perductum necauit. Ita finem Asamonæa soboles habuit, & imperium Iudæorum à Romanis Herodes sumpsit. Ille cuiuis Pontificatum præbens, successoribus, vt idem auderent, caput exstitit atque exemplum. Pertingit itaque (vt supra diximus) hic scriptor libris viginti, ab orbe condito auspicatus, ad initium vsque belli vltimi Iudæorum cum Romanis: qua tempestate in Iudæa regnauit, auctoritate Romanorum, Agrippa, Agrippæ F. Syriæ verò ac Iudææ præfectus fuit Gessius Florus, is qui Albino successit. cuius impotentem dominatum, crudelitatémque Iudæorum natio non ferens, tumultuari cœpit, melius esse rata multos simul & in libertate, quam lentè ac paulatim, & in seruitute extingui. Altero certè Præfecturæ Flori, Neronis verò decimo anno, bellum agitari cœptum, finisque est Iosephi historiæ: de cuius stylo [a] supra dicere memini.

a Cod. 47.

Genus illi Iudaicum, & sacerdos ipse, patris quoque stirpem è sacerdotibus longa maiorum serie ducebat: nam mater regij sanguinis fuit ex Asamonæorum illa sobole, quæ diutissimè inter contribules sacerdotio potita summo, & regno. Natus ergo Iosephus ex illa matre, & Matthia, anno primo Caij Roman. Imperatoris, iam inde à teneris vnguiculis Philosophiæ studiis sese dedidit. Annum deinde attingens sextum decimum, animum quoque ad Iudæorum sectas appulit ([b] tres autem numerantur) omnésque magno animi studio persecutus est, vt omnium capto experimento, optimam tandem amplecteretur. Atque hæ ferè sectæ illæ: Pharisæi, Sadducæi, & [c] Esseni. Quas cum percurrisset, in solitudinem secedit, ibique [d] viro tres annos vtitur, qui solitariam erat vitam austerè pridem complexus, cui vestimentum arborum folia, alimentum verò herbæ sponte natæ præbebant: & frigidâ insuper sæpius interdiu noctúque lauabat, puritatis continentiæque gratia. Hinc ad vndeuicesimum ætatis annum vrbem repetiit, Pharisæorum potissimum hæresim secutus, quam ei ferè [e] similem faciunt, quæ apud gentes Stoica est appellata.

Annum agens postea tricesimum, ab Hierosolymitanis ad Galilæam procurandam mittitur. Iam enim turbari res cœperant Iudæorum, multisq; ipsi agitari tumultib. Dein Galilæorum ductor creatus, Remp. bene gessit, & multas variásq; [f] æmulorū in Rep. administrāda

b De quibus copiosè D. Baron. Card. initio To. I. Annal. Ecclesiast. & noster Nicol. Serrarius singulari suo Trihæresium opusculo.

c Vide Philonem Iudæum lib. Quod omnis probus liber, in med. & lib. De vita contemplatiua toto. Suid. quoque vocibus Ἐσσαῖοι, & θεραπευταί.

d C. i. nomen Bano, teste Iosepho lib. De vita sua, initio.

e Hinc fortè & illa Stoica dogmata à Philone tractata singulis libellis Omnes probos esse liberos, & omnes improbos esse seruos.

f In quibus Iustus Tiberiensis de quo sup. Cod. 33.

ὃς ἐπεβίω τῇ ἀρχῇ ἔτη κζ. καὶ διέδραμεν ἡ βασιλεία μετὰ τῆς * ἀρχιερωσύνης, τοῖς ἀπὸ Ἀσαμωναίου σωζομένη, μέχρις Ὑρκανοῦ, ὃν Πομπήϊος ὁ ῥωμαίων στρατηγὸς πορθήσας τὰ ἱεροσόλυμα, τὴν μὲν βασιλείαν ἀφείλετο, ἀρχιερατεύειν δὲ τοῦ ἔθνους κατέλιπεν. ἄρξας δὲ τὰ πάντα ἔτη τριάκοντα καὶ τρία, αἰχμάλωτος ὑπὸ Φαρναβάζου καὶ Πακόρου τῶν τῆς παρθυαίων δυναστῶν γίνεται· καὶ καθίσταται ὑπ' αὐτῶν ὁ τοῦ Ἀριστοβούλου ἀδελφοῦ υἱὸς Ἀντίγονος βασιλεύς: ὃν τρεῖς μῆνας καὶ τρία ἔτη ἄρξαντα, Σόσιος ὁ ῥωμαίων στρατηγὸς καὶ Ἡρώδης ὁ πρῶτος, ὁ τοῦ Ἀντιπάτρου τοῦ Ἀσκαλωνίτου τοῦ ἱεροδούλου, καὶ τῆς Κύπριδος τῆς * Ἀραβίσσης παῖς ἐξεπολιόρκησαν. Ἀντώνιος δὲ εἰς ἀντιόχειαν ἀναχθέντα ἀνεῖλε, καὶ παύεται τὸ Ἀσαμωναῖον γένος, καὶ λαμβάνει τὴν τῶν Ἰουδαίων βασιλείαν παρὰ ῥωμαίων Ἡρώδης· ὃς τοῖς τυχοῦσι νέμων τὴν ἀρχιερωσύνην, καὶ τοῖς διαδόχοις αὐτοῦ τὸ αὐτὸ τοῦτο ποιεῖν καταλιπὼν, ἀρχὴ γέγονε καὶ παράδειγμα. κάτεισιν οὖν, ὥσπερ εἴρηται, ὁ συγγραφεὺς ἐν τοῖς εἴκοσι βιβλίοις, ἀρξάμενος ἀπὸ τῆς * κοσμογονίας, μέχρι τῆς ἀρχῆς τοῦ τελευταίου πρὸς ῥωμαίους Ἰουδαίων πολέμου. καθ' ὃν καιρὸν Ἰουδαίων μὲν ἐβασίλευεν, ὑπὸ ῥωμαίων καταστὰς, Ἀγρίππας, ὁ τοῦ Ἀγρίππα: ἐπετρόπευε δὲ τῆς συρίας καὶ Ἰουδαίας, * Γέσιος φλῶρος Ἀλβίνου διάδοχος. οὗ τὴν κακουργίαν καὶ ὠμότητα τὸ Ἰουδαίων ἔθνος οὐ φέροντες, ἐστασίασαν. κρεῖσσον ἡγησάμενοι, ἀθρόον καὶ σὺν ἐλευθερίᾳ, ἢ κατ' ὀλίγον καὶ σὺν δουλείᾳ ἀπολέσθαι. δεύτερον * δὴ ἔτος τῆς Φλώρου ἐπιτροπῆς, δωδέκατον δὲ τῆς Νέρωνος ἀρχῆς, ὅτε ὁ πόλεμος ἐλάμβανε κίνησιν: ἐν οἷς καὶ τῆς ἱστορίας τὸ πέρας. Οἷος δὲ τὴν φράσιν ἐστὶν, ἔμπροσθεν εἴρηται. ἦν δὲ Ἰώσηπος, γένος μὲν Ἰουδαῖος, ἱερεὺς καὶ ἐξ ἱερέων τὰ πρὸς πατρὸς ἄνωθεν καταγόμενος, καὶ ἐκ βασιλείου φυλῆς ἀπὸ τῆς μητρὸς, τῶν γὰρ Ἀσαμωναίου παίδων οἳ ἐπὶ μακρότατον τῶν ὁμοφύλων ἱεράτευσάν τε καὶ ἐβασίλευσαν, ἡ γεννησαμένη ἀπόγονος. γίνεται δὴ οὖν ἐξ αὐτῆς καὶ Ματθίου κατὰ τὸ πρῶτον ἔτος τῆς Γαΐου ῥωμαίων ἡγεμονίας Ἰώσηπος: ἐκ νέας μὲν φιλολογῶν· περὶ δὲ τὸ ἑκκαιδέκατον ἔτος γεγονὼς, ἐπέβαλε καὶ ταῖς παρὰ Ἰουδαίοις αἱρέσεσι, τρεῖς δέ εἰσι· καὶ πάσας εὐτόνως μετιὼν, ὡς ἀπὸ τῶν πασῶν πεῖραν εἰληφότα, ἐλέσθαι τὴν ἀμείνω. εἰσὶ δ' αἱ αἱρέσεις, φαρισαῖοι, σαδδουκαῖοι, καὶ ἐσσηνοί. ἃς διελθὼν ἔξεισιν ἐπὶ τὴν ἔρημον, κἀκεῖ συνδιατρίβει ἀνθρώπῳ τινὶ τὸν ἐρημικὸν ἀθλοῦντι βίον, ἐπὶ ἔτη τρία. ἦν δὲ τῷ ἀνθρώπῳ ἐσθὴς μὲν ἐκ δένδρων, καὶ τροφὴ τῶν αὐτοφυῶν αἱ βοτάναι: καὶ ψυχροῦ ὕδατος λουτρὸν πολλάκις, καὶ τῆς ἡμέρας καὶ τῆς νυκτὸς, πρὸς ἁγνείαν. ἐκεῖθεν περὶ τὸ ἐννεακαιδέκατον ἔτος ἐπάνεισι πρὸς τὴν πόλιν, τὴν φαρισαίων αἵρεσιν στέργων, ἣν καὶ τῇ παρ' ἕλλησί φασιν ἐοικέναι ἐπιλεγομένῃ στωϊκῇ. εἶτα περὶ τὸ λ' ἔτος πέμπεται παρὰ τῶν ἱεροσολυμιτῶν τὴν ἐν γαλιλαίᾳ * προνοησόμενος. ἀρχὴν γὰρ ταραχῆς ἐδέχετο τὰ Ἰουδαίων, πολλαῖς ἀταξίαις ἤδη συναλλοιουμένων. εἶτα καὶ στρατηγὸς τῶν περὶ τὴν γαλιλαίαν χειροτονηθεὶς, * εὖ τε προέστη τοῦ ἔθνους, καὶ μυρίας καὶ ποικιλωτάτας ὑπὸ τῶν ἀντιπολιτευομένων ἐπιβουλὰς ὑποστὰς,

* al. ἱερωσύνης.

* al. Ἀρραβίσσης.

* al. κοσμοποιΐας.

* al. Γέσσιος Ἀλβίνου.

* al. δ' ἔτ.

* al. φροντιοῦσαν

* al. [illegible] προέστη.

IOSEPHVS.

πάσας ἐξέφυγε. καὶ * μετρίως τοῖς ἐχθροῖς ἔχων, ὑπεξουσίοις πολλάκις ἐχρήσατο. καὶ τὸν πρὸς Ῥωμαίους πόλεμον ἄκων ἀναδεξάμενος, καὶ ἀνδρείως ἀντισχὼν ἐν * Ἰωταπάτοις· ὅμως * ζωγρίαν, Οὐεσπασιανῷ Ῥωμαίων τότε στρατηγοῦντι, ἁλίσκεται. ἔνθα τυγχάνει λίαν εὐμενοῦς, αὐτοῦ τε τότε καὶ ἐπὶ πλεῖον Ῥωμαίων ἄρξαντος. οὐκ αὐτοῦ δὲ μόνου, ἀλλὰ καὶ τῶν παίδων Τίτου καὶ Δομετιανοῦ * κατὰ διαδοχὴν βεβασιλευκότων· ὡς καὶ τῆς Ῥωμαϊκῆς τυχεῖν πολιτείας, καὶ πάντων ἐν ἀφθονίᾳ καταστῆναι. * ἀπηρτίσθη δὲ ἡ ἱστορία, νϛʹ ἄγοντι * ἐνιαυτὸν, Ῥωμαίων Δομετιανοῦ ἔτος τῆς ἀρχῆς ἔχοντος τρισκαιδέκατον.

* al. μετρίων. * al. ἰωταπάτοις. * ἴσ. ζωγρίαν. * al. ἐν διαδοχῇ. * al. ἀπηρτίσθη. * al. ἐνιαυτῷ.

insidias euitauit. Cum inimicis etiam moderatius agendo, non rarò eos in suam redegit potestatem. Bellum item, quod aduersus Romanos inuitus suscepit, fortiter Iotapitis sustinuit. Viuus tamen in Vespasiani, Romanorum copiis præfecti, potestatem venit. quem in se humanum sensit, ac perbenignum iam tum, & verò amplius postquam Romanum obtinuit imperium. neque solum illum talem expertus est, sed etiam liberos eius Titum ac Domitianum, qui parentis imperium ordine exceperunt, vt & Romana sit ciuitate donatus, multisque opibus auctus. Absoluta ab eo historiæ scriptio sexto & quinquagesimo ætatis anno, imperij verò Domitiani Roman. Augusti tertio-decimo.

LXXVII.

ΕΥΝΑΠΙΟΥ ΧΡΟΝΙΚΗΣ ΙΣΤΟΡΙΑΣ τῆς μετὰ Δέξιππον, λόγοι ιδʹ.

οζʹ. Eunapij Chronica post Dexippum.

ΑΝΕΓΝΩΣΘΗ Εὐναπίου χρονικῆς ἱστορίας, τῆς μετὰ Δέξιππον νέας ἐκδόσεως, ἐν βιβλίοις τεσσαρεσκαίδεκα. ἄρχεται μὲν τῆς ἱστορίας ἀπὸ τῆς Κλαυδίου βασιλείας, εἰς ὃν Δεξίππου ἡ ἱστορία καταλήγει· ἀποτελευτᾷ δὲ εἰς τὴν Ὁνωρίου καὶ Ἀρκαδίου τῶν Θεοδοσίου παίδων βασιλείαν· ἐκεῖνον τὸν χρόνον τέλος τῆς ἱστορίας ποιούμενος, ὃν Ἀρσάκιος μὲν, τοῦ χρυσοῦ τῆς ἐκκλησίας στόματος Ἰωάννου ἀπελαθέντος, εἰς τὸν ἀρχιερατικὸν θρόνον ἀνηγμένος ἱεράτευεν. ἡ δὲ τοῦ βασιλεύοντος Ἀρκαδίου γυνὴ κατὰ γαστρὸς ἔχουσα, καὶ ἀμβλώσασα, τὸν βίον ἀπέλιπεν. ἔστι ὁ Εὐνάπιος Σαρδιανὸς μὲν γένος ἐστί· τὰς γὰρ ἐν Λυδίᾳ Σάρδεις ἔσχε πατρίδα· δυσσεβὴς δὲ τὴν θρησκείαν ὢν, τὰ Ἑλλήνων γὰρ ἐτίμα. τοὺς μὲν εὐσεβείᾳ τὴν βασιλείαν κοσμήσαντας, παντὶ τρόπῳ καὶ ἀνέδην κακίζων, διασύρει, καὶ μάλιστά γε τὸν μέγαν Κωνσταντῖνον. ἐξαίρει δὲ τοὺς δυσσεβεῖς, καὶ τῶν ἄλλων πλέον Ἰουλιανὸν τὸν παραβάτην· καὶ σχεδόν τι τὸ τῆς ἱστορίας αὐτῷ εἰς τὸ ἐκείνου ἐγκώμιον συντεθὲν ἐξεπονήθη. ἔστι δὲ καλλιεπὴς τὴν φράσιν, εἰ περιέλοι τις αὐτοῦ τῶν λόγων τὸ ἀλεκτρυονῶδες, καὶ ἐλαφωδέστερον καὶ συωδέστερον, * καὶ δὴ καὶ τοὺς ἱερακώδεις, καὶ κορακώδεις, καὶ πιθηκώδεις· καὶ τὸ ποταμῶδες δάκρυον, καὶ τὰ ὅμοια. τούτοις γὰρ καὶ τὴν ἄλλην τῶν ὀνομάτων περιλυμαίνεται καὶ διαφθείρει εὐγένειαν. καὶ τροπαῖς μὲν κέχρηται παραβόλως, ὅπερ ὁ τῆς ἱστορίας οὐ θέλει νόμος· ἀφαιρεῖται δὲ τὸ λυποῦν ἡ τῆς λέξεως ἔμφασις τὰ πολλὰ καὶ ἀστειότης. τῇ συνθήκῃ δὲ καὶ τῷ σαφεῖ πρὸς ἱστορίαν, καὶ ταῖς περιόδοις, συμμέτρως καὶ οἰκείως ἔχει. πλὴν ἐνιαχοῦ δικανικώτερον μᾶλλον ἢ ἱστορικώτερον μεστοῖ καὶ περιβάλλει τὸν λόγον. καινοτερίζει δ' οὐκ ὀλίγα καὶ περὶ τὰς συντάξεις· πλὴν οὐκ εἰς τὸ ἄχαρι, οὐδ' εἰς τὸ ταῖς περιόδοις λαβὴν ἐπιδοῦναι. δύο δὲ πραγματείας, τὴν αὐτὴν περιεχούσας ἱστορίαν, συνεγράψατο, πρώτην καὶ δευτέραν. καὶ ἐν μὲν τῇ πρώτῃ πολλὴν κατὰ τῆς καθαρᾶς ἡμῶν τῶν χριστιανῶν πίστεως κατασπείρει βλασφημίαν, καὶ τὴν ἑλληνικὴν ἀποσεμνύνει δεισιδαιμονίαν, πολλὰ τῶν εὐσεβῶν βασιλέων καθαπτόμενος· ἐν δὲ τῇ δευτέρᾳ, ἣν καὶ νέαν ἔκδοσιν ἐπιγράφει, τὴν μὲν πολλὴν ὕβριν καὶ ἀσέλγειαν, ἣν κατὰ τῆς εὐσεβείας ἐσκέδαζεν, ἀποτέμνεται·

* ἴσ. δὲ ἡ τοῦ Mar. Marg.

EVNAPII *Chronicorum post Dexippum libri XIV.*

LECTI sunt [a] EVNAPII *Nona Chronicorum post Dexippum editionis libri quatuordecim.* Narrationis initium à Claudij Cæsar. imperio ducit, in quem Dexippi historia finitur, desinitque in Honorij & Arcadij liberorum Theodosij tempora, vt tunc historiæ suæ terminum ponat, quando Arsacius, Ioann. Chrysostomo exterminato, solium Episcopi occupauit, Arcadiique Imperatoris vxor grauida, & mox abortiens, vita decessit.

Eunapius hic Sardianus genere (Sardibus enim Lydiæ natus) quod gentium dogmata sequeretur, non parum impius fuit. Qui ergo pietate singulari imperium ornarunt, eos omnino largiter vellicat, atque traducit, maximéque omnium [b] Constantinum Magnum; Impios contra extollit, ac præ cæteris Iulianum Apostatam, vt ferè ad hunc laudandum historicum hocce opus elaborasse videatur.

Pulchra eius dictio, si quis ista exceperit: *Ἀλεκτρυονῶδες, καὶ ἐλαφωδέστερον, καὶ συωδέστερον, καὶ δὴ καὶ τοὺς ἱερακώδεις, καὶ κορακώδεις, καὶ πιθηκώδεις, καὶ τὸ ποταμῶδες δάκρυον.* id est, *Gallinaceosum, magis ceruinum, magisque suillum, accipitrosi, coruosi, simiosi, & lacryma fluminosa;* & id genus alia. His enim aliisque vocibus generosum dicendi genus corrumpit, atque adeo adulterat. Tropos ad hæc præter modum adhibet, quod historiæ lex vetat. Eximit autem molestiam vt plurimum dicendi vis, & vrbanitas. Compositione verò, & perspicuitate, ac periodis ad historiam accommodatè ac propriè vtitur, nisi quod interdum iuridice magis, quàm historicè implet, texitque orationem. Innouat non pauca in construendo, verum id non ingratè, neque vt periodis reprehendendis ansam præbeat.

Duos autem tomos, qui eandem historiam complectantur, scripsit, *Primum,* & *Secundum.* Ac priori quidem, multis in sinceram Christianæ nostræ fidei doctrinam blasphemiis cõiectis, gentium contra detestandũ errorẽ magnificè commendat, multa quoq; piorũ Imperatorum facta mordens. Altero verò tomo, quẽ *& nouam editionem* vocat, ingentem illam conuiciorum turbam, quam in Christianã pietatẽ petulantiùs antea sparserat, nonnihil cõtrahit,

[a] *Eunapij extant Sophistarum vitæ, Græcolat. typis Plantinianis, & in Germania, addita eius Legationum fragmentis, ex eis Chronicorũ libris, quos ob maledicentiam in Christianam religionem diuina quadam prouidentia intercidisse arbitror.*

[b] *Vt & Zosimus de quo inf. Cod. XCIIX. quem D. Baron. To. III. Annal. Eccles. passim refellit.*

ΣΥΝΑΡΙΥΣ ac reliquum deinde historiæ corpus vtcunque connectens, *Nouam*, (vt dixi) *editionem* inscribit: quæ nihilominus furoris illius & rabiei; qua primum tomum compleuerat, non exiguam etiamnum partem repræsentat. Equidem incidimus in antiquos vtriusque editionis libros, seorsim ab inuicem diuisos & compactos, quibus lectis, vtriusque discrimen deprehendimus. Accidit autem in *Noua editione* locos plurimos, ob dictorum facta compendia, obscurè truncatos esse, tametsi perspicuitatis rationem auctor magnam habuerit, nihilo tamen minus (quo id factum sit modo, nescio) non rectè, qua compendia occurrunt, connexuit orationem in noua editione. Sensum enim corrumpit eorum quæ ibi leguntur. Atque hic finis esto.

LXXVIII. MALCHI SOPHISTÆ *Byzantina historia libri VII.*

a MALCHVS *Syrorum lingua designat* Regem, *teste Eunapio de vitis Sophistarum in Porphyrio. De hoc porro Malcho lege Suidam, qui Byzantium cū Sophistam facit.*
b Seniorem. *De quo huius Malchi narrat habes à Suida exceptam in Leone Imp.*
c *al.* Harmatius *dicitur. vt apud Suid. vbi de ipso plura.*
d *in frusta dissectum refert infr. Candidus C. seq.*
e *Sic plerique vocant Græci codices, & scriptores, rectè, ex etymo Gothico, pro* Virtutibus opulento.
f *Quæ refert infr. Candidus Cod. seq.*
g *Episcopum Portuensem ordinauit, ait, Paulus diaconus lib. XV. histor. Miscellæ.*
h *Lege* προτέρους *Suid. à Constantino ad Anastasium vsque producto historiam testatur.*

LECTI sunt a MALCHI *Sophistæ historiæ Byzantinæ libri septem.* Auspicatur ab eo tempore, quo morbus b Leonem Imp. septimo decimo imperij anno extinxit. Narrat igitur Zenonis inaugurationem, atque vt idem extorris imperio atque priuatus vixerit. Vt item Basiliscus, illi suffectus, purpuram deinde posuerit. Mox Zenonis ad imperium reditum, cædémque eius quem dixi Basilisci, vxore etiam ac liberis, iniqua lege, vna trucidatis. c Armatum quoque, qui Zenonem reduxerat, similem accepisse mercedem, cum is ab Onulpho d neci datus est. Refert item e Theuderichi Otriarij F. seditionem: & Theuderichi Malamiri F. amicitiam, & cum illo altero Theudericho bellum: certamen etiam aduersus Zenonem, & Marciani rebellionem, & ante hanc Berinæ socrus [in Zenonem] insidias, Marcianique perpetuum exilium. Rursum Berinæ priores Hillo paratas f insidias, vtque Epidamnum Theudericus Malamiri F. fraude occuparit. Hæc vbi retulit, res quoque Romanorum attingit: finisque septimi libri mors est nepotis, qui Glycerium Cæsarea potestate exuit, Romanorúmque inuasit imperium, & clericorum ritu illum attonsum, pro Imperatore g Episcopum constituit, à quo demum insidiis petitus, periit. Hi septem historiarum libri, etiam h præcedentes plures ab eo libros fuisse conscriptos, indicant, & initium libri primi de septem idem ostendit. Quin & deinceps historiam persecuturum fuisse, si longior vitæ vsura contigisset, extremo libro septimo significat.

Philadelphensis est hic scriptor, & si quis alius in historia scribenda præstantissimus, vtpote purus, minimè redundans, non confusus, verbis maximè floridis, ac significantibus vsus, quæ ad magnitudinem ac pompam aliquam tendant, ne nouatis quidem vocibus, quando ille vehemens quid & sonoram, aut granditatem aliquam habent, prætermissis. Itaque quantus-quantus est, norma historici sermonis est, Sophistam verò agens, ad Rhetoricæ summum apicem peruenit, inter Christianos religionis cultu recensendus.

τὸ δὲ λοιπὸν τῆς συγγραφῆς σῶμα συνείρας, νέαν ἔκδοσιν (ὡς ἔφημεν) ἐπιγράφει, ἔτι πολλὰ τῆς ἐκείνου λύσσης ὑποφαίνουσαν. ἀμφοῖν δὲ ταῖς ἐκδόσεσιν ἐν παλαιοῖς * ἐνετύχομεν βιβλίοις, ἰδίως ἑκατέραν ἐν ἑτέρῳ τεύχει καὶ ἑτέρῳ συντεταγμένην: ἐξ ὧν αὐτῶν καὶ τὴν διαφορὰν ἀναλεξάμενοι, ἔγνωμεν. συμβαίνει οὖν ἐν τῇ νέᾳ ἐκδόσει πολλὰ τῶν χωρίων διὰ τὰς γεγενημένας τῶν ῥητῶν περικοπὰς ἀσαφῶς ἐκκεῖσθαι, καί τοι φροντιστὴς ὢν τοῦ σαφοῦς: ἀλλ' ὅτῳ τρόπῳ, λέγειν οὐκ ἔχω, μὴ καλῶς κατὰ τὰς περικοπὰς ἁρμόσας τοὺς λόγους ἐν τῇ δευτέρᾳ ἐκδόσει. τὸν γὰρ νοῦν * ἐκλυμαίνεται τῶν ἀναγινωσκομένων· ἐν οἷς καὶ τὸ τέλος.

* al. ἐντυχεῖν.

* ἐκλυμαίνεται.

ΜΑΛΧΟΥ ΣΟΦΙΣΤΟΥ ΒΥΖΑΝτιακὰ βιβλία ζ.

ΑΝΕΓΝΩΣΘΗ Μάλχου σοφιστοῦ βυζαντιακὰ ἐν βιβλίοις ἑπτά. ἄρχεται μὲν ἐξ οὗ Λέοντα τὸν βασιλέα ἡ νόσος ἐπνίξε, τούτῳ δὲ τῆς βασιλείας ἔτος ἑπτὰ καὶ δέκατον παρετείνετο: διέρχεται δὲ τήν τε Ζήνωνος ἀνάῤῥησιν, καὶ τὴν ὑπερόριον τῆς βασιλείου δόξης διαβίωσιν· καὶ τὴν Βασιλίσκου ἀνάῤῥησιν, καὶ τὴν τῆς ἁλουργίδος ἀπόθεσιν, καὶ τὴν ἐν τῇ βασιλείᾳ πάλιν κάθοδον Ζήνωνος· τήν τε τοῦ προειρημένου Βασιλίσκου διὰ ξίφους ἀναίρεσιν, ἧς καὶ γυνὴ καὶ τέκνα παρανόμως κοινῇ ἐκοινώνησαν. καὶ ὅτι Ἀρμάτος, ὁ Ζήνωνα κατάγων, τοιαύτης ἀντιμισθίας ἀπώνατο, διὰ Ὀνούλφου δεξάμενος τὴν σφαγήν. διαλαμβάνει δὲ καὶ τὴν Θευδερίχου τοῦ Ὀτριαρίου στάσιν, καὶ τὴν Θευδερίχου τοῦ Μαλαμείρου φιλίαν, καὶ τὸν πρὸς τὸν Ὀτριαρίου Θευδέριχον, πόλεμον. καὶ τὴν κατὰ Ζήνωνος πάλην, καὶ τὴν Μαρκιανοῦ ἐπανάστασιν, καὶ πρὸ τούτου τὴν τῆς πενθερᾶς Βηρίνης ἐπιβουλήν, καὶ τὴν τούτου φυγαδείαν τὴν ἀΐδιον· καὶ τὴν κατὰ Ἴλλου * πρότερον ἐπιβουλὴν Βηρίνῃ συσκευασθεῖσαν· καὶ τὴν Ἐπιδάμνου ὑπὸ Θευδερίχου τοῦ Μαλαμείρου ἐν δόλῳ κατάσχεσιν. ταῦτα διεξιών, διέξεισι καὶ τὰ ἐπὶ ῥώμης. καὶ τέλος τοῦ ζ λόγου ποιεῖται τὸν Νέπωτος θάνατον. ὃς ἐκβαλὼν τῆς ἀρχῆς Γλυκέριον, τὴν τότε ῥωμαϊκὴν ἰσχὺν περιεβάλετο· καὶ εἰς σχῆμα κουρᾶς κληρικοῦ, ἀντὶ βασιλέως ἀρχιερέα κατέστησεν· ὑφ' οὗ καὶ ἐπιβουλευθεὶς, ἀνῄρηται. οὗτοι οἱ ζ τῆς ἱστορίας λόγοι, καὶ προηγουμένους ὑποφαίνουσιν, αὐτῷ λόγους ἄλλους διαπεπονῆσθαι. καὶ ἡ ἀπαρχὴ δὲ τῶν ἑπτὰ τοῦ πρώτου λόγου τοῦτο παραδηλοῖ. οὐ μὴν ἀλλὰ καὶ ἑπομένους, εἰ τὸ ζῆν προσῆν τῷ συγγραφεῖ, ὡς τοῦ ἑβδόμου λόγου τὸ πέρας ἐνδείκνυσιν. ἔστι δ' ὁ συγγραφεὺς, φιλαδελφεὺς, εἴ τις ἄλλος, κατὰ συγγραφὴν ἱστορίας ἄριστος, καθαρὸς, ἀπέριττος, εὐκρινὴς, λέξεσι ταῖς ἀνθηροτάταις καὶ εὐσήμοις, καὶ εἰς ὄγκον τινὰ ἀνηγμέναις, χρώμενος· καὶ οὐδ' αἱ καινοπρεπεῖς αὐτῷ, ὅσαι τὸ ἐμφατικὸν καὶ ἔνηχον καὶ μεγαλεῖον ἔχουσι, παραβλέπονται· καὶ ὅλος κανών ἐστιν ἱστορικοῦ λόγου. σοφιστὴς δ' ἦν τὸ ἐπιτήδευμα, καὶ ῥητορικῆς εἰς ἄκρον ἐληλακὼς, καὶ τὴν θρησκείαν οὐκ ἔξω τοῦ χριστιανικοῦ θιάσου.

οἶ. *Mal. hi sophistæ histor. Byzantina.*

KAN-

CANDID. LXXIX.

ΚΑΝΔΙΔΟΥ ΙΣΤΟΡΙΑΣ λόγοι γ'.

οθ'.

Candidi historiarum libri III.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Κανδίδου ἱστορίας λόγοι τρεῖς. ἄρχεται μὲν τῆς ἱστορίας ἀπὸ τῆς Λέοντος ἀναρρήσεως, ὃς ἦν ἐκ Δακίας μὲν τῆς ἐν Ἰλλυριοῖς, στρατιωτικῷ παραγγείλας τάγματι, καὶ τελῶν ἄρξας τῶν ἐν Σηλυμβρίᾳ· τὴν βασιλείαν δὲ σπουδῇ Ἄσπαρος ἐγχειρισθείς· ὃς ἦν Ἀλανὸς μὲν τὸ γένος, ἐκ παιδὸς δὲ στρατευσάμενος ἡλικίας, καὶ παιδοποιησάμενος ἐκ τριῶν γάμων Ἀρδαβούριον, Πατρίκιον, * Ἑρμενέριχον· καὶ θηλείας δύο. ποιεῖται μὲν ὁ συγγραφεὺς, ὡς εἴρηται, ἀρχὴν τῆς ἱστορίας, τὴν ἀρχὴν τῆς Λέοντος βασιλείας, τελευτᾷ δ' εἰς τὴν ἀναγόρευσιν Ἀναστασίου. ἔστι δὲ πατρίδος μὲν Ἰσαυρίας, ὡς αὐτός φησι, τῆς Τραχείας· ἐπιτήδευμα δὲ ἔσχεν ὑπογραφεὺς τῶν ἐν * Ἰσαύροις πλεῖστον ἰσχυσάντων. τὴν δὲ θρησκείαν χριστιανὸς ἦν καὶ ὀρθόδοξος. τήν τε γὰρ τετάρτην σύνοδον ἐπαίνοις στέφει· καὶ τῶν κατ' αὐτῆς καινοτομούντων καθάπτεται δικαίως. τὴν δὲ φράσιν οὐκ ἔχει πρέπουσαν λόγῳ ἱστορικῷ. ταῖς τε γὰρ ποιητικαῖς λέξεσιν ἀπειροκάλως τε κέχρηται, καὶ μειρακιωδῶς. καὶ ἡ συνθήκη αὐτῷ εἰς τὸ τραχύτερον καὶ δύσηχον ἐκδιθυραμβεῦται· ὥσπερ αὖ πάλιν εἰς τὸ ἐκλελυμένον τε καὶ ἐκμελὲς ὑπτιάζει. νεωτερίζει δὲ καὶ ταῖς συντάξεσιν οὐκ εἰς τὸ γλαφυρὸν μᾶλλον, καὶ ἐπαφρόδιτον, ὥσπερ ἕτεροι· ἀλλ' ὥστε δυσχερὲς ἀκοῦσαι, καὶ τοῦ ἰδίου ὑπερόριος. πλὴν αὐτὸς ἑαυτοῦ πολὺ βελτίων ἐνιαχοῦ τοῖς λόγοις πάντα γενόμενος, συμμιγῆ τὴν ἱστορίαν καὶ ἐξ ἀνομοιοτάτων ἁρμόζων ἁλίσκεται. οὗτος ἰσχυρίζεται τὴν Ἰσαυρίαν ἀπὸ τοῦ Ἡσαῦ λαβεῖν τὴν ἐπωνυμίαν. διέρχεται δὲ ἐν μὲν τῷ πρώτῳ λόγῳ τὴν Ἄσπαρος καὶ τῶν παίδων αὐτοῦ δυναστείαν· τὴν ἀνάρρησιν διὰ τοῦ Ἄσπαρος Λέοντος· τὸν συμβάντα τῇ πόλει ἐμπρησμὸν, καὶ ὅσα Ἄσπαρι περὶ τούτου ἐπὶ τὸ κοινῇ συμφέρον διαπέπρακται. καὶ περὶ Τιτιανοῦ καὶ Βιβιανοῦ. καὶ ὡς περὶ αὐτῶν διηνέχθη Ἄσπαρ καὶ ὁ βασιλεύς. καὶ οἷα εἰς ἀλλήλους ἀπεφθέγξαντο· καὶ ὡς ὁ βασιλεὺς διὰ τοῦτο ἠταιρίσατο τὸ τῶν Ἰσαύρων γένος, διὰ Ταρασικοδίσσα, Ρουσουμβλαδεώτου, ὃν καὶ Ζήνωνα μετονομάσας, γαμβρὸν ἐποιήσατο, τὴν προτέραν γυναῖκα θανάτου νόμῳ ἀποβαλόντα. καὶ ὡς Ἀρδαβούριος εἰς τὸ ἐναντίον μελετῶν τῷ βασιλεῖ, καὶ αὐτὸς οἰκειοποιήσασθαι τοὺς Ἰσαύρους διενοήθη. καὶ ὅτι Μαρτῖνος, οἰκεῖος ὢν Ἀρδαβουρίου, μηνύει Ταρασικοδίσσα, ἅπερ Ἀρδαβούριος κατὰ βασιλέως ἐσκευωρεῖτο. καὶ ὡς ἐντεῦθεν ἐς τὸ τραχύτερον τῆς ἐς ἀλλήλους ὑπονοίας προϊούσης, ἀναιρεῖ Λέων ὁ βασιλεὺς Ἄσπαρα καὶ τοὺς παῖδας, Ἀρδαβούριον, καὶ Πατρίκιον τὸν καίσαρα. ἀλλ' ὁ μὲν καῖσαρ τῶν πληγῶν ἀνενεγκὼν, παραδόξως διεσώθη καὶ διέζησεν. ἀλλὰ καὶ ὁ ἕτερος τῶν παίδων Ἀρμενέριχος οὐ συμπαρὼν τῷ φύντι, τὸν φόνον τότε διέφυγε. Ταρασικοδίσσαν δὲ γαμβρὸν ἐπὶ θυγατρὶ Ἀριάδνῃ * Λέων ὁ βασιλεὺς ποιεῖται, καὶ μετονομάζει Ζήνωνα, στρατηγὸν τῆς ἕω χειροτονήσας. καὶ τὰ κατὰ Ἀφρικὴν Βασιλίσκου εὐτυχήματά τε καὶ δυστυχήματα. καὶ ὡς Λέων πολλὰ βουληθεὶς καὶ διαμηχανησάμενος, Ζήνωνα τὸν γαμβρὸν ἀνειπεῖν βασιλέα, τῶν ὑπηκόων μὴ παραδεχομένων, οὐκ ἴσχυσε.

* al. Ἑρμενάριχον.

* al. ἰσαυρίοις.

Isauria.

* al. [illegible]

CANDIDI *Historiarum libri III.*

LECTI sunt CANDIDI *historici libri tres.* Inchoat historiam ab electione Leonis, qui è Dacia Illyrica oriundus, cum militari agmini [a] Selymbrianisque cohortibus præesset, Asparis studio imperium adeptus est. Hic Aspar genere Alanus erat, [b] à pueritia militiam secutus, qui ternis nuptiis totidem filios, Ardaburium, Patricium, [c] Ermenarichum, duásque filias sustulit. Incipit ergo, vti diximus, historicus ab initio Leonis Imper. desinit verò cum Anastasius Imperator renunciatus est.

Patria illi ea Isauria est, vt ipse fatetur, quæ *Trachea* [siue aspera] dicitur. Tabellio fuit vitæ instituto sub iis qui apud Isauros poterant plurimum: religione verò Christianus, & quidem orthodoxus. Quartam enim Synodum laudibus ornat, meritóque perstringit eos, qui eam oppugnant.

Stylum habet historiæ non satis accommodatum. Nam & Poëtarum phrasibus sine delectu, ac iuueniliter abutitur, & compositio eius durior & absona, Dithyramborum ritu, quæ alias iterum in dissolutum atque inconcinnum dilabitur. Constructiones innouat non ad ornatum maiorem ac venustatem, vt reliqui solent, sed ita, vt auditu molestus fiat, omnísque adeo expers suauitatis. Interdum autem se ipso verbis melior prorsus euadens, promiscuam historiam, etiam ex admodum dissimilibus, concinnare deprehenditur. Hic Isauriam ab Esau nomen mutuatam dicere audet.

Primo libro narrat Asparis, liberorúmque eius potentiam, & Leonis per Asparem electionem. De vrbis conflagratione exorta, quæque hic ab Aspare, Reip. commodo gesta sint. De Titiano & Viuiano, vtque de iis Aspar cum Imperatore contenderit, & quæ ac qualia inter eos verba tum iactata sint. Imperatorem ea ex causa cum Isaurorum genere societatem iniisse, per Tarasicodisam Rusumbladeoti F. quem etiam (Zenonem mutato nomine vocatum) generum sibi adsciuit, cum is priorem coniugem, mortalium lege amisisset. Ardaburium item, quo Imperatori aduersaretur, Isauros æquè suarum partium facere constituisse: atque Martinum quendam, Ardaburij familiarem, Tarasicodisæ indicasse, quæcunque in Imperatorem machinaretur Ardaburius. Quomodo exinde asperius indies crescente mutua suspicione, Leo Imp. Asparem sustulit, eiúsque liberos, Ardaburium & Patricium Cæsarem. etsi Cæsar excepta plaga inopinato saluus euasit, vixitque: & alius item de Aspari filiis [d] Armenerichus, quod abesset tum fortè à patre, cædem perinde effugit. Tarasicodisam ergo sibi generũ, data Ariadna, filia Imperator adsciuit, [e] Zenonémque nominatum, exercitus in Oriente ducem creauit. Refert deinde quæ in Africa secunda aduersaque gesserit Basiliscus. Leonem quoque multa volentem molientémque, quo Zenonem generum Imperatorem renunciaret, plebe repugnante, minimè id quidem efficere potuisset:

a τελῶν ὄρχας τῶν ἐν Σηλυμβρίᾳ. Taracia vrbs est Selymbria, de qua Stephan. Strabo, & alij.

b Qui cum parente Ardaburio Valentinianum Imp. reduxit, teste Olympiodoro infr. Cod. LXXX. in fin.

c al. Hermonarichus Armenerichus idem vocatur.

d al. Ermenaricus.

e multis de hoc Suid.

CANDID.

sed paulo ante obitum, nepotem ex Ariadna & Zenone natum, creasse: ita post Leonis excessum à Leone filio Zenonem patrem, assentiente Senatu, esse Imperatorem coronatum. Hinc Isaurorum stemma per series descripsit auctor, atque illos esse Esau posteros ac sobolem studio è persuadere conatur. Vt à [a] Verina deceptus Zenon, fugerit cum vxore ac matre ex vrbe, imperioque: vtque Verina spe adiungendi sibi patricium Magistrum, foréque vt imperaret, generum suum [Zenonem] fugauerit per fraudem, quæ tamen spes eam fefellerit, cum ij, qui in magistratu erant, Basiliscum eius fratrem Imperatorem renunciarunt. De Isaurorum incredibili Constantinopolitana in vrbe cęde, vtque post nepotem Romanorum Imperatorem, Orestes pater Augustulum Romano præfecerit imperio. Et hæc ferè libro primo narrat Candidus.

a Duas ipsi Constantinopoli erectas columnas describit Suid. in Verina.

LIB. II.

Altero verò libro ista. Patricius Magister, qui cum Verina consuetudinem habebat, indignante ipso Basilisco, periit. Ea propter in fratrem Verina odio concepto, ac Zenonem opibus ad recuperandum imperium adiuuans, extrema quæque à fratre pertulit, ac nisi è templo Armatus eam clam subduxisset, fortè & ipsa è medio sublata fuisset. Cum Basilisci deinde [b] vxore adulteratus Armatus, ad summam peruenit potentiam, adeò vt tandem ei bellum, quod aduersus Zenonem gerebatur, creditum fuerit, ad quem tamen certis pactis [c] Hilli opera conditionibus, defecit. Sub Zenone igitur tanti cum esset nominis Armatus, vt & filium Basiliscum Cæsarem viderit, post nihilominus [d] in frusta discerptus est, & puer ipse ex Cæsare inter lectores in Blachernis profiteri cœpit. Basiliscus ante hæc Marcum filium Cæsarem crearat, ac post etiam Imperatorem. Hillus cum Zenone conciliata amicitia, imperium eidem recuperare studuit. Basiliscus itaque à seditiosis superatus, cum Zenonide coniuge, ac liberis in templum se recepit, vnde Armati fraudibus extractus, & in Cappadociam relegatus, mox cum tota stirpe cæsus est. Cum Petrus [e] ille impius Orientis turbaret Ecclesias, misit Zeno Imperator Calandionem, vt Anthiochenæ sedis Episcopus sacraretur. Cum item pecunia indigeret Imperator, quærendæ illi pecuniæ rationes ostensæ sunt. Multi rebus nouis contra illum studentes, capti pœnas dederunt. Multa Hillus Romanæ Reipublicæ contulit, cum militiæ rebus fortiter gestis, tum domi honestis studiis, ac iustitiæ cultu. Post interemptum Romanum Cæsarem nepotem, & eius successorem Augustulum expulsum, Odoacer Italia, atque ipsa adeo vrbe potitus est. Rebellantibus autem huic Occidentis Gallis, & legatione ab ipsis, aliáque ab Odoacro ad Zenonem missa, in Odoacrum magis Zenonis animus inclinauit. Alanus quidam occidere Hillum conatus, cum eum percussisset, ab Epinicio, qui erat Verinæ domesticus, subornatum se ad cædem ait, itaque traditus Hillo Epinicius est, qui data fide & obliuionis, & præmiorum, ordine cuncta enarrauit, quæ in Hillum Verina moliretur.

b Zenonide. Lege plura voce Ἀρμάτιος. Ἄρματος apud Suid.

c Zenonis hunc Magum fuisse scripsit Suid.

d Malchus sup. ab Onulpho interfectum ait.

e Hæreticus inser. cognominatur, Cod. q. alibi Fullo, Antiochenæ sedis raptor.

καὶ ὡς πρὸ τελευτῆς αὐτοῦ τὸν ἔγγονον μὲν αὐτοῦ ἐκ Ζήνωνος φύντα τῇ Ἀριάδνῃ· καὶ ὡς μετὰ τελευτὴν Λέοντος ὁ παῖς Λέων Ζήνωνα τὸν πατέρα, συναινέσει τῆς βουλῆς, [καὶ] βασιλέα ἔστεψε. λεπτομερής τε τῆς ἰσαύρων γενεαλογίας ἀφήγησις· καὶ ὡς εἴησαν ἀπόγονοι τοῦ Ησαῦ, πολλὴ σπουδὴ καὶ διήγησις. ὅπως τε Ζήνων ὑπὸ Βηρίνης ἀπατηθεὶς, φύγοι γυναικὶ ἅμα καὶ μητρὶ τῆς πόλεως καὶ τῆς βασιλείας· καὶ ὡς Βηρίνα ἐλπίδι τοῦ συναφθῆναι Πατρικίῳ τῷ μαγίστρῳ, καὶ βασιλεύειν αὐτὸν, τὸν γαμβρὸν αὐτῆς φυγαδεύσασα ἐξ ἀπάτης, καὶ [*] αὐτῆς τῆς ἐλπίδος ἐσφάλη, τῶν ἐν τέλει Βασιλίσκον τὸν αὐτῆς ἀδελφὸν ἀνειπόντων βασιλέα. περί τε τῆς ἰσαύρων ἐν κωνσταντινουπόλει ἀμυθήτου σφαγῆς. καὶ ὡς μετὰ Νέπωτα βασιλέα ῥώμης Αὐγούστυλον ὁ πατὴρ Ορέστης ῥώμης κατεπράξατο βασιλεύειν. ταῦτα ὁ πρῶτος λόγος.

* al. αὐτὴ

Ο δὲ δεύτερος, ὅπως Πατρίκιος ὁ μάγιστρος, ὁ Βηρίνῃ συμφθειρόμενος, ἐπαγανακτήσαντος αὐτῷ Βασιλίσκου, ἀπεβίω. καὶ διὰ τοῦτο Βηρίνα δι' ἔχθρας πρὸς τὸν ἀδελφὸν καταστᾶσα, καὶ Ζήνωνι διὰ χρημάτων τὴν τῆς βασιλείας ἀνάληψιν συμπραγματευσα, τὰ ἔσχατα ἔπασχεν [*] ὑπὸ τοῦ ἀδελφοῦ. καὶ εἰ μὴ διέκλεψεν αὐτὴν [*] Αρματὺς ἐκ τοῦ ναοῦ, τάχα ἂν καὶ διεφθάρη. καὶ ὡς [*] Αρμάτος τῇ [*] γυναικὶ συνδιαφθειρόμενος Βασιλίσκου, ἐπὶ μέγα δυναστείας ἤρθη· καὶ ὡς ὕστερον τὸν κατὰ Ζήνωνος πιστευθεὶς πόλεμον, ἀπέκλινεν ἐπὶ συνθήκαις δι' Ιλλοῦ πρὸς αὐτὸν· καὶ διδοκιμῶν ἐπὶ Ζήνωνος, ὡς καὶ τὸν υἱὸν Βασιλίσκον καίσαρα ἰδεῖν, ὕστερον [*] ἐκρεουργήθη. καὶ ὁ παῖς ἀπὸ καίσαρος εἰς τοὺς ἐν βλαχέρναις ἀναγνώστας ἐτέλεσεν. ὡς πρὸ τούτων Βασιλίσκος Μάρκον τὸν ἴδιον υἱὸν καίσαρα [*] ἀνεῖπεν, εἶτα καὶ βασιλέα. καὶ ὡς Ιλλοῦς συνέβη Ζήνωνι εἰς φιλίαν, καὶ πάλιν ἀναλαβεῖν παρεσκεύασε τὴν βασιλείαν. καὶ ὡς καταστασιασθεὶς [*] βασιλεὺς, σὺν τῇ γυναικὶ Ζηνωνίδι καὶ τέκνοις, καταφεύγει εἰς τὴν ἐκκλησίαν, κἀκεῖθεν ἀπάτῃ [*] Αρμάτου ἐκβληθεὶς, ἐξορίζεται εἰς καππαδοκίαν. εἶτα πανοικεὶ κατασφάζεται. ὡς Πέτρου τοῦ δυσσεβοῦς τὰς τῆς ἀνατολῆς ταράσσοντος ἐκκλησίας, Καλανδίωνα Ζήνων ὁ βασιλεὺς εἰς τὸ ἱερᾶσθαι ἀντιοχείας [*] ἀπέσταλκε, καὶ δεόμενος χρημάτων, ἐκπορισμάτων ἐπέτυχε· καὶ πολλοὶ νεωτερίσαντες κατ' αὐτοῦ καὶ ἑαλωκότες, δίκην ἔδωσαν. ὡς Ιλλοῦς πολλὰ τῇ ῥωμαίων συνήνεγκε πολιτείᾳ, ταῖς τε κατὰ πόλεμον ἀνδραγαθίαις καὶ ταῖς κατὰ πόλιν φιλοτιμίαις τε καὶ δικαιοπραγίαις. ὡς μετὰ τὴν ἀναίρεσιν τοῦ βασιλέως Νέπωτος ῥώμης, καὶ τὸν διωγμὸν τοῦ μετ' αὐτὸν Αὐγουστύλου· Οδόακρος Ιταλίας καὶ αὐτῆς ἐκράτησε ῥώμης. καὶ στασιασάντων αὐτῷ τῶν δυσμικῶν γαλατῶν, διαπρεσβευσαμένων τε αὐτῶν καὶ Οδοάκρου πρὸς Ζήνωνα: Οδοάκρῳ μᾶλλον ὁ Ζήνων ἀπέκλινεν. ὡς Αλανός τις Ιλλοῦν ἀνελεῖν βουληθεὶς, καὶ πλήξας: Επινίκιον, εἶπεν, ἐς τὴν οἰκεῖος Βηρίνης, τὴν ἀναίρεσιν ὑποθέσθαι· καὶ ὡς ἐξεδόθη Επινίκιος Ιλλοῦ· καὶ ὡς ὑποσχέσει καὶ ἀμνηστίας καὶ εὐεργεσιῶν, ἐξεῖπε πάντα Επινίκιος, ὅσα ἐπεβούλευε Βηρίνα κατὰ Ιλλοῦ· καὶ ὡς

* al. ἐκεῖ
* al. Ἀρματίων
* al. Ἀρμάτιος
* al. γαμετῇ
* al. ἐσπουδάσθη
* al. ὕστερον
* al. Βασιλίσκου
* al. Ἀρματίου
* ἀνίστησι

* al. Βηρίνην. * al. Διὰ Μάρσου Ἴλλους φιλιωθεὶς.

καὶ ὡς Ζήνων * Βηρίναν διὰ τοῦτο ἐκδίδωσιν, ὁ δὲ αὐτὴν εἰς φρούριον Κιλικίας ἀποστείλας ἠσφαλίσατο. καὶ ὡς Παμπρεπίῳ τῷ δυσσεβεῖ * διὰ Μάρσου Ἴλλους * φιλιωθεὶς, ἅπαντα κατὰ μικρὸν συνέχεε τὰ αὐτοῦ. καὶ ὡς ἐμφύλιος συνέστη τῷ Ζήνωνι πόλεμος, ἐξάρχοντος Μαρκιανοῦ καὶ Προκοπίου υἱῶν τοῦ βασιλεύσαντος Ῥώμης Ἀνθεμίου: καὶ κρατήσαντος Ζήνωνος διὰ Ἴλλου, πρεσβύτερος μὲν Μαρκιανὸς ἐχειροτονήθη, ὁ δὲ Προκόπιος πρὸς Θευδέριχον τὸν ἐν Θρᾴκῃ διέφυγε. καὶ ὡς ὑπεξελαθεὶς Μαρκιανὸς ἐν Καππαδοκίᾳ, καὶ διαφυγὼν, ἐτάραξε τὴν κατ' Ἄγκυραν Γαλατίαν: εἶτα συλληφθεὶς, εἰς Ἰσαυρίαν διωκίσθη. καὶ ὡς ἡ πρὸς Ἴλλουν ἔχθρα τῷ βασιλεῖ συνέστη καὶ ηὐξήθη. οὕτω μὲν οὖν καὶ ὁ δεύτερος. Ὁ δὲ τρίτος ἄλλα τε περιέχει, καὶ ὡς εἰς τὸ ἐμφανὲς Ἴλλους ἐπαναστὰς Ζήνωνι βασιλέα Λεόντιον σὺν Βηρίνῃ ἀνεῖπεν: ὅπως τε δυσπραγήσαντες, ἐπολιορκήθησαν, καὶ ἁλόντες ἀπετμήθησαν, καὶ τἆλλα, ἕως τῆς Ζήνωνος τελευτῆς.

CANDID.

Quare Zeno Verinam Hillo tradidit, qui eam in Ciliciæ castellum ablegauit, atque ita tutum sese reddidit. Hillus Pamprepio, homini impio, Marsi opera, factus carus, paulatim omnia ipsius negotia perturbauit. Ciuile Zenoni bellum fuit, atque intestinum, insurgentibus Marciano & Procopio, filiis eius qui Romæ imperauerat Anthemij. quos cum Hillus Zenonis auspiciis deuicisset, Marcianus quidem natu grandior ordinatus est presbyter: Procopius vero ad Theudetichum in Thraciam confugit. Quin & extorris in Cappadocia Marcianus, fuga elapsus, quæ ad Ancyram pertinet Galatiam, turbauit, donec captus in Isauriam est relegatus. In Hillum quoque ab Imperatore odium conceptum est, auctúmque. Atque hæc libro secundo prodita.

Tertius deinde liber cum alia continet, tum quomodo palam in Zenonem Hillus insurrexerit, Leontiumque Imp. cum Verina renunciauerit, vtque re infeliciter gesta, obsessi captíque capite truncati sint. aliáque ad [a] exitum vsque Zenonis.

a Rurm lege apud Suid. in Zenone.

ΟΛΥΜΠΙΟΔΩΡΟΥ ΙΣΤΟρίας λόγοι π'.

π'. Olympiodori historiarum libri XXII.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Ὀλυμπιοδώρου ἱστορικοὶ λόγοι κβ'. ἄρχεται ἀπὸ τῆς Ονωρίου τοῦ βασιλέως Ῥώμης, τῆς ὑπατείας τὸ ζ', καὶ Θεοδοσίου τοῦ δευτέρου: κατέρχεται δὲ μέχρις ὅτου Βαλεντινιανὸς, ὁ Πλακιδίας καὶ Κωνσταντίου παῖς, εἰς τὴν βασιλείαν τῆς Ῥώμης ἀνερρήθη ἀρχήν. οὗτος ὁ συγγραφεὺς Θηβαῖος μέν ἐστιν, ἐκ τῆς πρὸς Αἴγυπτον Θηβῶν τὸ γένος ἔχων· ποιητὴς, ὡς αὐτός φησι, τὸ ἐπιτήδευμα. Ἕλλην τὴν θρησκείαν· σαφὴς μὲν τὴν φράσιν, ἄτονος δὲ καὶ ἐκλελυμένος, καὶ πρὸς τὴν πεπατημένην κατενηνεγμένος χυδαιολογίαν· ὥστε μηδ' ἄξιος εἰς συγγραφὴν ἀναγράφεσθαι ὁ λόγος. ὃ καὶ αὐτὸς ἴσως συνιδὼν, οὐ συγγραφὴν αὐτῷ ταῦτα κατασκευασθῆναι, ἀλλὰ ὕλην * συγγραφῆς ἐκπορισθῆναι διαβεβαιοῦται: οὕτως ἄμορφος καὶ ἀνείδεος, καὶ αὐτῷ τοῦ λόγου ὁ χαρακτὴρ κατεφαίνετο. καὶ γὰρ οὐδεμιᾷ τῶν ἰδεῶν καλλωπίζεται, πλὴν εἴ τις ἔν ποσι τῇ ἀφελείᾳ πλησιάζειν ἐκβιάσοιτο. τῷ γὰρ λίαν ταπεινῷ καὶ ἐξηυτελισμένῳ καὶ ταύτης ἐκπίπτων, εἰς ἰδιωτισμὸν ὅλως ὑπενήνεκται. ὕλην δὲ αὐτὸς ἱστορίας ταῦτα καλῶν, ὅμως καὶ λόγοις διαιρεῖ, καὶ προοιμίοις πειρᾶται κοσμεῖν. καὶ πρὸς Θεοδόσιον τὸν βασιλέα, ὃς ἀνεψιὸς ἐχρημάτιζεν Ονωρίου καὶ Πλακιδίας, Ἀρκαδίου δὲ παῖς, πρὸς τοῦτον τὴν ἱστορίαν ἀναφωνεῖ. διαλαμβάνει τοίνυν περὶ Στελίχωνος, ὅσην τε περιεβέβλητο δύναμιν, καταστὰς τῶν παίδων Ἀρκαδίου καὶ Ονωρίου ὑπ' αὐτοῦ τοῦ πατρὸς αὐτῶν Θεοδοσίου τοῦ μεγάλου: καὶ ὡς * Σερῆναν νόμῳ γάμου ἠγάγετο, Θεοδοσίου καὶ ταύτην αὐτῷ κατεγγυήσαντος. ὅτι τε μετὰ ταῦτα Στελίχων εἰς τὴν ἑαυτοῦ θυγατέρα Θερμαντίαν, τὸν βασιλέα Ονώριον γαμβρὸν ἐποιήσατο. καὶ ὡς ἐπὶ πλεῖστον ἔτι μᾶλλον ἤρθη δυνάμεως, καὶ πολλοὺς πολέμους ὑπὲρ Ῥωμαίων πρὸς πολλὰ τῶν ἐθνῶν κατώρθωσε· καὶ ὅτι μιαιφόνῳ καὶ ἀπανθρώπῳ σπουδῇ Ὀλυμπίου, ὃν αὐτὸς τῷ βασιλεῖ προσῳκείωσε, τὸ διὰ ξίφους ὑπέμεινε θάνατον.

* al. γραφῆς.

* Ζερῆναν.

OLYMPIODORI *Historiarum libri XXII.*

LXXX.

LECTI sunt OLYMPIODORI *Historiarum libri duo & viginti*, ducto initio ab Honorij Roman. Imper. Consulatu septimo, & Theodosij secundo: deducitque historiam ad id vsque tempus, quo Valentinianus, Placidæ & Constantij filius, Romanus Imperator declaratus est.

Scriptor hic ortum ducit Ægyptiacis Thebis, professione poëta, vt de se ipse fatetur, religione vero gentium imbutus. Dictio illi clara; remissa tamen ac dissoluta, & in protritam deuoluta verborum affluentiam. Oratio itaque indigna vt historiæ adnumeretur: cuius ipse fortasse conscius, non historiam hanc à se adornari, sed materiam dumtaxat, seu Commentarium historiæ suppeditari contendit. adeo informis ac specie carens, etiam ipsimet dictionis suæ character visus est. Et vero nulla idea hic enitet, nisi quis cum alibi simplicitati accedere contendat. etsi neque hanc attingat, dum nimis humili ac vili dictionis genere vsus, in idiotismum plebeiúmque sermonem prorsus delabitur. Et licet *sylvam* suum ipse opus appellet, libris tamen distinguit, præfationibusque ornare nititur. Historiam inscribit Theodosio [Minori] Imp. qui Arcadij filius, Honorij ac Placidiæ patruelis fuit.

Narrat itaque Stelichonem ad magnam peruenisse potentiam, cum eum Theodosius Magnus parens ipse, suis liberis Arcadio atque Honorio tutorem imposuisset, ac præterea vxorem Serenam duxisset, à Theodosio æque ipsi desponsam. Post etiam, filia sua Thermantia nuptui Honorio Imperatori data, illum sibi generum adsciuisse: indéque ad summam prorsus euectum potentiam. Multa pro Romanis cum variis gentibus bella gessisse feliciter, donec [a] sanguinaria immanique Olympij opera (qui per Stelichonem Imperatori familiaris factus fuerat) [b] ferro mortem excepit.

a Ita pietate insignem virum Christianum perstringit homo Ethnicus, vt & Zosimus libr. V. Laudat tamen huius ad eum datis literis B. Augustinus, epist. 124. 129.

b Manu Heracliani, qui huius facinoris præmium accepit Africæ Præfecturam. Eius & infra mentio fit ab hoc autore.

OLYMPIO.

Addit Alarichum Gothorum præfectum, quem olim euocarat Stelicho, vt Honorio Illyricum armis teneret (hæc enim illi prouincia à parente Theodosio in partitione regni obuenerat) tum ob Stelichonis cædem, tum quod promissum illi datum non esset, cinxisse, & cepisse Romam, in eàque vrbe incredibilem argenti vim præda auertisse. Quin & Honorij [a] Placidiam, Romæ tum agentem, captiuam habuisse. Ante captam verò vrbem illustrem tum virum, cui [b] Attalo nomen, summam Præfecturam gerentem, Imperatorem renunciasse. Actáque esse hæc ob eas, quas diximus causas, & ob [c] Sarum, Gotthum item genere, sed paucorum hominum Præfectum (vix enim ducentos, aut summum trecentos ductabat) cæterа generosum virum, armísque inuictum, quem quod socium sibi Romani adiunxissent, Alarichi infestum hostem, in perpetuum idcirco hunc renunciasse Sari amicitiæ. In hac vrbis obsidione mutua carne pastos obsessos. Alarichum, viuente etiamnum Stelichone, militiæ mercedem centenarios quadraginta accepisse. Post Stelichonis interitum, suffocatam periisse, & [d] Serenam eius coniugem, quòd Alarichi ad vrbem aduentus causa exstitisse putaretur. Interfectum antea, interempto iam Stelichone, filium eius ex Serena Eucherium. [e] *Buccellarij* vocabulum Honorij Imper. temporibus tributum militibus, non Romanis solùm, sed & Gotthis quibusdam. Eodem modo & [f] *fœderatorum* nomen attributum inconditæ, & è diuersis conflatæ multitudini. Olympium illum, qui Stelichoni insidiatus erat, officiorum magistrum factum, ea post dignitate excidisse. Dehinc iterum potitum, rursum priuatum esse: tandem fustibus à Constantio, qui Placidiam vxorem duxerat, mactatum occubuisse, cùm ei ante cædem auriculæ resectæ fuissent. Ita [g] impium illum non impunitum obiisse. Gotthorum, qui cum Rodogaiso erant, [h] primarios viros, *optimatos* appellatos ait, [i] duodecim ferè millium numero. quibus omnibus debellatis, Stelichonem cum Rodogaiso [k] societatem iniisse.

Alaricho morbi vi extincto, successorem datum Adaulphum, vxoris fratrem. Panem siccum scriptor hic [l] *Buccellatum* vocari tradit, illuditque militum cognomini, vt qui hinc *Buccellarij* sint appellati.

Constantinus ad imperium tyrannicè sublatus, ad Honorium legatos mittit excusantes, inuitum illum, & à militibus coactum, imperium suscepisse. veniam igitur postulare, societatémque imperij. Imperator propter impendentes molestias tantisper suscepit in societatem. Constantinus hic in Britannia renunciatus fuerat, militari tumultu ad imperium adactus. Etenim ante Honorij consulatum septimum, in seditionem illic versus exercitus, Marcum quendam Imperatorem crearat: quo ab ipsis sublato, Cratianus suffectus est. Hic vbi menses quatuor, illis iam fastidio ductis, prætersuisset, interficitur. Tum Constantinus Augusti nomine salutatur.

[a] Quæ Galla Placidia dicta.
[b] Priscus Attalus vocatus est, teste Sozomeno lib. IX. cap. 8.
[c] Idem alias Alarus appellatur vt apud Zosim. inf. Cod. XCVIII.
[d] Σηρῆναν lego.
[e] Buccellarij Suidæ Gallogræcia milites. Plura Turneb. lib. 24. cap. 15. & lib. 28. c. 15. Vide etiam Constant. Porphyrogennetam libel. de Thematib. vbi scriptum describit Buccellariorum fuisse, & præ cæteris Nicol. Rigaltij Glossar. тактікòν.
[f] φοιδεράτων. τῶν Σκυθῶν, ὅτω καλεῖ Ρωμαίοι τοὺς ὑποσπόνδους ὄντας. Suidas
[g] Sic homo impie, Christianum & laudatum vigemo appellare audes?
[h] κεφαλαιῶται.
[i] Vide Zosimi calculus de quadringentorum millium exercitu fidem non planè excedere videtur.
[k] Atqui à Stelichone captum atque etiam necatum referunt Prosper, Cassiodorus, Orosius, & S. Augustinus lib. 5. de ciuitate Dei cap. 23.
[l] Vide supr. paulo. Buccellati) ex Turnebo.

ὅτι Ἀλάριχος, ὁ τῶν γότθων φύλαρχος, ὃν Στελίχων μετεκαλέσατο ἐπὶ τὸ φυλάξαι Ὁνωρίῳ τὸ Ἰλλυρικόν· τῇ γὰρ αὐτοῦ ἦν παρὰ Θεοδοσίου τοῦ πατρὸς ἀπονενεμημένον βασιλείᾳ. τοῦτον οὖν ὁ Ἀλάριχος, διά τε τὸν φόνον Στελίχωνος, καὶ ὅτι ἃ συνέκειτο αὐτοῦ, οὐκ ἐλάμβανε, πολιορκεῖ καὶ ἐκπορθεῖ τὴν * ῥώμην· ἐξ ἧς χρήματά τε ἄπειρα ἐξεκόμισε, καὶ τὴν ἀδελφὴν Ὁνωρίου Πλακιδίαν, ἐν ῥώμῃ διάγουσαν, ᾐχμαλώτισε. καὶ πρὸ τῆς ἁλώσεως δὲ ἕνα τινὰ τῶν κατὰ τὴν ῥώμην ἐπιδόξων, Ἄτταλος ἦν ὄνομα αὐτοῦ, τὴν ἐπαρχότητα τότε διέποντα, [εἰς] βασιλέα ἀνηγόρευσεν. ἐπράχθη δὲ αὐτοῦ ταῦτα, διά τε τὰς προειρημένας αἰτίας· καὶ ὅτι Σάρον, καὶ αὐτὸν γότθον ὄντα, καὶ πλήθους μὲν ὀλίγου ἐπάρχοντα (ἄχρι γὰρ σ´ ἢ καὶ * τ´, αὐτῷ ὁ λαὸς ἐξετείνετο) ἄλλως δὲ ἡρωϊκόν τινα καὶ ἐν μάχαις ἀκαταγώνιστον, τοῦτον ὅτι ῥωμαῖοι ἠταιρίσαντο δι᾽ ἔχθρας Ἀλαρίχῳ ὄντα, ἄσπονδον ἐχθρὸν Ἀλάριχος ἐποιήσατο. ὅτι ἐν τῇ πολιορκίᾳ τῆς ῥώμης ἀλληλοφαγία τῶν ἐνοικούντων ἐγένετο. ὅτι Ἀλάριχος, ἔτι ζῶντος Στελίχωνος, μ´ κεντηνάρια μισθὸν ἔλαβε τῆς ἐκστρατείας. ὅτι μετὰ θάνατον Στελίχωνος ἀναιρεῖται ἐναποπνιγεῖσα Καισαρίνα ἡ τούτου γυνή, αἰτία νομισθεῖσα τῆς ἐπὶ ῥώμην ἐφόδου Ἀλαρίχου. ἀναιρεῖται δὲ πρότερον μετὰ τὴν ἀναίρεσιν Στελίχωνος, ὁ ταύτης κἀκείνου παῖς ὁ Εὐχέριος. Ὅτι τὸ Βουκελλάριος ὄνομα ἐν ταῖς ἡμέραις Ὁνωρίου ἐφέρετο κατὰ στρατιωτῶν οὐ μόνον ῥωμαίων, ἀλλὰ καὶ γότθων τινῶν· ὡς δ᾽ αὕτως καὶ τὸ * φοιδεράτων, κατὰ διαφόρου καὶ συμμιγοῦς ἐφέρετο πλήθους. ὅτι Ὀλύμπιος, ὁ ἐπιβουλεύσας Στελίχωνα, μάγιστρος τῶν ὀπφικίων γέγονεν. εἶτα ἐξέπεσε τῆς ἀρχῆς· εἶτα πάλιν ἐπέβη ταύτης· εἶτα ἐξέπεσεν. εἶτα ἐκπεσὼν, ῥοπάλοις ὕστερον ὑπὸ * Κωνσταντίνου, ὃς ἠγάγετο Πλακιδίαν, παιόμενος ἀναιρεῖται, τὰς ἀκοὰς πρότερον ἐκκοπείς· καὶ ἡ δίκη τὸν ἀνοσιουργὸν εἰς τέλος οὐκ ἀφῆκεν ἀτιμώρητον. ὅτι τῶν μετὰ Ροδογαΐσου γότθων οἱ * Κεφαλιῶται, ὀπτίματοι ἐκαλοῦντο εἰς δώδεκα συντείνοντες χιλιάδας, οὓς καταπολεμήσας Στελίχων, Ροδογαΐσου προσεταιρίσατο. ὅτι Ἀλαρίχου νόσῳ τελευτήσαντος, διάδοχος αὐτοῦ Ἀδάουλφος καθίσταται, ὁ τῆς γυναικὸς ἀδελφός. Ὅτι τὸν ξηρὸν ἄρτον * βουκέλλατον ὁ συγγραφεὺς καλεῖσθαί φησι· καὶ χλευάζει τὴν τῶν στρατιωτῶν ἐπωνυμίαν, ὡς ἐκ τούτου βουκελλαρίων ἐπικληθέντων. ὅτι Κωνσταντῖνος εἰς * τυραννίδα ἀρθεὶς, πρεσβεύεται πρὸς Ὁνώριον, ἄκων μὲν, καὶ ὑπὸ τῶν στρατιωτῶν βιασθεὶς, ἀπολογούμενος ἄρξαι· συγγνώμην δὲ αἰτῶν, καὶ τὴν τῆς βασιλείας ἀξιῶν κοινωνίαν· καὶ βασιλεὺς διὰ τὰ ἐνεστηκότα δυσχερῆ τέως καταδέχεται τὴν τῆς βασιλείας κοινωνίαν. κατὰ τὰς βρεττανίας δὲ ὁ Κωνσταντῖνος ἐτύγχανεν ἀνηγορευμένος, στάσει τῶν ἐκεῖσε στρατιωτῶν εἰς ταύτην ἀνηγμένος τὴν ἀρχήν. καὶ γὰρ ἐν ταύταις ταῖς βρεττανίαις, πρὶν ἢ Ὁνώριον τὸ ζ´ ὑπατεῦσαι, εἰς στάσιν ὁρμῆσαν τὸ ἐν αὐταῖς στρατιωτικὸν, Μάρκον τινὰ ἀνεῖπον αὐτοκράτορα. τοῦ δὲ ὑπ᾽ * αὐτοῦ ἀναιρεθέντος, Γρατιανὸς αὐτοῖς ἀντικαθίσταται. ἐπεὶ δὲ καὶ οὗτος εἰς τετράμηνον αὐτοῖς προσκορὴς γεγονὼς, ἀποσφάζη· Κωνσταντῖνος τότε εἰς τὸ τοῦ αὐτοκράτορος ἀναβιβάζεται ὄνομα.

* πόλιν
* τριακοσίων
* al. φοιδεράτων & φιλεράτων.
* al. Κωνσταντίου.
* al. Κεφαλαιῶται
* al. βουκέλλατον & βουκελλᾶτον.
* τὴν βασιλείαν.
* αὐτῶν

ἐπὶ Ιυςῖνον καὶ Νιοβιγάςην στρατηγοὺς προβαλλόμενος, καὶ τὰς βρεττανίας ἰάσας, * περαιοῦται ἅμα τοῖς αὐτοῦ ἐπὶ Βονωνίαν, πόλιν οὕτω καλουμένην, παραθαλασσίαν, καὶ πρώτην ἐν τοῖς τῶν Γαλατῶν ὅροις κειμένην. ἔνθα διατρίψας, καὶ ὅλον τὸν Γάλλον καὶ * Ακυτανὸν στρατιώτην ἰδιοποιησάμενος κρατεῖ πάντων τῶν μερῶν τῆς Γαλλίας μέχρι τῶν ἄλπεων τῶν μεταξὺ Ιταλίας καὶ Γαλλίας. ἔσχε δύο παῖδας ἔχει Κώνσταντα καὶ Ιουλιανόν. ὧν τὸν μὲν Κώνσταντα καίσαρα χειροτονεῖ, εἶτα [ὕστερον] κατὰ τὰς αὐτὰς ἡμέρας καὶ τὸν Ιουλιανὸν * νωβελίσσιμον. ὅτι Ατταλος βασιλεύσας κατὰ Ονωρίου, ἐπὶ ῥάβενναν ἐκστρατεύεται, καὶ πέμπεται πρὸς αὐτὸν, ὡς ἐκ βασιλέως Ονωρίου πρὸς βασιλέα, Ιωβιανὸς ἔπαρχος καὶ πατρίκιος, καὶ Ουάλης στρατηγὸς ἑκατέρας δυνάμεως, καὶ Ποτάμιος ὁ κοιαίστωρ, καὶ Ιουλιανὸς πριμικήριος τῶν νοταρίων: οἳ ἐδήλουν Αττάλῳ ἐπὶ κοινωνίᾳ τῆς βασιλείας ἀπεστάλθαι παρὰ Ονωρίου. ὁ δὲ * ἀπένευσεν. ἀλλὰ νῆσον οἰκεῖν ἢ ἕτερον τινὰ τόπον, ὃν αὐτὸς βούλοιτο συγχωρεῖν Ονώριον, κακῶν ἀπαθῆ. ἀποκρίνεται δὲ * Ιωβιανὸς ἡσθεὶς, ἐπαγγελλόμενος καὶ συνῶσαι καθ' ἑνὸς μέρους, τὸν βασιλέα Ονώριον. ἐφ' ᾧ ἐπετίμησεν Ατταλος Ιωβίῳ ὡς οὐδενὸς ἔθους ὄντος, συνεῖδε βασιλέα, ἑκόντι τὴν βασιλείαν ἀποτιθέμενον. ἀλλὰ * Ιωβιανὸς μὲν πολλάκις πρεσβεύσας, καὶ μηδὲν ἀνύσας, καταμένει πρὸς Ατταλον πατρίκιος Αττάλου ὀνομασθείς. μετέρχεται δὲ κατὰ τὴν Ῥάβενναν, ἐπὶ τὸν * πραιπόσιτον Ευσέβιον ἡ δυναστεία: ὃς μετ' ἱκανὸν χρόνον Αλλοβίχου ἐπηρείᾳ καὶ ὑποθήκῃ δημοσίᾳ (καὶ) ἐπ' ὄψεσι τοῦ βασιλέως, ῥάβδοις ἀναιρεῖται. χρόνος ἐρρύησεν ἱκανὸς, καὶ μὴ πειθόμενος Ατταλος Αλαρίχῳ σπουδῇ δὲ μάλιστα * Ιωβίου, ὃς ἦν τὴν Ονωρίου πρεσβείαν προδεδωκώς, καθαιρεῖται τῆς βασιλείας: καὶ μένει, τὸν ἰδιώτην παρὰ Αλαρίχῳ βίον αἱρησάμενος. ἔπειτα μετὰ χρόνον τινὰ βασιλεύει: εἶτα καθαιρεῖται. καὶ μετὰ ταῦτα ὕστερον ἐπὶ ῥάβενναν παραγεγονὼς, καὶ τοὺς τῆς δεξιᾶς χειρὸς δακτύλους ἀκρωτηριασθεὶς ἐξορίᾳ * περιπίμπεται. ὅτι Αλλόβιχος μετὰ βραχὺ, τοῦ ἐφ' ᾧ τὸν * πραιπόσιτον Ευσέβιον ἀνεῖλε δίκην τινύς, γνώμῃ τοῦ βασιλέως κατὰ πρόσωπον αὐτοῦ ἀναιρεῖται· καὶ Κωνσταντῖνος ὁ τύραννος τὸν Αλλοβίχου θάνατον μαθὼν, ἐπειγόμενος πρὸς ῥάβενναν, ὡς τι * σπείσασθαι Ονωρίῳ, φοβηθεὶς ὑποστρέφει. ὅτι τὸ Ρήγιον μητρόπολίς ἐστι τῆς Βρεττανίας, ἐξ οὗ, φησὶν ὁ ἱστορικὸς, Αλάριχον ἐπὶ σικελίαν βουλόμενον περαιωθῆναι, ἐπισχεθῆναι. ἄγαλμα γάρ φησι τετελεσμένον ἱστάμενον ἐκώλυε τὴν περαίωσιν. τετέλεστο δὲ, ὡς μυθολογεῖ, παρὰ τῶν ἀρχαίων ἀποτρόπαιόν τε τοῦ ἀπὸ τῆς αἴτνης πυρὸς, καὶ πρὸς κώλυσιν παρόδου διὰ θαλάσσης βαρβάρων. ἐν γὰρ τῷ ἑνὶ ποδὶ πῦρ ἀκοίμητον ἐτύγχανε, καὶ ἐν τῷ ἑτέρῳ ὕδωρ ἀδιάφθορον. οὗ καταλυθέντος, ὕστερον ἔκ τε τοῦ αἰτναίου πυρὸς, καὶ ἐκ τῶν βαρβάρων βλάβας ἡ σικελία ἐδέξατο· κατέστρεψε δὲ τὸ ἄγαλμα Ασκληπιὸς, ὁ τῶν ἐν σικελίᾳ κτημάτων * Κωνσταντίου καὶ Πλακιδίας διοικητὴς καταστάς. ὅτι Κωνσταντίνου τοῦ τυράννου καὶ Κώνσταντος τοῦ παιδὸς, ὃς πρότερον μὲν καῖσαρ, ἔπειτα δὲ καὶ βασιλεὺς

* al. περαιοῦται.
* al. Κύταρον.
* al. βροβελίσσιμον.
* ἐπένευσεν.
* Ιώβιος.
* συνῶσαι.
* Ιώβιος.
* al. πραιπόσιτον.
* Ιωβίου.
* παραπέμπεται.
* πραιπόσιτον.
* al. σπείσασθαι.
* al. Κωνσταντίου.

OLYMPIO.

Is Iustinum, & Neouigasten, militarium copiarum duces creans, relicta Britannia, cum suis traiecit, venitque [a] Bononiam, maritimam vrbem sic dictam, primam in Galliæ finibus positam. Ibi moratus, Gallum omnem, & [b] Acytanum militem sibi adiungens, omni est Gallia poritus ad alpes vsque, quæ Italiam à Gallia separant. Huic filij duo erant, Constans, & Iulianus. Illum Cæsarem constituit; Iulianum deinde eo ipso tempore nobilissimum nominauit.

Attalus contra Honorium imperans, ad Rauennam castrametatus est, missúsque ad illum tanquam ab Honorio Imperatore ad Imperatorem [c] Iouinianus præfectus atque patricius, & Valens vtriusque militiæ dux, & Potamius quæstor, & Iulianus notariorum primicerius. Hi Attalo significant ab Honorio sese missos, vt cum illo de imperij societate tractent. Abnuit verò ille: concedere tamen se, vt insulam inhabitet malorum expers Honorius, vel alium certè quem velit locum. Respondet adhæc lætabundus Iouianus, indicátque exutum iam ab Attalo vna regni parte Honorium Imperatorem. Quare Iouium Attalus increpando, nullum ferre morem dixit, vt spoliari dicendus sit Imperator, qui sponte sua imperio abdicaret. Verùm Iouianus sæpenumero legatione obita, neque quidquam proficiens, mansit tandem apud Attalum, illiúsque Patricius est appellatus. Rauennæ interim delabitur ad Eusebium [d] Præpositum [e] potestas: qui post non diu, [f] Allouichi violentia, ac decreto publico, in oculis Imperatoris fustibus est occisus. Post etiam dum [g] Alaricho non acquiescit Attalus, & verò maximè Iouij opera, qui Honorij legatos prodiderat, imperio deiicitur: manétque priuatam apud Alarichum vitam degens. Deinde non multò post iterum imperauit, ac rursum abdicare coactus est. Post hæc tandem ad Rauennam profectus, & summis dexteræ manus digitis truncatus proscribitur. Allouichus item post paulò, quòd Eusebium Præpositum sustulisset, Imperatoris sententia pœnas dedit, atque [h] in eius conspectu occiditur. Constantinus tyrannus, cognita Allouichi morte, Rauennam accedens, [i] vt cum Honorio fœdus iniret, metu perculsus reuertit.

Rhegium metropolim esse [k] Bruttiorum, è qua refert historicus Alarichum, dum in Siciliam traiicere parat, retentum fuisse. Statua enim, inquit, inaugurata, ibi stans, traiectum vetabat. Fuerat vero hæc, vt fabulatur, ab antiquis inaugurata, cùm vt Æthnæ montis ignes auerteret, tum vt maris transitu Barbaros prohiberet. Altero enim pede perpetuum ignem, altero verò perennem aquam gestabat. Ea igitur statua confracta, [l] tandem ex Æthnæo igne, & à Barbaris detrimentum Siciliam cepisse. Euersam verò statuam ab Æsculapio, qui in Sicilia possessionum Constantij & Placidiæ curator erat.

Constantino tyranno, & Constante filio (qui primum quidem Cæsar, post etiam Imperator

a Burboniam legitur apud Sozomenum lib. 9. c. 11.
b Aquitanum emenda, ex Sozom. supr. & Sigon. libr. 10.
c Zosimus lib. 5. antr. Iouiū hunc perpetuò vocat. Photij editio òucomstantior est.
d Sacri cubiculi. Vide Zosimum lib. 5. & Sigon. lib. 10.
e Δυναστεία Iouij ἰσαρχίαν τῆς αὐλῆς hic accipio. Hanc enim secundā post principem potestates fuisse viri docti notarunt.
f Ellobichum vocat Sigon. lib. 11. hist. Occident. imper. Ebodichum Sozom. libr. 9. cap. 13.
g De Africana expeditione legendus Zosimus lib. 6.
h Aliter hæc Sozom. libr. 9. cap. 13.
i Anno Christi 411. Car. Sigon.
k Omnino β ττίας legendum.
l Ex vanâ scilicet gentium superstitione.

OLYMPIODORVS.

creatus fuerat (victis, fugáque dilapsis, Gerontius belli dux cum Barbaris pace libens inita, filium suum Maximum, qui inter [a] Domesticos numerabatur, Cæsarem renunciat. Constantem deinde insecutus, è medio sustulit, & vestigia consectans, Constantinum quoque patrem persequebatur. Dum hæc geruntur, [b] Constantinus & Vlphilas ab Honorio aduersus Constantinum missi; cumque Arelatem peruenissent, vbi Constantinus cum Iuliano filio agebat, hanc obsident. Constantinus ad templum confugiens, Sacerdos ordinatur, iureiurando de salute illi dato; sic vrbis portæ obsidentibus militibus apertæ sunt, missúsque est cum Iuliano filio Constantinus ad Honorium. Ille verò minimè ipsis ignoscens, ob interfectos à Constantino [c] cognatos suos, ad triginta [d] à Rauenna milliaria, contra iurisiurandi fidem interfici eos iubet. Gerontius dein, accedentibus Vlphila & Constantino, fugam capessit: deprehensúsque quod impotentius exercitui præfuisset, suorum insidiis petitus est. Ignem itaque ipsius ædibus iniecerunt. at ille fortiter in aduersarios pugnat, vno adiuuante famulo, qui Alanus erat. Re tamen tandem desperata Alanum illum, suámque [e] vxorem; vt ipsi postularant, interimit, ac denique etiam sibi mortem consciscit. Maximus eius filius, re intellecta, ad fœderatos confugit Barbaros.

Iouinius apud [f] Mundacium Germaniæ alterius vrbem, studio Goaris Alani, & Guntiarij Burgundiorum Præfecti tyrannus creatus est. Cui vt sese adiungeret, Adaulpho auctor fuit Attalus. Et verò hic cum copiis ad illum se confert. Iouinius tamen Adaulphi aduentu offensus, obscurè, & veluti per ænigmata Attalum accusat; quòd aduentum suasisset. [g] Sarus item ad Iouinum venturus erat; sed Adaulphus cognita re, collectis decem millibus militum, occurrit Saro, viros octodecim aut viginti apud se habenti, quem gesta heroïca, & stupore digna edentem, [h] scutis adhibitis, viuum ægrè capere potuerunt, tandémque occidunt. Desciuerat autem ab Honorio Sarus, audito Belleridem domesticum suum interfectum; nullam tamen cædis rationem duxisse Imperatorem, nec in percussorem inquirendo vindicasse.

Refert item de Donato, & Hunnis, déque [i] regum eorum sagittandi peritia. Seipsum ad illos & Donatum, oratorem missum scriptor ait; multisque maris erroribus, periculisque iactatum, tragicè narrat. Donatum quoque iureiurando circumuentum, contra fas iugulatum esse: & Charatonem inter reges primum, ob cædem ita incensum, Imperatoris donis rursum mitigatum, placatúmque fuisse. Et hæc quidem prima operis decade continentur.

Alteram verò hinc auspicatur. Iouinus fratrem suum Sebastianum, inuito Adaulpho, imperatorem creans, in eius odium incurrit. Adaulphus itaque per internuntios

[a] De Domesticis videndus curopalat. libello de offical. constantinop. Brisson. in Lexico, & alij.

[b] Idem qui Placidiam postea coniugem accepit.

[c] Veronianum ac Didymum intelligit, de quibus Zosimus atque Sozomenus, & ex his Sigon. lib. 10.

[d] ad Mincium flumen. Sigon.

[e] Nonnichiam Carol. Sigon. vocat.

[f] Moguntiacum debebat scribere Olympiod.

[g] Al. Asarus inf. apud Zosimum Cod. XCVIII.

[h] Pro σάκκοις lego σάκεσι, vel σάκεσιν.

[i] Ῥηγῶν Latina voce dixit.

ἐκεχειροτόνητο. τούτων ἡττηθέντων καὶ πεφευγότων, Γερόντιος ὁ στρατηγὸς τὴν πρὸς τοὺς βαρβάρους ἀσμενίσας εἰρήνην, Μάξιμον τὸν ἑαυτοῦ παῖδα, εἰς τὴν τῶν δομεστίκων τάξιν τελοῦντα, βασιλέα ἀναγορεύει. εἶτα ἐπιδιώξας Κώνσταντα, κατεπράξατο ἀναιρεθῆναι: καὶ κατὰ πόδας εἵπετο, διώκων καὶ τὸν πατέρα Κωνσταντῖνον. ἐν ᾧ δὲ ταῦτα ἐγίνετο, Κωνστάντιος καὶ * Ουλφίλας ἀποστέλλονται παρὰ Ονωρίου κατὰ Κωνσταντίνου. καὶ καταλαβόντες τὴν Ἀρήλατον, ἔνθα τὰς διατριβὰς ἐποιεῖτο Κωνσταντῖνος σὺν Ἰουλιανῷ τῷ παιδὶ, ταύτην πολιορκοῦσι. καὶ Κωνσταντῖνος καταφυγὼν εἰς εὐκτήριον, πρεσβύτερος τότε χειροτονεῖται, ὅρκων αὐτῷ ὑπὲρ σωτηρίας δοθέντων· καὶ τοῖς πολιορκοῦσιν αἱ πύλαι τῆς πόλεως ἀναπετάννυνται. καὶ πέμπεται σὺν τῷ υἱῷ Κωνσταντῖνος πρὸς * Ονώριον· ὁ δὲ μνησικακῶν αὐτοῖς ὑπὲρ τῶν ἀνεψιῶν αὐτοῦ, οὓς ἐτύγχανε Κωνσταντῖνος ἀνελὼν· πρὸ τριάκοντα τῆς Ῥαβέννης μιλίων παρὰ τοὺς ὅρκους προστάττει τούτους ἀναιρεθῆναι. Γερόντιος δὲ, παραγινομένων * Ουλφίλα καὶ Κωνσταντίνου, φεύγει. καὶ καταληφθεὶς, ὅτι ἐγκρατῶς ἦρχε τοῦ οἰκείου στρατοῦ, ὑπ' αὐτῶν ἐκείνων ἐπιβουλεύεται. πῦρ γὰρ κατὰ τῆς οἰκίας αὐτοῦ ἀνῆψαν: ὁ δὲ πρὸς τοὺς ἐπαναστάντας καρτερῶς ἐμάχετο, ἕνα συναγωνιστὴν ἔχων ἀλανὸν τὸ γένος, εἰς δούλους αὐτοῦ ἀριθμούμενον. τέλος τόν τε ἀλανὸν, καὶ τὴν γυναῖκα, τοῦτο προθυμουμένους, ἀναιρεῖ· ἐπικατασφάζει δὲ καὶ ἑαυτόν. Μάξιμος δὲ ὁ παῖς ταῦτα μαθὼν, πρὸς τοὺς ὑποσπόνδους φεύγει βαρβάρους.

Ὅτι Ἰωβῖνος ἐν Μουνδιακῷ τῆς ἑτέρας γερμανίας κατὰ σπουδὴν Γωὰρ τοῦ ἀλανοῦ, καὶ * Γυντιαρίου, ὃς φύλαρχος ἐχρημάτιζε τῶν Βουργουντιόνων, τύραννος ἀνηγορεύθη. πρὸς * ὃν παραγενέσθαι Ἄτταλος Ἀδάουλφον παραινεῖ. καὶ παραγίνεται ἅμα τῷ * πλήθει· καὶ Ἰωβῖνος ἀνιᾶται ἐπὶ τῇ Ἀδαούλφου παρουσίᾳ, καὶ μέμφεται δι' αἰνιγμάτων τῷ παραινέσαντι Ἀττάλῳ τὴν ἄφιξιν καὶ Σάρος δὲ ἔμελλε πρὸς Ἰωβῖνον παραγενέσθαι: ἀλλ' Ἀδάουλφος τοῦτο μαθὼν, προϋπαντιάζει χιλιάδας δέκα συνεπαγόμενος στρατιώτας, ἔχοντι ἄνδρας περὶ αὐτὸν Ασάρῳ ὀκτωκαίδεκα ἢ καὶ εἴκοσιν. ὃν ἔργα ἡρωϊκὰ καὶ θαυμάσαι ἄξια * ἐπιδειξάμενον, μόλις * σάκκοις ἐζώγρησαν, καὶ ὕστερον ἀναιροῦσι. Σάρος δ' ἦν ἀποστὰς Ονωρίου, ὅτι Βελλερίδου, ὃς ἦν αὐτοῦ δομέστικος, ἀναιρεθέντος οὐδεὶς λόγος τῷ βασιλεῖ τῆς ἀναιρέσεως, οὐδὲ τοῦ φόνου * ἐγίνετο εἴσπραξις.

Ὅτι διαλαμβάνει περὶ Δονάτου, καὶ περὶ τῶν Οὔννων, καὶ περὶ τῶν Ῥηγῶν αὐτῶν τῆς εὐφυεστάτης τοξείας, καὶ ὡς πρὸς αὐτοὺς καὶ Δονάτον ὁ ἱστορικὸς ἐπρέσβευσε· καὶ τὴν διὰ θαλάσσης αὐτοῦ πλάνην ἐκτραγῳδεῖ καὶ τὸν κίνδυνον. καὶ ὅπως ὅρκῳ Δονάτος ἀπατηθεὶς, ἐκθέσμως ἀποσφάζεται. καὶ ὅπως Χαράτων ὁ τῶν Ῥηγῶν πρῶτος ἐπὶ τῷ φόνῳ εἰς θυμὸν ἀνάπτεται. ὅπως τε πάλιν βασιλικοῖς δώροις διαπραΰνεται καὶ ἡσυχάζει. ἐν οἷς καὶ ἡ πρώτη τῆς ἱστορίας δεκάλογος.

Ἄρχεται δὲ καὶ δευτέρα ὧδε· ὅτι Ἰωβῖνος παρὰ γνώμην Ἀδαούλφου, τὸν ἴδιον ἀδελφὸν * Σεβαστιανὸν βασιλέα χειροτονήσας, εἰς ἔχθραν Ἀδαούλφῳ κατέστη. καὶ πέμπει Ἀδάουλφος πρὸς Ονώριον πρέσβεις

* al. Ουαφαῖς.
* Ονώριον.
* Ουαφιᾶ.
* Γυντιαρίου.
* ὧν.
* τοῦ πλήθους.
* ἐπιδειξάμενοι.
* σακκίοις.
* al. γίνεται.
* Σαβαστιανὸν

πρέσβεις ὑποσχόμενος τάς τε τῶν τυράννων κεφαλὰς, καὶ εἰρήνην ἄγειν. ὧν ὑποστρεψάντων, καὶ ὅρκων μεσιτευσάντων, Σεβαστιανοῦ μὲν πέμπεται τῷ βασιλεῖ ἡ κεφαλή· Ἰοβῖνος δὲ ὑπὸ Ἀδαούλφου πολιορκούμενος ἑαυτὸν ἐκδίδωσι. καὶ πέμπεται κἀκεῖνος τῷ βασιλεῖ, ὃν αὐθεντήσας Δάρδανος ὁ ἔπαρχος ἀναιρεῖ· καὶ ἀποτίθενται ἄμφω αἱ κεφαλαὶ *Καρθαγένης ἔξωθεν, ἔνθα καὶ ἡ Κωνσταντίνου καὶ ἡ Ἰουλιανοῦ ἀπετμήθησαν πρότερον. ἥ,τε Μαξίμου καὶ ἡ Εὐγενίου, οἳ ἐπὶ Θεοδοσίου τοῦ μεγάλου τυραννίδι ἐπιθέμενοι, εἰς τοῦτο τέλους κατέστρεψαν. Ἀδάουλφος δὲ Πλακιδίαν ἀπῃτεῖτο κατὰ σπουδὴν μάλιστα Κωνσταντίου. *ὃς ὕστερον αὐτῇ καὶ εἰς γάμους ἐζεύχθη. ἀλλὰ τῶν πρὸς Ἀδάουλφον ὑποσχέσεων μὴ περαινομένων, καὶ μάλιστα τῆς σιτοπομπίας: οὔτε ταύτην ἀποδίδωσι, καὶ εἰς μάχην *ἀποδίδου τὰ τῆς εἰρήνης διαλύεσθαι.

* Καρχηδόνος.
* al. ὃς.
* ἐμελλεν ἀπο.

Ὅτι Ἀδάουλφος ἀπαιτούμενος Πλακιδίαν, ἀνταπῄτει τὸν ὁρισθέντα σῖτον. ἀπόρων δ' ὄντων τῶν ὑποσχομένων εἰς τὸ δοῦναι, *οὐδὲν δὲ ἧττον ὁμολογούντων, εἰ λάβοιεν, Πλακιδίαν παραδοῦναι. καὶ ὁ βάρβαρος τὰ ὅμοια ὑπεκρίνετο, καὶ πρὸς Μασσαλίαν, πόλιν οὕτω καλουμένην, παραγινόμενος, δόλῳ ταύτην λαβεῖν ἤλπιζεν. ἔνθα πληγεὶς, *Βονιφατίου τοῦ γενναιοτάτου *βάλλοντος, καὶ μόλις τὸν θάνατον διαφυγὼν, εἰς τὰς οἰκείας ὑπεχώρησε σκηνὰς, τὴν πόλιν ἐν εὐθυμίᾳ λιπὼν, καὶ δι' ἐπαίνων καὶ εὐφημίας ποιουμένην Βονιφάτιον.

* οὐδ' ὅτι.
* al. Βονιφ.
* βάλλοντος.

Ὅτι Ἀδάουλφος τὸν γάμον μελετῶν Πλακιδίας, *Κωνσταντίῳ ταύτην ἀπαιτοῦντι, βαρυτέρας προὔτεινεν αἰτήσεις: ἵνα διὰ τὴν ἀποτυχίαν τῶν αἰτήσεων, εὔλογον δόξῃ τὴν κατάσχεσιν αὐτῆς πεποιηκέναι.

* Κωνσταντίου ταύτην ἀπαιτοῦντος.

Ὅτι *διοίγματος Κωνστάντιος [πάλαι] γεγονὼς, ὕπατος κατὰ τὴν Ῥάβενναν προέρχεται, καθ' ἣν καὶ τὴν Κωνσταντινούπολιν ὑπατεύει Κώνστας· καὶ χρυσίον μὲν σύμμετρον καὶ ἱκανὸν πρὸς τὸ τῆς ὑπατείας ἀνάλωμα εὕρηται ἐκ τῶν τοῦ Ἡρακλειανοῦ, ὃς τυραννίδα μελετῶν *ἀνῄρηται· οὐ μὴν γε τοσοῦτον εὑρέθη, ὅσον καὶ ἠλπίζετο. χρυσίον μὲν γὰρ οὐδὲ μέχρι κεντηναρίων εἴκοσιν εὕρηται: ἡ δὲ *ἀκίνητος αὐτοῦ οὐσία καὶ αὐτὴ εἰς δισχιλίας λίτρας συνέτεινε. καὶ ταύτην ἅπασαν τὴν ὑπόστασιν Κωνστάντιος ἐκ μιᾶς αἰτήσεως παρὰ Ὁνωρίου εἰλήφει. ἦν δὲ Κωνστάντιος ἐν μὲν ταῖς προόδοις κατηφὴς καὶ σκυθρωπὸς, μεγαλόφθαλμός τε καὶ μεγαλαύχην καὶ πλατυκέφαλος, νεύων δι' ὅλου ἐπὶ τὸν τράχηλον τοῦ φέροντος αὐτὸν ἵππου. καὶ *οὕτω τῇδε κἀκεῖσε λοξὸν ἐκπέμπων τὸ ὄμμα· ὡς, τὸ τοῦ λόγου, πᾶσι φαίνεσθαι εἶδος ἄξιον τυραννίδος. ἐν δὲ δείπνοις καὶ συμποσίοις τερπνὸς καὶ πολιτικὸς, ὡς καὶ ἐρίζειν τοῖς μίμοις πολλάκις, παίζουσι πρὸ τῆς τραπέζης.

* al. διοίγματος.
* ἀνῄρηται.
* ἀκίνητος.
* ἴσ. οὕτω,

Ὅτι Ἀδαούλφῳ, σπουδῇ καὶ ὑποθήκῃ Κανδιδιανοῦ, ὁ πρὸς Πλακιδίαν συντελεῖται γάμος, μηνὸς Ἰανουαρίου ἐνεστηκότος, ἐπὶ δὲ τῆς πόλεως Νάρβωνος, ἐν οἰκίᾳ Ἰγγενίου τινὸς πρώτου τῶν ἐν τῇ πόλει· ἔνθα προκαθεσθείσης Πλακιδίας, ἐν παστάδι τε ῥωμαϊκῶς ἐσκευασμένῃ, καὶ σχήματι βασιλικῷ, συγκαθέζεται αὐτῇ καὶ Ἀδάουλφος, ἐνδεδυμένος χλανίδα καὶ τὴν ἄλλην ῥωμαίων ἐσθῆτα. ἐν οἷς μετὰ τῶν ἄλλων γαμικῶν δώρων,

OLYMPIO.

capita se tyrannorum missurum, pacémque initurum Honorio pollicetur. Hi domum vbi redierunt, & iusiurandum præstitum est, Sebastiani mox caput Imperatori mittitur. Iouinus etiã ipse ab Adaulpho obsessus se dedidit, missúsque ad Imperatorem est: quem Dardanus Præfectus sua manu percutiens, interimit. vtriusque caput extra [a] Carthaginem palis infixum: vbi & Constantini ac Iuliani antea resectum; Maximini item & Eugenij, qui sub Theodosio magno tyrannidem affectantes, eundem sunt exitum sortiti. Postulatum est ab Adaulpho, studio maximè Constantij, eius qui illam postea vxorem duxit, Placidiam [quam apud se Romæ captam habebat,] Honorio fratri vt redderet. Sed quod Adaulpho promissa, præsertim de curanda annona, perfecta non fuissent, neque ipsam reddidit, & pacem bello commutaturus videbatur. Adaulphus ergo, cùm Placidia repeteretur, frumentum vicissim ipse promissum petiit. Cuius conferendi, etsi qui promiserant copiam nullam haberent, nihilo tamen secius consentiunt, si Placidiam reciperent, acceptururm. Ad quæ simili ferè & ipse Barbarus simulatione vtebatur. Massiliam interea, sic dictam vrbem profectus, dolo eam intercipere tentauit: sed à Bonifacio, nobilissimo viro vulneratus, & vix saluo capite fugiẽs, in sua se tentoria recepit; vrbe omissa, quæ lætitiæ plena, laudibus, ac bonis ominibus Bonifacium est prosecuta.

a Rauennam arbitror legendum.

Adaulphus idem de Placidiæ nuptiis satagens, Constantio eam postulanti grauiores prætexit postulationes: vt si compos illarum non fieret, illa iustè retenta videretur.

Constantius olim designatus, Consul aliquando Rauennæ creatur, cum quo Constantinopolitanum consulatum Constans gerit. Auri vis iusta, & sufficiens ad consulatus [b] sumptus tolerandos reperta in Heracliani [c] bonis, qui [d] tyrannidis affectatæ nomine est interemptus; etsi tamen tantum pecuniæ repertum non est, quantum speratum erat. Auri enim nondum duo millia [denariorum] inuenta, & immobilium insuper bonorum ad bis mille libras. quas quidem facultates omnes vna postulatione ab Honorio Constantius accepit.

b Quos & in Domis Capit consulatu tolerasse Alexand. Seuerum supr. retulit Cod. LXXI.
c In fiscum redactis, vt patet ex l. 21. de pœn. Cod. Theod.
d Vide Oros. lib. 7. 42.

Erat ipse Constantius, cùm prodiret, subtristi vultu ac tetrico, ingentibus oculis, sublatáque ceruice, & plano capite, inclinans se omnino in equi, quo vehebatur, collum; & sic huc illuc obliquè torquens oculos, vt, quod veteri verbo dicitur; [e] *imperio digna forma* omnibus appareret. In cenis tamen atque symposiis, iucundus adeò ciuilisque fuit, vt & cum mimis interdum ad mensam ludentibus contenderit.

e Eurip. in Phœnissis. Πρῶτον μὲν εἶδος ἄξιον τυραννίδος.

Adaulpho, studio ac consilio Cãdidiani, nuptiæ cum Placidia conueniunt. Ianuario mense nuptiis dictus dies. [f] Narbone Galliæ vrbe, in domo Ingenij cuiusdam, primarij eius vrbis viri. Hic digniore loco residente Placidia [g] in atrio, Romano more adornato, habitúq; regio, assedit ipsi & Adaulphus læna indutus, omniq; alio amictu Romano. Inter alia nuptiarũ dona,

f Fere Cornelij ait auctor Miscella Paul. Diacon. lib. 14.
g ἐν παστάδι.

OLYMPIO.

a δωρεῖται ὁ Ἀδαοῦλφος. Donat etiam reddere posit.

[a] donatur Adaulphus etiam quinquaginta formosis pueris, serica veste indutis, ferentibus singulis vtraque manu ingentes discos binos: quorum alter auri plenus, alter lapillis pretiosis, vel pretij potiùs inæstimabilis, quæ ex Romanæ vrbis direptione Gotthi deprædati fuerant. Hinc versus canuntur epithalamij, Attalo præcinente, dein [b] Rustacio atque Phœbadio, nuptiisque finis datus, lusu gaudióque ingenti Barbarorum simul, & Romanorum, qui cum iis erant.

b Al. Rusticio malim tamen Rusticio

Post Romam à Gotthis captam; Albinus vrbis Præfectus, quòd iam eadem ad pristinum rediret statum, scripsit non sufficere præbitam populo [c] partem, multitudine iam aucta ciuitate. additque vno die numerum initum esse ciuium quatuordecim millium.

c Subaudi Frumenti publici, quod viritim publicè populo Rom. distribuebatur. de quo multa in Impp. rescriptis.

Adaulphus, nato sibi è Placidia filio, cui Theodosio nomen dedit, Romanam amplius rempublicam amare videbatur. Verùm Constantio, eiusque asseclis repugnantibus, eius & vxoris Placidiæ, [pacis ineundæ] conatus frustra fuerunt. Extinctum autem postea infantem vehementer vterque parens luxit, argenteaque capsa conditum, iuxta [d] Barcinonem in templo quodam sepelierunt.

d Græcè est περὶ τὴν Βαρκέλλωνα, vt hodie nominatur: antiquitus verò Barcino, Plinio, & Paulino.

Interficitur deinde & Adaulphus ipse (dum equos suos in stabulo, de more, contemplatur) à Gottho quodam eius domestico, Dobbij nomine, cùm hanc veteris odij vindicandi occasionem ille captasset; huius enim prior dominus, Gotthicæ partis rex, fuerat ab Adaulpho è medio sublatus. exinde Dobbium receptum Adaulphus in suam familiam adsciuerat: qui in vltionem prioris domini, alterum hunc, iniecta manu violenta, sustulit. Moriens Adaulphus fratri suo iniunxit, Placidia vt [Honorio] redderetur; vtque, si quo modo possent, Romanæ sibi gentis concordiam [Gotthi] societatemque conciliarent. At qui successit Sari frater Singirichus (studio potius ac vi, quàm successione, aut lege creatus) Adaulphi è priore coniuge liberos, vi è sinu Sigesari Episcopi abreptos, occidit; atque ipsam Placidiam reginam, in Adaulphi scilicet contumeliam, pedibus ante equum vna cum ceteris captiuis ambulare coëgit, idque toto illo spatio, quod est ab vrbe ad duodecimum vsque lapidem. Septem ille dies cùm imperasset, interemptus est, & Gotthorum dux [e] Valias constituitur.

e Sigeb. & alij, Vallia ediderunt.

Refert hic scriptor, audisse se è Valerio clarissimo viro, [f] de argenteis statuis ad Barbaros arcendos inauguratis. Nam Constantij, inquit, Imperatoris temporibus, Præfecto in Thracia Valerio, indicium factum thesauri reperiundi. Valerius verò ad locum accedens, sacrum illum esse religione ex incolis cognouit, & antiquo ritu statuas ibidem consecratas. Retulit hæc ad Imperatorem, rescriptúmque accepit, quo iubebatur indicata illa bona tollere. Igitur effosso loco, tres solidæ ex argento fabricatæ repertæ sunt statuæ, specie barbarica sitæ, & vtroque brachio ansato,

f Commendare conatur homo Ethnicus suam superstitionem.

δωρεῖται Ἀδαοῦλφος καὶ ν' ὡραιοειδεῖς νεανίας σηρικὴν ἐνδεδυμένους ἐσθῆτα, φέροντος ἑκάστου ταῖς χερσὶν ἀνὰ δύο * μεγίστους δίσκους· ὧν ὁ μὲν χρυσίου πλήρης, ὁ δὲ τιμίων λίθων, μᾶλλον δὲ ἀτιμήτων ἐτύγχανεν· ἃ τῆς ῥώμης ὑπῆρχε κατὰ τὴν ἅλωσιν τοῖς γότθοις ἀποσυληθέντα. εἶτα λέγονται καὶ ἐπιθαλάμιοι, Ἀττάλου πρῶτον εἰπόντος, εἶτα Ρουστικίου, καὶ Φοιβαδίου· καὶ συντελεῖται ὁ γάμος, παιζόντων καὶ χαιρόντων ὁμοῦ τῶν τε βαρβάρων, καὶ τῶν ἐν αὐτοῖς ῥωμαίων.

* al. μεγίστους δίσκους.

Ὅτι μετὰ τὴν ὑπὸ γότθων ἅλωσιν τῆς ῥώμης, Ἀλβῖνος ὁ τῆς ῥώμης ἔπαρχος, ἤδη ταύτης πάλιν ἀποκαθισταμένης, ἔγραψε, μὴ ἐξαρκεῖν τὸ χορηγούμενον μέρος τῷ δήμῳ· εἰς πλῆθος ἤδη τῆς πόλεως ἐπιδιδούσης. ἔγραψε δὲ καὶ ἐν μιᾷ ἡμέρᾳ τετάχθαι ἀριθμὸν χιλιάδων δεκατεσσάρων.

Ὅτι Ἀδαοῦλφος, τεχθέντος αὐτῷ ἐκ τῆς Πλακιδίας παιδὸς, ᾧ * ἐπέθηκε κλῆσιν Θεοδόσιον, πλέον ἠσπάζετο τὴν πρὸς ῥωμαίους φιλίαν. Κωνσταντίου δὲ καὶ τῶν περὶ Κωνστάντιον ἀντιπραττόντων, ἔμενεν ἄπρακτος ἡ τούτου καὶ τῆς Πλακιδίας ὁρμή· τελευτήσαντος δὲ τοῦ παιδὸς, πένθος μέγα ποιοῦσιν ἐπ' αὐτῷ, καὶ θάπτουσιν ἐν λάρνακι καταθέντες ἀργυρᾷ πρὸ τῆς βαρκέλλωνος, ἔν τινι εὐκτηρίῳ. εἶτα ἀναιρεῖται καὶ Ἀδαοῦλφος, εἰς ἐπιτήρησιν τῶν οἰκείων ἵππων, ὡς εἴθιστο αὐτῷ, διατρίβων ἐν τῷ ἱππῶνι. ἀναιρεῖ δὲ αὐτὸν εἷς τῶν οἰκείων γότθων * Δόββιος τοὔνομα; ἔχθραν παλαιὰν καιροφυλακήσας. πάλαι γὰρ ἦν ὁ τούτου δεσπότης μοίρας γοτθικῆς ῥὴξ, ὑπὸ Ἀδαούλφου ἀνῃρημένος· ἐξ οὗ καὶ τὸν Δόββιον λαβὼν Ἀδαοῦλφος ᾠκειώσατο. ὁ δὲ τῷ πρώτῳ δεσπότῃ ἀμύνων, τὸν δεύτερον * διεχειρίσατο. τελευτῶν δὲ Ἀδαοῦλφος προσέταττε τῷ ἰδίῳ ἀδελφῷ * ἀποδοῦναι τὴν Πλακιδίαν· καὶ, εἴ τι δύναιντο, τὴν ῥωμαίων φιλίαν ἑαυτοῖς περιποιήσασθαι. διάδοχος δὲ ὁ τοῦ Σάρου ἀδελφὸς Σιγγέριχος, σπουδῇ μᾶλλον καὶ δυναστείᾳ, ἢ ἀκολουθίᾳ καὶ νόμῳ, γίνεται. ὃς τά τε παιδία, ἃ ἐκ τῆς προτέρας γυναικὸς ἐτύγχανεν Ἀδαούλφῳ γεγεννημένα, ἀνεῖλε, βίᾳ τῶν τοῦ ἐπισκόπου Σιγησάρου κόλπων ἀποσπάσας· καὶ τὴν βασιλίδα Πλακιδίαν, εἰς ὕβριν Ἀδαούλφου, ἐκ ποδὸς προηγήσασθαι τοῦ ἵππου ἅμα * λοιποῖς αἰχμαλώτοις ἐπέταξε. καὶ τὸ διάστημα δὲ ἦν τῆς * προπομπῆς ἐκ τῆς πόλεως μέχρι δωδεκάτου σημείου. ἑπτὰ δὲ ἡμέρας ἄρξας, ἀναιρεῖται· ἡγεμὼν δὲ τῶν γότθων, Οὐαλίας καθίσταται.

* Δόββιος.

* διεχειρίσατο.

* ἀπ. ἀποδοῦναι.

* λοιπῶν αἰχμαλώτων,

* προπομπῆς

Ὅτι ὁ ἱστορικός φησι παρὰ Οὐαλερίου τινὸς τῶν ἐπισήμων ἀκοῦσαι περὶ ἀνδριάντων ἀργυρῶν, τετελεσμένων εἰς βαρβάρων ἀποκώλυσιν. ἐν γὰρ ταῖς ἡμέραις, φησὶ, Κωνσταντίου τοῦ βασιλέως, ἐν τῇ Θρᾴκῃ Οὐαλερίου ἄρχοντος, μήνυσις γέγονεν ὡς θησαυρὸς εὑρεθείη. * Οὐαλέριος δὲ παρὰ τὸν τόπον παραγενόμενος, μανθάνει * περὶ τῶν ἐπιχωρίων: ἱερὸν τὸν τόπον εἶναι, καὶ ἐξ ἀρχαίας τελετῆς, ἀνδριάντας ἐν αὐτῷ ἀφιερῶσθαι. εἶτα ἀναφέρει ταῦτα τῷ βασιλεῖ, καὶ δέχεται γράμμα, ἐπιτρέπον αὐτῷ ἀναλαβεῖν τὰ μηνυθέντα. ἀνορυχθέντος τοίνυν τοῦ τόπου, εὑρίσκονται τρεῖς ἀνδριάντες δι' ὅλου ἐξ ἀργύρου πεποιημένοι, ἐν σχήματι βαρβαρικῷ κατακείμενοι, καὶ ἐξηγκωνισμένοι κατ' ἀμφοῖν ταῖν χεροῖν ἐνδεδυ-

* al. Οὐαλέριος.

* παρά.

OLYMPIODORVS.

ἐνδεδυμένοι δὲ βάρβαρον πεποικιλμένην ἐσθῆτα, καὶ κομῶντες τὰς κεφαλάς, νεύοντες ἐπὶ τὸ ἀρκτῷον μέρος, τουτέστι κατὰ τοῦ βαρβαρικοῦ χώρου. ὧν ἀνδριάντων ἀναληφθέντων παραυτά, καὶ μετ' ὀλίγας ἡμέρας, πρῶτον μὲν τὸ τῶν γότθων μέρος πᾶσαν ἐπέδραμε τὴν Θρᾴκην: ἔμελλε δὲ μικρὸν ὕστερον καὶ τὸ τῶν Οὔννων καὶ τὸ τῶν Σαρματῶν καταδραμεῖσθαι τό, τε ἰλλυρικὸν καὶ αὐτὴν τὴν Θρᾴκην· ἐν μέσῳ γὰρ αὐτῆς τε Θρᾴκης, καὶ τοῦ ἰλλυρικοῦ, κατέκειτο τὰ τῆς * τελετῆς. καὶ ἐῴκει τῶν ξοάνων ἀνδριάντων ὁ ἀριθμός, κατὰ παντὸς ἔθνους * τελεσθῆναι βαρβάρου.

Ὅτι ὁ ἱστορικὸς περὶ τοῦ οἰκείου διαλαμβάνων διάπλου, πολλὰ παθεῖν καὶ δυστυχῆσαί φησι. λέγει δὲ καὶ εἰς τὰς Ἀθήνας καταραι· καὶ τῇ αὐτοῦ σπουδῇ καὶ ἐπιμελείᾳ καὶ εἰς τὸν σοφιστικὸν θρόνον ἀναχθῆναι Λεόντιον οὔπω ἐθέλοντα. λέγει δὲ καὶ περὶ τοῦ τρίβωνος, ὡς οὐκ ἐξῆν κατὰ τὰς Ἀθήνας * περιβαλέσθαι αὐτόν τινα, καὶ μάλιστα ξένον, ᾧ μὴ ἡ τῶν σοφιστῶν γνώμη ἐπέτρεπε, καὶ αἱ κατὰ τοὺς σοφιστικοὺς νόμους τελεταὶ ἐβεβαίουν τὸ ἀξίωμα. ἦν δὲ τὰ τελούμενα τοιαῦτα. πρῶτον μὲν κατήγοντο ἐπὶ τὸ δημόσιον βαλανεῖον ὅσοι νεήλυδες ἄν τε μικροὶ ἄν τε μεγάλοι. ἐξ ὧν καὶ οἱ πρὸς τὸν τρίβωνα ἐπιτήδειοι, * ἡλικίας ἤδη καιροῦ γεγονότες, οὓς εἰς μέσον ἔβαλλον οἱ κατάγοντες σχολαστικοί. εἶτα τῶν μὲν, ἔμπροσθεν τρεχόντων, (καὶ κωλυόντων) τῶν δέ, ὠθούντων καὶ ἐπεχόντων· πάντων δὲ τῶν κωλυόντων ταῦτα βοώντων, Στᾶ, στᾶ, οὐ * λούει· κατακρατεῖν δῆθεν τοῦ ἀγῶνος ἐδόκουν οἱ ἀντωθοῦντες εἰς τιμὴν τοῦ κατεχομένου σχολαστικοῦ. ὅτε μετὰ πολλὴν ὥραν, στάσεως πολλῆς ἐπὶ τοῖς προαχθεῖσιν ἐθίμοις ῥήμασι προσγενομένης, εἰσάγεται εἰς τὸν θερμὸν οἶκον καὶ * ἀπολούεται. εἶτα ἐνδυσάμενος, ἐδέχετο τὴν τοῦ τρίβωνος * ἀξίαν· καὶ αὐτόθεν μετὰ τοῦ τρίβωνος ἐκ τοῦ βαλανείου, ἔντιμον καὶ περιδέξιον δορυφορούμενος πομπῇ, ἀπῄει· δαπάνας ἐπιγραφὰς λαμπρὰς εἰς τοὺς τῶν διατριβῶν προστάτας, τοὺς λεγομένους Ἀκρωμίτας.

Ὅτι οἱ Οὐανδῆλοι τοὺς γότθους, τρούλους καλοῦσι· διὰ τὸ λιμῷ πιεζομένους αὐτούς, τρούλαν σίτου παρὰ τῶν Οὐανδήλων ἀγοράζειν ἑνὸς * χρυσίου, ἡ δὲ τρούλα οὐδὲ τρίτον ξέστου χωρεῖ.

Ὅτι κατὰ τὰς Ἰσπανίας τῶν Οὐανδήλων καταδραμόντων, καὶ τῶν ῥωμαίων εἰς τὰς τετειχισμένας πόλεις καταφυγόντων, τοσοῦτος αὐτῶν λιμὸς κατεκράτησεν, ὡς εἰς ἀλληλοφαγίαν ἐκβιασθῆναι. καὶ γυνὴ τέσσαρα τέκνα ἔχουσα, πάντα κατέφαγε, πρόφασιν ἐφ' ἑκάστου ποιουμένη, τὴν τῶν ὑπολοίπων τροφὴν καὶ σωτηρίαν, ἕως ἂν πάντα καταφαγοῦσα, λίθοις ὑπὸ τοῦ δήμου ἀνῃρέθη.

Ὅτι Εὐπλούτιος ὁ μαγιστριανός, πρὸς Οὐάλιον, ὃς τῶν γότθων ἐχρημάτιζε φύλαρχος, ἀποστέλλεται· ἐφ' ᾧ σπονδάς τε θέσθαι εἰρηνικάς, καὶ ἀπολαβεῖν τὴν Πλακιδίαν: ὁ δὲ ἑτοίμως δέχεται. καὶ ἀποσταλέντος αὐτῷ σίτου ἐν μυριάσιν ἑξήκοντα, ἀποστέλλεται Πλακιδία παραδοθεῖσα Εὐπλουτίῳ πρὸς Ὁνώριον τὸν οἰκεῖον αὐτῆς ἀδελφόν.

Ὅτι ζητήματος ἐν ταῖς Ἀθήναις ἀνακύψαντος περὶ τῶν κεκολλημένων βιβλίων μαθεῖν ...

veste præterea variegata barbarico ritu indutæ, & comam capite gestantes atque in septentrionem, quæ Barbarorum regio est, obuersæ. Quæ simulatque statuæ sublatæ sunt, paucos post dies, Gotthorum primum gens vniuersam incurrit Thraciam; futuræque post paulo erant Hunnorum ac Sarmatarum incursiones in Illyricum, & ipsam Thraciam: vti Thraciam inter & Illyricum sita sunt hæc consecrationis loca, & trium statuarum numerus, aduersus omnes gentes barbaras inauguratus videbatur.

LEGIMVS ACHILLIS TATII *Alexandrini de rebus Leucippes, & Clitophontis* [a] *octo libros.* Est vero dramaticum opus, amores quosdam continens intempestiuos. Et dictione quidem ac compositione videtur excellere. Claritudinem enim, atque aptam translationem, quoties ea vtitur, adhibet. [b] Definitæ præterea, & perspicuæ, quæque delectationem adferant, pleræque sunt periodi, auditum quoque consonantia quadam lenientes. Verum obscœnissimi eius, & nimis impuri sensus, cum scriptoris sententiam in omni re seria eleuant, tum legere volentibus abominandam fugiendámque reddunt lectionem. Exceptis autem nominibus ferè personarum, & detestanda illa obscœnitate, magnam omninò similitudinem videtur in apparatu ac narrationum fictione cum Heliodori dramate habere.

a Extant hodie Græcolat. in Germania nuper euulgati. Hunc ipsum scriptorē Christianis tandem sacris initiatum Episcopū creatum esse memorat Suid.
b ἀφοριστικαί. quales fort. à M. Tullio vocantur, certus & circumscriptus ambitus verborum.

GELASII [CYZINI] CÆSAREÆ PALÆST. EPISC. *Historia Ecclesiast. libri III.* LXXXVIII.

LEGIMVS historiæ forma *Res in Nicæna Synodo gestas, libris* [a] *trib.* Refert auctor Holiū

a Horum duos nobis Græcè & Latinè dedit Rob. Balforeus. Tertij enim lo. ca tres admodū Constantini Imp. epistolas exhibent. Noster autem Alphons. Pisanus ex hoc opusculo exēplari quodam Arabico, sanctorumque aliquot Patrum monumentis, quatuor suos de hac Synodo libros contexuit. Franc. Turrianus Canones edidit.

ΓΕΛΑΣΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΑΙΣΑΡΕΙΑΣ ΤΗΣ ΚΑΤΑ Παλαιστίνην ἱστορίας ἐκκλησιαστικῆς λόγοι γ'.

πη'. Synodi Nicænæ historia.

ΑΝΕΓΝΩΣΘΗ βιβλίον, ὡς ἐν ἱστορίας τύπῳ, τὰ κατὰ τὴν ἐν Νικαίᾳ σύνοδον πραχθέντα. τόμοι δὲ τοῦ βιβλίου τρεῖς. λέγει δὲ τὸν μὲν ὅσιον τὸν τοῦ Κορδού-

GELASIVS.

a Bitōnem hunc video à Græcis appellari, quem in Latinis codicibus Victorem legimus.

b Idem ille qui in demortui Metrophanis locum subrogatus, primum est factus Constantinopolit. Patriarch. impietatisque antistitem (Arium) oratione sua sustulit, BB. Athanas. & Greg. Nazianz. auctoribus.

c Balsamoni atque ac Pisani edit. sex menses addit dimissamque Synodum ipsis Constantini Aug. Vicennalibus.

d Alij tres cum semestri annos dumtaxat numerant D. Baron. Card. Tom. III. annal. Ecclesiast. vno anno esse absolutam Nicænam pertendit.

e De eius fraudibus plura Metaphrast. de gestis Nicænæ Synodi To. IV. Surij.

f Disput. I aduersus Arianos sub fin. & Epist. ad Serapionem tota.

g Lib. IV. Epitom. contra hæret. & lib. I. hist. Eccles. cap. 13. & 14.

h In quibus Epiphan. & auctor vitæ Athanasij inf. Cod. CCLVIII.

i Metaphrasta, orat. de gestis Nicænæ Synodi. Tom. VI. Surij.

k Illum forte ordinem putat, quem suprà loco 13. recensuit.

Gordubæ Episc. & [a] Bitōnem atque Vincentium Romanos sacerdotes, Siluestri Rom. Pontificis legatos, adfuisse, ipsum quoque Eustathium Antiochenum Patriarcham, & Alexandrum Presbyterum Metrophanis Constantinopolitani legatum. neque enim hic, ætate confectus, (centesimum excedebat annum) adesse poterat. Adfuisse & [d] Alexandrum Alexandriæ antistitem, vna cum Athanasio, qui post etiam ei in episcopatu successit: & præter eos Macarium Hierosolymorum præsulem, cum magna præterea episcoporum ac sacerdotum multitudine. Indictam autem Synodum memorat, anno [c] decimo sexto imperij Constantini; durasseque actiones eius ad vsque eiusdem primum & vicesimum annum cum semestri, vt nimirum [b] sex ipsos annos [Patres,] consederint.

Exturbatum ibi refert Arium, & anathematis fulmine confixum, sed inde iterum conatum impetrare admissionem, tentantibus id sæpenumero Eusebiô Nicomediensi præsule, & [e] Eutocio Ariano Presbytero ordinato, quem posteriorem, animam agens Constantia Imperatoris soror, fratri commendarat. Verum etsi Arium isti in ecclesiam reducere conati fuerint, non permisisse tamen diuinam vltionem, hostem hunc ecclesiæ suæ templo sanctiorique adyto insultare, dum lata in eum sententia, in latrinis voluit vitam terminare, eodem illo die, quo ipse eiusque sectarij & asseclæ statuerant illius reditu Dei Ecclesiam,& sacra profanare. Accidisse autem hunc [impij] è vita excessum loco publico, quòd à foro proximè latrinæ illæ abessent. Constantinum Magnum gauisum scribit, quod integerrimus iudex Deus; controuersiam omnem sententia lata diremisset, misisseque mox ad varios epistolas, quibus iustam de Ario vindictam, velut cippo inscriptam omnibus promulgaret. Ita huius scriptoris narratio consentit cum [f] Athanasio Magno, cum [g] Theodoreto, [h] aliisque plurimis. [i] Nonnullis enim tradere visum, non Constantini Magni temporibus, sed Constantio filio imperante, tam fœdo Arium exitu hominem exuisse. Et hęc quidem liber ille continebat. In [k] alio tamen exemplari, quo eadem prorsus continebantur, hunc titulum libro inscriptum reperi: GELASII CÆSAREÆ PALÆSTINÆ EPISCOPI. Ipsa porro dictio ad humilem vilemque stylum plus æquo vergere animaduertitur.

Verum quis hic Gelasius sit, certo non potui cognoscere. Trium enim hactenus Gelasiorum (quos discernere nequeas) Cæsareæ Palæstinæ Episcoporum, vel [l] certè duorum libros legimus. Quorum quidem librorum vnus *Aduersus Anomæos* [hæreticos] conscriptus est: reliqui duo, res continent Ecclesiasticas, alteriusque horum iam modo est à nobis obiter facta mentio: cuius sanè titulus (vbi quidem illum adscriptum inuenimus) is est, quem antea diximus: GELASII CÆSAREÆ PALÆSTINÆ EPISCOPI ECCLESIASTICÆ HISTORIÆ LIBRI TRES.

l Illustriss. card. Baron. To. VI. ad Ann. Chr. 496. inter eundem demonstrat Gelasium huius histor. & libelli aduersus Anomæos, siue Eutychen, De duabus naturis in Christo, auctorem esse Vide inf. Cod. CII.

ϐης, καὶ Βίτωνα καὶ Βικέντιον, ῥωμαϊκοὺς ἱερέας, ἐκ προσώπου Σιλϐέστρου τῆς Ῥώμης παρεῖναι. Εὐστάθιον δὲ τὸν ἀντιοχείας, αὐτὸν ἐκεῖνον. Ἀλέξανδρον δὲ, ὃς τὸ πρεσϐυτέρου ἀξίωμα εἶχεν, εἰς πρόσωπον αὐτοῦ τοῦ Κωνσταντινουπόλεως Μητροφάνους παρεῖναι. ἐκεῖνος γὰρ ἐκωλύετο βαθυτάτῳ γήρᾳ, ἐπεὶ αὐτῷ ὁ χρόνος τοῦ βίου ὑπὲρ τὰ ἑκατὸν ἐξέτεινεν ἔτη. συμπαρεῖναι καὶ Ἀλέξανδρον τῆς Ἀλεξανδρείας ἅμα Ἀθανασίῳ, ὃς ὕστερον καὶ διάδοχος τοῦ θρόνου κατέστη. ἔτι δὲ παρεῖναι καὶ τὸν ἱεροσολύμων Μακάριον, καὶ ἄλλο πλῆθος ἀρχιερέων καὶ ἱερέων. συγκροτηθῆναι δέ φησι τὴν σύνοδον ἑκκαιδεκάτῳ ἔτει τῆς Κωνσταντίνου βασιλείας, παραταθῆναι δὲ [*] ταύτης τὰς πράξεις μέχρι δευτέρου εἰκοστοῦ ἡμίσεος: ἐξ δηλονότι ἔτεσι ταύτης συγκροτουμένης. φησὶ δὲ καθαιρεθῆναι μὲν ἄρειον, καὶ ἀναθέματι καθυποϐληθῆναι: εἶτα πάλιν [*] πειρᾶσθαι παραδεχθῆναι· καὶ τοῦτο πολλάκις ἐπιτηδευθῆναι διὰ Εὐσεϐίου, ὃς ἦρχε νικομηδείας, καὶ δι' Εὐτοκίου δὲ τοῦ ἀρειανοῦ, πρεσϐυτέρου ἔχοντος χειροθεσίαν. ὃν ἡ τοῦ βασιλέως ἀδελφὴ Κωνσταντία, τὴν τελείαν ἡμέραν ὑπερχομένη τοῦ βίου, παρέθετο τῷ ἀδελφῷ. ἀλλ' οὗτοι μὲν ἐπεϐούλευον τὸν ἄρειον [*] ἀπαγαγεῖν τῇ ἐκκλησίᾳ: ἡ δὲ θεία δίκη τὸν ἐχθρὸν οὐκ εἴασε κατορχήσασθαι αὐτῆς τοῦ ναοῦ, καὶ τῆς ἐν αὐτῷ προστάδος. ἀλλ' ἐν ἀφεδρῶσι τὸν βίον ἐδίκασε καταστρέψαι, καθ' ἣν αὐτὸς καὶ οἱ σπουδασταὶ αὐτοῦ ὥρισαν ἡμέραν, διὰ τῆς εἰσόδου αὐτοῦ, τὴν ἐκκλησίαν βεϐηλῶσαι τοῦ θεοῦ καὶ τὰ ἅγια. καὶ ἡ καταστροφὴ δὲ [*] δημοσίας γίνεται· πλησίον γὰρ οἱ ἀφεδρῶνες ἐχρημάτιζον τοῦ φόρου. ἐφ' ᾧ ἡσθῆναί τε τὸν μέγαν Κωνσταντῖνον γράφει, ὡς τοῦ ἀδεκάστου κριτοῦ, οἷς ἔκρινε, λύσαντος ἀμφισϐήτησιν πᾶσαν: γράψαι τε αὐτὸν πολλοῖς ἐπιστολὰς, τὴν ἔνδικον ἀρείου καταστροφὴν [*] στηλιτευούσας. καὶ ὁ μὲν οὕτω φησὶ, συμφωνῶν ἐν τούτῳ Ἀθανασίῳ τε τῷ μεγάλῳ, καὶ Θεοδωρήτῳ, καὶ ἄλλοις πλείοσιν. ἐνίοις δὲ γράφειν ἔδοξεν, οὐχὶ κατὰ τοὺς Κωνσταντίνου τοῦ μεγάλου χρόνους, ἀλλὰ Κωνσταντίου τοῦ παιδὸς βασιλεύοντος, οὕτως αἰσχρῶς τὸν ἄρειον ἐξ ἀνθρώπων ἀφανισθῆναι. καὶ ταῦτα μὲν τόδε τὸ βιϐλίον: οὐ γὰρ ἐπεγέγραπτο αὐτῷ ἡ κλῆσις τοῦ γράψαντος. ἐν ἄλλῳ μέντοι ἔχοντι τὰ αὐτὰ, Γελασίου τοῦ ἐπισκόπου καισαρείας τῆς παλαιστίνης εὗρον τὸ βιϐλίον ἐπιγραφόμενον. ἡ δὲ φράσις εἰς τὸ ταπεινὸν καὶ χυδαῖον τοῦ λόγου λίαν κατενηνεγμένη. τίς ποτε δὲ ἐστιν ὁ Γελάσιος οὗτος, οὐκ ἔχω σαφῶς ἐκμαθεῖν. μέχρι γὰρ νῦν τριῶν [* οὐκ ἔστιν εἰκάσαι] Γελασίων, ἐπισκόπων καισαρείας τῆς ἐν παλαιστίνῃ γενομένων, βιϐλίοις ἐνετύχομεν· ἢ πάντως γε δύο· αἱ δὲ βίϐλοι, αἷς ἐνετύχομεν, ἡ μὲν ἐστι κατὰ ἀνομοίων συντεταγμένη, αἱ δὲ ἄλλαι δύο ἐκκλησιαστικὰς ἀναγράφουσι πράξεις. ὧν μία ἧς νῦν ὡς ἐν κεφαλαίῳ ἐπεμνήσθημεν. ἔχει δὲ αὐτὴ, ἐν οἷς αὐτὴν ἐπιγεγραμμένην εὕρομεν ἐπιγραφὴν ὥσπερ εἴρηται.

* ταύτην. * πειρᾶσαι. * ἐπαγαγεῖν. * δημόσιος. * συνάπτουσα. * οὐκ ἔστιν εἰκάσαι.

ΓΕΛΑΣΙΟΥ ἐπισκόπου καισαρείας τῆς κατὰ παλαιστίνην, ἱστορίας ἐκκλησιαστικῆς λόγοι γ΄. καὶ ἀπάρ-

καὶ ἀπάρχεται δὲ οὕτω· Τὰ κατὰ τὴν ἁγίαν καὶ μεγάλην καὶ οἰκουμενικὴν τῶν ἐπισκόπων συναθροισθεῖσαν σύνοδον ἐκ πασῶν, ὡς ἔπος εἰπεῖν, τῶν τῆς Ῥωμαίων κόσμου ἐπαρχιῶν, καὶ Περσίδος, καὶ ἑξῆς· καὶ τελευτᾷ δὲ εἰς τὴν τοῦ μεγάλου Κωνσταντίνου τελευτήν, ἐν ᾗ καὶ τὸ τῆς ἀφέσεως ἐδέξατο θεῖον λουτρόν, τὰς ἐν βίῳ κηλῖδας, οἷα εἰκὸς ἄνθρωπον ὄντα *ἐφελκόμενον ταύτας, ἀπολουσάμενος. τυχεῖν δέ, φησι, τοῦ βαπτίσματος, ὀρθοδόξου μυσταγωγήσαντος καὶ τελέσαντος, ἀλλ' οὐχ, ὥς τισιν ἔδοξε, τῶν αἱρετικῶν τινος χειροθετήσαντος. ἡ δέ γε ἀναβολὴ αὐτοῦ τοῦ βαπτίσματος παρετείνετο ὅτι δι' ἐπιθυμίας πλείστης ἦν αὐτοῦ τοῖς Ἰορδάνου βαπτίσασθαι. φησὶ δὲ αὐτὸν ὁ συγγραφεὺς εἶναι ἐπὶ Βασιλίσκου, ὃς ἐκβαλὼν Ζήνωνα ἐτυράννησεν, ἀκμάζειν, καὶ ἀνεγνωκέναι τὰς τῆς συνόδου πράξεις ἐν παλαιαῖς μεμβράναις ἔτι κατὰ τὴν πατρῴαν οἰκίαν διατρίβοντα· ὧν τὴν μνήμην ἔχοντα, καὶ ἐξ ἑτέρων γραμμάτων, ὅσα χρήσιμα, συναγείραντα, τὴν ἱστορίαν συντάξαι. μνημονεύει δ' ἔτι καὶ ῥητῶν τινῶν Γελασίου τινός, Γελάσιον αὐτὸν καὶ Ῥουφῖνον *ἀνακαλῶν. λέγει δὲ αὐτοῦ καὶ πατρίδα τὴν Κύζικον, καὶ πατέρα τῶν κατ' αὐτὴν πρεσβυτέρων ἕνα τινά. καὶ οὗτος μὲν ὁ τοῦδε τοῦ βιβλίου πατήρ, καὶ ταῦτα αὕτη ἡ βίβλος.

* ἐφελκόμενος.

* ἀνακαλῶν.

ΓΕΛΑΣΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΑΙσαρείας Παλαιστίνης προοίμιον εἰς τὰ μετὰ τὴν ἐκκλησιαστικὴν ἱστορίαν Εὐσεβίου τοῦ Παμφίλου.

πθ'. Gelasij Episcopi Cæsariensis procœmium in histor. Eccles.

Ἡ δὲ λοιπὴ βίβλος ἐπιγραφὴν μὲν ἔχει τοιαύτην· Προοίμιον ἐπισκόπου Καισαρείας Παλαιστίνης εἰς τὰ μετὰ τὴν ἐκκλησιαστικὴν ἱστορίαν Εὐσεβίου τοῦ Παμφίλου. ἄρχεται δὲ οὕτω· Τοὺς μὲν ἄλλους ἐπὶ τὸ συγγράφειν ὡρμημένους, καὶ τῶν γινομένων τὰς ἱστορίας τῇ μνήμῃ παραπέμπειν ἐγνωκότας, καὶ τὰ ἑξῆς. λέγει δὲ αὐτὸν ἀνεψιὸν πρὸς μητρός, Κυρίλλου τοῦ Ἱεροσολύμων, καὶ ὑπ' ἐκείνου προτραπῆναι εἰς τήνδε τὴν συγγραφήν. ἡμεῖς δὲ εὕρομεν ἀνεγνωκότες ἐν ἄλλοις, ὅτι αὐτός τε Κύριλλος καὶ Γελάσιος ἔτι τὴν Ῥουφίνου τοῦ Ῥωμαίου μετέφρασαν ἱστορίαν εἰς τὴν ἑλλάδα γλῶσσαν, οὐ μέντοι ὅτι ἰδίαν συνετάξαντο ἱστορίαν. δῆλον δ' ὡς ἀρχαιότερος ἦν ἔτι τοῦ προειρημένου, εἴ γε κατὰ Κύριλλον ἤκμασε τὸν Ἱεροσολύμων. ἀλλ' ἔτι μὲν ὁ Γελάσιος ἐκείνου καὶ τῇ φράσει ἐπὶ τὸ λογιώτερον διαφέρει. ἑκάτερος μέντοι αὐτῶν πολὺ τοῦ κατὰ Ἀνομοίων συγγεγραφότος ἐνδεέστερος ὑπάρχει. ἐπίσκοπος δ' ἄρα κἀκεῖνος τῆς αὐτῆς ἐπιγράφεται Παλαιστίνης. ἀλλ' ἐκεῖνός γε ὁ Γελάσιος τῇ τε φράσει καὶ τῇ πολυμαθίᾳ, καὶ ταῖς λογικαῖς ἐφόδοις, αἷς οὐκ οἶδ' ὅπως εἰπεῖν, καὶ ἀπειροκάλως κατεχρήσατο, παρὰ πολὺ τούτους τὴν ἐν τοῖς λόγοις ἐλάττονα τάξιν ἐπέχειν διαγινωσκομένους, ἀπελαύνει. εἰ δέ τις τούτων αὐτός ἐστιν ὁ συγγράψας, καὶ ταῦτα χρόνῳ συλλέξας, καὶ συναυξήσας τὰ λείποντα· οὔπω μαθεῖν ἔχον.

ΛΙΒΑΝΙΟΥ ΕΝ ΤΕΥΧΕΣΙ β' λόγοι καὶ ἐπιστολαί.

Libanij scripta.

ΑΝΕΓΝΩΣΘΗ ὁ Λιβάνιος ἐν τεύχεσι δυσίν. ἔστι δὲ ἐν τοῖς πλασματικοῖς αὐτοῦ

GELASIVS.

Operis autem ipsius principium eiusmodi est: *Quæ in sancta, magna, & vniuersali Episcoporum Synodo, ex omnibus, vt sic dicam, Romani orbis prouinciis, ipsaque adeo Perside congregata*, & reliqua. Desinitque in Constantini Magni obitum, quando [a] diuino remissionis [peccatorum] lauacro suscepto, vitæ huius maculas, quas communi mortalium sorte contraxisse oportuerat, vna eluit. Baptismate vero tinctum refert ab Orthodoxo sacerdote, sacróque ritu, non, vt quidam prodiderunt, ab hæreticorum aliquo. Longiorem autem hanc baptismati obuenisse moram, quod ipsis Iordanis fluminis aquis tingi vehementer optasset.

Affirmat hic scriptor, sub Basilisco, qui Zenone pulso [b] tyrannidem occupauit, vixisse se, ac legisse Concilij acta in [c] antiquis membranis conscripta, dum adhuc paternis in ædibus versaretur. Ex horum itaque memoria, & ex aliis præterea scriptis, vtilia quæque colligendo, historiam composuisse. Meminit insuper, laudatq; dicta quædam Gelasij cuiusdam [d] quem ipse Gelasium, Ruffinum quoque nominat. [e] Suam porro patriam esse ait Cyzicum: patrémque vnum de [f] presbyteris ibidem extitisse. Sic libri huius loquitur scriptor, atque hæc liber ipse commemorat.

a Eusebij errorem, à multis pridem Græcis Latinisq; scriptoribus refutatis, sequitur hic Gelasius: & hac forsitan causa omissi in M. s. tertij huius post libri. Vide Bar: card. To. III. ad A. Ch. CCCXIV.

b Ann. Chri. CCCCLXXVI.

c Quæ susfferet Dalmatij, Cyzicenorum quondam Archiepiscopi, cuius & Socrates meminisse videtur lib. VII. c. 28.

d Lib. II. c. 7. init. Οὗ καὶ Ῥουφῖνος, ἤγουν Γελάσιος.

e Initio Præfationis.

f Ante sacerdotium tamen in coniugio nostrum Gelasium esse genitum tibi certum sit.

GELASII CÆSAREÆ PALÆSTINÆ EPISCOPI *Procœmium in additamentum ad Ecclesiast. historiam Eusebij Pamphili.*

LXXXIX. quem ego numerum, primum omissum, deinde adscriptum, loco non suo, huc trahendum putaui.

IAm alter [Rerum Ecclesiasticarum, de quo supra commemini] liber, hunc titulum præfert: *Procœmium Episcopi Cæsareæ Palæstinæ in ea, [a] quæ ad Ecclesiasticam historiam Eusebij Pamphili adiiciuntur.* Incipit verò hoc modo: *Cæteros quidem, qui ad scribendum animum appulerunt, quippe rerum gestarum historias memoriæ prodere statuerunt*, & quæ sequuntur.

Prædicat se auunculum habuisse Cyrillum Hierosolymorum Episcopum, qui & sibi ad hæc ipsa scribenda auctor fuerit. Alibi autem legendo hoc quidem comperi, Cyrillum ipsum cum hoc Gelasio Ruffini Romani historiam in Græcum vertisse sermonem, non vero propriam suam aliquam condidisse. Illud certum, Gelasium hunc, quando Cyrilli Hierosolymitani æqualis fuit, proximo illo esse ætate priorem. Et hic certè Gelasius diserta quoque dicendi forma ab illo discrepat: quanquam vterque longe est eo, qui aduersus Anomæos scripsit, inferior. Qui quidem Episcopus & ipse eiusdem Palæstinæ inscribitur, sed dictione ac varia doctrina, logicisque rationibus (quibus tamen, nescio qui, non aptissimè est vsus) cæteros duos, qui inferiorem ordinem dicendo tenuisse visi sunt, multo interuallo reliquit. An verò horum aliquis hæc idem conscripserit, & opportunè collegerit, addideritque reliqua, cognoscere nondum potui.

a A Ruffino, puta: qui ad hanc histor. latinam à se factam, duos adiecisse libros, decimum atque vndecimum, legitur ap. Gennad. de scriptoribus Eccles. c. 17. & ipsemet Ruffin. profitetur ad finem lib. IX. Eusebij enim X. libros in nonum contraxerat.

b Eundem hunc statuo Gelasium quem Niceph. lib. XII. cap. 11. inter laudatos episcopos numerat, tertium ab Eusebio Pamphili, & Acacii successorem. Quem item egregiè laudat Theodoret. Eranist. Dial. I. citata eius concione apparitionis Domini. & à Hieron. in Catal. cap. 13. vbi Euzoio successisse dicitur, quem Niceph. quod sede pulsus fuerit non retulit inter eosdem Episcop.

LIBANII SOPHISTÆ *Orationes & Epistolæ.*

XC.

LEcti sunt [a] LIBANII *tomi duo.* Is in fictis suis, quásq; exercitationis tãtum causa

a De quo Suid. legend.

LIBANIVS.

scripsit, Orationibus, se ipso est, quam in aliis præstantior. Nimis enim diligens ac curiosus dum esse vult, natiuam effusamque sermonis (vt ita dixerim) gratiam ac venustatem in illis aliis corrupit, atque in obscuritatem delapsus est, multa quidem interpositionibus obscuriora reddendo, quædam etiam ablatis necessariis. Regula est alioqui hoc in genere, ac norma sermonis Attici. Clarum item habet in [a] epistolis scribendis nomen: Multáque & varia circumferuntur ab eo conscripta.

a Laudat & has Eunapius in Libanij vita, usque trecentas fere ineditas reperimus.

XCI.

ARRIANI De Alexandri Magni rebus gestis libri VII.

LEGIMVS ARRIANI *De rebus gestis Alexandri Magni libros septem.* Refert ipsum cum Atheniensibus, cæterisque Græcis, Lacedæmoniis exceptis, fœdus iniuisse, ac dehinc in Asiam traiecisse, prœliisque Persas fregisse, & ad Granicum quidem Darij Satrapas, copias ducentes equitum viginti millia, pedites pæne totidem, omnes debellasse: ad Issum verò Darium cum exercitu fudisse fugasseque, & liberos, atque adeò vxorem cepisse. In Arbelis, siue in Gaugamêlis tandem & ipsum Darium superasse, & hunc fugientem à suis occisum esse. Suffectum deinde ab iisdem in Darij locum regem Bessum, æquè postmodum ab Alexandro captum, & ob audacem in Darium iniuriam ludibrio affectum, vitáque priuatum. Adhæc septies Alexandrum inter pugnandum fuisse vulneratum, regiásque in [b] Pagasis opes sustulisse. Cum item persuasum ei esset Philotam insidias moliri, cum parente Parmeniône interficiendum ipsum curasse. Sogdianorum quoque regnorum potitum esse, & Asiæ Scythas prœlio vicisse. Clitum ab Alexandro potu correpto, interemptum, magnúmque mox eum facti, vt ad sobrietatem redierat, mœrorem ostendisse: adhunc & Alexandro etiamnum puero structas fuisse insidias, pœnásque idcirco irrogatas. [c] Petram illam, quæ in Sogdiana regione est, occupatam esse, capta Oxyarti, qui regioni illi imperitabat, coniuge, vnà cum Roxana filia, quam post Alexander vxorem rite duxerit.

a Extant Græcè & Latinè ab H.S. excusi, cum Indica historia, quam aliqui IIX. hic librum faciunt.

b Zariaspa ex editis, & ex Strab. Stephano aliis, Pasagardis.

c Q. Curtius extremo lib. 8.

Alexandrum ex Bactris ad Indos profectum, pugna illos superasse, vrbésque eorum plurimas obsidione cæpisse: in his & Aórno (quæ dicitur) occupata, in [d] Asacanorum prouinciam peruenisse. Nauibus præterea Indo flumine constrato, traiecisse, & Porum Indorum regem vno deuictum prœlio, viuum cepisse, humanitérque complexum, latius etiam quam antea regnare iussisse. Indos fluuios, non secus atque Nilum æstate augeri, hieme verò minui memorat. Refert item alium quendam Porum, Indis quoque imperantem, quem & facinorosum fuisse ait. Alexandrum verò dum hunc persequitur, [e] Hydaspen fluuium transiuisse, eiúsque accolas Indos bello superasse: horum quoque opida ingentia, & frequenter habitata armis cæpisse, tetendisseque porro ad [f] Hyphasim flumen: quod dum transmittere Alexander

d al. Ascanorum.

e al. Ἀκεσίνην.

f al. Hypasis, vt Plin. & Solin. Item Ptolem. Bybasis, & Strab. Hypanis.

καὶ γυμναστικοῖς λόγοις μᾶλλον ἔοικεν, ἢ ἐν τοῖς ἄλλοις, αὐτὸς ἑαυτοῦ χρησιμώτερος. τῇ γὰρ πολλῇ [περὶ τοὺς ἄλλους] φιλοπονίᾳ τε καὶ περιεργείᾳ, τήν τε ἔμφυτον τοῦ λόγου καὶ αὐτοσχέδιον, ὡς ἄν τις εἴποι, χάριν ἐλυμήνατο καὶ τέρψιν. καὶ εἰς τὸ ἀσαφέστερον περιέτρεψε. πολλὰ μὲν ἐπισκοτίζων παρενθήκαις, ἔνια δ᾽ ἀφαιρέσει καὶ τοῦ ἀναγκαίου. τὰ δ᾽ ἄλλα ἐν τούτοις κανών ἐστι καὶ στάθμη λόγου ἀττικοῦ. ἔστι δὲ δόκιμος κἂν ταῖς ἐπιστολαῖς. πολλὰ δὲ αὐτοῦ καὶ παντοδαπὰ συγγράμματα φέρεται.

ΑΡΡΙΑΝΟΥ ΤΑ ΚΑΤΑ ΑΛΕξανδρον, ἐν λόγοις ζ.

ΑΝΕΓΝΩΣΘΗ Ἀρριανοῦ τὰ κατὰ Ἀλέξανδρον ἐν λόγοις ἑπτά. ἐν οἷς διεξέρχεται τάς τε πρὸς Ἀθηναίους σπονδὰς, καὶ τοὺς ἄλλους Ἕλληνας, ἄνευ μέντοι Λακεδαιμονίων· καὶ τὴν ἐπὶ τὴν Ἀσίαν πορείαν· ὅπως τε μάχαις τισὶ κατεστρέψατο Πέρσας, ἐν Γρανικῷ μὲν τοὺς σατράπας Δαρείου, στρατιὰν ἄγοντας δισμυρίους μὲν ἱππεῖς, πεζοὺς δὲ [*] κατὰ μικρὸν ἴσους, τούτους σύμπαντας καταπολεμήσας· ἐν Ἰσσῷ δὲ αὐτόν τε Δαρεῖον, καὶ τοὺς ἀμφ᾽ αὐτὸν, κατακράτος τρεψάμενος, καὶ συλλαβὼν αἰχμαλώτους, παῖδάς τε καὶ αὐτὴν γυναῖκα· ἐν Ἀρβήλοις δὲ, ἤτοι ἐν Γαυγαμήλοις, εἰς τέλος αὐτὸν ἐκνικήσας· ὅπως τε φεύγων Δαρεῖος ὑπὸ τῶν οἰκείων ἀνῃρέθη· ἀνερρήθη δὲ ἀντ᾽ αὐτοῦ ὑπὸ τῶν περὶ αὐτὸν εἰς βασιλέα Βῆσσος· ὅπως τε ὕστερον Βῆσσον Ἀλέξανδρος λαβὼν, τῆς εἰς Δαρεῖον τόλμης ἐλωβήσατό τε καὶ ἀνεῖλεν· ἔτι τε ὅπως ἐν μάχαις Ἀλέξανδρος ἑπτάκις ἐτρώθη· καὶ ὅπως εἷλε τὰ ἐν Πασαγάδαις βασίλεια χρήματα· καὶ ὅτι πεισθεὶς ὡς Φιλώτας εἴη βουλὴν κατ᾽ αὐτοῦ μελετῶν, ἀνεῖλεν αὐτόν τε καὶ τὸν πατέρα Παρμενίωνα. ἐγένετο δὲ καὶ τῶν σογδιανῶν βασιλειῶν κύριος. καὶ σκύθας δὲ τοὺς ἐν τῇ ἀσίᾳ μάχῃ ἐκράτησεν. ὅπως τε τὸ τοῦ Κλείτου πάθημα τοῦ παρὰ [*] ποτοῦ παρενεχθέντος Ἀλεξάνδρου συνέβη, καὶ οἷον πένθος ἀνανήψας [*] ἐπεδείξατο. ἔτι δὲ καὶ ἡ ἐκ παίδων κατ᾽ Ἀλεξάνδρου ἐπιβουλὴ· καὶ ἡ ἐπὶ τούτῳ κόλασις. ὅπως τε ἡ ἐν τῇ σογδιανῇ Πέτρα ἑάλω, καὶ ἡ γυνὴ Ὀξυάρτου, ὃς ταύτης τῆς χώρας ἐβασίλευεν. ἀλλὰ καὶ ἡ θυγάτηρ Ῥωξάνη, ἣν ὕστερον Ἀλέξανδρος γάμου νόμῳ γυναῖκα ἠγάγετο· καὶ ὡς Ἀλέξανδρος ἐκ βάκτρων ἐπὶ Ἰνδοὺς ἐλάσας, μάχαις ἐκράτησε, καὶ πόλεις αὐτῶν πολιορκίᾳ πολλὰς εἷλεν· ἐν οἷς καὶ τὴν καλουμένην ἄορνον περιλαβὼν, εἰς τὴν [*] ἀσσακηνῶν χώραν ἐμβάλλει. ἐζεύχθη δὲ αὐτοῦ καὶ ὁ Ἰνδὸς ποταμὸς πλοίοις, καὶ διαβὰς, Πῶρόν τε τὸν Ἰνδῶν βασιλέα ἐνίκησε μιᾷ μάχῃ, καὶ εἷλε ζωγρείαν· εἶτα καὶ φιλοφρονησάμενος, πλειόνων ἄρχειν ἢ πρόσθεν ἔδωκε. λέγει δὲ ὅτι οἱ Ἰνδοὶ ποταμοὶ, καθάπερ καὶ ὁ Νεῖλος, θέρους μὲν αὔξονται, χειμῶνος δὲ μειοῦνται. διαλαμβάνει δὲ καὶ ὅπως ἄλλον τινὰ Πῶρον, καὶ αὐτὸν Ἰνδῶν βασιλεύοντα, ὃν καὶ εἰς κακίαν ἐλάσαι λέγει, τοῦτον διώκων Ἀλέξανδρος τὸν Ὑδάσπην ποταμὸν ἐπεραιώθη, καὶ τοὺς ταύτῃ οἰκοῦντας Ἰνδοὺς ἐχειρώσατο. καὶ πόλεις αὐτῶν μεγάλας καὶ πολυανθρώπους ἐκπολιορκήσας, ἐπὶ τὸν Ὕφασιν ποταμὸν ἐχώρει. ἐπεὶ δὲ διαβαίνειν καὶ τοῦτον Ἀλέξανδρος ἔμελλεν,

Σα᾽.

Arrianus de rebus gestis Alexandri M.

* πεζούς.

* al. ποταμοῦ

* ἐπεδείξατο.

* ἀσσακηνῶν.

ἔμελλεν, ἐς στάσιν ἐκινήθη τὸ πλῆθος, οὐ φέροντες ἔτι τοὺς πόνους, καὶ τὴν ἀπέραντον ἐκστρατείαν. καὶ τοῦτο αἴτιον Ἀλεξάνδρῳ τῆς ἀπ' Ἰνδῶν ὑποστροφῆς κατέστη. ἐν ᾧ καὶ ὁ πέμπτος τοῦ συγγραφέως ἀποπερατοῦται λόγος. ὑποστρέφοντι δὲ Ἀλεξάνδρῳ, ὡς ὁ ἕκτος ὑπολαμβάνει λόγος, μάχαι τε αὐτῷ καὶ νῖκαι γίνονται λαμπραί· ἐν οἷς λαμπρῶς ἀγωνιζόμενος, ἐπὶ ταῖς προτέραις πέντε πληγαῖς δευτέραν ἔτι βάλλεται· ἂν ἐπὶ τῇ ἑβδόμῃ καὶ τελευτᾶν ἐδόκει, εἰ καὶ οὐ χαλεπῶς περιεγένετο. καὶ αὐτὸς μὲν ἐξ Ἰνδῶν ὑποστρέφων, διὰ γῆς ἐποιεῖτο τὴν ἐπάνοδον, Νεάρχῳ δὲ στρατείαν παρασχών, ἐπέτρεψε τὴν διὰ θαλάσσης πορείαν. καὶ συμβάλλουσιν ἀλλήλοις τὰ ἀπὸ γῆς καὶ θαλάσσης στρατόπεδα περὶ Καρμανίαν. ἀπὸ Καρμανίας δὲ Ἀλέξανδρος ἐς Περσίδα. Νέαρχος δὲ ἐς τὴν Σουσιανῶν γῆν ἐπετράπη ἀποπλεῖν, καὶ τοῦ Τίγρητος ποταμοῦ τὰς ἐκβολάς· καὶ διαλαμβάνει τὸν τοῦ Νεάρχου περίπλουν Ἰωνικῇ φράσει, ἡ ἐπιγραφομένη αὐτῷ ἰδίως Ἰνδική. Ἀλέξανδρος δὲ καὶ τὸν Κύρου τάφον ἠμελημένον ἐπισκευάζει, καὶ Κάλανον τὸν γυμνοσοφιστήν, αἰτησάμενον εἰς πῦρ εἰσελθεῖν, ὅτι νόσος αὐτὸν ἠνώχλει, παρέχει κατὰ τὰ πάτρια τελευτῆσαι. ἐπιτελεῖ δὲ καὶ γάμους αὐτοῦ τε καὶ τῶν ἑταίρων λαμπρούς· αὐτὸς μὲν τὴν πρεσβυτάτην τῶν Δαρείου παίδων, Ἀρσινόη αὐτῇ ὄνομα, ἀγόμενος· καὶ τὴν νεωτάτην δὲ τῶν Ὤχου θυγατέρων, ἡ Παρυσάτις ὠνομάζετο, Ῥωξάνη γὰρ ἤδη προηγμένη ἐτύγχανε. τὴν μέντοι * Δρύπετιν, καὶ αὐτὴν θυγατέρα οὖσαν Δαρείου, Ἡφαιστίωνι δίδωσι· Κρατερῷ δὲ Ἀμαστρίνην· Πτολεμαίῳ δὲ καὶ Εὐμενεῖ τὰς Ἀρταβάζου παῖδας, Ἀρτακάναν καὶ Ἀρτώνην. Νεάρχῳ δὲ τὴν Βαρσίνης καὶ Μέλτορος παῖδα. Σελεύκῳ δὲ τὴν Σπιταμένους· καὶ τοῖς ἄλλοις ἑταίροις τὰς δοκιμωτάτας τῶν Περσῶν καὶ Μήδων παῖδας, ἄχρι καὶ ἐς ὀγδοήκοντα. καὶ οἱ γάμοι δὲ νόμῳ τῷ Περσικῷ ἐποιήθησαν. πέμπει δὲ καὶ τοὺς ἀπομάχους τῶν Μακεδόνων εἰς Μακεδονίαν, ἄλλους ἀντ' αὐτῶν νεοσυλλέκτους ἀποφέρειν αὐτῷ προστάξας Ἀντιπάτρῳ. ἐν τούτῳ καὶ Ἅρπαλος βασιλικὰ λαβὼν ᾤχετο φεύγων, χρήματα. τελευτᾷ καὶ Ἡφαιστίων· ἐφ' ᾧ μέγα πένθος Ἀλεξάνδρῳ ἐποιήθη, καὶ πολυδάπανος ἡ ἐπὶ τῷ σώματι πυρὰ καὶ κηδεία· ἐν ᾧ καὶ οἱ πρέσβεις * Λιβύων τε καὶ Καρχηδονίων πρὸς αὐτὸν ἀφίκοντο, καὶ Ἰταλῶν δὲ παραγενέσθαι φησί. καὶ ὅτι τὴν * αὔξησιν τῶν Ἰταλῶν ἐς αὐτοὺς ἰδών, προεῖπέ τε καὶ ἀπεφήνατο. ὁρμᾷ δὲ καὶ ἐπὶ Βαβυλῶνα, καὶ προλέγουσιν αὐτῷ οἱ μάντεις τὴν τελευτήν· καὶ ἐπικαθίζει τις αὐτοῦ τῷ θρόνῳ παραλόγως, ἐξ οὗ μᾶλλον ἐξοιώνιστο τοῖς μάντεσιν αὐτοῦ ἡ τελευτή. παρεσκευάζετο δ' αὐτῷ ὅμως τὸ ναυτικόν, ὡς ἐπὶ Ἄραβας τοὺς πολλούς, οἳ δύο μόνον σέβουσι θεούς, Οὐρανὸν καὶ Διόνυσον. καὶ ταῦτα παρασκευαζόμενος, καὶ τῆς νόσου ἤδη ἐπικρατούσης, καταλύει τὸν βίον. ἡ δὲ τελευτὴ αὐτοῦ ἄλλοις ἄλλως ἀναγέγραπται, καὶ πολλαὶ περὶ αὐτοῦ ἐξηνέχθησαν διαφωνίαι. ἐβίω δὲ δύο καὶ τριάκοντα ἔτη, καὶ τοῦ τρίτου μῆνας ἐπέλαβεν ὀκτώ. ἐβασίλευσε δὲ τούτων, τούς τε ὀκτὼ μῆνας καὶ ἔτη ιβ΄. ἐπαινεῖ δὲ αὐτὸν ἐπὶ πάσαις σχεδόν τι ταῖς ἀρεταῖς ἐς τὰ μάλιστα ὁ συγγραφεύς· καὶ ὁ ἕβδομος ἀπαρτίζεται λόγος, ὃν ἐνδέχεται βιβλίον ἕν, ἡ Ἰνδική.

* μὴ ἐν ὠρείδι.
* al. Δρύπετιν.
* Λιβύων.
* ἴσ. ἄρξιν.

ARRIANVS.

pararet, tumultuari militem cœpisse, quòd nec labores assiduos tolerarer, nec belli quietem, finémque expeditionis videret. hac de causa, relicta India, reuerti coactum Alexandrum. Atque hic quintum librum scriptor clausit.

Sexto itaque libro, frequentes ab Alexandro redeunte pugnas cum hoste commissas, ingentésque partas victorias commemorat. Quibus in prœliis fortiter dimicantem ad superiora quinque vulnera, alia iterum duo accepisse, ac licet è septimo moriturus videretur, commodè tamen fuisse curatum. Ex India reuertentem, terrestri ipsum itinere profectum esse, [a] Nearcho altera exercitus parte commissa, ac per mare redire iusso. Conuenisse vtrasque copias, cum maritimas, tum terrestres ad Carmaniam. A Carmania deinde in Persidem Alexandrum progressum, imperato vt Nearchus in Susianorum regionem cursum, & ad Tigridis fluminis ostia institueret. Hanc autem Nearchi nauigationem Ionica describit dialecto Arrianus, eámque proprio titulo INDICA indigitat.

Alexander post hæc neglectum Cyri sepulcrum [b] adornauit, & [c] Calanum Gymnosophistam, qui flammis se committere vellet, quòd morbo tentaretur, [d] patrio extingui ritu permisit. Nuptias ad hęc cum suas, tum aliorum splendidè celebrauit. [e] Ipse quidem natu maximam Darij filiam, Arsinoën nomine, duxit, natúque minimam filiarũ Ochi, quæ Parysatis dicta. Roxana enim iam antea ducta erat. Drupetin, Darij quoque filiam, Hephęstioni nuptui dedit: Cratero Amastrinam, Ptolemæo verò & Eumeni, Artacanam & Artonem Artabazi filias tradidit: Nearcho Barsines & Meltoris filiam vxorem dedit: Seleuco Spitamenis filiam. Cæteris quoq; sociis clarissimas Persarum ac Medorum filias numero fere octoginta stabili cõnubio iunxit, factis Persarũ ritu ac iure nuptiis. Macedonum quoque veteranos exauctoratos in Macedoniam misit: & Antipatrũ interim recẽs collectas copias sibi adducere iussit. Dum hæc aguntur, Harpalus regias furatus opes, fuga dilapsus est. Hephæstion itẽ vita defungitur, cuius obitu ingenti mœrore cõsternatus Alexander est, atque [f] incredibiles in rogum ac iusta faciẽda sumptus fecit. Quo item tẽpore legati ex Africa & Carthagine ad illũ missi: immo ex Italia, vt hic refert. Cuius quidem [g] Italiæ incrementũ, illos intuitus, denunciando prædixit. In Babyloniam eundi cupido ipsum incessit, & obitũ [h] vates denuntiãt: cumque inconsideratè quidam in throno eius consedisset, ex eo iam certiùs mortẽ eius augures prędixerunt. Classem nihilominus profectioni adornat, vt in Arabas moturus multitudine innumerabiles, qui duos duntaxat Deos, Cœlum & Bacchũ, colerẽt. Hæc dum præparat, vi morbi superatus, vita decessit. De eius excessu varij variè scripserunt, [i] multáq. etiã pugnantia prodiderunt. Vixit annos duos supra triginta, & menses octo: quibus octo mensibus, annísque duodecim regnauit. Laudatur mirificè ab hoc scriptore Alexander, ob singularẽ virtutũ ferè omnium præstantiã, in quo septimus definit liber, quem *Indica* excipit *historia*, libro singulari.

a *De quo frequens apud Strab. mentio.*
b *Apernisse cõmemorat Q. Curtius libro X. vid. Strab. lib. 15. sub fin.*
c Sphingen *dictum auctor est Plutarch. in Alexandro. A Græcis vero* Calanum *vocatum, quod Indico sermone,* Kale *id est, salue, accedentes salutasset. Plura in vetus ad Græcum exemplar, quibus adde Philonis locum insignem libello, quod omnis probus liber, & Ælian. lib. 5. Var. hist. cap. 6. & Claud. Guichar Funeral. lib. 1. c. 4.*
d Patrio *est ritu. Apud Indos enim sapientes (inquit Curtius lib. VIII.) occupare fata dicuntur pulcrum, & viuos se cremare iubent. Quibus aut segnis ætas, aut incommoda valetudo est, expectatam mortem pro dedecore vitæ habent. Nec vllus corporibus, quæ senectus soluit, honor habetur. Inquinari putant ignem, nisi qui spirantes recipit.*
e *De nuptiis ista nonnihil turbata, ex VII. lib. huiz. restituenda.*
f *Decies mille talentorum quidam referunt: duodecies vero Diodor. lib. XVII. & Iustinus lib. XII.*
g *T. Liuius legendus lib. IX. ab V. C.*
h *Quamobrem deliberat apud Senecam Rhetorem Suasor. IV. an Babylonam intret.*
i *Vide vitas parallelas nostras Aristotelis, ac Demosthenis, & Ioseph. Stephanum Episc. Oriel. Commentario ad cap. 1. Machabæorum.*

ARRIAN. XCII.

EIVSDEM ARRIANI *De rebus post Alexandrum gestis libri X.*

SCRIPSIT idem *Res post Alexandrum gestas libris decem*, quibus militarem exercitus seditionem complectitur, electionémque ea conditione factam [a] Arridæi (quem Philippo patri Alexandri peperit Philine mulier Thessala) vt & Alexander [infans] quem Roxana Alexandro paritura erat, simul regnaret, quod etiam euenit, edito in lucem infante. Igitur Arridæum regem renunciantes, Philippum cognominarunt. Tumultuati verò sunt, & inuicem dissenserunt pedites, equitésque. In quibus & equitum, & ducum principes erant. Perdiccas Oronti F. & Leonnatus Anthæi & Ptolemæus Lagi F. post hos Lysimachus Agathoclis F. & Aristonus Pisæi F. & Pithon Crateuæ F. & Seleuchus Anthiochi F. & Eumenes Cardianus, qui quidem equitum ductores fuere: peditum verò Meleager. Missæ dehinc variæ vtrinque legationes: tandémque conuenit inter pedites, qui iam antea regem nominarant, & equitum duces, vt Antipater in Europa belli imperator esset, Craterus regni Arridæi præfectus, Perdiccas verò legionis, quam Hephæstion duxerat, Chiliarchus (quod quidem regni totius erat procurationem illi, tutelámque committere) Meleager denique Perdiccæ vicarium præfectum ageret. Cum itaque postea exercitum [b] lustrare Perdiccas simularet, seditionis auctores præcipuos comprehendit, comprehensósque, tanquam iubente Arridæo: ipsóque inspectante, [c] occidit. quo ex facto terror reliquos peruasit. Post paulo & Meleagrum interfecit. Hinc suspectus omnibus Perdiccas, cæteros quoque ipse suspectos habere cœpit: quos tamen ad præfecturas nihilo secius, tanquam Arridæo iubente, prouehere statuit. Et verò Ptolemæus Lagi F. Ægypto & Africæ, omníque illi Arabiæ parti quæ Ægypto adiacet, imperare iussus est. Cleomenes autem, qui ab Alexandro Satrapa ibi constitutus fuerat, Ptolemæi vicarius præfectus fit. Syriæ deinde quæ huic satrapiæ subiacet, Laomedon impositus. Philotas Ciliciæ præfectus est, vt [d] Pithon Mediæ. Eumenes verò Cardianus Cappadociam & Paphlagoniam, quæque Ponto adiacent Euxino suscepit, ad vsque Trapezuntem Sinopensium coloniam. Pamphylis, & Lyciis, magnæque Phrygiæ Antigonus datus. Cares Cassandro obuenerunt; Lydi Menandro: vt Leonnato illa Phrygia, [e] quæ pertinet ad Hellespontum, quam ab ipso Alexandro [f] Calas quidam nomine obtinebat, etsi deinde Demarcho commissa fuerit. Ita tunc Asia est distributa.

Per Europam verò, Thraciæ quidem & Cherroneso, gentibúsque Thraciæ finitimis, vsque ad mare quod Salmydessum Ponti Euxini vrbem attingit, Lysimachus præfectus datus. At quæ vltra Thraciam vsque ad Illyricos, Triballos, & Agrianos pertinēt; ipsaq; adeo Macedonia, & Epirus ad Ceraunios vsq; montes pertingens, cū Græcia vniuersa Cratero, & Antipatro obuenerūt. Ita hęc diuisio facta: nam plurima loca, vt ab Alexandro relicta erāt, indigenis parentia pręfectis, indiuisa permanserunt. Interea & Roxana prægnans parit filium, quem mox regem militaris turba renuntiauit:

a Dexippus sup. Cod. LXXXII. vnica tantum canina litera Aridæum nominat.

b Velut quasi expiare dicas Caussa ritum notatu dignum apud Curtium leges lib. X. sub fin.

c Quando elephantis in conspectu exercitus obiecti trecenti, omnes belluarũ pedibus proteriti sunt, Curt. lib. X.

d Credo Crateuæ F. non Agenoris F. Colonis Macedonum in Indos præfuit.

e Quæ & Phrygia minor [illegible] lib. 13. [illegible]

f Curtius lib. 3. initio Calam hunc Paphlagoniæ, & [illegible] ab Alexandro præpositum ait.

ΤΟΥ ΑΥΤΟΥ ΤΑ ΜΕΤΑ ΑΛΕξανδρον ἐν λόγοις ι.

ϟβ'.

ΣΥΝΕΓΡΑΦΗ δὲ αὐτῷ καὶ τὰ μετ' Ἀλέξανδρον ἐν λόγοις δέκα. ἐν οἷς διαλαμβάνει τήν τε στάσιν τῆς στρατιᾶς, καὶ τὴν ἀνάρρησιν Ἀρριδαίου, ὃς ἐκ Φιλίννης τῆς Θεσσαλῆς Φιλίππῳ τῷ Ἀλεξάνδρου πατρὶ ἐγεγέννητο, ἐφ' ᾧ καὶ Ἀλέξανδρον, ὃν ἔμελλεν ἐξ Ἀλεξάνδρου τίκτειν Ῥωξάνη, συμβασιλεύειν αὐτῷ. ὃ καὶ γέγονεν, εἰς φῶς ἀχθέντος τοῦ παιδός. τὸν Ἀρριδαῖον γὰρ ἀνειπόντες, μετονόμασαν Φίλιππον. διεφέρετο δὲ ἐς ἀλλήλους τό τε πεζὸν καὶ τὸ ἱππικόν. ὧν οἱ μέγιστοι τῶν ἱππέων καὶ τῶν ἡγεμόνων Περδίκκας ὁ Ὀρόντου, καὶ Λεοννάτος ὁ Ἄνθους, καὶ Πτολεμαῖος ὁ Λάγου. τῶν δὲ μετ' ἐκείνους, Λυσίμαχός τε ὁ Ἀγαθοκλέους, καὶ Ἀριστόνους ὁ Πεισαίου, καὶ Πίθων ὁ τοῦ *Κρατέα, καὶ Σέλευκος ὁ Ἀντιόχου, καὶ Εὐμένης ὁ Καρδιανός· οὗτοι μὲν οὖν ἡγεμόνες τῶν ἱππέων. [καὶ] Μελέαγρος δὲ τῶν πεζῶν. εἶτα διεπρεσβεύοντο πρὸς ἀλλήλους πολλάκις. καὶ τέλος συμβαίνουσιν οἵ τε τὸν βασιλέα *ἀνειπόντες πεζοὶ, καὶ οἱ τῶν ἱππέων ἡγεμόνες· ἐφ' ᾧ Ἀντίπατρον μὲν στρατηγὸν εἶναι τῶν κατὰ τὴν Εὐρώπην, Κρατερὸν δὲ προστάτην τῆς Ἀρριδαίου βασιλείας, Περδίκκαν δὲ χιλιαρχεῖν χιλιαρχίας, ἧς ἦρχεν Ἡφαιστίων· τὸ δὲ ἦν ἐπιτροπὴ τῆς *ὅλης βασιλείας· Μελέαγρον δὲ ὕπαρχον Περδίκκου. Περδίκκας δὲ τὸν στρατὸν καθᾶραι *σκηψάμενος, τοὺς ἐπιφανεστάτους τῆς γενομένης συνέλαβε στάσεως. καὶ συλλαβὼν ὡς ἐκ προστάξεως Ἀρριδαίου αὐτοῦ παρόντος, ἀνεῖλε δέος ἐμποιήσας τῷ λοιπῷ πλήθει. ἀναιρεῖ δὲ οὐ πολλῷ ὕστερον καὶ Μελέαγρον. ἐξ ὧν Περδίκκας ὕποπτος ἐς πάντας ἦν, καὶ αὐτὸς ὑπώπτευεν. ὅμως ἐς σατραπείας ἀνειπεῖν, ὡς ὑποπτεύοντας Ἀρριδαίου κελεύοντος, ἔγνω. καὶ δὴ Πτολεμαῖος μὲν ὁ Λάγου, Αἰγύπτου καὶ Λιβύης, καὶ ὅσα τῆς Ἀράβων γῆς ξυνόρα Αἰγύπτῳ, ἀρχὴν *ἐπετάχθη· Κλεομένης δὲ, ὁ ἐξ Ἀλεξάνδρου τῆς σατραπείας ταύτης ἀρχὴν τεταγμένος, Πτολεμαίῳ ὕπαρχος εἶναι. τῆς δὲ ἐπ' αὐτῇ Συρίας, Λαομέδων· Φιλώτας δὲ Κιλικίας, καὶ Πίθων Μηδείας· Εὐμένης δὲ ὁ Καρδιανὸς Καππαδοκίας καὶ Παφλαγονίας, καὶ ὅσα τοῦ πόντου τοῦ Εὐξείνου συνεχῆ *ἔσται ἐπὶ πόλιν Τραπεζοῦντα Σινωπέων ἄποικον· Παμφύλων δὲ, καὶ Λυκίων, καὶ Φρυγίας τῆς μεγάλης Ἀντίγονος. Καρῶν καὶ Κάσανδρος. Λυδῶν δὲ Μένανδρος. τῆς δὲ ἐφ' Ἑλλησπόντῳ Φρυγίας Λεοννάτος, *ὃν ἐξ Ἀλεξάνδρου μὲν Κάλας ὄνομα κατέχει, ἔπειτα Δήμαρχος ἐπετέτραπτο. τὰ μὲν οὖν κατὰ τὴν Ἀσίαν ὧδε ἐνεμήθη. τῶν δὲ κατὰ τὴν Εὐρώπην, Θρᾴκης μὲν καὶ Χερρονήσου, καὶ ὅσα Θρᾳξὶ σύνορα ἔθνη, ἔς τε ἐπὶ θάλασσαν τὴν ἐπὶ Σαλμυδησσὸν τοῦ Εὐξείνου πόντου καθήκοντα, Λυσιμάχῳ ἡ ἀρχὴ *ἐπετέτραπτο· τὰ δὲ ἐπέκεινα τῆς Θρᾴκης, ὡς ἐπὶ Ἰλλυριοὺς καὶ Τριβαλλοὺς καὶ Ἀγριᾶνας, καὶ αὐτὴ Μακεδονία καὶ ἡ Ἤπειρος *ὡς ἐπὶ τὰ ὄρη τὰ Κεραύνια ἀνήκουσα, καὶ οἱ Ἕλληνες *σύμπαντες, Κρατερῷ καὶ Ἀντιπάτρῳ ἐνεμήθη. καὶ ἡ μὲν νέμησις αὕτη. πολλὰ δὲ καὶ ἀδιανέμητα ἔμεινεν ὑπὸ τῶν ἐγχωρίων ἀρχόντων, ὡς ἐτάχθησαν ὑπὸ Ἀλεξάνδρου ἡγούμενα. ἐν τούτῳ Ῥωξάνη κύει, καὶ τίκτει· καὶ εἰς βασιλέα τὸ τεχθὲν ἀνεῖπε τὸ πλῆθος

Arrianus de iis quæ post Alexandrum gesta.

* Κρατέου.
* ἀνέντες.
* ξυμπάσης.
* σκηψάμενος.
* ἐτάχθη.
* ἐς ὃ ὑπὸ.
* al. τὴν.
* ἐπετράπη.
* al. ἡ.
* ἄπαντες.

στάσιων

στάσεων δὲ, μετὰ τὸν Ἀλεξάνδρου θάνατον, πάντα ἐπλήρωσε. καὶ πολεμεῖ Ἀντίπατρος πρός τε Ἀθηναίους καὶ τοὺς ἄλλους Ἕλληνας, Λεωσθένους αὐτοῖς στρατηγοῦντος. καὶ τὰ πρῶτα ἡττώμενος, καὶ εἰς ἀπορίαν* συγκλειόμενος, ὕστερον ἐκράτει. ἀλλὰ πίπτει καὶ Λεοννάτος ἐπιβοηθεῖν δοκῶν Ἀντιπάτρῳ. καὶ Λυσίμαχος δὲ Σεύθῃ τῷ Θρᾳκὶ πολεμῶν ὑπὲρ τῆς ἀρχῆς παραβόλως, σὺν ὀλίγοις γὰρ, καὶ εὐδοκιμῶν ὅμως ἀνῃρέθη. πολεμεῖ δὲ καὶ Περδίκκας Ἀριαράθῃ τῷ Καππαδοκίας, ὅτι Εὐμενεῖ, ἄρχειν ἐπιτεταγμένῳ, τῆς ἀρχῆς οὐκ ἐξίστατο· καὶ δυσὶ νικήσας μάχαις καὶ συλλαβὼν, ἐκρέμασεν, Εὐμενεῖ τὴν ἀρχὴν ἀποκαταστήσας. Κρατερὸς δὲ συμμαχῶν Ἀντιπάτρῳ κατὰ τῶν Ἑλλήνων αἴτιος τῆς νίκης, ἧς ἐνίκησαν αὐτοὺς, γίνεται. ἐξ οὗ καὶ ἅπαντα, ἅπερ αὐτοῖς Κρατερὸς ἐπέταττε καὶ Ἀντίπατρος, ἀπροφασίστως ἐπράττετο. καὶ ταῦτα μέχρι τοῦ πέμπτου βιβλίου. ἐν δὲ τῷ ἕκτῳ διαλαμβάνει, ὅπως οἱ ἐξ Ἀθηνῶν, οἱ ἀμφὶ Δημοσθένην καὶ Ὑπερείδην, ἔφυγον. Ἀριστόνικός τε ὁ Μαραθώνιος, καὶ Ἱμεραῖος ὁ Δημητρίου τοῦ Φαληρέως ἀδελφὸς, τὰ μὲν πρῶτα εἰς Αἴγιναν· ἐκεῖ δὲ διαγόντων, θάνατον αὐτῶν κατέγνω τὸ Ἀθηναίων πλῆθος, εἰπόντος Δημάδου· καὶ Ἀντίπατρος εἰς ἔργον ἤγαγε τὸ ψήφισμα. καὶ ὡς Ἀρχίας ὁ Θούριος εἰς τὸν θάνατον αὐτῶν ὑπουργήσας, ἐν ἐσχάτῃ πενίᾳ καὶ ἀτιμίᾳ καταστρέψας, ἐτελεύτησε τὸν βίον. καὶ ὡς Δημάδης, οὐ πολλῷ ὕστερον εἰς Μακεδονίαν ἀχθεὶς, ὑπὸ Κασάνδρου ἐσφάγη, τοῦ παιδὸς ἐν τοῖς κόλποις προαποσφαγέντος. αἰτίαν δ' *ἐπήνεγκε Κάσανδρος, ὅτι τὸν αὐτοῦ πατέρα ἐξύβρισεν, ἐν οἷς ἔγραψε Περδίκκᾳ, σώζειν τοὺς Ἕλληνας ἀπὸ σαπροῦ καὶ παλαιοῦ στήμονος ἠρτημένους· οὕτω τὸν Ἀντίπατρον ἐπιχλευάζων. Δείναρχος δὲ ὁ Κορίνθιος, ὁ κατήγορος ἦν. ἀλλ' ὅ γε Δημάδης τῆς αὐτοῦ δωροδοκίας καὶ προδοσίας, καὶ ἐς πάντα ἀπιστίας, τὴν ἀξίαν ἀπέτισε δίκην. διαλαμβάνει δὲ καὶ ὡς Θίβρων ὁ Λακεδαιμόνιος Ἅρπαλον (τὸν τὰ Ἀλεξάνδρου χρήματα, ζῶντος ἐκείνου, ἁρπάσαντα, καὶ φυγόντα πρὸς τὰς Ἀθήνας) τοῦτον ἐκεῖνος ἀποκτείνας, καὶ ὅσα * ἀπελείπετο λαβὼν χρήματα, πρῶτα μὲν ἐπὶ Κυδωνίας * τὴν ἐπὶ Κρήτης ἐστάλη· ἔνθεν δὲ εἰς Κυρήνην διέβαλε μετὰ στρατιᾶς εἰς ἑξακισχιλίους συντελούσης. ἐπῆγον δὲ αὐτὸν τῶν ἐκ Κυρήνης καὶ Βαρκαίων οἱ φυγάδες. ἐν οἷς πολλαῖς μὲν μάχαις, πολλαῖς δὲ ἐπιβουλαῖς, ἄλλοτε μὲν κρατῶν, ἐνίοτε δὲ ἡττώμενος. τέλος φεύγων, ὑπὸ Λιβύων τινῶν συνωρίδας ἀγόντων συνελήφθη, καὶ παρ' Ἐπικύδην ἄγεται τὸν Ὀλύνθιον εἰς Τεύχειρα, ᾧ τὴν πόλιν ἐκείνην Ὀφέλλας * ἐπετετρόφει, ἀνὴρ Μακεδὼν, ὃς ὑπὸ Πτολεμαίου τοῦ Λάγου ἐπὶ βοηθείᾳ τῶν Κυρηναίων ἐτύγχανε σταλείς. οἱ δὲ Τευχεῖται, * Ὀφέλλα τὴν ἐξουσίαν δόντος, ᾐκίσαντό τε τὸν Θίβρωνα, καὶ εἰς τὸν τῶν Κυρηναίων ἔπεμψαν κρεμασθησόμενον λιμένα. ἔτι δὲ τῶν ἀεὶ Κυρηναίων στασιαζόντων, Πτολεμαῖος * ἐπελθὼν, καὶ πάντα καταστησάμενος, ὀπίσω ἀπέπλευσε. Περδίκκας δὲ Ἀντιγόνῳ ἐπιβουλεύων εἰς δικαστήριον ἐκάλει· ὁ δὲ εἰδὼς ἐπιβουλευόμενος,

* Λαμίαν.
* ἐπῆγε.
* ἐπελείπετο.
* τῆς ἐν Κρήτῃ.
* al. ἐπετετρόπευε.
* Ὀφέλλα.
* ἐπελθών.

ARRIANVS.

& seditionibus ab Alexandri excessu omnia replebantur. Etenim Antipater cum Atheniensibus, cæteráque Græcia, quam Leosthenes Imperator defendebat, bellum gessit: primúmque victus, & in angustias adductus, superior tandem euasit, amisso tamen Leonnato, qui suppetias Antipatro attulerat. Lysimachus quoque cum Seutha Thrace nimis audacter conflixit pro imperio. Cum paucis enim pugnans, etsi strenuè se gereret, tamen confectus est. Perdiccas item cum Ariarathe Cappadociæ præfecto conseruit, quod Eumeni ibi imperare iusso non cessisset. vno itaque hic & altero prœlio superior, captum illum suspendit, Eumenémque in regnum restituit. Craterus verò Antipatro portans aduersus Græciam auxiliares copias, victoriæ illius auctor, qua victi Græci, exstitit. Quamobrem vtrique dicto audientes, imperata deinceps absque tergiuersatione fecerunt. Et hæc quidem libris quinque complectitur.

Sextus refert Demosthenem & Hyperidem Athenienses fugisse, Aristonicum item Marathonium, & Himeræum Demetrij Phalerei fratrem, Æginámque primum venisse, vbi dum versarentur, orante Demade, capitis sententia ab Atheniensibus damnatos, quod decretum Antipater perficiendum curarit. Deinde vt Archias Thurius, qui eorum necem perpetrarat, ad extremam redactus inopiam atque infamiam, vita decesserit: vtque Demades non ita multo post in Macedoniam delatus, à Casandro interfectus sit, eius primum filio in sinu & oculis parentis iugulato. Causam verò cædis Casandrum allegare, quod parentem suum Demades olim iniuria affecisset, cum Perdiccæ scripsit, vt Græcos è putrido ac vetere filo pendentes seruare vellet; Antipatrum nimirum his verbis irridendo. [a] Dinarchum Corinthium horum indicium fecisse, atque ita Demadem aliquando auaritiæ ac proditionis, & in re quaque perfidiæ, meritas dedisse pœnas.

Refert etiam hæc. Thibro Lacedæmonius Harpalum, (qui superstite etiamnum Alexandro opes eius furatus, Athenas se receperat) [b] interemit, & sublato quidquid illi pecuniarum reliquum erat, primùm quidem in Cydoniam Cretæ vrbem venit: sed deinde in Cyrenem cum exercitu sex millium traiecit, accersitus ab Cyrenensium [c] Barcensiúmq; exsulibus. Apud quos dum variis pugnis, variisque insidiis, interdum vincit, interdum vincitur, in fuga tandem ab Afris quibusdam bigas agentibus comprehensus, ad Epicydem Olynthium [d] Teuchiram adducitur. Huic enim vrbem illam curandam commiserat Ophellas, vir Macedo, qui à Ptolemæo Lagi F. Cyrenæis auxilio missus fuerat. Teucheritæ ergo, Ophella illis permittente, Tibronem flagellis cæsum, in Cyrenensium portum de cruce suspendendum mittunt. At cum Cyrenæi nihilominus in rebellione perstarent, ipse denique Ptolemæus accessit, rebúsque omnibus tranquillatis, retro domum adnauigauit.

Perdiccas insuper Antigonũ insidiosè in ius vocabat, verum ille, vt peti se insidiis cognouit,

a vide Inf. Cod. cclxvii. & Plutarch. lib. decem Græcia Oratorum.

b Pausanias tamen in Corinthiacis à seruo interfectum scripsit.

c A Barce (quæ post Ptolemais dicta Geographis) Barcæi appellati Marciani Barcitæ Ptolemæo, Barcæi Synesio. hinc etiam Barceos deriuatur. Vide Steph.

d Quæ Ptolemæo & Mela Arsinoe est Cyrenaicæ ipse autem regio Plinio Pentapolis Lybiæ dicitur.

ARRIANVS.

parere recusauit : atque hinc ortæ inuicem inimicitiæ. Hoc item tempore è Macedonia [a] Iollas & Archias ad Perdiccam venerunt, adducta in vxorem illi Nicæa Antipatri filia. [b] Quin & Olympias, Magni Alexandri mater, mittit ad eundem, despondétque Cleopatram filiam. Ibi Eumenes Cardianus Cleopatram ducere suadebat: Alcetæ verò fratris consilium ad Nicææ magis nuptias inclinabat, cuius item sententia peruicit. Post non diu [c] Cynanes cædes accidit, quam Perdiccas, eiusque frater Alcetas intulerunt.

Hæc Cynane eundem cum Alexandro patrem Philippum habuit, sed matrem [d] Eurydicen, atque Amyntæ illius vxor fuit, quem Alexander è medio sustulit, cum in Asiam, expeditione suscepta, moueret: Idem autem ille interemptus Amyntas, Perdiccæ Philippi fratris filius, Alexandri patruelis erat. Nunc itaque Cynane filiam suam Adean, quæ post Eurydices cognomen tulit, Arridæo vxorem adducebat, quam & postea duxit, ipso transigente Perdicca, quo per illas nuptias Macedonum sedaretur seditio, quæ ob sublatam Cynanem accensa, abibat in deterius. Antigonus interim in Macedoniam ad Antipatrum, & Craterum profugit, sibique à Perdicca structas insidias exponit, ac tãtumdem cum in omnes studiosè meditari affirmat. Similiter & Cynanes infortunium tragicè exaggerat. quibus ita expositis, ad bellum ipsos contra Perdiccam gerendum inflaminat.

Arridæus quoque Alexandri apud se corpus seruans, repugnante Perdicca, ad Ptolemæum Lagi F. [e] accepto corpore proficiscitur, à Babylone per Damascum in Ægyptum iter habens. qui sæpenumero licet à Polemone Perdiccæ familiari impeditus, peruicit tamen, re ex animi sui sententia gesta.

Interea Eumenes Perdiccæ munera Sardeis ad Cleopatram attulit : decretúmque iam esse Perdiccę, Nicęa repudiata, eius in locum Cleopatram ducere, quod vbi innotuit (Menander Lydiæ Satrapa Antigono significauit, & per eum Antipatro quoque & Cratero res publicata) eo etiam vehementius illi ad Perdiccam bello persequendum incitati sunt. Antipater itaque & Craterus è Cherroneso Hellespontum traiiciunt, traiectus custodibus clam per legatos deceptis. Mittuntur & ab his ad Eumenem ac Neoptolemum, Perdiccæ obnoxios, legati : quibus Neoptolemus quidem assentitur, Eumenes verò minimè.

Hinc Eumeni suspectus esse cœpit Neoptolemus, & bellum inter se gerunt. quo in bello viribus superante Eumene, fugit cum paucis Neoptolemus ad Antipatrum Craterúmque, quibus & persuadet, vt sibi in bello aduersus Eumenem socius Craterus daretur. Nec mora, prælio vtrique cum Eumene confligunt. Dedit verò operã omnem Eumenes, vt ignorarent sui Craterum aduersus se belligerare: ne fama adducti, vel castris suis desertis, ad illum transirẽt, vel certè apud se manentes, audaciores minus essent. qui cum illi dolus atq; astus processisset, prœlio quoque victor euasit. Ergo Neoptolemus ipsius Eumenis scribæ manu cæsus cecidit,

[a] Antipatri filiam, natu minimus, qui Alexandro venenum propinasse traditur ab Arriano ipso, aliisque.
[b] Iustin. hoc aliter paulò, esse vtramque quæsitam, venitam acquisitam lib. 13.
[c] In edito Arriano hęc Cyna vocatur, Athenæo Cynna lib. 13. Lege de ea Polyæn. sub fin. lib. 8.
[d] Athenæus lib. 13. inditio ex Audata Illyrica susceptam Cynanam scripsit.
[e] Moribundus enim amicis præceperat vt corpus suum ad Ammonis ferri iuberent. Memphim tamen à Ptolemæo translatum est, & inde paucis post annis Alexandriam. Curt. lib. X.

οὔτε ὑπήκουσε, καὶ εἰς ἔχθραν ἀλλήλοις κατέστησαν. ἐν τούτῳ δὲ παρὰ τὸν Περδίκκαν ἐκ Μακεδονίας ἧκον Ἰόλλας τε καὶ Ἀρχίας, ἄγοντες αὐτῷ τὴν Ἀντιπάτρου παῖδα Νίκαιαν εἰς γυναῖκα. ἀλλά γε καὶ Ὀλυμπιάς, ἡ Ἀλεξάνδρου μήτηρ, ἔπεμπε παρ' αὐτὸν κατεγγυωμένη τὴν θυγατέρα Κλεοπάτραν· καὶ ὁ μὲν Εὐμένης ὁ Καρδιανὸς συνεβούλευεν ἄγειν Κλεοπάτραν. * Ἀλκετίᾳ δὲ τῷ ἀδελφῷ εἰς Νίκαιαν ἔτεινεν ἡ συμβουλή· καὶ νικᾷ τὸ Νίκαιαν μᾶλλον ἀγαγεῖν. οὐ πολὺ δὲ ὕστερον καὶ τὸ περὶ Κυνάνην πάθος συνηνέχθη, ὃ Περδίκκας τε καὶ ὁ ἀδελφὸς * Ἀλκετίας διεπράξαντο. ἡ δὲ Κυνάνη Φίλιππον μὲν εἶχε πατέρα, ὃν καὶ Ἀλέξανδρος, ἐκ δὲ μητρὸς Εὐρυδίκης ἦν, γυνὴ δὲ Ἀμύντου, ὃν ἔφθη Ἀλέξανδρος κτεῖναι, * ὅτε εἰς τὴν Ἀσίαν διέβαινεν. οὗτος δὲ Περδίκκου παῖς ἦν, ἀδελφὸς δὲ Φιλίππου Περδίκκας· ὡς εἶναι Ἀμύνταν τὸν ἀνῃρημένον Ἀλεξάνδρου ἀνεψιόν. ἦγε δὲ ἡ Κυνάνη Ἀδέαν τὴν αὐτῆς θυγατέρα, ἥτις ὕστερον Εὐρυδίκη μετωνομάσθη, τῷ Ἀρριδαίῳ εἰς γυναῖκα, ἣν καὶ ὕστερον ἠγάγετο Περδίκκα * διαπραξαμένου, ἐφ' ᾧ παῦσαι τὴν Μακεδόνων στάσιν· ἥτις ἐπὶ τῷ Κυνάνης πάθει ἀναφθεῖσα, ἐπὶ μέγα κακὸν προεχώρει. Ἀντίγονος δὲ ἐς Μακεδονίαν, παρὰ Ἀντίπατρον καὶ Κρατερὸν ἔφυγε, καὶ τὴν εἰς αὐτὸν ἐπιβουλήν, ἣν Περδίκκας ἐβούλευε, διηγήσατο· καὶ ὡς κατὰ πάντων ἡ αὐτὴ αὐτῷ μελέτη σπουδάζεται. ἀνεδίδαξέ τε καὶ τὸ τῆς Κυνάνης ἐκτραγῳδήσας πάθος. καὶ ταῦτα διαθέμενος, εἰς πόλεμον αὐτοὺς τούτοις κατέστησε. καὶ Ἀρριδαῖος δὲ ὁ τοῦ Ἀλεξάνδρου σῶμα φυλάσσων, παρὰ γνώμην αὐτὸ Περδίκκου λαβών, πρὸς Πτολεμαῖον παραγίνεται τὸν Λάγου, ἀπὸ Βαβυλῶνος διὰ Δαμασκοῦ ἐπ' Αἴγυπτον ἐλαύνων. ὃς πολλὰ μὲν ὑπὸ Πολέμωνος τοῦ προσῳκειωμένου Περδίκκᾳ κωλυθείς, ἐνίκησεν ὅμως [εἰς] τὸ τὴν ἑαυτοῦ γνώμην εἰς ἔργον ἐξενεγκεῖν. ἐν τούτῳ δὲ καὶ Εὐμένης παρὰ Περδίκκου δῶρα πρὸς Κλεοπάτραν εἰς Σάρδεις ἐκόμισε. καὶ ὅτι ἐγνωσμένον εἴη Περδίκκᾳ Νίκαιαν μὲν ἐκπέμπειν, ἀντ' ἐκείνης δὲ ταύτην ἄγεσθαι. οὗ μηνυθέντος Μένανδρος δὲ ὁ Λυδίας σατράπης ἐμήνυσεν Ἀντιγόνῳ, καὶ δι' αὐτοῦ τοῖς περὶ Ἀντίπατρον καὶ Κρατερὸν δημοσιωθέντος: ἐπὶ μᾶλλον αὐτοῖς τὰ πρὸς Περδίκκαν ἐξεπολεμώθη. περαιοῦνται δὲ Ἀντίπατρος καὶ Κρατερὸς ἀπὸ τῆς Χερρονήσου τὸν Ἑλλήσποντον, τοὺς * τὸν πόρον φυλάσσοντας [καὶ] διὰ πρεσβείας ὑπαγόμενοι. πρεσβεύονται δὲ καὶ πρὸς Εὐμένη καὶ πρὸς Νεοπτόλεμον, τοὺς ὑπὸ Περδίκκαν. καὶ Νεοπτόλεμος μὲν πείθεται, Εὐμένης δὲ οὐκ ἀνέχεται. ὑποπτεύεται Εὐμένει Νεοπτόλεμος, καὶ συγκροτεῖται πρὸς ἀλλήλους πόλεμος, καὶ νικᾷ κατακράτος Εὐμένης. φεύγει δὲ Νεοπτόλεμος παρὰ Ἀντίπατρον καὶ Κρατερὸν σὺν ὀλίγοις. καὶ πείθει τούτους, ἐπὶ συμμαχίαν κατ' Εὐμένους ἐλθεῖν αὐτῷ Κρατερόν· καὶ πολεμοῦσιν ἄμφω Εὐμένει· καὶ πάντα ποιήσας Εὐμένης, ὥς τε λαθεῖν τοὺς σὺν αὐτῷ, Κρατερὸν αὐτῷ πολεμεῖν. ἵνα μὴ τῇ περὶ αὐτοῦ ἁλόντες φήμῃ, ἢ προσχωρήσωσιν αὐτῷ· ἢ καὶ μένοντες, ἀτολμότεροι εἶεν. καὶ κρατήσας τοῖς τεχνάσμασι, κρατεῖ καὶ τῷ πολέμῳ· καὶ * πίπτει μὲν Νεοπτόλεμος τῇ αὐτοῦ Εὐμένους τοῦ γραμματέως δεξιᾷ,

αὐτ

* Ἀλκέτᾳ.
* Ἀλκέτας.
* ἐπεὶ.
* διαταξαμένου.
* [illegible]

ἀνὴρ στρατιωτικὸς, καὶ πολέμοις ἐνδόξως Κρατερὸς δὲ ὑπό τινων Παφλαγόνων, ἀφειδῶς πρὸς πάντα μαχόμενος, καὶ χωρῶν, ὥς τε γνωσθῆναι. ἀλλ' ἔφθη πεσὼν μὴ γνωσθεὶς, καίτοι καὶ τὴν καυσίαν τῆς κεφαλῆς ἀφελών. ἡ μέντοι πεζὴ στρατιὰ σώα πρὸς Ἀντίπατρον ἐκ τοῦ πολέμου περιεσώθη, ὃ καὶ πολὺ τῆς ἀθυμίας ἐπεκούφισε. παραγίνεται ἀπὸ Δαμασκοῦ Περδίκκας ἐπ' Αἴγυπτον σὺν τοῖς βασιλεῦσι καὶ τῇ δυνάμει, Πτολεμαίῳ πολεμήσων. κατηγορήσας δὲ Πτο-
5 λεμαίου, κἀκείνου ἐπὶ τὸ πλῆθος ἀπολυομένου τὰς αἰτίας, καὶ δόξας μὴ δίκαια ἐπικαλεῖν: ὅμως, καὶ τοῦ πλήθους οὐχ ἑκόντος, πολεμεῖ. καὶ δὶς ἡττηθεὶς, καὶ τραχὺς * τοῖς παρὰ Πτολεμαῖον * θελήσασι χωρῆσαι λίαν καταστὰς, καὶ τὰ ἄλλα τῇ στρατιᾷ ὑπερογκότερος ἢ κατὰ στρατηγὸν προσφερόμενος: ὑπὸ τοῦ οἰκείου πλήθους τῶν ἱππέων ἀναιρεῖται, μαχόμενος καὶ αὐτός. Πτολεμαῖος δὲ μετὰ τὴν ἀναίρεσιν Περδίκκου, πρός τε τοὺς βασιλεῖς ἐπεραιώθη τὸν Νεῖλον· καὶ δώροις φιλοφρονησάμενος, καὶ τῇ ἄλλῃ θεραπείᾳ· οὐ μόνον δὲ, ἀλλὰ καὶ τοὺς, ὅσοι ἐν τέλει Μακεδόνων· ὁ δὲ καὶ τοῖς Περδίκκου φίλοις συναχθόμενός τε δῆλος ἐγένετο, καὶ ὅσοις τι κινδύνου αἴτιον ἐκ Μακεδόνων ὑπελείπετο, καὶ τούτους ἀπαλλάξαι τοῦ δέους, παντὶ τρόπῳ διεσπούδασεν. ἐφ' οἷς παραυτίκα τε, καὶ ἐς τὸ ἔπειτα, εὐδοκιμῶν ἐγνωρίζετο. συνεδρίου δὲ κροτηθέντος, ἄρχοντες μὲν τῆς πάσης δυνάμεως ἀντὶ Περδίκκου [καὶ] Πίθων καὶ Ἀρριδαῖος ἐν τῷ τέως ἀνερρήθησαν: τῶν δὲ περὶ Εὐμένη τε καὶ * Ἀλκέτα, ἐς πεντήκοντα κατεγνώσθησαν· μάλιστα ἐπὶ τῇ τοῦ Κρατεροῦ ' τῶν Μακεδόνων πρὸς αὐτοὺς * ἐκπολεμηθέντων. μετεκαλεῖτο δὲ καὶ Ἀντίγονος ἐκ Κύπρου, καὶ Ἀντίπατρος δὲ, ἐπιταχῦναι πρὸς τοὺς βασιλέας. οὔπω δὲ καταλαβόντων: ἡ Εὐρυδίκη Πίθωνα καὶ Ἀρριδαῖον μηδὲν ἄνευ αὐτῆς ἠξίου πράττειν. οἱ δὲ τὰ πρῶτα μὲν οὐκ ἀντέλεγον: ἔπειτα δὲ μηδὲν αὐτῇ ἐπικοινωνεῖν τοῖς δημοσίοις ἀντέλεγον πράγμασιν: αὐτοῖς γὰρ, ἕως Ἀντίγονος καὶ Ἀντίπατρος παραγίνονται, μελήσειν περὶ πάντων. ὧν παραγεγονότων, εἰς Ἀντίπατρον ἡ δυναστεία περιΐσταται. καὶ ὁ στρατὸς αἰτεῖ τὰ παρὰ Ἀλεξάνδρου ὑποσχεθέντα αὐτοῖς ἐπὶ τῇ * στρατείᾳ χρήματα. καὶ Ἀντίπατρος παραυτίκα μὲν μηδὲν * ἔχειν, ἀποκρίνεται φράζειν ἀκριβές. ἐξετάσας δὲ τούς τε βασιλείους θησαυροὺς, καὶ τοὺς ὅσοι ἀλλαχόθι που κείμενοι ὦσι, τηνικαῦτα τὸν δυνατὸν τρόπον· μὴ ἂν αὐτοῖς ἐπιμεμπτὸς νομισθῆναι. ἐφ' * ὧν οὐχ ἡδέως ἡ στρατιὰ ἤκουσεν. Εὐρυδίκης δὲ συλλαμβανούσης ταῖς κατὰ Ἀντιπάτρου διαβολαῖς, τοῦ ὑπὸ τοῦ πλήθους ἄχθει, στάσις γίνεται. καὶ δημηγορεῖ Εὐρυδίκη κατ' αὐτοῦ, τοῦ γραμματέως Ἀσκληπιοδώρου ὑπηρετησαμένου τοῦ λόγου· καὶ Ἄτταλος δέ: καὶ ῥύεται μόλις Ἀντίπατρος τῆς σφαγῆς· Ἀντιγόνου καὶ Σελεύκου, τῇ παρακλήσει Ἀντιπάτρου, ἀντιδημηγορησάντων ἐν τῷ πλήθει· οἳ καὶ αὐτοὶ διὰ τοῦτο ἐγγὺς ἦλθον τοῦ κινδύνου. ῥυσθεὶς δὲ Ἀντίπατρος τοῦ θανάτου, πρὸς τὸ οἰκεῖον ὑπεχώρησε στρατόπεδον. καὶ οἱ ἵππαρχοι (Ἀντιπάτρου καλοῦντος) πρὸς αὐτὸν ἧκον. καὶ μόλις τῆς στάσεως πεπαυμένης,

* al. τ. ἴσ.
* θελήσασι.
* Ἀλκέτου.
* ἀναιρέσει.
* ἐκπολεμωθέντων.
al. ὧν.

Index vero ac delator medicus ille fuit, quem Soræchus, vt Sinonidis vulnus curaret: clam submiserat. Capitur hoc nomine Soræchus, & ad Garmum adducitur. Mittitur & delator cum Damæ litteris, ad Veneris sacerdotem, quibus Sinonida comprehendere iubetur. Medicus ergo sacræ insulæ flumen permeans, seipsum de more camelo appendit, litterásque [iumenti] dextræ auri imponit. Verum delatore illo fluminis vndis merso, Camelus ad Insulam adnatauit: vbi Rhodanes rem totam didicit, sublata è iumenti aure Damæ epistola. Quare fuga inde se proripiunt, occurrúntque Soræcho ad Garmum regem ducto, & vna in hospitium diuertunt. ibi noctu Rhodanes auri cupiditate iniecta. facilè persuadet, Soræchi vt custodes iugulentur. [quo facinore perpetrato,] fugit cum his Soræchus, mutuam hanc prioris suæ beneficentiæ mercedē nactus, Porro Damas comprehendit Veneris sacerdotem, & de Sinonide quæstionem instituit: atque vbi tandem sententia condemnatus est senex, vt è sacerdote carnifex efficiatur, mores quoque carnificis ac consuetudines Euphrates discit. Pater, idémque sacerdos, Euphratem pro Rhodane habet, appellátque. Fugit & soror Euphratis Mesopotamia. Dein ad Sacan Euphrates ipse adducitur, interrogatúrque de Sinonide: pro Rhodane enim habebatur, atque examinabatur. Indicat ergo Sacas Garmo regi captum esse Rhodanem, capiendam quoque propediem Sinonida. Euphrates enim quasi Rhodanes esset, in iudicio respondet, Sinonida, dum ipse caperetur, fugisse. coactus nimirum & ipse Sinonida appellare sororem suam Mesopotamiam.

Rhodanes interim & Sinonis vna cum Soræcho in fugā versi agricolæ tuguriū subeunt, cui filia erat eleganti forma, nuper admodum viduata viro, eiúsque desiderio crines attonsa. Hæc torquem illam auream vendere mittitur, quam è vinculis Rhodanes atq; Sinonis attulerant. Verum ad aurifabrū agricolæ filia vt venit, puellæ hic venustate, & torquis parte, quā ipse fabricasset, detonsâq; coma cōspecta, ipsam esse Sinonida suspicatur. Mittit igitur ad Damam, assumptisq; custodibus, abscedentem puellā clam obseruat. Illa quid ageretur suspicata, in desertum se recipit domicilium: vbi & illa, quæ de puella quadā Trophima nomine, & de seruo amante, atq; homicida, itémque de mundo muliebri aureo narrantur, cōtigerunt: nefanda insuper illa serui facinora, quando & manus ille sibi intulit, vt rustici filia sanguine aspersa, metúq; percussa fugerit, territis æquè, & in fugam versis custodibus. Ad patrē itaque filia reuersa, narrat ea quæ acciderant. Quare fugam inde capessit Rhodanes. Litteræ autē ante hæc ad Garmum ab aurifabro missæ fuerant de reperta Sinonide: fidémq; fecerat, cum torques empta, atq; ad eum missa, tū cętera quę de rustici ille filia suspicādo cogitarat. Rhodanes hic, dū fuga sibi cōsulturus discedit, osculū rustici filiæ offert. Quamobrem ira Sinonis incăduit, dum in suspicionē primùm venit basij,

μηνυτὴς δ' ἦν αὐτὸς ὁ ἰατρὸς, ὃν ὁ Σόραιχος κρύφα πέμψας, τὸ τῆς Σινωνίδος ἐθεράπευε τραῦμα. συλλαμβάνεται * διὰ τοῦτο Σόραιχος, καὶ ἄγεται ἐπὶ Γάρμον. ἀποστέλλεται καὶ αὐτὸς ὁ μηνυτὴς, γράμμα Δάμα ἐπιφερόμενος πρὸς τὸν τῆς Ἀφροδίτης ἱερέα, ἐφ' ᾧ συλλαβεῖν τοὺς περὶ Σινωνίδα. διαβαίνει δὲ τὸν ποταμὸν ὁ ἰατρὸς τῆς ἱερᾶς, ἑαυτὸν ὡς ἔθος ἐξαρτήσας καμήλου, τὸ δὲ γράμμα τῷ δεξιῷ παρενθεὶς τῶν ὤτων· καὶ τέλος ὁ μηνυτὴς ἐναποπνίγεται τῷ ποταμῷ. διαβαίνει δὲ πρὸς τὴν νησίδα ἡ κάμηλος· καὶ πάντα μανθάνουσιν οἱ περὶ Ῥοδάνην, τὸ τοῦ Δάμα γράμμα τῶν ὤτων ἀνελόμενοι τῆς καμήλου φεύγουσιν ἐκεῖθεν διὰ τοῦτο· καὶ συναντῶσιν * ἀγόμενον Σόραιχον ἐπὶ Γάρμον, καὶ καταλύουσιν ἅμα ἐν πανδοχείῳ. καὶ τῇ τοῦ χρυσίου ἐπιθυμίᾳ νύκτωρ ἀναπείθει Ῥοδάνης· καὶ ἀναιροῦνται οἱ Σοραίχου φύλακες· καὶ φεύγει σὺν αὐτοῖς Σόραιχος. ἀμοιβὴν δῶρον τῆς προϋπαρξάσης εὐεργεσίας. συλλαμβάνει Δάμας τὸν τῆς Ἀφροδίτης ἱερέα, καὶ ἀνακρίνεται περὶ Σινωνίδος. καὶ τέλος κατακρίνεται δήμιος γενέσθαι ἀντὶ ἱερέως ὁ πρεσβύτης. καὶ τὰ περὶ τὸν δήμιον ἔθη καὶ νόμιμα συλλαμβάνεται Εὐφράτης. ὅτι ὁ πατὴρ καὶ ἱερεὺς, ὡς Ῥοδάνην αὐτὸν ὑπολαβὼν, οὕτως ἐκάλει· καὶ φεύγει Μεσοποταμία ἡ ἀδελφὴ, καὶ πρὸς τὸν Σάκαν ἀπάγεται Εὐφράτης, καὶ ἀνακρίνεται περὶ Σινωνίδος· ὡς γὰρ Ῥοδάνης ἠτάζετο. καὶ ἀποστέλλει Σάκας πρὸς Γάρμον, ὅτι Ῥοδάνης συνείληπται, καὶ Σινωνὶς συλληφθήσεται· ὁ γὰρ Εὐφράτης ὡς Ῥοδάνης ἐρωτώμενος, ἔφη, τῆς Σινωνίδα συλλαμβανομένου αὐτοῦ διαπεφευγέναι. Σινωνίδα καλεῖν κἀκεῖνος ἐκβιαζόμενος, τὴν ἀδελφὴν Μεσοποταμίαν.

Ὅτι οἱ περὶ Ῥοδάνην καὶ Σινωνίδα φεύγοντες ἅμα Σοραίχῳ, καταίρουσιν εἰς γεωργοῦ· τῷ δ' ἦν κόρη [θυγάτηρ] καλὴ τὴν ὄψιν, ἄρτι χηρευθεῖσα, καὶ τῇ πρὸς τὸν ἄνδρα εὐνοίᾳ τὰς θρίχας περικειραμένη. πέμπεται) αὕτη τὰς ἁλύσεις τῆς χρυσῆς ἀπεμπολῆσαι, ἣν οἱ περὶ Ῥοδάνην ἐκ τῶν δεσμῶν ἐπεφέροντο. καὶ ἄπεισι πρὸς τὸν χρυσοχόον ἡ τοῦ γεωργοῦ θυγάτηρ. καὶ ἰδὼν ἐκεῖνος τήν τε ὄψιν τῆς κόρης καλὴν, καὶ τῆς ἁλύσεως τὸ μέρος, ἧς αὐτὸς ἐργάτης ἐτύγχανε, καὶ τὴν κόμην περιῃρημένην: ὑπονοεῖ Σινωνίδα εἶναι. καὶ πέμψας πρὸς Δάμαν, καὶ * ἀνελὼν φύλακας, ἀπερχομένην ἐφύλαττε κρύφα. ἡ δὲ ὑπονοήσασα τὸ πραττόμενον, φεύγει εἰς ἔρημον κατάλυμα. ἐν ᾧ καὶ τὰ περὶ τῆς κόρης τῆς * καλουμένης Τροφίμης, καὶ τοῦ δούλου τοῦ ἐραστοῦ καὶ φονέως, καὶ τοῦ κόσμου τοῦ χρυσοῦ, καὶ αἱ ἔκθεσμοι τοῦ δούλου πράξεις, καὶ τὸ ἑαυτὸν ἐπισφάξαι, καὶ τὸ αἱματωθῆναι τὴν τοῦ γεωργοῦ θυγατέρα τοῖς τοῦ ἑαυτοῦ * διαχεισαμένου αἵμασι. καὶ ὁ τῆς κόρης διὰ ταῦτα φόβος, καὶ ἡ φυγὴ, καὶ ἡ ἔκστασις τῶν φυλάκων καὶ φυγὴ, καὶ ἡ πρὸς τὸν πατέρα τῆς κόρης ἄφιξις, καὶ διήγησις τῶν συγκυρησάντων, καὶ φυγὴ ἐκεῖθεν τῶν περὶ Ῥοδάνην· καὶ πρὸ τούτων γράμμα πρὸς Γάρμον τοῦ χρυσοχόου, ὅτι Σινωνὶς εὕρηται. καὶ ἦν πίστις ἡ ἐξωνηθεῖσα ἅλυσις πεμπομένη, καὶ τὰ ἄλλα, ἃ περὶ τὴν τοῦ γεωργοῦ θυγατέρα ὑπώπτευε. Ῥοδάνης ἀπιὼν· ἐφ' ᾧ φεύγειν φιλεῖ τὴν κόρην τοῦ γεωργοῦ. καὶ ἀνάπτεται εἰς ὀργὴν Σινωνὶς· διὰ τοῦτο εἰς ὑπόνοιαν μὲν πρῶτον ἀφιγμένη τοῦ φιλήματος.

ἔπειτα

* διὰ τοῦτο.
* ἴσ. ἀγομένῳ Σοραίχῳ.
* al. λαβὼν.
* [illegible]
* al. διαχεισαμένη.

ἔπειτα καὶ ἀπὸ τῶν τοῦ Ῥοδάνους χειλέων ἀφελομένη τὸ αἷμα. ὃ φιλήσας αὐτὴν προσεκέχριστο εἰς ἰσχυρὰν πίστιν [καὶ] κατασᾶσα, ζητεῖ διὰ τοῦτο Σινωνὶς τὴν κόρην ἀνελεῖν, καὶ ὑποστρέφει πρὸς αὐτὴν ἠπειγμένη, καθάπερ τις ἐμμανής· καὶ συνέπεται Σόραιχος, ἐπεὶ μὴ κατασχεῖν τῆς μανιώδους ὁρμῆς ἴσχυε. καὶ καταίρουσιν εἰς πλουσίου τινός, τὸ ἦθος δὲ ἀκολάστου, Σήταπος αὐτῷ ὄνομα, ὃς ἐρᾷ τῆς Σινωνίδος, καὶ πειρᾷ· ἡ δὲ ἀντερᾶν ὑποκρίνεται, καὶ μεθυσθέντα τὸν Σήταπον, κατ' αὐτὴν τὴν νύκτα καὶ τὴν ἀρχὴν τοῦ ἔργου, ἀναιρεῖ ξίφει. καὶ ἀνοῖξαι κελεύσασα τὴν αὔλειον, καὶ τὸν Σόραιχον ἀγνοοῦντα τὸ πραχθὲν καταλιποῦσα, ἐπὶ τὴν τοῦ γεωργοῦ κόρην ἤλαυνε. Σόραιχος δὲ τὴν ἔξοδον αὐτῆς μαθὼν, ἐδίωκεν ὀπίσω, καὶ καταλαμβάνει ἔχων μεθ' ἑαυτοῦ καὶ τῶν Σητάπου δούλων, οὓς ἦν μισθωσάμενος, ἵνα κωλύσῃ τὴν σφαγὴν τῆς τοῦ γεωργοῦ κόρης· καταλαβὼν δὲ ἀναλαμβάνει εἰς τὴν ἁρμάμαξαν· παρεσκεύαστο γὰρ καὶ τοῦτο· καὶ ἀπελαύνει ὀπίσω. ὑποστρεφόντων δὲ αὐτῶν, οἱ τοῦ Σητάπου θεράποντες, ἐπεὶ τὸν δεσπότην ἀνῃρημένον ἐθεάσαντο, ἀπήντησαν ὠργισμένοι. καὶ συλλαβόντες Σινωνίδα καὶ δήσαντες, ἦγον ἐπὶ Γάρμον, ὡς ἀνδροφόνον κολασθησομένην. καὶ Σόραιχος ἦν ἄγγελος Ῥοδάνῃ τῶν κακῶν· κόνιν τε κατὰ τῆς κεφαλῆς πασάμενος, καὶ τὸν κάνδυν περιερριμμένος. καὶ Ῥοδάνης ἀναιρεῖν ἑαυτὸν * τολμᾷ· ἀλλ' ἐκώλυσε Σόραιχος. ὁ δὲ Γάρμος, Σάκα δεξάμενος γράμματα, ὅτιπερ Ῥοδάνης συνείληπται, καὶ * περὶ τοῦ χρυσοχόου, ὅτι Σινωνὶς ἔχεται: ἔχαιρέ τε καὶ ἔθυε, καὶ τοὺς γάμους ἡτοίμαζε, καὶ κήρυγμα ἤλαυνε πανταχοῦ, πάντας δεσμώτας λύεσθαι, καὶ ἀφίεσθαι. καὶ Σινωνὶς ὑπὸ τῶν Σητάπου θεραπόντων δέσμιος ἀγομένη, τῷ κοινῷ τοῦ κηρύγματος λύεται καὶ ἀφίεται. Δάμαν δὲ κελεύει Γάρμος παραδοθῆναι θανάτῳ· καὶ παραδίδοται δημίῳ, ὃν αὐτὸς ἀπὸ ἱερέως εἰς τὸν δήμιον μετέστησεν. ἐδυσχέραινε δὲ τῷ Δάμᾳ ὁ Γάρμος, ὅτι παρ' ἄλλοις Ῥοδάνης, ὡς ἐνόμιζε, καὶ Σινωνὶς συνεσχέθησαν. διάδοχος δὲ Δάμα, ὁ ἀδελφὸς καθίσταται Μοναςός. διάληψις περὶ Βερενίκης, ἥτις ἦν θυγάτηρ τοῦ βασιλέως Αἰγυπτίων, καὶ τῶν ἀγρίων αὐτῆς καὶ ἐκθέσμων ἐρώτων. καὶ ὅπως Μεσοποταμία συνεγένετο. καὶ ὡς ὕστερον ὑπὸ Σάκα συνελήφθη Μεσοποταμία· καὶ πρὸς Γάρμον ἅμα τῷ ἀδελφῷ Εὐφράτῃ * ἀπάγεται. γράμματα δεξάμενος Γάρμος παρὰ τοῦ χρυσοχόου ὡς Σινωνὶς διαπέφευγε, προστάσσει ἐκεῖνόν τε ἀναιρεθῆναι, καὶ τοὺς ἐπὶ φυλακῇ ταύτης καὶ ἀγωγῇ σταλέντας αὐταῖς γυναιξὶ καὶ τέκνοις, ζῶντας κατορυχθῆναι. Ὑρκανὸς κύων ὁ τοῦ Ῥοδάνους, εὑρὼν ἐν ἐκείνῳ τῷ ἀποτροπαίῳ καταγωγίῳ τὰ σώματα τῆς τε δυστυχοῦς κόρης καὶ τοῦ παλαμναίου καὶ δυσέρωτος δούλου: κατέφαγε πρῶτον τὸ τοῦ δούλου, ἔπειτα κατὰ μικρὸν καὶ τῆς κόρης· καὶ ἐφίσταται τῷ τόπῳ ὁ τῆς Σινωνίδος πατήρ. καὶ τὴν κύνα ὡς εἴη Ῥοδάνους εἰδὼς, καὶ τὴν κόρην ἡμίβρωτον ἰδὼν: σφάζει μὲν ὡς ἐπὶ Σινωνίδι τὴν κύνα· ἀναρτᾷ δὲ καὶ ἑαυτὸν βρόχῳ· καταχώσας τὸ ὑπόλοιπον τῆς κόρης σῶμα, καὶ ἐπιγράψας αἵματι τοῦ κυνὸς, Ἐνθάδε κατάκειται Σινωνὶς ἡ καλή. παραγίνονται τῷ τόπῳ Σόραιχος καὶ Ῥοδάνης. καὶ τόν τε κύνα ἐσφαγμένον τῷ τάφῳ ἰδόντες,

quæ deinde suspicio (quando ex Rhodanis labiis detersit sanguinem, qui puellam osculando ei adhæserat) magis etiam est confirmata. Hinc interimere vult rusticam puellam Sinonis, retróque ad illam sese contulit, furenti similis. Soræchus, quia furibundum eius impetum refrænare non posset, insequitur: succedúntque in domum diuitis quidem hominis, sed perditis moribus, cui *Setapo* nomen. Hic Sinonidis amore captus, pergit eam sollicitare, & illa redamare se fingens, ebrium Setapum noctu, & in amoris initio, ferro conficit: domum deinde sibi aperiri illa iubet, & rei gestæ ignarum Soræchum ibi relinquens, ad rustici filiam properat. Verùm cognito Soræchus eius discessu, pone sequitur, comitésque secum ducit de Setapi seruis aliquot, quos vt agricolæ filiæ cædē prohiberet, mercede cōduxerat. Assecutus igitur eam carpento imponit (nā & hoc sibi parauerat) ac retrò reuertitur. Redeuntibus autem illis, cæteri serui Setapi, qui iam interfectum herum deprehenderant, furibundi accurrunt, captámque Sinonida, & vinculis colligatam, ad Garmum veluti homicidij ream, pœnásque daturam ducunt. Soræchus ergo puluere aspersus caput, & [a] Persicæ inuolutus tunicæ ad Rhodanem infortunium refert. Ad quæ certè Rhodanes necem sibi consciuisset, ni Soræchus obstitisset. Garmus interim, acceptis Sacæ literis de capto Rhodane, & ab aurifabro de Sinonide retenta, gaudio perfusus ad sacrificandum diis accedit, nuptiásque parat. Præconis item voce vbique denunciari iubet, vt vincti omnes soluantur atque dimittantur. Ita Sinonis, quæ à Setapi seruis in vincula ducebatur, publico decreto soluta, ac missa facta est. Damam præterea occidi Garmus iubet, traditúrque illi ipsi carnifici, quem ipsemet ex sacerdote carnificem fecerat. Indignabatur etenim, quod apud alios Rhodanes, vt putabat, ac Sinonis constricti tenerentur: Damæ succedit frater eius Monasus.

Narratio deinde instituitur de [b] Berenice Ægyptiorum regis filia, déque immani eius & infando amore, vtque ad huius Mesopotamia colloquium ac familiaritatem peruenerit. Capta itaque post hæc Mesopotamia à Saca, cum fratre suo Euphrate ad Garmum adducitur, qui literis aurifabri certior factus, aufugisse Sinonida, & illum interfici, & omnes ad hanc custodiendam, atque adducendam lictores missos, vna cum vxoribus ac liberis, defodi viuos iubet. Canis interim Rhodanis, *Hyrcanus* appellatus, repertis in abominando illo diuersorio miseræ puellæ, ac perditè amantis illius atque sicarij serui corporibus, hunc primùm deuorat, mox etiam paulatim puellæ viscera mandebat, cùm pater ipse Sinonidis ad eum quoque locum accessit. Agnito igitur Rhodanis cane, & puellam semesam animaduertens, canem quasi Sinonida vlturus mactauit, séque ipse laqueo suspendit; tumulato tamen prius, compositóque reliquo puellæ corpore, inscripto & canis sanguine titulo, HIC SITA EST PVLCHRA SINONIS. Accesserunt huc forte Soræchus & Rhodanes, visóque ad tumulum interfectum canem,

IAMBLIC.

* al. ἐρμᾷ.

* al. περὶ.

* παραδίδοται.

[a] τὸν κάνδυν ... Vide Pollux. Bayf & ante alios doctiss. Brisson. Persic. lib. 1. & 3.

[b] Ob Berenicen eandem forte grata cantatam à Callimacho atque Catullo, videtur hic nomen illud adsutum.

IAMBLIC.

& Sinonidis parentem laqueo suspensum; lecto adhæc sepulchri titulo, Rhodanes quidem primum vulnus sibi inflixit, suóque sanguine Sinonidis titulo adscripsit, ET RHODANES PULCHER: Soræchus laqueo caput inseruit. Dum autem vltimum Rhodanes vulnus inferre sibi parat, ecce tibi agricolæ filia ingenti clamore accurrit: Non est, inquiens, ô Rhodane, Sinônis quæ hîc iacet. Nec mora laqueum Soræchi discindit, Rhodanique gladium eripit. Hinc narrando, quæ infelici puellæ accidissent, & de auro defosso, ad quod ipsa recipiendum venisset, vix tandem persuadet. Sinônis interea vinculis expedita ad domum fugit agricolæ, furore etiamnum in eius filiam agitata; qua non reperta, parentem de ea percunctatur. Ille viam [a] monstrat, & insequitur ipsa stricto gladio. Vt verò ad Rhodanem prostratum peruenit, illámque [rustici filiam] solam assidentem, & pectoris vulnus refrigerantem (Soræchus enim medicum accersitum ierat) furore & zelotypia magis incensa, in puellam cum impetu ruit. At Rhodanes, collectis ad eam violentiam nonnihil à vulnere viribus, accurrit, auertitque ab illa Sinonida, & ferrum eripit. Illa igitur præ ira domicilio exsiliens, & furibunda procurrens, Rhodani tantum hoc obiiciens dixit: *Hodie te ad Garmi nuptias inuito.* Soræchus dein reuersus, & re omni cognita, Rhodanem consolatur; curatáque plaga, cum pecunia puellam ad parentem remittunt.

[a] Pro ἔφραξε, repone ἔφυγε.

Interea Euphrates ad Garmum ducitur, quasi Rhodanes esset, & pro Sinonide Mesopotamia. Ducitur & Soræchus, verúsque Rhodanes. Verum cognito Garmus Mesopotamiam non esse veram Sinonida, Zobaræ eam tradidit, ad Euphratem fluuium capite truncandam, ne qua, inquit, alia Sinonidis nomen, eius exemplo, falso vsurpet. Zobaras tamen [b] Mesopotamiæ possessus amore, seruauit eam, & ad Berenicen Ægypti, iam patre extincto, Reginam, vnde ipse olim abductus fuerat, adducit, & Mesopotamiæ nuptias Berenice facit. Qua etiam de causa bellum inuicem Garmus & Berenice minantur. Euphrates item parenti suo, vt carnifici, traditus atque agnitus, seruatur: & parentis officio fungitur, ita se humano nullo sanguine pater contaminat. Post tamen, vt carnificis ille filia è carcere egressus, liber euasit. Ibidem & de carnificis concubina, eiúsque legibus, ac moribus, & vt rustici filia, posteaquam Sinônis Regi Syriæ nupta, iræ vindicandæ potestatem nacta est, vi abrepta fuerit, atque damnata ad concumbendum cum carnifice. Septum itaque carnificum introiens, cum Euphrate congressa est: qui eius personam fingens, pro ipsa è septo egreditur, & illa vicissim pro Euphrate lictoris munere functa est. Et hæc quidem ita gesta.

[b] Hinc Suidæ error gas, apud quem Μεσοποταμία, vt sonat, ex compendiis errore.

Soræchus autem cruci affigendus damnatur, locúsque definitur, vbi Rhodanes, & Sinônis hospitati primum fuerant, in prato illo,

τόν τε πατέρα τῆς Σινωνίδος ἀνηρτημένον: τό, τε τοῦ τάφου ἐπίγραμμα: ὁ μὲν Ῥοδάνης πρώτην πληγὴν ἑαυτῷ ἐπενεγκὼν, προσέγραψε τῷ ἰδίῳ αἵματι ἐπὶ τῷ τῆς Σινωνίδος ἐπιγράμματι, καὶ Ῥοδάνης ὁ καλός. ὁ δὲ Σόραιχος, βρόχῳ ἑαυτὸν ἐξῆπτεν. ἐν ᾧ δὲ καὶ τὴν τελευταίαν πληγὴν ὁ Ῥοδάνης ἐπάγειν ἤρχετο, ἡ τοῦ γεωργοῦ θυγάτηρ ἐπιστᾶσα, μέγα ἐβόα· οὐκ ἔστι Σινωνὶς, ὦ Ῥοδάνη, ἡ κειμένη. καὶ δραμοῦσα, κόπτει τε τὸν βρόχον Σοραίχου, καὶ τὸ ξίφος ἀφαιρεῖται Ῥοδάνου. καὶ πείθει μόλις διηγησαμένη, τά τε περὶ τὴν δυστυχῆ κόρην, καὶ περὶ τοῦ χρυσίου τοῦ κατορωρυγμένου· καὶ ὡς ἐπὶ τῷ ἀναλαβεῖν τοῦτο ἥκοι. ἡ δὲ Σινωνὶς ἀπολυθεῖσα τῶν δεσμῶν ἐπὶ τὴν οἰκίαν * ἔφυγε τοῦ γεωργοῦ, ἔτι μετὰ τῆς κόρης ἐπιμαινομένη. μὴ εὑροῦσα δὲ αὐτὴν * ἐπηρώτα τὸν πατέρα. ὁ δὲ τὴν ὁδὸν ἔφραζε. καὶ αὐτὴ ἐδίωκεν ὀπίσω, γυμνώσασα τὸ ξίφος. ὡς δὲ κατέλαβεν ἐρριμμένον μὲν τὸν Ῥοδάνην, ἐκείνην δὲ μόνην * παραμυθουμένην, καὶ τὸ τραῦμα τοῦ στήθους περιψύχουσαν· ὁ Σόραιχος γὰρ ἐπὶ ζήτησιν ἰατροῦ ἐξῄει: ὀργῆς τε καὶ ζηλοτυπίας μᾶλλον ἐμπίπλαται· καὶ ὁρμᾷ κατὰ τῆς κόρης. ὁ δὲ Ῥοδάνης ὑπὸ τῆς βίας κρείττων τοῦ τραύματος γεγονὼς ὑπήντα, καὶ ἐκώλυε τὴν Σινωνίδα, τὸ ξίφος ἁρπάσας ἀπ' αὐτῆς. ἡ δὲ ὑπ' ὀργῆς ἐκπηδήσασα τοῦ καταγωγίου, καὶ δρόμῳ χρωμένη μανιώδει: τοῦτο πρὸς Ῥοδάνην εἰποῦσα ἀπέρριψε μόνον· καλῶ σε σήμερον εἰς τοὺς Γάρμου γάμους. Σόραιχος δὲ παραγενόμενος, καὶ μαθὼν ἅπαντα: παρηγορεῖ μὲν Ῥοδάνην. καὶ ἰατρεύσαντες τὸ τραῦμα, ἀπολύουσι μετὰ τῶν χρημάτων τὴν κόρην πρὸς τὸν πατέρα. ἄγεται πρὸς Γάρμον Εὐφράτης, ὡς Ῥοδάνης, καὶ ὡς Σινωνὶς Μεσοποταμία· ἄγεται καὶ Σόραιχος καὶ ὁ ἀληθὴς Ῥοδάνης. καὶ διαγνοὺς ὁ Γάρμος, μὴ εἶναι Σινωνίδα τὴν Μεσοποταμίαν: δίδωσι Ζοβάρᾳ παρὰ ποταμὸν Εὐφράτην καρατομῆσαι αὐτήν· ἵνα μὴ, φησι, καὶ ἑτέρα τις τοῦ τῆς Σινωνίδος ἐπιβατεύσῃ ὀνόματος. ὁ δὲ Ζοβάρας ἀπὸ πηγῆς ἐρωτικῆς πιὼν, καὶ τῆς Μεσοποταμίας ληφθεὶς ἔρωτι: σώζει τε αὐτὴν, καὶ πρὸς Βερενίκην αἰγυπτίαν ἤδη, ἅτε τοῦ πατρὸς τελευτήσαντος, βασιλεύουσαν, ἐξ ἧς ἦν καὶ σεσυλημένος, ἄγει· καὶ γάμους Μεσοποταμίας ἡ Βερενίκη ποιεῖται· καὶ πόλεμος δι' αὐτὴν, Γάρμῳ καὶ Βερενίκῃ διαπειλεῖται. Εὐφράτης δὲ παραδίδοται τῷ πατρὶ ὡς δημίῳ. καὶ ἀναγνωσθεὶς σώζεται. καὶ πληροῖ μὲν αὐτὸς τὰ τοῦ πατρὸς ἔργα· ὁ δὲ πατὴρ οὐ μιαίνεται τοῖς ἀνθρώπων αἵμασιν. ὕστερον δὲ, ὡς τοῦ δημίου κόρη ἐξέρχεται τοῦ οἰκήματος, καὶ διασώζεται. ἐν ᾧ καὶ περὶ τῆς συγκαθευδούσης τῷ δημίῳ, τά τε περὶ αὐτὴν ἔθιμά τε καὶ νόμιμα, καὶ περὶ τῆς τοῦ γεωργοῦ θυγατρὸς, ὅπως ἀνάσπαστος γίνεται· ἐπεὶ Σινωνὶς τῷ Συρίας βασιλεῖ γαμηθεῖσα, ἔσχεν ἰσχὺν τὴν ὀργὴν ἀντιπληρῶσαι· καὶ ὡς δημίῳ ταύτην συγκαθεύδειν καταδικάζει. καὶ ὅτι συγκαθεύδησιν, εἰς τὸν τῶν δημίων περίβολον εἰσελθοῦσα, τῷ Εὐφράτῃ· ὃς καὶ ἀντ' αὐτῆς εἰς τὸ ἐκείνης πρόσωπον ὑποκριθεὶς, ἐξῆλθε τοῦ περιβόλου. καὶ ἐκείνη ἀντὶ τοῦ Εὐφράτου, τὸ ἔργον ἔπραττε τοῦ δημίου. καὶ ταῦτα μὲν ὧδε προὔβαινε. παραδίδοται δὲ Σόραιχος, ἐπὶ τῷ ἀνασταυρωθῆναι. ὁ δὲ τόπος ὥριστο, ἔνθα Ῥοδάνης καὶ Σινωνὶς τὰ πρῶτα ηὐλίσαντο. ἐν τῷ λειμῶνι καὶ ἐν

* al. ἔφραξε
* ἠρώτα.
* παραμυθουμένην.

καὶ ἐν τῇ πηγῇ. ἐν οἷς καὶ τῷ Ῥοδάνει τὸ κεκρυμμένον ἐπεφώρατο χρυσίον, ὃ καὶ ἀπαγομένῳ ἐπὶ τὸν σταυρὸν Σοραίχῳ μηνύει. καὶ Ἀλανῶν στρατὸς ἀπότιμος Γάρμῳ γεγονὼς, καὶ ἀπεχθανόμενος, περὶ τὸν χῶρον, ἐν ᾧ Σόραιχος ἔμελλεν ἀνασταυροῦσθαι, διατρίβουσιν. οἳ καὶ ἀπελάσαντες τοὺς Σόραιχον ἄγοντας, ἔλυσαν. ὁ δὲ τὸ μηνυθὲν χρυσίον εὑρὼν, καὶ τέχνῃ τινὶ καὶ σοφίᾳ ἐκ τοῦ ὀρύγματος ἀνιμώμενος, [καὶ] τοὺς Ἀλανοὺς ἔπειθεν, ὡς ὑπὸ θεῶν ταῦτά τε καὶ τὰ ἄλλα ἐκδιδάσκοιτο. καὶ κατὰ μικρὸν ἑλκύσας *εἴθισεν ὥς τι σφῶν ἡγεῖσθαι βασιλέα· καὶ πολεμεῖ στρατῷ Γάρμου, καὶ νικᾷ. ἀλλ' ὕστερον ταῦτα. ὅτε δὲ Σόραιχος ἐπὶ τὸν σταυρὸν ἐπέμπετο, τότε καὶ Ῥοδάνης ὑπ' αὐτοῦ Γάρμου ἐστεφανωμένου καὶ χορεύοντος, ἐπὶ τὸν πρότερον σταυρὸν πάλιν ἤγετο· καὶ ἀνεσταυροῦτο. καὶ Γάρμος, μεθύων ἅμα καὶ χορεύων περὶ τὸν σταυρὸν, σὺν ταῖς αὐλητρίσιν, ἔχαιρέ τε καὶ εὐφραίνετο. ἐν ᾧ δὲ ταῦτα ἐπράττετο, Σάκας πρὸς Γάρμον γράμμα πέμπει, ὡς Σινωνὶς τῷ Σύρων βασιλεῖ μειρακίῳ ὄντι γαμεῖται· καὶ Ῥοδάνης ἄνωθεν ἔχαιρε. Γάρμος δὲ ἑαυτὸν ἀνελεῖν ὥρμησεν. ἐπισχὼν δὲ κατάγει Ῥοδάνην ἄκοντα τοῦ σταυροῦ· θανεῖν γὰρ μᾶλλον ᾑρεῖτο. καὶ κοσμεῖ στρατηγικῶς, καὶ πέμπει τοῦ πολέμου, ὃν πρὸς τὸν τῶν Σύρων ἀνεκίνει βασιλέα, στρατηγὸν, ὡς ἐραστὴν κατὰ τοῦ ἀντεραστοῦ. καὶ φιλοφρονεῖται ὑπούλως, καὶ γράμμα κρύφιον γράφει τοῖς ὑποστρατήγοις· εἰ νίκη γένηται καὶ συλληφθῇ Σινωνὶς, ἀναιρεθῆναι Ῥοδάνην. Ῥοδάνης δὲ καὶ νικᾷ, καὶ τὴν Σινωνίδα ἀπολαμβάνει, καὶ βασιλεύει Βαβυλωνίας. καὶ τοῦτο χελιδὼν προεμήνυσε. ταύτην γὰρ, ὅτε παρῆν Γάρμος, καὶ συνεξέπεμπε Ῥοδάνην, αἰετὸς ἐδίωκε καὶ ἰκτῖνος. ἀλλὰ τὸν μὲν αἰετὸν ἐξέφυγεν, ὁ δὲ ἰκτῖνος ταύτην ἥρπασεν, ἐν οἷς καὶ ἑξ καὶ δέκατος λόγος.

*[illegible]

ΙΩΑΝΝΟΥ ΣΚΥΘΟΠΟΛΙΤΟΥ σχολαστικοῦ κατὰ εὐτυχιανιστῶν.

ϟδʹ. Ioannis Scythopolitæ contra Eutychianos.

ΑΝΕΓΝΩΣΘΗ Ἰωάννου Σκυθοπολίτου σχολαστικοῦ κατὰ τῶν ἀποσχιστῶν τῆς ἐκκλησίας, ἤτοι κατὰ Εὐτυχοῦς καὶ Διοσκόρου, καὶ τῶν τὰ ὅμοια φρονούντων, καὶ ἀθετούντων ἐν δύο φύσεσι τὸν Χριστὸν κηρύσσειν. ἀξιοῖ δὲ τὴν συγγραφὴν ἀρχιερεύς τις *ὄνομα Ἰουλιανὸς *συγγραφῆναι· ἐν τόμοις δὲ ἀπαρτίζεται δυοκαίδεκα. ἔστι δὲ τὸν λόγον ὁ συγγραφεὺς, σαφής τε καὶ καθαρὸς, καὶ λέξεσι λόγου συγγραφικοῦ πρεπούσαις χρώμενος· καὶ κατὰ τῆς αἱρέσεως οὐκ ἀσθενῶς ἐπαγωνιζόμενος, οὐδὲ ταῖς γραφικαῖς ἀποχρώμενος μαρτυρίαις, μετὰ τοῦ μηδὲ τὰς λογικὰς, ὅσαι τείνουσι πρὸς τὴν ὑπόθεσιν, παραλείπειν ἐφόδους. ὁ δέ γε τοῦ τῶν ἀποσχιστῶν γράμματος πατὴρ, καθ' οὗ καὶ ὁ Σκυθοπολίτης ἐπὶ τὴν γραφὴν ἐστήσατο, τὸ οἰκεῖον ἀπέκρυψεν ὄνομα· ἐπιγραφὴν κακοῦργον ἐπιθεὶς τῷ γράμματι κατὰ Νεστορίου· ἵνα τῇ ἐπιγραφῇ τοῦ συγγράμματος κλέπτειν ἔχοι τοὺς ἁπλουστέρους εἰς ἀκρόασιν. ἴσως δὲ Βασίλειός ἐστιν ὁ Κίλιξ, ὁ [καὶ] ὕστερον δραματικὸν καὶ τῆς αὐτοῦ θρησκείας ἐπάξιον κατὰ τοῦ Ἰωάννου διάλογον συμπλάσας.

*τὸ ὄνομα. *συνταγῆναι.

IAMBLIC.

atque ad fontem, quibus etiam in locis antea Rhodanes auri thesaurum deprehenderat, quem nunc quoque Soræcho, ad patibulum ducto, indicauit. Alanorum tum fortè exercitus mercede à Garmo fraudatus, & hostiliter in eum animatus, eodem in loco, vbi cruci affingendus erat Soræchus, consederat. hic Soræchum, pulsis iis qui eum ad mortem ducebant, liberauit. Ille verò reperto quod monstratum erat, auro, atque arte quadam & astu è fossa deducto, Alanis persuasit, se à Diis hæc atque alia edoctum scire. Paulatim autem eos deliniendo ita assuefecit, vt illum pro rege suo agnoscerent, bellúmque cum Garmi exercitu gesserit ac vicerit, sed hæc post euenerunt. Verum quo tempore ad patibulum Soræchus ducebatur, eodem & Rhodanes ab ipso Garmo coronato atque saltante, ad priorem illam crucem iterum ductus est, atque affixus. Dum autem ibi Garmus largius se ingurgitat, & choream circa crucem vna cum tibicinis mulieribus ducens, lætus sese oblectat, literæ à Saca missæ Garmo redduntur, de Sinonide Syriæ regi etiamnum adolescenti nuptui data.

Quo nuncio Rhodanes pendens exhilaratus est: at Garmus ad inferendum sibi necem ruebat: sustinuit tamen, ac mox Rhodanem inuitum à cruce, in qua mori maluisset, liberum dimisit, militaribúsque ornatum insignibus, eius belli, quod aduersus Syriæ regem mouebat, Imperatorem creat, tanquam amantem aduersus riualem. Sic blandè, sed simulatè, acceptus à Garmo est. Nam cæteris ille inferioribus ducibus per litteras clam imperauit, si forte victoria potiti, Sinonida viuam cepissent, Rhodanem vt interficerent. Vicit verò Rhodanes, & suam Sinonida recuperauit, ac Babyloniis Imperauit. Quod & hirundinis augurium antea denunciarat. Ipso enim præsente Garmo, cum is Rhodanem mitteret, & aquila hanc insectatur, & miluus, at licet aquilæ vngues illa effugerit, à miluo tamen rapta est, Atque hic [a] sedecim librorum finis est.

[a] Suidas XV. Babyloniacorum huius auctoris libros numerat.

XCV.

IOANNIS SCYTHOPOLITÆ Contra Eutychianos libri XII.

LECTVS est [a] IOAN. SCYTHOPOLITA *Scholasticus, Aduersus Ecclesiæ desertores, siue, contra Eutychen, & Dioscorum, eiusdémque sectæ asseclas*, qui in duabus naturis prædicare CHRISTVM recusabant. Rogauerat opus hoc conscribi Patriarcha quidam, cui [b] Iuliano nomen: quod & libris duodecim absolutum est. Scriptoris autem oratio clara est, ac pura, verbisque vtitur historico stylo accommodatis. Contra hæresim præterea neque languidè pugnat, neque sacræ scripturæ abutitur testimoniis: ac ne logicas quidem, vbi illæ ad rem ipsam pertinent, disputationes prætermittit; Ipse vero auctor huius sectariorum scripti, in quem Scythopolita scribit, nomen suum tegit, titulo duntaxat hoc operi callidè præfixo: ADVERSVS NESTORIVM. vt ipsa nimirum libri inscriptione simpliciores furtim ad legendum alliciat. Fortasse Basilius [c] Cilix est auctor, qui post etiam dramaticum, & dignum sua religione dialogum contra Ioannem composuit.

[a] Idem ille hic videtur, quem Antiochenæ potentiæ Grammatico Presbyterum nominat Marcellinus, & Gennad. de script. Eccles. cap. 91.

[b] Antiochenum puto, illum vult, quem impio Fulloni (Petro inquam Gnaphæo) successorem tradit Onuph. Panuin. in Fastos ad An. Chr. 490. - Th. a. Lect. lib. 1. collect.

[c] Cuius etiam postea mentionem leges Cod. CVII.

GEORGIVS. ALEXAND. XCVI.

GEORGIVS EPISC. ALEXANDRINVS De vita B. Chrysostomi.

LECTVS liber GEORGII EPISC. *Alexandriæ* hac inscriptione: [a] *Res B. Chrysostomi.* Qui verò hic [b] Georgius sit, non habeo certo affirmare. Dictio certè simplex in humilem admodum stylum delabitur: neque saltem, quod vel litteratoribus in promptu, nominum, verborúmque accuratam adhibet constructionem. Refert autem ex Palladio [c] Episcopo, (qui dialogi forma pulchrè ac studiosè Chrysostomi res conscripsit) itémque ex [d] Socrate, aliisque nonnullis historiam à se collectam.

[e] Magnus igitur Ioannes nobilibus apud Antiochiam parentibus Secundo atque Anthusa natus est. Meletius verò Armenus, qui Antiochenæ tunc Ecclesiæ præerat, salubri hos doctrina (cum gentium antea cultum sectarentur) informauit, & salutifero baptismatis lauacro aptos reddidit; eorum tamen filio prius instituto, atque baptizato. Ioannes itaque ludum frequentare litterarium iussus. Iam inde à puero summam modestiam, animique demissionem præferebat. Quamobrem, neque pueros, vt solet, diuitiis & gloria affluentes, emolliri, neque hos se consectari sinebat, sed neque equo vehi sustinebat. Deinde Antiochiæ in Grammaticis quidem & Rhetoricis Libanio, Andragathio verò in Philosophicis operam dedit. Mortuo vero parente, matri in luctu solatium alloquiis attulit, & à ludicris omnibus abstinens, ac voluptate prorsus sibi interdicens, disciplinarum duntaxat studio animum adiungebat.

Quare Athenas ad vberiorem ingenij cultum profectus, breui cæteris ita antecelluit omnibus, vt & Anthemius, qui tum ibi Mineruæ sacerdos erat, illi inuideret, & sapientes inter princeps ipse haberetur. Ergo vrbis quoque præfectus, Demosthenes nomine, sapientem hunc Ioannem multo cum honore ad se vocabat: ad quem ille magna tamen cum animi demissione atque modestia accedebat. Ibi disputatione forte cum Anthemio instituta, superior Ioannes euasit, non doctrina modo, & intelligentia, sed pietate quoque. Atque hoc tum ab illo primum est ibi patratum miraculum, quod Anthemius diuina Ioannis lingua, & precatione conuictus discesserit, ab ipsomet vrbis Episcopo postea cum omni familia baptismo tingendus. Præfectus autem, quod pridem baptizatus esset, catechesi instruitur, magnáque omnino hominum paganorum multitudo ad hos accessit. Iam ipse quoque vrbis Episcopus Ioannem ordinare, & pro se Episcopum relinquere in animo habebat.

Ea re cognita, clam ille, ac celeriter in patriã adnauigauit. vbi dum iuris dicendi auctoritatem ei ciues sui mandare vellent, solitariam vitam prætulit, octauum decimum non amplius, æt. tis annum agens. E condiscipulorum adhęc turba, qui eidem præceptori operam dederãt, persuasit tunc Theodoro, qui post Mopsuestiæ Episcopus fuit, & Maximo Seleuciæ quoque postea Episcopo, reiecta vita quæstuaria, ac publica, priuatam ac simplicẽ vt amplecterentur.

a Integras vel à Parisiis latine dedit Godefredus Tilmannus, An. 1557. Easdem integre pene libro suo XII. diligenter persecutus etiã est Nicephorus Callistus. Vide quoque Metaphrasten, & Theodoreti lib. V. c. 27. cum seqq. atque imprimis Illustris. Baronij Card. Annal. IV.

b Ego illum puto, qui S. Ioan. Eleemosynario successit circa An. Chr. 620. Et verò B. Ioan. Damasceno priorem satis constat, cum is ex hac vita (non expresso scriptoris nomine) adducat historiam de imagine S. Pauli Apost. Orat. I. de Imagin. sub fin.

c Helenopolitano, quem Latine versum habet tom. I. operum B. Chrysost. edit. Paris. cum aliis qui hoc argumentum tractarunt.

d Libro VI. ex quo Niceph. quoque sua, quæ de B. Chrysost. scripsit, hausisse constat.

e Niceph. lib. 11. c. 2. Socrat. lib. VI. cap. 3.

ΓΕΩΡΓΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ εἰς τὸν βίον τοῦ Χρυσοστόμου.

ϟϛ. Georgius episcopus Alexandrinus, in vitam I. Chrysostomi

ΑΝΕΓΝΩΣΘΗ βιβλίον, τὰ περὶ τὸν Χρυσόστομον ἐπιγραφὴν ἔχον, Γεωργίου ἐπισκόπου Ἀλεξανδρείας. ὅστις ὁ ἀνὴρ οὗτος, οὐκ ἔχω σαφές τι παραστῆσαι. ἔστι μέντοι τὴν φράσιν ἁπλοῦς, καὶ εἰς πολλὴν χυδαιότητα κατενηνεγμένος· μηδὲ τοῦτο δή, παρὰ τοῖς γραμματικοῖς κατ' ἀρχὰς, τὴν τῶν ὀνομάτων καὶ ῥημάτων σύνταξιν ἠκριβωμένος. λέγει δὲ ἐκ τοῦ Παλλαδίου· ἐπίσκοπος δὲ ὁ Παλλάδιος, καὶ διαλογικῷ τύπῳ καλῶς τε καὶ ἐσπουδασμένως τὰ περὶ τὸν Χρυσόστομον ἀνεγράψατο· ἔκ τε οὖν τούτου, φησί, καὶ Σωκράτους, καὶ διαφόρων ἄλλων, τὴν ἱστορίαν ἀναλεξάμενος, εἰς ἓν συναθροίσασθαι. Φησὶν οὖν, τὸν μέγαν Ἰωάννην παῖδα γενέσθαι Σεκούνδου καὶ Ἀνθούσης· ἐπιφανεῖς δὲ οὗτοι τῶν ἐν Ἀντιοχείᾳ: Ἕλληνας δὲ αὐτοὺς τὴν θρησκείαν ὄντας, ὁ ἐξ Ἀρμενίας Μελέτιος, τῇ Ἀντιοχέων * συγκαταστὰς ἐκκλησίᾳ, ἐμύησέ τε καὶ τοῦ σωτηριώδους μεταχεῖν βαπτίσματος * κατηξίωσε, τὸν υἱὸν πρότερον μυσταγωγήσας καὶ βαπτισάμενος. παραδίδοται τοίνυν ὁ μέγας Ἰωάννης φοιτᾶν εἰς διδασκάλου. εἰς ἄκρον δὲ ταπεινοφροσύνης ἐκ παιδὸς ἧκε. διὸ οὐδὲ παῖδας, οἷα εἰκός, τοὺς πλούτῳ καὶ δόξῃ περιφερομένους μαλακίζεσθαι· οὐ μὴν οὐδὲ τούτοις αὐτοῦ παρέπεσθαι· ἀλλ' οὐδὲ ἱππάζεσθαι ἠνείχετο. εἶτα ἐν Ἀντιοχείᾳ τὰ μὲν γραμματικὰ καὶ ῥητορικά, * παρὰ Λιβάνιον φοιτῶν, ἐπαιδεύετο. παρὰ Ἀνδραγάθιον δέ, τὰ φιλόσοφα. τελευτήσαντος δὲ τοῦ πατρός, τοῖς πένθεσιν ἦν τῇ μητρὶ παραμύθιον, πάντων ἀπεχόμενος παιγνίων τε καὶ ἡδονῶν, μόνοις δὲ προσανακείμενος τοῖς μαθήμασιν. ἀπαίρει γοῦν πρὸς τὰς Ἀθήνας, τὰ λεῖπον τι προσλαβεῖν· καὶ ἐν ὀλίγῳ χρόνῳ πάντας ὑπερβαλλόμενος, διεφθονήθη Ἀνθεμίῳ, ὃς τηνικάδε ἱερεὺς Ἀθηνᾶς ἐχρημάτιζε, καὶ πρῶτος τῶν ἐκεῖ σοφῶν ἐνομίζετο. ὁ δὲ τῆς πόλεως ὕπαρχος, Δημοσθένης ὄνομα αὐτῷ, μετακαλεῖται πολυτελῶς τὸν σοφὸν Ἰωάννην· ὁ δὲ λίαν εὐτελῶς παραγίνεται. καὶ λόγων ῥαγέντων μεταξὺ αὐτοῦ τε καὶ Ἀνθεμίου, κρατεῖ ὁ Ἰωάννης τῇ τε σοφίᾳ καὶ συνέσει καὶ τῇ εὐσεβείᾳ. καὶ πρῶτον αὐτῷ ἐπιτελεῖται τότε θαῦμα, τὸν Ἀνθέμιον δαιμονίῳ τε ἁλῶναι, καὶ ἀπαλλαγῆναι γλώσσῃ καὶ εὐχῇ Ἰωάννου, ὃς καὶ ὑπὸ τοῦ τῆς πόλεως ἐπισκόπου σὺν παντὶ τῷ οἴκῳ ἐβαπτίσατο. κατηχεῖται δὲ καὶ ὁ ἔπαρχος, πάλαι γὰρ ἦν ὢν βαπτισθείς. καὶ ἄλλο δὲ πολὺ πλῆθος Ἑλλήνων προσέδραμεν. ὁ δὲ τῆς πόλεως ἐπίσκοπος ἔμελλε χειροτονεῖν τὸν Ἰωάννην, καὶ ἀντ' αὐτοῦ καταλιμπάνειν ἐπίσκοπον. ὅπερ γνοὺς ἐκεῖνος, λάθρα καὶ σπουδῇ πρὸς τὴν πατρίδα ἀπέπλευσε. τῆς δὲ πόλεως Ἀντιοχείας ἐπὶ δικαστικὴν τάξιν ἀγόντων αὐτόν, αὐτὸς μᾶλλον πρὸς τὸν μονήρη βίον ἀπέκλινε, δέκατον καὶ ὄγδοον τῆς ἡλικίας ἔτος ἀνύων. τῶν δὲ συμφοιτησάντων αὐτῷ εἰς διδασκάλους, πείθει τότε Θεόδωρον, ὃς ὕστερον Μοψουεστίας κατέστη ἐπίσκοπος, καὶ Μάξιμον Σελευκείας δὲ καὶ οὗτος ἐπισκόπησε, τὸν χρηματιστικὸν διαπτύσαντας βίον, ἑλέσθαι τὸν λιτὸν

* ἐγκατα... * ἐξ... * [illegible]

τὰ δὲ

τὰ δὲ πολλὰ Βασιλείῳ συνῆν τῷ μεγάλῳ· ἀλλ' οὐχ, ὡς ἕτεροί φασιν ἑτέρῳ· ὃν καὶ διάκονον ὁ Μελέτιος χειροτονεῖ, καὶ τῶν ἄλλων πλέον ὁ Ἰωάννης εἰς φιλίαν προσῳκείωσεν. οὗτος προαποτάσσεται Ἰωάννου, καὶ προσκαλεῖται τὸν φίλον, ἐφ' ᾧ τῆς αὐτῆς μετασχεῖν πολιτείας· ἡ δὲ μήτηρ τέως ἐκώλυε. Ζήνων δὲ ἀπὸ Ἱεροσολύμων ἐλθὼν ὁ ἐπίσκοπος, ἀναγνώστην Ἰωάννην τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας καθίστησι. τελευτᾷ δὲ μετ' οὐ πολὺ, καὶ ἡ μήτηρ Ἰωάννου, καὶ οὗτος καλῶς τὸν πατρῷον σκορπίσας * πλοῦτον, καὶ τὴν πόλιν λιπὼν, τοῖς ἔξω ταύτης μοναστηρίοις ἑαυτὸν ἐκδίδωσι, καὶ γίνεται αὐτὸς τύπος καὶ κανὼν τῶν μοναζόντων.

* οὐσίαν.

Ὅτι Ἡσύχιος μοναχὸς Σύρος τῷ γένει, προγνώσεως ἀξιωθεὶς, θεωρεῖ ἄνδρας λευχειμονοῦντας· ὧν ὁ μὲν, κατεῖχε τόμον, ὁ δὲ ἄλλος, κλεῖς: καὶ * ἐπεδίδουν ἑκάτερος αὐτῶν ταῦτα τῷ Ἰωάννῃ· ὁ μὲν, ἑαυτὸν εἶναι τὸν ἀπόστολον Πέτρον, ὁ δὲ λέγων τὸν θεολόγον Ἰωάννην. καὶ ταῦτα ἀναγγέλλει τοῖς ἐν τῇ μονῇ, ἀσφαλισάμενος μὴ διαγνωσθῆναι τῷ Ἰωάννῃ ἵνα μὴ διὰ ταπεινοφροσύνην ἄκραν, ταύτης ἡμῶν, φησὶν, ἀναχωρήσῃ τῆς μονῆς· τότε καὶ μεγάλους αὐτὸν ἀσκητικούς φασι διαπαλαῖσαι ἀγῶνας, καὶ ἀσκητικοὺς συγγράψαι λόγους.

* ἐπεδίδου.

Γίνεται δὲ καὶ θαύματα ἐν τῷ μοναστηρίῳ παρ' αὐτοῦ. Τὶς γὰρ τῶν τῆς πόλεως τὸ ἡμίκρανον τῆς κεφαλῆς ὑπεραλγῶν, ὥστε καὶ τὸν δεξιὸν αὐτοῦ ἐκκρίμασθαι ὀφθαλμὸν, προσελθὼν αὐτῷ, παραχρῆμα τυγχάνει τῆς ἰάσεως, καὶ Ἀρχέλαός [τι]τις τῶν ἐν ἀξιώματι καὶ πλούτῳ περίβλεπτος, λέπραν ἐν τῷ προσώπῳ ἔχων, κελευσθεὶς ἐκ τοῦ λάκκου, οὗ οἱ ἀδελφοὶ ἔπινον, λούσασθαι· ὑγιὴς γέγονεν· ὃς καὶ διαδοὺς τὰ ὑπάρχοντα αὐτοῦ, ἐν ᾧ καὶ ἰάθη, μοναστηρίῳ ἀπετάξατο, καὶ πολλοὶ δὲ ἕτεροι. ἄλλος δέ τις ὀνόματι Εὔκλεος ἐκ δαιμονικῆς * ἐπηρείας τὸν δεξιὸν ἀπολέσας ὀφθαλμὸν, προσῆλθε μονάσαι· καὶ ἀποκειρόμενος ὑπὸ τοῦ ἁγίου, ἀπείληφε τὸν ὀφθαλμόν. καὶ γυνὴ δέ τις αἱμόρρους ἐπὶ ἔτη ἑπτὰ, ἔτυχε τῆς * ἰάσεως. καὶ λέοντα δὲ φησὶ, πολλοὺς ὁδοιπόρους ἁρπάζοντα, τοῖς αἰτησαμένοις δοὺς τὸ τοῦ σταυροῦ σύμβολον, νεκρὸν ἀπέδειξεν ὑπὸ τοῦ σταυροῦ.

* ἐπηρίας. * σώσεως.

Ὅτι μετὰ τετραετίαν, διὰ τὸν ὄχλον τῶν προσιόντων, ἐξέρχεται τῆς μονῆς, καὶ ἔτι ἔτη δύο ἔν τινι σπηλαίῳ ἄυπνος τὰ πολλὰ διετέλει, μὴ ἀναπεσὼν ὅλον τὸν χρόνον τῆς διετίας. ἐν ᾧ καὶ νεκρωθεὶς ὑπὸ τοῦ κρύους τὰ περὶ τὴν γαστέρα καὶ τοὺς νεφροὺς, εἰσέρχεται διὰ τὴν νόσον ἐν τῇ πόλει· ἐν ᾧ καὶ χειροτονεῖται ὑπὸ Μελετίου διάκονος, καὶ ὑπηρετεῖ τῷ θυσιαστηρίῳ ἔτη πέντε. γράφει δὲ τότε καὶ τοὺς πρὸς Σταγείριον γ'. λόγους καὶ τοὺς περὶ ἱερωσύνης, καὶ τοὺς περὶ ἀκαταλήπτου. τελευτήσαντος δὲ Μελετίου ἐν Κωνσταντινουπόλει, ἀναχωρεῖ πάλιν ὁ θεῖος Ἰωάννης ἐν τῷ μοναστηρίῳ. Φλαβιανὸς δὲ ἀντὶ Μελετίου καταστὰς, ἐκ θείας ἀποκαλύψεως χειροτονεῖ πρεσβύτερον, ἀπὸ τοῦ μοναστηρίου εἰς τὴν πόλιν αὐτὸν * ἀγαγών· τῆς ἀποκαλύψεως καὶ Ἰωάννην χειροτονηθῆναι, καὶ Φλαβιανὸν χειροτονῆσαι ἐπιτρεπούσης. καὶ περιστερὰ δὲ ἐπιπτᾶσα, καὶ ὑπὲρ κεφαλῆς τοῦ χειροτονουμένου στᾶσα, ἐδήλου τὴν ἐπ' αὐτοῦ θείαν χάριν, ὅση ἐστί: καὶ διέζησεν ἐν τῷ τῆς Ἀντιοχείας ἱερατείῳ ἔτη ιβ'.

* ἐπαγαγών.

Plurimum vero [a] Basilio vsus est magno, (non illo altero, vt alij affirmant) quem & Meletius diaconum ordinauit, & Ioánes cæteris in amicitia prætulit. Hic ante Ioannem mundo cum valedixisset, ad idem vitæ genus amicum quoque accersiuit, quem matris hactenus cura impediebat. Zeno fortè tum [b] Episcopus Hierosolymis profectus lectorem hunc [nostrum] Antiochenæ Ecclesiæ constituit: cuius & mater post paulo moritur.

Patriis ergo ille opidus in egenos distributis, vrbéque relicta, in monasterium extra oppidum se dedit, fitque ibi speculum ac norma religiosorum omnium.

Hesychius quidam monachus è Syria, futurorum præscius, duos vidit viros candidis indutos vestibus, quorum alter librum quem tenebat, claues alter; Ioanni tradiderit. [c] Ille se Petrum Apostolum esse dicebat, alter Ioannem Theologum. Hæc monachis Hesychius narrauit, cauens tamen ne qua ad Ioannem perferrentur. Ne summam, inquit, ob humilitatem nostrum monasterium relinquat. Tunc quoque religiosis eum exercitationibus vehementer exercitū ferunt, & Asceticas præterea orationes conscripsisse. Sed & miracula in hoc monasterio patrauit. Ciuis enim cuiusdam capitis partem alteram dolor vsq; eo inualerat, vt & dexter oculus dependeret. ille ergo ad Ioannem accedens, sanitatem extemplo recepit. Archelaus præterea quidam, diuitiis & auctoritate pollens, lepram in facie nactus, iussus in lacu, vnde fratres frigidam biberent, lauare, morbo liberatus est: qui & facultatib. suis distributis, in eodem illo, vbi restitutus erat cœnobio, rebus huius mundi valedixit: ac præter hunc alij plurimi. Quidam Euclēus nomine, dæmonis improbitate altero amisso oculo, monachis aggregandus venit: qui & à sancto viro detonsus oculum recepit.

Mulier quoq; sanguinis fluxu annos septem afflicta, valetudinem recuperauit. Leo etiam, vt ferunt, viatores multos abripiebat, at cum rogatus Ioannes crucis eis signum impressisset, huius mox ille vi exanimatus est.

Post quadriennium deinde, ob frequentem accedentium turbam, monasterio excessit, & biennium adhuc in spelunca quadam insomnis plerumque, nec vnquam toto illo tempore humi stratus, delituit.

Emortuis autem hic præ frigore iis corporis partibus, quæ ventrem ac renes attingunt, in vrbem hoc malo coactus reuertit; vbi à Meletio Diaconus ordinatus, altari quinque per annos ministrauit. Scripsit tum *ad Stagirium libros tres*, & *de* [d] *Sacerdotij dignitate*, & [e] *De Incomprehensibili*. Verum Meletio Constantinopoli extincto, in monasterium beatus Ioannes reuertit: quem Flauianus Meletij in sede Antiochena successor, apparitione diuina monitus, è cœnobio in vrbem reductum, [f] presbyterum creat: que sanè visio & Ioannem ordinari, & Flauianum ordinare mandabat. Columba item illa aduolans, quæ iam ordinandi capiti insedit, quanta Dei gratia replendus ille esset, satis ostendit. Antiochiæ itaq; sacris operaus est ad annos duodecī,

GEORGIVS

[a] De Basilio B. Chrysost. amicos remitto te ad Baron. Card. Annal. To. IV. ad A. Ch. 372. & Notas Claud. Dausquei nostri in Homil. D. Basil. Seleuciens. De Basilio autem Cæsarea Cappadocum hic locutum Georgium, ex ipsius opere integro manifestissimum. Vide etiam inf. Cod. CLXV. II.

[b] Gaza, siue Maiuma Episc. Niceph. cap. 2.

[c] Eosdem iterū visos esse morienti. Niceph. lib 13. cap. 37. retulit.

[d] Hos maxime prædicat Suidas.

[e] Addit Nicephorus lib. 13. c. 3. de sinec. τῶν συνεισάκτων.

[f] Miri variant hic ipsi inter se Niceph. lib. 13. c. 2 in fine. Simeon Metaphrastes obscurum facit.

GEORGIVS.

a Suidas eadem ex Cassiod.

Erat autem ob ardens probitatis studium iam inde ab adolescentia seuerus atque [a] asper, & iracundiæ potius, quam verecundiæ morem gerens. Varios rursum Antiochiæ conscripsit commentarios: & Episcopo vrgente ex tempore est de superiore loco ad populum concionatus.

Feminæ Eucliæ nomine filius, febri ad medicorum desperationem correptus, à Ioanne curatus est aqua, quam ille cruce signatam ad aspergendum dederat. Mulier item quædam sectæ Marcionistarum (cuius coniux ea in vrbe magistratum quendam gerebat) disenteria grauiter laborans, desperata iacebat: sanitate verò per illum recepta, ipsa cum coniuge, omnique adeò familia, compluresque alij Marcionistæ, hæresi abiurata, ad Orthodoxos redierunt.

Nectario deinde Constantinopolitano Patriarcha vita functo, euocatur Antiochia Chrysostomus, multum repugnantibus Antiochenis, qui suum ipsi bonum amittere nolebant. Peruicit tamen Cæsaris iussum, ordinatque hunc [b] inuitus Theophilus Alexandriæ præsul. Timendi enim erant ei accusationum [c] libelli, nisi ordinationi annuisset. At dum ille communi decreto ordinatur, à dæmoniis obsessus quidam eius ope liber abijt.

Magnus itaque iam ordinatus Chrysostomus illum continuo morem sustulit, quo cœlibatum professi, [d] diuersi sexus contubernales apud se alebant. In iniustos item, ventrique ac libidini deditos, longis inuectus est orationibus. Erat adhæc pauperum ita studiosus, vt hinc à plerisque *Eleemosynarius* cognominatus sit. Vno dicam verbo, & virtutem omnem docebat, & ab omni vitio deterrebat. Misit autem & in Phœniciam monachos, qui idololatriæ illic etiamnum deditos ab errore in viam reducerent: per quos item Imperatoris legibus armatos, idolorum fana subuertit, subuersionis sumtibus piis aliquot fœminis suppeditantibus. [e] Celticam adhæc [militum] turbam Arianismo infectam, ordinatis qui eius gentis linguam callerent sacerdotibus, orthodoxorum gremio restituit. Ad Istrum insuper misit, qui Nomadas ibi Scythas ad Christianæ fidei veritatem volentes adduxerunt. Marcionis præterea hæresim, [f] in Oriente tum repullulantem funditus extirpauit. Nocturnos psalmorum hymnos auxit. [g] Solus verò cibum capere solebat, tum quod vino ob capitis calorem prorsus abstineret (nisi id fo tè æstate tantùm cùm [h] rosaceum biberet) tum etiam quòd ęgro stomacho esset, vt ea ferè quę ipsi apponebātur, nō ederet, sed alia pro his appeteret: tertiò deniq; quod frequēter [i] negotiis vacās, absque cibo diem transigeret. Clero autem rigidus nimis atque asper videbatur. Et [k] Serapion eius Diaconus ingentem illi inuidiam cōflauit. Etsi multos etiam alias ob causas Ioannes ab Ecclesia relegauit. Conflictatus deinde Serapion etiam cum Seueriano Gabalorum Episcopo, ingens huius excitauit in Ioannem odium, quod ad extremū vsque spiritū retinuit. Amabatur tamen Ioannes singulari studio à populo, ob crebras in tēplo conciones: vt ipse vicissim S. Pauli Epistolas valde adamabat, quas & explanauit, visúsque est [l] Proclo tribus continuo

b Q. ad Isidoro Presbyt. Alexandrino hunc episcopatū tradere studeret. Niceph. lib. 13. cap. 20

c Quos aduersus Theophilum oblatos examinatum iri minabatur Eutropius præpositus palatij, vt habet Cassiod. in vita B. Chrysost.

d συνεισάκτους sùbintroductas, & agapetas vocabāt. de quibus D. Baron. To. 5. Anc. Ch. 398. & S. Greg. Nazian. carm. ad Virgin. v. 96. Gnomisque distic. vers. 1. Einsd. etiam Comment. Nicet. in Orat. XLIII.

e Scythiam Theodoret. & Niceph. cap. 31 idemq; Cassiod.

f Apud Ostrenos Niceph.

g Quo vero consilio id ille fecerit, nemo clarius dixit quàm Niceph. Plures rationes vide apud Palla. & Metaphr.

h διὰ ῥόδων, quod rosatum vocant Diosc. lib. V.

i σχολάζων.

k De quo Niceph. cap. 9. & Cassiod. in vita B. Chrysost. Quem etiā acerbius vocat Leo Imp. Orat. in B. Chrysost. quam huius Georgij vestigia premens scripsit; claudis, tantum non ad verbum hinc videtur transcripta.

l Chrysost. sic primum scribit, ac multo post tempore in episcopatu etiam successor. Niceph. lib. 13. cap. 2.

ἦν δὲ διὰ ζῆλον σωφροσύνης, ἐκ νέας ἡλικίας πικρὸς καὶ θυμῷ μᾶλλον ἢ αἰδοῖ χαριζόμενος. πολλὰς δὲ ἐν Ἀντιοχείᾳ συγγραφὰς ἐποιήσατο ἐξηγήσεις. καὶ τοῦ ἐπισκόπου βιασαμένου, καὶ αὐτοσχεδίους [καὶ] καθωμίλησε τοῦ λαοῦ ἐπὶ τοῦ ἄμβωνος.

Ὅτι γυναικός τινος Εὐκλείας υἱὸς, νόσῳ πυρετικῇ βληθεὶς, ἀπεγνώσθη· ἔτυχε δὲ παρὰ Ἰωάννου τῆς ἰάσεως, διὰ τοῦ ὕδατος, ὃ ἐκεῖνος σφραγίσας *περιρρανθῆναι ἔδωκε. καὶ γυνὴ δέ τις τῶν Μαρκιωνιστῶν, ἀρχάς δέ τινας τῶν ἐν τῇ πόλει ὁ ταύτης ἐφείλεσεν ἀνήρ, δυσεντερικῇ περιπεσοῦσα νόσῳ ἀπέγνωστο. τυχοῦσα δὲ τῆς ἰάσεως, αὐτή τε καὶ ὁ ταύτης ἀνὴρ σὺν παντὶ τῷ οἴκῳ πρὸς τὴν ὀρθοδοξίαν ἐπέστρεψε, καὶ πολλοὶ ἄλλοι τῶν Μαρκιανιστῶν.

Ὅτι Νεκταρίου Κωνσταντινουπόλεως τελευτήσαντος, μετάπεμπτος ἀπὸ Ἀντιοχείας ὁ Χρυσόστομος γίνεται πολλὰ μὲν ἐναντιωθέντων τῶν Ἀντιοχέων· τὸ γὰρ οἰκεῖον ἀγαθὸν ἑαυτοῖς καὶ ἔχειν ἠξίουν. ἐκνικησάσης δὲ ὅμως τῆς βασιλικῆς *ἐξαπέμψεως, καὶ χειροτονεῖ τοῦτον ἄκων ὁ τῆς Ἀλεξανδρείας Θεόφιλος. ἐπεσείοντο γὰρ αὐτῷ, εἰ μὴ πρὸς τὴν χειροτονίαν κατανεύσοι, οἱ τῶν ἐγκλημάτων λίβελλοι. χειροτονεῖται γοῦν ψήφῳ κοινῇ, καὶ δαιμονῶν *αὐτίκα τῆς παρ' αὐτοῦ τυγχάνει ἰάσεως.

Ὅτι ὁ μέγας Χρυσόστομος παραυτίκα τοὺς ἔχοντας συνεισάκτους τοῦ ἔθους ἐξέκοψε, καὶ κατὰ τῶν ἀδίκων καὶ γαστριμάργων, καὶ φιληδόνων, λόγους μακροὺς κατέτεινεν. ἦν δὲ καὶ ἐλεήμων σφόδρα· ἐξ οὗ παρὰ πολλοῖς ὁ τῆς ἐλεημοσύνης ἐπεκλήθη Ἰωάννης. καὶ ἁπλῶς πᾶσαν μὲν ἀρετὴν ἐδίδασκε, πάσης δὲ κακίας ἀπεῖργεν. ἀπέστειλε δὲ καὶ εἰς Φοινίκην μοναχούς, ἐφ' ᾧ τοὺς ἔτι τῇ εἰδωλολατρείᾳ κατεχομένους ἀπαλλάξαι τῆς πλάνης. οὓς καὶ νόμοις ὁπλίσας βασιλικοῖς, τοὺς ναοὺς τῶν εἰδώλων κατέστρεψε· τῶν ἀναλωμάτων, τῶν ἐπὶ κατασκευῇ, ἐκ τῶν εὐλαβῶν γυναικῶν παρεχομένων. καὶ τὸν Κελτικὸν δὲ ὅμιλον ἀρειανίζοντα, ὁμογλώσσους χειροτονήσας, κατέστρεψεν εἰς τὴν ὀρθοδοξίαν. καὶ ἐπὶ τὸν Ἴστρον πέμψας τοὺς νομάδας Σκύθας, ἐπὶ τὸν χριστιανισμὸν ἑκόντας εἱλκύσατο. καὶ τὴν Μαρκίωνος αἵρεσιν κατὰ τὴν ἀνατολὴν φυομένην ἐξέτεμε. καὶ τὰς νυκτερινὰς ψαλμῳδίας ἐπηύξησε. μόνος δὲ ἤσθιεν· ὅτι τε οἶνον, διὰ τὴν τῆς κεφαλῆς θέρμην οὐκ ἔπινεν, εἰ μή που ἐν τῷ θέρει τὸ διὰ ῥόδων· καὶ ὅτι κακόσιτος ὤν, οὐκ ἐχρῆτο τοῖς παρεχομένοις αὐτῷ πολλάκις, ἀλλ' ἀντ' αὐτῶν ἄλλα ἐπεζήτει. καὶ τρίτον, ὅτι πολλάκις σχολάζων, ἄσιτος δι' ἡμέρας ἔμενεν. ἐδόκει δὲ τῷ κλήρῳ μάλιστα σκληρὸς εἶναι καὶ τραχύς· καὶ Σεραπίων δὲ ὁ διάκονος αὐτοῦ, πολλοῦ μίσους αὐτῷ γέγονεν αἴτιος. πολλοὺς δὲ καὶ ὁ Ἰωάννης ἄλλους, δι' ἄλλας αἰτίας, τῆς ἐκκλησίας ἐξέβαλε. προσκρούσας δὲ Σεραπίων καὶ Σευηριανῷ τῷ Γαβάλων· καὶ τίκτεται μεγάλη *αὐτοῦ πρὸς τὸν Ἰωάννην ἔχθρα, ἣν καὶ μέχρι τέλους συνετήρει. ὁ δὲ λαὸς διὰ τοὺς ἐν τῇ ἐκκλησίᾳ λόγους σφόδρα ἠγάπα τὸν Ἰωάννην. ἠγάπα δὲ οὗτος τὰς τοῦ ἁγίου Παύλου ἐπιστολὰς λίαν, καὶ ἡρμήνευσεν αὐτάς. ἐμφανίζεται δὲ Πρόκλῳ ἐπὶ τρεῖς νύκτας

* διαρρανθῆναι

* μεταπέμψεως

* ἐξαυτῆς.

* αὐτῷ.

νύκτας ἐμπνεόμενος ὁ μέγας Ἰωάννης ὑπὸ τοῦ ἀποστόλου Παύλου εἰς τὴν τῶν ἐπιστολῶν ἑρμηνείαν.

* al. Θευδέριχον.

Ὅτι προσέκρουεν τῇ βασιλίδι, διὰ * Θεοδώριχον τὸν πατρίκιον. τὸν μὲν γὰρ παραλόγου εἰσπράξεως, ἣν ἐποίει ἡ βασιλίς, μόλις ἀπαλλάσσει τὸν ἄνδρα· ὁ δὲ δίδωσι τοῖς τῆς ἐκκλησίας πτωχοῖς δῶρον χαριστήριον τῷ Θεῷ, τὸ πολὺ μέρος αὐτοῦ τῆς ὑπάρξεως· ὑφ' οὗ πρὸς κακίαν καὶ διαβολὴν ἀναφλέγεται ἡ Εὐδοξία.

Ὅτι Εὐτρόπιος νόμον εἰσάγει * τοὺς προσφυγόντας τῇ ἐκκλησίᾳ μὴ τυγχάνειν τοῦ τῆς ἀσυλίας προνομίου· καὶ μετ' οὐ πολὺ καταφυγὼν αὐτὸς τῆς οἰκείας ἀπολαύει νομοθεσίας. οὗ ὑπὸ τὸ θυσιαστήριον ἐρριμμένου, λόγον ἐλεγκτικὸν διεξῆλθεν ὁ μέγας Ἰωάννης, καὶ πολλοὺς εἰς μῖσος ἐκίνησεν. ἐδόκει γὰρ ἀφιλανθρώπως λίαν ἐπιπλήττειν τὸν δυστυχοῦντα.

Ὅτι τῶν Ἀρειανῶν τὰς ἐκκλησίας ἀφείλετο· καὶ τὸν βασιλέα αἰτησάμενος, τῆς πόλεως ἐξέβαλε. καὶ ἀντίζοντα ἐκείνων ἐπιτηδευσάντων εἰς ἐξαπάτην τῶν ἁπλουστέρων, αὐτὸς ὑπερέβαλε, συναιρομένης τῆς βασιλίδος, ὡς καὶ σταυροὺς ἀργυροῦς τοῖς ἀντιφώνοις περιπήγνυσθαι. ἀρχὴν δέ φασι τῶν ἀντιφώνων Ἰγνάτιον γενέσθαι τὸν θεοφόρον, ἀγγέλους τὸ θεῖον ὑμνοῦντας, τοῦτον τὸν τρόπον ἐκμιμησάμενον.

Ὅτι Γαϊνᾶς ὁ ἀρειανὸς δυνατὸς ὢν ᾔτησε τῷ βασιλεῖ ἐκκλησίαν, καὶ ὁ Ἰωάννης παρὼν, μετὰ πολλῆς ἐπετίμησε τῆς παρρησίας, καὶ τὴν αἴτησιν ἀπεκρούσατο. χρόνῳ δὲ ὕστερον, χεῖρας ἀνταίραντος βασιλεῖ, μηδὲν μελλήσας ὁ Ἰωάννης, ἀξιούντων τοῦτο πάντων, πρὸς αὐτὸν παραγίνεται διαπρεσβευσόμενος· καὶ παύει τότε τὴν ἐπανάστασιν.

* al. Οὐαλεντινιανουπόλεως.

Ὅτι Εὐσέβιος ἀπὸ τοῦ Κελβιανοῦ ἐπίσκοπος * Οὐαλεντινιανουπόλεως κατὰ Ἀντωνίνου, τοῦ Ἐφεσίων, λιβέλλους ἐπιδίδωσι. περιείχετο δὲ τοῖς βιβλίοις ἐγκλήματα ἑπτά· ἱεροσυλίας τρία. καὶ ὅτι παῖδα, φονέα γεγονότα, ἀνεπιτίμητον ἔχει μεθ' ἑαυτοῦ· καὶ ὅτι τὸ διαφέρον τῇ ἐκκλησίᾳ * τύπιον, ὅπερ Βασιλίνα ἡ τοῦ Ἰουλιανοῦ μήτηρ κατέλιπε, πωλήσας ἐσφετερίσατο· καὶ ὅτι τῇ γυναικὶ ἀποταξάμενος, συνῴκησε, καὶ ἐπαιδοποίησεν ἐξ αὐτῆς· ἕβδομον δὲ, ὅτι ἐπὶ χρήματα χειροτονεῖ. ἐξετάζετο δὲ ὡς βαρύτερον τὸ ἕβδομον, καὶ τῆς δίκης ἐπὶ πολὺ * παρατεινομένης· ἐχρημάτιζε γὰρ ἐθελοκακεῖν καὶ ὁ κατήγορος. ὁ μὲν Ἀντωνῖνος τελευτᾷ, ὁ δὲ μέγας Ἰωάννης πρὸς τὴν Ἔφεσον παραγίνεται· καὶ τοὺς ἐπὶ χρήμασι χειροτονηθέντας συγκαταθεμένους, ἓξ ὄντας τὸν ἀριθμὸν, καθαιρεῖ. καθαιρεῖ δὲ καὶ ἑτέρους ἓξ ἐν τῇ αὐτῇ Ἀσίᾳ διὰ τὴν αὐτὴν νόσον. καὶ χειροτονεῖ ἀντὶ μὲν Ἀντωνίνου Ἡρακλείδην τὸν οἰκεῖον διάκονον, ἐφ' ᾧ καὶ στάσις συμβαίνει· καὶ ἀντὶ τῶν λοιπῶν ἑτέρους, εὐλαβείᾳ καὶ τῇ ἄλλῃ ἀρετῇ πολὺ διαφέροντας. ἀλλ' οὗτοι πάντες, ἐξορισθέντος τοῦ Χρυσοστόμου, τῆς ἐπισκοπῆς ἀπηλάθησαν, τῶν κατεγνωσμένων καὶ ἀποβεβλημένων πάλιν τοῖς θρόνοις ἐγκαταστάντων.

* al. [illegible]

* παρατεταμένης.

GEORGIVS.

noctibus Paulus Apostolus, suarum illi suggerens epistolarum interpretationem.

Offendit insuper Augustam Ioannes propter [a] Theuderichum Patricium. Ab iniqua enim exactione, quam Augusta exigebat, cum ægrè hominem liberasset, illeque post facultatum maximam partem, vt gratuitum Deo donum, Ecclesiæ pauperibus attribuisset, in iram hinc Eudoxia inuidiámque incensa est. Eutropius [b] legem ferendam curarat, ne ad Ecclesiam confugientibus sacri immunitas loci valeret. Sed post non diu cùm Eutropius ipse ad Ecclesiam perfugisset, legis suæ fructum tulit. Eo igitur ad aram prostrato, reprehensionis plenam orationem adhibuit Ioannes, qua plurimorum in se odium concitauit. Nimis enim inhumanè afflictum hominem accipere visus est. Arianis sacras Ecclesias ademit, & Imperatoris implorata ope Constantinopoli exegit. [c] Antiphonis item [alternis cantandis,] quibus illi compositis plebem circumueniebant, eosdem superauit: ita adiuuante Augusta, vt & argenteæ cruces ad Antiphonorum cantum decorandum adhiberentur. Ceterum Antiphonorum originem ad Ignatium illum diuinum hominem referunt, laudes DEI concinentes Angelos hac in re imitantem. [d] Gainas Arianus, cum potentia valeret plurimum, templum Arianis suis in vrbe ab Imperatore postulabat. Sed Ioannes ibi tum præsens, ingenti cum libertate rem penitus improbauit, obstititque, ne postulata ille obtineret sua. Post igitur cùm copias idem, contra Imperatorem insurgens, collegisset, Ioannes nihil veritus, reliquis omnibus id postulantibus, ad barbarum legationem instituit, ac rebellionem compressit.

Eusebius Valentianopolis post Celbianum Episcopus, contra [e] Antoninum Ephesiorum antistitem libellos obtulit, quibus ille septem accusationis capita complexus est: sacrilegia [f] tria: deinde quòd puerum homicidam, quem idcirco ne reprehendisset quidem, apud se haberet: tum quòd quidquid ad Ecclesiæ vtilitatem à Basilina Iuliani matre relictum esset, ipse vendidisset, sibique vindicasset: quòd vxore præterea, quam pietatis antea studio deseruerat, rursus familiariter vteretur, ac sobolem etiam ex ea sustulisset: septimum denique, quòd pecunia corruptus ordinaret. In septimum autem crimen, cùm id omnium grauissimum videretur, inquisitum est. At dum iudicium hoc in longum protenderetur (de industria enim improbe agere etiam ipse accusator dicebatur) Antoninus interim diem clausit extremum. Quare magnus Ioannes Ephesum ipse proficiscitur, pecuniáque ordinatos, & crimen fassos, sex numero, sedibus submouit. Totidem alios in ea ipsa Asia ob idem crimen Episcopatu expulit. In Antonini vero locum Heraclidem Diaconum suum suffecit, vnde & seditio exorta est. Pro submotis item illis aliis, pietate, cæterisque virtutibus longe meliores Episcopos creauit. Qui tamen omnes, pulso post in exsilium Chrysostomo, episcopatu priuati sunt, receptique suis rursum sedibus, qui iudicio eiecti erant. [g] Seuerianus quidam Gabalorum Episcopus, cognito [h] Antiochum Constantinopolim venisse; atq;

a Theodericũ al. vide Metaphor. hic post causam Antonini, Pallad. &c.

b Niceph. hæc refert c. IV.

c Ἀντίφωνα describit Niceph. Carmina, quæ alternis per responsionem concinuntur. Vide totum c. 8.

d De Gaina lege Niceph. c. 5. & 6.

e Qui apud Nicephor. c. 9. & forte alibi non nisi Antonius appellatur.

f Quæ leges apud Pallad. & Metaphr.

g Ptolemaidis Syria Episcop. Niceph.

h Niceph. hæc cap. 5. sub fin. Habes autem ex hoc ipso pendella testimonia apud Theoderet. in Eranista, minimeque Gennad. in Catalo. cap. 21.

Ὅτι Σευηριανὸς ὁ Γαβάλων μαθὼν Ἀντίοχον ἐν Κωνσταντινουπόλει παραγενόμενον, καὶ

GEORGIVS. per dicendi gratiam rem auxisse familiarem, eodem & ipse accessit. Huic igitur Ioannes Ephesum proficiscens, suas dum abesset, docendi in Ecclesia vices commendauit. Hinc ergo Imperatori Seuerianus omnibúsque adeo innotuit.

a Hoc nomine Theognosti viduam, de qua hic inf. sed contra Palladij & Metaphrastae auctoritatem, cum quib. noster quoque sentit.

μιαστικὴ τετράβιβλος· ἐν ᾗ περιέχεται ἥ τε τοῦ ἀνδρὸς ἄλλη πολιτεία ἐξ αὐτῆς πρώτης ἡλικίας ἀρχομένη, καὶ ὅσαι πρὸς τὴν ἐκκλησιαστικὴν ἱστορίαν συντελοῦσι πράξεις· μέχρις οὗ τὸν βίον ἀπέλιπεν, εἰς ἑξηκοστὸν καὶ τέταρτον παραταθέντα χρόνον. ἔστι μὲν οὖν κἀνταῦθα τὴν φράσιν ὅμοιος ἑαυτῷ, πλὴν μικρόν τι πρὸς τὸ λαμπρότερον ἐκβεβίασται αὐτῷ ὁ λόγος, καὶ λέξεις εἰς τὸ ἀνθηρότερον ἐνιαχῆ συνειλήφθησαν. τὸ μέντοι κατὰ τὴν ἑρμηνείαν ἡδονῆς καὶ χάριτος οὐδὲν μέγα, ὥσπερ οὐδὲ ἐν τοῖς ἄλλοις, ἐμφαίνεται. καταστρώννυσι δὲ ἐν ταύτῃ αὐτοῦ τῇ τετραβίβλῳ πάμπολλα χωρία ἐξ ὁλοκλήρου τῆς ἐκκλησιαστικῆς αὐτοῦ δεκαλόγου ἱστορίας. λέγει μὲν οὖν καὶ αὐτὸς, ἐν Νικομηδείᾳ τὸν μέγαν Κωνσταντῖνον βαπτίσασθαι, μέχρι τότε τὸ λουτρὸν ἀναβαλλόμενον· ἅτε δὴ ἐν ἐπιθυμίᾳ ποιούμενον, τοῖς Ἰορδάνου τὸ λουτρὸν ὑποδέξασθαι. τίς δὲ ὁ βαπτίσας, οὐδὲν διασαφεῖ. περὶ μέντοιγε τῆς ἀρειανῆς αἱρέσεως οὐδὲν σαφὲς ἀπαγγέλλει, οὐδ' εἰ τῆς δόξης ἐκείνης εἴχετο, οὐδ' ὅτι μεταβέβληται, ἀλλ' οὐδ' ὅτι φαύλως ἢ ὀρθῶς ἐδόξαζεν ἄρειος. καίπερ ἀνάγκην ἔχων ἐν μνήμῃ ταῦτα ποιήσασθαι, ἅτε δὴ μέγα μέρος ἐπεχούσης τῆς συνόδου τῶν τοῦ μεγάλου πράξεων Κωνσταντίνου. κἀκείνης πάλιν ἐξαπαιτούσης τὴν περὶ τούτων λεπτομερεστάτην ἱστορίαν. ἀλλὰ στάσιν μὲν ἐμπεσεῖν μεταξὺ ἀρείου καὶ Ἀλεξάνδρου, τὴν αἵρεσιν δ' οὕτω λέγων καὶ ὑποκρυπτόμενος ἀποφαίνεται), ἐπί τε τῇ στάσει λίαν ἀλγῆσαι τὸν θεοφιλῆ βασιλέα, καὶ ἀγωνίσασθαι διά τε ἐπιστολῶν διά τε τοῦ Ὁσίου, ὃς [a] κουδρόβης ἐπεσκόπει, εἰς φιλίαν καὶ ὁμόνοιαν συζεῦξαι τὸ στασιάζον, τῆς πρὸς ἀλλήλους ἔριδος ἀφεμένους, καὶ τῶν τοιούτων ζητήσεων. ὡς δ' οὐκ ἐπεῖθε, σύνοδον πανταχόθεν ἀθροῖσαι, καὶ τὴν ἐμπεσοῦσαν ἔριν εἰς εἰρήνην διαλύσασθαι. οὐ μὴν εἰς τὸ ἀκριβὲς καὶ ἐπίδηλον ἀναγράφεται. οὗτος οὖν ὥσπερ αἰσχυνομένῳ ἐοικὼς, καὶ μὴ βουλομένῳ δημοσιεύειν ἄρειον, τήν τε τῆς συνόδου ἐξενεχθεῖσαν κατ' αὐτοῦ ψῆφον, καὶ τῶν συνασεβησάντων αὐτῷ, καὶ συνεξωσθέντων τὴν δικαίαν εἰς πρᾶξιν. οὐ μὴν ἀλλ' οὐδ' ἣν θεόθεν πᾶς ὀφθαλμὸς εἶδεν ἔνδικον ἀρείου καταστροφὴν, οὐδὲν τούτων ἄγων εἰς φῶς, τήν τε περὶ τῆς συνόδου καὶ τῶν ἐν αὐτῇ πραχθέντων ἱστορίαν παρέδραμε. διὸ καὶ περὶ τοῦ θεσπεσίου Εὐσταθίου μέλλων διηγεῖσθαι, οὔτε τοῦ ὀνόματος μέμνηται, οὐδ' ὅσα περὶ αὐτὸν ἐτολμήθη καὶ εἰς ἔργον ἀπεβέβηκεν. ἀλλ' εἰς στάσιν καὶ ταραχὴν ἀνάγων καὶ ταῦτα, γαλήνας καὶ πάλιν ἐπιλέγει ἐπισκόπων, κατὰ τὴν ἀντιόχειαν συνδεδραμηκότων, σπουδῇ βασιλέως καὶ συνεργίᾳ, καὶ τὸ στασιάζον καὶ ταραττόμενον εἰς τὸ εἰρηναῖον μεταβεβληκότων. ὁμοίως δὲ καὶ ἐν οἷς ὁ πολύαθλος ἐσκευωρήθη Ἀθανάσιος, εἰς ταῦτα τὴν ἱστορίαν ὁρμήσας ἐπαφεῖναι, στάσεως μὲν ἐμπλησθῆναι πάλιν καὶ ταραχῆς τὴν Ἀλεξάνδρειαν λέγεται), καὶ ταύτην πραϋνθῆναι ἐπισκόπων παρουσίᾳ τὴν βασιλικὴν ἐχόντων συμμαχίαν. οὔτε δὲ τίς στασιάζων. οὐδ' ἥτις ἡ στάσις· ἢ τί καὶ πράξαντες τὴν ἔριν ἐπράϋναν, οὐδ' ὅλως ποιεῖται ἐπίδηλον.

[a] Κουδρόβης.

καὶ

καὶ σχεδὸν, ἐν οἷς ἐπισκόπων πρὸς ἀλλήλους φιλονεικίαι περὶ δογμάτων, ἢ περί τινων ἄλλων διαφωνίαι γεγόνασι, τὸν αὐτὸν τοῦ ἐπικρύψεως ἐν τῇ διηγήσει τύπον διαφυλάττει.

Quin ferè quotiescunque Episcoporum inter ipsos de fidei capitibus contentiones, vel aliæ denique dissensiones fuerunt, eundem seruat in narrando celandi modum. EVSEBIVS.

ΛΟΥΚΙΑΝΟΥ ΔΙΑΦΟΡΟΙ λόγοι.

ρκη'. Lucian. opera varia.

ΑΝΕΓΝΩΣΘΗ Λουκιανοῦ ὑπὲρ Φαλάριδος, καὶ νεκρικοὶ καὶ ἑταιρικοὶ διάλογοι διάφοροι, καὶ ἕτεροι διαφόρων ὑποθέσεων λόγοι. ἐν οἷς σχεδὸν ἅπασι τὰ ἑλλήνων κωμῳδεῖ, τήν τε τῆς θεοπλαστίας αὐτῶν πλάνην καὶ μωρίαν καὶ τὴν εἰς ἀσέλγειαν ἄσχετον ὁρμὴν καὶ ἀκρασίαν, καὶ τῶν ποιητῶν αὐτῶν τὰς τερατώδεις δόξας καὶ ἀναπλάσεις, καὶ τὸν ἐντεῦθεν πλάνον τῆς πολιτείας, καὶ τοῦ ἄλλου βίου τὴν ἀνώμαλον περιφορὰν, καὶ τὰς περιπτώσεις, καὶ τῶν φιλοσόφων αὐτῶν τὸ φιλόκομπον ἦθος, καὶ μηδὲν ἄλλο, πλὴν ὑποκρίσεως καὶ κενῶν δοξασμάτων μεστὸν, καὶ ἁπλῶς, ὡς ἔφημεν, κωμῳδία τῶν ἑλλήνων ἐστὶν αὐτῷ ἡ σπουδὴ ἐν λόγῳ πεζῷ. ἔοικε δὲ αὐτὸς τῶν μηδὲν ὅλως πρεσβευόντων εἶναι. τὰς γὰρ ἄλλων κωμῳδῶν καὶ διαπαίζων δόξας, αὐτὸς ἣν θειάζει, οὐ τίθησι· πλὴν εἴ τις αὐτοῦ δόξαν ἐρεῖ, τὸ μηδὲν δοξάζειν. τὴν μέντοι φράσιν ἐστὶν ἄριστος, λέξει εὐσήμῳ τε καὶ κυρίᾳ, καὶ τῇ ἐμφατικῇ διαπρεπεστάτῃ κεχρημένος· εὐκρινείας τε καὶ καθαρότητος, μετὰ τοῦ λαμπροῦ καὶ συμμέτρου μεγέθους, εἴ τις ἄλλος, ἐραστής. συνθήκη τε αὐτῷ οὕτως ἥρμοσται, ὥστε δοκεῖν τὸν ἀναγινώσκοντα, μὴ λόγους λέγειν, ἀλλὰ * μέλος τι τερπνὸν χωρὶς ἐμφανοῦς ᾠδῆς τοῖς ὠσὶν ἐναποστάζειν τῶν ἀκροατῶν. καὶ ὅλως, ὥσπερ ἔφημεν, ἄριστος ὁ λόγος αὐτοῦ, καὶ οὐ πρέπων ὑποθέσεσιν, ἃς αὐτὸς ἔγνω σὺν τῷ γελοίῳ * διαπαῖξαι. ὅτι δὲ αὐτὸς τῶν μηδὲν ἦν ὅλως δοξαζόντων, καὶ τὸ τῆς βίβλου ἐπίγραμμα δίδωσιν ὑπολαμβάνειν, ἔχει γὰρ ὧδε·

* μέλη.
* ἐμπαῖξαι.

Λουκιανὸς τάδ' ἔγραψα παλαιά τε μωρά τε εἰδώς·
Μωρὰ γὰρ ἀνθρώποις καὶ τὰ δοκοῦντα σοφά.
Οὐδὲν ἐν ἀνθρώποισι διακριδόν ἐστι νόημα:
Ἀλλ' ὃ σὺ θαυμάζεις, τοῦθ' ἑτέροισι γέλως.

LVCIANI Opera varia.

CXXVIII.

LEGVNTVR [a] LVCIANI *pro Phalaride* [*orationes duæ*] *& mortuorum, amantiúmque dialogi varij*: alij item diuersis de rebus libelli, in quibus ferè singulis gentium res comice irridet: vt in Diis fingendis errorem illorum, atque amentiam: in libidinem præterea immoderatum impetum, atque intemperantiam: Poëtarum item apud ipsos prodigiosas opiniones, ac fictiones, indéque natum in repub. errorem; reliquæ etiam vitæ inconstantem cursum, atque casus: Philosophorum ad hæc ipsorum fastu plenos mores, qui nonnisi fictarum, inaniúmque opinionum referti sint: denique Gentes tanquam per comœdiam, vti diximus, pedestri, numerisque soluta oratione irridere studio illi fuit. Ex eorum autem numero esse videtur, qui nihil omnino [b] certi pronuntiant. Aliorum enim perstringens atque irridens opiniones, ipse quid sentiat tacet: nisi quis hanc illius fuisse certam opinionem contendat, nihil esse certò de rebus vllis statuendum.

Ad stylum quod attinet, longè optimus: dictione vsus significante ac propria, quæque efficax dicendi genus deceat. Distinctionis adhæc, atque puritatis, æquè vt perspicuitatis, & aptæ magnitudinis, si quis alius perstudiosus est. Compositionem quoque adeò commodè concinnat, vt lector credat non se orationes legere, sed iucundum aliquod carmen, sine manifesto cantu, audientium auribus instillari. Vno verbo, vt repetam, venustissima eius oratio est, nec satis subiectæ rei decens, quam ille voluit ridendo ludere. Quod autem de iis vnus ipse fuerit, qui nihil certo assererent, vel libro inscriptum hoc epigramma satis ostendit.

Scripsi hæc Lucianus prisci stultique peritus:
Stulta etenim, vulgo credita docta tamen.
Ergo nil hominum certò mens concipit vnquam:
Ast quod miraris, ridiculum est aliis.

[a] Videndus de hoc scriptore Suidas aliique.

[b] Quales Pyrrhonij & Academici, vtrique hinc ἐφεκτικοὶ & σκεπτικοὶ appellati. Videndus Agellius lib. 11. cap. 5. & Diog. Laert. in Pyrrhone. Sext. quoque Empyricus in Hypotyposibus Pyrrhoniis.

ΛΟΥΚΙΟΥ ΠΑΤΡΕΩΣ ΜΕΤΑμορφώσεων λόγοι.

ρκθ'. Luc. Patrensis Metamorphoses.

ΑΝΕΓΝΩΣΘΗ Λουκίου πατρέως μεταμορφώσεως λόγοι διάφοροι· ἔστι δὲ τὴν φράσιν σαφής τε καὶ καθαρὸς, καὶ φίλος γλυκύτητος· φεύγων δὲ τὴν ἐν λόγοις καινοτομίαν, εἰς ὑπερβολὴν διώκει τὴν ἐν τοῖς διηγήμασι τερατείαν, καὶ, ὡς ἄν τις εἴποι, ἄλλος ἐστὶ Λουκιανός. οἱ δέ γε πρῶτοι αὐτοῦ δύο λόγοι μόνον οὐ μετεγράφησαν Λουκίῳ ἐκ τοῦ Λουκιανοῦ λόγου· ὃς ἐπιγέγραπται λοῦκις ἢ ὄνος, ἢ ἐκ τῶν Λουκίου λόγων Λουκιανῷ. ἔοικε δὲ μᾶλλον ὁ Λουκιανὸς μεταγράφοντι, ὅσον εἰκάζειν. τίς γὰρ χρόνῳ πρεσβύτερος, οὔπω ἔχομεν γνῶναι. καὶ γὰρ ὥσπερ ἀπὸ πλάτους τῶν Λουκίου λόγων ὁ Λουκιανὸς ἀπολεπτύνας καὶ περιελὼν, ὅσα μὴ ἐδόκει αὐτῷ πρὸς τὸν οἰκεῖον χρήσιμα σκοπὸν· αὐταῖς τε λέξεσι καὶ συντάξεσιν εἰς ἕνα τὰ λοιπὰ συναρμόσας λόγον, * λοῦκις ἢ ὄνος ἐπέγραψε τὸ ἐκεῖθεν ὑποσυληθέν.

* Λοῦκις.

LVCII PATRENSIS Metamorphoses.

CXXIX.

LECTAE sunt LVCII PATRENSIS *transformationum narrationes variæ*. Dictio eius clara, pura, & dulcedine delectans: fugiens verò orationis nouitatem, supra modum prodigiosas consectatur narrationes, vt iure dixeris alterum eum esse Lucianum. Priores certè duo ipsius libri, tantùm non descripti sunt à Lucio ex Luciani libro, qui inscriptus est LVCIVS, vel ASINVS. nisi contra ex Lucij libris à Luciano ille transcriptus est. Ac si coniectare licet (neque enim vter tempore prior fuerit, cognoscere hactenus potui) Lucianus potius transcripsisse videtur. Nam quasi copiosiores Lucij libros, resecatis quæ ad proprium pertinere scopum minimè videbantur, Lucianus accidisset, iisdémque verbis & compositionibus cetera vni aptasset narrationi, *Lucium*, seu *Asinum*, quem inde furto cõpilauit, librum [a] inscripsit.

[a] Vt ex Luciano vt ex sim D. Apuleius Madaurensis fabula Milesia Asinum aureum. Vide eius interpretes.

LVCIVS. PATREN. Fabulosarum autem fictionum, ac nefandæ turpitudinis pleni sunt vtriusque libri, hoc solo discrimine, quòd Lucianus, vt cæteros suos libros omnes, ad irridendum atque perstringendum gentium superstitiosum deorum cultum, hunc quoque composuerit: Lucius verò seriò agens, & certas ratus hominum in alios transformationes, & brutorum rationis expertium in homines, ac vice versa, aliásque antiquarum fabularum ineptias, ac nugas his litteris prodiderit, atque contexuerit.

CXXX. DAMASCII *Incredibilium libri IV.*

LEcti sunt [a] DAMASCII *libri quatuor:* quorum quidem primus sic inscribitur, *De incredibilibus fictionibus capita CCCLII.* Alter deinde: *Incredibilium de dæmonijs narrationum capita LII.* Tertius porrò, *De animis à morte apparentibus incredibilium narrationum capita LXIII.* [b] Quartus denique, *Naturarum etiam incredibilium capita CV.* In quibus omnibus plurima reperies, quæ neque fieri, neque credi possint, malè conficta, & stulta mendaciorum portenta, impio atque atheo Damascio verè digna: qui dum Euangelij lumen orbem terrarum illustraret vniuersum, ipse in densissima idololatriæ caligine immersus iacuit. Breuis ac velut compendiaria hic eius est oratio, non incompta tamen, neque perspicuitatem, vt in talibus narrationibus solet, negligens.

a Damascij sine huius, siue alterius, philosophica quædam exstant ἀνέκδοτα in Vaticana Pontificis bibliotheca. Habes item ex eius Isidori vita excerpta inf. capite CCXLII. & de eodem aptitis cap. CLXXXI. Plura Suid.
b In Græca leg. παραδόξων διηγημ. κεφάλαια ξγ. ὁ δὲ τέταρτος, καὶ παραδόξων φύσεων κεφάλαια ρέ.

CXXXI. AMYNTIANVS *In Alexandrum magnum, & alia.*

LEctvs est AMYNTIANI *de Alexandri laudibus liber.* Dedicat eum Marco Antonino Romanorum Imperatori: prædicátque se stylo res Alexandri gestas æquaturum. At deprehensus est in orationis progressu calidus quidem, & audax promissor, in promisso verò implendo, frigidus atque imbecillus. Multò enim in dicendo iis etiam inferior est, qui antè ipsum de Alexandro scripserunt.

Tenui atque elumbi vsus est dicendi genere. Eius autem perspicuitate non caret, plurima tamen necessaria prætermittit.

Scripsit idem, cum alios non vnius generis libros, tum *vitas* inuicem *comparatas*: vt Dionysij & Domitiani, libris duobus: Philippi quoque Macedonum regis & Augusti, libris totidem. Fertur eiusdem & *de Olympiadis*, Alexandri matris *vita* liber singularis.

CXXXII. CXXXIII. CXXXIV. CXXXV. PALLADII, APHTHONII, EVSEBII, ET MAXIMI, *Declamationes.*

LEctæ sunt [a] PALLADII *Sophistæ declamationes variæ*, [b] APHTHONII quoque, & [c] EVSEBII Sophistarum, item MAXIMI Sophistæ Alexandrini. Verùm cæteros Palladius omni dicendi artificio multis partibus superauit.

a Suidas insplendidus.
b Cuius exstant Progymnas. & fabulæ Græco-lat. in Germã. edit. vbi plura.
c An hic ille Arab. quem ἀνεπιγραφίαν Vltimo legimus apud Suidam

CXXXVI. CYRILLI *Thesauri.*

LEgvntvr CYRILLI *Thesauri.* Epicheirematis refertus est liber, pugnátque

γάμει δ' ὁ ἑκατέρου λόγος, πλασμάτων μὲν μυθικῶν, ἀρρητοποιίας δὲ *αἰσχρᾶς. πλὴν ὁ μὲν Λουκιανὸς, σκώπτων καὶ διασύρων τὴν ἑλληνικὴν δεισιδαιμονίαν, ὥσπερ κἀν τοῖς ἄλλοις, καὶ τοῦτον συνέταττεν. ὁ δὲ Λούκιος σπουδάζων τε, καὶ πιστὰς νομίζων τὰς ἐξ ἀνθρώπων εἰς ἀλλήλους μεταμορφώσεις, τάς τε ἐξ ἀλόγων εἰς ἀνθρώπους, καὶ ἀνάπαλιν· καὶ τὸν ἄλλον τῶν παλαιῶν μύθων ὕθλον καὶ φλήναφον γραφῇ παρεδίδου ταῦτα, καὶ συνύφαινεν. — *αἰσχρᾶς.

ΔΑΜΑΣΚΙΟΥ ΠΕΡΙ ΠΑΡΑΔΟξων λόγοι δ'.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Δαμασκίου λόγοι τέσσαρες, ὧν ὁ μὲν πρῶτος ἐπιγραφὴν ἔχει περὶ παραδόξων ποιημάτων κεφάλαια τνβ'. — ρλ'. — *forte* ρν. ὁ δὲ δεύτερος, παραδόξων περὶ δαιμονίων διηγημάτων κεφάλαια νβ'. ὁ δὲ τρίτος περὶ τῶν μετὰ θάνατον ἐπιφαινομένων ψυχῶν, παραδόξων διηγημάτων κεφάλαια [ξγ'. ὁ δὲ τέταρτος καὶ παραδόξων φύσεων κεφάλαια] ρέ. ἐν οἷς ἅπασιν ἀδύνατά τε καὶ ἀπίθανα, καὶ κακόπλαστα τερατολογήματα, καὶ μωρὰ, καὶ ὡς ἀληθῶς ἄξια τῆς ἀθεότητος καὶ δυσσεβείας Δαμασκίου· ὃς καὶ, τοῦ φωτὸς τῆς εὐσεβείας τὸν κόσμον πληρώσαντος, αὐτὸς ὑπὸ βαθεῖ σκότῳ τῆς εἰδωλολατρείας ἐκάθευδε. κεφαλαιώδης δὲ αὐτοῦ ἐν τούτοις ὁ λόγος, καὶ οὔτε ἄκομψος, οὔτε τὸ σαφὲς ὑπερορῶν, ὡς ἐν διηγήμασι τοιούτοις.

ΑΜΥΝΤΙΑΝΟΥ ΕΙΣ ΑΛΕΞΑΝδρον τὸν βασιλέα, καὶ ἕτερά τινα.

ΑΝΕΓΝΩΣΘΗ Ἀμυντιανοῦ εἰς Ἀλέξανδρον· προσφωνεῖ δὲ τὸν λόγον τῷ αὐτοκράτορι ῥωμαίων Μάρκῳ. καὶ ἐπαγγέλλεται μὲν ἀξίως εἰπεῖν τῶν Ἀλεξάνδρου πράξεων, ἐδείχθη δὲ προϊὼν ὡς ἐπαγγεῖλαι μὲν ἐστὶν εὐθερμος καὶ τολμητὴς, πληρῶσαι δὲ τὴν ἐπαγγελίαν ψυχρὸς καὶ δειλός. πολὺ γὰρ καταδεέστερον καὶ τῶν ἔμπροσθεν εἰρηκότων λέγει περὶ αὐτοῦ. ἀτόνῳ δὲ καὶ ἐκλύτῳ χαρακτῆρι κέχρηται· τὸ μέν τοι σαφὲς οὐ διαπίπτει, πολλὰ δὲ τῶν ἀναγκαίων παραλιμπάνει. ὁ αὐτὸς δὲ καὶ ἑτέρους λόγους ἔγραψε διαφόρους· καὶ παραλλήλους συνέθηκε βίους: ὥσπερ Διονυσίου καὶ Δομετιανοῦ, ἐν δυσὶ λόγοις· Φιλίππου τε μακεδόνος καὶ Αὐγούστου, ἐν ἑτέροις δυσίν. ἔτι δὲ καὶ περὶ Ὀλυμπιάδος τῆς Ἀλεξάνδρου μητρὸς λόγον ἔγραψε. — ρλα'. *Amyntianus in Alexandrum.*

ΠΑΛΛΑΔΙΟΥ ΣΟΦΙΣΤΟΥ, Ἀφθονίου, Εὐσεβίου, καὶ Μαξίμου μελέται.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Παλλαδίου σοφιστοῦ μελέται διάφοροι, καὶ Ἀφθονίου, καὶ Εὐσεβίου σοφιστοῦ, καὶ Μαξίμου σοφιστοῦ Ἀλεξανδρέως. ἀλλὰ τῶν ἄλλων ὁ Παλλάδιος κατὰ πᾶσαν ἀρετὴν τὴν ἐν λόγοις ἐπὶ πλεῖστον διήνεγκε. — ρλβ'. ρλγ'. ρλδ'. ρλε'. *Declamationes. Aphthonij, Eusebij, Maximi, Palladij.*

ΚΥΡΙΛΛΟΥ ΟΙ ΘΗΣΑΥΡΟΙ.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Κυρίλλου οἱ θησαυροί. ἐπιχειρηματικὸν δέ ἐστι τὸ βιβλίον, καὶ — ρλς'. *Cyrilli thesauri.*

κατὰ

κατὰ τῆς Ἀρείου καὶ Εὐνομίου λύσσης γενναίως καὶ πολυτρόπως ἀγωνιζόμενος. καὶ γὰρ καὶ λογικαῖς ἐφόδοις ἐπιστημόνως αὐτῶν ἀπελέγχει τὴν ἄνοιαν, καὶ γραφικὰς αὐταῖς συμπλέκων καὶ συνυφαίνων χρήσεις, πανταχόθεν τὸ σαθρὸν αὐτῶν * στηλιτεύει τοῦ δόγματος. τίθησι δὲ καὶ μαρτυρίας ἁπλῶς τῆς γραφῆς ὁ θεσπέσιος Κύριλλος, εἰς ἀμηχανίαν αὐτῶν διὰ πάντων συγκλείων τὸ φρύαγμα. ἔστι δὲ τῶν ἑαυτοῦ λόγων ἐνταῦθα, καὶ μάλιστα τοῖς ἔννοιαν λαβοῦσι τῶν λογικῶν ἐφόδων, σαφέστατος.

* [illegible]

ΕΥΝΟΜΙΟΥ ΤΟΥ ΔΥΣΣΕβοῦς βιβλιδάριον.

ρλζ. Eunomij haeretici liber.

ΑΝΕΓΝΩΣΘΗ βιβλιδάριον Εὐνομίου, τῆς οἰκείας δυσσεβείας ἔκθεσις οὗ ἡ ἐπιγραφή. * * τοῦτο τὸ βιβλιδάριον ἐπεὶ τοῖς συναιρεσιώταις Εὐνομίου διὰ θαύματος μὲν ἦγετο, κρύφιον δὲ καὶ ἀνέκφορον τοῖς ἄλλοις εἶναι διεσπούδαστο: μόλις ποτὲ ὁ μέγας Βασίλειος ἐπὶ χεῖρας λαβεῖν δυνηθεὶς, γενναίως τε καὶ λαμπρῶς καὶ εἴ τις ἀρετὴ λόγων καὶ ἰσχὺς διὰ πασῶν ἐλθὼν, ἀνέτρεψέ τε καὶ ἀπεσκεύασεν· ὥσπερ τι νήπιον Βαβυλώνιον τῇ στερρᾷ τῆς * πίστεως προσαράξας πέτρᾳ, καὶ θνησιμαῖον καὶ γέλωτα δείξας τό ποτε θαυμαζόμενον.

* ἀλλοδίας.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΤΑ ΤΗΣ ΠΡΑγματείας τοῦ ἁγίου Βασιλείου, ἐν ᾗ δυσσεβὲς αὐτοῦ ἀνέτρεπε δόγμα: καὶ ἐπιστολαὶ μ΄.

ρλη. Aliud eiusdem Eunomij liber.

ΑΝΕΓΝΩΣΘΗ τοῦ αὐτοῦ δυσσεβοῦς Εὐνομίου βιβλίον, ἐν λόγοις τρισὶν, ὡς δῆθεν τῶν ἀποδιδειγμένων κατὰ τῆς βλασφημίας αὐτοῦ τῷ θείῳ Βασιλείῳ ἀτόπων, ἔλεγχος. ταύτην τὴν βίβλον ὠδίνοντα, πολλάς φασιν αὐτὸν ἐτῶν ὀλυμπιάδας * καταδρίψαι, ἐν οἰκίσκῳ ἑαυτὸν καθείργνυντα, καὶ λαθραίαις μίξεσι τὸ πονηρὸν ἐκεῖνο τέρας κύοντα, μόλις εἰς φῶς δι' ἐτῶν ἀμβλωθρίδιον ἐκφανῆσαι. θάλπειν τε ἐκεῖθεν, καὶ μόλις καὶ αὐτοῖς τοῖς συμμύσταις ἐπιδεικνύναι τὸ κύημα· δεδιότα μάλιστα, μή πως καὶ αὐτὸ ταῖς Βασιλείου χερσὶν ἐμπεσὸν, πρὶν ἢ πῆξιν λαβεῖν, διασπασθῇ· καὶ πρὸ τοῦ ἀνθῆσαι ξηρανθῇ ἄωρον ἀποφθαρέν. διόπερ ἐπιμελῶς, καὶ ὥσπερ ὁ τοῦ Κρόνου μῦθος τὸ γέννημα καταπιὼν, ἔκρυπτέ τε καὶ συνεκάλυπτε: μέχρις οὗ ἡ Βασιλείου ζωὴ τῷ ἐπικήρῳ προσδιατριβομένη βίῳ τὸν φόβον ἐπέσειεν. ἐπεὶ δὲ ὁ θεῖος ἐκεῖνος ἀνὴρ τὴν * παροικίαν λιπὼν, εἰς τὸν οἰκεῖον καὶ οὐράνιον κλῆρον ἀνέδραμε: τοῦ πολλοῦ λυθέντος δέους, * ὅτε τοῦ καιροῦ τὸ δημοσιεύειν ὑπῆρχεν, οὐδὲ τότε πᾶσιν, ἀλλὰ τοῖς φίλοις ἐθάρρησεν. ᾧ προσεντυχόντες Θεόδωρος καὶ Γρηγόριος Νύσσης, καὶ Σωφρόνιος, ὧν ἐμνήσθημεν ἄνωθεν, πολλαῖς αἰκίαις λόγων λωβησάμενοι, οὐδὲν ἧττον τοῦ προτέρου [illegible] καὶ πάσης ἀπόζον ἀκαθαρσίας τῷ γεγεννηκότι ἀπέρριψαν. τὰ μὲν οὖν τῆς ἀσεβείας οὕτως ἔδωκε δίκην. ὁ δὲ τοῦ λόγου χαρακτὴρ, χάριτος μὲν καὶ ἡδονῆς οὐδ' εἰ τίς ἐστιν * ἐγγὺς γέγονε τοῦ εἰδέναι· κόμπον δέ τινα τερατώδη καὶ δύσηχον ἦχον φιλοτιμεῖται προφέρειν, τῶν τι συμφώνων τῇ ἐπαλλήλῳ

* παροικίαν. * ἤδη. * ὅσοι αἰτ.

validè, ac variè cum Arij & Eunomij furibunda rabie. Etenim & logicis argumentis sapienter illorum destruit amentiam, quibus dum S. Scripturæ adnectit adtexitque testimonia, quàm sit illa doctrina futilis omni ex parte diuulgat. Adhibet idem nuda quoque S. Scripturæ testimonia, vt quo se fastuosi vertant, obsepti vndique atque conclusi non habeant. Est autem inter omnia eius scripta liber hic maximè perspicuus, iis potissimum, qui logicorum argumentorum sensum capere possunt.

CYRILL.

EVNOMII HÆRETICI Libellus.

CXXXVII.

LEGI libellum [a] EVNOMII, quo suam ipse prodit impietatem, cuius hic titulus: * * Libellum hunc, quòd Eunomianis in admiratione esset, de industria, ne ad alios perueniret, occultatum vix tandem nactus Basilius magnus, fortiter eum, ac splendidè, omnémque adeò dicendo vim ac facultatem peruadens, euertit, ac iugulauit. Diceres eum [b] Babylonicum infantem ad firmam fidei petram allidendo contudisse, ac putidi cadaueris instar risu dignum ostendisse, quòd tantam antea sui admirationem aliis concitarat.

a Vide Suid.
b Psal. 136.

EIVSDEM EVNOMII Refutationis B. Basilij magni libri III. Item Epistolæ XL.

CXXXVIII.

LECTVM eiusdem impij hominis tres libros continens Volumen, quod velut confutatio est illarum ineptiarum, quas in ipsius reperiri blasphemiis S. Basilius demonstrarat. Hoc in opere parturiendo, multas eum annorum Olympiadas ædiculæ inclusum suæ absumpsisse ferunt; ac vix tandem post multorum annorum interuallum, abortiendo improbum illum ac prodigiosum, quem furtiuis congressibus conceperat, fœtum in lucem eiecisse. Quin tunc etiam miserum illic fouendo partum, ipsis quoque sectæ asseclis non temerè exhibuisse, veritum nimirum maxime, ne quando & hoc opus in Basilij manus prius veniens, quàm coalesceret, dissiparetur; & antequam floreret, prematurè corruptum marcesceret. Igitur studiosè, velut alter in fabulis Saturnus, natum deuorando texit atque abscondit, quamdiu quidem Basilius in fluxa ista vita degens metum incuteret. Postquam verò vir ille diuinus peregrina habitatione relicta, in suam, hoc est, in cœlestem cōmigrauit hæreditatem, & ingenti illo metu discusso, vix tandem serò edendi aduenit occasio, ne tunc quidem omnibus, sed amicis duntaxat [euulgare] ausus est: In quem incidentes [a] Theodorus, & Gregorius Nyssenus, atque Sophronius (quorum [b] supra est à me habita mentio) multis verborum plagis, non secus quàm priorem [illum eiusdem libellum] Basilius, conficientes, iugulatum iam, & præ impuritate olidum; in auctorem suum coniecerunt. Has itaque tum impietas pœnas dedit.

a Antiochenus, episcopus Mopsuestia Episc.
b Cod. IV. V. VI.

Ad stylum quod attinet, tantum is ab omni & gratia, & iucunditate remotus est, vt ne cognouisse quidem, an tale quid exstaret, videatur. Iactantiam tantummodo quandam prodigiosè ostentat, sonúmq; dissonum stridendo edere affectat, cum consonantium alterna vi-

EVNOMIVS. cissitudine, tum vocibus pronunciatu difficilibus, & quæ multis abundent consonantibus; idque poëtico more, vel, vt verius dicam, dithyrambico potius ritu. Compositio ipsius coacta est, & vi compressa, atque extrusa, vt necesse habeat illius scripta legens, aërem vehementer labiis verberare, si modò apertè pronuntiare velit, quæ fortè nanciscens atque contorquens, aut collidens etiam, ac temerè interiiciens, immò & truncans, vix tandem ille coniunxit. Longas quoque interdum, & immodicè productas periodos facit: obscuritatem insuper atque incertitudinem per omne opus offundens, cum vt vulgò videatur ipsa suæ eloquentiæ vi eorum longè captum excedere; tum vt, quod in eius sensis atque cogitatis imbecillum est (vt est sanè plurimum) hac ipsa obscuritate, & intelligendi difficultate obtegere, sententiæque celare vitium possit. Videtur verò & logicis inniti argumentis, dum partim alios hoc nomine insectatur, partim ipse libentissimè iis vtitur, tametsi frequenter (cùm serò hoc studium arripuerit, neq; ad eius intima penetrarit) in multis sæpè meritò erroris notatur.

Eiusdem quoque *Epistolæ ad varios* lectæ numero quadraginta. At dum in his item eandem dicendi formam subtiliter affectat, qui omnino epistolicæ dictionis nec leges audiuerat vnquam, nec in iisdem se exercuerat, publicam per ea infamiæ notam incurrit.

καὶ τὴν λέξιν τῶν * δυσεκφοράστοις καὶ πολυσυμφώνοις, καὶ τοῦ ποιητικοῦ τύπου, ἢ μᾶλλον ἀκριβέστερον εἰπεῖν, τοῦ διθυραμβικοῦ εἴδους τυγχανούσαις. συνθήκη τε αὐτοῦ ἐκβεβιασμένη καὶ συμπεπιεσμένη καὶ ἔκκροτος· ὡς ἀνάγκην εἶναι τῷ ἀναγινώσκοντι τὰ ἐκείνου, τύπτειν σφοδρῶς τὸν ἀέρα τοῖς χείλεσιν, εἰ μέλλοι σαφῶς ἀπαγγέλλειν ἃ περιτυγχάνων καὶ συστρέφων, συνθλίβων τε καὶ παρεμβάλλων καὶ ἀκρωτηριάζων ἐκεῖνος μόλις συνέταττε. μακραί τε ἐνίοτε εἰς ἀμετρίαν περίοδοι ἐκτεινόμεναι, καὶ τὸ σκοτεινόν τε καὶ ἄδηλον, δι' ὅλου κεχυμένον τοῦ συγγράμματος: ἵνα δοκῇ τε τοῖς πολλοῖς δυνάμει δεινότητος ἐκφεύγειν αὐτῶν τὴν κατάληψιν. καὶ ὅσον ἀσθενὲς τῶν νοηθέντων, καὶ γάρ ἐστι πολύ, τῷ ἀσαφεῖ καὶ δυσκαταλήπτῳ ἐπισκιάζειν ἔχῃ καὶ κρύπτειν τῆς διανοίας τὰ ἀρρωστήματα. δοκεῖ δὲ καὶ ταῖς λογικαῖς ἐπερείδεσθαι μεθόδοις· ἄλλους τε διασύρειν ἐπὶ τούτῳ, καὶ αὐτὸς προτεθυμημένος μὲν ἀποκεχρῆσθαι τούτοις ὅτι μάλιστα. ὀψιμαθὴς δὲ κἀν τούτοις, καὶ οὐδ' εἰς τὸ βάθος αὐτῶν ἐλθών, ἐν πολλοῖς πολλάκις ἐλεγχόμενος. ἀνεγνώσθησαν δὲ καὶ ἐπιστολαὶ αὐτοῦ πρὸς διαφόρους, μέχρι τεσσαράκοντα, ἀλλὰ καὶ ἐν ταύταις τὸ αὐτὸ τῶν λόγων εἶδος λεπτουργῶν, παντελῶς τοῦ τῶν ἐπιστολῶν χαρακτῆρος οὐδὲ τοὺς νόμους ἀκούσας, μή τί γε τριβεὶς ἐν αὐτοῖς, εἰς τὸ στηλιτευθῆναι διέπεσεν.

* ἀνεκφράστοις.

CXXXIX. BEATI ATHANASII *In Ecclesiasten, & Cantica Canticorum commentarius.*

LEGI MAGNI ATHANASII *in Ecclesiasten, & Cantica Canticorum commentarium.* Dilucidè dicit, vt in omnibus suis scriptis. Ad earum tamen [a] epistolarum gratiam & venustatem, quibus secessum excusat suum, quæque ad exsilium pertinent exponit, neque hic liber, neque alius eius, (qui quidem in meas inciderit manus) attingit.

[a] Lectæ sunt sup. Codic. XXXII.

ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ ὑπόμνημα εἰς τὸν Ἐκκλησιαστήν. καὶ εἰς τὰ ἄσματα τῶν ἀσμάτων.

ρλθ'. Athanasij commentarius in Ecclesiasten & Cantica Canticorum.

ΑΝΕΓΝΩΣΘΗ τοῦ μεγάλου Ἀθανασίου ὑπόμνημα εἰς τὸν ἐκκλησιαστήν, καὶ εἰς τὰ ἄσματα τῶν ἀσμάτων. καὶ σαφὴς μέν ἐστιν, ὥσπερ πανταχοῦ τῶν λόγων αὐτοῦ. εἰς μέντοι τὴν χάριν καὶ τὸ κάλλος τῶν ἐπιστολῶν αἷς τὴν ἀπολογίαν αὐτοῦ τῆς φυγῆς καὶ τὰ περὶ αὐτὴν ἐξεργάζεται, οὔτε τόδε τὸ βιβλίον, ἀλλ' οὐδ' ἄλλο τι, ὅσα ἐμὲ τῶν αὐτοῦ εἰδέναι, οὐδὲν * ἄρα φέρεται.

* ἀναφέρεται.

CXL. EIVSDEM *Contra Arium libri V.*

LECTI sunt *eiusdem* sancti viri *contra Arium, eiúsque dogmata libri quinque.*

Huius dictio perspicua, vt & in ceteris eius omnibus, sobria item & candida, vehementíque ac profunda, & argumenta validè torquens: eius verò vbertas in his, ac fœcunditas admodum sanè fuit mirabilis. Dialecticis adhæc vsus est argumentis, non illis nudè propositis, & ipsismet ex ea arte petitis vocibus, (quod pueri, recentioresque discipuli, iuueniliter sese, ac gloriosè ostentantes, solent) verùm Philosophorum more, magnificéque prolatis, ac per nudas dumtaxat notiones, & has quidem benè ornatas. Sacræ quoque scripturæ testimoniis, ac demonstrationibus validè communitur: & vt vno verbo absoluam, solus hic liber ad Arianismum vniuersum refellendum sufficere queat. Immò qui Gregorium Theologum, sanctúmq; Basiliú dixerit, ex hoc tanquam fonte haustos egregios illos,

ΤΟΥ ΑΥΤΟΥ ΚΑΤΑ ΤΩΝ ΤΟΥ Ἀρείου δογμάτων ἡ πεντάβιβλος.

ρμ'. Athanasij contra Arium libri V.

ΑΝΕΓΝΩΣΘΗ τοῦ αὐτοῦ ἁγίου ἡ κατὰ ἀρείου καὶ τῶν αὐτοῦ δογμάτων πεντάβιβλος, τὴν μὲν οὖν φράσιν σαφής τέ ἐστιν, ὡς καὶ ἐν πᾶσι, καὶ ἀπέριττος καὶ ἀφελής, δριμὺς καὶ βαθύς, καὶ λίαν τοῖς ἐπιχειρήμασιν εὔτονος. καὶ τὸ γόνιμον δὲ αὐτοῦ ἐν τούτοις ἡλίκον, ὅσον καὶ θαυμάσιον. λογικαῖς τε μεθόδοις, οὔτε γυμνῶς καὶ ἀπὸ ἐκείνων λέξεων, ὥσπερ οἱ παῖδες καὶ ἀρτιμαθεῖς μειρακιώδη φι[illegible] ἐπιδεικνύμενοι προσφέρουσιν. ἀλλ' ἐμφιλοσόφως τε καὶ μεγαλοπρεπῶς καὶ ταῖς ἐννοίαις μόναις καὶ ταύταις διεσχηματισμέναις ἀποκέχρηται· γραφικαῖς τε μαρτυρίαις καὶ ἀποδείξεσιν εἰς τὸ καρτερὸν κατωχύρωται). καὶ ἁπλῶς ἀρκεῖ τὸ βιβλίον τοῦτο κατὰ πάσης ἀρειανῆς περιτάξεως. καὶ εἴ τις τὸν θεολόγον Γρηγόριον καὶ τὸν θεῖον Βασίλειον ἐκ ταύτης ὥσπερ πηγῆς ἀρυσαμένους φαίη τῆς βίβλου τοὺς καλοὺς ἐκείνους καὶ διαδῦς

καὶ διειδεῖς τῶν οἰκείων λόγων κατὰ τῆς πλάνης ῥεῦσαι ποταμούς: οὐκ ἂν οἶμαι σφαλείη τοῦ παραδείγματος.

ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ εἰς τὴν ἑξαήμερον.

ρμά. Basilii M. in Hexaemeron.

ΑΝΕΓΝΩΣΘΗ Βασιλείου τοῦ θεσπεσίου τὰ εἰς τὴν ἑξαήμερον. ἄριστος δὲ ἐν πᾶσι τοῖς αὐτοῦ λόγοις ὁ μέγας Βασίλειος. λέξει τε γὰρ καθαρᾷ καὶ εὐσήμῳ καὶ κυρίᾳ, καὶ ὅλως πολιτικῇ καὶ πανηγυρικῇ δεινὸς, εἴπερ τις ἄλλος, χρήσασθαι. νοημάτων τε τάξει καὶ καθαρότητι πρῶτος, ἀλλ' οὐδενὸς δεύτερος, πιθανότητος δὲ καὶ γλυκύτητος καί γε λαμπρότητος ἐραστὴς, καὶ ῥέων τῷ λόγῳ, καὶ ὥσπερ ἐξ αὐτοσχεδίου πηγάζων τὸ ῥεῖθρον. καὶ τῷ πιθανῷ δὲ ἐπὶ τοσοῦτον ἥκεν ἀποκεχρημένος, ὡς εἴ τις πολιτικοῦ λόγου τοὺς αὐτοῦ λόγους παράδειγμα ἑαυτῷ θείη, ἔπειτα τούτους ἐκμελετῴη· μηδὲ τῶν εἰς τοῦτο συντελούντων δηλονότι νόμων ἄπειρος ὑπάρχων, καὶ οὐδενὸς αὐτὸν ἑτέρου δεήσεσθαι, οἶμαι, οὔτε Πλάτωνος, οὔτε Δημοσθένους. οἷς οἱ παλαιοὶ ἐνδιατρίβειν προτρέπονται, εἰς τὸ πολιτικόν τε καὶ πανηγυρικὸν ῥήτορα γενέσθαι.

ΤΟΥ ΑΥΤΟΥ ΗΘΙΚΟΙ ΛΟΓΟΙ.

ρμβ'. Eiusdem orationes ethicæ.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ αὐτοῦ καὶ οἱ λεγόμενοι ἠθικοὶ λόγοι: ἐν οἷς ἅπασιν ἡ προειρημένη ἀρετὴ τῶν λόγων μάλιστα διαφαίνεται.

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΣΤΟΛΑΙ.

ρμγ'. Eiusdem Basilii epistolæ.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ δὲ αὐτοῦ καὶ ἐπιστολαί· αἵ τε κανονικαὶ, καὶ τὸ ἄλλο πλῆθος, ἃς διαφόροις ἐπέστειλεν. ἐξ ὧν τό, τε ἦθός ἐστι τοῦ ἀνδρὸς, ὁποῖον ἦν ἀξιάγαστον, χαρακτηρίσαι, καὶ κανόνα λαβεῖν, ἂν ἄλλος τις μὴ ἔχῃ ἐπιστολιμαίους χαρακτῆρας.

ΤΟΥ ΑΥΤΟΥ ΑΣΚΗΤΙΚΑ.

ρμδ'. Eiusdem Ascetica.

ΑΝΕΓΝΩΣΘΗ καὶ τὰ ἀσκητικὰ, ἤγουν ἀσκητικῆς πολιτείας ὑποθῆκαι, καθ' ἅς τις βιοὺς τῆς οὐρανίου οἰκήσει βασιλείας· ἓν μέντοι παρηλλαγμένον ἐστὶν ἰδεῖν, τὸ κεχρῆσθαι αὐτὸν ἐμφάσεσιν ἐν πολλοῖς κεφαλαίοις.

ΕΛΛΑΔΙΟΥ ΛΕΞΙΚΟΝ.

ρμέ. Helladii Lexicon.

ΑΝΕΓΝΩΣΘΗ λεξικὸν κατὰ στοιχεῖον Ἑλλαδίου, ὧν ἴσμεν λεξικῶν πολυστιχώτατον. οὐ λέξεων δὲ μόνον ἡ συναγωγὴ, ἀλλ' ἐνίοτε καὶ κομματικῶν τινων χαριεστάτων λόγων, καὶ εἰς κῶλα πολλάκις σύνθεσιν ἀπαρτιζομένων. πεζοῦ δὲ λόγου ἐστὶ τὸ πλεῖστον τῶν λέξεων, ἀλλ' οὐχὶ ποιητικοῦ, ὥσπερ ἡ Διογενιανοῦ ἐκπονηθεῖσα συλλογή. οὐδὲ κατὰ πάσας τὰς συλλαβὰς τὴν τοῦ στοιχείου τάξιν φυλάττει, ἀλλὰ κατὰ μόνην τὴν ἄρχουσαν. πολύστιχος δὲ οὕτως ἡ συλλογὴ, ὥστε μηδ' εἰς πέντε σύμμετρα τεύχη τὴν ὅλην πραγματείαν ἀπαρτίζεσθαι. ἡμεῖς δὲ ἐν ἑπτὰ τεύχεσιν αὐτῇ ἐνετύχομεν.

& limpidos librorum suorum riuos contra eundem errorem profudisse, sanè à scopo minimè aberrarit. ATHANAS.

BASILIVS MAGNVS *In Hexaëmeron.* CXLI.

LEGIMVS B. BASILIVM [a] *in opus sex dierum,* [seu de mundi fabrica.] Præstantissimus est in libris omnibus. Pura enim dictione, significante, propria, & omnino ciuili ac panegyrica, si quis alius, vti nouit: sensuúmque ordine ac puritate primus, & nemini secundus apparet. Iam persuadendi quoque vim, ac iucunditatem cum perspicuitate amat, atque ita eius fluit oratio, quasi vltro, tanquam è fonte riuulus, scaturiret. Verisimilitudine autem vsque eo est vsus, vt si quis eius sermones pro ciuilis orationis exemplo sibi proposuerit, in iisque sese exercuerit (modo ne eorum, quæ huc conferunt, præceptionum rudis sit) nullum alium præterea, quantum quidem existimo, desideraturus esse videatur; non ipsum quoque Platonem, siue Demosthenem, quos tamen versandos antiqui præcipiunt iis, qui in oratores ciuiles, ac panegyricos euadere cupiant.

a Plutarchi libellorum de animantium natura magnam partem æmulum. Sicut vicissim B. Ambrosius de opere sex dierum, tractatum ab hoc Basilio est mutuatus.

EIVSDEM *Orationes Ethicæ.* CXLII.

LEGIMVS eiusdem & *morales orationes:* in quibus omnibus supradicta dicendi virtus maximè elucescit.

EIVSDEM *Epistolæ.* CXLIII.

LEGVNTVR eiusdem *Epistolæ cum canonicæ, tum reliquæ,* sanè multæ, ad varios missæ. Ex his & viri mores, quam admirandi fuerint, facilè apparet, & norma esse queant, (si alia nulla suppetat) conscribendarum epistolarum.

EIVSDEM *Ascetica.* CXLIV.

LEGIMVS & [a] *Ascetica,* hoc est, *monasticæ vitæ præceptiones:* ex quarum quidem præcepto qui vixerit, cœlesti certè regno aliquando potiatur. Hic vnum illud insolitum videas, quòd in plerisque capitibus [b] indicationibus sit vsus.

a Quæ à multis Eustathio Sebastiensi Episcopo tribui, refert Niceph. lib 9. c. 16. & rursus libr. 13. cap. 19.

b ἐμφάσεσι, quæ summa quædam capita sunt quæstionũ breuius aut fusius tractandarum.

HELLADII *Lexicon.* CXLV.

LEGI [a] *Lexicon* HELLADII alphabeti serie conscriptum, maximum eorum, quæ nouimus, Lexicorum, non verborum duntaxat in eo facta collectione, sed interdum etiam incisorum quàm elegantissimorum, quæ & perfecta cola non rarò adæquent. Voces autem ipsæ maximam partem è soluta sunt oratione, non euincta numeris, quales habet [b] Diogeniani collectio. Nec item hic ordinem alphabeti per singulas seruauit syllabas, sed in ipso duntaxat vocabuli principio. In immensum planè creuit hæc cógeries, vt nec quinq; iustis voluminibus opus integrum contineri queat. nos illud in septẽ diuisum partes nacti sumus.

a Eiusdẽ Helladij Χρηστομαθειῶν librorum quatuor excerpta habes inf. Cod. CCLXXIX. quem scriptorem forsitan indicatum voluit Stephan. in Βηρυτός. Plura de eo Suid.

b Libros huic V. redactũ in compendium CCCC. & V. Pamphili eiusdem de vocabulis opere, tribuit Suid.

HELLADI. Scribentibus sanè perutilis liber, quique variam rerum cognitionem consectantur. Nam & oratorum adhibet testimonia, & eorum præterea, qui in poëtica magnam sunt laudem consecuti.

χρήσιμον δὲ τὸ βιβλίον τοῖς συγγράφουσι, καὶ τοῖς ἄλλως πολυμάθειαν τιμῶσιν. ἔχει γὰρ καὶ μαρτυρίας ῥητόρων τε καὶ τῶν εἰς ποιητικὴν μέγα κλέος ἐχόντων.

Lexicon *Puræ Ideæ.*

ΛΕΞΙΚΟΝ ΤΗΣ ΚΑΘΑΡΑΣ ΙΔΕΑΣ.

CXLVI. LEXICON legi *Ideæ puræ* litterarum ordine. Magnus & hic liber, vt multi potius, quàm vnus esse videatur. Vtilis autem, si quis alius, iis est, qui hanc ideam tractant.

ρμς'. *Lexicon puræ ideæ.* ΑΝΕΓΝΩΣΘΗ λεξικὸν κατὰ στοιχεῖον καθαρᾶς ἰδέας. μέγα καὶ πολύστιχον τὸ βιβλίον· μᾶλλον δὲ πολύβιβλος ἡ πραγματεία. καὶ χρήσιμον, εἴπερ τι ἄλλο, τοῖς τὸν χαρακτῆρα μεταχειριζομένοις τῆς τοιαύτης ἰδέας.

Lexicon *Grauis styli.*

ΛΕΞΙΚΟΝ ΣΕΜΝΗΣ ΙΔΕΑΣ.

CXLVII. LEGI *Ideæ grauioris Lexicon*, quod ipsum quoque in immensum creuit, vt legentibus aptius fore arbitrer, si in duos opus illud, aut tres tomos distribuatur. Digestum item est literarum ordine, patétque vtile esse iis, qui sublimi tumidóque dicendi genere excellere studio habent.

ρμζ'. *Lexicon grauis styli.* ΑΝΕΓΝΩΣΘΗ λεξικὸν σεμνῆς ἰδέας. εἰς μέγεθος ἐξετείνετο τὸ τεῦχος, ὡς ἄμεινον εἶναι δυσὶ μᾶλλον τεύχεσιν ἢ τρισὶ τοῖς ἀναγινώσκουσι τὸ φιλοπόνημα περιέχεσθαι. κατὰ στοιχεῖον δὲ ἡ πραγματεία. καὶ δῆλον ὡς χρησίμη τοῖς εἰς μέγεθος καὶ ὄγκον ἐπαίρειν τοὺς λόγους αὐτῶν ἐν τῷ συγγράφειν ἐθέλουσιν.

Lexicon *Sermonis politici.*

ΛΕΞΙΚΟΝ ΤΟΥ ΠΟΛΙΤΙΚΟΥ ΛΟΓΟΥ.

CXLVIII. VIDIMUS *Lexicon ciuilis sermonis* seorsim, tribus voluminibus, ingens plane opus, ac vastum. Vtilissimum; si quod aliud, ad præclarè rem suam agendam, & [a] ex quo facillimè obiectiones suppetant. Non enim nunc ediscere, sed annotare tantùm hìc voces, quibus indigeat; legentem oportet: qui quidem non omnino in antiquis scriptoribus legendis hospes sit. Alphabeti ordine hoc item opus contextum est.

a πρὸς τὰς ἀντιθέσεις. [a ἀφορμὰς εἰς ἀντιλογίαν.]

ρμη'. *Lexicon sermonis politici.* ΑΝΕΓΝΩΣΘΗ λεξικὸν ἰδίας λόγου πολιτικοῦ. ἐν τρισὶ τεύχεσι πολυστίχοις· αὕτη ἡ πραγματεία πλήθει μὲν ἐστὶ πολλή, κατασχεθῆναι δὲ χρησιμωτάτη, καὶ ῥᾴστη δὲ εἰς ἀντίληψιν, εἴ τις ἄλλη. οὐ γὰρ νῦν μανθάνειν, ἀλλὰ μόνον ἀποσημειώσασθαι τὰς ἐν αὐτῇ λέξεις τὸν ἀναγινώσκοντα δεήσει, εἴπερ μὴ παντάπασιν ἀνήκοος παλαιῶν ἀναγνωσμάτων. κατὰ στοιχεῖον δὲ καὶ ὁ πόνος οὗτος.

Pollionis *Lexicon.*

ΛΕΞΙΚΟΝ ΠΟΛΛΙΩΝΟΣ.

CXLIX. LEGIMUS & [a] POLLIONIS *Lexicon* alphabeticum. Plurimas quidem voces poëticas continet: pauciores tamen quàm Diogenianus, cuius duplo maius opus.

a *Alexandrini cuiusdam philosophi, cuius mentio apud Suidam suo loco, & in Diodoro Valerio.*

ρμθ'. *Lexicon Pollionis.* ΑΝΕΓΝΩΣΘΗ Πολλίωνος λεξικὸν κατὰ στοιχεῖον. ἔχει πλείστας μὲν ποιητικὰς λέξεις, ἧττον δὲ Διογενιανοῦ· εἰς τὸ διπλάσιον δὲ αὐτοῦ τῆς ἐκείνου πραγματείας τὸ φιλοπόνημα παρατείνεται.

IVLIANI, PHILOSTRATI TYRII, ET DIODORI *Lexicon è decem oratoribus.*

ΛΕΞΙΚΟΝ ΤΩΝ ΠΑΡΑ ΤΟΙΣ δέκα ῥήτορσι κεχρημένων τοῦ Ιουλιανοῦ, καὶ Φιλοστράτου Τυρίου, καὶ Διοδώρου.

CL. LEGI IVLIANI *Lexicon*, vocum è decem Græciæ oratoribus alphabeti serie collectarum. Immensus verò hic item liber, qui cum voces omnium, [a] quæ apud Athenienses certa atque constituta habebantur, explicat; tum quidquid ad priuatam ipsorum historiam pertinens rhetores hi adhibuerunt, siue patrio aliquo more vsurparunt. Illud certè manifestum, ad oratorias conciones legendas hoc opus plurimum conferre posse.

Incidimus autem, & in [b] *Philostrati Tyrij* eiusdem argumenti non ignobile opus: etsi præstantior tamen hic Iuliani labor.

Iuliano præterea in nullo inferior [c] *Diodorus* quoque idem argumentum tractauit, nisi quòd testimonia plerúque Iulianus aduocat. Vter vero tempore prior sit (alter enim alterum descripsisse, & non ab vtroque separatim collectum opus videtur) vter inquam, ab altero mutuatus sit, non habeo dicere.

a τῶν παρ' Ἀθηναίοις ῥητόρων.

b *Huius etiam historiam de vita Apollonij Tyranei habes supr. Cod. XLIV. & excerpta infr. Cod. CCXLI. Suidas tamen τὰ ζητήματα παρὰ τοῖς ῥήτορσι Philostrati Lemnio tribuit.*

c *Cognomento Valerius, Pollionis F. de quibus videndus Suidas.*

ρν'. *Iuliani Lexicon è X. Oratoribus.* ΑΝΕΓΝΩΣΘΗ λεξικὸν Ιουλιανοῦ τῶν παρὰ τοῖς δέκα ῥήτορσι λέξεων κατὰ στοιχεῖον. πολύστιχον δὲ καὶ τοῦτο τὸ βιβλίον, καὶ τῶν τε παρ' Ἀθηναίοις ῥητῶν ἑρμηνεῦον τὰ ὀνόματα καὶ εἴ τι καθ' ἱστορίαν ἰδιάζουσαν αὐτοῖς οἱ ῥήτορες παρειλήφασιν, ἢ κατά τι πάτριον ἔθος ἀπεχρήσαντο. δῆλον δὲ ὅτι εἰς τὰς τῶν ῥητορικῶν λόγων συναναγνώσεις τὰ μέγιστα ἡ πραγματεία συμβάλλοιτ' ἄν. ἐνετύχομεν δὲ καὶ Φιλοστράτου Τυρίου εἰς τὴν αὐτὴν ὑπόθεσιν οὐκ ἀδοκίμῳ σπουδάσματι· ἀλλ' ἄμεινον ὁ Ιουλιανὸς διεπόνησεν. οὐδὲν δὲ ἧττον Ιουλιανοῦ καὶ Διόδωρος εἰς τὴν αὐτὴν ὑπόθεσιν διεπραγματεύσατο· πλὴν Ιουλιανῷ ἡ τῶν μαρτυριῶν χρῆσις ἐπὶ πλέον παρατίθεται. ὅς τις δὲ χρόνῳ τῶν δύο πρεσβύτερος, δοκεῖ γὰρ ὥσπερ μεταγραφῇ θατέρῳ τὸ σπούδασμα, ἀλλ' οὐχὶ ἰδίᾳ ἑκατέρῳ συνειλέχθαι· ἀλλὰ τίς ἐξ ἄλλου μετέγραψε, πῶς οὐκ ἔχω λέγειν.

Philostrati Tyrij Lexicon, & Diodori.

TIMAI-

ρνα'. Timaei Lexicon vocum Platonicarum.

ΤΙΜΑΙΟΥ ΛΕΞΙΚΩΝ ΠΕΡΙ τῶν παρὰ Πλάτωνι λέξεων.

ΑΝΕΓΝΩΣΘΗ Τιμαίου πρὸς Γεντιανὸν περὶ τῶν παρὰ Πλάτωνι λέξεων κατὰ στοιχεῖον μικρὸν πονημάτιον ἐν ἑνὶ λόγῳ.

ρνβ'. Ælij Dionysij Halicarnas. dictionum Atticarum libri V.

ΑΙΛΙΟΥ ΔΙΟΝΥΣΙΟΥ ΑΛΙΚΑΡνασέως ἀττικῶν ὀνομάτων λόγοι.

ΠΕΡΙΕΙΧΟΝΤΟ δὲ τῷ τεύχει καὶ Αἰλίου Διονυσίου ἁλικαρνασέως ἀττικῶν ὀνομάτων τῆς προτέρας ἐκδόσεως λόγοι πέντε, ἀπὸ τοῦ α μέχρι τοῦ ω, τὰς ἀττικὰς λέξεις κατὰ στοιχεῖον ἀναγράφοντος. Σκύμνῳ δὲ τὸ σύνταγμα προσφωνεῖ, χρησιμώτατος δ' ὁ πόνος ἐστὶ τοῖς τε ἀττικίζειν ἔχουσι φροντίδα, καὶ τοῖς τῶν ἀττικῶν συγγράμμασιν ἐνομιλεῖν προῃρημένοις. ὅσαι τε γὰρ ἐπιχωριάζουσι λέξεις τοῖς ἀθηναίοις περί τε τὰς ἑορτὰς καὶ τὰς δίκας, ἐντεῦθεν ἔστιν ἐκμαθεῖν· καὶ εἴτι ἄλλο ἰδιοτρόπως αὐτοῖς λέγεται, οὐ χαλεπὸν εὑρεῖν. μάλιστα εἴ τις μὴ τοὺς τῆς προτέρας ἐκδόσεως μόνον τόμους διερευνῴη, ἀλλὰ καὶ τῆς δευτέρας ἐκδόσεως, καὶ αὐτοὺς πέντε τόμους ὄντας, καὶ ἀπὸ τοῦ α μέχρι τοῦ ω τὰς ἀττικὰς λέξεις περιέχοντας, ὅσαι τε τῇ [a] προτέρᾳ οὐ συμπεριελήφθησαν ἢ περιελήφθησαν μὲν, μαρτυρίαις δὲ παλαιῶν οὐκ ἐβεβαιώθησαν. ἐν γὰρ τῇ δευτέρᾳ ἐκδόσει πλατύτερον καὶ ἀφθονώτερον αἱ μαρτυρίαι παράγονται. ὧν εἴ τις τὰς δύο πραγματείας εἰς ἓν σύνταγμα συναγαγεῖν βουληθείη, χρησιμώτερόν τε τὸ φιλοτέχνημα ἐπιδείξει, καὶ μετὰ ῥᾳστώνης ἐκτελέσει.

[a] προτέρᾳ.

ρνγ'. Pausaniæ Lexicon.

ΠΑΥΣΑΝΙΟΥ ΛΕΞΙΚΟΝ.

ΑΝΕΓΝΩΣΘΗ δὲ ἐν τῷ αὐτῷ τεύχει Παυσανίου λεξικὸν κατὰ στοιχεῖον, οὐδὲν ἔλαττον τῶν προειρημένων εἰς τὰς ἀττικὰς συνταγμάτων χρήσιμον, εἰ μὴ καὶ μᾶλλον. εἰ γὰρ καὶ ταῖς μαρτυρίαις ἐνδεέστερον ἔχει· ἀλλ' οὖν ἔν τισι τῶν στοιχείων πολὺ ταῖς λέξεσι πλεονάζει· ὡς ἀμφοτέραις ἅμα ταῖς Αἰλίου Διονυσίου ἁλικαρνασέως πραγματείαις τὴν μίαν ταύτην, καὶ ὅτι τῶν χρήσεων ἐπ' ἔλαττον (ὡς εἴρηται) ἀπομένει, ἐξισοῦσθαι τῷ τῆς γραφῆς ὄγκῳ. εἰ δέ τις ἐκείναις ταῖς δυσὶν ἐκδόσεσι καὶ τὴν Παυσανίου ἐγκατατάξας ἓν ἀπεργάσαιτο σύνταγμα, ῥᾷστον δὲ τῷ βουλομένῳ· ἐκεῖ ἂν εἴη τὸ κάλλιστον καὶ χρησιμώτατον τοῖς ἀναγινώσκουσι τὰς ἀττικὰς βίβλους σπούδασμα εἰσενηνεγμένος.

ρνδ'. Boëthi Lexicon vocum Platonicarum.

ΒΟΗΘΟΥ ΛΕΞΕΩΝ ΠΛΑΤΩνικῶν συναγωγή.

ΑΝΕΓΝΩΣΘΗ δ' ἐν τῷ αὐτῷ τεύχει καὶ Βοηθοῦ λέξεων πλατωνικῶν συναγωγὴ κατὰ στοιχεῖον, πολλῷ Τιμαίου συναγωγῆς χρησιμώτερον· προσφωνεῖ δὲ Μελάντᾳ τινὶ τὸ συνταγμάτιον.

ρνε'. Lexicon Platonicum aliud eiusdem.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΩΝ ΠΑΡΑ πλάτωνι ἀπορημένων λέξεων.

ΣΥΝΕΤΑΓΗ δὲ αὐτῷ καὶ ἕτερόν τι Ἀθηναγόρᾳ προσφωνημένον σπουδασμάτιον, ὃ περὶ τῶν παρὰ Πλάτωνι ἀπορημένων λέξεων ἐπιγέγραπται. ὧν εἴ τις τὰς λέξεις εἰς ἓν συναγάγοι, συντιθεὶς καὶ τὰς συνειλεγμένας Τιμαίῳ, ἀπηρτισμένην [b] προξενοίτο τὴν ὠφέλειαν τοῖς τὰ Πλάτωνος ἀναγινώσκειν ἐθέλουσιν.

[b] συγγράμματα.

TIMÆVS. CLI.

TIMÆI Lexicon vocum Platonicarum.

LECTVM est TIMÆI ad Gentianum *de vocibus apud Platonem* alphabeti serie, breue opusculum libri vnius.

CLII.

ÆLII DIONYSII HALICARNASSEI *Dictionum Atticarum libri X.*

CONTINEBAT idem volumen & [a] ÆLII DIONYSII Halicarnassei Atticorum verborum primæ editionis libros quinque: in quibus à prima litera ad vltimam vsque Atticas voces elementorum serie collegit. Dedicat opus illud Scymno, labórque hic iis perutilis existit, qui Atticæ linguæ studio tenentur, & in Atticis versantur scriptoribus. Quæcunque enim Atheniensibus patrio more vocabula cum in festis; tum in foro vsitata sunt, hinc haurire licet: immò & si quid aliud propriè illi vsurpant: facilè hîc reperias. Idquo adeò maximè, si quis non primæ editionis tantùm tomos scrutetur: sed & secundæ, quæ & ipsa libros quinque continet, & ab Α vsque ad Ω Attica nomina complectitur, quæ prima editio non continebat, vel continebat quidem: sed aptis ea scriptorum testimoniis non confirmabat. Copiosius enim in secunda editione, vberiúsque veterum loca laudata adhibentur. Quare si quis ex vtraque editione vnam fabrefecerit, næ ille vtilissimum opus nullo negotio exhibuerit.

[a] Quem sæpius aduocat Eustat. in Hom.

CLIII.

PAVSANIÆ *Lexicon.*

LEGI in hoc ipso volumine Lexicon [a] PAVSANIÆ, litterarum serie concinnatum, nihilo illis prioribus minus Atticæ linguæ studiosis vtile futurum, immò & magis. Etsi enim testimoniorum minus adferat: in quibusdam tamen alphabeti litteris plures habet voces. Vt cum vtroque Ælij Dionysij Halicarnassei opere vnum hoc (etsi testimoniorum minus, vt diximus, adhibeat) mole saltem ipsa adæquare liceat. Si verò quis Ælij duabus illis editionibus Pausaniæ quoq; librum adiiciens vnum corpus effecerit (& facile conanti fuerit) pulcherrimum hîc opus, & vtilissimum scriptores Atticos versanti; elaborauerit.

[a] Citatur ididem ab Eustath.

CLIV.

BOETHI *Vocum Platonicarum Collectanea.*

LEGIMVS in eo ipso codice, & Boëthi *vocum Platonicarum collectanea*, serie litterarum. Vtilius longè hoc opus Timæi collectione, Melantæ cuidam inscriptum.

CLV.

EIVSDEM *Opusculum de dubiis apud Platonem vocibus.*

CONSCRIPSIT & alterum *opusculum* Athenagoræ nuncupatum, cui titulus: *De dubiis apud Platonem vocibus.* Horum libellorum si quis vocabula in vnum conferens componat, compositásque Timæo addiderit, is sanè magnam Platonis lectoribus vtilitatem attulerit.

DOROTH. CLVI.

DOROTHEI *De vocibus externorum more vsurpatis libellus.*

LECTVS ibidem DOROTHEVS *de externorum more vsurpatis vocibus.* Alphabethi ordine, quod item vtilissimum esse studiosis opus apparet.

CLVII.

MOERIDIS *Atticista.*

a Extare fertur in Vaticana Pontificis Bibliotheca.

LECTVS ad hæc etiam [a] MOERIDIS Atticista: qui libellus & ipse litterarum serie decurrit.

CLVIII.

PHRYNICHI ARABII *Apparatus oratorij libri XXXVI.*

a Lege Petri Nunnesij Præfat. ad huius Phrynici Atticistæ Epitomen, & Suid.

LEGI [a] PHRYNICHI ARABII *oratorij apparatus libros sex & triginta.* Collectio est vocum atque incisorum. etsi ex his aliqua, quæ nimirum venustè, & cum nouitate non indecenter dicta atque composita fuêre, ad membra etiam integra extendantur. Horum pleraque & in Helladij collectaneis reperias licet: sed ea passim ibi in vasta illa congerie dispersa iacent; hîc verò simul id genus collecta. quando & Phrynicho talia congerere propositum fuit, & Helladius, si quid huiusmodi, dum vocabula simpliciter accumulat, in communem vocabulorum librum retulit, id tantùm cum cæteris vna inclusum, ibique relictum voluit. Alphabeti autem hæc etiam ordine digeruntur.

Floruit hic scriptor, imperante Romæ Marco Antonino Aug. eiúsque filio Commodo, cui etiam operis initium ita inscribit: COMMODO CÆSARI PHRYNICHVS SALVTEM. Commodo itaque librum dedicans, dum in sua ad eum præfatione ad discendi studium hortatur & opus hoc verbis extollit, septem sese ait, supra triginta in illum vsque diem composuisse libros, quos & imperatori obtulerit, seque alios totidem præter hos editurum promittit, si longior vitæ vsura daretur. Horum nos [b] sex tantùm & triginta, vti dictum est, legimus, à prima littera ad extremam vsque deductos.

b Suidas septem & quadraginta numerat: quædã etiã LXXIV. retulisse.

Etsi verò Imperatori eos libros se offerre ait, variis tamen eosdem nuncupasse constat. Confestim enim primum illorum Aristocli cuidam mittit, cúmque velut ludum quendam [c] natali Aristoclis die accommodum fieri exoptat, quo ille se oblectet. Similiter & alterum librum, immò & tertium eidem inscribit. Quartum dein Iuliano cuidam ciui suo, atque amico: addens id eo factum, quod Aristocli quidem ab initio opus exhibere destinasset; at postquam Cæsaris decreto Romæ in intimum consilium adscitus esset, hunc sibi pro illo amicum sociúmque honesti laboris adoptasse, quo & iudice, & cognitore suorum scriptorum esset vsurus. Verùm ista locutus, atque pollicitus, quintum tamen subinde librum Menodoro cuidam amico, & erudito viro exhibet: qui & reprehenderat, quod parcius antea illum de nominum inflexione quæstionem agitasset.

c Quo de mittendorum munerum natali die Alexand. ab Alex. lib. 2. Genial. c. 21. & ibi Tiraquel. Gul. Stuckius lib. 1 Conuiual. c. 24 noster Mart. de' Roa Cord. Angelate libello.

ΔΩΡΟΘΕΟΥ ΠΕΡΙ ΤΩΝ ΞΕΝΩΣ εἰρημένων λέξεων.

ρνς'. Dorothei Lexicon.

ΑΝΕΓΝΩΣΘΗ δὲ ἐν τῷ αὐτῷ καὶ Δωροθέου περὶ τῶν ξένως εἰρημένων λέξεων κατὰ στοιχεῖον. δῆλον δὲ ὡς οὐκ ἄχρηστον τοῖς φιλοπόνοις τὸ σύνταγμα.

ΜΟΙΡΙΔΟΣ ΑΤΤΙΚΙΣΤΗΣ.

ρνζ'. Moeridis Atticista.

ΕΤΙ δὲ καὶ Μοίριδος ἀττικιστής· κατὰ στοιχεῖον δὲ καὶ τοῦτο τὸ πονημάτιον.

ΦΡΥΝΙΚΟΥ ΑΡΡΑΒΙΟΥ ΣΟΦΙστικῆς παρασκευῆς λόγοι λς'.

ρνη'. Phrynichi Lexicon, & Helladij.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Φρυνίχου Ἀῤῥαβίου σοφιστικῆς παρασκευῆς λόγοι λς'. ἔστι δὲ τὸ βιβλίον λέξεών τε συναγωγὴ, καὶ λόγων κομματικῶν. ἐνίων δὲ καὶ εἰς κῶλα παρατεινομένων τῶν χαριέντως τε καὶ καινοπρεπῶς εἰρημένων τε καὶ συντεταγμένων· πολλὰ δὲ αὐτῶν ἔστι καὶ ἐν τῇ Ἑλλαδίου τῶν λέξεων εὑρεῖν συλλογῇ. ἀλλ' ἐκεῖ μὲν διεσπαρμένα ἐν τῷ πλήθει τῆς συναγωγῆς· ἐνταῦθα δὲ ὁμοῦ τὰ τοιαῦτα συνηγμένα. ἐπεὶ καὶ Φρυνίχῳ μὲν τὰ τοιαῦτα συναγαγεῖν γέγονε σκοπός. Ἑλλάδιος δὲ λέξεις ἀθροίζων ἁπλῶς, καὶ εἴ τι τῶν τοιούτων συνέταξε τῷ κοινῷ λόγῳ τῶν λέξεων, καὶ ταῦτα συμπεριλαβὼν ἐναπέθετο. κατὰ στοιχεῖον δὲ καὶ αὕτη ἡ συναγωγή. ἤκμασε δὲ ὁ ἀνὴρ ἐν τοῖς χρόνοις Μάρκου βασιλέως ῥωμαίων, καὶ τοῦ παιδὸς αὐτοῦ Κομμόδου, πρὸς ὃν καὶ τὴν * ἀρχὴν τοῦ συντάγματος ποιεῖται· ἐπιγράφων, Κομμόδῳ καίσαρι Φρύνιχος χαίρειν. ἀλλὰ Κομμόδῳ τὸ βιβλίον προσφωνῶν, κἀκείνῳ προοιμιαζόμενος, καὶ παραίνεσιν φιλομαθείας κατατιθέμενος, καὶ ἐξαίρων τῷ λόγῳ τὸ βιβλίον· ἐν οἷς λέγει λζ' αὐτῷ μέχρι τοῦ τότε καιροῦ συντετάχθαι λόγους, οὓς καὶ * ἀναθέσθαι λέγει τῷ βασιλεῖ· (ἐπαγγέλλεται) καὶ ἄλλους τοσούτους φιλοπονήσασθαι, τῆς ζωῆς αὐτὸν οὐ καταλιμπανούσης. ἡμεῖς δὲ (ὡς ἔφημεν) ἓξ καὶ τριάκοντα μόνους * ἀνέγνωμεν ἀπὸ τοῦ ἄλφα περιλαμβάνοντας μέχρι τοῦ ω. ἀλλ' εἰ καὶ τῷ βασιλεῖ φησι τοὺς λόγους ἀναθεῖναι· ὅμως διαφόροις αὐτοὺς φαίνεται προσπεφωνηκώς. καὶ αὐτίκα, τὸν πρῶτον αὐτῶν τοῦτον λόγον Ἀριστοκλεῖ τινι γράφει, παιδιάν τινα τῇ γενεθλίῳ ἡμέρᾳ τοῦ Ἀριστοκλέους ἁρμόττουσαν φιλοτιμούμενος γενέσθαι τὴν γραφὴν, καὶ * συμπαίκτην ὑπάρχειν αὐτόν. ὡσαύτως δὲ καὶ τὸν δεύτερον λόγον αὐτῷ προσφωνεῖ, καὶ δὴ καὶ τὸν τρίτον. τὸν δὲ τέταρτον Ἰουλιανῷ τινι συμπολίτῃ καὶ φίλῳ προσφωνεῖ· καί φησιν, ὅτι Ἀριστοκλεῖ μὲν ἐξ ἀρχῆς ὥριστο ἡ πραγματεία προσχειρισθῆναι· ἐπεὶ δὲ ἐκεῖνος βασιλικῷ δόγματι τῆς ἐν Ῥώμῃ μεγάλης βουλῆς ἐγένετο κοινωνὸς, τοῦτον ἀντ' ἐκείνου φίλον καὶ συνουσιαστὴν τῶν καλῶν λαβεῖν, καὶ αὐτῷ καὶ κριτῇ καὶ ἐπιγνώμονι χρήσασθαι τῶν συγγραφομένων, ἀλλ' οὕτως εἰπὼν καὶ ὑποσχόμενος, τὸν πέμπτον ὅμως λόγον Μηνοδώρῳ τινὶ φίλῳ τε καὶ πεπαιδευμένῳ ἀνδρὶ προσφωνεῖ, ὃς καὶ αἰτίαν ἐπήνεγκεν αὐτῷ τοῦ ἐνδεῶς εἰρῆσθαι τὸ περὶ τούτου περὶ κλήσεως ὀνομάτων πρόβλημα.

* ἐπαρχὴν τοῦ συντάγματος.
* al. ἀναθεῖναι.
* ἀνέγνωμεν.
* συμπαίστην.

ἐπιτε-

ἐπιτάξαντος δὲ Μηνοδώρου λέγειν, τὸν λόγον συντάττειν: ὑστερῆσαι δὲ, ὅτι τρία νοσήματα αὐτῷ συμπεσεῖν συνέβη, τὴν σύντροφον τῷ γήρᾳ στραγγουρίαν, καὶ διαλυκόν τινα καὶ μακρὰν φρενῖτιν, καὶ διὰ γαστρὸς αἵματος ῥύσιν, καὶ ἔτι δὲ καὶ ἕτερα πλεῖστα τῶν ἀρρωστημάτων. εἰ μέντοι τῶν νοσημάτων ἀπαλλαγεὶς ἐπιβιῴη, καὶ τὸ νῦν ἐπίταγμα εἰς πέρας ἀγαγεῖν ὑπισχνεῖται· καὶ εἴ τι ἄλλο προστάττοι, φιλοκαλίας τε καὶ πολυμαθείας καὶ καινότητος ἐχόμενον. ἀλλὰ καὶ τὸν ἕκτον λόγον τῆς σοφιστικῆς ταύτης παρασκευῆς ἄλλῳ τινὶ πάλιν Τιβερίνῳ προσφωνεῖ. καὶ δὴ καὶ τὸν ἕβδομον ἑτέρῳ Μηνοφίλῳ, ὃν καί φησι παιδείας εἰς ἄκρον ἥκοντα, καὶ ῥήσεις ὁλοκλήρους πρὸς τὰς ἀποδείξεις συντελούσας τοῦ ἕκτου λόγου τῆς σοφιστικῆς παρασκευῆς παραθεῖναι· καὶ προτρέπειν καὶ αὐτὸν, ἐπὶ πλεῖστον ταύτας ἀθροίζειν τοῖς συγγράμμασι. τὸν μέντοι ὄγδοον πάλιν Ἰουλιανῷ ἀνατίθησι, καὶ αἰτεῖται αὐτὸν, εἴ τι ἀτελῶς εἴρηται (ἅτε δὴ καὶ μετὰ * νόσον γράφοντι) ταῦτα διαθεῖναι πρὸς διόρθωσιν. τὸν δὲ θ΄. Ῥουφίνῳ. φάσκων, αἴτιον μὲν τοῦ ἀπάρξασθαι τῆς γραφῆς Ἀριστοκλέα γενέσθαι· τοῦ δὲ ἐπὶ πέρας ἐλθεῖν, αὐτὸν αἴτιον ἔσεσθαι: ὅτι ἐντυχὼν τοῖς γεγραμμένοις, τό, τε χρήσιμον συνιδεῖν ἔχει, καὶ ἐπαινέσειε τὸν πόνον. τὸν δὲ δέκατον πάλιν ἐπαναστραφεὶς πρὸς Ἀριστοκλέα, συντάττει. ὁ δὲ ἐφεξῆς Μηνοδώρῳ προσπεφώνηται πάλιν, ἐν ᾧ καὶ Ἀριστείδου τοῖς λόγοις, ὥς φησιν, ἐντυχὼν, ἄρτι τό, τε ἀκμάζοντος, πολλὴν τοῦ ἀνδρὸς ἔπαινον ποιεῖται. καὶ Μαρκιανόν φησι, τὸν κριτικὸν συγγραφέα ὑπεροράν μὲν Πλάτωνος καὶ Δημοσθένους, τὰς δὲ Βρούτου τοῦ Ἰταλοῦ ἐπιστολὰς προκρίνειν, καὶ κανόνα τῆς ἐν λόγῳ ἀρετῆς ἀποφαίνειν. ταῦτα δὲ οὗτός φησιν, οὐχὶ τὴν τοιαύτην κρίσιν ἀποδεχόμενος, ἀλλ' εἰς τὸ μὴ θαυμάζειν, εἴ τινες καὶ τῆς Ἀριστείδου δόξης ἐλάττονα τὸν ἄνδρα νομίζουσιν, οὕτω κλέους τοῦ ἐν λόγοις εἰς ἄκρον ἐλάσαντα. ἥψατο γὰρ ὁ φθόνος ὑπ' ἐνίων πεμπόμενος καὶ Ἀριστείδου, ὥσπερ καὶ ἄλλων πολλῶν παιδείᾳ διενηνοχότων. ἀλλ' ὁ μὲν ἑνδέκατος Μηνοδώρῳ ἐπιπεφώνηται: τῶν δὲ ἐφεξῆς, ἵνα [μὴ] καὶ ἡμεῖς κατ' ἐκεῖνον πολυλογίας αἰτίαν λάβοιμεν, ὁ μὲν Ῥηγίνῳ, ὁ δὲ πάλιν Ἀριστοκλεῖ, ὁ δὲ Βασιλείδῃ τῷ Μιλησίῳ σοφιστῇ προσπεφώνηται. ἐν ᾧ φησιν αὐτίκα τοῦ ἀνακύψαι τῆς νόσου, ποιήσασθαι τὴν πρὸς αὐτὸν γραφὴν, καὶ αἰτεῖται τῶν διὰ τὴν νόσον, ὡς εἰκὸς, αὐτῷ ἐν τῷ γράμματι παρασφαλέντων ἐπιθεῖναι τὴν διόρθωσιν. οἱ δὲ λοιποὶ σύμπαντες λόγοι, οὓς ἡμεῖς ἀνέγνωμεν, τῷ Μηνοφίλῳ πάλιν, μέχρι τοῦ ω ἀνατίθησαν. χρήσιμον δὲ δηλονότι τὸ βιβλίον τοῖς τε συγγράφειν καὶ ῥητορεύειν ἐθέλουσιν: αὐτὸς δὲ διακεκρίσθαι φησὶ τὰς συνειλεγμένας αὐτῷ φωνὰς τοῦτον τὸν τρόπον. τὰς μὲν γὰρ αὐτῶν ῥήτορσιν * ἀποδίδοσθαι, τὰς δὲ τοῖς συγγραφεῦσι, τὰς δὲ συνουσίαις ἐφαρμόζειν, ἐνίας δὲ καὶ εἰς τὰς σκωπτικὰς ὑπάγεσθαι λαλιὰς, ἃ καὶ εἰς ἐρωτικὰς ἐκφέρεσθαι χρείας. εἰλικρινοῦς δὲ καὶ καθαροῦ καὶ ἀττικοῦ λόγου κανόνας καὶ στάθμας, καὶ παράδειγμά φησιν ἄριστον Πλάτωνά τε καὶ Δημοσθένην μετὰ τοῦ ῥητορικοῦ τῶν ἐννέα χοροῦ· Θουκυδίδην τε καὶ Ξενοφῶντα, καὶ Αἰσχίνην τὸν Λυσανίου τὸν σωκρατικόν.

Iubente ergo Menodoro sententiam dicere, hunc se ait librum conscripsisse. Serius autem id præstitisse, quòd in tria morborum genera incidisset, in vrinæ nimirum stillicidium, senectutis comitem, in diuturnum grauéque mentis delirium, & sanguis è ventre fluxum, morbósque alios quamplurimos. Si quidem autem his aliquando liberatus superesset, & hoc opus ad exitum adducturum se pollicetur, & si quid forte aliud ipse iubeat ab honesta doctáq; nouitate non alienum. At sextum nihilominus librum *rhetorici* huius *apparatus*, iterum alij cuidam Tiberino dedicat.

Vt & septimum alteri Menophilo, quem ad summum eruditionis culmen peruenisse ait, & integras etiam loquendi formulas suppeditasse; non parum profuturas ad ea comprobanda, quæ sexto huius *oratorij apparatus* libro traduntur. Exhortari ergo etiam hunc ad voces huiusmodi quamplurimas scriptis amplificandas. Octauum rursum Iuliano dedicat, rogátque si quid minus perfectum exciderit morbo laboranti, corrigere ne grauetur. Nonum Ruffino inscribens, Aristoclem ait huic ansam scriptioni dedisse: quod autem ad finem eadem deducta sit, ipsum auctorem futurum; propterea quòd nactus ea quæ hactenus erant edita, & vtilitatem eorum agnouerit, & laborem probauerit. Decimum porrò, gradu iterum reducto, ad Aristoclem refert. Sequens quoque Menodoro rursum offertur: Vbi & in Aristidæ etiam tum vigentis [a] orationes se se incidisse affirmat, ac virum laudibus in cœlum tollit. Refert & Marcianum eum qui *Critica* conscripsit, Platone atque Demosthene despecto, Bruti Romani [b] epistolas cæteris antepонere, atque hunc pro norma omnis in dicendo virtutis statuere. Quæ quidem à Phrynicho allata sunt, non quod hoc iudicium ipse probaret; at ne quis miretur, si quidam Aristidis gloria superatum existiment hunc virum, qui ad summum in orationibus gloriæ decus peruenisset. Læsit enim nonnullorum inuidia ipsum quoque Aristidem, vt & alios plurimos doctrina excellentes viros. Vndecimus quoque idem dicatur Menodoro. Sequentium verò (ne & nos hîc loquacitatis nimiæ cum illo incusemur) alius quidem liber Rhigino, alius Aristocli, rursum alius Basilidi Milesio Sophistæ nuncupatur: in quo ait, simul vt à morbo recreatus esset, hunc se ad illum scripsisse: postulátque errata; quæ morbi vitio, vt fit, accidissent, lima sua emendet.

Reliquos omnes libros, quos quidem nos vidimus, Menophilo rursum vsque ad ω obtulit.

Vtile sanè hoc opus esse constat, cùm scribēdi, tum bene dicendi studiosis. Collectas autem à se voces ad hunc modum discernere se ait, vt aliæ oratoribus tribuantur, aliæ historicis addicantur, aliæ familiari aptentur sermoni: nonnulla etiam vocabula conuitiis subseruiant, ad hæc & in amatoriis adhibeantur. Sinceri deinde puri & Attici sermonis regulam, normam atque exemplum esse præstantissimum vult, Platonem atque Demosthenem, cum reliquo nouem Græciæ oratorum choro. Thucydidem quoque & Xenophontem, & [c] Æschinem illum Lysanij F. *Socraticum* appellatum.

PHRYNIC.

* νόσου.

Bruti epistolæ.

* ἀποδίδοσθαι.

a *De quibus infr. Cod. CCXLVI. & seq.*

b *Quas à breuitate commēdatas refert Plutarch. in eius vita initio, extántque. LXX. à Mithridate olim collecta, & nuper Græcè ac Latinè euulgata in Germania.*

c *De quo item inf. Cod. LXI.*

PHRYNIC.

Critiam item Calæschri F. & Antisthenem cum germanis eius orationibus duabus de Cyri & Vlyssis laudibus. E comicis Aristophanem cum [a] suis; vbi quidem Atticos imitentur. De tragicis Æschylum illum maximè grandiloquum ac Sophoclem suauem,& vsquequaq; sapientem Euripidem. Hos cæteris omnibus anteponit siue oratoribus, siue historicis, siue poëtis. Ex his tamen rursum cæteris præfert, quos(ait) ne ipse quidem Momus reprehenderit, aut omnino accesserit; non etiam si maximè DEVS ille, quem [b] *Corycæum* fabulæ indigitant, illis inhiasset. Platonem indicat, Demosthenem, & Lysanij F. Æschinem, propter huius [c] septem dialogorum excellentiam:quos etiam quidam scriptis eius eximentes, ad Socratem referunt. Sed hæc hactenus.

Scriptor hic, si quis alius, varia tinctus est doctrina, verbosus alioqui, & modum excedendo redundans. Enimuerò ipsum hoc opus, nihil necessariorum omittendo, quinta totius parte potuit absoluisse, cùm interim illud ipse, intempestiua sua verborum profusione, inutilem extenderit in vastitatem. Ita dum elegantis ac venustæ orationis siluam aliis accumulat, ne illa quidem ipsa, de qua cæteris præcepta tradit, rectè satis Phrynichus est vsus.

a Veteres Comœdiæ scriptores.

b Vide Suidã & Adagia.

c Quot in eius vita Laert. Diogenes enumerat. In quibus & Axiochus, seu de morte, ab Harpocratione quoque eidem tributus: etsi hodie, sed falso, Platoni adscribitur. Vide & Suidam in Æschine.

CLIX.

ISOCRATIS *Orationes* XXI. & *Epistolæ* IX.

LEGIMVS ISOCRATIS *Oratoris vnam supra viginti orationes*, & *Epistolas nouem*. Deliberatiui quidē generis Orationes habet [a] *ad Demonicum* & *ad Nicoclem*; quæ admonitiones continent perutiles; & *alteram item ad Nicoclem*, vnámque de Pace. *Panegyrico* autem etsi illa proposita deliberatio videatur, qua Græcis, concordia inter ipsos inita, sociali bello barbaros esse oppugnandos persuadeatur, longè tamen maxima illius Orationis pars in Atheniensium laudibus recensendis consumpta est. *Areopagiticus* quoque in suasoriarum numero, Athenienses ad virtutem incitat, cùm à maiorum laudibus, tum eorum reprehensione, qui adhuc superstites essent. *Plataïcus* item deliberatio est, vti & *Archidamus* qui inscribitur, Lacedæmonios ad bellum cum [b] Atheniensibus super Messeniis gerendum hortatur. At oratio illa *Contra Sophistas* inscripta, eosdem à se dissidentes accusat. Sequens deinde, quod titulus ipse præfert, [c] *Busiridem* laudat. Vndecima *Encomium* est *Helenæ*. Duodecima vero Euagoræ laus, vnde & *Euagoras* inscribitur, Nicocli eiusdem filio dedicata. Oratio sequens, cui *Philippi* titulus est, suasorij rursum generis; Philippum adhortatur, vt & Græcorum studeat concordiæ, & de communi aduersus barbaras Asiæ gentes expeditione adiuuanda cogitet. *Panathenaïcus* laudatio est vrbis Athenarum, maiorúmque eius illustrium: quam se [d] scribere cœpisse ait, annos iam natum quatuor & nonaginta; morbo autem graui triennium vexante, tertiò demum ante centesimum ætatis annum ad exitum eam adduxisse. Oratio vero, cui *de permutatione* titulus, iudicialis esse videtur, continetque purgationem eorum, quibus Isocratē Lysimachus esset calumniatus.

a Huius non esse hanc Paræ[ne]sin sed alterius cuiusdam Isocratis, disputat M. Ant. Muretus lib. I. Variarum lect. & alij.

b Immo Thebanis, proo nulla Græcarum elementorum mutatione κατὰ ἔκθεσιν, hic restituendo.

c De quo videndus Diod. Siculus lib. I. cap. 2. extremo.

d Cic. de senectute & Lucia. En μακροβίοις.

Κριτίαν τε τὸν Καλαίσχρου, καὶ Ἀντισθένην μετὰ τῶν γνησίων αὐτοῦ δύο λόγων, τοῦ περὶ Κύρου καὶ τοῦ περὶ Ὀδυσσέως [*]· τῶν μὲν τῆς κωμῳδίας Ἀριστοφάνην μετὰ τῶν οἰκείων, ἐν οἷς ἀττικίζουσι χορῶν, καὶ τῶν τραγικῶν Αἰσχύλον τὸν μεγαλοφωνότατον, καὶ Σοφοκλέα τὸν γλυκύν, καὶ τὸν πάνσοφον Εὐριπίδην. τούτους προκρίνων τῶν ἄλλων ἁπάντων, καὶ ῥητόρων καὶ συγγραφέων καὶ ποιητῶν: ἐξ αὐτῶν πάλιν προτάττει, οὓς ἂν φησιν οὐδ' αὐτὸς ὁ μῶμος καταμέμψαιτο, οὐδ' εἴ τις δαίμων ὁ μυθολογούμενος κωρυκαῖος εἰ ἐπεγχάνοι, [*] χαρήσεσθαι. ἔστι δ' οὗτοι Πλάτων καὶ Δημοσθένης, καὶ ὁ τοῦ Λυσανίου Αἰσχίνης διὰ ἀρετὴν τῶν ἑπτὰ διαλόγων· ἃ καὶ ἀφαιρούμενοί τινες τῶν συγγραμμάτων Σωκράτει προσνέμουσιν. ἀλλ' ἐν τοσούτῳ περὶ τούτων. Ἔστι δὲ ὁ συγγραφεύς, εἴ τις, πολυμαθέστατος· ἄλλως δὲ λάλος καὶ περιττός. καὶ γὰρ καὶ ταύτην τὴν πραγματείαν, μετὰ τοῦ μηδὲν τῶν ἀναγκαίων παραλιπεῖν, ἐνὸν μηδ' εἰς [*] πέμπτον μέρος τοῦ ὅλου συγγράμματος ἀπαρτίσαι, αὐτὸς ἀκαιρολογῶν, εἰς πλῆθος ἐξέτεινε δύσχρηστον. καὶ καλοῦ καὶ ὡραίου λόγου ὕλην ἄλλοις συναθροίζων, αὐτὸς οὐ λίαν τοιούτῳ περὶ αὐτῶν ἀπαγγέλλων ἐχρήσατο ὁ Φρύνιχος.

[*] ὀδυσσείας.

[*] χαρίσειν & χαιρήσειν.

[*] ἐν.

ΙΣΟΚΡΑΤΟΥΣ ΤΟΥ ΡΗΤΟΡΟΣ λόγοι κα', καὶ ἐπιστολαὶ θ'.

ρνθ'.

ΑΝΕΓΝΩΣΘΗ Ἰσοκράτους τοῦ ῥήτορος λόγοι κα'. καὶ ἐπιστολαὶ θ'. συμβουλευτικοὶ μὲν τῶν αὐτοῦ λόγων εἰσὶν ὅ, τε πρὸς Δημόνικον καὶ ὁ πρὸς Νικοκλέα, χρησίμους παραινέσεις περιέχοντες, καὶ ἔτι ὁ δεύτερος πρὸς Νικοκλέα, καὶ περὶ τῆς εἰρήνης. καὶ ὁ πανηγυρικὸς δὲ σκοπὸν ἔχειν ὑποτίθεται συμβουλὴν, δι' ἧς ὁμόνοιά τε πρὸς ἀλλήλους τοῖς Ἕλλησι, καὶ κοινὸς ὁ πρὸς τοὺς βαρβάρους καταπραχθείη πόλεμος. τὸ δὲ πλεῖστον τοῦ λόγου εἰς τὰ τῶν Ἀθηναίων ἐγκώμια κατατρίβεται. καὶ ὁ ἀρεοπαγιτικὸς δὲ τῶν συμβουλευτικῶν ἐστι, προτρέπων τοὺς Ἀθηναίους ἐπ' ἀρετὴν, ἐξ ἐπαίνου μὲν τῶν προγεγονότων, καταδρομῆς δὲ τῶν [*] ἔτι τοῦ βίου παρόντων. καὶ ὁ πλαταϊκὸς δὲ, συμβουλευτικός ἐστι. καὶ ὁ ἐπιγραφόμενος δὲ ἀρχίδαμος, συμβουλευτικός ἐστι, καὶ παρακαλεῖ Λακεδαιμονίους ἐπὶ τὸν κατ' Ἀθηναίων πόλεμον, ὑπὲρ Μεσσηνίων. ὁ δὲ κατὰ τῶν σοφιστῶν ἐπιγραφόμενος, κατηγορία τῶν ἀντιπολιτευομένων αὐτοῦ ἐστι σοφιστῶν. ὁ δὲ ἐφεξῆς λόγος, Βουσίριδος αὐτοῦ ἐστιν ἐγκώμιον, ὥσπερ καὶ ἐπιγέγραπται. ὁ δὲ ἐνδέκατος, Ἑλένης ἐγκώμιον. καὶ ὁ δωδέκατος, Εὐαγόρου ἐγκώμιον, ὃς Εὐαγόρας ἐπιγράφεται, προσπεφωνημένος Νικοκλεῖ τῷ υἱεῖ. ὁ δὲ ἐπιγραφόμενος Φίλιππος, συμβουλευτικός ἐστι, Φιλίππῳ συμβουλεύων τῆς τε τῶν Ἑλλήνων φροντίζειν ὁμονοίας, καὶ τῆς κατὰ τῶν ἐν Ἀσίᾳ βαρβάρων συστρατείας. ὁ δὲ παναθηναϊκὸς, ἐγκώμιόν ἐστι τῆς Ἀθηναίων πόλεως καὶ τῶν προγόνων. ὃν ἀπάρξασθαι μὲν φησι συγγράφειν ἐνενήκοντα καὶ τέτταρον ἐτῶν ἄγων ἡλικίαν: νόσου δὲ χαλεπῆς τριετίαν κατασχούσης ἐν τῷ ἐνενηκοστῷ ἑβδόμῳ εἰς πέρας ἀγαγεῖν τὸν λόγον. ὁ δὲ περὶ τῆς ἀντιδόσεως ἐπιγραφόμενος λόγος, δικανικός τις εἶναι δοκεῖ, καὶ ἀπολογίαν ἔχων ὧν Λυσίμαχος κακῶς εἶπεν Ἰσοκράτην.

Isocratis orationes XXI. & Epistolæ IX.

[*] al. ἔτι.

δύο δὲ καὶ ὀγδοήκοντα ἐτῶν ὄντι οὗτος αὐτῷ μέγιστος τῶν ἄλλων λόγος συνετάγη. ἔστι δ' ὁ λόγος συμμικτὸς καὶ ποικίλος μᾶλλον, ἢ οἱ ἄλλοι. παρατίθεται δὲ καὶ τῶν ἄλλων αὐτοῦ λόγων περικοπάς τινας· ἐξ ὧν οὐ φθείρειν τοὺς νέους, ἀλλ' ὠφελεῖν τὸ κοινὸν ἐπιδείκνυσιν ἑαυτόν. δικανικὸς δὲ καὶ ὁ πρὸς Καλλίμαχον· ὁμοίως δὲ καὶ ὁ * Αἰγινητικὸς ὑπὲρ κλήρου ἀγωνιζόμενος, τῶν δικανικῶν δὲ καὶ ὁ πρὸς Εὐθύνουν * ὑπὲρ Νικίου, καὶ ὁ Τραπεζιτικός, καὶ ὁ πρὸς Λοχίτην, ὕβρεως καὶ πληγῶν δίκην ἀπαιτῶν. οὗτοι μὲν καὶ τοσούτους ἐγνώσμεθα Ἰσοκράτους λόγους, ἕνα καὶ εἴκοσιν ὄντας, τῶν δ' ἐννέα ἐπιστολῶν αὐτοῦ μία μέν ἐστι πρὸς Διονύσιον τὸν Σικελίας τύραννον· ἕτεραι δὲ πρὸς Ἀρχίδαμον καὶ πρὸς Φίλιππον δύο· μία δὲ πρὸς Ἀλέξανδρον, καὶ πρὸς Ἀντίπατρον, ἄλλη καὶ ἔτι πρὸς Τιμόθεον, καὶ πρὸς τοὺς Μιτυληναίων ἄρχοντας ἡ θ΄. οὗτος μὲν οὖν ὁ ῥήτωρ σοφιστεύειν μᾶλλον, ἢ τῶν κοινῶν προστατεῖν, ὥσπερ οἱ ἄλλοι ἐννέα ῥήτορες, ὧν καὶ Δημοσθένης ἦν, εἵλετο· καίτοι καὶ πρὸ ἐκείνων τοῖς τῆς ῥητορικῆς ἀκμάζων λόγοις, καὶ κατ' ἐκείνους τὴν ἐπ' αὐτοῖς δόξαν οὐκ ἐλαττούμενος. κέχρηται δὲ μάλιστα μέν, ὡς αὐτίκα τοῖς ἀναγινώσκουσι δῆλον, εὐκρινείᾳ καὶ καθαρότητι· πολλήν τε ἐπιμέλειαν περὶ τὴν ἐργασίαν τῶν λόγων ἐπιδείκνυται· ὥστε καὶ εἰς περιττόν που διεκπίπτειν τὸν κόσμον, καὶ τὸ ἐπιμελές, καὶ αὐτὸ δὲ τὸ τῆς ἐργασίας πλεονάζον παρ' αὐτῷ οὐ τὸ γόνιμον μᾶλλον τῶν ἐπιχειρημάτων, ἢ τὸ ἀπειρόκαλον παρίστησι. ἦθος δὲ καὶ ἀλήθεια καὶ γοργότης οὐδὲ μέτεστι παρ' αὐτῷ. μεγέθους δὲ αὐτῷ, ὅσον εἰς τὸν πολιτικὸν ἐναρμόζει λόγον, ἄριστα καὶ παραπλησίως κέκραται τῇ σαφηνείᾳ. ἄτονος δὲ πλέον τοῦ δέοντος ὁ λόγος, οὐχ ἥκιστα δὲ αὐτοῦ σμικρολογίαν καὶ τὸ περισσοπορὶς τῶν παρισώσεων αἰτιᾶται. ἀλλὰ ταῦτά φαμεν πρὸς τὴν ἐν λόγοις αὐτοῦ ἀρετὴν τὸ * ἐμπίπτον ἐκείνης καὶ ἀνόμοιον ἐνδεικνύμενοι. ἐπεὶ * πρός γε ἐνίων γράφειν λόγους ἐπιχειρουμένων, ἀρεταὶ ἂν δόξωσι καὶ τὰ ἐκείνου ἐλαττώματα.

* al. Αἰγινιτικ.
* al. [illegible]
* ἐκπίπτον.
* ἀπὸ ἐνίων.

hanc anno ætatis octogesimo secundo, orationum [a] cæterarum maximam conscripsit, & mistam quidem eam magisque variam, quã è reliquis vllã, insertis insuper [b] aliarũ eius orationum segmentis, quibus non corrumpere se iuuentutem, sed rem iuuare publicam ostendit. Forensis æque est & illa *contra Callimachum*: similiter & *Aeginetica*, de hæreditate contendens. Iudiciorum quoque sunt, oratio [c] *aduersus Euthynum pro Nicia*, & *Trapezitica*, & *aduersus Lochitem*, iniuriarum plagarúmque pœnam reposcens. Has quidem Isocratis orationes [d] vnam & viginti legimus.

Iam è nouem ipsius epistolis, vna est ad Dionysium Siciliæ Tyrannum, altera ad Archidamum, duæ ad Philippum, vna ad Alexandrum, alia ad Antipatrum. Quin & ad Timotheum, & ad Mitylenæorum Magistratus nona.

Cæterum Orator iste Rhetoricæ artis præceptiones discipulis tradere maluit, quam vt reliqui nouem Græciæ Oratores (quos inter & Demosthenes) Remp. gerere: tametsi vt ante horum tempora dicendi laude clarebat; ita nec eorum temporibus vlli gloria cederet. Maxima est in eo, vt cuiuis legenti statim pateat, orationis distinctio ac puritas; tantámque in eadem elaboranda accurationem præfert, [e] vt in superuacaneum quoque incidat ornatum diligentiámque. Quin operosus nimis hic eius conatus, non tam argumentis fœcundum, quam decoris seruandi parum studiosum eum declarat. Iam neque lenior saltem affectus vllus, neque simulatione carens sinceritas, neque incitatior paulo dicendi vlla vis in eodem prehenditur. Granditatis dumtaxat tantum, quantum ad ciuilem orationem satis est, non male, & pari fere cum perspicuitate ab eo adhibetur. etsi iusto languidior eius sit oratio, nec parum illa membrorum æqualium ad fastidium vsque copia, minutam eius anxiámque diligentiam arguat. Verum hæc aduersus eius in dicendo præstantiam dicta sint, ad ea tantummodo indicanda, in quibus lapsa, sibique dissimilis eius virtus fuit. nam cum quibusdam certe, qui orationes scribere instituunt, comparatus, etiam vitia ipsius in virtutibus numerari queant.

a Intellige Panathenaicum. Alioquin omniũ longissima Panathenaica, & bine Panegyrica.
b Præsertim Panegyrica, & de pace.
c Quæ & Αμάρτυρος vulgo inscribitur.
d Vna tamen hic siue Auctori siue Librario excidit. περὶ ζεύγους, De bigis, & vna item Epistola.
e In compositione adeò diligens, vt Quintil. libr. 10. vt cura eius reprehēdatur.

SCHOLION.

Habes syllabum Isocratis Orationum, & Epistolarum. Intercidisse autem quadam, idoneos testes habeo. Orationes enim quatuor desiderat Dionysius Halicarnassseus, Cæcilius Romanus septem, vndecim Suidas. Epistolarum verò vnam ad Antipatrum legit Photius, nos quærimus. Nam ad Archidamum, quæ hactenus latuit è Cod. Ful. Vrsini Rom. hominis doctissimi descriptam, & iam Latinè vtcumque loquentem, volentes damus. Duas autem ad Philippum, & ad Iasonis liberos alteram, inuisas Photio, vulgatas obseruo.

ΙΣΟΚΡΑΤΗΣ ΑΡΧΙΔΑΜΩ, Λακεδαιμονίων βασιλεῖ.

Εἰδὼς, ὦ Ἀρχίδαμε, πολλοὺς ὡρμημένους ἐγκωμιάζειν σε, καὶ τὸν πατέρα, καὶ τὸ γένος ὑμῶν· εἱλόμην τοῦτον μὲν τὸν λόγον, ἐπειδὴ λίαν ῥᾴδιος ἦν ἐκείνοις παραλιπεῖν. αὐτὸς δέ σε διανοοῦμαι παρακαλεῖν ἐπὶ στρατηγίας καὶ στρατείας οὐδὲν ὁμοίας ταῖς νῦν ἐνεστηκυίαις· ἀλλ' ἐξ ὧν μεγάλων ἀγαθῶν αἴτιος γενήσῃ καὶ τῇ πόλει τῇ σαυτοῦ, καὶ τοῖς Ἕλλησιν ἅπασι.

ISOCRATES ARCHIDAMO *Lacedæmoniorum Regi*.

Cognito, Archidame, quam multi te, [a] parentémque tuum, cum [b] vestro genere vniuerso, laudib. ornare aggressi essent: eam ipsis dicendi materiam, cum facilis admodum esset & obuia, relinquendam putaui. Illud enim mihi in animo est, hortari te, non ad eiusmodi expeditionem aliquam, quales hoc tempore suscipiuntur: sed ad ea, ex quibus ciuitati non minus tuæ, quam Græciæ plane vniuersæ commodorum maximorum auctor futurus sis,

a Agesilaum de cuius vita Xenoph. & Plutar.
b Heraclidarum.

ISOCRAT. Neque vero istud scribendi argumentum delegi, quod nescirem, quidnam esset ad pertractandum facilius: sed ex eo potius, quod certo scirem, quam arduum foret parúmque obuium adinuenire tibi, quas geras res, præclaras, magnas, vtiles, cum tamen virtutes vestras laudare non ita magna cum difficultate potuissem. Neque enim de meo adferre, quæ de his dicerentur, opus fuisset: quando ex ipsis per vos gestis rebus, talis mihi ac tanta dabatur laudandi facultas, vt quæ de aliis prædicantur laudes, ne vel tantillum cum ea conferri possint, qua vos celebrati estis. Quisnam enim aliquando vel ab Hercule Iouéque ipso genus ducentium nobilitatem superet, quam omnes æque consentiunt in vobis solis inueniri: vel virtutem eorum, qui Doricas in Peloponeso vrbes condiderunt, atque hanc regionem vniuersam tenuerunt: vel illam prœliorum trophæorúmque multitudinem, quæ vestro ductu atque auspiciis facta statutáque sunt? Quinam etiam dicendi materia deesse possit ei, qui velit cùm fortitudinem ac temperantiam totius ciuitatis, tum à vestris maioribus institutum Reip. statum percensere? Quam item non licuisset adhibere orationem ad explicandam cum parentis tui prudentiam, tum eius in aduersis rei gerendæ rationem, tum illud, quod eo regnante in ipsa vrbe commissum est prœlium? In quo tunc quidem prœlio, postquam Dux tu ipse creatus cum paucis aduersus multos pugnando omnibus antecelluisti, vrbem simul ipsam seruasti. Quo quid præclarius ab vllo adferri possit? Neque enim vel vrbes expugnare, vel hostium magnum numerum interimere magnum adeo est, aut honorificum, vt fuit è tantis periculis liberare patriam, non illam vulgarem aliquam, sed quæ tantopere virtutis causa emineret. De quibus nemo non dico cum ostentatione, sed plane narrando disseruerit, neque cum verborum ornatu, sed enumerando duntaxat, & sine discrimine quiduis effundendo dixerit; qui non ex eo magnam sibi laudem parauerit.

Ego itaque, qui vel de his poteram satis multa dicere, illud quoque sentio: Facilius in primis esse de præteritis copiosè disserere, quam de futuris admonendo, verba facere. Omnes deinde homines maiorem habere gratiam suis laudatoribus, quam consilia suggerentibus, quando illos vt sui studiosos libenter excipiunt, hos vero, si forte iniussi admonent, pro turbatoribus habent.

Quæ etsi omnia satis prouidi antea, nihilo tamen secius ab his, quæ ad gratiam ineundam dicenda essent, abstinere volui; de iis tantummodo dicturus, quæ nemo alius ausit. ratus decere eos, qui de æquitate atque prudentia cum æqualibus certant, nequaquam illa sibi deligere, quæ ipsi facillimè oratione persequi possint, sed quæ difficillimè persuaderi queant: neque rursum ea, quæ auditu sint iucundissima; sed ex quibus emolumenti plurimum adferant, cum ciuitatibus suis, tum Græcis omnibus, quorum ego modo causa ad te accessi.

Magnam autem hîc mihi admirationem concitant cæteri, quibus vel agendi est, vel dicendi aliqua facultas, quod nulla vnquam de communibus rebus illorũ animos cogitatio subeat, neq; infelicis Græciæ cõmiseratione ducãtur, cuius iã status miserandũ in modũ adeo deformatus est,

ταύτην δ' ἐποιησάμην τὴν αἵρεσιν, οὐκ ἀγνοῶν τὸν λόγον τὸν εὐμεταχειριστότερον· ἀλλ' ἀκριβῶς εἰδὼς, ὅτι πράξεις μὲν εὑρεῖν καλὰς καὶ μεγάλας καὶ συμφερούσας χαλεπὸν καὶ σπάνιόν ἐστιν· ἐπαινέσαι δὲ τὰς ἀρετὰς τὰς ὑμετέρας ῥᾳδίως οἷός τ' ἂν ἐγενόμην. οὐ γὰρ ἔδει με παρ' ἐμαυτοῦ πορίζεσθαι τὰ λεχθησόμενα περὶ αὐτῶν· ἀλλ' ἐκ τῶν ὑμῖν πεπραγμένων τοσαύτας ἂν καὶ τοιαύτας ἀφορμὰς ἔλαβον, ὥστε τὰς περὶ τῶν ἄλλων εὐλογίας μηδὲ κατὰ μικρὸν ἐναμίλλους γενέσθαι τῇ περὶ ὑμᾶς ῥηθείσῃ. πῶς γὰρ ἄν τις ἢ τὴν εὐγένειαν ὑπερεβάλλετο τῶν γεγονότων ἀφ' Ἡρακλέους καὶ Διὸς, ἣν πάντες ἴσασι μόνοις ὑμῖν ὁμολογουμένως ὑπάρχουσαν· ἢ τὴν ἀρετὴν τῶν ἐν Πελοποννήσῳ τὰς Δωρικὰς πόλεις κτισάντων, καὶ τὴν χώραν ταύτην κατασχόντων· ἢ τὸ πλῆθος τῶν κινδύνων καὶ τῶν τροπαίων, τῶν διὰ τὴν ὑμετέραν ἡγεμονίαν καὶ βασιλείαν σταθέντων; τίς δ' ἂν ἠπόρησε διεξιέναι βουληθεὶς τὴν ἀνδρείαν ὅλην τῆς πόλεως καὶ σωφροσύνην καὶ πολιτείαν τὴν ὑπὸ προγόνων τῶν ὑμετέρων συνταχθεῖσαν; πρὸς οἷς δ' ἂν λόγοις ἐξηγάγετο χρήσασθαι περὶ τὴν φρόνησιν τοῦ σοῦ πατρὸς, καὶ τὴν ἐν ταῖς συμφοραῖς διοίκησιν, καὶ τὴν μάχην τὴν ἐν τῇ πόλει γενομένην. ἧς καὶ ἡγεμὼν σὺ καταστὰς, καὶ μετ' ὀλίγων πρὸς πολλοὺς κινδυνεύσας, καὶ πάντων διενεγκὼν, αἴτιος ἐγένου τῇ πόλει τῆς σωτηρίας, οὗ κάλλιον ἔργον οὐδεὶς ἂν ἐπιδείξειεν. οὔτε γὰρ πόλεις ἑλεῖν, οὔτε πολλοὺς ἀποκτεῖναι τῶν πολεμίων, οὕτω μέγα καὶ σεμνόν ἐστιν ὡς εἴη, τῶν τοιούτων κινδύνων σῶσαι τὴν πατρίδα μὴ τὴν τυχοῦσαν, ἀλλὰ τὴν τοσοῦτον ἐπ' ἀρετῇ διενεγκοῦσαν. περὶ ὧν μὴ κομψῶς, ἀλλ' ἁπλῶς διελθὼν· μηδὲ τῇ λέξει κοσμήσας μόνον, ἀλλ' ἐξαριθμήσας καὶ χύδην εἰπών: οὐδεὶς ὅστις οὐκ ἂν εὐδοκιμήσειεν. ἐγὼ τοίνυν δυνηθεὶς ἂν καὶ περὶ τούτων ἐξαρκούντως διαλεχθῆναι, κἀκεῖνο γινώσκω· πρῶτον μὲν, ὅτι ῥᾷόν ἐστι περὶ τῶν γεγενημένων εὐπόρως ἐπιδραμεῖν, ἢ περὶ τῶν μελλόντων νουνεχόντως εἰπεῖν. ἔπειθ', ὅτι πάντες ἄνθρωποι πλείω χάριν ἔχουσι τοῖς ἐπαινοῦσιν, ἢ τοῖς συμβουλεύουσι. τοὺς μὲν γὰρ ὡς εὔνους ἀποδέχονται· τοὺς δ' ἂν μὴ κελευσθέντες παραινῶσιν, ἐνοχλεῖν νομίζουσιν. ἀλλ' ὅμως ἅπαντα ταῦτα προειδὼς, τῶν μὲν πρὸς χάριν ἂν ῥηθησομένων ἀπέχομαι· περὶ δὲ τοιούτων μέλλω λέγειν, περὶ ὧν οὐδεὶς ἂν ἄλλος τολμήσειεν. ἡγούμενος δεῖν τοὺς [περὶ] ἐπιεικείας καὶ φρονήσεως ἀμφισβητοῦντας, μὴ τοὺς ῥᾴστους προαιρεῖσθαι τῶν λόγων· ἀλλὰ τοὺς ἐργωδεστάτους: μηδὲ τοὺς ἡδίστους τοῖς ἀκούουσιν· ἀλλ' ἐξ ὧν ὠφελήσουσι καὶ τὰς πόλεις τὰς αὐτῶν, καὶ τοὺς ἄλλους Ἕλληνας, ἐφ' ὅνπερ ἐγὼ τυγχάνω νῦν ἐφεστηκώς. θαυμάζω δὲ καὶ τῶν ἄλλων τῶν πράττειν ἢ λέγειν δυναμένων, εἰ μηδὲ πώποτ' αὐτοῖς ἐπῆλθεν ἐνθυμηθῆναι περὶ τῶν κοινῶν πραγμάτων, μηδ' ἐλεῆσαι τὰς τῆς Ἑλλάδος δυσπραξίας οὕτως αἰσχρῶς καὶ δεινῶς διατεθειμένης.

ἧς ὑ-

ἧς οὐδεὶς παραλέλειπται τόπος, ὃς οὐ γέμει καὶ μεστός ἐστι πολέμου καὶ στάσεων καὶ σφαγῶν καὶ κακῶν ἀναριθμήτων. ὧν πλεῖστον μέρος μετειλήφασιν οἱ τῆς Ἀσίας τὴν παραλίαν οἰκοῦντες. οὓς ἐν ταῖς συνθήκαις ἅπαντας ἐκδεδώκαμεν οὐ μόνον τοῖς βαρβάροις, ἀλλὰ καὶ τῶν Ἑλλήνων τοῖς τῆς μὲν φωνῆς τῆς ἡμετέρας κοινωνοῦσι, τῷ δὲ τρόπῳ τῷ τῶν βαρβάρων χρωμένοις. οὓς, εἰ νοῦν εἴχομεν, οὐκ ἂν περιεωρῶμεν ἀθροιζομένους, οὐδ᾽ ὑπὸ τῶν τυχόντων στρατηγουμένους, οὐδὲ μείζους καὶ κρείττους συντάξεις στρατιωτῶν γιγνομένας ἐκ τῶν πλανωμένων ἢ πολιτευομένων. αἳ τῆς μὲν βασιλέως χώρας μικρὸν μέρος λυμαίνονται, τὰς δὲ πόλεις τὰς Ἑλληνίδας εἰς ἣν ἂν εἰσέλθωσιν, ἀναστάτους ποιοῦσι. τοὺς μὲν ἀποκτείνοντες, τοὺς δὲ φυγαδεύοντες, τῶν δὲ τὰς οὐσίας διαρπάζοντες. ἔτι δὲ παῖδας καὶ γυναῖκας ὑβρίζοντες· καὶ τὰς μὲν εὐπρεπεστάτας καταισχύνοντες, τῶν δ᾽ ἄλλων, ἃ περὶ τοῖς σώμασιν ἔχουσι περισπῶντες. ὥστε, ἃς πρότερον οὐδὲ κακοσμήτους ἦν ἰδεῖν τοῖς ἀλλοτρίοις, ταύτας ὑπὸ πολλῶν ὁρᾶσθαι γυμνάς· ἐνίας δ᾽ αὐτῶν ἐν ῥάκεσι διαφθειρομένας, δι᾽ ἔνδειαν τῶν ἀναγκαίων. ὑπὲρ ὧν πολὺν ἤδη χρόνον γιγνομένων οὔτε πόλις οὐδεμία τῶν προεστάναι τῶν Ἑλλήνων ἀξιουσῶν ἠγανάκτησεν οὔτ᾽ ἀνὴρ τῶν προεστώτων οὐδεὶς βαρέως ἤνεγκε, πλὴν ὁ σὸς πατήρ. μόνος γὰρ Ἀγησίλαος, ὧν ἡμεῖς ἴσμεν, ἐπιθυμῶν ἅπαντα τὸν χρόνον διετέλεσε τοὺς μὲν Ἕλληνας ἐλευθερῶσαι, πρὸς δὲ τοὺς βαρβάρους πόλεμον ἐξενεγκεῖν· οὐ μὴν ἀλλὰ κἀκεῖνος ἑνὸς πράγματος διήμαρτε· καὶ μὴ θαυμάσειας, εἰ πρὸς σὲ διαλεγόμενος μνησθήσομαι τῶν οὐκ ὀρθῶς ὑπ᾽ αὐτοῦ γνωσθέντων· εἴθισμαί τε γὰρ μετὰ παρρησίας ἀεὶ ποιεῖσθαι τοὺς λόγους. καὶ δεξαίμην ἂν δικαίως ἐπιτιμήσας ἀπεχθέσθαι μᾶλλον, ἢ παρὰ τὸ προσῆκον ἐπαινέσας χαρίσασθαι. τὸ μὲν οὖν ἐμὸν οὕτως ἔχον ἐστίν. ἐκεῖνος δ᾽ ἐν ἅπασι τοῖς ἄλλοις διενεγκὼν, καὶ γενόμενος ἐγκρατέστατος, καὶ δικαιότατος, καὶ πολιτικώτατος, διττὰς εἶχεν ἐπιθυμίας. χωρὶς μὲν ἑκατέραν καλὴν εἶναι δοκοῦσαν, οὐ συμφωνούσας δ᾽ ἀλλήλαις, οὐδ᾽ ἅμα πράττεσθαι δυναμένας· ἠβούλετο γὰρ βασιλεῖ τε πολεμεῖν, καὶ τῶν φίλων τοὺς φεύγοντας εἰς τὰς πόλεις καταγαγεῖν, καὶ κυρίους καταστῆσαι τῶν πραγμάτων. συνέβαινεν οὖν ἐκ μὲν τῆς πραγματείας, τῆς ὑπὲρ τῶν ἑτέρων, ἐν κακοῖς καὶ κινδύνοις εἶναι τοὺς Ἕλληνας. διὰ δὲ τὴν ταραχὴν τὴν ἐνθάδε γιγνομένην, μὴ σχολὴν ἄγειν, μηδὲ δύνασθαι πολεμεῖν τοῖς βαρβάροις. ὥστ᾽ ἐκ τῶν κατ᾽ ἐκεῖνον τὸν χρόνον ῥᾴδιον καταμαθεῖν, ὅτι δεῖ τοὺς ὀρθῶς βουλευομένους μὴ πρότερον ἐκφέρειν πρὸς βασιλέα πόλεμον, πρὶν ἂν διαλλάξῃ τις τοὺς Ἕλληνας, καὶ παύσῃ τῆς μανίας καὶ τῆς φιλονεικίας ἡμᾶς. περὶ ὧν ἐγὼ καὶ πρότερον εἴρηκα, καὶ νῦν ποιήσομαι τοὺς λόγους. καί τοι τινὲς τῶν μηδεμιᾶς μὲν παιδείας μετεσχηκότων, δύνασθαι δὲ παιδεύειν τοὺς ἄλλους ὑπισχνουμένων· καὶ ψέγειν με τὰ ἐμὰ τολμώντων, μιμεῖσθαι δὲ γλιχομένων· τάχ᾽ ἂν μανίαν εἶναι φήσαιεν τὸ μέλειν ἐμοὶ τῶν τῆς Ἑλλάδος συμφορῶν, ὥσπερ παρὰ τοὺς ἐμοὺς λόγους ἢ βέλτιον ἢ χεῖρον αὐτὴν πράξουσαν.

vt angulus in ea nullus reperiatur, qui non ISOCRAT.
bellorum, seditionum, cædium, & infinitorum malorum plenus sit. Quorum quidem partem longè maximam sustinent ij, qui Asiæ maritima incolunt, & à nobis omnibus fœderibus exclusi, non barbaris tantummodo gentibus permissi sunt, sed iis item Græcis, qui etsi lingua nobiscum vtantur eadem, à moribus certè barbarorum nihil discrepant. Quos equidem, si quidquam in nobis esset mentis reliquum, nequaquam sineremus per tantam nostram negligentiam coire, à quibusuis in expeditionem educi, maioráque & validiora colligi agmina è vagis, quam legitimo imperio gubernatis hominibus. Qui cum exiguam admodum regionis eius partem, quæ regi paret, damno afficiant, Græcas potius, ad quascumque accesserint ciuitates, deuastant, dum in his alios interficiunt, alios suis sedibus pellunt, alios bonis exuunt. Taceo puerorum ac mulierum iniurias; & forma in his maximè præstantes violari, cæteras etiam iis, quibus corpora sua tegunt, exui, vt nudæ iam à multis conspiciantur, quas in peregrina veste antea nunquam ne ornatus quidem gratia vidisses, præterquã quod aliquæ in vilibus præ inopia pannis pereuntes obeant. Quæ cum tanto hactenus tempore mala durent, nulla tamen hæc vel ciuitas, ex iis quæ Græcos inter principatum obtinet, vel vir de principibus aliquis molestius tulit: vnum excipio parentem tuum. Solus enim Agesilaus, quod nouerimus, in magno semper vixit desiderio, tum Græcos in libertatem vindicandi, tum belli barbaris inferendi. Qui tamen & ipse vna saltem adhuc in re aberrasse visus est. Neque mireris velim, si tecum ego disserens, mentionem faciam eorum, quæ minus ille rectè sensit. Nam & liberè semper animi sensa proferre soleo, & malim ob iustam reprehensionẽ inuidiam sustinere, quam per immeritam laudem gratificari. Me igitur quæ attingunt, hoc sese modo habent.

Verum ille, qui in cæteris alios superabat omnes, cum esset maximè temperans, idémque iustissimus, ac Reip. studiosissimus, duplicem præ se tulit cupiditatem, præclaram illam quidem vtramque per se, vt apparebat; sed ita inuicem dissidentes, nunquam vt simul ambæ confici possent. Cupiebat itaque & cum rege [Persarum] bellum gerere, & amicos, qui ad se confugissent, in ciuitates suas reducere, ac negotiis ibi publicis summa cum potestate præficere. Ergo illud inde sequebatur, vt & ob studium erga alios, in bellis ac calamitatibus Græci versarentur, & propter exortam inde rerum perturbationem, neque otij satis, neque virium ad lacessendos bello barbaros inuenirent. Quare vel ex iis, quæ tunc temporis contigerunt, non est difficile intelligere, non expedire (vbi recta saltem obtineant consilia) bellum inferre regi prius, quam Græcos quispiam inter se conciliatos ab hoc contendendi furore abduxerit. Qua de re, vt alias disserui, ita neque modo supersedebo. Tametsi maximè quidam ex iis, qui alios docere se posse pollicentur, cum sint ipsi doctrinæ omnis expertes, & mea carpere audent, quæ tamen imitari desiderant, amentis forsitan esse dicant, quod Græciæ me calamitatum cura tangat aliqua, quasi mea oratione melius cum illa agi deinceps possit aut deterius.

ISOCRAT. Quos merito sanè pusilli nimis, ac parum virilis animi omnes æquè censeant; quod se Philosophos iactitantes, non solum ipsi paruis è rebus gloriolam aliquam venentur, sed aliis quoque, qui de maioribus consilia suggerere possint, non desinant inuidere. Atque illi quidem, imbecillitati & ignauiæ obsequentes suæ, talia forsan dicturi sunt: ego verò, quanquam octogesimum iam natus annum penitus defeci, magnifice tamen adeo de me adhuc sentio, vt putem non tantum mei vel in primis fuisse muneris de his dicere, sed etiam tecum agendo præclara suggessisse consilia, ac fortasse per hæc aliqua rectè esse gerenda. Quin & cæteros ego Græcos existimo, si ex omni suorum numero deligendi ipsis essent, cùm qui Græcos posset optimè oratione sua incitare ad inuadendos bello barbaros, tum qui celerrimè conficere posset, quæ vtiliter gerenda viderentur, nullos omnino alios nobis præpositituros. Et vero quomodo non alioqui turpem prorsus rem committeremus, cum honorifica forent adeo illa, quibus nos omnium iudicio ornaremur? Etsi à me quod proficisci potest, minoris id sane momenti est, cum non ita soleat esse arduum, suam de re quapiam sententiam proferre. Cum tuum sit ad ea animum, quæ modo indicauimus, aduertentem dispicere, Græciæ ne res negligendæ tibi sint, eo quod paulo ante dixi genere nato, Lacedæmoniorum duci, regi quoque declarato, & maximum inter Græcos nomen sustinenti, an potius præsentia sint omittenda negotia, quo his maiora suscipias. De quibus sane ego illud sentio, in hæc duo potissimum, cæteris omnibus prætermissis, esse tibi incumbendum, vt Græcos hisce bellis, ac miseriis, quibus cum hodie conflictantur, liberes: vtque barbarorum coërceas insolentiam, qui iam pluribus, quam par sit, bonis abundant. Id autem confieri posse, meas esse partes duxi commonefacere.

CLX. CHORICII SOPHISTÆ *Declamationes variæ, & PROCOPII GAZÆI Homericorum versuum Metaphrases.*

LECTÆ sunt CHORICII SOPHISTÆ GAZÆI *Declamationes, Orationúmque Classes* [a] *variæ.* Gaudet hic accurata distinctione atque puritate: ac si quando vtilitatis alicuius gratia etiam [b] circumductione vtitur, tam eam opportune adhibet, in periodi lōgitudinem nequaquam excurrēdo, nihil vt perspicuitatem lædat. Mitior item affectus apud ipsum egregiè candore temperatur, neque tamen ideo à docta recedit diligentia. Selectis vtitur plerumque vocibus, etsi non semper genuinum illæ suum seruent vsum. Interdum enim ob nudam figuratam deflexionem in frigidam incidit dictionem: & est vbi ad Poeticum potius stylum delabitur. Vincit autem seipsum, præstantiórque est, dum in descriptionibus ac laudationibus versatur. Religionis item amans, Christianorum sacra ritúsque veneratur. nisi quod nescio qua negligentia, & sine vlla causa, cum minimè decet, fabulas historiasq; Gentilium scriptis suis admisceat:

a συντάξεις, quales nec quinque numerantur.
b τῇ περιβολῇ.

ὧν δικαίως ἂν ἅπαντες πολλὴν ἀνανδρίαν καὶ μικροψυχίαν καταγνοῖεν, ὅτι προσποιούμενοι φιλοσοφεῖν, αὐτοὶ μὲν ἐπὶ μικροῖς φιλοτιμοῦνται· τοῖς δὲ δυναμένοις περὶ τῶν μεγίστων συμβουλεύειν φθονοῦντες διατελοῦσιν. οὗτοι μὲν οὖν βοηθοῦντες ταῖς αὑτῶν ἀσθενείαις καὶ ῥαθυμίαις, ἴσως τοιαῦτ' ἐροῦσιν. ἐγὼ δὲ οὕτως ἐπ' ἐμαυτῷ μέγα φρονῶ, καίπερ ἔτη γεγονὼς ὀγδοήκοντα, καὶ παντάπασιν ἀπειρηκώς· ὥστ' οἶμαι καὶ λέγειν ἐμοὶ προσήκειν μάλιστα περὶ τούτων, καὶ καλῶς βεβουλεῦσθαι πρός σε ποιούμενον τοὺς λόγους· καὶ τυχὸν ὑπ' αὐτῶν γενήσεσθαί τι τῶν δεόντων. ἡγοῦμαι δὲ καὶ τοὺς ἄλλους Ἕλληνας, εἰ δεήσειεν αὐτοὺς ἐξ ἁπάντων ἐκλέξασθαι τόν τε τῷ λόγῳ κάλλιστα δυνηθέντα παρακαλέσαι τοὺς Ἕλληνας ἐπὶ τὴν τῶν βαρβάρων στρατείαν, καὶ τὸν τάχιστα μέλλοντα τὰς πράξεις ἐπιτελεῖν τὰς συμφέρειν δοξάσας, οὐκ ἂν ἄλλους ἀνθ' ἡμῶν προκριθῆναι. καίτοι πῶς οὐκ αἰσχρὸν ποιήσαιμεν, οὕτως ἐντίμων ὄντων, ὧν ἅπαντες ἂν ἡμᾶς ἀξιώσειαν; τὸ μὲν οὖν ἐμὸν ἔλαττόν ἐστιν· ἀποφήνασθαι γὰρ ἃ γινώσκει τις, οὐ πάνυ τῶν χαλεπῶν πέφυκε. σοὶ δὲ προσήκει προσέχοντι τὸν νοῦν τοῖς ὑπ' ἐμοῦ λεγομένοις βουλεύσασθαι, πότερον ὀλιγωρητέον ἐστὶ τῶν Ἑλληνικῶν πραγμάτων, γεγονότι μὲν ὥσπερ ὀλίγῳ πρότερον ἐγὼ δῆλον, ἡγεμόνι δὲ Λακεδαιμονίων ὄντι, βασιλεῖ δὲ προσαγορευομένῳ, μεγίστην δὲ τῶν Ἑλλήνων ἔχοντι δόξαν· ἢ τῶν μὲν ἐνεστώτων πραγμάτων ὑπεροπτέον, μείζοσι δ' ἐπιχειρητέον. ἐγὼ μὲν γάρ φημι χρῆναί σε πάντων ἀφέμενον τῶν ἄλλων, δυοῖν τούτοιν προσέχειν τὸν νοῦν· ὅπως τοὺς μὲν Ἕλληνας ἀπαλλάξῃς τῶν πολέμων, καὶ τῶν ἄλλων κακῶν, τῶν νῦν αὐτοῖς παρόντων· τοὺς δὲ βαρβάρους παύσῃς ὑβρίζοντας, πλείω κεκτημένους ἀγαθὰ τοῦ προσήκοντος. ὡς δ' ἐστὶ ταῦτα δυνατά, ἐμὸν ἔργον διδάξαι περὶ αὐτῶν ἐστιν.

ΧΟΡΙΚΙΟΥ ΣΟΦΙΣΤΟΥ ΛΟΓΟΙ διάφοροι, καὶ Προκοπίου σοφιστοῦ Γάζης ἐπῶν Ὁμηρικῶν μεταφράσεις.

ἈΝΕΓΝΩΣΘΗ Χορικίου σοφιστοῦ Γάζης, μελέται καὶ συντάξεις λόγων διάφοροι. ρξʹ. ἔστι δὲ χαίρει μὲν εὐκρινείᾳ καὶ καθαρότητι, εἰς τὸ χρήσιμον δὲ καὶ τῇ περιβολῇ κεχρημένος, τῷ τε εὐκαίρῳ, καὶ τῷ μὴ εἰς μῆκος περιόδου ταύτην παρατείνειν, οὐδὲν τῇ σαφηνείᾳ λυμαίνεται. ἦθος τε καὶ ἀληθείᾳ συγκέκραται, οὐδὲ τῆς γνωμονικῆς σπουδῆς ἀστοχῶν. ἡ δέ γε λέξις αὐτῷ τῶν λογάδων οὖσα ἐν πολλοῖς, οὐκ ἀεὶ τὸ γνήσιον διώκει. ἔσθ' ὅτε γὰρ, διὰ τὴν ἄκρατον τῆς * προτροπῆς ἐκτροπὴν, εἰς ψυχρολογίαν ἐκπίπτει. καὶ πρὸς τὸ ποιητικώτερον δέ ἐστιν οὗ παρασύρεται. χρήσιμος δέ ἐστιν αὐτὸς ἑαυτοῦ μᾶλλον, ἐκφράσεις καὶ ἐγκώμια διεξερχόμενος. ἔστι δὲ καὶ τῆς εὐσεβείας ἐραστὴς, τὰ χριστιανῶν ὄργια καὶ τεμένη τιμῶν. πλὴν οὐκ οἶδ' ὅπως ὀλιγώρως καὶ λόγῳ σὺν οὐδενὶ μύθους καὶ ἱστορίας ἑλληνικὰς, οὐ δέον ὂν, ἐγκαταμίγνυσι τοῖς ἑαυτοῦ συγγράμμασιν.

Choricii sophistæ Declamationes.

* al. τροπῆς.

ἔστιν

ὅτι καὶ ἱερολογῶν. ποικίλα δὲ αὐτοῦ καὶ πολλὰ συγγράμματα φέρεται. πλασματικοῖς τε γὰρ καὶ πανηγυρικοῖς, καὶ μονῳδίαις, καὶ ἐπιθαλαμίοις, καὶ ἀντιρρητικοῖς ἔστιν αὐτοῦ λόγοις ἐντυχεῖν, καὶ τοιούτοις ἑτέροις. ἤκμασε δὲ ἐν τοῖς Ἰουστινιανοῦ χρόνοις. γέγονε δὲ μαθητὴς Προκοπίου ῥήτορος, ἑνὸς τῶν ἀρίστων (οὐ τοῦ Καισαρέως δὲ) ὃς εἰς μέγα κτῆμα καὶ ὄφελος κατ' ἐκεῖνο καιροῦ τὰς γραφὰς συντάξας, ἀείμνηστον αὐτοῦ κλέος τοῖς σπουδαιοτέροις καταλέλοιπεν. ἑτέρῳ δέ τινι προσωμίλησεν, ἐν τῇ αὐτῇ πατρίδι, καὶ αὐτῷ λαχόντι σοφιστεύειν. ὃς καὶ εἰς γῆρας ἐλάσας, ἡδέως εἶχεν, ὁρᾶν ἀνθ' ἑαυτοῦ τὸν ὁμιλητὴν τῆς σχολῆς ἐξηγούμενον. τούτου λόγοι πολλοί τε καὶ παντοδαποὶ φέρονται, ἄξιον ζήλου καὶ μιμήσεως χρῆμα. καὶ δὴ καὶ βιβλίον ὅλον, στίχων ὁμηρικῶν μεταφράσεις, εἰς ποικίλας λόγων ἰδέας ἐκμεμορφωμένας: αἳ μάλιστα τὴν τοῦ ἀνδρὸς περὶ ῥητορικὴν δύναμιν καὶ μελέτην ἱκαναὶ πεφύκασιν ἀπαγγέλλειν. οὗ τινος, ὡς ἔστι δυνατὸν μαθητῇ, Χορίκιος μιμητὴς κατὰ τοὺς λόγους γέγονεν. ἄμφω δὲ ἦσαν εὐσεβεῖς· καὶ πολλαχοῦ τοῖς λόγοις αὐτῶν, οὐδὲ παρέργως, περὶ τῆς ἱερᾶς εἰκονουργίας διαλαμβάνουσιν. γέγονε δὲ Χορικίῳ καὶ ἡ τοῦ διδασκάλου τελευτὴ, ἐπιταφίου ὑπόθεσις.

Procopius sophista.

interdum etiam cum de rebus sacris differit. Varia autem plurimáque ab illo litterarum monumentis prodita in manibus versantur. Reperias enim eius [a] Fictorum argumentorum Orationes *Panegyricas*, [b] *Lamentabiles*, *Nuptiales*, *Refutationes*, & id genus alia.

Æqualis fuit Iustiniani Augusti, discipulus verò Procopij Rhetoris (non illius [c] Cæsariensis tamen) vnius è summis viris: qui temporibus illis multa & vtilia [d] scribendo, perpetuam sui memoriam hominibus paululum modo humanioribus reliquit.

[e] Altero item in ea ipsa sua patria doctore vsus est, perinde Rhetore, cui iam ætate affecta gratissimum accidit discipulum suum videre docendi pro se munus occupantem. Huius quoque [f] libri multi, variæque doctrinæ circumferuntur, lectu atque imitatione digni.

Est item liber eius integer [g] *Homericorum versuum Metaphrases*, variis dicendi formis commutatæ, quæ summam viri cum dicendi facultatem, tum declamitandi vim satis per se queant ostendere, quam virtutem, quoad eius à discipulo fieri potest, in Orationibus Choricius expressit. Vterque pius est, ac sæpenumero in suis orationibus, neque abs re, de sacro faciendarum imaginum vsu disserunt. Ex Procopij vero præceptoris obitu epitaphij argumentum Choricio est oblatum.

CHORIC.

a Πλασματικοῖς λόγοις.
b Μονῳδίας, quas describit Suidas, aliaque.
c Quem Illustrem Suidas nominat.
d Vt historiarum libros, de quibus sup. C. LXIII.
e Procopio Gazæo, ex Max. Margunij scholio.
f Quos habet infr. Codd. CCVI. & CCVII.
g Quale scripsisse Dorionem meminit Seneca Rhetor Suasor. I. ad quem locum plures notauimus.

ρξα'. Sopatri eclogarum lib. XII.

CLXI.

ΣΩΠΑΤΡΟΥ ΕΚΛΟΓΑΙ ΔΙΑΦΟΡΟΙ ἐν βιβλίοις ιβ'.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ ἐκλογαὶ διάφοροι ἐν βιβλίοις δυοκαίδεκα Σωπάτρου σοφιστοῦ. συνείλεκται δὲ αὐτῷ τὸ βιβλίον ἐκ πολλῶν καὶ διαφόρων ἱστοριῶν καὶ γραμμάτων. τὸ μὲν οὖν πρῶτον περὶ τῶν παρ' Ἕλλησι μυθολογουμένων θεῶν διαλαμβάνει: ὃ συνείλεκται ἐκ τῶν Ἀπολλοδώρου περὶ θεῶν γ' λόγου. Ἀθηναῖος δὲ ὁ Ἀπολλόδωρος, καὶ γραμματικὸς τὴν τέχνην. οὐκ ἐκ τοῦ τρίτου δὲ μόνου ἡ ἐκλογὴ αὐτῷ πεποίηται, ἀλλὰ δὴ καὶ ἐκ δ', καὶ ε', καὶ θ'. τοῦ τε α', πάλιν καὶ ιβ', καὶ ιε', τε καὶ ις', μέχρι τοῦ κδ'. ἐν ᾗ συλλογῇ τά τε μυθικῶς περὶ* θεῶν διαπεπλασμένα, καὶ εἴ τι καθ' ἱστορίαν εἴρηται, περιείληφε. περί τε τῶν παρ' αὐτοῖς ἡρώων καὶ Διοσκούρων. καὶ περὶ τῶν ἐν ᾅδου· καὶ ὅσα παραπλήσια. ἔτι [δὲ καὶ] συνείλεκται αὐτῷ ἡ βίβλος καὶ ἐκ τοῦ δευτέρου λόγου τοῦ περὶ γραφικῆς* Ἰοβᾶ, καὶ μὴν καὶ ἐκ τῶν Ἀθηναίου τοῦ Ναυκρατίτου δειπνοσοφιστῶν. καὶ ὁ μὲν πρῶτος λόγος ἐκ τούτων ἠθροίσθη, καὶ τοσαῦτα περιλαμβάνει. ὁ δὲ δεύτερος ἔκ τε τῶν Σωτηρίδα Παμφίλης ἐπιτομῶν πρώτου λόγου, καὶ καθεξῆς, μέχρι τοῦ δεκάτου. καὶ ἐκ τῶν Ἀρτέμωνος τοῦ Μάγνητος τῶν κατ' ἀρετὴν γυναιξὶ πεπραγματευμένων διηγημάτων. ἔτι δὲ καὶ ἐκ τῶν Διογένους τοῦ κυνικοῦ ἀποφθεγμάτων, καὶ μὴν καὶ ἐξ ἄλλων διαφόρων. ἀλλά γε καὶ ἀπὸ ὀγδόου βίβλου τῆς Σαπφοῦς: ἐν οἷς καὶ ὁ δεύτερος βίβλος τῶν συλλογῶν. ὁ δὲ τρίτος λόγος συλλέγεται αὐτῷ ἐκ τῆς Φαβωρίνου παντοδαπῆς* ὕλης, ἔκ τε τοῦ ν', καὶ ξ', καὶ καθεξῆς πλὴν τοῦ ταῦ, μέχρι τοῦ ω'. ἐν οἷς διάφοροι ἱστορίαι, καὶ τῶν κατὰ τὰ ὀνόματα θέσεων αἰτιολογίαι, καὶ τοιαῦτα ἕτερα: εἰς ἃ καὶ ὁ τρίτος αὐτῷ συμπεραίνεται λόγος. ὁ δὲ τέταρτος αὐτῷ λόγος ἐκ τοῦ ἀνεπιγράφου αὐτῷ βιβλίου συνηθροίσθη, θαυμάτων δὲ μόνον ἐπιγράφεται συναγωγή. τὸ

* al. inserit, ἐκτῶν.
* Ἰόβα.
* ὕλης.

SOPATRI Excerptorum variorum libri XII.

LECTÆ sunt *Eclogæ variæ doctrinæ* libris duodecim [a] SOPATRI SOPHISTÆ. Collegit autem hoc Opus è multis & diuersis historicis, atque scriptoribus. *Primus* itaque liber de fabulosis Gentium Diis agit. Electa hæc ex [b] Apollodori libro tertio de Dijs, qui patria Atheniensis Grammaticam docuit. Nec vero è tertio duntaxat libro hæc selegit: sed & è quarto, quinto, ac nono. Itemè primo, duodecimo, decimoquinto, & decimosexto, vsque ad quartum & vicesimum. Quibus collectaneis, quæ de Diis fabulosè ficta sunt, quæque historicè narrantur, complectitur vniuersa, vt & de Heroibus, ac [c] Dioscuris. De iis item, qui apud inferos degunt, aliáque id genus plurima. Colligit hæc quoque è secundo libro [d] Iubæ *De pictura*, & vero etiam ex Athenæi Naucratitæ F. *Dipnosophistis*. Et ex his quidem primus liber compositus, tantumdemque comprehendit.

Alter deinde liber è [e] Pamphiles Soteridæ F. *Epitomatum* libro primo, ac deinceps ad decimum vsque, & ex Artemonis Magnetis F. *Narrationibus*, *de rectè factis mulierum*. Ad hæc etiam è Diogenis Cynici *Apophthegmatis*, aliisque diuersis. Quin & ex octauo libro Sapphus. Quæ secundi libri collectanea sunt. *Tertius* tum liber legitur ex *omnigena* [f] Fauorini *Sylua*, ex eius, inquam, N, Ξ, & ordine sequentibus, vno excepto T, vsque ad Ω. Variæ hic adferuntur historiæ, & impositorum nominum rationes, atque id genus alia, in quæ tertius desinit liber. *Quartus* autem ex incerti auctoris libro concinnatus, cuius titulus est: *Admirandorum*

a Quem Suid. Apamiensem, siue Alexandrinum potius putat.
b Est huius mentio infr. C. CLXXXVI. in fine, & in prolegomenis Bened. Ægij ad eiusdem Apollodori Bibliothecam.
c Castore, & Polluce.
d Lege Suidam de hoc Regum doctissimo, & multis eruditè scriptis libris clarissimo.
e De qua etiam sup. Cod. CLXXV. & Suid.
f Vide etiam de hoc Suidam, & frequens eius apud A. Gell. mentio.

SOPATER.

a [illegible] vel ex Suida notaru.

collectanea, & ex [a] Aristoxeni *Miscellaneorum commentariis*, ac ne iis quidem omnibus, sed à decimo-sexto duntaxat libro, atque ex octauo libro Rufi, *Dramaticæ historiæ*. Hic incredibilia atque inopinata maximè reperias, & cum Tragœdorum, tum Comœdorum varia gesta, sermones, vitæque instituta, & similia; ex quibus quartus liber conficitur. *Quintus* verò collectus è Rufi *Musicæ historiæ* libris primo, secundo, & tertio. vbi Tragicorum, ac Comicorum variam inuenies historiam. Quin & Dithyrambos scribentium, & Aulœdorum ac Citharœdorum, Epithalamiorúmque carminum, & hymenæorum, atque cantilenarum in chorea enumerationem. Item de saltatoribus, aliisque in Græcorum theatris vsitatis certaminibus. Vnde item, & quo genere nati fuerint, qui apud ipsos viri siue fœminæ, ad summum in his decus peruenerunt. Quinam etiam singulorum auctores ac principes studiorum extiterint: & qui horum Regibus aut Imperatoribus in deliciis, & amici fuerint.

Hoc amplius, qui ludi, & vnde, in quibus artem quisque suam ostendit. De festis quoque diebus, qui à toto Atheniensi populo celebrantur. Hæc igitur omnia, & si quid his forte simile, legentibus quintus liber, exhibet. *Sextus* ab illo collectus liber, ex eiusdem Rufi *Musicæ historiæ* libro quarto, & quinto. Tibicinum verò, & carminum, quæ vel à viris, vel à fœminis ad tibiam cantata fuere, narratio instituitur. Homerus item, Hesiodus, & Antimachus Poëtæ, aliíque plurimi ex hoc poëtarum genere, magnam huius narrationis partem efficiunt. Addit verò & de fœminis vaticinandi arte claris. Quæ item, & vnde dictæ Sibyllæ. Atque hæc quidem à Rufo mutuatur. Sumit & è secundo libro [b] *Halieuticon* Damostrati. Quin & ex Diogenis Laertij *De Philosophorum vita*, libro primo, quinto, nono, & decimo. Vbi Philosophorum res exponit. Vndè nimirum cœpta primum diuina illa res Philosophia, vtque viguerit: qui quarum sectarum auctores ac principes extiterint, quos quisque sui studiosos, aut artis forsitan æmulos habuerit, quos singuli mores præ se tulerint, vnde genus duxerint; quale ab initio vitæ genus sectati sint, quibusque temporibus floruerint.

b Qui & à Suida referuntur. Meminit item Ælian. hist. animal. lib. 13. c. 21.

Hinc de Rhetoribus, rebúsque ad artem dicendi pertinentibus, ex hoc cognoscas libro licet. Idem etiam ex [c] Ælij Dionysij scriptis *de Alexandria vrbe* decerptus liber, & ex Hellanici *Aegyptiacis*. E quibus vbi fabulosa & fictitia multa cum aliorum item magna varietate collegeris, in sexti tandem libri extremum incides. *Septimus* posteà liber ex Herodoti historia velut è floribus eleganter ac variè contextus est. *Octauus* autem liber excerpta continet è veteri quodam codice, [d] qui ille ipse, cui colligentis haud est adscriptum nomen. Fœminas hic recenset, quarum illustris gloria, famáque esset: virorum item quorũdam præclarè gesta, & ab his instituta dicendi artis gratiâ colloquia. Amicitiæ quoque vim, & proborum hominum apophthegmata refert.

c Αἰλίου Διονυσίου emendandum fuit. Lexicon Atticarum vocum legas CCLII.

d Superiore pag. forsitan indicatus.

βιβλίον· καὶ ἐκ τῶν τοῦ Ἀριστοξένου συμμίκτων ὑπομνημάτων· οὐκ ἐκ πάντων δὲ, ἀλλ᾽ ἔκ γε τοῦ ἑκκαιδεκάτου λόγου μόνου, καὶ ἐκ τοῦ * ὀγδόη λόγου, τῆς τοῦ Ῥούφου δραματικῆς ἱστορίας· οἷς παράδοξά τε καὶ ἀπίθανα ἔστιν εὑρεῖν, καὶ τραγῳδῶν καὶ κωμῳδῶν πράξεις τε καὶ λόγους καὶ ἐπιτηδεύματα, καὶ τοιαῦθ᾽ ἕτερα. ἀλλ᾽ ἐν τούτοις μὲν καὶ ὁ τέταρτος. ὁ δὲ πέμπτος σύγκειται αὐτῷ ἔκ τε τῆς Ῥούφου μουσικῆς ἱστορίας πρώτου καὶ δευτέρου καὶ τρίτου βιβλίου. ἐν ᾧ τραγικῶν τε καὶ κωμικῶν ποικίλην ἱστορίαν εὑρήσεις. οὐ * μὴν δὲ, ἀλλὰ καὶ διθυραμβοποιῶν τε καὶ αὐλητῶν, καὶ κιθαρῳδῶν, ἐπιθαλαμίων τε ᾠδῶν καὶ ὑμεναίων, καὶ ὑπορχημάτων ἀφήγησιν· περί τε ὀρχηστῶν, καὶ τῶν ἄλλων τῶν ἐν τοῖς ἑλληνικοῖς θεάτροις ἀγωνιζομένων· ὅθεν τε καὶ ὅπως οἱ τούτων ἐπὶ μέγα κλέος παρ᾽ αὐτοῖς ἀναδραμόντες γεγόνασιν, εἴτε ἄρρενες, εἴτε καὶ τὴν θήλειαν φύσιν διακληρωσάμενοι; τίνες τε τίνων ἐπιτηδευμάτων ἀρχὴ διεγνώσθησαν, καὶ τούτων δὲ τίνες τυράννων ἢ βασιλέων ἐρασταὶ καὶ φίλοι γεγόνασιν. οὐ μὴν ἀλλὰ καὶ τίνες τε ἀγῶνες, καὶ ὅθεν; ἐν οἷς ἕκαστος τὰ τῆς τέχνης ἐπεδείκνυτο. καὶ περὶ ἑορτῶν δὲ, ὅσαι πάνδημοι τοῖς Ἀθηναίοις. ταῦτα δὲ πάντα, καὶ εἴ τι ὅμοιον, ὁ πέμπτος ἀναγινώσκοντί σοι παραστήσει λόγος. ὁ δὲ ἕκτος αὐτῷ συνελέγη λόγος ἔκ τε τῆς αὐτῆς Ῥούφου μουσικῆς βίβλου πέμπτης καὶ τετάρτης. αὐλητῶν δὲ καὶ αὐλημάτων ἀφήγησιν ἔχει, ἄνδρες τε ὅσα ηὔλησαν, καὶ δὴ καὶ γυναῖκες. καὶ Ὅμηρος δὲ αὐτῷ, καὶ Ἡσίοδος, καὶ Ἀντίμαχος οἱ ποιηταί, τῆς διηγήσεως μέρος καὶ τῶν ἄλλων πλεῖστοι, τῶν εἰς τοῦτο τὸ γένος τῶν ποιητῶν ἀναγομένων. ἔτι δὲ καὶ περὶ γυναικῶν μαντικῶν ἀναγραφή, τίνες τε καὶ ὅθεν αἱ καλούμεναι σίβυλλαι. καὶ ταῦτα μὲν, ὡς ἀπὸ τῶν Ῥούφου. σύγκειται δὲ αὐτῷ καὶ ἐκ τοῦ δευτέρου λόγου τῶν Δαμοστράτου ἁλιευτικῶν. καὶ ἐκ τῶν Λαερτίου Διογένους φιλοσόφων βίων, βιβλίου πρώτου καὶ πέμπτου, ἐννάτου τε καὶ δεκάτου· ἐν οἷς τὰ περὶ τῶν φιλοσόφων διέξεισιν· ὅθεν τε τὸ φιλοσοφίας ἱερὸν χρῆμα τὴν ἀρχὴν ἔφυ, καὶ ὅπως ἤκμασε; τίνες τε τίνων αἱρέσεων ἀρχηγοὶ καὶ προστάται κατέστησαν; τίνας τε ἔσχον ἐραστὰς καὶ τίνας ἀντιτέχνους τινές. ὁποῖόν τε ἕκαστος αὐτῶν ἐπεδείκνυτο ἦθος, καὶ πόθεν εἷλκε τὸ γένος, καὶ οἷον τὸ ἐξ ἀρχῆς ἐπιτήδευμα, καὶ πότε καιροῦ ἤκμασε; καὶ περὶ ῥητόρων δὲ καὶ ῥητορικῆς τὰ παραπλήσιά σοί ἐστιν ἐκεῖθεν ἀναλαμβάνειν. ἔτι μὲν σύγκειται ὁ αὐτὸς λόγος [καὶ] ἐκ τῶν Αἰλίου, δι᾽ οὗ περὶ Ἀλεξανδρείας· καὶ ἐκ τῶν αἰγυπτιακῶν Ἑλλανίκου· δι᾽ ὧν μυθικά τε καὶ πλασματικὰ πολλὰ συλλέξας, καὶ διάφορα ἕτερα, εἰς τὸ τέλος τοῦ ἕκτου λόγου κατήντησε. ὁ δὲ ἕβδομος αὐτῷ λόγος ἐδηλώθη ἐκ τῆς Ἡροδότου ἱστορίας. ὁ δὲ ὄγδοος ἐκ τόμου τινὸς ἀρχαίου ἐκλογαὶ, καὶ αὐτὸ τυγχάνει τὸ βιβλίον οὐκ ἔχον ἐπιγραφόμενον τὸν συντεθεικότα· ἐν οἷς τὰς εἰς μέγα δόξης καὶ ὄνομα λαμπρὸν ἀρθείσας γυναῖκας καταλέγει, καὶ ἀνδρῶν ἐνίων ἔργα, καὶ ἐπὶ παιδείᾳ λόγων συνουσίας. ἀρετήν τε αὖ φιλίας, καὶ τῶν σπουδαίων ἀποφθέγματα.

* ἐννάτου.

* μὲν.

σύγκειται

Plutarchi opuscula.

σύγκειται δὲ αὐτῷ καὶ ἐκ τῶν Πλουτάρχου περὶ τοῦ, πῶς δεῖ τὸν νέον ἀκούειν ποιημάτων. περί τε φύσεως καὶ πόνων· ὅπως τε πολλοὶ πολλάκις πόνῳ τὴν φύσιν οὐκ εὖ φερομένην ὤρθωσαν: ἕτεροι δὲ καλῶς ἔχουσαν, ἐξ ἀμελείας διέφθειραν. ὅπως τε ἔνιοι ἐν μὲν νέοις, βραδεῖς ἑωρῶντο πᾶσι καὶ ἀσύνετοι: ἀκμασάντων δὲ, εἰς τὸ ταχὺ καὶ συνετὸν αὐτοῖς ἡ φύσις ἐξέλαμψε· καὶ ἐκ τοῦ περὶ δυσωπίας δὲ λόγου, καὶ περὶ ἀδολεσχίας, καὶ περὶ ὀργῆς. καὶ ἐκ τοῦ, πῶς ἄν τις ὑπὸ ἐχθρῶν ὠφελοῖτο; καὶ περὶ εὐθυμίας δὲ, καὶ τῶν πολιτικῶν αὐτοῦ παραγγελμάτων: περί τε πλούτου: καὶ ὅπως ἄν τις συναίσθοιτο ἑαυτοῦ πρὸς ἀρετὴν ἐπιδόντος. ἔκ τε τῶν ὑγιεινῶν αὐτοῦ καὶ γαμικῶν παραγγελμάτων. ἐν οἷς ἐστιν εὑρεῖν πλεῖστα καὶ ἀξιομνημόνευτα ἐν λόγοις ἔργα, καὶ πρὸς πολλά σοι χρησιμεύοντα. ταῦτα μὲν καὶ ἐκ τούτων ὁ ὄγδοος λόγος. καὶ δὴ καὶ ὁ ἔνατος αὐτοῦ ὁμοίως ἐκ τῶν Πλουτάρχου συνετμήθη ἔκ τε τοῦ, ὅτι βραδέως θεοὶ τιμωροῦνται), καὶ δὴ καὶ ἐκ τοῦ βίου Δημητρίου καὶ Βρούτου τοῦ ῥωμαίου, καὶ ἐκ τοῦ λόγου ὃς ἐπιγέγραπται αὐτῷ Ἀνδρῶν ἐνδόξων ἀποφθέγματα. ἔκ τε τοῦ περὶ * ποταμῶν: καὶ πῶς ἄν τις διακρίνειε τὸν κόλακα τοῦ φίλου; καὶ μὴν καὶ ἐκ τοῦ Κράτητος βίου Δαϊφάντου καὶ Πινδάρου. καὶ ἐκ τοῦ βιβλίου δὲ ὃ ἐπιγέγραπται αὐτῷ Βασιλέων καὶ στρατηγῶν ἀποφθέγματα. σὺν οἷς καὶ ἐκ τῶν συμποσιακῶν αὐτοῦ, ἀπό τε τοῦ πρώτου καὶ ἐφεξῆς, μέχρι τοῦ ὀγδόου. καὶ ἀπὸ μὲν τῶν Πλουτάρχου ἐκ τούτων συνείλεκται. καὶ ἐκ τοῦ Ῥούφου ῥωμαϊκῆς ἱστορίας πρώτου καὶ δευτέρου καὶ τρίτου βιβλίου καὶ τετάρτου: ἐν οἷς ἐστι περιτυχεῖν πολλοῖς ἀξιολόγοις, εἰ καὶ ἔνια αὐτῶν εἰς μύθους καὶ μακρὸν ἐπιπίπτουσι λῆρον. ἀλλ' ὧδε μὲν καὶ ὁ ἔνατος. ὁ δέκατος δὲ συνετέθη ἔκ τε τοῦ Κεφαλίωνος Ἐρατοῦς, διαλαμβανούσης τὰ κατ' Ἀλέξανδρον. καὶ δὴ καὶ ἐκ τῶν Ἀπολλωνίου τοῦ στωϊκοῦ, ὅσαι γυναῖκες ἐφιλοσόφησαν, ἢ καὶ ἄλλως τι ἐπίδοξον διεπράξαντο, καὶ δι' ὧν * οἰκείας εἰς εὔνοιαν συνεκράθησαν. καὶ ἐκ τῶν Θεαγένους δὲ μακεδονικῶν * πατρίων· ἔκ τε τῶν Πλουτάρχου περὶ βίων Νικίου καὶ Ἀλκιβιάδου, Θεμιστοκλέους τε καὶ Θησέως, καὶ Λυκούργου, Σόλωνός τε καὶ Ἀλεξάνδρου τοῦ Φιλίππου· ἔκ τε τῶν βίων Κίμωνος καὶ Λυσάνδρου, Δημοσθένους τε καὶ Περικλέους, καὶ Πελοπίδου, καὶ Φωκίωνος, καὶ Ἀριστείδου. ὧν τὰ πλεῖστα ἀξιάγαστά τε καὶ ἀξιομνημόνευτα. ἀλλ' ἐν τούτοις μὲν καὶ ὁ δέκατος. ὁ δὲ ἑνδέκατος ἔχει τὴν συναγωγὴν ὁμοίως, ἐξ ὧν Πλούταρχος συνέταξε βίων, Ἐπαμεινώνδου καὶ Δίωνος, καὶ Ἀγησιλάου καὶ Ἄγιδος, καὶ Κλεομένους· Εὐμένους τε τοῦ καρδιανοῦ, καὶ Φιλοποίμενος, καὶ Τιμολέοντος καὶ Ἀράτου. ὃς δημαγωγὸς καταστὰς τῶν ἀχαιῶν, ἑπτακαιδεκάκις ἐν αὐτοῖς ἐστρατήγησε, μεγάλα πράξας στρατηγῶν ἔργα. καὶ δὴ καὶ ἐκ τοῦ βίου Πύρρου τοῦ ἠπειρώτου. ἀλλὰ μὴν καὶ ἐκ τῶν Ἀριστοφάνους τοῦ γραμματικοῦ περὶ ζώων βιβλίου πρώτου καὶ δευτέρου· καὶ ἐκ τοῦ τῆς Ἰόβα τοῦ βασιλέως θεατρικῆς ἱστορίας ἑπτακαιδεκάτου λόγου. οὕτω μὲν καὶ ὁ ἑνδέκατος. ὁ δὲ δωδέκατος αὐτῷ λόγος συνήθροισται ἐξ ἄλλων τε διαφόρων, καὶ ἐκ τῆς Καλλιξένου τῶν ζωγράφων τε καὶ ἀνδριαντοποιῶν ἀναγραφῆς. καὶ ἐκ τῶν Ἀριστονίκου περὶ τοῦ ἐν ἀλεξανδρείᾳ μουσείου, καὶ ἐκ τῶν Ἀριστοτέλους πολιτειῶν, θετταλῶν τέ φημι, καὶ ἀχαιῶν, καὶ παρίων δ'

* al. ποταμοῦ.

Rufi historia.

Cephalionis Erato.

* οἰκίαι.

* πατρίων.

Iubæ regis historia theatrica.

SOPATER.

Sublegit æquè hæc Plutarchi [a] opuscula: *Quomodo adolescentem audire deceat Poëtas*: * *De natura & laboribus.* Vt nimirum multi sæpenumero labore vitiosam naturam correxerint: alij contra bonam ignauia corruperint: vtque in multis, qui in pueritia tardi omnibus videbantur, atque inepti, florente post ætate acrius ingenium ac perspicacius emicuerit. Librum item *De inutili verecundia. De garrulitate. De iracundia. Quomodo quis ex inimicis vtilitatem capiat. De animi tranquillitate. Politicas ipsius præceptiones.* * *De diuitiis. Quomodo se quis in virtute proficere sentiat.* Rursum *Valetudinis tuendæ*, & *Coniugales eiusdem præceptiones.* In quibus plurima reperias cum gesta prædicatione digna, tum ad multa tibi perutilia. Hæc fere octauus liber complectitur. Iam *Nonus* ex eiusdem similiter Plutarchi libellis compendio factus. Vt ex opusculo *De sera Numinis vindicta*, è vita *Demetrij* ac *Bruti Romani*; ex libro, cuius index est *Clarorum virorum Apophthegmata.* Ex libello [b] *De fluminibus. Quomodo assentatorem ab amico discernas.* * Rursum ex *Cratetis vita*, * *Daiphantique*, & * *Pindari*: & ex Opusculo, quod *Regum atque Imperatorum Apophthegmata* inscripsit. atque ex *Conuiualium eius sermonum libris, à primo ad octauum vsque.* Hæc fere Plutarchus suppeditauit. Allata verò nonnulla è Rufi *historiæ Romanæ* libris, primo, secundo, tertio, & quarto: in quibus occurrent pleraque memoratu non indigna, tametsi horum quædam in fabulas incidant, & prolixiores nugas. Ita se nonus habet liber.

Decimus verò coaluit è [c] Cephalionis Erato, quo libro Alexandri gesta referuntur. Item ex Apollonij Stoici libris, quæ sint vnquam mulieres philosophatæ, quidve aliud præclarè gesserint, & per quas familiæ aliquando in concordiam redactæ. Ex Theagenis quoque *Macedonicis patrijs.* Rursum è Plutarchi vitis *Niciæ, Alcibiadis, Themistoclis, Thesei, Lycurgi, Solonis, & Alexandri Philippi F.* Item è vitis *Cymonis*, ac *Lysandri, Demosthenis, Periclis, Pelopidæ, Phocionis*, & *Aristidæ*: quorum pleraque memoranda, admiratione que digna. Atque hic decimus liber est.

Vndecimus perinde è Plutarchi vitis selecta continet, puta * *Epaminondæ, Dionis, Agesilai, Agidis, Cleomenis, Eumenis Cardiani, Philopœmenis, Timoleontis*, & *Arati*, qui Achæorum creatus Tribunus plebis deciesseptics copias eorum duxit, multa in eo imperio præclarè gerens. Rursum è vita *Pyrrhi Epirotarum Regis.* Quin & ex [d] Aristophanis Grammatici, *De animalibus* libro primo, & secundo, atque ex [e] *historia theatrica* Iubæ regis libro decimo septimo. Atque his quidem vndecimus liber constat.

Duodecimus denique coaceruatus est à varriis: vt è Callixeni *pictorum ac statuariorum relatione*: Ex Aristonico *De Musæo Alexandrino*: Ex Aristotelis *Politiis*, Thessalorum, inquam, Achæorum, Pariorum,

[a] Quorum omnium Catalogum texuit Lamprias à Suida laudatus & nuper euulgatus. Quæ autem ex his interciderunt, ea tibi asterisco notanda putaui.

[b] Et montibus. extátque hodie, sed alterius esse Plutarcho Critici indicant.

[c] Quin nouem Musarum appellatione historicam Epitomen scripsisse supr. retulit Photius Cod. 68. Vnum autem hinc elementum a fugisse suspicetis, cum κεφαλαίων ibi dictus sit, nisi apud Suid. Ἱστοριῶν ὁ κεφαλαίων legeretur.

[d] Cuius apud Suidam mentio.

[e] Huius operis librum 4. ab Athenæo laudatum reperies lib. 4.

SOPATER. Lyciorum, Ciorum, atque adeò [a] omnium, quos ille suis in Politicis commemorat, quorum non vulgarem esse vsum constat. Qua in re Sopatri labor hoc duodecimo eius libro consumitur.

[a] Quorum nomina aliquot collegit diligenter If. Caf. ad Laertij lib. 5.

Magnam sane vtilitatem hæc legentibus lucubratio adfert. etsi enim fabulis, prodigiis, mendaciis, atque incredibilibus, vt sæpius à me dictum, non caret: ex his ipsis tamen, quæ ad variam veluti è penu aliquo promendam doctrinam faciunt, etiam ad virtutem atq; honestatem facientia decerpere quam plurima licet. Ad bene dicendi verò facultatem, vt ipsemet [b] ad amicos præfatur, non modicum eadem adferunt emolumentum, insignémque vtilitatem legenti pariunt. Dictio eius varia, neque vnius formæ, tametsi perspicuitatem in omnibus seruarit.

[b] τοῖς ἑταίροις.

CLXII. Evsebii Episcopi [Thessalonicæ] *Contra Andream quendam libri X.*

Lecti sunt Evsebii cuiusdam, vt dignitate [a] Episcopi, sic & fide Orthodoxi, decem libri, aduersus Andream quendam [b] inclusum, qui horum illi scribendorum causam dedit. Scripserat enim hic ad Eusebium epistolā, quam [c] παραναγνωστικὴν nominarat, iureiurando ipsum ad eam legendam adigens. Qua lecta, Eusebius primum quidem hominem increpat, [d] imperitiam iuxta eius, atque audaciam reprehendens, ostendendo in ipsis etiam syllabis lapsum; & cùm versum nullum potuerit sine solœcismo facere, ad scribendum tamen sese extulisse, instituti sui, simul & quietis oblitum.

Hæreticam dein illius sententiam pluribus refellere aggreditur. Erat enim ille ex eorum numero, qui ab improba quam tenebant opinione, [e] Aphthartodocetæ sunt dicti. Primum itaque ostendit illi rationem esse reddendam, cur in vna duntaxat significatione corruptionis vocabulo accepto, de solo id peccato dici arbitretur: cum suo vocabulorum vsu sancti Patres tradiderint, ad varias omninò res hanc vocem extendi.

Secundò, quod immortale, & impatibile, & incorruptibile ex ipsa vnitione corpus Christi Domini dixerit, quemadmodum & [f] Iulianus ausus est asserere, cum tamen in eadem hac affirmet epistola contra Seuerum & Iulianum, hunc à se susceptum esse laborem, vt qui duas naturas, vel substantias duas in Christo dicere non sustineant, neq; duas proprietates, neque actiones duas. Tertiò quod Adami corpus asseras ante lapsum, neque mortale esse conditum, neque suapte natura corruptibile, vt nimirum ex hoc, pro ipsius opinione, illud item sequeretur, Christum Dominum ex ipsa coniunctione incorruptibile corpus, atque impatibile assumpsisse. Vbi tenendum ipsi fuerat, atq; dicendum, Adami corpus mortale quidem natura sua fuisse, ac patibile, verum diuina gratia immortale atque impatibile custoditum, donec cum prævaricatio custodia illa priuauit. Hæc enim concors est sanctorum Patrum sententia. Quartò, quòd hunc mundum incorruptibilem, interitûsque expertem asserat; cum tenendum sit corruptibilem eum esse, atque mutabilem. Plura id genus alia capita, prima hac repositione Episcopus, partim obscurè, partim blasphemè dicta reprehendens, corrigere hæc eadem Andream cohortatus est.

[a] Thessalonicæ, te dicebus Gregor. epist. 2. lib. 9.

[b] Monachum l S. Paulum oma, vt ibi Greg.

[c] Quasi iuxta legendū scriptum dicas, sed ex aduerso & alterinsecus cum alienum scriptu legatur, vt ea inter se componantur.

[d] Imperitum literarum, & omnia scriptura nescium appellat B Greg.

[e] Quasi dicas corruptio[nis] assertores. De quibus legendus Niceph. lib. 17. c. 29.

[f] Episc. Halicarnassensem qui cum Seuero Chalcedonense concilium prædicare abnuerat, à Iustiniano Imp. sede pulsus est, vt ait liberatus in Breuiario cap. 19.

λυκίων τε καὶ κίων, καὶ ὧν ἐκεῖνος ἁπλῶς ἐν τοῖς πολιτικοῖς αὐτοῦ διαλαμβάνει. ὧν τὸ χρήσιμον οὐκ ἄδηλον. ἀλλ' ἐν τούτοις μὲν Σωπάτρῳ καὶ ὁ δωδέκατος τῶν συλλογῶν πόνος. πολλὴν δὲ τὴν χρείαν τοῦτο δὴ τὸ φιλοπόνημα τοῖς ἀναγινώσκουσι παρέχεται. εἰ γὰρ καὶ μύθων καὶ τεράτων, ψευδῶν τε καὶ ἀπιθάνων, ὥς μοι καὶ πολλάκις εἴρηται, οὐ καθαρεύει· ἀλλ' οὖν ἐν οἷς τε εἰς πολυμάθειαν ἐκ τοῦ ἑτοίμου συντελεῖ, καὶ πρὸς ἀρετὴν καὶ καλοκαγαθίαν πλεῖστά ἐστιν αὐτῶν ἀπανθίσασθαι. πρός τε τὸ ῥητορεύειν καὶ σοφιστεύειν, ὡς καὶ αὐτὸς τοῖς ἑταίροις γράφων προοιμιάζεται, οὐκ ἐλαχίστην φέρει ῥοπὴν, καὶ ἱκανὸν εἰς χρείαν καθέστηκεν. ἡ δὲ φράσις αὐτοῦ ποικίλη καὶ οὐ μίαν τὴν ἰδέαν, εἰ καὶ διὰ πάσης τὸ σαφὲς ὤδευεν.

ΕΥΣΕΒΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΚΑΤΑ Ἀνδρέου τινὸς λόγοι ι.

ρξϐʹ. Eusebij Episcopi contra Andream quendam libri X.

Ἀνεγνώσθησαν Εὐσεβίου τινὸς, ἐπίσκοπος οὗτος ἦν τὸ ἀξίωμα καὶ τὴν πίστιν ὀρθόδοξος. τούτῳ λόγοι δέκα κατὰ Ἀνδρέου τινὸς ἐγκλείστου συνεγράφησαν, τὴν αἰτίαν λαβόντες ἐκ τοῦ εἰρημένου ἐγκλείστου. οὗτος γὰρ ἔγραψεν ἐπιστολὴν Εὐσεβίῳ, παραναγνωστικὸν δὲ καλεῖ τὴν ἐπιστολὴν, ὅρκοις αὐτὸν εἰς τὴν ταύτης ἀνάγνωσιν ἐκκαλεσάμενος. ἣν Εὐσέβιος ἀναγνοὺς, πρῶτον μὲν τὸν ἄνθρωπον ἐπιτιμᾷ, ἀμαθίαν ἅμα καὶ θράσος ἐγκαλῶν καὶ δεικνὺς καὶ περὶ αὐτὰς πταίοντα τὰς συλλαβὰς, καὶ ὅτι μηδένα στίχον ἀσόλοικον εἰπεῖν δεδυνημένος· ὁ δὲ καὶ ἐπὶ τὸ συγγράφειν ἤρθη, τοῦ ἐπαγγέλματος καὶ τῆς ἐν ἀσκήσει ἡσυχίας ἐπιλελησμένος. εἶτα τὸ αἱρετικὸν αὐτοῦ φρόνημα διὰ πολλῶν ἀπελέγχει. ἦν δὲ ἄρα τῶν λεγομένων ἀπὸ τῆς φαύλης δόξης τὴν ἐπωνυμίαν ἐχόντων * ἀφθαρτοδοκητῶν. καὶ πρῶτον μὲν δείκνυσιν αὐτὸν εὐθύνας ὑπέχοντα, ὅτι μονοσήμαντον τὸ τῆς φθορᾶς ἐξειληφὼς ὄνομα, ἐπὶ μόνης ἁμαρτίας οἴεται τάττεσθαι· τῶν ἁγίων πατέρων ἡμῶν, οἳ ὧν ταῖς φωναῖς ἀπεχρήσαντο κατὰ διαφόρων πραγμάτων, τοῦτο τὸ ὄνομα φέρεσθαι παραδεδωκότων. βʹ, ὅτι ἀθάνατον καὶ ἀπαθὲς καὶ ἄφθαρτον ἐξ αὐτῆς ἑνώσεως τὸ σῶμα τοῦ κυρίου ἐξεῖπεν· ὥσπερ ὁ Ἰουλιανὸς ἐτόλμησεν ἀποφήνασθαι, διατεινόμενος ἐν αὐτῷ τῷ γράμματι, κατὰ Σευήρου καὶ Ἰουλιανοῦ, τὸν τοιοῦτον αὐτῷ * διαπεπονῆσθαι πόνον. ὅτι δύο φύσεις ἢ δύο οὐσίας ἐπὶ Χριστοῦ εἰπεῖν ἐκείνων οὐκ ἀνεχομένων, οὐδὲ δύο ἰδιότητας, οὐδὲ δύο ἐνεργείας. γʹ, ὅτι πρὸ τῆς παραβάσεως, τὸ τοῦ Ἀδὰμ σῶμα οὔτε θνητὸν λέγει διαπεπλάσθαι, οὔτε φθαρτὸν φύσει· ἵν' ἐκ τούτου καθ' ὁδὸν * αὐτῷ χωρήσῃ τὸ, καὶ τὸν Χριστὸν ἐξ αὐτῆς ἑνώσεως σῶμα ἄφθαρτον ἀνειληφέναι καὶ ἀπαθές. δέον καὶ νοεῖν καὶ λέγειν, ὡς τὸ τοῦ Ἀδὰμ σῶμα θνητὸν ἦν φύσει καὶ παθητόν· θείᾳ δὲ χάριτι ἀθάνατον διεφυλάττετο καὶ ἀπαθὲς, μέχρις ἂν * αὐτὸ ἡ παράβασις, τῆς φυλακῆς ἀπεγύμνωσεν. οὕτω γὰρ καὶ ὁ τῶν ἁγίων χορὸς ἀποφαίνεται. δʹ, ὅτι τὸν παρόντα κόσμον, ἄφθαρτον καὶ ἀνώλεθρον λέγει· δέον εἰδέναι ὅτι φθαρτός ἐστι, καὶ ἀλλοιωτός. καὶ ἕτερα δὲ σὺν τούτοις κεφάλαια κατὰ τὴν πρώτην ἀντιγραφὴν ὁ ἐπίσκοπος, τὰ μὲν ἀσαφῶς, τὰ δὲ καὶ βλασφήμως ἀπελέγξας ἔχοντα, διορθώσασθαι παρηγγύησε τὸν Ἀνδρέαν.

* al. ἀφθαρτοδοκιτῶν.

* διαπονεῖσθαι

* αὐτῷ

* αὐτὸν

ὁ δὲ δεξάμενος τὴν ἐπὶ τῇ διορθώσει παραίνεσιν, ἐπὶ τὸ χεῖρον ἀπέκλινε. καὶ βιβλίον δεύτερον συνέταξεν, ἐν ᾧ καὶ τὰ προγεγραμμένα αὐτοῦ πλατύτερον, καὶ (ὡς οἴεται) δι' ἀποδείξεως συγκροτεῖ, καθ' οὗ δὴ καὶ τὴν εἰρημένην δεκάλογον ὁ εὐσεβὴς Εὐσέβιος συντάττει. δι' ἧς λέγει μὲν αὐτὸν, ὡς μὴ ἀρεσθέντα τοῖς τῆς πίστεως ὅροις, οὓς αἱ ἅγιαι ἐξέθεντο σύνοδοι, ἰδίαν δέ τινα τολμηρῶς συνταξάμενον ἔκθεσιν πίστεως. εἶτα δὲ καὶ ὅτι πολλὰ τῶν * ἰδίων ἀποσπαράξας ῥητὰ, καὶ παραποιησάμενος εἰς τὴν ἰδίαν ὑπόληψιν * παρεβιάσατο. καὶ ὅτι ἐναντιοῦται τῇ τε παλαιᾷ καὶ νέᾳ γραφῇ, καὶ τοῖς ἁγίοις ἡμῶν πατράσιν, ἄφθαρτον καὶ ἀνώλεθρον τὸν κόσμον δοξάζων. ἔτι δὲ καὶ ὅτι τὴν ἀλλοίωσιν καὶ μεταστοιχείωσιν καὶ ῥεῦσιν, ἐνδιάβλητα εἶναι λέγει, ὥσπερ τὰ ἀπὸ κακίας πάθη. ὃ δὴ καὶ διὰ τοῦτο τὸν κύριον ἡμῶν Ἰησοῦν χριστὸν ἀναλλοίωτον, καὶ ἀπαθὲς, καὶ ἄφθαρτον, καὶ ἄρρευστον ἀναλαβεῖν σῶμα. καὶ πάλιν εἰπόντα διελέγχει, ἀΐδιον καὶ ἄφθαρτον καὶ ἀγένητον τὸν κόσμον. τὴν δὲ λεγομένην πρὸς τὸ ἀΐδιον αὐτοῦ μεταστοιχείωσιν μὴ παραδεχόμενον, ἅτε καὶ αὐτῆς τῶν διαβλήτων παθῶν παρ' * αὐτοῦ δογματιζομένης. καὶ ὅτι τοῦ Ἀδὰμ ἄφθαρτον καὶ ἀθάνατον κατὰ φύσιν, καὶ ἀπαθὲς διαπλασθῆναι λέγει τὸ σῶμα. καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ αὐτὸς ὁ χοῦς ἄφθαρτος ἦν, ἐξ οὗ τὸ σῶμα διεπλάσθη. πάλιν ἐλέγχει αὐτὸν, μονοσήμαντον τὸ τῆς φθορᾶς ὄνομα ἐξειληφότα. ἐν ᾧ καὶ δείκνυσιν, ὅτι οὔτε φθορᾶς, οὔτε θανάτου, οὔτε τοῦ κατὰ κακίαν πάθους, ἀλλ' οὐδὲ τῶν ἁμαρτητικῶν λογισμῶν οὐδενὸς τούτων δημιουργὸς ὑπάρχει ὁ θεὸς· εἰ καὶ τῶν φθαρτῶν καὶ θνητῶν οὐσιῶν καθέστηκε δημιουργός. ἐκεῖνα γὰρ τῶν ἀνυπάρκτων ἐστὶ, καὶ καθ' ἑαυτὰ μὴ ἐχόντων ὑπόστασιν. ἔτι δὲ διελέγχει αὐτὸν, τὸ κυριακὸν σῶμα ἐξ αὐτῆς ἑνώσεως ἀπαθὲς καὶ ἄφθαρτον καὶ ἀναλλοίωτον ἀποφαινόμενον. ὅπερ ἵνα συστήσῃ, ὡς ἐνόμισε, δείκνυσιν αὐτὸν καὶ τὴν ἄλλην αἰτίαν περί τε τοῦ κόσμου καὶ τοῦ Ἀδὰμ ἀποφθέγξασθαι. δείκνυσι δὲ ἐν τούτῳ ὁ Εὐσέβιος καὶ τὸ τῆς φθορᾶς καὶ καταφθορᾶς, καὶ δὴ καὶ τῆς διαφθορᾶς ὄνομα ἐπὶ τίνων καὶ πόσων σημαινομένων ἡ θεία γραφὴ ἀποδέχεται. καὶ φησὶν ὅτι εἴρηται μὲν ἐπὶ τῶν φυσικῶν καὶ οὐ διαβλήτων παθῶν, καὶ ἐπί τε τῶν ἀπὸ κόπου καὶ καμάτου καὶ γήρως. καὶ γὰρ φθορὰ μὲν τὸ γῆρας, νεότητος· καὶ οἱ κόποι δὲ καὶ κάματοι, τοῦ σωματικοῦ τόνου. ἔτι δὲ καὶ ἐπὶ τῆς τοῦ σώματος ἐν ἀσκήσει καὶ πνευματικοῖς ἀγῶσι ταπεινώσεως. καὶ γάρ φησιν ὁ ἀπόστολος· Εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος φθείρεται, ἀλλ' ὁ ἔσω ἀνακαινοῦται, καὶ τὰ ἑξῆς. φέρεσθαι δέ φησι καὶ ἐπὶ τῆς ἐπιγινομένης τῷ σώματι ταλαιπωρήσεως, ἢ τοι τηκεδόνος ἀπό τινων ἐπιπονῶν καὶ πληγῶν· ἔτι δὲ καὶ ἐπὶ τῆς βλάβης τῆς ἐγγινομένης τοῖς ζώοις καὶ σπέρμασι καὶ φυτοῖς κατά τε μερικὴν καὶ τὴν καθόλου. οὐ μὴν ἀλλὰ καὶ ἐπ' αὐτοῦ τοῦ θανάτου τὸ ὄνομα φέρεσθαι· καὶ ἔτι χωρὶς τῆς εἰρημένης καὶ ἐπὶ τῆς διαλύσεως καὶ ῥεύσεως τῶν σωμάτων, τῆς ἐν τοῖς τάφοις συμβαινούσης, ἀλλὰ καὶ * περὶ ταῦτα, ἐπὶ τοῦ κατὰ κακίαν πάθους, ἤτοι τῶν ἁμαρτημάτων. τοσαυταχῶς τὸ τῆς φθορᾶς καὶ καταφθορᾶς καὶ διαφθορᾶς λαμβάνεσθαι δυναμένης·

* ἁγίων. * ἐξελόμενος. * αὐτοῦ. * περὶ.

EVSEBIVS.

Verum ille, accepta de emendandis suis admonitione, in sinistram inclinauit, & [a] deteriora arripuit. Alterum enim mox librum scripsit, quo planius ea, quæ prius asseruerat, & (vt arbitratur) demonstratione quadam astruit. In quem librum decem hos, vti diximus; pius ille Eusebius conscripsit. quibus probat ipsum non contentum illis fidei terminis, quos sacra Concilia statuissent, peculiarem quandam fidei expositionem audacter composuisse: multa quoque Sanctorum Patrum dicta decerpta atque adulterata, vi in suam detorsisse sententiam. Veteri adhæc, & nouo Testamento, SS. Patribus eum aduersari, dum incorruptibilem & expertem interitus mundum asserit.

[a] Quare non multo post dãnatus in Concil. Rom vt refert Card. Baron. ad A. Chr. 601. sub fin.

Mutationem præterea illum, transformationem, ac fluxum: reprehendenda esse dicere, non minus quam illæ, quæ ex vitiositate ortum, habent perpessiones: ac CHRISTVM propterea Dominum nostrum immutabile corpus, atque impatibile, & incorruptum, minimeque fluxum assumpsisse. Rursum autem eum reprehendit, dum affirmat mundum hunc æternum esse, & ingenerabilem atque incorruptibilem; neque tamen elementorum illam transmutationem recipit, quæ ad æternitatem illius constituendam adfertur, vtpote quod hæc etiam inter illas passiones sit, quas reprehensibiles illæ esse certò docet. Deinde quod Adamum incorrupto & immortali suapte vi, & impatibili corpore effictum dicat: hoc amplius addito, ipsum quoque terræ lutum, ex quo formatum corpus erat, corruptionis expers fuisse. Reprehendit eundem iterum, quod *corruptionis* vocabulo, vnicam duntaxat subesse notionem asseruerit. Vbi etiam illud demonstrat, neque corruptionis, neque mortis, neque vitiosæ alicuius passionis, sed neque culpandarũ quidem cogitationum auctorem esse DEVM, tamquam corruptibilium ac mortalium substantiarum auctor existat: quod ista de non existentium numero sint, & per se ipsa subsistentiam nullam habeant. Carpit item Andream, quod CHRISTI Domini corpus ex ipsa verbi vnitione impatibile, incorruptibile, & incommutabile dixerit: ostenditque ipsum ad hoc stabiliendum, vt quidem putabat, reliqua illa de mundo, & Adamo absurdè tradidisse.

Demonstrat autem eodem hoc in opere Eusebius, quot quantisque notionibus corruptionis vocabula in sacris litteris vsurpentur. Etenim dici ait de naturalibus, minimeque reprehendendis affectionibus; & de labore, morbo, atque senectute vsurpari. Nam & adolescentiæ corruptio senectus est: vt & labores, fatigationesque robur corporis destruunt. Dicitur insuper de corporis afflictione in Asceticis, ac spiritali certamine. Sic enim loqui Apostolum: *Licet is, qui foris est, noster homo corrumpatur; tamen is, qui intus est, renouatur de die in diem:* & quæ sequuntur. Adhiberi quoque affirmat in illata corpori afflictione, siue in tabe & plagis, atque punitione. Dici verò & de noxa siue partis siue totius in animantibus, semine ac stirpibus: immo & de morte ipsa. Adhæc de dissolutione vsurpari, ac de fluxu corporũ, quæ humi côditis accidere solet. Præterea de vitiosa quoq; in malũ affectione, siue de peccatis. Tot igitur modis *corruptionis* nomẽ adhiberi cũ possit,

2. Cor. 4. 16.

EVSEBIVS.

lapsum esse merito Andream ostendit, qui vnam duntaxat his vocibus subesse significationem tradiderit.

Confirmat deinde hasce suas Reprehensiones è libris S. Scripturæ, veteris iuxta, ac noui instrumenti. Patrum item lectissimorum sententiis, Athanasij, & trium Gregoriorum. admirandorum inquam illius patratoris, & Gregorij Theologi, ac B. Nysseni Episcopi. Basilij similiter Cæsareæ antistitis, & Ioannis Chrysostomi, Cyrilli Alexandriæ, & Constantinopolitanæ sedis præsulis [a] Procli, sancti adhæc Martyris [b] Methodij, & [c] Codrati. Quorumdam enim ex his dicta quædam Andreas auulserat, ac peruerterat, [d] simúlque malitiosè, aut imperitè interpretando, errorem suum ex illis, vt sibi quidem persuasit, confirmarat. Verum ob hæc omnia, quæ modo dixi, iustas Eusebio pœnas dedit, [e] ob adulterationé, inquam SS. Patrum, & improbitatem, atque inscitiam: quódque hæreticorum dicta quædam compilans, sanctis ea patribus attribuere sit ausus. Ostendit postea ex iis, quæ ineptiendo proferebat, statuere illum certò, nihil CHRISTVM Dominum resurgendo mutatum de corruptione in incorruptionem, æque esse impatibilem in humanitate, vt in diuinitate: ausúmque blasphemos appellare cæteros, qui sentirent ac dicerent, mortali ac patibili corpore versatum in terris CHRISTVM Dominum, cum ipse non erubesceret, etiam post superatos cruciatus, & mortem ac corruptionem sublatam, patibile esse Domini corpus prodigioso mendacio asserere, nihil interim aduertens, dum Orthodoxos [f] Phthartolatras, per iniuriam appellat, suis ipsum verbis [g] Pathetolatram se reuera probare.

Addit dein iterum SS. Patrum sententias, ostenditque patibile ac mortale, & quod hinc sequitur, corruptibile CHRISTI corpus fuisse, vsque ad gloriosam eius resurrectionem: inde vero immortale atque impatibile per ipsam esse redditum. Vanum item esse Andream indicat, qui Orthodoxis probrosum Phthartolatrarum obiiciat cognomentum. In Arium enim, Aëtium, Eunomium, Apollinarium atque Nestorium, non in pios, hanc quadrare appellationem. Illud quoque docet Eusebius, Dominum Deúmque nostrum, vt naturales, miniméque reprehendendas perpessiones, tanquam Naturæ opifex atque architectus assumpsit (quæ [h] non passiones propriè, sed opera naturæ magis propriè appellentur) sic propriè dictas passiones, siue à vitiositate profectas, omnino suscipere non potuisse. non item quo ante Resurrectionem ederat ac biberat modo, etiam post Resurrectionem, cum discipulis vna edisse ac bibisse: sed prius illud quidem ex naturæ legibus fecisse, fluxam carnem cibo ac potu reuera reparando atque corroborando, hoc vero supra naturæ ordinem procurandæ salutis nostræ gratia gessisse, vt discipuli crederent, & per illos fideles omnes, idem omninò corpus, quod cruciatibus excarnificatum, atque in Crucem actum fuisset, à mortuis surrexisse: neque aliud esse ab illo, quantumuis iam ad incorruptionem & indolentiam transformatum esset. Hæc vbi Eusebius diuinè docuit, decimum tandem librum absoluit. Stylus ei clarus est, & simplex puróque dicendi genere vtitur, atque vbi opus est, etiam bene distincto.

[a] De quo Baron. Card. To. V. & Notis ad Martyrol. 24. Octobr.
[b] Cuius meminit B. Hieron. in Catalogo S. Epiphan. hæres. 64. Suidas Tabula Martyrũ sacra XVIII. Septemb. & infr. Phot.
[c] pro Quadrati, vt Latini V. B. Hieron. in Catal. Euseb. lib. IV. hist. Eccl. c. 3. & alibi & Martyrol. Rom 26. Maij. De his omnibus lege Niceph.
[d] lege ἅμα δὲ καὶ.
[e] Sicut & Eusebij huius apud se depositã ad B. Greg. Epistolam corrupit & sermones erroris plenos eiusdem Pontif. nomine falso inscripsit, vt propterea damnatum in Synodo Romana Greg. anno XII. e superiore discas Epist.
[f] Quasi dicas Corruptibilicolas.
[g] Pari forma Patibilicolam dicetis.
[h] Theologi nostri in scholis hodie Propassiones nominant.

εἰκότως διεσφάλθαι δεικνύει τὸν Ἀνδρέαν ὡς μονοσήμοις ἀποκεχρημένον ταῖς λέξεσι. παρατίθησι δὲ τὰς κατὰ τοὺς ἐλέγχους ἀποδείξεις ἔκ τε τῆς γραφῆς, παλαιᾶς τε καὶ νέας, καὶ ἐκ τῶν λογάδων πατέρων, Ἀθανασίου καὶ τῶν τριῶν Γρηγορίων, τοῦ τε θαυματουργοῦ λέγω, καὶ τοῦ Θεολόγου, καὶ τοῦ θεσπεσίου νύσσης, Βασιλείου τε τοῦ καισαρείας, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Κυρίλλου τοῦ ἀλεξανδρείας, καὶ τοῦ κωνσταντινουπόλεως Πρόκλου· ἀλλὰ δὴ καὶ Μεθοδίου τοῦ ἱερομάρτυρος, καὶ Κοδράτου. ὧν ἐνίων καὶ ῥήσεις τινὰς ὁ Ἀνδρέας ἀποσπαράξας καὶ παραπλασάμενος, ἃ δὲ καὶ κακούργως ἢ καὶ ἀνοήτως ἐξειληφὼς ἐκεῖθεν, ὡς ᾤετο, τὴν οἰκείαν πλάνην ἐκράτυνεν. ἀλλὰ πάντων ἕνεκεν τῶν εἰρημένων Εὐσεβίῳ δίδωσι δίκας, τῆς τε παραποιήσεως φημι, καὶ κακουργίας ἢ καὶ ἀνοίας. καὶ ὅτι αἱρετικῶν ῥητά τινα παραλεξάμενος, τοῖς ἁγίοις ἡμῶν πατράσιν ἐτόλμησεν ἀναθεῖναι ταῦτα. ἐπὶ τούτοις δείκνυσιν αὐτὸν, ἐξ ὧν ἐματαιολόγει, δοξάζοντα, ὅτι μὴ ἀλλοιωθεὶς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διὰ τῆς ἀναστάσεως ἐκ φθορᾶς εἰς ἀφθαρσίαν, ὡσαύτως ἐστὶν ἀπαθὴς κατὰ τὴν ἀνθρωπότητα, ὥσπερ ἐστὶν ἀπαθὴς κατὰ τὴν θεότητα. καὶ ὅτι ἐτόλμησε βλασφήμους ἀποκαλέσαι τοὺς φρονοῦντας καὶ λέγοντας, θνητῷ καὶ παθητῷ σώματι τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν τῷ κόσμῳ * πολιτεύσασθαι: αὐτὸς οὐκ ἐρυθριῶν μετὰ νίκην παθῶν, καὶ θανάτου καὶ φθορᾶς ἀναίρεσιν, παθητὸν τὸ κυριακὸν τερατολογεῖν σῶμα. καὶ φθαρτολάτρας ἐνυβρίζων τοὺς ὀρθοδόξους, λέληθεν * ἑαυτὸν δι' ὧν λέγει, παθητολάτρης ἀληθῶς ἀπελεγχόμενος. ἐντεῦθέν τε πάλιν παρατίθησι φωνὰς πατρικὰς, καὶ παρίστησι παθητὸν καὶ θνητὸν, καὶ κατὰ τοῦτο φθαρτὸν τὸ κυριακὸν σῶμα, ἕως τῆς αὐτοῦ ἐνδόξου ἀναστάσεως· ἐκεῖθεν δὲ δι' αὐτῆς μεταβληθὲν εἰς ἀθανασίαν καὶ ἀπάθειαν. λέγει δὲ ὡς ματαιολογεῖ, φθαρτολάτρας ὁ Ἀνδρέας ἐπιφημίζων τοὺς ὀρθοδόξους. Ἀρείῳ γὰρ καὶ Ἀετίῳ καὶ Εὐνομίῳ, Ἀπολλιναρίῳ τε καὶ Νεστορίῳ, ἀλλ' οὐ τοῖς εὐσεβέσι κατάλληλος καὶ οἰκεία ἡ τοιαύτη κλῆσις. δογματίζει δὲ καὶ τοῦτο, ὡς ὁ κύριος καὶ θεὸς ἡμῶν τὰ φυσικὰ μὲν καὶ ἀδιάβλητα πάθη, ὡς τῆς φύσεως δημιουργὸς, ἀνεδέξατο: ἃ οὐ δὲ κυρίως πάθη, ἀλλ' ἔργα ἂν οἰκειότερον καλοῖτο τῆς φύσεως· τῶν δὲ κυρίως παθῶν, ἤτοι τῶν ἀπὸ κακίας, παντελῶς ἀνεπίδεκτος ἦν. καὶ ὅτι οὐχ, ὡς πρὸ τῆς ἀναστάσεως ἤσθιε καὶ ἔπινεν, οὕτω καὶ μετὰ τὴν ἀνάστασιν συνέφαγε καὶ συνέπιε τοῖς μαθηταῖς: ἀλλὰ τὸ μὲν ἐποίει νόμοις φύσεως, τὴν ῥέουσαν σάρκα βρωτοῖς καὶ ποτοῖς ὡς ἀληθῶς ἀναρτώμενος, καὶ περικρατῶν: τὸ δὲ ἐτέλεσεν ὑπερφυῶς δι' οἰκονομίαν: ἵνα τοῖς μαθηταῖς πιστώσηται, καὶ δι' αὐτῶν πᾶσι πιστοῖς, ὡς αὐτὸ τὸ πεπονθὸς καὶ σταυρωθὲν ἀνέστη σῶμα, ἀλλ' οὐχ ἕτερον παρ' ἐκεῖνο, εἰ καὶ πρὸς ἀφθαρσίαν καὶ ἀπάθειαν μετεστοιχειώθη. ταῦτα φιλοθέως * ἐστὶ δογματισάμενος, τέλος ἐπιτίθησι τῇ δεκαλόγῳ. ἔστι δὲ σαφὴς, καὶ ἁπλοῦς τὴν φράσιν, καθαρότητι χρώμενος καὶ, εἴ που δέοι, καὶ εὐκρινείᾳ.

* al. θεραπεύσασθαι.
* αὐτὸς
* al. ἐπὶ τὸ γραπτὸν μένειν.

ΟΥΙΝΔΑΝΙΟΥ ΑΝΑΤΟΛΙΟΥ βηρυτοῦ συναγωγὴ γεωργικῶν ἐπιτηδευμάτων ἐν τόμοις ιβʹ.

ρξγʹ. *Vindanij Anatolij Beryti liber de re rustica.*

ΑΝΕΓΝΩΣΘΗ Οὐϊνδανίου Ἀνατολίου Βηρύτου συναγωγὴ γεωργικῶν ἐπιτηδευμάτων. συνείλεκται δὲ αὐτῷ τὸ βιβλίον ἔκ τε τῶν Δημοκρίτου, Ἀφρικανοῦ τε καὶ Ταραντίνου, καὶ Ἀπουληΐου, καὶ Φλωρεντίου, καὶ Οὐάλεντος, καὶ Λέοντος, καὶ Παμφίλου, καὶ δὴ καὶ ἐκ τῶν Διοφάνους παραδόξων· τόμοι δέ εἰσι τὸ βιβλίον δεκαδύο. χρήσιμον δὲ τὸ βιβλίον ὡς καὶ διὰ πείρας αὐτῆς ἐπὶ πολλῶν εἴδομεν, πρός τε τὰς κατὰ γῆν ἐργασίας, καὶ τοὺς γεωργικοὺς πόνους, καὶ σχεδόν τι χρησιμώτερον τῶν ἄλλων, ὅσοι τῆς αὐτῆς αὐτῷ πραγματείας ἥψαντο. ἔχει δ' ὅμως ἔνια καὶ τοῦτο τὸ βιβλίον τερατώδη καὶ ἄπιστα καὶ τῆς ἑλληνικῆς πλάνης ὑπόπλεα. ἃ δεῖ τὸν εὐσεβῆ γεωπόνον ἐκτρεπόμενον, τῶν λοιπῶν συλλέγεσθαι τὰ χρήσιμα. καὶ οἱ ἄλλοι δὲ, τῶν τὰς γεωργικὰς πραγματείας συγγραψαμένων, σχεδόν τι τὰ αὐτὰ περὶ τῶν αὐτῶν, ὅσα ἐμὲ εἰδέναι ἀποφαίνονται: οὐκ ἐπὶ πολλοῖς δὲ διαφωνοῦσιν. ἐν οἷς δὲ διαπεφωνήκασιν, ἡ τοῦ Λέοντος τῶν ἄλλων προκρίνεται πεῖρα.

VINDANII ANATOLII BERYTI *Collectaneorum de agriculturæ disciplina libri XII.*

VINDAN. CLXIII.

LEGI VINDANII ANATOLII *Beryti de agricultura disciplina collectanea.* Conflatus autem hic ab eo liber est è Democriti & Africani atque Tarantini scriptis, Apuleij quoque & Florentij, Valentis, Leonis[a] Pamphili; tum vel maximè ex Diophanis Paradoxis. Opus duodecim absoluitur libris, vtile sane, vt ipsa nos experientia in multis docuit, ad terram excolendam, laboresque rusticos. quin fere cæteris vtilior hic liber, quotquot in ea ipsa re elaborarunt. Continet tamen nonnulla prodigijs similia, fidémque excedentia, & Græcis referta fabulis, quæ præterire pium decet agricolam, cætera quæ vsui futura sint, arripientem. Et verò alij omnes, qui de re rustica scripserunt, eadem ferè de iisdem, quantum videre potui, prodiderunt, neque in multis adeo dissentiunt. Quibus autem inter se dissident, in his Leonis experimenta cæteris anteponuntur omnibus.

a Tres huius Georgicorum libros tribuit Suidas.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΑΙΡΕΣΕΩΝ.

ρξδʹ. *Galenus de sectis medicorum.*

ΑΝΕΓΝΩΣΘΗ Γαληνοῦ περὶ αἱρέσεων. περὶ αἱρέσεων δὲ τῶν κατὰ τὴν ἰατρικὴν τὴν σύστασιν ἐσχηκυιῶν διαλαμβάνει καί φησι. τρεῖς κατ' ἰατρικὴν καθολικὰς αἱρέσεις συστῆναι, τήν τε καλουμένην λογικὴν, ἣν καὶ δογματικὴν ἐπονομάζει, ἔτι δὲ καὶ ἀναλογιστικήν. δευτέραν δὲ τὴν καλουμένην ἐμπειρικὴν, ἥτις καὶ τηρητικὴ καὶ μνημονευτικὴ ἐπικαλεῖται. τρίτην δὲ τὴν μεθοδικήν. διαφέρουσι δὲ ἀλλήλων αὗται, ἄλλοις τε, καὶ τῷ τρόπῳ τῆς εὑρέσεως. ὁ μὲν γὰρ δογματικὸς λόγῳ κεχρημένος, καὶ τὰς μεθόδους τῆς ἰατρείας εὑρίσκων τὴν τέχνην συνίστησιν: ὁ δὲ ἐμπειρικὸς οὐκ ἔτι τῷ λόγῳ, ἀλλὰ τῇ πείρᾳ καὶ τῇ τηρήσει: ὁ δὲ μεθοδικὸς ἐπαγγελλόμενος καὶ λόγῳ καὶ πείρᾳ κεχρῆσθαι, ἀκριβῶς δὲ μηδετέρῳ χρώμενος, εἰκότως ἀμφοῖν διοίσει. εἰς τρία δὲ τμήματα διαιρεῖται τὸ παρὸν βιβλίον. καὶ ἐν μὲν τῷ πρώτῳ τὴν σύστασιν τῆς ἐμπειρικῆς καὶ δογματικῆς ἀναγράφει. ἐν ᾧ καὶ, ὁποία ἡ ἑκάστης οὐσία, διδάσκει. ἐν δὲ τῷ δευτέρῳ, εἰσάγει τὰς δύο διαφιλονεικούσας αἱρέσεις ἀλλήλαις, καὶ περὶ τῶν πρωτείων, ἀμφισβητούσας. ἐν δὲ τῷ γʹ τμήματι, τὴν καλουμένην εἰσάγει μεθοδικὴν, ταῖς προειρημέναις δυσὶ μαχομένην κἀκείνην, πρὸς ταύτην ἑκάστης τῶν τελείων τὰ οἰκεῖα προβαλλομένης δίκαια καὶ ἀποδιδούσης εἰς τὴν κατὰ τῶν ὑπολοίπων νίκην. ἐν οἷς καὶ τὸ τρίτον ἀπαρτίζεται τμῆμα. δῆλον δ' ὅτι τὸ βιβλίον τοῦτο, τῶν κατὰ τὴν ἰατρικὴν ἀναγνωσμάτων πάντων προτάττεσθαι ὀφείλει· εἴπερ δεῖ μαθεῖν, ποία πασῶν ἀρίστη αἵρεσις, εἶθ' οὕτω ταύτῃ κεχρῆσθαι. εἴη δ' ἂν οὐδὲ κυρίως ἰατρικὸν τὸ βιβλίον, ἀλλὰ προοιμίου τόπον ἐπέχον, καὶ φιλοσοφίᾳ μᾶλλον ἀνακείμενον. δῆλον δὲ, ὅτι ὅσα γε ἐπί τε λέξει καὶ συντάξει, καθαρόν ἐστι καὶ εὐκρινές· τούτων γάρ ἐστιν ἐν πᾶσιν ὁ Γαληνὸς φροντιστής. εἰ καὶ ἐν πολλοῖς αὐτῷ τῶν συγγεγραμμένων, ἀκαιρολογίαις καὶ παρεκτροπαῖς

GALENUS *De sectis Medicorum.*

CLXIV.

LEGIMUS GALENI *librum de sectis.* Disserit autem de sectis, quæ in arte medica inter se conspirarunt. Eas tres ait esse potissimas. Vnam *Logicam* appellatam, quam & *Dogmaticam* agnominat, & *Analogisticam.* Alteram vero *Empiricam* dictam, hanc *obseruatricem* quoque, ac *Memorialem* nominat. Tertiam denique *Methodicam.* Differunt autem inter se cum aliis rebus, tum inuentionis modo. Dogmaticus enim medicus, ex eo quod ratiocinando curandi Methodos reperiat, artem suam constituit. Empiricus vero non ratiocinatione, sed experimento, atque obseruatione artem colligit. Iam Methodicus, qui & ratione vsum se, & experimento profitetur, etsi horum neutro satis accuratè vtatur, ab vtrisque illis merito distinctus censebitur.

Liber hic tres in partes secatur: quarum in prima quidem Empiricam atque dogmaticam graphicè describit: vbi etiam, qualis vtriusque natura sit, ostendit. Altera verò parte duas inuicem sectas valde contendentes, & de principatu certantes componit. Tertia denique Methodicam producit, & quidem cum aliis suprascriptis duabus pugnantem, qualibet è tribus sectis sua iura proferente, & reliquas vincere satagente. Atque hic tertij libri finis est. Illud clarum, opus hoc inter cætera artis medicæ scripta omnibus præferri oportere. siquidem discere conuenit, quæ secta inter omnes optima sit; vt eam deinde secteris. Videtur autem non proprie medicus habendus liber hic, sed proœmij vicem præbere, atque ad Philosophiam potius pertinere.

Certum item illud, ad dictionem quod attinet, atque compositionem, purum eum esse, ac venustum. Harum enim vbique formarum studiosus imprimis Galenus extitit, tametsi in plerisque scriptis intempestiuis suis sermonibus ac digressionibus,

GALENVS. *ἀσεφίζων lego.*

prælongiſque periodis [a] non ſine moleſtia libros commiſceat, dictorum ſenſum obſcuret, & orationis ſeriem quodammodo abrumpat, lectorem etiam ipſum longioribus hiſce deliramentis in negligentiam abducens: quibus ſaltem vitiis vacat hoc de ſectis opus.

HIMERII SOPHISTÆ *Declamationes.*

CLXV.

LECTÆ ſunt [a] HIMERII SOPHISTÆ [b] Declamationes, ſeu orationes variæ: Suaſoriæ duæ, Iudiciales tres: quarum etiam edit [c] argumenta. Et ſuaſoriarum quidem primam Hyperidi affingit, quaſi ſuper Demoſthene deliberatio ſit. Alteram verò ipſi Demoſtheni, conſultationem ſuper Æſchine efformanti. Trium reliquarum prima contra Epicurum, velut impietatis reum inſtituitur. Altera aduerſus diuitem, qui pauperis integram domum ſceleſtis ſuis facinoribus exhauſerat, ipſúmque adeò pauperem inducit cauſam hanc perorantem. Tertia Themiſtoclem facit aduerſus Perſarum Regem ſententiam dicentem, quando hic ad amoliendum bellum promiſſa pacis adferebat.

Hæ autem ab eo ſunt orationes conſcriptæ, vt in iis quodammodo plus quàm in cæteris, dicendi vim ſuam [d], ſententiarúmque florem [d] pro viribus exhiberet. Ad imitationem enim Demoſthenis [e] circumductionibus abundat, ac multis ſchematis variè diſtinguitur. Ideis item pulchrè orationes temperat, ſublimi ſe dicendi genere magis efferens. Verbis ad hæc vtitur, quæ (ad formam ſaltem quod attinet) neque ob propriam ſuam notionem, neque ob emphaſim à perſpicuitate recedunt: etſi, quia [f] nominum diſſolutiones vt plurimum ſunt, aures quidem cum iucunditate peregrino ſuo ſono feriunt: ſed non æquè à vulgo intelliguntur. Clarus quoque eſt earum rerum obſeruatione, quæ ad diſtinctam orationem propriè pertinent. Vtitur etiam, vt diximus, complexione cum alibi, tùm vbi rei alicuius rationem reddit. Dum verò incitatis ſchematibus ſuam redditionem apponit, ſimul etiam omnem, quæ ex illis orta fuerat, obſcuritatem tollit. Hyperbatum præterea, ac tropum, etſi rarius quàm complexionem, frequenter tamen hic & ſcitè adhibet, non ſine contentione atque velocitate, cùm quidem ita opus eſt. Talem igitur ſe in iis, quas enumeraui, orationibus exhibet. Subiicit iis Polemarchicum [vt vocat:] quæ quidem oratio eorum, qui pro patriæ libertate cum Perſis fortiter pugnando ceciderunt, laudatio eſt, & belli ſimul breuem laudem continet. Hanc excipit Areopagitica, ſiue pro libertate Rufini filij, quæ fictitia non eſt, vt neque ſequens in eundem filium recens vita functum Monodia. Dehinc Epithalamius ſermo in ſeuerum ſocium. qui nec ipſe fictitius eſt, & iterum argumentum præfixum habet. Deinceps Diogenes, ſeu [g] Propempticus. Hæc quoque argumento ornatur ac dialogorum more fictis perſonis conformata eſt. Hinc ad ſocios [h] Syntacterius, quando Corinthum proficiſcebatur. Propempterius alter ad Flauianum Aſiæ conſulem factum. Deinde in [i] Piſonem aduenam. Rurſum Protreptica, quæ & Diogenes inſcribitur. Hinc [k] Schedium, ob contentionem in

a Vide Suidam.
b Earum excerpta quadam inf. reperies Cod. CCXLIII.
c προθεωρίας, quaſi Præfationes ad ea, quæ dicentur.
d καθ' ὅσον τὴν δύναμιν lego.
e περιβολαῖς: de quibus Hermogenes lib. I. Idearum.
f λύσεις ὀνομάτων, quas Demetrius Phalareus fieri ſcribit λυθέντος ὀνόματος εἰς λόγον τῆς συντομίας, ἀντὶ συντομίας. Vide ibi doctiſſ. P. Victorij comment. & Ariſtot. rhetor. lib. III.
g Quo fauſti ominis cauſa ad hominem mox profecturum habetur.
h Idem quod ἀποτακτήριος, vt docet doctiſſ. Billius ad S. Ioan. Damaſcenum orat. de fidelib. defunct. ſchol. 42. & S. Greg. Nazian. orat. XXXII. deſcribitur. ὁ ἐν ἐξόδοις τῶν κόλπων ἐπὶ τῶν ἀρχόντων ἀποχαιρετισμός. Vide de hoc, aliiſque apud Hiinerium oratoriis generibus: Menandrum Sophiſtam in Epidicticis.
i Hæc illa forſitan eſt, quæ inter excerpta, In aduenam Ægyptium inſcribitur, inf. Cod. CCXLIII.
k Ex tempore dictum reddit. Gloſſar. vetus inf. αὐτοσχέδιον vocat.

καὶ τῷ τῶν περιόδων χρονοτριβεῖ, φορτίζων τὰ βιβλία συγχεῖ, καὶ σκοτίζει τῶν γεγραμμένων τὸν νοῦν, τήν τε σύμφρασιν οἱονεὶ διακόπτων, καὶ εἰς ἀκηδίαν ἄγων, διὰ τοῦ μακροῦ λήρου, τὸν ἀκροατὴν· ὧν τέως τὸ παρὸν βιβλίον ἀπήλλακται.

ΙΜΕΡΙΟΥ ΣΟΦΙΣΤΟΥ ΛΟΓΟΙ διάφοροι.

ρξε'. *Himerij ſophiſtæ Declamationes.*

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Ἱμερίου σοφιστοῦ μελέται, καὶ ἄλλως λόγοι διάφοροι. συμβουλευτικαὶ μὲν δύο, δικανικαὶ δὲ μελέται, τρεῖς. τούτων δὲ καὶ προθεωρίας ἐκτίθεται. καὶ τῶν συμβουλευτικῶν μὲν τὴν προτέραν εἰς Ὑπερίδην [*] ἐκτυποῖ δῆθεν ὑπὲρ Δημοσθένους συμβουλεύσαντα. τὴν δὲ εἰς Δημοσθένην αὐτὸν ὑπὲρ Αἰσχίνου τὴν συμβουλὴν σχηματίζοντα. οἱ δὲ λοιποὶ τρεῖς, ὁ μὲν κατὰ Ἐπικούρου διαπλάττεται ἀσεβείας γραφὴν, ὡσανεὶ φεύγοντος. ὁ δὲ κατὰ πλουσίου, πένητος ἀνδρὸς οἰκίαν ὅλην μυσαροῖς κενώσαντος δράμασι, καὶ αὐτὸν εἰσάγει τὸν πένητα διαγωνιζόμενον. ὁ δὲ τρίτος Θεμιστοκλέα παράγει, βασιλεῖ περσῶν ἀντιλέγοντα, ἐπειδὰν ὑποσχέσεις ἐκεῖνος [*] προτείνειεν ὑπὲρ τῆς τοῦ πολέμου καταλύσεως. οὗτοι [*] δὴ αὐτῷ οἱ λόγοι τήν τε ἐν λόγοις ἀρετὴν αὐτοῦ, καὶ τῶν νοημάτων τὸ ἀνθηρὸν καὶ ἧκον εἰς δύναμιν, μᾶλλον τῶν ἄλλων δεικνύειν πως ἐμελετήθησαν. περιβολαῖς τε γὰρ κατὰ ζῆλον Δημοσθένους πλεονάζει, καὶ τῷ πολυσχηματίστῳ ποικίλλεται, καὶ ταῖς ἰδέαις καλῶς τοὺς λόγους κεράννυσι, τῷ [*] μεγαλείῳ μᾶλλον ὑψούμενος. καὶ λέξει δὲ χρῆται, ὅσον μὲν εἰς τύπον, καὶ τῇ καθ' ἑαυτὴν σημασίᾳ καὶ ἐμφάσει, οὐδὲ τοῦ σαφοῦς λειπομένῃ. τὸ δὲ λύσεις αὐτὰς ὀνομάτων ὡς ἐπὶ τὸ πλεῖστον εἶναι, ξενίζει μὲν μετὰ τοῦ ἡδέος τὴν ἀκοήν, οὐ μὴν δὲ τοῖς πολλοῖς ἐπίσης παρέχεται τὴν κατάληψιν. σαφὴς δὲ καὶ τοῖς τῆς εὐκρινείας ἰδιώμασι. χρώμενος δὲ, ὡς ἔφην, περιβολῇ τῇ τε κατ' αἰτιολογίαν, καὶ ἄλλως [κεχρημένος] φαίνεται· γοργοῖς μὲν τοῖς σχήμασιν, ἀποδιδοὺς τὴν [τε] ἐντεῦθεν ἀσάφειαν ἐκκαθαίρει· καὶ ὑπερβατῷ δὲ καὶ τροπῇ, εἰ καὶ τῆς περιβολῆς ἐπ' ἔλαττον, ὅμως ἐνταῦθα πολλῇ καὶ εὐφυῶς χρῆται. καὶ συνάζων ἐν τούτοις καὶ γοργὸς, ὅπη [*] δεήσοι. ἀλλ' ἐν μὲν τοῖς εἰρημένοις λόγοις τοιοῦτος. ἐφεξῆς δὲ τούτων τάττει τὸν πολεμαρχικὸν, ὃς ἐγκώμιόν ἐστι τῶν ὑπὲρ ἐλευθερίας πρὸς πέρσας ἐν μάχῃ πεσόντων, καὶ πολέμου ἔπαινος. μεθ' ὃν ἐστὶν ὁ ἀρεοπαγιτικὸς, ἢ καὶ ἐλευθερωτικὸς Ῥουφίνου τοῦ οἰκείου υἱοῦ. οὐκ ἔστι [*] ὁ πλασματικὸς, οὐδ' ὁ ἐφεξῆς, ἡ εἰς τὸν αὐτὸν υἱὸν τελευτήσαντα μονῳδία. εἶτα ἐπιθαλάμιος εἰς ἑταῖρον Σευῆρον. [*] ἔστι δὲ δηλονότι τῶν πλασματικῶν. τούτου δὲ πάλιν [*] καὶ θεωρίαν προκαθίστησιν. [*] ἐφ' οἷς Διογένης ἢ προπεμπτικός. σεμνύνεται δὲ καὶ οὗτος προθεωρίᾳ, καί γε καὶ ὡς διαλόγοις τισὶν οὗτος πλαττόμενος. εἶτα πρὸς τοὺς ἑταίρους συντακτήριος, ὅτε ἐξῄει εἰς Κόρινθον. πάλιν εἰς Φλαβιανὸν προπεμπτήριος, προαχθέντα τῆς ἀσίας ὕπατον. ἐφεξῆς εἰς τοὺς περὶ Πείσωνα ἐπήλυδας. πάλιν [*] προτρεπτικὸς, ἢ Διογένης. καὶ σχέδιος ἐφεξῆς ἐπὶ τῇ γενομένῃ στάσει ἐν τῇ δια-

[*] διατυποῖ. H. St.
[*] al. προτείνειε.
[*] οἱ H. St.
[*] al. μεγάλῳ.
[*] al. δέοι.
[*] ὢν H. St.
[*] ὡς ὄντος. H. St.
[*] προθεωρίαν. H. St.
[*] ἐπὶ τοῖς. H. St.
[*] προτρεπτικοί. H. St.

τῇ διατριβῇ, εἰς τε τὴν [τῶν] Κυπρίων ἐπιδημίαν, καὶ εἰς τὸν πρῶτον ἐκ Καππαδοκίας αὐτοῦ ἀκροασάμενον. εἶτα ἐπίδειξις, ὅτι ἀναβαλλόμενος εἰπεῖν ἀξιούμενος, εἰς αὐτὸ τοῦτο διείλεκται, ὅτι σπάνια τὰ καλά. καὶ εἰς Μουσώνιον δὲ τὸν ἀνθύπατον Ἑλλάδος, καὶ εἰς Σεβῆρον νήλυν ἐπιστάντα Συμπληγάσι. εἶτα λαλιά. καὶ εἰς τὸν κόμητα Οὐρσάκιον, καὶ εἰς Σεβῆρον * ἑταῖρον, καὶ εἰς * Σκυλάκιον ἀνθύπατον Ἑλλάδος, καὶ εἰς νήλυδας Ἐφεσίους καὶ Μυσούς, καὶ πολίτας τοῦ Λέοντος. εἶτα εἰς τοὺς ἐκ πατρίδος ἑταίρους, καὶ εἰς Ἀθήναιον κόμητα, καὶ εἰς Πρίβατον Ῥωμαῖον παιδεύοντα τὸν παῖδα Ἀμπελίου τοῦ ἀνθυπάτου· καὶ δὴ καὶ εἰς τὴν ἀπὸ Κορίνθου ἐπάνοδον, καὶ εἰς τὸν Ἀλεξάνδρου τοῦ ἀνθυπάτου παῖδα Φοῖβον, καὶ εἰς Ἀρκάδιον τὸν ἰατρὸν καὶ κόμητα. καὶ προπεμπτήριος εἰς τοὺς προσελθόντας ἑταίρους. προπεμπτικὸς τε εἰς Φλαβιανόν, καὶ ἐπιθαλάμιος ῥηθεὶς εἰς Παναθήναιον. εἶτα λαλιά. ἑτέρα λαλιά. καὶ διάλεξις ἐν Φιλίπποις, ὅτε ἀπῄει παρὰ Ἰουλιανοῦ βασιλέως καλούμενος. εἶτα ῥηθεὶς ἐν * τῇ πόλει εἰς αὐτήν τε τὴν Κωνσταντινούπολιν, καὶ Ἰουλιανὸν τὸν βασιλέα, καὶ εἰς τὴν Μίθρου τελετήν. διάλεξις εἰς * Σαλούστιον ἔπαρχον ἧς ἐστι καὶ θεωρία. εἰς Φλαβιανὸν πάλιν τὸν ἀνθύπατον, καὶ εἰς τὴν γενέθλιον τοῦ ἑταίρου. καὶ λαλιὰ εἰς τὸ ὑγιαίνειν τὸν ἑταῖρον. ἔτι δὲ εἰς τοὺς ἐπιβουλεύοντας, καὶ εἰς τὸν ἀνθύπατον Βασίλειον, καὶ πάλιν εἰς τὸν αὐτὸν Βασίλειον. εἰς Ἑρμογένην τε τὸν τῆς Ἑλλάδος ἀνθύπατον, καὶ εἰς Πλωτιανὸν τὸν ἀνθύπατον. πάλιν εἰς Ἀμπέλιον τὸν ἀνθύπατον, καὶ εἰς τὸν ἀνθύπατον τῆς Ἑλλάδος Πραιτεξτᾶτον, καὶ τοὺς * ἑταίρους. εἶτα πρὸς τὸν βασιλέα Ἰουλιανὸν ἀπαίρειν μέλλων. εἶτα ἐν Νικομηδείᾳ, προτραπεὶς ὑπὸ τοῦ ἐκεῖσε ἄρχοντος Πομπηϊανοῦ. μεθ' ὃν [ὁ] εἰς νήλυδας. εἶτα εἰς νήλυν. ἐπὶ τούτοις ὁ εἰς Ζήνωνα τὸν ἑταῖρον. καὶ μετὰ τοῦτον, εἰς Ἀφόβιον νήλυν, καὶ εἰς τὸν ἐκ τοῦ χρησμοῦ τοῦ Ποσειδῶνος φοιτήσαντα, εἰς τε τοὺς ἀπὸ Ἰωνίας ἐπιδημήσαντας, καὶ εἰς τοὺς ξένους Ἴωνας. καὶ εἰς τοὺς ἑταίρους σχέδιον ῥηθέν. καὶ ὃν ἐξέδωκεν ἑταίρῳ Κωνσταντινουπολίτῃ. διάλεξίς τε ἐν τοῖς ἑταίροις μετὰ τὴν ἀπὸ τῆς πατρίδος ἐπάνοδον, καὶ εἰς τὴν αὐτοῦ διατριβήν, ἐξ αὐτοσχεδίου διάλεξις. καὶ ἐπίπληξις τοῖς ῥαθύμως ἀκροωμένοις τῶν λόγων. καὶ σχέδιον εἴς τινας τῶν φοιτώντων δόξαντας ἀφηνιάζειν. καὶ εἰς τοὺς περὶ Κυντιανὸν ἀπαιδεύτως ἀκούσαντας, ὅτε τὸ σχέδιον εἶπε. καὶ προτρεπτικὸς πρὸς τὸ χρῆναι τὴν ἐν λόγοις ποικιλίαν ἀσπάζεσθαι. καὶ ἡ μετὰ τὴν τοῦ τραύματος θεραπείαν διάλεξις. εἶτα ὁ μετὰ τὴν ἀπὸ Κορίνθου ἐπάνοδον, εἰς τε τὸ γραφεῖον, καὶ τοὺς ἑταίρους, καὶ εἰς τὴν Λακεδαιμονίων πόλιν, ὅτε ὀνείρατι πειθόμενος τῷ Ἀμυκλαίῳ θεῷ ἐφοίτησεν εὐξάμενος. καὶ ὅτι οὐ δεῖ πάντας δημοσίᾳ τὰς ἀκροάσεις ἐπαγγέλλειν. καὶ λαλιὰ ὅτι δεῖ ἐν γυμνασίοις εἶναι. καὶ λαλιὰ ἐν Κορίνθῳ ἐκδοθεῖσα. τούτους (οἶμαι) τοὺς λόγους [μόνους] τοῦ σοφιστοῦ Ἱμερίου περί που ἑβδομήκοντα ὄντας, κατὰ πρόσωπον ἡμῶν τὴν σὴν φιλοπονίαν ἀνεγνωκέναι. ἐν οἷς ἐστι πᾶσι τὸν μὲν τῆς λέξεως τύπον καὶ τὸ αὐτὸ σχῆμα φυλάττων, τῇ τε περιβολῇ καὶ τῇ τροπῇ χρώμενος· εἰ καὶ τὸν κόρον οὐκ ἔτικτεν ἡ μετ' εὐφυΐας χρῆσις καὶ οἰκείωσις τῆς τροπῆς. καί, κατά γε ἐμὴν

* al. [illegible]

* al. Σκυλλάκιον Μυλλάκιον. H. St.

* Κωνσταντινουπόλει H. St.

* al. Σαλούστιον.

* ἑταίρων H. S.

schola exortam. In Cypriorum aduentum. In primum suum è Cappadocia auditorem. HIMERIVS.

Mox [a] ingenij quoddam specimen, quando vt diceret rogatus recusauit primum: de quo tamen ipso postea disseruit, Pulchra omnia etiam esse rara. In [b] Musonium Græciæ Proconsulem. In Seuerum quoque aduenam, Symplegadæ præfectum. Hinc [c] Sermocinatio. In Vrsacium Comitem. In Seuerum sodalem. In Scylacium Græciæ Proconsulem. In Ephesios hospites, ac Mysos, Leonisque ciues. In sodales è patria. In Athenæum Comitem. In Priuatum Romanum, qui Ampelij Proconsulis filium instituebat. In reditum Corintho. In Phœbum Alexandri Proconsulis filium. In Arcadium medicum & comitem. Oratio quoque Propemptica in amicos, qui nuper venerant. Altera item in Flauianum. Epithalamium quoque dictum in Panathenæum. Hinc Sermocinatio vna, & item altera. Disputatio habita Philippis, cùm euocatus à Iuliano Imper. iter illac haberet. Post oratio habita in vrbe, in ipsius Constantinopolis laudem, ac Iuliani Cæsaris. In sacrificium [d] Mythræ. Dissertatio in Salustium Præfectum, cui & argumentum annexum. Iterum in Flauianum Proconsulem. In sodalis sui natalem diem. Sermocinatio quoque in sanitatem socij. In insidiantes. In Basilium Proconsulem. In eundem rursum. In Hermogenem pariter, qui Græciæ proconsulatum gerebat. In Plotianum itidem proconsulem. Iterúmque [e] in Ampelium Procos. In Græciæ proconsulem prætextatum, atque sodales. Hinc ad Iulianum Imp. discessum adornans. Deinde Nicomediæ habita oratio hortatu Prætoris Pompeiani. Mox in aduenas. Rursum in aduenam. Deinde in Zenonem socium. Et in Aphobinum aduenam. In eum qui à Neptuni oraculo reuerterat. In eos pariter, qui ex Ionia aduenissent. In Ionas hospites. Ex tempore quoque in sociorum laudem recitatum. Oratio, quam amico Constantinopolitano tradidit. Sermo quoque inter amicos post reditum è patria. De suo docendi munere extemporalis Disputatio. Obiurgatio eorum, qui negligenter orationes audirent. Schedium in quosdam ad se ventitantes discipulos, qui respuere frænos videbantur. In Cytianum cum sociis, qui cùm petulantia eum audierant, dum schedium suum recitaret. Adhortatio quoque ad rerum varietatem in dicendo sectandam. Dissertatio post vulneris medelam. Dein oratio post reditum Corintho. In Stylum ac socios. In vrbem Lacedæmoniorum, quando somnio obsequens, [f] Amiclæum Deum precaturus accessit: & non oportere recitationes omnes publicè pronuntiare. Sermocinatio, oportere in gymnasio versari. Altera Corinthi edita.

Has, puto, nec plures orationes Himerij sophistæ [g] ferè septuaginta, me præsente, [h] studiosè legisti. In quibus omnibus eadem dictionis forma, eadémque figura seruata, circumductionem ita ac tropum adhibet, tædium vt nullum pariat ingeniosus, & quasi familiaris redditus troporum vsus. Immò nemo

a [illegible]

b De quo Suidas.

c λαλιά: de qua multa legas apud Menandrum Sophist. in Epideicticis.

d Quem Persæ Solem putant. Lege Suid. Brisson. & alios: qui hanc vocem per iota fere scripserunt.

e Propemptica ad Ampelium cos.

f Apollinem qui Amyclis Laconices colebatur. Nam quæ prouerbio celebrantur Amyclæ, in Latio fuerunt.

g Vnam supra septuaginta hic numero. Excerpta verò duarum, hoc loco præteritarum, vide Cod. 243. codice. Ex Propemptico. Ex oratione in Anatolium Coss.

h Tarasium fratrem alloquitur.

[HIMERIVS.] hactenus, mea quidem sententia, aut venustius, aut iucundius tropis vsus est. Exemplis porrò ex historia, fabulisque omnigenis scripta eius referta sunt, vel ad demonstrationem, vel similitudinem, vel voluptatem, & pulchritudinem rei, qua de agitur: quibus orationem suam & emendatiorem efficit, & variè exornat. Quin & exordia interdum ipsa, atque epilogi, & quæ quasi [a] contentiones (vocant,) his ab eo rebus exornantur: non rarò insuper iis antea delineatis quæ post tractaturus est.

[a Vulgo Confirmationes.]

Verùm in dicendo talis tantúsque cùm esset, impiè tamen de religione sensisse perspicuum est, latentérque mordentes imitatus canes, Christianos allatrauit. Vixit Constantio, & impiissimo Iuliano Impp. atque Athenis eloquentiæ ludo doctor præfuit.

CLXVI. ANTONII DIOGENIS incredibilium de Thule insula libri XXIV.

LECTI sunt ANTONII DIOGENIS *incredibilium de* [a] *Thule insula libri quatuor & viginti*. Dramatici sunt: & dictio ipsa ita clara, ita pura, vt minus egeat perspicuitate. Per narrationum quoque diuerticula iucunditatis plurimum sensis inest: quando & ad fabulas propius accedit elocutio, & incredibilium narrationum syluam, cum verisimili tamen fictione atque apparatu sibi suppeditat.

[a Adi Geographos de hac veterum narratores, & in primis Procop. Gotthic. secundo, Ortelij Islandiā in theatro, Petrarch. lib. 3. epist. 1. Gul. Camdē. de insulis Britan. & alios.]

Inducitur itaque Dinias quidam nomine, vt exigebat historia, vnà cum filio Demochare patria profugus, qui per Pontum, & à Caspio atque Hyrcanio mari ad Riphæos, vt vocantur montes, & Tanaïs fluminis ostia primùm delati: ingentibus deinde adacti rigoribus ad Scythicum conuersi Oceanum, atque hinc ad Orientalem tendentes, ad solis orientis partes venerunt: vnde circulo facto, exteriusmare longo tempore, variisque erroribus circumiere. Errorum socij fiunt Carmanes, Meniscus & Azulis: atque in Thule denique insula stationem interim errorum quandam constituerunt. In hac ipsa insula cum Dercyllide quadam Dinias consuetudinem habuit: quæ genere Tyria, & claris in ea vrbe natalibus orta, cum [b] fratre Mantinia hoc in loco versabatur. Cum illa igitur Dinias consuescens, eius audit fratrisque iactationes, & quanta mala [c] Paastius quidam, Ægyptius sacrificulus, intulerit. Hic enim cùm vastata eius patria, Tyrum migrasset, & hospitio acceptus à parentibus horum fratrum, Mantiniæ atque Dercyllidis, beneuolus primùm in bene de se meritos, familiámque adeò vniuersam esse videretur: ingentibus postea malis domum, hósque, & eorum parentes affecit. Refert deinde quomodo in Rhodum, post tantas familiæ calamitates, cum fratre abducta sit; indéque in Cretam errore delata fuerit, mox ad Tyrrhenos, & rursum inde ad Cimmerios, quos nominant, vtque apud hos inferos spectarit, & eorum multa, quæ ibidem sunt, didicerit: Myrto Magistra vsa, sua quadam pedisequa, quæ olim vita abierat, & à morte dominam docebat.

[b ἀδελφῷ legendum docent sequentia.]

[c Qui Paapis deinceps perpetuo nominatur.]

εἴδησιν, οὐδεὶς * ὕπω (οἶμαι) χρησάμενος τῇ προσῇ, καλῶς οὕτω καὶ ἡδέως ἀπήλλαξε. παραδείγμασι δὲ ἐξ ἱστορίας τε καὶ ἐκ μύθων παντοδαπῶν μεστὰ αὐτοῦ τυγχάνει τὰ γράμματα, ἢ πρὸς ἀπόδειξιν, ἢ πρὸς ὁμοιότητα, ἢ πρὸς ἡδονὴν καὶ κάλλος ὧν λέγει· τούτοις ἀποσεμνύνων τὸν λόγον καὶ ποικιλλόμενος. καὶ τὰ προοίμια δὲ καὶ οἱ ἐπίλογοι, ἔστι δὲ οὗ καὶ οἱ οἷον ἀγῶνες ἀπὸ τούτων αὐτῷ διασκευάζονται. πολλῇ δὲ κέχρηται καὶ τῇ προδιατυπώσει. ἀλλὰ τοιοῦτος ὢν ἐν τοῖς λόγοις, ἀσεβὴς (ὡς δῆλόν ἐστι) τὴν θρησκείαν εἰ καὶ τοὺς λαθραίους μιμεῖται τῶν κυνῶν, καθ' ἡμῶν ὑλακτῶν. ἤκμασε δὲ ἐπὶ * Κωνσταντίου καὶ τοῦ δυσσεβεστάτου Ἰουλιανοῦ, καὶ τοῦ ἐν Ἀθήναις τῆς ῥητορείας προέστη διδασκαλείου.

[* ὕτοι. H. St.] [* Κωνσταντίνου. H. St.]

ΑΝΤΩΝΙΟΥ ΔΙΟΓΕΝΟΥΣ ΤΩΝ ὑπὲρ Θούλην ἀπίστων λόγοι δ' καὶ κ'.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Ἀντωνίου Διογένους τῶν ὑπὲρ Θούλην ἀπίστων λόγοι κδ'. δραματικοὶ οἱ λόγοι, σαφὴς ἡ φράσις, καὶ οὕτω καθαρά, ὡς * ἐπ' ἔλαττον εὐκρινείας δεῖσθαι. καὶ τότε κατὰ τὰς ἐκτροπὰς τῶν διηγημάτων ταῖς διανοίαις πλεῖστον ἔχει τοῦ ἡδέος· ἅτε μύθων ἐγγὺς καὶ ἀπίστων ἐν πιθανωτάτῃ πλάσει καὶ διασκευῇ ὕλην ἑαυτῇ διηγημάτων ποιουμένη. εἰσάγεται τοίνυν ὄνομα Δεινίας κατὰ ζήτησιν ἱστορίας ἅμα τῷ παιδὶ Δημοχάρει ἀποπλανηθεὶς τῆς πατρίδος, καὶ διὰ τοῦ Πόντου καὶ ἀπὸ τῆς κατὰ Κασπίαν καὶ Ὑρκανίαν θαλάσσης, πρὸς τὰ Ῥιπαῖα καλούμενα ὄρη, καὶ τοῦ Τανάϊδος ποταμοῦ τὰς ἐκβολὰς ἀφιγμένοι, εἶτα διὰ τὸ πολὺ τοῦ ψύχους, ἐπὶ τὸν Σκυθικὸν ἐπιστραφέντες ὠκεανόν, καὶ δὴ καὶ εἰς τὸν ἑῷον ἐμβαλόντες, καὶ πρὸς ταῖς τοῦ ἡλίου ἀνατολαῖς γεγονότες. ἐντεῦθέν τε κύκλῳ τὴν ἐκτὸς περιελθόντες θάλασσαν ἐν χρόνοις μακροῖς καὶ ποικίλαις πλάναις. οἷς συνεφάπτονται τῆς πλάνης Καρμάνης καὶ Μηνίσκος καὶ Ἄζουλις. γίνονται δὲ καὶ ἐν Θούλῃ τῇ νήσῳ, ἐνταῦθα τέως * σταθμόν ὥσπερ τῆς πλάνης τινὰ ποιούμενοι. ἐν ταύτῃ τῇ Θούλῃ Δεινίας κατ' ἔρωτος νόμον ὁμιλεῖ Δερκυλλίδι τινὶ καλουμένῃ, ἥτις γένει μὲν ὑπῆρχε Τυρία τῶν κατὰ τὴν πόλιν ἐπιφανεστάτων, * ἀδελφῷ δὲ συνῆν ὄνομα Μαντινίᾳ. ταύτῃ Δεινίας ὁμιλῶν, ἀναμανθάνει τήν τε τῶν ἀδελφῶν πλάνην, καὶ ὅσα Παάπις τις ἱερεὺς Αἰγύπτιος, τῆς πατρίδος αὐτοῦ λεηλατηθείσης, καὶ παροικήσας Τύρῳ, καὶ φιλοξενηθεὶς ὑπὸ τῶν τεκόντων τοὺς ἀδελφοὺς Δερκυλλίδα καὶ Μαντινίαν, καὶ δόξας τὰ πρῶτα εὔνους εἶναι τοῖς εὐεργέταις καὶ ὅλῳ τῷ οἴκῳ, μετὰ ταῦτα ὅσα κακὰ τόν τε οἶκον, καὶ αὐτοὺς, καὶ αὐτῶν γονέας, εἰργάσατο. ὅπως εἰς Ῥόδον ἀπὸ τῆς κατὰ τὸν οἶκον συμφορᾶς σὺν τῷ ἀδελφῷ ἀπήχθη, κἀκεῖθεν εἰς Κρήτην ἐπλανήθη, εἶτα εἰς Τυρρηνούς, κἀντεῦθεν εἰς Κιμμερίους οὕτω καλουμένους. καὶ ὡς τὰ ἐν ᾅδου παρ' αὐτοῖς ἴδοι, καὶ πολλὰ τῶν ἐκεῖσε μάθοι, διδασκάλῳ χρωμένη * Μύρτῳ θεραπαινίδι οἰκείᾳ, πάλαι τὸν βίον ἀπολιπούσῃ, καὶ ἐκ τῶν νεκρῶν τὴν δέσποιναν ἀναδιδασκούσῃ.

[ρξϛʹ. Antonij Diogenis de Thule insula libri XXIV.] [* ait. ἐπ'.] [* καὶ σταθμόν] [* ἀδελφῷ] [* Μύρτῳ]

Ταῦτα

ταῦτα γὰρ εἶναι ἀπάρχεται Δεινίας διηγεῖσθαι Κύμβᾳ τινὶ ὄνομα τὴν Ἀρκαδίας πατρίδος, ὃν στέλλει τὸ κοινὸν τῶν Ἀρκάδων εἰς Τύρον, αἰτησόμενοι Δεινίαν πρὸς αὐτοὺς εἰς τὴν πατρίδα ἐπαναζεῦξαι. ἐπεὶ δὲ αὐτὸν τὸ βάρος τοῦ γήρως ἐκώλυεν, εἰσάγεται διηγούμενος ἅπερ τε αὐτὸς κατὰ τὴν πλάνην θεάσαιτο, ἢ καὶ ἄλλων θεασαμένων ἀκήκοε· καὶ ἃ Δερκυλλίδος ἐν Θούλῃ διηγουμένης ἀνέμαθε· λέγοι δὴ τὴν προειρημένην πλάνην αὐτῆς, καὶ ὅπως μετὰ τὴν ἐξ ᾅδου αὐτῆς ἀναχώρησιν σὺν Κηρύλλῳ καὶ Ἀστραίῳ, ἤδη τοῦ ἀδελφοῦ διασπασθεῖσα, ἐπὶ τὸν Σειρῆνος ἀφίκοιτο τάφον· καὶ ὅσα πάλιν αὐτὴ ἐκ Ἀστραίου λέγοντος ἤκουσε περί τε Πυθαγόρου φημὶ καὶ Μνησάρχου. οἷά τε φιλώτιδος αὐτὸς Ἀστραῖος ἤκουσε, καὶ τὸ κατὰ τοὺς ἀδελφοὺς αὐτοῦ μυθῶδες θέαμα· καὶ ὅσα αὖθις Δερκυλλὶς ἐπὶ τὴν οἰκείαν ἐπανιοῦσα πλάνην ἀπήγγελλεν· ὡς περιπέσοι ἀνθρώπων πόλει κατὰ τὴν Ἰβηρίαν, οἳ ἑώρων μὲν ἐν νυκτὶ, τυφλοὶ δὲ ὑπὸ ἡμέραν ἑκάστην ἐτύγχανον. καὶ ὅσα ἐκεῖ Ἀστραῖος αὐλῶν τοῖς πολεμίοις ἐκείνων εἰργάσατο. καὶ ὡς ἀφεθέντες εὐμενῶς ἐκεῖθεν, περιπεπτώκασι τοῖς Κελτοῖς, ἔθνει ὠμῷ καὶ ἠλιθίῳ, ἵπποις τε αὐτοὺς ἐξέφυγον, καὶ ὅσα αὐτοῖς περὶ τῆς κατὰ τὴν χρόαν τῶν ἵππων ἐναλλαγῆς ἐγεγόνει. ὅπως τε κατὰ τοὺς Ἀκυτανοὺς ἐγένοντο, καὶ οἵας ἐκεῖ τιμῆς ἀπήλαυσαν Δερκυλλίς τε καὶ Κήρυλλος· καὶ ἔτι μᾶλλον Ἀστραῖος τῇ περὶ τοὺς οἰκείους ὀφθαλμοὺς αὐξομειώσει, τὰς σεληνιακὰς σημαίνων αὐξομειώσεις. καὶ λύων ἔριδος τοὺς ἐκεῖσε περὶ τῆς ἀρχῆς βασιλεῖς, οἳ δύο ὄντες, κατὰ τὰ τοιαῦτα τῆς σελήνης πάθη, ἀλλήλων ἀντικατέστησαν διάδοχοι. δι' ἃ καὶ ὁ ἐκεῖσε δῆμος τοῖς περὶ Ἀστραῖον ἔχαιρεν. ἐντεῦθεν ἐπιμυθεύεται, ὅπως τά τε ἄλλα Δερκυλλὶς εἶδέ τε καὶ ὑπήνεγκε. καὶ ὡς ἐν Ἀρτάβροις ἤχθη. οὗ γυναῖκες μὲν πολεμοῦσιν, ἄνδρες δὲ οἰκουροῦσι, καὶ τὰ γυναικῶν ἐπιμελοῦνται. ἐπὶ τούτοις, οἷα κατὰ τοὺς Ἀστύρους τὸ ἔθνος αὐτῇ τε καὶ Κηρύλλῳ συνεκύρησε. καὶ ἔτι ὅσα ἰδίως Ἀστραίῳ συνηνέχθη, καὶ ὡς παρ' ἐλπίδας πάσας τοὺς ἐν Ἀστύροις συχνοὺς κινδύνους ἐκπεφευγότες, Κήρυλλος σὺν Δερκυλλίδι τὴν δίκην ὅμως, ἣν ἀδικήματος παλαιοῦ ὀφλητὴς ἐτύγχανεν, οὐκ ἀπέφυγεν· ἀλλὰ [a] παρὰ δόξαν πᾶσαν ὡς ἐσώθη τῶν κινδύνων, οὕτω καὶ ἐκρεουργήθη. μετὰ ταῦτα, οἷα κατὰ τὴν Ἰταλίαν καὶ Σικελίαν πλανωμένη ἐθεάσατο· καὶ ὡς ἐν Ἔρυκι, [illegible] πόλει Σικελίας, συλλαμβάνεται, καὶ πρὸς Αἰνησίδημον (ἐτυράννει δὲ τότε Λεοντίνων οὗτος) ἀπάγεται. ἐν ᾧ πάλιν Παάπιδι τῷ ἐξαλιτηρίῳ περιπίπτει τῷ τυραννοῦντι συνόντι, καὶ τῆς ἀπροσδοκήτου συμφορᾶς ἀνέλπιστον εὑρίσκει παραμυθίαν, τὸν ἀδελφὸν Μαντινίαν. ὃς πολλὰ πλανηθεὶς, καὶ πολλῶν ἀπιστοτάτων θεαμάτων περί τε ἀνθρώπους καὶ ἕτερα ζῷα, περί τε αὐτὸν ἥλιον καὶ σελήνην, καὶ φυτὰ καὶ νήσους μάλιστα ἐξηγητὴς αὐτῇ καταστὰς, ὕλην ἄφθονον παρέσχε μυθοποιΐας ἀπαγγέλλειν ὕστερον τῷ Δεινίᾳ. ἅπερ αὐτὸς συνείρων, εἰσάγεται διηγούμενος τῷ Ἀρκάδι Κύμβᾳ. ἔπειτα ὡς λαβόντες Μαντινίας, καὶ Δερκυλλὶς ἐκ [b] Λεοντίνων τὸ Παάπιδος πηρίδιον, μετὰ τῶν ἐν αὐτῷ βιβλίων, καὶ τῶν βοτανῶν

[a] περὶ.

[b] Λεοντίν.

Hæc itaque narrare incipit Dinias Cymbæ cuidam nomine, domo Arcadia, quem commune Arcadum legatum miserat Tyrum, Diniam ibi rogantes, vt ad ipsos in patriam suam rediret. At quoniam ipsum iam grauis senij ætas prohibebat, fingitur hic referre, tum ea quæ ipsemet erroribus iactatus viderat, tum quæ ab aliis conspecta acceperat, quæque à Dercyllide in Thule narrata didicerat: supradictum, inquam, eius errorem, vtque post suum illa reditum ab inferis, cum Ceryllo & Astræo (iam enim à fratre segregata erat) ad Sirenes venerit sepulchrum: & quæ rursum ipsa ex Astræi sermone cognouerit de Pythagora, & Mnesarcho: qualia vicissim Astræus ex Philotide didicerit, & in fratribus ipsius spectrum, visúmque planè fabulosum: & quæcunque rursum Dercyllis ad suos reuersa errores retulit, vt in hominum ciuitatem inciderit in Iberia, qui noctu quidem viderent: interdiu autem quotidie cæcutirent. Quæ item ibi Astræus tibia canens, hostibus eorum fecerit, vtque beneuoli inde dimissi in Celtas inciderint, gentem immanem ac stolidam, quos in equis ipsi effugerint, quæque in mutato equorum colore acciderint: vt hinc ad Aquitanos penetrarint, quantósque honores ibi adepti sint Dercyllis atque Ceryllus; & hoc amplius Astræus, quòd oculorum suorum incremento atque decremento, Lunæ quoque designaret alternationes, quódque contentionem dirimeret, duos inter reges de principatu contendentes, qui iuxta tales Lunæ vicissitudines inuicem succedebant in imperio, vt ob ista etiam populo illi Astræus charus, acceptúsque fuerit.

Achæus. Æschylus. Agathon. Alcæus. Alcidamas. Alexander. Alexis. Amphis. Anacreon. Anaxandrides. Anaxilles. Andronicus. Antimachus. Antiphanes. Apollodorus. Apollonides. Aralochus. Aratus. Archilochus. Archippus. Aristæus. Aristarchus. Aristocrates. Aristophanes. Aristophon. Astydamas. Athenodorus. Axinicus. Bacchyllides. Bathon. Bion. Biotus. Callimachus. Callinicus. Carcinus. Cercidas. Chæremon. Chares. Chœrilus. Cleanthes. Clebinetus. Cleobulus. Clinias. Clitias. Clitomachus. Crantor. Cratinus. Demetrius. Dicæogenes. Dictys. Diodorus. Dionysius. Diphylus. Epicharmus. Eratosthenes. Euenus. Euphorion. Euphron. Eupolis. Euripides. Euthydamus. Heliodorus. Heniochus. Hermolochus. Herodes. Hesiodus. Hipponax. Hippothóon. Hippóthous. Homerus. Hyppobolimæus. Hypsæus. Ion. Iophon. Isidorus. Iulius. Laon. Leonides. Licymnius. Linus. Lycophron. Melino. Menander. Menippus. Menophilus. Metrodorus. Mimnermus. Moschion. Moschus. Myron. Naumachius. Neophron. Neoptolemus. Nicolaus. Nicomachus. Nicostratus. Olympias. Orpheus. Panyasis. Parmenides. Patrocles. Pausanias. Phanocles. Pherecrates. Philæus. Philetas. Philémon. Philippides. Philippus. Philiscus. Philonides. Philoxenus. Phintys. Phocyllides. Phœnicides. Phrynichus. Pindarus. Pisander. Polyídes. Pompeius. Posidippus. Rhianus. Sappho. Serapion. Sclerius. Simonides. Simylus. Sopater. Sophocles. Sosicrates. Sosiphanes. Sositheus. Sotades. Staginus. Stesichôrus. Sthenides. Susaron. Telesilla. Therelephus. Theocritus. Theognis. Thespis. Timocles. Timostratus. Tyrtæus. Xenarchus. Xeñophanes. Zeno. Zenodotus. Zopyrus.

* al. Theages.

Verum Poëtæ, quorum sententias his capitibus est persecutus, isti fuerunt. Rhetores deinde & Historici, Regésque, ac Duces, quando horum quoque testimonia collegit; hi sunt:

Ælianus. Æschines. Agathon. Antiphon. Archelaus. Aristides. Aristocles. Caius. Callisthenes. Chrysermus. Clitophon. Cornelianus. Ctesias. Demades. Demaratus. Demosthenes. Ephorus. Gorgias. Hegesiades. Hegesius. [Herodotus.] Hyperides. Isæus. Isocrates. Lysias. Nicias. Ombrinus. al. Obrimus.

IO. STOB. Philostratus. Polyænus. [Prodicus.] Protagoras. Sostratus. Theodorus. Theopompus. Theseus. Thrasillus. Thucydides. Timagoras. Trophimus. Xenophon. Zopyrus. [¶ *Reges & Imp.*] Agathocles. Agesilaus. Agis. Agrippinus. Alexander. Anaxilaus. Antigonus. Archidamus. Chares. Charias. (al. Chabrias.) Charillus. Clitarchus. Cotys. Darius. Dionysius. Epaminondas. Eudamidas. Hipparchus. Iphicrates. Lamachus. Leonides. Lycurgus. Mallius. Pericles. Phalaris. Philippus. Phocion. Ptolemæus. Pyrrhus. Scipio. Scyllurus. Semiramis. Themistocles. Timotheus. [¶ *Medici, Philosophi, & alij.*] Æsopus. Alcmæon Medicus. Antigenidas. Antyllus Medicus. Apelles. Arimnestus. Aristides Iustus. Aristophanes. Aristoteles. Brasion. Cato. Cephisidorus. Cleostratus. Clitomachus. Dicæarchus. Diocles Medicus. Dion. Dionysius. Erasistratus Medicus. Eratosthenes. Eubulus. Euphranias. Euryphron Medicus. Euryximachus. Euxitheus. Galenus Medicus. Glaucon. Hermarchus. Hermippus. Hippocrates Medicus. Licymnius. Metrocles. Metrodorus. Myson. Nicostratus. Prausion. Seriphius. Simonides. Sostratus. Sotion. Speusippus. Theocritus. Theopompus. Tymarides. Thynon.

Tot illa Capita, in quæ veterum dicta Ioannes contulit Stobæus, & ex his potissimum Philosophis, Poëtis, Oratoribus, Regibus, atque Imperatoribus, hæc eadem collegit.

a Sequor τὸ ἀναγνόντες.

Cæterum utile hoc opus, cum iis, qui horum scripta operáque [a] legerunt, ut eorum per hæc memoria renouetur, tum iis in primis, qui non legerunt, quod assiduo se in his exercendo, breui admodum tempore pulchra multa & varia, summatim comprehensa, mente recondere cum fructu queant. Communis autem utrisque hæc utilitas accedet, quod quæ inuestigabunt absque labore, & breuiter apparet, inuenturi sint, qui se a capitibus his ad fusiorem pertractationem conferre volent. Immo & quibusuis dicere, & scribere volentibus perutile hoc opus futurum sit.

*Πολύαινος, Πρωταγόρας. *Σώστρατος. Τιμαγόρας, Τρόφιμος. Τυδείδης. Φιλόστρατος. Χρύσερμος. Αλέξανδρος, Αγησίλαος, Αγαθοκλῆς, Αντίγονος, Αγις, *Αγριππῖνος, Αναξίλαος, Αρχίδαμος. Διονύσιος, Δαρεῖος. Επαμεινώνδας, Ευδαμίδας. Θεμιστοκλῆς. Ιφικράτης, Ιππαρχος, Κότυς, Κλείταρχος. Λυκοῦργος, Λεωνίδης, Λάμαχος. Μαλλίας. Περικλῆς, Πύῤῥος, Πτολεμαῖος, Σεμίραμις, Σκιπίων, Σκύλλουρος. Τιμόθεος. Φίλιππος, Φωκίων, Φάλαρις. Χάριλλος, Χαβρίας, Χάρης. Αριστοφάνης, Αισωπος, Αντιγενίδας, Αριστοτέλης, Αριστείδης ὁ δίκαιος, Αλκμαίων ἰατρὸς, Αντυλλος ἰατρὸς, Αρίμνηστος, Απελλῆς, *Βράσων. Γλαύκων, Γαληνὸς ἰατρός. Δικαίαρχος, Δίων, Διονύσιος, Διοκλῆς ἰατρός. Εὐξίθεος, Ερμαρχος, Ερμιππος, Εὐρυξίμαχος, Εὐφρανίας, Ερασίστρατος ἰατρὸς, Εὐρύφρων ἰατρός. Ερατοσθένης, Εὔβουλος. Θεόπομπος, Θεόκριτος, Θυμαρίδης. Θυίων. Ιπποκράτης ἰατρός. Κάτων, Κηφισόδωρος, Κλεόστρατος, Κλειτόμαχος. Λικύμνιος. Μύσων, Μητρόδωρος, Μητροκλῆς. Νικόστρατος. Πραυσίων. Σιμωνίδης, Σέριφιος, Σωτίων, Σώστρατος, Σπεύσιππος. ἀλλὰ τὰ μὲν κεφάλαια, οἷς τὰς τῶν παλαιοτέρων ῥήσεις ἥρμοσεν Ιωάννης ὁ Στοβαῖος, καὶ ἐξ ὧν ἀνδρῶν φιλοσόφων τε καὶ ποιητῶν, ῥητόρων τε καὶ βασιλέων καὶ στρατηγῶν, ταύτας συνηθροίσε: τοσαῦτα καὶ ἐκ τοσούτων. χρήσιμον δὲ τὸ βιβλίον τοῖς μὲν ἀναγινώσκουσιν αὐτὰ τὰ συγγράμματα τῶν ἀνδρῶν καὶ συντάγματα, πρὸς ἀνάμνησιν: τοῖς δ' οὐκ εἰληφόσι πεῖραν ἐκείνων, ὅτι διὰ συνεχοῦς αὐτῶν μελέτης, οὐκ ἐν πολλῷ χρόνῳ πολλῶν καὶ καλῶν καὶ ποικίλων νοημάτων, εἰς κεφαλαιώδη μνήμην καρπώσονται. κοινὸν δ' ἀμφοτέροις ἡ τῶν ζητουμένων, ὡς εἰκὸς, ἀταλαίπωρος καὶ σύντομος εὕρεσις, ἐπειδάν τις ἀπὸ τῶν κεφαλαίων εἰς αὐτὰ τὰ πλάτη ἀναδραμεῖν ἐθελήσῃ. καὶ πρὸς ἄλλα δὲ τοῖς ῥητορεύειν καὶ γράφειν σπουδάζουσιν, οὐκ ἄχρηστον τὸ βιβλίον.

* Ἡλιάδης. * Συμπάτων. * Αγριππῖνος. * Βράσων.

SCHOLION.

Præsagit animus, (quid enim vetat ominari?) fore ut ope Photianæ Bibliothecæ, quæ latent, eruantur non pauca. Et quemadmodum nunc exierunt Hadrianus, Gelasius, Theophylactus Simocatta, ac quædam etiam Diodori Siculi: sic quoque spes est, Stobæi Eclogas omnes, capite truncas, alibi vitiosas, turbatas, mutilas, primo maxime & secundo libro, Philosophi alicuius opera atque Philologi in integrum restitutum iri, ut apto illo colligentis ordine servato, maiore cum Reip. commodo appareant. Et tibi, quod omnium primum, œconomiam librorum, ac singulorum cuiusque capitum seriem, & argumentum Photius accurate designet: dein Augustanæ Bibliothecæ (cuius multa iam extant in rem litterariam beneficia) codex calamo exaratus, ut & nostra neque pauca, neque contemnenda fragmenta, quæ ex Ant. Augustini V. C. libro descripsimus, magna sane ad id, quod suggerimus, adferent adiumenta. Nunc quoniam in medio palma est, huc Græcæ ac Latinæ Philosophiæ studiosos invito.

CXLVIII.

B. BASILII SELEVCIÆ EPISC. *Orationes XV.*

LECTÆ sunt S. BASILII *Episcopi Seleuciæ Orationes* [a] *quindecim.* Prima in illud: *In principio fecit Deus cælum & terram.* Post hanc in Ioseph, in Adamum, in Cain & Abel, in Abrahamum, in Moysen, Eliam, & Ionam. Item nona in Centurionem. Decima in illud: [b] *Navigabant discipuli cum* IESV, & quæ sequuntur.

a Longe plures extant hodie Græci in Germania evulgata, quas nuper Latinas fecit noster Claudius Dausquius.

b Luc 8. 23.

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΒΑΣΙΛΕΙΟΥ *Σελευκείας ἐπισκόπου λόγοι ιε'.*

ρμη'. Basilii Seleuciæ episcopi homiliæ XV.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ τοῦ μακαρίου Βασιλείου ἐπισκόπου Σελευκείας λόγοι πεντεκαίδεκα, πρῶτος μὲν εἰς τὸ, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· εἶτα εἰς τὸν Ιωσήφ, εἰς τὸν Αδάμ, εἰς τὸν Κάϊν καὶ Αβελ, εἰς τὸν Αβραάμ, εἰς τὸν Μωϋσῆν, εἰς τὸν Ηλίαν, εἰς τὸν Ιωνᾶν· ἔνατος, εἰς τὸν ἑκατόνταρχον· δέκατος εἰς τὸ, συνέπλεον οἱ μαθηταὶ τῷ Ιησοῦ, καὶ τὰ ἑξῆς· εἶτα εἰς

εἶτα εἰς τό, Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, καὶ τὰ ἑξῆς· κἄπειτα εἰς τὸν τελώνην καὶ τὸν Φαρισαῖον. καὶ εἰς τό, εἰπὲ ἵνα οἱ δύο μου υἱοὶ καθίσωσιν, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ εὐωνύμων· καὶ εἰς τό, τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; πεντεκαιδέκατος δὲ εἰς τό, Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν.

Ἐν τούτοις οὖν αὐτοῦ τοῖς λόγοις, τὸ μὲν τροπικὸν καὶ γοργὸν, καὶ τὸ πάρισον, εἴπερ ποτέ τινι καὶ ἄλλῳ, ἔστιν ἰδεῖν αὐτοῦ δημιουργούμενον. καὶ τὸ σαφὲς δὲ καὶ ἡδὺ * διασώζει. τὸ δὲ λίαν περισπορὲς τῆς τροπῆς καὶ τῶν γοργείων σχημάτων, μᾶλλον δὲ τὸ συνεχὲς, καὶ ἄκρατον, καὶ * ἀδιάπαυστον, εἰς ἀηδίαν καὶ διαβολὴν τὸν ἀκροατὴν διεγείρει, καὶ ψόγον κινεῖ τοῦ συγγραφέως· οὐκ ἔχοντος (ὡς ἔοικε) τέχνῃ τὴν φύσιν ῥυθμίσαι, καὶ κανόνι τὸ ἄτακτον διατάξαι. πλεονάζων δ' ὅμως ταῖς τροπαῖς, καὶ αὐτὸ τῆς τροπολογίας πηγάζων τὸ εἶδος, οὔτε εἰς ψυχρολογίαν, εἰ μὴ εἰς ἐλάχιστον ἐκφέρεται· οὔτε * ἀσαφείᾳ σκοτίζει τὸ νόημα, ἀλλὰ τῇ ταχύτητι τῶν κώλων καὶ τῶν περιόδων, καὶ τῇ * ἐμφάσει τῶν λέξεων, τῆς τροπολογίας περιαιρεῖται τὸ δύσληπτον. ἀλλ' οὖν, ὅπερ ἔφην, ὁ κόρος τὴν χάριν ἀμβλύνει· καὶ τὸ ἄκρατον τῆς τροπῆς, τοὺς νόμους τῆς τέχνης οὐκ ἐᾷ παρρησιάσασθαι. ἔοικε δὲ οὗτος μᾶλλον εἶναι, ἢ ὁ Καισαρείας μέγας Βασίλειος, ὁ τῷ τρισμακαρίστῳ Ἰωάννῃ τῷ Χρυσοστόμῳ φίλος γεγονὼς καὶ ὁμωρόφιος· πρὸς ὃν καὶ ὁ περὶ [τῆς] Ἱερωσύνης λόγος συντέτακται. πολλὰ γὰρ ἴχνη τῶν ἐκείνου λόγων καὶ νοημάτων, καὶ μάλιστα τῶν κατὰ τὴν θείαν γραφὴν, ἐν τοῖς τοῦ Βασιλείου λόγοις ἐπιφαίνεται· ὡς ἂν ἀπὸ τῆς αὐτῆς πηγῆς τῶν μαθημάτων ἀρυσαμένων ἄμφω τὰ πρόσφορα. καὶ τῆς τροπῆς δὲ ἡ κατ' ἔμφασιν καὶ οἰκείωσιν μεταχείρισις, τῆς Ἰωάννου συνουσίας καὶ συναναγνώσεως οὐκ ἐλάττον ὑπάρχει τεκμήριον. κέχρηται γὰρ ταύτῃ καὶ ὁ θεῖος ἐκεῖνος ἀνὴρ εἰ καὶ κεκραμένῃ, καὶ λίαν ἐπικαίρως· καὶ τῇ ἀφελείᾳ τὸν ἐκεῖθεν ὄγκον μιγνύεται. διαλεαίνων εὐφυῶς, καὶ τὸν [ὅλον] λόγον * πολιτικοῦ ποιούμενος λόγου εἰκόνα. Ἔστι δὲ Βασίλειος οὗτος, ὁ καὶ μέτροις * ἐντείνας τὰ τῆς πρωτομάρτυρος Θέκλης ἔργα καὶ ἆθλα καὶ νικητήρια· καὶ ἄλλα καὶ αὐτοῦ συγγράμματα φέρεται.

* διατηρεῖ.
* ἀδιάστατον.
* ἀσαφῶς.
* ἐμφάσει, ἐν ἐμφάσει. R. C.
B. Chrysostomi lib. de Sacerdotio.
* ποιητικοῦ. R. C.
* ἐκτείνας. R. C.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΚΥΡΙΛΛΟΥ κατὰ τῶν Νεστορίου δυσφημιῶν τόμοι ε'. ἐπιστολαὶ καὶ σχόλιον περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς.

ρξθ'. Cyrillo contra Nestorij blasphemias lib. V. & epistola, itē Scholion de Incarnatione vnigeniti.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ τοῦ ἐν ἁγίοις Κυρίλλου κατὰ τῶν Νεστορίου δυσφημιῶν, τόμοι πέντε. ὧν ὁ μὲν πρῶτος ἀνατρέπει τῆς Νεστορίου βλασφημίας κεφάλαια δέκα· ὁ δὲ δεύτερος κεφάλαια ιδ'. ὁ δὲ τρίτος ϛ'. ὁ δὲ τέταρτος, ἑπτά· ὁ δὲ πέμπτος καὶ αὐτὸς ἑπτά. ἔστι δὲ τὸ τῆς ἑρμηνείας αὐτοῦ εἶδος, κατὰ τὴν ἰδιάζουσαν αὐτοῦ τῶν λόγων ἰδέαν ἐκμεμορφωμένον, βραχὺ δέ τι πρὸς τὸ ταπεινότερον ὑποκεκλιμένον.

Deinde in illud: [a] *Venite ad me omnes qui laboratis, & onerati estis, & ego reficiam vos,* &c. Tum in Publicanum, & Pharisæum. Itémque in illud: [b] *Dic vt sedeant hi duo fily mei, vnus ad dexteram, & alter ad sinistram.* Et in illud: [c] *Quem dicunt homines esse Filium hominis.* Decimaquinta in illud: [d] *Tu es qui venturus est; an alium exspectamus?*

10. STOB.
a Matth. 11. 28.
b Matth. 20. 21.
c Matth. 16. 13.
d Matth. 11. 3.

In quibus quidem eius Orationibus hoc obseruare licet, magnum eum esse, si quis vnquam alius fuit, figuratæ atque incitatæ orationis, pariúmque artificem. Perspicuitatem nihilominus, ac suauitatem retinet. Verum quia nimius in tropis & schematis incitatis, satietatem parit, siue potius, quia tam assiduus in his est ac totus, nihil vt aliud sine modo occurrat, auditori fastidium & calumniandi ansam præbet, atque ad scriptoris ipsius vituperationem incitat, quasi neque naturam arte moderari, neque regula; quod inordinatum erat, digerere possit. Etsi autem tropis hoc modo abundet, ipsúmque adeo tropologicum dicendi genus fontis in morem effundat, nunquam tamen ideo vel in frigidum sermonem, nisi perraro delabitur, vel obscuritate aliqua sensum obumbrat: sed si quid ob tropologiam intelligi minus commodè poterat, id cum [e] accelerata membra atque periodi, tum dictionum ipsarum significantia facilè tollit. Cæterum, vt iam dixi, satietas gratiam omnem hebetat, & purorum illa troporum affluentia artificij legibus nullam dicendi libertatem concedit.

Hic autem potius Basilius, quam [f] Magnus ille Cæsareæ Episcopus videtur Beatissimi Chrisostomi amicus ille, & contubernalis fuisse, ad quem etiam librum de Sacerdotio scriptum miserit. Multa enim in huius Basilij Orationibus vestigia apparent [g] Orationum ac sensuum illius, eorum præsertim, quibus sacram explanat Scripturam: vt vterque sibi vtilia ex eodem fonte hausisse videatur. Et verò figuratum ille cum significantia tam familiaris vsus, permagnum est singularis cum Ioanne consuetudinis, lectionisque librorum eius argumentum. Vtitur enim iisdem & diuinus ille vir, licet moderatè & opportunè, atque ita, vt & tumorem, qui ex illis nascitur, simplicitate temperet ingenioséque molliat, & orationem suam vniuersam ciuili sermoni persimilem efficiat.

Idem verò hic Basilius ille est, qui primæ martyris Theclæ præclarè [h] gesta, & certamina, atque victorias metris persequitur: cuius item alia scripta [præter ista] circumferuntur.

e τῇ ταχύτητι lege.
f Quod putauit Georg. Alexā. Cod. XCVI & Socrat. lib VI. cap. 3. & alij Cum Photio tamen sensit Suidas eiusmo enarratus Bibliotheca nostra faciat. Auctoro. Verum D. Baron. Card. To. IV. Annal. Eccl. ad ann. Christi ccclxxxii. tertium quendam Basilium quærit. Vide quæ notauit noster Claud. Dausquelus ad B. Basilij Seleuc. quas vertit, Orationes editas.
g Quamobrem etiamnum hodie Orationes quædam promiscuè vtrique tribuuntur, vt XXXIX. ac tres seqq. in libris editis.
h Est in Bibliothecis hæc vita Græcè Basilio inscripta, sed soluta oratione non metro: edidítque in lucē Petr Pantinus V. Cl. Petro B. Theclam templum habuisse celebre admodum Seleuciæ testatur B. Gregor. Naz. in Carm de vita sua & Nicephor. lib. XVI. c. 8.

B. CYRILLI *Contra Nestorij blasphemias libri V. Epistolæ variæ, & Scholion de Incarnatione Vnigeniti.*

CLXIX.

LECTI sunt S. CYRILLI *aduersus Nestorij blasphemias libri quin*que. quorum primus quidem calumniarum Nestorij capita decem refellit. Alter deinde quatuordecim. Tertius verò sex. Quartus denique ac quintus singuli septem. Elocutionem autem ipsam hîc ad peculiarem illum suum, quem in orationibus sequitur, dicendi modum ita conformauit, paulum vt magis ad humile dicendi genus tendat.

CYRILL.

Erat in eodem volumine ad ipsum quoque Nestorium epistola, qua in viam illum reducere, & amicè corrigere nititur. Quin & Nestorij ad Cyrillum responsio, qua capita illa, quæ sua hic epistola complexus fuerat, damnanda esse censet. Altera item Cyrilli epistola [ibi legebatur] ex Alexandrina Synodo ad Nestorium missa, quæ duodecim eum capitum errores abiurare iubebat. Tertia quoque ad Valerium Episcopum aduersus Nestorium, eiúsque dogmata. Item ad Acacium Melitinæ Episcopum dogmatica epistola, vel apologia potius vnionis atque concordiæ cum Ioanne Antiochiæ Patriarcha: aliæque variæ eiusdem argumenti litteræ, quarum binæ diuinam quoque Nicænæ Synodi doctrinam explanant. In quibus quidem omnibus, contentiúsne agat, an remissius, propriam vbique dicendi formam tenet.

Erat & hîc epistola ad Acacium Episcopum Scythopolitanum, de [a] emissario capro.

Alter item liber sic inscriptus: *Scholion de vnigeniti incarnatione*: quo hæc ferè exponuntur. Quid est CHRISTVS? Qua ratione intelligendus Emmanuel? Quid est IESVS Christus? Iuxta quid Dei Verbum dictum est homo? Iuxta quid euacuatum esse Dei Verbum dicitur? Quomodo item Christus vnus est? Quomodo etiam vnus est Emmanuel? Quamnam dicimus esse [b] exinanitionem? Item de ignito carbone viso ab [c] Esaia, aliáque præterea, his tamen affinia, capita decem. Permagnam verò legentibus vtilitatem liber hic adferre potest.

[a] *cuius emissio atque ceremonia Leuit. 16. præscripta.*

[b] *Al. Vnionem.*

[c] *Esaia 6. 6.*

CLXX.

ANONYMI *Testimoniorum de* CHRISTO *è gentium scriptis libri XV.*

LEGI Opus multorum versuum, vel librorum potius (libros enim quindecim quinque voluminibus continebat) in quibus testimonia, locáque integrorum etiam librorum, non modo Græca, verum etiam Persica, Thracica, Ægyptia, Babylonica, Chaldaica, quin & Italica, ex iis qui apud singulas harum gentium doctrina clari haberentur: quæ quidem hic scriptor sanctæ, cœlesti, atque diuinæ Christianorum religioni non inutilia esse, conatur ostendere. Cuiusmodi affert, de ipsa quoque sanctissima & consubstantiali Trinitate; quomodo nimirum per eosdem illos prædicetur, atque enuntietur. Item de Verbi in carne aduentu, signisque diuinis, & de Cruce, cruciatibus, ac sepultura, de resurrectione, atque ascensione, & de sanctissimi Spiritus ignitis linguis in discipulos inexplicabili modo superuenientе gratia: nec non de tremendo CHRISTI Domini nostri secundo aduentu, mortuorúmque resurrectione ac iudicio, & remuneratione eorum quæ in vita quisque gesserit. Ad hæc de vniuersi fabrica, de prouidentia, de Paradiso, déque similibus. Quin & de virtute Christianorum propria, & si quid huic finitimum est. De his omnibus Græcos, Ægyptios, Chaldæos, & quos nominaui cæteros

ἐμπεριείχετο δὲ τῇ βίβλῳ καὶ πρὸς αὐτὸν Νεστόριον ἐπιστολὴ, ἐπιχειροῦσα δῆθεν αὐτὸν μεταπείθειν καὶ φιλικῶς διορθοῦσθαι. ἀλλὰ καὶ Νεστορίου πρὸς Κύριλλον ἀντιγράφοντα ἐν τῇ ἐπιστολῇ κεφάλαια ἐμφερόμενα, καὶ ποιούμενον ἐν αἰτιάσει. καὶ δὴ ἑτέρα ἐπιστολὴ Κυρίλλου, ὡς ἀπὸ τῆς ἐν Ἀλεξανδρείᾳ συνόδου πρὸς Νεστόριον ἀποσταλεῖσα. ἥτις ἀναθεματίσαι αὐτὸν ἠξίου ἀναθεματισμοὺς δυοκαίδεκα κεφαλαίων. ἔτι δὲ καὶ ἑτέρα πρὸς * Οὐαλέριον ἐπίσκοπον, κατὰ Νεστορίου καὶ τῶν αὐτοῦ δογμάτων· καὶ πρὸς Ἀκάκιον ἐπίσκοπον Μελιτηνῆς δογματικὴ, μᾶλλον δὲ ἀπολογίαν περιέχουσα τῆς πρὸς Ἰωάννην τὸν Ἀντιοχείας ἑνώσεως καὶ ὁμονοίας. καὶ ἕτεραι διάφοροι, περὶ τῆς αὐτῆς ὑποθέσεως. ὧν ἐν δυσὶ, καὶ τὸ ἐν Νικαίᾳ διερμηνεύει θεόσοφον μάθημα. ἐν οἷς ἅπασι τῶν οἰκείων λόγων τὸν χαρακτῆρα ἐπιτείνων, ἢ ἀνιεὶς, ὅμως διαφυλάττει. συμπεριείχετο δὲ καὶ ἡ πρὸς Ἀκάκιον ἐπίσκοπον Σκυθοπόλεως, περὶ τοῦ ἀποπομπαίου. καὶ ἔτι ἕτερος λόγος, ἐπιγραφόμενος Σχόλιον περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς: ἐν ᾧ διασαφεῖται ταῦτα. Τί ἐστι Χριστός; τίνα δὲ τρόπον προσήκει νοεῖσθαι τὸν Ἐμμανουήλ, καὶ τί ἐστιν Ἰησοῦς Χριστός; καὶ κατὰ τί εἴρηται ἄνθρωπος, ὁ τοῦ Θεοῦ λόγος; εἶτα κατὰ τί κεκενῶσθαι λέγεται ὁ τοῦ Θεοῦ λόγος, καὶ πῶς εἷς ὁ Χριστός; καὶ πῶς εἷς ὁ Ἐμμανουήλ; καὶ τίνα λέγομεν εἶναι τὴν * κένωσιν: καὶ περὶ τοῦ ἄνθρακος, ὃν εἶδεν Ἡσαΐας· καὶ ἕτερα παραπλήσια τούτοις δέκα κεφάλαια. πολὺ δὲ τὸ χρήσιμον ἐνταῦθα ὁ λόγος ἔχει.

* Οὐαλέριον.

* ἕνωσιν

ΑΝΕΠΙΓΡΑΦΟΝ ΒΙΒΛΙΟΝ ΕΝ ᾧ χρήσεις ἑλληνικαὶ, καὶ βάρβαροι τῆς τῶν Χριστιανῶν πίστεως, ἐν λόγοις ιέ.

ΑΝΕΓΝΩΣΘΗ βιβλίον πολύστιχον, μᾶλλον δὲ πολύβιβλον, ἐν λόγοις μὲν ιέ, τεύχεσι δὲ έ. ἐν οἷς μαρτυρίαι δῆθεν καὶ χρήσεις ὁλοκλήρων λόγων, οὐχ ἑλληνικαὶ μόναι, ἀλλὰ καὶ περσικαὶ, καὶ θρᾴκιοι, καὶ αἰγύπτιοι, καὶ βαβυλωνικαὶ, καὶ χαλδαϊκαὶ, καὶ δὴ καὶ ἰταλοὶ, ἐκ τῶν παρ' ἑκάστοις δοκούντων λογίων κατεστράθησαν. ἃς ὁ συγγραφεὺς συμφερομένας πειρᾶται δεικνύειν τῇ τῶν χριστιανῶν ἀχράντῳ καὶ ὑπερφυεῖ καὶ θειοτάτῃ θρησκείᾳ. περί τε αὐτῆς τῆς ὑπερουσίου καὶ ὁμοουσίου τριάδος, ὡς καὶ ὑπ' ἐκείνων κηρύττεται καὶ καταγγέλλεται. περί τε τῆς ἐν σαρκὶ τοῦ λόγου παρουσίας· τῶν τε θεοσημειῶν, καὶ τοῦ σταυροῦ, καὶ τοῦ πάθους, καὶ τῆς ταφῆς, καὶ τῆς ἀναστάσεως· τῆς τε ἀναλήψεως, καὶ τῆς τοῦ παναγίου πνεύματος πυρίναις γλώσσαις ἐπιχορηγηθείσης τοῖς μαθηταῖς ὑπὲρ λόγον χάριτος· καὶ δὴ καὶ τῆς φοβερᾶς χριστοῦ τοῦ θεοῦ ἡμῶν δευτέρας παρουσίας. καὶ τῆς τῶν νεκρῶν ἀναβιώσεως, καὶ κρίσεως, καὶ ἀμοιβῆς ὧν ἕκαστος ἐν βίῳ διεπράξατο. οὐ μόνον δὲ, ἀλλὰ καὶ τῆς τοῦ παντὸς δημιουργίας καὶ προνοίας, παραδείσου τε, καὶ τῶν συστοίχων τούτοις. καὶ δὴ καὶ περὶ ἀρετῆς τῆς παρὰ χριστιανοῖς ἀσκουμένης· καὶ εἴ τι ταύτης παραπλήσιον, περὶ τούτων πάντων ἕλλησί τε καὶ αἰγυπτίοις, καὶ χαλδαίοις, καὶ τοῖς προειρημένοις πεφιλο-

Opus anonymi gentium testimonia de Christo continens.

περιλοσοφῆσθαί τε καὶ διακεκηρύχθαι ἐν ἰδίοις [αὐτῶν] τισὶ ταῦτα δεικνῦσαι συγγράμμασιν. οὐ μόνον δὲ ἀπὸ τῶν προεγχειρημένων ἀγείρει καὶ συντίθησι τὰς μαρτυρίας: ἀλλὰ καὶ ἀπὸ τῶν χειμευτικῶν Ζωσίμου λόγων. Θηβαῖος δ' ἦν οὗτος πανοπολίτης, ὃς οὐκ ἐφείσατο τὰ αὐτὰ κατασκευάζειν, ἐν οἷς καὶ ἑβραϊκῶν * λόγων ἐκτίθεται σημασίας, καὶ τῶν ἀποστόλων ἕκαστος ἔνθα τὸ σωτήριον ἐκήρυξε * μάθημα, καὶ ἐν ᾧ τόπῳ τῶν ἀνθρωπίνων πόνων ἀνεπαύσατο. ἐπὶ τέλει δὲ τῶν λόγων, καὶ παραίνεσιν ἰδίαν κατατίθεται, γνωμολογίαις τε τῶν ἔξω καὶ γραφικοῖς λογίοις ταύτην συνυφαίνων καὶ διαπιστούμενος: ἐν ᾗ μάλιστα τὸ φιλάρετον τοῦ ἀνδρὸς. καὶ τὸ εἰς εὐσέβειαν ἀδιάβλητον ἔστιν ἐπιγνῶναι. ἡ δὲ * τῶν λόγων αὐτοῦ ἰδέα, οὐκ ἀφέστηκε τοῦ μηδὲ ἰδέα εἶναι. ἥ τε γὰρ συνθήκη ἐν πολλοῖς οὕτως ἠμέληται, καὶ ἡ λέξις ἐπὶ τοσοῦτον: ὥστε μηδὲ τῶν [ἐκ] τριόδου ῥημάτων ἐνίοτε φείδεσθαι. καὶ ὁ νοῦς δὲ τῶν γραφομένων αὐτῷ πολλάκις οὐδὲν ἀμείνων. καὶ τὸν μὲν τοῦ ἀνδρὸς πόνον, καὶ τὸν σκοπὸν οὐκ ἄν τις εὐγνωμόνων ἐπιμέμφοιτο: οὐκ ἔτι δ' ὁμοίως καὶ τὸ ἔργον. οὐ ῥητὰ γὰρ μόνον ἐν πολλοῖς καὶ πολλάκις ἀνάρμοστα τοῖς ἡμετέροις θείοις δόγμασιν ἐφαρμόζειν ἐκβιάζεται: ἀλλὰ καὶ μύθους καὶ ὀνείρους, τοὺς παρ' αὐτῶν ἐκείνων τῶν τεκόντων γελωμένους, ἂν εἴγε σωφρονεῖν ἔμελλον. ὁ δὲ οὐδὲ τούτους λέγειν παραιτεῖται τῇ ἡμετέρᾳ θεοσοφίᾳ συμφέρεσθαι: ἀλλὰ καὶ σπούδει τὴν ἐν τοῖς μύθοις καὶ ὀνείροις ἀλλόκοτον ἔννοιαν εἰς τὰς ἀληθεῖς καὶ θεοπρεπεῖς καὶ οὐ παραγραπτοὺς τὰς καθαρὰς ἐννοίας τοῦ θείου δόγματος ἀνατίθεσθαι. ἐξ ὧν κέρδος μὲν οὐδ' ὁτιοῦν τῇ εὐσεβείᾳ: ἀφορμὰς δὲ λαβεῖν κατ' αὐτῆς τοῖς φιλαιτίοις οὐκ ἂν * ἀλόγως δόξῃ πορίζεσθαι. εἴγε καὶ τὰ μηδὲν προσήκοντα, ἀλλὰ καὶ ὡς πλεῖστον ἀπεμφαίνοντα ἐπιχειροῦντάς τινας τῶν ἡμετέρων ἔξεστι δεικνύειν εἰς σύστασιν τῆς ἀπροσδεοῦς καὶ μόνης καθαρᾶς καὶ ἀληθοῦς λατρείας ἡμῶν, τὰ ἐκείνων ἐκβιαζομένους καὶ ἐπιχειροῦντας εἰς συμφωνίαν ἄγειν· ἃ πλέον πρὸς τὰ ἡμέτερα, ἢ τὸ σκότος πρὸς τὸ φῶς διέστηκεν. ὑπέστη δὲ τὸν πολύμοχθον τοῦτον ὁ ἄνθρωπος πόνον, ὡς αὐτὸς πολλάκις ἐδήλωσεν, ἵνα δείξας τὸ χριστιανῶν δόγμα ἐν πᾶσιν * ἔθνεσι προκαταγγελθὲν παρὰ τῶν ἐν ἑκάστοις λογίων, καὶ προκηρυττόμενον ἀναπολογήτους ἐλέγξῃ τοὺς ἐξ ἐθνῶν, ὅσοι μὴ τῷ θείῳ προσῆλθον κηρύγματι. καὶ ὁ μὲν σκοπὸς ἐπαινετός. οὐκ ἔδει δὲ, δι' ὧν ἦν ἄπορά τε καὶ ἀπίθανα· ἀλλὰ δι' ὧν ἐνεχώρει καὶ ἡ πίστις συνείπετο τούτων παραιρεῖσθαι. τὸ μέν τοι ὄνομα τοῦ συντεταχότος ταῦτα μέχρι νῦν οὐκ ἔχομεν εἰδέναι· οὐ γὰρ ἐνεφέρετο τοῖς βιβλίοις, ὅσα εἴδομεν· πλὴν γε δὴ ὅτι κωνσταντινούπολιν ᾤκει, γυναικί τε νόμῳ γάμου συνῴκει, καὶ τοῖς ἐξ αὐτῆς αὐτῷ παισί· καὶ ὅτι μετὰ τοὺς Ἡρακλείου χρόνους τὸν βίον διήνυσεν.

* λέξεων. * κήρυγμα. * τελέσασα. * ἀλόγως. * ἔθνεσι.

philosophatos, eadémque suis ipsorum scriptis diuulgasse, ostendere nititur. Neque verò horum tantummodo testimonia congesta laudat, atque aduocat, sed & è frigidis [a] Zosimi libris petita.

Thebanus fuit hic Panopolita, qui neque argumentis eadem probare neglexit, in quibus & Hebraicarum vocum significationes exponit, & singuli, vbinam locorum Apostoli salutarem doctrinam prædicarint, quáque ratione humanis curis ac laboribus sint defuncti. Donec ad finem tandem horum librorum, suam quoque adfert admonitionem, quam gentium sententiis, ac scripturæ locis contexit, atque confirmat: in qua potissimum hominis illius cum virtutis studium, tum nulli obnoxiam calumniæ pietatem licet agnoscere.

Ad orationis verò eius ideam quod attinet, ea nulla esse posse videtur. Nam & compositio ita in plerisque neglecta est, ipsæque adeò dictiones, vt nec à triuialibus interdum verbis abstineat: & eorum item quæ scribit sententia nihilo his aliquando melior euadit. Quare etsi laborem viri, ac scopum cordatus nemo meritò reprehendat, ipsum tamen opus non perinde se habet. Non solum enim dissentanea sæpè in multis dicta diuinæ nostræ fidei accommodare nititur; verum etiam fabulas ac somnia, quæ vel ab ipsismet, qui prodiderunt scriptoribus, si quid saperent, irrideantur: quæ tamen illæ Christianæ nostræ fidei conducere adeò affirmare non veretur, vt studiosè quoque fabularum & somniorum alienum sensum in veros, pios, purósque ac sinceros diuini dogmatis sensus traducat: vnde vt emolumentum omnino nullum veræ religioni attulisse, ita criminandi occasionem cauillantibus præbuisse, non iniuria videatur. Ostendere siquidem deinceps gentes poterunt è nostris quosdam, qui ad commendandam religionem nostram (quæ sola pura est ac vera, neque vlla prætérea re opus habet) eiusmodi adhibeant, quæ nihil ad rem pertineant, quin maximam potius partem protsus aliena sint, quia res illorum conciliare cum nostris conentur, à quibus tamen nihilominus, quam à lumine tenebræ, disiunctæ sint. Subiit verò ille ingentem hunc laborem, quod ipse identidem testatur, vt ostenso, Christianorum doctrinam in omnibus gentibus prænuntiatam fuisse, & ab eloquentissimis quibusque in singulis nationibus prædicatam, inexcusabiles eos omnes inter gentes esse conuinceret, qui diuinæ non sint assensi doctrinæ. Qui quidem scopus laudandus sanè est, etsi non oportebat eum per dubia & incredibilia confici, sed per ea tantùm, quorum & facultas eiusmodi esset, & quæ fidem inuenirent.

Eius autem qui hæc volumina collegit, nomen cognoscere ad hanc diem non potui. (Nec enim libri, quos vidimus, id præferebant) illud tantùm Constantinopoli se cum vxore ac liberis ex ea susceptis habitare, atque post Heraclij tempora vixisse ostendit.

[a] De cuius historia Phot. sup. Cod. XCIIX.

EVSTRAT.

EVSTRATII MAGNÆ ECCLES. PRESB.

De vita functorum animis, tractatus III.

CLXXI.

CHRYSIPPI HIEROSOLYMORVM PRESB.

Historia de Gamaliele & Nicodemo.

LEGIMVS librum EVSTRATII magnæ Ecclesiæ Presbyteri, qui oratione quidem visus est minimè laudabili, sed argumentis non admodum culpadis: & dictio ipsa perspicua est. Tria potissimum illi proposita. Primū quidem, beatorum animas, mox vt corpore solutæ sint, operari. nec beatorum dumtaxat, sed & omnino, prout quisque meritus sit, omnium hominum. Animas illas, quæ multis sæpenumero sese, variisque modis conspiciendas offerunt, in sua quamque natura apparere, nequaquam verò diuinam virtutem in formas sanctarum animarum traductam operationes illas exhibere. Quid enim fingere attinet seu formas, seu figuras, cùm promptius ea possint [à] sanctis illis animis, quæ numini visa sunt, perfici. Quod quidem vtrumque caput cùm veteris ac noui Testamenti locis, tum verò diuersorum Patrum testimoniis confirmare nititur. Tertium denique caput hoc studiosè persequitur, [a] oblata pro iis, qui in fide obierant à sacerdotibus sacrificia, atque donaria, vel preces alioquin, supplicationésque, & eleemosynas, pro iisdem factas ad fidelium salutem, ac delictorum remissionem iis valere omnino, pro quibus hæc offerantur. In his autem tertia offerre sacra refert, qui dominicæ ac triduanæ resurrectionis mysterium in precationis subsidium atque auxilium adsumant. Nouendialia similiter, quòd post octauum à resurrectione diem visus iterum est à discipulis CHRISTVS. Præterea quadraginta, quòd post dies totidem à discipulis postremum visus, in cœlos cum humana nostra natura ascendit.

[a] Antiquum hic tunc morem nota, vita functos sacrificiis, precibus, atque eleemosynis iuuandi. De quo & S. Ioann. Damasceni extat oratio in qua etiam tria hæc sacrificandi interualla obseruari olim solita video.

CHRYSIPPI HISTORIÆ.

REPERI quoque in eodem illo codice, Pauli in lege magistrum Gamalielem, & credidisse, & baptizatum fuisse. Nicodemum item nocturnum (quondam) amicum, diurnum etiam redditum, martyrióq; coronatum, quem & Gamalielis patruelem hæc testatur historia. Baptizatum verò vtrumque à Ioanne, & Petro, vnà cum Gamalielis filio, cui Abibo nomen. Beatum igitur Nicodemum à Iudæis, cùm baptizatum eum inaudisset, plagis multis percussum; quas cùm fortiter ipse tolerasset, è vita post non diu decessisse. Hanc codex iste continebat historiam, eámque *Chrysippo* adscribebat, Hierosolymorum Presbytero, qui in laudatione Theodori Martyris, quasi aliud agens, Luciani cuiusdam meminit, eiusdem æquè Ecclesiæ Presbyteri, quo tempore Ioannes Præsul eam sedem tenuit.

Hic [b] Lucianus nocte quadam, hora ferè tertia, reuera non in somnis, dicitur ea, quæ diximus, didicisse. Hæc enim astantem ipsi Gamalielem omnia reuelasse: verum nimirum esse se Gamalielem, à supradictis Apostolis, vnà cum Abibo filio baptizatū, & in eadē capsa collocatū.

[b] Cuius & de hac ipsa re epistola extat encyclica. Vide Sur. tom. 4. & D. Baron. tom. 5. ad annum Christi 415. & Mar. Martyr. III. Augusti.

ΕΥΣΤΡΑΤΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ

μεγάλης ἐκκλησίας, περὶ τριῶν τινῶν κεφαλαίων διάληψις.

ΧΡΥΣΙΠΠΟΣ ΠΡΕΣΒΥΤΕΡΟΣ

Ἱεροσολύμων περὶ τοῦ Γαμαλιὴλ καὶ Νικοδήμου.

ΑΝΕΓΝΩΣΘΗ βιβλίον Εὐστρατίου πρεσβυτέρου τῆς μεγάλης ἐκκλησίας, φράσει μὲν συγκείμενον οὐκ ἐπαινετῇ, λογισμοῖς δὲ οὐ λίαν ψεκτοῖς. σαφὴς δ' ὁ λόγος. ἡ δὲ πρόθεσις τῷ ἀνδρὶ τρία ταῦτα * συστῆσαι. ἓν μὲν ὅτι μετὰ τὴν * ἀπαλλαγὴν τοῦ σώματος, αὐτίκα ἐνεργοῦσιν αἱ τῶν ἁγίων ψυχαί. οὐ μόνον δὲ τῶν ἁγίων, ἀλλὰ καὶ ἁπλῶς κατὰ τὴν οἰκείαν ἑκάστη ἀξίωσιν, πᾶσα ἀνθρωπίνη ψυχή. καὶ ὅτι ἐπιφαινόμεναι πολλοῖς πολλάκις καὶ κατὰ διαφόρους τρόπους αἱ ψυχαί, αὐταὶ κατ' ἰδίαν ὕπαρξιν ἐπιφαίνονται· ἀλλ' οὐχὶ δύναμις θεία, εἰς τύπους σχηματιζομένη τῶν ἁγίων ψυχῶν, τὰς ἐνεργείας ἐπιδείκνυσι. τί γὰρ ὑποκρίσεως δεῖ, καὶ σχημάτων καὶ τύπων; ἐνὸν ἑτοιμότερον ἐκείνων τῶν ἁγίων ψυχῶν τὰ δεδογμένα τῷ κρείττονι ἐπιτελεῖσθαι. πειρᾶται δὲ ἑκάτερον τῶν εἰρημένων κατασκευάζειν, ἔκ τε χρήσεων τῆς παλαιᾶς γραφῆς καὶ τῆς νέας, καὶ δὴ καὶ μαρτυρίαις διαφόρων πατέρων. τρίτον δὲ αὐτῷ κεφάλαιον σπουδάζεται, ὅτι πάντως αἱ ὑπὲρ τῶν ἐν πίστει τελευτώντων τοῖς ἱερεῦσιν ἐπιτελούμεναι θυσίαι καὶ προσφοραί, ἢ ἄλλως δεήσεις καὶ ἱκεσίαι καὶ ἐλεημοσύναι ὑπὲρ αὐτῶν, περὶ τῶν πασῶν ἐλευθερίαν καὶ πταισμάτων ἄφεσιν καταπράττονται τοῖς ὑπὲρ ὧν ἐπιτελεῖται ταῦτα. ἐν οἷς καὶ τὰ τρίτα μὲν ἐπιτελεῖσθαί φησι, λαμβάνοντας τὸ μυστήριον τῆς δεσποτικῆς καὶ τριημέρου ἐγέρσεως, εἰς συνεργίαν καὶ ἐπιβοήθειαν τῆς ἱκεσίας. τὰ δὲ ἔννατα, ὡσαύτως * καθ' ἡμέρας ὀκτὼ τῆς ἐγέρσεως ὤφθη τοῖς μαθηταῖς ὁ δεσπότης τὸ δεύτερον, τὰ δὲ * τεσσαράκοντα ὁμοίως, ὅτι μετὰ τοσαύτας ἡμέρας τὸ τελευταῖον τοῖς μαθηταῖς ὀφθείς, μετὰ τοῦ ἡμετέρου φυράματος ἀνελήφθη.

Εὗρον δὲ ἐν τῷ δὲ τῷ βιβλίῳ καὶ τὸν τοῦ Παύλου κατὰ τὸν νόμον διδάσκαλον Γαμαλιὴλ, καὶ πιστεύσαντα, καὶ βαπτισθέντα. καὶ Νικόδημον τὸν νυκτερινὸν φίλον καὶ ἡμερινὸν γεγονότα, καὶ μαρτυρίῳ τελειωθέντα: ὃν καὶ ἀνεψιὸν γενέσθαι τοῦ Γαμαλιὴλ, ἡ ἱστορία διδάσκει. βαπτισθῆναι δὲ ἑκάτερον ὑπὸ Ἰωάννου καὶ Πέτρου· οὐ μόνον δὲ, ἀλλὰ καὶ τὸν Γαμαλιὴλ παῖδα, Ἀβιβος ὄνομα αὐτῷ. τὸν γοῦν μακάριον Νικόδημον, ἐπεὶ * ἐπύθοντο Ἰουδαῖοι βαπτίσασθαι, διὰ τοῦτο πληγαῖς πολλαῖς ὑπέβαλον. αἷς στερρῶς ἐναθλήσας, μετ' ὀλίγον ἐτελειώθη. ταύτην τὴν ἱστορίαν περιεῖχε τὸ βιβλίον· Χρυσίππῳ δὲ αὐτὴν ἀνετίθει. πρεσβύτερος δ' ὁ Χρύσιππος Ἱεροσολύμων: ὃς γράφων ἐγκώμιον εἰς τὸν μάρτυρα Θεόδωρον, ὡς ἐν παρεκβάσει Λουκιανοῦ τινος μέμνηται, καὶ αὐτοῦ τῆς αὐτῆς ἐκκλησίας, Ἱεροσολύμων χρηματίσαντος πρεσβυτέρου, ὅτε Ἰωάννης τῆς ἐκεῖσε ἀρχιερωσύνης προειστήκει. οὗτος δ' ὁ Λουκιανὸς ἐν μιᾷ τῶν νυκτῶν, περὶ τρίτην ὥραν, καθ' ὕπαρ, ἀλλ' οὐκ ὄναρ, λέγεται τὰ προειρημένα μυηθῆναι. ἐπιστάντα γὰρ αὐτῷ τὸν Γαμαλιὴλ, ταῦτα ἐμφανίσαι. ὡς εἴη μὲν αὐτὸς Γαμαλιὴλ: καὶ ὡς ἐβαπτίσατο, καὶ ὑφ' ὧν: εἴη δὲ καὶ Ἀβιβος ὁ παῖς καὶ ὡς θήκῃ μὲν μιᾷ ἐναποτέθειται.

ἔσι δὲ

Eustratij magnæ ecclesiæ presbyteri liber.

* συστῆναι. * ἀπαλλαχῆ.

* μεθ' ἡμέρας.

* τεσσαρακοστά.

Gamaliel. Nicodemus.

* ἐπύθοντο.

Lucianus Presbyter Hierosol.

ἔστι δὲ καὶ Στέφανος ὁ πρῶτος μάρτυρ, κατὰ τὴν ἀνατολικὴν τεθησαυρισμένος θήκην· ὑπὸ δὲ τοὺς πόδας ἐν ἑτέρᾳ θήκῃ Νικόδημος· ὅσα τε πάθοι, καὶ ἐφ' οἷς, καὶ ὑπὸ τίνων. ἡ δὲ μετὰ ταῦτα θήκη, αὐτόν τε καὶ τοῦ παιδὸς ἔχει. ταῦτα εἰπόντα τὸν Γαμαλιὴλ, ἐπισκῆψαι τῷ Λουκιανῷ, μὴ ἀμελεῖν ἔτι τῶν λειψάνων· μηδὲ ἐᾶν ἡλίῳ καὶ ὄμβροις διαφθείρεσθαι. σεισμόν τε γενέσθαι σύνδρομον τῇ ὀπτασίᾳ, καὶ πολλὰς πολλῶν νοσημάτων ἰάσεις ἐπιτελεσθῆναι· τῆς πρωτομάρτυρος μάλιστα τῆς θήκης τὰ ἰάματα προσεχούσης.

CHRYSIPPI HIST.

Esse & Stephanum protomartyrem in theca Orientem versus conditum, atque ad eius pedes in altero scriniolo Nicodemum iacere, quæ item per quos, & sub quibus passus esset, indicauit: thecamque post hæc proximam suum ac filij corpus continere. His dictis Gamalielem præcepisse Luciano, ne posthac reliquias illas in Sole, & pluuia corrumpi per negligentiam sineret. Terræ motum insuper ad hoc visum exortum, multáque plurimorum genera morborum hic curata esse, Protomartyris maximè theca medelam adferente.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ὁμιλίαι εἰς τὴν γένεσιν ξα´, ἐν τεύχεσι τρισίν.

ροβ´. ρογ´. ροδ´.

Io. Chrysostomi homilia LXI. in Genesin.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ τοῦ Χρυσοστόμου ὁμιλίαι εἰς τὴν γένεσιν ἑξήκοντα καὶ μία, ἐν τεύχεσι τρισίν. ὧν τὸ μὲν πρῶτον ὁμιλίας περιεῖχεν εἴκοσι, τὸ δεύτερον δὲ ἑκκαίδεκα, καὶ τὸ τρίτον κε´. ἐμφαίνεται δὲ ἐν τῷ πρώτῳ, ὡς ἀπ' ἀρχῆς τῆς τεσσαρακοστῆς ἀρξάμενος ὁμιλεῖν, μήπω συναπαρτισθείσης αὐτῆς, τούς τε εἴκοσι λόγους τούτους, καὶ ἄλλους τινὰς τρεῖς ἢ τέσσαρας, μεταξὺ τῶν εἰς τὴν γένεσιν λόγων, χρείας (ὡς εἰκὸς) παρεμπεσούσης τῷ λαῷ προσωμίλησεν. ἔπεστι δὲ συνιδεῖν, ὡς εἰ καὶ λόγοι ἔχει τὴν ἐπιγραφὴν τὸ βιβλίον· οὕτω γὰρ εὗρον ἐν οἷς ἀνέγνων· ἀλλὰ μᾶλλον ἐοίκασιν ὁμιλίαις, τά τε ἄλλα, καὶ ὅτι ἐν πολλοῖς πολλάκις ὡς παρόντας [καὶ] ὁρῶν τοὺς ἀκροατὰς, οὕτω πρὸς αὐτοὺς ἀποτείνεται, καὶ ἐρωτᾷ, καὶ ἀποκρίνεται καὶ ὑπισχνεῖται: δυνάμενος μὲν, καὶ ἄλλως ἔχοντος τοῦ λόγου, καὶ οὐ καθ' ὁμιλίαν, τὰ τοιαῦτα σχηματίζειν καὶ ἐνδείκνυσθαι. οὐ μὴν ἀλλὰ τὸ συνεχῶς καὶ ἐπιμόνως τοῦτο ποιεῖν, καὶ ἤδη σὺν οἰκονομίᾳ τινὶ παρίστησιν ὁμιλίας αὐτὰς εἶναι. ὡμίλει δὲ ταύτας τῷ πλήθει, ὡς ἔστι μαθεῖν ἐξ αὐτῶν τούτων· πολλάκις μὲν καθ' ἑκάστην, ἔσθ' ὅτε δὲ καὶ παρ' ἡμέραν. ἔστι μὲν τὸ πρῶτον βιβλίον, ἐν ᾧ καὶ κ´, ὁμιλίαι: τὸ δ' ἕτερον βιβλίον, ἔχον ἑκκαίδεκα λόγους, τοὺς μὲν πρώτους ἑπτὰ ἔτι τῆς τεσσαρακοστῆς ἐνισταμένης ὑπεδήλου καθομιληθῆναι. ὡς εἶναι τοὺς δι' ὅλης αὐτοῦ τῆς τεσσαρακοστῆς, μέχρι τῆς μεγάλης τετράδος, τῶν εἰς τὴν γένεσιν λόγους κζ´. οἱ δὲ ὑπόλοιποι λόγοι ἐννέα τοῦ δευτέρου βιβλίου, καὶ οἱ λοιποὶ κε´ τοῦ τρίτου, οὐκ εὐθὺς ὡμιλήθησαν, οὐδὲ συνεχῶς μετὰ τὸ πάσχα. μετὰ γὰρ τὴν ἐν τῇ μεγάλῃ τετράδι ὁμιλίαν, ἥτις ἦν τῶν εἰς τὴν γένεσιν κζ´, ὡμίληται τῇ ἐφεξῆς εἰς τὸν σταυρόν. εἶτα εἰς τὴν προδοσίαν, καὶ λοιπὸν ἐφεξῆς, κατὰ τὰς ἀνακυπτούσας τῶν ἡμερῶν πανηγύρεις τε καὶ ὑποθέσεις ἀνάλογοι αἱ ὁμιλίαι *ἐγίνοντο. καὶ μετὰ τὰς περὶ ἀναστάσεως ὁμιλίας, ὡμίλησεν εἰς τὰς πράξεις συνεχῶς, ὡς αὐτὸς ἐκεῖνος ἀρχόμενος τοῦ εἰκοστοῦ ὀγδόου λόγου τῶν εἰς τὴν γένεσιν ἐπισημαίνεται· δι' ὧν, ὡς δῆλον, καὶ τὰς ἄλλας αὐτοῦ μετὰ πολὺν χρόνον προσωμίλησεν. αἱ γὰρ εἰς τὰς πράξεις ὁμιλίαι πεντήκοντα μέν εἰσι, σχεδὸν δὲ δι' ὅλου αὐτοῦ τοῦ ἐνιαυτοῦ ἐρρήθησαν· οὐ γὰρ καθ' ἡμέραν ταύτας, ἀλλὰ καὶ παρὰ πέντε καὶ παρ' ἑπτὰ [illegible]

* ἐγίνοντο.

Io. Chrys. homi. homilia L. in Acta.

CLXXII. CLXXIII. CLXXIV.

B. IOANNIS CHRYSOSTOMI *Homiliarum in Genesim, volumina III.*

LEGIMVS CHRISOSTOMI *in Genesim Homilias vnam & sexaginta: in tria distributas volumina*: quorum primum quidem viginti alterum deinde sexdecim: Tertium quinque & viginti continebat. Significat autem in horum primo, Quadragesimæ statim initio concionari cœpisse, atque ante ieiunij tempus illud decursum, viginti hos sermones vnà cum aliis item tribus quatuorve, in medio concionum in Genesim (vsu ita, vt apparet, veniente) interiectis, ad populum declamitasse. Animaduertas quoque, etsi *Orationum* nomen præferant hi libri (sic enim in iis reperi exemplaribus, quæ legi) homiliis tamen similes magis esse, cum cæteris rebus, tum quod sæpenumero tanquam præsentes respiciens auditores, sermonem ad eos conuertit, interrogat, respondet; ac pollicitationibus vtitur. Et vt possit maximè alio in dicendi genere, quàm homiliarum isto, similia formare atque exhibere, quia tamen illud assiduè constanterque sine vllo dispositionis ordine seruat, homilias illas esse satis supérque declarat. Habuit autem eas ad populum, vt ex singulis deprehendas, sæpe quotidiè, interdum alternis. Ita se primum hoc viginti homiliarum volumen habet. Alterum deinde sedecim orationes complectitur. quarum priores septem durante adhuc Quadragesima habitas apparet, vt totius Quadragesimæ tempore vsque ad hebdomadis sanctæ feriam quartam, viginti septem in Genesim orationes habuisse constet. Neque verò secundi voluminis sermones reliqui nouem, & Tertij viginti quinque, statim atque continenter post Pascha habiti. Nam post Homiliam feria quarta maioris hebdomadis habitam; quæ in Genesim septima est atque vicesima, concionatus est deinceps de Sancta Cruce; hinc de proditione Iudæ: atque ita ordine prout festi dies, siue argumenta inciderunt, homiliæ quoque aptatæ sunt. Iam post resurrectionis homilias in Apostolorum acta continenter verba fecit, quemadmodum ipse octauam supra vicesimam, quæ sequitur in Genesim orationem auspicatus ostendit, quam vt apparet, cùm reliquis [huius argumenti] longo post tempore habuit. Quinquaginta enim illis in Acta homiliis recitandis vnum fermè annum insumpsit, cum non quotidie vnam, sed quinto tantùm aut septimo die,

CHRYSOST. & aliquando rarius etiam eas recitarit: & quidem, vt ipsemet tradit, cum tertium iam annum præsul esset. Quas verò in Genesim scripsit, quo sint tempore habitæ, non potui cognoscere. Tantum si illas à se habitas homilias sermone illo XXVIII meminit, quas tertio episcopatus anno composuit: neque de aliis quàm in Acta scriptis, ibi mentionem facit (quod equidem hactenus non potui deprehendere) Præsul nimirum cùm esset, etiam has contexuerit: viginti quidem & septem secundi anni Quadragesima, cæteras dein triginta quatuor, anno quarto.

Dictio hic illius de more perspicua & pura, splendida insuper, ac fluens apparet, multam interim cum sensuum varietatem, tum gratissimorum exemplorum copiam exhibens. In humile tamen hic dicendi genus dictio pronior tanto est eâ, quâ in homiliis in Acta Apostolorum vtitur, inferior, quanto hæc à commentariis in Apostolum ac Psalmos superatur. Cum enim vbique orationem puram, illustrem ac benè dispositam non sine voluptate artificiosè contexat: in his maximè scriptis virtutibus illis, exemplorúmque vbertate, atque enthymematum copia, & cum ita opus est, etiam grauitate excellit. Quin, vt semel dicam, verbis hæc monumenta, compositione, methodo, sensibus, & id genus apparatu, præstantissimè exornata edidit.

Cæterum quænam in Apostoli epistolas Antiochiæ dum ageret, elaborauerit, & accuratiora quidem illa, quæ item Præsul conscripserit, ex illis ipsis facilè potest dignosci. Quæ autem ad historiam Commentariorum in Psalmos pertinent, cognoscere nondum licuit, nisi quis fortè vim, aliásque dicendi virtutes suspiciens, otiosum illa potius, quàm publicis immersum negotiis, elaborasse affirmet.

Quod sicubi sententiarum aliquæ, seu interpretationis, seu profundioris indagationis indigebant, neque tamen diligenter satis eas explanauit, mirum id minimè videri debet. Quæcunque enim auditorum captui accommodata essent, atque ad eorum salutem & vtilitatem pertinerent, ea neutiquam ille prætermittebat. Quamobrem neque admirari sanctissimum virum satis vnquam possum, quòd perpetuò in omnibus suis scriptis auditorum ita vtilitatem, tanquam scopum præfixisse sibi videatur, vt cætera vel omnino neglexerit, vel leuissimè attigerit. Sed & illud penitus præ auditorum vtilitate contempsit, quod alicui vel sensus aliquos ignorasse, vel ad profundiora quædam penetrare refugisse, vel id genus alia prætermisisse, videri posset.

καὶ πλείω καθωμίλει. ὡς δῆλον αὐτὸς ποιεῖ, ὅτι ἀρχιερατεύων κατὰ τὸ τρίτον ἔτος ὡμίληκε. τὰς δὲ εἰς τὴν Γένεσιν οὐκ ἔχομεν γνῶναι, ὁπότε ὡμίλησε. πλὴν εἰ ἐκείνων μέμνηται τῶν ὁμιλιῶν ἐν τῷ κη' λόγῳ ὁμιλήσας, ὡς διὰ τοῦ τρίτου ἔτους τῆς ἀρχιερωσύνης αὐτοῦ ἐξειργάσατο. ἀλλὰ μὴ ἑτέρων τινῶν * περὶ ταύτας· οὔπω γὰρ τοῦτο ἔγνων· δηλονότι καὶ ταύτας ἀρχιερατεύων κατεσκεύασε. Τὰς μὲν κζ', τῇ τεσσαρακοστῇ τοῦ δευτέρου ἔτους: τὰς δὲ λοιπὰς λδ'. ἐν τῷ τετάρτῳ ἔτει. Ἡ δὲ φράσις * αὐτοῦ μετὰ τῆς συνήθους σαφηνείας καὶ καθαρότητος καὶ τὸ λαμπρὸν καὶ εὔρουν ἐνδείκνυται, τὸ πολύχουν τῶν νοημάτων, καὶ τὴν τῶν παραδειγμάτων * προσφυεστάτην εὐπορίαν συνυποφαίνουσα. ἠλάττωται δὲ ὅμως τῆς ἐν ταῖς πράξεσι φράσεως ἐπὶ τὸ ταπεινότερον ἀπενηνεγμένη· ὅσον τῶν εἰς τὸν ἀπόστολον ἑρμηνειῶν· καὶ ἔτι τῶν εἰς τὸν ψαλτῆρα ὑπομνημάτων ἡ ἐν ταῖς πράξεσιν ὑπολείπεται. πανταχοῦ γὰρ τοῖς λόγοις αὐτοῦ τὸ καθαρὸν καὶ λαμπρὸν, καὶ εὐκρινὲς, μετὰ τοῦ ἡδέως τεχνουργῶν, τούτοις τε ἐνταῦθα μάλιστα διαπρέπει καὶ τῇ τῶν παραδειγμάτων εὐπορίᾳ, καὶ τῇ τῶν ἐνθυμημάτων ἀφθονίᾳ, καὶ (εἴ που δέοι) καὶ δεινότητι· καὶ ἁπλῶς ἔν τε λέξει, καὶ συνθήκῃ, καὶ μεθόδῳ, καὶ νοήμασι, καὶ τῇ * ἄλλῃ κατασκευῇ, ἄριστα τὰς δὲ τὰς συγγραφὰς ὑπεστήσατο. ἀλλὰ τὰς μὲν εἰς τὸν ἀπόστολον ἔστιν ἐξ αὐτῶν ἐκείνων ἐπιγνῶναι, ποῖαί τε αὐτῶν ἐν Ἀντιοχείᾳ διατρίβοντι ἐξεπονήθησαν, αἳ καὶ μᾶλλον διηκρίβωνται: καὶ ποῖαι ἀρχιερατεύοντι ἐποιήθησαν. Τὰς δὲ εἰς τοὺς ψαλμοὺς, οὔπω ἔχομεν [ὅσον] καθ' ἱστορίαν γνῶναι· πλὴν εἴ τις τὴν δύναμιν καὶ τὴν ἄλλην ἀρετὴν τοῦ λόγου θαυμάζων, σχολάζοντα αὐτὸν μᾶλλον, ἀλλ' οὐ πράγμασι κοινοῖς ἐνστρεφόμενον ταύτας φαίη ἐξεργάσασθαι. εἰ δέ τινα τῶν ῥητῶν, ἢ ἑρμηνείας, ἢ βαθυτέρας θεωρίας δεόμενα, οὐκ ἐπιμελῶς ἐπεξῆλθεν: οὐ δεῖ θαυμάζειν. ὅσα γὰρ ἡ τῶν ἀκροατῶν ἐχώρει δύναμις, καὶ εἰς τὴν ἐκείνων συνέτεινε σωτηρίαν καὶ ὠφέλειαν, οὐδὲν οὐδαμοῦ παρῆκε. διό μοι καὶ ἀεὶ θαυμάζειν ἔπεισι τὸν τρισμακάριστον ἄνθρωπον ἐκεῖνον, ὅτι ἀεὶ καὶ ἐν πᾶσιν αὐτοῦ τοῖς λόγοις τοῦτο σκοπὸν ἐποιεῖτο, τὴν ὠφέλειαν τῶν ἀκροατῶν: τῶν δ' ἄλλων ἢ οὐδ' ὅλως ἐφρόντιζεν, ἢ ὡς ἐλάχιστον. ἀλλὰ καὶ τοῦ δόξαι λαθεῖν αὐτὸν ἔνια τῶν νοημάτων, καὶ τοῦ πρὸς τὰ βαθύτερα μὴ ἐφικέσθαι παρεισδύειν, καὶ εἴ τι τοιοῦτον ὑπὲρ τῆς τῶν ἀκροωμένων ὠφελείας παντάπασιν ὠλιγώρει.

Marg.: * περὶ. * αὐτοῦ. * σπρεπεστάτων. * ἅμα
Io. Chrysostomi Commentarius in epistolas D. Pauli & Psalmos.

PAMPHILÆ Historia Miscella libri VIII.

CLXXV.

Lecti sunt a Pamphilæ mistarum historiarum libri commentarij b octo. Vixit hæc c viro nuptui data, vt ipsa operis initio præfatur: cum quo coniuge annos ipsos tredecim à pubertate coniuncta fuit, & hoc opus meditari cœpit atque conscribere.

a Pamphiles huius (sed eam Epidauriam dicens) scripta refert Suidas, & Agell. lib. 15. c. 17. Commentariorum Pamphila 29. laudat. Supráque Cod. 161. Epitomarum eius libri decē referuntur.
b Suidas XXXIII. numerat.
c Socratida vocatur Suid. in Pamphila: siue Soterida, vt idem in hac voce scripsit.

ΠΑΜΦΙΛΗΣ ΣΥΜΜΙΚΤΩΝ ἱστορικῶν ὑπομνημάτων λόγοι η'.

ρο'.

Ἀνεγνώσθησαν Παμφίλης συμμίκτων ἱστορικῶν ὑπομνημάτων λόγοι ὀκτώ. αὕτη ἀνδρὶ μὲν συνῴκει, ὡς καὶ * αὐτὴ τῶν ὑπομνημάτων προοιμιαζομένη ἐπισημαίνεται· ᾧ καὶ τρισκαίδεκα ἔτη ἐκ παιδὸς συμβιοῦσα ἤδη, τῆς ὑπομνηματικῆς ταύτης συγγραφῆς λέγει ἀπάρξασθαι

Pamphila historiarum miscella.
* αὐτή.

συγγράψαι

PAMPHILA.

συγγράψαι δὲ ἅ τε παρὰ τοῦ ἀνδρὸς μάθοι, τρισκαίδεκα ἔτη συνεχῶς αὐτῷ συνούσης, καὶ μήθ' ἡμέραν μήθ' ὥραν ἀπολειπομένης· καὶ ἃ παρ' ἄλλου τινὸς ἀκοῦσαι συνέβη, τῶν παρ' αὐτὸν ἀφικνουμένων, * πολλῶν ὄντων, καὶ ὄνομα καὶ δόξαν ἐχόντων ἐπὶ παιδείᾳ· καὶ δὴ καὶ ὅσα βιβλίοις αὐτὴ ἀνελέξατο. ταῦτα δὲ πάντα καὶ μνήμης αὐτῇ ἄξια ἐδόκει, εἰς ὑπομνήματα συμμιγῆ, καὶ οὐ πρὸς τὰς ἰδίας ὑποθέσεις διακεκριμένον ἕκαστον δηλοῦν, ἀλλ' ἤτοι εἰκῇ καὶ ὡς ἕκαστον ἐπῆλθεν ἀναγράψαι· ὡς οὐχὶ χαλεπὸν ἔχουσά φησι τὸ κατ' εἶδος αὐτὰ διελεῖν, ἐπιτερπέστερον δὲ καὶ χαριέστερον, τὸ ἀναμεμιγμένον, καὶ τὴν ποικιλίαν τοῦ μονοειδοῦς νομίζουσα. χρήσιμον δὲ τὸ βιβλίον εἰς πολυμάθειαν. εὕροι γὰρ ἄν τις καὶ τῶν ἱστορικῶν οὐκ ὀλίγα ἀναγκαῖα, καὶ δὴ καὶ ἀποφθεγμάτων, καὶ ῥητορικῆς [καὶ] διεξόδους ἔνια, καὶ φιλοσόφου θεωρίας, καὶ ποιητικῆς ἰδέας, καὶ εἴ τι τοιοῦτον ἐμπέσοι. αἰγυπτία δὲ τὸ γένος ἡ Παμφίλη. ἤκμασε δὲ, καθ' οὓς χρόνους [ὁ] Νέρων ὁ ῥωμαίων ἤκμασεν αὐτοκράτωρ. ἡ δὲ φράσις (ὡς ἔστιν ἐκ τῶν προοιμίων συλλαβεῖν, καὶ ἐν οἷς ἀλλόθι που ἴδιόν τι λέγει, καὶ μάλιστα κατὰ τὴν διάνοιαν, οἷα δὴ γυναικὸς ἔχοντος ὄντα) τοῦ ἀφελοῦς ἐστιν ἰδέας, οὐδὲ τῇ λέξει πρὸς τὴν ἰδέαν ἀλλοτριουμένη· ἐν οἷς δὲ τὰ τῶν ἀρχαιοτέρων ἀπομνημονεύουσα λέγει, ποικιλωτέρα αὐτῇ, καὶ οὐ καθ' ἓν εἶδος σύγκειται ὁ λόγος.

* al. πολλῶν δὲ ... ἐχόντων.

Scripsit autem, tum quæ ex viro didicit, cum quo tredecim, vt diximus, annos coniunctissimè vixit, nullo interim die aut hora otiosè transacta: tum ea quæ ab aliis accepisset, qui mariti domum plurimi frequentarent, nomine & doctrinæ gloria claris: tum deniq; quidquid legendo ipsa obseruasset. Hæc omnia, & quæcunque memoria digna visa sunt, in Commentarium per saturam retulit, & non per proprios singula locos distribuit, sed vt quódque visum est, vtque occurrebat, congessit. non quòd difficile futurum ipsi esset in suas quæque classes diuidere, sed quod iucundius longéque gratius miscellaneum hoc scriptum, varietatémque, quam generis vnius opus existimaret. Vtilis sanè liber hic omnigenæ doctrinę. Reperias enim in eo historica non pauca bene necessaria, immò & scitè dicta. Rhetorica etiam ac philosophicæ contemplationis quædam, & poëticæ facultatis formas, & si quid huiusmodi fortè se offerat.

Ægyptia genere Pamphila hæc fuit, floruitque ea tempestate, cùm Nero Romanorum imperium Cæsar tenuit. Dictio verò (quantum ex proœmio colligere licet, cúmque proprium quid affert, & maximè in sensu) vt mulieris propria, simplicis est formæ, ac ne verbis quidem ipsis ab idea sit alienior. At quoties veterum dicta commemoranda colligit; varia eius oratio est, neque vni formæ accommodata.

ρος'. ΘΕΟΠΟΜΠΟΥ ΛΟΓΟΙ ἱστορικοὶ γ' καὶ ν'.

Theopompi historia.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Θεοπόμπου λόγοι ἱστορικοί. πεντήκοντα δὲ καὶ τρεῖς εἰσιν οἱ σωζόμενοι αὐτοῦ τῶν ἱστορικῶν λόγοι. διαπεπτωκέναι δὲ καὶ τῶν παλαιῶν τινες ἔφησαν τήν τε ἕκτην καὶ ἑβδόμην, καὶ δὴ καὶ τὴν ἐννάτην καὶ εἰκοστὴν, καὶ τὴν τριακοστήν. ἀλλὰ ταύτας μὲν οὐδ' ἡμεῖς εἴδομεν. Μηνοφάνης δέ τις τὰ περὶ Θεόπομπον διεξιὼν ἀρχαῖος δὲ καὶ οὐκ ἀνεπιτήδειος ὁ ἀνὴρ καὶ τὴν δωδεκάτην συνδιαπεπτωκέναι λέγει. καί τοι αὐτὴν ἡμεῖς ταῖς ἄλλαις συνανέγνωμεν. καὶ περιέχει ὁ δωδέκατος λόγος περί τε Πακόρου τοῦ αἰγυπτίων βασιλέως, ὡς πρὸς τε τοὺς * βαρκαίους ἐσπείσατο, καὶ ὑπὲρ Εὐαγόρου ἔπραττε τοῦ κυπρίου, ἐναντία πράττων τῷ Πέρσῃ· ὅν τε τρόπον * παραδόξως Εὐαγόρας τῆς κυπρίων ἀρχῆς ἐπέβη, Αὐδύμονα καθελὼν τὸν κιτιέα, ταύτης ἐπάρχοντα. τίνα δὲ τρόπον ἕλληνες οἱ σὺν Ἀγαμέμνονι τὴν κύπρον κατέσχον, ἀπελάσαντες τοὺς μετὰ Κινύρου, ὧν εἰσιν ὑπόλοιποι Ἀμαθούσιοι. ὅπως τε ὁ βασιλεὺς Εὐαγόρᾳ συνεπείσθη πολεμῆσαι, στρατηγὸν ἐπιστήσας Αὐτοφραδάτην τὸν λυδίας ἐξατράπην, ναύαρχον δὲ Ἑκατόμνων. καὶ περὶ τῆς εἰρήνης, ἣν αὐτὸς τοῖς ἕλλησιν ἐβράβευσεν. ὅπως τε πρὸς Εὐαγόραν ἐπιμελέστερον ἐπολέμει, καὶ περὶ τῆς ἐν κύπρῳ ναυμαχίας. καὶ ὡς ἀθηναίων ἡ πόλις ταῖς πρὸς βασιλέα συνθήκαις ἐπειρᾶτο ἐμμένειν· λακεδαιμόνιοι δὲ ὑπέρογκα φρονοῦντες, παρέβαινον τὰς συνθήκας. τίνα τε τρόπον τὴν ἐπὶ Ἀνταλκίδου ἔθεντο εἰρήνην, καὶ ὡς * Τείβαζος ἐπολέμησεν· ὅπως τε Εὐαγόρᾳ ἐπεβούλευσεν· ὅπως τε αὐτὸν Εὐαγόρας πρὸς βασιλέα διαβαλὼν, συνέβαλε μετ' * Ὀρόντου,

* al. Βαρβαίους.
* παρὰ δόξαν.
* Τιρίβαζος.
* Ὀρόντα.

CLXXVI. THEOPOMPI *Historiarum libri* LIII.

LEGIMVS [a] THEOPOMPI *opus historicum librorum trium & quinquaginta*: qui [b] reliqui sunt. Intercidisse verò sextum, septimum, & nonum, vicesimum, atque tricesimum, etiam veteres quidam affirmarunt: neque sane mihi videre hosce contigit. Menophanes autem, vetus & ipse, minimèque contemnendus auctor, vbi de Theopompo disserit, duodecimum quoque periisse scribit, quem tamen nos cum aliis legimus.

Narrat duodecimus hic liber res gestas [c] Pacoridis Ægyptiorum regis, vt cum Barcæis fœdus inierit, & pro Euagora Cyprio aduersus Persas steterit. Qua ratione inopinato Cypriorum imperio potitus sit Euagoras, [d] Audymone Citieo, qui eam tenebat, capto. Qua arte Græci Agamemnonem secuti Cyprum occuparint, Cinnyra cum suis eiecto, quorum posteri reliqui sunt Amathusij. Vt rex cum Euagora bellum gerere animum induxerit, Imperatore creato Autophradate Lydiæ Satrapa, Nauarcho verò [e] Hecatomno: & de pace quam palmarij vice Græcis donauit, vtque acrius cum Euagora dimicarit, ac de [f] nauali ad Cyprum pugna. Vt Atheniensium Ciuitas in fœdere cum rege inito perseuerare studuerit. Lacedæmonij verò, secundis rebus elati, pacta conuenta ruperint. Quomodo item sub Antalcida pacis fœdus percusserint. Vt Teribazus bellum gesserit, & Euagoræ insidias struxerit, vtque apud regem [g] Euagoras illum accusarit, ac cum Oronte transegerit.

[a] De Theopompo legendus Halicarnass. in Criticis, & Suidas.
[b] Suidas LXXII. recenset.
[c] Acoris Diodoro lib. 15. vt etiam hoc male Anugu.
[d] Abdimon Eusebio vocat Diodorus lib. 14. Bibliothec. vbi etiam plura de Euagora, & in Isocratis Euagora.
[e] Cariæ Præfectus apud Diodorum sup. qui & solus ibi bello præfuisse dicitur.
[f] Quam refert Diodor. lib. 15. initio.
[g] Ab Oronte accusatum refert Diodorus sup.

THEOPOM.

a Νεκτανάβιδι. Diodoro lib. 15. extremo.

b Ab hoc Cypri tyranno memorat Laert. lib. 9. Anaxarchum Philosophum necatum.

c Pythagoras, Diodoro sup. Isocrati verò Protagoras.

Vt à [a] Nectenibi occupato Ægyptiorum regno, ad Lacedæmonios Euagoras legatos miserit, quaque ratione Cyprium bellum confecerit. De [b] Nicocreonte, qui insidias locarat, quomodo nec opinato deprehensus sit, effugeritque. Quomodo cum eius filia virgine relicta, & Euagoras, & huius filius [c] Prytagoras, clam alterutro concubuerint, Thrasidæo Eunucho (qui genere Eleus erat) vicissim illis subseruiente ad puellæ amorem: vtque hæc ipsis interitus causa fuerit, Thrasydæo necem illis procurante.

Refert dein, qua ratione Acôris Ægyptius cum Pisidis belli societatem inierit, déque ipsorum regione, & de Aspendiis. De medicis quoque Cois, & Cnidiis, quòd Asclepiadæ sint: quodque è Syrno posteri Podalirij primi accesserint. De [d] Mopso vate, eiúsque filiabus Rhode, Meliade, ac Pamphylia. Ab his Mopsuestiam, & in Lycia Rhodiam, Pamphiliámque regionem nomen accepisse. Vt à Græcis habitarí Pamphilia cœpta, mutuo bello arserit: & quomodo Lycij cum Telmissiis, belli duce Pericle eorum rege, pugnarint: nec manus conserere desierint, donec ipsos intra muros compulsos ad concordiam adegerunt. Hæc duodecimo illo libro, quem Menophanes non vidit, continentur.

d De quo & Strabo lib. 14. ad Colophonem Ionia, aliìsque sæpe.

Theopompus hic Chius genere fuit, genitus patre [e] Damostrate. Patria verò cum parente excessisse fertur, cum Laconum ille rebus studere conuictus fuisset, quo mortuo patriæ restitutum aiunt, Alexandro Macedonum rege per epistolam ad Chienses reditum ipsi impetrante, ætatis Theopompi anno quinto & quadragesimo. Verum mortuo dein Alexandro, vndique exsulantem in Ægyptum venisse narrant, ibique regem Ptolemæum non solùm hominem non excepisse, sed etiam velut nimis curiosum tollere de medio voluisse, nisi amicorum precibus seruatus fuisset. [f] Æquales suos ipsemet nominat: [g] Isocratem Atheniensem, Theodectem Phaselitem, & Naucratem Erythræum, quos & secum in dicendi facultate principatum in Græcia tenuisse refert. Sed Isocratem quidem rei familiaris angustia, vti & Theodecten, pretio orationes conscripsisse, ac ludo aperto adolescentes informasse, indéque lucrum reportasse: se verò cum Naucrate, quòd vitam tueri honestè possent, assiduè in his, in Philosophia, inquam, ac dicendi facultate exercitum. Neque verò temerè se, aut præter rationem primas sibi vindicare, cùm demonstratiui generis orationes non pauciores, quàm viginti millium versuum conscripserit: quin & supra quindecim versuum myriadas, in quibus Græcorum, ac Barbarorum res gestas hactenus narratas legere liceat. Ad hæc verò nullam esse ait Græciæ alicuius pretij locum vrbémve, quo non ipse peruenerit, publicéque perorans magnum decus, ac virtutis in dicendo suæ monumentum reliquerit.

e Damasistratum Suidas nominat.

f De quibus vide Dionys. Halicarn.

g Quo & præceptore vsus teste Cicer. Dionys. atque Plutarchi legendus autem de his Suidas.

καὶ ὡς Νεκτενίβιος παρειληφότος τὴν * αἰγυπτίων βασιλείαν, πρὸς λακεδαιμονίους πρέσβεις ἀπέστειλεν Εὐαγόρας. τίνα τε τρόπον ὁ περὶ κύπρον αὐτῷ πόλεμος διελύθη· καὶ περὶ Νικοκρέοντος, ὡς ἐπιβουλεύσειεν, ὡς παραδόξως ἐφωράθη, ὡς ἔφυγε· καὶ ὡς τῇ ἐκείνου παιδὶ καταλειφθείσῃ κόρῃ, Εὐαγόρας τε καὶ ὁ τούτου παῖς * Πυθαγόρας, λανθάνοντες ἀλλήλους, συνεκάθευδον· Θρασυδαίου τοῦ ἡμιάρρενος (ὃς ἦν ἠλεῖος τὸ γένος) αὐτοῖς παρὰ μέρος ὑπηρετουμένου τῇ πρὸς τὴν κόρην ἀκολασίᾳ· καὶ ὡς τοῦτο αὐτοῖς αἴτιον ὀλέθρου γέγονε, Θρασυδαίου τὴν ἐκείνων ἀναίρεσιν κατεργασαμένου. εἶτα τίνα τρόπον Ακωρις ὁ αἰγύπτιος πρὸς τοὺς πισίδας ἐποιήσατο συμμαχίαν· περί τε τῆς χώρας αὐτῶν καὶ τῶν ἀσπενδίων· περί τε τῶν ἐν κῷ καὶ κνίδῳ ἰατρῶν, ὡς Ασκληπιάδαι. καὶ ὡς ἐκ σύρνου οἱ πρῶτοι ἀφίκοντο ἀπόγονοι Ποδαλειρίου· καὶ περὶ Μόψου τοῦ μάντεως, καὶ τῶν θυγατέρων Ῥόδης, καὶ Μηλιάδος καὶ Παμφυλίας· ἐξ ὧν ἥ τε Μοψυεστία, καὶ ἡ ἐν λυκίᾳ Ῥοδία, καὶ ἡ Παμφυλία χώρα τὰς ἐπωνυμίας ἔλαβον. τίνα τε τρόπον ὑφ' ἑλλήνων ἡ Παμφυλία κατῳκίσθη· καὶ ὁ πρὸς ἀλλήλους συνέστη πόλεμος· καὶ ὡς λύκιοι πρὸς τελμισσεῖς, ἡγουμένου αὐτοῖς τοῦ σφῶν βασιλέως Περικλέους, ἐπολέμησαν: καὶ οὐκ ἀφῆκαν πολεμοῦντες, ἕως αὐτοὺς τειχήρεις ποιήσαντες καθ' ὁμολογίας παρεστήσαντο. ὁ μὲν οὖν ὁ Μηνοφάνει διαδεκατος λόγος ἠφανισμένος περιέχει ταῦτα ἐστίν.

* al. αἰγύπτου.

* al. Πρωταγόρας.

Ἔστι δὲ Θεόπομπος, χῖος μὲν τὸ γένος, υἱὸς Δαμοστράτου. φυγεῖν δὲ λέγεται τῆς πατρίδος ἅμα τῷ πατρὶ, ἐπὶ λακωνισμῷ τοῦ πατρὸς ἁλόντος· ἀνασωθῆναι δὲ τῇ πατρίδι, τελευτήσαντος αὐτῷ τοῦ πατρός. τὴν δὲ κάθοδον Αλεξάνδρου τοῦ μακεδόνων βασιλέως δι' ἐπιστολῶν τῶν πρὸς τοὺς χίους καταπραξαμένου· ἐτῶν δὲ εἶναι [τότε] τὸν Θεόπομπον πέντε καὶ τεσσαράκοντα. μετὰ δὲ τὸν Αλεξάνδρου θάνατον πανταχόθεν ἐκπεσόντα, εἰς αἴγυπτον ἀφικέσθαι· Πτολεμαῖον δὲ, τὸν ταύτης βασιλέα, οὐ προσίεσθαι τὸν ἄνδρα, ἀλλὰ καὶ ὡς πολυπράγμονα ἀνελεῖν ἐθελῆσαι, εἰ μή τινες τῶν φίλων παραιτησάμενοι διεσώσαντο. συνακμάσαι δὲ αὐτὸς ἑαυτὸν λέγει Ἰσοκράτει τε, τῷ Ἀθηναίῳ, καὶ Θεοδέκτῃ, τῷ φασηλίτῃ, καὶ Ναυκράτῃ τῷ ἐρυθραίῳ: καὶ τούτους ἅμα αὐτῷ τὰ πρωτεῖα τῆς ἐν λόγοις παιδείας ἔχειν ἐν τοῖς ἕλλησιν. ἀλλὰ Ἰσοκράτην μὲν δι' ἀπορίαν βίου, καὶ Θεοδέκτην, μισθοῦ λόγους γράφειν καὶ σοφιστεύειν, ἐκπαιδεύοντας τοὺς νέους, κἀκεῖθεν καρπουμένους τὰς ὠφελείας· αὐτὸν δὲ καὶ Ναυκράτην, αὐτάρκως ἔχοντας, ἐν τούτοις ἀεὶ τὴν διατριβὴν ἐν τῷ φιλοσοφεῖν καὶ φιλομαθεῖν ποιεῖσθαι. καὶ ὡς οὐκ ἂν εἴη αὐτῷ παράλογον, ἀντιποιουμένῳ τῶν πρωτείων, οὐκ ἐλαττόνων μὲν ἢ δισμυρίων ἐπῶν, τοὺς ἐπιδεικτικοὺς τῶν λόγων συγγεγραμμένῳ: πλείους δὲ ἢ πεντεκαίδεκα μυριάδας, ἐν οἷς τάς τε τῶν ἑλλήνων καὶ βαρβάρων πράξεις μέχρι νῦν ἀπαγγελλομένας [ἔστι] λαβεῖν. ἔτι δὲ καὶ, διότι οὐδείς ἐστι τόπος κοινὸς τῶν ἑλλήνων, οὐδὲ πόλις ἀξιόχρεως, εἰς οὓς αὐτὸς οὐκ ἐπιδημήσας, καὶ τὰς τῶν λόγων ἐπιδείξεις ποιούμενος, οὐχὶ μέγα κλέος καὶ ὑπόμνημα τῆς ἐν λόγοις αὐτοῦ κατέλιπεν ἀρετῆς

Mopsuestia. Rhodia. Pamphilia.

Isocrates Atheniensis. Theodectes. Naucrates.

Ταῦτα;

Ταῦτα αὐτὸς περὶ ἑαυτοῦ λέγων, τοὺς ἐν τοῖς ἔμπροσθεν χρόνοις ἔχοντας ἐν λόγοις τὰ πρωτεῖα, πολὺ κατὰ δευτέρας ἀποφαίνεται τῶν καθ' ἑαυτὸν, καὶ οὐδὲ τῆς δευτέρας τάξεως * ἀξιωμένους. καὶ τοῦτο δῆλον εἶναί φησι καὶ ἐξ αὐτῶν τῶν παρ' ἑκατέροις ἐκπεπονημένων καὶ καταλελειμμένων λόγων. * πολλὴν γὰρ τὴν τοιαύτην παίδευσιν ἐπίδοσιν λαβεῖν φησι, καὶ κατὰ τὴν αὐτοῦ ἡλικίαν. ἀλλὰ τίνας λέγει τοὺς ἐν τοῖς ἔμπροσθεν χρόνοις οὐκ ἔχω σαφῶς συμβαλεῖν. οὐ γὰρ δή γε τολμῆσαι αὐτὸν ὑπολαμβάνω εἰς Ἡρόδοτον καὶ Θουκυδίδην ἀποτείνεσθαι, πολὺ καὶ αὐτοῦ ἐν πολλοῖς ἐκείνων τῶν ἀνδρῶν ἐλαττουμένου. ἢ τάχα πρὸς Ἑλλάνικον καὶ Φίλιστον ἀφορᾷ τοὺς ἱστορικούς· ἢ Γοργίαν καὶ Λυσίαν, καὶ τοὺς τοιούτους, ἐγγὺς τῆς αὐτοῦ ἡλικίας προγεγονότας, αἰνίττεται· οὐδ' ἐκείνων τοσοῦτον ἐνδεέστερον ἐχόντων πρὸς τοὺς λόγους. ἀλλὰ Θεόπομπος μὲν ταῦτα. φασὶ δὲ αὐτόν τε καὶ Ἔφορον, Ἰσοκράτους γενέσθαι μαθητάς. δῆλον δὲ τοῦτο ποιοῦσι καὶ οἱ λόγοι. πολὺ γὰρ ἐν τοῖς Θεοπόμπου ἡ κατὰ μίμησιν ἰδέα τῶν παρ' Ἰσοκράτει, εἰ καὶ λείπεται τῆς κατὰ τὴν ἐργασίαν ἀκριβείας, καὶ τὰς ἱστορικὰς δὲ ὑποθέσεις τὸν διδάσκοντα αὐτοῖς προβαλεῖν· τὰς μὲν ἄνω τῶν χρόνων Ἐφόρῳ, Θεοπόμπῳ δὲ τὰς μετὰ Θουκυδίδην ἑλληνικὰς πρὸς τὴν ἑκατέρου φύσιν, καὶ τὸ ἔργον ἁρμοσάμενον. διὸ καὶ τὰ προοίμια * αὐτοῖς τῶν ἱστοριῶν, τῇ τε διανοίᾳ καὶ τοῖς ἄλλοις ἐστὶν ὁμοιότατα, ὡς ἂν ἀπὸ τῆς αὐτῆς ἀφετηρίας * ἐνδεδραμηκότων ἑκατέρου πρὸς τὸ στάδιον τῆς ἱστορίας. πλείσταις μὲν οὖν παρεκβάσεσι παντοδαπῆς ἱστορίας, τοὺς ἱστορικοὺς αὐτοῦ λόγους Θεόπομπος παρατείνει. διὸ καὶ Φίλιππος ὁ πρὸς Ῥωμαίους πολεμήσας, ἐξελὼν ταύτας, καὶ τὰς Φιλίππου συνταξάμενος πράξεις, αἳ σκοπός εἰσι Θεοπόμπῳ, εἰς ἑκκαίδεκα βίβλους μόνας: μηδὲν παρ' ἑαυτοῦ προσθεὶς ἢ ἀφελὼν, πλὴν (ὡς εἴρηται) τῶν παρεκβάσεων τὰς πάσας ἀπήρτισε. Δοῦρις μὲν οὖν ὁ Σάμιος ἐν τῇ πρώτῃ τῶν αὐτοῦ ἱστοριῶν οὕτω φησίν· Ἔφορος δὲ καὶ Θεόπομπος τῶν γενομένων πλεῖστον ἀπελείφθησαν: οὔτε γὰρ μιμήσεως μετέλαβον οὐδεμιᾶς, οὔτε ἡδονῆς ἐν τῷ φράσαι· αὐτοῦ δὲ τοῦ γράφειν μόνον ἐπεμελήθησαν. καί τοι Δοῦρις καὶ τῶν ἐν αὐτοῖς τούτοις οἰκονομίας ὧν αἰτιᾶται, πολλὰ τῶν ἀνδρῶν λειπόμενος. ἀλλ' εἰ μὲν πρὸς τὸν ὑπερήφανον ἐκεῖνον Θεοπόμπου λόγον, ὃς τοὺς ἀρχαιοτέρους οὐδὲ τῶν δευτερείων ἠξίου, τοῦτο ἀπέρριψεν: οὐκ ἔχω λέγειν· πλὴν ἔτι οὐδέτερος αὐτῶν τοῦ προσήκοντος ἐπελάβετο· καὶ μάλιστα ἂν διϊσχυρισαίμην. Κλεοχάρης δὲ ὁ Μυρλεανὸς, ὑπὲρ τῶν Ἰσοκρατικῶν ἁπάντων οἶμαι λέγων, τοῦτο γάρ ἐστι τὸ [ἐν] πρὸς τὸν Δημοσθένην συγκρίσει μὴ τὰ πόῤῥω αὐτοῖς ἀποδραμεῖν, φησι: τοὺς μὲν Δημοσθενικοὺς λόγους τοῖς τῶν στρατιωτῶν ἐοικέναι μάλιστα σώμασι, τοὺς δὲ Ἰσοκρατικοὺς τοῖς τῶν ἀθλητῶν. δῆλον δὲ, ὡς Θεόπομπος οὐδενὸς τῶν Ἰσοκρατικῶν εἰς τοὺς λόγους ἀτιμότερος. τὸ μὲν οὖν Θεοπόμπου γένος, καὶ ἡ παίδευσις, καὶ ὁ διδάσκαλος καὶ οἱ συνακμάσαντες, καὶ οἱ λόγοι, καὶ ἡ πολιτεία, καὶ ἡ ἐν τοῖς λόγοις ἰδέα, καὶ προαίρεσις, κατὰ κεφαλαιώδη ἀπαρίθμησιν, καὶ ὁ καθ' ὃν ἤκμασε χρόνος, καὶ ὅσα αὐτῷ συνεχώρησε κατὰ τὸν βίον ἐπὶ τοσοῦτον.

* ἀξιωμένους.

* πάλιν

Hellanicus. Philistus. Gorgias. Lysias.

* al. αὐτῶν & ἄτοπα.

* ἐνδεδραμηκότων.

Duris Historicus.

Cleochares.

Demosthenis cum Isocrate comparatio.

THEOPOMPUS

Hæc de se ipsis pronuntians, eos qui apud sæculum prius dicendo claruerunt, [a] ætatis suæ oratoribus longè postponit, ac ne in secundis quidem subsistere posse affirmat, clarumque id esse vel è scriptis vtrorumque, & orationibus ad posteros transmissis. Creuisse namque immensum quantum sua ætate hanc ipsam dicendi facultatem. Verùm quos ætate priores nominet, equidem apertè non capio. Non enim credo perstringere audeat Herodotum atque Thucydidem, quibus ille viris longè facundia inferior est. Nisi fortasse [b] Hellanicum, aut Philistum historicos innuit, vel Gorgiam, & Lysiam, ceterósque ætati suæ viciniores, obscurè significat. quanquam ne hi quidem adeò dicendi inopes fuerunt. Ita Theopompus iudicat.

Ferunt eum vnà cum Ephoro Isocratis fuisse auditorem, vt & libri ipsi satis declarant. Frequens enim est in Theopompi scriptis Isocraticæ formæ imitatio, tametsi in operis accuratione longè à tergo hæreat. Et verò narrandi argumenta præceptorem vtrique præbuisse volunt, [c] superioris quidem ætatis Ephoro, Theopompo autem [d] post Thucydidem res Græcorum, pro vtriusque scilicet captu, etiam re ipsa accommodata. Hinc & historiarum proœmia vtrisque cum sensibus tum aliis rebus esse simillima, velut ab iisdem stadij carceribus, ad calcem vsque historia decurrente. Digressionibus itaque variæ historiæ quàmplurimis, historicos suos implet libros Theopompus. Quamobrem & [e] Philippus, ille qui cum Romanis bellum gessit, digressionibus hisce sublatis, & [f] Philippi rebus gestis, [g] quas Theopompus scribendas potissimum susceperat, collectis, in sedecim eas duntaxat libros (nihil de suo addens, aut præter digressiones, vt diximus, detrahens) redegit.

Duris autem Samius libro primo historiarum sic de illo scribit: Ephorus & Theopompus superioribus longè sunt inferiores. Imitationis enim gratia destituuntur, caréntque dicendi venustate, de scribendo tantum solliciti. Etsi Duris ipse in eadem illa dispositione longo post hos, quos carpit viros, internallo relinquitur. Verùm an huic arroganti Theopompi censuræ (qua veteribus secundas quidem tribuebat) hoc obiecerit, non habeo dicere. hoc tantum vel maximè contenderim, neutrum ipsorum iustè satis reprehendendum fuisse. Cleochares verò Smyrleanus de Isocraticis, opinor, omnibus loquens (hoc enim illi est, in comparatione cum Demosthene non postremas illis dare) ait: [h] *Demosthenis quidem orationes militum corpori similes maximè videri, Isocratis verò athletarum.* Illud clarum, Theopompum nemine esse Isocratis discipulorum in dicendo inferiorem.

Ceterùm Theopompi genus, institutionem, præceptorem, æquales, libros, ciuilem vitam, orationum formam, atque institutum singulatim adnumerando, quibus denique temporibus viguerit, quæ item illi in vita contigerint, hactenus exposuerimus.

[a] *Simile tractat argumentum siue Fabius, siue Tacitus, Cur sui oratores veteribus concedant.*

[b] *Vide Dionys. Halicarn. Critica, & Cicer.*

[c] *Cumenius Ephorus (inquit Diodorus lib. 16. Biblioth. ad annum Philippi XX.) historiã suam, cum ad Perinthi oppugnationẽ peruenisset, desinit. Is in scribenda ea ab Heraclidarum reditu exorsus, Græcorum & Barbarorum res gestas annorum fermè DCCL. libris XXX. descripsit.*

[d] *Scriptor ille (de Theopompo refert Diod. lib. 14. Biblioth.) à prælio ad Cynossema euersus ad quod Thucydides negotium destituerat, sedecim annorum tempus perscripsit.*

[e] *Demetrii filius, & Macedonicorum regum penultimus.*

[f] *Amyntæ F. patres Alexandri M.*

[g] *Quod & Diodorus testatur lib. XVI. Bibliot. ad annum Philippi XVIII.*

[h] *Philippo regi Macedonum hoc dictum tribuit Plutarchus.*

THEODOR. ANTIOCH.

CLXXVII.

THEODORI ANTIOCHENI *Contra asserentes peccare homines natura, non voluntate, libri V.*

LECTVM est opus THEODORI ANTIOCHENI (qui Mopsuestus ille Episcopus est, vt ex eius quibusdam epistolis colligimus) hoc titulo: *Contra asserentes peccare homines naturâ, non voluntate.* Ea disputatio quinque libris absoluitur, quos aduersus Occidentales hac labe infectos scripsit. Inde enim oriundum hæresis huius auctorem in Orientis modo regionibus versari, librósque de recens ab se excogitata hæresi compositos ad populares suos in patriam transmittere narrat, vt iam ibi multos per hanc artem in suam pertraxerit sententiam, integrásque adeò Ecclesias absurdis illis imbuerit opinionibus. *Aram* verò illorum librorum auctorem siue nomine, siue [a] cognomine, incertum appellat. Hunc etiam quintum Euangelium confinxisse, illúdque se in Eusebij Palæstini Bibliothecis reperisse ait. Reiecta præterea diuini ac veteris Testamenti versione; quam septuaginta interpretes simul conuenientes ediderunt, vt & Symmachi, & Aquilæ, aliorúmque interpretatione, propriam quandam suam nouámque conficere ausum: cùm neque Hebraicæ linguæ, vt illi, à puero assueuisset, neque mentem S. Scripturæ didicisset: Hebræis tantummodo quibusdam abiectæ sortis in disciplinam se tradidisse, atque hinc propriam sibi editionem conscribere aggressum.

[a] Ab infausta forsitan τῆς ἀρᾶς significatione.

Sectæ verò illius summa capita hæc ferè sunt. Homines naturâ, non voluntate peccare. Naturâ, inquam, non eâ, qua præditus ab initio conditúsque est Adam, (illam enim bonam, & boni DEI opus esse asserunt) sed ea quam post peccatum adeptus sit; quando per præuaricationem atque peccatum malam pro bona, mortalémque pro immortali commutauit. Hac quippe ratione natura quoque improbos effectos, qui antea naturâ boni fuissent, in natura iam, & non in voluntate peccatum sibi acquisiuisse. Alterum d. inde caput ex illo deductum. Infantes, tametsi recens natos, peccati immunes non esse, cùm ob Adæ præuaricationem, naturâ in peccatis constitutâ, ad omnes eius posteros peccatrix (vt ipsi loquuntur) natura propagetur. Adferre autem ipsos & illud ait: *Ecce in iniquitatibus conceptus sum*, & si quæ sunt generis eiusdem, Sanctum adhæc baptisma, sacríque corporis communionem in peccatorum remissionem. quin etiam ipsis infantibus allata hæc præbere, ad propriæ opinionis confirmationem. Neminem præterea mortalium esse iustum. quod ipsum item ex eo, quod initio posuerunt, consequitur: *Non enim iustificabitur*, inquit Propheta, *in conspectu tuo omnis* [b] *caro*, & his similia.

Psal. 50. 7.

Psal. 142. 2.

[b] πᾶσα σὰρξ. In vulgata edit. πᾶς ζῶν. omnis viuens.

Quartum (ô blasphemas voces & impias!) Ne CHRISTVM quidem DEVM, adsumpta nimirum peccatis infecta natura, sceleris purum esse. Quanquam & in aliis ipsorum blasphemiis obseruare licet, inquit ille, non verè hos & natura, sed figura duntaxat humanam ipsi naturam attribuere.

ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΟΧΕΩΣ ΠΡΟΣ τοὺς λέγοντας φύσει, καὶ οὐ γνώμῃ, πταίειν τοὺς ἀνθρώπους.

ροζ'.

Theodori Antiocheni liber de lapsu hominum.

ΑΝΕΓΝΩΣΘΗ βιβλίον, οὗ ἡ ἐπιγραφὴ, Θεοδώρου ἀντιοχέως, ὁ Μοψουεστίας δέ ἐστιν, ὡς ἀπό τινων ἐπιστολῶν ἐμάθομεν, πρὸς τοὺς λέγοντας φύσει καὶ οὐ γνώμῃ πταίειν τοὺς ἀνθρώπους. διαπεραίνεται μὲν αὐτῷ ὁ πρὸς αὐτοὺς ἀγὼν ἐν λόγοις πέντε. πρὸς δὲ τοὺς ἀπὸ τῆς δύσεως τοῦτο τὸ νόσημα νενοσηκότας γράφει τὸ βιβλίον. ὧν καὶ τῆς αἱρέσεως ἀρχηγὸν λέγει γεννέαδε, ἐκεῖθεν μὲν ὁρμώμενον, τοῖς δὲ τῆς ἀνατολῆς ἐπιχωριάζοντα τόποις, καὶ συντάττοντα λόγους ὑπὲρ τῆς καινοποιηθείσης αὐτῷ αἱρέσεως, διαπέμπειν τοῖς τὸ πατρῷον ἔδαφος οἰκοῦσιν, ὑφ' ὧν καὶ πολλοὺς ἐκεῖσε πρὸς τὸ οἰκεῖον φρόνημα ἑλκύσαι, ὡς καὶ ἐκκλησίας ὅλας τοῦ ἀτοπήματος πληρωθῆναι. Ἀρὰμ δὲ τὸν ἀρχηγὸν αὐτῶν, οὐ γὰρ ἔχω σαφῶς εἰπεῖν, εἴτε ὀνομάζει, εἴτε ἐπονομάζει. τοῦτον καὶ πέμπτον εὐαγγέλιον προσαναπλάσαι λέγει ἐν ταῖς Εὐσεβίου τοῦ παλαιστίνου βιβλιοθήκαις ὑποπλαττόμενον εὑρεῖν· καὶ ἀπώσασθαι μὲν τῆς θείας καὶ παλαιᾶς γραφῆς, ἣν οἱ ἑβδομήκοντα συνεληλυθότες ἐκδεδώκασι μετάφρασιν, καὶ δὴ καὶ τὴν Συμμάχου καὶ Ἀκύλα, καὶ τῶν ἄλλων· ἰδίαν δέ τινα καὶ καινὴν ἐπαρθῆναι συντάξαι· μήτε τῆς ἑβραΐων, ὥσπερ ἐκεῖνοι, ἐκ παιδὸς ἀσκηθέντα, μήτε τὸν τῆς θείας γραφῆς νοῦν ἐκδιδαχθέντα, ἑβραίων δέ τισι τῶν χαμαιπετῶν ἑαυτὸν ἐκδεδωκότα, ἐκεῖθεν θαῤῥῆσαι ἰδίαν ἔκδοσιν ἀναγράφειν. ἔστι δὲ τὰ τῆς αἱρέσεως αὐτῆς, ὡς ἐν κεφαλαίῳ φάναι, ταῦτα. φύσει καὶ οὐ γνώμῃ πταίειν τοὺς ἀνθρώπους: φύσει δὲ, οὐ κατ' ἐκείνην, ἐν ᾗ κατὰ [*] πρώτας δημιουργηθεὶς ὑπέστη ὁ Ἀδάμ. ἐκείνην γὰρ ἀγαθὴν, ἀγαθοῦ θεοῦ ποίημα εἶναι φασιν: ἀλλὰ κατ' ἐκείνην, ἣν ὕστερον ἁμαρτήσας ἐκληρώσατο, τῇ πρὸς τὸ κακὸν πράξει, καὶ ἁμαρτίᾳ, κακήν τε ἀντ' ἀγαθῆς ἑαυτῷ, καὶ θνητὴν ἀντὶ τῆς ἀθανάτου ἀλλαξάμενος. ταύτῃ τοι καὶ φύσει γεγονότας κακοὺς, ἐκ τοῦ ὑπάρξαι φύσει πρότερον ἀγαθοὺς, ἐν τῇ φύσει, καὶ οὐκ ἐν τῇ προαιρέσει κεκτῆσθαι τὴν ἁμαρτίαν. δεύτερον ἀκόλουθον αὐτοῖς λέγειν, μηδὲ τὰ παιδία, κἂν ἀρτιγέννητα ᾖ, μὴ ἀπηλλάχθαι ἁμαρτίας, ἅτε ἀπὸ τῆς τοῦ Ἀδὰμ παραβάσεως, τῆς φύσεως ἐν ἁμαρτίαις ὑποστάσης, καὶ εἰς πᾶν τὸ ἐξ ἐκείνου γένος, τῆς ἁμαρτωλῆς (ὡς εἴποιεν ἂν ἐκεῖνοι) φύσεως παρατεινομένης. φέρειν τε αὐτούς τὸ ἐν ἁμαρτίαις ἐγεννήθην, καὶ εἴ τι τοιοῦτον, καὶ αὐτὸ τὸ ἅγιον βάπτισμα, καὶ τὴν τοῦ ἀχράντου σώματος κοινωνίαν, εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ τοῖς βρέφεσιν ἐπιφερόμενα ταῦτα προκομίζειν, ἐπὶ βεβαιώσει τῆς οἰκείας νομίσεως. ἔτι δὲ καὶ ὅτι οὐδεὶς ἐν ἀνθρώποις ἐστὶ δίκαιος. ἀκόλουθον δὲ καὶ τοῦτο δηλονότι τῆς ἀπ' ἀρχῆς αὐτῶν θέσεως: οὐ δικαιωθήσεται γὰρ ἐνώπιόν σου, φησὶ, πᾶσα σὰρξ, καὶ τὰ τοιαῦτα. τέταρτον, (ὢ βλασφήμων καὶ δυσσεβῶν στομάτων) ὅτι οὐδ' ὁ Χριστὸς καὶ θεὸς ἡμῶν, ἅτε τὴν ἡμαρτημένην φύσιν προσειληφὼς, οὐδ' αὐτὸς [*] ἐκαθάρευεν ἀπὸ ἁμαρτίας. καί τοι ἀλλαχοῦ τῆς βλασφημίας αὐτῶν ἔστιν αὐτοὺς ἰδεῖν, ὥς φησιν, οὐδ' ἀληθείᾳ καὶ φύσει, σχήματι δὲ μόνῳ [*] διδόντας αὐτῷ τὴν ἐνανθρώπησιν.

Aram.

LXX. interpretes. Symmachus. Aquila.

[*] τὰ πρῶτα.

[*] ἐκαθάρευεν.

[*] διδόντας.

πέμπτον

πέμπτον, ὅτι τὸν γάμον, ἤτοι τὴν τῆς μίξεως ὄρεξιν, καὶ τὴν τοῦ σπέρματος καταβολὴν, καὶ πάντα δὴ τὰ τοιαῦτα, ἀφ' ὧν περ κατὰ διαδοχὴν τὸ ἡμέτερον γένος αὔξεται, τῆς μοχθηρᾶς ἔργα φασὶ φύσεως, εἰς ἣν διὰ τῆς ἁμαρτίας πεσὼν ὁ Ἀδὰμ, τῇ τῆς φύσεως κακίᾳ τὸν ἑσμὸν ἐδέξατο τῶν κακῶν. ἀλλὰ τὰ μὲν τῶν αἱρετιζόντων τοιαῦτα. ὁ δὲ Θεόδωρος, οὗτος, εὖ μὲν ποιεῖ ἀποστρεφόμενος αὐτὰ, ἐνιαχοῦ δὲ καὶ ἄριστα αὐτῶν καὶ σὺν ἰσχύϊ τὸ ἀλλόκοτον καὶ βλάσφημον τῶν ὑπολήψεων ἀπορραπίζει, καὶ ταῖς γραφικαῖς φωναῖς, ἃς ἐκεῖνοι κακῶς ἐξελάμβανον, τὰς καταλλήλους ἐννοίας ἁρμόζων, ἀμαθεῖς αὐτοὺς τελείως ἐξελέγχει. οὐκ ἀεὶ δέ· ἀλλὰ τήν τε Νεστορίου αἵρεσιν ὠδίνων ἡμῖν ἐν πολλοῖς ὤφθη, καὶ τὴν Ὠριγένους κατά γε τὸ τέλος ὑποφωνεῖν τῆς κολάσεως. ἔτι δὲ οὐδὲ τὸ λέγειν αὐτὸν, ἀπ' ἀρχῆς μὲν θνητὸν πεπλᾶσθαι τὸν Ἀδὰμ, ἐνδείξει δὲ μόνον· ἵνα μισήσωμεν τὴν ἁμαρτίαν, χρηματίσαι οὕτω τὸν θεὸν· ὡς διὰ τὴν ἁμαρτίαν, αὐτῇ τιμωρίας ἐπιτίθεται ὁ θάνατος. οὐ μὲν οὖν οὐδὲ τοῦ τόμου δοκοῦν εἰς ὀρθοὺς ἀναφέρειν λογισμοὺς, ἀλλὰ καὶ πολλὰς ὑπέχειν τὰς εὐθύνας, εἴ τις ἀπαιτεῖν ἐθέλοι· κἂν, ὡς ἐκεῖνος εἴποι, ἱκανῶς ἡ τοιαύτη δόξα πρὸς τοὺς αἱρεσιώτας *ἀπομάχηται. οὐ γὰρ εἴ τι διαμάχεται τῷ χείρονι ἀγαθόν· καὶ γὰρ καὶ ἑαυτῷ μάχεται τὸ κακόν· ἀλλ' εἴ τι σύμφωνον ὀρθῷ λογισμῷ, καὶ γνώριμον ταῖς θείαις γραφαῖς, τοῦτο ἀποδεκτόν. κἂν οὐδεμία αἵρεσις μάχεσθαι τολμᾷ πρὸς αὐτό. ἔτι δὲ κἀκεῖνο οὐκ ἐγκρίνω ἔγωγε τοῖς ἀληθείας δόγμασι, περιέργως τε εἰρημένον, καὶ οὐδὲ γνώριμον* τῇ ἐκκλησίᾳ τοῦ θεοῦ, τὸ δύο ἀφέσεις ἁμαρτιῶν εἶναι λέγειν· τὴν μὲν τῶν [τε] πεπραγμένων, τὴν δὲ οὐκ οἶδ' ὅπως εἴποι τις ἂν καὶ ἄφεσιν ὡς ἐκεῖνος λέγει, αὐτὴν τὴν ἀναμαρτησίαν, ἤτοι τὸ μηκέτι ἁμαρτάνειν. δεῖ γὰρ ἡμῖν, ὡς ἔοικε, καὶ πλειόνων σαφηνιστικῶν λέξεων. ἵνα τὴν καινὴν ἐκείνην ὑποδηλώσωμεν τῶν ἁμαρτιῶν ἄφεσιν· ὅπερ ὁ μὲν ὀρθὸς λόγος ἀναμαρτησίαν οἶδεν, οὗτος δὲ ἄφεσιν ἁμαρτιῶν τελείαν καὶ κυριωτάτην, καὶ ἀναίρεσιν καλεῖ ἁμαρτίας παντελῆ· τίς οὖν ἡ τοιαύτη ἁμαρτιῶν ἄφεσις, καὶ ποῦ διδομένη, καὶ πόθεν ἀρξαμένη· ἤρξατο μὲν ἐμφανίζεσθαι ἀπὸ τῆς κατὰ τὸν δεσπότην χριστὸν οἰκονομίας, καὶ ἐν ἀρραβῶνος ἡμῖν δίδοσθαι τάξει. δίδοται δὲ τελείως, καὶ ἐπ' αὐτοῖς ἔργοις, καὶ ἐν τῇ μετὰ τὴν ἀνάστασιν ἀποκαταστάσει. ὑπὲρ ἧς ἵνα τύχωμεν καὶ ἡμεῖς καὶ τὰ βρέφη βαπτιζόμεθα. ἀλλὰ τὰ μὲν μέχρι τούτου ὡς σεμνὰ, καὶ κεχηνέναι μονονουχὶ πρὸς τὸ πέρας ἅπαντας παρασκευάζοντα. εἰπὲ δὴ λοιπὸν καὶ τί τοῦτο; ὀρθὰ γάρ σοι παρεχόμεθα τὰ ὦτα. τίς ἡ τῶν ἁμαρτιῶν ἄφεσις ἡ παντελὴς ἐκείνη; οὐκ ἔτι φησὶ μετὰ τὴν ἀνάστασιν ἁμαρτησόμεθα. ἀλλὰ γὰρ ὡς ἐξ οἵων ἡμᾶς κατέσπασας τῶν ἐλπίδων! ἵνα γὰρ νῦν ἐάσω ζητεῖν ὅπως ἔστι λέγειν ἄφεσιν ἁμαρτιῶν. τοῦτο ἐκεῖνο συντόμως ἐρῶ· τί οὖν διὰ τοῦτό σοι Χριστὸς ἐνηνθρωπήθη καὶ ἐσταυρώθη, ἵνα μὴ ἐκεῖθεν ἀναστὰς ἁμαρτήσῃς;

* al. ἀπομάχεται.

* al. τῆς ἐκκλησίας.

Quintum, matrimonium, vel certè congrediendi cupiditatem, & seminis missionem, omniáque similia, quibus successione genus humanum propagatur, peruersæ naturæ opera esse asserunt: in quam quidem per peccatum lapsus Adam, naturæ mox vitio malorum omnium examen in se susceperit. Hæc sectariorum dogmata sunt.

Porrò Theodorus hic rectè quidem facit, quòd hæc ipsa detestetur ac reiiciat, interdúmque optimè ac validè ipsorum absurdas & blasphemas opiniones refellat, nec non sacræ scripturæ locis, quibus illi abusi sunt, proprios sensus adaptando, vt omnino imperitos redarguat. Verùm hoc ei perpetuum non est: nam & Nestorij sectam in multis parturire nobis visus est, & Origenis, saltem de fine suppliciorum, mussitare sententiam.

Quòd autem asserit præterea (Iam inde ab initio quidem formatum esse mortalem Adam, sed DEVM, vt scilicet peccatum odissemus, ita tantùm simulasse, quasi pro peccato pœnæ loco mors imposita fuerit) mihi sanè rectam sententiam nullam adferre, sed multis potius obiectum esse criminationibus, si quis rationes exigere velit, videtur: quantumuis, vt ipse dixerit, satis acriter huiusmodi opinio aduersus hæreticos pugnet: Non enim, si quid cum deteriori pugnet, continuò bonum est: etenim malum quoque secum ipsum pugnat: sed si quid rectæ rationi consentaneum, manifestúmque sit sacris litteris, illud demum recipiendum, tametsi nulla hæresis ei sententiæ resistere audeat.

Nec illud item ego curiosè dictum, & Ecclesiæ DEI inauditum, in veritatis dogmatibus numerauerim, cùm duas esse peccatorum remissiones asserit. Alteram quidem de commissis: alteram verò (quam nescio qui remissionem quispiam, vt ille loquitur, appellare possit) a impeccantiam ipsam, siue non amplius peccare. Oportet enim nos, vt apparet, pluribus explanantibus vocabulis vti, vt nouam illam peccatorum remissionem declaremus. Quod enim recta loquendi ratio *impeccantiam* nominat, ille peccatorum veniam perfectam, & maximè ratam, integrúmque appellat peccati interitum.

a Ita cum B. Hieron. proæmio comment. 4. in Ierem. reddedα ἀναμαρτησίαν.

Ecquænam igitur hæc peccatorum remissio, & vbi facta, vndéque originem duxit? Cœpit quidem illa manifestare se, ait, ex quo CHRISTVS Dominus carnem induit, & arrabonis nobis loco tradi: perfectè verò datur, cùm pro bonis operibus, tum in illa instauratione, quæ post carnis resurrectionem futura est, qua vt potiamur, tam nos, quàm recens nati infantes baptizamur. Satis quidem illa, quæ dicta sunt hactenus, præclara, & quæ tantum non inhiare fini omnes iubeant. Dic ergo deinceps, Et quid hoc rei? aures enim tibi arrectas præbemus. Quænam, inquam, hæc est peccatorum perfecta remissio? Non amplius, inquis, post resurrectionem peccabimus. Quàm sanè ab ingenti spe nos deturbasti! vt enim nunc quærere omittam, Quonam modo dicere liceat, peccatorum remissionem; illud tantum breuiter rogabo: Quid ais? Propterea ne CHRISTVS tibi homo factus est, & cruci affixus, ne tu ibi post resurrectionem iterum peccesa

THEODOR. ANTIOCH.

Peccabantne igitur illic, qui vita prius abierunt, quam in mundum CHRISTVS veniret? Et si forte non baptizemur; peccabimus ibi adhuc [tuo iudicio] & nos, & infantes? Quid? Infideles omnes, rursumne futuro sæculo, & furabuntur, & fornicabuntur, impiéque agent, ac latrocinabuntur, omnemque adeò sui desiderij nequitiam adimplebunt? Non enim iustas satis vel eorum, quæ hic commiserunt, quantumuis grauissimas pœnas, reperias. En tibi ex quibus istam ipsius peccatorum remissionem probare non possim, iam ostendi.

Sed fortasse ne ipse quidem volens huc deductus est, tantúmque vt dubios sic quærentium nodos dissoluat: Quare pueri sanctissimis mysteriis communicant? Cur baptismate digni iudicantur? nisi quia & ipsi peccatis abundant, insito iam in naturam ipsam peccato? In peccatorum enim hæc remissionem conferuntur. Verùm oportebat & illam dubitationem, multas alioqui habentem dissoluendi vias, alio modo dissoluere, absurdísque illis, quæ ad ipsius peccatorum remissionem consequuntur, consideratis, nihil eiusmodi prodigiosè confingere.

a Sup. Cod. IV. XXV. duntaxat referuntur.

Idem hic Theodorus ille est, qui aduersus Eunomium libris ᵃ octo & viginti non segniter depugnauit, & sancti Basilij, vel ipsiusmet potius veritatis, sententiam confirmauit. Etenim neque voces, neque vocum compositio, neque dogmatum mens, neque varia illa & fusa refutandi ratio, nec id genus alia quidpiam differunt. etsi autem dictionibus vtatur non inusitatis, obscurus tamen est. quia enim cathenatas vt plurimum adhibet periodos, & interpositiones crebras, per quas etiam sensus quam longissimè à re proposita recedit: rursum quia nominum obliquis ac participiis redundat, & res easdem frequenter (neque id satis ornatè) reuoluit, ac repetit: quia denique repetitiones illius pluribus, quàm narrationes ipsæ (quod omnino sine methodo fit) circumstantiis refertæ sunt, similibúsque ex causis non parum obscuritatis scriptis suis aspergit. Apparet autem studiosius versatum fuisse in sacra nostra diuina scriptura, etsi in plerisque à veritate aberret.

ἡμάρτανον δὲ ἄρα ἐκεῖθεν οἱ προκαταλύσαντες τὸν βίον, πρὶν ἢ Χριστὸς ἐπιδήμησαι; ἂν δὲ μὴ βαπτιζώμεθα, ἁμαρτίας ἔτι διαπραξόμεθά σοι ἐκεῖ καὶ ἡμεῖς καὶ τὰ βρέφη; τί δ' αἱ ἄπιστοι πάντες πάλιν κἂν τῷ μέλλοντι αἰῶνι καὶ κλέψουσι, καὶ πορνεύσουσι, καὶ δυσσεβήσουσι, καὶ λῃστεύσουσι; καὶ πᾶσαν αὐτῶν μοχθηρὰν ἐπιθυμίαν πληρώσουσιν; οὐ γὰρ δικαίας γε αὐτοῖς τῶν ἐνταῦθα πεπλημμελημένων καὶ βαρυτάτας ἐξεύροις τὰς τιμωρίας. ἀλλ' ᵃ ἐξῆς μοι οὐκ ἐγχειρίον αὐτοῦ τὴν τῶν ἁμαρτιῶν ἄφεσιν ἐπιδειξάμην. τάχα δ' οὐδ' αὐτὸς ἑκὼν ἐπὶ τοῦτο ἦλθεν· ἀλλ' ἵνα λύσῃ τὴν ἀπορίαν τῶν λεγόντων, διὰ τί τὰ βρέφη κοινωνεῖ τῶν ἀχράντων μυστηρίων; διὰ τί τοῦ βαπτίσματος ἀξιοῦται; εἰ μὴ καὶ αὐτὰ γέμει ἁμαρτιῶν, ἐν τῇ φύσει τῆς ἁμαρτίας κατεσπαρμένης. καὶ γὰρ καὶ εἰς ἄφεσιν ταῦτα δίδοται ἁμαρτιῶν. ἀλλ' ἐχρῆν καὶ τὴν ἀπορίαν, πολλὰς ἔχουσαν λύσεων ἀφορμάς, ἑτέρωθεν ἐπιλύσασθαι, καὶ τὰ ἑπόμενα τῇ ἀφέσει τῶν ἁμαρτιῶν αὐτοῦ ἄτοπα ἐπισκοπήσαντα, μηδὲν τερατεύσασθαι τοιοῦτον. ἔστι μὲν οὗτος ὁ Θεόδωρος, ὁ καὶ κατ' Εὐνομίου ἐν εἴκοσι καὶ ὀκτὼ λόγοις οὐκ ἀγεννῶς ἀγωνισάμενος, καὶ τὴν Βασιλείου τοῦ θεσπεσίου, μᾶλλον δὲ τῆς ἀληθείας, κρατύνων δόξαν. ἥ τε γὰρ λέξις, καὶ τῶν λέξεων ἡ συνθήκη, καὶ ὁ νοῦς τῶν δογμάτων, καὶ τὸ πολύχουν τῆς ἀνατροπῆς, καὶ τἆλλα κατ' οὐδὲν διαλλάττει· ἀσαφὴς δέ ἐστι, καίτοι λέξεσιν οὐ ξενιζούσῃ χρώμενος. ἀλλὰ τὸ χρονοτενέσι χρῆσθαι ἐκ τοῦ ἐπὶ πλεῖστον περιόδοις, καὶ παρεμβολαῖς ἀλλεπαλλήλοις, δι' ὧν καὶ εἰς μήκιστον ὁ νοῦς ἀποτείνεται τῶν προκειμένων, ταῖς τε τῶν ὀνομάτων πλαγίαις, καὶ ταῖς μετοχικαῖς λέξεσι πλεονάζειν, τά τε αὐτὰ πολλάκις, καὶ οὐδὲ σὺν κόσμῳ ἐπανακυκλεῖν, καὶ τὰς ἐπαναλήψεις πλεῖον τῶν διηγήσεων (ὅπερ ἀμέθοδον παντελῶς) τῶν περιστάσεσι μεμεστῶσθαι, καὶ τοῖς τοιούτοις· οὐκ ὀλίγον ζόφον τῶν αὐτοῦ γραμμάτων κατασκιάζει. ἔοικε δὲ φιλοπονώτερον περὶ τὴν ἱερὰν ἡμῶν καὶ θείαν γραφὴν διατεθῆναι, εἰ καὶ ἐν πολλοῖς παρασύρεται τῆς ἀληθείας.

a ἐξ ὧν μοι.

Theodori Mopsuesteni contra Eunomium lib.

CLXXIX.

DIOSCORIDIS *De materia medica libri VII.*

a Vt. liber ... inscribatur.

LEGIMVS Dioscoridis de *materia* ᵃ [*medica*] volumen septem distinctum libris. Quorum in prioribus quinque agit de herbis, stirpibus, aromatibus, confectionéque olei & vnguenti. Item de animantibus, & de partium illorum vtilitate. De arboribus quoque, & succis, ac lachrymis. Præterea de melle, & lacte, atque adipe: déque iis, quæ frumentacea & oleracea vocantur. Adhæc de radicibus, plantis, arbustis, herbis, & quæcumque ex his vel liquorem vel fructum ad medicam facultatem vtilem habent. Quin & de vini generibus, ac de metallicis quæ nominantur, abundè tractat & plurimorum, de quibus dicere instituerat, figuram, naturam, ortus locum, quo inuestigata citius cognoscantur, accuratè describit. Parcius duntaxat vsum rei cuiusque, minúsque accuratè historiam adscribit. Vinorum item varium in his prodit apparatum.

ΔΙΟΣΚΟΡΙΔΟΥ ΠΕΡΙ ΥΛΗΣ λόγοι ζ.

Dioscorides.

ΑΝΕΓΝΩΣΘΗ Διοσκουρίδου περὶ ὕλης βιβλίον, ἑπτὰ λόγοις διῃρημένον. ἐν μὲν οὖν τοῖς πέντε περί τε βοτανῶν καὶ φυτῶν διαλαμβάνει, ἀρωμάτων τε, καὶ σκευασίας ἐλαίων καὶ μύρων, καὶ δὴ καὶ ζώων, καὶ τῆς ἀπὸ τῶν ἐν αὐτοῖς μορίων ὠφελείας, ἀλλὰ καὶ δένδρων, καὶ ὀπῶν, καὶ δακρύων, ἔτι δὲ μέλιτος καὶ γάλακτος καὶ στέατος, καὶ τῶν καλουμένων σιτηρῶν καὶ λαχανικῶν, ῥιζῶν τε καὶ φυτῶν, καὶ θάμνων, καὶ βοτανῶν. ὅσα τε αὐτῶν τὸ χύλισμα εἰς ἰατρικὴν χρείαν συντελοῦν ἔχει ἢ τὸν καρπόν. οὐ μὴν ἀλλὰ καὶ περὶ οἴνων, καὶ τῶν καλουμένων μεταλλικῶν, ἐφ' ἱκανὸν διαλαμβάνει, καὶ τῶν γε πλείστων, ὧν προὔθετο λέγειν εἶδός τε καὶ φύσιν, καὶ τόπον γενέσεως, εἰς τὸ ἀκριβὲς πρὸς ἐπίγνωσιν τοῦ ζητουμένου ἀναγράφει. ἐπ' ἔλαττον δὲ, τὴν χρείαν μόνην, ἢ οὐκ ἀκριβῆ τὴν ἱστορίαν ὑπογράφει· οἴνων δὲ διαφόρους παραδίδωσιν ἐν τούτοις διασκευασίας.

ἐν μὲν

ἐν μὲν τῷ ἕκτῳ, περὶ φαρμάκων διέξεισιν, ὅσα τέ ἐστι τῶν δηλητηρίων, καὶ ὅσα τῶν ἀλεξικάκων. ἐν δὲ τῷ ἑβδόμῳ καὶ τῆς ὅλης πραγματείας τελευταίῳ, περὶ τῶν ἰοβόλων ζώων τὴν ἱστορίαν ποιεῖται, οἷς τε οἱ περιπεπτωκότες τινὶ τούτων τὴν δυνατὴν παραμυθίαν, ἢ καὶ τελείαν εὑρήσουσι θεραπείαν. ὁ μὲν οὖν σύμπας τοῦ βιβλίου σκοπὸς οὗτος. χρήσιμον δὲ τὸ βιβλίον οὐ πρὸς ἰατρικὴν* φιλοσοφίαν μόνον, ἀλλὰ καὶ πρὸς ἐμφιλόσοφον καὶ φυσικὴν θεωρίαν. καὶ ὅσοι δὲ μετ᾽ αὐτὸν περὶ ἁπλῶν φαρμάκων ἔδοξαν γράφειν, οἱ μὲν μετέγραψαν μόνον τὸ βιβλίον: οἱ δὲ οὐδὲ κἂν* τῇ γραφῇ διασῶσαι τὸ ἀκριβὲς* προεθυμήθησαν, ἀλλὰ κατέτεμον τὸ ὁλόκληρον τῆς περὶ ἑκάστου διδασκαλίας· χωρὶς μὲν εἶδος καὶ φύσιν καὶ γένεσιν τῶν ἁπλῶν συναγείροντες, χωρὶς δὲ καὶ μεμερισμένως τὴν χρείαν καὶ ὠφέλειαν διαγράφοντες. Ἀλέξανδρος δὲ καὶ Παῦλος, καὶ Ἀέτιος, καὶ οἱ τοιοῦτοι, οὐδὲ τοῦ εἴδους λόγον ἔθεντο, μόνην δὲ τὴν χρείαν ἀκρωτηριάσαντες, τοῖς ἰδίοις συντάγμασιν ἐναπέθεντο: εἰ καὶ Παύλῳ οὐ μόνον οὐδὲν, ὧν Διοσκορίδης εἶπε, τῆς χρείας παρεῖται, ἀλλὰ καὶ ὧν ἐκεῖνος οὐκ ἐμνήσθη, οὐκ* ὀλίγων ἡ χρεία καὶ τὸ ὠφέλιμον* συντεθεῖσθαι. Ἀέτιος δὲ μετὰ τοῦ μηδὲν προσθεῖναι, καὶ πολλὰ ὧν Διοσκορίδης ἔγραψεν, οὐκ οἶδα ἀνθ᾽ ὅτου παρῆλθεν. ἀλλ᾽ οὐδ᾽ ὁ τούτων δοκῶν εἶναι πλατυντικώτερος Ὀρειβάσιος, ἅπαντα, ὅσων μνήμην ἔσχε Διοσκορίδης, ἐν ταῖς ἰδίαις συναγωγαῖς ἀνεγράψατο: ἀλλὰ καὶ τὴν χρείαν τοῦ εἴδους καὶ τῆς φύσεως ἔτεμεν. καὶ Γαληνὸς μετὰ τοῦ πλεῖστα τῶν βοτανῶν παραλιπεῖν, μόνην τὴν δύναμιν, ἢ τὴν χρῆσιν ὧν ἐμνημόνευσεν, ἔγραψε ψυχρὰν αἰτίαν τοῦ παραλιπεῖν, εἶδός τε καὶ φύσιν αὐτῶν ἀποδεδωκώς· καί τοι περὶ τῶν μεταλλικῶν διαλαμβάνων, καὶ περιεργότερον ἢ κατὰ Διοσκορίδην διέλαβεν, οὐκ ἐλαχίστῳ μέρει, οὐδὲ τοῦ χρησίμου ἐν τούτοις τὸν ἄνδρα παραδεδοκιμασμένος. οὐκ ἐπὶ τοσοῦτον δὲ, ἐφ᾽ ὅσον περὶ τῶν βοτανῶν, λόγῳ ὁρᾶται τούτου ἀπολειπόμενος. ὥστε, ὅσα γε ἐμὲ εἰδέναι, εἰς ἐπίγνωσιν εἴδους τε καὶ φύσεως καὶ γενέσεως, οὐκ ἄν τις χρησιμωτέρου, ἢ Διοσκορίδου τύχοι. ἔστι δὲ ὁ ἀνὴρ, ὡς καὶ Γαληνὸς ἐπιμαρτύρεται, ἀναζαρβεύς. ἐγὼ δὲ ἐνέτυχόν τισιν, οἳ* Πεδάνιον ἅμα καὶ ἀναζαρβέα ταῖς ἐπιγραφαῖς ἐκάλουν. πολλῶν δὲ καὶ πρὸ αὐτοῦ τὴν αὐτὴν ὑπόθεσιν συγγεγραφότων, ἀκριβέστερος ἁπάντων καὶ χρησιμώτερος πεῖρα γενέσθαι.

Sexto autem libro de iis medicamentis disserit, quæ aut noxia sunt, aut salutaria. Septimo denique & [a] huius operis vltimo, venenatorum animantium historiam scribit, ac per quænam qui in horum aliquod inciderint, aut perfectam medicinam, aut quidquid saltem solatij adferri possit, reperiant. Atque hic operi huic scopus præfigitur. quod vtilissimum sanè est, non medicæ tantùm facultati deditis, verum etiam philosophicæ ac physicæ speculationi intentis.

Iam quotquot post illum de simplicibus medicamentis scripsisse visi sunt, alij librum hunc dumtaxat transcripserunt, aliis ne in ipsa quidem sua scriptione accuratio curæ fuit; sed vniuersam de singulis doctrinam discerpserunt, dum formam, naturam, & ortum simplicium seorsim colligunt, seorsimque rursum ac diuisim vsum, & vtilitatem perscribunt. [b] Alexander verò, [c] Paulus, Aëtius, similésque ne formæ quidem rationem habuerunt: sed solius vsus summa dumtaxat veluti capita libantes, suis ea scriptis inseruerunt. Quanquam Paulus non solum eorum, quæ Dioscorides tradidit, vsum minimè omisit, sed & multorum, quorum ille non meminit, vsum, vtilitatémque accumulat. Aëtius veró præterquam quod nihil ipse addat, multa insuper, quæ Dioscorides scripserat, nescio quo consilio prætermisit. At neque Oribasius, qui his omnibus vberior esse videatur, omnia quorum Dioscorides meminit, in sua retulit collectanea; sed vsum à forma naturáque disiunxit. Galenus item cum herbarum multa genera omiserit, facultatem dumtaxat, aut vsum earum, quarum quidem meminit, descripsit, frigida sanè causa, cur harum & figuram, & naturam prætermiserit, allata. Etsi de metallicis curiosius sanè quam Dioscorides egit, non minima ex parte, & quidem vtili, virum illum superans, non adeo tamen, quantum herbarum ab illo causa vinci vicissim videtur.

Quamobrem mea quidem sententia, ad figuræ, naturæ, atque ortus intelligentiam, Dioscoride nemo facile vtilior inueniatur.

Scriptor hic, vt [d] Galenus testificatur, Anazarbensis est. Incidi tamen aliquando in eos libros, qui [e] Pedacij simul, & Anazarbei nomen in titulo præferrent. Omnibus autem, qui ante illum multi ea de re scripserunt, accuratione atque vtilitate antecellere videri [f] studet.

Margin notes (left): * φαρμάκων. — * τῇ μεταγραφῇ. — * συγγραφικοῦ. — Alexand. Trallianus. Paul. Aegin. Aëtius. — * ἀλλά. — * συντίθεσθαι. — Oribasius. — Galenus. — * Ις. Πεδάνιον ὁ Ἀναζαρβεύς.

Margin notes (right): a Ipse Dioscorides libri VI. prooemio sextum ipsum diserte statuit τὸ ἔσχατον τῆς πραγματείας. Septimum autem hunc in duos modo distractum libros in vulgatis exemplaribus videmus. — b Aphrodisiensis. — c Aeginetæ. — d Lib. VI. simpl. medicam. Prooemio. — e Quo modo in vulgatis hodie legimus: Πεδανίου Διοσκορίδου Ἀναζαρβέως ... inscriptum. — f Libro primo Prooemio.

ΑΓΑΠΙΟΥ ΛΟΓΟΙ γ΄ καὶ κ΄.

ρος΄. Agapij libri.

Ἀνεγνώσθη τοῦ μισητοῦ καὶ δυσσεβοῦς Ἀγαπίου βιβλίον, λογύδρια περιέχον τρία καὶ εἴκοσι, καὶ ἕτερα κεφάλαια διῃρημένα δύο καὶ ἑκατόν. ἐν οἷς ἅπασι δείκνυσι μὲν ἑαυτὸν ὑποκρινόμενον ὄνομα τὸ χριστιανῶν, οὐδεὶς δ᾽ οὕτω δι᾽ αὐτῶν ἐκείνων ἐλέγχεται μισόχριστος ὤν. προσφωνεῖ δὲ ταῦτα Οὐρανίᾳ τινὶ τοὔνομα γυναικὶ, συμφιλοσόφῳ ἀποσεμνύνων αὐτήν. πάντα γοῦν τἀναντία δογματίζων καὶ κεντρώνων χριστιανῶν

AGAPII libri XXIII.

CLXXIX.

LEGI AGAPII, odio digni atque impij hominis, *opus trium & viginti libellorum*, & alia præterea *Capita duo supra centum*. Quibus omnibus satis ostendit, falso eum sibi Christiani nomen vindicare, cum tantus nemo omnium CHRISTI osor, quantus Agapius vel ex his ipsis libellis, deprehendatur: quod Vraniæ cuidam fœminæ sectæ suæ studiique sociæ, vt iactat, inscribit. Cum igitur nullum dogma introducat atque confirmet, quod nō Christianæ doctrinæ aduersetur,

AGAPIUS. Principium quoddam malum per se subsistens, ab æterno esse Deo oppositum vult, quod interdum *Naturam*, *Materiam* nonnunquam, alias etiam *Sathanam*, *Diabolum mundi Principem*, *sæculi huius Deum*, aliisque sexcentis appellat nominibus. Tradit adhæc, necessario, atque inuitos peccare homines: Et corpus deterioris esse partis, diuinæ verò auræ particulam esse animam, atque (ô ingentem amentiam) eiusdem cum Deo naturæ. Vetus dein Testamentum irridet, ac Moysen ipsum cum Prophetis; quin & Domini præcursorem miserrimus ille subsannat. Hos autem ipsos, & veteris Testamenti dicta factáque omnia, (ô impietatem summam) malo illi, & cum Deo pugnanti Principio adscribit. Paradisi quoque arborem illam CHRISTUM esse fabulatur, quem etsi ore quidem venerari se fingit, factis tamen ipsis & opinionibus, quantum exprimi verbis haud potest, blasphemat. Trinitatem insuper consubstantialem fateri se dicere audet execrandus ille, sed hoc impiè ac malitiosè, tantúmque vt pietatis hisce vocabulis decipiat, simplicius ac minus circumspectè ad eum accedentes, vtque pestilente dogmatis veneno, hac quasi dulcedine quadam temperata, atque commista, huius illos noxæ confestim adimpleat. Sic & corpus se CHRISTI honorare ac prædicare ait, & CHRISTUM Cruci affixum, immo ipsam crucem, baptismum, sepulturam, atque resurrectionem eius, mortuorúmque adeo omnium resurrectionem ac iudicium; &, vt semel dicam, omnia ferè pietatis ac Christianæ religionis vocabula ad alios, vel absurdos atque abominandos, vel alienos ac stultos, vel ineptos & incongruos sensus transferens atque traducens, suam ita nititur confirmare impietatem. Tantam verò dolo mistam impietatem meditatus est, vt cum intolerabile odium, bellúmque implacabile, cooperante illi diabolo, cum semper Virgine MARIA, ac matre CHRISTI Dei nostri gerat, MARIÆ tamen nomen per simulationem vsurpare, eámque matrem CHRISTI mendaciter appellare, nec Dei, nec vllius omnino pudoris metu vereatur. Quamobrem & venerandam saluiferámque CHRISTI Crucem mille conuiciis lacerans, atque ad Iudæos propulsandos telum per blasphemiam appellans, dicere nihilominus impudenter audet, honore dignam se, ac veneratione CHRISTI Dei crucem ducere, aliis nimirum appellationibus res peruersè enuncians. Sic & corpus, & sanguinem CHRISTI fabulatur, non illud, quod Christiani agnoscimus, sed quod rabida ipsius ac furiosa mens confinxit: Voces quidem piorum admittendo, res verò ipsas allatrando. De sole præterea, & luna sine pudore veluti de Diis disserit, eiusdémque cum Deo esse naturæ prædicat: neque sensu horum lucem percipi, sed sola mente posse intelligi, mentitur homo sensu carens communi. Hinc & incorporea, formæque ac coloris expertia hymnis celebrans, cultum illis maiestatémque attribuit. Abstinentiam verò à carnibus, atque à re vxoria, tanquam à rebus detestandis, maximè ipse detestandus, simulat. Vinum quoque velut ebrietatis causam auersatur, non considerans vino id vitium minimè, sed immoderato indecentique vsui tribuendū, vt & ciborū omniū, imo & ipsius aquæ immodicus vsus nocet.

ἀρχὴν πονηρὰν αὐθυπόστατον ἀντικειμένην ἐξ ἀϊδίου τῷ Θεῷ, ἣν ποτὲ μὲν φύσιν, ἄλλοτε δὲ ὕλην, καὶ ἄλλοτε [δὲ] σατανᾶν καὶ διάβολον καὶ ἄρχοντα τοῦ κόσμου, καὶ θεὸν τοῦ αἰῶνος τούτου, καὶ * μυρίοις ἄλλοις ἀποκαλεῖ. ἀνάγκῃ τε καὶ ἄκοντας τοὺς ἀνθρώπους πταίειν διατείνεται· καὶ τὸ σῶμα τῆς φαύλης μοίρας εἶναι· τῆς θείας δὲ τὴν ψυχὴν καὶ ὁμοούσιον (φεῦ τῆς μανίας) τῷ Θεῷ. τὴν δὲ παλαιὰν γραφὴν κωμῳδεῖ, Μωσέα τε αὐτὸν, καὶ τοὺς προφήτας, καὶ δὴ καὶ τὸν πρόδρομον ὁ τρισάθλιος δυσφημεῖ. ἀνατίθησι τε τούτους, καὶ πάντα τὰ ἐν τῇ παλαιᾷ λελεγμένα τε καὶ πεπραγμένα (ὢ τῆς ἀθεότητος) τῇ χείρονι καὶ ἀντικειμένῃ τῷ Θεῷ ἀρχῇ· καὶ τὸ ἐν παραδείσῳ φυτὸν, τὸν Χριστὸν εἶναι τερατολογεῖ: ὃν καὶ χείλεσι μὲν τιμᾶν ὁμολογεῖ, ἔργοις δὲ καὶ δόξαις, οὐδ᾽ ἔστι λόγοις παραστῆσαι, ὅσον βλασφημεῖ. καὶ τριάδα δὲ ὁμοούσιον ὁ κατάρατος λέγει μὲν ὁμολογεῖν, ἀλλὰ δυσσεβῶς καὶ κακούργως· ἵνα μόνον κλέψῃ τῆς εὐσεβείας τοῖς ῥήμασι τοὺς ἁπλουστέρους αὐτοῦ ἢ ἀμαθεστέρους προσιόντας, καὶ τὸν ὀλέθριον τοῦ δόγματος ἰὸν τούτοις οἷον γλυκάνας καὶ κερασάμενος, ἀθρόον τῆς αὐτοῦ πληρώσῃ λύμης. οὕτω δὴ καὶ σῶμα λέγει τιμᾶν καὶ κηρύσσειν Χριστοῦ, καὶ Χριστὸν ἐσταυρωμένον, καὶ σταυρὸν καὶ βάπτισμα, καὶ ταφὴν Χριστοῦ, καὶ ἀνάστασιν, καὶ νεκρῶν ἀνάστασιν, καὶ κρίσιν· καὶ ἁπλῶς σχεδὸν ἅπαντα τὰ τῆς εὐσεβείας καὶ παρὰ Χριστιανοῖς ὀνόματα, ἐπ᾽ ἄλλας ἢ ἐκτόποις καὶ βδελυκτοῖς, ἢ ἀλλοκότοις καὶ μωραῖς, ἢ ἀναρμόστοις καὶ ἀνακολούθοις ἐννοίαις, μεταφέρων καὶ περιτιθεὶς, οὕτω τὴν οἰκείαν ἀσέβειαν πειρᾶται κρατύνειν. καὶ τοσοῦτον αὐτῷ τὸ ἄθεον μετὰ τοῦ δολίου μεμελέτηται, ὥστε μῖσος ἄσχετον καὶ πόλεμον ἄσπονδον ἔχοντι κατὰ τῆς ἀειπαρθένου Μαρίας καὶ μητρὸς Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, συνεργεῖν αὐτῷ τὸν διάβολον: ὅμως συμπλάττεται αὐτῷ καὶ Μαρίας ὄνομα· καὶ μητέρα Χριστοῦ τερατολογεῖν αὐτὴν, οὐκ ἔστι φόβος Θεοῦ, οὐδέ τις ὅλως αἰσχύνη. διὸ καὶ τὸν τίμιον καὶ * σωτήριον τοῦ Χριστοῦ σταυρὸν, μυρίαις ὕβρεσι βάλλων, καὶ ἀμυντήριον Ἰουδαίων δυσφημῶν, ὅμως ἀναισχυντεῖ, λέγων τιμῆς ἀξιοῦν καὶ σεβασμιώτατον τὸν σταυρὸν τοῦ Θεοῦ Χριστοῦ. ἀλλὰ πράγματα ἑτέροις ὀνόμασι κακούργως ὑποδηλῶν. οὕτω καὶ σῶμα καὶ αἷμα Χριστοῦ, οὐχ ὃ ἴσμεν Χριστιανοὶ, ἀλλ᾽ ὃ ἡ λυσσώδης αὐτοῦ καὶ μανικὴ διάνοια ἀνεπλάσατο, μυθολογεῖ· τὰς μὲν τῶν εὐσεβῶν λέξεις συνομολογῶν, κατὰ δὲ αὐτῶν τῶν πραγμάτων ὑλακτῶν. Ἥλιον δὲ καὶ Σελήνην, ἀναισχύντως θεολογεῖ, καὶ ὁμοούσια κηρύττει Θεῷ. οὐκ αἰσθητὸν αὐτῶν τὸ φῶς, ἀλλὰ νοητὸν ὁ ἀναίσθητος τερατευόμενος. διὸ καὶ ἀσώματα, καὶ ἀσχημάτιστα, καὶ ἀχρωμάτιστα αὐτὰ ἐξυμνῶν, τὸ σέβας αὐτοῖς ἀνάπτει. νηστείαν δὲ κρεῶν, καὶ γάμων ἀποχὴν ὡς βδελυρῶν, ὁ βδελυρώτατος ὑποκρίνεται. καὶ τὸν οἶνον οἷα δὴ μεθυστικὸν ἀποστρέφεται· οὐ συνορῶν, ὡς οὐχ ὁ οἶνός ἐστι μεθυστικὸς, ἀλλ᾽ ἡ ἄμετρος καὶ παρὰ τὸ πρέπον χρῆσις· ὥσπερ καὶ τροφῆς ἁπάσης, καὶ ὕδατος ἡ παρὰ τὸ μέτριον χρῆσις βλαβερὸν.

θεολογεῖ

* al. μυρίοις ἄλλοις.

* ζωοποιόν: κυρίου σταυρόν

θεολογεῖ δὲ ὁ δύστηνος καὶ τὸν ἀέρα, κίονα αὐτὸν καὶ ἄνθρωπον ἐξυμνῶν. τὸ πῦρ δὲ μυσάττεται καὶ τὴν γῆν, εἰς τὴν χείρονα μοῖραν συντάττων αὐτά, καὶ ἄλλους λήρους καὶ φλυαρίας πολλάς, ἔκ τε τῆς ἑλληνικῆς ἐρανισάμενος δεισιδαιμονίας, καὶ ἐκ τῆς ἰδίας ἀναπλασάμενος τερατείας, φορυτὸν κακῶν, καὶ ἀσεβείας ἔσχατον τὸ οἰκεῖον παρίστησι δόγμα. ἀποσπαράσσων δὲ ῥητά τινα τοῦ θείου εὐαγγελίου, καὶ τῶν ἐπιστολῶν τοῦ θείου Παύλου, πειρᾶται στρεβλοῦν αὐτά, καὶ πρὸς τὴν οἰκείαν δυσσέβειαν ἕλκειν. καὶ ταῖς λεγομέναις δὲ πράξεσι τῶν δώδεκα ἀποστόλων, καὶ μάλιστα Ἀνδρέου, οὐ μόνον οὐ συντίθεται, ἀλλὰ κἀκεῖθεν ἔχει τὸ φρόνημα ἠρμένον. κρατύνει δὲ καὶ τὰς μετεμψυχώσεις· τοὺς μὲν εἰς ἄκρον ἀρετῆς ἐληλακότας, εἰς θεὸν ἀναλύων· τοὺς δ' εἰς ἄκρον κακίας, πυρὶ διδοὺς καὶ σκότῳ· τοὺς δὲ μέσως πως πολιτευσαμένους, πάλιν εἰς σώματα κατάγων. κέχρηται δὲ μάρτυσιν ἀπηρυθριασμένως καὶ τοῖς τὴν Ἑλλήνων θρησκείαν ἠγαπηκόσι, μάλιστα δὲ Πλάτωνι, πρὸς σύστασιν τῆς ἰδίας θεομαχίας, θείους αὐτοὺς καὶ ἱερούς, ὥσπερ καὶ τὸν παρ' αὐτοῦ Χριστὸν καὶ σωτῆρα, ἀποκαλῶν. καὶ ἄλλα δὲ πολλῆς ἀνοίας καὶ δόλου καὶ ἀθεότητος ἔμπλεα. μάχεσθαι δὲ δοκεῖ πρὸς τὴν Εὐνομίου κακοδοξίαν, αὐτός, οὐδ' ἔστιν εἰπεῖν, ὅσον ἐκείνου ἀθεώτερον βλασφημῶν. Ἔστι δὲ τὴν λέξιν καὶ φράσιν ἐνιαχοῦ μὲν οὐκ ἀδόκιμος, καὶ μάλιστα ἔκφρασίν τινος εἴ τι μελετῴη. ἐν δέ τισιν εὐτελής, καὶ οὐδὲν διενηνοχὼς τῶν ἐκ τριόδου. μετεῖχε δὲ φιλοσόφων τινῶν ὁ ἄθλιος μαθημάτων, οὐδ' ἐκείνοις τὸ εὐόθετον καὶ γνήσιον διασώζων, ἀλλὰ πάντα κινῶν, καὶ συμφύρων. καὶ κακουργῆσαι μὲν τἀληθὲς καὶ εὐθύ, οὐ πόρρω τῆς δραστηρίου καὶ δεινότητος, ἐξευρεῖν δὲ καὶ κατανοῆσαι, παντελῶς εὐήθης καὶ ἠλίθιος. χρησιμεύει δὲ τὸ ἀθεώτατον αὐτοῦ καὶ ἀχρηστότατον σύνταγμα εἰς ἔλεγχον μόνον καὶ αἰσχύνην τῆς τε δυσσεβεστάτης καὶ ἀθέου δόξης τῶν μανιχαίων καὶ αὐτοῦ ἐκείνῳ προσανακειμένων.

Alio Andreæ.

AGAPIVS.

De aëre item infelix ille tanquam de Deo quopiam disputat, vt columnam eum, & hominem hymnis celebrans. Ignem tamen aspero natur, terrámque, & peiori hæc parte collocat. Sic aliis quoque deliramentis nugísque multis, cum è Græcorum superstitione emendicatis, tum prodigiosè è suo confictis cerebro, malorum colluuiem, atque impietatis apicem, suam stabilit sectam. Diuellit & dicta quædam à sacro Euangelio, epistolísque B. Pauli, quæ & ipsa detorquere molitur, atque ad suum trahere impium dogma.

Actis item illis, quæ duodecim Apostolorum vocantur, & Andreæ ᵃmaximè, non solum assentitur, sed etiam inde superbia extollitur. Probat insuper animarum migrationes: alios quidem, qui ad summum virtutis culmen peruenerunt, in Deum resoluendo: alios vero, qui summum improbitatis attigerunt, igni tradendo ac tenebris; alios denique, qui medio quodam modo vitam instituerunt, in corpora iterum reuocando. Testibus præterea sine verecundia, etiam iis ad suam stabiliendam impietatem vtitur, qui Gentium religionem fuerunt amplexi, maximéque Platone, diuinos illos ac sacros (quibus æquè nominibus CHRISTVM Seruatorem afficit) appellans. Alia quoque adfert ingentis amentiæ, fraudis, atque impietatis plenissima. In Eunomij item errorem inuehi videtur, cum ipse, quantum vix credi potest, impiè magis quam ille blasphemet.

a De quibus traxit D. Baron. To. I. ad annū Christi 44.

Dictio eius & phrasis interdum quidem non contemnenda, præsertim si quid aut describere, aut explicare satagit; in quibusdam rursus vilis, nihilque à triuialibus differens. Attingit & Philosophica quædam dogmata miser ille, in quibus tamen germanum nihil aut genuinum retinet, sed omnia miscet, atque confundit. Ad deprauandum etenim verum rectúmque non parum in agendo strenuus, vel in dicendo solers, ad inueniendum atque excogitandum simplex omnino ac stolidus deprehenditur. Prodest autem impium illius, atque ineptissimum Opus, ad reprehendendum dumtaxat, pudorémq; incutiendum, cum Manichæorum impiissimam doctrinam, tum hunc ipsum sectantibus.

ΙΩΑΝΝΟΥ ΛΑΥΡΕΝΤΙΟΥ ΦΙΛΑΔΕΛΦΕΩΣ τοῦ Λυδοῦ, πραγματεῖαι γ'.

IOANNIS LAVRENTII *Philadelphensis Lydi Tractatus tres.*

CLXXX.

ρπ'. *Ioan. Laurentij Philadelp. Lydi tractatus III.*

ἈΝΕΓΝΩΣΘΗΣΑΝ Ἰωάννου Λαυρεντίου Φιλαδελφέως τοῦ Λυδοῦ, πραγματεῖαι τρεῖς· περὶ διοσημειῶν, περὶ μηνῶν, περὶ ἀρχῶν πολιτικῶν. ἀλλ' ἡ μὲν περὶ διοσημειῶν, ὅσα γε κατ' ἐμὴν κρίσιν καὶ πεῖραν, οὐδὲν ἢ ἐπ' ὀλίγον διενήνοχε μύθων. ἡ δὲ περὶ μηνῶν· εἰ καὶ πολὺ τὸ ἄχρηστον ἔχει, ἀλλ' οὖν πρὸς τὴν τῆς ἀρχαιότητος μάθησιν ἐπίχαρί τε καὶ λίαν χρειῶδες. ἡ δὲ περὶ πολιτικῶν ἀρχῶν, τοῖς περὶ τὰ τοιαῦτα μάλιστα φιλοτιμουμένοις, οὐκ ἄκομψον παρέχεται τὴν ἱστορίαν. κέχρηται δ' οὗτος ὁ συγγραφεὺς τροπαῖς κατακόρως. καὶ πολλαχοῦ μὲν ψυχρῶς ἄγαν καὶ παραβόλως, ἔστι δ' ἔνθα οἰκείως καὶ ἐπαφροδίτως· καὶ τοῖς ἄλλοις δέ, πολλὴν νοσεῖ τὴν ἀνωμαλίαν, ᵃὑψηλόπτης ἐν οἷς οὐ δεῖ, καὶ κατεπτηχὼς πάλιν ἐν οἷς μὴ δεῖ· κόλαξ τε τῶν περιόντων ἀπροφάσιστος.

ᵃ al. ὑψηλόνους.

LEGI IOANNIS LAVRENTII *Philadelphensis Lydi Tractatus tres: De Prodigiis, de Mensibus, & de Politicis Magistratibus.* At ille de Prodigiis, mea quidem sententia, atque iudicio, parum aut nihil à fabulis differt. Alter verò de Mensibus, etsi inutilia multa continet, ad antiquitatis tamen gratam atque iucundam cognitionem vehementer prodesse potest. Denique de Magistratibus politicis liber, iis potissimum, qui eiusmodi ambiunt, non inelegantem adfert historiam.

Vtitur autem hic scriptor verborum immutationibus ad satietatem, & plerumque frigidè nimis atque audacter, etsi interdum quoque propriè ac venuste. In aliis item inæqualitate laborat, dum fastuosum agit, vbi nō oportet; & contra abiectus est, vbi & hoc minimè decet. Adulator adhæc superstitū inexcusabilis,

10. LAVR. in mortuorum vero & à quibus vindictā non timeret, reprehensiones, immodicè effusus. Dictione præterea vtitur interdum quidem selecta, atque Atticorum more sublimi: & est rursum, vbi ea repat humi, atque neglecta sit, nihilque supra triuialem adferat. Verum in libris de Prodigiis ac Mensibus nemo fortassis idcirco ipsum admodum reprehenderit: quando tamen de Politicis agens Magistratibus, & historicas referens narrationes, aut aliquos laudandos suscipiens, eandem retinet dicendi inæqualitatem, cum in dictionibus atque sensibus, tum in compositione scriptorum, nullam ego veniam deinceps eiusmodi vitia mereri video.

Militauit hic vir sub præfectis annum agens vicesimum primum. Ætatis verò quadragesimo causas egit, deinde & [a] Matricularius fuit, post quæ tempora & Tractatus illos se conscripsisse refert, Imperatoris iudicio palatio dignum esse habitum. De tempore quo vixit: Anastasij imperium attigit, & Iustini transegit, gubernantis insuper post illum Iustiniani emetiens. Religione vero superstitiosior videtur. Gentilium enim sectam colit simul, & fidem nostram, sic tamen, vt lector non facile colligat, vtrum sic verè sentiat, an potius veluti in scena ludat.

[a] Vesoi, fort. an militiæ tabulis præfuit? Indices enim & catalogos turifferis [?] matrices ac per diminutionem, matriculas appellare solent.

CLXXXI. DAMASCII DAMASCENI *liber, De Isidori Philosophi vita.*

LECTVS est DAMASCIVS *Damascenus de Isidori Philosophi* [a] *vita*. Liber est multorum versuum, in [b] capita ferè sexaginta diuisus. Isidori autem vitam scribere instituens, Theodoræ cuidam fœminæ opus inscribit, Ethnicorum æquè cultum sectanti, & Philosophicæ doctrinæ, omniúmque siue ad Poeticam, siue ad Grammaticam facultatem spectantium non imperitæ, immo & ad Geometricam, atque Arithmeticam speculationem euectæ; quam vna cum iunioribus sororibus Isidorus ipse, atque Damascius variis docuerant temporibus. Filia hæc fuit Cyrinæ, atque Diogenis, Eusebij F. [?] Iamiani Nep. qui genus duxit à Sampsigeramo, & Monimo, à quibus & Iamblichus originem repetit, viris qui primas in Idololatrica superstitione tulerunt. Igitur Damascius Isidori vitam huic dedicat, cuius etiam petitio, accedentibus & aliis quibusdam causis, auctorem ad scribendum impulit, vt testatum ipse reliquit. Neque tamen Isidori magis vitam, quam multorum aliorum, qui vel eadem cum eo, vel præcedente ætate floruerunt, vna describit: actis quoque eorum, ac narrationibus cum digressionibus plurimis ad satietatem adiunctis.

[a] Excerpta inde inf. reperies cap. 242.
[b] Quæ etiam distinctione vsus dicitur sup. cap. 190.

Ad religionem porro quod attinet, summe is impius fuit, & nouis atque anilibus fabellis [c] animum simul ac sermonem refertum gerens. Quare & sāctam fidē nostram, tamětsi timidè, tectáq; maleuolentia, non raro tamen allatrat.

[c] Quem aperuisse videtur quatuor illis Paradoxorum libris sup. cap. 190.

καὶ τῶν ἀποιχομένων, καὶ παρ' ὧν οὐ τοπάζει δίκην ὕβρεως πράττεσθαι, εἰς τὸ φορτικώτατον τοὺς μώμους καταχέων. καὶ λέξει μὲν ἔστιν οὗ κέχρηται λογάδι τε καὶ εἰς τὸ ἠττικισμένον ἀνηγμένῃ, ἔστι δ' ὅπου χαμαιπετεῖ τε καὶ παρεωραμένῃ, καὶ μηδὲν ἐχούσῃ τῆς ἐκ τριόδου πλέον. ἀλλ' ἐν μὲν τῇ περὶ διοσημειῶν καὶ περὶ μηνῶν συγγραφῇ, τούτου γε ἕνεκα, οὐ μάλιστα ἄν τις ἴσως αὐτὸν νεμεσήσῃ. ὅτε δὲ καὶ πολιτικὰς ἀρχὰς ἀναγράφων, καὶ δὴ καὶ ἱστορικοὺς διεξιὼν λόγους, ἀλλὰ καὶ εἰς ἐνίων ἐγκώμια καθιεὶς ἑαυτὸν, τῆς αὐτῆς ἐστὶ φίλος ἀνωμαλίας, περί τε τὴν λέξιν καὶ τὸν νοῦν, καὶ τὴν σύνταξιν τῶν γεγραμμένων, εἰς οὐδεμίαν λοιπὸν συγγνώμην ὁρῶ τὴν τοιαύτην πλημμέλειαν ἀναφερομένην. ἐστρατεύσατο δ' οὗτος ὁ ἀνὴρ ὑπὸ τοῖς ὑπάρχοις, ἄγων ἡλικίας κα'. ἔτη δὲ μ' δικολόγος ὢν, εἶτα καὶ ματρικουλάριος. μεθ' ὃν χρόνον καὶ τὰς εἰρημένας λέγει συγγράψαι πραγματείας, καὶ τῆς βασιλικῆς αὐλῆς ψήφῳ βασιλέως ἀξιωθῆναι. χρόνος δὲ, καθ' ὃν οὗτος ἐβίω, Ἀναστασίου ἥπτετο τῆς βασιλείας, καὶ τὴν Ἰουστίνου ἐπεραίου, μαχρῶν [?] καὶ τοῦ μετ' ἐκεῖνον Ἰουστινιανοῦ. τὴν δὲ θρησκείαν ὁ ἀνὴρ ἔοικε δεισιδαίμων εἶναι. σέβεται μὲν τὰ ἑλλήνων καὶ θειάζει. θειάζει δὲ καὶ τὰ ἡμέτερα, μὴ διδοὺς τοῖς ἀναγινώσκουσιν ἐκ τοῦ ῥᾷστου συμβαλεῖν, πότερον οὕτω νομίζων θειάζει, ἢ ὡς ἐπὶ σκηνῆς.

ΔΑΜΑΣΚΙΟΥ ΔΑΜΑΣΚΗΝΟΥ εἰς τὸν Ἰσιδώρου τοῦ φιλοσόφου βίον.

ρπα'. Damascius Damascenus de Isidori vita.

ΑΝΕΓΝΩΣΘΗ Δαμασκίου Δαμασκηνοῦ εἰς τὸν Ἰσιδώρου τοῦ φιλοσόφου βίον. ἔστι μὲν οὖν τὸ βιβλίον πολύστιχον, οἱονεὶ δὲ κεφαλαίοις ἑξήκοντα ἀπαρτίζεται. γράφειν δὲ τὸν Ἰσιδώρου βίον προθέμενος, Θεοδώρᾳ τινὶ τὸ σύνταγμα προσπεφώνηκεν, ἑλληνικὰ μὲν καὶ αὐτῇ θρησκείαν τιμώσῃ, μαθημάτων δὲ τῶν τε κατὰ φιλοσοφίαν, καὶ ὅσα περὶ ποιητάς τε καὶ γραμματικὴν στρέφεται ἐμπειρίαν, οὐκ ἀπείρως ἐχούσῃ· ἀλλά γε καὶ πρὸς γεωμετρικήν τε καὶ ἀριθμητικὴν ἀνηγμένῃ θεωρίαν· αὐτοῦ τε Ἰσιδώρου καὶ Δαμασκίου τὴν διδασκαλίαν αὐτῇ τε καὶ ταῖς νεωτέραις ἀδελφαῖς κατὰ διαφόρους χρόνους πεποιημένων. αὕτη θυγάτηρ ἐγεγόνει Κυρίνας. καὶ Διογένους τοῦ Εὐσεβίου τοῦ Φλαβιανοῦ, ὃς εἷλκε τὸ γένος ἀπὸ Σαμψιγεράμου τε καὶ [a] Μονίμου, εἰς οὓς ἀνάγεται καὶ Ἰάμβλιχος, ἄνδρας τὰ πρῶτα τῆς εἰδωλολατρούσης ἀσεβείας ἀπενηνεγμένους. τὴν μὲν οὖν βιογραφίαν Ἰσιδώρου Δαμάσκιος ταύτῃ προσφωνεῖ, ἧς καὶ ἡ ἀξίωσις, καὶ ἄλλων τινῶν συνεργίαν γεγονημένων [?], τῆς προτεροπῆς, αἰτία κατέστη τῆς συγγραφῆς, καθάπερ αὐτὸς ἐπιμαρτύρεται, τῆς σπουδῆς. οὐ μὴν γε μᾶλλον Ἰσιδώρου βίον, ἢ πολλῶν ἄλλων, τῶν μὲν συνακμακότων τἀνδρὶ, τῶν δὲ καὶ προγεγονότων, συναναγράφει· πράξεις τε καὶ διηγήματα τούτων συνδιατιθεὶς, καὶ πλείστῃ χρώμενος καὶ κατὰ κόρον τῇ παρεκδρομῇ. Ἔστι δὲ τὴν μὲν περὶ τὰ θεῖα δόξαν εἰς ἄκρον δυσσεβὴς, καινῶν δὲ καὶ γραοπρεπῶν μυθολογιῶν, αὐτόν τε τὸν νοῦν καὶ τοὺς λόγους, πεπληρωμένος. διὸ καὶ τῆς ἱερᾶς ἡμῶν εἰ καὶ δειλιώσῃ καὶ λαθραιοτέρᾳ κακοφροσύνῃ, ὅμως οὐκ ὀλιγάκις καθυλακτεῖν ἀσεβείας πάντων

[a] al. Μονίμου. Iambucus.

πάντων δ' ὅσους ἐξαίρει τοῖς λόγοις, καὶ κρείττους ἢ κατ' ἀνθρώπων φύσιν θειάζει γεγονέναι, τῇ τῶν ἐπιστημῶν τελειοτάταις θεωρίαις, καὶ τῷ τάχει τῆς διανοίας· τούτων ἑκάστου κρείττω ἑαυτὸν ἀποκαθιστῶν, οὐκ ἔστιν ὅτου μὴ καθήψατο, ἐφ' ἑκάστου τῶν θαυμαζομένων ὡς μὴ ἂν δεύτερον ἔχειν: τοῦ μὲν εἰς ἀγχίνοιαν ἐξῃρημένου, ὅτι μὴ πάντα ἀγχίνους· τοῦ δ' εἰς ἐπιστήμας ἀπαραβλήτου, ὅτι μὴ πάντα ἐπιστήμων· καὶ δὴ καὶ τοῦ εἰς ἀρετὴν ἰσάζοντος θεῷ, ὅτι πολλῶν ἐνδεής. οὕτως ἐκείνων ἕκαστον, οὓς ἄνω φέρων ἐξῆρεν κατ' οὐρανὸν, καὶ ῥίπτων χαμαὶ, τὸ κράτος ἑαυτῷ κατὰ πάντων καὶ ἐπὶ πᾶσι λεληθότως ἁρπάζει. διὸ καὶ Ἰσίδωρον οὐχ ἧττον ἐπαινῶν, ἢ ψόγοις περιβάλλων διατελεῖ. καὶ τοῖς γε ἐξ ὧν ἀλλοτρίας τε λογικὰς ἀπορίας καὶ λύσεις, ὡς δὴ θαυμασίους, προχορηγεῖ, καὶ ὡς αὐτὸς ἐπὶ τάχει νοῦ καὶ ἀκριβείᾳ ἐπιστήμης, μέγα φρονῶν, εἰς μέσον προάγει: οὔτε τι τῆς περὶ φιλοσοφίαν συνήθους ὑψηλότερόν ἐστιν εὑρεῖν τὸν ἄνθρωπον κατωρθωκότα· οὔτε μὴν εἰς δεινότητα καὶ ἀγχίστροφον διανοίας τάχος, ὅσηγε ἀνθρωπίνη, μὴ ὅτι γε δαιμονία, αἰνιγμένον· ἀλλ' οὐδέ τινα τῶν μετρίως πως περὶ φιλοσοφίαν ἐχόντων, μή τί γε δι' ἀκριβείας ἐντελοῦς ἡγμένων, οἷς ἐκεῖνος ἐλλαμπρύνεται, σεμνυνόμενον. τὴν μέντοι φράσιν ὁ ἀνὴρ, κατά γε τὸ πλεῖστον αὐτοῦ τῶν λέξεων, οὐ πόρρω τείνει τοῦ σαφοῦς. ἔχει δέ τι καὶ τῶν ἄλλων ἰδεῶν, ὅσαι χαρακτηρίζονται λέξεσι, τήν τε τραχεῖαν, φημὶ, δι' ἧς τραχύνεται ἡ ἠχὼ, καὶ δὴ καὶ ὅτι πλατύνει τὴν φωνὴν, καὶ τὴν εἰς τὸ ποιητικώτερον, εἰ καὶ σπανιάκις, ἐλευθεριάζουσαν. καὶ αἱ τροπικαὶ δὲ διαμορφοῦσιν αὐτοῦ τοῖς λόγοις οὐκ εἰς ἄμουσον ψυχρολογίαν, ἢ τροπὰς ἀποτόμους ἐκφερόμεναι: ἀλλ' ἔχ γε τοῦ ἐπὶ πλεῖστον, τὸ γλυκύ τι καὶ χαρίεν τὸ καθ' ἑαυτὰς παρεχόμεναι. ἀλλὰ σαφὴς ὢν τῷ πλείστῳ τῶν λέξεων μέρει, οὐκ ἔτι καὶ τῇ ὅλῃ τοῦ λόγου οἰκονομίᾳ τοιοῦτος καθέστηκεν. ἥ τε γὰρ συνθήκη, οὐ συνθήκη μᾶλλον, ἢ καινοπρέπεια. καὶ ἡ περιβολὴ κόρον ἐμποιοῦσα συχνὸν, τό τε εἰς σαφήνειαν ἐπηλυγάζει προφαινόμενον, καὶ τὴν ἄλλην ἅπασαν τοῦ λόγου σπουδήν. διὸ καὶ χαρίεις ἂν ἄλλως ὁ λόγος εἶναι δυνάμενος, τὴν ὅσην ἂν δυνατὸς ἦν κεκαλλωπισμένων τούτων χάριν παραδεῖν τοῖς εἰρημένοις ἀφήρηται. καὶ αἱ περιβολαὶ δὲ οὔτι γε δριμείας διανοίας, οὐδ' ἐπαφρόδιτοι, οὐδὲ τὸ γοργὸν ὑπέχουσαι, αἷς ἄν τις κατὰ τροπὴν καλλωπίσαιτο. ἀλλὰ ταῦτα δὴ τῶν κοινῶν καὶ ἐπιπολαίων, καὶ οὐδὲ τὸ ἀναγκαῖον τῇ χρήσει καὶ τῇ περιστάσει ἀναφαίνοντα βλαστήματα. τὰ δὲ σχήματα εἰ μὴ κατὰ τὸ πλεονάζον ἐπὶ μήκιστον ταῖς περιόδοις ἐξετείνετο, οὔτ' ἂν αὐτὰ τὸ μὴ κατὰ τὸ μᾶλλον μεγεθύνεσθαι, οὔτε τὸ μὴ τὸ ποικίλον ἀπενήνεκται, οὐκ ἂν αὐτὰ τῆς συμμέτρου κράσεως καὶ τὸ πρέπον ἰσχυούσης, ἰσχὺν εἶχεν ἀπάγειν. τὸ μέντοι ἔντονον καὶ πικρὸν περίεστι τῶν λόγων· ἀλλὰ καὶ τοῦτο πολλάκις ἐκλύεται, οὐ μίξει καὶ κράσει τῶν ἰδεῶν, ὅπερ ἄριστον: ἀλλ' ἐπιλείψει κατὰ τὸ βιαζόμενον, τῶν τοιούτων τὴν φράσιν καὶ ὀγκούντων λέξεών τε καὶ τῶν ἄλλων μερῶν τῆς τοιαύτης ἰσχύος.

Quotquot autem verbis extollit, & quia ob doctrinæ excellentiam, quia ob ingenij solertiam supra humanam conditionem, vt diuinos celebrat, horum cuiusque iudicem seipsum constituens, nullum non perstringit; in singulis etiam quos laudarat, aliquid desiderans. in acri ingenio prædito, quod non per omnia æquè solers sit: in eo qui incomparabili est scientia, quod non sciat, immo & in eo, qui virtute DEO proximus videatur, quod adhuc multa ei desint. Ita singulos eorum, quos in Cœlum antea sustulerat, rursum detrahendo, humóque allidendo, imperium sibi in omnes, & de omnibus latenter arrogat. Quambrem Isidorum quoque assiduè non magis laudat, quam vituperiis onerat. Neque verò ex logicis cum quæstionibus, tum solutionibus, quas vel ex aliis ille pro admirandis, vel de suo pectore (ob celerem mẽtis agitationem & accuratiorem scientiam arroganter sese efferens) in medium producit, quidquam supra eos, qui in philosophia versari vulgo solent, ab hoc homine paulo felicius confectum reperias; aut rursum ad acumen eum, & volubilem mentis agitationem, quantum saltem homini fas est, nedum quantum Deo, peruenisse, sed neque alia ostentare, quæ vel mediocria in rebus Philosophicis sint. mitto quæ per summam accurationem deducantur, quibus tamen ille nominibus clarus illustrísque habetur. DAMASC,

Ad stylum quod attinet, pleráque eius verba non procul à perspicuitate discedunt; Habet item aliquid aliarum formarum; quæ verbis designantur: asperitatem, inquam, qua pronunciatio asperior, ac vox quasi planior redditur; & in Poëticum præterea vsum, raram quidem, sed liberiorem euagationem. Tropi verò ita eius efformant orationem vt in imperitam quandam, ac frigidam elocutionem, aut duriorem aliquam immutationem nequaquam deferantur, sed suauitatem vt plurimum & gratiam, ex seipsis saltem, concilient. Verum vt perspicuus sit, maximam vocum partem; vniuersa tamen orationis serie, non item. Nam & compositio eius, non tam compositio, quam innouatio quædam est. & ipsa porro circumductio assiduam adferens satietatem, non perspicuitatis modo factam speciem, verum etiam omne omnino in oratione positum studium obscurat. Quare cum iucunda posset alias oratio esse, omni illa gratia, quam his expolitis habere poterat, per ea quæ diximus spoliata est. Circumductiones adhæc, neque acriorem sensum aliquem, neque venustatem, neque velocitatem vel obiter attingunt; quibus tamen rebus non inepte quispiam glorietur: verum communium horum, atque leuium ornamentorum, ne ea quidem hic apparent germina; quæ ad necessarium vsum atque circumstantias pertineant. Iam figuræ, nisi longissimè cum redundantia per ambitus extenderentur, nunquam eas vires haberent, quibus à medio decorúmque seruante temperamento abducerent. Vehemẽtia item atque amarities abunde his inest scriptis: quáquam & illa sępenumero languescit, non mistione ac temperamento idearũ, quod foret optimũ, sed defectione dictionum, & earum partium, quæ eam vim habẽt, vt phrasim valẽtiorẽ reddãt, ac turgidiorẽs

DAMASCIVS.

quod multis quidem, eiusmodi peculiarem aliquam loquendi formam consectantibus, contingit: non tamen hoc cum laude iis saltem euenit, qui sustinere supra vires susceptum onus non potuerunt. Hoc igitur esto, vt simpliciter dicam, de eius dictione iudicium: nam in eo, qui vitam conscribit, fuerint & alia fortasse plura aduertenda. Quid enim opus ipsi erat granditatis vti forma? Legislatoris enim, ac præscribentis orationi hoc proprium. Quid dein contentio, tantáque circumductio, & compositionis insuitata ratio? sed hæc hactenus.

Damascius autem in dicendi arte tres ipsos annos Theoni operam dedit, præfuitque Rhetoricis exercitationibus annos fere nouem. Geometriæ & Arithmeticæ cæterarúmque artium doctorem habuit [a] Marinum Athenis Procli successorem. In Philosophicis disciplinis, Zenodoro Athenis vsus est magistro, qui & ipse post Marinum Proclo successit; Ammonio verò [b] Hermiæ F. Alexandriæ, quem non parum cæteris suæ ætatis Philosophis antecellere scribit, & maximè in Mathematicis. Huius in Platonicis se auditorem fuisse Damascius scribit, vt & Ptolemæi magnæ Astronomicorum syntaxeos. Dialecticæ tamen exercitationis vim vsu se ac familiaritate Isidori consecutum contendit, quem & in hac ipsa disserendi facultate omnes quotquot illud sæculum tulit, doctos homines obscurasse commemorat.

a Colot libellus de Procli Diadochi vita in manibus est Lege Suid.
b Ad distinctionem huius ab altero antiquiore Ammonio Sacca de quo Suidas.

CLXXXII. B. EVLOGII ARCHIEPISC. ALEXANDRINI *Contra Nauatum libri VI.*

LECTI sunt B. EVLOGII Alexandrini Archiepiscopi contra [a] Nauatum & de [b] administratione [Ecclesiastica] [c] libri quinque. Hominis dictio ad verba quod attinet, fere mediocriter est accurata: verum constructione non procul sæpe à solœcismo abscedit. Diuinarum adhæc scripturarum non est imperitus, quarum testimonia feliciter atque apposite cum aduersus Nauatianos, tum in aliis quibusdam rebus adhibet. Persuadet item, vt eius dicendi genius est, docetque ac placet.

[d] Refert autem Nauatum, Cornelio Pontifice, Romanæ esse Ecclesiæ Archidiaconum creatum, ad quem ipsum Pontificium, pro eius temporis more, decedente è vita Pontifice, deferebatur. Archidiaconum enim succedere summo sacerdoti statutum erat. Verum hunc (ait Eulogius) superbia laborantem Cornelius, & in suam mortem imminentem cum cognouisset, presbyterum ordinat, omnes sic illi ad supremam cathedram perueniendi spes præcidens.

Ille verò intentus in occasionem, postquam Cornelius è variis peccatis ad pœnitentiam quosdam recepit, & qua par erat pœna multatos, ad immaculatorum Mysteriorum communionem admisit; hac ansa [miser] arrepta, diuisus est ab Ecclesia, exprobrans Cornelio quod peccatorum esset receptator, seque ipsum hæresis propriæ declarauit auctorem: *Catharos* quidem sectæ socios nominans, *Cornelianos* autem vniuersæ cœtum Ecclesiæ.

a Nouatianum hunc fuisse, sed à Nouato quodam B. Cypriani Presb. seductum (qua Græci forte ansa confundendi horum nomina) discet ex BB. Cornelii, Cypr. Hieron. & aliorum Latinorum scriptis. Vide Epiphanium hæresi 59. Theodoret hæret. fab. lib. 3 & Annal. 2. Baron Card. Nicephorum item Callist. & Suid.
b Περὶ οἰκονομίας. Intellige potestatem Ecclesiæ in recipiendis lapsis. De οἰκονομίᾳ idem inf. quoque Codice CCXXVII.
c De quibus iterum, sed breuius, inf. C. CCIIX. Eorum porro exempla, quæ quidē ad sacrarum Scripturarum expositionem facerent, habes inf. Codice CCXXX. Sextus autem qui fidei de Nauato fabulas confutat, contra ipsos potius eius sectatores scriptus videtur.
d Vide inf. C. CCLXXX.

ὃ πολλοῖς μὲν τῶν γε τὴν τοιαύτην ἰδιολογίαν ἐπιτετηδευκότων συνέβη· οὐ μὴν πρὸς ἔπαινόν γε τοῖς μὴ διαβαστάσασι τὸν ὑπὲρ ἰσχὺν ἠρμένον φόρτον ἀποβαίνει. ἀλλὰ ταῦτα μὲν κρίσις ὡς εἰπεῖν ἁπλῶς γε λόγου. τῷ δὲ βίον γράφοντι, τάχα ἂν εἴη καὶ ἕτερα πλείονα. τί γὰρ αὐτῷ δεῖ τῆς μορφῆς διὰ μεγέθους ἥκουσα; νομοθέτου γὰρ καὶ προστάττοντος τοῦτο λόγου. τί δὲ τόνος καὶ περιβολὴ τοσαύτη καὶ τῆς συνθήκης τὸ ἀηθές; ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

ὁ δὲ Δαμάσκιος τήν τε ῥητορεύουσαν τέχνην ὑπὸ Θέωνι τρία ἔτη ὅλα διεπόνησε. καὶ προύστη διατριβῶν ῥητορικῶν ἐπὶ ἔτη ἐννέα. Γεωμετρίας δὲ καὶ ἀριθμητικῆς, καὶ τῶν ἄλλων μαθημάτων, Μαρῖνον τὸν διάδοχον Πρόκλου ἐν ἀθήναις ἔσχε διδάσκαλον. τῆς δὲ φιλοσόφου θεωρίας ὅ, τε Ζηνόδοτος αὐτῷ καθηγεμὼν ἀθήνησι καὶ αὐτὸς ἐγεγόνει· διάδοχος δὲ καὶ οὗτος Πρόκλου, τὰ δεύτερα Μαρίνου φέρων· καὶ Ἀμμώνιος ἐν Ἀλεξανδρείᾳ ὁ Ἑρμείου, ὃν οὐ μικρῷ μέτρῳ τῶν καθ᾽ ἑαυτὸν ἐπὶ φιλοσοφίᾳ φησὶ διαφέρειν, καὶ μάλιστα τοῖς μαθήμασι. τοῦτον καὶ τῶν πλατωνικῶν ἐξηγητὴν αὐτοῦ γεγονέναι Δαμάσκιος ἀναγράφει, καὶ τῆς συντάξεως τῶν ἀστρονομικῶν Πτολεμαίου βιβλίων. τῆς μέντοι διαλεκτικῆς τριβῆς τὰς Ἰσιδώρου συνουσίας τὴν ἰσχὺν αὐτῷ διατείνεται παρασχεῖν, ὃν καὶ ἐπὶ τῇ τοιαύτῃ τῶν λόγων δυνάμει πάντας ἀνθρώπους, ὅσους ὁ κατ᾽ ἐκείνην τὴν γενεὰν ἤνεγκε χρόνος, ἀποκρύψασθαί φησι.

Theon. Marinus. Proclus. Zenodotus. Ammonius. Ptolemæi astronomica.

ΕΥΛΟΓΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ἀλεξανδρείας, κατὰ Ναυάτου, λόγοι ς´.

ρπβ´.

ΑΝΕΓΝΩΣΘΗ Εὐλογίου τοῦ ἐν ἁγίοις ἀρχιεπισκόπου ἀλεξανδρείας κατὰ Ναυάτου, καὶ περὶ οἰκονομίας, λόγοι πέντε. ἔστι τὴν φράσιν ὁ ἀνὴρ, ὅσα μὲν εἰς λέξιν ἥκει, τοῦ μετρίου πως ἐπ᾽ ἔλαττον ἠκριβωμένος· ὅσα δὲ εἰς συντάξεις, ἐγγὺς πολλάκις τῶν σολοικιζόντων ἀφιγμένος. τῶν δὲ θείων οὐκ ἀμελέτητος γραφῶν, ἀλλὰ καὶ εὐστόχως αὐταῖς κατὰ Ναυατιανῶν καὶ ἐπ᾽ ἄλλων τινῶν κεχρημένος· πιθανὸς δὲ, ὡς ἐν τοιαύτῃ φράσει, διδασκαλικός τε, καὶ οὐδ᾽ ἄχαρις. λέγει δὲ τὸν * Ναυάτον ὑπὸ Κορνηλίου πάπα ῥώμης ἀρχιδιάκονον τῆς ῥωμαίων καθεστάναι ἐκκλησίας, εἰς ὃν ὁ τηνικάδε τύπος κρατῶν, τελευτῶντος τοῦ Πάπα, τὸν ἀρχιερατικὸν κλῆρον ἔφερε· τὸν γὰρ ἀρχιδιάκονον ἐνενόμιστο διάδοχον τοῦ ἀρχιερατεύοντος καθίστασθαι. ἀλλὰ * τῦφον τε νοσοῦντα Κορνήλιός φησι, καὶ τῷ οἰκείῳ ἐφεδρεύοντα * θανάτῳ μαθὼν, πρεσβύτερον χειροτονεῖ, πάσας τὰς εἰς ἀρχιερατικὸν θρόνον φερούσας αὐτῷ περικόψας ἐλπίδας. ὁ δὲ καιροφυλακῶν, ἐπεὶ Κορνήλιος ἐπὶ διαφόροις πταίσμασί τινας δεξάμενος εἰς μετάνοιαν, καὶ τοῖς ἀνήκουσιν ἐπιτιμίοις ὑποβαλὼν, τῆς τῶν ἀχράντων μυστηρίων κοινωνίας ἠξίωσε· ταύτην πρόφασιν ἁρπασάμενος, ῥήγνυταί τε τῆς ἐκκλησίας, ἐπικαλῶν Κορνηλίῳ τὴν τῶν ἡμαρτηκότων παραδοχὴν, καὶ ἰδίας αἱρέσεως ἀρχηγὸν ἀναδείκνυσιν ἑαυτόν. καθαροὺς μὲν τοὺς συναποστάτας ἐπονομάζων· Κορνηλιανοὺς δὲ, τὸ σύμπαν τῆς ἐκκλησίας πλήρωμα.

Eulogius Alexandriæ archiepiscopus contra Nouatum.
* al. Ναύατον
* τύφῳ
* θανατιῶντι.
Catharos. Cornelianos. Nouatianos.

ἐν μὲν

Ἐν μὲν οὖν τοῖς τέσσαρσι λόγοις κατὰ τῆς αἱρέσεως Ναυάτου κοινῶς ἀγωνίζεται ὁ συγγραφεὺς, γραφικοῖς αὐτὸν αἰκιζόμενος ῥήμασιν. ἐν δὲ τῷ πέμπτῳ ἰδίως (περὶ τοῦ δεῖν τιμᾶν τὰ τῶν μαρτύρων λείψανα, ἐπαγωνίζεται). ὃ μὴ ἀνέχεσθαι πράττειν φησὶ τοὺς ἀνὰ τὴν Ἀλεξάνδρειαν διασπαρέντας Ναυατιανούς· εἴτε τούτων μόνων καὶ τὴν τοιαύτην νόσον προσνενοσηκότων, εἴτε κοινῶς τῆς αἱρέσεως τοῦτο διαπρεσβευούσης. ἐν δὲ ἕκτῳ ἀνατρέπει τὰ παρὰ τοῖς Ναυατιανοῖς λεγόμενα ὑπομνήματα, καὶ τὴν ψευδεπίγραφον ἄθλησιν Ναυάτου ἐπισκόπου· ἐπίσκοπον γὰρ Ῥώμης τὸν αἱρεσιάρχην ἀποσεμνύνουσιν. Ἔστι δὲ τὰ ὑπομνήματα ταῦτα, εἰς ἔσχατον χυδαιότητος, λέξει τε καὶ διανοίᾳ, καὶ συνθήκῃ καὶ πᾶσι τοῖς περὶ τὸν λόγον θεωρουμένοις ἐλαύνοντα. ὑπόθεσιν δ' ἔχει, ὅτι βασιλεύοντος Ῥωμαίων Δεκίου καὶ Οὐαλεριανοῦ, Περέννιος δουκηνάριος πρόσταγμα λαβὼν παρ' αὐτῶν, πάντας τοὺς ἀνὰ τὴν Ῥώμην καὶ τὰς πέριξ ἐπαρχίας Χριστιανοὺς βαρυτάταις βασάνοις καὶ πικραῖς τιμωρίαις εἰδωλολατρεῖν ἐβιάζετο. καὶ πολλοὶ μὲν καὶ ἄλλοι ἐνεδίδουν τῇ βίᾳ. καὶ δὴ καὶ Μακεδόνιος ἐπίσκοπος ὢν τηνικάδε Ῥώμης, ἔχων ὑφ' ἑαυτὸν * πρεσβυτέρους ἐννέα, ὧν εἷς Ναυάτος ἦν. ἀλλ' ὅ γε Μακεδόνιος σὺν τοῖς ὀκτὼ ἐπιτέθυκε, μόνου Ναυάτου τὸν ὄλεθρον τὸν ψυχικὸν διαφυγόντος. τὰ μὲν ὑπομνήματα τοῦτο λέγει, καὶ τὴν ἄθλησιν Ναυάτου ἐν ἀλλοκότοις ἐρωτήσεσι Περεννίου καὶ μωροτέραις ἀποκρίσεσι Ναυάτου περιγράφει. φησὶ δὲ, ὅτι σὺν Ναυάτου Μάρκελλός τε καὶ Ἀλέξανδρος ἐπίσκοποι Ἀκυληΐας, καὶ Ἀγαμέμνων ἐπίσκοπος Τιβέριας, καὶ ἕτεροί τινες τῶν Χριστιανῶν, ἀπρόδοτον τὴν πίστιν διασωσάμενοι, ἅμα συνῴκουν, οἰκίσκον τινὰ ἑαυτοῖς * δομησάμενοι· οἳ καὶ τοῖς ἐπιτεθυκόσι συνιέναι καὶ συνιερᾶσθαι οὐκ ἠνείχοντο. τοὺς δὲ περὶ Ἀλεξάνδρειαν ἐπισκόπους τηνικαῦτά φησι καὶ τὴν ἀρχιερωσύνην τῆς Ῥωμαίων ἐκκλησίας Ναυάτῳ περιθεῖναι. καὶ ἡ μὲν τῶν ὑπομνημάτων ὑπόθεσις τῆς ἀθλήσεως Ναυάτου, τοιαύτη. ἐλέγχει δὲ μετὰ ταῦτα ἐν τῷ πέμπτῳ (ὡς εἴρηται) λόγῳ, κακόπλαστα, καὶ ψευδῆ, καὶ ἀπίθανα, ἐξ αὐτῶν δεικνύων τῶν γεγραμμένων. ὁ μὲν οὖν τῶν πέντε λόγων τοῦ ἐν ἁγίοις Εὐλογίου σκοπὸς οὗτος· ἐν δὲ τοῖς πρὸς τὴν αἵρεσιν ἐλέγχοις διὰ τῶν γραφικῶν ῥητῶν προϊὼν, καὶ ἑρμηνείας αὐτοῖς συνυφαίνει, ἐνίας αὐτῶν πολὺ τὸ χρειῶδες παρεχομένας, οὐδὲ τῶν ἄλλων τῇ εὐσεβεῖ δόξῃ μαχομένων, ἀλλὰ προστρόπως πρὸς τὸν αἱρέσεως ἔλεγχον παρειλημμένων.

Macedonius.

* ἱερεῖς.

Marcellus. Alexander. Agamemnon Episcop.

* Συμβάμενοι.

In his igitur libris quatuor cum Nauati secta in genere scriptor hic pugnans, S. scripturæ locis ipsum miserè flagellat; dum quinto singulatim libro martyrum esse reliquias venerandas contendit, quod detrectare per Alexandriam dispersos Nauatianos ait: siue hi soli eo morbo laborarint, siue communiter illud hæresis tota profiteretur.

At in sexto euertit, qui de Nauatiana secta feruntur commentarios, & falso inscriptum *Nauati Episcopi certamen*: [a] Episcopum enim vrbis Romæ fuisse hæresiarcham hunc arroganter iactitant. Sunt autem hi commentarij extremæ vilitatis, tum dictionibus ac sensu, tum etiam compositione, omnibusque adeo quæ in sermone spectantur. Eorum illud est argumentum: Imperantibus Romæ Decio & Valeriano, Perennium [b] Ducenarium, accepto ab ipsis mandato, omnes Romanæ vrbis, & circumcirca ditionis Christianos, exquisitis cruciatibus, pœnisque acerbis ad Idolorum cultum per vim compulisse: & multos quidem alios tormentis cessisse; in his autem & [c] Macedonium, qui tum vrbis Romæ Episcopus nouem sibi subditos [d] presbyteros habebat, in quibus Nauatus vnus erat. Macedonium ergo hunc cum illis octo sacrificasse, vno Nauato animæ mortem effugiente. Hæc commentarij illi referunt, pugnamque Nauati per ineptas Perennij interrogationes, stultioresque Nauati responsiones describunt. Addunt cum Nauato Marcellum, & Alexandrum Aquileiæ Episcopos, Agamemnonem quoque [e] Tiberis Episcopum, cæterorumque Christianorum quosdam, fide inuiolata seruata, vna habitasse ædiculam ab ipsis exstructam; quod iis, qui idolis immolassent, vti, simúlque sacris operari recusarent. Refertur & [f] Alexandrinos Episcopos, ea tempestate summum vrbis Romæ præsulatum Nauato attribuisse. Atque id quidem commentariorum de certamine Nauati est argumentum. Refellit autem hæc libro [g] quinto Eulogius, vt diximus, mendacia esse eadem illa falsóque conficta, atque incredibilia ex ipsismet quæ scripta essent, ostendens. Librorum igitur quinque B. Eulogij hic scopus est. Qui in confutanda illa secta per S. scripturæ loca progressus, explanationes quasdam perutiles attexit, quanquam neque cætera ipsius cum aliorum pia sententia pugnent, sed accommodatè ad sectæ illius refutationem, assumpta sint.

EYLOGIVS.

a Per schisma, cuius hic in Rom. Ecclesia primus auctor aduersus Cornelium Pontificem insurrexit.

b Ita dicti, instituto ab Augusto Iudices (Suet. Aug. c. 32.) quod ducena sestertia possiderent. Vide Cl. V. Laeuini Torrentij Comment. in Sueton. Claud. c. 24. & Iac. Pamel. in S. Cypr. epist. 68. Hesychium item in Lexico, Est & militaris nomen apud Veget. libr. 2. cap. 8.

c At nullus hoc nomine vnquam Rom. Episcop. Quare suspicetur quispiam Macedonij Constantinop. olim hic ab impostore mendaciorum figulo nomen esse vsurpatũ, quod crudelitatis illius in Nauatianos recentior esset memoria.

d Al. Episcopis, non recte. Docent quæ ipag. vlt & ipsa huius fabulæ series.

e Minus recte pro Tibyris.

f Inf pag. vlt. tres hic nominatos manus Nauato imposuisse, summique Pontif. dignitatem in eum contulisse, ref. vt Post. Et exstat Dionys. tunc Alexand. Archiepisc. Nauatum reprehendentis epist. apud Eusb. lib. 6. c. 37. & alios

g Immo sexto. Ex præcedenti proxime enumeratione & manifestissimè ex pag. vlt CLXXXIII.

Ευδοκιας της Βασιλιδος μετάφρασις τῆς Ὀκτατεύχου.

ΕΥΔΟΚΙΑΣ ΤΗΣ ΒΑΣΙΛΙΔΟΣ μετάφρασις τῆς Ὀκτατεύχου.

ρπγʹ. Eudocia metaphrasis in Octateuchum metrica.

ΑΝΕΓΝΩΣΘΗ μετάφρασις τῆς Ὀκτατεύχου. ἡρῷον δὲ αὐτὴν μέτρον μετεποίει. λόγοι δ' ἦσαν ὀκτὼ κατὰ ἀριθμὸν καὶ τομὴν τῶν ἀμειφθέντων, Εὐδοκίας δὲ τῆς βασιλίδος ἐν ἐπιγραφαῖς, πόνον ἔλεγεν ἡ βίβλος τὸ μέτρον. ὅπερ ὅτι καὶ γυναικὸς, καὶ βασιλείᾳ τρυφώσης· καὶ οὕτω καλὸν, ἄξιον θαυμάσαι. σαφὴς μὲν γὰρ ὁ πόνος ὡς ἐν ἡρῴῳ μέτρῳ, εἴπου τις ἄλλος.

EVDOCIÆ AVGVSTÆ *Metaphrasis metrica in Octateuchum.*

LECTA est METAPHRASIS *Octateuchi*, heroico carmine condita *libris octo*, pro translatorum scilicet numero ac diuisione librorum. Inscriptio autem codicis ab [a] Eudocia Augusta elaboratum hoc carmen adfirmabat, quod, tum quia mulieris, & quidem in imperio deliciis affluentis, tum quia præclarum adeo est, admiratione sanè dignum iudicatur. Etenim illustris est hic labor, vt in heroico carmine, si quis vnquam alius.

a De quo multa dixit ph. Callist. lib. 14. c. 23 & alibi Zonaras etiam Centones Homericos Patricij cuiusdam opus imperfectum, ab eadem absolutum scribit: & nostri Græcè pereg. exstant, vt & Latinè redditi, Tom. VIII. Bibliotheca SS. Patrum.

EVDOCIA. At dum artis legibus altius immergitur, in hoc vno (maximo tamen illo ad eorum laudem, qui propius libros vertendos censent) ab arte deficit. quod neque Poëticæ libertate, veritatem in fabulas commutando, adolescentum aures demulcere studeat, neque rursum digressionibus auditorem à re proposita abducat, sed ad verbum adeo veteribus illis scriptis suum metrum adaptet, vt iis nihil, qui hæc verset, indigere videatur. Nam & sensuū, nihil quidquam aut diffundendo, aut contrahendo, proprietatem seruat assiduè: & in verbis, quoad eius fieri potest, proxima quæque atque simillima confirmat. Quando porro liber hic eam, quæ ex arte versibus orationem struxisset, indicabat, sic ferè loquebatur.

a δευτέριον βίβλον.

Scripsit diuinā [a] *deductum hoc lege volumen*
Eudocia, illustri Regina è stirpe Leonti.

Et vero Iesu Naue, Iudicúmque libri inscriptiones iis, quæ iam dicta sunt, testimonium præbent.

CLXXXIV. EIVSDEM EVDOCIÆ *Metaphrasis metrica, In Zachariam, & Danielem Prophetas, & In B. Cyprianum Martyrem libri III.*

LEGI eodem carminis genere atque idiomate, *Metaphrasim* propheticorum librorum *B. Zachariæ, & inclyti Danielis*. Eadem autem artificij venustas hæc quoque exornabat.

Hoc ipso item volumine continebantur, simili versuum forma conscripti, *libri tres in laudem* [a] *B. Cypriani Martyris*: ostendebántque vel ipsa carmina, vt liberi matrem solent, hunc quoque Augustæ partum esse legitimum. *Primus* horum liber res B. Iustinæ martyris persequitur, vt in Christianorum illa numerum adoptata, parentes quoque suos ab idolorum ad veri Dei cultum transtulerit: vtque amore quidam eius captus, frustra illa sollicitata, ad Cyprianum magicis deditum artibus se contulerit, rogans perditè amanti succurrat, ac puellam sibi obsequentem reddat. Addit Cyprianum omnes magicæ artis rationes incassum tentantem, violentissimos quosque ac perniciosissimos dæmones oppugnandæ virginis castitati immisisse: hos vero pudore suffusos, victósque sacrosanctæ crucis signo, reiectos fuisse, vt ex illis ipsis cognorit. Quare propensum suum in improbos illos spiritus animum deposuisse, omnésque adeò magicos libros flammis tradidisse. Christiana denique fide imbutum, mox etiam baptizatum esse, ac templi [b] ianitorem constitutum. Quin & charismatum dona à Deo accepisse, itaque morbis alios, alios dæmonibus liberasse, donec tandem Archiepiscopi quoque dignitate ornaretur. Et hæc quidem liber habet primus. *Secundus* deinde, dum à capite paulò altius res Cypriani arcessit, ipsummet narrantem inducit, suum iam inde à pueritia in idola studium, cultúmque dæmonum, & discendæ magicæ artis cupiditatem atque conatum. Quænam dehinc alia de herbarum variarum stirpium, atque animantium natura didicerit, vtque varia etiam dæmonum ludibria viderit. Quomodo item Athenis Argos, indéque in Phrygiam profectus, dæmonibus vbique sacrificus constitutus fuerit,

a De vtrisque his Martyribus Martyrolog. Rom. XXVI. Septemb. & Græc. Menolog. II. Octob. Item D. Gregorius Nazianz. orat. in B. Cyprian. qui duos Cyprianos confundere videtur, vt & Prudentius Hymn. XIII. ubi tamen ac Metaphrastes.

b B. Gregor. Nazianz. orat. in B. Cyprianum Νεωκόρον facit.

ἐν νόμοις δὲ τέχνης βαθύνεται, ἐκεῖνο μόνον ταύτης ἐλλείπων, ὃ μέγιστόν ἐστιν εἰς ἔπαινον τῶν ἐγγὺς ἀμείβειν λόγους ἀξιούντων. οὔτε γὰρ ἐξουσίᾳ ποιητικῇ, μύθοις τὴν ἀλήθειαν τρέπων ἡδύνειν σπουδάζει μειράκια ὦτα: οὔτε ταῖς ἐκβολαῖς τὸν ἀκροατὴν διαπλανᾷ τοῦ προκειμένου. ἀλλ' οὕτω περὶ πόδα τὸ μέτρον ἔθετο τοῖς ἀρχαίοις, ὡς μηδὲν ἐκείνων δεῖσθαι τὸν τούτοις ἐνομιλοῦντα. τὰς μὲν γὰρ διανοίας οὔτε παρατείνων, οὔτε συστέλλων ἀεὶ φυλάσσει κυρίας. καὶ τὰς λέξεις δὲ, ὅπου δυνατὸν, τὴν ἐγγύτητα καὶ ὁμοιότητα συνδιαφυλάσσει. οἷς δ' ἔλεγεν ἡ βίβλος τὴν τὰ μέτρα τοῖς λόγοις τεχνησαμένην, ἔλεγεν ὧδε.

Δεύτεριον καὶ τόδε δεῦ' ἤνυσε χρόνον βίβλον
Εὐδοκίη βασίλεια Λεοντιὰς αἰνοπατείρη.

Καὶ τοῦ Ἰησοῦ δὲ τοῦ Ναυῆ καὶ τῶν κριτῶν αἱ ἐπιγραφαὶ, συνεπιμαρτύρονται τοῖς εἰρημένοις.

ΤΗΣ ΑΥΤΗΣ ΜΕΤΑΦΡΑΣΙΣ τοῦ τε θεσπεσίου Ζαχαρίου, καὶ τοῦ προφήτου Δανιὴλ· καὶ λόγοι γʹ εἰς τὸν ἅγιον Κυπριανόν.

ρπδʹ.

Eiusdem Eudociæ metaphrasis in Zachariam & Danielem, & Orationes IIII. in Cyprianum Martyrem.

ΑΝΕΓΝΩΣΘΗ τοῦ αὐτοῦ μέτρου καὶ τῆς αὐτῆς γλώσσης μετάφρασις προφητικῶν λόγων, τοῦ τε θεσπεσίου Ζαχαρίου, καὶ τοῦ κλεινοῦ Δανιήλ. ἡ αὐτὴ δὲ χάρις τοῦ τεχνίτου διέπρεπε κἀν τούτοις. ἐμπεριείχοντο δὲ τοῦ τεύχει, τοῦ αὐτοῦ τοῦ μέτρου χαρακτῆρι, λόγοι τρεῖς εἰς μάρτυρα τὸν Κυπριανόν. ἐδήλου δὲ ἄρα τὰ σπουδάσματα, ὡς παῖδες μητέρα, τὴν τῆς βασιλίδος καὶ ταῦτα ὠδῖνα ἔχοντα εἶναι. ὧν ὁ μὲν πρῶτος λόγος, τά τε περὶ τὴν μάρτυρα διέξεισιν Ἰουστίνης, ὅπως τε αὐτὴ εἰς χριστιανοὺς μετετάξατο, καὶ οἱ τεκόντες δι' αὐτῆς ἠλλάξαντο εὐσέβειαν εἰδωλολατρείας. ὅπως τέ τις ἐραστὴς ταύτης ἐράσας, καὶ κακῶς ἀπαλλάξας, προσέρχεται Κυπριανῷ μάγον τέχνην ἠσκηκότι. ἀμύναι τε δεῖται δυσερῶντι, καὶ τὴν κόρην αὐτοῦ πειθήνιον παρασκευάσαι. καὶ ὡς Κυπριανὸς πάσας τε καὶ μεθόδους μαγικῆς τέχνης κινήσας, τούς τε βιαιοτάτους καὶ χαλεπωτάτους τῶν δαιμόνων πέμψας ἐπὶ τὴν παρθένον καὶ ᾐσχυμμένους καὶ νενικημένους τοῦ σταυροῦ τῷ τύπῳ, ἐξ αὐτῶν ἐκείνων ἀναμαθών: ἀφίσταταί τε τῆς πρὸς ἐκείνους εὐνοίας, καὶ τὰς μαγικὰς ἁπάσας βίβλους κατακαίει. καὶ τέλος τοῖς χριστιανοῖς μυεῖται, καὶ βαπτίζεται, καὶ θύρας τῆς ἐκκλησίας πιστεύεται. καὶ ἀξιωθεὶς χαρισμάτων, πολλοὺς μὲν νόσων, πολλοὺς δὲ δαιμόνων ἐκάθηρε. καὶ λοιπὸν καὶ τοῦ ἀρχιερατικοῦ ἀξιώματος ἀξιοῦται. ὁ μὲν οὖν πρῶτος λόγος τοιαῦτα. Ὁ δὲ δεύτερος ἀπάρχεται μὲν τὴν ἐκ νέας ἡλικίας Κυπριανοῦ περί τε τὰ εἴδωλα σπουδὴν, καὶ τὴν τῶν δαιμόνων θεραπείαν, διηγεῖται: τόν τε περὶ τὰς μαγείας πόθον καὶ τὴν μελέτην, αὐτὸν ἐκεῖνον εἰσάγων ἐξηγητήν· καὶ ὅσα ἄλλα μάθοι περί τε βοτανῶν καὶ φυτῶν, καὶ ζώων φύσεως παντοδαπῶν. καὶ ὅτι ποικίλων δαιμονίων φασμάτων θεατὴς γένοιτο. καὶ ὅπως ἐξ Ἀθηνῶν εἰς Ἄργος, κἀκεῖθεν εἰς Φρυγίαν ἀφίκοιτο. ἱερουργὸς δὲ τῶν δαιμονίων ἁπανταχοῦ καθιστάμενος, καὶ πολλὴν

Iustinæ

Cyprianus

καὶ πολλὴν συνάσκησιν τῆς μαγικῆς ἀθροιζόμενος· εἶτα προϊὼν, ὡς Αἰγύπτῳ τε ἐπὶ τοῖς αὐτοῖς ἐπέβη, καὶ Ἰνδοὺς ἐπῆλθεν. ὅσα τ' ἐκεῖ παράδοξα καὶ δεινῶς ἄτοπα ἄλλα τε, καὶ εἴδωλα εἶδέ τε καὶ ἐξέμαθε. καὶ εἰς τριακονταετίαν αὐτῷ τῆς ἡλικίας τελούσης, ἐπὶ Χαλδαίους ἦλθε· καὶ τὰ ἐκείνων πάντα μυηθεὶς, ἀστρολογίαν τε ἠκριβώσατο, καὶ εἴ τι ἄλλο φιλόσοφον νομίζεται παρ' αὐτοῖς. καὶ ὅτι ταῦτα πάντα εἶδεν ἐληλεγμένα. καὶ μάταιον μᾶλλον καὶ ψυχόλεθρον πόνον προσβαλὼν ταῖς τέχναις, τῇ μάρτυρι Ἰουστίνῃ ἀπεκρούσθη. διέξεισί τε ἐν τούτοις ἔνια, ὧν αὐτός τε ἑαυτὸν ταῖς μαγείαις, ἄλλοις ἄλλον ἐφάντασεν ἄλλοτε, καὶ ὧν ἑτέρους ἐμόρφωσεν. ὅπως τε τῆς δαιμονίων πλάνης ἀποστὰς, τὸν πονηρὸν ἀπειλοῦντα εἶχε, καὶ εἰς ἀπόγνωσιν ἐκδειματοῦντα. καὶ ὡς ἐλύθη τούτων τῆς δειλίας, ἐντυχὼν ἀνδρὶ θεοσεβεῖ, ὄνομα Τιμοθέῳ. ἐπ' Ἀντιοχείας τε εἰς ἐπήκοον πολλῶν ὡς ἐξήγγελλεν ἔργα πολλὰ ἀθέμιτα καὶ τεράστια διαπράξασθαι, οἷς ἐβουκόλει τὸ ἀνθρώπινον, καὶ θεὸν αὐτὸν τίθεσθαι. ὅπως τε δάκρυσι καὶ θρήνοις ἐρραίνετο, καὶ ἡ μνήμη τῶν ἀθεμίτων ἔργων εἰς ἀνελπιστίαν σωτηρίας αὐτὸν πάλιν ἐρρίπτει, εἰ μή τις Εὐσέβιος εὐσεβείας ἄριστος καὶ μετανοίας ὑφηγητὴς τοῖς τε θείοις λόγοις, καὶ ταῖς ἱεραῖς ἱστορίαις λύσας τὸ τῆς ἀπογνώσεως νέφος, ηὔγασε διαπρεπῶν ἐλπίδων ἀκτῖσι· καὶ τροφῆς ἔπεισε μετασχεῖν, εἰς οἶκον ἀγαγὼν, ὅλας τρεῖς ἡμέρας ἄσιτον διαγεγονότα. ὅπως τε εἰς τὸν θεῖον ἀχθεὶς ναὸν καὶ ὅπως αὐτὸς ὁ τεχνίτης τὰς μάγους ἐνώπιον πολλῶν βίβλους πυρὶ δίδωσι φέρων· τόν τε πλοῦτον πένησι νέμει, καὶ τῆς Χριστιανῶν ἀγέλης ἀξιοῦται· ἱερωσύνης δ' ὁ Εὐσέβιος ἀξίωμα περιέκειτο. καὶ ὡς Ἀγλαΐδας ὁ τῆς Ἰουστίνης δεινὸς ἐραστὴς, ἀποτυχὼν ὧν ἐσπούδαζε, τότε δὴ καὶ αὐτὸς τὸν πλοῦτον πένησι διανέμει, καὶ τῶν δαιμόνων ὡς ἀπατηλῶν ἀλογήσας, τὰ Χριστιανῶν ἀντηλλάξατο. οὕτω καὶ ὁ δεύτερος λόγος. Ὁ δὲ τρίτος, τὸ μαρτύριον τοῦ ἁγίου Κυπριανοῦ * καὶ Ἰουστίνης τῆς καλλιπαρθένου μέχρι, οἳ ἐμαρτύρησαν, Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τὴν ῥωμαίων ἀρχὴν ἐχόντων. συνελήφθησαν δὲ ἐπὶ τὸ μαρτύριον, ὁ μὲν ἐξ Ἀντιοχείας, ἧς καὶ μετὰ Ἄνθιμον τὸν ἀρχιερατικὸν ἴθυνε θεσμὸν, τὴν αὐτὴν καὶ πατρίδα λαχών· ἡ δὲ ἐκ Δαμασκοῦ. ἐκεῖ γὰρ τῆς Ἀντιόχου μεταστᾶσα (αὕτη δὲ καὶ τῇ παρθένῳ ἐχρημάτιζε πατρὶς) τὸν Χριστὸν ἐκήρυσσε λαμπρῶς. * συλληφθέντες δὲ, ὁ μὲν μὴ πειθόμενος τοῖς τοῦ δυσσεβοῦντος λόγοις, μετέωρος δεσμοῖς αἴρεται, καὶ τὰς πλευρὰς ξέεται· ἡ δὲ βουνεύροις τύπτεται. ὡς δὲ οὐδεμία ἔνδοσις ἐν αὐτοῖς ὑπὸ τοῦ τυραννοῦντος ἑωρᾶτο: φυλακαῖς μὲν τότε κεχωρισμένοις καθείργνυσι, εἶτα μετακαλεσάμενος, ἐπεὶ λόγοις πείθειν πάλιν ἀποτυγχάνει: ἐν χαλκῷ τηγάνῳ μετὰ πίσσης καὶ στέατος καὶ κηροῦ βληθέντων, καὶ πολλῆς φλογὸς ἀναφθείσης, ἐμβάλλει τοὺς μάρτυρας κυρίου. ἐγκαρτερούντων δὲ τῶν ἀθλητῶν τῇ βασάνῳ, μᾶλλον δ' ὡς ἐν δρόσῳ φαιδρῶς θεὸν ὑπὲρ οὗ κρείσσους δεινῶν ἐγένοντο δοξαζόντων,

Timotheus. Eusebius. Aglaidas. Anthimus. [illegible]

ac multam magicæ artis exercitationem collegerit. Pergit adhæc narrare, vt in Ægyptum eorumdem causa venerit, atque ad Indos accesserit, quæque ibi inopinata, & valde absurda, cum alia, tum simulacra viderit atque obseruarit. Addit se, cum tricesimum iam ætatis annum attingeret, ad Chaldæos venisse, corúmque litteris institutum, Astrologiam accuratè perdidicisse, quæque alia cognitu digna apud illos viderentur. Omnia tandem hæc vidisse refutata, quando stulto seu potius animis pernicioso labore hisce artibus impenso, à Iustina martyre repulsus est. Commemorat item hic nonnulla, quibus alium se ipse interdum magicis artibus exhibuit; aliósque interdum transformauit: vtque à dæmonum cultu discedens, cacodæmonem minitantem, & ad desperationem vsque territantem senserit, ac quomodo horum sit metu liberatus, cùm in pium virum incidisset, cui Timotheo nomen. Quomodo præterea Antiochiæ apud frequens auditorium narrauerit, nefanda multa se ac prodigiosa effecisse, quibus homines ita decipiebat, vt pro Deo ipsum haberent. Lacrymis itaque ac luctu genas ob hæc humectantem, ex memoria improborum facinorum in salutis desperationem iterum delapsurum fuisse, nisi Eusebius quidam optimus ad pietatem & pœnitentiam dux, sacræ scripturę alloquiis, sacrísque narrationibus, desperationis nebulam dissipans, claræ spei radiis eum illustrasset, & in domum suam deductum cibum capere iussisset, trium dierum inedia iam maceratum. Refert item, vt in sacrum ab illo templum fuerit adductus, & sua ipse manu coram multitudine magicæ artis suæ libros allatos flammis tradiderit, ac bona insuper sua pauperibus distribuerit, atque ad Christianorum inde cœtū aggregatus sit: Eusebius autem hic, ait, sacerdotij dignitate exornatus erat. Accedit quomodo Aglaidas, grauis ille Iustinæ procus, cum voti compos factus non esset, bona quoque Fortunæ pauperibus omnia erogauerit, & dæmonibus tamquam deceptoribus nuncio remisso, Christianis sese sacris addixerit: In quo secundi libri finis est.

Tertius denique martyrium complectitur B. Cypriani, & claræ virginis Iustinæ; qui Diocletiano & Maximino Romæ imperantibus, morte testimonium dixerunt fidei. Vna enim ad martyrij lauream abrepti sunt; Cyprianus quidem ex patria & vrbe Antiochia, cuius etiam archiepiscopatum post Anthimum administrarat: Iustina verò Damasco: ibi enim illa, postquam Antiochia migrarat (quæ & ipsa virginis patria erat) palam CHRISTVM professa est. His ita captis, cum impij ille hominis sermonibus nihil moueretur, vinculis in sublime rapti latera raduntur; hæc autem boum neruis cæditur. Verum vbi nihil illi de constantia remittere tyranno videntur, in custodiam eos seorsum reductos compingit. Vnde post euocatos, cum verbis frustra tentasset, in æream sartaginem (pice, adipe, ac cera in eadem simul mistis, multoque igne accenso) martyres Dei coniecit. Ibi cum athletæ illi fortiter in cruciatibus perdurarent, ac potius velut in rore Deum, quod tormentis superiores euasissent, læti laudarent;

EVDOCIA.

EVDOCIA.

Athanasius quidam miser, dæmonum sacerdos, B. Cypriano antea perfamiliaris, & assessor, tum forte iudicis tormenta inferentis, mentis cæcitate correptus, ausus est, Deos suos familiares inuocans, in ignem quoque ingredi, sed dum miraculum extenuare nititur, si & ipse sine noxa ibidem perduraret, magis illud auxit. Confestim enim ab igne absumptus in cinerem versus est. Hæsitans ergo iudex, decreuit martyres ad Diocletianum mittere, & ad eum, tum quæ pertulissent tormenta, tùm quemadmodum pœnis essent omnibus superiores, perscribere. Quæ cum Imperator Nicomediæ intellexisset, præcepit martyres ad vicinum vrbi flumen, cui Gallo nomen, capite truncari. cum his, & eadem ipsa hora [a] Theoctistus martyrij palmam accepit, pietatis suæ hoc solo dato indicio, quod martyrem CHRISTI salutasset. Reliquias istorum Sanctorum nautæ quidam Roma eo nuper delati, quibus & Theoctistus martyr vsus fuerat familiariter, clam custodibus abstulerunt, Romámque vexerunt, vbi & pulchrum ipsis templum Claudij foro proximum excitatum, opera Rufinæ piæ matronæ, quæ generis stirpem à Claudio Imperatore repetebat. Et hæc quidem libro tertio.

[a] Cuius neque in Rom. Martyrol. aut Græco Menolog. neque apud D. Nazianz. vlla mentio. Eudociam tamen secutus est Sim. Metaphrast.

Ἀθανάσιός τις ἄθλιος, δαιμόνων ἱερεύς, καὶ τῷ θείῳ πρότερον συνήθης Κυπριανῷ, συνέδρος τε τηνικάδε τῷ κολάζοντι χρηματίζων, ἀπονοίᾳ ληφθεὶς, ἐτόλμα βαίνειν ἐπὶ τοῦ πυρὸς, τοὺς οἰκείους ἐπικαλούμενος θεούς· καὶ σμικρύνειν τὸ θαῦμα, ἐν τῷ μηδ᾽ αὐτόν τι παθεῖν διατεινόμενος. τὸ δὲ πλέον ηὔξετο. αὐτίκα γὰρ ὑπὸ πυρὸς δαπάνη καὶ τέφρα ἐδείκνυτο. διαπορήσας δὲ ὁ κολάζων, ἀναπέμπειν ἔγνω τοὺς μάρτυρας πρὸς Διοκλητιανὸν, γράψας καὶ ἅτε πάθοιεν, καὶ ὡς κρείττους πασῶν εἰσὶ βασάνων. ὁ δὲ ταῦτα ἐν τῇ Νικομήδους διαγνοὺς, προστάττει πρὸς τῷ παρακειμένῳ τῇ πόλει ποταμῷ, γάλλος δ᾽ ὠνόμαστο, τὰς κεφαλὰς τοὺς μάρτυρας ἀποτμηθῆναι. σὺν οἷς καὶ Θεόκτιστος αὐθωρὸν ὤφθη μάρτυς, ἔλεγχον δεδωκὼς τῆς εὐσεβείας τὸ προσφθέγξασθαι τοῖς μάρτυσι κυρίως. τὰ δὲ λείψανα τῶν ἁγίων, ναῦταί τινες ἀπὸ ῥώμης ἐπιδεδημηκότες ἄρτι, ὧν ἦν ἑταῖρος καὶ ὁ μάρτυς Θεόκτιστος, οὗτοι λαθόντες τοὺς φύλακας, ἀνείλοντο καὶ εἰς ῥώμην ἀπεκόμισαν. ἐν ᾗ καὶ ναὸς αὐτοῖς περικαλλὴς, ἐγγίζων τῷ Κλαυδίου φόρῳ, ἀνηγέρθη, ἔργον Ῥουφίνης εὐσεβόφρονος, ἧς τὸ γένος εἰς τὸ Κλαυδίου ἀνέβαινεν αἷμα. ταῦτα καὶ τρίτος λόγος.

Gallus fl.

Theoctistus martyr.

CLXXXV.

DIONYSII ÆGEI Dictyaca.

Legi libellum *Dionysij Ægei*, cui *Dictyaca* titulus est, [a] Capita centum comprehendentem.

[a] Omnia hæc capita totidem pene verbis addita dumtaxat censura breuissima, repetuntur infr. Cod. CCXI.

Primum est ab vtroque parente semen emitti, gignique animal.

Secundum, id non ab vtroque fieri.

III. E toto corpore seminis fieri excretionem. IV. Non è toto corpore, sed è testibus. V. Concoctionem per calorem fieri. VI. Concoctionem non fieri per calorem. VII. Per attritum siue subactionem [alimenti] concoctionem fieri. VIII. Non fieri. IX. Proprio spiritus [calore] concoctio fit X. Id negat. XI. Putteractione concoctionem fieri. XII. Negat hoc.

XIII. [b] Caloris proprietate concoctionem esse. XIV. * Non succorum proprietate concoctionem fieri. XV. Calorem natiuum ad qualitatem pertinere. XVI. Calorem illum ad hanc non pertinere. XVII. Per calorem fieri ciborum digestionem.

[b] Cod. CCXI. inf. vtriusque horum capitum aduersa disputatio indicatur.

XVI[II]. Idem negat. XIX. Digestionem [. . .] e eo fieri, quod calor ad se trahat. XX. Non attrahere calorem, XXI. Spiritu fieri digestionem. XXII. Idem negat. XXIII. Arteriarum applicatione digestionem fieri. XXIV. Id negat.

[c] Ex Cod. CCXI. lege hic τῷ ἕλκειν.

XXV. Quod per defectum, qui cum vacuitate est, digestio fiat. XXVI. Non per defectum incertum siue quemcumque digestionem fieri. XXVII. Glaucedinem ex eo oriri, quod meatus visualis alimento destituatur. XXVIII. Negat id. XXIX. Per sanguinis illapsum in visualem meatum, glaucedinem fieri. XXX. Negat id. XXXI. Crassitie humorum, atque exhalatione glaucedinem fieri. XXXII. Caput idem inficiatur.

ΔΙΟΝΥΣΙΟΥ ΑΙΓΕΩΣ ΔΙΚΤΥΑΚῶν κεφάλαια ρ᾽.

Ἀνεγνώσθη βιβλιδάριον Διονυσίου αἰγέως, δικτυακῶν ἐπιγραφὴν ἔχον· ἐν ᾧ κεφάλαια περιείληπται τὸν ἀριθμὸν ἑκατόν. πρῶτον, ὅτι ἐξ ἀμφοτέρων ἡ τοῦ σπέρματος καταβολὴ καὶ ζωογονία. δεύτερον, ὅτι οὐκ ἐξ ἀμφοτέρων· τρίτον, ὅτι ἀφ᾽ ὅλου τοῦ σώματος ἡ τοῦ σπέρματος ἔκκρισις γίνεται. τέταρτον, ὅτι οὐκ ἀφ᾽ ὅλου, ἀλλ᾽ ἀπὸ τῶν διδύμων. πέμπτον, ὅτι ἡ πέψις θερμασίᾳ γίνεται. ἕκτον, ὅτι δὲ ἡ πέψις οὐ γίνεται θερμασίᾳ. ἕβδομον, ὅτι τρίψει ἡ πέψις. ὄγδοον καὶ ὅτι οὐ τρίψει ἡ πέψις. ἔνατον, ὅτι ἰδιότητι πνεύματος ἡ πέψις. δέκατον, δὲ ὅτι οὐκ ἰδιότητι πνεύματος ἡ πέψις. ια᾽, ὅτι σήψει ἡ πέψις. ιβ᾽, δὲ ὅτι οὐ σήψει ἡ πέψις. ιγ᾽, ὅτι θερμασίας ἰδιότητι ἡ πέψις. ιδ᾽, καὶ ὅτι οὐ χυμῶν ἰδιότητι ἡ πέψις. ιε᾽, ὅτι διαφέρει τὸ θερμὸν ποιότητι. ιϛ᾽, ὅτι οὐ διαφέρει τὸ θερμὸν ποιότητι. ιζ᾽, ὅτι θερμασίᾳ ἡ ἀνάδοσις. ιη᾽, δὲ ὅτι οὐ θερμασίᾳ. ιθ᾽, ὅτι ἡ ἀνάδοσις, τῷ τὴν θερμασίαν ἐφ᾽ ἑαυτὴν ἕλκειν. κ᾽, καὶ ὅτι οὐκ ἐφέλκεται τὸ θερμόν. κα᾽, ὅτι τῷ πνεύματι ἡ ἀνάδοσις. κβ᾽, καὶ ὅτι οὐ τῷ πνεύματι ἡ ἀνάδοσις. κγ᾽, ὅτι τῇ τῶν ἀρτηριῶν παραθέσει ἡ ἀνάδοσις. κδ᾽, καὶ ὅτι οὐ τῇ τῶν ἀρτηριῶν παραθέσει ἡ ἀνάδοσις. κε᾽, ὅτι τῇ κατὰ τὸ κενὸν ἀπουσίᾳ ἡ ἀνάδοσις. κϛ᾽, καὶ ὅτι οὐ κατὰ τὸ ἄδηλον ἀπουσίᾳ ἡ ἀνάδοσις. κζ᾽, ὅτι δι᾽ ἀτροφίαν τοῦ ὁρατικοῦ πόρου ἡ ἀπογλαύκωσις γίνεται. κη᾽, καὶ ὅτι οὐ δι᾽ ἀτροφίαν τοῦ ὁρατικοῦ πόρου ἡ ἀπογλαύκωσις γίνεται. κθ᾽, ὅτι κατὰ παρέμπτωσιν αἵματος εἰς τὸν ὁρατικὸν πόρον ἡ ἀπογλαύκωσις γίνεται. λ᾽, καὶ ὅτι οὐ κατὰ παρέμπτωσιν αἵματος εἰς τὸν ὁρατικὸν πόρον ἡ ἀπογλαύκωσις γίνεται. λα᾽, ὅτι καθ᾽ ὑγρῶν πάχος καὶ διαπνοὴν, ἡ ἀπογλαύκωσις γίνεται. λβ᾽, καὶ ὅτι οὐ καθ᾽ ὑγρῶν πάχος δὲ διαπνοὴν ἡ ἀπογλαύκωσις γίνεται.

Dionysii Ægei Dictyaca.

λγ᾽, ὅτι

λγ', ὅτι ἡ φρενῖτις κατὰ διάστασιν τῆς μήνιγγος καὶ φθορὰν τοῦ αἵματος γίνεται. λδ', καὶ ὅτι οὐ διὰ ταύτην ἡ φρενῖτις γίνεται. λε', ὅτι κατὰ θερμασίας πλεονασμὸν ἡ φρενῖτις συμβαίνει. λς', καὶ ὅτι οὐ διὰ τοῦτο. λζ', ὅτι διὰ φλεγμονὴν ἡ φρενῖτις συμβαίνει. λη', καὶ ὅτι οὐ διὰ φλεγμονήν. λθ', ὅτι ὁ λήθαργος κατὰ φλεγμονὴν γίνεται. μ', καὶ ὅτι ὁ λήθαργος οὐ γίνεται κατὰ φλεγμονήν. μα', ὅτι κατὰ διάστασιν οἱ ληθαργικοὶ καὶ φθοράν. μβ', ὅτι ληθαργικὸς οὐ παρὰ τὸ πλῆθος, ἀλλὰ τὴν ποιότητα τῶν διαπνεομένων συμβαίνει. μγ', ὅτι περὶ ὅλον τὸ σῶμα ἡ ὄρεξις τοῦ φαγεῖν καὶ πιεῖν ὑπάρχει. μδ', καὶ ὅτι οὐ περὶ ὅλον, ἀλλὰ περὶ τὸν στόμαχον. με', ὅτι ἡ τοῦ φαγεῖν καὶ πιεῖν ὄρεξις, περὶ διάνοιάν ἐστι. μς', ὅτι καὶ ὑγρῶν ἐνδείας γίνεται τὸ δίψος. μζ', καὶ ὅτι οὐχ ὑγρῶν ἐλλείψει γίνεται τὸ δίψος. μη', ὅτι περὶ τὸν στόμαχόν ἐστί τις διπλῆ ἐνέργεια. μθ', καὶ ὅτι οὐκ ἔστι διπλῆ τις ἐνέργεια περὶ τὸν στόμαχον. ν', ὅτι ἡ ἐκτὸς μήνιγξ, ἡ ἐν τῷ κοιλώματι ἀρχὴ τῶν νεύρων ἐστί. να', ὅτι οὐχ ἡ ἐκτὸς μήνιγξ, ἀρχὴ τῶν νεύρων ἐστί. νβ', ὅτι ἀναδιδόμενα τὰ φάρμακα καθαίρει. νγ', ὅτι οὐκ ἀναδιδόμενα τὰ φάρμακα, ἀλλὰ κατὰ τὴν προσπτῶσιν καθαίρει. νδ', ὅτι χρηστέον τοῖς καθαρτικοῖς. νε', καὶ ὅτι οὐ χρηστέον. νς', ὅτι φλεβοτομία χρηστέον. νζ', καὶ ὅτι οὐ χρηστέον. νη', ὅτι οἴνου δόσις, οὐ χρησίμη ἐπὶ τῶν πυρεσσόντων. νθ', καὶ ὅτι οἶνος δοτέος τοῖς πυρέσσουσι. ξ', ὅτι τὸ λουτρὸν τοῖς πυρέσσουσιν ἐπιτήδειον. ξα', καὶ ὅτι οὐκ ἐπιτήδειον. ξβ', ὅτι δεῖ ἐν ταῖς ἐπιτάσεσι κλύζειν. ξγ', καὶ ὅτι οὐ δεῖ. ξδ', ὅτι δεῖ ἐν ταῖς ἀρχαῖς ἐπαλείψει χρῆσθαι. ξε', καὶ ὅτι οὐ δεῖ. ξς', ὅτι οὐ δεῖ καταπλάσσειν τὴν κεφαλήν, ἀλλὰ τοῖς ὀσφραντοῖς μόνοις χρῆσθαι. ξζ', καὶ ὅτι δεῖ χρῆσθαι καταπλάσμασιν ἐπὶ τῆς κεφαλῆς. ξη', ὅτι ἐμετοποιΐα συμφέρει. ξθ', καὶ ὅτι οὐ χρηστέον ἐμετοποιΐα. ο', ὅτι οὐκ ἐπιπέμπει ἡ καρδία αἷμα. οα', καὶ ὅτι ἐπιπέμπει. οβ', ὅτι οὐχ ἡ καρδία ἐπιπέμπει τὸ πνεῦμα, ἀλλ' αἱ ἀρτηρίαι ἕλκουσιν. ογ', καὶ ὅτι ἡ καρδία ἐπιπέμπει τὸ πνεῦμα, καὶ οὐχὶ αἱ ἀρτηρίαι ἕλκουσιν. οδ', ὅτι ἐξ ἑαυτῆς ἡ καρδία κινεῖται. οε', καὶ ὅτι οὐκ ἐξ ἑαυτῆς ἡ καρδία κινεῖται. ος', ὅτι κατὰ φύσιν αἷμα ἐν ταῖς ἀρτηρίαις ὑπάρχει. οζ', ὅτι οὐχ αἵματος ἀγγεῖον αἱ ἀρτηρίαι. οη', ὅτι πάντα τὰ ἀγγεῖα ἐν τῷ ὄγκῳ ἁπλᾶ ἐστίν. οθ', καὶ ὅτι ἐστὶ τὰ ἀγγεῖα πλέγματα. π', ὅτι διὰ τῶν νεύρων αἴσθησις καὶ κίνησις ἐπιτελεῖται. πα', καὶ ὅτι οὐ διὰ τῶν νεύρων ἡ αἴσθησις καὶ κίνησις ἐπιτελεῖται. πβ', ὅτι ἀρχὴ φλεβῶν ἡ καρδία. πγ', καὶ ὅτι οὐκ ἀρχὴ φλεβῶν ἡ καρδία. πδ', ὅτι ἧπαρ ἀρχὴ φλεβῶν. πε', καὶ ὅτι οὐχ ἧπαρ ἀρχὴ φλεβῶν. πς', ὅτι κοιλία φλεβῶν ἀρχή. πζ', καὶ ὅτι οὐκ ἀρχὴ φλεβῶν ἡ κοιλία. πη', ὅτι πάντων τῶν ἀγγείων ἀρχὴ μήνιγξ. πθ', καὶ ὅτι οὐκ ἀρχὴ πάντων τῶν ἀγγείων ἡ μήνιγξ. ϙ', ὅτι πνεύμων ἀρτηριῶν ἀρχή. ϙα', καὶ ὅτι οὐκ ἔστιν ἀρτηριῶν ὁ πνεύμων ἀρχή. ϙβ', ὅτι ἡ παρὰ τὴν ῥάχιν ἀρτηρία, ἀρτηριῶν ἀρχή. ϙγ', καὶ ὅτι οὐχ ἡ περὶ τὴν ῥάχιν ἀρτηρία, ἀρτηριῶν ἀρχή. ϙδ', ὅτι καρδία ἀρτηριῶν ἀρχή. ϙε', καὶ ὅτι οὐκ ἔστιν ἀρχὴ ἀρτηριῶν ἡ

XXXIII. Phrenitidem per meningis distensionem, sanguinisque corruptionem fieri. XXXIV. Capite, Phrenitidem ita fieri negatur. XXXV. Et caloris nimia abundantia Phrenitidem accidere. XXXVI. quod sequitur caput idem negat. XXXVII. Contingere Phrenitidem ex inflammatione. XXXIIX. Negatur. XXXIX. Lethargum inflammatione gigni. XL. Mox idem negat. XLI. Lethargicum morbum distentione fieri, & corruptione. XLII. Lethargicum non ob multitudinem, sed ob qualitatem eorum, quæ exhalantur accidere. XLIII. Edendi bibendique appetitum toto corpore diffundi. XLIV. Non in toto corpore hunc esse appetitum; sed in stomacho. XLV. Edendi bibendiqe appetitum in imaginatione esse. XLVI. Sitim nasci ex humorum indigentia. XLVII. Non in humidorum defectu sitim esse. XLVIII. Duplicem quandam esse in stomacho operationem. XLIX. Hoc negat. L. Exteriorem illam cerebri pelliculam, quæ in cauo est, principium esse neruorum. LI. Capite hoc idem negatur. LII. Pharmaca cum per corpus sparguntur, purgare. LIII. Non cum diffunduntur, sed ipso adlapsu suo purgare asserit. LIV. Pharmacis vtendum esse purgatiuis. LV. Deinde id negat. LVI. [a] Venam esse incidendam. LVII. Non esse ait. LVIII. Febricitantibus non vtiliter porrigi vinum asserit. LIX. Rectè iis præberi vinum. LX. Febricitantibus esse balneum adhibendum. LXI. Sequens idem negat. LXII. Oportere in morborum incrementis clystere vti. LXIII. Negat id. LXIV. Vtendum esse inunctionibus in principiis. LXV. Idem negat. LXVI. Non esse caput cataplasmatis curandum, sed olfactoria dumtaxat adhibenda. LXVII. Vtendum esse in capite cataplasmatis. LXVIII. Quæ vomitum prouocent iuuare. LXIX. Non esse vtendum iis quæ vomitum cient. LXX. Cor sanguinem non emittere. LXXI. tamen caput id asserit. LXXII. Cor spiritum non emittere, sed arterias illum attrahere. LXXIII. Cor spiritum emittere, neque ab arteriis attrahi. LXXIV. Cor per se moueri. LXXV. Idem inficiatur. LXXVI. Arterias ex natura sanguinem continere. LXXVII. Arterias non esse sanguinis receptaculum. LXXIIX. Omnia vasa vbi pro[illegible] ac turgent, simpla esse. LXXIX. Receptacula esse texta inuolucra. XXC. Per neruos sensum ac motum perfici. XXCI. Id ita fieri negat. XXCII. Venarum principium cor esse. XXCIII. Idem statim negat. XXCIV. Iecur esse venarum principium. XXCV. Mox id inficiatur. XXCVI. Venarum principium esse ventriculum. XXCVII. Id mox inficias ire non dubitat. XXCVIII. Receptaculorum omnium originem esse meninga. XXCIX. Negat hoc. XC. Arteriarum principium esse pulmonem. XCI. Sequens mox caput id inficiatur. XCII. Arteriam illam, quæ iuxta dorsi spinam est, arteriarum esse originem. XCIII. Statim id refellit. XCIV. Cor arteriarum esse principium. XCV. Id

[a] *Absunt hæc duo capita ſ. Cod. CCXI. quorum loci 13. & 14. capitis aduersa sententia illic proponitur. Ita capitum vtrobique numerus idem efficitur.*

DIONYSIUS.

negat. XCVI. Non cor esse principium nervorum, sed membranulam, qua cerebrum continetur. XCVII. Membranulam illam non esse principium nervorum. XCIIX. Non in corde, sed capite intelligendi vim sitam esse XCIX. Insequens vero contra, non capite nos, sed corde intelligere vult. C. Intelligendi vim in cerebri ventriculo sedem habere.

Hæc quidem omnia Dionysius libello Dictyacorum dissenuit: Neque is sane infructuosus est labor Dialecticæ exercitationi, neque ad opinionum quarundam intelligentiam, quæ Medicæ sunt speculationis propriæ. Videtur autem & iudicium de his opinionibus ferre, non per omnia tamen sancte, incorruptéque iudicat.

CLXXXVI. CONONIS *Narrationes L.* & APOLLODORI GRAMMATICI *Bibliotheca.*

LECTUS est *libellus narrationum* CONONIS, quod quidem opusculum Archelao Philopatori Regi inscriptum, è variis Veterum scriptis collectas continet Narrationes quinquaginta.

PRIMA est de Mida, & Brigibus; vt in thesaurum ille incidens, ingentes subitò sit nactus opes, vt post Orpheum in Pieria monte auditum, variis artibus Brigibus imperarit. Quomodo item Silenus iuxta Brimium montem Mida regnante, sit visus, ad quem montem gens illa frequenter habitabat, & quomodo [a] adductum sit illud animans peregrina & inusitata forma, cùm tamen humanam naturam atque indolem referret. Quomodo etiam omnia, quæ pro cibis apponebantur, [b] in aurum illi sint conuersa, vtque per hoc persuasis subditis ex Europa in Hellespontum traiicere, vltra Mysiam incoluerit, Phrygibus pro [c] Brigibus parua vocis immutatione suis appellatis. Porrò Midas, quòd [d] multos haberet internuntios eorum quæ & dicerentur à subditis & gererentur, atque ita tutus ab insidiis vsque in extremam ætatem imperium administraret, [e] longas habere aures dictus est: quas etiam paulatim fama in asininas commutauit. Ita è ioco initio sumpto, verum esse tandem, quod dicebatur, creditum est.

a Colloquium quoddam Sileni cum Mida, confictum a Theopompo exscripsit Ælianus lib. 3. var. hist. cap. 18. Capti Sileni meminit & Tuscul. 1. extr.
b Max. Tyrius orat. 31. Lucian. in vota Philostrat. lib. 1. imag. Adagia, Ouid. Metamor. 11.
c Herod. lib. 7. Strabo lib. 7. Cic. de orat. Stephan.
d Vide Suid. voce Midas, & ibi multas in... aut de auribus fama ... .

ALTERA narratio de Byblide instituitur. [f] Filia hæc fuit Mileti, fratrem habens Caunum. Habitarunt verò [g] Miletum [h] Asiæ, quam post quidem Iones illi, qui Athenis cum [i] Neleo profecti erant, tenuerunt, [k] tunc aute[m] [Ca]res eam incolebant, populus frequens, [&] vicatim habitans. [l] Caunus hic impotenti correptus amore Byblidis sororis, cùm ea potiri non posset, multa licet mouisset, terram illam deseruit. Qui vbi non comparuit, doloribus plurimis affecta Byblis, paternam & ipsa domum reliquit, & per deserta diu oberrans, atque ob frustratos amores animo fracta, nexo de zona laqueo, ex nuce seipsam suspendit. Inde flente illa lachrymæ fluxerunt, fonsque hinc enatus, quem Byblida indigenæ nominant. Caunus ipse vagus interim oberrans, in Lyciam tandem peruenit. Illic ipsi Pronoë, vna è Naiadibus, flumine emergens, quæ Byblidi accidissent narrat; vt que amore sit coacta mori. Suadet insuper sibi vt connubio iungatur, quo eius oræ regnum occupet, quod in eam iam collatum fuerat.

e Lucian. de non cred. calum.
f Ita eusque Steph. Byzant. de vrbibus in voce Βύβλος.
g De quo Strab. lib. 4. initio.
h Nam & alia Cretica fuit, è qua in vaec ... coloniam traductam nomen. Strabo ibid.
i Vide Ælian. lib. 8 cap. ...
k Lego hic ... de
l Vide Caunius amor, apud Suid. & in Adag. Parthen quoque ἐρωτικῶν cap. 11.

καρδία. ϛϛ', ὅτι οὐχ ἡ καρδία ἀρχὴ νεύρων, ἀλλ' ἡ περιέχουσα τὸν ἐγκέφαλον μῆνιγξ. ϛζ', καὶ ὅτι οὐχ ἡ περιέχουσα τὸν ἐγκέφαλον μῆνιγξ ἀρχὴ νεύρων. ϛη', ὅτι οὐ περὶ καρδίαν τὸ διανοητικὸν, ἀλλὰ περὶ κεφαλήν. ϛθ', καὶ ὅτι οὐ περὶ κεφαλὴν, ἀλλὰ περὶ καρδίαν τὸ διανοητικόν. ρ', ὅτι τὸ διανοητικόν ἐστι περὶ κοιλίας ἐγκεφάλου. Ταῦτα μὲν τὸ βιβλιδάριον τῶν Διονυσίου δικτυακῶν διελέγετο. οὐκ ἄχρηστον δὲ πρός τε γυμνασίαν διαλεκτικὴν, καὶ δοξῶν εἴδησιν ἐνίων, ἰατρικῇ θεωρίᾳ οἰκείων. δοκεῖ δὲ καὶ [*] δοξάζειν τὰς δόξας, πλὴν οὐκ ἐν ἁπάσαις ἐκφέρεται πρὸς τὸ παράγιον καὶ ἀδιάθυτον.

* al. ἐπικρίνειν

ΚΟΝΩΝΟΣ ΔΙΗΓΗΣΕΙΣ Ν'. ΚΑΙ Ἀπολλοδώρου γραμματικοῦ ἡ λεγομένη βιβλιοθήκη.

XXXI. [e] Tereus, Thracum rex, eorum qui ad Dauliam, cæterámque Phocida pertinent, vxorem duxit Procnen, Pandionis Athenarum regis filiam. Hic postquam insano captus amore, per vim constuprauit inuitam Philomelam, Procnes sororem, linguam quoque eius exsecuit, veritus nimirum ne factum proderet. At illa peplum texens, dolorem ei suum filis inscripsit. Procne, re cognita, & facinus vlcisci cupiens, filium [f] marito suum epulandum in cœna apposuit. Tum Tereus, vbi vel ex ipsa Procne execrandum conuiuium didicit, & hanc, & sororem veluti facti consciam gladio percussurus insequitur. Illis verò per fabulam inde sublatis, Procne quidem in [g] lusciniam, Philomela verò in hirundinem vertitur, canúntque perpetuò suas illas calamitates. Sed & Tereus in vpupam auem, vt fabulæ referunt, mutatus: aiuntque hos, ne aues quidem factos, iram deposuisse, quando vpupæ perpetuò hirundines atque luscinias insectantur.

e Pausan. in Atticis, & Mythologi omnes. Vide quoque Ælian. varia hist. lib. 12. cap. 20.

f Ityn.

g Cum hoc sentiunt Aristoph. in auibus, Apollod. libr. 3. Biblioth. & alij plures.

XXXII. De [h] Europa [i] Phœnicis filia è conspectu sublata, vtque filios pater ad sororem inuestigandam dimiserit. In his etiam Cadmus fuit, qui cum vnà & Proteus, Busiridis tyrannidem veritus, ex Ægypto traiicit. Addit quomodo post varios errores nihil inuenientes, in Pallenam venerint, vtque Proteus, hospitalibus muneribus Clito oblatis, amicitia que inita (erat Clitus hic, rex prudens & iustus Sithonum Thraciæ populorum) filiam eius Chrysonoën vxorem duxerit.

h Vide Nat. Comit. & cæteros Mythologos.

i Apollodorus lib. 3. Biblioth. dicit Agenoris fuisse natam: vbi & alia quædam aliter quam hic narrata legas.

καὶ ἀπ' αὐτοῦ οἱ ἄνθρωποι ἐπὶ παντὸς ἀποτόμου πράγματος, τὸν Τέννου πέλεκυν ἐπιλέγουσιν.

κθ'. Magnetes.

Ἡ εἰκοστὴ ἐνάτη, ὡς Μάγνητες οἱ Μαγνησίαν τὴν ἐν Ἀσίᾳ νῦν οἰκοῦντες, τὸ πρότερον περὶ Πηνειὸν ποταμὸν καὶ τὸ Πήλιον ὄρος ᾤκησαν. συνεστράτευσαν δὲ Ἀχαιοῖς κατὰ Τροίας, ἡγουμένου αὐτῶν Προθόου, καὶ ἐκαλοῦντο Μάγνητες. εἶτα δεκάτην Μαγνήτων ἀνακομιζομένων [αὐτῶν] ἀπὸ Τροίας, οἰκίζει κατ' εὐχὰς εἰς Δελφούς. μετὰ χρόνον δὲ ἀναστάντες τοῦ ἱεροῦ, καὶ καμόντες ἐπὶ θάλασσαν, ἐπεραιώθησαν εἰς Κρήτην. ὕστερον δὲ βιασθέντες, ἀνέστησαν ἐκ Κρήτης. καὶ πλεύσαντες εἰς τὴν Ἀσίαν, ἐρρύοντο κακῶν νεόκτιστον οὖσαν τὴν * Ἰωνίαν καὶ τὴν Αἰολίδα· συμμαχοῦντες αὐτοῖς κατὰ τῶν ἐπιτιθεμένων. ἐκεῖθεν ἀφικνοῦνται, ἐν ᾧ νῦν εἰσι, καὶ κτίζουσι πόλιν, ἀπὸ τῆς κατὰ τὸ ἀρχαῖον πατρίδος Μαγνησίαν αὐτὴν ἐπικαλέσαντες.

* Ἰωνία.

Magnesia.

λ'. Pithenius Apolloniata.

Ἡ τριακοστή, τὰ περὶ Πειθηνίου τοῦ Ἀπολλωνιάτου, ὃς τὰ ἱερὰ τοῦ ἡλίου νέμων πρόβατα· ἐπεὶ, ἀμελήσαντος τούτου αὐτῶν, ἑξήκοντα λύκοι διεσπάραξαν, τὰς ὄψεις ὑπὸ τῶν πολιτῶν ἐκκόπτεται. καὶ ἡ γῆ καρπὸν Ἀπολλωνιάταις, μηνίσαντος αὐτοῖς τοῦ θεοῦ, οὐκ ἐδίδου. ἕως τέχνῃ καὶ προαστείοις δυσὶν ἱλασάμενοι Πειθήνιον, καὶ οἰκίᾳ * μιᾷ ὧν αὐτὸς ᾑρετίσατο, τὴν ἀκαρπίαν διέφυγον. τῶν δ' ἐπιφανῶν ἦν ὁ Πειθήνιος, καὶ ὅσοι ἄλλοι ἐκ διαδοχῆς τῶν ἱερῶν εἶχον προβάτων τὴν ἐπιμέλειαν. καὶ ἡ Ἀπολλωνία, πόλις Ἑλλάς ἐστιν ἐν τῇ * Ἰλλυρίων γῇ· κεῖται δ' ἐπὶ τῆς θαλάσσης, καὶ ποταμὸς Λῶος διὰ μέσης αὐτῆς ῥέων, καὶ οὗτος ἐκβάλλει εἰς τὸ Ἰόνιον πέλαγος.

* al. ἢ.

Apollonia.

* al. Ἰλλυρικῇ.

λα'. Tereus. Progne Pandionis F. Philomela.

Ἡ τριακοστὴ πρώτη, ὡς Τηρεὺς, βασιλεὺς Θρᾳκῶν τῶν περὶ Δαυλίαν καὶ τὴν ἄλλην Φωκίδα, ἄγεται Πρόκνην γυναῖκα τὴν Πανδίονος βασιλεύοντος Ἀθηνῶν. καὶ ὡς ἐπιμάνη καὶ ἐμίγη ἀκούσῃ Φιλομήλᾳ τῇ ἀδελφῇ Πρόκνης· καὶ τέμνοι τὴν αὐτῆς γλῶσσαν, δεδιὼς τὸν ἔλεγχον θρίαμβον. ἡ δὲ πέπλον ὑφαίνουσα, γράφει τὰ πάθη τοῖς νήμασι. καὶ ἡ Πρόκνη μαθοῦσα καὶ ἀμυνομένη, παρατίθησιν αὐτῷ δεῖπνον τὰ αὐτοῦ γεννήματα. ὁ δὲ Τηρεὺς, μαθὼν τοῦ δείπνου τὸ μῦσος ὑπ' αὐτῆς Πρόκνης, ἐδίωκεν αὐτήν τε καὶ τὴν ἀδελφὴν ὡς συνεργὸν ξίφει ἀνελεῖν. τὰς δὲ (ὡς μῦθος) λαβὼν ἐντεῦθεν, Πρόκνην μὲν ἀηδόνα ποιεῖ, Φιλομήλαν δὲ χελιδόνα· καὶ ᾄδουσι διὰ παντὸς τὰς τότε συμφοράς. ἀλλὰ καὶ ὁ Τηρεὺς εἰς ἔποπα ἔπτη τῷ μύθῳ· καὶ οὐδ' ἐν ὄρνισιν αὐτούς φασι πεπαῦσθαι τῆς ὀργῆς, ἀλλ' ἔποπας ἀεὶ χελιδόνας καὶ ἀηδόνας διώκουσιν.

λβ'. Europa Phœnicis F.

Ἡ τριακοστὴ δευτέρα, τὰ περὶ Εὐρώπης τῆς Φοίνικος θυγατρὸς ἀφανοῦς γεγενημένης· καὶ ὡς πέμψειε τοὺς υἱεῖς ὁ πατὴρ κατὰ ζήτησιν τῆς ἀδελφῆς· ὧν ἦν καὶ Κάδμος· μεθ' οὗ συναπαίρει καὶ Πρωτεὺς ἐξ Αἰγύπτου, τὴν Βουσίριδος δεδιὼς βασιλείαν. καὶ ὡς μετὰ πολλὴν πλάνην, μηδὲν εὑρόντες, κατῆρον εἰς Παλλήνην. καὶ ὡς Πρωτεὺς ξένια δοὺς Κλίτῳ, καὶ λαβὼν φιλίας (βασιλεὺς δ' ἦν ὁ Κλῖτος σώφρων καὶ δίκαιος Σιθώνων Θρᾳκίου ἔθνους) ἄγεται Πρωτεὺς γυναῖκα, τὴν θυγατέρα Χρυσονόην. καὶ βί-

Cadmus. Protheus.

Clitus.

Chrysonoë.

CONON.

καὶ Βισαλτῶν ἀπελαθέντων τῆς οἰκείας γῆς τῷ πρὸς αὐτοὺς πολέμῳ, ὃν ἐπολέμησε Κλῖτος καὶ Πρωτεύς. βασιλεύει τῆς χώρας Πρωτεύς, καὶ τίκτει παῖδας, οὐχ ὁμοίους αὐτῷ, ἀλλ' ὠμοὺς καὶ παρανόμους· οὓς Ἡρακλῆς, μισοπόνηρος ὤν, ἀναιρεῖ. καὶ αὐτοῖς ὁ πατὴρ χῶμα ἔχωσεν: Ἡρακλέα δὲ (ἦν γὰρ ἐναγὴς) καθῆρε τοῦ φόνου.

λγ'. *Democles. Smicrus.*

Η λγ'. Ὡς Δημοκλῆς ὁ Δελφὸς γεννᾷ παῖδα ἐκπρεπῆ Σμικρὸς ὄνομα· καὶ ὡς πλεῖ κατὰ χρησμὸν ἐπὶ Μιλήτου, ἔχων μεθ' ἑαυτοῦ καὶ τὸν παῖδα ἐν ἡλικίᾳ. καὶ ὡς καταλιμπάνει τοῦτον σπουδῇ, τοῦ ἐκπλεῦσαι καὶ ἀγνοίᾳ, τρεισκαιδέκατον ἔχοντα ἔτος. καὶ ὡς παῖς Ἐριθάρσου αἰπόλος καταλαμβάνει τὸν Σμικρὸν ἀθυμοῦντα, καὶ ἄγει πρὸς τὸν πατέρα. καὶ ὁ Ἐριθάρσης οὐκ ἔλαττον τοῦ ἰδίου παιδὸς, μαθὼν τὰς τύχας καὶ τὸ γένος τοῦ Σμικροῦ, τοῦτον περιεῖπε. *Eritharses.* καὶ περὶ τοῦ Κύκνου τοῦ συλληφθέντος ἅμφω τοῖς παισὶ, καὶ τῆς ἔριδος, καὶ τοῦ τῆς Λευκοθέας φάσματος. καὶ *Cycnus.* ὡς εἴποι τι τοῖς παισὶ, πρὸς Μιλησίους φάναι τιμᾶν αὐτὴν, καὶ παίδων ἀγῶνα γυμνικὸν τελεῖν αὐτῇ: ἡδέσθαι γὰρ αὐτὴν τῇ ἔριδι τῶν παίδων. καὶ ὡς ὁ Σμικρὸς, τινὸς τῶν ἐν Μιλησίοις ἐνδόξων θυγατέρα γαμεῖ. καὶ αὕτη τίκτουσα, ὁρᾷ ὄψιν αὐτῇ τὸν ἥλιον διὰ τοῦ στόματος εἰσδύντα, διὰ τῆς γαστρὸς δὲ καὶ τῶν αἰδοίων διεξελθεῖν. καὶ ἦν τὸ ὅραμα τοῖς μάντεσιν ἀγαθόν· καὶ ἔτικτε κόρον, Βράγχον ἀπὸ τοῦ ὀνείρου καλέσασα· ὅτι ὁ ἥλιος αὐτῆς διὰ τοῦ βράγχου [*] ἐξῆλθε. *Branchus.* καὶ ἦν ὁ παῖς κάλλιστος ἀνθρώπων. καὶ αὐτὸν ἐφίλησεν ἐρασθεὶς Ἀπόλλων, εὑρὼν ποιμαίνοντα, ἔνθα βωμὸς Ἀπόλλωνος φιλίου ἵδρυται. ὁ δὲ Βράγχος ἐξ Ἀπόλλωνος ἐπίπνους μαντικῆς γεγονὼς, ἐν Διδύμοις τῷ χωρίῳ ἔχρα. καὶ μέχρι τοῦ νῦν χρηστηρίων ἑλληνικῶν, ὧν ἴσμεν μετὰ Δελφοὺς, κράτιστον ὁμολογεῖται τὸ τῶν Βραγχιδῶν. *[*] ἐνέδυ. Branchidarum oracula.*

λδ'. *Helenus & Deiphobus.*

Η λδ'. Ὡς μετὰ τελευτὴν Ἀλεξάνδρου τοῦ Πάριδος, οἱ Πριάμου παῖδες Ἕλενος καὶ Δηΐφοβος ἤριζον ὑπὲρ τῶν Ἑλένης γάμων. καὶ κρατεῖ βίᾳ καὶ θεραπείᾳ τῶν δυνατῶν Δηΐφοβος, νεώτερος ὢν Ἑλένου. Ἕλενος δὲ τὴν ὕβριν οὐ φέρων, εἰς τὴν Ἴδην ἀποχωρήσας, ἡσύχαζε. καὶ κατὰ συμβουλίαν Κάλχαντος, *Equus Troianus.* οἱ πολιορκοῦντες Τροίαν Ἕλληνες, λόχῳ τὸν Ἕλενον συλλαμβάνουσι: καὶ τὰ μὲν ἀπειλαῖς, τὰ δὲ δώροις, πλέον δὲ τῇ πρὸς Τρῶας ὀργῇ, ἀποκαλύπτει αὐτοῖς Ἕλενος, ὡς ξυλίνῳ ἵππῳ πεπρωμένον ἐστὶν Ἴλιον ἁλῶναι· καὶ τὸ τελευταῖον, ἐπειδὰν Ἀχαιοὶ λάβωσι τὸ διοπετὲς Ἀθηνᾶς Παλλάδιον, πολλῶν ὄντων τὸ σμικρότατον. στέλλονται οὖν ἐπὶ τῇ κλοπῇ τοῦ Παλλαδίου Διομήδης καὶ Ὀδυσσεύς. καὶ *Palladium.* ἀναβαίνει ἐπὶ τὸ τεῖχος Διομήδης. ἐπιβὰς τῶν ὤμων Ὀδυσσέως. ὁ δὲ οὐκ ἀνελκύσας Ὀδυσσέα, καίτοι τὰς χεῖρας ὀρέγοντα, ᾔει τὴν ἐπὶ τὸ Παλλάδιον. *Diomedes. Vlysses.* καὶ ἀφελόμενος αὐτὸ, πρὸς Ὀδυσσέα ἔχων ὑπέστρεφε. καὶ διὰ τοῦ πεδίου κατιόντων, πυνθανομένῳ ἕκαστα τῷ Ὀδυσσεῖ, Διομήδης τὸ δόλιον τοῦ ἀνδρὸς εἰδὼς, οὐχ ὅπερ ἔφησεν Ἕλενος Παλλάδιον λαβεῖν αὐτὸν, ἀλλ' ἀντ' ἐκείνου ἕτερον, ἀποκρίνεται· κινηθέντος δὲ τοῦ Παλλαδίου, κατά τινα δαίμονα: γνοὺς Ὀδυσσεὺς αὐτὸ ἐκεῖνο εἶναι· καὶ κατόπιν γεγονὼς, σπᾶται τὸ ξίφος, ἐκεῖνον μὲν ἀνελεῖν βουληθεὶς·

Bisaltis deinde patria sua eo bello pulsis, quod ipsis à Clito & Proteo illatum est, regioni illi Proteus imperauit, genuitque patris longè dissimiles liberos, crudeles admodum atque iniustos, qui post ab Hercule, quòd improbos valde odisset, occisi sunt. Et parens ipse tumulum suis effodit, Herculémque cæde pollutum expiauit.

XXXIII. Democlus Delphus filium genuit insigni forma, cui [a] *Smicro* nomen, nauigauitque Miletum ad consulendum oraculo, ducto secum filio annorum tredecim: quem, nimis festinato nauigandi studio, atque imprudens, ibi reliquit. Inuentum itaque tristem Smicrum, caprarius quidam, Eritharsi filius, ad patrem adducit: qui non secus atque suum filium, cognita pueri & conditione & stirpe, honestè eum apud se habuit. Narrat & de Cyeno cum duobus filiis capto, deque contentione, ac de Leucotheæ spectro. Quomodo hæc pueris dixerit, Milesios vt admonerent, ipsam honorandam, & puerorum certamen gymnicum ipsi exhibendum: lætari enim se puerorum contentione. Addit etiam, vt Smicrus, clari cuiusdam apud Milesios viri filiam vxorem duxerit, quæ pariens secundùm quietem videre visa sit, Solem per os ipsam subire, & per ventrem atque verenda egredi. Quod visum bonum esse omen vates interpretati, peperit illa filium, Branchúmque à somnio nominauit, eò quòd per fauces ex ipsa Sol [b] egressus esset. Hic mortalium formosissimus puer, ab Apolline est adamatus, cùm oues pascentem reperisset. Vbi & ara *Apollinis amantis* consecrata. Branchus verò, Apollinis dono vaticinandi arte donatus, Didymis oracula reddidit, hodiéque, inter omnia quæ nouimus, Græca oracula, [c] Branchidarum oraculum post Delphicum maximum prædicatur.

XXXIV. Paride mortuo, Helenus & Deiphobus Priami filij super Helenæ nuptiis contenderunt, vicitque per vim & potentium opem Deiphobus, ætate licet minor. Helenus ergo iniuriæ impatiens, in Idam secedens otium egit: vbi Calchantis suasu, qui Troiam obsidebant Græci ex insidiis eum capiunt: ille partim minis, partim donis, vel potius odio Troiæ, Græcis indicauit, ligneo equo Troiam capiendam, fato esse designatum. Immò & hoc denique, cùm Achiui cœpissent [d] cœlo delapsum illud Mineruæ [e] Palladium, quod inter multa erat minimum. Igitur missi ad Palladium furto auferendum, Diomedes & Vlysses: euaditque in murum per Vlyssis humeros conscendens Diomedes, neque tamen manus tendentem socium attraxit, sed ad Palladium abiit, eóque ablato, ad Vlyssem reuertit. Ita cùm per plana redirent, interroganti singulatim omnia Vlyssi, hominis astutiam non ignorans, respondit, non quod Helenus Palladium indicasset se accepisse: sed pro eo aliud quoddam. Verùm moto forte fortuna Palladio, agnouit Vlysses illud ipsum esse. Quare à tergo se statuens Diomedis, interfecturus illum, gladium strinxit,

[a] *Smicrum vocat Lactantius ad vers. 198. lib. 8. Thebaid. Stat. Patauin. Vbi plura ex Varrone.*

[b] *ἐνέδυ potius legendum videtur.*

[c] *De quo Strab. & Pausan. non semel.*

[d] *Διοπετές. De qua voce lege Suidam.*

[e] *Vide Suid. & interp. Verg. Apollod. item lib. 1. Bibliot. ac dictys. Cretens. lib. 5. init.*

CONON.

quò ipsemet Achiuis Palladium adferret. At dum plagam inflicturus esset, vidit Diomedes, splendente tum forte Luna, ensis vibrati lucem. Ita Vlysses à cæde abstinuit, stringente vicissim gladium Diomede, qui & timiditatem illi exprobrans, & gladij lamina, quod antecedere nollet, humeros verberans, eundem ante se egit. Vnde [a] prouerbium natum: *Diomedeia necessitas*. adhiberi solitum in eo, qui aliquid faciat inuitus.

a Quod ipsum alio etiam ratione adfert Suidas.

XXXV. Duos inducit pastores ad Lyssum Ephesini agri montem pascentes: qui apum examen in profundo quodam atque ad descendendum perdifficili antro cùm vidissent, alter sportulam ad descendendum ingressus est, alter eam è fune suspensam demittebat. Cùm autem qui descenderat, mellis atque auri ingentem copiam reperisset, impositum sportulæ onus tertiò attrahere sursum iussit. Auro dein deficiente, seipsum deinceps sportam ingredi acclamauit. At postquam insidiarum ipsi suspicio cum verbo illo in mentem venit, lapidem pro se sportæ imposuit, iussitque attrahere. Alter itaque, vt iam penè ad oram vsque speluncæ onus attraxit, ratus se socium occidere, confestim per præcipitium quoddam sportam præcipitauit, auróque humi defosso, verisimiles de pastore qui desiderabatur, causas interrogantibus commentus est. Hinc cùm alter ille in spelunca pastor nullam salutis viam reperiret, Apollo in somnis iussit, vt acuto lapide sibi corpore lacerato, quietus iaceret. Paruit ille monenti, & vultures tanquam ad cadauer aduolantes, vnguésque alij comæ, alij vestibus infigentes, in sublime hominem sustulerunt, auexerúntque illæsum in subiectam vallem. Inde profectus in curiam, cuncta magistratui exposuit. Quare Ephesij insidiatorem illum conuictum, aurumque defossum vel inuitum ostendere coactum [pro meritis] multatunt: iniuria verò affecto, auri dimidium attribuentes, alterum dimidium Apollini ac Dianæ obtulerunt. Seruatus ergo pastor ille, auróque donatus, ad summas peruenit diuitias, & aram in summo montis vertice Apollini, [b] *Vulturij* nomine, in rei gestæ memoriam sempiternam dedicauit.

b Γυπαίου.

XXXVI. [c] Philonomus Lacedæmonius, Sparta Doriensibus prodita, Amyclas mercedis loco accepit, in eámque ex Imbro atque Lemno incolas coëgit. Qui cùm tertia dein ætate seditionem aduersus Dorientes excitassent, Amyclis pulsi sunt. Adsumptis itaque secum è Spartiatis quibusdam, ducibúsque vsi Polide & Delpho, in Cretam adnauigarunt. Sed dum classis præternauigat, Apodasmus [d] Melum habitatoribus instruit, indéque Pelicorum genus Spartanos sibi conciliat. Cæteri omnes Gortynam, repugnante nemine, occupantes, vnà cum Cretensium accolis eam incoluerunt.

c Meminit Strabo lib. 8. huius Laconica.

d Cycladum vna Steph. cum eiusdem nomine vrbe.

XXXVII. A Thaso [e] Cadmi fratre Thasum insulam appellatam refert. Ibi enim illum frater, data exercitus parte, reliquit. [f] Cadmus hic à Phœnicum rege, magnæ alioquin & ipse apud Phœnicas auctoritatis, in Europam missus est. Quippe Phœnices eo tempore

e Apollod. Thasum Neptuni filium facit, lib. 3. dat. Stephan. Thasius geminato sibilo profert.
f De Cadmo Pausan. legendus in Bœotic.

αὐτὸς δ' Ἀχαιοῖς τὸ Παλλάδιον κομίζειν. καὶ αὐτοῦ μέλλοντος πληγὴν ἐμβαλεῖν (ἦν γὰρ σελήνη) ὁρᾷ Διομήδης τὴν αὐγὴν τοῦ ξίφους· Ὀδυσσεὺς δ' ἀναιρεῖν μὲν ἀπέσχετο· ἀντισπασαμένου κἀκείνου ξίφος, δειλίαν δ' ὀνειδίσας, πλατεῖ τῷ ξίφει οὐκ ἐθέλοντα προϊέναι τύπτων τὰ νῶτα ἤλαυνεν. ἐξ οὗ ἡ παροιμία· ἡ Διομήδειος ἀνάγκη, ἐπὶ παντὸς ἀκουσίως λεγομένη.

Diomedea necessitas.

Η λε', δύο ποιμένας ὑπὸ Λυσσὸν τὸ ὄρος τῆς Ἐφεσίας γῆς εἰσάγει νέμοντας· οἱ μελισσῶν ἑσμὸν ἔν τινι βαθεῖ καὶ δυσκαταβάτῳ θεασάμενοι σπηλαίῳ, ὁ μὲν εἰς φορμίδα κατιέναι ἐνέβη, ὁ δὲ καθίει, κάλῳ ἀρτησάμενος· ὁ κατελθὼν δὲ μέλι καὶ χρυσὸν πολὺν εὑρὼν, καὶ τῇ φορμίδι ἕως τρὶς ἐμβαλὼν, ἀνιμᾶν ἐκέλευσεν· ἐπιλείψαντος * καὶ τοῦ χρυσοῦ, ἑαυτὸν ἐμβαίνειν λοιπὸν προσφωνήσας· ἐπειδ' ἐπιβουλῆς ἔννοια αὐτῷ ἅμα τῷ ῥήματι συνεισῆλθε, λίθον ἀνθ' αὑτοῦ τῇ φορμίδι βαλὼν, ἐκέλευσεν ἀνιμᾶν. ὡς δ' ἐγγὺς τῆς στεφάνης ὁ ἀνιμῶν ἀπῃωρήσατο· αὐτίκα, ὡς διαφθείρων τὸν ἕτερον, ἀφίησι κατά τινος φάραγγος, καὶ τὸ χρυσίον κατορύξας, πιθανὰς ὑπὲρ τοῦ ἀφανοῦς ποιμένος ἔπλαττε τοῖς πυνθανομένοις τὰς προφάσεις. ὡς δ' ἦν ἄπορα πανταχόθεν τῷ ἐν τῷ σπηλαίῳ ποιμένι τὰ τῆς σωτηρίας· Ἀπόλλων ὄναρ κελεύει, ὀξεῖ λίθῳ τὸ σῶμα ἀμύξαντα, κεῖσθαι ἠρέμα. τοῦ δὲ πράξαντος τὸ προσταχθέν· γῦπες ὡς ἐπὶ νεκρὸν ἐφιπτάμενοι, καὶ τοὺς ὄνυχας οἱ μὲν εἰς τὴν χαίτην οἱ δ' εἰς τὴν ἐσθῆτα πηξάμενοι· ἐκούφιζον, καὶ κατέφερον αὐτὸν κακῶν ἀπαθῆ ἐπὶ τὸν ὑποκείμενον αὐλῶνα. ἐλθὼν δ' ἐπὶ τὸ ἀρχεῖον, ἅπαντα φράζει. καὶ τὸν μὲν ἐπιβουλεύσαντα οἱ Ἐφέσιοι ἐλεγχθέντα, καὶ τὸν χρυσὸν κατορωρυγμένον καὶ ἄκοντα ἐπιδείξαντα, τιμωροῦνται· τῷ δ' ἠδικημένῳ τὴν ἡμίσειαν τοῦ χρυσοῦ νείμαντες, τὴν ἑτέραν ἡμίσειαν ἱερὰν ἀποφῆναι Ἀρτέμιδι καὶ Ἀπόλλωνι. ὁ δὲ διασωθεὶς, καὶ τῷ χρυσίῳ τιμηθεὶς, ποιμὴν τῶν τε πάνυ πλουσίων ἐγένετο· καὶ βωμὸν ἐπ' ἄκρας τῆς κορυφῆς τοῦ ὄρους Ἀπόλλωνος * ἵσατο, γυπαίου εἰς μνημεῖον τῶν συνενεχθέντων ὀνομάσας.

λε'. Apud Ephesum.

* al. δὲ τό.

* ἱδρύσατο.

Η λς', Ὡς Φιλόνομος ὁ Σπαρτιάτης προδοὺς Λακεδαίμονα Δωριεῦσι, δῶρον ἔχει Ἀμύκλας, καὶ συνοικίζει ταύτην ἐξ Ἴμβρου καὶ Λήμνου. Τρίτη δὲ γενεᾷ, στασιάσαντες πρὸς Δωριέας, μετανίστανται Ἀμυκλῶν· συμπαραλαβόντες δὲ καί τινας Σπαρτιατῶν, ἡγουμένων αὐτοῖς Πόλιδος καὶ Δελφοῦ, ἔπλεον ἐπὶ τῆς Κρήτης. ἐν τῷ παράπλῳ δὲ τοῦ στόλου, Μῆλον Ἀπόδασμος οἰκίζει. καὶ τὸ τῶν Πηλιέων γένος ὀρθῶς οἰκειοῦται * Σπαρτιάταις. οἱ δὲ λοιποὶ ἅπαντες Γόρτυναν, μηδενὸς εἴργοντος, λαβόντες, ταύτην ἅμα τοῖς περιοίκοις Κρησὶ συνοικίζουσι.

λς'. Philonomus.

Polis. Delphus. Apodasmus.

* σπαρτιάταις.

Η λζ', Ὡς ἀπὸ Θάσου τοῦ Κάδμου ἀδελφοῦ, Θάσος ἡ νῆσος ὠνομάσθη· ἐκεῖ γὰρ αὐτὸν ὁ ἀδελφὸς, δοὺς τοῦ στρατοῦ μοῖραν, ἀπολείπει. καὶ ὡς Κάδμος ὑπὸ τοῦ Φοινίκων βασιλέως μέγα καὶ αὐτὸς δυνάμενος παρὰ Φοίνιξιν, ἐπὶ τὴν Εὐρώπην στέλλεται. οἱ δὲ Φοίνικες τότε

λζ'. Cadmus. Thasus. Phœnices.

μέγα

μέγα τι (ὡς λόγος) ἴσχυον. καὶ πολλὰ τῆς Ἀσίας καταστρεψάμενοι, τὸ βασίλειον ἐν Θήβαις ταῖς αἰγυπτίαις εἶχον. στελῆναι δὲ Κάδμον, οὐχ, ὡς Ἕλληνές φασι, κατὰ ζήτησιν Εὐρώπης, ἣν παῖδα Φοίνικος οὖσαν ἥρπασε Ζεὺς ἐν σχήματι ταύρου: ἀλλ' ἀρχὴν μὲν ἰδίαν ἐν Εὐρώπῃ μηχανώμενον πλάττεσθαι ἀδελφῆς ἡρπασμένης ποιεῖσθαι ζήτησιν. ἐξ οὗ καὶ ὁ τῆς Εὐρώπης μῦθος ἧκεν εἰς Ἕλληνας. περιπλέων δὲ τὴν Εὐρώπην, τὸν μὲν ἀδελφὸν Θάσον, ὡς εἴρηται, τῇ νήσῳ λείπει. αὐτὸς δὲ εἰς Βοιωτίαν πλεύσας, *ἄνεισι καὶ τὰς νῦν καλουμένας Θήβας· καὶ σὺν τῇ δυνάμει περιτειχίσας τὸ χωρίον, Θήβας ἀπὸ τῆς οἰκείας ἐπονομάσει πατρίδος. τῶν δὲ Βοιωτῶν εἰς μάχην αὐτοῖς συμπλακέντων: ἡττῶνται Φοίνικες. εἶτα κρατοῦσιν, ἐνέδραις καὶ προλοχισμοῖς, καὶ τῇ ἀήθει τῶν ὅπλων ὄψει. κράνος γὰρ καὶ ἀσπὶς οὔπω αὐτοῖς ἐγνωστο. καὶ κρατεῖ Κάδμος τῆς Βοιωτῶν γῆς. καὶ φυγόντων τῶν διασωθέντων ἐπὶ τὰς οἰκείας πόλεις, οἰκίζει Φοίνικας ἐν Θήβαις. καὶ τὴν Ἄρεος καὶ Ἀφροδίτης Ἁρμονίαν γαμεῖ. Βοιωτοῖς δὲ πρὸς τὴν ἔκπληξιν τῶν ὅπλων καὶ τῶν προλοχισμῶν, καὶ τὰς ἐνέδρας, δόξα παρέστη, αὐτοῖς ὅπλοις ἀνεῖναι τῆς γῆς τοὺς ἄνδρας· καὶ Σπαρτοὺς, ὡς ἐκ τοῦ χωρίου φύντας αὐτοὺς, ἐκάλεσαν. περὶ μὲν οὖν Κάδμου καὶ Θηβῶν οἰκίσεως, οὗτος ὁ ἀληθὴς λόγος: τὸ δ' ἄλλο μῦθος καὶ γοητεία ἀκοῆς.

λη'. Ὡς Μιλήσιός τις ἀνὴρ, τῆς πατρίδος αὐτοῦ ὑπὸ Ἁρπάγου τοῦ Κύρου ἐν κινδύνῳ οὔσης, εἰς τὸ ἐν Σικελίᾳ Ταυρομένιον ἀπῄει, κἀκεῖ φίλῳ τινὶ τραπεζίτῃ παραθέμενος τὸ χρυσίον, οἴκαδ' ἔπλει. εἶτα δεδούλωτο μὲν Μίλητος Κύρῳ· δεινὸν δ' οὐδὲν ἄλλο, ὧν ὑφεωρᾶτο, ἐπεπόνθει. καὶ ὁ Μιλήσιος ἧκεν εἰς Ταυρομένιον, ἀνακομισόμενος τὴν παρακαταθήκην. ὁ δὲ λαβὼν, ὁμολογεῖ μὲν λαβεῖν, διετείνετο δ' ἀποδεδωκέναι. ὡς δὲ μετὰ πολλὴν ἔριν καὶ λογομαχίαν ὁ Μιλήσιος εἰς ὅρκον τὸν ἀδικοῦντα προὐκαλεῖτο: ὁ τραπεζίτης μηχανᾶται τοιόνδε. νάρθηκα κοιλάνας, καθάπερ αὐλὸν, καὶ συντήξας τὴν παρακαταθήκην τοῦ νάρθηκι, ἐγχεῖ καὶ ἀσφαλίζεται. ἐπὶ δὲ τὸν ὅρκον ἰὼν, καὶ κατέχων ὡς βακτηρίαν, προφάσει τῆς τῶν ποδῶν ἀσθενείας, τῷ νάρθηκι ἐπηρείδετο. μέλλων δ' ὀμνύειν, πλησίον ἑστῶτι τῷ Μιλησίῳ, ὡς αὐτίκα πάλιν ἀναληψόμενος τὸν νάρθηκα ἐπιδίδωσιν. ὡς δὲ τὰς χεῖρας ἀνασχὼν κατώμνυτο τὴν παρακαταθήκην ἀποδοῦναι τῷ παραθεμένῳ: περιπαθήσας ὁ Μιλήσιος, ῥίπτει τὸν νάρθηκα, ἔρρειν ἅμα ἀνακραγὼν τὴν ἐν ἀνθρώποις πίστιν. καὶ ὁ νάρθηξ ἐρρήγνυτο, καὶ περιφανὲς ἦν πρὸς τὴν ὄψιν τοῦ χρυσίου τὸ σόφισμα τῆς ψευδορκίας. καὶ ὁ μὲν Μιλήσιος τὸ ἴδιον εἶχεν: ὁ δὲ τραπεζίτης ὑπ' αἰδοῦς καὶ τοῦ κακίζεσθαι πρὸς ἁπάντων, βρόχῳ τοῦ ζῆν ἑαυτὸν ἐξάγει.

λθ'. Ὡς Μέλανθος γένος μὲν ἦν τῶν Νηλειδῶν, οἳ Πύλου καὶ Μεσσήνης ἀπὸ Ποσειδῶνος ἐβασίλευον. τοῦτον ἀναστήσαντες Ἡρακλεῖδαι, πολέμῳ τὴν γῆν ἔσχον. ὁ δὲ κατὰ χρησμὸς Ἀθήναζε ἀφικνεῖται, καὶ πολίτης γίνεται, καὶ ἦν τῶν τιμωμένων. Ἀθηναίοις δὲ καὶ Βοιωτοῖς πόλεμος περὶ Οἰνόης συνίσταται

viribus plurimum ac potentia, vt ferunt valebant, magnáque Asiæ parte in potestatem redacta, regiam sedem Thebis Ægyptiis constituerant. Missus ergo Cadmus non (vt Græci fabulantur) Europam quæsiturus, quam Phœnicis filiam, tauri mentitus formam Iuppiter rapuisset, sed proprium sibi in Europa imperium constituere molitus, raptæ sororis inuestigationem prætexuit. Atque hinc illa de Europa fabula ad Græcos prodiit. Europam igitur circum-nauigans ille, Thasum fratrem, vt diximus, in ea insula reliquit, ipse in Bœotiam tendens, Thebas illas, quæ nunc appellantur, ædificauit, muróque comitum opera cinctum locum, à patriis ita Thebis appellauit. Bœotis autem pugna concurrentibus, victi primum Phœnices, per insidias mox, ac strategemata, & inusitatum armorum aspectum, superiores euaserunt: neque enim galea & scutum fuerant vnquam Græcis ad eam diem cognita. Ita Cadmus Bœotorum potitus regione, fugientibus qui cladi superera̅t in suas quisque vrbes, Thebis Phœnicas, qui incolerent, collocat, ipse Harmoniam Martis ac Veneris filiam vxorem ducit. Bœotorum interim animis ob armorum illusu, atque insidiarum metum hæc opinio insedit, cum armis ipsis viros illos è terra exstitisse, vt inde etiam [a] *Spartos*, velut ex eo ipso loco satos, nominarint. Igitur de Cadmo, Thebarúmque inhabitatione vera hæc narratio est: altera illa, fabula, auriúmque præstigiæ.

XXXIIX. Milesius quidam periclitante sub Harpago Cyri F. patria, Tauromenium, Siciliæ vrbem adnauigauit, ibidémque apud notum quendam trapezitam auro deposito, domum rediit. Cyrus post hæc Miletum in potestatem redegit, nihilque in eam grauius, vt metuerant constituit. Rediit itaque Milesius Tauromenium, vt depositum illud suum reciperet. Ibi mensarius quidem depositum accepisse non abnegabat, sed reddidisse contendebat. Vt verò Milesius post multas tandem rixas atque contentiones, ad iusiurandum hominem adegit, trapezita tale quid machinatus est. Ferulam tibiæ instar excauans, in eaque depositum liquefactum infundens, probè obturat. Accedens igitur ad iurandum, ferénsque pro scipione ferulam, quasi pedibus æger ea fulciebatur. Antequam tamen iuraret, Milesio sibi astanti, veluti mox repetiturus, arundinem tradidit. Ita dum manibus sublatis deierat, se depositum eidem, à quo accepisset, reddidisse, Milesius indignans arundinem proiecit, simul etiam hominum fidem defecisse clamás. Tum fracta arundine oculis etiam patuit compositum illud auri causa periurium. Milesius itaque aurum sibi suum vindicauit: trapezita verò præ verecundia, & quòd improbus coram omnibus deprehenderetur, laqueo vitam sibi abrupit.

XXXIX. Melanthus ex genere fuit Elidarum, qui Pylo & Messanæ iam inde à Neptuno imperarunt. Hunc cum Heraclidæ expulissent, armis regione potiti sunt. Ille Athenas versus ex oraculo discessit, ciuitateque donatus, clarruit ibi in paucis. Accidit autẽ vt Athenienses cum Bœotis super [b] Oenoë bellum gererent,

Margin notes: CONON. — Europa. — *Ἴσ. ἄνεισι. — Thebæ. — Boetia. — Harmonia Martis & Veneris F. — [a] Σπαρτοί. Ital. seminati. — λη'. Milesius aurum apud Trapezitam, patria periclitante, deponens. — Trapezitæ dolus. — λθ'. Melanthus. — Oenoe. — [b] περὶ Κελαινῶν Suid. & Polyæni.

CONON.

placuitque singulari regum certamine litem dirimi. Ibi [a] Thymœtes, qui tum Athenis regnabat, duellum formidans, regno etiam cessit ei, quicumque cum Xantho Bœotorum rege dimicare vellet. Melanthus itaque regni præmio inuitatus, pugnandi conditionem accipit, & pacta conficiuntur. Vbi ad manus ventum est, vidit Melanthus visum quoddam imberbis viri specie Xanthum sequi. Vt verò iniustè fieri ille exclamauit, quod contra pacta auxiliatorem adduxisset, Xanthus falso sermone turbatus, vertit se: atque ita illico Melanthus lancea traiectum transfodit. Sic vno certamine Oenoën Atheniensibus, sibi regnum acquisiuit. Certè Erechtidarum genus ad Melanthidas, quo in numero & Codrus erat, ab hoc traductum est. Athenienses verò postea *Baccho* [b] *Melanthida* ex oraculo fanum dedicarunt, & quotannis rem diuinam fecerunt: *Ioui* insuper *deceptori* sacras litantes victimas, quòd in pugna dolo fuissent vsi.

QVADRAGESIMA historia [c] de Andromeda secus narrat, quàm Græci fabulantur. Duos fratres fuisse refert Cephea, & Phinea: ac Cephei quidem regnum, Phœnices postea nomen induisse, cum ad eum diem [d] Ioppe à maritima ciuitate appellatum fuisset, habuisseque imperij terminos à mari nostro ad eam vsque Arabiam, quæ ad Erythræum mare pertinet. Fuisse item Cepheo insigni pulchritudine filiam Andromedam, quam proci ambirent, Phœnix quidam, & ipse Cephei frater Phineus. At Cepheum postquam varia de vtroque secum ipse considerasset, Phœnici tandem despondere filiam statuisse, ac per filiæ raptum consentientem suam voluntatem obtegere. Abreptam igitur fuisse ex deserta quadam insula Andromedam, in quam soleret Veneri sacrificia oblatura secedere. Ita cùm Phœnicis huius rapientis naui (quæ Cetus dicta est, siue à piscis illius similitudine, siue casu aliquo) Andromeda tanquam insciente patre aueheretur, miserè eam eiulasse, opémque cum lachrymis inuocasse. Ad ea [e] Perseum Danaës filium, fortè fortuna prænauigantem, cursum inhibuisse: primoque mox puellæ aspectu, pietate simul, & amore captum: tùm nauigium illud Ceti nomine expugnasse, & vectores tantùm non in lapides præ metu versos, occidisse. Atque hunc illum esse Græcæ fabulæ Cetum, hos homines, [f] Gorgonis viso capite, in saxa mutatos. Perseum igitur Andromedam vxorem accepisse, secumque in Græciam nauigio vexisse, atque Argos sub illius imperio habitari cœptum.

XLI. Antandrum habitarunt Pelasgi. Verùm (vt quidam narrant) ex eo, quod hanc ipsis Ascanius pro redemptionis suæ pretio donasset, cum ex insidiis captus ab his, dimissusque fuisset: hinc enim *Antandri* nomine vrbem dixisse, quam ἀντὶ ἑνὸς ἀνδρὸς [pro vno viro] accepissent. Ascanius autem hic Æneæ filius, fuit, qui capta iam Troia in Ida regnauit. Alij hinc potius referunt Pelasgos Antandrum incoluisse. Ex Apolline, aiunt, atque Creüsa gignitur Anius, & ex hoc Andrus, qui vnam insularum inhabitans, [g] nomen quoque suum insulæ reliquit.

a Ouintho F. qui postremus de Thesidis regnauit. Pausan. Corinth. Attingit quoque hanc historiam Strabo lib. 9 init. & maxime Suid. ἀπατούρια. Item Harpocr. Aristoph. Pollux lib. 8. Stratagem. Frontin. lib. 2. cap. 5.

b Suidas voce ἀπατούρια Dionysum hunc μελαναιγίδα vocat, eo quod ὑπὸ τραγῆς ἐρημένος μέλαιναν visus ille post Xanthum apparuerit. Huius tamen Bacchi ædem Pausan. in Corinthiac. apud Trœzenios statuit.

c Vide Hyginum Apollodorum, & interpret. Apollon. Arati, atque Lycophr. Ouid. 5. Metamorph.

d Strabo hanc etiam sententiã adfert lib. 1. & mirũ XVI. Plinius quoque Pausan. ac plerique omnes.

e Persei huius imaginem inspice apud Philostr. lib. 1. Icon. antepenult.

f Strabo lib. X. extrem. Vide Ouid & Mytholog.

g Antandrus, inquit Stephan. ab Antandro Aeolensium Stratego.

καὶ ἐδόκει ἐν τῇ τῶν βασιλέων μονομαχίᾳ τὴν κρίσιν εἶναι. Θυμοίτης μὲν οὖν βασιλεύων ἀθηναίων, ἐδεδοίκει τὸν ἀγῶνα, καὶ ἐξίστατο τῆς βασιλείας, τῷ βουλομένῳ διαγωνίσασθαι πρὸς Ξάνθον, ὃς ἐβασίλευσε βοιωτῶν. καὶ Μέλανθος ἐπ' ἄθλῳ τῆς βασιλείας, ὑφίσταται τὸν ἀγῶνα, καὶ προβαίνουσιν αἱ συνθῆκαι. ἐπειδὴ δ' εἰς μάχην ἧκον, καθορᾷ ὁ Μέλανθος φάσμα τι τῷ Ξάνθῳ ἀνδρὸς ἑπόμενον ἀγένειον. ὡς δ' ἀνεβόησε μὴ δίκαια ποιεῖν, παρὰ τὰς συνθήκας ἐπαγόμενον βοηθόν· μεταστρέφη ὁ Ξάνθος, πρὸς τὸ ἄπιστον τοῦ λόγου ἐκπλαγείς· καὶ αὐτὸν εὐθὺς ὁ Μέλανθος τῷ δόρατι βαλὼν, κτείνει. καὶ τήν τε Οἰνόην ἀθηναίοις, καὶ ἑαυτῷ τὴν βασιλείαν, ἐνὶ περιεποιήσατο ἀγωνίσματι. τὸ μὲν δὴ τῶν * Ερεχθειδῶν γένος, εἰς τοὺς μελανθίδας, ὧν ἦν καὶ Κόδρος, ἀπὸ τούτου μετέστη. Ἀθηναῖοι δ' ὕστερον Διονύσῳ μελαναιγίδι κατὰ χρησμὸν ἱερὸν ἱδρυσάμενοι, θύουσιν ἀνὰ πᾶν ἔτος, καὶ τῷ ἀπατηνορίῳ Διῒ ἱερὰ ἀνάπτοντες, ὅτι αὐτοῖς ἐκ τῆς ἀπάτης ἀγώνισμα ἐγένετο.

Η τεσσαρακοστὴ ἱστορία, τὰ περὶ * Ἀνδρομέδας ἱστορεῖ ἑτέρως, ἢ ὡς ὁ ἑλλήνων μῦθος. ἀδελφοὺς μὲν γὰρ δύο γενέσθαι [φασὶ] Κηφέα καὶ Φινέα, καὶ εἶναι τὴν τοῦ Κηφέως βασιλείαν τότε ἐν τῇ μετονομασθείσῃ μὲν ὕστερον Φοινίκῃ, τηνικαῦτα * δὲ ὅπη ἀπὸ Ἰόππης τῆς ἐπιθαλασσιδίου πόλεως τοὔνομα λαβούσῃ. καὶ ἦν τὰ τῆς ἀρχῆς ὅρια ἀπὸ τῆς καθ' ἡμᾶς θαλάσσης μέχρι Ἀράβων τῶν πρὸς τὴν ἐρυθρὰν θάλασσαν ᾠκημένων. εἶναι δὲ τῷ Κηφεῖ καὶ θυγατέρα πάνυ καλὴν Ἀνδρομέδαν, καὶ αὐτὴν μνᾶσθαι Φοίνικά τε, καὶ τὸν ἀδελφὸν Κηφέως Φινέα. Κηφεὺς δὲ μετὰ πολλοὺς τοὺς ἐφ' ἑκατέρῳ λογισμοὺς, ἔγνω δοῦναι μὲν Φοίνικι. ἁρπαγῇ δὲ τῆς μνηστῆρος τὸ αὐτοῦ ἑκούσιον ἀποκρύπτειν· καὶ ἁρπάζεται ἀπό τινος * νησῖδος ἐρήμης ἡ Ἀνδρομέδα. ἐν ᾧ εἰώθει ἀπιοῦσα θυσίας τῇ Ἀφροδίτῃ θύειν. Φοίνικος δ' ἁρπάσαντος νηΐ (κῆτος δ' αὐτὴ ἐκαλεῖτο, ἢ μίμησιν ἔχουσα τοῦ ζώου, ἢ καὶ κατὰ τύχην) ἡ Ἀνδρομέδα, ὡς κατὰ ἄγνοιαν τοῦ πατρὸς ἁρπαζομένη, ἀπωλοφύρετό τε καὶ μετ' οἰμωγῆς τοὺς βοηθήσοντας ἀνεκαλεῖτο. Περσεὺς δ' ὁ Δανάης κατὰ δαίμονα παραπλέων κατίσχει· καὶ πρὸς τὴν πρώτην ὄψιν τῆς κόρης, οἴκτῳ καὶ ἔρωτι συσχεθεὶς* τό, τε πλοῖον, τὸ κῆτος, διαφθείρει· καὶ τοὺς * ἐμπεσόντας ὑπὸ ἐκπλήξεως μονονουχὶ λιθωθέντας, ἀναιρεῖ. καὶ τοῦτο ἕλλησι τὸ τοῦ μύθου κῆτος, καὶ οἱ παγέντες ἐς λίθους ἄνθρωποι Γοργόνος τῇ κεφαλῇ. ἄγεται δ' οὖν γυναῖκα τὴν Ἀνδρομέδαν, καὶ οἴχεται αὐτῇ συμπλέουσα εἰς τὴν ἑλλάδα τῷ Περσεῖ, καὶ βασιλεύοντος τὸ ἄργος οἰκεῖται.

Η μα'. Ὡς Ἄντανδρον ᾤκησαν πελασγοί· ἀλλ' ὡς μὲν ἔνιοί φασι, δόντος αὐτοῖς Ἀσκανίου λύτρον ἀνθ' αὐτοῦ· ἐπεὶ ἐνέδρᾳ συνελήφθη ὑπ' αὐτῶν. καὶ ἀπολυθέντος· διὸ καὶ Ἄντανδρος, ὅτι ἀντὶ ἑνὸς ἀνδρὸς ἔλαβον πόλιν. * ὡς δ' Ἀσκάνιος υἱὸς μὲν ἦν Αἰνείου· μετὰ δὲ Τροίας ἅλωσιν, ἐβασίλευσεν Ἴδης. οἱ δέ φασιν ἐντεῦθεν οἰκῆσαι πελασγοὺς Ἄντανδρον. Ἀπόλλωνος καὶ Κρεούσης Ἄνιος γίνεται· * παρὰ τοῦδε Ἄνδρος, ὃς μίαν οἰκήσας τῶν νήσων, τὸ ὄνομα λείπει τῇ νήσῳ.

Thymœt.

Xanthus.

* al. Ἐρεχθειδῶν.

Codrus.

μ'.

Andromeda.

Cepheus.

Phineus.

* δ' ἐπωνόμ.

Phœnix.

* al. νησίδος.

Perseus Danaes F.

* ἐμπλέοντας.

μα'.

Ascanius.

Aenea F.

* ἦν.

* al. παῖς.

κατὰ στάσιν δ' ἐκεῖθεν ἐκπεσὼν, καὶ χωρίον ἰδὼν ὑπὸ τὴν Ἴδην παρὰ πλησίον Ἄνδρου, πολίζει τὸ χωρίον, καὶ Ἄντανδρον πρὸς τὴν ὁμοιότητα ὀνομάζει. τὴν δ' Ἄνδρον ἔρημον οὖσαν λαὸς Πελασγῶν εἰσῳκήσατο. καὶ ἡ Κύζικος δὲ Πελασγοὺς ἔσχεν οἰκήτορας. καὶ γὰρ Κύζικος ὁ Ἀπόλλωνος, Πελασγῶν τῶν ἐν Θετταλίᾳ βασιλεύων, ὑπὸ Αἰολέων μετὰ Πελασγῶν ἐκπεσὼν, τὴν χερρόνησον τῆς Ἀσίας πολίζει, δοὺς αὐτῇ καὶ τοὔνομα· καὶ ηὐξήθη ἐκ ταπεινῆς Κυζίκῳ εἰς μέγα ἡ ἀρχή. ἐφ' ᾧ Κλείτην τὴν Μέροπος, ὃς τῶν περὶ Ῥυνδακὸν χωρίων ἐβασίλευε, γυναῖκα ἠγάγετο. * οἱ δὲ, Ἰάσονος ἐπὶ τὸ δέρας ἰόντες, κατήχθησαν πρὸς τὴν Κύζικον τῇ Ἀργοῖ, καὶ μαθόντες οἱ Πελασγοὶ Θετταλίδα τὴν ναῦν, κατὰ μῆνιν τῆς ἐκβολῆς, νυκτὸς ἐμάχοντο τῇ Ἀργοῖ. Κύζικον δὲ λῦσαι τὴν μάχην ἐπισπεύδοντα, ἀγνοῶν Ἰάσων κτείνει, πεσόντων καὶ ἄλλων Πελασγῶν. καὶ ἡ μὲν Ἀργὼ ἔπλει ἐπὶ Κόλχους· οἱ δὲ τότε μὲν ὑπερηχθέσθησαν ἐπὶ τῇ τοῦ βασιλέως τελευτῇ, καὶ τοῖς παρ' αὐτοῖς δυνατοῖς τὰ τῆς πόλεως ἐνεχείρισαν, οὐδὲ γὰρ ἦν παῖς Κυζίκῳ διάδοχος. ὕστερον δὲ ὑπὸ Τυρρηνῶν Κυζικηνοὶ μετανέστησαν· καὶ Τυρρηνοὶ τὴν χερρόνησον ἔσχον, καὶ τούτους Μιλησίων μοῖρα μάχῃ νικήσαντες, αὐτοὶ Κύζικον ᾤκησαν.

Andrus. Antandrus. — * al. δὲ μετὰ Ἰάσονος.

Sed exortis deinde seditionibus hinc exactus, locum quendam contemplatus est sub Ida, Andro vicinum, in quo vrbem ædificauit, quam ob similitudinem *Antandrum* nominauit. Andrum interim desertam Pelasgorum gens inhabitauit. Ita Cyzicus quoque incolas habuit Pelasgos. Etenim Cyzicus Apollinis filius, Pelasgis, qui in Thessalia erant, imperans, ab Æolensibus cum suis Pelasgis eiectus, [a] in Cherroneso Asiæ vrbem de suo nomine exstruxit, ibique ex humili magnam in potentiam creuit, postquam Cliten filiam Meropis, qui vicina [b] Ryndaco loca rex tenuit, connubio sibi iunxit. [c] Iasonis postea comites, qui cum illo ad vellus aureum proficiscebantur, Argo naui ad Cyzicum appulerunt, quam vt Pelasgi Thessalicam esse nauim didicerunt, ex veteri illo odio, quod ab his olim expulsi fuissent, noctu Argo oppugnant. Cyzicum ibi pugnam dirimere conantem Iason occidit imprudens, cæsis cum illo & aliis aliquot Pelasgis: ipsa verò Argo in Colchida vela fecit. Itaque Pelasgi de regis sui interitu admodum mœsti, tùc quidem optimatibus suis, quod Cyzicus hæredem nullum reliquisset, Remp. commiserunt: donec postmodum Cyzico pulsi à Tyrrhenis, qui Cherroneso occupata, & his, qui Milesiorum pars erant, pugna superatis, ipsimet Cyzicum incoluerunt.

a Strabo lib. 12. extrem. Cyzicum facit insulam, vt Apollon. Argonautic. 1. Vide & Scholiasten. Plin. vult etiam insulam ab Alexandro continenti iunctam.
b Ryndacus Strab. lib 12. extr. in Cyzico, fluuius est in Propontidem exit: Stephano etiam vrbs Phrygiam inter & Bithyniam.
c De quibus Apollon. lib. 1. Argonaut. & Valer. Flacc.

μβ'. Η μβ', Ὡς Γέλων ὁ Σικελιώτης τυραννίδι ἐπιθέσθαι διανοούμενος, Ἱμεραίων ἐθεράπευε τὸν δῆμον, καὶ κατὰ τῶν δυνατῶν ὑπερεμάχει, καὶ αὐτὸν ἠγάπα τὸ πλῆθος, καὶ φυλακὴν τοῦ σώματος αἰτοῦντι * ὥρμητο διδόναι. Στησίχορος δ' ὁ Ἱμεραῖος ποιητὴς ὑποτοπήσας ἐπὶ χρεῖν αὐτὸν τυραννίδι, τὸν αἶνον ἔλεξεν εἰς τὸ πλῆθος, εἰκόνα τοῦ μέλλοντος πάθους. ἵππος φησὶ νεμόμενος, ἐφοίτα πεπωμένος ἐπὶ * κρήνην. ἔλαφος δὲ τὸ πεδίον * διελθοῦσα, τήν τε πόαν κατέστειβε, καὶ τὸ νᾶμα ἐτάραττε. καὶ ὁ ἵππος ποθῶν τὴν ἀδικοῦσαν τιμωρήσασθαι, τάχει δὲ ποδῶν λειπόμενος, ἄνδρα κυνηγέτην βοηθὸν ἐκάλει. ὁ δὲ εἰ χαλινὸν δέξοιτο καὶ ἀναβάτην, ῥᾷστα ἀμύνειν αὐτῷ ὑπισχνεῖτο. καὶ ἐγένετο οὕτω. καὶ ἡ μὲν ἔλαφος ἀκοντίοις ἔκειτο βληθεῖσα: ὁ δ' ἵππος ᾔσθετο δεδουλωμένος τῷ κυνηγέτῃ. τοῦτ', ἔφη, δέδοικα αὐτὸς, ὦ Ἱμεραῖοι, μὴ νῦν δῆμος ὄντες, τῶν ἐχθρῶν μὲν διὰ Γέλωνος περιγένησθε: αὐτοὶ δ' ὕστερον Γέλωνι δουλεύητε. φιλεῖ γὰρ ἅπασαν τὴν δύναμιν τῷ λαβόντι ἐπὶ τῷ δόντι εἶναι, ὅταν ὥσπερ δοῦναι αὐτὴν μηκέτι ἐκ τοῦ ὁμοίου κομίσασθαι ἔχῃ.

Gelo tyrannidem affectans. — * ὥρμητο. — *Stesichori Apologus de equo & ceruo.* — * al. κρήνην. — * al. διελθοῦσα.

XLII. Gelon Siculus tyrannidem inuadere studens, [d] Himeræorum populum colebat, ac pro eo aduersus potentiores pugnabat. Vnde ipsum plebs adeò adamabat, vt petenti sibi dari corporis custodes, promptissimè eos concesserit. [e] Stesichorus tamen Himeræus poëta; suspicatus regnum affectare illum velle, apologum hunc populo recitauit, imaginem eorum, quæ post acciderent malorum. [f] Equus, inquit, forte pascens ad fontem bibiturus accedebat, cum ceruа interim per agrum illum transiens, & herbam proculcauit, & aquam turbauit. Equus itaque vindictæ admodum cupidus, sed pedum celeritate inferior, venatoris opem implorauit. Ille, si frenum ore acciperet, & tergo sedere pateretur, facillimè se huius iniuriam vlturum pollicetur. Quod vbi sic factum est, ceruа quidem telis confossa iacuit, sed equus etiam à venatore subiugatum se sensit. Idem, inquit, ego vereor, ô Himeræi, ne nunc cum in populari statu sitis, hostibus quidem per Gelonem superiores reddamini, sed tandem adhuc eidem Gelonis seruiatis. Grata enim omnis potentia, aduersus eum qui dederit, accipienti est, quando hanc ille non amplius tam facilè auferre potest, quàm antea contulit.

d Polyæn. lib. 1. Strateg. Syracusan. tyrannum hunc fecisse, al. ...
e Aristot. 2. Rhetor. refert hæc Stesichorum in Phalaridem recitasse.
f Eadem vsus fabula Horat. lib. 1. epist. 10.

μγ'. Η μγ', Οἱ τῆς Αἴτνης τοῦ πυρὸς κρατῆρες ἀνέβλυσάν ποτε, ποταμοῦ δίκην, φλόγα κατὰ τῆς χώρας, καὶ Καταναίοις (πόλις δ' Ἑλλὰς ἐν Σικελίᾳ ἡ Κατάνη) ἔδοξε παντελὴς ἔσεσθαι φθορὰ τῆς πόλεως. καὶ ἀπὸ ταύτης φεύγοντες ὡς εἶχον τάχους, οἱ μὲν χρυσὸν, οἱ δὲ ἄργυρον ἔφερον, οἱ δὲ ὅ, τι ἄν τις βούλοιτο ἐπικούρημα τῆς φυγῆς. Ἀναπίας δὲ καὶ Ἀμφίνομος ἀντὶ πάντων τοὺς γονεῖς γηραιοὺς ὄντας ἐπὶ τοὺς ὤμους ἀναθέμενοι * ἔφερον, καὶ τοὺς μὲν ἄλλους ἡ φλὸξ ἐπικαταλαβοῦσα, ἔφθειρεν: αὐτοὺς δὲ περιεσχίσθη τὸ πῦρ, καὶ ὥσπερ νῆσος ἐν τῇ φλογὶ πᾶς ὁ περὶ αὐτοὺς χῶρος ἐγένετο. διὰ ταῦτα οἱ Σικελιῶται τόν τε χῶρον ἐκεῖνον, εὐσεβῶν χῶρον ἐκάλεσαν:

Aetna crateres ignis. Catanæi. — *Anapias. Amphinomus.* — * al. ἤμυναν.

XLIII. Ignis Ætnæi [g] crateres tantas aliquando, fluminis instar, flammas per eam regionem effuderunt, vt Catanæis (vrbs autem Græca Siciliæ Catana est) extremum vrbi interitum certissimo allaturæ viderentur. Ex ea igitur ciues quàm citissimè fugientes, aurum alij, alij argentum efferebant, alij verò quęcunque subsidium in exsilio allatura videbantur. [h] Anapias tantùm, & Amphinomus, præ omnibus parentes senio confectos, humeris impositos fugientes extulerunt. Ceteros interim flamma adurens extinxit, quæ in horum circuitu ita diffindi visa est, vt insulæ in modum circumcirca locus igne liber fieret. Quare Siculi *Piorum regionem* locum eum appellarunt,

g Ita vocant Ætnæ montis fauces illas & ora (vt loquitur Lucret. lib. 6.) per quæ ignis euomitur. Vide Arist. de mundo, Pausan. in Phocicis, Plin. lib. 2. cap. 8. Strab. 6. Sicil. extr. Val. Max. lib. 5. c. 4. Aelianum Solinum cap. 11. Claudianum, aliosque: apud quos etiam variari horum fratrum nomina deprehendes. Porrò de Ætnæ incendio, crateribus, fato, & aliis eo pertinentibus, lege planè admiranda in libello Ant. Philotheo de Homodeis inter Scriptores Italiæ illustrat.
h Strabo lib. 6. Sicil. in Catana. Seneca de benefic. lib. 3. c. 37. Silius lib. 14. & auctor Ætnæ in Catalect. Vergil.

CONON.

& lapideas in horum virorum monumento statuas, diuinorum simul illorum atque humanorum factorum testes, collocarunt.

XLIV. Historia refert quomodo Leodamas & Phitres de Milesiorum regno contenderint, regia vterque stirpe oriundi. Plebs ergo cum per horum contentionem malis vexaretur, post multa tandem incommoda finem rixæ imposuit, facto decreto, vt qui de Milesiis melius mereretur, is demum regnaret. Erant ipsis duo tunc hostes Carystij & Melienses. Aduersus Melum, Phitres (huic enim sorte bellum illud obuenerat) expeditione suscepta, re infecta rediit. Leodamas verò, re contra Carystios nauiter ac præclarè gesta, vrbéque eorum vi expugnata, atque in seruitutem redacta, Miletum victor reuersus, secundùm pacta conuenta regnauit. Quare ex oraculo præscripto Carystiam fœminam captiuam infantem vberibus lactantem, cum aliis plurimis donariis, manubiarum decimis, ad Branchidas misit. Ipse verò tunc [a] Branchus & templo & oraculo præerat, qui captiuam mulierem [b] magna cura nutriuit, eiusque filium adoptauit. Puer ipse non tam hominum vsitato modo, quàm diuina quadam fortuna creuit, & supra ætatem prudens euasit. Fit igitur à Brancho oraculorum nuncius, *Euangelus* appellatus. Hic iam adulta ætate in oraculo Brancho successit, principiúmque fuit, & caput Euangelidarum apud Milesios.

a De quo supra narrat. 33.
b Lege ἐκόμισε.

XLV. [c] Orpheus Oeagri F. atque Calliopes, quæ vna in nouem Musis numeratur, Macedonum rex fuit, & [d] Odrysidis. Musicam hic autem exercuit, maximéque citharisticam (etenim Thracum illud & Macedonum genus Musicæ studiosum est, vel imprimis) plebi per eam supra modum gratus. Fama autem fuit, ad inferos ipsum amore Eurydices coniugis adductum, descendisse: ibique Plutonem ac Proserpinam cantu sic conciliasse, vt dono vxorem caperet. Verum hac gratia frui, qua ad vitam illa reuocata est, non potuit, quod quæ de ipsa mandata essent, [e] non seruasset. Adeò autem oblectare, cantibusque demulcere peritus erat, vt & feræ, & aues, atque adeò ligna ac lapides, cum ipso vna præ iucunditate oberrarent. Interfectus autem est lacerantibus ipsum Thressis ac Macedonicis fœminis, quod Orgia cum illis non communicaret: ac forsitan etiam aliis de causis. Aiunt enim illum de vxore infelicem, muliebrem omnem sexum odisse. Igitur cum statis diebus Thracum ac Macedonum vulgus armis tectum Libethris conueniret in domum magnificè exstructam, & ad rem diuinam comparatam, ibique Orgia celebraturi domum ingressi ad portam arma deponerent. Obseruasse hoc mulieres, correptisque armis illis magna ira inflammatas, quod contemnerentur, cùm cæteros ibi procumbentes interfecisse, tum Orphea ipsum membratim dissectum, in mare passim proiecisse. Pestilentia deinde regionem illam vastante, eò quod de fœminis minimè sumptū esset supplicium, rogantes incolas luem depelli, responsum è tripode accepisse, Si [f] Orphei caput repertum humi conderent, fore vt contagio desineret. Ita vix tandem illud ad ostia Meletis fluminis à piscatore quodam esse inuentum, etiam tunc canés,

c de Orpheo leges multa præter hæc apud Pausan. in Bœotic. & apud Mythologos, ac Suidam.
d Quam ad Thraciam refert Strabo, & ex eo Stephan.
e Virgil. 4. Georg. Apollodor. lib. 1. bibl. Diod. Sicul. lib. 4.
f Lucian. aduersus indoct.

καὶ λιθίνας εἰκόνας ἐν αὐτῷ τῶν ἀνδρῶν τοῦ μνημείου, θείων τε ἅμα καὶ ἀνθρωπίνων ἔργων, ἀνέθεσαν.

Η μδʹ, ἱστορία φησὶν, Ὡς Λεωδάμας καὶ Φίτρης ἤρισαν περὶ τῆς Μιλησίων βασιλείας, γένους ἄμφω ὄντες βασιλείου. τὸ κοινὸν δὲ τῇ ἐκείνων κακούμενοι στάσει: ἐπεὶ μὲν φιλονεικίας μετὰ πολλὰ πάθη ἐξέστησαν. ἔκεινον δ' ἐκεῖνον βασιλεύειν, ὃς Μιλησίους πλείω ἀγαθὰ ἐργάσαιτο. ἦσαν δ' αὐτοῖς τότε δύο πόλεμοι Καρυστίοις καὶ Μηλιεῦσι. καὶ πρὸς μὲν Μῆλον (αὐτῷ γὰρ ὁ κλῆρος τοῦ τονὲ ἐδίδου τὸν πόλεμον) Φίτρης στρατεύσας, ἄπρακτος ἀναστρέφει. Λεωδάμας δὲ λαμπρῶς κατὰ Χαρυστίων ἀνδραγαθήσας, καὶ κατὰ κράτος ἑλὼν τὴν πόλιν, καὶ ἀνδραποδισάμενος, Μίλητον ἐπανιὼν, κατὰ τὰ συγκείμενα βασιλεύει. αἰχμάλωτον δὲ κατὰ χρησμὸν γυναῖκα Καρυστίαν, παῖδα φέρουσαν ὑπομάζιον, μετὰ πολλῶν καὶ ἄλλων ἀναθημάτων, ἀνδεκάτην τῶν λαφύρων ἐπιτυχὼν, ἀνέπεμψεν ἐν Βραγχίδαις. αὐτὸς δὲ τότε Βράγχος προειστήκει τοῦ τε ἱεροῦ καὶ τοῦ μαντείου, ὃς τήν τε αἰχμάλωτον γυναῖκα ἐνόμισε, καὶ τὸν παῖδα αὐτῆς ἔθετο. ηὔξανε δ' ὁ παῖς οὐ κατὰ λόγον, ἀλλὰ θείᾳ τινὶ τύχῃ: καὶ πλέον ἢ πρὸς τὴν ἡλικίαν ἀπήντα τὸ συνετὸν ποιεῖται δ' αὐτὸν ὁ Βράγχος καὶ ἄγγελον τῶν μαντευμάτων, Εὐάγγελον ὀνομάσας. οὗτος ἡβήσας, τὸ Βράγχου μαντεῖον διεδέξατο, καὶ ἀρχὴ γένους Εὐαγγελιδῶν παρὰ Μιλησίοις ἐγένετο.

μδʹ.
Leodamas. Phitres.
Branchus.

Η μεʹ, Ὡς Ὀρφεὺς, ὁ Οἰάγρου καὶ Καλλιόπης μιᾶς τῶν μουσῶν, ἐβασίλευε Μακεδόνων καὶ τῆς Ὀδρυσίδος. ἐπετήδευε δὲ μουσικὴν, καὶ μάλιστα κιθαρῳδίαν. καὶ φιλόμουσον γὰρ τὸ Θρακῶν καὶ Μακεδόνων γένος. ἤρεσκεν ἐν τούτοις διαφερόντως τῷ πλήθει. κατέσχε δὲ δόξα, ὡς εἰς ᾅδου καταβαίη, ἔρωτι τῆς γυναικὸς Εὐρυδίκης, καὶ ὡς τὸν Πλούτωνα, καὶ τὴν Κόρην ᾠδαῖς γοητεύσας, δῶρον λάβοι τὴν γυναῖκα: ἀλλ' οὐ γὰρ ὄνασθαι τῆς χάριτος ἀναβιωσκομένης, λαθόμενον τῶν περὶ αὐτῆς ἐντολῶν. οὕτω δὲ θέλγειν καὶ κατακηλεῖν αὐτὸν ᾠδαῖς εἶναι σοφὸν, ὡς καὶ θηρία καὶ οἰωνοὺς, καὶ δὴ καὶ ξύλα καὶ λίθους συμπερινοστεῖν ὑφ' ἡδονῆς. τελευτᾷ δὲ, διασπασαμένων αὐτὸν τῶν Θρακίων καὶ Μακεδόνων γυναικῶν, ὅτι οὐ μετεδίδου αὐταῖς τῶν ὀργίων, τάχα μὲν καὶ κατ' ἄλλας προφάσεις: Φασὶ δ' οὖν αὐτὸν δυστυχήσαντα περὶ γυναῖκα, πᾶν ἐχθῆραι τὸ γένος. ἐφοίτα μὲν οὖν ταχταῖς ἡμέραις ὡπλισμένον πλῆθος Θρακῶν καὶ Μακεδόνων ἐν Λιβήθροις, εἰς οἴκημα συνερχόμενον μέγα τι καὶ πρὸς τελετὰς εὖ πεποιημένον. [a] ὁπότε δ' ὀργιάζειν εἰσίασι, πρὸ τῶν πυλῶν ἀποτίθησαν τὰ ὅπλα. ὃ αἱ γυναῖκες ἐπιτηρήσασαι, καὶ τὰ ὅπλα ἁρπασάμεναι, ὑπ' ὀργῆς τῆς διὰ τὴν ἀτιμίαν, τούς τε προσπίπτοντας κατειργάσαντο, καὶ τὸν Ὀρφέα κατὰ μέλη ἔρριψαν εἰς τὴν θάλασσαν σποράδην. λοιμῷ δὲ τῆς χώρας, ὅτι μὴ ἀπητίθησαν δίκην αἱ γυναῖκες, κακουμένης: δεόμενοι λωφῆσαι τὸ δεινὸν, ἔλαβον χρησμὸν τὴν κεφαλὴν τοῦ Ὀρφέως, ἣν ἂν εὑρόντες θάψωσι, τυχεῖν ἀπαλλαγῆς. καὶ μόλις αὐτὴν περὶ τὰς ἐκβολὰς τοῦ Μέλητος, δι' ἁλιέως ἀνευρεῖν ποταμοῦ, καὶ ἔτι ᾄδουσαν.

μεʹ.
Orpheus Oeagri & Calliopes F. Citharœdus.
Eurydice.
a al. εἰσιόντι & ἔτεινε, vel ἀλλ' ἰοῦσι.

ἐ

CONON.

καὶ μηδὲν παθοῦσαν ὑπὸ τῆς θαλάσσης, μηδέ τι ἄλλο τῶν ὅσα κῆρες ἀνθρώπιναι νεκρῶν αἶσχος φέρουσιν, ἀλλ' ἐπαγλαΐζουσαν αὐτὴν, καὶ ζωϊκῷ αἵματι μετὰ πολὺν χρόνον ἐπανθοῦσαν. λαβόντες οὖν ὑπὸ σήματι μεγάλῳ θάπτουσι. τέμενος αὐτῷ [* περιείρξαντες]· θ' τέως μὲν ἡρῷον ἦν, ὕστερον δ' ἐξενίκησεν ἱερὸν εἶναι. θυσίαις τε γὰρ, καὶ ὅσοις ἄλλοις θεοὶ τιμῶνται γεραίρεται. ἔστι δὲ γυναιξὶ παντελῶς ἄβατον.

μς'. Oxynius. Scamander.

Η μς': Ὡς Τροίας πορθουμένης ὑπεκτίθεται Πρίαμος εἰς Λυδίαν δύο παῖδας Ἕκτορος, Ὀξύνιον καὶ Σκάμανδρον. ἐπεὶ δὲ τὸ Ἴλιον ἥλω: Αἰνείας ὁ Ἀγχίσου καὶ Ἀφροδίτης, διαφυγὼν τοὺς Ἀχαιοὺς, τὸ μὲν πρῶτον ᾤκει τὴν Ἴδην. Ὀξυνίου δὲ καὶ Σκαμάνδρου ἐπανελθόντων ἀπὸ Λυδίας, καὶ ὡς πατρῴας λήξεως μεταποιουμένων τῶν περὶ τὸ Ἴλιον τόπων: ἀναλαβὼν Ἀγχίσην τὸν πατέρα, καὶ ὅσους δύναιτο τῶν συμφυγάδων, πρὸς ἥλιον ἀνίσχοντα, ᾤχετο κατὰ Ἀφροδίτης ἐπίσκηψιν. διαβὰς οὖν τὸν Ἑλλήσποντον, καὶ ἀφικόμενος εἰς Θερμὸν καλούμενον κόλπον: Ἀγχίσην μὲν ἀποθανόντα θάπτει· αὐτὸς δὲ, τῶν ἐπιχωρίων δεομένων, ὥστε βασιλεύειν αὐτῶν, οὐκ ἐδέξατο. εἶτα εἰς τὴν Βρουσιάδα γῆν ἔρχεται, πᾶσι δ' ἦν ἱμερτὸς, οἷς ἐντυγχάνοι, κατὰ χάριν τῆς Ἀφροδίτης· ἐνταῦθα μυκησαμένης τῆς συνεπομένης αὐτῷ βοὸς ἐξ Ἴδης (τοῦτο γὰρ Ἀφροδίτη ἐπέσκηψε) λαμβάνει τὸ κράτος τῆς γῆς, διδόντων τῶν ἐπιχωρίων. καὶ βοῦν θύει Ἀφροδίτῃ, καὶ κτίζει πόλιν: ἣ τότε μὲν Αἰνεία ἀπὸ τοῦ μὲν κτίσαντος, ὕστερον δὲ παρενεγκόντος τοῦ ὀνόματος, Αἶνος ἐκλήθη. λόγος μὲν οὖν εἷς οὗτος, ὑπὸ Ἑλλήνων ἐπὶ πολλοῖς ἄλλοις λέγεται: ὁ δὲ τὸ Ῥωμαῖον γένος εἰς αὐτὸν ἀναφέρων, καὶ οἰκιστὴν ποιῶν Ἄλβας, καὶ τὸ χρηστήριον, ὃ κατοικεῖν ἐκέλευε, ὅπου ἂν αὐτὸς ἅμα τοῖς σὺν αὐτῷ θύσας, μετὰ τῶν σιτίων καταφάγοι καὶ τὰς τραπέζας, οὗτος κατημάξευται.

Æneas Anchisa & Veneris F.

Aenus vrbs.

Alba.

μζ'. Althæmenes.

Η μζ', Ὡς Ἀλθαιμένης, τοῦ Ἡρακλειδῶν γένους τρίτη γενεὰ ἀπὸ Τημένους, στασιάζει πρὸς τοὺς ἀδελφούς. νεώτατος δ' ἦν, καὶ μετανίσταται Πελοποννήσου, στρατὸν Δωριέων ἔχων, καί τινας Πελασγῶν. ἔστελλον δὲ καὶ Ἀθηναῖοι τότε τὴν σὺν Νηλεῖ τε καὶ τοῖς Κοδρίδαις ἀποικίαν· ὁμοίως δὲ καθ' ἑαυτοὺς καὶ Λακεδαιμόνιοι τὸν Φιλονόμου λαὸν ἀπῴκιζον. ὧν ἡγεῖτο Δελφὸς ὄνομα καὶ Πόλις. καὶ ἑκάτεροι παρεκάλουν Ἀλθαιμένην συμμετέχειν αὐτοῖς τοῦ ἔργου, οἵ τε Δωριεῖς τοῦ ἐπὶ Κρήτην πλοῦ, ἅτε καὶ αὐτὸν Δωριέα ὄντα. οἵ τε Ἴωνες εἰς τὴν Ἀσίαν μετὰ σφῶν περαιωθῆναι. τῶν δ' οὐδ' ἑτέροις ἐδόκει συμπλεῖν ἀλλὰ κατὰ τὸν δοθέντα αὐτῷ χρησμὸν, ἐπὶ Δία καὶ Ἥλιον κομίζεσθαι, καὶ παρ' αὐτῶν αἰτεῖν εἰς κατοίκησιν γῆν. εἶναι δὲ Διὸς μὲν Κρήτην: Ἡλίου δὲ, Ῥόδον. αἰρόμενος οὖν ἐκ Πελοποννήσου, προσίσχει πρὸς τὴν Κρήτην: καὶ μέρος τοῦ λαοῦ τοὺς βουλομένους αὐτόθι οἰκεῖν, καταλείπει· αὐτὸς δὲ τοὺς πλείους ἔχων Δωρικὸν, ἔπλει ἐπὶ Ῥόδον. τὴν δὲ Ῥόδον τὸ μὲν ἀρχαῖον λαὸς αὐτόχθων ἐνέμετο, ὧν ἦρχε τὸ Ἡλιαδῶν γένος, οὓς Φοίνικες ἀνέστησαν, καὶ τὴν νῆσον ἔσχον,

Delphus. Polis.

Creta. Rhodus.

nihilque à marinis fluctibus deformatum, nec quicquam eorum passum, quæ solita sint per mortale fatum in hominum cadaueribus fœda exoriri: sed elegans potius ipsum, natiuóque sanguine imbutum tanto post tempore viguisse. Caput ergo istud acceptum ingenti tumulo mandasse, monumentumque ipsi heroicum ab initio circumdedisse, donec id postmodum obtinuit, vt pro diuino fano haberetur. Sacrificiis enim, aliisque rebus, quibuscunque dij honorari solent, etiam ipse colitur. Fœminis interim omnino inaccessum templú illud est.

XLVI. Dum Troia expugnaretur, emisit Priamus in Lydiam duos Hectoris filios, Oxynium & Scamandrum. Capto dein Ilio, Æneas Anchisæ ac Veneris filius, Græcos fugiens, Idam primò incoluit: sed cùm reuersi è Lydia Oxynius & Scamander, omnia circum Ilium loca ex paterna velut hęreditate relicta, sibi vindicarét: adsumpto Æneas patre Anchise, & quotquot potuit è profugis, Solem versus [a] Orientem de Veneris matris mandato tetendit. Traiecto igitur Hellesponto, venit ad sinum, qui Thermus est nominatus. vbi Anchisen vita functum sepelit, ipseque oblatum ab incolis regnum recusat. Hinc in [b] Brusiadem regionem profectus est, vbi omnibus, quibuscunque vteretur, expetitus gratúsque fuit, ob morum nimirum à Venere inditam suauitatem. Ibi mugiente, quæ ipsum ex Ida sequebatur, boue (sic enim Venus antea mandarat) eius oræ imperium donantibus incolis suscepit, bouémque matri mactauit. Ad hæc vrbem condidit, quæ tunc quidem à conditore [c] *Aeneia*, post inflexo nonnihil nomine [d] *Aenus* dicta. Hæc igitur vna narratio præter alia multa, refertur à Græcis. Altera tamen illa, quæ Romanæ gentis originem ab ipso repetit, & Albæ conditorem facit, simul etiam oraculum, quo incolere iubebatur, vbi ipse cum sociis sacris operatus, [e] mensam quoque absumpsisset, hæc inquam narratio, valde iam trita est.

XLVII. [f] Althæmenes, Heraclidarum generis soboles [g] à Temene tertia, fratribus dissentiens tumultuabatur. Natu ergo minimus cùm esset, Peloponneso discedit, Doriensium secum copias, & Pelasgorum quosdam ducens. Miserunt tum quoque Athenienses coloniam cum [h] Neleo, & Codri posteris. Similiter verò & Lacedæmonij eo ipso tempore [i] Philonomi populum alio habitatum miserunt, quem duxit Delphus quidam nomine, & Polis. Vtrique Althæmenem in operis societatem vocarunt. Dores quidem, vt in Cretam vna nauigaret, quòd & ipse Doriensis esset. Iones verò, vt in Asiam secum traiiceret, inuitabant. Verùm Althæmeni cùm neutris sese coniúngere placuit, maluitque ex oraculi responso quod acceperat, ad Iouem & Solem proficisci, atque ab his habitandi locum postulare. Cretam autem esse Iouis, Solis Rhodum. Euectus igitur è Peloponneso, in Cretam appulit, populique partem, quæ residere ibi vellet, reliquit. Ipse plurimos secum habens Dorienses in Rhodum adnauigauit: quam quidem insulam antiquitus incolæ ibidem nati tenuerát, Iliadum ipsis gente præposita, quos tamen Phœnices post euerterant, & insulam occuparant;

a ἀνίσχοντα eorore typographico pro κατάδυντα.

b An Brusiis forte an hæc, id est Macedoniæ pars, quam ab Emathij F. Bruso nomen habere docet Steph. Byzant.

c Apud Steph. etiam Æneadas dictam obseruo, ibique sepultum Anchisen. Lege Virg. 3. Æneid. init. & ibi Seruium, cæteró que interpretes.

d Ita Plinius & Pomp. Mela lib. 2. eam quoque appellant: & Pausan. Eliacis. Aur. victor etiam de orig. gent. Rom.

e Aur. Victor de orig. gentis Rom.

f Meminit Stephan. By. ... in ... Strabo lib. 14. in Rhodo.

g De quo multa Pausan.

h Vide Aelian. lib. 8. cap. 5. var. histor.

i Vide supra narrat. XXXVI.

CONON. Phœnicibus quoque aliquando eiectis, Cares successerant: qua tempestate & alias maris Ægæi insulas incoluerunt. Ad hos ergo adnauigantes Dorienses, armis Cares pepulerunt, tresque vrbes condiderunt, Lindum, Ielysium, & Camirum. Igitur Dorienses, ducta ab Althæmene origine, ad hanc vsque ætatem descenderunt. Tria verò illa oppida in vnam magnam, opibúsque potentem vrbem coaluerunt, cui & insulæ Rhodi nomen indiderunt.

XLIIX. De [a] Romo & Romulo narrat nonnihil à reliquis diuersa. Amulius inquit, Numitori fratri necem ex insidiis intulit, filiamque eius Iliam, ne pareret, neve cum viro consuesceret, Vestæ sacerdotem fecit. Hæc tamen à Marte compressa est, qui post congressum, & quis esset declarauit, & geminos parituram prædixit, bono eam animo esse iubens. Verùm partu liberatam, Amulius patruus in vincula missam compegit: fœtum autem fido cuidam pastori necandum tradidit. Quem vt accepit, patrare ille suis manibus scelus noluit, sed alueo per Tiberim deportandos imposuit. Alueus autem post multam iactationem tandem circa prominentem ripam caprifici cuiusdam, quæ ingens ibi excreuerat, radicibus inhæsit, atque inde pueros in ripam, molli, & arenoso solo, eiecit. Ibi lupa, quæ recens pepererat, in puerulos fortè incidit, & circumgressa, vagientibus, manúsque tendentibus mammas præbuit. Ita illi alebantur solo suo casu indignantem lupam compescentes. Hoc vbi vidit Faustulus pastor, diuinum quid latere ratus, pueros tollit, & pro suis educat. Longo post tempore in eum forte Faustulus pastorem incidit, qui exposuerat, réque omni de pueris cognita, narrat iam adultis, regio illos esse stemmate natos, Martísque sobolem, quæque cum matri, tum auo materno acciderant. Erant autem egregia forma, & corporis robore inuicti, insignitáque audacia. Extemplo igitur pugiones arreptos vestibus tegunt, Albámque accedunt. Hic quod inexspectatum esset eorum inceptum, Amulium sine corporis custodibus reperiunt, pœnásque exigentes ferro confodiunt, & matrem è custodia educunt. Plebs quoque dextras iungit, regnántque Albæ, & finitimis in locis. Ingenti deinde hominum multitudine ad eos confluente, relicta Alba, vrbem nouam ædificant, *Romámque* appellant, quæ nunc, vt sic dicam, mortalium tenet imperium. In eorum porrò, quæ tunc acciderunt, fidem ostenditur in Romano foro sacra caprificus, æneis Curiæ cancellis circumdata. Tugurium item in Iouis templo (argumentum illius viuendi formæ, quam Faustulus tenuit) è quisquiliis & tenerioribus virgultis structum, conseruant.

XLIX. In [b] Anaphe insula, quæ supra Theram iacet non procul Lacedæmone, templum erat Apollini [c] Ægletæ sacrum, in quo sacrificabant insulani cum irrisione, tali ferè de causa. Iasonem, è Colchide rapta Medea domum redeuntem, valida oppressit tempestas, réque omni desperata, Argiui in naui ad preces votáq; confugiunt. Apollo igitur arcum ipsis obtendés, mala omnia auertit,

a Sic quoque Appianus sup. c. LVII. hunc nominat, quem Latini Amulium.

b De qua Steph. Byzant. Totā porrò fabulam leges apud Apollon. Rhodiū extremo lib. 4. Argonaut.

c Ægleto ferè bis Apollod. lib. 1. quæ tibi legendus hic.

Φοινίκων δ' ἐκπεσόντων, Κᾶρες ἔσχον· ὅτε καὶ τὰς ἄλλας νήσους τὰς περὶ τὸ αἰγαῖον ᾤκησαν. οἷς ἐπιπλεύσαντες οἱ Δωριεῖς, πολέμῳ τὸ κρεῖττον καταστρεψάμενοι, τρεῖς πόλεις ἔκτισαν, Λίνδον, Ἰήλυσον καὶ Κάμειρον. Οἱ μὲν οὖν Δωριεῖς ἀπὸ Ἀλθαιμένους ἀρξάμενοι, μέχρι καὶ δεῦρο καταβεβήκασιν. αἱ δὲ τρεῖς πόλεις εἰς μίαν ἀποκλεισθεῖσαι μεγάλην καὶ εὐδαίμονα, ταὐτὸν ὄνομα τῇ νήσῳ Ῥόδον ἔδοσαν καλεῖσθαι.

Ἡ μή, τὰ περὶ Ῥώμου καὶ Ῥωμύλου διηγεῖται, παραλλάσσουσα πρὸς τοὺς ἄλλους ἔν τισι. φησὶ δὲ ὡς Ἀμόλιος ἐπιβουλεύσας Νεμέτορα τὸν ἀδελφὸν κτείνει, καὶ τὴν αὐτοῦ θυγατέρα Ἰλίαν, ἵνα μὴ τέκοι, μηδ' ἀνδρωθείη, τῆς Ἑστίας ἱέρειαν ἀπέφηνε. ταύτῃ μιχθεὶς Ἄρης, ἀπολυόμενος τῆς ὁμιλίας: ὅστις τε ἦν ἐδήλωσε, καὶ ὅτι δύο κόρους τέξεται ἐξ αὐτοῦ, καὶ χρὴ θαρρεῖν. ἀλλὰ τεκοῦσαν αὐτὴν μὲν Ἀμόλιος εἰς δεσμωτήριον ἔσχε βαλών: τινὶ δὲ ποιμένι τῶν αὐτοῦ πιστῶν διαφθεῖραι δίδωσι. ὁ δὲ λαβών, τὸ μὲν μίασμα χερσὶν ἰδίαις πρᾶξαι οὐ προσίετο: εἰς σκάφην δὲ μαθήκε κατὰ τοῦ * Θύμβρεως φέρεσθαι. αὕτη δὲ μετὰ πολλὴν φορὰν περὶ προέχουσαν ἠόνα κατίσχεται ῥίζαις ἐρινεοῦ, ὃς μέγας ἐκεῖσε πεφύκει. καὶ ἡ σκάφη ἐκεῖθεν τὰ παιδία πρὸς τὴν ἠόνα ἐκβάλλει, ἐπὶ μαλακῆς καὶ ψαμμώδους γῆς. λύκος δὲ νεοτόκος ἐπιτυγχάνει τοῖς παιδίοις καὶ ἀμφιβᾶσα κλαυθμυριζομένοις, καὶ χεῖρας ὀρέγουσι, παρεῖχε τὰς θηλάς. τὰ δὲ ἐτρέφετο βαρυνομένην ἀναπαύοντα ἐκ τῆς συντυχίας τὴν λύκον. Φαυστύλος δέ τις τῶν ποιμένων τοῦτο ἰδών, καὶ θεῖον νομίσας· ἀναλαμβάνεται, καὶ ὡς ἑαυτοῦ τρέφει τὰ παιδία. Χρόνῳ δ' ὕστερον περιτυγχάνει τῷ ἐκθεμένῳ ποιμένι. καὶ ἅπαντα παρ' αὐτοῦ μαθὼν τὰ περὶ τῶν παίδων, ἐπαγγέλλει τούτοις ἡβήσασιν ἤδη, ὡς εἶησαν βασιλείου τε γένους, καὶ Ἄρεως γοναὶ καὶ ὅσα ἥ μήτηρ καὶ ὁ μητροπάτωρ πάθοι. οἱ δὲ ἦσαν καλοὶ τε ὄψει, καὶ ῥώμην ἄμαχοι, καὶ τόλμαν γενναῖοι. καὶ αὐτίκα ἐγχειρίδια ἀναλαβόμενοι καὶ κρύψαντες, ἐπὶ τὴν Ἄλβαν ἐχώρουν καὶ ἐπιτυχόντες Ἀμολίῳ, διὰ τὸ ἀπροσδόκητον τῆς ἐπιβουλῆς ἀφυλάκτῳ: ἐπάγουσι τὴν τιμωρίαν, ξίφεσιν ἀνελόντες· καὶ τὴν μητέρα λύουσι τῶν δεσμῶν. τό, τε πλῆθος δεξιοῦται· καὶ βασιλεύουσιν Ἄλβας καὶ τῶν περὶ αὐτήν. πολλοῦ δὲ αὐτοῖς * προσρυέντος πλήθους: μεταστάντες Ἄλβας, κτίζουσι πόλιν, Ῥώμην ἐπονομάσαντες, ἣ νῦν (ὡς εἰπεῖν) τὸ ἀνθρώπων ἔχει κράτος. δείκνυται δὲ μαρτυρία τῶν τότε παρὰ Ῥωμαίοις ἐπὶ τῆς ἀγορᾶς ἐρινεὸς ἱερά, τῷ βουλευτηρίῳ κιγκλίσι χαλκαῖς περιειργομένη, καὶ καλύβη τις ἐν τῷ τοῦ Διὸς ἱερῷ γνώρισμα τῆς Φαυστύλου διαίτης, ἣν ἐκ φορυτοῦ καὶ νέων φρυγάνων συννοῦντες διασῴζουσιν.

Ἡ μθ', Ὡς ἐν Ἀνάφῃ τῇ νήσῳ (αὕτη δ' ἐστὶν ὑπὲρ νήσου Θήρας, οὐχ ἑκὰς τῆς Λακεδαιμονίων) ἱερὸν Ἀπόλλωνος αἰγλήτου ἵδρυται, ἐν ᾧ σὺν τωθασμῷ οἱ ἐπιχώριοι θύουσι, δι' αἰτίαν τοιαύτην. ὅτε Ἰάσων ἐκ Κόλχων Μήδειαν ἁρπάσας, οἴκαδ' ἔπλει, χειμὼν αὐτοὺς ἄφατος περιέσχε, καὶ ἀμηχανία πᾶσα. εὐχομένων δὲ, καὶ πολλὰ τῶν ἐν τῇ Ἀργοῖ δεομένων Ἀπόλλων, τόξον αὐτοῖς ὑποφαίνων, τὰ δεινὰ διέλυσεν ἅπαντα.

Phœnices. Cares. Dores. Rhodus. μη'. Amulius. Numitor. Ilia. Amulius. * al. Θύβριδος. Faustulus. Romulus & Remus. * προσρυέντος. ROMA. μθ'. Anaphe insula. Apollinis Æglete templum. Medea à Iasone rapta.

ἐ

CONON.

καὶ σέλατος ἐξ οὐρανοῦ διᾴττοντος, νῆσον ἀνέσχεν ἡ γῆ ἐκ τοῦ βυθοῦ. εἰς ἣν ὁρμισάμενοι, ὡς πρῶτον ὀφθεῖσαν ὑφ᾽ ἡλίου τότε, Ἀνάφην ἀπὸ τῆς συντυχίας ἐκάλεσαν. καὶ ὡς ἱερὸν Ἀπόλλωνος Αἰγλήτου ἱδρύσαντο· καὶ εὐφραίνοντο τῆς ἀνελπίστου τῶν κακῶν ἀπαλλαγῆς, καὶ ταῖς ἄλλαις εὐωχίαις. Μήδεια δὲ σὺν ταῖς ἀμφ᾽ αὐτὴν γυναιξὶν, ἃς δῶρον ἦσαν γάμων τῶν Ἰάσονος, παίζουσαι μετὰ μέθης, ἔσκωπτον τοὺς ἥρωας ἐν τῇ παννυχίδι· οἱ δὲ ἀντετώθαζον τὰς γυναῖκας. ἐκ τούτου ἐπιχωριοῦν καὶ Ἀνάφης ὁ λαὸς (ᾠκίσθη γὰρ ἡ νῆσος) ἀεὶ πᾶν ἔτος Ἀπόλλωνι Αἰγλήτῃ κερτομοῦντες ἀλλήλους, καὶ ἑορτὴν κατὰ μίμησιν ἐκείνων ἄγουσι.

Ἡ πεντηκοστὴ, Ὡς Ἀλέξανδρον τὸν τύραννον Θήβη ἀναιρεῖ ἡ αὐτοῦ γυνή· αὕτη δ᾽ ἦν Ἰάσονος μὲν θυγάτηρ, τοῦ ποτε Θεσσαλίας τυραννήσαντος· ἀδελφοὺς δ᾽ εἶχε τρεῖς, Τισίφονον καὶ Λυκόφρονα καὶ Πυθόλαον. ὁμομήτριοι δ᾽ ἦσαν. πατὴρ δ᾽ αὐτῶν * εὐλαβὴς ἦν. τούτους Ἀλέξανδρος ὁ * Φεραῖος, δι᾽ ὑποψίας ἔχων, ἐμελέτα ἀνελεῖν. εἰδὼς δ᾽ ὡς οὐκ ἀνάσχοιτο Θήβη περιιδεῖν τοὺς ὁμομητρίους ἀναιρουμένους ἀδελφοὺς, καὶ αὐτὴν ἐπενόει συναναιρεῖν. καὶ νήφων μὲν ἔκρυπτε τὸ βούλευμα· μεθύων δὲ, ἥττων γὰρ ἦν οἴνου, παρεγύμνου τι καὶ ἀπεκάλυπτε. Θήβη δὲ τὸ βούλευμα μαθοῦσα, τοῖς μὲν ἀδελφοῖς ἐγχειρίδια δοῦσα, παρασκευάζεσθαι πρὸς τὴν σφαγὴν παρεκάλει: οἴνῳ δὲ πολλῷ Ἀλέξανδρον βαπτίσασα καὶ κατευνάσασα, ἐκπέμπει τοὺς τοῦ θαλάμου φύλακας, προφάσει ὡς λουτροῖς χρησομένη. καὶ τοὺς ἀδελφοὺς ἐπὶ τὸ ἔργον ἐκάλει. οἱ δὲ ἀπεδειλίων. καὶ μάλιστα αὐτῶν ὁ νεώτερος. ἡ δὲ ἄλλα τε διαπειλησαμένη, καὶ ὡς τὸν Ἀλέξανδρον αὐτίκα τε ἐξεγερεῖ, καὶ κατηγορήσοι αὐτῶν τὸν φόνον: θαρρεῖν αὐτοὺς ἐβιάσατο· καὶ κτείνουσι κοιμώμενον τὸν Ἀλέξανδρον. Θήβη δὲ τοὺς ἡγεμόνας τῶν φυλάκων εἰσκαλεσαμένη, καὶ τὰ μὲν ἀπειλαῖς, τὰ δ᾽ ἐπαγγελίαις * ὑπελθοῦσα: πείθει συγκατασκευάσειν αὐτῇ τὴν τυραννίδα. καὶ οἱ μὲν ἐπείθοντο. καὶ αὐτὴ τὴν μὲν ἰσχὺν δέχεται, τοὔνομα δὲ, καὶ τὴν δόξαν τῆς τυραννίδος, Τισιφόνῳ τῷ πρεσβυτάτῳ τῶν ἀδελφῶν δίδωσι. Ταῦτα μὲν τῶν Κόνωνος πεντήκοντα διηγήσεων. Ἀττικὸς δὲ τὴν φράσιν ἐστὶ, ταῖς τε συνθήκαις καὶ ταῖς λέξεσι χαρίεις τι καὶ ἐπαφρόδιτος, ἔχων τι καὶ τοῦ συνεστραμμένου καὶ ἀνακεχωρηκότος τοῖς πολλοῖς.

Ἐν τῷ αὐτῷ δὲ τεύχει καὶ Ἀπολλοδώρου γραμματικοῦ βιβλιδάριον ἀνεγνώσθη μοι, Βιβλιοθήκη αὐτῷ ἡ ἐπιγραφή. περιεῖχε τὰ παλαιότατα τῶν Ἑλλήνων, ὅσα τε περὶ θεῶν καὶ ἡρώων ὁ χρόνος αὐτοῖς δοξάζειν ἔδωκεν, ὀνομασίας ποταμῶν καὶ χωρῶν, καὶ ἐθνῶν, καὶ πόλεων. ὅθεν καὶ τὰ πολλὰ ὅσα εἰς τὸ ἀρχαῖον ἀνατρέχει, καὶ κάτεισι μέχρι τῶν Τρωϊκῶν· καὶ ἀνδρῶν τινων πρὸς ἀλλήλους μάχας καὶ ἔργα διέξεισι. καὶ τῶν ἀπὸ Τροίας πλάνας τινάς· μάλιστα δ᾽ Ὀδυσσέως, εἰς ὃν αὐτῷ καὶ ἡ ἀρχαιολογία καταλήγει. σύνοψις δ᾽ ἐστὶ τὰ πολλὰ τοῦ βιβλίου, καὶ οὐκ ἄχρηστος τοῖς τὰ παλαιὰ ἐπὶ μνήμης ἔχειν λόγον μεταποιουμένοις. ἔχει δὲ καὶ ἐπίγραμμα τὸ βιβλιδάριον οὐκ ἄχαρι τόδε·

ν.

Alexander Pheraeus. Thebe Iasonis F.

* al. [illegible]
* al. Φεραῖος ὁ [illegible]

* al. [illegible]

Tisiphonus.

Apollodori Grammatici Bibliotheca.

& fulgure è cœlo erumpente, insulam subito terra ex imo maris gurgite emisit, in quam desilientes, quòd primum eam Sol tunc aspexisset, Anaphen ab euentu nominarunt, & tanquam sacram ædem Apollini Ægletæ statuerunt, festúmque diem hilare egerunt cum epulis, eò quod incredibile effugissent malum. Medea interim cum suis ancillis, quas ad contractas cum Iasone nuptias [a] dono acceperat, post vini potû ludens, scommatis Heroas peruigilio excipiebat. Illi verò conuitia vicissim mulieribus regerebant. Vnde nata consuetudo, vt insulani isti (habitata enim post Anaphe est) anniuersario ritu Apollini Ægletæ inuicem conuitiantes, festum diem ad illorum imitationem celebrarent.

QVINQVAGESIMA narratio: [b] Alexander tyrannus à Thebe coniuge interfectus est. Hæc Iasonis eius, qui in Thessalia quondam regnarat, filia fuit, fratrésque vterinos tres, patre [c] Eulabe genitos, habuit, Tisiphonum, Lycophrona, & Pytholaum. Hos Alexander ille Pheræorum suspectos habens, è medio tollere studebat. Cognito autem Theben nequaquam æquo laturam animo vterinorum suorum fratrum cædem, ipsam quoque interimere decreuit. Sobrius igitur facilè consilium tegebat: at vino captus (ebriosus enim erat) rem aperiebat. Vt ergo Thebe consilium illud intellexit, dato singulis fratribus pugione ad cædem faciendam, vt se compararent, hortatur. Ipsa Alexandrum merò implens & sopiens, dimissis è conclaui custodibus, quæsito colore, quasi in balneo lauare vellet, fratres mox ad facinus incitat. Qui cum timidiùs agerent, & maximè natu minimus, inter alia comminata est, se & Alexandrum confestim excitaturam, & vt cædis reos accusaturam. Sic vi illi ad audendum adacti, dormientem Alexandrum iugulant. Nec mora Thebe, corporis custodum Præfectis ad se accersitis, & quà minis, quà pollicitationibus vsa, persuadet, sibi vt in acquirendo regno adsint. Illi postulata concedunt, atque ipsa imperium quidem sibi sumpsit, nomen verò titulúmque regni Tisiphono fratrum natu maximo concessit.

Hactenus ex quinquaginta illis Cononis narrationibus. Attico vtitur sermone: compositione verò ac vocibus gratiosus est, & venustus: habet tamen alicubi contortum quid, atque à vulgi cognitione remotum.

In eodem item volumine legi APOLLODORI *Grammatici* libellum, cui [d] *Bibliotheca* titulus erat. Continebat antiquissimas quasque Græcorum historias, & quæ siue de Diis, siue de Heroibus temporis ratio dedit opinanda, cum appellationibus fluminum, regionum, gentium, & vrbium. Hinc & pleraque antiqua, ad ipsa vsque Troiana tempora descendens refert. Virorum quoque nonnullorum inter se pugnas, resque gestas commemorat, & capta iam Troia, errores quorundam, præcipuè Vlyssis, in quem eius priscarum rerum narratio terminatur. Compendiosa quædam narratio est maxima huius libelli pars, iis non inutilis, qui vetera complecti memoria volunt. Adscriptum item erat lepidum istud epigramma:

a Ab aeete Alcinoi Phaeacum fuisse reges vxore, duodecim numero, vt narrat Apollod. lib. 1.

b Videndus Cicero offic. 2. item. Valer. Max. lib. 9. c. 13. Plutarch. Pelopidae vita.

c Al. Eualce.

d Eius partem in tres diuisam libros Bened. Aegius [illegible] edit. Romae, vbi & de variis Apollodoris disseritur à Scip. Tettio. porro librum XXIV. Apollod. huius [illegible] Sopater supr. Cod. CLXI. in princ.

ν

APOLLODORVS.

Saeclorum seriem nostra si legeris arte,
Antiqua hinc fiet fabula nota tibi:
Maeonidae ne volue volumina, neve Elegias,
Ne Tragicam Musam, ne melicos numeros.
Multisonos Cyclicum versus ne quaere: quod in me
Inuenias, quidquid maximus orbis habet.

Αἰῶνος σπείρημα ἀνελιξάμενος ἀπ' ἐμεῖο
παιδείης, μύθους γνῶθι παλαιγενέας.
Μηδ' ἐς Ὁμηρείην σελίδ' ἔμβλεπε, μηδ' ἐλεγείην,
μὴ τραγικὴν μοῦσαν, μηδὲ μελογραφίην.
Μὴ κυκλίων ζήτει πολύθρουν στίχον· εἰς ἐμὲ δ' ἀθρῶν,
εὑρήσεις ἐν ἐμοὶ πάνθ' ὅσα κόσμος ἔχει.

CLXXXVII.

NICOMACHI GERASENI *Arithmeticorum Theologicorum libri II.*

LEGI NICOMACHI *Geraseni de Arithmetica ad res diuinas applicata libros duos.* Quae quidem inscriptio magnam admirationem, vehementémque amorem concitare queat: cùm opus tamē ipsum (ne id ratiocinationes vanas, perditique otij occupationem esse dicam) longè à titulo suo recesserit. Neq; enim hîc de numeris ab vnitate vsque ad denarium disserens (quod in [a] Arithmetica sua, eique praemissa Isagoge praestitit) illa pertractat, quae numeris suapte natura insunt, vtilémque habent contemplationem: sed ea plurimum, quae noxij sunt ingenij figmenta: & eius quidem ingenij, quod res ipsas ad suam potius speculationem contentiosè aptare studeat, quàm quod ad rerum naturam mentis suae cogitata dirigere conetur. Caeterum quod vir ille rerum, quae subsistunt, naturam ad numerorum essentiam referre, & huic pariter includere aggressus sit, resecando, addendo, permutando, ac diuellendo, interdum quidem res ipsas, nonnunquam etiam illos amicos adeò sibi numeros ac Deos, idque vel alteram tantummodo partem, vel certè vtramque obeundo: etsi huius rei multae essent ipsi reddendae rationes, in medio tamen id relinquatur. De eo tantùm [loquor] quòd Deos & Deas videre numeros exoptans, idque ipsis solum attribuens, secundùm propriam cuiusque, definitámque quantitatem: hanc tamen ipsam non seruet integram, dum in Deorum ordinē numeros refert, sed (vt antea iam diximus) secādo, augendo, vel omnino etiam dissipando, sic tandem ipsos vt plurimū pro Diis adoret, destruens interim eam quae ab initio aderat quantitatem, vt per hanc Deus [aliquis] fiat, & hac [ipsa rursum] eundem illum spolians. Neque verò aut ineffabilis, aut operta huiusmodi Theologia est. Sed haec eius sapientior, & amari dignior pars videtur, quod oporteat ingressurū in hanc admirabilē Theologiam, altiúsque in abscōdita eius penetraturum, Geometriae inprimis rudem non esse, sed numerandi quoque rationem accuratè tenere: neque item astrorū inspectionem obiter didicisse, quin potius & in Musicis speculationibus, atque adeò illius instrumentis esse exercitatū. Vt enim è numeris Deos efficiat, eosdemque omnis essentiae rerū subsistentium auctores ac causas effingat, è singulis iam nominatis disciplinis theoremata quaedam huic Deorum effictioni intexit, quorū scilicet ignoratio tantò sit ad huiusmodi mystagogiā impedimento futura, vt frustra suam ad discendum alacritatē prae se ferat ille, quicunq; supradictis disciplinis iam antea imbutus non fuerit. Quare oporteat, vt apparet, aetatē vniuersam iis disciplinis diligenter incumbendo contriuisse, atque consumpsisse, antequam ad haec Theologica circa numeros, & prodigiosa cōmenta veniatur, quo delirare tandem penitus tibi concedatur. Tale quid igitur summatim, vel de solo potius titulo loquēdo, Nicomachi Geraseni Theologia est.

a Extat illud duo Graecè edit. Parisiis an. [illegible]

ΝΙΚΟΜΑΧΟΥ ΓΕΡΑΣΗΝΟΥ ἀριθμητικῶν θεολογουμένων βιβλία β'.

ρπζ'. Nicomachi Geraseni Theologicè arithmetich. libri II.

ΑΝΕΓΝΩΣΘΗ Νικομάχου Γερασηνοῦ ἀριθμητικῶν θεολογουμένων βιβλία δύο. ἡ μὲν οὖν ἐπιγραφὴ οὕτω θαυμάσαι, καὶ δριμεῖαν ἔρωτα κινῆσαι, ἀξία: ὁ δὲ πόνος, ἵνα μὴ λέγω λογισμῶν κενεμβατούντων καὶ ματαιοσχόλων ἔργον, πόρρω τῆς ἐπιγραφῆς διερριμμένος. διαλαμβάνει μὲν γὰρ περὶ τῶν ἀπὸ μονάδος μέχρι δεκάδος ἀριθμῶν, οὐχ ὥσπερ ἐν τῇ ἀριθμητικῇ αὐτοῦ καὶ περὶ ταύτης εἰσαγωγῇ, ὅσα τοῖς ἀριθμοῖς φύσει πρόσεστι, καὶ θεωρίας ἔχεται σπουδαίας ἡ διέξοδος: ἀλλὰ τὰ πλεῖστα διανοίας οὐ καθαρευούσης βλάβης ἀναπλάσματα· καὶ οὐχὶ πρὸς τὴν τῶν πραγμάτων φύσιν, τοὺς λογισμοὺς ἰθυνούσης, τὰ δὲ πράγματα πρὸς τὰς ἰδίας φαντασίας μεταμείβειν φιλονεικούσης. ἀλλ' ὅσα μὲν ὁ ἀνὴρ τὴν τῶν ὄντων φύσιν εἰς τὴν τῶν ἀριθμῶν ὑπόστασιν ἀναφέρειν τε καὶ συγκατακλείειν διατείνεται, περικόπτων, προστιθείς, ἀμείβων, διασπῶν· ποτὲ μὲν τὰ πράγματα, ποτὲ δὲ τοὺς φίλους ἀριθμοὺς καὶ θεούς, καὶ τοῦτο ἢ περὶ μέρος ἑκάτερον, ἢ καὶ δι' ἀμφοῖν ἰών, καίτοι μεγάλας ὑπέχων εὐθύνας, ὅμως ἐάσθω τοῦτο. ἀλλ' ὅτι θεούς τε καὶ θεὰς ἐπιθυμήσας ἰδεῖν τοὺς ἀριθμούς, καὶ τοῦτο διδοὺς αὐτοῖς διὰ μόνην τὴν ἰδιάζουσαν καὶ περιστέλλουσαν ἕκαστον ποσότητα· οὐ φυλάττει ταύτην ἀκέραιον εἰς τὸ θεῶν γένος ἀναφέρων αὐτούς· ἀλλ', ὡς καὶ προείπομεν, τέμνων, αὔξων, παντοίως κεραΐζων, οὕτως αὐτοὺς ἐκ τῶν ἐπὶ πλεῖστον θεοὺς προσκυνεῖ. τὴν μὲν ἐξ ἀρχῆς φθείρων ποσότητα, ἵνα θεὸς ᾖ διὰ ταύτην· ταύτης δ' αὐτὸν ἀποστερῶν. οὐ γὰρ ἀπόρρητος καὶ σκοτεινὴ ἡ τηλικαύτη θεολογία. τὸ δὲ σοφώτερον καὶ στέργεσθαι δίκαιον, δεῖ τῷ μέλλοντι τῇ θαυμασίᾳ ταύτῃ ἐμβαθῦναι θεολογίᾳ, καὶ τῆς κρυφιότητος εἴσω διεισδῦναι, γεωμετρίας μὲν οὐκ ἀμαθῶς ἔχειν· ἐλάσθαι δὲ καὶ πρὸς ἀριθμητικὴν ἀκριβολογίαν, οὐδὲ τῆς ἀστροθεάμονος σοφίας ἐν τῷ παρέργῳ τὴν μάθησιν πεποιῆσθαι· καὶ μὴν ἐν τοῖς μουσικοῖς θεωρήμασι, καὶ δὴ καὶ ὀργάνοις ἐγγεγυμνάσθαι. ἵνα γὰρ τοὺς ἀριθμοὺς θεοποιήσῃ, καὶ τῶν ὄντων τῆς οὐσιώσεως αἰτίας ἀναπλάσῃ: ἀφ' ἑκάστης τῶν εἰρημένων ἐπιστημῶν ἔνιά τινα τῶν θεωρημάτων τῇ πρὸς τοὺς ἀριθμοὺς ἐνυφαίνει θεοπλασίᾳ· ὧν ἡ ἄγνοια ἐμπόδιον ἂν σταίη πρὸς τὴν τῶν τηλικούτων μυσταγωγίαν, καὶ μάτην τὸ πρόθυμον ἐπιδείξεται ὁ ταῖς εἰρημέναις μὴ προτελεσθεὶς ἐπιστήμαις. καὶ δεῖ ἄρα, ὡς ἔοικε, βίον ἀνθρώπου κατατρῖψαι, καὶ προσαναλῶσαι τῆς θεολόγου ταύτης τῶν ἀριθμῶν τερατείας, καὶ φιλοσοφῆσαι τοῖς μαθήμασι σπουδαίως, ἵν' ἐξῇ καὶ ματαιολογῆσαι τελείως, ὡς μὲν οὖν ἐν κεφαλαίῳ, μᾶλλον δὲ πρὸς τὴν ἐπιγραφὴν φάναι, τοιοῦτον ἡ τοῦ Γερασηνοῦ Νικομάχου θεολογία.

Μονάς.

Λέγε) δὲ τὴν μονάδα, ἀλλά τε οὐκ ὀλίγα τῶν πλασμάτων τῇ περὶ αὐτὴν ἀληθείᾳ καὶ τοῖς προσοῦσι φυσικοῖς ἰδιώμασι καταμιγνύς· καὶ ὡς νοῦς τε εἴη, εἶτα καὶ ἀρσενόθηλυς, καὶ θεός, καὶ ὕλη δέ πως· πάντα χρήματα μιγνὺς ὡς ἀληθῶς, καὶ πανδοχεὺς λοιπόν, καὶ χωρητική, καὶ χάος, σύγχυσις, σύγκρασις, ἀλαμπία, σκοτωδία, χάσμα, τάρταρος· καὶ στύγα δὲ αὐτὴν προστερατολογοῦσι, καὶ φρικωδίαν καὶ ἀμιξίαν, καὶ βάραθρον ὑποχθόνιον, καὶ λήθην, καὶ στερεὰν παρθένον, καὶ Ἄτλαντα· ἄξων τέ ἐστιν αὐτοῖς, καὶ ἥλιος, καὶ πυραλίος· καὶ μορφὼ δέ, καὶ Ζανὸς πύργος, καὶ * σπερματικός λόγος· Ἀπόλλων τε καὶ προφήτης, καὶ λόγιος. ἡ δὲ τῶν ὀνομάτων αἰτίας ἡ μὲν φρενὸς ἀστάτου καὶ δεισιδαιμονούσης· ἡ δὲ οὐδὲ τῆς παιδαριώδους ἀνατυπώσεως ἀπηλλαγμένη. ἀλλ' ἡ μὲν μονὰς οὕτω Νικομάχῳ, καὶ τοῖς αὐτοῦ διδασκάλοις θεολογεῖταί τε ἅμα καὶ βάλλεται ὕβρει.

* al. ἀσπερμάτιστος.

Δυάς.

Ἡ δὲ δυὰς τόλμα τέ ἐστιν αὐτοῖς, καὶ ὕλη, καὶ τῶν ἀνομοίων αἰτία, καὶ μεταίχμιον πλήθους καὶ μονάδος. ἐκ συνθέσεώς τε καὶ κατακράσεως μόνη ἴσον ποιεῖ, διὸ καὶ ἴση. ἀλλὰ καὶ ἄνισος, καὶ ἔλλειψις, καὶ πλεονασμός, καὶ μόνη ἀσχημάτιστος, καὶ ἀόριστος, καὶ ἄπειρος. ἀρχή τε ἀρτίου μόνη, καὶ οὐκ ἄρτιος. οὐ μὴν οὐδ' ἀρτιάκις ἄρτιος, οὐδὲ περισσάρτιος, οὐδ' ἀρτιοπέριττος· ἀλλὰ τούτων μὲν τὰ πλεῖστα ἐγγύς ἐστι τῇ δυάδος φυσικῇ ἰδιότητι. ἃ δὲ τῆς τερατείας, πηγή ἐστι πάσης συμφωνίας καὶ μουσῶν ἡ Ἐρατώ, καὶ ἁρμονία, καὶ τλημοσύνη, καὶ ῥίζα, εἰ καὶ οὐκ ἐνεργείᾳ πω, καὶ δύναμις, καὶ πόδες πολυπίδακος Ἴδης, καὶ κορυφαί, καὶ Φάνης. ἀλλὰ καὶ ἴσον [Δία] δὲ τὴν δυάδα, ἡ μυθοπλαστία θεολογεῖ, καὶ δίκην, καὶ Ἶσιν, καὶ φύσιν, καὶ Ῥέαν, καὶ Διὸς μητέρα, καὶ πηγὴν διανομῆς. ἔστι δ' αὐτοῖς ὡς Ῥέα, καὶ Φρυγία, καὶ Λυδία· καὶ Δινδυμήνη, καὶ Δημήτρα, καὶ Ἐλευσινία, καὶ Ἄρτεμις, καὶ Ἵμερος, καὶ Δίκτυννα, καὶ Ἀερία, καὶ Ἀστερία, καὶ Δίσαμος καὶ Ἑστία· καὶ μὴν καὶ Ἀφροδίτη, καὶ Διώνη, καὶ Μυχαία, καὶ Κυθερεία, καὶ ἄγνοια, καὶ ἀγνωσία, καὶ ψεῦδος, καὶ ἀδιοριστία, καὶ ἑτερότης, καὶ νεῖκος, καὶ διχοστασία, καὶ μόρος, καὶ θάνατος. τοιαῦτα μὲν αὐτοῖς καὶ ἡ δυὰς θεολογεῖται.

Τριάς.

Ἡ δὲ τριάς, ἔστι μὲν πρῶτος περισσὸς κατ' ἐνέργειαν, καὶ τέλειος πρῶτος, καὶ μεσότης καὶ ἀναλογία· τήν τε τῆς μονάδος δύναμιν εἰς ἐνέργειαν καὶ ἐπέκτασιν προχωρεῖν ποιεῖ· ἀλλὰ καὶ πρώτη, καὶ κυρίως μονάδων σύστημα. εἶτα λοιπὸν ἐντεῦθεν αὐτοῖς πρὸς τὸ φυσιολογικὸν αἴρεται ὁ ἀριθμός· αἰτία τε γὰρ τοῦ τριχῇ διαστατοῦ, καὶ περατωτικὴ τῆς ἀπειρίας τῶν ἐν ἀριθμῷ, καὶ ὅμοιον, καὶ ταὐτόν, καὶ ὁμόλογον, καὶ ὡρισμένον. ἀλλ' οὔπω ταῦτα φορτικά· τὰ δ' οὐχ ὅμοια. καὶ νοῦς τις ἡ τριάς, καὶ εὐβουλίας καὶ συνέσεως αἰτία, καὶ γνῶσις ἀριθμοῦ τὸ κυριώτατον, μουσικῆς τε πάσης κυρία, καὶ σύστασις. καί γε καὶ γεωμετρίας ὅτι μάλιστα· καὶ μὴν καὶ τῶν κατὰ ἀστρονομίαν καὶ οὐρανίων φύσιν τε καὶ γνῶσιν αὕτη τὸ κράτος ἔχει καὶ συνέχει, καὶ εἰς οὐσίωσιν ἄγει. καὶ ἡ ἀρετὴ δὲ πᾶσα ταύτης ἐξῆπται, καὶ ἐκ ταύτης πρόεισιν· εἶτα λοιπὸν τὰ μυθώδη

De *Vnitate* ergo (præter alia figmenta non pauca, quæ rebus de ea veris, naturalibusque proprietatibus in eam quadrantibus admiscet) etiam illud refert: Mentem hanc esse, deinde & [a] virum fœminam, ac Deum, & materiam quodammodo. Eandem res omnes reuera miscere, & deinceps omnium receptricem esse atque capacem, chaos, confusionem, contemperationem, obscuritatem, tenebras, hiatum, Tartarum insuper hanc, immò Styga esse nugantur, & horrorem, atque impermistionem: barathrũ quoque subterraneum, Lethen, [b] rigidam virginem, & Atlantem. Axis præterea ipsis est, & Sol, & Pyralius; [c] Morpho, Iouis arx, ac seminalis ratio. Apollo ad hæc & Propheta, & fatidicus. Nominum verò horum ratio, partim à mente est instabili, ac superstitiosa, partim ne à puerili quidem recessit imaginatione. Ceterum vnitas hoc pacto à Nicomacho, eiusque præceptoribus simul in Deos refertur, & contumelia afficitur.

Dyas deinde, seu *Binarius*, audacia ipsis est ac materia, dissimiliumque caussa, & vnitatem inter ac multitudinem interstitium. Ex compositione atque permistione solus hic æqualitatem efficit: quare etiam æqualis est, sed & inæqualis est, defectúsque & abundantia: solus item informis, & indefinitus, carénsque termino. Solus paritatis principium: nec tamen par, neque rursum pariter par, neq; impariter par, neque pariter impar. Verum horum plurima affinia sunt naturali binarij ipsius proprietati. Quæ verò ad prodigiosa commenta pertinent, hæc ferè sunt. Fons est omnis contentus, & inter Musas erato, itémque Harmonia. Tolerantia ad hęc, radixque, etsi non actu quodammodo, potestas præterea, & pedes [d] fontibus-abundantis Idæ, ac vertices, & [e] Phanes. Quin & à Binario æquum esse Iouem, fabularum hæc figlina theologicè disputat [f] Iustitiam ad hæc esse Dyada, & Isin, Naturam, ac Rheam, & [g] Iouis matrem, fontémque distributionis. Est insuper ipsis tanquam Rhea tam Phrygia, quàm Lydia atque [h] Dindymene. [i] Demetra quoque & Eleusinia, Diana, Appetitus, [k] Dictynna, Aëria, Asteria, Disamus, & [l] Vesta. Quin etiam Venus, [m] Dione, [n] Mychæa, Cythereia. Ignorantia item atque imprudentia, falsum, [o] permistio, simultas, contentio, dissidium, fatum denique, & mors. Sic ferè de Binario ab ipsis est theologicè disputatum.

Ternarius verò primus omnium actu impar est, primúsque perfectus numerus, & medietas, ac proportio: qui vnitatis vim in actum atque exporrectionem procedere facit. Idẽ prima est omnium, & quidem propria, vnitatum coagmentatio. Hinc porrò ad Physiologiam numerum hunc traducunt. Caussa enim est rei tripliciter separabilis, & infinitatem numerorũ definiens: simile quoque, & idem, & eiusdem proportionis, ac determinatũ. Verùm hæc nõdum adeo stolida, quibus istæc nequaquam similia.

Mens quædam Ternarius est, & sapientiæ atque intelligentiæ caussa: cognitio ad hæc, quæ numeri est pars maximè propria. Musicæ quoque vniuersæ potestas, ac compositio: & verò Geometriæ vel maximè. Quin etiam hic rerum ad Astronomiam, siue ad cœlestium naturam ac scientiam pertinentium vim omnem habet ac continet, eámque ad substantiæ productionem impellit. Virtutes quoque omnes ab hoc numero dependent, atque ab eo proficiscuntur. Deinceps quæ ad fabulas spectant refert.

a ἀρσενόθηλυς. Quod de Minerua Orpheus quoque hymno cecinit Ἄρσην μὲν καὶ θῆλυς ἔφυς.

b στερεὰν παρθένον. Ita Seneca, Medea, Dianam dixit rigidam virginem.

c Veneris id apud Lacedæmonios cognomentum, de quo Pausan. Laconic.

d Homero quoque vocatur πολυπίδαξ Ἴδη.

e Sol hoc quibusdam, aliis Amor. Vide Suidam & Gyrald. de Phane. Terbas quasdam meminit Pausan. in Corinthiac.

f Δίκην de qua Mythologi.

g Διομήτορα.

h De Dindymene matre Pausan. & Gyrald. Syntagm. IV.

i Suidas quoque Δημήτηρ.

k Vide Pausan. & Gyrald. Syntagm. XII. & reliquos Mythologos.

l Ἑστία. Nisi hic Ἑστιῶ legendum malis. De qua Diogen. Laert. in Democrito. Clem. Alexand. II. Strom. Hesych. & Suid.

m Διωναίη, inquit Suid. ἡ Ἀφροδίτη, ἢ Διώνη ἡ αὐτή.

n Μυχαία, ἡ Ἀφροδίτη. Suid. à μυχῷ forsitan.

o ἀδιοριστία. ἀδιόριστος, Suida, ἀδιαχώριστος, Hesychio ἀσαφής.

NICOMAC. GERASEN.

Hinc Trias ipsis Saturnia est, & Latona, Amaltheiæ cornu.[a] Ophionia item eã esse nugantur ac Thetin, & Harmoniã. Hecaten quoque, & [b] Eranam & [c] Charitiã, atque è Musarum choro Polymniam, Plutonémq; & Loxiam Vrsam præterea, & Helicen, atque eam,[d] quæ æquore non mergitur, Damatramen, [e] Dioscoriam, [f] Metin, Trigeminã, Tritona, Marispræsidem, Tritogeneiam, Acheloã Habitatricem, Truncipedẽ [g] Curetida,[h] Cratæida, Harmoniã, Symbeniam, Gamum, Gorgoniam, Phorciam, Trisamum, & [i] Lydium, Talis ipsis Ternarius est, atque in tam multos eorum Deos refingitur.

Quaternarius item magno ipsis miraculo est, nouus Deus, & quidem multiplex, vel potius omnideus. Fons. n. ipsis est naturaliũ effectuũ, atq; naturæ clauiger. Sed & suã hic disciplinis constitutionẽ ac permãsionem adfert, atq; conciliat: immò natura ipsa est & varietas. Idẽ quoque iis Hercules, & impetus ac maximũ robur; virilis potẽtia, nihilque habẽs fœmineũ. Mercurius itẽ & Vulcanus, Bacchus, Soritas, Maiadeus, vel Maiades. Est enim Maiæ filius, hoc est Binarij, Quaternarius.[k] Eriunius adhæc, & Socus, atque [l] Dioscorus. [m] Bassareus insuper, & Bimater (matrẽ nactus Binariũ) fœminea forma, virilis viriliáq; patrãs, bacchari faciẽs. Item Harmonita seu Harmonia, & in Musis Vrania. Ad hũc ferè modũ de Quaternario nugãdo philosophãtur, vbi & primi libri Theologicẽ expositorũ à Nicomacho numerorũ terminᵘˢ est.

Altero igitur libro mox à proœmio res illi cũ *Quinario* numero est. Hic enim primus medietatem optimã, maximeque naturalem designat per disiunctionem ab vtraque extremitate numeri naturalis: cùm interim vnitati quidẽ tanquã principio, denario verò tanquã fini coagmentetur: comprehendere simul potens ea omnia, quæ in mundi natura apparent. Per vnitatem etenim mundus tanquã fixis radicibus stabilitus est: per denariũ verò perfectus, atque in lucem productus. Sed id non nisi ad extremam denarij partem [conficitur] cùm vniuersi elementa per Quinariũ [perficiantur, atque in lucem producantur.] nam etiã æthera ad quatuor illa adiicit. etsi hanc additionem nunquam admitteret, si vel in Quaternarij, vel multorum similiũ laude versaretur. Sed nondũ hæc elegantia, aut scita, quæ consequuntur, consideranda sunt. Quinarius enim siue Pentas [n] quies est à rixis, & alteratio, iubar quoq; ac iustitia, minimáque extremitas facultatis viuendi. Nemesis adhæc, & [o] Bubastia, Iurisdictio, Venus, [p] Gamelia,[q] Androgynia, Cythereia: [r] Zonæa, Circulorum præses, Semidea, arx Iouis, Didymæa, & axis stabilis. Hanc etiã diuinã esse sublimibus verbis prædicant, & Pallada, & [s] Credeaten, [t] Ductricem, [u] Acreotin, æquilibrem, expertẽ iugi,[x] Orthiatin, atq; inter Musas Melpomenem, [y] pulchráque voce respondentem, mediorúmque medium, & [z] fœcundorum culmen. Et sic quidem ille Quinariũ extollit.

Senarius ab illo formæ forma, ratione reddita dicitur, & solus inter numeros animæ accommodus, atque vniuersi articulatio, animi effector, & qui vitalem appetitum indere solet. Vnde etiam Senarius Harmonia

διὰ ταῦτα αὐτοῖς ἡ τριὰς, Κρονία καὶ Λατὼ, καὶ ἀμαλθείας κέρας, Ὀφιονά τε αὐτὴν τερατολογοῦσι, καὶ Θέτιν, καὶ Ἁρμονίαν, Ἑκάταν τε καὶ Ἐράναν καὶ Χαριτίαν καὶ μουσῶν Πολύμνειαν, Ἅιδαν τε καὶ λοξίαν* ἄρκτον, ἕλικα, καὶ ποτὶ βυθὸν οὐ δυομένην, Δαματράμενά τε καὶ Διοσκορίαν, καὶ μῆτιν, καὶ τριδύμην, τρίτωνα, θαλασσοῦχον, τριτογένειαν, ἀχελώϊον, ναέτιν, καὶ ἀγυιόπεζαν κουρητίδα, *κραταιΐδα, ἁρμονίαν, συμβενίαν, γάμον, γοργονίαν, φορκίαν, τρίσαμον καὶ λύδιον.* ὅσῳ μὲν αὐτοῖς καὶ ἡ τριὰς, καὶ εἰς τοσούτους αὐτὴν θεοὺς ἀναπλάττεται.

Ἡ δὲ τετρὰς πάλιν αὐτοῖς θαῦμα μέγιστον, ἄλλη θεὸς πολύθεος, μᾶλλον δὲ πάνθεος. ἔστι γὰρ αὐτοῖς τῶν τε φυσικῶν ἀποτελεσμάτων πηγὴ, καὶ κλειδοῦχος τῆς φύσεως. ἀλλὰ καὶ τὴν κατὰ τὰ μαθήματα σύστασίν τε καὶ διαμονὴν αὕτη συνεισάγουσα καὶ αἰτία. ἀλλὰ καὶ αὐτὴ φύσις καὶ αἰόλα· ἔστιν αὐτοῖς καὶ Ἡρακλῆς καὶ ἐξορμὰ, καὶ ἀλκιμωτάτη, καὶ ἀρρενικὴ, καὶ ἀθήλυντος, Ἑρμῆς τε καὶ Ἥφαιστος καὶ Διόνυσος, καὶ Σωρίτης· καὶ μαιαδεὺς ἢ μαιάδης· τῆς γὰρ μαίας υἱὸς, ἤγουν τῆς δυάδος ἡ τετράς· καὶ Ἐριούνιος, καὶ Σῶκος, καὶ Διόσκορος, καὶ Βασσαρεὺς, καὶ διμάτωρ, μητρὸς τυχοῦσα δυάδος· θηλύμορφός τε καὶ ἔπαρσις ἀρρενουργὸς, καὶ βακχασμὸν ἀνεγείρουσα· καὶ ἁρμονία, καὶ τῶν μουσῶν ἡ Οὐρανία. ἀλλ' οὕτω μὲν αὐτοῖς καὶ ἡ τετρὰς τερατολογουμένη θεολογεῖται, καὶ τὸ πρῶτον τῶν θεολογουμένων ἀριθμῶν Νικομάχῳ συναπαρτίζεται βιβλίον.

Ἐν δὲ τῷ δευτέρῳ μετὰ τὸ προοίμιον ἡ πεντὰς αὐτῷ πληροῖ τὸν ἀγῶνα. ἡ γὰρ πεντὰς πρώτη μεσότητα τῆς ἀρίστης καὶ φυσικωτάτης* ἐμφαίνει κατὰ διάζευξιν ἀμφοτέροις πέρασι τοῦ φυσικοῦ ἀριθμοῦ· μονάδι μὲν, ὡς ἀρχῇ, δεκάδι δὲ ὡς τέλει συνεζευγμένη· καὶ συλληπτικὴ τῶν ἐν τῇ κοσμικῇ φύσει φαινομένων. καὶ γὰρ κατὰ μὲν τὴν μονάδα ὁ κόσμος ἐρρίζωται: ἔστι δὲ καὶ πέφανται κατὰ τὴν δεκάδα. ἀλλὰ καὶ ὅτι πρὸς ἔσχατον καὶ μόνον μέρος τῆς δεκάδος, καὶ τὰ στοιχεῖα δὲ τοῦ παντὸς κατὰ τὴν πεντάδα. προστίθησι γὰρ τοῖς τέσσαρσι καὶ τὸν αἰθέρα. ὃ* οὐκ ἂν ἀνέξοιτο ὑμνῶν τὴν τετράδα καὶ πολλὰ τοιαῦτα. ἀλλ' οὔπω ταῦτα κομψὰ καὶ σοφά. τὰ δ' ἐφεξῆς σκόπει. ἀνεικία γὰρ ἡ πεντὰς καὶ ἀλλοίωσις, καὶ φάος, καὶ δικαιοσύνη, καὶ ἐλαχίστη ἀκρότης τῆς ζωότητος, καὶ Νέμεσις, καὶ Βουβαστία, καὶ δίκη σις καὶ Ἀφροδίτη, καὶ Γαμηλία καὶ Ἀνδρογυνία [καὶ Ζανὸς πύργος] καὶ Κυθέρεια, καὶ ζωναία, καὶ κυκλιοῦχος, καὶ ἡμίθεος, καὶ ζανὸς πύργος, καὶ διδυμαία. καὶ ἄξων ἑδραῖα. ἄμβροτόν τε ὑψηλολογοῦσι καὶ Παλλάδα, καὶ* κρηδεάτην, καὶ ἁγεμονίαν, καὶ ἀκρεῶτιν, καὶ ἀταλαντον, καὶ ἄζυγα, καὶ Ὀρθιάτιν, καὶ μουσῶν Μελπομένην, καὶ ἀμειβομένην* ὀπὶ καλῇ, καὶ μεσῶν μέσην, καὶ ἀκρότητα γονίμων. ἐπὶ τούτοις μὲν οὖν σεμνύνει καὶ τὴν πεντάδα.

Ἡ δὲ ἑξὰς, εἶδος εἴδους αὐτῷ αἰτιολογεῖται, καὶ τῇ ψυχῇ μόνος ἀριθμῶν ἁρμόζων, καὶ διάρθρωσις τοῦ παντὸς, ψυχοποιὸς, καὶ τῆς ζωτικῆς *ὀρέξεως ἐμποιητική. ὅθεν καὶ ἑξὰς καὶ ἁρμονία,

a Ophionem Messeniorum vates celebratur apud Pausan. in Messeni.
b Ergenam forte legendum. D hac enim Messeniorum multa Pausan. & aliunt etiam ...
c Χαριτία Suida ...
d F Vers. ... Hom. Iliad. Σ Οἴη δ' ἄμμορός ἐστι λοετρῶν ὠκεανοῖο. D H.
e Διὸς κόρη Minerua Poëtis dicitur.
f Mineruã matrẽ eam facit. Hesiod. Theog. Vide & Apollod. & Gyrald. Syntagm. XI.
g An Empusam forsitan intelligit? Porro de Curetibus ... multa Strabo lib. X & Pausan. lege & Gyrald. Syntag. 3. de Iunone Cureti.
h Κραταιΐς Scyllæ mater Hesychio.
i Quo nomine Bacchũ Nonnus ornat.
k Mercurij epitheta. Lege Notas exemplaris Græci, & Eustat. in Hom.
l Quasi Iouis filius dicas, quo modo Apollo ... Anthol. ... dicitur.
m Bacchi cognomenta.
n ἀνεικία, quo verbo etiã alias admittet expressiones.
o Bubastin ab Ægyptiis dictam esse Dianam docet Herod. Euterpe, & alij.
p De Iunone Gamelia siue Nuptiali vide Gyrald. Syntag. 3.
q An biformẽ barbatãmque ... Venerem indicat, quam à Roman. mulieribus cultã docet hic Suid.
r Ἀκροτέραν forsitan illam Mineruam innuit, cui Troezeniorum virgines zonas ante nuptias dicare solitas scripsit Pausan. Corinthiac. ...

et Cinxia Iuno apud Festum. ſ Κρηδεάτιν ... Pausan. Arcadic. t Vnde Hymnia nomine Diana coli cœpta, docebit Pausan. Arcadic. v. ... Hesych. quod ... colebatur. x De Orthia Diana multa Pausan. y Periphrasis est Calliopes, quam hic alibi nusquam nominat. z ... forte & ... indicare voluit.

* al. κραταιΐδα.
* ὅσω.
Τετράς.
Πεντάς.
* ἐμφαίνει.
* al. ὃ κατά.
* al. ἀγεμονίαν.
* ἐν καλῇ.
Ἑξάς.
* Ἑξάς.

e

καὶ ὁλομέλεια, καὶ κυρίως αὐτὴ μᾶλλον Ἀφροδίτη, ζυγία τε καὶ γαμηλία, καὶ ἀνδρογυναία θεολογεῖται. ἀλλὰ καὶ ζυγῖτις, φιλοτησία, καὶ εἰρήνη, καὶ φιλία, καὶ ὑγεία, ἄκμων τε καὶ ἀλήθεια καὶ μοιρῶν δὲ Λάχεσιν αὐτὴν ποιοῦσι, καὶ ἀρχὴν, καὶ ἥμισυ παντὸς, καὶ ἑκατηβελέτιν, καὶ τριοδῖτιν, καὶ διχρονίαν, καὶ περσείαν, καὶ τρίμορφον, καὶ Ἀμφιτρίτην, καὶ ἀγχιδίκαν, καὶ μουσῶν Θαλείαν, καὶ πανάκειαν. οὕτω μὲν οὐδ' ἡ ἑξὰς αὐτοῖς θεὸς εἶναι καὶ θεὰ διέφυγε φιλοτιμεῖσθαι.

* Ἑπτάς.

Ἡ δὲ ἑβδομὰς τί ἄν τις καὶ εἴποι; εὐθὺς μὲν γάρ ἐστι σεπτάς· κἂν τὸ Σ φθείρει ἡ συνήθεια, ἕλκει τοῦτο ῥᾷστα ἐκ διπλοῦ τοῦ Ξ. ὅπερ τῷ πρὸ αὐτοῦ ἀριθμῷ ἡ φύσις πρὸς τῷ τέλει ἀπεκλήρωσεν ἵν' ᾖ τοῦτο ἐπικούρημα τῷ σεβαστῷ ἀριθμῷ πρὸς τὴν ἐπιβουλὴν τὴν ἀπὸ τῶν πολλῶν. τοιαύτη μὲν ἡ ἀπόδειξις θαυμαστὴ ὡς ἔστιν οὕτω σεπτὰς, καὶ σεβασμοῦ ἄξιος ὁ ἑπτά. πάλιν δὲ καὶ αὐτὴ μεσότης μονάδος καὶ δεκάδος, τύχη καὶ καιρὸς, Ἀθηνᾶ καὶ Ἄρης, καὶ * ἀκρεώτις, καὶ ἀγελεία, καὶ ἀτρυτώνη, φυλακῖτις, ὀβριμοπάτρα, τριτογένεια, γλαυκῶπις, Ἀλαλκομενεία, Παντευχία, ἐργάνη, πολυάρητος, * ὁλομέλεια, ἀμαλθείας κέρας, αἰγὶς, Ὄσιρις, ὄνειρος, φωνὴ, αὐδὴ, καὶ μουσῶν ἡ Κλειώ. εἰ βούλει δὲ καὶ κρίσις καὶ Ἀδράστεια, καὶ πολυφλύαρος τοιοῦτος. οὕτω μὲν ἡ πάνσεπτος αὐτοῖς ἑπτὰς, μακροτέρῳ πόνῳ, μέγας καὶ πολὺς θεὸς ἀνυμνεῖται.

Ὀκτάς.

Ἡ δὲ ὀκτὰς, εἰ καὶ μὴ τοῖς ἴσοις μηδ' ὀγδόῳ μέρει, ἀλλ' οὖν τοῦ θεὸς αὐτοῖς εἶναι, οὐδ' αὐτὴ τῆς θρόνου ἀπερρίφη· παναρμονίαν γὰρ αὐτὴν προσκυνοῦσι, καὶ * Καδμείας μητέρα, καὶ Ῥέαν, καὶ θηλυποιὸν, καὶ Κυβέλην, Κυβήβην τε καὶ Δινδυμήνην, καὶ πολιοῦχον, ἔρωτά τε καὶ φιλίαν, μῆτιν, ἐπίνοιαν, ὀρείαν, Θέμιν, νόμον, ἠλιτόμηνον, καὶ τῶν μουσῶν τὴν Εὐτέρπην.

Ἐννεάς.

Καὶ ἡ ἐννὰς δὲ ὑστερεῖ μὲν καὶ τῆς θειότητος καὶ τῆς μακρᾶς συγγραφῆς, ἧς ἡ ἑβδομὰς ὑπερῆρτο: πλὴν τῆς ὀκτάδος ἐγγὺς θεολογεῖται. ὠκεανὸς γὰρ αὐτοῖς αὐτὴ * περιρρεῖται, καὶ ὁρίζων ἀνυμνεῖται. Προμηθέα τε αὐτὴν, καὶ ὁμόνοιαν, καὶ περσείαν, καὶ ἥλιον ἱερολογοῦσιν, ἀνεριστίαν, ὁμοίωσιν, Ἥφαιστον, Ἥραν, Διὸς ἀδελφὴν καὶ σύνευνον, ἑκάεργον, παιᾶνα, νυσηΐδα, ἀγυιέα, ἐνυάλιον, ἀγελείαν, Τριτογένειαν, ὁμόνοιαν, Πειθὼ, κουρητίδα τε καὶ Κόρην, καὶ Ὑπερίονα, καὶ μουσῶν Τερψιχόρην.

Δεκάς.

Ἡ μὲν δὴ δεκὰς αὕτη ἐστὶν αὐτοῖς τὸ πᾶν, θεὸς ὕπατος, καὶ θεὸς θεῶν: ὅτι δέκα χειρῶν καὶ δέκα ποδῶν δάκτυλοι, καὶ δέκα κατηγορίαι, καὶ τοῦ λόγου δέκα μέρη. ἵνα γὰρ ἢ αὐτοῖς πάντα ἡ δεκὰς, προστιθέασι τοῖς τοῦ λόγου μέρεσι προσηγορίαν καὶ παραπλήρωμα. τί δεῖ λέγειν; ὡς ἐν αὐτῇ περιλαμβάνουσι τὰ στερεὰ καὶ τὰ ἐπίπεδα, ἄρτια, περισσὰ, ἀρτιοπέρισσα, * τέλεια, πρῶτα καὶ ἀσύνθετα, ἰσότητα, ἀνισότητα, τὰς δέκα σχέσεις, τὰ σφαιρικὰ, τὰ κυκλικὰ, γεννητικὰ, τελεστικὰ, ἐναρμόνια τοιαῦτα. ἀλλ' ὅπως αὐτοῖς κόσμος ἡ δεκὰς, καὶ οὐρανὸς, εἱμαρμένη, αἰὼν, κράτος, πίστις, ἀνάγκη

atque vniuersa natura, & magis propriè ipsamet Venus, cum Iuga, tum nuptialis, & Androgynæa theologicè ab eo constituitur. Iugalis adhæc & illecebra: Pax quoque, amicitia, sanitas, & [a] Acmon, ac veritas: Hexada insuper volunt hi Parcas inter Lachesin esse, principiúmque ac dimidium totius, & [b] longè iaculantem, ac Triuiam, [c] Dichroniam, [d] Perseiam, Triformem, Amphitriten, [e] Anchidica, & de Musarum numero Thaleiam, ac Panaceiam. Ita neque Senarius ab ipsis præteritus est, quin Deus Deáque esse omni studio probaretur.

Iam *Hebdomas* (quid dicas?) confestim fit [f] σεπτάς. vbi si consuetudo [g] Σ forte exterat, trahit hoc facile ex duplici littera Ξ, quam ipsa natura [h] ad præcedentis numeri finem veluti sorte attribuit, vt hæc adminiculo aduersus vulgi insidias augusto illi numero esset. Atque hæc admiranda illa demonstratio est, qua ita existere docet [vocem] σεπτάς, & cultu dignum numerum ἑπτά. At rursum [i] etiam hic vnitatis est ac denarij medietas. Fortuna item, & Occasio, Minerua, Mars, Acreotis, [k] Agelia, Atrytone, & [l] Capta eadémque [m] valido patre nata, Tritogeneia, cæsios habens oculos, [n] Alalcomeneia, [o] Panteuchia, [p] Ergana, & multis precibus expetita, integritas naturæ, Amalthéiæ stirps, Ægis, Osiris, somnus, vox, sonus, & de Musarum numero Clio. Si libet, etiam Iudicium, & Adrasteia, & eiusmodi ineptiæ multæ. Sic planè ille adorandus Septenarius, ingenti longóque labore, vt magnus, multiplexque Deus ab ipsis laudibus celebratur.

Octonarius deinde, etsi nequaquam tantam laudem (ne octaua quidem ex parte) obtinuit: quando tamen pro Deo etiam hic ipsis est, è sede sua nō excidit. Adorant enim ipsum quasi summā Harmoniam, & [q] Cadmeiam matrem, ac Rheam [r] mulierificam, Cybelen, Cybeben Dindymen, vrbísque custodem, velut amorem item, atque amicitiam, prudentiam, intelligentiam, [s] Oreiam, [t] Themin, legem, [u] natum ante exactos menses, & Musarum Euterpen.

Nouenarius item posthabetur, & in Deitate, & in longa descriptione, qua Septenarius in altum nimium quantum euectus fuerat: at proximum saltem in diuinitate gradum cum Octonario obtinet. Circumfunditur enim ab ipsis tanquam Oceanus, atque vt visum finiens circulus [Horizonta Græci vocant] celebratur. Promethea quoque ipsum faciunt, & Concordiam. Perseiam, & Solem indigitant. Quietem quoque à rixis, & similitudinem, Vulcanum, Iunonem, Iouis sororem & coniugem, [x] eminus operantem, Pæana, Nysseida, [y] Agyiea, [z] Enyalium, Ageliam, Tritogeneian, Concordiam, Suadam, Curetidem, Proserpinam, & Hyperionem, Musarum denique Terpsichoren.

Denarius denique ipsis est vniuersum, Deus summus, & Deorum Deus, quod manuum pedúmque decem sint digiti, decemque [vt Logici vocant] prædicamenta, & orationis partes decem. Omnia enim ipsis Decas vt sit, allocutionem ceteris orationis partibus apponunt & supplementum. Quid attinet dicere, complecti illos hic solida, plana, paria, imparia, pariter imparia, perfecta, prima, simplicia, æqualia, inæqualia, decem ipsas habitudines, sphærica, circularia, ad genituras atque imitationes spectantia, & his conuenientia. Vt itidem ipsis decas sit mundus, cœlum, fatum, æuum, potentia, fides, necessitas,

a Eustath. Oceanus, & Saturni pater. Consulem & Varinì Lexicon.
b ἑκατηβελέτιν Diana epithet.
c Bitēpoream Latina forma dicas.
d Hecatei à patre Perse epith. apud Valer. Flacc. lib. 6. ex Apol. lib. 3. & Orpheo.
e Quasi vicina Iustitia, & quæ ad manum sit.
f Septenio Latina formatione. De septenario alia multa quoque Philo scripsit lib. de creatione mundi, in quibus aliqua his non absimilia M. Varron. Hebdomadum libri interciderunt, quales nuper Fabius Paulinus Venetiis dedit.
g ἑπτὰ enim vulgo decimant.
h τοῦ ξ intelligit.
i vt supra Quinarius.
k Lege Eustat. in Hom. & Gyrald. syntag. XI. vbi & ἀγελείης Ἀθηνᾶ.
l Φυλακῖτις. Ouid. in secundo 3. Fast.
m ὀβριμοπάτρα patrem numinis docet Eustat.
n Gyrald. sup.
o Quod omni armorum genere instructa esset.
p Multis à Pausan. celebrata.
q Semelen, puto, vult.
r θηλυποιὸν, ob emasculatos Gallos.
s ὀρείαν ἀντὶ... Suid.
t De qua capite Steph. [illegible] singulari.
u ἠλιτόμηνον, Bacchum accipio.
x ἑκάεργον, id est, Apollinē.
y Apollinis epitheton apud Macrob. libr. 1. Saturnal.
z Vide Pausan. & Gyrald. syntag. 7.
z Vide H. St. Thesaur. lingua Græc.

NICOMAC. GERASEN.

Atlas, [a] indefessus Deus, Phanes, Sol, Vrania, Memoria, Mnemosyne. Et verò omnia, opinor, prædicta Deorum nomina decadi attribuissent: nisi his ipsis antea occupatis, propria iam illa aliis fecissent, & continenter eadem de singulis dicere piguisset. Quando enim [b] superdeus ipsis denarius est, qui etiam omnem eius diuinitatis vim, quæ in numeris inuenitur, obtineat: propterea quoque fusus adeò Nicomachus in hoc describendo esse voluit. quamquam multo adhuc longior sit in Monade atque Septenario. Verùm id ita in Monade accidit, quod de reliquis item numeris non modica ibi disputat, & præfationibus insuper extenditur. Vbi & hoc obseruo, libentius eum sermoni de decade, dum de vtroque illo numero disputat, inhærere: quod idem in Quinario facit, de quo æquè penè multis atque de Septenario disserit.

a ἀκάμας θεός. Quo modo ἀκάμαντα ἠέλιον vna semel dixit Homerus.
b ὑπέρθεος. quemadmodum ἐπέρ[?] legendum censet Seruius illud Verg. semperdeus, ἀεὶ θεός [?].

En tibi, charissime frater, per summa capita recensitam Nicomachi illam celebrem, repertuque difficilem in numeris Theologiam. quæ tamen herclè ob inaccessa penè sua, præceptúque difficilia sensa, nequaquam perspicax vestrum ingenium atque diligentiam extra humanam propemodum conditionem remouere potuit: quandoquidè iam Geometrica, Arithmetica, ceteráſque mathematicas disciplinas (vt & tu scis) plerique nobis non ignoti nihilo negligentius, opinor, tractant, quam Hermeiæ [quondam] filius: (neque enim ignoras Ammonij in his artibus dexteritatem) planè vt nullum ipsos latere possit eorū theorematum, quæ numerorum huic studio Nicomachus innexuit. Verùm vnde hæc defecerunt? Tempus, opinor, & quod ne vtilibus quidem parcatur, dum inutilia quæque facillimè labefactantur, validam inuexit consuetudinem inuictámque vim, per quam etiam id commodi acceperit illud Nicomachi studium, quod penè cum multis vtilibus censeretur periisse. quamquam hodiéque adtonsum atque accisum vt est, non exiguam (quemadmodum & modò vides, & post etiam, scio, clarius videbis) gloriam parit.

Ἄτλας, ἀκάμας, θεός, φάνης, ἥλιος, οὐρανία, μνήμη, μνημοσύνη, καὶ πάντα ἄν οἶμαι τὰ προειρημένα τῶν θεῶν αὐτῶν ὀνόματα τῇ δεκάδι αἰτήσαντο ἄν, εἰ μὴ * προεβαίνες [ἐκεῖνοι ταῦτα] ἰδιοποιήσαντο, καὶ συνεχῶς τὰ αὐτὰ καθ' πάντων λέγειν ἐπαπόκνησαν. ἐπεὶ ὑπέρθεός γε αὐτοῖς ἡ δεκὰς, καὶ τὸ κράτος τῆς ἐν ἀριθμοῖς ἔχουσα θεότητος. διὰ τοῦτο Νικομάχῳ καὶ πολύστιχος ὁ περὶ αὐτὴν πόνος. εἰ γὰρ καὶ πολλῷ μακροστιχώτερος, ὅ τε τῆς μονάδος καὶ ἑβδομάδος· ἀλλ' ὁ μὲν τῆς μονάδος, ὅτι καὶ περὶ τῶν ἑξῆς ἀριθμῶν οὐκ ὀλίγα διεξέρχεται, καὶ προοιμίοις πλατύνεται. πλὴν ἔτι ἐν ἀμφοῖν πολλὰ, καὶ περὶ τῆς δεκάδος ἐμφιλοχωρεῖ· ὥσπερ καὶ ἐν τῷ περὶ τῆς πεντάδος λόγῳ μικροῦ πρὸς τὸν τῆς ἑβδομάδος παρισουμένῳ κατὰ τὸ μῆκος. ἀλλὰ γὰρ αὕτη * σοὶ, ὦ φίλτατε ἀδελφῶν, καὶ τῶν Νικομάχου ἀριθμῶν ὡς ἐν κεφαλαίῳ ἡ πολυθρύλλητος καὶ δυσεύρετος θεολογία, ἣ μόνην ὑμῶν ἀγχίνοιαν καὶ φιλοπονίαν, διὰ τὸ ἐν αὐτῇ δυσέμβατόν τε καὶ δυσκατάληπτον, μικροῦ τῶν ἀνθρώπων ἀνακεχωρηκυῖα. ἐπεὶ νῦν τά τε γεωμετρικὰ καὶ ἀριθμητικὰ, καὶ τἄλλα τῶν μαθημάτων, ὡς καὶ [σὺ] συνεπίστασαι, πολλοὶ τῶν ἡμᾶς ἐγνωκότων οὐκ ἔλαττον οἶμαι τοῦ παιδὸς Ἑρμείου (οἶδας γὰρ πάντως τὴν περὶ ταῦτα δεξιότητα τοῦ Ἀμμωνίου) διαχειρίζουσι, καὶ οὐδὲν αὐτοὺς λάθοι ἂν τῶν θεωρημάτων, ἃ συνεπισυκλεῖ Νικόμαχος τῷ περὶ ἀριθμῶν πόνῳ. ἀλλὰ πόθεν ἐσπάνισεν; ὁ χρόνος, οἶμαι, καὶ τὸ μὴ φείδεσθαι τῶν χρησίμων, ἐκ τοῦ ῥᾷστα τὰ ἄχρηστα φθείρειν, ἔθος ἔλαβε μέγα καὶ ἄμαχον κράτος, καὶ ἐκέρδανεν ἂν καὶ ἡ Νικομάχου σπουδὴ, τὸ μετὰ πολλῶν χρησίμων μικροῦ νομίζεσθαι διεφθάρθαι. ἀλλ' ἔστι καὶ περιτέτμηται οὐκ ὀλίγην δόξαν, ὡς ὁρᾷς, καὶ οἶδα ὄψει σαφέστερον ἀποκειραμένη.

* al. προλαβόντες

* al. σύ.

CLXXXIX. ALEXANDRI *Admirabilium Collectio*, & PROTAGORÆ *Geometria vniuersi orbis libri VI*.

ΑΛΕΞΑΝΔΡΟΥ ΘΑΥΜΑΣΙΩΝ συναγωγή. καὶ Πρωταγόρου γεωμετρίας τῆς οἰκουμένης λόγοι ἕξ.

LECTA est *Admirabilium* [a] ALEXANDRI *Collectio*. Qui multa quidem prodigiosa hoc volumine atque incredibilia commemorat, sed alios non incelebres laudat auctores, qui eadem prius narrarint. Scribit autem de animalibus, de plantis, de regionibus nonnullis, de fluminibus, de fontibus & herbis. atque id genus aliis. Clara eius est dictio, summatimque cū narret, non omnino iucunditatis expers est.

a Polyhistoris illius Milesij, de quo Suid. & Athenæus.

In hoc eodem volumine PROTAGORÆ quoque *Geometria*, quæ *vniuersi orbis* titulum præ se ferebat, *libri sex* continebantur. Horum quinque, etsi non studiosam, neque (vt postea fecit) accuratam, Asiæ tamen, & Africæ, quin & Europæ situs descriptionem complectuntur. Sextus verò liber Alexandri quodammodo Collectioni respondet. Describit enim, quæ in mundo vniuerso paradoxa referuntur: quorum pleraque veteribus accepta refert scriptoribus: plurima etiam à se visa narrat, non minus omnium opinioni, quàm superiora illa aduersantia. Perspicua & huius dictio est, ac breuis narratio, hoc sexto libro maximè.

ΑΝΕΓΝΩΣΘΗ Ἀλεξάνδρου θαυμασίων συναγωγή. λέγει μὲν ἐν τῷ βιβλίῳ πολλὰ τερατώδη καὶ ἄπιστα, πλὴν ἄλλους τῶν οὐκ ἀφανῶν εἰσάγει ταῦτα προϊστορήσαντας. λέγει δὲ περί τε ζώων, καὶ φυτῶν, καὶ χωρῶν τινῶν, καὶ ποταμῶν, καὶ κρηνῶν, καὶ βοτανῶν, καὶ τῶν τοιούτων. σαφὴς δὲ τὴν φράσιν καὶ κεφαλαιώδης ἐστὶ, καὶ οὐδὲ τοῦ ἡδέος ἀπεστερημένος. ἐν ταυτῷ γε [δὲ] καὶ Πρωταγόρου γεωμετρίας, τῆς οἰκουμένης ἐπιγραφὴν ἔχοντο λόγοι ἕξ. ὧν τὰ μὲν πέντε εἰ καὶ μὴ σπουδαίως, καὶ ὡς ὕστερον ἀκριβῶς: ἀλλ' οὖν τὴν τῆς Ἀσίας τε καὶ Λιβύης, ἀλλὰ καὶ Εὐρώπης περιήγησιν ποιεῖται. τὸ δὲ ἕκτον, σύστοιχόν πως ἐστι τῇ Ἀλεξάνδρου συναγωγῇ· τῶν γὰρ κατὰ τὴν οἰκουμένην παραδοξολογουμένων ἀναγράφει τὴν ἱστορίαν. ὧν τὰ μὲν εἰς ἀρχαιοτέρους ἀναφέρει, πολλὰ δὲ καὶ εἰς αὐτοψίαν ἕλκει, οὐκ ἔλαττον τῶν ἄλλων προβαλλόμενα τὸ παράδοξον. σαφὴς δὲ καὶ οὗτος καὶ κεφαλαιώδης, κατὰ τὸ ἕκτον, τὴν φράσιν μάλιστα.

ρπθ΄. Alexandri admirabilium coll. &c.

ΣΩΤΙΩΝΟΣ ΤΩΝ ΣΠΟΡΑΔΗΝ
περὶ ποταμῶν καὶ κρηνῶν καὶ λιμνῶν παραδοξολογουμένων.

ΝΙΚΟΛΑΟΥ ΠΑΡΑΔΟΞΩΝ
ἐθῶν συναγωγή.

ΑΚΕΣΤΟΡΙΔΟΥ ΤΩΝ ΚΑΤΑ
πόλιν μυθικῶν λόγοι δ'.

ρπθ'. *Sotion de fluminibus, &c.*

ΑΝΕΓΝΩΣΘΗ Σωτίωνος τῶν σποράδην περὶ ποταμῶν καὶ κρηνῶν καὶ λιμνῶν παραδοξολογουμένων. σύστοιχον καὶ τοῦτο τὸ βιβλιδάριον τῷ ἕκτῳ τε τῶν Πρωταγόρου, καὶ τῇ Ἀλεξάνδρου συναγωγῇ. πλὴν ὅτι ἐνταῦθα τὰ περὶ κρηνῶν * μόνων καὶ λιμνῶν παραδοξολογούμενα ἱστορεῖται· ἐν ἐκείνοις δὲ, καὶ πλειόνων ἄλλων. ἡ δὲ φράσις παραπλήσιος ἐκείνοις. ἐν ταὐτῷ δὲ συνανεγνώσθη καὶ Νικολάου λόγος Ἡρώδῃ τῷ Ἰουδαίων βασιλεῖ προσπεφωνημένος, ἐν ᾧ παραδόξων ἐθῶν ἐστι συναγωγή. καὶ συμβαίνει μὲν ἐνίοις τῶν ὑπὸ Ἀλεξάνδρου παραδόξων συνειλεγμένων, καὶ περὶ ὧν δὲ Κόνων συνέταξεν, οὐκ ὀλίγα * προσανέγραψε. πλὴν ἔν τισι παραλλάσσει ταῖς ἱστορίαις, ἑτεροτρόπως αὐτὰ διεξιών. τὴν δὲ φράσιν μὲν καὶ αὐτὸς κεφαλαιώδης, οὐ μὴν οὐδὲ τοῦ σαφοῦς ἀνακεχωρηκώς, μετέχων δέ πως καὶ τῶν προειρημένων μᾶλλον συστροφῆς τε καὶ δεινότητος. λέγει δὲ ἔνια μὲν πολλοῖς, εἰ καὶ ξενίζοντα εἴη, ὅμως ὁμολογούμενα· τινὰ δ' ἀγνοούμενα μὲν, οὐ μὴν ἐκ τοῦ ἐμφανοῦς πρὸς μάχην τῷ πιθανῷ καθιστάμενα. ἔθη γὰρ ἐθνῶν ἰδιάζοντα, τὰ πολλὰ παραγγέλλει, εὑρεῖν δέ ἐστιν ἐν αὐτοῖς καὶ τὸ ἀπίθανον προϊσχόμενα. ὁ ἐκ Δαμασκοῦ δ' ἐστὶν οὗτος οἶμαι Νικόλαος, ὁ ἐπὶ τῶν Αὐγούστου χρόνων ἀκμάσας, καὶ φίλος αὐτοῦ χρηματίσας· ἐξ οὗ καὶ πλακούντων τι εἶδος, ἃ διέπεμπε Καίσαρι εἰς τιμὴν τοῦ ἐκπεμψαμένου, νικολάους ὁ Καῖσαρ ἐκάλεσεν. οὗτος καὶ Ἀσσυριακὴν ἱστορίαν ἐν πολυστίχῳ βιβλίῳ, ὅσα παλαιᾶς μνήμης ἀναγνωσμάτων ἔχομεν, καταλέλοιπεν. ἐν ταὐτῷ δὲ τεύχει συνανεγνώσθη ἐν λόγοις τέσσαρσιν Ἀκεστορίδου τῶν κατὰ πόλιν * μυθικῶν. ἔοικε μὲν οὖν οὗτος ὁ ἀνὴρ οὐκ ὀλίγον εὐστοχώτερος τῇ ἐπιγραφῇ κεχρῆσθαι. ἃ γὰρ ἕτεροι, ἢ οἵ γε μετριώτεροι, μηδὲν ἐπισημηνάμενοι, ἢ ἔνιοι καὶ ὡς ἀληθῆ * δικαιολογήσαντες ἀνεγράψαντο· ταῦθ' οὗτος σὺν τῷ φιλαλήθει μύθους καλέσας, τὴν περὶ αὐτῶν ἱστορίαν ἢ μυθολογίαν, ὡς καὶ αὐτὸς χαίρει λέγων, συνετάξατο. πολλὰ μὲν οὖν ἐστιν ἐν τούτοις εὑρεῖν, ἅ τε συνείλεκται Κόνωνι, καὶ Ἀπολλόδωρος ἐν τῇ αὐτοῦ εἴτε βιβλιοθήκῃ, καὶ Ἀλέξανδρος ἤθροισε, καὶ Νικόλαος προσεφώνησε, καὶ Πρωταγόρας προέλαβε. ἔστι δ' Ἀκεστορίδῃ τούτων καὶ πολλὰ μὲν τῶν ἐκείνοις εἰρημένων ἀναγεγραμμένα· πλὴν καὶ ἐν πολλοῖς, περὶ ὧν οὗτοι τε κἀκεῖνοι διεξέρχονται, ἀσύμβατόν ἐστιν αὐτῶν διάστασθαι τὴν ἀφήγησιν. πολλὰ μὲν οὖν ὁ ἀνὴρ, καὶ ἱστορίαις ἐπιδόξοις μεμαρτυρημένα, ἐν τοῖς αὐτοῦ λόγοις ἀναγράφει. ἔστι δ' ἃ καὶ ταῖς ἐναργείαις τὸ πλεῖστον ἐνδείκνυσθαι δεδυνημένα. καὶ ἔοικε μᾶλλον τὸ μυθικὸν, οὐκ ἐπὶ διαβολῇ τῶν συντεταγμένων αὐτῷ ἐπειρῆσθαι· ἀλλὰ τὸ χαρίεν καὶ ψυχαγωγὸν αὐτῶν ἐνδεικνυμένῳ.

* μόνων

* al. προσανέγραψε.

Nicolaus Damascenus, philoſophus peripateticus.

Aceſtorides. * al. μυθικῶν.

* δικαιολογήσαντες.

Conon. Apollodori Bibliotheca. Protagoras.

SOTION. CLXXXIX.

SOTION *De fluminibus, fontibus, & lacubus.*
NICOLAI DAMASCENI *Morum incredibilium Collectanea.*
ACESTORIDÆ *Mythologiæ politicæ libri IV.*

LEGI quæ [a] SOTION ſparſim inopinata de fluuiis, fontibus, ac lacubus referri ſcripſit. Reſpondet & hic libellus, conuenitque cum Protagoræ ſexto, & Alexandri collectaneis, niſi quod hic de fontibus tantum & lacubus incredibilia commemoret, cum illi eiuſmodi de aliis etiam plurimis ſcribant. Sermo autem non longè ab illorum dictione receſſit.

In hoc item volumine lectus eſt NICOLAI liber, [b] Herodi Iudæorum regi inſcriptus, quo *Incredibilium morum Collectio* continebatur. Incidit autem interdum in eadem inopinata, quæ ab Alexandro collecta fuerunt, adſcriptis etiam non paucis ex [c] Cononis narrationibus. Attamen in quibuſdam hiſtoriis, aliter inſtituta narratione, diſſentit. Huius quoque oratio ſummis quaſi capitibus abſoluitur, nec à perſpicuitate vnquam diſcedit: adhibita interim frequentiore, quàm prædicti, inuerſione ac grauitate. Refert item nonnulla, quæ licet ſua nouitate turbent, multis tamen in confeſſo ſunt: & rurſum incognita multa, ſed quæ manifeſto tamen cum veritate non pugnent. Gentium enim mores vniciuſque proprios, vt plurimum commemorat. Quamquam & in his reperias, quæ mox nullam mereri fidem indicent. Damaſcenus autem hic, vti ego exiſtimo, Nicolaus ille eſt, qui Auguſti temporibus floruit, eóque eſt vſus [d] familiari. [e] A quo & placentarum genus *Nicolaos* Cæſar nominabat, quas idçò ad hunc ille honoris gratia mittere ſolebat, quòd parem ſibi familiaritate reddidiſſet. Hic idem ingenti volumine [f] Aſſyriam hiſtoriam, quantum potuit ex antiqua memoria legendo aſſequi, reliquit.

hunc [inquam] versum per parodiam Pythius, mutato Menelai nomine in Menedemi, vsurpauit. Posita autem fuit quæstio in cœna Augusti Imperator. qualem versum oraculum per parodiam enuntiasset, & quis oraculo referretur. Menedemum Eleensem Buneæ filium ferunt Herculi ostendisse expurgandi stabuli Augæi rationem, atque adeò flumen auertisse. Eundem vna cum Hercule bello Augæam oppugnasse, interfectum humo esse conditum in Lepreo, propter piceam arborem. Instituto autem eius caussa certamine, Herculem ibi cum Theseo certasse, cúmque viribus pares essent, iactatum à spectatoribus de Theseo: [f] *Alter hic Hercules.* Phantasiam aiunt quandam Memphitida, Nicarchi filiam ante [g] Homerum Iliacum bellum & narrationem de Vlysse composuisse, depositúmque opus Memphide. Homerum ergo, profectum eo, à Phanite sacro scriba commodato illud accepisse, eiúsque esse ordinem insecutum. Adonis [narrant] Androgynus cum esset, vt vir cum Venere, vt mulier cum Apolline congressus est.

Alpheo item flumini remuneraturus in Olympicis victor Hercules, Alpha ab eo litteram nominauit, primámque omnium collocauit. [h] Nugatur etiam fabularum hic scriptor, dum ait, [i] Moysem Hebræorum legislatorem *Alpha* idcirco fuisse appellatum, quòd ἀλφῷ [hoc est vitiligine] corpus infectum haberet. Galerius Crassus, imperante Tiberio Cæsare tribunus militum, *Beta* est appellatus, quod illa libentius herba vteretur, quæ à Romanis Beta nominatur. Orpyllis vero, Cyzicenum scortum *Gamma* dicebatur. Antenor, is qui Cretensium historiam conscripsit, *Delta* cognominatus est, quòd bonus esset, & ciuitatis amans. Cretensibus enim *bonum* δέλτον significare affirmant. Sic Apollonius, Philopatoris temporibus Astronomia clarus, Ἐψιλὸν dictus est à figura litteræ E,

Margin notes (left): * al. Τιτωνύχου & Τιτρωνύχου. — Pompeius M. — Cicero trucidatur. — * al. ἥρωι. — * al. λελάθεσθο. — * al. προετάθη. — * al. υἱόν. — * al. λεύκῃ. — ALTER HERCVLES — * al. ἀνδρεῖα. — * al. θηλυκά. — Moses.

Margin notes (right): PTOLEM. Hephæstion. — a τὰς κολυμβώσας: quarum etiam Suidas meminit voce Alcman. — b Eius vitam collegit Lil. Gyraldus Dial. 6. vt & Cratini. — c Ὑβριστοδίκαι, οἱ μισθωτοὶ τὰς δίκας ἐωνημένοι, apud Pollu. & Hesych. vide Stegen. de Magist. Athen. — d Εὐνεῖδαι, γένος τι Ἀθήνησι κιθαριστῶν. Vide Hesych. ac Suid. & citatur ab Athen. — e Iliad. δ. v. 127. — f Vide prouerb. & Plut. Tom. Seum init. — g Supr. in excerpt. ex lib. 4 similem narrat. retulit. — h Vt cæteri quoque gentiũ historici. — i Lege quæ ad Philon. ubi rẽ perinopia... habetur dolatã e flare.

PTOLEM. Hephaestion.

quæ circumagitur cum Luna, in quam ille multum studij contulerat. Satyrus item Aristarchi familiaris Ζῆτα est nuncupatus, ab inuestigandi rerum caussas studio. Narrant & Æsopum ab Idmone hero suo Θῆτα appellatum, quod seruili esset indole ac versipellis. Nam Θῆτες seruos significat. Cupseli adhæc mater, quod pedibus valga esset, Λάμβδα vocata Apollini Pythio. Pythagoram insuper eum, qui numeros omnes descripsit, refert Democydes à tertia cognominatum esse littera. Et hæc quidem quintus continet liber.

Sextus postea liber capita hæc complectitur. Occisum à Penthesilea Achillem, Thetidis matris precibus in vitam reuocatum, & Penthesilea interempta, rursum ad Orcum rediisse. Lycophronem in Alexandra poëmate dicentem:

Ποία δ' ἀηδὼν στεῖρα κενταυροκτόνος.
Qualis Lucinia sterilis Centauricida.

[a] Sirenas ibi *centauricidas* significasse. Helenum Priami filium, dilectum ab Apolline, munerique accepisse arcum eburneum, quo Achillem secundùm manum feriret, Priamum cum Andromacha, suisque liberis supplicem accessisse ad Achillem pro Hectoris ossibus. [b] Thetin sex numero liberos è Peleo susceptos latenti igne sustulisse, tandémque Achillem esse aggressam. Peleum ergo re cognita, vi hunc eripuisse, talo tantùm dexteri pedis adusto, & apud Chironem collocasse, qui effosso Damysi gigantis corpore, in Palene sito (hic gigantum omnium velocissimus fuerat) sublatóque eius talo, Achillis aptauit pedi, & medicamentis firmauit. Hunc postea talum excidisse refert, insequente ipsum Apolline, & collapsum sic esse interemptum. Ferunt autem & ab Homero [c] *ποδάρκη* appellari, quod Arces alas infanti nato Thetis addiderit: vt sit *ποδάρκης*, quasi in pedibus Arces alas tenens. Arce hæc, aiunt, Thaumantis erat filia, & Iridis soror, quæ vtræque alas habuerunt. Bello verò Deorum cum Titanibus, desciscens à Diis Arce ad Titanas transfugit: quare profligato iam bello, partáque victoria, Iuppiter ei in Tartarum detrusæ alas ademit. Ad Pelei deinde & Thetidis nuptias accedens, muneri alas istas Thetidi obtulit, sicut Peleo in nuptiis donasse aiunt Vulcanum ensem: Venerem scyphum aureum, qui insculptum habebat Cupidinem: Neptunum equos duos, Xanthum & Balium, Iunonem pallium, Mineruam tibias, Nerea denique *Salem*, quem vocant *diuinum* in arcula, qui sal incredibilem habeat virtutem ad iuuandam edacitatem, edendique appetitum, & ciborum concoctionem. Atque hunc locum illum clarum euadere:

[d] Πάσσε δ' ἁλὸς θείοιο.
Sale aspersit sacro.

Agit tum de Achille terra genito, & quot post Iliaca tempora fama clari Achilles fuerint. Hic terræ filius Iunonem, Iouis congressum fugientem, antro suo recepit, persuasitque ad Iouem redire: & hæc prima fuit, vt fertur, Iouis & Iunonis coitio. Quamobrem Iuppiter quoque Achilli pollicitus est, facturum se, vt quotquot

[a] Item indicatum superiore pag.

[b] Vide quæ hic referuntur aliter pleraque narrata apud Apollod. lib. 3. Bibliothec.

[c] ἐν ἑξαμέτροις ποσί, καὶ ἐν τῷ δίω ἀπτέρυγον, notante Eustath.

[d] Iliad. I. v. 214.

συμπεριφέρεται τῷ τῆς Σελήνης, περὶ ἣν ἐκεῖνος μάλιστα ἠκρίβωτο. Σάτυρος δ', ὁ Ἀριστάρχου γνώριμος, Ζ ἐκαλεῖτο, διὰ τὸ ζητητικὸν αὐτοῦ. καὶ Αἴσωπον δέ φασιν, ὡς ὑπὸ Ἴδμονος τοῦ δεσπότου Θῆτα ἐκαλεῖτο, διὰ τὸ δουλικός [τις] εἶναι καὶ παλίντροπος· θῆτες γὰρ οἱ δοῦλοι. ἡ * Κυψέλου δὲ μήτηρ, χωλὴ οὖσα, Λάμβδα ἐκλήθη ὑπὸ τοῦ πυθίου. Δημοκύδης δὲ Πυθαγόραν, φησί, καταγράψαντα πάντας τοὺς ἀριθμούς, τῷ τρίτῳ στοιχείῳ κληθῆναι. τοσαῦτα καὶ τὸ πέμπτον βιβλίον.

Τὸ δὲ ἕκτον βιβλίον κεφάλαια περιέχει τάδε, ὡς Ἀχιλλεὺς ὑπὸ Πενθεσιλείας ἀναιρεθεὶς, δεηθείσης αὐτοῦ τῆς μητρὸς Θέτιδος, ἀνεβίω· καὶ ἀνελὼν Πενθεσίλειαν, εἰς ᾅδου πάλιν ὑπέστρεψε. ὡς ἐν τῇ Ἀλεξάνδρᾳ Λυκόφρων * εἶπε ποία δ' ἀηδὼν στεῖρα κενταυροκτόνος, τὰς σειρῆνας κενταυροκτόνους εἰπεῖν. ὡς Ἕλενος ὁ Πριάμου, ἐρώμενος Ἀπόλλωνος γένοιτο. καὶ ἔλαβε παρ' αὐτοῦ δῶρον, τόξον ἐλεφάντινον, ᾧ Ἀχιλλέα τοξεύσαι κατὰ τῆς χειρός. ὅτι μετ' Ἀνδρομάχης καὶ τῶν υἱῶν αὐτοῦ Πρίαμος ὑπὲρ τῶν Ἕκτορος ὀστῶν ἱκέτης ἀφίκετο πρὸς Ἀχιλλέα. ὡς Θέτις τοὺς ἐκ Πηλέως αὐτῇ γενομένους παῖδας πυρὶ λαθραίῳ κατηνάλου, ἓξ γεγονότας. ὡς δὲ καὶ Ἀχιλλέα ἐπεχείρησε· γνοὺς Πηλεὺς, ἐξείλετο τὸν ἀστράγαλον μόνον τοῦ δεξιοῦ ποδὸς κεκαυμένον, καὶ Χείρωνι παρέθηκεν. ὁ δὲ ἀνορύξας τὸ Δαμύσου τοῦ γίγαντος σῶμα, ἐν Παλλήνῃ κείμενον (ταχύτατος δ' ἦν ὁ Δάμυσος πάντων γιγάντων) καὶ ἀνελόμενος αὐτοῦ τὸν ἀστράγαλον, ἐναρμόζει τῷ Ἀχιλλέως ποδὶ, καὶ φαρμάκοις αὐτὸν συνεματοποιεῖ. τοῦτον δὲ τὸν ἀστράγαλον ἀποπεσεῖν, διωκομένου αὐτοῦ ὑπὸ Ἀπόλλωνος, καὶ οὕτως αὐτὸν ἀναιρεθῆναι, καταπεσόντα. φασὶ δὲ ποδάρκη αὐτὸν ὑπὸ τοῦ ποιητοῦ λέγεσθαι, ὅτι φασὶ τῆς Ἄρκης τὰ πτερὰ τὴν Θέτιν περιθεῖναι τῷ παιδὶ γεννηθέντι. καὶ εἶναι τὸ ποδάρκης * ἀντὶ τοῦ ὁ ἐν τοῖς ποσὶ τὰ τῆς Ἄρκης πτερὰ ἔχων. ἡ δὲ Ἄρκη, Θαύμαντος ἦν θυγάτηρ· ἧς ἡ ἀδελφὴ, Ἶρις· πτερὰ δ' εἶχον ἑκατέρα. ἐν δὲ τῷ πρὸς Τιτᾶνας τῶν θεῶν πολέμῳ, ἀποπτᾶσα τῶν θεῶν ἡ Ἄρκη πρὸς τοὺς Τιτᾶνας ἦλθε. μετὰ δὲ τὴν νίκην ὁ Ζεὺς τὰ μὲν πτερὰ αὐτῆς ἀφείλετο, αὐτὴν ταρταρώσας· παραγενόμενος δὲ καὶ ἐπὶ τοῖς Πηλέως καὶ Θέτιδος γάμοις, δῶρον τὰ πτερὰ τῇ Θέτιδι προσάγει. ὡς Πηλεῖ ἐπὶ τοῖς γάμοις φασὶ δωρήσασθαι Ἥφαιστον μὲν μάχαιραν· Ἀφροδίτην δὲ, φιάλην ἐγγεγλυμμένην ἔρωτα χρυσῆν. Ποσειδῶνα δὲ, ἵππους, Ξάνθον καὶ Βαλίον· Ἥραν δὲ χλαμύδα, καὶ Ἀθηνᾶν αὐλοὺς, Νηρέα δὲ τοὺς θείους ἅλας καλουμένους ἐν κοίτιδι. τούτοις δὲ δύναμιν ἔχειν ἀμήχανον πρὸς πολυφαγίαν καὶ ὄρεξιν καὶ πέψιν, ὅθεν ἡ λύσις αὐτοῖς καὶ τὸ πάσσε δ' ἁλὸς θείοιο. περὶ Ἀχιλλέως τοῦ γηγενοῦς· καὶ ὅσοι [ἀπὸ τῶν Ἰλιακῶν] ἐγένοντο Ἀχιλλεῖς περιώνυμοι. καὶ ὅτι ὁ γηγενὴς φεύγουσαν τὴν Ἥραν ἀπὸ τῆς τοῦ Διὸς μίξεως, ὑπεδέξατο ἐν τῷ αὐτοῦ ἄντρῳ· καὶ ἀνέπεισε συνελθεῖν τῷ Διΐ· καὶ πρώτην μίξιν Ἥρας, καὶ Διὸς ταύτην γενέσθαι φασίν. ὁ δὲ Ζεὺς ἐπηγγείλατο Ἀχιλλεῖ, πάντας τοὺς τῷ ὀνόματι

* al. Κυψέλου.
* l. ἀηδών.
* al. ἀντὶ τοῦ.
θείους ἅλας.

νόματι αὐτοῦ κληθησομένους, περιωνύμους ποιήσειν. διὰ τοῦτο καὶ Ἀχιλλεὺς περιώνυμος, ὁ τῆς Θέτιδος. καὶ ὁ Χείρωνος δὲ διδάσκαλος, Ἀχιλλεὺς ἐκαλεῖτο, ἀφ' οὗ καὶ ὁ Πηλέως ἐκλήθη ὑπὸ Χείρωνος. καὶ ὁ τὸν ὀστρακισμὸν ἐπινοήσας Ἀθήνησιν, Ἀχιλλεὺς ἐκαλεῖτο, υἱὸς Λύσωνος. καὶ Διὸς καὶ Λαμίας Ἀχιλλέα γενέσθαι φασὶ τὸ κάλλος ἀμήχανον· ὃν καὶ ἐρίσαντα περὶ κάλλους, νικῆσαι, τοῦ Πανὸς κρίναντος. καὶ διὰ τοῦτο Ἀφροδίτην* μισήσασαν, ἐμβαλεῖν Πανὶ τὸν Ἠχοῦς ἔρωτα· καὶ μὴν καὶ κατειργάσατο καὶ εἰς τὴν ἰδέαν αὐτὸν, ὅπως ἐκ τῆς μορφῆς αἰσχρὸς καὶ ἀνέραστος φαίνοιτο. καὶ Γαλάτου τινὸς υἱὸς, Ἀχιλλεὺς ἐκλήθη, ὃν ἐκ γενετῆς πολιὸν γενέσθαι φησί. καὶ ἕτεροι Ἀχιλλεῖς ἐπιφανεῖς γεγόνασι νδ'. ὧν οἱ δύο, κύνες ἦσαν, καὶ θαυμάσιοι τὰ κυνῶν ἔργα. ὅτι Πρίαμος, Διὸς ἐρώμενος γένοιτο, καὶ λάβοι παρ' αὐτοῦ τὴν χρυσῆν ἄμπελον, ἣν δῶρον Εὐρυπύλῳ τῷ Τηλέφου, ὑπὲρ συμμαχίας δίδωσιν. ὡς Αἴσωπος ἀναιρεθεὶς ὑπὸ Δελφῶν, ἀνεβίωσε. καὶ * συνεμάχει τοῖς Ἕλλησι, περὶ Θερμοπύλας. ὡς Φιλοκτήτην ἐν Λήμνῳ * Πήλιος ἰάσατο υἱὸς Ἡφαίστου, καὶ ἔμαθε παρ' αὐτοῦ τὴν τοξικήν. ὡς Σκαμάνδρου τοῦ ποταμοῦ υἱὸς Μῆλος γένοιτο καλὸς τὴν ὥραν, περὶ οὗ ἐρίσαι φασὶν Ἥραν τε καὶ Ἀθηνᾶν καὶ Ἀφροδίτην, τίνος γένοιτο ἱερεύς· Ἀλέξανδρον δὲ κρῖναι νικᾶν Ἀφροδίτην. ἐκ ταύτης γοῦν τῆς ἱστορίας ὁ περὶ τοῦ μήλου λόγος διεδόθη. Ὑπερμένης ἐν τῷ περὶ Χίου, Ὁμήρου φησὶ γενέσθαι θεράποντα Σκινδαψὸν ὀνόματι· καὶ τοῦτον ζημιωθῆναι ὑπὸ Χίων χιλίας δραχμὰς, διὰ τὸ μὴ καῦσαι τελευτήσαντα τὸν δεσπότην. ὁ δὲ τὸ ὄργανον εὑρὼν τὸ οὕτω καλούμενον σκινδαψὸν, Ἐρετριεὺς ἦν, Ποικίλης τῆς αὐλητρίδος υἱός. ταῦτα καὶ τὸ ἕκτον βιβλίον.

* al. κρίναντος
* al. συνεμάχει
* al. Πύλιος.

Ἐν δὲ τῷ ἑβδόμῳ περιέχεται, ὡς Θεόδωρος ὁ Σαμόθραξ τὸν Δία φησὶ γεννηθέντα, ἐπὶ ἑπτὰ ἡμέρας ἀκατάπαυστον γελάσαι, καὶ διὰ τοῦτο τέλειος ἐνομίσθη ὁ ἕβδομος ἀριθμός. ὡς Ἀχιλλεὺς διὰ μὲν τὸ ἐκ πυρὸς αὐτὸν σωθῆναι καιόμενον ὑπὸ τῆς μητρὸς, Πυρίσσοος ἐκαλεῖτο. διότι δὲ ἓν τῶν αὐτοῦ χειλέων κατακαυθείη, Ἀχιλλεὺς ὑπὸ τοῦ πατρὸς ὠνομάσθη. ὅτι Τηλέμαχον Ὀδυσσέως υἱὸν μαθοῦσαι εἶναι, ἀνεῖλον αἱ Σειρῆνες. ὡς Ὀδυσσεὺς ἐν Τυρρηνίᾳ ἠγωνίσατο αὐλητικὴν, καὶ ἐνίκησεν. ηὔλησε δὲ Δημοδόκου ποίημα, Ἰλίου ἅλωσιν. ὡς Στίχιος ὁ Αἰτωλὸς, ἐρώμενος ὢν Ἡρακλέους, εὑρέθη ἀνασχισθεὶς, τετριχωμένην ἔχων τὴν καρδίαν· ἀνῃρέθη δ' ὑπ' αὐτοῦ Ἡρακλέους, ὅτε μανεὶς καὶ τοὺς ἰδίους ἀνεῖλε παῖδας. καὶ ἐπὶ τούτῳ μόνῳ φασὶ θρηνῆσαι τὸν Ἡρακλέα. καὶ ὡς Ἑρμῆς Πολυδεύκους ἑνὸς τῶν * Διοσκουρειδῶν γεγονὼς ἐραστὴς, ἐδωρήσατο αὐτῷ δῶρα τὸν Θεσσαλὸν ἵππον. ὅτι Ἀπόλλωνος ἐπιτελοῦντος ἐπιτάφιον Πύθωνι, * παλαίσει Ἑρμῆς καὶ Ἀφροδίτη: καὶ κρατήσασα, ἆθλον ἔλαβε κιθάραν. ἣν καὶ ἐδωρήσατο Ἀλεξάνδρῳ· περὶ ἧς καὶ Ὅμηρος, οὐκ ἄν τοι χραίσμῃ κίθαρις. καὶ τὰ ἑξῆς.

* al. Διοσκουριδῶν.
* al. παλαῖσαι

eius nomen sortirentur, clari existerent. Propterea & Achilles ille Thetidis filius, illustris exstitit. Chironis quoque præceptor Achilles nominatus: vnde Pelei filius per Chironem sic appellatus. Adhæc, qui primus [a] ostracismum Athenis excogitauit, Achilles dictus, filius Lysonis. Ioui quoque & Lamiæ Achilles quidam natus, aiunt, præstantissima planè forma, vt etiam de pulchritudine contendens, Pane Deo iudice, vicerit. Ea ergo de causa Venerem indignatam, Pani Echus amorem immisisse: & certè sic deformasse, vt ipsa dumtaxat specie turpis & amabilis nemini videretur. Insuper & Galati cuiusdam filius Achilles vocatus, quem ab ipsa natiuitate canum fuisse refert. Fuere & alij fama illustres quinquaginta quatuor Achilles: quorum duo canum instar impudentes, nefandis quoque operibus admirandi. Priamus, inquit, Iouis amasius factus, auream ab eo accepit vitem, quam ille post Eurypylo Telephi F. quod bello auxilium portasset, muneri dedit. Æsopus quoque Delphis interfectus vitam recepit, & ad Thermopylas vnà cum Græcis militauit. Philoctetem in Lemno insula Pylius Vulcani F. medendo sanauit, iaculandi artem vicissim ab eo edoctus. Scamandro flumini natum aiunt filium Melum, insigni corporis forma, ciúsque causa contendisse aiunt Iunonem, Palladem, & Venerem, cuius potissimum sacerdos esset: Paridem ergo iudicando secundùm venerem sententiam dixisse, atque [b] ex ea historia fabulam esse de malo ortam. Hypermenes adhæc in sua de Chio narratione, Homeri famulum fuisse refert *Stindapsum* nomine, hunc3 mille dragmis à Chiis multatum, quòd herum mortuum non exussisset. At qui *σκινδαψὸν* ab eo nominatum [c] instrumentum lyricum reperit, Eretrius fuit, & Pœciles tibicinæ filius. Hæc fere libri sexti summa est.

PTOLEM. Hephæstion.

a Quem explicat Diod. Siculo lib. 11. & Suid. sequens Plut.

b Præter vulgatem sententiam Hygini Fab. XCII. & aliorum.

c I. Athen. describit lib. 4. & Eustath.

SEPTIMO denique libro de his agit: Theodorus Samothrax narrat Iouem natum [d] septem continuos dies risisse, indéque septenarium numerum pro perfecto æstimatum.

Achillem, quòd ex igne seruatus sit, cùm illum mater ureret; Pyrissoum [quasi *ab igne seruatum*] prius esse dictum. At quia labrum ipsius alterum adustum erat, propterea eum pater Achillem appellauit. Sirenes Telemachum, cùm eum Vlyssis filium esse didicissent, interfecerunt. Vlysses in Tyrrhenia tibia certauit, ac vicit. Cecinit autem [e] Demodoci poëma de Troiæ excidio. Inuentus est Stichius Ætolus, Herculis amasius, cùm secaretur, [f] hirsutum cor habere. Interfectus verò est ab ipso Hercule, dum furore correptus hic, suos quoque liberos occidit: addúntque propter solum hunc heroëm illum luxisse. Mercurius Pollucis, vnius gemellorum, amore captus, Thessalico eum equo muneris loco donauit. Cùm Apollo funebres ederet ludos Pythoni, certauit ibi Mercurius ac Venus, & victrix illa, præmij loco citharam accepit, quia post donauit Paridem. cuius & Homerus sic meminit.

d Vnum Zoroastrem eodem quo genitus est die, risisse pro valde insolito adfert Plin. lib. 7. cap. 16.

e Vide Suidam in ἀοιδός.

f Idem de Aristomene Messenio Plin. lib. 11. c. 37. & Valer. Max. lib. 1. c. vlt. aliquid de Hermogene Rhet. Leonida, Lysandro, cane Alexandri. Vide Rhodiginum lib. 4. cap. 16.

[g] Οὐκ ἄν τοι χραίσμῃ κίθαρις.

Non tibi profuerit cithara. & quæ [h] sequuntur.

g Iliad. Γ v. 54.
h ἀντὶ δῶρον Ἀφροδίτης.

PTOLEMÆ. Hephæstion.

Apud Bacchylidem quid sit, quod tanquam à Sileno dictum refert, & cui hoc carmen pronuntiatum. [a] Leucas petra, inquit, à Leuco Vlyssis socio nomen sumpsit, qui genere Zacynthius, interfectus est (vt refert [b] Homerus) ab Antipho. Hunc quoque dedicasse ferunt templum Apollini Leucatæ. Eos igitur, qui hoc saliant saxo amore liberari: atque hanc esse caussam. Post interfectum Adonidem, obambulasse narrant, atque eum inuestigasse Venerem, repertúmque Argi, Cypri ciuitate, in Apollinis Erithij fano, corpus secum auexisse, sermone etiam cum Apolline de Adonidis amore collato. Hunc ergo eam in Leucada petram adduxisse, & præcipitem inde dare sese iussisse: & vero saxo salientem, amoris æstu liberatam. Interrogante porrò Dea caussam, respondisse ferunt Apollinem, quod vates cùm esset, sciuerit Iouem quoque semper Iunonis amore captum, ad saxum hoc accessisse, atque ei insidendo amoris impotentiam sedasse, compluresque alios vtriusque sexus mortales amore ardentes, eodem liberatos, ex hoc saxo desilientes. Sic Artemisiam illam Lygdamidis filiam, quæ Persæ militauit, amore captam Dardani Abydeni, dormientis oculos, cùm is eam contempsisset, eruisse: Amore verò illius Deorum ita crescente, ex oraculo ad Leucadem profectam seipsam præcipitasse, & interfectam ibidem esse sepultam. Hippomedonta quoque Epidamnium, adolescentis cuiusdam oræ illius amore possessum: cúmque repulsam pateretur, quod alteri ille se applicaret, eundem occidisse. Verum ad Leucadem profectum, sese ex alto præcipitantem periisse. Nicostratum item comicum Tettigidæam Myrrhinæam amantem, indéque se deiicientem, amore solutum ferunt. Macêta autem Buthrotium aiunt *Leucopetram* cognominatum esse, quod quater inde se demittens, amoris sit impotentia liberatus. Magnam quoque hominum copiam ita liberatam prædicant. Sic enim Bulagoram Phanagoritem, Diodorum Auleten perditè amantem, indéque se præcipitantem, in senecta periisse. Periisse quoque Rhodopen Amissenam, dum se inde præcipitat, geminorum duorum, qui Antiochi regis corporis custodes erant, amore captam, quibus nomina erant Cyri & Antiphontis. Charinus quoque Iamborum scriptor, Eunuchum quemdam Erota, Eupatoris pincernam, perditè amauit, fabulæque de petra illa fidem habens, præcipitauit & ille. At cùm ex lapsu crure fracto, doloris iam vi exspiraret, hos versus Iambicos effudit:

Fallax peri, peri mala, ô Leucas petra:
Charinon, heu, heu, me poëtam Iambicum
Spei adussisti inanibus qua fabulis.
In tantum Erota, ô! Eupator si diligat.

Nereus insuper Catanæus Palladis Atticæ amore possessus, saxo accedens se præcipitauit, & liberatus est molestia. Igitur illapsus in piscatoris rete subiectum, quo vnà cum auri plena cistula extractus est, piscatori etiam de auri capsula litem intendit. Verùm Apollo secundùm quietem visus, à litigando minis deterruit. Oportere enim ob solutum amorem gratum esse, non autem alienum aurum appetere.

a De qua Strabo lib. X. & Gyrald. Dial. IX. poet.

b Iliad. Δ. v. 491.

τί ἐστι τὸ παρὰ Βακχυλίδῃ ὡς ἀπὸ Σειληνοῦ εἰρημένον, καὶ πρὸς τίνα εἴπῃ τὸ ἔπος. ὡς ἡ Λευκὰς πέτρα ἀπὸ Λευκοῦ τοῦ Ὀδυσσέως ἑταίρου τὴν κλῆσιν ἔλαβεν, ὃς Ζακύνθιος μὲν γένος ἦν, ἀνῃρέθη δ' (ὥς φησιν ὁ ποιητὴς) ὑπ' Ἀντίφου. τοῦτον ἱδρύσασθαί φασι καὶ ἱερὸν Λευκάτου Ἀπόλλωνος. τοὺς μὲν οὖν καθαλλομένους ἀπὸ τῆς πέτρας, παύεσθαί φασι τοῦ ἔρωτος· καὶ ἡ αἰτία· μετὰ τὸν Ἀδώνιδός φησι θάνατον περιερχομένην, καὶ ζητοῦσαν ἡ Ἀφροδίτη, εὗρεν αὐτὸν ἐν Ἄργει πόλει τῆς Κύπρου, ἐν τῷ Ἐριθίου Ἀπόλλωνος ἱερῷ, καὶ ἀνεῖλεν αὐτὸν, ἀνακοινωσαμένη Ἀπόλλωνι καὶ τὸν περὶ Ἀδώνιδος ἔρωτα. ὁ δ' Ἀπόλλων ἀγαγὼν αὐτὴν ἐπὶ τὴν Λευκάδα πέτραν, προσέταξε ῥίψαι κατὰ τῆς πέτρας. ἡ δὲ ἑαυτὴν ῥίψασα, ἐπαύσατο τοῦ ἔρωτος. ζητούσης δὲ τὴν αἰτίαν: εἰπεῖν λέγεται τὸν Ἀπόλλωνα, ὡς μάντις ὢν ἐγνώκει, διότι ὁ Ζεὺς ἀεὶ ἐρῶν Ἥρας, ἐρχόμενος ἐπὶ τῇ πέτρᾳ ἐκαθίζετο, καὶ ἀνεπαύετο τοῦ ἔρωτος. καὶ πολλοὶ δὲ ἄλλοι καὶ πολλαὶ ἔρωτι κάμνουσαι ἀπηλλάγησαν τοῦ ἔρωτος, ἐπεὶ τῆς πέτρας καθήλαντο. Ὡς καὶ Ἀρτεμισία ἡ Λυγδάμιδος ἡ τῷ Πέρσῃ συστρατεύσασα, ἐρασθεῖσα Δαρδάνου Ἀβυδηνοῦ καὶ ὑπερορωμένη, ἐξέκοψεν τοὺς ὀφθαλμοὺς κοιμωμένου. τῆς δὲ ἐπιθυμίας κατὰ θεῶν μῆνιν ἐπιταθείσης, παρελθοῦσα κατὰ χρησμὸν εἰς Λευκάδα, ἔρριψεν ἑαυτὴν κατὰ τῆς πέτρας· καὶ ἀναιρεθεῖσα, ἐτάφη. καὶ Ἱππομέδοντά φασι τὸν Ἐπιδάμνιον, παιδὸς ἐγχωρίου ἐρασθέντα, καὶ μὴ τυγχάνοντα· ὅτι πρὸς ἕτερον ἔκλινεν, ἀνελεῖν· εἰς δὲ τὴν Λευκάδα παραγενόμενον, καὶ ῥίψαντα ἑαυτὸν ἀποθανεῖν. καὶ Νικόστρατον δὲ τὸν κωμικὸν Τεττιγιδαίας τῆς Μυρριναίας ἐρασθέντα, ῥίψαι ἑαυτὸν, καὶ ἀπαλλαγῆναι τοῦ ἔρωτος. Μάκητα δέ φασι τὸν Βουθρώτιον Λευκοπέτραν ἐπικληθῆναι, διότι τετράκις αὐτὸν καταβαλὼν, τῶν ἐρωτικῶν κακώσεων ἀπηλλάττετο. καὶ πλῆθος ἄλλο οὕτως ἀπαλλαγῆναι λέγεται. καὶ Βουλαγόραν δὲ τὸν * Φαναγορείτην, ἐρασθέντα Διοδώρου τοῦ αὐλητοῦ, καταβαλόντα αὑτὸν, ἀναιρεθῆναι γηραιὸν ἤδη ὄντα. ἀναιρεθῆναι καὶ * Ῥόπιν Ἀμισηνὴν, καταβαλοῦσαν ἑαυτὴν, διδύμων παίδων σωματοφυλάκων Ἀντιόχου τοῦ βασιλέως ἐρασθεῖσαν, οἷς ὀνόματα Ἀντιφῶν καὶ Κῦρος. Χαρῖνος δὲ ἰαμβογράφος ἠράσθη Ἔρωτος * ἡμιάρρενος τοῦ Εὐπάτορος οἰνοχόου: καὶ πιστεύσας τῷ περὶ τῆς πέτρας λόγῳ, κατέβαλεν ἑαυτόν. ἐπεὶ δὲ καταβαλὼν, τὸ σκέλος κατεάγη, καὶ ὑπὸ ὀδύνης ἐτελεύτα: ἀπέρριψε τάδε τὰ ἰαμβεῖα.

* al. Φαναγορίτην & Φαναγρίτην.
* al. Ῥοδῶπιν.
* al. εὐνούχου.

Ἔρροις ψεῦστα καὶ κακὴ πέτρη λευκάς,
Χαρῖνον, αἶ αἶ, τὴν ἰαμβικὴν Μοῦσαν,
κατηθάλωσας ἐλπίδος κεναῖς μύθοις,
τοιαῦτ' Ἔρωτος Εὐπάτωρ ἐρασθείη.

Νηρεὺς δὲ Καταναῖος ἠράσθη τῆς Ἀττικῆς Ἀθηναίας, καὶ ἐλθὼν κατέβαλεν ἑαυτὸν ἀπὸ τῆς πέτρας, καὶ ἀπελύθη τοῦ δυσχλοῦντος· πεσὼν δ' οὖν εἰς δίκτυον ἐνέπεσεν ἁλιέως, ἐν ᾧ ἀνειλκύσθη σὺν κιβωτῷ χρυσίου. ἐπεδικάζετο δὲ πρὸς τὸν ἁλιέα περὶ τοῦ χρυσίου. ἀλλ' ὁ Ἀπόλλων νυκτερινῇ ὄψει ἀπέστησεν αὐτὸν τοῦ ἐπιδικάζεσθαι, δεῖν εὐχαριστεῖν ὑπὲρ τῆς ἀπαλλαγῆς, ἀπειλησάμενος, ἀλλὰ καὶ μὴ ἀλλότριον περιεργάζεσθαι χρυσίον.

Πάτα

Πᾶνα δέ φησιν ἰχθὺν εἶναι θαλάσσιον κητώδη, ὅμοιον τῷ Πανὶ κατὰ τὴν ὄψιν· ἐν τούτῳ λίθον εὑρίσκεσθαι τὸν ἀστερίτην, ὃν εἰς ἥλιον τεθέντα, ἀνάπτεσθαι. ποιεῖν δὲ καὶ πρὸς φίλτρον. τοῦτον δὲ τὸν λίθον εἶχεν Ἑλένη, γλυφὴν ἔχοντα, αὐτὸν τὸν ἰχθὺν τὸν Πᾶνα, καὶ ταύτῃ ἐκέχρητο τῇ σφραγίδι. ἐν οἷς καὶ τὰ τοῦ ἑβδόμου τοῦ Πτολεμαίου τοῦ Ἡφαιστίωνος εἰς πολυμάθειαν καινῆς ἱστορίας τὰ κεφάλαια.

Pana piscem ait esse marinum, Balenæ magnitudine, forma Pani non absimilem. In hoc pisce lapidem reperiri asteriten, quem Soli oppositum incendi ferant: valere etiam ad philtrum: adeóque hunc Helenam lapidem habuisse, insculpta Panis piscis imagine, quo & in obsignando sit vsa. Hæc sunt ergo capita libri septimi nouæ Ptolemæi Hephæstionis ad variam eruditionem historiæ.

ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ τὰ ἀσκητικά.

S. BASILII MAGNI *Ascetica*. CXCI.

ρϟα'. Basilij M. Ascetica.

ΑΝΕΓΝΩΣΘΗ τοῦ ἐν ἁγίοις Βασιλείου, ἐπισκόπου Καισαρείας Καππαδοκίας, τὰ λεγόμενα ἀσκητικά, ἐν δυσὶ λόγοις. χρήσιμον μὲν τὸ βιβλίον, εἴπερ τι ἄλλο, ἑκάστῳ τῶν εὐσεβεῖν ᾑρημένων, καὶ τυχεῖν τῶν αἰωνίων ἀγαθῶν. μάλιστα δὲ τοῖς ἐν κοινοβίῳ τὸν ἀσκητικὸν διαθλοῦσιν ἀγῶνα. ἔχει δὲ καὶ ἀπορημάτων πολλῶν γραφικῶν, ὅσα συνεπικοσμεῖ τὸ ἦθος, ἐν συνόψει, λύσεις τε καὶ σαφηνισμόν. ἐν μὲν οὖν τοῖς λόγοις τὸ συνήθες αὐτοῦ ἦθος διαπρέπει, καὶ τῆς σαφηνείας τὸ καθαρὸν πλὴν ἐπ' ἐνίοις τῶν ζητημάτων ἐστί πως αὐτοῦ παρεσπαρμένον καὶ τὸ ἐμφατικόν· οὐ τῆς λέξεως εἰς γλώττας νεανιευούσης, οὐδὲ τῆς συνθήκης περιβολαῖς ἐπηλυγαζομένης, οὐ μὲν οὐδ' ἄλλῃ τινὶ ξενιζούσῃ, καὶ ἀνακεχωρηκυίᾳ ἢ τοῦ ἰδίου τρόπου, ἢ τοῦ πολιτικοῦ λόγου, περιεργίᾳ καὶ δεινότητι: ἀλλὰ ταῦτα φυλάττων, ὡς ἔθος, τὸ ἐμφατικὸν ὥσπερ ἐναπορρίπτει, μηδεμίαν ἐναφιεὶς ἐπιτηδεύματος ἔννοιαν. πλὴν ὅσα γε τῇ συντομίᾳ περιβάλλει αὐτό, τὸ μέν τι εὐκρινές, ἅ τε δὴ κεφαλαιώδη περιβεβλημένος τὸν λόγον, καιρὸν οὐκ ὁρῶν εὐρύνειν, οὐδ' ἐχρήσατο τὰ πολλά. διήκει δ' αὐτοῦ καὶ τὸ δριμὺ μετὰ τοῦ πιθανοῦ πολλαχοῦ τῶν ζητημάτων ταῖς λύσεσι. πανταχοῦ δὲ τὸ ψυχωφελὲς καὶ σωτήριον. οὐ μέν τοι τῇ συντομίᾳ μόνῃ παραθραύεται τὸ σαφές· οὐδὲν δ' ἔλαττον, καὶ μὴ τοὺς λύσιν ἐπιζητοῦντας λόγους εἰς τὸ συμπερανтικὸν ἀπαρτίζεσθαι σχῆμα: ἀλλ' ἐν ταῖς διερριμμέναις μὲν τῶν προτάσεων, ἀντιφόρῳ δὲ καὶ οὐ συνειλημμένῳ τῶν ἀποδείξεων, τὴν διάνοιαν περιπλανᾶσθαι. ἡ δὲ τούτων αἰτία εἰς ποικίλην περισχίζεται μέθοδον προνοίας, ἣν ἀφίημι τὸ συνετόν σου περισκοπεῖν. οὐκ ἐν τοῖς δυσὶ δὲ λόγοις τὸ ἐμφατικὸν ἐπιτρέχει. αὐτίκα ὁ πρῶτος οὐδὲν ἐπιδείκνυσι τοιοῦτον. πλὴν ἅπαξ που τῇ ἀποσιωπήσει τὸ δύσφημον οἰκονομῶν· ἐπεὶ τά γε ἄλλα, πολὺ μέν ἐστι τὸ ἀσφαλές· ἴσος δὲ τὸ καθαρὸν ἀλλὰ καὶ τὸ εὐκρινές: διὰ μέν τοι τῶν δύο αὐτοῦ διήκει τὸ ἀπλούστερον καὶ καθωμιλημένον τῶν τε λέξεων καὶ τῆς συνθήκης, πρὸς τὴν τῶν πολλῶν ἀκοὴν διατυπούμενόν τι καὶ ταπεινούμενον, καὶ μόνης τῆς τῶν ἀκροατῶν σωτηρίας καταστοχαζόμενον. ὁ μὲν οὖν πρῶτος αὐτοῦ λόγος διεξέρχεται, τίς ἡ αἰτία καὶ ὁ κίνδυνος τῆς τοσαύτης τῶν ἐκκλησιῶν τοῦ θεοῦ, καὶ ἑκάστου πρὸς τὸν ἕτερον διαφωνίας τε καὶ διαστάσεως. δεύτερον, ὅτι πάσης ἐντολῆς θεοῦ παράβασις σφοδρῶς καὶ φοβερῶς ἐκδικεῖται· καὶ ἡ ἀπόδειξις ἐκ τῶν γραφῶν.

LEGIMVS B. BASILII *Episcopi Cæsareæ Cappadociæ*, qui vocantur [a] *Asceticorum libros duos*. Vtile sanè hoc opus, si quod aliud, pietatis studiosis, quique æterna illa bona consectantur: maximè verò iis, qui in monasteriis ad pietatem veram exercentur. Continet autem cùm è S. Scriptura, variarum quæstionum, quæ ad mores componendos faciant, breuiarium: tum his solutiones additas atque explanationes. [b] Eminet porrò huius in libris egregie, non ille modo solemnis adeò ipsi affectus lenior, sed pura etiam perspicuitas. nisi quod in quæstionibus quibusdam emphaseos aliquid ab eo aspersum appareat: non id adeò vocabulis minus vsitatis iuueniliter adhibitis, neque compositione per circumductiones obscurata: quin neque aliqua peregrina, & à priuato vsu ciuilique sermone remotiore curiositate, aut acrimonia: sed quòd hisce de more seruatis, emphasim veluti interiiciat: nullo interim [lectori] indito instituti sui sensu. quamquam ea quæ breuiter proposuit, plurimum non pertractat, eo quòd summa capita dumtaxat oratione persequi propositum habens, clarioris explicationis opportunitatem nullam reperiat.

Et adhibet ille quidem suum ad persuadendum accommodatum acumen multis quæstionum solutionibus, sed animæ salus atque vtilitas plane vbique spectatur. Quanquam non sola breuitate violetur apud eum perspicuitas: verum & ex eo, quod solutionis indigentem orationem claudat, nulla concludendi forma adhibita: vt inter disiectas propositiones, & inferendi & concludendi vi destitutas probationes, mens aberret.

Harum autem rerum causa in variam prouidentiæ methodum dissecatur, quam sapientiæ [c] tuæ considerandam permitto. In his [tamen] duobus libris non semper ad emphasim recurrit. Statim enim primus liber nihil præ se fert tale, nisi quod semel alicubi per Reticentiam malum omen auertat. Nam ad cætera quod attinet, valde ibi est firmus, & æque purus atque dilucidus; perque duos hosce libros decurrit simplicior quidam & perfamiliaris sermo ac compositio, ad vulgi aures comparata atque demissa, & ad solam demum auditorum salutem intenta.

Igitur primus eius liber [d] continet, Quæ sit causa, quantúmque periculum huiusmodi cum Ecclesiarum Dei, tum singulorum hominum inter ipsos dissentionis atque dissidij. Deinde, quod omnis præcepti diuini transgressio vehementer ac terribiliter punitur, idq; è scripturis sacris demonstratum.

[a] Similia iterum lecta referuntur sup. Cod. CXLIV.

[b] Iterum de B. Basilij stylo iudicium tulit sup. Cod. CXLI.

[c] Tarasium fratrem compellat.

[d] Leguntur hæc hodie aliter distributa. Nam neque in libros duos diuiduntur Ascetica, & sistem solum i. commata tres hasce 1. Libri partes antecedunt, prima etiam hic & secunda parte in eum ibi caput De iudicio Dei e imgolla.

BASILIVS MAGNVS.

Tertio, de Fide nostra Catholica, siue de pura nostra & sincera confessione sanctissimæ Trinitatis.

Liber verò secundus, Christiani hominis quandam veluti [a] descriptionem per summa capita breuitérque proponit: similemque rursum descriptionem eorum, qui docendo Euangelio præfecti sunt. Deinde quasi regulas quasdam asceticas interrogando ac respondendo propositas exponit, numero quinquaginta quinque: iterúmque breuiores [b] alias trecentas tredecim.

a Verùm hæc descriptionum Ethicorum siue Moralium nomine vulgo notior, continetque Regulas LXXX.
b His etiam interuicit, siue transgredientium pœnas pro virginibus in libris editis subiunctas lege.

CXCII.

B. MAXIMI Monachi & Confessoris
Quæstionum è S. Scriptura Solutiones CLXIV.

LEGIMVS B. [a] MAXIMI MONACHI simul & CONFESSORIS Thalassio Presbytero sanctissimo atque Præfecto inscriptum Opus, quo *Quæstionum è S. Scriptura solutiones* [b] *CLXIV.* continentur. Cæterum in præfatione disputat de ortu humanarum perturbationum: asseritque peccatum cum nihil sit omnino subsistens (non qualitas, non quantitas, non habitus, non perturbatio denique ipsa naturaliter saltem in existentium aliquo considerata:) tantum insitarum nobis à natura facultatum esse defectionem suæ actionis à fine, vt sit hoc modo naturalium facultatum ex errante iudicio inconsideratus quidam motus, ad aliud quam ad suum finem tendens. Finem vero illum modo dico, quem naturaliter quidem omnia appetunt, sed quem iam deceptus à serpente Adamus non agnouit, totum in sensum pronus, iumentísque similis factus. Immo quantum studij ponebat in cognitione, quæ per sensum adducitur, tantum à diuina cognitione recedebat. Rursum quantum in hac recessione perseuerabat, tantum etiam rerum cognitarum fruitioni quasi assidebatur, vnáque cum iis præceps ferebatur. Quantum item his inhærebat, tantum quoque in eo noxius ille amor sui accendebatur. Quam denique firmiter amori adhærebat sui, tam etiam studiose multas variasque voluptatis rationes comminiscebatur. Hæc enim amoris sui soboles est. Quoniam vero malitia omnis cum iis vna rebus interit, quæ illam crearant, ipséque experimento discebat voluptatis omnino comitem esse dolorem, illam vel supra vires retinere conatus, cum dolore acriter pugnabat, fieri posse arbitratus (quod nullo modo poterat) vt ab inuicem hisce diuulsis, & sola voluptate perfrueretur, & sui amorem huic voluptati permistum retineret. Hinc [ergo ait] omnis perturbationum multitudo. Nam voluptatem præ amore nostri consectantes, doloremq; fugientes, inexplicabiles illos perniciosarum passionum ortus mente concipimus. Et quatenus quidem in amore proprio voluptatem consectamur, ex eo gulam gignimus, superbiam, auaritiam & quæcumque pro re nata voluptatem pariunt. sin ex amore proprio dolorem fugimus, iram mox, inuidiam, odium, desperationem parimus, & alias id genus, quæ carent affectione dolorem concitare. Ex vtriusq; porro mistione nascitur simulatio, assentatio, dolus, & si quæ omnino alia improbitatis genera, mixtæ sunt versutiæ ægritudines.

a Lege res ab eo gestas siue scriptas apud Baron. Card. To. IIX.
b Irrepsisse hic notulam P. constat cum non nisi 64. Quæstiones post enumeret Phot. Extat Opus hoc cum aliis pluribus eiusdem Sancti Maximi cum in Vaticana, tum in Augustana nobiliss. Biblioth.

τρίτον, περὶ τῆς εὐσεβοῦς πίστεως ἡμῶν, ἤτοι τῆς εἰς τὴν ὑπεραγίαν τριάδα καθαρᾶς ἡμῶν καὶ εἰλικρινοῦς ὁμολογίας. ὁ δεύτερος οἷον χαρακτῆρα χριστιανοῦ κεφαλαιώδη καὶ σύντομον παρατίθεται, καὶ χαρακτῆρα πάλιν παραπλήσιον τῶν προεστώτων τοῦ λόγου. εἶτα οἷον ὅρους τινὰς ἀσκητικούς, ὡς ἐν ἐρωτήσει καὶ ἀποκρίσει προηγμένους, ἐκτίθεται τὸν ἀριθμὸν πεντήκοντα [πέντε] καὶ πάλιν συντομώτερον ἑτέρους ὅρους * τιγ΄.

* al. σιγ΄.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΜΑΞΙΜΟΥ
τοῦ ὁμολογητοῦ, ἀπορηματικῶν γραφικῶν κεφάλαια ρξδ΄.

ρϞβ΄.

Maximi Monachi Confessoris liber ad Thalassium Presbyterum.

ΑΝΕΓΝΩΣΘΗ τοῦ ἐν ἁγίοις Μαξίμου μοναχοῦ, τοῦ καὶ ὁμολογητοῦ πρὸς Θαλάσσιον ὁσιώτατον πρεσβύτερον καὶ ἡγούμενον προσπεφωνημένον βιβλίον, ἐν ᾧ γραφικῶν ἀπορημάτων ρξδ΄, ἀναγράφει λύσεις. ἐν μὲν τοι τῷ προοιμίῳ διαλαμβάνει περὶ τῆς γενέσεως τῶν ἐν ἡμῖν παθῶν, καί φησιν: ὡς τὸ κακὸν μηδὲν μηδ᾽ ὅλως τῶν ὄντων ὑπάρχον, μὴ ποιότης, μὴ ποσότης, μὴ σχέσις: ἀλλὰ μηδὲ τὸ πάθος φυσικῶς τινι τῶν ὄντων ἐνθεωρούμενον, καὶ εἴη ἂν ἔλλειψις τῆς πρὸς τὸ τέλος ἐνεργείας τῶν ἐγκειμένων τῇ φύσει δυνάμεων, καὶ οὕτω τῶν φυσικῶν δυνάμεων κατ᾽ ἐσφαλμένην κρίσιν ἐπ᾽ ἄλλο παρὰ τὸ τέλος ἀλόγιστος κίνησις. αἰτίαν δέ φημι νυνὶ, ἧς πάντα φυσικῶς ἐφίεται, ἣν ὁ Ἀδὰμ, ἀπάτην τοῦ πονηροῦ νοσήσας, ἠγνόησε, πρὸς ὅλην ἧ κατεσύρη τὴν αἴσθησιν, παρασυμβληθεὶς τοῖς κτήνεσι· καὶ ὅσον τῆς πρὸς αἴσθησιν * ἐπετελεῖτο γνώσεως, τοσοῦτον τῆς θείας ἐξεπίπτε· καὶ ὅσον ἐκπίπτων διέμενε, τοσοῦτον τῇ ἀπολαύσει τῶν * γνωσθέντων προσηλοῦτο καὶ συγκατεφέρετο· ὅσον δὲ τούτοις ἐνέκειτο, τοσοῦτον ἐπιβλαβοῦς φιλαυτίας ἐξῆπτε τὸν ἔρωτα: ὅσον δ᾽ εἴχετο τῆς φιλαυτίας, τοσοῦτον ἐπενόει τῆς ἡδονῆς ποικίλους καὶ πολλοὺς τρόπους. γεννήματα γὰρ τῆς φιλαυτίας ταῦτα. καὶ ἐπειδὴ πᾶσα κακία τοῖς συνιστῶσιν αὐτὴν συνδιαφθείρεται, διδάσκων ἐκ αὐτῆς πείρας, τῆς ἡδονῆς πάντως διάδοχον τὴν ὀδύνην: τῆς μὲν ὑπὲρ δύναμιν ἀντείχετο: τῆς ὀδύνης δὲ σφοδρῶς κατηγωνίζετο οἰόμενος, ὅπερ ἦν ἀμήχανον, διαστῆσαι ταύτας ἀλλήλων, καὶ μόνῃ τῇ ἡδονῇ ἐντρυφᾷν καὶ τὴν φιλαυτίαν ταύτῃ συνημμένην ἔχειν. ἐντεῦθεν ὁ πᾶς ὄχλος τῶν παθῶν. ἡδονῆς γὰρ διὰ τὴν φιλαυτίαν ἀντιποιούμενοι, καὶ ὀδύνην ἀποφεύγοντες, τὰς ἀμυθήτους τῶν φθοροποιῶν παθῶν ἐπινοοῦμεν γενέσεις· καὶ οἷον εἰ μὲν τῆς ἐν φιλαυτίᾳ ἡδονῆς ἀντιποιούμεθα, γεννῶμεν τὴν γαστριμαργίαν, τὴν ὑπερηφανίαν, τὴν φιλαργυρίαν. καὶ ὅσα τὸν τυχόντα τρόπον πορίζει ἡδονήν. εἰ δὲ τὴν ἐν φιλαυτίᾳ * φεύγομεν * ὀδύνην: γεννῶμεν τὸν θυμὸν, τὸν φθόνον, τὸ μῖσος, τὴν ἀπόγνωσιν, καὶ ὅσα ἄλλα τῆς * ὀδυνούσης ἐστὶν) διαθέσεως. ἐκ δὲ τῆς ἀμφοῖν μίξεως τίκτεται ἡ ὑπόκρισις, ἡ κολακεία, ὁ δόλος. καὶ ἁπλῶς ὅσα ἄλλα μοχθηρίας εἴδη, τῆς μικτῆς ἐστι πανουργίας * ἀποκυήματα. ἀλλ᾽

* al. ἐπιμελοῦτο.
* al. αἰσθητῶν.
* φιλοσοφεῖν ἡδονήν.
* al. ἡδονῆς.
* al. ἀποτελέσματα.

ἀλλ', ὃ καὶ προείρηται, τῆς θείας ὁ ἄνθρωπος, διὰ τῆς ἀπάτης, καταπεσὼν γνώσεως, καὶ πρὸς τὴν αἴσθησιν ὅλως ἐπιστραφείς· τὴν φαινομένην κτίσιν εἰς θεὸν παρεγνώρισε, διὰ τὴν ἀπ' αὐτῆς τοῦ σώματος χρείαν, τῇ κτίσει λατρεύων παρὰ τὸν κτίσαντα. καθ' ὃ σῶμα τὴν φθοροποιὸν ἐπιτελῶν λατρείαν, ἡδονὴν εἶχεν ἀεὶ καὶ ὀδύνην ἐνεργουμένην, ἐσθίων ἀεὶ ξύλου τῆς παρακοῆς τοῦ καλοῦ καὶ κακοῦ διὰ τῆς * πορείας αὐτῆς, καὶ κατὰ τὴν αἴσθησιν παρέχον γνῶσιν. καὶ τάχα ξύλον εἶναι καλοῦ καὶ πονηροῦ τὴν φαινομένην εἰπὼν κτίσιν τις, οὐκ ἂν ἁμάρτοι τῆς ἀληθείας. ἡδονῆς γὰρ καὶ λύπης ποιητικὴν ἔχει φυσικῶς τὴν * μετάληψιν. ἢ πάλιν, ἐπειδὴ καὶ λόγους ἔχει πνευματικοὺς ἡ ὁρωμένη κτίσις νοῦν τρέφοντας, καὶ δύναμιν πάλιν φυσικήν· τὴν μὲν αἴσθησιν τέρπουσαν, τὸν δὲ νοῦν διαστρέφουσαν· διὰ τοῦτο ξύλον γνώσεως καλοῦ καὶ κακοῦ προσηγορεύθη. παθῶν γὰρ γίνεται διδάσκαλος τοῖς σωματικῶς αὐτῆς μεταλαμβάνουσι. διὸ τυχὸν καὶ τῷ ἀνθρώπῳ τὴν μετάληψιν αὐτῆς ὁ θεὸς ἀπηγόρευσέ πως· ἵνα πρότερον, ὥσπερ ἦν δίκαιον, διὰ τῆς ἐν χάριτι μετοχῆς τὴν οἰκείαν ἐπιγνοὺς αἰτίαν, καὶ τὴν χάριτι δοθεῖσαν ἀθανασίαν· διὰ τῆς τοιαύτης μεταλήψεως πρὸς ἀπάθειαν καὶ ἀτρεψίαν στομώσας, ὡς θεὸς ἤδη τῇ θεώσει γενόμενος, μετὰ θεοῦ τὰ τοῦ θεοῦ διασκέψηται κτίσματα, μηδὲν ὑπ' αὐτῶν παραβλαπτόμενος, καὶ τὴν αὐτῶν ἀναλήψηται γνῶσιν, ὡς χάριτι θεὸς καὶ οὐκ ἄνθρωπος. ταῦτα καὶ τὰ τοιαῦτα ἐν προοιμίοις φιλοσοφήσας, καὶ ἐπαγγελλόμενος, ὡς ἐν ἑτέροις τελειότερόν τι καὶ ἀκριβέστερον περὶ αὐτῶν ἐπισκέψαιτο, καὶ ἰδίᾳ πραγματείᾳ τὴν περὶ αὐτῶν ἀφορίσει πραγματείαν· ἐφεξῆς τῶν ἐρωτήσεων καὶ ἀποκρίσεων ἅπτεται. ὧν πρῶτον ζήτημα, περὶ τοῦ τί σημαίνει ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται. δεύτερον δὲ περὶ τοῦ ἐν τῷ εὐαγγελίῳ τὸ κεράμιον τοῦ ὕδατος βαστάζοντος. τρίτον, περὶ τοῦ, μὴ κτήσασθε δύο χιτῶνας. τέταρτον, περὶ τῆς καταραθείσης γῆς ἐν τοῖς ἔργοις τοῦ Ἀδάμ. πέμπτον περὶ τοῦ, ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ, ἁμαρτίαν οὐ ποιεῖ. ἕκτον, περὶ τοῦ, τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη. ἕβδομον, περὶ τοῦ, ὁ θεὸς φῶς ἐστίν. ὄγδοον, περὶ τοῦ, πῶς ἐσμὲν τέκνα θεοῦ, καὶ πῶς μετὰ ταῦτα ἐσόμεθα. ἔνατον, περὶ τοῦ, ὁ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ, καὶ οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. δέκατον, περὶ τοῦ, τίς ἡ ἀρχὴ τῶν μὴ * τηρησάντων αὐτὴν ἀγγέλων, καὶ ὅσα αὐτοῖς ἀπόκειται. ἑνδέκατον, τίς ὁ ἀπὸ τῆς σαρκὸς * ἐσπιλωμένος χιτών. δωδέκατον, τί ἐστι, τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. ιγ'. τί ἐστι, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. ιδ'. περὶ τοῦ, τὸ γὰρ ἄφθαρτον πνεῦμά σού ἐστιν ἐν πᾶσι. ιε'. περὶ τοῦ ἐν τῇ ἐρήμῳ χωνευθέντος μόσχου. ιϛ'. περὶ τοῦ ἀγγέλου τοῦ ἀπειλήσαντος θάνατον τῷ Μωσεῖ ἐν τῇ ὁδῷ Αἰγύπτου. ιζ'. περὶ τοῦ, εἰ οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται, πῶς οἱ ἐν νόμῳ δικαιούμενοι, τῆς χάριτος ἐκπίπτουσιν;

* al. [illegible]

* al. μετά- [illegible]

al. [illegible]

* al. [illegible]

MAXIMVS Monachus

At poſtquam (vt iam paulo ante diximus) per deceptionem homo à diuina excidit cognitione, & ad ſenſum ſeſe penitus conuertit, creaturam, quæ ſub aſpectum cadit, pro Deo cœpit peruersè agnoſcere, ob vtilitatem ſcilicet, quam ex ea corpus percipiebat, [a] creaturæ potius quàm creatori ſeruiens. Quo quidem corpore perniciosum illud præſtando obſequium, voluptatem aſſiduè ſentiebat, vehementémque dolorem, re ipſa ſemper inobedientiæ illud lignum boni & mali comedens, & ſenſilem ſibi cognitionem adferens. Quare fortaſſe, qui lignum boni & mali dixerit, creaturam eſſe viſibilem, à vero non aberrabit. Naturâ enim ipſa ita comparatum eſt, vt vſus eius voluptatis doloriſque efficiendi vim habeat. vel rurſum: quia & ſpirituales habet rationes aſpectabilis creatura, quæ mentem nutriunt: & [b] iterum vim quandam naturalem, quæ ſenſum quidem delectat, ſed mentem peruertit, propterea lignum ſcientiæ boni & mali hæc eſt appellata. Paſſionum enim magiſtra fit iis, qui eius partem aliquam corporeo modo accipiunt. Hinc forte & homini Deus, ne huius fieret particeps antea interdixit: vt prius (quod par erat) per gratiæ participationem proprio ipſe cognito auctore, vna cum gratis impartita immortalitate, per hanc participationem ad indolentiam & immutabilitatem firmatus, ac velut Deus iam per Deificationem factus, cum Deo contemplaretur Dei creaturas, nullóque ab iis accepto detrimento earum cognitionem conſequeretur; quaſi Deus nimirum aliquis per gratiam, non homo effectus. Hæc & alia conſimilia in proœmio philoſophatus atque pollicitus, (quaſi eſſet alibi perfectius accuratiúſque de iis acturus, ac proprium ei negotio Tractatum deſtinaturus) Interrogationes deinceps Reſponſioneſque aggreditur: quarum

Prima quæſtio eſt, quid illud ſignificet: *Pater meus vſque modo operatur.* (Ioan. 5. 17.) Altera de illo, qui in Euangelio amphoram aquæ baiulat. (Marc. 14. 13. Luc. 22. 10.) Tertia de illo: *Nolite poßidere duas tunicas.* (Matt. 10. 10. Luc. 9. 3.) IV. De maledicta terra in operibus Adam. (Geneſ. 3. 17.) V. de illo: *Qui natus eſt ex Deo, peccatum non facit.* (1. Ioan. 3. 9.) VI. De illo: *Hoc enim & mortuis euangelizatum eſt.* (1. Pet. 4. 6.) VII. De illo: *Deus lux eſt.* (1. Ioan. 1. 5.) IIX. De illo: Quomodo [*nunc*] *ſumus filij Dei*, & quomodo poſt hæc erimus? (1. Ioan. 3. 2.) IX. De illo: *Qui timet, non eſt perfectus in dilectione.* (1. Ioan. 4. 18.) &, *Non eſt inopia timentibus eum.* (Pſal. 33. 9.) X. Quis ille principatus fuerit, quem non ſeruarint angeli, & quæ illis reſeruantur. (Iudæ ver. 6.) XI. Quæ ſit illa per carnem commaculata tunica. (Iudæ v. 23.) XII. Quid illud: *Inuiſibilia enim ipſius à creatura mundi, per ea quæ creata ſunt intellecta conſpiciuntur.* (Rom. 1. 20.) XIII. Quid illud ibidem: *Coluerunt & ſeruierunt creaturæ potius, quam creatori.* (ibid. v. 25.) XIV. De illo: [c] *Nam incorruptibilis ſpiritus tuus eſt in omnibus.* (Sapient. 12. 1.) XV. De vitulo quem in deſerto conflarunt. (Exod. 32. 4.) XVI. De angelo mortem minitantem Moſi in itinere Ægypti. (Exodi 4. 24.) XVII. De illo: *Si factores legis iuſtificabuntur.* (Rom. 2. 13.) quomodo [d] qui in lege iuſtificantur, gratia excidunt.

a Rom. 1. 25.

b Expunge, quæ hoc [illegible] in texto Græco [illegible] reperiuntur, [illegible] paucula.

c Secundum τοὺς LXX. verſionem vulg. O quam bonus & ſuauis eſt Domine, ſpiritus tuus.

d Galat. 5. 4. Euacuati eſtis à Chriſto, qui in lege iuſtificamini.

MAXIMVS. Monachus.

XIIX. Quid est: *Quicumque sine lege peccauerunt, sine lege etiam peribunt.* (Rom. 2. 12.) XIX. Quid in Euangelio sit ficus arefacta, & quæ ad eam spectant. (Matt. 21. 19. Marc. 11. 20.) XX. De illo: *Exspolians principatus & potestates*, & reliqua. (Colos. 2. 15.) & quomodo exuitur, qui nequaquam induit? XXI. Si [demum] sæculis venturis Deus ostendet diuitias bonitatis suæ. (Rom. 2. 3.) quomodo in nos sæculorũ fines peruenerunt? (1. Cor. 10. 11.) XXII. De illo dicto: *Dabit illi Deus domum David patris sui.* (Lucæ 1. 32.) Quomodo dare potest, cum regnũ Dauid ad eas deuenerit gentes, quæ natum ex eo [a] non cognouerũt? XXIII. Quid est: *Transeuntes primam & secundam custodiam*: & quæ illa porta ferrea? (Actor. 12. 10.) XXIV. De illo: *Omnis viri caput Christus est*, & quæ sequuntur. (1. Corinth. 11. 3.) XXV. De Rege Babylonis, & Iuda, & Gentium. XXVI. De reuelatione Petro super Cornelio facta, vtq; Cornelij causa quidam aduersus Petrum disceptarint, (Act. 10.) XXVII. ad quos dictum sit: *Venite, & descendamus, & confundamus ipsorum linguas.* (Genes. 11. 7.) XXVIII. Quid sit in actis Apostolorum: *qui per spiritum Paulo dicebant, ne ascenderet Hierosolymam.* (21. 4.) XXIX. Quodnam sit poculi & baptismatis discrimen. (Marc. 10. v. 38.) XXX. De illo: *Si non in manu factis templis habitat Deus.* (Act. 17. 24.) quomodo in Iudæorum templo habitare dictus? XXXI. De illo: *Si fortè attrectent, aut inueniant Deum.* (Actor. 17. 27.) XXXII. De illo dicto: *Amen dico vobis, quicumque dixerit huic monti*, & reliqua. (Marc. 11. 23. Math. 17. 20.) XXXIII. De illo: *Quæcumque orantes petitis, credite quod accipiatis*, & quæ sequuntur. (Marc. 11. 24. Matt. 21. 22.) XXXIV. De illo, Quod iubemur comedere carnem, & bibere sanguinem; non tamen comminuere ossa. (Ioan. 6. & 19. 33. Exodi 12. 9. Numer. 9. 6.) XXXV. Quæ fuerint Israëlitis animantium, quæ immolabantur, corpora? XXXVI. De Vipera, quæ Pauli manum comprehendit. (Act. 28. 3.) XXXVII. De Saducæorum quæstione, qua septem viros vni mulieri iunctos fingebant. (Matth. 22. 25. Marc. 12. 20. Lucæ 20. 29.) XXXVIII. Quid tres dies illi significant, quibus in deserto turba mansit cum Christo? (Matth. 15. 32. Marc. 8. 2.) XXXIX. Quid sibi vult numerus sex hydriarum in nuptiis Canæ Galileæ. (Ioan. 2. 6.) XL. Quid sibi vult numerus quinque virorum Samaritanæ, & sexti qui vir eius non erat? (Ioan. 4. 18.) XLI. Quomodo dicimus, Nos peccatum & facere, & scire: Christum autem factum esse peccatum, non scire tamen? (2. Corinth. 5. 21.) XLII. De ligno vitæ ac ligno inobedientiæ. (Genes. 2. 6.) XLIII. Ad quemnam dixit: [Deus:] *Ecce Adam factus est quasi vnus ex nobis.* (Genes. 3. 22.) Si enim ad filium, quomodo Adam cum filio comparatur? Si verò ad Angelos, quomodo rursum Angelum, secum componit? XLIV. Quid designet pectusculum [b] oblationis, & armus separationis. (Leuit. 10. 14.) XLV. Quid differat ab ænigmate speculum. (1. Corinth. 13. 2.) XLVI. Quid est illud: *Vox clamantis in deserto*, & reliqua? Isa. 40. 3. Matth. 3. 3.) XLVII. De cisternis & turribus ab Ozia Rege Iuda ædificatis. (2. Paral. 26. 10.) XLVIII. Quid sit rursum in eodem Paralipomenon libro: *Et vidit Ezechias, quod venerit Senacherib*, & reliqua (32. 2.)

[a] Sequit. τὸ ἐπεγνώκεισαν.

[b] Pro ὁ βραχίων τοῦ ἀφαιρέματος legit in textu τῶν LXX. ἀφορίσματος. Vulg. tamen edit. cum B. Maximi lectione consentit.

ιη. τί ἐστιν, ὅσοι ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται; ιθ. τί ἐστιν ἡ ξηρανθεῖσα ἐν τῷ εὐαγγελίῳ συκῆ, καὶ ὅσα περὶ αὐτήν. κ. περὶ τοῦ, τί ἐστιν ἐκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, καὶ τὰ ἑξῆς. καὶ πῶς ὁ μηδέλως ἐνδυσάμενος ἐκδύεται; κα. εἰ ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις ὁ θεὸς δείξει τὸν πλοῦτον τῆς χρηστότητος αὐτοῦ, πῶς εἰς ἡμᾶς τὰ τέλη τῶν αἰώνων κατήντησεν; κβ. περὶ τοῦ· δώσει αὐτῷ ὁ θεὸς τὸν οἶκον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, πῶς δίδωσι, τῆς βασιλείας Δαβὶδ εἰς τὰ ἐπιγνόντα ἔθνη τὸν ἐξ αὐτοῦ μεταπεσούσης; κγ. τί ἐστι, διελθόντες πρώτην καὶ δευτέραν φυλακὴν, καὶ τίς ἡ σιδηρᾶ πύλη; κδ. περὶ τοῦ, παντὸς ἀνδρὸς κεφαλὴ ὁ χριστός ἐστι, καὶ τὰ ἑξῆς. κε. περὶ τοῦ βασιλέως βαβυλῶνος καὶ Ἰούδα καὶ τῶν ἐθνῶν. κς. περὶ τῆς ἀποκαλύψεως Πέτρου τῆς ἐπὶ τῷ Κορνηλίῳ, καὶ πῶς διεκρίνοντό τινες πρὸς Πέτρον, διὰ τὸν Κορνήλιον. κζ. τὸ, δεῦτε καὶ καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας, πρὸς τίνας εἴρηται. κη. τί ἐστι τὸ ἐν ταῖς πράξεσιν, οἵτινες διὰ τοῦ πνεύματος ἔλεγον τῷ Παύλῳ, μὴ ἀναβῆναι εἰς Ἱεροσόλυμα. κθ. τίς ἡ διαφορὰ ποτηρίου καὶ βαπτίσματος. λ. περὶ τοῦ, εἰ οὐκ ἐν χειροποιήτοις ναοῖς ὁ θεὸς κατοικεῖ, πῶς ἐν τῷ τῶν Ἰουδαίων ναῷ ἐλέγετο οἰκεῖν. λα. περὶ τοῦ, εἰ ἄρα ψηλαφήσειαν καὶ εὕροιεν θεόν. λβ. περὶ τοῦ Ἀμὴν λέγω ὑμῖν, ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ, καὶ τὰ ἑξῆς. λγ. περὶ τοῦ ὅσα ἂν προσευχόμενοι * αἰτῆσθε, πιστεύετε ὅτι λαμβάνετε, καὶ τὰ ἑξῆς. λδ. περὶ τοῦ, ὅτι κελευόμεθα τρώγειν τὴν σάρκα καὶ πίνειν τὸ αἷμα, μὴ συντρίβειν δὲ τὰ ὀστᾶ. λε. περὶ τοῦ, τίνα ἐστὶ τὰ τῶν θυομένων ζώων σώματα τοῖς Ἰσραηλίταις. λς. περὶ τῆς ἐχίδνης, ἣ καθήψατο τῆς χειρὸς Παύλου. λζ. περὶ τῆς ἐρωτήσεως τῶν σαδδουκαίων, ἥτις ἑπτὰ ἄνδρας ἀνέπλαττε * συνεζεῦχθαι τῇ γυναικί. λη. τί εἰσιν αἱ τρεῖς ἡμέραι, ἃς προσμεμενήκασιν οἱ ὄχλοι τῷ χριστῷ ἐν τῇ ἐρήμῳ. λθ. τί σημαίνει ὁ ἀριθμὸς τῶν ἓξ ὑδριῶν τῶν ἐν τῷ γάμῳ τῷ ἐν τῇ Κανᾷ τῆς Γαλιλαίας. μ. τίς ὁ λόγος τῶν πέντε ἀνδρῶν τῆς Σαμαρείτιδος, καὶ τοῦ ἕκτου μὴ ὄντος ἀνδρός; μα. πῶς ἡμεῖς [μὲν] λέγομεν τὴν ἁμαρτίαν [καὶ] ποιεῖν καὶ εἰδέναι: ὁ δὲ κύριος γεγένηται μὲν ἁμαρτία, μὴ γνῶναι δ' αὐτήν. μβ. περὶ τοῦ ξύλου τῆς ζωῆς, καὶ τοῦ ξύλου τῆς παρακοῆς. μγ. πρὸς τίνα εἶπεν, ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν; εἰ μὲν γὰρ πρὸς τὸν υἱὸν, καὶ πῶς συγκρίνεται ὁ Ἀδὰμ τῷ υἱῷ; εἰ δὲ πρὸς ἀγγέλους: πῶς πάλιν τὸν ἄγγελον ἑαυτῷ συγκρίνει. μδ. τί σημαίνει τὸ στηθύνιον τοῦ ἐπιθέματος, καὶ ὁ βραχίων τοῦ ἀφαιρέματος; με. τίς ἡ διαφορὰ τοῦ ἐσόπτρου πρὸς τὸ αἴνιγμα. μς. τί ἐστι φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, καὶ τὰ ἑξῆς. μζ. περὶ τῶν Ὀζίου τοῦ βασιλέως Ἰούδα λάκκων καὶ πύργων ἃ ᾠκοδόμησε. μη. τί ἐστι πάλιν ἐν τῇ αὐτῇ βίβλῳ τῶν παραλειπομένων, Καὶ εἶδεν Ἐζεκίας ὅτι ἥκει Σενναχηρεὶμ, καὶ τὰ ἑξῆς.

* αἰτοῦντες

* τῇ μιᾷ

μθ'. τί

μθ΄. τί ἐστι πάλιν ἐν τῇ αὐτῇ βίβλῳ, καὶ προσηύξατο Ἐζεκίας ὁ βασιλεύς, καὶ Ἠσαΐας υἱὸς Ἀμώς, καὶ τὰ ἑξῆς. ν΄. τί ἐστι, καὶ πολλοὶ ἔφερον δῶρα τῷ κυρίῳ, καὶ δόματα Ἐζεκίᾳ τῷ βασιλεῖ Ἰούδα. να΄. περὶ τοῦ, ὅτι τὸ ἀνταπόδομα ὃ ἀνταπέδωκεν αὐτῷ ὁ Θεός, ἀνταπέδωκεν Ἐζεκίας, καὶ τὰ ἑξῆς. νβ΄. περὶ Ἐζεκίου πάλιν, ὅτι ἔθαψαν αὐτὸν ἐν ἀναβάσει υἱῶν Δαυίδ, καὶ τὰ ἑξῆς. νγ΄. περὶ τοῦ ἐν τῷ πρώτῳ Ἔσδρα, ὅτι γέγραπται περὶ Ζοροβάβελ, ἦρε τὸ πρόσωπον εἰς τὸν οὐρανὸν ἐναντίον Ἰσραὴλ, καὶ περὶ τῆς προσευχῆς αὐτοῦ. νδ΄. περὶ τοῦ, οἱ δὲ πάντες ἦσαν ἐξ Ἰσραὴλ ἀπὸ δωδεκαετοῦς, χωρὶς παιδίων καὶ γυναικῶν, μυριάδες * δ γ τξ΄, καὶ τὰ ἑξῆς. νε΄. περὶ τοῦ ἐν τῷ δευτέρῳ Ἔσδρα γεγραμμένου, καὶ ἀκούσαντες οἱ ἐχθροὶ τῆς φυλῆς Ἰούδα καὶ Βενιαμὶν, ἐληλύθεσαν ἐπιγνῶναι τίς ἡ φωνὴ τῶν σαλπίγγων, καὶ τὰ ἑξῆς. νϛ΄. τί ἐστι πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη. νζ΄. περὶ τοῦ, ἐν ᾧ ἀγαλλιᾶσθε ὀλίγον ἄρτι, εἰ δέον ἐστὶ λυπηθέντας ὑμᾶς· καὶ ἑξῆς, πῶς τις λυπούμενος ἐν * πειρασμοῖς δύναται ἀγαλλιᾶσθαι. νη΄. περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προφῆται. νθ΄. περὶ τοῦ ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ προεγνωσμένου, ὑπὸ τίνος προεγνωσμένου; ξ΄. τί ἐστιν, ὅτι καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα ἀπὸ τοῦ οἴκου τοῦ Θεοῦ, καὶ τὰ ἑξῆς. ξα΄. περὶ τοῦ δρεπάνου, ὃ εἶδε πετόμενον ὁ Ζαχαρίας. ξβ΄. περὶ τῆς χρυσῆς λυχνίας, ἣν εἶδεν ὁ αὐτὸς προφήτης. ξγ΄. τί ἐστιν, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνδρῶν, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστεράν. τίνες οἱ ἄνδρες, καὶ τίς ἡ δεξιὰ καὶ ἀριστερά; ξδ΄. διὰ τί μετὰ θάνατον Σαοὺλ τοῦ ἀδικήσαντος τοὺς Γαβαωνίτας, ὁ μηδὲν ἀδικήσας Δαυὶδ ἀπῃτήθη δίκας, λιμοῦ τὴν χώραν αὐτοῦ κακουμένης, ἕως ἔδωκε τοὺς ἐκ τοῦ σπέρματος Σαοὺλ ἑπτὰ ἄνδρας τοῖς Γαβαωνίταις.

Τούτων οὖν τὰς λύσεις ὁ θεῖος οὗτος ἀνὴρ καὶ γενναῖος ὁμολογητὴς ἀποδιδόναι ὑπέρχεται πόνον. ἔστι δὲ τὴν φράσιν χειροτονεῖς τε ταῖς περιόδοις, καὶ χαίρων ὑπερβατοῖς, ἐνακμάζων τε ταῖς περιβολαῖς, καὶ κυριολογεῖν οὐκ ἐσπουδασμένος. ἐξ ὧν αὐτοῦ τῇ συγγραφῇ καὶ τὸ ἀσαφὲς καὶ * δυσπερίληπτον διατρέχει. τῷ τραχεῖ δὲ τοῦ ὄγκου, ὅσα περὶ συνθήκην καὶ ἀναπαύσεις, τὸν λόγον ὑποβάλλων, οὐδ' ἡδὺς εἶναι σπουδάζει τῇ ἀκοῇ· καὶ ἡ μεταφορὰ αὐτοῦ τῆς λέξεως οὐκ εἰς τὸ χαρίεν καὶ γοητευόμενον πεφιλοτίμηται, ἀλλ' οὕτως ἁπλῶς καὶ ἀπεριμερίμνως παραλαμβάνεται. ὁ δ' ἴσως καὶ τοὺς περὶ αὐτὸν ἀποκναίει ἐσπουδακότας, πόρρω τοῦ γράμματος καὶ τῆς ἐγνωσμένης ἱστορίας, ἢ μᾶλλον καὶ αὐτοῦ τοῦ ἠπορημένου αἱ λύσεις αὐτοῦ περινοοῦνται. πλὴν εἴ τῳ φίλον ἀναγωγαῖς καὶ θεωρίαις τὸν νοῦν ἀναλίσκειν, οὐκ ἂν ποικιλωτέραις οὐδ' ἐσπουδασμέναις μᾶλλον ἢ ταύταις περιτύχοι. συλλέγει μὲν γὰρ καὶ τὰς πρὸ αὐτοῦ εἰς ἕνια τῶν ἠπορημένων εἰρημένας. ἐπισυνάπτει δὲ καὶ τὰς οἴκοθεν φιλοπονίας οὐδὲν ἔλαττον, εἰ μὴ καὶ μᾶλλον, τὸ γλαφυρόν τε καὶ περιττονημένον προβεβλημένας.

XLIX. Quid iterum in eodem ipso libro: *Et orauit Ezechias Rex, & Esaias filius Amos*, & quæ sequuntur? (32. 20.) L. Quid est: *Et multi afferebant munera Domino, & dona Ezechiæ Regi Iuda.* (Ibid. V. 23.) LI. De illo: *Et non iuxta retributionem, quam* [a] *reddidit ipsi Deus, reddidit Ezechias*, & reliqua (ibid. v. 25.) LII. De Ezechia iterum: *Sepelierunt eum supra sepulchra filiorum Dauid*, & quæ sequuntur. (ibid. v. 33.) LIII. De eo, quod libro primo Esdræ de Zorobabel scriptum est: *Sustulit faciem in cælum contra Israel.* & de oratione eius. (1. Esdræ 9.6.) LIV. De illo: [b] *Omnes erant ex Israel ab anno duodecimo (exceptis pueris ac fæminis) myriades quatuor, tria millia, trecenti & sexaginta*, & quæ sequuntur. (3. Esdræ 5. 41. qui est in Græco primus.) LV. De illo, quod libro secundo Esdræ scriptum: *Et audierunt inimici tribus Iuda & Beniamin, & venerunt scire, quæ esset vox tubarum*, & quæ sequuntur. (ibid. v. 66. In Græco item non habentur hæc libro secundo, sed primo, cap. 5. sub fin.) LVI. Quid est: *Multum valet deprecatio iusti efficax.* (Iacobi 5. 16.) LVII. De illo; *In quo exsultatis modicum nunc, si opus est contristatos vos*, & reliqua. (1. Pet. 1. 6.) quomodo contristatus quis in tentationibus exultare queat. LVIII. De qua salute exquisierunt atque scrutati sunt Prophetæ (ibid. v. 10.) LIX. De illo: *Quasi immaculati & incontaminati Christi, præcogniti quidem ante constitutionem mundi.* (1. Petri 1. 19.) sed à quo præcogniti? LX. Quid est: *Quoniam tempus incipi iudicium à domo Dei*, & reliqua? (1. Pet. 4. 17.) LXI. De [c] falce, quam volantem vidit Zacharias, (Zach. 5. 1.) LXII. De candelabro aureo, quod idem vates cóspexit. (Zach. 4. 2.) LXIII. Quid est: *In qua habitant plures quam centum viginti millia virorum, qui non cognouerunt dextram suam aut sinistram?* (Ionæ 4. 11.) Quinam hi viri sunt, quæque dextra & sinistra? LXIV. Quare post mortem Saul; qui Gabaonitas iniuria affecerat, ab innoxio Dauide pœna exacta fuerit, fame eius regione vexata, donec traderet ex semine Saul septem viros Gabaonitis. (2. Regum 21. 1.) Has igitur soluere quæstiones diuinus ille vir & Confessor egregius allaborauit.

Apud Bacchylidem quid sit, quod tanquam à Sileno dictum refert, & cui hoc carmen pronunciatum. [a] Leucas petra, inquit, à Leuco Vlyssis socio nomen sumpsit, qui genere Zacynthius, interfectus est (vt refert [b] Homerus) ab Antipho. Hunc quoque dedicasse ferunt templum Apollini Leucatæ. Eos igitur, qui hoc saliant saxo amore liberari: atque hanc esse caussam. Post interfectum Adonidem, obambulasse narrant, atque cum inuestigasse Venerem, repertúmque Argi, Cypri ciuitate, in Apollinis Erithij fano, corpus secum auexisse, sermone etiam cum Apolline de Adonidis amore collato. Hunc ergo eam in Leucada petram adduxisse, & præcipitem inde dare sese iussisse: & vero saxo salientem, amoris æstu liberatam. Interrogante porrò Dea caussam, respondisse ferunt Apollinem, quod vates cùm esset, sciuerit Iouem quoque semper Iunonis amore captum, ad saxum hoc accessisse, atque ei insidendo amoris impotentiam sedasse, compluresque alios vtriusque sexus mortales amore ardentes, eodem liberatos, ex hoc saxo desilientes. Sic Artemisiam illam Lygdamidis filiam, quæ Persæ militauit, amore captam Dardani Abydeni, dormientis oculos, cùm is eam contempsisset, eruisse: Amore verò illius Deorum ira crescente, ex oraculo ad Leucadem profectam seipsam præcipitasse, & interfectam ibidem esse sepultam. Hippomedonta quoque Epidamnium, adolescentis cuiusdam oræ illius amore possessum: cúmque repulsam pateretur, quod alteri ille se applicaret, eundem occidisse. Verum ad Leucadem profectum, sese ex alto præcipitantem periisse. Nicostratum item comicum Tettigidæam Myrrhinæam amantem, indéque se deiicientem, amore solutum ferunt. Macêta autem Buthrotiûm aiunt *Leucopetram* cognominatum esse, quod quater inde se demittens, amoris sit impotentia liberatus. Magnam quoque hominum copiam ita liberatam prædicant. Sic enim Bulagoram Phanagoritem, Diodorum Auleten perditè amantem, indéque se præcipitantem, in senecta periisse. Periisse quoque Rhodopen Amissenam, dum se inde præcipitat, geminorum duorum, qui Antiochi regis corporis custodes erant, amore captam, quibus nomina erant Cyri & Antiphontis. Charinus quoque Iamborum scriptor, Eunuchum quemdam Erωta, Eupatoris pincernam, perdite amauit, fabulæque de petra illa fidem habens, præcipitauit & ille. At cùm ex lapsu crure fracto, doloris iam vi exspiraret, hos versus Iambicos effudit:

Fallax peri, peri mala, ô Leucas petra:
Charinon, heu, heu, me poëtam Iambicum
Spei adussisti inanibus quæ fabulis.
In tantum Erωta, ô! Eupator si diligat.

Nereus insuper Catanæus Palladis Atticæ amore possessus, saxo accedens se præcipitauit, & liberatus est molestia. Igitur illapsus in piscatoris rete subiectum, quo vnà cum auri plena cistula extractus est, piscatori etiam de auri capsula litem intendit. Verùm Apollo secundùm quietem visus, à litigando minis deterruit. Oportere enim ob solutum amorem gratum esse, non autem alienum aurum appetere.

τί ἐστι τὸ παρὰ Βακχυλίδῃ ὡς ἀπὸ Σειληνοῦ εἰρημένον, καὶ πρὸς τίνα εἴπε τὸ ἔπος. ὡς ἡ λευκὰς πέτρα ἀπὸ Λευκοῦ τοῦ Ὀδυσσέως ἑταίρου τὴν κλῆσιν ἔλαβεν, ὃς Ζακύνθιος μὲν γένος ἦν, ἀνῃρέθη δ' (ὥς φησιν ὁ ποιητὴς) ὑπ' Ἀντίφου. τοῦτον ἱδρύσασθαί φασι καὶ ἱερὸν λευκάτου Ἀπόλλωνος. τοὺς μὲν οὖν καθαλλομένους ἀπὸ τῆς πέτρας, παύεσθαί φασι τοῦ ἔρωτος· καὶ ἡ αἰτία· μετὰ τὸν Ἀδώνιδός φησι θάνατον περιερχομένη, καὶ ζητοῦσα ἡ Ἀφροδίτη, εὗρεν αὐτὸν ἐν Ἄργει πόλει τῆς κύπρου, ἐν τῷ ἐριθίου Ἀπόλλωνος ἱερῷ, καὶ ἀνεῖλεν αὐτὸν, ἀνακοινωσαμένη Ἀπόλλωνι καὶ τὸν περὶ Ἀδώνιδος ἔρωτα. ὁ δ' Ἀπόλλων ἀγαγὼν αὐτὴν ἐπὶ τὴν λευκάδα πέτραν, προσέταξε ῥίψαι κατὰ τῆς πέτρας. ἡ δὲ ἑαυτὴν ῥίψασα, ἐπαύσατο τοῦ ἔρωτος. ζητούσης δὲ τὴν αἰτίαν: εἰπεῖν λέγεται τὸν Ἀπόλλωνα, ὡς μάντις ὢν ἐγνώκει, διότι ὁ Ζεὺς ἀεὶ ἐρῶν Ἥρας, ἐρχόμενος ἐπὶ τῇ πέτρᾳ ἐκαθίζετο, καὶ ἀνεπαύετο τοῦ ἔρωτος. καὶ πολλοὶ δὲ ἄλλοι καὶ πολλαὶ ἐρῶντι κάμνουσαι ἀπηλλάγησαν τοῦ ἔρωτος, ἐπεὶ τῆς πέτρας καθήλαντο. Ὡς καὶ Ἀρτεμισία ἡ Λυγδάμιδος ἡ τῷ Πέρσῃ συστρατεύσασα, ἐρασθεῖσα Δαρδάνου ἀβυδηνοῦ καὶ ὑπερορωμένη, ἐξέκοψεν τοὺς ὀφθαλμοὺς κοιμωμένου. τῆς δ' ἐπιθυμίας κατὰ θεῶν μῆνιν ἐπιταθείσης, πορευθεῖσα κατὰ χρησμὸν εἰς Λευκάδα, ἔρριψεν ἑαυτὴν κατὰ τῆς πέτρας· καὶ ἀναιρεθεῖσα, ἐτάφη· καὶ Ἱππομέδοντά φασιν ἐπιδάμνιον, παιδὸς ἐγχωρείου ἐρασθέντα, καὶ μὴ τυγχάνοντα· ὅτι πρὸς ἕτερον κλίνειεν, ἀνελεῖν εἰς δὲ τὴν Λευκάδα παραγενόμενον, καὶ ῥίψαντα ἑαυτὸν ἀποθανεῖν. καὶ Νικόστρατον δὲ τὸν κωμικὸν Τεττιγιδαίας τῆς μυρρηναίας ἐρασθέντα, ῥίψαι ἑαυτὸν, καὶ ἀπαλλαγῆναι τοῦ ἔρωτος. Μάκητα δέ φασι τὸν Βουθρώτιον λευκοπέτραν ἐπικληθῆναι, διότι τετράκις αὑτὸν καταβαλὼν, τῶν ἐρωτικῶν κακῶν ἀπαλλάττοιτο. καὶ πλῆθος ἄλλο οὕτως ἀπαλλαγῆναι λέγεται. καὶ Βουλαγόραν δὲ τὸν * Φαναγορείτην, ἐρασθέντα Διοδώρου τοῦ αὐλητοῦ, καταβαλόντα αὑτὸν, ἀναιρεθῆναι γηραιὸν ἤδη ὄντα. ἀναιρεθῆναι καὶ * Ῥόπιν ἀμισηνὴν, καταβαλοῦσαν ἑαυτὴν, διδύμων παίδων σωματοφυλάκων Ἀντιόχου τοῦ βασιλέως ἐρασθεῖσαν, οἷς ὀνόματα Ἀντιφῶν καὶ Κῦρος. Χαρῖνος δὲ ἰαμβογράφος ἠράσθη Ἔρωτος * ἠμιάρρενος τοῦ Εὐπάτορος οἰνοχόου: καὶ πιστεύσας τῷ περὶ τῆς πέτρας λόγῳ, κατέβαλεν ἑαυτόν. ἐπεὶ δὲ καταβαλὼν, τὸ σκέλος κατεάγη, καὶ ὑπὸ ὀδύνης ἐτελεύτα: ἀπέρριψε τάδε τὰ ἰάμβεια.

* al. Φαναγορίτην & Φαναγείτην.
* al. Ῥοδώπην.
* al. ἠνέχο.

Ἔρρεις πλανῶσα καὶ κακὴ πέτρη λευκάς,
Χαρῖνον, αἶ αἶ, τὸν ἰαμβικὸν μοῦσαν,
κατηθάλωσας ἐλπίδες κεναῖς μύθοις,
τοιοῦτ' Ἔρωτος Εὐπάτωρ ἐρασθείη.

Νηρεὺς δὲ Καταναῖος ἠράσθη τῆς ἀττικῆς Ἀθηναίας, καὶ ἐλθὼν κατέβαλεν ἑαυτὸν ὑπὸ τῆς πέτρας, καὶ ἀπελύθη τοῦ διοχλοῦντος· πεσὼν δ' οὖν εἰς δίκτυον ἐνέπεσεν ἁλιέως, ἐν ᾧ ἀνειλκύσθη σὺν κιβωτῷ χρυσίου. ἐπεδικάζετο δὲ πρὸς τὸν ἁλιέα περὶ τοῦ χρυσίου. ἀλλ' ὁ Ἀπόλλων νυκτερινῇ ὄψει ἀπέστησεν αὐτὸν τοῦ ἐπιδικάζεσθαι, δέον εὐχαριστεῖν ὑπὲρ τῆς ἀπαλλαγῆς, ἀπειλησάμενος, ἀλλὰ καὶ μὴ ἀλλότριον περιεργάζεσθαι χρυσίον.

Πᾶνα

Πᾶνα δέ φησιν ἰχθῦν εἶναι θαλάσσιον κητώδη, ὅμοιον τῷ Πανὶ κατὰ τὴν ὄψιν· ἐν τούτῳ λίθον εὑρίσκεσθαι τὸν ἀστερίτην, ὃν εἰς ἥλιον τεθέντα, ἀνάπτεσθαι. ποιεῖν δὲ καὶ πρὸς φίλτρον. τοῦτον δὴ τὸν λίθον εἶχεν Ἑλένη, γλυφὴν ἔχοντα, αὐτὸν τὸν ἰχθῦν τὸν Πᾶνα, καὶ ταύτῃ ἐχρῆτο τῇ σφραγῖδι. ἐν οἷς καὶ τὰ τοῦ ἑβδόμου τοῦ Πτολεμαίου τοῦ Ἡφαιστίωνος εἰς πολυμάθειαν καινῆς ἱστορίας τὰ κεφάλαια.

Pana piscem ait esse marinum, Balenæ magnitudine, forma Pani non absimilem. In hoc pisce lapidem reperiri asteriten, quem Soli oppositum incendi ferant: valere etiam ad philtrum: adeóque hunc Helenam lapidem habuisse, insculpta Panis piscis imagine, quo & in obsignando sit vsa. Hæc sunt ergo capita libri septimi nouæ Ptolemæi Hephæstionis ad variam eruditionem historiæ.

BASILIVS.

ΤΟΥ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ τὰ ἀσκητικά.

S. BASILII MAGNI *Ascetica*. CXCI.

ρϟα′. *Basilij M. ascetica.*

Ἀνεγνώσθη τοῦ ἐν ἁγίοις Βασιλείου, ἐπισκόπου Καισαρείας Καππαδοκίας, τὰ λεγόμενα ἀσκητικὰ, ἐν δυσὶ λόγοις. χρήσιμον μὲν τὸ βιβλίον, εἴπερ τι ἄλλο, ἑκάστῳ τῶν εὐσεβεῖν ᾑρημένων, καὶ τυχεῖν τῶν αἰωνίων ἀγαθῶν. μάλιστα δὲ τοῖς ἐν κοινοβίῳ τὸν ἀσκητικὸν διαθλοῦσιν ἀγῶνα. ἔχει δὲ καὶ ἀπορημάτων πολλῶν γραφικῶν, ὅσα συνεπικοσμεῖ τὸ ἦθος, ἐν συνόψει λύσεις τε καὶ σαφηνισμόν. ἐν μὲν οὖν τοῖς λόγοις τὸ συνήθες αὐτοῦ ἦθος διαπρέπει, καὶ τῆς σαφηνείας τὸ καθαρόν· πλὴν ἐπ' ἐνίοις τῶν ζητημάτων ἔστι πως αὐτοῖς παρεσπαρμένον καὶ τὸ ἐμφατικόν· οὐ τῆς λέξεως εἰς γλώττας τραπείσης, οὐδὲ τῆς συνθήκης περιβολαῖς ἐπηλυγαζομένης, οὐ μὴν οὐδ' ἄλλῃ τινὶ ξενιζούσῃ, καὶ ἀνακεχωρηκυίᾳ ἢ τοῦ ἰδίου τρόπου, ἢ τοῦ πολιτικοῦ λόγου, περιεργίᾳ καὶ δεινότητι· ἀλλὰ ταῦτα φυλάττων, ὡς ἔθος, τὸ ἐμφατικὸν ὥσπερ ἐναποῤῥίπτει, μηδεμίαν ἐναφιεὶς ἐπιτηδεύματος ἔννοιαν. πλὴν ὅσα γε τῇ συντομίᾳ περιβάλλει αὐτὸ, τὸ μέν τι εὐκρινὲς, ἅτε δὴ κεφαλαιώδη περιβεβλημένος τὸν λόγον, καιρὸν οὐχ ὁρῶν εὐρύνειν, οὐδ' ἐξηγήσασθαι τὰ πολλά. δείκνυσι δ' αὐτοῦ καὶ τὸ δριμὺ μετὰ τοῦ πιθανοῦ πολλαχοῦ τῶν ζητημάτων ταῖς λύσεσι. πανταχοῦ δὲ τὸ ψυχωφελὲς καὶ σωτήριον. οὐ μέν τοι τῇ συντομίᾳ μόνῃ περιθραύεται τὸ σαφές· οὐδὲν δ' ἔλαττον, καὶ μὴ τοὺς τὴν λύσιν ἐπιζητοῦντας λόγους εἰς τὸ συμπερασματικὸν ἀπαρτίζεσθαι σχῆμα· ἀλλ' ἐν τῷ διεῤῥιμμένῳ μὲν τῶν προτάσεων, ἀνεπιφόρῳ δὲ καὶ οὐ συνειλημμένῳ τῶν ἀποδείξεων, τὴν διάνοιαν περιπλανᾶσθαι. ἡ δὲ τούτων αἰτία εἰς ποικίλην περισχίζεται μέθοδον προνοίας, ἣν ἀφίημι τὸ συνετόν σου περισκοπεῖν. οὐκ ἐν τοῖς δυσὶ δὲ λόγοις τὸ ἐμφατικὸν ἐπιτρέχει. αὐτίκα ὁ πρῶτος οὐδὲν ἐπιδείκνυσι τοιοῦτον. πλὴν ἅπαξ που τῇ ἀποσιωπήσει τὸ δύσφημον οἰκονομῶν· ἐπεὶ τά γε ἄλλα, πολὺ μὲν ἔστι τὸ ἀσφαλές· ἴσος δὲ τὸ καθαρὸν ἀλλὰ καὶ τὸ εὐκρινές· διὰ μέν τοι τῶν δύο αὐτοῦ διήκει τὸ ἁπλούστερον καὶ καθωμιλημένον τῶν τε λέξεων καὶ τῆς συνθήκης, πρὸς τὴν τῶν πολλῶν ἀκοὴν διατυπούμενόν τε καὶ ταπεινούμενον, καὶ μόνης τῆς τῶν ἀκροατῶν σωτηρίας καταστοχαζόμενον. ὁ μὲν οὖν πρῶτος αὐτοῦ λόγος διεξέρχεται, τίς ἡ αἰτία καὶ ὁ κίνδυνος τῆς τοσαύτης τῶν ἐκκλησιῶν τοῦ θεοῦ, καὶ ἑκάστου πρὸς τὸν ἕτερον διαφωνίας τε καὶ διαστάσεως. δεύτερον, ὅτι πάσης ἐντολῆς θεοῦ παράβασις σφοδρῶς καὶ φοβερῶς ἐκδικεῖται· καὶ ἡ ἀπόδειξις ἐκ τῶν γραφῶν.

LEGIMVS B. BASILII *Episcopi Cæsareæ Cappadociæ*, qui vocantur [a] *Asceticorum libros duos*. Vtile sanè hoc opus, si quod aliud, pietatis studiosis, quique æterna illa bona consectantur: maximè verò iis, qui in monasteriis ad pietatem veram exercentur. Continet autem cùm è S. Scriptura, variarum quæstionum, quæ ad mores componendos faciant, breuiarium: tum his solutiones additas atque explanationes. [b] Eminet porrò huius in libris egregiè, non ille modo solemnis adeò ipsi affectus lenior, sed pura etiam perspicuitas. nisi quod in quæstionibus quibusdam emphaseos aliquid ab eo aspersum appareat: non id adeò vocabulis minus vsitatis iuueniliter adhibitis, neque compositione per circumductiones obscurata: quin neque aliqua peregrina, & à priuato vsu ciuilique sermone remotiore curiositate, aut acrimonia: sed quòd hisce de more seruatis, emphasim veluti interiiciat: nullo interim [lectori] indito instituti sui sensu. quamquam ea quæ breuiter proposuit, plurimum non pertractat, eo quòd summa capita dumtaxat oratione persequi propositum habens, clarioris explicationis opportunitatem nullam reperiat.

Et adhibet ille quidem suum ad persuadendum accommodatum acumen multis quæstionum solutionibus, sed animæ salus atque vtilitas plane vbique spectatur. Quanquam non sola breuitate violetur apud eum perspicuitas: verum & ex eo, quod solutionis indigentem orationem claudat, nulla concludendi forma adhibita: vt inter disiectas propositiones, & inferendi & concludendi vi destitutas probationes, mens aberret.

Harum autem rerum causa in variam prouidentiæ methodum dissecatur, quam sapientiæ [c] tuæ considerandam permitto. In his [tamen] duobus libris non semper ad emphasim recurrit. Statim enim primus liber nihil præ se fert tale, nisi quod semel alicubi per Reticentiam malum omen auertat. Nam ad cætera quod attinet, valde ibi est firmus, & æque purus atque dilucidus; perque duos hosce libros decurrit simplicior quidam & perfamiliaris sermo ac compositio, ad vulgi aures comparata atque demissa, & ad solam demum auditorum salutem intenta.

Igitur primus eius liber [d] continet. Quæ sit causa, quantúmque periculum huiusmodi cum Ecclesiarum Dei, tum singulorum hominum inter ipsos dissentionis atque dissidij. Deinde, quod omnis præcepti diuini transgressio vehementer ac terribiliter punitur, idq; è scripturis sacris demonstratum.

[a] *Similia iterum lecta referuntur sup. Cod. CXLIV.*

[b] *Iterum de B. Basilij stylo iudicium tulit, sup. Cod. CXLI.*

[c] *Tarasium fratrem compellat.*

[d] *Leguntur hæc hodie aliter distributa. Nam neque in libros diuiduntur Ascetica, & septem saltem Lemmata tres hosce 1. Libri partes antecedunt, prima etiam hic & secunda parte in vnum ibi caput De iudicio Dei compella.*

BASILIVS MAGNVS.

Tertio, de Fide nostra Catholica, siue de pura nostra & sincera confessione sanctissimae Trinitatis.

Liber verò secundus, Christiani hominis quandam veluti [a] descriptionem per summa capita breuiterque proponit: similemque rursum descriptionem eorum, qui docendo Euangelio praefecti sunt. Deinde quasi regulas quasdam asceticas interrogando ac respondendo propositas exponit, numero quinquaginta quinque: iterúmque breuiores [b] alias trecentas tredecim.

a Vtraque haec descriptio nunc Ethicorum siue Moralium nomine vulgo notior, continetque Regulas LXXX. b Illis etiam inseruntur, siue transgredientium poenas pro virginibus in libris editis subiunctas lege.

CXCII.

B. MAXIMI Monachi & Confessoris *Quaestionum è S. Scriptura Solutiones* CLXIV.

LEGIMVS B. [a] MAXIMI MONACHI simul & CONFESSORIS Thalassio Presbytero sanctissimo atque Praefecto inscriptum *Opus, quo Quaestionum è S. Scriptura solutiones* [b] *CLXIV. continentur.* Caeterum in praefatione disputat de ortu humanarum perturbationum: asseritque peccatum cum nihil sit omnino subsistens (non qualitas, non quantitas, non habitus, non perturbatio denique ipsa naturaliter saltem in existentium aliquo considerata:) tantum insitarum nobis à natura facultatum esse defectionem suae actionis à fine, vt sit hoc modo naturalium facultatum ex errante iudicio inconsideratus quidam motus, ad aliud quam ad suum finem tendens. Finem vero illum modo dico, quem naturaliter quidem omnia appetunt, sed quem iam deceptus à serpente Adamus non agnouit, totum in sensum pronus, iumentisque similis factus. Immo quantum studij ponebat in cognitione, quae per sensum adducitur, tantum à diuina cognitione recedebat. Rursum quantum in hac recessione perseuerabat, tantum etiam rerum cognitarum fruitioni quasi assidebatur, vnáque cum iis praeceps ferebatur. Quantum item his inhaerebat, tantum quoque in eo noxius ille amor sui accendebatur. Quam denique firmiter amori adhaerebat sui, tam etiam studiose multas variasque voluptatis rationes comminiscebatur. Haec enim amoris sui soboles est. Quoniam vero malitia omnis cum iis vna rebus interit, quae illam crearant, ipseque experimento discebat voluptatis omnino comitem esse dolorem, illam vel supra vires retinere conatus, cum dolore acriter pugnabat, fieri posse arbitratus (quod nullo modo poterat) vt ab inuicem hisce diuulsis, & sola voluptate perfrueretur, & sui amorem huic voluptati permistum retineret. Hinc [ergo ait] omnis perturbationum multitudo. Nam voluptatem prae amore nostri consectantes, doloremq; fugientes, inexplicabiles illos perniciosarum passionum ortus mente concipimus. Et quatenus quidem in amore proprio voluptatem consectamur, ex eo gulam gignimus, superbiam, auaritiam, & quaecumque pro re nata voluptatem pariunt. Sin ex amore proprio dolorem fugimus, iram mox, inuidiam, odium, desperationem parimus, & alias id generis, quae carent affectione dolorem concitare. Ex vtriusq; porro mistione nascitur simulatio, assentatio, dolus, & si quae omnino alia improbitatis genera, mixtae sunt versutiae aegritudines.

a Lege res ab eo gestas siue scriptas apud Baron. Card. To. IIX. b Irrepsisse hic notulam P. constat cum non nisi 64. Quaestiones post enumeret Phot. Exstat Opus hoc cum aliis pluribus eiusdem Sancti Maximi cum in Vaticana, tum in Augustana illa nobiliss. Biblioth.

τῶν, περὶ τῆς εὐσεβοῦς πίστεως ἡμῶν, ἤτοι δὲ εἰς τὴν ἁγίαν τριάδα καθαρᾶς ἡμῶν καὶ εἰλικρινοῦς ὁμολογίας. ὁ δεύτερος οἷον χαρακτῆρα χριστιανοῦ κεφαλαιώδη καὶ σύντομον παρατίθεται, καὶ χαρακτῆρα πάλιν παραπλήσιον τῶν προεστώτων τοῦ λόγου. εἶτα οἷον ὅρους τινὰς ἀσκητικοὺς, ὡς ἐν ἐρωτήσει καὶ ἀποκρίσει προηγμένους, ἐκτίθεται τὸν ἀριθμὸν πεντήκοντα [πέντε] καὶ πάλιν συντομώτερον ἑτέρους ὅρους * πγ΄. * al. τιγ΄.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΜΑΞΙΜΟΥ τοῦ ὁμολογητοῦ, ἀπορηματικῶν γραφικῶν. κεφάλαια ρξδ΄.

ρϞβ΄. Maximi Monachi Confessoris liber ad Thalassium Presbyterum.

ΑΝΕΓΝΩΣΘΗ τοῦ ἐν ἁγίοις Μαξίμου μοναχοῦ, τοῦ καὶ ὁμολογητοῦ πρὸς Θαλάσσιον ὁσιώτατον πρεσβύτερον καὶ ἡγούμενον προσπεφωνημένον βιβλίον, ἐν ᾧ γραφικῶν ἀπορημάτων ρξδ΄, ἀναγράφει λύσεις. ἐν μέν τοι τῷ προοιμίῳ διαλαμβάνει περὶ τῆς γενέσεως τῶν ἐν ἡμῖν παθῶν, καί φησιν: ὡς τὸ κακὸν μηδὲν μηδ᾽ ὅλως τῶν ὄντων ὑπάρχον, μὴ ποιότης, μὴ ποσότης, μὴ σχέσις: ἀλλὰ μηδὲ τὸ πάθος φυσικῶς τινι τῶν ὄντων ἐνθεωρούμενον, καὶ εἴη ἂν ἔλλειψις τῆς πρὸς τὸ τέλος ἐνεργείας τῶν ἐγκειμένων τῇ φύσει δυνάμεων, καὶ οὕτω τῶν φυσικῶν δυνάμεων κατ᾽ ἐσφαλμένην κρίσιν ἐπ᾽ ἄλλο παρὰ τὸ τέλος ἀλόγιστος κίνησις. αἰτίαν δέ φημι νῦν, ἧς πάντα φυσικῶς ἐφίενται, ἣν ὁ Ἀδὰμ, ἀπάτην τοῦ πονηροῦ νοσήσας, ἠγνόησε, πρὸς ὅλην δὲ κατεσύρη τὴν αἴσθησιν, παρασυμβληθεὶς τοῖς κτήνεσι· καὶ ὅσον τῆς πρὸς αἴσθησιν * ἐπετελεῖτο γνώσεως, τοσοῦτον τῆς θείας ἐξέπιπτε· καὶ ὅσον ἐν τῇ πλεῖον διέμενε, τοσοῦτον τῇ ἀπολαύσει τῶν * γνωσθέντων προσηλοῦτο καὶ συγκατεφέρετο· ὅσον δὲ τούτοις ἐνέκειτο, τοσοῦτον ἐπιβλαβοῦς φιλαυτίας ἐξῆπται τὸν ἔρωτα: ὅσον δ᾽ εἴχετο τῆς φιλαυτίας, τοσοῦτον ἐπενόει τῆς ἡδονῆς ποικίλους καὶ πολλοὺς τρόπους. γεννήματα γὰρ τῆς φιλαυτίας ταῦτα. καὶ ἐπειδὴ πᾶσα κακία τοῖς συνεστῶσιν αὐτὴν συνδιαφθείρεται, διδασκόμενος ἐξ αὐτῆς πείρας, τῆς ἡδονῆς πάντως διάδοχον τὴν ὀδύνην: τῆς μὲν ὑπὲρ δύναμιν ἀντείχετο: τῆς ὀδύνης δὲ σφοδρῶς κατηγωνίζετο οἰόμενος, ὅπερ ἦν ἀμήχανον, διαστῆσαι ταύτας ἀλλήλων, καὶ μόνῃ τῇ ἡδονῇ ἐντρυφᾶν καὶ τὴν φιλαυτίαν ταύτῃ συνημμένην ἔχειν. ἐντεῦθεν ὁ πᾶς ὄχλος τῶν παθῶν. ἡδονῆς γὰρ διὰ τὴν φιλαυτίαν ἀντιποιούμενοι, καὶ ὀδύνην ἀποφεύγοντες, τὰς ἀμυθήτους τῶν φθοροποιῶν παθῶν ἐπινοοῦμεν γενέσεις· καὶ οἷον εἰ μὲν τῆς ἐν φιλαυτίᾳ ἡδονῆς ἀντιποιούμεθα, γεννῶμεν τὴν γαστριμαργίαν, τὴν ὑπερηφανίαν, τὴν φιλαργυρίαν, καὶ ὅσα τὸν τυχόντα τρόπον πορίζει ἡδονήν. εἰ δὲ τὴν ἐν φιλαυτίᾳ * φεύγομεν * ὀδύνην: γεννῶμεν τὸν θυμὸν, τὸν φθόνον, τὸ μῖσος, τὴν ἀπόγνωσιν, καὶ ὅσα ἄλλα τῆς * ὀδυνούσης εἰσὶν διαθέσεως. ἐκ δὲ τῆς ἀμφοῖν μίξεως τίκτεται ἡ ὑπόκρισις, ἡ κολακεία, ὁ δόλος· καὶ ἁπλῶς ὅσα ἄλλα μοχθηρίας εἴδη, τῆς μικτῆς εἰσι πανουργίας * ἐπινοήματα. ἀλλ᾽

* al. ἐπεμελεῖτο. * al. αἰσθητῶν. * φιλοτιμ. * ὀδύνην. * al. ὀδυνώσης. * al. ἐπινοήματα.

ἀλλ᾽, ὃ καὶ προείρηται, τῆς θείας ὁ ἄνθρωπος, διὰ τῆς ἀπάτης, καταπεσὼν γνώσεως, καὶ πρὸς τὴν αἴσθησιν ὅλως ἐπιστραφεὶς τὴν φαινομένην κτίσιν εἰς θεὸν παρεγνώρισε, διὰ τὴν ἀπ᾽ αὐτῆς τοῦ σώματος χρείαν, τῇ κτίσει λατρεύων παρὰ τὸν κτίσαντα. καθ᾽ ὃ σῶμα τὴν φθοροποιὸν ἐπιτελῶν λατρείαν, ἡδονὴν εἶχεν ἀεὶ καὶ ὀδύνην ἐναργουμένην, ἐσθίων ἀεὶ ξύλον τῆς παρακοῆς τοῦ καλοῦ καὶ κακοῦ διὰ τῆς * πορείας αὐτῆς, καὶ κατὰ τὴν αἴσθησιν παρέχων γνῶσιν. καὶ τάχα ξύλον εἶναι καλοῦ καὶ πονηροῦ τὴν φαινομένην εἰπὼν κτίσιν τις, οὐκ ἂν ἁμάρτοι τῆς ἀληθείας. ἡδονῆς γὰρ καὶ λύπης ποιητικὴν ἔχει φυσικῶς τὴν * μετάληψιν. ἢ πάλιν, ἐπειδὴ καὶ λόγους ἔχει πνευματικοὺς ἡ ὁρωμένη κτίσις νοῦν τρέφοντας, καὶ δύναμιν πάλιν φυσικήν· τὴν μὲν αἴσθησιν τέρπουσαν, τὸν δὲ νοῦν διαστρέφουσαν· διὰ τοῦτο ξύλον γνώσεως καλοῦ καὶ κακοῦ προσηγορεύθη. παθῶν γὰρ γίνεται διδάσκαλος τοῖς σωματικῶς αὐτῆς μεταλαμβάνουσι. διὸ τυχὸν καὶ τῷ ἀνθρώπῳ τὴν μετάληψιν αὐτῆς ὁ θεὸς ἀπηγόρευσέ πως: ἵνα πρότερον, ὥσπερ ἦν δίκαιον, διὰ τῆς ἐν χάριτι μετοχῆς τὴν οἰκείαν ἐπιγνοὺς αἰτίαν, καὶ τὴν χάριτι δοθεῖσαν ἀθανασίαν: διὰ τῆς τοιαύτης μεταλήψεως πρὸς ἀπάθειαν καὶ ἀτρεψίαν στομώσας, ὡς θεὸς ἤδη τῇ θεώσει γενόμενος, μετὰ θεοῦ τὰ τοῦ θεοῦ διασκέψηται κτίσματα, μηδὲν ὑπ᾽ αὐτῶν παραβλαπτόμενος, καὶ τὴν αὐτῶν ἀναλήψηται γνῶσιν, ὡς χάριτι θεὸς καὶ οὐκ ἄνθρωπος. ταῦτα καὶ τὰ τοιαῦτα ἐν προοιμίοις φιλοσοφήσας, καὶ ἐπαγγελλόμενος, ὡς ἐν ἑτέροις τελειότερόν τι καὶ ἀκριβέστερον περὶ αὐτῶν ἐπισκέψοιτο, καὶ ἰδίᾳ πραγματείᾳ τὴν περὶ αὐτῶν ἀφορίσει πραγματείαν: ἐφεξῆς τῶν ἐρωτήσεων καὶ ἀποκρίσεων ἅπτεται. ὧν πρῶτον ζήτημα, περὶ τοῦ τί σημαίνει ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται. δεύτερον δὲ περὶ τοῦ ἐν τῷ εὐαγγελίῳ τὸ κεράμιον τοῦ ὕδατος βαστάζοντος. τρίτον, περὶ τοῦ, μὴ κτήσησθε δύο χιτῶνας. τέταρτον, περὶ τῆς καταραθείσης γῆς ἐν τοῖς ἔργοις τοῦ Ἀδάμ. πέμπτον περὶ τοῦ, ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ, ἁμαρτίαν οὐ ποιεῖ. ἕκτον, περὶ τοῦ, τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη. ἕβδομον, περὶ τοῦ, ὁ θεὸς φῶς ἐστίν. ὄγδοον, περὶ τοῦ, πῶς ἐσμὲν τέκνα θεοῦ, καὶ πῶς μετὰ ταῦτα ἐσόμεθα. ἔνατον, περὶ τοῦ, ὁ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ, καὶ οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. δέκατον, περὶ τοῦ, τίς ἡ ἀρχὴ τῶν μὴ * τηρησάντων αὐτὴν ἀγγέλων, καὶ ὅσα αὐτοῖς ἀπόκειται. ἑνδέκατον, τίς ὁ ἀπὸ τῆς σαρκὸς * ἐσπιλωμένος χιτών. δωδέκατον, τί ἐστι, τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς κτίσμασι νοούμενα καθορᾶται. ιγ΄. τί ἐστι, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα. ιδ΄. περὶ τοῦ, τὸ γὰρ ἄφθαρτον πνεῦμά σου ἐστὶν ἐν πᾶσι. ιε΄. περὶ τοῦ ἐν τῇ ἐρήμῳ χωνευθέντος μόσχου. ις΄. περὶ τοῦ ἀγγέλου τοῦ ἀπειλήσαντος θάνατον τῷ Μωσεῖ ἐν τῇ ὁδῷ Αἰγύπτου. ιζ΄. περὶ τοῦ, εἰ οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται, πῶς οἱ ἐν νόμῳ δικαιούμενοι, τῆς χάριτος ἐκπίπτουσι;

* al. πείρας.

* al. μετά- ληψιν.

* al. τηρήσαντα.

* al. ἐσπιλωμένος.

MAXIMVS Monachus

At poſtquam (vt iam paulo ante diximus) per deceptionem homo à diuina excidit cognitione, & ad ſenſum ſeſe penitus conuertit, creaturam, quæ ſub aſpectum cadit, pro Deo cœpit peruersè agnoſcere; ob vtilitatem ſcilicet, quam ex ea corpus percipiebat, [a] creaturæ potius quàm creatori ſeruiens. Quo quidem corpore perniciosum illud præſtando obſequium, voluptatem aſſiduè ſentiebat, vehementémque dolorem, re ipſa ſemper inobedientiæ illud lignum boni & mali comedens, & ſenſilem ſibi cognitionem adferens. Quare fortaſſe, qui lignum boni & mali dixerit, creaturam eſſe viſibilem, à vero non aberrabit. Naturâ enim ipſa ita comparatum eſt, vt vſus eius voluptatis dolorîſque efficiendi vim habeat. vel rurſum: quia & ſpirituales habet rationes aſpectabilis creatura, quæ mentem nutriunt: & [b] iterum vim quandam naturalem, quæ ſenſum quidem delectat, ſed mentem peruertit, propterea lignum ſcientiæ boni & mali hæc eſt appellata. Paſſionum enim magiſtra fit iis, qui eius partem aliquam corporeo modo accipiunt. Hinc forte & homini Deus, ne huius fieret particeps antea interdixit: vt prius (quod par erat) per gratiæ participationem proprio ipſe cognito auctore, vna cum gratis impartita immortalitate, per hanc participationem ad indolentiam & immutabilitatem firmatus, ac velut Deus iam per Deificationem factus, cum Deo contemplaretur Dei creaturas, nullóque ab iis accepto detrimento earum cognitionem conſequeretur; quaſi Deus nimirum aliquis per gratiam, non homo effectus. Hæc & alia conſimilia in proœmio philoſophatus atque pollicitus, (quaſi eſſet alibi perfectius accuratiúſque de iis acturus, ac proprium ei negotio Tractatum deſtinaturus) Interrogationes deinceps Reſponſionéſque aggreditur: quarum

Prima quæſtio eſt, quid illud ſignificet: *Pater meus vſque modo operatur.* (Ioan. 5. 17.) Altera de illo, qui in Euangelio amphoram aquæ baiulat. (Marc. 14. 13. Luc. 22. 10.) Tertia de illo: *Nolite poſſidere duas tunicas.* (Matt. 10. 10. Luc. 9. 3.) IV. De maledicta terra in operibus Adam. (Geneſ. 3. 17.) V. de illo: *Qui natus eſt ex Deo, peccatum non facit.* (1. Ioan. 3. 9.) VI. De illo: *Hoc enim & mortuis euangelizatum eſt.* (1. Pet. 4. 6.) VII. De illo: *Deus lux eſt.* (1. Ioan. 1. 5.) IIX. De illo: Quomodo [*nunc*] *ſumus filij Dei*, & quomodo poſt hæc erimus? (1. Ioan. 3. 2.) IX. De illo: *Qui timet, non eſt perfectus in dilectione.* (1. Ioan. 4. 18.) &, *Non eſt inopia timentibus eum.* (Pſal. 33. 9.) X. Quis ille principatus fuerit, quem non ſeruarint angeli, & quæ illis reſeruantur. (Iudæ ver. 6.) XI. Quæ ſit illa per carnem commaculata tunica. (Iudæ v. 23.) XII. Quid illud: *Inuiſibilia enim ipſius à creatura mundi, per ea quæ creata ſunt intellecta conſpiciuntur.* (Rom. 1. 20.) XIII. Quid illud ibidem: *Coluerunt & ſeruierunt creaturæ potius, quam creatori.* (ibid. v. 25.) XIV. De illo: [c] *Nam incorruptibilis ſpiritus tuus eſt in omnibus.* (Sapient. 12. 1.) XV. De vitulo quem in deſerto conflarunt. (Exod. 32. 4.) XVI. De angelo mortem minitantem Moſi in itinere Ægypti. (Exodi 4. 24.) XVII. De illo: *Si factores legis iuſtificabuntur.* (Rom. 2. 13.) quomodo [d] qui in lege iuſtificantur, gratia excidunt.

a Rom. 1. 25.

b Expunge, quæ hoc loco in textu Græco verſione repetuntur, voces paucalas.

c Secundum τῶν LXX. verſ. nam vulg. O quam bonus & ſuauis eſt Domine, ſpiritus tuus in

d Galat. 5. 4. Euacuati eſtis à Chriſto, qui in lege iuſtificamini.

μθ΄. τί ἐστι πάλιν ἐν τῇ αὐτῇ βίβλῳ, καὶ προσηύξατο Εζεκίας ὁ βασιλεὺς, καὶ Ησαΐας υἱὸς Αμὼς, καὶ τὰ ἑξῆς. ν΄. τί ἐστι, καὶ πολλοὶ ἔφερον δῶρα τῷ κυρίῳ, καὶ δόματα Εζεκίᾳ τῷ βασιλεῖ Ιούδα. να΄. περὶ τοῦ, ὅτι τὸ ἀνταπόδομα ὃ ἀνταπέδωκεν αὐτῷ ὁ Θεὸς, ἀνταπέδωκεν Εζεκίας, καὶ τὰ ἑξῆς. νβ΄. περὶ Εζεκίου πάλιν, ὅτι ἔθαψαν αὐτὸν ἐν ἀναβάσει υἱῶν Δαυὶδ, καὶ τὰ ἑξῆς. νγ΄. περὶ τοῦ ἐν τῷ πρώτῳ Εσδρα, ὅτι γέγραπται περὶ Ζοροβάβελ, ἦρε τὸ πρόσωπον εἰς τὸν οὐρανὸν ἐναντίον Ισραὴλ, καὶ περὶ τῆς προσευχῆς αὐτοῦ. νδ΄. περὶ τοῦ, οἱ δὲ πάντες ἦσαν ἐξ Ισραὴλ ἀπὸ δωδεκαετοῦς, χωρὶς παιδίων καὶ γυναικῶν, μυριάδες [a] δ γ΄ τξ΄, καὶ τὰ ἑξῆς. νε΄. περὶ τοῦ ἐν τῷ δευτέρῳ Εσδρα γεγραμμένου, καὶ ἀκούσαντες οἱ ἐχθροὶ τῆς φυλῆς Ιούδα καὶ Βενιαμὶν, ἐληλύθασιν ἐπιγνῶναι τίς ἡ φωνὴ τῶν σαλπίγγων, καὶ τὰ ἑξῆς. νϛ΄. τί ἐστι πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη. νζ΄. περὶ τοῦ, ἐν ᾧ ἀγαλλιᾶσθε ὀλίγον ἄρτι, εἰ δέον ἐστὶ λυπηθέντας ὑμᾶς· καὶ ἑξῆς, πῶς τις λυπούμενος ἐν [b] πειρασμοῖς δύναται ἀγαλλιᾶσθαι. νη΄. περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προφῆται. νθ΄. περὶ τοῦ ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ προεγνωσμένου, ὑπό τινος προεγνωσμένου; ξ΄. τί ἐστιν, ὅτι καιρὸς τοῦ ἄρξασθαι τὸ κρίμα ἀπὸ τοῦ οἴκου τοῦ Θεοῦ, καὶ τὰ ἑξῆς. ξα΄. περὶ τοῦ δρεπάνου, ὃ εἶδε πετόμενον ὁ Ζαχαρίας. ξβ΄. περὶ τῆς χρυσῆς λυχνίας, ἣν εἶδεν ὁ αὐτὸς προφήτης. ξγ΄. τί ἐστιν, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνδρῶν, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστεράν. τίνες οἱ ἄνδρες, καὶ τίς ἡ δεξιὰ καὶ ἀριστερά; ξδ΄. διὰ τί κατὰ θάνατον Σαοὺλ τοῦ ἀδικήσαντος τοὺς Γαβαωνίτας, ὁ μηδὲν ἀδικήσας Δαυὶδ ἀπῃτήθη δίκας, λιμοῦ τὴν χώραν αὐτοῦ κατανεμομένου, ἕως ἐδωκε τοῖς ἐκ τοῦ σπέρματος Σαοὺλ ἑπτὰ ἄνδρας τοῖς Γαβαωνίταις.

Τούτων οὖν τὰς λύσεις ὁ θεῖος οὗτος ἀνὴρ καὶ γενναῖος ὁμολογητὴς ἀποδιδόναι ὑπέρχεται πόνον. ἔστι δὲ τὴν φράσιν φιλοτονεῖς τε ταῖς περιόδοις, καὶ χαίρων ὑπερβατοῖς, ἐνακμάζων τε ταῖς περιβολαῖς, καὶ κυριολογεῖν οὐκ ἐσπουδασμένος. ἐξ ὧν αὐτοῦ τῇ συγγραφῇ καὶ τὸ ἀσαφὲς καὶ [c] δυσεπίκτητον διατρέχει. τῷ τραχεῖ δὲ τῆς ὄγκου, ὅσα περὶ συνθήκην καὶ ἀναπαύσεις, τὸν λόγον ὑποβάλλων, οὐδ᾽ ἡδὺς εἶναι σπουδάζει τῇ ἀκοῇ. καὶ ἡ μεταφορὰ αὐτῷ τῶν λέξεων οὐκ εἰς τὸ χαρίεν καὶ γοητευόμενον πεπλούτηται, ἀλλ᾽ οὕτως ἁπλῶς καὶ ἀπεριμερίμνως παραλαμβάνεται. ὁ δ᾽ ἐγγὺς καὶ τοὺς περὶ αὐτὸν ἀποκναίει ἐσπουδακότας, πόρρω τοῦ γράμματος καὶ τῆς ἐγνωσμένης ἱστορίας, ἢ μᾶλλον καὶ αὐτοῦ τοῦ ἠπορημένου αἱ λύσεις αὐτοῦ περινοοῦνται. πλὴν εἴ τινι φίλον ἀναγωγαῖς καὶ θεωρίαις τὸν νοῦν ἀνελίσσειν, οὐκ ἂν ποικιλωτέραις οὐδ᾽ ἐσπουδασμέναις μᾶλλον ἢ ταύταις περιτύχοι. συλλέγει μὲν γὰρ καὶ τὰς παρ᾽ αὐτοῦ εἰς ἕνα τῶν ἠπορημένων εἰρημένα. ἐπισυνάπτει δὲ καὶ τὸ οἴκοθεν φιλοπονίας οὐδὲν ἔλαττον, εἰ μὴ καὶ μᾶλλον, τὸ γλαφυρόν τε καὶ περινενοημένον προβεβλημένα.

[a] τέσσαρες χιλιάδες τριακόσιαι.
[b] πειρασμῷ.
[c] δυσεπίκτητον διατρέχει.

XLIX. Quid iterum in eodem ipso libro: *Et orauit Ezechias Rex, & Esaias filius Amos*, & quæ sequuntur? (32. 20.) L. Quid est: *Et multi offerebant munera Domino, & dona Ezechiæ Regi Iuda.* (Ibid. V. 23.) LI. De illo: *Et non iuxta retributionem, quam [a] reddidit ipsi Deus, reddidit Ezechias*, & reliqua (ibid. v. 25.) LII. De Ezechia iterum: *Sepelierunt eum supra sepulchra filiorum Dauid*, & quæ sequuntur. (ibid. v. 33.) LIII. De eo, quod libro primo Esdræ de Zorobabel scriptum est: *Sustulit faciem in cœlum contra Israël.* & de oratione eius. (1. Esdræ 9. 6.) LIV. De illo: [b] *Omnes erant ex Israël ab anno duodecimo (exceptis pueris ac fœminis) myriades quatuor, tria millia, trecenti & sexaginta*, & quæ sequuntur. (3. Esdræ 5. 41. qui est in Græco primus.) LV. De illo, quod libro secundo Esdræ scriptum: *Et audierunt inimici tribus Iuda & Beniamin, & venerunt scire, quæ esset vox tubarum*, & quæ sequuntur. (ibid. v. 66. In Græco item non habentur hæc libro secundo, sed primo, cap. 5. sub fin.) LVI. Quid est: *Multum valet deprecatio iusti efficax.* (Iacobi 5. 16.) LVII. De illo; *In quo exsultatis modicum nunc, si opus est contristatos vos*, & reliqua. (1. Pet. 1. 6.) quomodo contristatus quis in tentationibus exultare queat. LVIII. De qua salute exquisierunt atque scrutati sunt Prophetæ (ibid. v. 10.) LIX. De illo: *Quasi immaculati & incontaminati Christi, præcogniti quidem ante constitutionem mundi.* (1. Petri 1. 19.) sed à quo præcogniti? LX. Quid est: *Quoniam tempus incipi iudicium à domo Dei*, & reliqua? (1. Pet. 4. 17.) LXI. De [c] falce, quam volantem vidit Zacharias, (Zach. 5. 1.) LXII. De candelabro aureo, quod idem vates cóspexit. (Zach. 4. 2.) LXIII. Quid est: *In qua habitant plures quam centum viginti millia virorum, qui non cognouerunt dextram suam aut sinistram?* (Ionæ 4. 11.) Quinam hi viri sunt, quæque dextra & sinistra? LXIV. Quare post mortem Saul; qui Gabaonitas iniuria affecerat, ab innoxio Dauide pœna exacta fuerit, fame eius regione vexata, donec traderet ex semine Saul septem viros Gabaonitis. (2. Regum 21. 1.) Has igitur soluere quæstiones diuinus ille vir & Confessor egregius allaborauit.

Oratio eius comprehensionibus continenter producitur, gaudétque hyperbatis, circumductionibus quoque inualêscens: etsi propriè loqui minime satagit. Ex quibus per scriptum hoc eius, & obscuritas, & difficultas illud comprehendendi passim decurrit. Asperitatem deinde tumidioris dictionis, (quantum ad compositionem cessationésque) sua in oratione sectatus, ne auditu quidem esse iucundus studet. Verborum insuper translatio, nequaquam ad gratiam colligendam lectorémque pelliciendum floride composita est; sed simpliciter atque incuriosè assumitur. Idem præterea sui studiosos propemodum obtundit: [d] adeo procul à littera & nota historia, siue potius ab eo ipso, quod petitum erat, solutiones ipsius recedunt. Tantum si cui forte gratum Anagogicis ac contemplationibus mentem implicare, nunquam is sane reperiat hisce aut magis varias, aut diligentius elaboratas. Etenim cum aliorum colligit sententias in dubiis quibusdam pronunciatas, tum & adiicit, quæ ipsius diligentiæ nihilo his minorê, si non maiorem, præferunt venustatem atque solertiam.

MAXIMVS.

[a] Melius hic τῶν L X X. Interp. Rom. edit. ἔδωκεν.

[b] Hæc paulò aliter cum in Græca, tum in Lat. edit. leguntur.

[c] In vulgatâ editione legitur volumen volans.

[d] Hæc ego ob sententiam commodiorem ordine à superiori versa restitui.

MAXIMVS Monachus

Vbique autem viri pietas, & purum germanúmque Christi desiderium elucet.

πανταχοῦ δὲ τὸ εὐσεβὲς αὐτοῦ καὶ τὸ εἰς χριστὸν πόθου τὸ καθαρὸν καὶ γνήσιον διαλάμπει.

CXCII. * Distinguendi gratia hic nouela fuit ad repetitum male numerum addiscenda.

EIVSDEM B. MAXIMI *Epistola XVII:*

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΣΤΟΛΑΙ κζ.

LECTÆ adhæc *variæ eiusdem epistolæ* de rebus necessariis, & animo vtilibus, iis (maxime) qui mores suos corrigere, mentémque in pietate excitatam conseruare student, numero viginti septem. Harum erat vna bene longa ad Ioannem Philosophum missa: cuius hæc fere ª capita, Primum, Increpatio eorum, qui hæreticorum sectatores, ac potissimum Seueri, defendendos susceperunt. Alterum deinde, Oportere omni ratione traditam nobis incorruptam seruare Religionem. Tertium, De differentia, quáque ratione confiteri piè liceat, duas in CHRISTO post vnionem naturas. Quartum est, Numerum neque diuidere, neque diuidi, nec diuisionem in vniuersum vllam secundum propriam rationem adferre iis, quibus additur. Quintum, Quomodo piè numerus ad indicandam differentiam adhibeatur.

a Quæ pene omnia repetita leges ad Petrū illustrem inf. Cod. seq.

ΕΤΙ ΑΝΕΓΝΩΣΘΗΣΑΝ αὐτοῦ καὶ ἐπιστολαὶ περὶ διαφόρων ὑποθέσεων, ἀναγκαίων τε καὶ ψυχωφελῶν τοῖς ὀρθοῦν τε τὰ ἤθη, καὶ τὸν νοῦν ἐγρηγορότα συντηρεῖν πρὸς τὴν εὐσέβειαν ἐσπουδακόσι, τὸν ἀριθμὸν ζ΄ καὶ κ΄. ὧν ἦν μία πολύστιχος, καὶ ἡ πρός τινα φιλόσοφον Ιωάννην. ἧς ἐστι τὰ κεφάλαια· πρῶτον ἐπιτίμησις τοῖς ἐκδικοῦσι τοὺς αἱρετίζοντας, καὶ μάλιστα τοὺς ἀπὸ Σευήρου. δεύτερον, ὅτι δεῖ παντὶ * τρόπῳ τὴν παραδεδομένην ἀπαράτρεπτον εὐσέβειαν διαφυλάττειν. τρίτον περὶ διαφορᾶς, καὶ πῶς ἐστιν εὐσεβῶς δύο φύσεις ἐπὶ χριστοῦ μετὰ τὴν ἕνωσιν ὁμολογεῖν. τέταρτον, ὅτι ὁ ἀριθμὸς οὔτε διαιρεῖ, οὔτε διαιρεῖται, οὔτε διαίρεσιν εἰσάγει κατὰ τὸν ἴδιον λόγον τὸ σύνολον, οἷς ἐπιλέγεται. πέμπτον, πῶς εὐσεβῶς ὁ ἀριθμὸς πρὸς δήλωσιν τῆς διαφορᾶς παραλαμβάνεται.

ρπϛ. Eiusdem Maximi Epistolæ.

* al. τρόπῳ

Sextum, Quomodo B. Cyrilli dictum epistola ad Succensum sit accipiendum. Non etiam pugnare hanc vocem *in duabus*, cum iis, qui dicunt vnam Verbi naturam carnem esse factam, nisi ex opinione Nestorij impiè sumatur. Septimum, Rerum siue ᵇ Substantiarum in CHRISTO, esse differentiam, non qualitarum; omnémque adeo differentiam necessitate quadam adducere secum eorum, quorum est, quantitatem: quemadmodum rursum quantitas (siue continua illa sit, siue discreta) numerum se exprimentem adducit. VIII. Impiè dici, Christum vnam esse compositam naturam: illúdque cum veritate pugnare. IX. De hypostasi composita, & breuis expositio receptarum de fide vocum, quæ rectè de Christo ex vsu Ecclesiæ catholicæ proferuntur. X. De Hypostasi composita magis naturalis disputatio, vna cum accurata demonstratione, quod in eadem nequaquam incidant, qui Christum profitentur vnam compositam hypostasin, cum iis, qui vnam eum dicunt esse compositam naturam. XI. Per assumptionem factam esse solam illam Verbi cum carne vnionem, tamquam præexistentis, & ad vnionem carnis vniri volentis: quod in alio omnino composito minime obseruetur. In aliis enim, non per alterutrius assumptionem fit vnio, sed ambobus, ex eo quod non est, ad compositi perfectionem atque constitutionem concurrentibus. Hæc ergo est ad Ioannem epistola, & eius illa capita.

b Naturarum quoque vertas, vt apud Theophyl.

ἕκτον, πῶς χρὴ νοεῖν τὴν κειμένην ῥῆσιν ἐν τῇ πρὸς Σούκενσον ἐπιστολῇ τοῦ ἁγίου Κυρίλλου καὶ ὅτι οὐ μάχεται, ἡ ἐν δύο φωνὴ τοῖς λέγουσι μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, εἰ μὴ κατὰ τὸ τοῦ Νεστορίου δοκοῦν, ἀσεβῶς λαμβανομένη. ἕβδομον, ὅτι πραγμάτων, ἤγουν οὐσιῶν ἐπὶ χριστοῦ ἡ διαφορά, ἀλλ' οὐ ποιοτήτων· καὶ ὅτι πᾶσα διαφορὰ ἐξ ἀνάγκης συνεισάγει ἑαυτῇ τὴν ὧν ἐστι ποσότητα· καὶ ἡ ποσότης πάλιν τὸν ἑαυτῆς σημαντικὸν ἀριθμόν, κἄν τε συνεχὴς ἐστὶ κἄν τε διῃρημένη. ὄγδοον, ὅτι ἀσεβὲς ἐστὶ τὸ λέγειν μίαν σύνθετον φύσιν τὸν Χριστόν, καὶ τῇ ἀληθείᾳ μαχόμενον. ἔνατον, περὶ ὑποστάσεως συνθέτου, καὶ ἔκθεσις σύντομος τῶν ἐκδοχῆς τῶν ὀρθῶς ἐπὶ χριστοῦ κατὰ τὴν καθολικὴν ἐκκλησίαν ὁμολογουμένων τῆς πίστεως φωνῶν. δέκατον, περὶ ὑποστάσεως συνθέτου φυσικωτέρα διάληψις· καὶ ἀπόδειξις ἀκριβής, τοῦ μὴ τοῖς αὐτοῖς περιπίπτειν τοὺς ὁμολογοῦντας μίαν σύνθετον ὑπόστασιν τὸν χριστόν, τοῖς μίαν αὐτὸν σύνθετον λέγουσι φύσιν. ἑνδέκατον, ὅτι κατὰ πρόσληψιν ἡ πρὸς τὴν σάρκα μόνη τοῦ λόγου γέγονεν ἕνωσις, ὡς προόντος, καὶ πρὸς ἕνωσιν σαρκὸς ἑνωθῆναι θελήσαντος· ὅπερ οὐκ ἔστιν ὅλως ἐπ' ἄλλου τῶν συνθέτων ἰδεῖν. ἐπὶ γὰρ τῶν ἄλλων, οὐ κατὰ πρόσληψιν θατέρου ἡ ἕνωσις γίνεται, ἀλλ' ἀμφοῖν * συνιόντων ἐκ τοῦ μὴ ὄντος εἰς τὴν τοῦ συνθέτου συμπλήρωσιν καὶ ὑπόστασιν. ἡ μὲν οὖν πρὸς Ιωάννην ἐπιστολὴ αὕτη, καὶ τὰ ἐν αὐτῇ κεφάλαια.

S. Cyrilli epistola ad Succensum.

* al. συνόντων.

Reliquarum deinde tres datæ ad Thalassium Presbyterum ac Præfectum: duæ ad Ioannem Cubicularium, totidem ad Sophronium monachum cognomento Eucratam: vna ad Ioannem Sophistam, & altera ad Ianiam Præfectam. Iterum vna Thalassio præfecto ac presbytero missa, altera Iordanæ presbytero, Stephanóque præfecto ac presbytero. Vna quoq; Cyrisicio Episcopo, rursúmque altera Ioanni Cubiculario, similiter & Stephano Præfecto,

Τῶν δ' ἄλλων ἐπιστολῶν τρεῖς μέν εἰσι πρὸς Θαλάσσιον πρεσβύτερον καὶ ἡγούμενον, δύο δὲ πρὸς Ιωάννην Κουβικουλάριον, δύο δὲ πρὸς Σωφρόνιον μονάζοντα τὸν ἐπίκλην Εὐκρατᾶν καὶ μία πρὸς Ιωάννην σοφιστήν, καὶ μία πρὸς Ιανίαν ἡγουμένην· καὶ μία Θαλασσίῳ ἡγουμένῳ καὶ πρεσβυτέρῳ, καὶ μία Ιορδάνῃ πρεσβυτέρῳ, καὶ Στεφάνῳ ἡγουμένῳ καὶ πρεσβυτέρῳ, καὶ μία Κυρισικίῳ ἐπισκόπῳ καὶ μία ἑτέρα Ιωάννῃ Κουβικουλαρίῳ, ὁμοίως καὶ Στεφάνῳ * ἡγουμένῳ,

καὶ μία

καὶ μία Κόνωνι πρεσβυτέρῳ καὶ ἡγουμένῳ· ἔτι Θαλασσίῳ ἡγουμένῳ, καὶ πρεσβυτέρῳ, καὶ δύο Ἰωάννῃ ἐπισκόπῳ. ἔτι Ἰωάννῃ Κουβικουλαρίῳ περὶ τῆς κατὰ Θεὸν λύπης· καὶ Κωνσταντίνῳ ἰλλουστρίῳ καὶ ἀπὸ σακελλαρίων, δύο· καὶ τῷ ἀββᾷ Πολυχρονίῳ τρεῖς· καὶ πρὸς Ἰουλιανὸν Ἀλεξανδρέα, ἀπὸ τῆς τῶν ἀκεφάλων αἱρέσεως ἐπιστραφέντα, μία. καὶ ὡς ἀπὸ Γεωργίου ἐπάρχου Ἀφρικῆς πρὸς μοναστρίας ἀποκοινωνησάσας ἐν Ἀλεξανδρείᾳ, μία. ἐν ταύταις οὖν ἁπάσαις ταῖς ἑπτὰ καὶ εἴκοσιν ἐπιστολαῖς, ὁ μὲν ἄλλος χαρακτὴρ αὐτοῦ τῶν λόγων καὶ ἡ εὐσέβεια μάλιστα διαπρέπει: τὸ δ᾽ ἀσαφὲς, εὖγε τοῦ ἀνδρὸς ποιοῦντος, καὶ τιμῶντος ἐπιστολῆς κατὰ τοῦτο νόμους, οὐκ ἔχει τὸ ἀνοικονόμητον. δῆλον δ᾽ ὅτι καὶ ἃ τὴν ἀσάφειαν ἐποίει, τὰ μὲν ἔρριπται, τὰ δὲ κεκόλασται.

MAXIMVS.

cum vna ad Cononem Presbyterum ac præfectum. iterum Thalassio præfecto ac Presbytero, & duæ ad Ioannem Episcopum. Rursum Ioanni Cubiculario, De eo, qui secundum Deum est dolore, & Constantino Illustri ac Sacellario duæ. Abbati quoque Polychronio tres, & ad Iulianum Alexandrinum, ab Acephalorum hæresi conuersum, Epistola vna, alteráq; [a] Georgij Africæ Præfecti nomine ad Monachas excommunicatas Alexandriæ.

a Idem alicubi Gregorius appellatus legitur.

In his omnibus viginti septem epistolis, cum alia eiusdem dicendi forma & pietas potissimum enitet, tum obscuritas (euge vitum, qui hac in parte saltem epistolæ colat leges atque obseruet) nusquã temerè adhibita fuit. Liquet verò, quædam, quæ obscuritatem [b] adferebant, partim hic esse reiecta, partim castigata.

b In cæteris B. Maximi scriptis.

ΤΟΥ ΑΥΤΟΥ ΑΣΚΗΤΙΚΟΣ ΛΟΓΟΣ, καὶ ἑτέρα πραγματεία περὶ ἀγάπης, ἐν υ´ κεφαλαίοις.

ρϟγ´.
B. idem Maximi liber Asceticus, & centuria de Dilectione.

ΕΤΙ ΑΝΕΓΝΩΣΘΗ τοῦ αὐτοῦ ἁγίου Μαξίμου λόγος ἀσκητικὸς, εἰς πεῦσιν ἐσχηματισμένος καὶ ἀπόκρισιν. καὶ χρήσιμος μὲν ἅπασιν ὁ λόγος, μάλιστα δ᾽ οἷς ἄσκησις ἡ πολιτεία. ἠθῶν γὰρ δι᾽ ὧν ἄν τις οὐρανοπολίτης γένοιτο, ἐστὶ διδάσκαλος καὶ γεωργός· μάλιστα δὲ τῆς ἀγάπης καὶ τὴν γνῶσιν καὶ τὴν ἐργασίαν πολλὰς ἐνδίδωσιν ἐπελθεῖν ἀφορμάς. συνετέτακτο δὲ καὶ ἑτέρα πραγματεία, εἰς τετρακόσια κεφάλαια πληρουμένη, ἣ καὶ προσπεφώνητο Ἐλπιδίῳ τινὶ, ὁσιότητι καθωσιωμένῳ. καὶ αὐτὸς μὲν ὁ συγγραφεὺς περὶ ἀγάπης τὸν πόνον ἐπιγέγραφεν ἴσως, ὅτι ταύτην τε ἀρχὴν γράμματι ὑποβάλλεται, καὶ ἀλλαχοῦ πολλάκις περὶ αὐτῆς καταβάλλεται λόγον. οὐ μὴν ἀλλὰ γὰρ καὶ πολλῶν προβλημάτων τε καὶ θεωρημάτων, οἷς θεολογία κρατύνεται, καὶ ἃ τὸν ὅσιον βίον καὶ καθαρὸν ποιεῖ, ἱκανήν ἐστιν ἐν αὐτοῖς τις* φιλοπόνως αὐτὰ μετιοῦσι καρπώσασθαι τὴν ὠφέλειαν. καὶ τὸ εἶδος αὐτοῦ τοῦ λόγου, εἰς τὸ λευκόν τε καὶ εὔτονον, ἤπερ οἱ ἄλλοι, διατυποῦται, καὶ οὐδὲν παρέχει ὃ ἄν τις διερευνήσῃ μωμήσασθαι. πλὴν ἐφ᾽ ὅπῃ τὴν ἀττικὴν τῆς ἄλλης φωνῆς οὐ προκρίνει.

* al. φιλοπόνοις.

EIVSDEM B. MAXIMI *Liber Asceticus, & Centuria de Dilectione.*

CXCIII.

LEGEBATVR etiam eiusdem B. MAXIMI *Liber Asceticus*, per interrogationem responsionémque conformatus. Vtilis sane omnibus, tum vero iis maximè, qui pietatis studio deditam ducunt vitam. Eorum enim morum Magister est, & cultor, quibus cœli ciuis quis euadat: maximéque charitatis, partim notitiam, partim exercitationem consequendi, variam sane opportunitatem præbet.

Erat in eodem volumine [a] *Opus quadringentorum capitum*, Elpidio cuidam sanctitatis studioso inscriptum, cui titulum ipsemet scriptor indidit *De Charitate*. Idcirco fortasse, quod inde exordium sumpserit, & alibi frequenter de eadem disserat. Quanquam & è multis ibidem Problematis ac Theorematis (quibus cum Theologia firmatur, tum sanctior ac purior hominis vita redditur) copiosum sane colligere fructum queant ij, qui hæc diligenter perlegant.

a Græce olim & Latine in Germania editum.

Dictionis genus candidum præ cæteris atque tornatum hic instituitur: nec quidquam ibi adfert, quod reprehendẽdi causa quispiam excutere possit. tantum alicubi voces Atticas cæteris non anteponit.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΓΕΩΡΓΙΟΝ Ἔπαρχον ἐπιστολὴ καὶ λόγοι β´, ἐν οἷς θεολογικὰ καὶ ἠθικὰ κεφάλαια σ´. καὶ ἐπιστολαὶ ε´.

ρϟδ´.
Eiusdem Maximi epistola ad Georgium parachum.

ΕΤΙ ΑΝΕΓΝΩΣΘΗ τοῦ αὐτοῦ ἁγίου ἀνδρὸς πρὸς Γεώργιον ἔπαρχον ἐπιστολὴ, πολλῆς ὠφελείας καὶ κατανύξεως γέμουσα· καὶ τὸ τῆς φράσεως αὐτῆς εἰς τὸ σαφές τε καὶ ἠθικὸν, ἀπεστιγμένον πρὸς τὰ τετρακόσια κεφάλαια τὴν συγγένειαν ἀνόθευτον δείκνυσιν ὅτι διασώζει. Ἐν δὲ τῷ αὐτῷ τεύχει συνανεγνώσθη λόγος, κεφαλαίοις ἑκατὸν διειλημμένος. καὶ ἕτερος ὁμοίοις τοῖς ἴσοις ἀπηρτισμένος. ἐν οἷς θεολογία τε διαλάμπει, καὶ ἠθῶν διακόσμησις διαπρέπει. καὶ οὐκ ἂν ἐν οὐδενὶ τὸ ὁμοφυὲς αὐτοῖς πρὸς τὰ τετρακόσια κεφάλαια ἐνοθεύετο, εἰ μὴ τὸ ἀλληγορικὸν ἐν πολλοῖς ὑποβαλλόμενον, καὶ ὁμόφυλά πως αὐτὰ παρ[illegible] ἦν τῇ συντάξει

EIVSDEM B. MAXIMI *Epistola ad Georgium Eparchum.*

CXCIV.

Theologicorum, Moraliúmque Capitum Centuriæ, siue libri II. Epistolæ V.

LECTA præterea est eiusdem sancti viri *Epistola ad Georgium Eparchum*, perutilis sane & compunctionis plena. Dictio verò eius in perspicuitatem & lenitatem excurrens, minimè spuriam sese retinere cum quadringentis illis capitibus quasi cognationem satis declarat.

In eo ipso volumine lectus [a] *Liber centum cõstans capitibus, & Alter item totidem capitibus absolutus*, in quibus non solùm diuinarũ rerum scientia elucet, sed moribus quoq; exornandis apta doctrina excellit. Quoruquidẽ nulla inter cũ quadringẽtis illis capitib. similis geni* adulteraretur, si non suppositæ plerisque allegoriæ, affinia hæc ei scripto quodámodo efficerent,

a Hidas argumenti Centur. septem in Biblioth. Vatic. extare adfirmat Card. Baronius Tom. VIII. Annal. et & Augustini in Sud.

MAXIMVS. [illegible]

quod diligentem illam Dubiorum ac Solutionum è sacra scriptura explanationem persequitur, Thalassio Presbytero ac Præfecto dedicatum. Quanquam horum etiam librorum cum illis capitibus cognatio, per affinitatem cum hoc scripto [confirmata,] omnes repellat causas [suspicandi] suppositum eum esse fœtû.

In eodem simul volumine legebantur *varia eiusdem Epistolæ*: quarum prima ad Petrum Illustrem. Eius titulus: *Oratio breuis de mysterio Christi Domini, & aduersus Seueri dogmata.* [a] Capita hæc. De Numero è natura magis petita tractatio. De Differentia & Qualitate accuratius, déque horum orthodoxa professione. Pro blasphemia habendum, si quis ita simpliciter dicat, Christum vnam esse naturam. De composita natura, eiúsque ratione: & impiè à quibusdam dici, Christum vnam esse compositam naturam. Qui dixerit Christum Deum & hominem post vnionem, is simul cum ipsis nominibus confitetur naturas necessario post vnionem esse; rectè, vt apparet, & consequenter iis quæ dixit, credere volens. De voce *In duabus*. Recta confessio vnius naturæ Verbi ex Patrum sententia, & reiectio vnius compositæ naturæ.

De hypostasi composita magis naturalis disputatio. Demonstratio item, Non in eadem incidere absurda, qui Christum esse vnam compositam hypostasin confitentur, cum iis, qui ipsum esse asserût vnam compositam naturam. Per solam assumptionem factam esse illam secundum carnem vnionem [verbi] tanquam præexistentis & voluntate [b] vnionem cum carne operantis. Hæc ad Petrum Illustrem.

Altera deinde ad Cosmam diaconum Alexandrinum scribitur, De Communi & Proprio, siue De Essentia & Subsistentia. Huius Caput primum è natura præcipuè petita probatio est: Nihil videlicet eorum quæ sunt, idem etiam secundum essentiam & subsistentiam cum altero esse, propterea quod idem nequaquam sit essentia atque subsistentia; adeo vt quæ essentia eadem sunt, subsistétia [saltem] distinguantur; & [contra] quæ subsistentia eadem, essentia sint atque natura diuersa. Secundum caput ista exponit. Christus rationibus quidem communibus secundum essentiam propriarum partium cum extremis vnitus, saluam in reliquis partium distinctionem retinebat; at verò proprietatibus harum partium veluti totum quoddam ambarum commune, Hypostasin exhibebat. Tertium. Quæ secundum hypostasin communes erant rationes partium, totum ipsum, id est Christum, distinguebant ab extremis: quæ vero secundum essentiam erant communia partium ad extrema, Christum veluti totum essentialiter cum extremis iungebant.

Quartum. Cum Christus Deus perfectus esset, idemque homo perfectus, [simul &] quod commune his erat habebat, & quod proprium; quibus & extremorum ad seipsum vnionem efficiebat, ac discretionem. Per vnionem quidem extremorum, secum saluas in seipso naturas, ex quibus compositus est, testatum faciens, sed discretione extremorum à se, propriæ hypostaseos exhibens vnitatem. Quintum. Breuis de Differentia disputatio, qua ostéditur essentialem vnitorum quantitatem saluam retineri. Sextum. Fusior magisque Philosophica tractatio de Differentia (&) Quantitate, ac de Numero. qui harum index est.

[a] Supra quoque CCXCII. ad Ioannem Phil. [illegible] suum præscripta.

[b] Verti verendo ex epistola ad Petrum Illustrem supr.

ἤ τις *γραφικῶν ἀπορημάτων καὶ λύσεων ἔκθεσιν σπουδάζει, καὶ Θαλασσίῳ ἐστὶ πρεσβυτέρῳ καὶ ἡγουμένῳ προσπεφωνημένη. καὶ τὸ πρὸς ταῦτα δὲ συγγενὲς διὰ τῆς πρὸς ἐκείνην οἰκειώσεως *ὑπερβολιμαῖον εἶναι, λογισμοὺς ἀναρριπίζει. Ἐν ταὐτῷ δὲ συνανεγνώσθησαν τοῦ αὐτοῦ ἐπιστολαὶ διάφοροι. ὧν πρώτη μὲν πρὸς Πέτρον Ἰλλούστριον, ἧς ἡ ἐπιγραφὴ μὲν, περὶ τοῦ κατὰ Χριστὸν μυστηρίου λόγος ἐπίτομος, καὶ κατὰ τῶν Σευήρου δογμάτων: κεφάλαια δὲ τάδε· περὶ ἀριθμοῦ φυσικωτέρα διάληψις. περὶ διαφορᾶς καὶ ποιότητος ἀκριβέστερον· καὶ τῆς αὐτῶν εὐσεβοῦς ὁμολογίας. ὅτι βλάσφημον τὸ λέγειν οὕτως ἁπλῶς, τὸν Χριστὸν μίαν φύσιν. περὶ συνθέτου φύσεως, καὶ τοῦ κατ' αὐτὴν λόγου· καὶ ὡς ἀσεβοῦσιν οἱ λέγοντες, τὸν Χριστὸν σύνθετον μίαν φύσιν. ὅτι ὁ λέγων τὸν Χριστὸν θεὸν καὶ ἄνθρωπον μετὰ τὴν ἕνωσιν, συνομολογεῖ τοῖς ὀνόμασι τὰς φύσεις ἐξ ἀνάγκης μετὰ τὴν ἕνωσιν, ὀρθῶς δηλονότι καὶ ἀκολούθως οἷς λέγει, πιστεύειν ἡρημένος. περὶ τῆς, ἐν δύο, φωνῆς. περὶ τῆς μιᾶς τοῦ λόγου φύσεως εὐσεβὴς ὁμολογία κατὰ τοὺς πατέρας, καὶ ἀθέτησις τῆς μιᾶς συνθέτου φύσεως. περὶ ὑποστάσεως συνθέτου, φυσικωτέρα διάληψις, καὶ ἀπόδειξις, ὡς οὐχὶ τοῖς αὐτοῖς ἀτόποις περιπίπτουσιν οἱ μίαν σύνθετον ὑπόστασιν ὁμολογοῦντες τὸν Χριστὸν, τοῖς μίαν αὐτὸν σύνθετον λέγουσι φύσιν. ὅτι κατὰ πρόσληψιν μόνην ἡ κατὰ σάρκα γέγονεν ἕνωσις, ὡς προόντος, καὶ θελήματι τὴν πρὸς σάρκα διαπραξαμένου κένωσιν. ἀλλ' ἡ μὲν πρὸς Πέτρον Ἰλλούστριον.

Ἑτέρα δὲ πρὸς Κοσμᾶν διάκονον Ἀλεξανδρείας, περὶ κοινοῦ καὶ ἰδίου, τουτέστιν οὐσίας καὶ ὑποστάσεως. ἧς κεφάλαιον, κατασκευὴ φυσικωτέρα, ὡς οὐδὲν τῶν ὄντων ἑτέρῳ τινὶ ταὐτόν ἐστι καθ' οὐσίαν καὶ ὑπόστασιν, διὰ τὸ μὴ ταὐτὸν εἶναι οὐσίαν καὶ ὑπόστασιν: ἀλλὰ τὰ μὲν κατ' οὐσίαν ταυτὰ, ταῖς ὑποστάσεσιν ἕτερα· ἃ δὲ *ταυτὰ κατὰ τὴν ὑπόστασιν, κατ' οὐσίαν ἢ φύσιν διάφορα. δεύτερον, ὅτι ὁ Χριστὸς τῇ μὲν κατ' οὐσίαν τῶν οἰκείων μερῶν πρὸς τὰ *ἄκρα κοινότητι ἡνωμένος, τὴν πρὸς ἄλληλα τῶν μερῶν σωζομένην εἶχε διαφοράν· ταῖς δὲ τῶν μερῶν ἰδιότησι τὸ καθ' ὑπόστασιν ἐπεδείκνυ ὡς ὅλον κοινὸν ἀμφοτέρων. τρίτον, ὅτι τὰ μὲν καθ' ὑπόστασιν κοινὰ τῶν μερῶν, τὸ ὅλον, ἤγουν *ἀφώριζον τῶν ἄκρων. τὰ δὲ κατ' οὐσίαν πρὸς τὰ ἄκρα κοινὰ τῶν μερῶν, ὡς ὅλον συνῆπτε τοῖς ἄκροις οὐσιωδῶς τὸν Χριστόν. τέταρτον, ὅτι θεὸς ὑπάρχων τέλειος ὁ Χριστὸς, καὶ ἄνθρωπος τέλειος ὁ αὐτὸς, εἶχε τὸ κοινὸν αὐτῶν καὶ τὸ ἴδιον· οἷς πρὸς ἑαυτὸν ἐποιεῖτο τὴν τῶν ἄκρων ἕνωσιν καὶ διάκρισιν· τῇ μὲν πρὸς ἑαυτὸν ἑνώσει τῶν ἄκρων, ἐν ἑαυτῷ σωζομένας τὰς ἐξ ὧν συνετέθη φύσεις πιστούμενος· τῇ δὲ πρὸς ἑαυτὸν διακρίσει τῶν ἄκρων, τὸ μοναδικὸν τῆς οἰκείας *παριστὰς ὑποστάσεως. πέμπτον, περὶ διαφορᾶς διάληψις σύντομος: δι' ἧς δείκνυται τὸ κατ' οὐσίαν ποσὸν τῶν ἡνωμένων, σωζόμενον. ἕκτον, κατασκευὴ πλατυτέρα καὶ φυσικωτέρα περὶ διαφορᾶς ποσότητος, καὶ τοῦ δηλοῦντος αὐτὰς ἀριθμοῦ.

* al. συγγραφικῶν.
* al. ἐπιβολιμαῖον.
τὰ κατὰ τῶν Σ. [illegible] αἱρέ[illegible]
* al. αὐτὰ.
* al. ἄκρα κοινότησιν.
* τὸ χωρίζον. [illegible]
* al. παραστάς.

ζ, ὅτι ὁ μὴ ταὐτὸν εἰδὼς φύσιν καὶ ὑπόστασιν, εὐσεβῶς ἐπὶ Χριστοῦ δογματίζει τὴν ἕνωσιν καὶ τὴν διαφοράν· ὧν τὸ μὲν ὁρᾶται κατὰ τὴν ὑπόστασιν, τὸ δὲ κατὰ τὴν φύσιν. η, ὅτι Σεβῆρος ταὐτὸν εἶναι βιαζόμενος φύσιν καὶ ὑπόστασιν, συγχεῖ τὴν ἕνωσιν, καὶ ποιεῖ διαίρεσιν τὴν διαφοράν: καθ' ἣν δείκνυται καὶ τὸν τῆς τριάδος εἰς τετράδα διασκεδάζων λόγον, καὶ τὸ τῆς μιᾶς θεότητος κατατέμνων εἰς δυάδα μυστήριον, καὶ πάσης τὸν Χριστὸν ὑπερορίζων[*] οὐσιώδους ὑπάρξεως. θ' ἔκθεσις σύντομος μετὰ τῆς ὀρθῆς συνηγορίας τῆς ἀληθοῦς τῶν πατέρων ὁμολογίας. ἀλλ' ἐν τούτοις μὲν καὶ αὕτη. καὶ δῆλον καὶ ἐξ αὐτῶν τῶν κεφαλαίων τὸ εἰς εὐσέβειαν χρήσιμον. καὶ ἡ φράσις δὲ ὡς ἐν τοιαύτῃ τὸ σαφὲς διώκει καὶ οὐκ ἄκομψον.

* ὑπεροςίζων.

ἔτι δὲ πρὸς Πύῤῥον [ἔτι] βαθμὸν πρεσβυτέρου ἔχοντα, καὶ οὔπω τῆς ἀρχιερατικῆς ἐπιβάντα καθέδρας· θαυμάζει δ' ἐν αὐτῇ τὸν Πύῤῥον, καὶ εὐσεβῆ γνῶσιν αὐτοῦ καὶ ὁσιότητα ἐπιμαρτύρεται. ἀλλὰ καὶ περί τινων, ὡς ἔοικεν, ἀξιώσαντος αὐτοῦ γραφῆναι: ὁ σοφὸς Μάξιμος οὐ μόνον παραιτεῖται, ἰσχνόφωνον ἑαυτὸν, καὶ βραδύγλωσσον ἀποκαλῶν· ἀλλὰ ἀνταξιοῖ αὐτὸν γράμματι μᾶλλον διδάξαι, τίς ἡ ἐνέργεια, καὶ ὁσαχῶς; καὶ τί παρὰ ταύτην ἐστὶ τὸ ἐνέργημα; καὶ τί τούτων διενήνοχεν ἡ πρᾶξις καὶ τὸ ἔργον; καὶ πῶς ἐστὶ λέγειν ἢ ἐννοεῖν τὴν μίαν ἐνέργειαν. ἀλλ' ἐν τούτοις μὲν καὶ ἡ πρὸς Πύῤῥον.

Γράφει δὲ καὶ πρὸς Θωμᾶν τινα, αἰτησάμενον ῥητῶν τινῶν ἀπορουμένων ἐπιλύσεις. τὰ δὲ ῥητὰ τοῦ θεολόγου τέ ἐστι Γρηγορίου, καὶ τοῦ θείου Διονυσίου. ἐκ μὲν τοῦ περὶ υἱοῦ, εἰς τὸ· διὰ τοῦτο μονὰς ἀπ' ἀρχῆς κινηθεῖσα, καὶ τὰ ἑξῆς καὶ μονάδος μὲν κινηθείσης, διὰ τὸ πλούσιον, ὅπερ ἐστὶν ἐκ τοῦ δευτέρου εἰρηνικοῦ. β. εἰς τὸ, ἑνὶ δὲ κεφαλαίῳ, καὶ τὰ ἑξῆς. τρίτον, ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ, οὗτος γὰρ ὁ νῦν σοι καταφρονούμενος, καὶ τὰ ἑξῆς. τέταρτον, ὡς μὲν γὰρ λόγος, οὔτε ὑπήκοος ἦν, οὔτε ἀνήκοος, καὶ τὰ ἑξῆς. τὸ δέ γε θεσπεσίου Διονυσίου, εἰς τὸ, πῶς φὴς ἰησοῦς ὁ πάντων ἐπέκεινα, πᾶσίν ἐστιν ἀνθρώποις οὐσιωδῶς συντεταγμένος, καὶ τὰ ἑξῆς. καὶ εἰς ἕτερα διάφορα. καὶ ταῦτα μὲν ἐν τῇ πρὸς Θωμᾶν πρώτῃ ἐπιστολῇ. ἐν δὲ τῇ δευτέρᾳ, οἷον ἐπανάληψιν ἐνίων ῥητῶν τῶν προσαφηνισθέντων ἐκ τῆς θεολογικῆς συντάξεως ποιεῖται, καὶ πρός γε τὸ διὰ μέσου νοὸς ὁμιλήσας σαρκὶ ἕως τοῦ κρείττονος ἐκνικήσαντος, ὁμοίως ἑρμηνεύει. ἀλλὰ ταῦτα μὲν ἐν τούτοις.

ΤΟΥ ΑΥΤΟΥ ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ Μαριανὸν· καὶ διάλογος περὶ τῶν δύο θελημάτων, καὶ τῶν δύο ἐπὶ Χριστοῦ ἐνεργειῶν.

ρϟε'. Eiusdem Maximi epistola ad Marianum.

ΑΝΕΓΝΩΣΘΗ τοῦ αὐτοῦ ἁγίου ἀνδρὸς ἐπιστολὴ, ἥτις Μαριανῷ πρεσβυτέρῳ προσπεφώνηται. ἐν ᾗ περί τε φυσικοῦ θελήματος, ἤτοι θελήσεως διέξεισι καὶ βουλήσεως· καὶ βουλῆς ἤτοι βουλεύσεως· περί τε προαιρέσεως, καὶ περὶ τίνων βουλευόμεθα· καὶ περὶ γνώμης, καὶ ἐξουσίας καὶ δόξης· καὶ περὶ φρονήματος, εἴτουν φρονήσεως· καὶ ὡς οὐ κατὰ πάντα τρόπον ἓν ἔσται μετὰ τὴν ἀνάστασιν τὸ θέλημα πρὸς ἀλλήλους τῶν ἁγίων καὶ τοῦ θεοῦ, καὶ

ΑΝΕΓΝΩΣΘΗ τοῦ μακαρίου Θεοδωρήτου, ἐπισκόπου Κύρου, ἑρμηνεία εἰς τὸν Δανιήλ. μακρῷ μὲν ἐστὶν ὁ σοφὸς ἀνὴρ οὐχ Ἱππολύτου μόνου, ἀλλὰ καὶ πολλῶν ἄλλων τῇ τῶν προφητικῶν ῥημάτων ἀναπτύξει τε καὶ διακαθάρσει κρατεῖ. ἔστι δὲ τὴν φράσιν, εἴτις ἄλλος, ἑρμηνείαις πρέπων· τῷ τε καθαρῷ καὶ εὐσήμῳ τῶν ῥημάτων ἀνακαλύπτων τὰ συνεσκιασμένα· καὶ τῷ ἡδύνοντι, ὥστε δὴ [a] διαγλυκαίνοντι, προθυμοτέρους πρὸς τὴν ἀνάγνωσιν παρασκευάζων· καὶ [b] μὴν καὶ τῷ πρὸς μηδεμίαν ἐκτροπὴν καὶ παρέκβασιν ἀποφέρεσθαι τοῦ προκειμένου· κόρον τε ἀφαιρούμενος πάντα, καὶ τὴν μάθησιν τῶν ζητουμένων ἀσύγχυτόν τε, καὶ ἀδιασκέδαστον καὶ εὔχερῆ τοῖς ἀναλεγομένοις αὐτοῦ τὸν πόνον, ἐμποιῶν. καὶ ἡ λέξις δὲ αὐτοῦ καὶ ἡ συνθήκη τῆς ἀττικῆς εὐγενείας οὐ φεύγει τὰς γονάς. πλὴν εἴτι περιεργότερον [a] αὐτοῦ ἐστι, καὶ τὸ ὡς φάναι πολλῶν ἀκοῆς ἀνακεχωρηκός. τοῦτο δὲ ὅτι [b] μηδὲ πρὸς οἰκεῖον ἑρμηνεία, ἀποκλίνει. καὶ ὅλος εἰς τὸ ἄριστόν ἐστι τῶν ἐξηγητῶν, καὶ οὐκ ἔχων ῥᾳδίως τὸν ἄμεινον διασαφοῦντα, ἀνηγμένος. ἔστι μὲν γὰρ καὶ ἄλλοις τὸ καθαρῶς εἰπεῖν καὶ ἀνιχνεῦσαι τὸν νοῦν τῶν θεωρουμένων: τὸ δ' ἅμα τε σαφῶς εἰπεῖν, καὶ μηδὲν τῶν ἀναγκαίων ἐν τῷ συντόμῳ [c] παραλιπεῖν, μηδὲ πρὸς ἐκδρομὰς ἢ ἐπιδεικτικὰς σοφίας χωρεῖν· ἢ ἄλλως μὲν οὐκ ἀχρείστοις ποιεῖν, παρασύροντα δὲ τοῦ προκειμένου μὴ ἀπιδεῖν, εἴτι ἄλλο καὶ τῷ χριστῷ Θεοδωρήτῳ ἔνεστιν ἐσπουδασμένον,

a διευλυκαίνοντι. b al. δὲ.
a αὐτοῦ. b μή.
c ἀπολιπεῖν.

THEODORETI CYRENSIS EPISC. *Interpretatio Danielis.*

CCIII.

LEGIMVS THEODORETI Episcopi Cyri *interpretationem Danielis*. Vir sanè doctus, non Hippolyto modo, verum etiam aliis multis propheticorum sermonum interpretatione atque explanatione longè antecellit. Dictio eius, commentationi (si cuiusquam alius) aptissima. Nam & puris signantibúsque verbis abdita quæque & obscura reuelat, & iucunditate quadam quasi delinimento, suauique lepore ad sui lectionem inuitat. Quin & ex eo quod ad ambages nullas digressionésque à proposito argumento recedat, satietatem non modò nullam adfert, sed ea insuper, quæ in dubium vocantur, sine vlla vel confusione vel dissipatione facile, & commoda ratione lectores suos docet. Vocum item eius delectus, atque ipsa compositio ab Atticæ elegantiæ origine non refugit, nisi quid fortè curiosius illic occurrat, quod quis multorum auribus insolitum dicat. Hoc constat, nihil eum; quod ad interpretandum faciat, declinare, adeoque in summum euasisse optimorum interpretum culmen, vt non facilè sis aliquem reperturus, qui illo melius obscura explicet. Sunt quidem & alij pure loquentes, qui propositarum sibi rerum sensum haud segniter inuestigent: at simul & perspicuè dicere, & nihil interim cognitu necessarium (vel breuitatis causa) prætermittere: non item ad diuerticula, vel ad doctrinæ ostentationem digredi (nisi hæc forsitan, non sine vtilitate, sit adhibeantur, vt percipi nequeat; quod à re proposita discedatur) hoc certè præ cæteris rebus omnibus à bono Theodoreto studiosè curatum est;

THEODOR. non in hoc solum opere, sed ferè dixerim in omnibus eius scriptis, quæ multa sanè reliquit, quibus S. Scripturarum industria sua mirificè illustrauit. Igitur in aliquibus quidem illi in hac diuini Danielis expositione cum Hippolyto Martyre conuenit, sed plura in quibus dissentit: quorum[a] hæc illustriora sunt * * *

[a] Desiderari hic ea, argumento est vacuum in quibusdam codicibus relictum spatium.

CCIV.

EIVSDEM *Octateuchi expositio, & In libros Regum, ac Paralipomenon.*

LEGI eiusdem diuini viri explanationem Octateuchi, quæ inscriptionem certè operi egregiè congruentem nacta est, [b] *In impedita sacra scriptura loca*: in quibus & ad libros Regum ac Paralipomena. Vtilissimum in primis hoc opus, quódque cum ipsis quasi natalibus parentis mox genium lectorum oculis subiiciat. Præterquam autem quod hic consueta ipsi dicendi forma egregiè eluceat: habet quoque (si ad maiorem perspicuitatem & comprehendendi facilitatem respicias) cum aliud quoddam commodum, tum quod in summa veluti capita per quæstiones solutionésque liber distinctus sit.

[b] Εἰς τὰ ἄπορα τῆς γραφῆς. Addunt editi libri κατ' ἐκλογήν. Vnde interpretes fecerunt: De selectis scripturæ S. quæstionibus ambiguis. Quæ autem hoc loco, è Cod. Bauar. descripta, exhibentur in Notis exemplaris Græci, eadem, & plura, vidit atque communicauit olim Gent. Heruetus.

CCV.

IDEM *In XII. Prophetas.*

LEGIMVS eiusdem in duodecim Prophetas eadem dictionis ac sententiæ venustate adornatum librum.

CCVI.

PROCOPII SOPHISTÆ *Scholæ commentariorum in Octateuchum, & In libros Regum ac Paralipomena.*

LECTÆ sunt PROCOPII *Sophistæ Scholæ commentariorum in Octateuchum veteris Testamenti, & in Regna ac Paralipomena.* Diffusus autem est interpres hic atque prolixus: non quidem propterea, quòd in superuacaneas, quæque ad rem nihil pertineant egressiones diuertat, sed quod opinionum eadem de re diuersitates sæpenumero commemoret. Et verò etiam præfatur hoc à se opus magnam in molem esse aggestum: quod item maximè ad Theodoreti breuitatem venustatémque assurgit. vt aptissimum illud planè sit, atque vtilissimum, si post illum lectissim ad huius etiam viri labores legendos otium contingat. Dictio ab eo est optimè quidem exculta, sed comptior aliquanto, quam commentarij rudiorem formam deceat.

CCVII.

IDEM *In Esaiam Prophetam.*

LEGIMVS *eiusdem* perstudiosi hominis [a] *in Esaiam Prophetam* opus: quod similem superscriptis seruat commentandi rationem, eandémque dicendi vim præfert, pari cum lectoris (vt constat) vtilitate.

[a] Quod cum Latina sua insigni interpretatione, & sacri Prophetæ textu edidit Parisiis doctiss. Ioan. Curterius, an. 1580.

CCVIII.

EVLOGII ALEXANDRINI ARCHIEPISC. *Contra Nauatianos libri V.*

LEGI B. EVLOGII *Archiepiscopi Alexandrini aduersus Nauatianos* [a] *libros quinque.* Qui etsi scriptor dicendi elegantia nomen sibi

[a] De iisdem pluribus supr. Cod. clxxxij.

οὐκ ἐν ταύτῃ μόνον τῇ πραγματείᾳ, ἀλλὰ μικροῦ δέω φάναι, καὶ ἐν πάσαις. πολλαὶ δὲ αὗται, ἐν αἷς τῶν ἱερῶν γραμμάτων αὐτοῦ ἡ διασάφησις φιλοπονεῖται. ἔστι μὲν οὖν ἐν τῇ περὶ τοῦ θεσπεσίου Δανιὴλ ἀναπτύξει, καθ' ἔνια τῷ μάρτυρι συμφερόμενος Ἱππολύτῳ· πλείω δὲ πρὸς ἃ φέρεται, τὸ ἕτερον, ὧν τὰ ἐπιφανέστερα ταῦτα.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ ΟΚΤΑτεύχον, καὶ τὰ βασιλείας, καὶ τὰ παραλειπόμενα.

σδ'. *Theodoretus in Octateuchum expositio.*

ΑΝΕΓΝΩΣΘΗ τοῦ αὐτοῦ θεσπεσίου ἀνδρὸς ἐξήγησις εἰς τὴν ὀκτάτευχον ἐπιγραφὴν δὲ ἔλαχε συμβαίνουσαν τῷ ἔργῳ. εἰς τὰ ἄπορα γὰρ χρηματίζει τῆς γραφῆς· ἐν οἷς ἐστὶ καὶ εἰς τὰ τῶν βασιλειῶν, καὶ εἰς τὰ παραλειπόμενα. χρήσιμον δ' ἐς τὰ μάλιστα τὸ βιβλίον καὶ αὐταῖς γοναῖς τοῖς ἐντυγχάνουσι, τὸ γνήσιον ἐπιδεικνύμενον αὐτίκα τοῦ γεγεννηκότος. τῆς δὲ συνήθους αὐτοῦ ἰδίας διαπρεπούσης, ἔχει τι πρὸς τὸ σαφέστερον ὁρᾶν καὶ εὐκατάληπτον, καὶ ἕτερον πλεονέκτημα, καὶ τὸ ὡς ἐν κεφαλαίῳ κατὰ τὸ ἀπορούμενον καὶ ἐπιλυόμενον τὸ βιβλίον διατετυπῶσθαι.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟΥΣ ΔΩδεκα προφήτας.

σε'. *Theodoretus in XII. Prophetas.*

ΑΝΕΓΝΩΣΘΗ τοῦ αὐτοῦ εἰς τοὺς δώδεκα προφήτας ἐν τῇ αὐτῇ τῶν λόγων καλλονῇ καὶ τῆς διανοίας κατεσκευασμένον βιβλίον.

ΠΡΟΚΟΠΙΟΥ ΣΟΦΙΣΤΟΥ εἰς τὴν Ὀκτάτευχον, καὶ τὰ τῶν βασιλειῶν, καὶ τὰ παραλειπόμενα ἐξηγητικαὶ σχολαί.

σϛ'. *Procopius in Octateuchum, libros Regum, & Paralip.*

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Προκοπίου σοφιστοῦ ἐξηγητικαὶ σχολαὶ εἴς τε τὴν ὀκτάτευχον τῶν παλαιῶν γραμμάτων, καὶ εἰς τὰς βασιλείας, καὶ δὴ καὶ τὰ παραλειπόμενα. πολύχους μὲν οὗτος καὶ πολύστιχος ὁ ἐξηγητής· πλὴν οὐκ εἰς περιττάς τινας καὶ ἐξαγωνίους ἀποδιατρίβων παρεκδρομάς, ἀλλὰ τῷ διαφορὰς δοξῶν περὶ τῆς αὐτῆς ὑποθέσεως * ὑπογράφειν πολλάκις. τοῦτο δὲ καὶ προοιμιάζεται εἰς ὄγκον αὐτοῦ διαπλαττόμενον, καὶ μάλιστα πρὸς τὴν Θεοδωρήτου σύνοψίν τε καὶ φιλοκαλίαν τὸ σύνταγμα αἴρεται. καὶ εἴη ἂν οἰκειότατόν τε καὶ χρησιμώτατον, εἰ μετὰ τὴν [ἐν] ἐκείνοις βίβλον ἡ περὶ ταῦτα τοῦ ἀνδρὸς τὰ σπουδάσματα σχολὴ διαδέχοιτο. καὶ ἡ φράσις δὲ αὐτοῦ εἰς τὸ ἄριστον ἤσκηται, εἰ καὶ ἐξηγητικῆς διατυπώσεως ἔχει τι καὶ κομψότερον.

* ἀναγράφειν.

ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΟΝ ΗΣΑΙΑΝ.

σζ'. *Idem Procopius in Esaid.*

ΑΝΕΓΝΩΣΘΗ τοῦ αὐτοῦ φιλοπόνου ἀνδρὸς, εἰς τὸν προφήτην Ἡσαΐαν, τήν τε ὁμοίαν τοῖς προειρημένοις διάθεσιν φυλαττόμενον, καὶ τὴν αὐτὴν τῶν λόγων ἐπιδεικνύμενον δύναμιν· καὶ δῆλον, ὅτι καὶ τὸ λυσιτελοῦν παραπλήσιον.

ΕΥΛΟΓΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ἀλεξανδρείας κατὰ Ναυατιανῶν λόγοι ε'.

ση'. *Eulogius Alexandrinus Archiepiscopus contra Nouatianos.*

ΑΝΕΓΝΩΣΘΗ τοῦ ἐν ἁγίοις Εὐλογίου ἀρχιεπισκόπου ἀλεξανδρείας κατὰ Ναυατιανῶν, ἐν λόγοις πέντε. τούτῳ τῷ ἀνδρὶ ὄνομα μὲν λιπεῖν

λιπεῖν ἐπὶ δεξιότητι λόγων, οὐδ' ὁ, τοῦν προειρημένλησιν. τὰ δὲ Ναυάτου σοφισματώδη προβλήματά τε καὶ δελεάσματα διελέγξαι καὶ αἰσχύναι, οὐδὲν τὸ ἀπαράσκευον τῆς κατὰ τοὺς λόγους μελέτης ἐμποδὼν ἐστι. τοῖς γὰρ γραφικοῖς πλουτῶν νοήμασί τε καὶ θεωρίαις, ὅσα ἐκεῖνος ἀποσπαράξας τῆς ἰδίας αἱρέσεως πρόβλημα καὶ συνηγορίαν ἐποιεῖτο, ταῦτα οὗτος ἀναπτύσσων, καὶ τὸ περὶ αὐτὰ κακοῦργον τῆς αἱρέσεως ἐπιδεικνὺς, ἀφαιρεῖται αὐτοῦ· οὐ μὴν ἀλλὰ καὶ ἑτέροις τῶν γραφῶν ῥήμασι τὸ ἀπονενοημένον αὐτοῦ καὶ ἀσύγγνωστον, καὶ ἀλλόφυλον τῆς αἱρέσεως στηλιτεύει. ἐν δὲ τῷ τελευταίῳ τῶν λόγων, καὶ τὸ νόθον καὶ κακόπλαστον, ὃ εἰς Ναυάτον ἀναφέρουσιν οἱ αὐτοῦ σπουδασταὶ, μαρτύριον διελέγχει. ἔστι μὲν οὖν καὶ αὐτὸ τοῦτο ὁ κατὰ Ναυάτου ἔλεγχος, τὸ χρήσιμον ἔχων. πλὴν καὶ γραφικῶν οὐκ ὀλίγων ἐνθεωρεῖται τούτοις πολλαχῆ τοῖς ἀξιολογωτάτοις τῶν ἐξηγητῶν συμφερομένη ἑρμηνεία. ἀλλὰ καὶ τὸ πιθανόν τε καὶ ἡδυνόν ὡς ἐν τοιούτῳ λόγων χαρακτῆρι οὐκ ἄν τις ἀγαθοῖς καταγνοίη.

quærere nullo modo curarit: nihil tamen, quo minus Nauati sophismatum plenæ assertiones, captionésque refellantur, atque ignominia notentur, sermonis neglecti incuria impedimento fuerit. Sacræ enim Scripturæ commentationibus ac contemplationibus abundè instructus, quæ hinc ad suam hæresim asserendam atque propugnandam ille discerpserat, eadem hic interpretando, & vnà hæresis in iis fraudes detegendo, Nauato eripit ac tollit. Quamquam & aliis scripturarum locis, ipsius venia indignam amentiam, ac peregrinam heresim, velut cippo eam inscribendo, diuulgat. [a] Extremo denique libro falsum illud & improbè confictum, quod Nauaro eius studiosi attribuunt, martyrium, exagitat. Est igitur hæc Nauati confutatio legentibus vtilis: prætterquam quòd hic [b] non paucorum scripturæ locorum passim sese offerat explicatio, ipsis etiam interpretum principibus profutura. [c] Sed & illius persuadendi vim ac iucunditatem, vt in hoc charactere, nemo qui eum veneretur, contemnendam ducat.

EVLOGIVS.

[a] *Qui sextus numeratur C. CLXXXII. verumque C. CCLXXX.*

[b] *Quæ excerpta leges j. C. CCXXX.*

[c] *Eadem planè nper etiam supra Codice CLXXXII.*

ΔΙΩΝΟΣ ΛΟΓΟΙ π'.

σθ'.

Dionis Chrysostomi orationes LXXX.

ΑΝΕΓΝΩΣΘΗ Δίωνος βιβλίον ἐν λόγοις ὀγδοήκοντα· οὗτος ἐπὶ μὲν τὴν πατρίδα Προυσαεύς· φυγὰς δ' ἐγεγόνει, τὴν τῆς τυραννίδος ἐκκλίνων δουλείαν, καὶ πολλὴν ἐπῆλθε πλανώμενος γῆν. δεξιὸς δὲ περὶ τοὺς λόγους ἔδοξεν εἶναι, καὶ μάλιστα τοὺς ὅσοι ῥυθμίζειν συμβουλεύουσι τὰ ἤθη. ἤκμασε δὲ κατὰ τοὺς χρόνους τοῦ βασιλέως Τραϊανοῦ, καὶ πλεῖστον διέτριψε χρόνον παρ' αὐτῷ, καὶ τὸ ὅτι μάλιστα τιμῆς καὶ δεξιώσεως ἔτυχεν, ὡς καὶ συγκαθίζεσθαι αὐτὸν τῷ βασιλείῳ ὀχήματι. πατρὸς μὲν ἦν οὗτος Πασικράτους, σοφιστὴς δὲ καὶ φιλόσοφος τὸ ἐπιτήδευμα. ἐπὶ τοσοῦτον δ' αὐτὸν τῆς κατὰ τὸ σχῆμά φασι σεμνότητος ἀντιποιεῖσθαι, ὡς καὶ λεοντῆν πολλάκις ἐνημμένον ποιεῖσθαι τὴν πρόοδον. φωνὴν δ' ἠρεμαίαν ἠφίει καὶ σταθεράν. καὶ σχολαῖον μὲν, ἀλλ' οὐκ ἀναβεβλημένον βάδισμα. καὶ τὰ λοιπὰ δὲ τῶν κινημάτων οὐκ ἀσύμφωνα. ἰσχνός τε ἦν, καὶ οὐδὲ μέγας τὸ σῶμα. τοῦτον πολλούς φασι καὶ ποικίλους γράψαι λόγους· οἱ δ' εἰς ἡμετέραν φθάσαντες γνῶσιν, τὸν ὀγδοήκοντα ἐπλήρουν ἀριθμόν. Χρυσόστομον δ' αὐτὸν οἱ λόγοι τῇ κατ' αὐτὸν γενεᾷ δεδώκασιν ἐπονομάζειν. ἔστι μὲν οὖν, ὅπερ ἔφην, τὸ πλεῖστον αὐτοῦ τῶν λόγων, οὓς ἡμεῖς ἴσμεν, συμβουλευτικόν. οἷα δ' εἰκὸς καὶ τῷ συμβουλευτικῷ παραπλεκόμενον τὸ οἷον δικανικὸν, παραπλήσιον τὴν ἀρετὴν κἂν τῷ μέρει τῷ δε τοῦ λόγου δείκνυσι, καὶ μάλιστα τῶν ἄλλων ὁ ῥοδιακός. δριμύς τε γάρ ἐστι τοῖς ἐνθυμήμασι, καὶ τὸ συνεστραμμένον, πρέπον τὸν αὐτοῦ χαρακτῆρα τῶν λόγων ἔχον, καὶ τὸ ἔντονον μετὰ τοῦ γονίμου πλουτεῖ. ἄριστος δὲ τοῖς παραδείγμασι, καὶ πολύς ἐστι πανταχοῦ, καὶ ποικίλης ὕλης λαμβάνων αὐτὰ, καὶ προσφυῶς ἁρμοζόμενος. χαίρει δὲ μάλιστα καὶ μυθολογήμασι τὰς παραινέσεις συμπαραπλέκειν, διὸ καὶ τὸ * ἀφελὲς διώκειν δοκεῖ. σπάνιον γὰρ εἴ τις εὕροι κατὰ τὸν πλατωνικὸν ζῆλον τοῖς δίαρμα καὶ ὄγκον ἐνεργαζομένοις τῷ λόγῳ, ὥσπερ ἐν τῷ βορυσθενικῷ, μύθοις αὐτὸν ἀποχρώμενον.

Rhodiaca oratio.

* al. ἀσφαλὲς.

Borysthenitica.

DIONIS CHRYSOSTOMI Orationes LXXX.

CCIX.

LECTVS est [a] DIONIS [b] *orationum octoginta liber.* Patria hic fuit Prusensis, [c] sed tyrannidis dum fugit seruitutem, exsul factus, varias oberrando peragrauit regiones. Idem in dicendi arte acutus ac solers est habitus, præsertim si de componendis moribus dandum esset cósilium. Viguit Traiano Romæ imperante, cum quo diu multúmque vixit, & in ea existimatione atque honore, vt & cum Augusto communi interdum carpento veheretur. Patrem habuit Pasicratem, Rhetor ipse instituto atque Philosophus. Tantam autem morum seueritatem affectasse ferunt, vt leonina sæpe indutus pelle in publicum prodiret. Vocem mittebat placidam, & firmam incessus minimè quidem incitatus, sed non ideò segnis aut fractus, à quo nec reliqui corporis motus discrepabant. Gracilis adhæc erat, & corpore haudquaquam vasto. Orationes conscripsisse plurimas referunt, quarum octoginta in meas inciderunt manus: quæ quidem orationes *Chrysostomi* [hoc est *aurei oris*] cognomentum illi apud eius ætatis homines pepererunt. Cæterum pleræque, vt dicebam, orationum eius quas quidem nouerim, Suasoriæ. Sed quando æquum est deliberatiuo generi quiddam etiam iudiciale permisceri, parem ipse virtutem in hoc quoque orationis genere ostendit: & inter omnes quidem maximè *Rhodiaca*. Nam & acriùs enthymematis instat, & breuem atque contortam orationem (quod saltem ad characterem) adhibet, & vehementia cum vbertate abundat. Exemplis insuper maximè præstat, quæ vbique multa è variis petita rebus, aptissimè ad propositum argumentum accommodat. Libentissimè quoque fabulosas narrationes aliquas monitionibus intexit, vt eam etiam ob rem simplex dicendi genus consectatus videri possit. Rarius enim Platonis exemplo eiusmodi eum fabulas adferentem videas, quæ (vt in Borysthenica) elationem aliquam granditatémque orationi addant.

[a] *De quo lege interpretis Latini præfationem & Suidam.*

[b] *Quæ hodie omnes exstant Parisiis nuperrime cum Notis Græcè & Latinè editæ.*

[c] *Acutus meminit è XIII. orat. quam de exsilio Athenis habuit, inchoatam videas.*

DIO. CHRYSOSTOMVS.

Simplici igitur idea plurimũ est vsus (vt paulò ante diximus) in sentibus, vocabulis item familiaribus, & passim obuiis, nihilque compositio habet aut sublimitatis ostẽtãdę, aut captãdę iucũditatis gratia innouatũ. Et verò in verbis saltẽ, nominũmq; cõiunctione, perspicuũ dicendi genus scriptorẽ hũc propositũ habuisse existimes: sed dũ lõgius sententię redditionẽ producit, digressionibúsq; vt plurimũ orationẽ intertexit, non parum ab hoc instituto deflectit. Quãquã hæc quidẽ varietas quædã ideæ, characteris proprietas, nõ pro vitij indicio haberi forsitã possint. At quod exordia, aut quæ exordiorũ instar sunt, lõgissimè producat, id iã palã facit, & cũ nequaquã familiariũ cõgressibus accõmodatam dicendi formã pro ciuili & historica vsurpare, & maius quasi caput, quam reliquum sit orationis corpus, effingere.

Orationum igitur eius quatuor priores, de Regno dictæ sunt. Quinta dein, quæ *Libyca* vocatur, & ab illis etiamnum dependet, fabulam Libyn refert. Eam excipit sexta, quæ de tyrannide commemorat: vt de virtute septima. Octaua, *Diogenis*, siue *Isthmica* titulum præferens, facta quædam dictáque Diogenis in Isthmicis narrat. Nona, *Diogenes* quoque dicitur, seu *de seruis*. Hortatur singulatim vniuersos, satagere quosque, ac sollicitos esse sui, neglectis quæ extrinsecus aduenient. Non expedire insuper fugitiuum seruum insequi: Absurdum enim esse, si vel illi, cùm improbi sint, sperent absque dominis melius sibi fore, vel heri illorum nequitiæ velut ignari, non iudicent melius secum agendum, si nec obiter vllum è fugitiuorum seruorum stoliditate damnum ferant. Decima oratio *Troica* inscribitur, de eo studiosè elaborata, quòd Ilium non fuerit captum. Homero igitur asperius aduersatur, iisque omnibus contraria describit, quæ sunt ab illo in Iliade composita. *Olympica*, seu *de prima Dei cognitione* (quæ idem illud demonstrare conatur) Vndecima est. Duodecima *Athenis de exsilio habita* titulum præfert. Et habita verè ibidem est, docétque exsilium nihil habere molestiarum: diuitias item & gloriam atque imperium citius à possidentibus ad eos qui minimè sperabant, transferri: sapientiæ verò studium, ac virtutis exercitationem, & perpetuas in hac vita constantésque diuitias esse, & hinc etiam emigrantes comitari. XIII. *Euboica*, seu *Venatoria* inscribitur. Inducit autem quosdam hanc in Eubœa vitam ducentes: per quos docet vitam priuatam, etsi pauperior sit, longè iucundiorem esse, & vtiliorem, quàm eorum, qui in vrbibus turbas iuxta ac delitias experiuntur. XIV. *Rhodiaca* nominatur. Absurdum hac oratione morem, qui tum Rhodi inualescebat, reprehendit. Quos enim statuis honorandos censuerant, his nullas statuebant, sed earum, que priscis fuerant collocatæ, vel inscriptiones in eorum, qui venturi essent nomina mutãtes: vel si temporis iniuria non apparerẽt tituli, nouos insculpentes, simul vita functorũ gloriam (quantũ in ipsis erat) fœdabant, simul quos honorare decreuerãt, alienis, & quę nihil similitudinis haberẽt, imaginibus dedecore potius afficiebãt.

ἀφελὴς μὲν οὖν ἐστι τὰ πολλὰ, ὡς ἔφθην εἰπὼν, ταῖς ἐννοίαις. καὶ τῶν τε καθωμιλημένων αὐτῷ καὶ ἐπιπολαζουσῶν αἱ λέξεις. καὶ οὐδὲν οὐδ' ἡ σύνταξις οὐδ' ἐπὶ τὸ βαθύτερον, οὐδ' ἐπὶ τὸ καθηδυνόμενον, ἐκνεωτερίζει. καὶ τό γε ἐπὶ τοῖς ῥήμασι καὶ τῇ συμπλοκῇ τῶν ὀνομάτων, τοῦ σαφοῦς ἄν τις ἐλπίσειε τὸν συγγραφέα κατεστοχάσθαι. ἀλλὰ τό γε διὰ μακροῦ τὴν τῆς διανοίας ἀπόδοσιν προϊέναι, καὶ ταῖς ἐπιβολαῖς ἐκ τοῦ ἐπὶ πλεῖστον τὸν λόγον διαπεπλέχθαι, οὐκ ἐπὶ μικρὸν τῆς τοιαύτης αὐτὸν ἐκκλίνει ἰδέας. ἀλλὰ ταῦτα μὲν * παραλλαγὴ ἰδέας, καὶ χαρακτῆρος ἰδίωμα, ἀλλ' οὐκ αἰτίας ἴσως ἔνδειξιν ἔχει. τὸ δ' ἐπὶ μακρότατον ἀποτείνειν τὰ προοίμια ἢ τὰ οἷον προοίμια, οὐκ ἔτι ἀφίησιν αὐτὸν τὸ μὴ οὐχὶ τοῦ πολιτικοῦ καὶ συγγραφικοῦ τύπου τὴν ἐπὶ ταῖς συνουσίαις ἀλλάξασθαι * παραδεδυκότα, καὶ μείζω τὴν κεφαλὴν τὴν ὡς ἐν τῷ λόγῳ τοῦ λοιποῦ σώματος διαπλάττειν. τῶν τοίνυν λόγων αὐτοῦ τέσσαρες, περὶ βασιλείας μέν εἰσιν εἰρημένοι. καὶ ὁ πέμπτος δὲ, λιβυκὸς ἐπιγραφόμενος, μῦθον μὲν λίβυν ἀπαγγέλλει, ἐκείνων δ' ἐστὶν ἐξηρτημένος. ὁ δ' ἕκτος, καὶ περὶ τυραννίδος δίεισι, καὶ περὶ ἀρετῆς ὁ ἐπὶ τούτῳ. ὁ δὲ ὄγδοος, Διογένης μὲν ἢ Ἰσθμικὸς ἐπιγραφὴν ἔχει, πράξεις δέ τινα καὶ λόγους * Διογένους κατὰ τὰ ἴσθμια διαγγέλλει. καὶ ὁ θ', * Διογένης ἢ περὶ οἰκετῶν. καὶ παραινεῖ μὲν ἅπαντας δι' ἑνὸς προσώπου [αὐτοῦ] ἕκαστον μὲν πολλὴν ἐπιστροφὴν καὶ ἐπιμέλειαν ποιεῖσθαι αὑτοῦ, ὀλίγην δὲ τῶν ἔξωθεν συμπιπτόντων· καὶ μὴ χρῆναι φεύγοντα διώκειν οἰκέτην. ἄτοπον γὰρ ἐκείνους μὲν κακοὺς ὄντας ἐλπίζειν αὐτοὺς τῶν δεσποτῶν ἄμεινον βιώσεσθαι, τοὺς δεσπότας δὲ μὴ * ἀξιοῦντας φαύλους εἶναι, μὴ νομίζειν ἄμεινον διάξειν, εἰ μὴ παραπολαύοιεν τῆς τῶν δραπετῶν σκαιότητος. ὁ δὲ δέκατος, τρωϊκὸς μὲν ἔλαχε τὴν ἐπιγραφὴν, ὑπὲρ τοῦ μὴ ἁλῶναι δὲ τὸ Ἴλιον διεσπούδασται· Ὁμήρῳ τε κατὰ τὸ τραχύτερον προσφέρεται. καὶ ὅσα ἄλλα κατὰ τὴν Ἰλιάδα αὐτῷ πεποίηται, τἀναντία τούτοις πραγματεύεται. ὁ δὲ * ὀλυμπικὸς, ἢ περὶ τῆς πρώτης τοῦ θεοῦ ἐννοίας, αὐτὸ τοῦτο πειρώμενος ἐπιδεικνύειν, ἑνδέκατός ἐστιν. ὁ δὲ δωδέκατος ἐν Ἀθήναις περὶ φυγῆς ἐπιγραφὴν ἔχων, εἴρηται μὲν ἐν αὐταῖς, δίεισι δὲ ὡς οὐδὲν ἡ φυγὴ χαλεπόν: καὶ ὅτι πλοῦτος μὲν καὶ δόξα καὶ δυναστεία, θᾶττον ἀπὸ τῶν ἐχόντων ἐπὶ τοὺς μηδ' ἐλπίσαντας μεταρρεῖ. τὸ δὲ φιλοσοφεῖν, καὶ * τὴν ἀρετὴν ἀσκεῖν, διὰ βίου τε κτῆμα διαμένει ἀγαθὸν, καὶ ἀποιχομένοις συνέπεται. ὁ δὲ τρισκαιδέκατος εὐβοϊκὸς ἢ κυνηγετικὸς ἔλαχεν ἐπιγραφήν. εἰσάγει δέ τινας ἐν Εὐβοίᾳ τοιοῦτον βίον βιοῦντας. δι' ὧν κατασκευάζει, ὡς ὁ ἀπράγμων βίος, εἰ καὶ πενόμενος εἴη, πολλῷ τῶν ἐν ἄστει θορυβουμένων τε καὶ τρυφώντων ἡδίων τε καὶ λυσιτελέστερος· ῥοδιακὸς δὲ ὁ ιδ', ἐπιγράφεται. ἐν τούτῳ ἔθος ἄλογον παρὰ ῥοδίοις ἐπιτιμᾷ * ἐπιπολάζον. τὸ δ' ἦν οὓς ἐβούλοντο τιμᾶν ἀνδριάσι, τούτοις μὲν ἀνδριάντα ἀνίστασθαι οὐδένα: τοὺς δὲ τοῖς πάλαι ἀνεστηκότας, τούτων ἄρα ἢ τὰς ἐπιγραφὰς μεταξέοντες, εἰς τὰ τῶν μελλόντων τιμηθῆναι ὀνόματα· ἢ τῷ χρόνῳ μηδὲ φαινομένων ἐπιγράφοντες, τῶν τε οἰχομένων, τέως ἐπ' αὐτοῖς, τιμὰς ἐλυμαίνοντο καὶ οὓς τιμᾶν ὑπελάμβανον, ἀλλοτρίαις καὶ κατ' οὐδὲν ἐοικυίαις εἰκόσιν ἐνύβριζον.

* παραλλαγῆς
* παραδεδυκότα M. M.
* al. Διογένης.
* al. Διογένους.
* ἀξιοῦντες.
* al. θεϊκὸς.
* τὴν τῆς ἀρε. M. M.
* ἐπικρατοῦν

ἐν τῷδε

ἐν τῷ δὲ τῷ λόγῳ μεγάλη τοῦ ἀνδρὸς ἡ ἀνασκευαστικῆς ἰσχὺς διαφαίνεται. ὁ δὲ πεντεκαιδέκατος πρὸς Ἀλεξανδρεῖς μὲν ἐπιγέγραπται, δήμου δὲ οὖσιν ἀναπτύσσων, ταύτης καταδρέχει· καὶ ὅτι μὴ χρὴ τὸν Ἀλεξανδρέων δῆμον, ἴδια πολλά, τὰ πρὸς ἀρετὴν παρακαλοῦντα ἔχοντα, τῆς ἐν τοῖς κοινοῖς ἐπιπολαζούσης ταραχῆς καὶ ἀταξίας καὶ αὐτὸν εἶναι ἀνδράποδον· μάλιστα δὲ παραφυλάττεσθαι τὸ ἁμάρτημα, κατὰ τὰς δημοτελεῖς πανηγύρεις καὶ τὰ θέατρα. Ταρσικοὶ δὲ δύο ἐφεξῆς ἐπιγραφῆς ἔτυχον. ὧν ὁ μὲν πρῶτος ἔπαινόν τινα τῆς πόλεως ἐπιτρέχων, οὐκ εὐδαίμονας ἐκείνας ἀποφαίνει τῶν πόλεων, ὅσαι κρήνας καὶ ποταμοὺς καὶ κάλλη στοῶν, καὶ οἰκοδομημάτων, καὶ καρπῶν ἀφθονίαν, καὶ τὰ παραπλήσια προβάλλονται: ἀλλ' ἐν ὅσαις τάξις καὶ ἀρετὴ τῶν πολιτευομένων διαδείκνυται. οὗτος ὁ λόγος καὶ παράλογόν τι καὶ ἐφύβριστον ἔθος κατὰ φωνῆς ἀπήχησιν τοῖς Ἀλεξανδρεῦσι πραττόμενον εὐθύναις ὑπάγει, παραινῶν * ἀπέχεσθαι τοὺς χρωμένους, ἢ μᾶλλον αὐτὸς πληκτικώτερον καθαπτόμενος. ὁ δὲ δεύτερος παραινεῖ, μὴ συκοφαντικῶς πρὸς τοὺς ἄρχοντας διακεῖσθαι, μηδ' ἐπὶ τοῖς βραχέσι τῶν παραλυπούντων, εὐθὺς ἀνερεθίζεσθαι, καὶ ἐπαιτιᾶσθαι τούτους. ὁ δὲ ιη, ὃς οὐκ ἐπιγέγραπται, ἐν Κελαιναῖς ἐρρήθη τῆς Φρυγίας. διαλαμβάνει δέ, ὡς οὐκ ἀρετῆς εἴη σημεῖον τὸ κομᾶν, ὥσπερ οὐδ' ἄλλο τι τῶν σχημάτων [τῶν] περὶ τὸ σῶμα, ὥσπερ οὐδὲ τούτων τὰ ἐναντία. διαπλέκεται δ' αὐτῷ καὶ τῆς πόλεως ἔπαινος. ὁ δὲ ιθ, μηνύει ἡ ἐπιγραφή, ῥηθῆναι μὲν ἐν τῷ Βορυσθένει, ἀναγνωσθῆναι δὲ ἐν τῇ πατρίδι: ἐν ᾧ ἄλλα τε δίεισιν ὁ συγγραφεύς, καὶ κατὰ τὸν Πλατωνικὸν ὁμολογεῖ ζῆλον περὶ τοῦ δημιουργοῦ τῶν ὅλων τοῖς Βορυσθενίταις διειλέχθαι, τῆς τε τοῦ παντὸς διακοσμήσεως καὶ κινήσεως καὶ τῶν ἐν αὐτῷ στοιχείων. ἔχεται δέ τινος λαμπρότητος καὶ σεμνότητος οὗτος παρὰ τοὺς ἄλλους ὁ λόγος. καὶ ὁ Κορινθιακὸς δὲ κ' ὤν, ἐν Κορίνθῳ μὲν ἐρρήθη, ἐπιτίμησιν δ' αὐτῶν διαπεραίνει· ἀνθ' ὧν εἰκόνι τὰ πρῶτα τιμήσαντες αὐτόν, ὕστερον ἀποδημήσαντος, ἐκ διαβολῆς οὐ δικαίας περιείλοντο τὸ γέρας. ἐγγὺς δ' ἐστὶ τοῦ Ῥοδιακοῦ, κατὰ τὴν ἐν λόγοις ῥώμην καὶ ἀρετὴν οὗτος. ἡ δὲ τοῦ οἷον προοιμίου παράτασις κἀνταῦθα, ὡς καὶ παρὰ μικρὸν πανταχοῦ, τῆς ἀρετῆς οὐ μετέχει. τοῦ δὲ εἰκοστοῦ πρώτου ἡ ἐπιγραφὴ περὶ τῆς πρὸς Νικαιεῖς ὁμονοίας τῶν Νικομηδέων ἐστὶ· καὶ τοῦτον ὑπέρχεται τὸν ἀγῶνα ὁ λόγος, εὐκαίρως διὰ τῆς ἡδονῆς προεντεταμένος, μᾶλλον γοῦν οὕτω ταῖς ψυχαῖς τὸ πιθανὸν ἐθέλει διαδύειν. ὁ δὲ δεύτερος καὶ εἰκοστὸς ἐν Νικαίᾳ εἰρῆσθαι ἡ ἐπιγραφὴ δηλοῖ περὶ ὁμονοίας, πεπαυμένης τῆς στάσεως· αὐτὸ δὲ τοῦτο διατίθησιν ὁ ἀνήρ, ἔπαινον τοῦ γεγονότος. ὁ δὲ κγ', περὶ τῆς πρὸς Ἀπαμεῖς ὁμονοίας εἴρηται ἐν τῇ πατρίδι· αὐτὸ δὲ διαπραγματεύεται τοῦτο. καὶ ὁ ἐφεξῆς δὲ περὶ ὁμονοίας πρὸς τοὺς Προυσαεῖς παρακαλεῖ τοὺς Ἀπαμέας· ὁ δὲ κε', διάλεξις ἐστὶν ἐν τῇ πατρίδι. ἄγνοιαν δὲ ὑποπλάττεται τῆς αἰτίας ὁ διαλεγόμενος, δι' ἣν μηδὲν χρήσιμον αὐτοῦ τῶν λόγων προβεβλημένων, ἡδέως καὶ ποθοῦντες ἀκούουσι. πολιτικὸς δὲ ἐστὶ τῷ εἰκοστῷ ἑβδόμῳ ἡ ἐπιγραφή: [καὶ] εἴρηται ἐν τῇ πατρίδι. ὥσπερ καὶ ὁ ἐφεξῆς φιλοφρονητικὸς ὑπάρχων αὐτῇ, ἀνθ' ὧν τιμαῖς φιλοφρονούμενοι ἐδεξιοῦντο.

* ἀποχεῖσθ.

DIO. CHRYSOSTOMVS.

Qua quidem in oratione ingens Dionis refutandi alios vis atque facultas insigniter elucescit. XV. *Ad Alexandrines habita*, inscribitur. Vulgi in ea ingenium morésque exponit, ac perstringit. Nequaquam insuper decere; vt etiam populus Alexandrinus, qui propria tot haberet virtutis incitamenta, exortorum in republ. tumultuum ac seditionum velut mancipium fiat. Præsertim verò illum errorem cauendum esse monet, qui in publicis conuentibus ac theatris committebatur. *Tarsicarum*, quæ duæ sequuntur, appellationem nactæ sunt. Harum prior post vrbem illam cursim laudatam, nunquam ciuitatum felicitatem metiendam docet à fontibus, fluminibus, venustis porticibus aut ædificiis, fructuúmque abundantia, quæque his similia laudantur, sed eas vrbes commendari, in quibus disciplina ac virtus ciuium claresceret. Hæc quoque oratio absurdũ quendã ac probrosũ castigat morẽ in vocis emissione quadam [lasciua] ex Alexandrinorũ cõsuetudine petita, monẽs ei adsuetos vt abstineant, vel potius acerbius ipse in eos incurrens. Altera vero hortatur, ne calũnijs magistratus persequantur; néue paruis offensionibus statim irritentur, atque illos temere accusent. XIIX. cui nullus præfixus titulus, *Celenis* Phrygię vrbe *habita* est. Differit autem non esse virtutis indicium comam illam promissiorem, vt nec alia, quæ ad corporis cultum pertinent, ac ne horum quidem contraria. Huic & ipsius vrbis laudatio adiungitur. XIX. Ipso mox [a] titulo indicat, habitam quidem primum Borysthene, sed recitatam postea in patria. In ea cum alia refert Auctor, tum Platonis imitatione prædicat de vniuersitatis opifice apud Borysthenitas se disseruisse, ac de mundi totius ornatu motúque, & elementis eiusdem. Est autem illustrior hæc grauiórque præ cæteris Orationibus. *Corinthiaca* autem numero vicesima, Corinthi habita, ciues ibi obiurgat, quod statua se prius honorassent, quam tamẽ post ipsius profectionẽ, falsa quadam calumnia adducti, iterum sustulissent. Proxima est hæc dicendi vi ac virtute Rhodiacæ orationi. quanquam eius quod exordij loco statuit longitudo, hic, perinde atque alibi fere vbique, virtute vacat. XXI. inscribitur *De Nicomediensium concordia cum Nicaensibus*. Quam quidem potissimum contendit efficere hæc oratio, quæ non sine iucunditatis ex ea re commemoratione, opportune profertur. Sic enim melius persuadendi vis hominũ sese animis insinuare solet. XXII. Nicææ pronunciatã titulus significat: *De cõcordia seditione iam exstincta*. Hoc autem est huc viri institutũ, rem ibi tũ gestam laudibus celebrare. XXIII. in patria recitata est, *De cõcordia cum Apamensibus*: quod ipsum ibi pertractat; vt & proxime sequenti Apamenses hortatur ad concordiam cum Prusensibus ineundam. XXV. *Disputatio est in patriam*. Ignorare verò se fingit causam ipse qui disputat, cur libenter eum & cupide audiant, cum nihil vtile ipsius orationes proponant. *Politica* dehinc inscripta est vicesima sexta oratio, recitata in patria: quemadmodum & quæ proximè sequitur; *Beneuolentiæ testificatio in patriam*; quod se beneuolo eam animo prosequentem honorificè excepisset.

[a] Borysthenica quam in patria recitauit.

DIO. CHRYSOSTOMVS.

Succedit his *Apologia*, seu *Defensio*, de suo in patriam amore. XXIX. *Ante Philosophiæ studium in patria habita* inscribitur. Eos autem qui lapidibus ipsum cum alio quodam obruere aggressi essent, ac post etiam eius domum igni cremandam tradere, clementer obiurgans, melius ob ciuiles turbas esse confirmat peregrè vagari, quam domi degere. Ciuium vero suorum erga se indignationem hinc ortam ait, quod ruens iam ædificium quoddam instaurasset. Tricesima deinde *Concio in patria* inscribitur, idemque respicit argumentum. XXXI. in patria habita, *Politica in concione* titulum præfert: suadétque vt posthac iniuriis inuicem ac probrosis contumeliis valere iussis, seditionem in concordiam vertant. Similiter & ea quæ sequitur habita est in patria, inscribitúrque ex eo quod palam indicat: *Recusatio magistratus in Senatu*. Magistratum enim scriptor, ad quem suffragio delectus erat, repudiat. XXXIII. *De administrationibus in Senatu*, inscriptionem præfert. In ea post breuem Senatus laudem, de iis se purgat Dion, ob quæ in suspicionem venerat: nimirum à paterno non esse profecta consilio, quæ in administranda ciuitate filius egisset. Proxima *ad Diodorum* inscripta oratio, & ad virtutem hortatur, & [a] se laudare ciuitatem ait, quando qui eam laudarat Diodorum laudibus ornat. XXXV. *De Aeschylo, Sophocle, & Euripide*: seu, *De Philoctetæ arcu & sagittis*, inscripta est. [b] Philoctetem hæc dolo deceptum facit, quo Vlysses vsus, cum illius arcu & sagittis abierit. Sextæ porrò & tricesimæ titulus est. *De Homero*: cuius Poëtæ laudes prædicat: quemadmodum & Socratis illa, quæ huius Philosophi nomen præfert. Hinc illa *de Homero & Socrate*. XXXVIII. Oratio, Homeri æmulum fuisse Socratem ostendit, ac discipulum. Ab hoc item Philosophum non illam tantum familiarem adeo sibi exemplorum tractationem hausisse, sed reliquam insuper dicendi vim omnem ac venustatem imbibisse. XXXIX. *Agamemnon*, seu *De rege* inscribitur: docétque oportere Regem optimis vsum consiliariis, iisdem parere, neque suum arbitrium peruicaciter sequi. Proxima vero quæ inscribitur, *Nestor*: quanam ratione Reges admonendi sint instruit. Mox *Achilles* sequitur: qui Chironi non acquiescens, [c] monenti prudentia potius atque arte, quam audacia aut corporis viribus res bellicas geri, tandem neglecti consilij pœnas dedit. Quæ vero *Philoctetes* post hanc inscripta, fusius eius infortunia commemorat. Post quas *Nessus & Deianera* [quæ vocatur oratio] absurdius de iis obsequij cuiusdam causa conficta, in seriem quandam atque ordinem meliorem videtur reformare. *Chryseis* [item dicta oratio] laudatio Chryseidis est. *De regno* vero *& Tyrannide* oratio, de his ipsis disserit: vt tres deinceps sequentes, *De Fortuna* gratas simul ac Philosophicas meditationes exhibent. Ad eundem modum, quæ has excipiunt, totidem *de Gloria* orationes, suadent & monent contemnendam esse vulgi gloriam. vbi pulchræ simul & vtiles considerationes inter hortandum miscentur.

a *Immo contra Photio dixit Dio: laudasse se Diodorum, cum quo hunc prædicarat laudauit ciuitatem.*

b *Lege Sophoclis Philoctetem. Nam Æschyli atque Euripidis intercidere, & huius nunc nostri Philoctetæ. Meminit quoque M. Tullius Tusc. II. & ibi Beroald.*

c *Hesiodum Chironis ad Achillem instituendum Præceptiones scripsisse ex aliquorum sententia refert Politian. Beroald.*

ἀπολογισμὸς δέ ἐστιν ὁ μετ' αὐτῆς, ὅπως διέκειτο πρὸς τὴν πατρίδα. ὁ δὲ κθ', περὶ τοῦ φιλοσοφεῖν μὲν ἐν τῇ πατρίδι ἐπιγράφεται, τοὺς δ' ἐπιχειρήσαντας *καταλεύειν αὐτόν τε καὶ σὺν αὐτῷ ἕτερον, εἶτα δὲ καὶ περὶ τὴν οἰκίαν δοῦναι. τούτους ἠρέμα πως ἐπιτιμᾷ, τὸ πλανᾶσθαι ἐπὶ τῆς ξένης, τῆς οἴκοι *διατριβῆς [διὰ] τὰς ἐν πόλει ἀταξίας ἄμεινον κατασκευάζει. ἡ δὲ τῶν πολιτῶν ὀργὴ κατ' αὐτοῦ, διότι φησὶ καταρρέουσαν ἐπὶ τὸ βέλτιον ἀνέλαβε τὴν οἰκίαν. καὶ ὁ λ' δὲ δημηγορία ἐν τῇ πατρίδι τὴν ἐπιγραφὴν φέρων, εἰς τὴν αὐτὴν ὑπόθεσιν ἀποβλέπει. καὶ ὁ πρῶτος καὶ τριακοστὸς ἐν τῇ πατρίδι μὲν ἐλέχθη, πολιτικὸς δ' ἐπιγέγραπται ἐν ἐκκλησίᾳ. καὶ συμβουλεύει τῶν εἰς ἀλλήλους ὕβρεων ἀποσχομένους καὶ προπηλακισμῶν, τὴν στάσιν εἰς ὁμόνοιαν διαλύειν. ὡσαύτως ἐν τῇ πατρίδι μὲν ἐλέχθη καὶ ὁ ἐφεξῆς. ὃ δὲ ἐπιγέγραπται, παραίτησις ἀρχῆς ἐν τῇ βουλῇ, τοῦτο καὶ ἐνδείκνυται. ἐκ ψηφίσματος γὰρ ἀρχὴν ὁ συγγραφεὺς ᾑρημένος παραιτεῖται. ὁ δὲ λγ', περὶ τῶν ἔργων ἐν βουλῇ τὴν ἐπιγραφὴν παρέχων, ἔπαινον μέν τινα τῆς βουλῆς ἐπιτρέχει, ἀπολογεῖται δὲ ὑπὲρ ὧν *ὁ Δίων ὑπενοεῖτο, ὡς μὴ τὰ τοῦ παιδὸς ἔργα καὶ αἱ πράξεις αἱ κατὰ τὴν πόλιν *πνευματικῆς εἰσι βουλῆς ἐξημμέναι. ὁ ἐφεξῆς δὲ πρὸς Διόδωρον ἐπιγραφόμενος προτροπήν μέν τινα ἐπ' ἀρετὴν εἰσάγει. ἐπαινεῖν δὲ τὴν πόλιν φησί, δι' ὧν τὸν ἐγκωμιάσαντα Διόδωρον ἐπαίνοις περιβάλλει. ὁ δὲ λε', περὶ Αἰσχύλου καὶ Σοφοκλέους, καὶ Εὐριπίδου, ἢ περὶ τῶν Φιλοκτήτου τόξων ἐπιγεγραμμένος, τὴν τοῦ Φιλοκτήτου πλάττει ἐξαπάτην, ἣν περιβεβλημένος Ὀδυσσεύς, λαβὼν ᾤχετο τὰ τόξα. τοῦ δὲ ϛ' καὶ λ' λόγου ἡ μὲν ἐπιγραφὴ περὶ Ὁμήρου λέγει, ἐπαινέτης δὲ τοῦ ποιητοῦ διαφαίνεται, ὥσπερ καὶ τοῦ περὶ Σωκράτους ἐπιγραφομένου τοῦ φιλοσόφου. ὁ δὲ περὶ Ὁμήρου καὶ Σωκράτους λη', λόγος ὤν, ζηλωτὴν Ὁμήρου Σωκράτην καὶ μαθητὴν *ἐπιδείκνυσι. καὶ τό, τε οἰκεῖον τῆς [τῶν παραδειγμάτων] μεταχειρήσεως ἐκεῖθεν ἀναμαθεῖν τὸν φιλόσοφον ἐπιδείκνυσι, καὶ τὴν ἄλλην τοῦ λόγου χάριν καὶ δύναμιν ἐναπομάξασθαι. ὁ δὲ λθ', Ἀγαμέμνων ἢ περὶ βασιλείας ἐπιγραφόμενος, διέξεισιν ὡς δεῖ συμβούλων τοῖς ἀρίστοις τὸν βασιλέα κεχρημένον, ἐκείνοις τε πείθεσθαι, καὶ μὴ κατὰ τὸ δοκοῦν αὐθαδιάζειν. καὶ ᾧ δὲ Νέστωρ ἡ ἐπιγραφή, ὅπως κεχρῆσθαι προσήκει τῇ πρὸς τοὺς βασιλεῖς παραινέσει περιλαμβάνεται. ὁ δὲ ἐφεξῆς, Ἀχιλλεὺς οὐ πειθόμενος τῷ Χείρωνι, προνοίᾳ καὶ τέχνῃ, ἀλλὰ μὴ θράσει καὶ χειρῶν ἰσχύϊ συμβουλεύοντι μεταχειρίζεσθαι πόλεμον, ὕστερον οὐκ ἀπώνατο τῆς ἀπειθείας. καὶ ὁ Φιλοκτήτης δέ, παράφρασίς ἐστι τοῦ κατ' αὐτὸν ἀτυχήματος, ἐφ' οἷς ὁ *Νέσος καὶ ἡ Δηϊάνειρα τῶν ἀπιθανῶς περὶ αὐτοὺς πεπλασμένων διά τινος θεραπείας, εἰς εἱρμόν τινα καὶ τάξιν δοκεῖ τὸ ἀπίθανον μεταρρυθμίζειν. καὶ ὁ Χρυσηΐς, ἔπαινός ἐστι Χρυσηΐδος. ὁ δὲ περὶ βασιλείας καὶ τυραννίδος, περὶ αὐτῶν τούτων διαλαμβάνει. καὶ οἱ ἐφεξῆς δὲ τρεῖς περὶ τύχης λόγοι, χαρίεντά τινα καὶ φιλοσοφίας ἅμα ἐχόμενα θεωρήματα διατυποῦσιν. ὡσαύτως καὶ οἱ μετὰ τούτους περὶ δόξης τρεῖς λόγοι, συμβουλεύουσι καὶ παραινοῦσι, μηδένα λόγον τὸν τῆς τῶν πολλῶν δόξης ποιεῖσθαι, καλὰ δὲ καὶ ὠφέλιμα τῇ παραινέσει *συνδιαπλέκεται θεωρήματα.

* καταλεύειν. M. M.

* διατριβὰς τὰς ἐν πόλει ἐντυχ.

* ὑφ' ὧν. M. M.

* al. τῆς πατρικῆς.

* al. ἐπιδείκνυσι.

* al. Νέσσος.

* al. συμπλέκεται.

ὁ δὲ

ὁ δὲ νϛ´, περὶ ἀρετῆς καὶ ἐπιγράφεται καὶ διέεισι. περὶ φιλοσοφίας δέ ἐστιν ὁ νγ´. καὶ ὁ μὲν νδ´, περὶ τοῦ φιλοσόφου. ὁ δὲ νε´, περὶ τοῦ σχήματος ἐπιγεγραμμένος, δείκνυσιν, ὡς οὐ χιτῶνι καὶ ὑποδήματι φιλοσόφων, *οὐ κατεσχηματισμένῳ εἴδει, φιλόσοφός ἐστιν. ὁ δὲ νϛ´, περὶ πίστεως ἐπιγραφῆς τυχὼν, καὶ ὁ ἐφεξῆς περὶ ἀπιστίας, προτρέπονται φυλάττεσθαι τὸ θαρρεῖν, καὶ καταπιστεύειν καὶ τοῖς μάλιστα φιλεῖν δοκοῦσι. πολλοῖς γὰρ πιστεύσασι μὲν, μεγάλη ἀπήντησε συμφορά· ἀπιστίᾳ δὲ προεξαμένοις λαμπρὰ περιγέγονε σωτηρία. ἀλλὰ ταῦτα μὲν ὁ περὶ ἀπιστίας λόγος. ὁ δὲ πρὸ αὐτοῦ διέξεισιν, ὡς καὶ τὸ πιστεῦσαι ὡς ἐπίπαν, μεγάλα τοὺς πιστευομένους ἐζημίωσεν. ἡ δὲ ὑπόθεσις τοῦ νη´ λόγου, ὥσπερ καὶ ἡ ἐπιγραφὴ, περὶ νόμου ἐστίν· ὡς καὶ ἡ τοῦ νθ´ περὶ ἔθους· ὃ παρέχειν μὲν ὅσα ὁ νόμος, ἀποδείκνυσι: μεθ' ἡδονῆς δὲ καὶ πειθοῦς μᾶλλον, ἢ βίας, καὶ ἀσφαλέστερον. δύο δὲ οἱ ἐφεξῆς περὶ φθόνου διαλαμβάνουσι. καὶ ὁ ξβ´ περὶ πλούτου, τὸ ὀχληρὸν αὐτοῦ καὶ ἐπίβουλον στηλιτεύων, καὶ πολλῷ λυσιτελεστέραν αὐτοῦ παριστῶν τὴν μετὰ δικαιοσύνης πενίαν. ὁ δὲ ξγ´, ἐπιγράφεται, τῶν ἐν Κιλικίᾳ περὶ ἐλευθερίας. ἐκεῖνον δὲ ἐλεύθερον παριστᾷ, ὃς τῶν ἐν αὐτῷ κύριος εἴη παθῶν, κἂν μυρίοι ἔξωθεν αὐτοῦ τοῦ σώματος ὦσι δεσπόται. καὶ δοῦλον ἐκεῖνον, ὃς ἀνδράποδον ἐστι παθῶν, εἰ καὶ *πάσης ἀρχεῖν τῆς οἰκουμένης δοκεῖ. εἰς τὴν αὐτὴν *δὲ ἀναφέρεται διάνοιαν καὶ ὁ ἐφεξῆς, περὶ δουλείας καὶ ἐλευθερίας ἐπιγραφὴν ἔχων· ὥσπερ καὶ ὁ ἐφεξῆς δεύτερος περὶ δούλων ὤν. καὶ ὁ μετ' αὐτὸν δὲ περὶ λύπης, ὡς οὐ χρὴ παρεγγυᾶται τὸν γενναῖον καὶ νοῦν ἔχοντα ἄνδρα, *ὑποκατακλίνεσθαι τοῖς πάθεσι, περιορᾶν δὲ μᾶλλον, καὶ ἀποτρίβεσθαι. καὶ ὁ ξζ´, περὶ πλεονεξίας ὢν, ἀποτρέπεσθαι ταύτην παρεγγυᾷ. καὶ ὁ ξη´, ὥσπερ ἐπιγέγραπται περὶ λόγου καὶ ἀσκήσεως, τοιαύτην καὶ ὑπόθεσιν ὑποβάλλει. περὶ δὲ τῆς αὐτοῦ φιληκοΐας ὁ ξθ´, καὶ ἐπιγράφεται καὶ διαλαμβάνει. ὁ δὲ ο´, ἐπιγραφῆς μὲν περὶ ἀναχωρήσεως τυγχάνει: κατασκευάζει δὲ, ὡς οὐχὶ τὸ τὰς ἐρήμους διώκειν, ἀναχώρησίς ἐστι παθῶν καὶ τῶν ἐν βίῳ θορύβων. ἀλλὰ τὸ εἰς ἑαυτὸν ἐπιστραφῆναι, καὶ σπουδάζειν γνῶναι ἑαυτὸν τὸ ἀπὸ τῶν ἄλλων κακίας *φορολίγον ἔχοντα λόγον. περὶ κάλλους δὲ ὁ μετὰ τοῦτον λόγος, ὃν ἐπιγέγραπται τρόπον, τὴν αὐτὴν καὶ περὶ νεανίσκου διέξεισιν: ἐν ᾧ ὡς οὐ παρὰ πᾶσιν ἔθνεσι καὶ βαρβάροις τὸ αὐτὸ νομίζεται κάλλος, ἄλλο δὲ παρ' ἄλλοις νικᾷ. ὁ δὲ οβ´, περὶ εἰρήνης καὶ πολέμου, τήν τε ἐπιγραφὴν προβάλλεται, καὶ διαλαμβάνει. ὁ δὲ ογ´, ὅτι εὐδαίμων ὁ σοφός. καὶ ὁ ἐπ' αὐτῷ περὶ εὐδαιμονίας. ὁ δὲ ἐπὶ τούτοις, περὶ τοῦ δαίμονος· δαίμονας δὲ καλεῖ, τοὺς ὅσοι λαχόντες ἀρχὴν ἑτέρων, ἄμεινον πράττειν τοὺς ἀγομένους ἢ καὶ χεῖρον μετεσκεύασαν. περὶ δὲ τοῦ *βουλεύσασθαι ὁ οϛ´ διαλαμβάνει. ὁ δὲ οζ´, διατριβὴ περὶ τῶν ἐν συμποσίῳ τὴν ἐπιγραφὴν πεποιημένος, τινὰ τῶν ἐν αὐτῷ διέξεισι συμπιπτόντων· καὶ ὡς ὁ πολὺς ἄνθρωπος τηνικαῦτα πρὸς φιλοσοφίαν ὁρᾶν εἴωθεν, ἡνίκα αὐτῷ ὁ βίος αἰτίαις περιρρεῖται. ὁ δὲ οη´, καὶ ὁ μετ' αὐτὸν Μελαγκόμας, α´ καὶ β´ ἐπιγεγραμμένοι, ἐπαινοῦντες διαγράφουσι τὸν νεανίσκον, καὶ μνήμην ἐπὶ χρηστοῖς τελευτήσαντος καὶ λύπην. ὁ δὲ π´, Χαρίδημος μὲν αὐτῷ ἡ ἐπιγραφή·

* al. ἰδῇ.
* al. συμπάντων.
* al. ἐξήρτηται.
* al. κατακλίνεσθαι.
* al. σύμφορον ὀλίγον.
* al. βουλεύσασθαι.

LII. *De virtute* & inscribitur, & disserit. LIII. Agit *De Philosophia*, vt LIV. *De Philosopho*. At LV. *De habitu cultuque corporis* inscripta, docet non ob tunicam mox & calceos Philosophorum, neque ob externam cultus speciem Philosophum quemquam esse iudicandum. LVI. *De Fiducia* titulum sortitur; vt contra huic proxima *De diffidentia*. Suadent hæ cauendum ne cui fidas, aut te credas; ne iis quidem, qui vel maximè amare videntur. Multos enim aliis confisos in magnam incidisse calamitatem: cum diffidentia munitis manifesta contigerit salus. Sed hæc quidem illa de Diffidentia oratio. Præcedens enim edisserit, Fiduciam magna vt plurimum damna confidentibus attulisse. Argumentum deinde Orationis LVIII. Quod docet inscriptio, *De lege* est, vt & insequentis LIX. *De consuetudine*: quam quidem tantumdem præstare, quantum lex solet, ostendit, sed cum voluptate id potius atque inductione, quam vi, multóque securiùs. Duæ verò Orationes, quæ sequuntur, *De inuidia* agunt. vt LXII. *De diuitiis*; quarum molestias atque insidias ita omnibus notas facit, vt vtiliorem longe esse statuat iustitia comitatam paupertatem. LXIII. Inter Cilicas orationes *De Libertate* habita inscribitur. [a] Illum autem liberum pronunciat, qui suarum sit dominus perturbationum, affectionúmque animi, tametsi mille eius corpori imperent domini; illum contra seruum, qui malis suis parens affectionibus seruitutem seruiat, licet mundi totius imperium tenere videatur. Quam in sententiam subsequens quoque disserit, *De seruitute & libertate* inscripta: vt & sequens, quæ *De seruis* altera est. Hinc *De agritudine*, hortatur non oportere virum generosum ac prudentem vinci aut perturbationi succumbere, sed contemnere potius, atque obterere. LXVII. *De auaritia* inscripta, vitare hoc malum iubet. LXVIII. Oratio titulum præfert *De benedicendi exercitio*, atque hoc idem argumentum suggerit. Mox LXIX. agit, inscribitúrque *De sua [alios] audiendi cupiditate*. Septuagesimæ titulus est, *De secessu*; docétque non loca sola sectando, mox etiam vitiosas animi affectiones, ac vitæ tumultus vitari, sed ad seipsum sese conuertendo, & ad sui cognitionem contendendo, aliunde accedentis mali [b] exigua interim habita ratione. Proxima vt est *De pulchritudine* inscripta, sic & de adolescente disserit, Ibidem nec apud omnes gentes, etiam barbaras, idem pulchrum videri ait, sed aliud apud alios obtinere. LXXII. *De pace belloque* & agit, & titulum gestat. LXXIII. *Sapientem etiam felicem* prædicat: & sequens *De felicitate* disputat. Hinc *De genio* agitur. *Genios* autem nominat, qui aliorum ita sortiantur imperium, vt per eos aut melius cum subditis agatur, aut peius. LXXVI. est *De consultando*. LXXVII. titulus est *Disputatio de iis, quæ in symposiis accidere solent*, eorumque nonnulla etiam narrat, ac mortalium plerosque tunc ad Philosophiam respectum habere consueuisse, cum rebus tristibus vita infestatur. LXXVIII. & altera insequens *Melancomas prima & secunda* inscripta, cùm laudem adolescentis illius continent, tum memoriam mœrorémque in secundarum rerum affluentia vita functi. Vltima & octogesima, quæ *Charidemi* nomen præfert;

DIO CHRYsostomus.

a Cicero in Paradoxis, & Philo Iudæus atque Horatius.

b Insequentes quidem illud φορολίγον, sed quod vel ex suo ἀναγνώσματι vel ἐμφορῶν fa[...]

DIO CHRYSOSTOMUS.

laudationem simul ac luctum exstincti iuuenis commiscet.

CCX.

CÆSARII *Capita Ecclesiastica* CCXX.

LEGI CÆSARII Librum, [a] *Capita* continentem *Ecclesiastica* CCXX. quibus partim enunciata quædam explicantur, partim quæstiones soluuntur. Dicas autem hunc scriptorem, & ætate etiamnum florere, & cum Rhetoricæ quasi fœtura, tum externæ non minus quam nostræ Philosophiæ eruditione turgere. Quamquam non minima deesse videntur, vt verbo dicam, quo motus illi atque impetus decore careant. Attamen clara eius dictio est (crebro licet ad poëticas voces iuueniliter deflectat, atque ab vsitata constructione, non sine defectu aliquo, recedat) & ad summam dogmatum accurationem parum sane ei deest. Per Quæstiones porrò & Responsiones, suppositis quoque personis [interloquentibus,] composita illi oratio est, & quidem Gregorij, vt aiunt, [b] cuius hunc Auctorem esse fratrem *Theologi* cognomentum indicat.

[a] *An hæc iam in quatuor illos Dialogos distributa legimus quod ad finem operum D. Gregorii Nazianzeni Iac. Billius edidit?*

[b] *Negat id Iac. Billius argumento in Orationem X. D. Greg. Nazianz.*

CCXI.

DIONYSII ÆGEI *Dictyacorum* *Capita* C.

LECTA DIONYSII ÆGEI [a] *Dictyaca*, quæ inscribuntur. Libellus erat centum absolutus capitibus, quorum quinquaginta suam singula sententiam asserebant: totidem verò suam quodlibet adstructam antea hypothesin, euertere conabantur; ita vt sua cuique assertioni refutatio statim opponeretur. Ipsa porro elocutio nequeadmodum exornatur, neque tamen sine venustate negligitur: præsertim cum non ad ostentationem aliquam, sed ad disputationem potius Opus hoc comparatum sit à suo Auctore, cui tenue dicendi genus & cognatarum rerum series curæ fuit. Vtilis autem liber iis est, qui in Dialecticis exercentur, atque ista ferè suo argumento comprehensa.

[a] *Sui vt videtur Oblitus Photius, propositum semel antea Opus (sup. Cod. CLXXXV.) hic denuo repetit, commissis tantum διτιγγαρικῶν Capitibus & breuissima κρίσει addita.*

I. Ab vtroque parente mitti semen, animantiaque gigni; & contra, non ab vtroque. II. Ex vniuerso corpore semen excerni: contra vero à testiculis. III. Concoctionem calore fieri: contra vero non item. IV. Attritu concoctionem fieri: & attritu minimè fieri. V. Putrefactione fieri concoctionem: contra verò minimè. VI. Proprietate Spiritus concoctionem fieri: contra non item. VII. Succorum proprietate concoctio fit; vel minimè. VIII. Proprietate caloris fit concoctio: & non item. IX. Calore digestionem fieri: & non item. X. Ciborum distributionem per caloris ad se attractionem fieri; vel minimè. XI. Spiritu fit digestio: aut non item. XII. Arteriarum applicatione digestio fit: minimè vero sic. XIII. Digestio fit per absentiam cum vacuitate: & quod per incertam siue quamcumque absentiam fieri soleat digestio. XIV. Ex eo glaucedo nascitur, quod alimento suo visualis porus destituatur: & non item. XV. Sanguinis illapsu in visionis porum glaucedo fit oculorum: & non item. XVI. Humidorum crassitie, atque exhalatione fit glaucedo: & non fit.

ἔπαινον δὲ καὶ πένθος ἐπὶ τελευτήσαντι συνδιαπλέκει τοῦ νέου.

ΚΑΙΣΑΡΙΟΥ ΕΚΚΛΗΣΙΑΣΤΙΚΑ κεφάλαια σκ'.

σι'. *Cæsarii capita Ecclesiastica.*

ΑΝΕΓΝΩΣΘΗ Καισαρείου βίβλος· ἐν ᾗ κεφάλαια περιείχετο ἐκκλησιαστικά· τούτων μὲν ῥητῶν ἀναπτύξεις, τῶν δὲ συζητήσεων ἐπιλύσεις κ' καὶ σ'. ὁ μὲν ἀνὴρ ἔοικε νεάζειν τε, καὶ πρὸς γονὰς μὲν λόγων, μάθησίν τε θύραθεν σοφίας καὶ τῆς ἡμετέρας σφριγᾶν: δεῖται δ' ὅμως οὐκ ἐλαχίστως ἵνα συντόμως εἴπω, εἰς τὸ μὴ καταισχύνειν τὰς ὁρμάς. πλὴν σαφής τέ ἐστι τὴν φράσιν, εἰ καὶ πρὸς ποιητικὰς ἐκνεανιεύεται λέξεις πολλάκις, καὶ τὸ κοινὸν τῆς συντάξεως μετιὸν ἐστιν, ὅπῃ ἐπὶ ἔλαττον φέρεται καὶ τούτου, καὶ πρὸς τὴν τῶν δογμάτων ἀκρίβειαν, ὀλίγων αὐτοῦ δεῖ. εἰς ἐρωτήσεις δὲ καὶ ἀποκρίσεις μετ' ὑποβολῆς προσώπων, τὸ τοῦ λόγου σχῆμα πεποίηται. ἔστι δέ φασι Γρηγορίου· οὗ τὸ θεολόγος ἐπώνυμον τὸν συγγραφέα ἀδελφὸν δηλοποιεῖ.

ΔΙΟΝΥΣΙΟΥ ΑΙΓΕΩΣ ΔΙΚΤΥΑκῶν βιβλιδάριον κεφαλ. ρ'.

σια'. *Dionysii Ægei, Dictyaca.*

ΑΝΕΓΝΩΣΘΗ Διονυσίου αἰγέως, δικτυακῶν ἔφερε τὴν ἐπιγραφήν. ἦν δὲ ἄρα τὸ βιβλιδάριον κεφαλαίοις ἀπαρτιζόμενον ρ'. ὧν τὰ μὲν ἰδίαν ἑκάστην ὑπόθεσιν κατεσκεύαζε, πεντήκοντα δὲ ταῦτα ἦν. τὰ δὲ λοιπὰ πεντήκοντα, ἀνασκευὴν ἕκαστον πρὸς ἑκάστην τὴν κατεσκευασμένον ἐσπούδαζεν, ἑκάστῃ κατασκευῇ ἀντιπαρατιθεμένης παραδοθείσης, καὶ κατὰ συνέχειαν, τῆς ἀνασκευῆς. καὶ ἡ μὲν ἑρμηνεία τοῦ λόγου οὔτε ἐξωραΐζεται, οὔτε ἐρρίπται τοῦ κάλλους. ἄλλως τε καὶ [*] ὅτι οὐδ' ἐπιδεικτικῶς, ἀλλ' ἐς τὸ γυμνάσιον τῷ συγγραφεῖ τὸ σπούδασμα διατείνει, καὶ ἰσχνότητος αὐτῷ καὶ τῆς συστοίχων μέλει. χρήσιμον δὲ τὸ βιβλίον τοῖς τῆς διαλεκτικῆς τριβῆς ἀσκουμένοις. ἡ δὲ ὑπόθεσις λέγει τοῦτα. ὅτι ἐξ ἀμφοτέρων ἡ καταβολὴ τοῦ σπέρματος, καὶ ζωογονία γίνεται, καὶ τοὐναντίον οὐκ ἐξ ἀμφοτέρων. δεύτερον, ὅτι ἀφ' ὅλου τοῦ σώματος ἡ τοῦ σπέρματος ἔκκρισις, καὶ τοὐναντίον ὅτι ἀπὸ τῶν διδύμων. τρίτον, ὅτι ἡ πέψις θερμασίᾳ γίνεται. καὶ ὅτι οὐχ οὕτω. τέταρτον, ὅτι τρίψει ἡ πέψις γίνεται, καὶ ὅτι οὐ τρίψει. πέμπτον, ὅτι σήψει ἡ πέψις, καὶ ὅτι οὐ σήψει. ἕκτον, ὅτι τοῦ πνεύματος ἰδιότητι ἡ πέψις, καὶ ὅτι οὐχ οὕτω. ἕβδομον, ὅτι χυμῶν ἰδιότητι ἡ πέψις, καὶ ὅτι οὐχ οὕτω. ὄγδοον, ὅτι θερμασίας ἰδιότητι ἡ πέψις, καὶ ὅτι οὐχ οὕτω. ἔνατον, ὅτι θερμασίᾳ ἡ ἀνάδοσις, καὶ ὅτι οὐχ οὕτω. δέκατον, ὅτι ἡ ἀνάδοσις τῷ τὴν θερμασίαν ἐφ' ἑαυτὴν ἕλκειν, καὶ ὅτι οὐχ οὕτω. ια', ὅτι τῷ πνεύματι ἡ ἀνάδοσις, καὶ ὅτι οὐχ οὕτω. ιβ', ὅτι τῇ τῶν ἀρτηριῶν παραθέσει ἡ ἀνάδοσις, καὶ ὅτι οὐχ οὕτω. ιγ', ὅτι τῇ κατὰ κενὸν ἀπουσίᾳ ἡ ἀνάδοσις, καὶ ὅτι οὐ κατὰ τὸ ἄδηλον ἀπουσίᾳ ἡ ἀνάδοσις· ιδ', ὅτι δι' ἀτροφίαν τοῦ ὁρατικοῦ πόρου ἡ ἀπογλαύκωσις συμβαίνει, καὶ ὅτι οὐχ οὕτω. ιε', ὅτι παρέμπτωσις αἵματος εἰς τὸν ὁρατικὸν πόρον, ἡ ἀπογλαύκωσις, καὶ ὅτι οὐχ οὕτως. ις', ὅτι καθ' ὑγρῶν πάχος καὶ διαπνοὴν ἡ ἀπογλαύκωσις, καὶ ὅτι οὐχ οὕτω.

[*] οὐκ ἐπιδεικτ. M. M.

ιζ', ὅτι

a καταδιάτασιν.

ιζ΄, ὅτι ἡ φρενῖτις, * κατὰ διάτασιν τῆς μήνιγγος καὶ φθορὰν τοῦ αἵματος γίνεται, καὶ ὅτι οὐχ οὕτω. ιη΄, ὅτι κατὰ θερμασίας πλεονασμὸν ἡ φρενῖτις συμβαίνει, καὶ ὅτι οὐχ οὕτω. ιθ΄, ὅτι διὰ φλεγμονὴν ἡ φρενῖτις, καὶ ὅτι οὐχ οὕτω. κ΄, ὅτι ὁ λήθαργος διὰ φλεγμονὴν γίνεται, καὶ ὅτι οὐχ οὕτω. κα΄, ὅτι κατὰ διάτασιν οἱ ληθαργικοὶ καὶ φθοράν, καὶ ὅτι οὐχ οὕτω. κβ΄, ὅτι οὐ περὶ ὅλον τὸ σῶμα ἡ τοῦ πιεῖν καὶ φαγεῖν συνίσταται ὄρεξις, καὶ ὅτι περὶ μόνον τὸν στόμαχον. κγ΄, ὅτι ἡ τοῦ φαγεῖν καὶ πιεῖν ὄρεξις περὶ διάνοιαν. κδ΄, ὅτι καθ' ὑγρῶν ἔνδειαν τὸ δίψος, καὶ ὅτι οὐχ οὕτω. κε΄, ὅτι περὶ τὸν στόμαχον, διπλῆ τις ὁρᾶται ἐνέργεια, καὶ ὅτι οὐχ οὕτω. κς΄, ὅτι ἡ ἐντὸς μήνιγξ ἐν τῷ κοιλώματι, ἀρχὴ τῶν νεύρων ἐστί, καὶ ὅτι οὐχ οὕτω, ἀλλ' ἡ ἐκτός. κζ΄, ὅτι ἀναδιδόμενα τὰ φάρμακα καθαίρει, καὶ ὅτι οὐχ οὕτως, ἀλλὰ κατὰ τὴν προσίωσιν. κη΄, ὅτι οὐ χρηστέον τοῖς καθαρτικοῖς, καὶ ὅτι χρηστέον. κθ΄, ὅτι οἴνου δόσει χρηστέον ἐπὶ τῶν πυρεσσόντων· καὶ τοὐναντίον, ὅτι ἀσύμφορον. λ΄, ὅτι λουτρὸν τοῖς πυρέσσουσι λυσιτελεῖ, καὶ ὅτι ἀσύμφορον. λα΄, ὅτι δεῖ ἐν ταῖς ἐπιτάσεσι τῶν νόσων κλύζειν, καὶ ὅτι οὐ προσήκει. λβ΄, ὅτι οὐ δεῖ κατ' ἀρχὰς ὑπαλείψει χρῆσθαι, καὶ ὅτι συμφέρον. λγ΄, ὅτι δεῖ καταπλάττειν τὴν κεφαλήν, καὶ ὅτι οὐ δεῖ, τοῖς δ' ὀσφραντοῖς μόνον χρῆσθαι. λδ΄, ὅτι ἐμετοποιεῖν ἀσύμφορον, καὶ ὅτι συμφέρον. λε΄, ὅτι οὐκ ἐκπέμπει ἡ καρδία αἷμα, καὶ ὅτι ἐκπέμπει. λς΄, ὅτι οὐχ ἡ καρδία τὸ * πνεῦμα ἐκπέμπει, ἀλλ' αἱ ἀρτηρίαι ἕλκουσι, καὶ ὅτι ἔμπαλιν. λζ΄, ὅτι ἐξ ἑαυτῆς ἡ καρδία κινεῖται, καὶ ὅτι οὐκ ἐξ ἑαυτῆς. λη΄, ὅτι κατὰ φύσιν αἷμα ἐν ἀρτηρίαις ὑπάρχει, καὶ ὅτι οὐχ αἵματος αἱ ἀρτηρίαι ἀγγεῖον. λθ΄, ὅτι πάντα τὰ ἀγγεῖα ἐν τῷ ὄγκῳ ἁπλᾶ ἐστι, καὶ ὅτι πλεγματικά ἐστιν. μ΄, ὅτι διὰ τῶν νεύρων ἡ αἴσθησις καὶ ἡ κίνησις τοῦ ζώου, καὶ ὅτι οὐκ οὕτω. μα΄, ὅτι ἀρχὴ φλεβῶν ἡ καρδία, καὶ ὅτι οὐκ ἀρχή. μβ΄, ὅτι ἧπαρ ἀρχὴ φλεβῶν, καὶ ὅτι οὐκ ἀρχή. μγ΄, ὅτι ἡ κοιλία φλεβῶν ἀρχή, καὶ ὅτι οὐκ ἀρχή. μδ΄, ὅτι πάντων τῶν ἀγγείων ἀρχὴ μήνιγξ ἐστί, καὶ ὅτι οὐκ ἀρχή. με΄, ὅτι πνεῦμα ἀρτηριῶν ἀρχή, καὶ ὅτι οὐκ ἔστιν ἀρχή. μς΄, ὅτι ἡ παρὰ τὴν * ἀγκύλην ἀρτηρία, ἀρτηριῶν ἀρχή, καὶ ὅτι οὐκ ἀρχή. μζ΄, ὅτι ἡ καρδία ἀρτηριῶν ἀρχή, καὶ ὅτι οὐκ ἀρχή. μη΄, ὅτι οὐχ ἡ καρδία, ἀρχὴ νεύρων, ἀλλ' ἡ περιέχουσα τὸν ἐγκέφαλον μῆνιγξ, καὶ ὅτι οὐκ ἀρχή. μθ΄, ὅτι οὐ περὶ καρδίαν, τὸ διανοητικόν, ἀλλὰ περὶ κεφαλήν, καὶ ὅτι ἀνάπαλιν. ν΄, ὅτι τὸ διανοητικόν, ἐστὶ περὶ τὴν μέσην τῆς ἐγκεφάλου κοιλίαν· καὶ ὅτι οὐχ οὕτω. Ταῦτα καὶ ἡ ὑπόθεσις διατείνεται).

a αἷμα.

a al. ῥάχιν.

DIONYSIVS. Ægeus.

XVII. Phrenitidem fieri per distensionem meningis, sanguinisque corruptionem: & non ita fieri. XVIII. Ex caloris excessu nasci phrenitidem: & non item. XIX. Per inflãmationem phrenitidem nasci: & non item. XX. Lethargum ex inflammatione fieri: & non ita. XXI. Per distensionem corruptionemque lethargicos fieri: & non item. XXII. Per vniuersum corpus diffundi appetitum edendi atque bidendi: & tantum in stomacho exsistere. XXIII. Edendi atque bibendi appetitum in imaginatione situm esse. XXIV. Ex humorum inopia sitim nasci: & non item. XXV. In stomacho duplicem spectari efficiendi vim: & verò minime. XXVI. * Inferior cerebri pellicula in concauitate principium est neruorum: & vero minime, sed exterior. XXVII. Pharmaca diffusa per corpus purgare; & non item, sed ipso adlapsu. XXVIII. Non esse vtendum purgantibus medicamentis: immo esse. XXIX. Vini haustum febricitantibus esse concedendũ: & non esse, cũ perniciosus sit. XXX. Balnea febricitantibus vtilia esse: immo noxia esse. XXXI. In morborum incrementis clystere vtendum: & non vtendum. XXXII. Non esse morborum initio vnctionibus vtendum: immo id perutile esse. XXXIII. Caput cataplasmatis curandum: & non item, sed olfactoriis dumtaxat vtendum. XXXIV. Vomitus prouocationem nihil prodesse: immo vtilem esse. XXXV. Cor emittere sanguinem: & contra non emittere. XXXVI. Cor non emittere spiritum, sed arterias potius ipsum attrahere: & contra: XXXVII. Cor à seipso moueri: immo non à seipso. XXXVIII. Sanguinem natura in arteriis exsistere: & arterias non esse sanguinis receptaculum. XXXIX. Vasa omnia in summo simpla esse: immo plicata esse atque inuoluta. XL. Per neruos sensum esse & motum animantis: & non esse. XLI. Venarum cor esse principium: & non esse principium. XLII. Iecur venarum esse principium; & rursum non esse. XLIII. E ventriculo venas nasci: & non nasci. XLIV. Omniũ vasorum principium esse meninga, seu cerebri tunicam: & non esse. XLV. Spiritum esse arteriarum originem: & contra non esse. XLVI. Arteria illa, quæ iuxta dorsi spinam sita, principium arteriarum est: & non est. XLVII. Cor esse arteriarum principium: & non esse. XLIIX. Neque cor neruorum principium est, sed cerebrum ambiens pellicula: & non est. XLIX. In corde non esse intelligendi vim, sed in capite: & contra. L. Intelligendi vim in medio esse cerebri ventriculo: & non esse. Hæc igitur opus illud [efficere] contendit.

a Sup. Capitis ventri.

σιβ΄.

Ænesidemi de Pyrrhoniis libri VIII.

ΑΙΝΗΣΙΔΗΜΟΥ ΠΥΡΡΩΝΙΩΝ λόγοι η΄.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Αἰνησιδήμου πυῤῥωνίων λόγοι ὀκτώ. ἡ μὲν ὅλη πρόθεσις τοῦ βιβλίου, βεβαιῶσαι, ὅτι οὐδὲν βέβαιον εἰς κατάληψιν, οὔτε δι' αἰσθήσεως· ἀλλ' οὔτε μὴν διὰ νοήσεως: διὸ οὔτε τοὺς πυῤῥωνίους, οὔτε τοὺς ἄλλους εἰδέναι τὴν ἐν τοῖς οὖσιν ἀλήθειαν· ἀλλὰ τοὺς μὲν κατ' ἄλλην αἵρεσιν φιλοσοφοῦντας, ἀγνοεῖν τε τἄλλα, καὶ ἑαυτοὺς μάτην κατατρίβειν καὶ δαπανᾶν συνεχέσιν αἰτίαις·

CCXII.

ÆNESIDEMI De Pyrrhoniis Libri IIX.

a Aliàs autem rectè Odesidamus legitur.

LEGI * ÆNESIDEMI Pyrrhoniorum libros octo. Cuius quidem Operis scopus est, hoc vnum probare, Nihil certo comprehendi aut sensu, aut ipsa etiam intelligentia posse. Quare neque Pyrrhonios, neque cæteros, quæ in rebus ipsis lateat, veritatem scire. Reliquarum ergo sectarum philosophos cum alia ignorare multa, tum quod frustra sese assiduis molestiis torqueant, atque absumant:

AENESIDEMVS.

quin & hoc ipſum ignorare, quod nihil eorum comprehenderint, quæ iam opinentur ſe comprehēdiſſe. At qui ex [a] Pyrrhonis inſtituto [ait] philoſophatur, cætera felix, in eo quoque ſapit, quod vel in primis intelligat, nihil à ſe certo comprehenſum eſſe. immo & hoc ſtudioſè agat, ne cui ...rum, quæ cognorit, affirmando potius, quàm negando aſſentiatur.

a Eius vitam ac placita deſcripſit Diog. Laert. qui frequenter etiam Aeneſidemi meminit.

Porro tota huius Operis Commentatiō quid propoſitum habeat, iam dictum. Libros ipſos Academico cuidam ſodali Lucio [b] Tuberoni inſcripſit, domo Roma, & claris ibi natalibus orto, quique magiſtratus geſſerit ciuiles non vulgares.

b al. Neroni.

Primo igitur Libro [c] Pyrrhoniorum & Academicorum diſcrimen referens, tantum non emiſſa voce iſta dicit: Academicos dogmata cōſtituere, & alia certa atque indubitata ponere, alia rurſum ſine vlla dubitatione tollere: Pyrrhonios autem dubios hærere, & ab omni dogmate liberos atque ſolutos eſſe; vt eorum etiam nemo omnino, aut comprehendi omnia poſſe aut non poſſe dixerit; ſed nihilo magis talia, quam talia eſſe, aut tunc quidem talia, aliàs vero non talia, vel vni quidem huiuſmodi, alij vero non huiuſmodi, tertio etiam plane non eſſe. Neque rurſum omnia eſſe communiter eiuſmodi, vt aſſequi illa quiſpiam poſſit, vel quędam ſaltem horum aſſequi non poſſit, ſed non magis fieri poſſe, vt quis ea aſſequatur, quam vt non aſſequatur: vel nunc quidem aſſequi poſſit, tunc verò non item. Immo neque verū, neque falſum, neque probabile, neque ens, neque non ens, ſed idem, vt ſic dicatur, non potius verum eſſe, quàm falſum, aut probabile potius, quam improbabile: aut ens, quàm non ens, aut tum quidem tale, alias vero aliuſmodi: aut vni tale, mox alteri etiam non tale. Nihil enim in vniuerſum Pyrrhonios definire, ne hoc quidem ipſum, quod nihil definiatur. Verum cum non ſuppetat, vt aiunt, quo ſenſa mentis efferamus, ſic loqui ſolemus. At qui ad Academiam, maximéque ad hanc nouam pertinent, inquit, cum Stoicis interdum opinionibus conſentiunt, & (ſi verum fateri volumus) Stoici ipſi, ſed qui cū Stoicis pugnent, videntur. Deinde & de multis decreta ſtatuunt. Virtutem enim atque amentiam inducunt: bonum quoque, & malum velut principia ponunt: verum item, & falſum, rurſum probabile, & improbabile, ens dein, & nō ens, aliáque non pauca certo definiunt: ambigere ſe tantum dicentes de comprehenſiua imaginatione. Quamobrem Pyrrhonij, dum nihil definiunt, omnino irreprehenſi permanent: verum Academicis, ait, pares cum aliis Philoſophis rationes reddendæ. Illud porro maximū: Quod illi de re qualibet ſibi oblata dubitantes, non tantum eundem perpetuo teneant ordinem, ſed nunquam etiam ſecum ipſi pugnent, cum hi ſecum pugnare ſe, ne ſentiant quidem. Simul enim ponere quidpiam, & rurſum indubitanter tollere, ſimul item dicere communiter aliqua eſſe comprehenſibilia, & non eſſe, manifeſtam vtique pugnam adfert. Alioquin quomodo fieri poſſit, vt qui cognorit hoc eſſe verum, illud falſum, adhunc dubitet, atque ambigat: & non certo prius illud amplectatur, alterumque declinet? Nam ſi ignoratur hoc bonum eſſe, aut malū: vel hoc verum, illud falſum: & hoc exiſtere, illud vero minime: omnino fatendum horum ſingula comprehendi non poſſe;

c A. Gell. lib. XI. cap. 5. legend. & Sext. Pyrrhon. Hypotyp. lib. 1. cap. 33.

καὶ αὐτὸ δὲ τοῦτο ἀγνοεῖν, ὅτι οὐδὲν αὐτοῖς τῶν δοξάντων εἰς κατάληψιν ἐληλυθέναι, κατείληπται. ὁ δὲ κατὰ Πύῤῥωνα φιλοσοφῶν, τά τε ἄλλα εὐδαιμονεῖ, καὶ σοφός ἐστι τὸ μάλιστα εἰδέναι, ὅτι οὐδὲν αὐτῷ βεβαίως κατείληπται. ἃ δὲ καὶ εἰδείη, οὐδὲν μᾶλλον αὐτῶν τῇ καταφάσει, ἢ τῇ ἀποφάσει γενναῖός ἐστι συγκατατίθεσθαι. ἡ μὲν οὖν ὅλη τοῦ βιβλίου διάληψις, ὃ βούλεται, εἴρηται. γράφει δὲ τοὺς λόγους Αἰνησίδημος προσφωνῶν αὐτοὺς τῶν ἐξ ἀκαδημίας τινὶ συναιρεσιώτῃ Λευκίῳ [*] Νέρωνι, γένος μὲν ῥωμαίῳ, δόξῃ δὲ λαμπρῷ ἐκ προγόνων, καὶ πολιτικὰς ἀρχὰς οὐ τὰς τυχούσας μετιόντι. Ἐν μὲν οὖν τῷ πρώτῳ λόγῳ διαφορὰν τῶν τε πυῤῥωνίων καὶ τῶν ἀκαδημαϊκῶν εἰσάγων, μικροῦ γλώσσῃ αὐτῇ ταῦτά φησιν: ὡς οἱ μὲν ἀπὸ τῆς ἀκαδημίας, δογματικοί τε εἰσὶ καὶ τὰ μὲν τίθενται ἀδιστάκτως, τὰ δὲ αἴρουσιν ἀναμφιβόλως. οἱ δ' ἀπὸ Πύῤῥωνος ἀπορητικοί τέ εἰσι καὶ παντὸς ἀπολελυμένοι δόγματος· καὶ οὐδεὶς αὐτῶν τὸ παράπαν, οὔτε ἀκατάληπτα πάντα εἴρηκεν, οὔτε καταληπτά: ἀλλ' οὐδὲν μᾶλλον τοιάδε ἢ τοιάδε· ἢ τότε μὲν τοῖα, τότε δὲ οὐ τοῖα· ἢ ᾧ μὲν τοιαῦτα, ᾧ δὲ οὐ τοιαῦτα· ᾧ δὲ οὐδόλως ὄντα· οὔτε μὴν ἐφικτὰ πάντα κοινῶς, ἢ τινὰ τούτων οὐκ ἐφικτά, ἀλλ' οὐδὲν μᾶλλον ἐφικτὰ ἢ οὐκ ἐφικτά· ἢ τότε μὲν ἐφικτά, τότε δὲ οὐκ ἐφικτά. καὶ μὴν οὐδ' ἀληθινόν, οὐδὲ ψεῦδος, οὐδὲ πιθανόν, οὐδ' ὄν, οὐδὲ μὴ ὄν· ἀλλὰ τὸ αὐτό, ὡς εἰπεῖν, οὐ μᾶλλον ἀληθὲς ἢ ψεῦδος, ἢ πιθανὸν ἢ ἀπίθανον· ἢ ὄν, ἢ οὐκ ὄν. ἢ τότε μὲν τοῖον, τότε δὲ τοῖον· ἢ ᾧ μὲν τοιόνδε, ᾧ δὲ καὶ οὐ τοιόνδε. καθόλου γὰρ οὐδὲν ὁ πυῤῥώνιος ὁρίζει· ἀλλ' οὐδὲ αὐτὸ τοῦτο, ὅτι οὐδὲν διορίζεται· ἀλλ' οὐκ ἔχοντές, φασιν, ὅπως τὸ νοούμενον ἐκλαλήσωμεν, οὕτω φράζομεν. οἱ δ' ἀπὸ τῆς ἀκαδημίας φησὶ μάλιστα τῆς νῦν, καὶ στωϊκαῖς συμφέρονται ἐνίοτε δόξαις, καί, εἰ χρὴ τἀληθὲς εἰπεῖν, στωϊκοὶ φαίνονται μαχόμενοι στωϊκοῖς. δεύτερον, καὶ περὶ πολλῶν δογματίζουσιν. ἀρετήν τε γὰρ καὶ ἀφροσύνην εἰσάγουσι, καὶ ἀγαθὸν καὶ κακὸν ὑποτίθενται, καὶ ἀλήθειαν καὶ ψεῦδος, καὶ δὴ καὶ πιθανὸν καὶ ἀπίθανον, καὶ ὂν καὶ μὴ ὄν· ἄλλα τε πολλὰ βεβαίως ὁρίζουσι. διαμφισβητεῖν δέ φασι περὶ μόνης τῆς καταληπτικῆς φαντασίας. διὸ οἱ μὲν ἀπὸ Πύῤῥωνος, ἐν τῷ μηδὲν ὁρίζειν, [*] ...τάληπτοι τὸ παράπαν διαμένουσιν: οἱ δὲ ἐξ ἀκαδημίας φησὶν ὁμοίας τὰς εὐθύνας τοῖς ἄλλοις φιλοσόφοις ὑπέχουσι. τὸ δὲ μέγιστον, οἱ μὲν περὶ παντὸς τοῦ προτεθέντος διαπορεῦντες, τό, τε σύστοιχον διατηροῦσι, καὶ ἑαυτοῖς οὐ μάχονται. οἱ δὲ [*] μαχομένους ἑαυτοῖς [οὐ] συνίσασι. τὸ γὰρ ἅμα τιθέναι τι καὶ αἴρειν ἀναμφιβόλως, ἅμα τε φάναι κοινῶς [*] ὑπάρχειν καταληπτά, μάχην ὁμολογουμένην εἰσάγει· ἐπεὶ πῶς οἷόν τε γινώσκοντα, τόδε μὲν εἶναι ἀληθές, τόδε δὲ ψεῦδος, ἔτι διαπορεῖν καὶ διστάζειν· καὶ οὐ σαφῶς τὸ μὲν ἑλέσθαι, τὸ δὲ περιστῆναι; εἰ μὲν ἀγνοεῖται, ὅτι τόδε ἐστὶν ἀγαθὸν ἢ κακόν. ἢ τόδε μὲν ἀληθές, τόδε δὲ ψεῦδος. καὶ τόδε μὲν ὄν, τόδε δὲ μὴ ὄν: πάντως ὁμολογητέον ἕκαστον ἀκατάληπτον εἶναι.

* al. Τυβέρωνι.

Academici.

Pyrrhonij.

* al. φασὶν.

* al. μαχόμενοι.

* al. ἢ μὴ ὑπάρχειν.

εἰ δ'

εἰ δ' ἐναργῶς κατ' αἴσθησιν ἢ κατὰ νόησιν καταλαμβάνεται: καταληπτὸν ἕκαστον φατέον. ταῦτα μὲν ἀρχόμενος τῶν λόγων, καὶ τοιαῦθ' ἕτερα, τὴν διαφορὰν τῶν πυῤῥωνίων καὶ ἀκαδημαϊκῶν ὑποδεικνὺς, ἀναγράφει ὁ Αἰνησίδημος ὁ ἐξ αἰγῶν. ἐφεξῆς δὲ κατὰ τὸν αὐτὸν λόγον πρῶτον, καὶ τὴν ὅλην ἀγωγὴν ὡς τύπῳ καὶ κεφαλαιωδῶς τῶν πυῤῥωνίων παραδίδωσι λόγων. Ἐν δὲ τῷ δευτέρῳ κατὰ μέρος ἤδη ἀρχόμενος ἐπεξιέναι τὰ ἐν κεφαλαίῳ εἰρημένα, περί τε ἀληθῶν καὶ αἰτιῶν διαλαμβάνει καὶ παθῶν, καὶ κινήσεως, γενέσεώς τε καὶ φθορᾶς, καὶ τῶν τούτοις ἐναντίων, κατὰ πάντων αὐτῶν τὸ ἄπορον καὶ ἀκατάληπτον πυκνοῖς, ὡς οἴεται, ἐπιλογισμοῖς ὑποδεικνύς. καὶ ὁ τρίτος δὲ αὐτῷ λόγος περὶ κινήσεως, καὶ αἰσθήσεως, καὶ τῶν κατ' αὐτὰς ἰδιωμάτων, τὰς ὁμοίας περιεργαζόμενος ἐναντιολογίας, εἰς τὸ ἀνέφικτον καὶ ἀκατάληπτον ὑποφέρει καὶ αὐτά. ἐν δὲ τῷ τετάρτῳ σημεῖα μὲν ὥσπερ τὰ φανερά φαμεν τῶν ἀφανῶν, * οὐδόλως εἶναί φασιν, ἠπατῆσθαι δὲ κενῇ προσπαθείᾳ τοὺς οἰομένους· ἐγείρει δὲ τὰς ἐξ ἔθους ἐφεξῆς ἀπορίας, περί τε ὅλης τῆς φύσεως καὶ κόσμου καὶ θεῶν, οὐδὲν τῶν εἰς κατάληψιν πεσεῖν ἐντεινόμενος. προβάλλεται δὲ αὐτῷ καὶ ὁ πέμπτος λόγος, τὰς κατὰ τῶν αἰτίων ἀπορητικὰς λαβὰς, μηδὲν μὲν μηδενὸς αἴτιον ἐνδιδοὺς εἶναι· ἠπατῆσθαι δὲ καὶ τοὺς αἰτιολογοῦντας, φάσκων καὶ τρόπους ἀριθμῶν, καθ' οὓς οἴεται αὐτοὺς αἰτιολογεῖν, ὑπαχθέντας εἰς τὴν τοιαύτην περιενεχθῆναι πλάνην. καὶ ὁ ἕκτος δὲ, τὰ ἀγαθὰ καὶ κακὰ καὶ μὴν καὶ τὰ αἱρετὰ καὶ φευκτὰ· ἔτι * προηγούμενά τε καὶ ἀποπροηγούμενα, εἰς τὰς αὐτὰς ἐρεσχελίας ἄγει τό γε ἐπ' αὐτῷ, καὶ ταῦτα τῆς καταλήψεως ἡμῶν καὶ γνώσεως ἀποκλείων. τὸν μέντοι ἕβδομον, κατὰ τῶν ἀρετῶν ὁπλίζει, διακενῆς λέγων τοὺς * φιλοσοφοῦντας περὶ αὐτῶν ἀναπλάσαι δόξας, καὶ αὐτοὺς ἀποβουκολεῖν, ὡς εἰς τὴν τούτων εἴησαν πρᾶξίν τε καὶ θεωρίαν ἀφιγμένοι. ὁ δ' ἐπὶ τούτοις πᾶσι, καὶ ὄγδοος, κατὰ τοῦ τέλους ἐνίσταται, μήτε τὴν εὐδαιμονίαν, μήτε τὴν ἡδονὴν, μήτε τὴν φρόνησιν, μήτ' ἄλλο τι τέλος * ἐπιχωρῶν εἶναι, ὅπερ ἄν τις τῶν κατὰ φιλοσοφίαν αἱρέσεων δοξάσειεν: ἀλλ' ἁπλῶς οὐκ εἶναι τέλος τὸ πᾶσιν ὑμνούμενον. οἱ μὲν οὖν τοῦ Αἰνησιδήμου λόγοι πρὸς τοιοῦτον ἀγῶνα κανονίζονται. ὅτι δὲ ματαιότης * αὐτῶν, καὶ πολλὴ λέσχη ἡ σπουδὴ, Πλάτωνί τε καὶ πολλοῖς ἄλλοις τῶν πρὸ ἡμῶν, τὸν ἔλεγχον ἔδοσαν, καὶ ὅτι μηδὲν εἰς δόγμα συντελεῖ: καὶ τοῦτο κατάδηλον· ὅπου γε καὶ τὰς ἐνούσας δογματικὰς θεωρίας ἐλαύνειν ἡμῶν τῆς διανοίας ἐπιχείρησαν. τοῖς μέντοι κατὰ διαλεκτικὴν μελέτην πονουμένοις, ἂν μὴ τὸ ἀστήρικτον αὐτῶν τοῖς * λόγοις ἐνεδρεύῃ, καὶ ἡ κρίσις πρὸς ἀσχύνοιαν ὑπονοθευομένη, τὸ βιβλίον οὐκ ἄχρηστον.

* al. ἐπ' ἔνια ἐν τοῖς φαιν.

* al. προηγμένα τε καὶ ἀποπροηγμένα.

* al. φιλοσοφοῦντας.

* al. ἐπὶ χωρῶν τ' εἶναι.

* αὐτῶν.

* al. λεγομένοις.

Sin euidenter sensu vel intelligentia horum quidque percipiatur, comprehensibile iam horum esse quodlibet dicendum est. Hæc, aliáque id genus, ab ipso mox librorum initio discrimen Pyrrhonios inter & Academicos ostendens, hic Ænesidêmus Ægeus pertractat, vniuersum deinceps Pyrrhoniarum rationum institutum eodem hoc priore libro paucis ac summatim traditurus.

ÆNESIDEMVS.

Secvndo deinde libro singulatim iam, quæ vniuersè dixerat, tractare incipiens, de Veris & Causis disputat, déque affectionibus, de motu item, & generatione atque corruptione, ac de horum contrariis, aduersus hæc omnia dubia illa esse atque incomprehensibilia, validis, vt putat, ratiocinationibus ante oculos ponens.

Tertivs posthæc liber de motu & sensu, eorúmque proprietatibus, similes contradictiones curiosius inuestigando, ad ea quæ nemo assequi aut comprehendere possit, hæc quoque abripere conatur.

Qvarto autem libro signa rerum obscurarum, quæ nos manifestas hasce res esse dicimus, ne esse quidem vult: sed decipi inani affectione eos, qui hæc opinentur. Mouet & ex more alias deinde quæstiones de vniuersa natura, de mundo, de Diis, nihil horum percipi posse contendens.

Proponit ipsi & Qvintvs liber dubitandi aduersus causas occasiones, nihil nullius esse causam tradens: & falli, qui causas adferre conentur: numerans etiam modos, quibus Causas reddere studeant, qui coacti iam in hoc errore versentur.

Sextvs vero bona & mala, quæque expetenda & quæ fugienda, [a] præposita adhæc atque reiecta in eandem ludificatoriam disputationem adducit: quæ quantum in ipso est, à nostra quoque comprehensione atque cognitione excludit.

Septimvm aduersus virtutes instruit, referens varias de iis opiniones ne quidquam commentos esse Philosophos, seipsos decipientes, quasi iam ad earum actionem contemplationemque peruenissent.

Qui ad hos omnes Octavvs accedit liber; contra [bonorum] Finem disputat, neque beatitudinem illum esse, neque voluptatem, neque prudentiam, neque aliud eorum quidpiam quod cuiuscunque Philosophorum familiæ sectator opinando asserere queat: sed omnino Finem non esse, ab omnibus licet decantetur.

Igitur ad huiusmodi concertationem diriguntur Ænesidemi libri, qui Platoni, aliísque ante nos pluribus satis indicarunt, stultitiæ plenum ac nugarum illius Opus esse. nihil item ipsum ad aliquod dogma [confirmandum] prodesse, æque est manifestum, vbi saltem ipsas quoque inhærentes nostræ menti dogmaticas contemplationes expellere aggressus est. Si qui tamen in Dialecticis exercêtur, non inutilis hic liber: modo ne horum parum adhuc cõfirmata mens, hisce ratiocinationibus inhæreścat, iudiciique perspicacitas vitiata non sit.

[a] προηγμένα καὶ ἀποπροηγμένα quæ dicuntur apud Stoicos, docebit te Cicero III de Finibus, & clarius Sextus Empiric. lib. III. Pyrrh. Hypot. ca. 24. inde.

ΑΓΑΘΑΡΧΙΔΟΥ ΙΣΤΟΡΙΚΟΝ.

σιγ'. Agatharchidis historica.

Ἀνεγνώσθη Ἀγαθαρχίδου ἱστορικόν. ἔνιοι δὲ αὐτὸν, Ἀγάθαρχον ὀνομάζουσι. τούτῳ πατρὶς

Agatharchidæ *Historica.* CCXIII.

Legi Agatharchidæ, quē Agatharchum quidam nominant, *opus historicū.* Hic patria

AGATHARCHIDES.

Cnidius, instituto Grammaticus fuit. scribam tamen atque anagnosten insuper fuisse, præstitum his functionibus Heraclidæ Lembro ministerium, indicium fecit. Fuit & alumnus Cinnæi.

Scripsisse autem Asiaticas res libris decem, & de Europæ rebus [a] libris quadraginta nouem historiam pertexuisse, didicimus. Eius autem [b] libri quinque rubrum mare, quæque ad illud pertinent, exponunt. Et hæc quidem omnia ipsemet extremo libro quinto commemorat. Vbi & ob alias certas causas à scribendo se cessasse ait, quodque exacta iam ætas in senium vergeret. Sunt qui præter hæc alia ab illo conscripta tradunt, quæ mihi videre nunquam contigit. Nam & Compendium aiunt vno libro reliquisse eorum, quæ de rubro mari scripsissent: item de Troglodytis libros quinque: sed & Epithomen Lydes ab Antimacho scriptæ: Rursum aliud Breuiarium eorum, quæ de collectione admirabilium ventorum scripta exstarent. Historiarum adhæc Excerpta composuisse, atque De amicorum inter ipsos consuetudine.

Est autem hic vir, quantum eius libris legendis cognoscere potui, grandiloquus, & sententiis abundans. Qui orationis magnitudine ac dignitate præ cæteris quidem gaudet, sed verbis selectioribus non admodum videtur addictus. neque tamen dum vsitatas per omnia consuetásque voces non adhibet, nouas ipse format: nisi forte vsurpandorum vocabulorum artifex quispiam, nouam quandam speciem præferentem phrasim de non nouis vocabulis effecerit. Quod quidem artificium ingeniose adeo tibi subiicit, vt nec innouatum quidquam videatur, nec minor sit, quam si vsitatas attulisset voces perspicuitas. Vtitur etiam sententiis, quæ eius prudentiam non minus, quam industriam manifestè declarant. Ad verborum item immutationem rectius adsumendam, egregie præ cæteris comparatus est. Iucunditatem porro, quódque animum demulcere, aut diffundere queat, occulte passim ac latenter per totum Opus disseminat. Ad tropos quoque vbi se applicarit, sine vllo molestiæ sensu illos adhibet. Quod quidem in eo efficit non verborum ipsa per se commutatio, sed ingeniosa quædam & suauis ad res alias transitio atque conuersio. Etenim nomen pro verbo adsumere, rursúmque verbum in nomen commutare, voces quoque in orationem diffundere, & orationem in nominis quasi formam cogere, nemo est omnium, quos nouimus, hoc ipso peritior. Idem Thucydidem in concionibus apparatu & vbertate imitatus, magnitudine orationis æquat, perspicuitate autem etiam vincit. Talis omnino vir iste est, ab ipsa quoque Grammatica gloriam assecutus. Cui etsi Rhetoris cognomentum improuidum aliorum iudicium non concessit, mea certè sententia non Grammaticorum solum, sed ne Rhetorum quidem vlli secundus cum docendo, tum scribendo videtur.

a Quos citat non semel Athenæus, vt & Lucian. in Macrobiis IX. Asiaticor.

b Quorum primo & quinto Excerpta occurrent postea Cod. CCL.

μὲν ἡ Κνίδος ἦν, ἡ δὲ τέχνη γραμματικὸν ἐπεδείκνυτο. ὑπογραφέα δὲ καὶ ἀναγνώστην ὁ τοῦ Λέμβου Ἡρακλείδης, δι' ὧν αὐτῷ ἐξυπηρετεῖτο, παρέχει γνωρίζεσθαι. ἦν δὲ καὶ θρεπτὸς Κινναίου. γράψαι δὲ τὸν ἄνδρα τοῦτον τὰ κατὰ τὴν Ἀσίαν * ἐγνώσμεθα, ἐν βιβλίοις ι΄. καὶ τῶν κατὰ τὴν Εὐρώπην εἰς θ΄ καὶ μ΄ παρατείνεται αὐτῷ ἡ ἱστορία. ἀλλὰ καὶ ε΄ βιβλία τὴν ἐρυθρὰν αὐτῷ πᾶσαν, καὶ τὰ περὶ ταύτην ἐξιστοροῦσι. τὴν οὖν εἰρημένην ἅπασαν συγγραφὴν καὶ αὐτὸς ἐπὶ τέλει τοῦ πέμπτου λόγου εἰς μνήμην ἀνάγει. ἐν ᾧ καὶ πεπαῦσθαι τοῦ γράφειν διά τινάς τε αἰτίας ἄλλας, καὶ ὅτι τὰ τῆς ἡλικίας * ἀποκλίνοι πρὸς τὸ ἔξωρον. πλήν γέ εἰσιν οἵ φασιν αὐτὸν καὶ ἑτέρας συγγεγραφέναι πραγματείας, ὧν ἡμεῖς οὐδένα οὐδέπω ἴσμεν. ἐπιτομὴν δὲ αὐτόν φασι τῶν περὶ τῆς ἐρυθρᾶς θαλάσσης ἀναγεγραμμένων ἐν ἑνὶ συντάξαι βιβλίῳ. καὶ μὴν καὶ περὶ Τρωγλοδυτῶν, βιβλία ε΄. ἀλλὰ καὶ ἐπιτομὴν τῆς Ἀντιμάχου Λύδης, καὶ πάλιν ἄλλην ἐπιτομὴν τῶν συγγεγραφότων περὶ συναγωγῆς θαυμασίων ἀνέμων. ἐκλογάς τε ἱστορικῶν συντάξαι αὐτόν, καὶ περὶ τῆς πρὸς φίλους ὁμιλίας. ἔστι δέ, ἐξ ὧν τὸν ἄνδρα τοῖς λόγοις αὐτοῦ διελθόντες ἐπέγνωμεν, μεγαλοπρεπής τε καὶ γνωμολογικός. καὶ τῷ μὲν τοῦ λόγου μεγέθει καὶ ἀξιώματι, τῶν ἄλλων μᾶλλον χαίρων: λέξεσι μέντοι λογάσιν οὐ πάνυ προστεθειμένος. οὐδὲ διὰ τῶν ἠθάδων [δ.] διὰ παντὸς πορευόμενος, γεννῶν δὲ αὐτὸς οὐ λέξεις, ἀλλ' εἴ τις δημιουργὸς τῆς περὶ τὰς λέξεις χρήσεως, καινήν τινα μὴ καιναῖς κεχρημένος λέξεσι φαντασίαν * πρέπουσαν ἀποτελεῖ τῇ φράσει. οὕτω δὲ προσφυῶς ὑποβάλλεται τὴν πρᾶξιν; ὡς τήν τε καινοτομίαν μὴ δοκεῖν εἶναι καινοτομίαν, καὶ τὸ σαφὲς οὐκ ἔλαττον τῶν ἐξ ἔθους λέξεων παρέχειν. κέχρηται δὲ καὶ γνώμαις, τὸ συνετὸν καὶ δραστήριον ἐπιδηλούσαις. τροπὰς δὲ ἐπελθεῖν, εἴ τις ἄλλος, ἄριστα παρεσκευασμένος. τὸ μὲν ἡδὺ καὶ κηλοῦν, καὶ τὴν ψυχὴν διαχέον, λεληθότως δι' ὅλου κατασπείρει τοῦ γράμματος. εἰς τροπὴν δ' * ὅτι παρενήνεκται, οὐδεμίαν λύπην δηλοῦσαν ἀφίησι. ποιεῖ δὲ αὐτὸ τοῦτο μάλιστα, οὐχ ἡ τῶν λέξεων αὐτὴ καθ' ἑαυτὴν μεταβολή. ἀλλ' ἡ ἀπὸ πραγμάτων ἑτέρων εἰς ἕτερα, μετ[illegible] τῆς καὶ ἠρεμαίας μεταχειρίσεως, μετάβασίς τε καὶ μετατροπή. ἀλλὰ γὰρ καὶ ἀντιλαβεῖν μὲν ὄνομα ῥήματος, ἀμεῖψαι δὲ τὸ ῥῆμα εἰς ὄνομα· καὶ λῦσαι μὲν λέξεις εἰς λόγους, συναγαγεῖν δὲ λόγον εἰς τύπον ὀνόματος, οὐδενὸς ἀνεπιτηδειότερος ὧν ἴσμεν. καὶ ζηλωτὴς μέν ἐστι Θουκυδίδου, ἔν τε τῇ τῶν δημηγοριῶν διασκευῇ καὶ δαψιλείᾳ. τῷ μεγαλείῳ δὲ μὴ δευτερεύων τοῦ λόγου, τῷ σαφεῖ παρελαύνει τὸν ἄνδρα. ἀλλὰ γὰρ ὁ μὲν ἀνὴρ τοιοῦτος, καὶ τὸ ἀπὸ τῆς γραμματικῆς ἔχων κλέος. εἰ δὲ καὶ τὸ τῆς ῥητορικῆς ἐπώνυμον αὐτῷ ἡ μὴ νήφουσα ψῆφος οὐκ ἐπέθετο· ἀλλὰ γὰρ ἔμοιγε δοκεῖ οὐδὲν ἐλάττων τῶν γραμματικῶν, οὐ δεύτερος ἢ τῶν ῥητόρων, δι' ὧν καὶ διδάσκει καὶ γράφει, καταφαίνεσθαι.

* al. ἐγνωσμ.

* al. ἀποκλίνῃ.

* πρέπ. συ.

* al. ὅτε.

CCXIV.

HIEROCLIS *De Prouidentia & Fato libri VII.*

LECTVS [a] est HIEROCLIS [b] *Liber de Prouidentia & Fato,* atque de arbitrij nostri cum

a De quo Suid. & Liban. lib. 1. ep. ad Acacium.

b Vnde impressa Lutetiæ quædam excerpta, apud Fed. Morel.

σιδ΄.

ΙΕΡΟΚΛΕΟΥΣ ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ καὶ εἱμαρμένης βιβλία ζ΄.

Hierocles de Prouidentia & Fato liber.

ΑΝΕΓΝΩΣΘΗ βιβλίον Ἱεροκλέους περὶ προνοίας καὶ εἱμαρμένης καὶ τῆς τοῦ ἐφ' ἡμῖν πρὸς τὴν

θείαν

HIEROCL.

θείαν ἡγεμονίαν συντάξεως. ἔστι μὲν οὖν τὴν προαίρεσιν φιλόσοφος ὁ ἀνήρ, ἡ δὲ συγγραφὴ αὐτῷ Ὀλυμπιόδωρον κριτὴν προσκαθίζει· ὃν καὶ παρασχεῖν τοῦ λόγου τὰς ἀφορμὰς ὑποτίθεται, καὶ αὐτὸν ἔχοντα τοῦ φιλοσοφεῖν ἔρωτα, οὐ μὴν οὐδὲ τῆς πολιτικῆς σοφίας ἄπειρον. ἐμπρέψαι τε γὰρ ῥωμαϊκαῖς πρεσβείαις, καὶ πολλὰ καὶ μέγιστα τῶν βαρβάρων ἐθνῶν τῇ ῥωμαϊκῇ συνάψαι λήξει, αἵ τινες αὐτῷ καὶ τῶν μεγίστων παρ' αὐτοῖς τιμῶν κατέστησαν * αἴτιαι. ὁ μὲν οὖν Ὀλυμπιόδωρος, πρὸς ὃν ὁ λόγος, τοιοῦτος· ᾧ δὴ καὶ παραμυθητικοὺς λόγους ὁ συγγραφεὺς ἐπὶ τέλει τοῦ πρώτου βιβλίου, θετοῦ παιδὸς ἀποβολὴν πενθουμένῳ, περιαλγεῖ τε ὄντι καὶ σκυθρωπάζοντι, προσενήνοχεν. ἡ δ' ἐπαγγελία τῆς παρούσης σκέψεως περὶ προνοίας ἐστὶ διαλαβεῖν τῇ Πλάτωνος δόξῃ καὶ Ἀριστοτέλους συνδιατιθεμένῳ, συνάπτειν γὰρ βούλεται τοὺς ἄνδρας ταῖς δόξαις. οὐ κατὰ τοὺς λόγους τῆς προνοίας μόνον, ἀλλὰ καὶ ὅσοι τὴν ψυχὴν φρονοῦσιν ἀθάνατον, καὶ εἴ τι περὶ οὐρανοῦ καὶ κόσμου τούτοις πεφιλοσόφηται. ὅσοι δὲ τοὺς ἄνδρας εἰς διαφωνίαν ἔστησαν, τούτους εἰς τὰ μάλιστα πεπλανῆσθαί τε τῆς τῶν ἀνδρῶν προθέσεως, καὶ ἐκπεσεῖν τοῦ ἀληθοῦς ἀποφαίνεται· τοὺς μὲν ἑκόντας ἔριδι καὶ ἀπονοίᾳ σφᾶς αὐτοὺς προσαναθέντας, τοὺς δὲ καὶ προλήψει καὶ ἀμαθίᾳ δεδουλωμένους. καὶ πολὺν τὸν ἔμπροσθεν στῆσαι χορόν, μέχρις ὅτου ἡ Ἀμμωνίου σοφία διέλαμψεν, ὃν καὶ θεοδίδακτον ἐπικαλεῖσθαι ὑμνεῖ. τοῦτον γὰρ τὰς τῶν παλαιῶν ἀνδρῶν διακαθάραντα δόξας, καὶ τοὺς ἑκατέρωθεν ἀναφυομένους ἀποσκευασάμενον λήρους, σύμφωνον ἐν τοῖς ἐπικαίροις τε καὶ ἀναγκαιοτάτοις τῶν δογμάτων Πλάτωνός τε καὶ Ἀριστοτέλους τὴν γνώμην ἀποφῆναι. ταῦτα διὰ τῆς γραφῆς ὁ Ἱεροκλέους λόγος σπουδάζων, κατασκευάζει (ἤδη καὶ ἐκείνους φιλοτιμεῖται) δοξάζειν· ἀνταγωνίζεται δὲ πρὸς τοὺς ἐσπουδακότας τἀναντία. Ἐπικουρείους τέ φημι καὶ στωϊκούς, καὶ ὅσοι Πλάτωνα μὲν ὑπεδύοντο καὶ Ἀριστοτέλην, οὐκ ὀρθῶς δὲ τὰ ἐκείνων ἐξηγοῦνται· καὶ μὴν ὅσοις ὁ τῆς γενεθλιαλογίας ἀνήρτηται πόνος διελέγχων ἄγει, σφαλερὰν αὐτῶν τὴν περὶ τῆς εἱμαρμένης ἐπιδεικνὺς δόξαν· καὶ τοὺς τὴν πρόνοιαν δὲ τῶν ὄντων ἀποσκευάζειν τολμῶντας μηχαναῖς τισιν ἢ γοητείαις, ταῖς ὁμοίαις τῶν λόγων ὑποβάλλει βασάνοις. καὶ καθόλου φάναι, πρὸς τὰς ὑπολήψεις ἐνίσταται πάσας, ὅσαι τὴν θείαν οὐκ εἶναι πρόνοιαν ἢ εἶναι μέν, φαύλην δὲ τοὺς ἀμαθεστέρους * πείθουσι νομίζειν. καὶ κατὰ Πλάτωνα θεὸν αὐτῇ προϋφίστησιν ἡ σκέψις, πάσης ἐμφανοῦς τε καὶ ἀφανοῦς δημιουργὸν διακοσμήσεως, ἣν ἐκ μηδενός φησιν ὑποκειμένου προαγαγεῖν τὸν τεχνίτην· ἀρκεῖν γὰρ αὐτῷ εἰς ὑπόστασιν τῶν ὄντων τὸ βούλημα. τῆς δὲ σωματικῆς οὐσιώσεως τῇ ἀσωμάτῳ συντεταγμένης δημιουργίᾳ, κόσμον ἐξ ἀμφοῖν τελεώτατον, διπλοῦν τε ἅμα καὶ ἕνα συστῆναι· ἐν ᾧ ἄκρα καὶ μέσα καὶ τελευταῖα, τὴν κοσμοποιὸν σοφίαν κατὰ φύσιν διακρῖναι· ὧν τὰ μὲν πρῶτα λογικά, οὐράνιά τε καὶ θεοὺς καλεῖσθαι. ἃ δὲ ἡ μετ' ἐκεῖνο τὸ σύστημα ἔχειν ἔλαχε χώρα λογικά, αἰθέριά τε καὶ ἀγαθοὺς δαίμονας ὀνομάζει,

* Ζῶα

* al. [illegible]

diuina gubernatione congruentia. Auctor hic professione Philosophus, cui liber ipse Olympiodorum quendam veluti censorem constituit, qui eius scribendi causam dederit, cum Philosophiæ non vulgaris adamator, ne ciuilis quidem sapientiæ rudis esset. Clarum enim legationibus Romanis fuisse, multásq; , ac magnas è barbaris gentibus Romano adiunxisse imperio, quæ ipsi quoque ad magnos apud illas magistratus acquirendos viam strauerint. Igitur Olympiodorus, ad quem liber mittitur, talis fuit: ad quem insuper libro primo extremo adiunxit Auctor consolationem, cum ille adoptiui filij amissionem supra modum lugens, non dolenti tantum esset animo, sed etiã vultu tristiore. Ipse autem commentarius *De Prouidentia*, disputationem præfert, eius qui erga Platonis non aliter, quam erga Aristotelis sententiam animo affectus esset. Conciliare enim horum Philosophorum inter se opiniones studet, non solum in iis, quæ de Prouidentia disputãt, verum etiam vbi animos docent esse immortales, aut de cœlo quidpiam ac mundo iidem philosophantur. Quotquot autem hos inter se dissentire ac pugnare arbitrati sunt, eos longissime ab eorum sententia abductos, à veritate omnino aberrasse contendit, alios sua sponte contendendi studio atque vesaniæ sese addicẽtes, alios præoccupata opinione atque imperitia subactos. Ac prioris quidem ordinis ingentem fuisse numerum refert, donec Ammonij aliquando sapientia orbi illuxit, quem etiam *Diuinitus edoctum* appellari prædicat. Hunc enim veterum Philosophorũ opinionibus perpurgatis, & resectis quæ vtrinque excreuerant nugis, in præcipuis quibusq; & maximè necessariis dogmatibus, concordem esse Platonis & Aristotelis sententiam, demonstrasse. Huc igitur Hieroclis scriptio magno studio connitẽs, & argumentis illa astruit, quæ ipsos sensisse contendit. & acriter cum iis certat, qui contrariam tueri partem conati sunt. Epicureos dico, ac Stoicos, & quotquot forte Platonem atq; Aristotelem colunt quidẽ, sed eorum sensa minus rectè explicant. Eos item, qui in Genethliaca desudant arte, redarguit, dum fallacem eorum esse ac lubricam de Fato opinionẽ ostendit. Immo & qui Prouidentiam rerum creatarum cõmentis quibusdam aut præstigiis tollere audent, iisdem prorsus rationum quasi quæstionibus explorandos subiicit. Vt autẽ simul omnia dicã, aduersus omnes illas opiniones insurgit, quæ indoctiores eo adducunt, vt diuinam Prouidentiam vel omnino non esse, vel nullius esse momenti ac despicatui ducendam putent.

Ex Platonis igitur sententia supponit hæc disputatio, Deum natura ante illam [prouidentiam] esse, velut vniuersæ simul aspectabilis & inspectabilis huius molitionis opificem, quam ex nulla re subiecta vult à suo artifice productam: vt cui sola sufficeret voluntas, quo rerum natura subsisteret. Cæterum corporea substantia per creationem cum incorporea coniuncta, mundum ex vtraque natura perfectissimum, duplicem simul & vnum, constitutum esse: in quo summa, media, & ima mũdi opifex sapientia iuxta cuiusq. naturam decreuerit. Horum prima *Ratione prædita cælestia*, & *Deos* vocari ait: Quæ verò proxima post hunc ordinem regioni attributa sunt, ea cum *Ratione prædita ætherea*, tum *Dæmonas bonos* appellat,

HIEROCL. bonorum item hominibus interpretes & nuncios factos: Humanum denique genus infimum tenere locum, eóſque *Terrena animantia*, & *Humanas animas*, atque (vt Plato diceret) *Mortales homines* appellari tradit. Hæc porrò tria genera in vno velut animante, vel choro atque concentu ita eſſe aptata inuicem atque connexa, vt naturalis eorum diſtinctio per vnionem illam, ac nexum mutuum minime confuſa conſeruetur. Ac præeſſe quidem præſtantiora inferioribus: omnibus tamen omnino imperare ipſorum Patrem atque conditorem Deum. Hoc ergo eius tanquam à patre denominatum regnum, & videri, & vere eſſe Prouidentiam, quæ quod cuique generi conuenit, hoc illi diſtribuat: At vero Iuſtitiam illam, quæ Dei prouidentiam comitatur, vocari *Fatum*. Vno enim Fati nomine in plures notiones, ab iis qui nouitate gaudent, diſtracto, non aliud tamen Fatum ſibi videri, quam id quod Ariſtotelem & Platonem crediſiſſe tradit. Neque enim illam temere poſitam Genethliacorum neceſſitatem vllo modo admittit, nec Stoicam item vim, neque illud etiam Fatum, quod Alexander Aphrodiſienſis ſtatuit, eóque tandem deducit, vt idem prorſus cum natura corporum Platonicorum efficiat: ſed nec eam, quæ carminibus magicis aut ſacrificiis à conſueto naturæ ordine deflectatur, Geneſin: ſed illud tantummodo Fatum, vti diximus, extollit, quod cum ſuis Plato vult: Rerum ſcilicet euenientium ſecundum Prouidentiæ leges iudicialem quandam Numinis operationem, bono ordine ac ſerie res noſtras dirigentem in illum finem, in quem liberæ actiones ex certo propoſito feruntur. At enim iſthæc huius viri ſcripto cum cõtineri videas, frequẽs nihilominus ipſi & magnum certamen eſt de humanorum animorum priore vita, deque eorum in alia corpora tranſmigratione. Nam ex animantibus quidem ratione carentibus, aut in bruta tranſfuſionem non recipiens, at verò hominum in hominem tranſitum ſtudioſè defendens, periculoſam hanc atque ineptam opinionem ſurſum deorſum verſat. Per illam quidem, vt credit, diuinam prouidentiam corroborans: Per hanc, liberum arbitrium, liberúmque ſuiipſius dominatum adſtruens; Fato certe tam ei grato auxilium ferens: idque non abſurdis tantum commentis incitatus, ſed etiam ex minime cohærentibus argumentationibus ſuas, quas putat, probationes producens: cum interim, per quæ reuera prouidentiæ dogma conſtitui poterat, ne in mentem quidem illi venerint. Immo vero, ſi quis huic homini veritatem anteponere ſtudeat, quibus illam argumentis adſtruere nititur, his ipſis eandem omnino euertit. Nam qui infirmum argumentum ſemel veritati ſubſtrauit (vt alibi, cum res ita poſtularet, copioſius oſtendimus) is in contrariam facile partem conuerti illam poſſe, quin & nequaquam ſubſiſtere, ſimul demonſtrauit. Illa quippe animorum priore vita, & in corpora tranſmigratione (quam ipſe baſim ac fundamentum Prouidentiæ, liberóque arbitrio, ac Fato illi ſubiicit) omnino inter abſurda & impoſſibilia per veritatem ablegata, nimirum vna cum illo, qui per iſta hæc molitur efficere, etiam Prouidẽtia, & liberum arbitrium & Fatum euertitur, atque in nugas operoſa illa machinatio abit.

τῶν τε συμφερόντων ἀνθρώποις ἑρμηνέας τε καὶ ἀγγέλους γινομένους. τὸ δὲ ἀνθρώπειον φῦλον τὴν τελευταίαν τάξιν ἐπέχειν, οὓς ἐπίγειά τε ζῶα καὶ ἀνθρωπίνας ψυχάς, καὶ (ὡς ἂν εἴποι Πλάτων) ἀθανάτους ὀνομάζεσθαι ἀνθρώπους. τὰ δὲ τρία ταῦτα γένη ὡς ἐν ἑνὶ ζώῳ ἢ χορῷ καὶ συμφωνίᾳ συνηρτῆσθαι μὲν ἀλλήλοις, ἀσύγχυτον δὲ τῇ ἑνώσει καὶ ἀλληλουχίᾳ τὴν κατὰ φύσιν αὐτῶν διάκρισιν συντηρεῖσθαι. καὶ ἡγεῖσθαι μὲν τῶν καταδεεστέρων τὰ προτεταγμένα, πάντων δὲ αὐτῶν βασιλεύειν τὸν πατέρα θεὸν καὶ δημιουργόν. καὶ ταύτην τὴν πατρωνυμικὴν αὐτοῦ βασιλείαν, πρόνοιαν καὶ νομίζεσθαι καὶ εἶναι, ἥτις ἑκάστῳ γένει τὰ προσήκοντα διανέμει. τὴν μὲν τοίγε τῇ προνοίᾳ συνεπομένην δίκην εἱμαρμένην καλεῖσθαι. εἰς ἑνὸς γὰρ πλείω σημαινόμενα τοῦ τῆς εἱμαρμένης ὀνόματος ὑπὸ τῶν χαιρόντων ταῖς καινοτομίαις κατασχεδιασθέντος, οὐκ ἄλλην νομίζειν αὐτὸν εἱμαρμένην, ἀλλ' ἣν Ἀριστοτέλει καὶ Πλάτωνι νομίζειν δίδωσι. τήν τε γὰρ τῶν γενεθλιαλόγων ἀλόγιστον ἀνάγκην οὐδ' ὅλως προσίεται, οὐδὲ τὴν στωϊκὴν βίαν. οὐ μὴν ἀλλ' οὐδ' ἣν ὁ ἐξ Ἀφροδισιάδος δοξάζει Ἀλέξανδρος, τῇ Πλατωνικῇ τῶν σωμάτων φύσει εἰς ταυτότητα περιάγων ταύτην. ἀλλ' οὐδὲ τὴν ἐπῳδαῖς καὶ θυσίαις παρατρεπομένην γένεσιν. ἐκείνην δέ, καθὼς ἔφημεν, πρεσβεύει, ἣν οἱ περὶ Πλάτωνα βούλονται· ἥ τις τῶν ἐκβαινόντων κατὰ τοὺς τῆς προνοίας θεσμοὺς δικαστικὴ τοῦ θείου ὑπάρχει ἐνέργεια, τάξει καὶ εἱρμῷ πρὸς τὰς προαιρετικὰς ὑποθέσεις τῶν αὐτεξουσίων ἔργων ἐπανορθουμένη τὰ καθ' ἡμᾶς. ἀλλὰ γὰρ ταῦτα μὲν ἔστιν ἰδεῖν τῷ τοῦ ἀνδρὸς * ἐμφερομένῳ γράμματι. ὁ πλεῖστος δ' αὐτοῦ καὶ μέγας ἀγὼν ἡ τῶν ἀνθρωπίνων ψυχῶν ἐστι προβιοτὴ καὶ μετενσωμάτωσις. τὸν γὰρ ἐξ ἀλόγων ζώων, ἢ εἰς ἄλογα μετασχηματισμὸν οὐκ ἀναδεχόμενος, τὴν δὲ ἐξ ἀνθρώπων εἰς ἀνθρώπους μεταβολὴν σπουδαιολογούμενος. ταύτην δὲ τὴν ἐπισφαλῆ καὶ ματαίαν ὑπόληψιν ἄνω καὶ κάτω περιστρέφει. δι' αὐτῆς μέν, ὡς οἴεται, τὴν τοῦ θείου πρόνοιαν κρατύνων· δι' αὐτῆς δὲ τὸ ἐφ' ἡμῖν καὶ αὐτοδέσποτον κατασκευάζων· καὶ δὴ καὶ τὴν φίλην αὐτῷ ἐπικουρῶν εἱμαρμένην, ἐξ ἀλλοκότων μὲν τῶν τοιῶνδε ὁρμώμενος, * ἀσυστάτων δὲ τῶν ἐπιχειρημάτων τὰς νομιζομένας κατασκευὰς προάγων. ἐξὸν δ' ὡς ἀληθῶς τὸ τῆς προνοίας ἂν παραστήσειε δόγμα, * ὁ δ' ἐπὶ νοῦν βαλλόμενος. μᾶλλον δὲ εἴ τις τοῦ ἀνδρὸς τὴν ἀλήθειαν προτιμᾶν ἐθέλοι, δι' ὧν ταύτην ἀγωνίζεται κατασκευάζειν, παντελῶς αὐτῆς τὴν ἀναίρεσιν συνεστήσατο. σαθρὰν γὰρ αὐτῇ βάθραν ὑποθείς, ὡς ἐν ἄλλοις τῆς ὑποθέσεως ἀπαιτούσης πλατύτερον ὑπεδείξαμεν, * ἀπερίτρεπτον αὐτὴν πρὸς τοὐναντίον καὶ ἀνυπόστατον συναπέφηνεν. τῆς γὰρ τῶν ψυχῶν προβιοτῆς καὶ μετενσωματώσεως, ἣν αὐτὸς ἔρεισμα καὶ θεμέλιον τῆς προνοίας ὑποβάλλει, καὶ τοῦ αὐτεξουσίου καὶ τῆς εἱμαρμένης ταύτης παντελῶς, εἰς τὸ ἄλογόν τι καὶ ἀδύνατον ὑπὸ τῆς ἀληθείας ἐξοστρακιζομένης, δηλονότι συγκαταστρέφεται τῷ δι' ἐκείνων ταῦτα πραγματευομένῳ καὶ ἡ πρόνοια, καὶ τὸ ἐφ' ἡμῖν, καὶ ἡ εἱμαρμένη, καὶ εἰς λῆρον αὐτοῦ τὸ πολύμοχθον διαλύεται σπούδασμα.

* ἐμφερόμενα. * ἀσυστάτων. * ἐξόν. * εὐπερίτρεπτον.

ἐπεὶ

ἑπτὰ δὲ λόγοι αὐτῷ ἐπιμερίζονται τὴν σπουδήν. καὶ ὁ μὲν πρῶτος εἰς ἔκθεσιν διατυποῦται, ὧν αὐτὸς ἐφ' ἑαυτοῦ περὶ προνοίας καὶ δίκης, καὶ τῆς κατ' ἀξίαν τῶν ἔργων εἰς ἡμᾶς καταβαινούσης κρίσεως συνεγυμνάσατό τε καὶ διεσκέψατο. ὁ δεύτερος δὲ τὰς Πλατωνικὰς συλλέγων δόξας, τὰς πίστεις ἐξ αὐτῶν, ὧν Πλάτων ἔγραψεν, ἐπιτίθησιν. ὁ δὲ τρίτος, τὰς ὑποφορὰς, αἷς ἄν τις χρήσαιτο, πρὸς ἐναντίωσιν τῶν δεδογμένων παρατιθεὶς, διαλύειν αὐτῶν τὴν ἐπιβουλὴν πραγματεύεται. ὁ δὲ τέταρτος, τὰ λεγόμενα λόγια καὶ τοὺς ἱερατικοὺς θεσμοὺς, εἰς συμφωνίαν συνάγειν, οἷς Πλάτων ἐδογμάτισε, βούλεται. ὁ δὲ πέμπτος εἰς Ὀρφέα καὶ Ὅμηρον, καὶ ὅσοι ἄλλοι πρὸ τῆς Πλάτωνος ἐπιφανείας ἐγνωρίζοντο, τὴν Πλατωνικὴν περὶ τῶν προκειμένων φιλοσοφίαν ἀνάπτει. ὁ δὲ ς', τοὺς μετὰ Πλάτωνα πάντας αὐτὸν Ἀριστοτέλην κορυφαῖον λαβὼν, μέχρις Ἀμμωνίου τοῦ Ἀλεξανδρέως, οὗ τῶν γνωρίμων οἱ ἐπιφανέστατοι Πλωτῖνός τε καὶ Ὠριγένης· τοὺς οὖν μετὰ Πλάτωνα μέχρι τῶν εἰρημένων ἀνδρῶν, ὅσοις ἐπὶ σοφίᾳ γέγονεν ὄνομα λιπεῖν, τούτους ἅπαντας ὁμοδοξεῖν τῇ Πλάτωνος κατασκευάζει κρίσει. καὶ ὅσοι διϊστᾶν τῆς ὁμοδοξίας Πλάτωνα καὶ Ἀριστοτέλην ἐπεχείρησαν, τῶν φαύλων τε καὶ ἀποβλήτων τίθησι, πολλά τε νοθεῦσαι τῶν Πλατωνικῶν λόγων· καίτοι Πλάτωνα διδάσκαλον *ἐπιγραφόμενος. ὡσαύτως δὲ καὶ τῶν Ἀριστοτελικῶν γραμμάτων, τοὺς τὴν ἐκείνου μερίδα τιμᾶν ὁμολογοῦντας· καὶ δι' οὐδὲν ἕτερον τούτοις τὰ τοιαῦτα μεμηχανῆσθαι, ἢ ἵν' ἔχοιεν συγκρούειν τὸν Σταγειρίτην πρὸς τὸν Ἀρίστωνος. ὁ δὲ ζ' λόγος ἀρχὴν ἰδίαν ὑποστησάμενος, περὶ τῆς διατριβῆς τοῦ προειρημένου Ἀμμωνίου τὴν σπουδὴν ἀναλαμβάνει· καὶ ὡς Πλωτῖνός τε καὶ Ὠριγένης, καὶ μὴν καὶ Πορφύριος, καὶ Ἰάμβλιχος, καὶ οἱ ἐφεξῆς, ὅσοι τῆς ἱερᾶς (ὥς αὐτός φησι) γενεᾶς ἔτυχον φύντες, ἕως Πλουτάρχου τοῦ Ἀθηναίου· ὃν καὶ καθηγητὴν αὐτὸς τῶν τοιούτων ἀναγράφει δογμάτων: οὗτοι πάντες τῇ Πλάτωνος διακεκαθαρμένῃ συνᾴδουσι φιλοσοφίᾳ. ἔστι δὲ ἡ φράσις τῷ ἀνδρὶ σαφὴς μὲν καὶ καθαρὰ, καὶ σπουδῇ φιλοσόφῳ πρέπουσα· οὐ μὴν γε τοῖς καλλωπισμένοις καὶ περιττοῖς ἐξωραϊζομένη χρώμασί τε καὶ ποικίλμασι τῆς ῥητορείας.

Ammonius. Plotinus. Origenes.

* Ἐπιγραφόμενος.

Porphyrius. Iamblichus. Plutarchus Athenien.

Porro in [a] septem libros vniuersum Opus diuiditur: quorum PRIMVS quidem exponere instituit ea, quæ ipse apud se de Prouidentia, de Iustitia, & de Sententia in nos pro factorum merito ferenda, meditatus esset. SECVNDVS dein Platonicas colligens opiniones, suas cuique probationes ex ipsis Platonis Operibus apponit. TERTIVS obiectiones proponens, quibus vti quispiam aduersus ea, quæ tradita sunt, queat, dissoluere harum cauillationes conatur. QVARTVS Oracula, quæ vocantur, ac Sacerdotum leges, & Platonis dogmata inuicem conciliare studet. QVINTVS Orpheo, Homero, & cæteris qui ante Platonem celebrabantur, Platonicam de modo dictis doctrinam tribuit. SEXTVS omnes, qui post Platonem fuêre, ipso quoque Aristotele principe assumpto, vsque ad Ammonium Alexandrinum, cuius in familiaribus celeberrimi Plotinus & Origenes, ad hos, inquam, vsque Platonis posteros, qui quidem aliquod sibi nomen sapientiæ pepererunt, eiusdem ad vnum omnes cum Platone esse sententiæ, argumentis probat. Quod si qui consentientes Platonis & Aristotelis opiniones dirimere aggressi fuerint, eos & nihili homines, & fugiendos statuit. Multa insuper Platonicorum scriptorum adulterasse eos etiam, qui hunc sibi præceptorem adscriberent; vt & Aristotelicorum Operum eos, qui se huius partem maximi facere profiterentur: non aliam id vtique ob causam, quam vt committere inter se Stagiriten atque Aristonis F. possent.

SEPTIMVS Liber proprio sibi sumpto argumento, de Ammonij suprascripti Disputatione studiose disserit, vtque Plotinus & Origenes, immò & Porphyrius atque Iamblichus, & deinceps ordine cæteri, qui diuina (quemadmodum ipse quidem loquitur) generatione sunt editi, vsque ad Plutarchum Atheniensem, quem etiam auctorem talium ipse nominat dogmatum, vt, inquam, hi omnes purgatæ Platonis Philosophiæ addicti sint.

Ipsa vero huius Auctoris dictio perspicua est ac pura, & Philosophicum decens studium: tametsi fucatis & superuacaneis coloribus, aut benedicendi varietate non exornetur.

HIEROCLES

[a] Ex quorum tribus primis excerpta quædam afferuntur infr. Cod. CCLI.

ΙΩΑΝΝΟΥ ΦΙΛΟΠΟΝΟΥ ΚΑΤΑ τῆς σπουδῆς Ἰαμβλίχου περὶ τῶν ἀγαλμάτων.

ΑΝΕΓΝΩΣΘΗ Ἰωάννου τοῦ Φιλοπόνου κατὰ τῆς σπουδῆς Ἰαμβλίχου, ἣν ἐπέγραψε περὶ ἀγαλμάτων. ἔστι μὲν οὖν ὁ σκοπὸς Ἰαμβλίχῳ θεῖά τε δεῖξαι τὰ εἴδωλα (ταῦτα γὰρ ὑποβάλλει τῷ ὀνόματι τοῦ ἀγάλματος) καὶ θείας μετουσίας ἀνάπλεα· οὐ μόνον ὅσα χεῖρες ἀνθρώπων κρυφίᾳ προσάξει τεχνησάμεναι, διὰ τὸ ἄδηλον τοῦ τεχνίτου διοπετῆ ἐπωνόμασαν· ταῦτα γὰρ οὐρανίας τε φύσεως εἶναι, κἀκεῖθεν ἐπὶ γῆς πεσεῖν, ἐξ οὗ καὶ τὴν ἐπωνυμίαν φέρειν συνεστήσατο: ἀλλὰ καὶ ὅσα τέχνη χαλκευτική τε καὶ λαξευτικὴ, καὶ ἡ τεκτόνων ἐπὶ δήλῳ μισθῷ καὶ ἐργασίᾳ διεμορφώσαντο. τούτων οὖν ἁπάντων ἔργα τε ὑπερφυῆ καὶ δόξης ἀνθρωπίνης κρείττονα γράφει ὁ Ἰάμβλιχος.

σιε'. Ioannes Philoponus contra Iambl. scribens.

IOANNES PHILOPONVS *Contra Iamblichi Opus de Simulacris.*

CCXV.

LEGI IOANNIS cognomento *Philoponi Librum aduersus Iamblichi Opus*, quod *de Simulacris* inscripsit. Scopus autem Iamblicho propositus est, ostendere, cum diuina esse idola, (nam ista etiam simulacri nomine complectitur) tum præsentia numinis referta: non solum quæ hominum manibus occulta quadam arte fabricata, ob incognitum nimirum artificem cœlo delapsa nominentur (hæc enim & cœlestis esse naturæ, & inde in terram decidisse, vnde etiam sint merita nomen accipere) verum etiam quæcumque fundendi arte, & sculpendi atque fabrili certa simul mercede & opera [ab artificibus] conformata essent. Horũ igitur omnium opera naturam excedere, & hominum opinione maiora esse Iãblichus scribit;

IOANNES Philoponus.

multa partim incredibilia è fabulis narrando: partim in obscuras causas referendo; partim etiam contra atque oculis cernantur: scribere nihil metuendo. Opus integrum duas in partes secat. *Maiorémque* alteram, alteram *Minorem* nominat. Vtramque Philoponus oppugnat, consueto orationis genere vsus, quin & compositionem ad solitam sibi formam adaptans. A puro enim & dilucido non recedit: neque tamen elegantia & Attica phrasi exornatus nitet. Rationum præterea Iamblichi reprehensiones sanè generosas, & per ipsas quoque penetrantes causas frequenter tibi exhibet; quas interdum superficie tenus tantum refellentes, & ad sola nomina relatas, longiúsque à re controuersa recedentes [adfert;] etiam cum hæc redarguenti valde est obnoxia, & per se imbecillitatem suam prodit.

CCXVI.

ORIBASII MEDICI *Opera.*

LEGI Volumina quatuor, quibus medicam artem [a] ORIBASIVS à se compositam complexus est; aliáque præterea septem, eadem pene forma ab eodem edita.

[a] De hoc Eunap. & Suid. meminere.

ORIBASII MEDICI *Galeni Compendium ad Iulianum Imp.*

PRiore ergo volumine, quæ Galenus Medicus conscripserat, ea hic in compendium redigit. Iuliano autem, Christianæ religionis desertori, hunc laborem inscripsit, hoc ferè vsus principio.

[Iussus à te, Diue Iuliane Imperator, Galeni hominis admirandi perutiles de re Medica libros ad pauciora redigere, libenter sane voluntati tuæ sum obsecutus. Iis enim, qui ad hanc sese artem applicare volent (vt ipse ait) & natura forsitan destituuntur, neque aptam sunt nacti ætatem, ne prioribus quidem sæpenumero disciplinis initiati (vt ob eas causas libros illos fusiores ediscere nequeant) sufficient quæ iam scribentur: cum & tempore egeant ad ediscendum breuiore, & sensum habitura sint faciliorem, quando in pauca verba hoc compendium, vitata interim obscuritate, redigetur. His verò qui præcedentibus Medicinam scientiis exculti, neque per naturam, neque per ætatem prohibentur perfectioribus hic imbui præceptis, hæc quoque Synopsis conueniet: cùm maximè necessaria quæque breuiter iis suggerentur, tunc, quandò in ipso curandi opere vrgebit necessitas.]

Sic igitur Oribasius in hoc opere præfatus, illa solum pollicetur collecturum se, quæ Galeno placuissent; quæque ad Medicam artem, & eius tractationem facerent. Absoluit autem illud opus libris * * *

CCXVII.

EIVSDEM [a] *Medicinalium collectorum libri LXX.*

[a] Ita hic titulus in editis legitur libris.

ALTERVM quoque *opus* eidem Iuliano dedicatum *septuaginta libris* absoluitur: nihilo interim minorem, quàm illud prius, sed maiorem potius vtilitatem sua mole adferens. Eius autem proloquium hunc in modum instituitur:

πολλὰ μὲν ἀπίθανα μυθολογῶν, πολλὰ δὲ εἰς * ἀδήλους φέρων αἰτίας, πολλὰ δὲ καὶ τοῖς ὁρωμένοις ἐναντία γράφειν οὐκ αἰσχυνόμενος. εἰς δύο δὲ ὅλην τὴν πραγματείαν διατέμνει, τὴν μὲν μείζονα καλῶν, τὴν δὲ ἐλάττονα. καθ' ἑκατέρας δὲ τούτων καὶ ὁ Φιλόπονος ἵσταται, λέξει μὲν κεχρημένος ἧπερ εἰώθει· καὶ τὴν συνθήκην δὲ εἰς τὸν ὅμοιον ἑαυτῷ * τύπον ἁρμοζόμενος. τοῦ μὲν γὰρ καθαροῦ καὶ εὐκρινοῦς οὐκ ἀποκλίνει· οὐ μέν τοι γε τῇ λογάδι καὶ ἀττικιζούσῃ φράσει καλλωπίζεται. καὶ τοὺς ἐλέγχους δὲ τῶν Ἰαμβλίχου λόγων, πολλαχοῦ μὲν γενναίους τε καὶ δι' αὐτῶν ἐρχομένους τῶν πραγμάτων ἐπιδείκνυσιν: ἐνίοτε δὲ * ἐπιπόλαιον τὴν ἀνατροπὴν φέροντας, καὶ πρὸς ὄνομα * γινομένους, καὶ πόρρω τῆς ἀπὸ τῆς εὐθυνομένων φερομένους· καί τοι ῥᾴδιον κἀκείνων πρὸς ἔλεγχον ἐγκειμένων, καὶ ἐξ ἑαυτῶν προβαλλομένων τὸ ἀνίσχυρον.

* ἀδήλως. M. M.

* τύπον. M. M.

* al. ἐπιπόλαιον

* al. γινομένας

ΟΡΕΙΒΑΣΙΟΥ ΒΙΒΛΙΑ. σις'.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ βιβλία δ', ἃ τὴν πραγματείαν ἰατρικὴν Ὀρειβασίῳ συντεταγμένην περιεῖχε. καὶ ἔτι ἕτερα ζ', αὐτός τε τοῦ αὐτοῦ, καὶ εἰς παραπλήσιον ἐξενηνεγμένα τύπον.

Oribasii medici ... conflatam libri.

ΟΡΕΙΒΑΣΙΟΥ ΕΠΙΤΟΜΗ ΤΟΥ Γαληνοῦ πρὸς Ἰουλιανόν.

Η μὲν οὖν προτέρα σπουδὴ τῷ ἀνδρὶ, ἃ Γαληνὸς μὲν ἔγραψεν ὁ ἰατρὸς συντέμνει· Ἰουλιανῷ δὲ τῷ τῆς εὐσεβείας ἀποστάτῃ ἀναγράφει ἣ καὶ ἀπάρχεται οὕτω:

[Κελεύσαντί σοι, θειότατε αὐτοκράτορ Ἰουλιανὲ, τοὺς τοῦ θαυμασίου Γαληνοῦ χρησίμους εἰς τὴν ἰατρικὴν τέχνην γεγραμμένους λόγους * συντελεῖν εἰς ἔλαττον, προθύμως ὑπήκουσα. τοῖς τε γὰρ μετιέναι τὴν τέχνην ταύτην προαιρουμένοις, ὡς αὐτός φησιν, οὔτε δὲ φύσεως ἐπιτηδείως, οὔθ' ἡλικίας ἁρμοζούσης τετυχηκόσι, πολλάκις δὲ οὐδὲ τῶν προτέρων μαθημάτων ἀρξαμένοις, καὶ διὰ ταῦτα ἀδυνάτως ἔχουσι τοὺς κατὰ διέξοδον λόγους ἐκμανθάνειν: ἀρκέσει τὰ νῦν γραφησόμενα, χρόνου τε βραχυτέρου πρὸς τὴν ἐκμάθησιν χρήζοντα, καὶ τὴν νόησιν * εὐπορωτέραν ἕξοντα, τῆς τὴν συναίρεσιν εἰς βραχυλογίαν οὐκ ἀσαφῆ γενήσεσθαι. τοῖς δὲ ἐν προπαιδείᾳ γεγυμνασμένοις, καὶ μήτε ὑπὸ φύσεως, μήτε ἡλικίας κωλυθεῖσι τελείαις χρήσασθαι ταῖς διδασκαλίαις, ἁρμόζοι ἂν ἡ τοιαύτη σύνοψις. ἐπ' αὐτῶν τῶν ἔργων τὸ μὲν χρείας ἐπειγούσης, ἐν βραχεῖ δὲ τῆς ἀναμνήσεως τῶν ἀναγκαιοτάτων γινομένης.]

* συντέμνειν. M. M.

* εὐπορωτέραν.

Οὕτω μὲν ὁ Ὀρειβάσιος ἐν ταύτῃ τῇ πραγματείᾳ προοιμιάζεται, ὑποσχόμενος ἐκεῖνα μόνα συναγαγεῖν, ἃ τῶν ἀρεσκόντων ἐστὶ τῷ ἀνδρὶ, καὶ πρὸς τὴν ἰατρικὴν ἀφορᾷ τέχνην τε καὶ τὴν πρᾶξιν μεταχείρισιν. πεπόνηται δὲ αὐτῷ ἡ τοιαύτη σπουδὴ ἐν λόγοις.....

ΤΟΥ ΑΥΤΟΥ ΠΡΑΓΜΑΤΕΙΑ ἐν λόγοις ἑβδομήκοντα. σιζ'.

Η δὲ δευτέρα πραγματεία Ἰουλιανῷ μὲν καὶ αὕτη τὴν προσφώνησιν ποιεῖται, ἐν ἑβδομήκοντα δὲ περαίνεται λόγοις καὶ τὸ χρήσιμον οὐκ ἔλαττον, ἀλλὰ καὶ μᾶλλον ἢ ἡ προτέρα τοῦ πολυόγκου παρέχεται. προοιμιάζεται δὲ καὶ αὕτη τοῦτον τὸν τρόπον.

[Ταὶ

[Τὰς προσταχθείσας ἐπιτομὰς παρὰ τῆς σῆς θειότητος, αὐτοκράτορ Ἰουλιανὲ, πρότερον, ἡνίκα διετρίβομεν ἐν Γαλατίᾳ τῇ πρὸς ἑσπέραν, εἰς τέλος ἤγαγον, καθὼς ἠβουλήθης, ἅς τινας ἐκ μόνων τῶν ὑπὸ Γαληνοῦ γραφέντων ἐποιησάμην. ἐπειδὴ δὲ ἐπαινέσας ταύτας δευτέραν ἐπέταξας πρᾶξιν, πάντων τῶν ἀρίστων ἀνδρῶν ἀναζητήσαντά με τὰ καιριώτατα συνάγειν, καὶ πάντα ὅσα χρησιμεύει πρὸς τὸ αὐτὸ τέλος τῆς ἰατρικῆς: καὶ τοῦτο πράττειν εἰς οἷός τέ εἰμι προθύμως διέγνωκα. περιττὸν δὲ νομίσας εἶναι καὶ παντελῶς εὐηθὲς, τὸ ἐγγράφειν τὰ αὐτὰ πολλάκις, καὶ τῶν ἄριστα συγγραψάντων, καὶ τῶν μὴ ὁμοίως τὸ ἀκριβὲς* ἐργασαμένων: μόνα τὰ τῶν ἄμεινον εἰπόντων συνάξω, *μηδὲν ἂν Γαληνὸς εἴπῃ παραλιπών· καθότι τῶν συγγραψάντων ἁπάντων εἰς τὰς αὐτὰς ὑποθέσεις αὐτὸς κρατεῖ, μεθόδοις καὶ διορισμοῖς τοῖς ἀκριβεστάτοις χρώμενος, ἅτε ταῖς Ἱπποκρατείοις ἀρχαῖς καὶ δόξαις ἐξακολουθῶν. χρήσομαι δὲ κἀνταῦθα τοιαύτῃ τάξει. πρῶτον μὲν συνάξω τὰ τοῦ ὑλικοῦ μέρους, εἶτα ὅσα περὶ φύσεως καὶ κατασκευῆς εἴρηται ἀνθρώπου. μεθ' ἃ τὰ τῆς ὑγιεινῆς καὶ ἀναληπτικῆς πραγματείας· μετὰ ταῦτα ὅσα τῆς διαγνωστικῆς καὶ προγνωστικῆς ἔχεται θεωρίας. ἐφ' οἷς τὰ περὶ νοσημάτων καὶ συμπτωμάτων· καὶ ὅλως τῆς τῶν παρὰ φύσιν ἐπανορθώσεως.]

* al. ἐξεργασ. * μηδὲ.

Ἐς τοιοῦτον μὲν τύπον καὶ ἡ δευτέρα προοιμιάζεται πραγματεία, ἀπ' ἐκείνης ἀρχομένη τῆς ὑποθέσεως, καθάπερ καὶ ἡ πρὸ αὐτῆς, ἥ τις τὰς ἐν τροφαῖς δυνάμεις ἀναδιδάσκει.

Ἐν ο΄ δὲ λόγοις διέξεισιν ἃ ἐπαγγέλλεται. καὶ δευτέρα μὲν ὅσον τῷ χρόνῳ, προτέρα δ' ἐστὶ τῇ χρείᾳ· ἅτε μὴ μόνα ὅσα Γαληνὸς ὀρθῶς ἔγραψε περιέχουσα, ἀλλὰ καὶ ὅσα αὐτῷ μὲν παρεῖται, ἄλλοις δὲ εἰς διδασκαλίαν προτέθειται. καί γέ μοι δοκῶ χρησιμεύειν τὴν σπουδὴν ταύτην, ἵνα μὴ λέγω πασῶν τῶν ἄλλων, ὅσαι εἰς ἰατρικὴν χρείαν τε καὶ θεωρίαν κατεβλήθησαν πραγματεῖαι. ἀλλὰ πάντως γε τῶν πλειόνων τῷ τε σαφὲς ἀπαγγέλλεσθαι τὰ ἀπηγγελμένα, καὶ τῷ μηδὲν παραλιπεῖν, καὶ τῷ φωναῖς διαφόροις τὰ πλείω τῶν συντεταγμένων ῥηθῆναι· ἐξ ὧν καὶ εἴ τι ἀσαφὲς ἐν τοῖς συνέβη τινὶ ῥηθῆναι, διὰ τῆς ἄλλων ἀναπτύξεως σαφηνίζεται· καὶ τῷ γε ἰατρικὴν μετιόντι, κατὰ ταύτην ἔγωγε παραινέσαιμι ἂν πραγματείαν τὴν διατριβὴν ὅτι μάλιστα ποιεῖσθαι. ἀλλὰ τοιαύτη μὲν καὶ ἡ δευτέρα Ὀρειβασίῳ τῆς ἰατρικῆς μεταχειρήσεώς τε καὶ θεωρίας συναγωγή.

ORIBASIVS.

[Epitomas, quas tu olim, Diue Iuliane Cæsar, mihi conficiendas mandaueras, iam pridem (cùm in Occidua Gallia versaremur) ad finem, quemadmodum tu voluisti, perduximus: & eas quidem ex ijs solis confectas, quæ Galenus conscripsisset. Verùm vbi tu, iis laudatis, alterum mihi laborem adiunxisti, vt perquisitis omnibus quæ Medici præstantissimi maximè opportuna dixissent, & quæcumque ad eundem hunc Medicinæ finem pertinerent, vnum in volumen redigerem. Id quoque ego pro virili parte, & prompto animo facere decreui. Superuacaneum igitur, & omnino ineptum arbitratus eadem sæpe scribere, siue quæ ab optimis Medicis, siue quæ ab ijs, qui nō ita diligenter res tractauerunt, scripta fuerint: ea solùm colligam, quæ nobis reliquerunt ij, qui cæteris præstiterunt, nihil eorum omittendo, quæ Galenus dixerit: Siquidem cæteris, qui easdem res pertractauerunt, optima ipse, & via ac ratione, & distinctione adhibita, omnibus antecellit, vt qui principia & sententias Hippocratis assiduè consectetur. Ego verè hîc huiusmodi vtar ordine. Imprimis colligam ea, quæ ad partem materialem spectant: deinde quæ de hominis natura atque fabrica dicta sunt: tum de tuenda sanitate, & reficiendis corporibus agetur: quibus confectis, addam, quæ ad dignotionem & prænotionem pertinent: ad hæc, quæ de morbis, déque symptomatis sunt accedent: & denique ea, quæ valent ad corrigendum ea, quæ præter naturam sunt, adhibebuntur.]

Hoc igitur proloquium secundi operis, cuius (perinde ac præcedentis) ab eo argumento ducitur initium, quod alimentorum nobis facultates exponit. Septuaginta[a] verò libris, quæ receperat, pertractat. Opus equidem, vt tempore posterius, ita vtilitate prius. Neque enim ea solùm, quæ Galenus rectè litterarum monumentis prodiderat, continet, sed etiam, quæ ab ipso prætermissa alij discenda proposuerunt. Ac mihi quidem sanè vtilis hic labor videtur, si non cæteris omnibus, quotquot in Medicæ artis vsum atque contemplationem hactenus collati sunt: at certè præ plurimis: idque vel eo nomine, quod non perspicuè tantùm sua tradat, nihilque prætermittat: sed eorum etiam quæ congessit pleraque variis vocibus efferantur. Vnde si quid forte obscurius hic est ab aliquo prolatum, id mox per aliorum explicationem declaratur. Quare ad Medicinæ studium sese applicantibus auctor ego sim, vt hoc potissimum opus assiduè versent. Atque huiusmodi quidem Oribasij altera illa est medicæ tractationis & contemplationis collectio.

a Quorum bodiè septemdecim tantum Latinè exstant, primo quoque eo volumine, vt opinor, amissa.

ΤΟΥ ΑΥΤΟΥ ΣΥΝΤΟΜΙΑ ΤΗΣ δευτέρας πραγματείας πρὸς Εὐστάθιον υἱὸν, ἐν λόγοις θ΄.

σιη΄.

Oribasij ad Eustathium F. libri IX.

ΤΡΙΤΗ δ' αὐτῷ διεσπούδασται, ὡς καὶ αὐτὸς ἐκεῖνος προοιμιαζόμενος λέγει, συντομίαν αὐτῷ τῆς δευτέρας περιέχουσα πραγματείας. Εὐσταθίῳ δὲ τῷ υἱῷ τὸ βιβλίον ἀναφωνεῖ, θ΄ διῃρημένον λόγοις. ἐν οἷς ἐστι τῶν παθῶν ἰάματα, ὅσα τὸ εὐπόριστον καὶ πρόχειρον ὑπισχνεῖται. τὸ μέν τοι χειρουργικὸν εἶδος παντελῶς αὐτῷ κατὰ ταύτην τὴν συναγωγὴν παρεῖται.

EIVSDEM *Compendij ad Eustathium F. libri X.*

CCXVIII.

TERTIVM item ab eodem est elaboratum *Opus*, vt ipsemet in prooemio testatur. *Secundi* illius *compendium*, Eustathio filio inscriptum, ac *libris nouem* distinctum, quibus ea morborum medicamenta proponuntur, quæ parari facile possint, in promptúque sint. Cæterum chirurgiæ speciem omnem hisce collectaneis penitus prætermisit.

καὶ αὐτὸ δὲ τοῦτο ἀγνοεῖν, ὅτι οὐδὲν αὐτοῖς τῶν δοξάντων εἰς κατάληψιν ἐληλυθέναι, κατείληπται. ὁ δὲ κατὰ Πύῤῥωνα φιλοσοφῶν, τά τε ἄλλα εὐδαιμονεῖ, καὶ σοφός ἐστι τῷ μάλιστα εἰδέναι, ὅτι οὐδὲν αὐτῷ βεβαίως κατείληπται. ἃ δὲ καὶ εἰδείη, οὐδὲν μᾶλλον αὐτῶν τῇ καταφάσει, ἢ τῇ ἀποφάσει γενναῖός ἐστι συγκατατίθεσθαι. ἡ μὲν οὖν ὅλη τοῦ βιβλίου διάληψις, ὃ βούλεται, εἴρηται. γράφει δὲ τοὺς λόγους Αἰνησίδημος προσφωνῶν αὐτοὺς τῶν ἐξ ἀκαδημίας τινὶ συναιρεσιώτῃ Λευκίῳ * Νέρωνι, γένος μὲν ῥωμαίῳ, δόξῃ δὲ λαμπρῷ ἐκ προγόνων, καὶ πολιτικὰς ἀρχὰς οὐ τὰς τυχούσας μετιόντι. Ἐν μὲν οὖν τῷ πρώτῳ λόγῳ διαφορὰν τῶν τε πυῤῥωνίων καὶ τῶν ἀκαδημαϊκῶν εἰσάγων, μικροῦ γλώσσῃ αὐτῇ ταῦτά φησιν· ὡς οἱ μὲν ἀπὸ τῆς ἀκαδημίας, δογματικοί τε εἰσὶ καὶ τὰ μὲν τίθενται ἀδιστάκτως, τὰ δὲ αἴρουσιν ἀναμφιβόλως. οἱ δ' ἀπὸ Πύῤῥωνος ἀπορητικοί τε εἰσὶ καὶ παντὸς ἀπολελυμένοι δόγματος· καὶ οὐδεὶς αὐτῶν τὸ παράπαν, οὔτε ἀκατάληπτα πάντα εἴρηκεν, οὔτε καταληπτά· ἀλλ' οὐδὲν μᾶλλον τοιάδε ἢ τοιάδε· ἢ τότε μὲν τοῖα, τότε δὲ οὐ τοῖα· ἢ ᾧ μὲν τοιαῦτα, ᾧ δὲ οὐ τοιαῦτα· ᾧ δὲ οὐδόλως ὄντα· οὔτε μὴν ἐφικτὰ πάντα κοινῶς, ἤ τινα τούτων οὐκ ἐφικτά, ἀλλ' οὐδὲν μᾶλλον ἐφικτὰ ἢ οὐκ ἐφικτά· ἢ τότε μὲν ἐφικτά, τότε δὲ οὐκ ἐφικτά. καὶ μὴν οὐδ' ἀληθινόν, οὐδὲ ψεῦδος, οὐδὲ πιθανόν, οὐδ' ὄν, οὐδὲ μὴ ὄν· ἀλλὰ τὸ αὐτό, ὡς εἰπεῖν, οὐ μᾶλλον ἀληθὲς ἢ ψεῦδος, ἢ πιθανὸν ἢ ἀπίθανον· ἢ ὄν, ἢ οὐκ ὄν· ἢ τότε μὲν τοῖον, τότε δὲ τοῖον· ἢ ᾧ μὲν τοιόνδε, ᾧ δὲ καὶ οὐ τοιόνδε. καθόλου γὰρ οὐδὲν ὁ πυῤῥώνιος ὁρίζει· ἀλλ' οὐδὲ αὐτὸ τοῦτο, ὅτι οὐδὲν ὁρίζεται· ἀλλ' οὐκ ἔχοντες, φασίν, ὅπως τὸ νοούμενον ἐκλαλήσωμεν, οὕτω φράζομεν. οἱ δ' ἀπὸ τῆς ἀκαδημίας φησὶ μάλιστα τῆς νῦν, καὶ στωϊκαῖς συμφέρονται ἐνίοτε δόξαις, καί, εἰ χρὴ τἀληθὲς εἰπεῖν, στωϊκοὶ φαίνονται μαχόμενοι στωϊκοῖς. δεύτερον, καὶ περὶ πολλῶν δογματίζουσιν. ἀρετήν τε γὰρ καὶ ἀφροσύνην εἰσάγουσι, καὶ ἀγαθὸν καὶ κακὸν ὑποτίθενται, καὶ ἀλήθειαν καὶ ψεῦδος, καὶ δὴ καὶ πιθανὸν καὶ ἀπίθανον, καὶ ὂν καὶ μὴ ὄν· ἄλλά τε πολλὰ βεβαίως ὁρίζουσι. διαμφισβητεῖν δέ φασι περὶ μόνης τῆς καταληπτικῆς φαντασίας. διὸ οἱ μὲν ἀπὸ Πύῤῥωνος, ἐν τῷ μηδὲν ὁρίζειν [illegible]πίληπτοι τὸ παράπαν διαμένουσιν· οἱ δὲ ἐξ ἀκαδημίας * φησὶν ὁμοίας τὰς εὐθύνας τοῖς ἄλλοις φιλοσόφοις ὑπέχουσι. τὸ δὲ μέγιστον, οἱ μὲν περὶ παντὸς τοῦ προτεθέντος διαποροῦντες, τό, τε σύστοιχον διατηροῦσι, καὶ ἑαυτοῖς οὐ μάχονται. οἱ δὲ * μαχομένοις ἑαυτοῖς [οὐ] συνίσασι. τὸ γὰρ ἅμα τιθέναι τι καὶ αἴρειν ἀναμφιβόλως, ἅμα τε φάναι κοινῶς * ὑπάρχειν καταληπτά, μάχην ὁμολογουμένην εἰσάγει· ἐπεὶ πῶς οἷόν τε γινώσκοντα, τόδε μὲν εἶναι ἀληθές, τόδε δὲ ψεῦδος, ἔτι διαπορεῖν καὶ διστάσαι, καὶ οὐ σαφῶς τὸ μὲν ἑλέσθαι, τὸ δὲ περιστῆναι; εἰ μὲν ἀγνοεῖται, ὅτι τόδε ἐστὶν ἀγαθὸν ἢ κακόν, ἢ τόδε μὲν ἀληθές, τόδε δὲ ψεῦδος, καὶ τόδε μὲν ὄν, τόδε δὲ μὴ ὄν· πάντως ὁμολογητέον ἕκαστον ἀκατάληπτον εἶναι.

* al. Τουβέρωνι.

Academici.

Pyrrhonij.

* al. φασίν.

* al. μαχόμενοι.

* al. ἢ μὴ ὑπάρχειν.

fatendum horum singula comprehendi non posse;

εἰ δ'

εἰ δὲ ἐναργῶς κατ᾽ αἴσθησιν ἢ κατὰ νόησιν καταλαμβάνεται· καταληπτὸν ἕκαστον φατέον. ταῦτα μὲν ἀρχόμενος τῶν λόγων, καὶ τοιαῦθ᾽ ἕτερα, τὴν διαφορὰν τῶν πυῤῥωνίων καὶ ἀκαδημαϊκῶν ὑποδεικνὺς, ἀναγράφει ὁ Αἰνησίδημος ὁ ἐξ Αἰγῶν. ἐφεξῆς δὲ κατὰ τὸν αὐτὸν λόγον πρῶτον, καὶ τὴν ὅλην ἀγωγὴν ὡς τύπῳ καὶ κεφαλαιωδῶς τῶν πυῤῥωνίων παραδίδωσι λόγων. Ἐν δὲ τῷ δευτέρῳ κατὰ μέρος ἤδη ἀρχόμενος ἐπεξιέναι τὰ ἐν κεφαλαίῳ εἰρημένα, περί τε ἀληθῶν καὶ αἰτιῶν διαλαμβάνει, καὶ παθῶν, καὶ κινήσεως, γενέσεώς τε καὶ φθορᾶς, καὶ τῶν τούτοις ἐναντίων, κατὰ πάντων αὐτῶν τὸ ἄπορον καὶ ἀκατάληπτον πυκνοῖς, ὡς οἴεται, ἐπιλογισμοῖς ὑποδεικνύς. καὶ ὁ τρίτος δὲ αὐτῷ λόγος περὶ κινήσεως, καὶ αἰσθήσεως, καὶ τῶν κατ᾽ αὐτὰς ἰδιωμάτων, τὰς ὁμοίας περιεργαζόμενος ἐναντιολογίας, εἰς τὸ ἀνέφικτον καὶ ἀκατάληπτον ὑποφέρει καὶ αὐτά. ἐν δὲ τῷ τετάρτῳ σημεῖα μὲν ὥσπερ τὰ φανερὰ φαμὲν τῶν ἀφανῶν, *οὐδ᾽ ὅλως εἶναί φασιν, ἠπατῆσθαι δὲ κενῇ προσπαθείᾳ τοὺς οἰομένους· ἐγείρει δὲ τὰς ἐξ ἔθους ἐφεξῆς ἀπορίας, περί τε ὅλης τῆς φύσεως καὶ κόσμου καὶ θεῶν, οὐδὲν τῶν εἰς κατάληψιν πεσεῖν ἐντεινόμενος. προβάλλεται δὲ αὐτῷ καὶ ὁ πέμπτος λόγος, τὰς κατὰ τῶν αἰτίων ἀπορητικὰς λαβὰς, μηδὲν μὲν μηδενὸς αἴτιον ἐνδιδοὺς εἶναι· ἠπατῆσθαι δὲ καὶ τοὺς αἰτιολογοῦντας, φάσκων καὶ τρόπους ἀριθμῶν, καθ᾽ οὓς οἴεται αὐτοὺς αἰτιολογεῖν, ὑπαχθέντας εἰς τὴν τοιαύτην περιενεχθῆναι πλάνην. καὶ ὁ ἕκτος δὲ, τὰ ἀγαθὰ καὶ κακὰ, καὶ μὴν καὶ τὰ αἱρετὰ καὶ φευκτά· ἔτι *προηγούμενά τε καὶ ἀποπροηγούμενα, εἰς τὰς αὐτὰς ἐρεσχελίας ἄγει· τό γε ἐπ᾽ αὐτῷ, καὶ ταῦτα τῆς καταλήψεως ἡμῶν καὶ γνώσεως ἀποκλείων. τὸν μέντοι ἕβδομον, κατὰ τῶν ἀρετῶν ὁπλίζει, διακενῆς λέγων τοὺς *φιλοσοφοῦντας περὶ αὐτῶν ἀναπλάσαι δόξας, καὶ αὐτοὺς ἀποβουκολεῖν, ὡς εἰς τὴν τούτων εἴησαν πρᾶξίν τε καὶ θεωρίαν ἀφιγμένοι. ὁ δὲ ἐπὶ τούτοις πᾶσι, καὶ ὄγδοος, κατὰ τοῦ τέλους ἐνίσταται, μήτε τὴν εὐδαιμονίαν, μήτε τὴν ἡδονὴν, μήτε τὴν φρόνησιν, μήτ᾽ ἄλλο τι τέλος *ἐπιχωρεῖν εἶναι, ὅπερ ἄν τις τῶν κατὰ φιλοσοφίαν αἱρέσεων δοξάσειεν· ἀλλ᾽ ἁπλῶς οὐκ εἶναι τέλος τὸ πᾶσιν ὑμνούμενον. οἱ μὲν οὖν τοῦ Αἰνησιδήμου λόγοι πρὸς τοιοῦτον ἀγῶνα κανονίζονται. ὅτι δὲ ματαιότης *αὐτῶν, καὶ πολλὴ λῆρος ἡ σπουδὴ, Πλάτωνί τε καὶ πολλοῖς ἄλλοις τῶν πρὸ ἡμῶν, τὸν ἔλεγχον ἔδοσαν, καὶ ὅτι μηδὲν εἰς δόγμα συντελεῖ· καὶ τοῦτο κατάδηλον· ὅπου γε καὶ τὰς ἐνούσας δογματικὰς θεωρίας ἐλαύνειν ἡμῶν τῆς διανοίας ἐπεχείρησαν. τοῖς μέντοι κατὰ διαλεκτικὴν μελέτην πονουμένοις, ἂν μὴ τὸ ἀστήρικτον αὐτῶν τοῖς *λόγοις ἐνεδρεύῃ, καὶ ἡ κρίσις πρὸς ἀγχίνοιαν οὐ νενοθευμένη, τὸ βιβλίον οὐκ ἄχρηστον.

* al. οὐδ᾽ ὅλως εἶναί φασιν.

* al. προηγμένα καὶ ἀποπροηγμένα.

* al. φιλοσοφοῦντας.

* al. ἐπὶ χωρὶς χώραν.

* αὐτῶν.

* al. λεγομένων.

sin euidenter sensu vel intelligentia horum quidque percipiatur, comprehensibile iam horum esse quodlibet dicendum est. Hæc, aliaque id genus, ab ipso mox librorum initio discrimen Pyrrhonios inter & Academicos ostendens, hic Ænesidêmus Ægeus pertractat, vniuersum deinceps Pyrrhoniarum rationum institutum eodem hoc priore libro paucis ac summatim traditurus.

ÆNESIDEMVS.

SECVNDO deinde libro singulatim iam, quæ vniuersè dixerat, tractare incipiens, de Veris & Causis disputat, déque affectionibus, de motu item, & generatione atque corruptione, ac de horum contrariis, aduersus hæc omnia dubia illa esse atque incomprehensibilia, validis, vt putat, ratiocinationibus ante oculos ponens.

TERTIVS posthæc liber de motu & sensu, eorúmque proprietatibus, similes contradictiones curiosius inuestigando, ad ea quæ nemo assequi aut comprehendere possit, hæc quoque abripere conatur.

QVARTO autem libro signa rerum obscurarum, quæ nos manifestas hasce res esse dicimus, ne esse quidem vult: sed decipi inani affectione eos, qui hæc opinentur. Mouet & ex more alias deinde quæstiones de vniuersa natura, de mundo, de Diis, nihil horum percipi posse contendens.

Proponit ipsis & QVINTVS liber dubitandi aduersus causas occasiones, nihil nullius esse causam tradens: & falli, qui causas adferre conentur: numerans etiam modos, quibus Causas reddere studeant, qui coacti iam in hoc errore versentur.

SEXTVS vero bona & mala, quæque expetenda & quæ fugienda, [a] præposita adhæc atque reiecta in eandem ludificatoriam disputationem adducit: quæ quantum in ipso est, à nostra quoque comprehensione atque cognitione excludit.

[a] προηγμένα καὶ ἀποπροηγμένα quæ dicantur apud Stoicos, docebit te Cicero III de Finibus, & clarius Sextus Empiric. lib. III. Pyrrhon. Hypot. cap. 24. vide.

SEPTIMVM aduersus virtutes instruit, referens varias de iis opiniones ne quidquam commentos esse Philosophos, seipsos decipientes, quasi iam ad earum actionem contemplationémque peruenissent.

Qui ad hos omnes OCTAVVS accedit liber, contra [bonorum] Finem disputat, neque beatitudinem illum esse, neque voluptatem, neque prudentiam, neque aliud eorum quidpiam quod cuiuscunque Philosophorum familiæ sectator opinando asserere queat: sed omnino Finem non esse, ab omnibus licet decantetur.

Igitur ad huiusmodi concertationem diriguntur Ænesidemi libri, qui Platoni, aliisque ante nos pluribus satis indicarunt, stultitiæ plenum ac nugarum illius Opus esse. nihil item ipsum ad aliquod dogma [confirmandum] prodesse, æque est manifestum, vbi saltem ipsas quoque inhærentes nostræ menti dogmaticas contemplationes expellere aggressus est. Si qui tamen in Dialecticis exercetur, non inutilis hic liber: modo ne horum parum adhuc cõfirmata mens, hisce ratiocinationibus inhæresc at, iudiciique perspicacitas vitiata non sit.

ΑΓΑΘΑΡΧΙΔΟΥ ΙΣΤΟΡΙΚΟΝ.

AGATHARCHIDÆ Historica.

σιγ'. Agatharchidis historica.

CCXIII.

ΑΝΕΓΝΩΣΘΗ Ἀγαθαρχίδου ἱστορικόν. ἔνιοι δὲ αὐτὸν, Ἀγάθαρχον ὀνομάζουσι. τούτῳ πατρὶς

LEGI AGATHARCHIDÆ, quē Agatharchum quidam nominant, opus historicũ. Hic patria

AGATHARCHIDES.

Cnidius, instituto Grammaticus fuit. scribam tamen atque anagnosten insuper fuisse, præstitum his functionibus Heraclidæ Lembro ministerium, indicium fecit. Fuit & alumnus Cinnæi.

Scripsisse autem Asiaticas res libris decem, & de Europæ rebus a libris quadraginta nouem historiam pertexuisse, didicimus. Eius autem b libri quinque rubrum mare, quæque ad illud pertinent, exponunt. Et hæc quidem omnia ipsemet extremo libro quinto commemorat. Vbi & ob alias certas causas à scribendo se cessasse ait, quodque exacta iam ætas in senium vergeret. Sunt qui præter hæc alia ab illo conscripta tradunt, quæ mihi videre nunquam contigit. Nam & Compendium aiunt vno libro reliquisse eorum, quæ de rubro mari scripsisset: item de Troglodytis libros quinque: sed & Epithomen Lydes ab Antimacho scriptæ: Rursum aliud Breuiarium eorum, quæ de collectione admirabilium ventorum scripta exstarent. Historiarum adhæc Excerpta composuisse, atque De amicorum inter ipsos consuetudine.

a Quos citat non semel Athenæus, vt & Lucian. in Macrobiis IX. Asiaticor.

b Quorum primi & quinti Excerpta occurrent postea Cod. CCL.

Est autem hic vir, quantum eius libris legendis cognoscere potui, grandiloquus, & sententiis abundans. Qui orationis magnitudine ac dignitate præ cæteris quidem gaudet, sed verbis selectioribus non admodum videtur addictus. neque tamen dum vsitatas per omnia consuetásque voces non adhibet, nouas ipse format: nisi forte vsurpandorum vocabulorum artifex quispiam, nouam quandam speciem præferentem phrasim de non nouis vocabulis effecerit. Quod quidem artificium ingeniose adeo sibi subiicit, vt nec innouatum quidquam videatur, nec minor sit, quam si vsitatas attulisset voces perspicuitas. Vtitur etiam sententiis, quæ eius prudentiam non minus, quam industriam manifestè declarant. Ad verborum item immutationem rectius adsumendam, egregie præ cæteris comparatus est. Iucunditatem porro, quódque animum demulcere, aut diffundere queat, occulte passim ac latenter per totum Opus disseminat. Ad tropos quoque vbi se applicarit, sine vllo molestiæ sensu illos adhibet. Quod quidem in eo efficit non verborum ipsa per se commutatio, sed ingeniosa quædam & suauis ad res alias transitio atque conuersio. Etenim nomen pro verbo adsumere, rursúmque verbum in nomen commutare, voces quoque in orationem diffundere, & orationem in nominis quasi formam cogere, nemo est omnium, quos nouimus, hoc ipso peritior. Idem Thucydidem in concionibus apparatu & vbertate imitatus, magnitudine orationis æquat, perspicuitate autem etiam vincit. Talis omnino vir iste est, ab ipsa quoque Grammatica gloriam assecutus. Cui etsi Rhetoris cognomentum improuidum aliorum iudicium non concessit, mea certè sententia non Grammaticorum solum, sed ne Rhetorum quidem vlli secundus cum docendo, tum scribendo videtur.

CCXIV.

Hieroclis *De Prouidentia & Fato libri VII.*

Lectvs a est Hieroclis b *Liber de Prouidentia & Fato*, atque de arbitrij nostri cum

a De quo Suid. & Liban. lib. 1. ep. ad Acacium.

b Vnde impressa Lutetiæ, quadam excerpta, apud Fed. Morel.

μὲν ἡ Κνίδος ἦν, ἡ δὲ τέχνη γραμματικὸς ἐπεδείκνυτο. ὑπογραφέα δὲ καὶ ἀναγνώστην ὁ τοῦ Λέμβου Ἡρακλείδης, δι' ὧν αὐτῷ ἐξυπηρετεῖτο, παρέχει γνωρίζεσθαι. ἦν δὲ καὶ θρεπτὸς Κινναίου. γράψαι δὲ τὸν ἄνδρα τοῦτον τὰ κατὰ τὴν Ἀσίαν* ἐγνώσμεθα, ἐν βιβλίοις ι΄. καὶ τὴν κατὰ τὴν Εὐρώπην εἰς θ΄ καὶ μ΄ παρατείνεται αὐτῷ ἡ ἱστορία. ἀλλὰ καὶ ε΄ βιβλία τὴν ἐρυθρὰν αὐτῷ πᾶσαν, καὶ τὰ περὶ ταύτην ἐξιστοροῦσι. τὴν οὖν εἰρημένην ἅπασαν συγγραφὴν καὶ αὐτὸς ἐπὶ τέλει τοῦ πέμπτου λόγου εἰς μνήμην ἀνάγει. ἐν ᾧ καὶ τὸ παύσασθαι τοῦ γράφειν διά τινάς τε αἰτίας ἄλλας, καὶ ὅτι τὰ τῆς ἡλικίας *ἀποκλίνοι πρὸς τὸ ἔξωρον. πλείω γέ εἰσιν οἵ φασιν αὐτὸν καὶ ἑτέρας συγγεγραφέναι πραγματείας, ὧν ἡμεῖς οὐδένα οὐδέπω ἴσμεν. ἐπιτομὴν δὲ αὐτόν φασι τῶν περὶ τῆς ἐρυθρᾶς θαλάσσης ἀναγεγραμμένων ἐν ἑνὶ συντάξαι βιβλίῳ. καὶ μὴν καὶ περὶ Τρωγλοδυτῶν, βιβλία ε΄. ἀλλὰ καὶ ἐπιτομὴν τῆς Ἀντιμάχου Λύδης· καὶ πάλιν ἄλλην ἐπιτομὴν τῶν συγγεγραφότων περὶ συναγωγῆς θαυμασίων ἀνέμων. ἐκλογάς τε ἱστοριῶν συντάξαι αὐτόν, καὶ περὶ τῆς προσφιλοῦς ὁμιλίας. ἔστι δέ, ἐξ ὧν τὸν ἄνδρα τοῖς λόγοις αὐτοῦ διελθόντες ἐπέγνωμεν, μεγαλοπρεπής τε καὶ γνωμολογικός. καὶ τῷ μὲν τοῦ λόγου μεγέθει καὶ ἀξιώματι, τῶν ἄλλων μᾶλλον χαίρων: λέξεσι μέντοι λογάσιν οὐ πάνυ προστεθειμένος. οὐδὲ διὰ τῶν ἐθίμων [δι.] διὰ παντὸς πορευόμενος, γεννῶν δὲ αὐτὸς οὐ λέξεις, ἀλλ' οὕτως δημιουργὸς τῆς περὶ τὰς λέξεις χρήσεως, καινήν τινα μὴ καιναῖς κεχρημένος λέξεσι φαντασίαν *πρέπουσαν ἀποτελεῖ τῇ φράσει. οὕτω δὲ προσφυῶς ὑποβάλλεται τὴν πρᾶξιν· ὡς τήν τε καινοτομίαν μὴ δοκεῖν εἶναι καινοτομίαν, καὶ τὸ σαφὲς οὐκ ἔλαττον τῶν ἐξ ἔθους λέξεων παρέχειν. κέχρηται δὲ καὶ γνώμαις, τὸ νουνεχὲς καὶ δραστήριον ἐπιδηλούσαις. τροπὰς δὲ ἐπελθεῖν, εἴ τις ἄλλος, ἄριστα παρεσκευασμένος. τὸ μὲν ἡδὺ καὶ κηλοῦν, καὶ τὴν ψυχὴν διαχέον, λεληθότως δι' ὅλου κατασπείρει τοῦ γράμματος. εἰς τροπὴν δὲ* ὅτι παρενήνεκται, οὐδεμίαν λύπην δηλοῦσαν ἀφίησι. ποιεῖ δὲ αὐτὸ τοῦτο μάλιστα, οὐχ ἡ τῶν λέξεων αὐτὴ καθ' ἑαυτὴν μεταβολή· ἀλλ' ἡ ἀπὸ πραγμάτων ἑτέρων εἰς ἕτερα, μετ' ... τινος τῆς καὶ ἠρεμαίας μεταχειρίσεως, μετάβασίς τε καὶ μετατροπή. ἀλλὰ γὰρ καὶ ἀντιλαβεῖν μὲν ὄνομα ῥήματος, ἀμεῖψαι δὲ τὸ ῥῆμα εἰς ὄνομα· καὶ λῦσαι μὲν λέξεις εἰς λόγους, συναγαγεῖν δὲ λόγον εἰς τύπον ὀνόματος, οὐδενὸς ἀνεπιτηδειότερος ὧν ἴσμεν. καὶ ζηλωτὴς μέν ἐστι Θουκυδίδου, ἔν τε τῇ τῶν δημηγοριῶν διασκευῇ καὶ δαψιλείᾳ. τῷ μεγαλείῳ δὲ μὴ δεύτερος ὢν τοῦ λόγου, τῷ σαφεῖ παρελαύνει τὸν ἄνδρα. ἀλλὰ γὰρ ὁ μὲν ἀνὴρ τοιοῦτος, καὶ τὸ ἀπὸ τῆς γραμματικῆς ἔχων κλέος. εἰ δὲ καὶ τὸ τῆς ῥητορικῆς ἐπώνυμον αὐτῷ ἡ μὴ νήφουσα ψῆφος οὐκ ἐπέθετο· ἀλλὰ γὰρ ἔμοιγε δοκεῖ οὐδὲν ἐλάττων τῶν γραμματικῶν, οὐ δεύτερος ἢ τῶν ῥητόρων, δι' ὧν καὶ διδάσκει καὶ γράφει, καταφαίνεσθαι.

* al. ἐγνωμ.

* al. ἀποκλίνη.

* πέμπ.

* al. ὅτι.

σιδ΄.

ΙΕΡΟΚΛΕΟΥΣ ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ καὶ εἱμαρμένης βιβλία ζ΄.

Hierocles de Prouidentia & Fato liber.

ΑΝΕΓΝΩΣΘΗ βιβλίον Ἱεροκλέους περὶ προνοίας καὶ εἱμαρμένης καὶ τῆς τοῦ ἐφ' ἡμῖν πρὸς τὴν θείαν

θείας ἁρμονίας συντάξεως. Ἔστι μὲν οὖν τὴν προαίρεσιν φιλόσοφος ὁ ἀνήρ, ἡ δὲ συγγραφὴ αὐτοῦ Ὀλυμπιόδωρόν τινα κριτὴν προσκαθίζει, ὃν καὶ παρασχεῖν τοῦ λόγου τὰς ἀφορμὰς ὑποτίθεται, καὶ αὐτὸν ἔχοντα τοῦ φιλοσοφεῖν ἔρωτα, οὐ μὴν οὐδὲ τῆς πολιτικῆς σοφίας ἄπειρον. ἐμπρέψαι τε γὰρ ῥωμαϊκαῖς πρεσβείαις, καὶ πολλὰ καὶ μέγιστα τῶν βαρβάρων ἐθνῶν τῇ ῥωμαϊκῇ συνάψαι λήξει, ἀφ' ἧς τινες καὶ ὑπὸ τῶν μεγίστων παρ' αὐτοῖς τιμῶν κατέστησαν *αἴτιαι. ὁ μὲν οὖν Ὀλυμπιόδωρος, πρὸς ὃν ὁ λόγος, τοιοῦτος· ᾧ δὴ καὶ παραμυθικοὺς λόγους ὁ συγγραφεὺς ἐπὶ τέλει τοῦ πρώτου βιβλίου, θετοῦ παιδὸς ἀποβολὴν πενθουμένῳ, περιαλγεῖ τε ὄντι καὶ σκυθρωπάζοντι, προσεπήνεγκεν. ἡ δ' ἐπαγγελία τῆς παρούσης σκέψεως περὶ προνοίας ἐστὶ διαλαβεῖν τῇ Πλάτωνος δόξῃ καὶ Ἀριστοτέλους συνδιαπειθομένων, συνάπτειν γὰρ βούλεται τοὺς ἄνδρας τῆς δόξαις. οὐ κατὰ τοὺς λόγους τῆς προνοίας μόνον, ἀλλὰ καὶ ὅσοι τὴν ψυχὴν φρονοῦσιν ἀθάνατον, καὶ εἴ τι περὶ οὐρανοῦ καὶ κόσμου τούτοις πεφιλοσόφηται. ὅσοι δὲ τοὺς ἄνδρας εἰς διαφωνίαν ἔστησαν, τούτους εἰς τὰ μάλιστα πεπλανῆσθαί τε τῆς τῶν ἀνδρῶν προθέσεως, καὶ ἐκπεσεῖν τῆς ἀληθείας ἀποφαίνεται· τοὺς μὲν ἑκόντας ἐριδί καὶ ἀπονοίᾳ σφᾶς αὐτοὺς παραδόντας, τοὺς δὲ καὶ προλήψει καὶ ἀμαθίᾳ δεδουλωμένους. καὶ πολλοὺς τοὺς ἔμπροσθεν γενέσθαι χορόν, μέχρις ὅτου ἡ Ἀμμωνίου σοφία διέλαμψεν, ὃν καὶ θεοδίδακτον ἐπικαλεῖσθαι ὑμνεῖ. τοῦτον γὰρ τὰς τῶν παλαιῶν ἀνδρῶν διακαθάραντα δόξας, καὶ τοὺς ἑκατέρωθεν ἀναφυομένους ἀποσκευασάμενον λήρους, σύμφωνον ἐν τοῖς ἐπικαίροις τε καὶ ἀναγκαιοτάτοις τῶν δογμάτων Πλάτωνός τε καὶ Ἀριστοτέλους τὴν γνώμην ἀποφῆναι. Ταῦτα διὰ τῆς γραφῆς ὁ Ἱεροκλέους λόγος σπουδάζων, καὶ ἃ σπουδάζει ἤδη καὶ ἐκείνοις φιλοτιμεῖται δοξάζειν· ἀνταγωνίζεται δὲ πρὸς τοὺς ἐσπουδακότας τἀναντία, Ἐπικουρείους τε φημὶ καὶ Στωϊκούς, καὶ ὅσοι Πλάτωνα μὲν ὑπεδύοντο καὶ Ἀριστοτέλην, οὐκ ὀρθῶς δὲ τὰ ἐκείνων ἐξηγοῦνται. καὶ μὴν ὅσοις ὁ τῆς γενεθλιαλογίας ἀνηρτήσατο πόνος διελέγχων ἀεί, σφαλερὰν αὐτῶν τὴν περὶ τῆς εἱμαρμένης ἐπιδείκνυσι δόξαν. καὶ τοὺς τὴν πρόνοιαν διὰ τῶν ὄντων ἀποσκεδάζειν πλημμελοῦντας μηχαναῖς τισιν ἢ γοητείαις, ταῖς ὁμοίαις τῶν λόγων ὑποβάλλει βασάνοις. καὶ καθόλου φάναι, πρὸς τὰς ὑπολήψεις ἐνίσταται πάσας, ὅσαι τὴν θείαν οὐκ εἶναι πρόνοιαν ἢ εἶναι μέν, φαύλην δὲ τοὺς ἀμαθεστέρους * πείθουσι νομίζειν. καὶ κατὰ Πλάτωνα θεὸν αὐτῷ προϋφίστησιν ἡ σκέψις, πάσης ἐμφανοῦς τε καὶ ἀφανοῦς δημιουργὸν διακοσμήσεως, ἣν ἐκ μηδενός φησιν ὑποκειμένου προαγαγεῖν τὸν τεχνίτην· ἀρκεῖν γὰρ αὐτοῦ εἰς ὑπόστασιν τῶν ὄντων τὸ βούλημα. τῆς δὲ σωματικῆς οὐσιώσεως τῇ ἀσωμάτῳ συντεταγμένης δημιουργίᾳ, κόσμον ἐξ ἀμφοῖν τελειότατον, διπλοῦν τε ἅμα καὶ ἕνα συστῆναι· ἐν ᾧ ἄκρα καὶ μέσα καὶ τελευταῖα, τὴν κοσμοποιὸν σοφίαν κατὰ φύσιν διακρῖναι· ὧν τὰ μὲν πρῶτα λογικά, οὐράνιά τε καὶ θεοὺς καλεῖσθαι. ἃ δὲ ἡ μετ' ἐκεῖνο τὸ σύστημα ἔχει ἔλαχε χώρα λογικά, αἰθέριά τε καὶ ἀγαθοὺς δαίμονας ὀνομάζει,

diuina gubernatione congruentia. Auctor hic professione Philosophus, cui liber ipse Olympiodorum quendam veluti censorem constituit, qui eius scribendi causam dederit, cum Philosophiæ non vulgaris adamator, ne ciuilis quidem sapientiæ rudis esset. Clarum enim legationibus Romanis fuisse, multásq; , ac magnas è barbaris gentibus Romano adiunxisse imperio, quæ ipsi quoque ad magnos apud illas magistratus acquirendos viam strauerint. Igitur Olympiodorus, ad quem liber mittitur, talis fuit: ad quem insuper libro primo extremo adiunxit Auctor consolationem, cum ille adoptiui filij amissionem supra modum lugens, non dolenti tantum esset animo, sed etiā vultu tristiore. Ipse autem commentarius *De Prouidentia*, disputationem præfert, eius qui erga Platonis non aliter, quam erga Aristotelis sententiam animo affectus esset. Conciliare enim horum Philosophorum inter se opiniones studet, non solum in iis, quæ de Prouidentia disputāt, verum etiam vbi animos docent esse immortales, aut de cœlo quidpiam ac mundo iidem philosophantur. Quotquot autem hos inter se dissentire ac pugnare arbitrati sunt, eos longissime ab eorum sententia abductos, à veritate omnino aberrasse contendit, alios sua sponte contendendi studio atque vesaniæ sese addicētes, alios præoccupata opinione atque imperitia subactos. Ac prioris quidem ordinis ingentem fuisse numerum refert, donec Ammonij aliquando sapientia orbi illuxit, quem etiam *Diuinitus edoctum* appellari prædicat. Hunc enim veterum Philosophorū opinionibus perpurgatis, & resectis quæ vtrinque excreuerant nugis, in præcipuis quibusq; ac maximè necessariis dogmatibus, concordem esse Platonis & Aristotelis sententiam, demonstrasse. Huc igitur Hieroclis scriptio magno studio connitēs, & argumentis illa astruit, quæ ipsos sensisse contendit. & acriter cum iis certat, qui contrariam tueri partem conati sunt. Epicureos dico, ac Stoicos, & quotquot forte Platonem atq; Aristotelem colunt quidē, sed eorum sensa minus rectè explicant. Eos item, qui in Genethliaca desudant arte, redarguit, dum fallacem eorum esse ac lubricam de Fato opinionē ostendit. Immo & qui Prouidentiam rerum creatarum cōmentis quibusdam aut præstigiis tollere audent, iisdem prorsus rationum quasi quæstionibus explorandos subiicit. Vt autē simul omnia dicā, aduersus omnes illas opiniones insurgit, quæ indoctiores eo adducunt, vt diuinam Prouidentiam vel omnino non esse, vel nullius esse momenti ac despicatui ducendam putent.

Ex Platonis igitur sententia supponit hæc disputatio, Deum natura ante illam [prouidentiam] esse, velut vniuersæ simul aspectabilis & inspectabilis huius molitionis opificem, quam ex nulla re subiecta vult à suo artifice productam: vt cui sola sufficeret voluntas, quo rerum natura subsisteret. Cæterum corporea substantia per creationem cum incorporea coniuncta, mundum ex vtraque natura perfectissimum, duplicem simul & vnum, constitutum esse: in quo summa, media, & ima mūdi opifex sapientia iuxta cuiusq. naturam decreuerit. Horum prima *Ratione prædita cœlestia, & Deos* vocari ait: Quæ verò proximæ post hunc ordinem regioni attributa sunt, ea cum *Ratione prædita æther*ea, tum *Dæmonas bonos* appellat,

HIEROCL.

HIEROCL. bonorum item hominibus interpretes & nuncios factos: Humanum denique genus infimum tenere locum, eósque *Terrena animantia*, & *Humanas animas*, atque (vt Plato diceret) *Mortales homines* appellari tradit. Hæc porrò tria genera in vno velut animante, vel choro atque concentu ita esse aptata inuicem atque connexa, vt naturalis eorum distinctio per vnionem illam, ac nexum mutuum minime confusa conseruetur. Ac præesse quidem præstantiora inferioribus: omnibus tamen omnino imperare ipsorum Patrem atque conditorem Deum. Hoc ergo eius tanquam à patre denominatum regnum, & videri, & vere esse Prouidentiam, quæ quod cuique generi conuenit, hoc illi distribuat: At vero Iustitiam illam, quæ Dei prouidentiam comitatur, vocari *Fatum*. Vno enim Fati nomine in plures notiones, ab iis qui nouitate gaudent, distracto, non aliud tamen Fatum sibi videri, quam id quod Aristotelem & Platonem credidisse tradit. Neque enim illam temere positam Genethliacorum necessitatem vllo modo admittit, nec Stoicam item vim, neque illud etiam Fatum, quod Alexander Aphrodisiensis statuit, eóque tandem deducit, vt idem prorsus cum natura corporum Platonicorum efficiat: sed nec eam, quæ carminibus magicis aut sacrificiis à consueto naturæ ordine deflectatur, Genesin: sed illud tantummodo Fatum, vti diximus, extollit, quod cum suis Plato vult: Rerum scilicet euenientium secundum Prouidentiæ leges iudicialem quandam Numinis operationem, bono ordine ac serie res nostras dirigentem in illum finem, in quem liberæ actiones ex certo proposito feruntur. At enim isthæc huius viri scripto cum cõtineri videas, frequés nihilominus ipsi & magnum certamen est de humanorum animorum priore vita, deque eorum in alia corpora transmigratione. Nam ex animantibus quidem ratione carentibus, aut in bruta transfusionem non recipiens, at verò hominum in hominem transitum studiosè defendens, periculosam hanc atque ineptam opinionem sursum deorsum versat. Per illam quidem, vt credit, diuinam prouidentiam corroborans: Per hanc, liberum arbitrium, liberúmque suiipsius dominatum adstruens; Fato certe tam ei grato auxilium ferens: idque non absurdis tantum commentis incitatus, sed etiam exminime cohærentibus argumentationibus suas, quas putat, probationes producens: cum interim, per quæ reuera prouidentiæ dogma constitui poterat, ne in mentem quidem illi venerint. Immo verò, si quis huic homini veritatem anteponere studeat, quibus illam argumentis adstruere nititur, his ipsis eandem omnino euertit. Nam qui infirmum argumentum semel veritati substrauit (vt alibi, cum res ita postularet, copiosius ostendimus) is in contrariam facile partem conuerti illam posse, quin & nequaquam subsistere, simul demonstrauit. Illa quippe animorum priore vita, & in corpora transmigratione (quam ipse basim ac fundamentum Prouidentiæ, liberóque arbitrio, ac Fato illi subiicit) omnino inter absurda & impossibilia per veritatem ablegata, nimirum vna cum illo, qui per ista hæc molitur efficere, etiam Prouidétia, & liberum arbitrium & Fatum euertitur, atque in nugas operosa illa machinatio abit.

τῶν τε συμφερόντων ἀνθρώποις ἑρμηνείας τε καὶ ἀγγέλους γινομένους. τὸ δὲ ἀνθρώπειον φῦλον τὴν τελευταίαν τάξιν ἐπέχειν, οὓς περίγειά τε ζῶα καὶ ἀνθρωπίνας ψυχάς, καὶ (ὡς ἂν εἴποι Πλάτων), ἀθανάτους ὀνομάζεσθαι ἀνθρώπους. τὰ δὲ τρία ταῦτα γένη ὡς ἐν ἑνὶ ζώῳ ἢ χορῷ καὶ συμφωνίᾳ συνηρτῆσθαι μὲν ἀλλήλοις, ἀσύγχυτον δὲ τῇ ἑνώσει καὶ ἀλληλουχίᾳ τὴν κατὰ φύσιν αὐτῶν διάκρισιν συντηρεῖσθαι. καὶ ἡγεῖσθαι μὲν τῶν καταδεεστέρων τὰ προτεταγμένα, πάντων δὲ αὐτῶν βασιλεύειν τὸν πατέρα θεὸν καὶ δημιουργόν. καὶ ταύτην τὴν πατρωνυμικὴν αὐτοῦ βασιλείαν, πρόνοιαν καὶ νομίζεσθαι καὶ εἶναι, ἥτις ἑκάστῳ γένει τὰ προσήκοντα διανέμει. τὴν μέντοιγε τῇ προνοίᾳ συνεπομένην δίκην εἱμαρμένην καλεῖσθαι. εἰς ἑνὸς γὰρ πλείω σημαινόμενα τοῦ τῆς εἱμαρμένης ὀνόματος ὑπὸ τῶν χαιρόντων ταῖς καινοτομίαις κατασπασθέντος, οὐκ ἄλλην νομίζειν αὐτὸν εἱμαρμένην, ἀλλ' ἣν Ἀριστοτέλει καὶ Πλάτωνι νομίζειν δίδωσι. τήν τε γὰρ τῶν γενεθλιαλόγων ἄλογον ἀνάγκην οὐδ' ὅλως προσίεται, οὐδὲ τὴν στωϊκὴν βίαν. οὐ μὴν ἀλλ' οὐδ' ἣν ὁ ἐξ Ἀφροδισιάδος δοξάζει Ἀλέξανδρος, τῇ Πλατωνικῇ τῶν σωμάτων φύσει εἰς ταυτότητα περιάγων ταύτην. ἀλλ' οὐδὲ τὴν ἐπῳδαῖς καὶ θυσίαις παρατρεπομένην γένεσιν. ἐκείνην δέ, καθὼς ἔφημεν, πρεσβεύει, ἣν οἱ περὶ Πλάτωνα βούλονται· ἥ τις τῶν ἐκβαινόντων κατὰ τὸν τῆς προνοίας θεσμὸν δικαστικὴ τοῦ θείου ὑπάρχει ἐνέργεια, τάξει καὶ εἱρμῷ πρὸς τὰς προαιρετικὰς ὑποθέσεις τῶν αὐτεξουσίων ἔργων ἐπανορθουμένη τὰ καθ' ἡμᾶς. ἀλλὰ γὰρ ταῦτα μὲν ἔστιν ἰδεῖν τῷ τοῦ ἀνδρὸς * ἐμφερομένῳ γράμματι. * ἐμφερόμενα ὁ πλεῖστος δ' αὐτῷ καὶ μέγας ἀγών, ἡ τῶν ἀνθρωπίνων ψυχῶν ἐπὶ προβιωτῇ καὶ μετενσωματώσει. τὴν γὰρ ἐξ ἀλόγων ζώων, ἢ εἰς ἄλογα μετανσωματισμὸν οὐκ ἀναδεχόμενος, τὴν δὲ ἐξ ἀνθρώπων εἰς ἀνθρώπους μεταβολὴν σπουδαιολογούμενος. ταύτην δὲ τὴν ἐπισφαλῆ καὶ ματαίαν ὑπόληψιν ἄνω καὶ κάτω περιστρέφει. δι' αὐτῆς μέν, ὡς οἴεται, τὴν τοῦ θείου πρόνοιαν κρατύνων, δι' αὐτῆς δὲ τὸ ἐφ' ἡμῖν καὶ αὐτεξούσιον κατασκευάζων· καὶ δὴ καὶ τὴν φίλην αὐτῷ ἐπικυροῦν εἱμαρμένην, ἐξ ἀλλοκότων μὲν τοιῶν ὁρμώμενος, * ἀσυστάτων * ἀνυστάτων. δὲ τῶν ἐπιχειρημάτων τὰς νομιζομένας κατασκευὰς προάγων. ἐξ ὧν δ' ὡς ἀληθῶς τὸ τῆς προνοίας ἂν παρασταίη δόγμα, * ὁ δ' ἐπὶ νοῦν βαλλόμενος. * δεῖ. μᾶλλον δὲ εἴ τις τοῦ ἀνδρὸς τὴν ἀλήθειαν προτιμᾶν ἐθέλοι, δι' ὧν ταύτην ἀγωνίζεται κατασκευάζειν, παντελῶς αὐτῆς τὴν ἀναίρεσιν συνάγει. σαθρὰν γὰρ αὐτῇ βάθραν ὑποθείς, ὡς ἐν ἄλλοις τῆς ὑποθέσεως ἀπαιτούσης πλατύτερον ὑπεδείξαμεν, * ἀπαρεξέταστον αὐτὴν πρὸς * ἀνεξέταστον. τοὐναντίον καὶ ἀνυπόστατον συναπέφηνεν. τῆς γὰρ τῶν ψυχῶν προβιοτῆς καὶ μετενσωματώσεως, ἣν αὐτὸς ἔρεισμα καὶ θεμέλιον τῆς προνοίας ὑποβάλλει, καὶ τοῦ αὐτεξουσίου καὶ τῆς εἱμαρμένης ταύτης παντελῶς, εἰς τὸ ἄλογόν τε καὶ ἀδύνατον ὑπὸ τῆς ἀληθείας ἐξοστρακιζομένης, δηλονότι συγκαταστρέφεται τοῖς δι' ἐκείνων ταῦτα πραγματευομένοις καὶ ἡ πρόνοια, καὶ τὸ ἐφ' ἡμῖν, καὶ ἡ εἱμαρμένη, καὶ εἰς λῆρον αὐτοῦ τὸ πολύμοχθον διαλύεται σπούδασμα.

ἐπεὶ

ἑπτὰ δὲ λόγοι αὐτῷ ἐπιμερίζονται τὴν σπουδήν. καὶ ὁ μὲν πρῶτος εἰς ἔκθεσιν διαπονεῖται, ὧν αὐτὸς ἐφ' ἑαυτοῦ περὶ προνοίας καὶ δίκης, καὶ τῆς κατ' ἀξίαν τῶν ἔργων εἰς ἡμᾶς κατιούσης κρίσεως συνεγυμνάσατό τι καὶ διεσκέψατο. ὁ δεύτερος δὲ τὰς πλατωνικὰς συλλέγων δόξας, τὴν πίστιν ἐξ αὐτῶν, ὧν Πλάτων ἔγραψεν, ἐπιτίθησιν. ὁ δὲ τρίτος, τὰς ὑποφορὰς, αἷς ἄν τις χρήσαιτο, πρὸς ἐναντίωσιν τῶν δεδογμένων προτιθεὶς, διαλύειν αὐτῶν τὴν ἐπιβουλὴν πειρᾶται. ὁ δὲ τέταρτος, τὰ λεγόμενα λόγια καὶ τοὺς ἱερατικοὺς θεσμοὺς, εἰς συμφωνίαν συνάγειν, οἷς Πλάτων ἐδογμάτισε, βούλεται. ὁ δὲ πέμπτος εἰς Ὀρφέα καὶ Ὅμηρον, καὶ ὅσοι ἄλλοι πρὸ τῆς Πλάτωνος ἐπιφανείας ἐγνωρίζοντο, τὴν πλατωνικὴν περὶ τῶν προκειμένων φιλοσοφίαν ἀνάπτει. ὁ δὲ ϛʹ, τοὺς μετὰ Πλάτωνα πάντας, αὐτὸν Ἀριστοτέλην κορυφαῖον λαβὼν, μέχρις Ἀμμωνίου τοῦ Ἀλεξανδρέως, οὗ τῶν γνωρίμων οἱ ἐπιφανέστατοι Πλωτῖνός τε καὶ Ὠριγένης· τοὺς οὖν μετὰ Πλάτωνα μέχρι τῶν εἰρημένων ἀνδρῶν, ὅσοις ἐπὶ σοφίᾳ γέγονεν ὄνομα λιπεῖν, τούτους ἅπαντας ὁμοδοξεῖν τῷ Πλάτωνι κατασκευάζειν πειρᾶται. καὶ ὅσοι διϊστᾶν τῆς ὁμοδοξίας Πλάτωνα καὶ Ἀριστοτέλην ἐπεχείρησαν, τῶν φαύλων τε καὶ ἀποσκοπαίων τίθησι, πολλά τε νοθεῦσαι τῶν πλατωνικῶν λόγων· καίτοι Πλάτωνα διδάσκαλον *ἐπιγραφόμενος. ὡσαύτως δὲ καὶ τῶν Ἀριστοτελικῶν γραμμάτων, τοὺς τὴν ἐκείνου μερίδα τιμᾶν ὁμολογοῦντας· καὶ δι' οὐδὲν ἕτερον τούτοις τὰ τοιαῦτα μεμηχανῆσθαι, ἢ ἵν' ἔχοιεν συγκρούειν τὸν Σταγειρίτην πρὸς τὸν Ἀρίστωνος. ὁ δὲ ζʹ λόγος ἀρχὴν ἰδίαν ὑποστησάμενος, περὶ τῆς διατριβῆς τοῦ προειρημένου Ἀμμωνίου τὴν σπουδὴν ἀναλαμβάνει· καὶ ὡς Πλωτῖνός τε καὶ Ὠριγένης, καὶ μὴν καὶ Πορφύριος, καὶ Ἰάμβλιχος, καὶ οἱ ἐφεξῆς, ὅσοι τῆς ἱερᾶς (ὥς αὐτός φησι) γενεᾶς ἔτυχον φύντες, ἕως Πλουτάρχου τοῦ Ἀθηναίου, ὃν καὶ καθηγητὴν αὐτὸς τῶν τοιούτων ἀναγράφει δογμάτων: οὗτοι πάντες τῇ Πλάτωνος διακεκαθαρμένῃ συνᾴδουσι φιλοσοφίᾳ. ἔστι δὲ ἡ φράσις τῷ ἀνδρὶ σαφὴς μὲν καὶ καθαρὰ, καὶ σπουδῇ φιλοσόφῳ πρέπουσα· οὐ μὴν γε τοῖς καλλωπισμοῖς καὶ περιττοῖς ἐξωραϊζομένη χρώμασί τε καὶ ποικίλμασι τῆς ῥητορείας.

Ammonius. Plotinus. Origenes.

* ἐπιγραφόμενοι.

Porphyrius. Iamblichus.

Plutarchus Atheniensis.

Porro in [a] septem libros vniuersum Opus diuiditur: quorum PRIMVS quidem exponere instituit ea, quæ ipse apud se de Prouidentia, de Iustitia, & de Sententia in nos pro factorum merito ferenda, meditatus esset. SECVNDVS dein Platonicas colligens opiniones, suas cuique probationes ex ipsis Platonis Operibus apponit. TERTIVS obiectiones proponens, quibus vti quispiam aduersus ea, quæ tradita sunt, queat, dissoluere harum cauillationes conatur. QVARTVS Oracula, quæ vocantur, ac Sacerdotum leges, & Platonis dogmata inuicem conciliare studet. QVINTVS Orpheo, Homero, & cæteris qui ante Platonem celebrabantur, Platonicam de modo dictis doctrinam tribuit. SEXTVS omnes, qui post Platonem fuere, ipso quoque Aristotele principe assumpto, vsque ad Ammonium Alexandrinum, cuius in familiaribus celeberrimi Plotinus & Origenes, ad hos, inquam, vsque Platonis posteros, qui quidem aliquod sibi nomen sapientiæ pepererunt, eiusdem ad vnum omnes cum Platone esse sententiæ, argumentis probat. Quod si qui consentientes Platonis & Aristotelis opiniones dirimere aggressi fuerint, eos & nihili homines, & fugiendos statuit. Multa insuper Platonicorum scriptorum adulterasse eos etiam, qui hunc sibi præceptorem adscriberent; vt & Aristotelicorum Operum eos, qui se huius partem maximi facere profiterentur: non aliam id vtique ob causam, quam vt committere inter se Stagiriten atque Aristonis F. possent.

SEPTIMVS Liber proprio sibi sumpto argumento, de Ammonij suprascripti Disputatione studiose disserit, vtque Plotinus & Origenes, immò & Porphyrius atque Iamblichus, & deinceps ordine cæteri, qui diuina (quemadmodum ipse quidem loquitur) generatione sunt editi, vsque ad Plutarchum Atheniensem, quem etiam auctorem talium ipse nominat dogmatum, vt, inquam, hi omnes purgatæ Platonis Philosophiæ addicti sint.

Ipsa vero huius Auctoris dictio perspicua est ac pura, & Philosophicum decens studium: tametsi fucatis & superuacaneis coloribus, aut benedicendi varietate non exornetur.

HIEROCLES
a b quorum tribus primis excerpta quædam efferuntur infr. Cod. CCLI.

ΙΩΑΝΝΟΥ ΦΙΛΟΠΟΝΟΥ ΚΑΤΑ τῆς σπουδῆς Ἰαμβλίχου περὶ τῶν ἀγαλμάτων.

σιε´.

Ioannes Philoponus contra Iamblichum.

ΑΝΕΓΝΩΣΘΗ Ἰωάννου τοῦ Φιλοπόνου κατὰ τῆς σπουδῆς Ἰαμβλίχου, ἣν ἐπέγραψε περὶ ἀγαλμάτων. ἔστι μὲν οὖν ὁ σκοπὸς Ἰαμβλίχῳ θεῖά τε δεῖξαι τὰ εἴδωλα (ταῦτα γὰρ ὑποβάλλει τῷ ὀνόματι τοῦ ἀγάλματος) καὶ θείας μετουσίας ἀνάπλεα· οὐ μόνον ὅσα χεῖρες ἀνθρώπων κρυφίᾳ πράξει τεχνησάμεναι, διὰ τὸ ἄδηλον τοῦ τεχνίτου διοπετῆ ἐπονόμασαν· ταῦτα γὰρ οὐρανίας τε φύσεως εἶναι, κἀκεῖθεν ἐπὶ γῆς πεσεῖν, ἐξ οὗ καὶ τὴν ἐπωνυμίαν φέρειν συνεστήσαντο: ἀλλὰ καὶ ὅσα τέχνη χαλκευτική τε καὶ λαξευτικὴ, καὶ ἡ τεκτόνων ἐπὶ δήλῳ μισθῷ καὶ ἐργασίᾳ διεμορφώσαντο. τούτων οὖν ἁπάντων ἔργα τε ὑπερφυῆ καὶ δόξης ἀνθρωπίνης κρείττονα γράφει ὁ Ἰάμβλιχος.

IOANNES PHILOPONVS *Contra Iamblichi Opus de Simulacris.*

CCXV.

LEGI IOANNIS cognomento *Philoponi Librum aduersus Iamblichi Opus*, quod *de Simulacris* inscripsit. Scopus autem Iamblicho propositus est, ostendere, cum diuina esse idola, (nam ista etiam simulacri nomine complectitur) tum præsentia numinis referta: non solum quæ hominum manibus occulta quadam arte fabricata, ob incognitum nimirum artificem cœlo delapsa nominentur (hæc enim & cœlestis esse naturæ, & inde in terram decidisse, vnde etiam sint merita nomen accipere) verum etiam quæcumque fundendi arte, & sculpendi atque fabrili certa simul mercede & opera [ab artificibus] conformata essent. Horũ igitur omnium opera naturam excedere, & hominum opinione maiora esse Iãblichus scribit;

IOANNES Philoponus.

multa partim incredibilia è fabulis narrando: partim in obscuras causas referendo; partim etiam contra atque oculis cernantur: scribere nihil metuendo. Opus integrum duas in partes secat. *Maioremque* alteram, alteram *Minorem* nominat. Vtramque Philoponus oppugnat, consueto orationis genere vsus, quin & compositionem ad solitam sibi formam adaptans. A puro enim & dilucido non recedit: neque tamen elegantia & Attica phrasi exornatus nitet. Rationum præterea Iamblichi reprehensiones sanè generosas, & per ipsas quoque penetrantes causas frequenter tibi exhibet; quas interdum superficie tenus tantum refellentes, & ad sola nomina relatas, longiúsque à re controuersa recedentes [adfert;] etiam cum hæc redarguenti valde est obnoxia, & per se imbecillitatem suam prodit.

CCXVI.

ORIBASII MEDICI *opera.*

a De hoc Eunap. & Suid. meminere.

LEGI Volumina quatuor, quibus medicam artem a ORIBASIVS à se compositam complexus est: aliáque præterea septem, eadem pene forma ab eodem edita.

ORIBASII MEDICI *Galeni Compendium ad Iulianum Imp.*

PRiore ergo volumine, quæ Galenus Medicus conscripserat, ea hic in compendium redigit. Iuliano autem, Christianæ religionis desertori, hunc laborem inscripsit, hoc ferè vsus principio.

[Iussus à te, Diue Iuliane Imperator, Galeni hominis admirandi peruti1es de re Medica libros ad pauciora redigere, libenter sane voluntati tuæ sum obsecutus. Iis enim, qui ad hác sese artem applicare volent (vt ipse ait) & natura forsitan destituuntur, neque aptam sunt nacti ætatem, ne prioribus quidem sæpenumero disciplinis initiati (vt ob eas causas libros illos fusiores ediscere nequeant) sufficient quæ iam scribentur: cum & tempore egeant ad ediscendum breuiore, & sensum habitura sint faciliorem; quando in pauca verba hoc compendium vitata interim obscuritate, redigetur. His verò qui præcedentibus Medicinam scientiis exculti, neque per naturam, neque per ætatem prohibentur perfectioribus hic imbui præceptis, hæc quoque Synopsis conueniet: cùm maximè necessaria quæque breuiter iis suggerentur tunc, quando in ipso curandi opere vrgebit necessitas.]

Sic igitur Oribasius in hoc opere præfatus, illa solum pollicetur collecturum se, quæ Galeno placuissent; quæque ad Medicam artem, & eius tractationem facerent. Absoluit autem illud opus libris * * *

CCXVII.

a Ita hic titulus in contextu legitur libris.

EIVSDEM a *Medicinalium collectorum libri LXX.*

ALTERVM quoque *opus* eidem Iuliano dedicatum *septuaginta libris* absoluitur: nihilo interim minorem, quàm illud prius, sed maiorem potius vtilitatem sua mole adferens. Eius autem proloquium hunc in modum instituitur:

πολλὰ μὲν ἀπίθανα μυθολογῶν, πολλὰ δὲ εἰς * ἀδήλους φέρων αἰτίας, πολλὰ δὲ καὶ τοῖς ὁρωμένοις ἐναντία γράφειν οὐκ αἰσχυνόμενος. εἰς δύο δὲ ὅλην τὴν πραγματείαν διατέμνει, τὴν μὲν μείζονα καλῶν, τὴν δὲ ἐλάττονα. καθ' ἑκατέρας δὲ τούτων καὶ ὁ Φιλόπονος ἵσταται, λέξει μὲν κεχρημένος ἥπερ εἰώθει· καὶ τὴν συνθήκην δὲ εἰς τὸν ὅμοιον ἑαυτῷ * τύπον ἁρμοζόμενος. τοῦ μὲν γὰρ καθαροῦ καὶ διακρινοῦς οὐκ ἀποκλίνει· οὐ μέντοι γε τῇ λογάδι καὶ ἀττικιζούσῃ φράσει καλλωπίζεται. καὶ τοὺς ἐλέγχους δὲ τῶν Ἰαμβλίχου λόγων, πολλαχοῦ μὲν γενναίους τε καὶ δι' αὐτῶν ἐρχομένους τῶν πραγμάτων ἐπιδείκνυσιν: ἐνίοτε δὲ * ἐπιπολαίους τὴν ἀνασκευὴν φέροντας, καὶ πρὸς ὄνομα * γινομένους, καὶ πόρρω τῆς ἀπειθείας τῶν εὐθυνομένων φερομένους· καίτοι ῥᾷστον κἀκείνων πρὸς ἔλεγχον ἐγκειμένων, καὶ ἐξ ἑαυτῶν προβαλλομένων τὸ ἀσθενές.

* ἀλλήλους. M. M.
* τρόπον. M. M.
* l. ἐπιπολαίαν
* al. γινόμενα

ΟΡΕΙΒΑΣΙΟΥ ΒΙΒΛΙΑ. σιϛ'.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ βιβλία δ', ἃ τὴν πραγματείαν ἰατρικὴν Ὀρειβασίῳ συντεταγμένην περιεῖχε. καὶ ἔτι ἕτερα ζ', ἀδελφά τε τοῦ αὐτοῦ, καὶ εἰς παραπλήσιον ἐξενηνεγμένα τύπον.

Oribasii medici ad Iulianum compilatorum libri.

ΟΡΕΙΒΑΣΙΟΥ ΕΠΙΤΟΜΗ ΤΟΥ Γαληνοῦ πρὸς Ἰουλιανόν.

Η μὲν οὖν προτέρα αὐτοῦ τῷ ἀνδρί, ἃ Γαληνὸς μὲν ἔγραψεν ὁ ἰατρὸς συντέμνει· Ἰουλιανῷ δὲ τῷ τῆς εὐσεβείας ἀποστάτῃ ἀναγράφει· καὶ ἄρχεται οὕτω:

[Κελεύσαντί σοι, θειότατε αὐτοκράτορ Ἰουλιανέ, τοὺς τοῦ θαυμασίου Γαληνοῦ χρησίμους εἰς τὴν ἰατρικὴν τέχνην γεγραμμένους λόγους * συντελεῖν εἰς ἔλαττον, προθύμως ὑπήκουσα. τοῖς τε γὰρ μετιέναι τὴν τέχνην ταύτην προῃρημένοις, ὥς αὐτός φησιν, οὔτε δὲ φύσεως ἐπιτηδείως, οὔθ' ἡλικίας ἁρμοζούσης τετυχηκόσι, πολλάκις δὲ οὐδὲ τῶν προτέρων μαθημάτων ἀρξαμένοις, καὶ διὰ ταῦτα ἀδυνάτως ἔχουσι τοὺς κατὰ διέξοδον λόγους ἐκμανθάνειν: ἀρκέσει τὰ νῦν γραφησόμενα, χρόνου τε βραχυτέρου πρὸς τὴν ἐκμάθησιν χρήζοντα, καὶ τὴν νόησιν * εὐπρεπεστέραν ἕξοντα τῷ τὴν συναίρεσιν εἰς βραχυλογίαν οὐκ ἀσαφῆ γενήσεσθαι. τοῖς δὲ ἐν προπαιδείᾳ γεγυμνασμένοις, καὶ μήτε ὑπὸ φύσεως, μήτε ἡλικίας κωλυθεῖσι τελείαις χρῆσθαι ταῖς διδασκαλίαις, ἁρμόζοι ἂν ἡ τοιαύτη σύνοψις. ἐπ' αὐτῶν τῶν ἔργων τῆς μὲν χρείας ἐπειγούσης, ἐν βραχεῖ δὲ τῆς ἀναμνήσεως τῶν ἀναγκαιοτάτων γινομένης.]

* συντομώτερ. M. M.
* εὐπετεστ.

Οὕτω μὲν ὁ Ὀρειβάσιος ἐν ταύτῃ τῇ πραγματείᾳ προοιμιάζεται, ὑποσχόμενος ἐκεῖνα μόνα συναγαγεῖν, ἃ τῶν ἀρεσκόντων ἐστὶ τῷ ἀνδρί, καὶ πρὸς τὴν ἰατρικὴν ἀφορᾷ τέχνην τε καὶ τῆς τέχνης μεταχείρισιν. πεπόνηται δὲ αὐτῷ ἡ τοιαύτη σπουδὴ ἐν λόγοις.....

ΤΟΥ ΑΥΤΟΥ ΠΡΑΓΜΑΤΕΙΑ ἐν λόγοις ἑβδομήκοντα. σιζ'.

Η δὲ δευτέρα πραγματεία Ἰουλιανῷ μὲν καὶ αὐτὴ τὴν προσφώνησιν ποιεῖται, ἐν ἑβδομήκοντα δὲ περαίνεται λόγοις· καὶ τὸ χρήσιμον οὐκ ἔλαττον, ἀλλὰ καὶ μᾶλλον ἢ ἡ προτέρα τῷ πολυστίχου παρέχεται. προοιμιάζεται δὲ καὶ αὕτη τοῦτον τὸν τρόπον.

[Ταῖς

[Τὰς προσταχθείσας ἐπιτομὰς παρὰ τῆς σῆς θειότητος, αὐτοκράτορ Ἰουλιανὲ, πρότερον, ἡνίκα διετρίβομεν ἐν Γαλατίᾳ τῇ πρὸς ἑσπέραν, εἰς τέλος ἤγαγον, καθὼς ἠβουλήθης, ἅς τινας ἐκ μόνων τῶν ὑπὸ Γαληνοῦ γραφέντων ἐποιησάμην. ἐπειδὴ δὲ ἐπαινέσας ταύτας δευτέραν ἐπέταξας πρᾶξιν, πάντων τῶν ἀρίστων ἀνδρῶν ἀναζητήσαντά με τὰ καιριώτατα συνάγειν, καὶ πάντα ὅσα χρησιμεύει πρὸς τὸ αὐτὸ τέλος τῆς ἰατρικῆς: καὶ τοῦτο πράττειν ὡς οἷός τέ εἰμι προθύμως διέγνωκα. περιττὸν δὲ νομίσας εἶναι καὶ παντελῶς εὔηθες, τὸ ἐγγράφειν τὰ αὐτὰ πολλάκις, καὶ τῶν ἄριστα συγγραψάντων, καὶ τῶν μὴ ὁμοίως τὸ ἀκριβὲς *ἐργασαμένων: μόνα τὰ τῶν ἄμεινον εἰπόντων συνάξω, *μηδὲν ὧν Γαληνὸς εἴπῃ παραλιπών· καθότι τῶν συγγραψάντων ἁπάντων εἰς τὰς αὐτὰς ὑποθέσεις αὐτὸς κρατεῖ, μεθόδοις καὶ διορισμοῖς τοῖς ἀκριβεστάτοις χρώμενος, ἅτε ταῖς ἱπποκρατείοις ἀρχαῖς καὶ δόξαις ἐξακολουθῶν. χρήσομαι δὲ κἀνταῦθα τοιαύτῃ τάξει. πρῶτον μὲν συνάξω τὰ τοῦ ὑλικοῦ μέρους, εἶτα ὅσα περὶ φύσεως καὶ κατασκευῆς εἴρηται ἀνθρώπου. μεθ' ἃ τὰ τῆς ὑγιεινῆς καὶ ἀναληπτικῆς πραγματείας· μετὰ ταῦτα ὅσα τῆς διαγνωστικῆς καὶ προγνωστικῆς ἔχεται θεωρίας. ἐφ' οἷς τὰ περὶ νοσημάτων καὶ συμπτωμάτων· καὶ ὅλως τῆς τῶν παρὰ φύσιν ἐπανορθώσεως.]

*al. ἐξείργασ. *μηδὲ.

Ἐς τοιόνδε μὲν τύπον καὶ ἡ δευτέρα προοιμιάζεται πραγματεία, ἀπ' ἐκείνης ἀρχομένη τῆς ὑποθέσεως, καθάπερ καὶ ἡ πρὸ αὐτῆς, ἥ τις τὰς ἐν τροφαῖς δυνάμεις ἀναδιδάσκει.

Ἐν ὁ δὲ λόγοις διέξεισιν ἃ ἐπαγγέλλεται. καὶ δευτέρα μὲν ὅσῃ τῷ χρόνῳ, προτερεύει δὲ τῇ χρείᾳ· ἅτε μὴ μόνα ὅσα Γαληνὸς ὀρθῶς ἔγραψε περιέχουσα, ἀλλὰ καὶ ὅσα αὐτῷ μὲν παρεῖται, ἄλλοις δὲ εἰς διδασκαλίαν προστέθειται. καί γέ μοι δοκῶ χρησιμεύειν τὴν σπουδὴν ταύτην, ἵνα μὴ λέγω πασῶν τῶν ἄλλων, ὅσαι εἰς ἰατρικὴν χρείαν τε καὶ θεωρίαν κατεβλήθησαν πραγματεῖαι. ἀλλὰ πάντως γε τῶν πλειόνων τῷ τε σαφὲς ἀπαγγέλλεσθαι τὰ ἀπηγγελμένα, καὶ τῷ μηδὲν παραλιπεῖν· καὶ ταῖς φωναῖς διαφόροις τὰ πλείω τῶν συντεταγμένων ῥηθῆναι· ἐξ ὧν καὶ εἴ τι ἀσαφὲς ἐν τούτοις συνέβη τινὶ ῥηθῆναι, διὰ τῆς ἄλλων ἀναπτύξεως σαφηνίζεται· καὶ τῷ γε ἰατρικὴν μετιόντι, κατὰ ταύτην ἔγωγε παραινέσαιμι ἂν πραγματείαν τὴν διατριβὴν ὅτι μάλιστα ποιεῖσθαι. ἀλλὰ τοιαύτη μὲν καὶ ἡ δευτέρα Ὀρειβασίου τῆς ἰατρικῆς μεταχειρήσεώς τε καὶ θεωρίας συναγωγή.

ΤΟΥ ΑΥΤΟΥ ΣΥΝΤΟΜΙΑ ΤΗΣ δευτέρας πραγματείας πρὸς Εὐστάθιον υἱὸν, ἐν λόγοις θ'. σιη'.

Oribasij ad Eustathium F. libri IX.

Τρίτη δὲ αὐτῷ διεσπούδασται, ὡς καὶ αὐτὸς ἐκεῖνος προοιμιαζόμενος λέγει, συντομίαν αὐτῷ τῆς δευτέρας περιέχουσα πραγματείας. Εὐσταθίῳ δὲ τῷ υἱῷ τὸ βιβλίον ἀναφωνεῖ, θ' διῃρημένον λόγοις. ἐν οἷς ἐστὶ τῶν παθῶν ἰάματα, ὅσα τὸ εὐπόριστον καὶ πρόχειρον ὑποτίθεται. τὸ μέν τοι χειρουργικὸν εἶδος παντελῶς αὐτῷ κατὰ ταύτην τὴν συναγωγὴν παρεῖται.

ORIBASIVS.

[Epitomas, quas tu olim, Diue Iuliane Cæsar, mihi conficiendas mandaueras, iam pridem (cùm in Occidua Gallia versaremur) ad finem, quemadmodum tu voluisti, perduximus: & eas quidem ex ijs solis confectas, quæ Galenus conscripsisset. Verùm vbi tu, iis laudatis, alterum mihi laborem adiunxisti, vt perquisitis omnibus quæ Medici præstantissimi maximè opportuna dixissent, & quæcumque ad eundem hunc Medicinæ finem pertinerent, vnum in volumen redigerem. Id quoque ego pro virili parte, & prompto animo facere decreui. Superuacaneum igitur, & omnino ineptum arbitratus eadem sæpe scribere, siue quæ ab optimis Medicis, siue quæ ab ijs, qui nō ita diligenter res tractauerunt, scripta fuerint: ea solùm colligam, quæ nobis reliquerunt ij, qui ceteris præstiterunt, nihil eorum omittendo, quæ Galenus dixerit: Siquidem cæteris, qui easdem res pertractauerunt, optima ipse, & via ac ratione, & distinctione adhibita, omnibus antecellit, vt qui principia & sententias Hippocratis assiduè consectetur. Ego verè hîc huiusmodi vtar ordine. Imprimis colligam ea, quæ ad partem materialem spectant: deinde quæ de hominis natura atque fabrica dicta sunt: tum de tuenda sanitate, & reficiendis corporibus agetur: quibus confectis, addam, quæ ad dignotionem & prænotionem pertinent: ad hæc, quæ de morbis, déque symptomatis sunt accedent: & denique ea, quæ valent ad corrigendum ea, quæ præter naturam sunt, adhibebuntur.]

Hoc igitur proloquium secundi operis, cuius (perinde ac præcedentis) ab eo argumento ducitur initium, quod alimentorum nobis facultates exponit. Septuaginta[a] verò libris, quæ receperat, pertractat. Opus equidem, vt tempore posterius, ita vtilitate prius. Neque enim ea solùm, quæ Galenus rectè litterarum monumentis prodiderat, continet, sed etiam, quæ ab ipso prætermissa alij discenda proposuerunt. Ac mihi quidem sanè vtilis hic labor videtur, si non cæteris omnibus, quotquot in Medicæ artis vsum atque contemplationem hactenus collati sunt: at certè præ plurimis: idque vel eo nomine, quod non perspicuè tantùm sua tradat, nihilque prætermittat: sed eorum etiam quæ congessit pleraque variis vocibus efferantur. Vnde si quid forte obscurius hic est ab aliquo prolatum, id mox per aliorum explicationem declaratur. Quare ad Medicinæ studium sese applicantibus auctor ego sim, vt hoc potissimum opus assiduè versent. Atque huiusmodi quidem Oribasij altera illa est medicæ tractationis & contemplationis collectio.

[a] Quorum hodie septemdecim tantum Latinè exstant, primo quoque eo volumine, vt opinor, amisso.

EIVSDEM Compendij ad Eustathium F. libri X. CCXVIII.

TERTIVM item ab eodem est elaboratum *Opus*, vt ipsemet in procemio testatur. *Secundi* illius *compendium*, Eustathio filio inscriptum, ac *libris nouem* distinctum, quibus ea morborum medicamenta proponuntur, quæ parari facile possint, in promptúque sint. Cæterum chirurgiæ speciem omnem hisce collectaneis penitus prætermisit.

ORIBASIVS. Itaque liber hic memoriam excitando iis, qui in Medicæ artis exercitatione ac speculatione iam versati sunt, non modicam adfert aut parum promptam vtilitatem. Iis item, qui primùm ad artis huius cognitionem hoc compendio peruenire se posse sperant, dicerem breui tempore non modicum allaturum vtilitatis: nisi ex eo quod methodo careat, & nihil definitè pronuntiet, quosdam parua rerum harum instructos experientia, & æquo tamen promptius ad curationes aggredientes, in ipso vidissem opere compelli ad maximas noxas tum ægris, tum interdum etiam sanis inferendas. Verum nouem hisce libris illorum septuaginta compendium includit.

a Is de XXXV. hodie capita diffectus. [a] PRIMO ergo libro disserit de cautione in corporis exercitationibus adhibenda, & de ipsis exercitationibus, de euacuationibus cùm vniuersè, tum singulatim: & iis, vel per ea quæ ingenio sunt excogitata, vel per ea, quorum domina natura est. De aere adhæc, & balneis tam natiuis, quàm artificiosis. Item de sudoribus & cataplasmatis: de olei meri, & olei aqua diluti labro. [De iis denique] quæ cutem rodendo, aut saltem dissoluendo, illam diuturnorum morborum curationem efficiunt, quam *Metasyncriticam* Methodici appellant.

b Huius vnum & LX. capita. c Quæ nam ea sint, docebit Gorræus in definit. [b] SECVNDO libro de simplicium medicamentorum facultate tractat, corúmque delectu: de apparatu, cum [c] ... quæ nominantur vnguentorum, tum emplastrorum. Posthæc de ponderibus: de latis emplastris, quæ κοπιὰ [siue contusa] appellant, déque coctione medicamentorum, quæ ad emplastri confectionem commiscentur.

TERTIO libro compositiones medicamentorum omnis generis persequitur.

d Capita ei tribuit in editis XLI. [d] QVARTVS de alimentorum facultate, déque horum apparatu, conscriptus: de mulso item, cæterisque potionis generibus, quæ quidem ægrotantibus vtilia sunt. De lactis insuper potu, ac denique de aquis.

e Solus in capita LIII. [e] QVINTVS liber, quæ grauidis ac prægnantibus accidant, tradit, earúmque victum, & quales nutrices eligendæ. De infantis educatione, quæque ei ætati accidere solent. De lassitudine cum ab exercitatione nata, tum ea cuius causa exterius minimè apparet: itémque de cutis astrictione. Senum quoque victum hic reperias, & quæcumque corpori extrinsecus aduenientia deformitatem conciliant, horúmque depulsionem & curationem. Dentium prætereà custodiam, & quæ audiendi difficultatem, atque oculorum caliginem restituunt: damni adhæc à saturitate illati curationem, & negotiosæ vitæ victum. De iis etiam, quibus alimenta corrumpuntur: & iter agentibus ac nauigantibus victus rationem præscribit. Disserit & de carnis extenuatione atq; nutritione, post quæ temperamenti cognitionem, & eius euersi curationem tradit.

f Continet nunc capita XLVII. [f] In SEXTVM librum ea sunt coniecta, quæ signa sunt ad rectè tutóque de morbis iudicandum. Curatio item, ac prænotio febrium atque symptomatum: adiunctis & febrium generibus earúmque remediis. De fame, de animi defectione ac syncopa, atque de dolore, & singultu agit. Item de canina appetentia, & contra de prostrato appetitu, & curatione immensæ famis.

ἔστι δὲ τὸ παρὸν βιβλίον πρὸς μὲν ἀνάμνησιν τοῖς κατὰ τὰς ἰατρικὰς πράξεις τε καὶ θεωρίας συνησκημένοις οὐ φαύλην παρέχον τὴν χρείαν, καὶ μᾶλλον προχειρότερον. τοῖς δ᾽ ἐκ πρώτων εἰς μάθησιν τῆς τέχνης, διὰ τῆς δὲ τῆς συνόψεως ἐλθεῖν ἠλπικόσιν, εἶπον ἄν, ὡς ἐπ᾽ ὀλίγον εἴη τὸ λυσιτελὲς παρέχον, εἰ μὴ τὸ κατ᾽ αὐτὴν ἀμέθοδον καὶ ἀπροσδιόριστον τοὺς ἀπειροτέρους περὶ ταῦτα διακειμένους, καὶ ἑτοιμότερον πρὸς τὰς θεραπείας χωροῦντας, εἰς τὰς μεγίστας βλάβας τῶν καμνόντων, ἔσθ᾽ ὅτε δὲ καὶ τῶν ὑγιαινόντων, ἐπ᾽ αὐτῶν τῶν ἔργων εἶδον συνωθουμένους. πλὴν ἀλλ᾽ ἔν γε τοῖς εἰρημένοις λόγοις θ᾽. τῶν ο βιβλίων τὴν σύνοψιν περιγράφει.

Καὶ ἐν μὲν τῷ πρώτῳ διαλαμβάνει περί τε τῆς κατὰ τὰ γυμνάσια προφυλακῆς, καὶ αὐτῶν γυμνασίων, κενώσεών τε καθόλου καὶ ἐπὶ μέρους· τῶν τε δι᾽ ἐπινοίας, καὶ ὅσων ἡ φύσις κυρία. περί τε ἀέρων καὶ λουτρῶν, αὐτοφυῶν τε, καὶ τῶν ἐκ τέχνης. καὶ περὶ ἱδρώτων. [*] καὶ δὴ καὶ περὶ καταπλασμάτων. περί τε τῆς εἰς ἔλαιον καὶ ὑδρέλαιον ἐμβάσεως. καὶ ὅσα τὸ δέρμα δάκνοντα, ἢ ἄλλως διαφοροῦντα τῶν χρονιζόντων παθῶν τὴν μετασυγκριτικήν, ὡς ἂν [*] μεθοδικῶς φαίη ἀνὴρ ἀπεργάζεται θεραπείαν. α'. * al. vel. * al. melodice

Ἐν δὲ τῷ δευτέρῳ περί τε τῆς δυνάμεως τῶν ἁπλῶν διαλαμβάνει φαρμάκων, καὶ περὶ τῆς τούτων ἐκλογῆς, καὶ περὶ κατασκευῆς, τῶν τε ἀκόπων καλουμένων χρισμάτων καὶ ἐμπλάστρων· καὶ περὶ σταθμῶν· περί τε τῶν κοπιῶν καλουμένων πλευτισμάτων· καὶ περὶ ἑψήσεως τῶν ἐμβαλλομένων εἰς τὰς ἐμπλάστρους φαρμάκων. τὸ δὲ τρίτον, συνθέσεις αὐτῷ φαρμάκων παντοδαπῶν περιέχει. τὸ δὲ τέταρτον, περὶ τροφῶν ἐστιν αὐτῷ συντεταγμένον δυνάμεως, καὶ περὶ τῆς τούτων σκευασίας· περί τε μελικράτου, καὶ πομάτων ἄλλων, ὅσα χρήσιμα τοῖς ἀρρωστοῦσι. περί τε γαλακτοποσίας. καὶ ἔτι περὶ ὑδάτων. τὸ δὲ πέμπτον, ὅσα ταῖς κυούσαις συμβαίνει διδάσκει, δίαιτάν τε αὐτῶν, καὶ ὁποῖαι αἱ τίτθαι. περί τε κομιδῆς παιδίου· καὶ ὅσα εἴωθε συμβαίνειν τῷ παιδί. περί τε κόπων, οὓς ποιεῖ τὰ γυμνάσια, καὶ ὧν οὐκ ἔστι λαβεῖν ἐκ τοῦ φαινομένου τὸ αἴτιον καὶ περὶ πυκνώσεως δέρματος. γερόντων τε δίαιταν εὑρήσεις ἐν τούτῳ, καὶ ὅσα τοῦ σώματος κατὰ τὴν ἐπιφάνειαν συμπεσόντα ἄχαρι τὴν ὄψιν ποιεῖ. τούτων ἀπαλλαγὴν καὶ τῆς περιτροπῆς ἐπανόρθωσιν. ὀδόντων τε φυλακήν, καὶ βαρυηκοΐας, καὶ ἀχλύος ὀμμάτων διόρθωσιν, καὶ τῆς ἀπὸ τῆς πλησμονῆς βλάβης θεραπείαν, ἀσχόλου τε βίου δίαιταν· περί τε τῶν διαφθειρόντων τὰ σιτία· ὁδοιποροῦσί τε καὶ πλοϊζομένοις ἐκτίθεται δίαιταν. καὶ περὶ καθαιρέσεως σαρκῶν διαλαμβάνει, ἀναθρέψεώς τε καὶ διάγνωσιν κράσεως, καὶ περιτραπείσης αὐτῆς θεραπείαν. β'. γ'. δ'. ε'.

Ἐν δὲ τῷ ς' συντέτακται αὐτῷ ὅσα εἰς σημείωσιν ἀσφαλῆ φέρει καὶ κρίσιν ὀρθήν. θεραπεῖαί τε καὶ προγνώσεις πυρετῶν, καὶ συμπτωμάτων. τά τε εἴδη τῶν πυρετῶν, καὶ τὰς ἰάσεις· περί τε λιμῶν· λειποθυμίας τε καὶ συγκοπῆς, καὶ ὀδύνης, καὶ λυγμοῦ διαλαμβάνει, κυνώδους τε ὀρέξεως, καὶ ἀνορεξίας, καὶ βουλίμου θεραπείας. ς'.

ἔτι δὲ

ἔτι δὲ περὶ ναυτίας, καὶ ἐμέτων, ἀγρυπνίας τε καὶ καταφορᾶς, καὶ συντήξεως, καὶ δίψους. καὶ ἑλκωθέντος τοῦ ἱεροῦ ὀστοῦ θεραπείαν.

ζ'. Κατὰ δὲ τὸ ἕβδομον, ἑλκῶν μὲν ἁπάντων, τῶν τε λεγομένων ἁπλῶν, καὶ τῶν κοίλων, καί γε καὶ τῶν οὐλῆς δεομένων, καὶ ὑπερσαρκούντων ἐκδιδάσκει. περί τε τὰ πυρίκαυστα θεραπείας εἰσάγει. καὶ περὶ ἐξανθημάτων, καὶ κνησμοῦ, καὶ φλυκταινῶν, ἀναρρηγνυμένων τε ἑλκῶν, καὶ κακοήθων· πρὸς ἄνθρακάς τε καὶ καρκίνους ἰάσεις ἀναγράφει. σπασμῶν τε καὶ ῥηγμάτων καὶ θλασμάτων· * οἷοις τε αἱ ἀκὶς ἢ κάλαμος, ἢ ἄκανθα, ἢ σκόλοψ ἐμπαγεῖσα σαρκὶ ἀποσπασθείη. περί τε παρωνυχιῶν, καὶ τῶν ἐν ἄρθροις ἑλκῶν, αἱμορραγίας τε καὶ νευροτρώτων, καὶ περὶ κεχαλασμένων ἄρθρων· περί τε φλεγμονῆς, καὶ ῥευματικῆς διαθέσεως. περί τε γαγγραίνης, καὶ σφακελισμοῦ, καὶ περὶ ἀποστημάτων, καὶ συρίγγων, ἐρυσιπέλατός τε καὶ ἕρπητος, καὶ περὶ σκίρρων, καὶ οἰδημάτων, τερμίνθου τε καὶ ἐπινυκτίδος· περί τε διατμηθέντων συνδέσμων, καὶ θύμου καὶ σύκων, καὶ δοθιήνων, ἀκροχορδόνων τε, καὶ μυρμηκιῶν, καὶ τῶν συστοίχων. πρός τε τὰ λεγόμενα γάγγλια, καὶ χίμεθλα, καὶ ῥαγάδας, ἐκτίθεται ἰάσεις· καὶ πρὸς τὰ ἑλκούμενα τῶν αἰδοίων. περί τε λεύκης, καὶ ἀλφῶν, καὶ λέπρας, καὶ ψώρας, καὶ λειχήνων διαλαμβάνει· καὶ περὶ ἐμφυσημάτων. καὶ ὡς ἡ τῶν ἐχιδνῶν ἐδωδὴ, ἄριστον βοήθημα τοῖς ἐλεφαντιῶσι. ταῦτα μὲν καὶ κατὰ τὸ ἕβδομον.

η'. Κατὰ δὲ τὸ ὄγδοον περὶ τῆς κατὰ τὴν μνήμην ἀπωλείας, καὶ τῶν ἄλλως ἀγρυπνητικῶν, ἢ καταφορικῶν διαλαμβάνει. τίς τε ὁ ἐφιάλτης, καὶ ἡ ἐπιληψία, καὶ τὸ σκοτωματικὸν πάθος; ἀποπληξία τε καὶ μελαγχολία [καὶ μανία] καὶ ἔρως ὀξὺς, καὶ τίς ἡ λυκανθρωπία, καὶ τίς τούτων ἴασις; περί τε τῶν κατὰ τὸν ἐγκέφαλον παθῶν, καὶ περὶ λυσσοδήκτων, καὶ περὶ παραλύσεως, καὶ ἀνεκθερμάντου ῥίγους· περί τε σπασμῶν, καὶ τετάνου· καὶ περὶ τῶν κατὰ τὴν κεφαλὴν παθῶν. πρὸς [τι] τὰ σφακελίζοντα παιδία, πρός τε δυσωδίας ῥινὸς, καὶ πρὸς ὑπώπια, καὶ * προσεκχυμώματα κεχρονισμένα. περί τε χειλέων ῥαγάδος, καὶ πρὸς ἔφηλιν· καὶ σπίλους, καὶ φακοὺς καὶ ἰόνθους, καὶ τὰς ἐν τῷ γενείῳ συκώδεις ἐπαναστάσεις· περί τε μασχαλῶν δυσωδίας. καὶ περὶ τῶν ἐν τοῖς ὀφθαλμοῖς παθῶν· περί τε φθειριάσεως, καὶ ἐμφράξεως μυξωτήρων· καὶ περὶ τῶν ἀπαγχομένων, ἐν τούτοις μὲν καὶ ὁ η' λόγος.

θ'. Ὁ δὲ θ'. αὐτοῦ ὅσα πάθη περὶ τὸν θώρακα, καὶ σπλάγχνα συνίσταται. καὶ ἕως αἰδοίων διήκει, διαλαμβάνει. τά τε γυναικεῖα καταλέγει πάθη καὶ περὶ ποδάγρας, καὶ ἀρθρίτιδος, καὶ ἰσχιάδος θεραπείας ἀναγράφει. τοιαύτη καὶ ἡ τρίτη τοῦ Ὀρειβασίου συντεταγμένη πραγματεία.

* al. ἀκὶς.

* l. ἐκχύματα.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΕΥΝΑΠΙΟΝ λόγοι δ'.

σιθ'. Oribas. ad Eunapium libri IV.

Ἡ δὲ τετάρτη σύνοψις μὲν καὶ αὐτὴ βούλεται αὐτοῦ τῆς τέχνης· ἐν δ' δὲ ἀπαρτίζεται λόγοις. καὶ τὸν Εὐνάπιον ὑποβάλλει, ὃν καὶ λογιώτατον ὑμνεῖ, αἴτιον αὐτοῦ τοῦ συντάγματος γεγενημένον. τὰ εὔπορα δὲ αὐτοῦ τῶν ἰαμάτων κἀνταῦθα γνώμην συναγαγεῖν εἰσάγει. ὧν καὶ τὴν διδασκαλίαν τρισὶ διέρχεται τρόποις. ἑνὶ μὲν τάς τε καθόλου δυνάμεις, καὶ τὰς ἐπὶ μέρους χρήσεις ἑκάστου τῶν ἁπλῶν ἐπιὼν

Præterea de nausea & vomitu, & de insomnia torpore, colliquatione, siti, atque exulcerati ossis sacri medicina. ORIBASIVS.

a SEPTIMO verò libro de vlceribus vniuersis, tam quæ simplicia, quam quæ caua dicuntur: immo & de iis, quibus cicatrice est opus, atque de carne abundantibus agit: vbi & igne ambustis remedium adfert. Item de papulis, de pruritu, de pustulis, quæ phlyctænæ vocantur, & de vlceribus diruptis ac malignis. Ad carbunculos quoque & cancros curationes adscribit: conuulsorum item ac luxatorum & ruptorum: quibus ad hæc rebus cuspis, arundo, spina, aut sudes carni infixa euellantur. De reduuiis, articulorum vlceribus, sanguinis eruptione. De neruis vulneratis, & articulis luxatis: de inflammatione, & de affectione, quæ ex destuxionibus fit: de gāgræna, & sphacelismo: de apostematis seu abscessibus & fistulis: de erysipelate & herpéte. Item de scirrhis, œdematis, termintho, epinyctide. De dissectis ligamentis, & thymo, ficis atque furunculis. De verrucis & myrmecijs, atque similibus. Ad gāglia, quæ appellantur, ad perniones, ac fissuras edit medicamenta: & ad vlcerata pudenda. De leuce præterea, alpho, lepra, scabie, impetigine tractat, & de inflationibus: vtque theriaca è viperis magno sit elephantiacis adiumento. Et hæc quidem septimo continentur libro.

a Vos & L. capitibus.

IN SEQVENTI verò de memoriæ iactura, déque iis, qui nimia vigilia, vel graui somnolentia torquentur, b agit Oribasius. tum quid ephialtes sit, morbúsque comitialis, & vertigo, apoplexia, atra bilis, insania, vehemens amor, ac lycanthropia: horúmque remedia. De cerebri adhæc morbis, & rabidi canis morsu. De paralysi, seu neruorum resolutione, & rigore, qui calefieri nequeat. De conuulsionibus ac distentione, déque capitis doloribus. Ad puerorum insuper adustiones, ad fœdum narium odorem, ad sugillationes sub oculos, & ad c ecchymomata inueterata. Item de labiorum fissione. Ad ephelidem quoque ac faciei næuos, oculorúmque nigras maculas, & varos; ac sicosas menti eminentias. De fœdo alarum odore: de variis oculorum doloribus, de pediculari morbo, de narium obstructione & de strangulatis. Atque hic octauus liber est.

b Capitibus LXII.

c Vitiosè legi hic ἐχύματα dicent libri editi.

d NONVS autem & vltimus, illud morborum genus complectitur, quod circa thoracem ac viscera consistit, & ad verenda vsque pertingit. muliebres etiam morbos recenset, atque aduersus podagram, articularem morbum, & ischiadē remedia præscribit. quod quidem tertium est ab Oribasio scriptū de re medica opus.

d Per capita LXII.

EIVSDEM ad Eunapium libri IV. CCXIX.

QVARTVM item *Opus eiusdem* esse *artis compendium*, Oribasius vult, quatuor illud libris absoluens. cuius quidem componendi Eunapium (quem & eloquentissimum prædicat) auctorem sibi fuisse commemorat. Remedia verò, quæ facilè parantur, tradere sibi propositum ait: quam etiam doctrinam triplici ferè modo conficit. Primum enim simplicium facultates vniuersè, & singulatim vsum cuiúsque recenset:

ORIBASIVS. Deinde morbi cuiusque curationem docet. Tertiò præter partis affectæ cognitionem, etiam medicandi rationem exponit. Quarto denique loco illud argumentum tractat, quod ad sanitatem curandam spectat: quod & cæteris iam enumeratis præmittit. Mox ergo cum natura ab infantis educatione auspicatur.

Cæterum hic ad Eunapium labor idem ferè ac geminus est cum eo opere, quod ad filium scripsit. Neutrum enim Chirurgiæ rationem ducit: & verò in cæteris quoque conspirant, nisi quod ordinem aliqua eundem vel similem non seruant. In quibusdam item alterum altero nonnihil præstat, vt in plerisque locorum morbis, & quantum ad simplicium medicamétorum cognitionem illud, quod ad Eunapium scribitur, opus. Et habet vicissim alibi quidpiã ad Eustathium liber, de quo præ illo gloriari possit. verùm [a] pro vtroque suscepto labore habenda homini gratia est. Quod enim in scriptore fuit, non incommodi cuiuspiam, sed emolumenti potius [b] causa vtrumque (vt & quæ antea scripserat) elaborauit.

[a] Emenda, ἐφ' ἑκατέροις τῶν φίλων, aut ἑκατέρου τῶν πόνων.
[b] ἕνεκα repono pro ἑκατέρα.

Quod autem ad dicendi characterem attinet, dubium esse ac superuacaneum videatur, quidquam iudicare. Nam & è variis atque omnigenis hæc sunt ab eo collecta volumina: & vir medicus non sermonis elegantiæ peritiæque reddere rationem prudentibus debet, sed si quam fortè medicarum functionum minus rectè aut reddidit, aut demonstrauit.

Vidi ego alterum eiusdem auctoris opus, totidem libris distinctum, inscriptúmque [c] *Parata facilia.* Id ad Eugenium quendam argumentum suum referebat, quem & disertum nominat. Vtilem quoque scriptionem fore rusticantibus additur, iterque agentibus, & vbicumque locorum medici copia non suppeteret. veruntamen hic liber etsi titulo, & apposita dedicationi persona, nonnihil differat: cætera tamen nonnisi descriptum esse operis ad Eunapium satis manifestè apparet. Quare in eam cogitando senteñtiam veni, non esse id vnquam ab Oribasio factum: sed vel errorem eius, qui ab initio missum ad Eunapium librum describendo, titulum quidem in *Paratu facilia* commutarit, pro Eunapio verò Eugenium subiecerit: vel alium certè quempiam gloriam sibi ex dedicatione quærentem, ad hoc confugisse commentum, vt pro Eunapio Eugenium, & pro scripto ibi titulo *Paratu facilia* scriberet.

[c] Qui titulus modo librorum ad Eunapium in excusis exemplaribus.

δεύτερον δὲ, πάθους ἑκάστου τὰ ἰάματα συντάττων. ἐφ' οἷς τήν τε κατανόησιν τοῦ πεπονθότος μορίου, καὶ τὴν δίαιτησιν; ἐξ ὧν αἱ θεραπεύονται. τετάρτην δὲ ὑπόθεσιν μεταχειρίζεται, ἣν καὶ τῶν εἰρημένων προτάττει τοῦ ὑγιεινοῦ τυγχάνουσαν μέρους. καὶ ἄρχεται δὲ αὐτίκα ἐξ ὧν καὶ ἡ φύσις, περὶ παιδίου λέγων τροφῆς. ἔστι μὲν οὖν ἡ πρὸς Εὐνάπιον αὐτῷ συντεταγμένη σπουδὴ σχεδὸν ἡ αὐτὴ τῇ γεγραμμένῃ πρὸς τὸν υἱόν. τό τε γὰρ χειρουργούμενον οὐδετέρα λόγον ἔχει, κἂν τοῖς ἄλλοις δὲ συμφέρεται, πλὴν ὅσα τὴν τάξιν οὐ τὴν ἴσην καὶ ὁμοίαν διασώζει. ἐπ' ἐνίοις δὲ μακρότερα καὶ ἑτέρα τῆς ἑτέρας πλεονεκτεῖ. ὥσπερ ἐν πολλοῖς τῶν κατὰ τοὺς τόπους παθῶν ἡ πρὸς Εὐνάπιον, καὶ εἰς τὴν τῶν ἁπλῶν φαρμάκων διάγνωσιν. ἔστι δὲ οὗ καὶ ἡ πρὸς Εὐστάθιον ἔχει τι ταύτης πλέον σεμνολογήσασθαι. ἀλλά γε χάρις ὑπὲρ ἑκατέρας τῶν πόνων τῷ ἀνδρί. τὸ γὰρ αὐτοῦ μέρος οὐ βλάβης οὐδενὶ, ἀλλ' ὠφελείας ἑκατέρα, ὥσπερ δὴ καὶ τὰς πρὸ τούτων συνέταξεν. φράσεως δὲ χαρακτῆρα λέγειν τοῦ λοιποῦ, ἅμα τε ἄπορον, καὶ περιττὸν εἶναι δοκεῖ. ἔκ γε γὰρ διαφόρων καὶ παντοδαπῶν αὐτῷ τὰ συντάγματα συνήθροισται. καὶ ἰατρὸς ἀνὴρ οὐ τοῦ ἐν λόγῳ κάλλους ἢ τῆς σοφίας εὐθύνας ἄν τινι τῶν σωφρονούντων ὑπέχοι. ἀλλ' εἴ τι τῶν κατὰ τὴν ἰατρικὴν ἔργων οὐκ ὀρθῶς διῆλθεν, οὐδ' ἐπεδείξατο. εἶδον δὲ ἔγωγε τοῦ ἀνδρὸς καὶ ἑτέραν πραγματείαν ἐν δ' λόγοις συντεθειμένην. εὐπόριστα δὲ ἐπεγράφετο τὸ βιβλίον, καὶ τὸν Εὐγένιον ὑπόθεσιν τοῦ συντάγματος ἐποιεῖτο. λογιώτατον δὲ καὶ τὸν Εὐγένιον ὀνομάζει. καὶ χρησιμεύειν τὴν πραγματείαν κατά τε ἀγρούς, καὶ ὁδοιπορίας, καὶ ἀλλαχοῦ, ὅπη παρουσία ἰατροῦ οὐκ ἐπιχωριάζει. ἀλλὰ τοῦτο τὸ βιβλίον κατὰ μὲν τὴν ἐπιγραφὴν, καὶ τὸ ὑποβαλλόμενον, εἰς τὴν προσφώνησιν πρόσωπον διαφορὰν ἔχει· τὰ δ' ἄλλα μάλα περιφανῶς μεταγραφὴ μόνη ἐστὶ τῆς πρὸς Εὐνάπιον πραγματείας· ὥστε ἔγωγε καὶ εἰς λογισμοὺς ἀφικόμην, ὡς ἄρα μήποτε οὐκ εἴη τοῦτο Ὀρειβασίῳ διαπεπραγμένον, ἀλλ' ἢ ἁμάρτημα τοῦ ἀπ' ἀρχῆς γράψαντος τὸ πρὸς Εὐνάπιον βιβλίον, ὅς τήν τε ἐπιγραφὴν εἰς τὰ εὐπόριστα μετετάξατο, καὶ ἀντὶ Εὐναπίου Εὐγένιον ὑπεβάλετο· ἢ ἕτερόν τινα δόξαν ἑαυτῷ ἐκ τῆς προσφωνήσεως μνώμενον, εἰς τὴν τοιαύτην προαχθῆναι ἐπίνοιαν, καὶ ἀμεῖψαι τόν τε Εὐνάπιον εἰς Εὐγένιον, καὶ τὴν κειμένην ἐπιγραφὴν εἰς εὐπόριστα.

CCXX. THEONIS ARCHIATRI HOMO.

LEGI THEONIS Archiatri Alexandrini librum medicum, qui Homo inscribitur, & Theoctisto dedicatur. Curationes autem auspicatur ab hominis capite vsque ad pedes, affectorum omnium humani corporis partium morbis remedia quædam adferens. Non tamen aut morbi naturam, nisi in paucis fortè, explicat, aut satis distinctè illas res tradit: de quibus differere proponit. Descriptis verò iam eorum morborum remediis, qui pedes atque articulos inuadere solent, de purgantibus deinde medicamentis simplicibus agit, conatúrque & causas quasdam reddere

ΘΕΩΝΟΣ ΑΡΧΙΑΤΡΟΥ ὁ Ἄνθρωπος.

σκ'.

ΑΝΕΓΝΩΣΘΗ Θέωνος ἀρχιάτρου Ἀλεξανδρέως ἰατρικὸν βιβλίον, ὃ ἐπιγράφει Ἄνθρωπον. Θεοκτίστῳ μὲν τὸ σύνταγμα προσφωνεῖ· ἄρχεται δὲ τῆς θεραπείας ἀπὸ κεφαλῆς, καὶ διήκει μέχρι ποδῶν, πάντων τῶν πεπονθότων μορίων τοῦ σώματος θεραπείας τινὰς ἀναγράφων. οὔτε δὲ τὴν τοῦ νοσήματος φύσιν, πλὴν ἐπί γε βραχέων ἐκδιδάσκει, οὔτε τοῖς πρέπουσι τοῖς * διορισμοῖς, περὶ ὧν προάγεται λέγειν, τὴν διδασκαλίαν ὑπάγει. μετὰ δὲ τὸ γράψαι καὶ τῶν ποδαγρικῶν καὶ ἀρθριτικῶν παθῶν ἰάματα, διέξεισι μὲν περὶ τῶν ἁπλῶν καθαρτικῶν φαρμάκων, πειρᾶται δὲ καὶ αἰτίας τινὰς ἀποδιδόναι,

Theonis archiatri liber medicus, Homo inscriptus.

* al. προσδιορισμοῖς.

οὐκ,

οὐκ, ἔμοιγε δοκοῦν, ὀρθῶς, ὡς δὲ τῆς ἀληθείας ἐξημαρτημένος, δι' ἃς τὴν καθαρτικὴν δύναμιν ἡ τῶν φαρμάκων ἐπιδείκνυσι φύσις. εἶτα περὶ συνθέσεως παντοδαπῶν διαλαμβάνει φαρμάκων, ὅσα τε αὐτῷ πρὸς τὰ προειρημένα τῶν νοσημάτων ἱκανὴν παρέχεται τὴν χρείαν, καὶ πρὸς τὰ λοιπὰ πάντα τοῦ σώματος πάθη, ἃ παρῆκε, τὰς κατὰ τὰ πεπονθότα μόρια θεραπείας ἀναγράφων. ἐμπλάστρους τε καὶ ἄκοπα, καὶ κολλύρια, καὶ ἀντιδότους διαφόρους ἐκ διαφόρων ἀνδρῶν κατεσκευασμένας ἀναγράφει. καὶ ἐν τούτοις * αὐτῷ ἡ τοιαύτη συμπεραίνεται πραγματεία. ἔστι μέν τοι τὴν χρείαν τὸ βιβλίον ταῖς τοῦ Ὀρειβασίου συνόψεσι παρεχόμενον παραπλησίαν.

* al. ἑαυτῷ.

ΘΕΟΝ. MEDICVS.

idque, vt mihi quidem videtur, non rectè, neque veritatem secutus) cur purgandi facultatem pharmacorum natura exerat. Hinc medicamentorum omnis generis compositionem pertractat, quæ sufficientem ad supranominatos morbos, cæteràsque humani corporis affectiones vsum præbeant, singulis morbosis partibus, quas omiserat, remedia adscribens. Emplastra insuper, & aduersus lassitudinem remedia, collyria item, ac varias antidotos à variis præscriptas Medicis adfert. Qua in opus illud consumitur. Liber autem hic eandem ferè vtilitatem, quam Oribasij synopsis, adferat.

ΑΕΤΙΟΥ ΑΜΙΔΗΝΟΥ ΙΑΤΡΙΚΟΙ λόγοι ιϛ'.

σκα'. Aetij libri XVI.

ΑΝΕΓΝΩΣΘΗ Ἀετίου Ἀμιδηνοῦ βιβλίον ἰατρικὸν ἐν λόγοις ἑκκαίδεκα. ἔστι μὲν οὖν αὐτῷ πᾶσα ἡ πραγματεία συντεταγμένη ἔκ τε ὧν Ὀρειβάσιος πρὸς Ἰουλιανὸν ἔγραψε, πρός τε Εὐστάθιον καὶ Εὐνάπιον· ἔτι δὲ καὶ ἐκ τῶν θεραπευτικῶν βιβλίων Γαληνοῦ, καὶ μὴν καὶ Ἀρχιγένους καὶ Ῥούφου· ἔτι δὲ Διοσκορίδου καὶ Ἡροδότου, καὶ Σωρανοῦ· Φιλαγρίου τε καὶ Φιλουμένου, καὶ Ποσειδωνίου, καὶ ἑτέρων τινῶν τῶν ἐπὶ τῇ τέχνῃ τῆς ἰατρικῆς ὄνομα λιπόντων. καὶ ἀπάρχεται μὲν ἀπὸ τῆς τῶν ἁπλῶν φαρμάκων τε καὶ τροφῶν δυνάμεως Γαληνοῦ, ἐν συνόψει ταῦτα διεξιών· συμπεραίνεται δὲ * αὐτῷ τὸ βιβλίον εἰς τὸν ιϛ' λόγον, περὶ γυναικείων τὴν διδασκαλίαν ποιούμενον παθῶν. οἷς καὶ ἕτερά τινα * συντάττει κεφάλαια, σμήγματά τε ὄψεως παραδιδοὺς, καὶ τοῦ λοιποῦ σώματος· σκευασίας τε οἰνανθαρίων, καὶ ἕτερά τινα τοιαῦτα. ἡ μὲν οὖν ὅλη αὐτῷ πραγματεία ἐξ ὧν τε ἄρχεται, εἴρηται, καὶ ἐν οἷς τὸ πέρας ἀπολαμβάνει. κατὰ μέρος δὲ τὸ μὲν πρῶτον αὐτῷ βιβλίον τῶν ἁπλῶν τροφῶν, καὶ τῶν φαρμάκων ἐν συνόψει τὰς δυνάμεις καταλέγει. ὁ δὲ δεύτερος τὰς τῶν μεταλλικῶν δυνάμεις καὶ χρήσεις, καὶ τὰς ἀπὸ τῶν ζώων ὅλων τε καὶ μορίων ὠφελείας ἐν συνόψει παρατίθεται. εἴη δὲ καὶ τοῦτο τῆς περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείας μέρος οὐκ ἐλάχιστον.

* al. αὐτοῦ.

* συνάπτει.

Ὁ δὲ τρίτος αὐτῷ λόγος περί τε γυμνασίων παντοδαπῶν διαλαμβάνει, καὶ ὅσα παρασκευάζει τὸ γυμνάσιον. εἶτα μετὰ τὰς κενώσεις, ἢ τὰς διαφορήσεις ταύτας τὰς οὐκ ἐπιδήλους, περὶ φλεβοτομίας διαλαμβάνει, τρόποις τε τῆς τομῆς διακρίνων, καὶ μεγέθους καὶ σχημάτων, καὶ καιροῦ καὶ μέτρου κενώσεως ἀναγράφει· περί τε ἀρτηριοτομίας, καὶ ἀρτηριακοῦ ἰσχαίμου, καὶ σικύας, καὶ ἐγχαράξεως, καὶ βδελλῶν ἐκλογῆς, καὶ διαίτης, καὶ χρήσεως· περί τε καθαιρόντων φαρμάκων, καὶ οἴνων καθαρτικῶν διαφόρου σκευασίας, καὶ οἰνομέλιτος καθαρτικοῦ καὶ κονδίτου, καὶ ἀψινθάτου, καὶ ῥοσάτου, καὶ ῥοδομέλιτος, καὶ ὀξυμέλιτος, γάρου τε καθαρτικοῦ, καὶ μέλιτος, καὶ οἰνομέλιτος, καὶ ὀξυγάρου, ζωμοῦ τε μαλακτικοῦ καὶ γάλακτος, καὶ ἐλαιῶν καθαρτικῶν· περὶ τούτων ἁπάντων τὴν διδασκαλίαν προάγει. ἔτι δὲ καὶ περὶ συνθέτων ὀξυπορίων καὶ καθαρτηρίων διαφόρων, καὶ πασίλλων καὶ βυκελλάτων καθαρτικῶν· * ἀλοηδάριά τε καθαρτικὰ ἀναγράφει, καὶ ἅλατα ὁμοίως, καὶ τὰς ε' ἱερὰς.

* ἀλοηδ.

AETII AMIDENI *Operis medici libri XVI.*

CCXXI.

LEGIMVS AETII *Amideni de re medica libros* [a] *sedecim.* Collegit autem totum hocce opus non ex iis tantum scriptoribus, è quibus Oribasius suos siue ad Iulianum Imp. siue ad Eustathium & Eunapium libros, sed ex Therapeuticis præterea Galeni libris, atque ex Archigene, & Rufo. Adhæc è Dioscoride, Herodoto, Sorano, Philagrio, Philomene, Posidonio, aliisque nonnullis, qui medendi arte nomen sibi gloriámque pepererunt. A facultatibus autem simplicium medicamentorum, ac ciborum è Galeno breuiter hæc commemorans, initium ducit, finitúrque opus libro sexto decimo, qui de mulierum morbis præcepta tradit: quibus cum alia adnectit capita, tum tergendæ faciei, reliquíque corporis rationem docet, œnanthariorum insuper præparatione, & id genus aliis quibusdam adiectis. Sic, vti diximus, opus vniuersum & incipit & desinit. Singulatim autem; PRIMVS liber simplicium alimentorum ac medicamentorum facultates breuiter perstringit.

[a] Quorum priores VIII. Græcè pridem Venetiis excusi.

ALTER dein metallicorum facultatem & vsum, animantiúmque vel integrorum vel partium eorum vtilitatem paucis in medium adfert: possit autem totius de simplicibus medicamentis tractationis pars hæc non modica censeri.

TERTIVS eius liber agit de omnis generis exercitationibus, quæque exercitationem parent. Hinc post euacuationes, seu humorum eductiones illas occultas, deuenæ sectione pertractat, non sectionis tantùm modos discernens, sed etiam magnitudinis, formarum, temporis opportuni, atque euacuandi mensuras describens. Mox de arteriæ sectione, & de sanguinem sistente arteriarum medicamento, de cucurbita, scarificatione, & hirudinum delectu. De victus ratione & vsu. De purgantibus medicamentis, & vinorum purgantium vario apparatu. De purgante vino mulso, condito, absinthiato, rosato, melle rosaceo, aceto mulso, itémque de garo purgante. De melle, vino mulso, oxygaro, ac iusculo molliente: de lacte, atque oliuis purgantibus. De quibus quidem omnibus præceptiones tradit. Præterea & de compositis oxyporis, ac variis purgatoriis, déque pastillis, & buccellatis, purgantibus. Aloëdaria quoque purgantia describit, similiáque è sale, & illas quinque celebratas hieras.

AETIVS. Auxiliantia quoque iis quos purgans medicamentum non purgauit, aut qui supra modum, euacuati sunt. De vomitu, & quibus dandum sit veratrum, quid illud possit, ac qui ad sumendum apti. De exploratione veratri, & præparatione bibituri. De vario ellebori seu veratri vsu atque exhibitione, & de cura eorum, qui illud biberunt. De epithematis purgantibus prosequitur, & quæcunque in nobis partes purgentur, puta oculos, aures, & reliquas. De suffimento ad eundem effectum pertinente, & de iis quæ tenuia intestina, semásque iecoris partes, & his similia euacuant. De aëre; ventis, ac stellarum significationibus. De aquis item & balneis, partim artificio paratis, partim natura productis. De frigida lotione, déque insessu solij ex oleo, & de faciei aspersione, de perfusione, insessionibus, humectatione, & sicco fomento. De variis cataplasmatum generibus. De dropace, picatione, sinapismo, rubricatione, & in quibus sit metasyncriticis, siue humores ex alto euocantibus auxiliis, vtendum. Et hæc quidem libro tertio continentur.

QVARTVS liber, quæ ad tuendam valetudinem pertinent, colligit. Auspicatus ergo ab infantium educatione, horum cum morbos, tum remedia exponit. Agit & de omnium ætatum ac conditionum victus ratione. De carnium item diminutione, & gracilium instauratione. De lassitudine ab exercitationibus, déque huius differentiis: de ea item, quæ ex Venere oritur, & eius causa ignoratur, quam *spontaneam* nominant. Qua cura ad concoctionem vtendum sit, & de densatæ cutis curatione, atque de æstuoso ardore & frictione opportuna. De cruditate, ac crapula, & æquali temperatura. Optimi præterea temperamenti dinotionem, & calidi aliorúmque, cum simplicium, tum compositorum temperamentorum notas (idque non modo corporis totius, sed & capitis, cerebri, ventris, cordis, iecoris, ac testiculorũ,) edocet: horúmq; omnium, si fortè à naturali statu deflexerint, remedia ponit.

QVINTVS Aëtij liber de morbis, & in primis de febribus disputat, quorum signa, prænotiones, dinotiones, curationes diligenter sanè pertractat, & quæcunque præterea ad hanc medicam contẽplationem spectant: quodnam morbi principium sit iudicandum, trifariámque illud dici. quæ item accessio morbi, quæque remissio: vigor item atque declinatio, cum partialis morbi accessione, tum corporis vniuersi. Quæ sint sanitatis signa, vel mortis in ægrotante: & quænam horum tardius aut citius, vel medio modo, ad sanitatem vel interitum pertinere iudicentur. De pulsuum signis & vrinarum dinotione: ac quid hæc designent. De excrementorum notis, vomitúsque prænotione ac significatione. De sanguinis è naribus eruptione, & muliebri purgatione. De notis criticis sudorum atq; abscessuum: & de indicio è sputo. Medicum præterea bene peritũ cogniturum, morbúsne perfectè solutus sit, an non, etiam si forte solutus videatur: diem etiam atque adeò horam, qua sit ægrotus moriturus.

βοηθήματά τε τοῖς λαβοῦσι τὸ καθαρτήριον [καὶ] οὐ καθαιρομένοις, καὶ τοῖς ὑπὲρ μέτρον κενωθεῖσι· περί τε ἐμέτων, καὶ τίσι δοτέον τὸν ἐλλέβορον, καὶ τί δύναται, καὶ τίνες πρὸς αὐτὸν ἐπιτήδειοι, δοκιμασίας τε ἐλλεβόρου, καὶ παρασκευὰς τοῦ *μέλλοντος αὐτὸν πίνειν· τάς τε διαφορὰς τῆς τοῦ ἐλλεβόρου χρήσεως, καὶ τὴν περὶ τοὺς πιόντας αὐτὸν ἐπιμέλειαν. περί τε ἐπιθεμάτων καθαρτικῶν διαλαμβάνει· καὶ ὅσα τῶν ἐν ἡμῖν μορίων ἐστὶ καθαρτικὰ, ὀφθαλμῶν λέγω καὶ ὤτων, καὶ τῶν ἑξῆς· περί τε ὑποκαπνισμοῦ εἰς τὴν αὐτὴν ἐνέργειαν συντελοῦντος· καὶ περὶ κενωτικῶν, λεπτῶν τε ἐντέρων καὶ τῶν σιμῶν τοῦ ἥπατος, καὶ τῶν παραπλησίων· περί τε ἀέρων καὶ ἀνέμων καὶ ἐπισημασιῶν· ὑδάτων τε καὶ λουτρῶν, ὅ τε ἐκ τέχνης, καὶ ὅσα ἡ φύσις προήγαγε. ψυχρολουσίας τε καὶ τῆς εἰς ἔλαιον ἐμβάσεως· καὶ περὶ τῶν τοῦ προσώπου κλυσμάτων, καταιονήσεώς τε καὶ ἐγκαθίσματος, καὶ ἐμβροχῆς καὶ πυριάσεως· καὶ περὶ διαφόρων καταπλασμάτων· δρωπάκων τε καὶ πιττώσεως, καὶ *σιναπισμοῦ, καὶ φοινιγμοῦ· καὶ ἐπὶ τίσι χρηστέον τοῖς μετασυγκριτικοῖς βοηθήμασι· ταῦτα μὲν καὶ ὁ τρίτος αὐτῷ συντάττεται λόγος.

Ὁ δὲ τέταρτος συναγωγήν τε τῶν ὑγιεινῶν περιέχει, ἀρχόμενος ἀπὸ τῆς τοῦ βρέφους διαίτης, τά τε περὶ τὸ βρέφος πάθη, καὶ τὰς θεραπείας διέξεισι, καὶ περὶ διαίτης πασῶν τῶν ἡλικιῶν, καὶ τῶν διαφόρων βίων· σαρκῶν τε καθαιρέσεως, καὶ ἰσχνῶν ἀναλήψεως· περί τε κόπων τοῦ ἐπὶ γυμνασίοις, καὶ τῆς διαφορᾶς αὐτῶν· καὶ τοῦ ἐξ ἀφροδισίων κόπου, καὶ τῶν ἄδηλον ἐχόντων τὴν αἰτίαν κόπων, οὓς λέγουσιν αὐτομάτους. ποία τε ἐπιμέλεια πρὸς τὰς πέψεις χρησίμη. καὶ τοῦ πυκνωθέντος δέρματος θεραπεία. καὶ περὶ ἐγκαύσεως, καὶ περὶ τρίψεως δικαίας. ἀπεψίας τε καὶ κραιπάλης, καὶ ὁμαλοῦς δυσκρασίας· ἀρίστης τε κράσεως ἐκδιδάσκει διαγνώσιν, καὶ θερμῆς γνωρίσματα· καὶ τῶν ἄλλων ἁπλουστέρων τε καὶ συνθέτων κράσεων, οὐχ ὅλου μόνον σώματος, ἀλλὰ καὶ κεφαλῆς καὶ ἐγκεφάλου, καὶ γαστρὸς καὶ πνεύμονος, καὶ καρδίας καὶ ἥπατος, καὶ ὄρχεων, καὶ τῶν τούτων ἁπάντων ἀπὸ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν παρατροπῆς ἰάματα.

Ὁ δὲ πέμπτος αὐτῷ λόγος περὶ νοσημάτων διαλαμβάνει, καὶ πρὸ τῶν ἄλλων περὶ πυρετωδῶν νοσημάτων· τάς τε σημειώσεις αὐτῶν, καὶ προγνώσεις, καὶ διαγνώσεις, καὶ θεραπείας οὐ παρέργως ἐπεξιὼν, καὶ ὅσα πρὸς τὴν ἰατρικὴν ταύτην θεωρίαν συντελεῖ· τίνα τε δεῖ τοῦ νοσήματος ἀρχὴν λέγειν καὶ ὅτι τριχῶς λέγεται· καὶ τίς ὁ παροξυσμὸς, καὶ τίς ἡ ἄνεσις, καὶ ἡ ἀκμὴ, καὶ ἡ παρακμὴ, τοῦ τε μερικοῦ παροξυσμοῦ, καὶ ὅλου τοῦ σώματος. τίνα τε σημεῖα σωτηρίας τοῦ νοσοῦντος, καὶ τίνα ὀλέθρια, ποῖά τε αὐτῶν βράδιον, ἢ τάχιον, ἢ διὰ τοῦ μέσου κεῖνται πρὸς τὴν ὑγείαν, ἢ καὶ πρὸς τὸν θάνατον. περί τε σφυγμῶν σημειώσεως, καὶ οὔρων διαγνώσεως· καὶ τί δηλοῦσι ταῦτα· καὶ περὶ διαχωρημάτων σημειώσεως, ἐμέτων τε προγνώσεως, καὶ τῆς ἐξ αὐτῶν σημειώσεως· αἱμορραγίας τε ἐκ ῥινῶν καὶ τῆς γυναικείας καθάρσεως· περί τε τῶν κριτικῶν σημείων τῶν κατὰ τοὺς ἱδρῶτας, καὶ τὰς ἀποστάσεις, καὶ τῆς ἀπὸ τῶν πτυέλων τεκμηριώσεως· καὶ ὅτι ὁ ἄριστος ἰατρὸς εἴσεται, εἰ βεβαίως τὸ νόσημα λέλυται, καὶ εἰ μὴ λέλυται κἂν *δοκῇ, τήν τε ἡμέραν καὶ ὥραν, ἐν ᾗ ὁ νοσῶν τὸν βίον ἀπολείψει·

περί τε

* al. μέλλοντα.
* al. σιναπισμοῦ.
* ἴσ. δοκεῖ

AETIUS.

περί τε πανδήμων καὶ ἐπιδήμων, καὶ λοιμωδῶν νοσημάτων ἔκθεσιν ποιεῖται. καὶ περὶ τῶν κατὰ διαφόρους αἰτίας συγκοπτομένων· καὶ περὶ τῆς κατὰ διαφόρους αἰτίας ἐπισυμβαινούσης τῷ ζώῳ λειποθυμίας· περί τε τῆς ἐν πυρετοῖς κεφαλαλγίας, καὶ ἀγρυπνίας, καὶ ὠταλγίας, καὶ ὀφθαλμίας, καὶ ἀμαυρώσεως, καὶ ἐφ' ὧν αἵματος ῥύσις ἐν πυρετοῖς συμβαίνει τῆς τούτων ἀποθεραπείας, ὅπως τε προνοητέον κατὰ τοὺς πυρετούς. κύστεώς τε καὶ δυσουρίας, καὶ τῶν περὶ ὀσφὺν ἀλγημάτων, ἑλκωθέντος τοῦ ἱεροῦ ὀστοῦ, καὶ ὄρχεων, ἢ δακτυλίου. καὶ περὶ ἐξανθημάτων καθ' ὅλον τὸ σῶμα, ἢ καὶ κατὰ μέρος συμβαινόντων, καὶ περὶ τρόμων καὶ σπασμῶν, εἰς πόματά τε ἡδέα κατὰ τοὺς πυρετοὺς μάλιστα χρησιμεύοντα συντάττει. ἐν τούτῳ μὲν καὶ ὁ πέμπτος λόγος.

Ἐν δὲ τῷ ἕκτῳ λόγῳ περὶ τῶν τῆς κεφαλῆς καὶ τοῦ ἐγκεφάλου παντοίων διεξέρχεται παθῶν· ταῦτά τε ἀναδιδάσκων, καὶ τὰς θεραπείας αὐτῶν. διέξεισι δὲ καὶ περὶ * λυσσοδήκτων, καὶ περὶ ἀποπληξίας, καὶ παραλύσεως, παρέσεώς τε ὀφρύος, ἢ βλεφάρων, καὶ γλώσσης, καὶ τοῦ φωνητικοῦ ὀργάνου, καὶ καταπόσεως τῷ αὐτῷ καταληφθέντων πάθει· καὶ περὶ τῆς τούτων θεραπείας· περί τε κυνικοῦ σπασμοῦ, καὶ περὶ θεραπείας κύστεως παρεθείσης, καυλοῦ τε καὶ ἀπευθυσμένου· καὶ σκέλους, καὶ ἑτέρου τινὸς κώλου· καὶ περὶ τετάνου, καὶ περὶ διαφόρων κεφαλαλγιῶν, ἐκ διαφόρων αἰτιῶν συμβαινουσῶν· περί τε κεφαλαίας, καὶ ἡμικρανίας, ἀλωπεκιῶν τε θεραπείας ἀναγράφει, καὶ τριχῶν ῥεουσῶν, καὶ ὀφρύων λεπτοτριχουσῶν· τριχῶν τε βάμματα, καὶ τούτων οὐλοποιά· ἀφαιρετικά τε τριχῶν, καὶ ἀφαιριζομένων βοηθήματα, καὶ ψίλωθρα, καὶ λεπτυντικὰ τριχῶν· περί τε πιτυριάσεως καὶ φθειριάσεως, ἀχώρων τε, καὶ τῶν ἐν τῇ κεφαλῇ συμβαινόντων ἄνευ προφανοῦς αἰτίας ἐξανθημάτων· καὶ τούτων ἁπάντων καὶ τῶν παραπλησίων διέρχεται θεραπείας. καὶ τῶν ἐν ὠσὶ διαφόρων τε καὶ ἐκ διαφόρου αἰτίας συμπιπτόντων παθῶν, καὶ πρὸς τὰς ἐξ αὐτῶν αἱμορραγίας, καὶ περὶ παρωτίδων· καὶ ὅσα κατὰ τὴν ῥῖνα συνίσταται πάθη· περί τε πταρμικῶν, καὶ ὧν δεῖ τούτους πλεονάζοντας παῦσαι. περὶ τούτων ἁπάντων ἰάματα καὶ θεραπείας ἐν τῷ ἕκτῳ καταλέγει λόγῳ.

ζ. Κατὰ δὲ τὸν ἕβδομον, ἐπεὶ καὶ ὁ ἕκτος αὐτῷ τὰ ἀπὸ κεφαλῆς πάθη μέχρι ὤτων καὶ ῥινὸς, καὶ τὰς τούτων ἰάσεις διεξιὼν ἵσταται, περὶ φύσεως ἀπάρχεται ὀφθαλμῶν, καὶ τῶν συνισταμένων περὶ αὐτοὺς παντοδαπῶν παθῶν· ἔσωθέν τε τῆς αἰτίας προβαλλομένων, καὶ ὅσα ἐκ τῶν ἐκτὸς ἐπισυμβαίνει καὶ ἀποτίκτεται· περί τε ἀρτηριοτομίας διδάσκει, καὶ περὶ σκυθισμοῦ, καὶ ὑποσπαθισμοῦ, καὶ αἰγιλοπίας· ἐν οἷς ἐπιχρίσματά τε καὶ καταπλάσματα, καὶ διάφορα κολλύρια, δι' ὧν τὰ τῶν ὀφθαλμῶν θεραπεύεται πάθη, συντάττει. ταῦτα μὲν κατὰ τὸν ἕβδομον αὐτῷ λόγον φιλοπονεῖται.

η. Ἐν δὲ τῷ ὀγδόῳ λέγει μέν τι κατ' ἀρχὰς περὶ διακοσμήσεως ὀφρύων, τί τε ἐστι, καὶ ὅπως γίνεται τὰ ὑπώπια· καὶ ὅπως αὐτὰ θεραπευτέον. ὅπως τε ὑπὸ ἡλίου ἢ ἀνέμου μὴ * ἐπικαίοιτο τὸ πρόσωπον· καὶ δι' ὧν ἐστιν ἀρρυτίδωτον αὐτὸ συντηρεῖν, καὶ μελανίας ἀπαλλάττειν, καὶ ἄλλως ἐπικο-

* al. λυσσοδήκτων

* al. ἐπικαίοιτο

De popularibus & communibus ac pestiferis morbis tractatio, & de iis, qui variis ex causis syncope corripiuntur, deque animi deliquio, quod variis item ex causis animanti obuenit. De febricitantium capitis, aurium, atque oculorum dolore, insomnia, luminis hebetatione, ac de eorum curatione quibus sanguinem per nares in febribus effluere contingit, & quomodo sit prouidendum febricitantibus. De vesica, vrinæ difficultate, lumborum doloribus, de vlcerato iam osse sacro, ac testibus, & ano. De pustulis per totum corpus diffusis, vel in corporis parte natis, ac de tremoribus, & conuulsionibus. Quibus item dulces potiones in febribus maximè vtiles sint, præscribit: sibique liber quintus desinit.

Sexto porrò libro de capitis & cerebri morbis agit vniuersis, non hos solum edocens, sed remedia quoque ipsorum. Agit & de commorsis à rabido cane, & de apoplexia atque paralysi. De supercilij aut palpebrarum resolutione, itemque de lingua, & vocali instrumento, ac gula, dum hoc ipso malo infestantur, & de horum curatione. De canina conuulsione, & curatione resolutæ vesicæ, penis, & intestini recti. De cruris, alterius ve cuiuscumque membri medicina, ac de tetano seu distentione. De capitis variis doloribus è diuersis caussis ortum ducentibus, ac de cephalæa & hemicrania. Describit & curationes alopeciarum, capillorum defluentium, & depilium superciliorum. Quæ item capillos tingant, crispent, exstirpent, delabentes iuuent, attenuent, vnáque horum psilotra. De furfuribus, morbo pediculari, achoribus, quæque capiti accidunt sine causa manifesta pustulis, & horum omnium atque similium incidentium morborum medicina. Item quæ auribus varia variisque de caussis mala accidunt, & aduersus sanguinis ex ipsis eruptiones: ac de parotidibus. De affectionibus insuper, quæ naribus contingunt, & de sternutatoriis, ac quibus potissimum remediis redundantes sternutationes sedari possint. Horum omnium medelas & curationes libro sexto recenset.

Septimo post hæc libro (quod sexto capitis affectiones & morbos ad aures vsque & nares, earundemque partium curationes esset persecutus) de oculorum nunc natura orditur, & omnigenis morbis, qui circa ipsos oculos concitantur, siue causam aliquam interiorem illi prætendant, siue ab externis proueniant atque gignantur. De arteriarum quoque sectione præcepta tradit; & de scythismo; ac de frontis per submissum scalpellum excoriatione, venarúmque delectu. vbi & illitiones, cataplasmata, varia collyriorum genera, quibus oculorum morbi curantur, præscribit. Quæ quidem libro septimo cum cura tractat.

Octavo autem libro refert ab initio quædam de his, quæ supercilia exornent: quid suggillatio sub oculo sit: quáque hæc ratione & fiat, & curetur. Quomodo à Sole & vēto non aduratur facies, ac per quę hæc eadē sine rugis conseruari; atrum colorem exuere, aut alia ratione nitidior

AETIVS.

reddi, corporisq; ipsius cutis odora effici possit. Hinc de omnibus iis morbis, qui ad faciem & os atque tonsillas excitantur, pertractat, siue illi ab intrinseco accepta causa prodeant, siue ab extrinsecis euenire soleant. Dentium ergo hîc varia continentur incommoda, eorúmque curatio: vt & linguæ, gurgulionis, ac cæterorũ omnium, quæ oris termino definiuntur, quo in numero censentur ª Cynanche atque Synanche in faucibus consistentes morbi: immò & tonsillarum tumores suprascriptis accedunt. Docet item qua ratione strangulati, nondum tamen mortui, refocillari possint, tum de arteriarum affectionibus ac remediis disputat. De catharro quoque ac tussi agens, pharmaca simul tussis dolorem leuantia, describit, cum suffitionibus & epithematis. De orthopnoicis posthæc, & anhelosis, ægréque spiritum ducentibus disserit, ac de palpitationibus circa cor. De pulmonis denique ac pectoris morbis postquam tractauit, librum tandem claudunt præceptiones de pleuritide, tam quæ verè adest, quàm quæ adesse putatur, vtriusque harum descriptione, quæq; ad eas curãdas faciũt, adiectis.

ª Distincta sunt Angina species.

Nono libro incipit de cardiacis morbis, pergitq; porrò de his agere, quibus atra bile stomachus perturbatur: aut si qui præterea morbi ventriculi os infestant. Cataplasmata iis atque auxilia, qui variis stomachi malis torquentur, enumerãs. Ibidem de iis quoq; agit, qui à stomacho epilepticorum more conuelluntur: itémque de inappetentia: de canino appetitu, cruditate, & horum curatione. Docet adhæc qua ratione crapula laborantibus opitulandum sit, & alui adstrictæ curam præscripsit, Agit insuper de inflatione, & volulo, seu gracilioris intestini obstructione, ac denique de omnibus, qui colicis doloribus cruciãtur. De ventris fluxione, atq; de cœliaca, quam vocant, affectione. De colliquatione: de lumbricis cum rotondis, tum latis: de iis quæ ascarides nominantur, déque intestinorum passionibus. Eorum quoque remedia describit, qui aurũ, qui æs, vel tale quid deglutiuerunt: dysentericis item quæ vel supernè vel infernè immittantur, remedia commemorat: pastillos, supposita, vnguenta, epithemata, donec tandem in sermone de lienteria librum finiat.

Decimvm librum auspicatur ab imbecillitate iecoris, indéque de omnibus hepatis morbis, & per quæ horũ fieri medicina queat, tradit. Hinc ad splenis pergit affectiones, eiúsque variam intemperiem cum curandi modis refert: [tales] inflationes, inflammationes, scirrhi, tumores præter naturam atque durities. De ictero tum agit, seu morbo arquato, & de mala corporis habitudine: itémq; de hydrope, siue aqua inter cutem: vnde singuli hi morbi nascantur, & quomodo curari possint via ac ratione tradit: quo libri decimi labor terminatur.

Vndecimo libro de diabete (hoc est vrinæ profluuio) tractat, & de renum imbecillitate cruentam vrinam excernentium. Hinc de calculosis renibus, calculosa vesica, ac de renum inflãmatione, duritia, suppuratione. De dysuria quoque & stranguria, atq; ischuria. De resoluta vesica, de his, qui se in somnis permin-

σμεῖν, καὶ τὴν τοῦ σώματος χροιὰν πρὸς εὐωδίαν μεταβάλλειν. ἐντεῦθεν περὶ πάντων τῶν κατὰ τὸ πρόσωπον καὶ παρίσθμια συνισταμένων διαλαμβάνει παθῶν· ὅσα τε πρόφασιν τὴν αἰτίαν ἔσωθεν λαβόντα, καὶ ὅσα ἐκ τῶν ἐκτὸς ἐπισυμβαίνειν* εἴωθεν. ὀδόντων τε περιέχεται ποικίλα πάθη καὶ θεραπεία, καὶ γλώσσης, καὶ γαργαρεῶνος, καὶ ἁπλῶς ὅσα τῇ περιγραφῇ συμπεραίνεται τοῦ στόματος. ὧν ἐστὶ καὶ ἡ κυνάγχη, καὶ συνάγχη, περὶ τὸν φάρυγγα συνιστάμενα πάθη· καὶ αἱ* ἄντιαδες δὲ τοῖς εἰρημένοις συμπεριέχονται· πῶς τέ ἐστι δυνατὸν ἀνακαλεῖσθαι τοὺς ἀπαγχομένους, μήπω τῷ θανάτῳ παραδεδομένους· περί τε ἀρτηριακῶν παθῶν, καὶ φαρμάκων, ἀναγραφὴν ποιεῖται, καὶ περὶ κατάρρου, καὶ βηχὸς· καὶ ἀνώδυνα βηχικὰ φάρμακα* γράφει. ὑποκαπνισμούς τε καὶ ἐπιθέματα. περὶ ὀρθοπνοϊκῶν τε καὶ ἀσθματικῶν, καὶ δυσπνοϊκῶν διαλαμβάνει· περί τε παλμῶν τῶν κατὰ τὴν καρδίαν.* καὶ ἔτι περί τε τῶν τοῦ πνεύμονος καὶ θώρακος παθῶν διεξιὼν, συμπεραίνεται τὸν λόγον, εἰς τὴν διδασκαλίαν τῆς πλευρίτιδος, τῆς τε οὔσης καὶ τῆς νομιζομένης,* τῆς τε ἑκατέρας τούτων, ὑπογράφων, καὶ ὅσα εἰς θεραπείαν αὐτῶν συντελεῖ.

* al. ἐπισυμβαίνει, εἴ. τ.

* ἀντιάδες.

* al. ἀνωδύνως.

* al. τῆς τε ὑπογραφῆς.

θ.

Κατὰ δὲ τὸν ἔνατον λόγον, ἀπάρχεται μὲν περὶ καρδιακῶν, διαλαμβάνει δὲ ἑξῆς περί τε τοῦ ὑπὸ μελαίνης χολῆς ἐνοχλουμένου στομάχου, καὶ ἁπλῶς ὅσα πάθη κατὰ τὸ στόμα τῆς κοιλίας συνίσταται. καταπλάσματά τε καὶ βοηθήματα τοῖς κατὰ διάφορα πάθη τὸν στόμαχον κακουμένοις συναριθμεῖ. ἐν οἷς καὶ περὶ τῶν ἀπὸ στομάχου ἐπιληπτικῶς σπωμένων διέξεισιν, ἀνορεξίας τε καὶ κυνώδους ὀρέξεως, καὶ ἀπεψίας, καὶ θεραπείας τούτων. διδάσκει δὲ καὶ ὅπως βοηθητέον τοῖς κραιπαλῶσιν. *ἐπεχομένῃ τε γαστρὶ διατάττει ἐπιμέλειαν. περί τε ἐμπνευματώσεως καὶ ἰλεοῦ, καὶ ἁπλῶς περὶ τῶν ὀδυνωμένων τὸ κῶλον· καὶ περὶ κοιλίας ῥευματιζομένης, τῆς τε κοιλιακῆς λεγομένης διαθέσεως, καὶ περὶ συντήξεως. περί τε ἑλμίνθων, τῶν τε στρογγύλων, καὶ τῶν πλατείας, καὶ ἀσκαρίδων λεγομένων. περί τε τῶν κατὰ τὰ ἔντερα συνισταμένων παθῶν. καὶ ὅσοις χρυσὸς, ἢ χαλκὸς, ἤ τι τοιοῦτον ἐπόθη. τούτων τε βοηθήματα ἀναγράφει· καὶ δυσεντερικοῖς τὰ λεγόμενα ἀνωτερικὰ καὶ κατωτερικὰ ἐνέματα* λέγει. τροχίσκους τε καὶ ὑπόθετα, καὶ ἐπιχρίσματα, καὶ ἐπιθέματα, καὶ λοιπὸν εἰς τὸν περὶ λειεντερίας καταλήγει λόγον.

* ἐπεχομένῃ Μ. Μ.

* μεταλόγει.

ι.

Ὁ δὲ δέκατος αὐτοῦ λόγος ἀπάρχεται μὲν περὶ ἥπατος ἀτονίας, κἀκεῖθεν περὶ πάντων αὐτοῦ τῶν παθῶν, καὶ δι' ὧν ἂν θεραπευθείη ταῦτα, διαλαμβάνει. εἶτα μεταβαίνει πρὸς τὰς ἐν σπληνὶ διαθέσεις, δυσκρασίας τε αὐτοῦ καὶ θεραπείας διεξιών· ἐμπνευματώσεις, καὶ φλεγμονὰς καὶ σκίρρους, καὶ τοὺς παρὰ φύσιν ὄγκους, καὶ τὰς σκληρίας· περί τε ἰκτέρου, καὶ καχεξίας, καὶ περὶ ὑδέρου, ὅθεν τε τούτων συνίσταται ἕκαστον, καὶ πῶς ἂν θεραπευθείη, μεθόδους παραδιδοὺς ἐν οἷς αὐτοῦ καὶ ὁ δέκατος συμπεραίνεται πόνος.

ια.

Ἐν δὲ τῷ ἑνδεκάτῳ περί τε διαβήτου διαλαμβάνει, καὶ ἀτονίας νεφρῶν, αἵματός τε ἐκκρίσεως, καὶ περὶ λιθιώντων νεφρῶν καὶ λιθιώσης κύστεως, φλεγμονῆς τε νεφρῶν καὶ σκληρίας, καὶ διαπυήσεως. δυσουρίας τε καὶ στραγγουρίας καὶ ἰσχουρίας· περί τε παραλυθείσης κύστεως, καὶ τῶν κατὰ τοὺς ὕπνους οὖρα* κατεχόντων

* κατεχόντων ὕδωρ.

ὑρων· περί τε κύστεως φλεγμαινούσης, καὶ τῆς κατ' αὐτὴν αἱμορραγίας, καὶ τῶν συνισταμένων ἐν αὐτῇ θρόμβων τε καὶ φυμάτων, καὶ ἑλκῶν· καὶ περὶ ῥευματιζομένης καὶ ψωριώσης κύστεως· περί τε σατυριάσεως, καὶ πριαπισμοῦ, καὶ γονορροίας καὶ ὀνειρώξεως· τούτων ἁπάντων τῶν εἰρημένων παθῶν τάς τε αἰτίας, ὡς οἷόν τε ἐστι, καταλέγει, καὶ τὰς προφυλακὰς καὶ θεραπείας αὐτῶν. κατ' αὐτὸ δὲ τὸ τέλος τοῦ λόγου, καὶ περὶ τῶν μὴ δυναμένων χρήσασθαι ἀφροδισίοις, γυμνασίας τε αὐτῶν καὶ θεραπείας διατάττει.

ιβ'. Ἐν δὲ τῷ δωδεκάτῳ λόγῳ, περὶ ἰσχιάδος, καὶ περὶ ποδάγρας, καὶ ἀρθρίτιδος διαλαμβάνει. αἰτίας τε καθολικὰς τῶν παθῶν τούτων καταλέγων, καὶ ὅσαι ἐπὶ μέρους, καὶ παντοδαπὰς θεραπείας αὐτῶν τε, καὶ ὅσα κατ' αὐτὰ ἐπισυμβαίνει νοσήματα ἕτερα. κενώσεις τε αὐτῶν διαφόρους, καὶ χρίσματα, καὶ μαλάγματα, καὶ συγχρίσματα, καὶ ἄκοπα, καὶ ἀλείμματα συντάττων, καθαρτικά τε ἁρμόζοντα τούτοις, καὶ ἀντιδότους· καὶ ὅσα ἄλλα πρὸς τὴν τῶν εἰρημένων νοσημάτων βοήθειαν ἀφορᾷ.

ιγ'. Ἐν δὲ τῷ ιγ' λόγῳ περὶ δακετῶν διαλαμβάνει ζώων, ἃς ποιοῦσι διαθέσεις καὶ πάθη περὶ τοὺς δηχθέντας, καὶ τὰς τούτων ἰάσεις ἐκδιηγούμενος. καὶ δὴ καὶ περὶ τῶν ἰοβόλων θηρίων τὴν ὁμοίαν ποιεῖται διδασκαλίαν. οὐ μόνον δέ, ἀλλὰ καὶ ὅσα τῶν φυτῶν ἢ βοτανῶν δηλητήρια γίνεται τοῖς χρωμένοις, * τὴν ἴσην δείκνυται σπουδήν· καὶ περὶ μυκήτων δὲ καὶ αἵματος ταυρείου, καὶ θρομβωθέντος ἐν τῇ γαστρὶ γάλακτος παραπλήσιον διαλαμβάνει. ὅσα τε τῶν μεταλλικῶν φθαρτικὰ τῷ ζώῳ γίνεται κατὰ γαστέρα ληφθέντα· καὶ περὶ αὐτῶν ἔκθεσιν ποιεῖται. καὶ περὶ ψυχροποσίας * ἢ οἰνοποσίας ἐπιβλαβοῦς τῷ ζώῳ γεγενημένης· περί τε τῶν ἀπαγχομένων, καὶ ὅσοι ἐν ὕδασι κινδυνεύουσιν ἀποπνιγῆναι· καὶ τῶν ἀπὸ μετεώρου τινὸς πεπτωκότων, καὶ δὴ καὶ περὶ τῶν προφυλακτικῶν καὶ προγνωστικῶν ζώων, τῶν κατὰ τὰς οἰκίας τρεφομένων. ἐπὶ τούτοις περὶ τῆς ἐχιδνῶν θηριακῆς Ἀνδρομάχου διαλαμβάνει, τήν τε κατασκευὴν αὐτῆς καὶ τὴν χρῆσιν, καὶ τὸν τῆς χρήσεως χρόνον, δοκιμασίας τε καὶ μέτρα δόσεως, καὶ τίσιν ἁρμόζει τῶν νοσημάτων, ἀναγράφων. περί τε ἄλλων θηριακῶν, καὶ τῆς * Μιθριδατείου ἀντιδότου, κατασκευῆς τε καὶ χρήσεως, καὶ ἐφ' ὧν χρησιμεύει· ἑτέρας τε διαφόρους ἀντιδότους καταλέγει· καὶ περὶ τῶν δύο κυφίων, καὶ δὴ καὶ περὶ ἐλεφαντιάσεως, καὶ κνησμωδῶν ἐξανθημάτων· καὶ περὶ ψυδράκων καὶ ἱδρωτιδίων, καὶ περὶ τῶν ἐν ταῖς κνήμαις ἑλκωδῶν ἐκβρασμάτων· καὶ περὶ τῶν οὐλῶν, αἳ ἐκ τῶν ἑλκῶν μελαίνουσι τὸ σῶμα. ἐπὶ τούτοις περὶ τῶν δύο εἰδῶν τοῦ ἀλφοῦ διαλαμβάνει, καὶ περὶ λεύκης· καὶ τὸ τελευταῖον περὶ λέπρας· γενέσεις τε αὐτῶν καὶ αἰτίας, δι' ἃς συμβαίνουσι καταλέγων, καὶ τὰς τούτων θεραπείας. τοῦτο μὲν καὶ ὁ ιγ' λόγος.

* al. οὐ.

* al. ἐμβρο-...

ιδ'. Ἐν δὲ τῷ ιδ' περί τε τῶν ἐν ἕδρᾳ φιλοπονεῖται παντοδαπῶν παθῶν, καὶ περὶ τῶν ἐν αἰδοίοις θύμων τε καὶ ῥαγάδων, καὶ φλεγμονῆς, καὶ νομῆς, καὶ ἀνθράκων, καὶ τῶν κατὰ τὴν οὐρήθραν ἑλκῶν· περί τε ψωριῶντος ὀσχέου, καὶ φλεγμονῆς αὐτοῦ τε καὶ ὄρχεων· καὶ περὶ τῶν τῆς κήλης εἰδῶν· περί τε συνθέσεως ἐμπλάστρων, καὶ τρόπου τῶν ἐμβαλλομένων ἑψήσεως· ἔτι δὲ περὶ τῶν τὰ νεῦρα τρωθέντων ἢ θλασθέντων, καὶ περὶ βουβώνων, καὶ φλεγμονῆς καθόλου, περί τε ἀποστημάτων καὶ κοίλων ἑλκῶν· τί τε ἕκαστον τῶν εἰρημένων, καὶ θεραπείας αὐτῶν ἐκτιθείς.

gunt: de inflammata vesica, ac de sanguinis per eam eruptione, déque existentibus in ea grumis, tuberculis, vlceribus: itémque de vesicæ fluxione ac scabie. De satyriasi, priapismo, seminis fluxu, ac in somnis profluuio. Horum omnium morborum caussas, quoad eius fieri potest, explicat, & cautiones curationésque eorum. Extremo verò libro iis quoque, qui Venere vti nequeant, exercitia curationésque statuit.

DVODECIMO libro de ischiade & podagra atq; arthritide siue articulari morbo agit: horū simul causas cum generales, tum singulares exponés, vnà cum variis curationibus, & si qui ad hos accedere alij morbi solent. Varias item horum euacuationes, vnctiones, malagmata, perunctiones, acopa, vnguenta præscribit: purgantia quoq. illis accōmodata & antidotos, aliáque plurima, quæ opē illis morbis adferre possint.

XIII. libro de morsu infestis animantibus agēs, simul quas hęc morsis vel affectiones, vel morbos afferant, singulorúmq. medelas exponit. Hinc & de feris venenum eiaculantibus similem doctrinam tradit. Quin & plantas atque herbas, quæ venena sint, & vtentibus noxia, pari studio demonstrat. De fungis etiam, ac sanguine taurino, déque lacte in ventre concreto ingrumos amplius docet. Quæ item metallica animanti noxia si in ventrē mittātur, & horū explanatio. Adhæc de frigidæ vel vini potu, qui homini noceat. De strangulatis, & qui in aquis à suffocatione periclitantur, aut ex edito loco præcipitarunt. De præseruantibus ac præsagis animantibus, præsertim domesticis. Hinc de Andromachi theriaca ex viperis, quomodo apparetur, quis vsus, quando vtēdum, quomodo exploranda, quā mēsura exhibenda, quibus denique morbis potissimum conueniat, describit. De aliis item theriacis, agit vero de antidoto ᵃ Mithridatica, eiúsque præparatione, vsu, atque in quibus prosit: cui etiam alias Antidoti species subiungit. de duobus inde Cyphi generibus scribit. Hinc de elephantiasi, de pruriginosis eruptionibus, de psydracis pustulis, atque è sudore subortis papulis, de tibiarum vlcerosis eruptionibus, & de cicatricibus, quæ ex vlceribus relictæ corpus denigrant, de duobus vitiliginis seu alphi generibus agit, & de leuce, ac tandem de lepra, earum ortum & caussas, vnde originem trahant, curatiónémque referens. Atque hæc decimus tertius liber docet.

ᵃ vide Gal. lib. 17. cap. 18.

XIV. libro de sedis variis morbis diligenter disserit, & de thymis in pudendis, de rimis atque inflammatione, de noma & carbunculis, & de vlceribus vrinarum meatum occupantibus. De scabioso ac pruriginoso scroto, eiúsque & testium inflammatione, atque de herniæ speciebus. De emplastrorum confectione, & eorum coquendi modo, quæ his iniiciuntur. Ad hæc de neruis sauciatis ac contusis: & de glandulis inguinis, déque inflammatione generatim. De apostematis item, & cauis vlceribus: quid prædictorum vnum quodque sit, subiectis singulorum remediis, exponendo.

AETIVS. Præter hæc verò etiam, aduerſus vermes in vlceribus enatos, & ad nomas ac putredines vlcerum, itémque ad ſanguinis eruptionem remedia apponit. Scribit & de ſinibus, fiſtulis, gangræna, ſphacelo, tumoribus canceratis, carbunculis, eryſipelate, erpete, epinyctide, termintho, & papulis ſiue puſtulis, horum ortus ſimul & apta remedia recenſens. Medelam adiicit igne aut aqua ambuſtorum, flagris cæſorum, abraſionum, intertriginum, carnis contuſæ, vel ruptæ, conuulſionis, contorſionis, & de luxatis articulis, ac pernionibus. Item de digitorum pterygiis, de paronychiis, de vnguibus contuſis, ſubcruentis, non fixis, ſcabris ac leproſis: quibus etiam remediis effici poſſit, vt pro delapſis vnguibus, alij ſubnaſcantur. De annulis quos aliquando contingit digitis inſigi. De clauis & pedum rimis, ſeu fiſſuris, & de varicibus. Quæ poſtquam vtiliter omnia, atque ex medendi artis legibus præcepit, in illam tandem medicæ doctrinæ partem deſinit, quæ de brachiorum ac crurum dracunculis agit: atque ibi XIV. libro finem imponit.

XV. libro pertractat de tumoribus laxis. De inflationibus, de tumoribus duris, atheromatis, ſtrumis, bronchocelis, meliceridibus, ſteatomatibus, gangliis, aneuryſmate, fauis, & hydrocephalis: horum quoque origines, cauſas, chirurgiam, aliáſque curationes exponendo, vnà cum multorum variique generis emplaſtrorum præparatione.

Libro XVI. & vltimo, de veteri ſitu, magnitudine, forma ſcribit. Tempus item quo purgari, ac ſeminare fœmina ſolet. De conceptus earum tempore, & indicio cum fœcunditatis, tum an iam conceperint, déque aliis prægnantium affectionibus. De cura item ac ſolicitudine iis adhibenda, tum quæ magis ad pariendum aptæ, quæ ineptæ: de ægro partu, & quæ præter naturam naſcuntur: de infantis exſectione, & defectu ſecundæ, ſeu ſecundarij inuolucri. Quibus item de cauſis viri ac fœmina ſteriles ſint. Horum omnium prædictorum remedia hoc libro recenſentur, vt potiones, peſſi, & ſuffitus ad concipiendum. Hinc de vberum, mammarúmque morbis omnibus conuenienti huic arti ſcientia pertractat, eorúmque conſtitutiones, ortus, chirurgiá, aliáſque curationes attexit. Mox de variis agit cauſis, cur in fœminis menſtrua ſiſtatur purgatio. De nimia quoque menſium purgatione, & muliebri fluxu partim rubro, partim albo: tum de vteri ſtrangulatione, de ſeminis fluxu: admodum bona his ſtatuta curatione. Ad alias quoque matricis varias pergit affectiones, puta apoſtemata, tumorem, molam, hydropem, vlcera, & id genus alia: vbi de vtero obſtructo, non perforato, aliiſque ſimilibus locutus, medicinas quoque adiicit. Item de nymphæ ſectione, cauda, varicoſa hernia, thymis, ſimilibuſque agit, & eadem iis methodo remedia præſcribit. His faciei, cæterarúmque corporis partium ſmegmata iungit, & ſuffitum compoſitiones.

ἔτι δὲ καὶ πρὸς τοὺς ἐν ἕλκεσι σκώληκας, καὶ πρὸς νομὰς, καὶ τὰ σηπεδονώδη τῶν ἑλκῶν, καὶ πρὸς αἱμοῤῥαγίας ἰάσεις συγκατατάττει. διαλαμβάνει δὲ καὶ περὶ κόλπων, καὶ συρίγγων, γαγγραίνης τε καὶ σφακέλου, καὶ περὶ ὄγκων καρκινωδῶν, καὶ ἀνθράκων, * καὶ ἐρυσιπέλατος, ἕρπητός τε καὶ ἐπινυκτίδος, καὶ τερμίνθου, καὶ φλυκταινῶν· τάς τε γενέσεις αὐτῶν διεξιὼν, καὶ ὅσαι τούτοις ἁρμόζουσι θεραπεῖαι. ἔτι δὲ καὶ τῶν ἐκ πυρὸς ἢ ὕδατος κατακαέντων, καὶ θεραπείας τῶν μαστιγωθέντων, καὶ τῶν ἀποσυρμάτων, τῶν τε παρατριμμάτων, καὶ σαρκὸς θλασθείσης, ἢ ῥαγείσης, καὶ σπάσματος, καὶ στρέμματος, καὶ περὶ κεχαλασμένων ἄρθρων, καὶ χιμέθλων· * πτερυγίων τε τῶν ἐν δακτύλοις, καὶ παρωνυχίας καὶ περὶ τεθλασμένων ὀνύχων, καὶ ὑφαίμων, καὶ σαλευομένων, καὶ ψωριώντων, ἢ λεπριώντων· καὶ δι᾽ ὧν ἐστι παρασκευάσαι ἀντὶ τῶν ἐκπεσόντων ὀνύχων ἄλλους ἀναφῦναι· περί τε τῶν συμβαινόντων ἐσφηνῶσθαι δακτυλίων περὶ τοὺς δακτύλους· καὶ περὶ ἥλων καὶ ῥαγάδων τῶν κατὰ τοὺς πόδας, καὶ περὶ κιρσῶν· ταῦτα πάντα ὠφελίμως καὶ κατὰ τοὺς ἰατρικοὺς νόμους διεξιὼν, τελευτᾷ εἰς τὴν περὶ τῶν ἐν σκέλεσι καὶ βραχίοσι δρακοντείων ἰατρικὴν διδασκαλίαν· ἐν οἷς καὶ ὁ ιδʹ συμπεραίνεται λόγος. ιεʹ.

* al. πρὸς.

* al. ἢ πτερυγίων.

Κατὰ δὲ τὸν πεντεκαιδέκατον διαλαμβάνει λόγον, περὶ οἰδημάτων τε καὶ ἐμφυσημάτων, σκίρρων τε καὶ χοιράδων, βρογχοκηλῶν τε καὶ ἀθερωμάτων, καὶ μελικηρίδων καὶ στεατωμάτων, καὶ * γαγγλίων, ἀνευρύσματός τε καὶ κηρίων, καὶ ὑδροκεφάλων. γενέσεις τε αὐτῶν ἐκτιθέμενος, καὶ αἰτίας τῆς γενέσεως, χειρουργίας τε καὶ τὰς ἄλλας θεραπείας· καὶ ἐμπλάστρων ποικίλων τε καὶ διαφόρων σκευασίας.

* al. σαγγ.

Ἐν δὲ τῷ τελευταίῳ τε καὶ ιϛʹ λόγῳ περὶ μήτρας θέσεώς τε καὶ μεγέθους, καὶ τῆς ἄλλης διαπλάσεως ἀναγράφει, καὶ τὸν καιρὸν καθ᾽ ὅν τε καθαίρεσθαι καὶ σπερμαίνειν ταῖς γυναιξὶ συμβαίνει. περί τε κυοφορίας αὐτῶν, καὶ σημειώσεως τῶν πεφυκυιῶν συλλαβεῖν καὶ εἰ ἤδη συνέλαβον· καὶ ὅσα ἄλλα τὰς κυοφορούσας πάθη ἐπιγίνεται· ἥ τε περὶ αὐτὰς ἐπιμέλεια, καὶ ποῖαι μᾶλλον ἐπιτήδειοι πρὸς τοκετὸν ποῖαι δὲ ἀνεπιτήδειοι, καὶ περὶ δυστοκίας· καὶ ὅσα παρὰ φύσιν τίκτεται. περί τε ἐμβρυοτομίας, καὶ ἐκλείψεως χορίου καὶ κατὰ πόσας αἰτίας ἀνὴρ καὶ γυνὴ τῆς παιδοποιΐας στερίσκονται. πάντων δὲ θεραπεῖαι τῶν εἰρημένων ἐν τούτῳ τῷ λόγῳ καταλέγονται, καὶ πόματα, καὶ πεσσοὶ, καὶ ὑποθυμιάματα συλληπτικά. ἐκεῖθέν τε περὶ τῶν ἐν τοῖς μαστοῖς παθῶν ἁπάντων, μετὰ τῆς πρεπούσης τῇ τέχνῃ σοφίας διηγεῖται· συστάσεις τε τούτων καὶ γενέσεις, καὶ χειρουργίας, καὶ τὴν ἄλλην συνυφαίνων θεραπείαν. μεθ᾽ * ἃ περὶ τῶν κατὰ διαφόρους αἰτίας ἐπεχομένων τῶν γυναικῶν ἐμμηνίων καθάρσεων· περί τε ὑπερκαθάρσεως καὶ γυναικείου ῥοῦ, τοῦ τε ἐρυθροῦ καὶ τοῦ λευκοῦ· περί τε ὑστερικῆς πνιγὸς, καὶ περὶ γονοῤῥοίας διαλαμβάνει, τὴν τούτων εὖ μάλα διατιθεὶς θεραπείαν· καὶ περὶ τῶν ἄλλων τῆς μήτρας παντοδαπῶν παθῶν· ἀποστημάτων λέγω, καὶ οἰδήματος, καὶ μύλης καὶ ὕδρωπος, καὶ ἕλκους, καὶ τῶν παραπλησίων· ἐν οἷς περί τε φιμώσεως μήτρας, καὶ ἀτρήτου ὑστέρας, καὶ τῶν παραπλησίων ἐπεξιὼν, γράφει τούτων θεραπείας. περί τε νυμφοτομίας, καὶ περὶ κερκώσεως, κιρσοκήλης τε, καὶ θύμων, καὶ τῶν ὁμοίων, κατὰ τὴν ἴσην μέθοδον τὰς ἰάσεις ἀναγράφει. οἷς σμήγματά τε ὄψεως καὶ τῶν ἄλλων σώματος καὶ θυμιαμάτων σκευασίας.

* al. ἃ.

σίας συντέτακται. τὸ δ' ὅλον ἐνταῦθα τῆς σπουδασθείσης αὐτῷ ἰατρικῆς πραγματείας συμπεραινόμενον βιβλίον. καὶ ὅσα γε ἐμὲ εἰδέναι ὁ προκείμενος τοῦ ἀνδρὸς πόνος τῶν μὲν Ὀρειβασίου συνόψεων, ἥν τε πρὸς Εὐστάθιον, καὶ ἣν πρὸς Εὐνάπιον ἔγραψε τοῖς πᾶσι κρατεῖ. αἰτιολογίαις τε γὰρ προέχει, καὶ διαγνώσεσι, καὶ προγνώσεσι, καὶ προσδιορισμοῖς καὶ τῷ τῆς θεραπείας πλάτει. οὐ τούτων δὲ μόνον ἐν ὑπεροχῇ ὁρᾶται· ἀλλὰ καὶ ἥ τις αὐτῷ τῶν Γαληνοῦ βιβλίων σύνοψις ἐφιλοπονήθη, καὶ ταύτης ἐπικρατεῖ· τῷ τε εἰς ἐλάττονα ὄγκον ταύτην συνεστάλθαι, καὶ τῷ σαφέστερον παρέχειν τὴν διδασκαλίαν, κἂν τῷ περὶ πλειόνων παθῶν διαλαμβάνειν ταύτην μᾶλλον ἢ ἐκείνην. τῇ δὲ τῷ αὐτῷ ἀνδρὶ εἰς ό βιβλία συντεταγμένης τὴν ἄλλην ἅμιλλαν οὐκ εὐλαβουμένη, ἴσως ἂν ἐλαττωθείη. οἷς τε τὰ τῆς ἀνατομικῆς ἐγχειρήσεως μὴ παραδραμούσης ἐκείνης αὕτη παρατρέχει, καὶ τὴν θεωρίαν τῆς τῶν μορίων χρείας, φιλοσόφου μᾶλλον οὖσαν σπουδῆς, ἢ θεραπείας ἔργον, ὡσαύτως παρῆλθε. τοῖς αὐτοῖς δὲ τούτοις καὶ τῆς προειρημένης τῶν Γαληνείων συνόψεως τοῦ κρατεῖν ἂν ὑπαναχωροῦσα εἴη. ἀλλὰ γὰρ ἔγωγε φαίην ἂν, ὡς κατὰ τὴν παροῦσαν τῶν ἀνθρώπων ῥᾳθυμίαν, καὶ τὴν περὶ τὰ ἄλλα μᾶλλον ὁρμὴν, ἢ περὶ ὧν ἡ θεραπεία κατορθωθείη τοῖς κάμνουσι, ταύτην ἐκμελετᾶν τὴν συναγωγὴν τῶν ἄλλων μᾶλλον σπουδασμάτων χρή· μάλιστά γε ὅσοις μὴ πρὸς τὸ βάθος τῆς ἰατρικῆς θεωρίας ἐλάσαι, καὶ τὴν κατὰ φυσιολογίαν σοφίαν τε καὶ ἀλήθειαν σκοπός ἐστιν ἀνευρεῖν. πρὸς μόνην δὲ τὴν τῶν σωμάτων θεραπείαν ἡ πρόθεσις ἀφορᾷ, καὶ μηδὲν τῶν περὶ αὐτὴν ἐπὶ τῆς χρείας ὑστερεῖν. τοῖς γὰρ τὰς ἰάσεις νόσων ἀπελάσεις ἑλομένοις ἐμφανίζειν δι' ἔργων, τοῦτο τὸ βιβλίον ἐπιμελῶς μεταχειρίζεσθαι δεῖ, καὶ τὴν σχολὴν εἰς αὐτὸ συντεταγμένην ἔχειν, καὶ ὅ γε πεισθεὶς τῇ παραινέσει, ἐν αὐτῇ τῇ πείρᾳ τὸ κέρδος εὑρήσει.

ΙΩΒΙΟΥ ΜΟΝΑΧΟΥ
λόγοι θ'.

σκβ'. *Iobij monachi Oeconomica siue de Redemptionis mysterio, libri IX. cap. XLV.*

ΑΝΕΓΝΩΣΘΗ βιβλίον Ἰωβίου μοναχοῦ ἐν λόγοις μὲν θ', κεφαλαίοις δὲ μ' καὶ ε'. οἷς συνυποβάλλει καί τινα ἕτερα. τὴν δὲ τοῦ βιβλίου ἐπιγραφὴν, οἰκονομικὴν ἐπέγραψεν ὁ συντάξας πραγματείαν. διότι φησὶν ἐν αὐτῷ πολλὰ τῶν περὶ τῆς οἰκονομίας περιέχεται ζητημάτων. ἐν μὲν οὖν ταῖς ἀπορίαις καθόλου φάναι ὁ συγγραφεὺς οὐκ ἀγεννής ἐστιν, οὔτε ἄτονος. οὐχ ὁμοίως δὲ διὰ τῶν λύσεων πρόεισιν· ἀλλ' ἐν πολλοῖς μὲν ἰχνηλατῶν τυγχάνει τῆς λύσεως. ἔστι δ' ἐφ' ὧν τοῖς φαινομένοις ἀρκεῖται, περαιτέρω μηδὲν πρὸς τὴν τῆς ἀληθείας * ἐμβαθύνων ἀκρίβειαν. τάχα δ' ἄν τις ἕτερος εἴποι, καὶ τοῦ φαινομένου πολλάκις τὴν αὐτοῦ σπουδὴν καθυφιέναι. τῆς μέντοι γε εὐσεβείας, ὅσα γε ἐμὲ εἰδέναι, ἔν τε τῷ παρόντι λόγῳ, [καὶ ἐν] τῇ κατὰ * Σεβήρου πραγματείᾳ, ἐραστής τέ ἐστιν ἀξιέπαινος, καὶ τὸ φιλόπονον οὐκ ἀδόκιμος, καὶ τῆς τῶν ἱερῶν γραφῶν μελέτης οὐκ ἄπειρος. ἐξ ἐπιτάγματος μὲν οὖν τινος τῶν ἐπ' ἀρετῇ γνωρίμων τὸν προκείμενον ὑπελθεῖν πόνον διηγεῖται. Πρώτην δὲ τίθησι τῶν λόγων αὐτοῦ ἀπορίαν, διὰ τί ὁ υἱὸς,

* ἐμβαθύνων.

* al. Σευήρ.

positiones. Atque hîc vniuersum medicæ facultatis opus suum Aëtius absoluit. AETIVS.

Addit insuper, vt eorum aliqua, quæ communiter de Trinitate dici solent, sæpenumero S. Scriptura ad vnam peculiariter venerabilium personarum referat. Ita sanè creandi vis Patri ex æquo ac S. Spiritui attributa, certa nihilominus ratione Filio rursus vt excellens quid adsignatur. Sic & humani generis redemptionem, quam Verbum perfecit, reperias in Patrem referri. [c] *Locutus est enim*, inquit, *nobis in Filio.* & : [d] *Vt innotesceret multiformis sapientia Dei, quam fecit in Christo.* & : [e] *Ipsius enim sumus factura, creati in Christo* IESV *in operibus bonis*: *facturam* videlicet, & *opus* reformationem vocat Apostolus. Et rursum: [f] *Cum notum fecisset nunc nobis sacramentum voluntatis suæ, secundum beneplacitum suum, quod proposuit in eo, ad instaurandum omnia in Christo.* aliáque id genus plurima.

[c] Heb. 1. 2.

[d] Ephes. 3. 10. & 11.

[e] Ephesi. 2. 10.

[f] Ephes. 1. 9. Vt notum faceret Vulg.

IOBIVS.

Si enim per Filium omnia esse condita credimus: necessarium certe Patrem quoque creatorem confiteri, saltem propter idem velle, posse, ac facere. Similiter & Spiritum sanctum. Quippe quod iam reformati sanctimoniam consequantur, atque in reformatione perseuerent, id Sancti Spiritus creantis atque conseruantis præcipue opus est. [a] *Spiritu* quoque [de] rebus creatis ait Dauid, *omnis virtus eorum*. Et vero clarum, quod dum Propheta ibidem dicit: *Verbo Domini cæli firmati sunt. Verbum* vt opificem celebrat. *Firmationem* enim vocat primam illam coagmentationem productionémque. Vt & quod efficiendi perficiendique potentiam spiritui tribuat, per ea quæ adiunxit: *Et spiritu oris omnis virtus eorum*. [b] Gregorius quoque diuino suo ore dicit: *Primum Angelicas potestates cogitat, atque illa cogitatio erat opus, quod Verbo complebatur, & Spiritu perficiebatur.* aliàque sexcenta. Vtiliter ergo, & ad institutionem atque introductionem satis accommodate diuinæ cognitionis præconium processit. Etenim in veteri Testamento, velut [c] vniuersorum causa primaria primum prædicatur Pater: Deinde ‖ filius tanquam operatrix causa declaratur: Tertio denique, vt causa perficiens, Spiritus Sanctus. Quæ enim perficiendi vim habent, ea pro suo quê à fine habent nomine, è profectu & incremento rerum temporumq; manifestantur, coronæ videlicet illius instar, quæ ob athleticos sudores in fine renunciato [victori] adaptatur. quamobrem etiam postquam hominem primû formauit Deus, vt eundem deinde perficeret: inspirauit in faciem eius spiraculum vitæ.

a Psal. 32. 6.

b Homil. 38. quæ est in natiuitate Christi.

c Basil. & P. Basilii doctrina est lib. de Sp. S. cap. 15. itemq; Greg. Nyss. Homil. in S. Baptisma.

XIIX. Hæc aliàque similia, quibus Spiritum sanctum perficientem esse doceat, vbi laboriosus hic homo studiosè collegit, Propterea, inquit, illuminati catechumeni diebus septem candidati incedunt. Quæ item causa fuit, cur vetus instrumentum, quod vmbratilem baptismi typum gerebat, hoc idem obseruaret: [d] *Comedite quoque* (ait) *panes, qui positi sunt in canistro consecrationis.* [e] *De ostio quoque tabernaculi testimonij non exhibitis septem diebus.* Et non dierum dumtaxat numerum descripsit olim vetu. Testamentum, sed & quæcumque alia hîc consequntur.

d Leuit. 8. 31.

e Ibid. v. 33.

Primo etenim nunc baptizamur, deinde vnguento vngimur, inde pretioso sanguine dignamur, sic prorsus & Moses hæc adumbrans, abluit primo aqua eos qui consecrabâtur, mox induit & cingit, deinde confert olei vnctionem, & tum sanguine aspergit, atque ad panis sumptionem adducit. quapropter & [f] B. Lucas in Euangelio primum, ait, benedici Dominici sanguinis calici, & fideles participes fieri, atque ita demum panem sumere. quanquam diuinus Apostolus calicis benedictionem alicubi prætermittit, interdum vero corporis dominici benedictioni subiicit. Ait enim: [g] *Calix cui benedicimus, nónne communicatio sanguinis Christi est? & panis quem frangimus?* Et rursum: [h] *Non potestis calicem domini bibere, & calicem dæmoniorum: & non potestis mensæ Domini participes esse.* [i] Alibi verò dicit: *In qua nocte tradebatur* (de Domino loquens) *accepit panem* ac dein de calice disserit.

f Luc. 22. 17.

g 1. Cor. 10. 16.

h Ibid. v. 20.

i 1. Cor. 11. 24.

εἰ γὰρ καὶ δι' υἱοῦ τὰ πάντα γενέσθαι πιστεύομεν· ἀλλ' οὖν ἀνάγκη καὶ τὸν πατέρα δημιουργὸν ὁμολογεῖν, καὶ διὰ τὸ ταυτὸν τῆς τε βουλῆς καὶ ἐνεργείας, καὶ δυνάμεως. ὡσαύτως δὲ καὶ τὸ πνεῦμα τὸ ἅγιον. καὶ μάλιστά γε τὸ ἀπολαύειν τοὺς ἀναπλασθέντας τοῦ ἁγιασμοῦ, καὶ διαμένειν ἐν τῇ ἀναπλάσει, τῆς τοῦ παναγίου πνεύματός ἐστι δημιουργίας τε καὶ συνοχῆς. καὶ τῷ πνεύματι δὲ τῶν παραχθέντων φησὶν ὁ Δαβίδ, πᾶσα ἡ δύναμις αὐτῶν· καὶ δῆλον ὡς δι' ὧν μὲν ὁ προφήτης λέγει, τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, ποιητικὸν τὸν λόγον ὑμνεῖ. στερέωσιν γὰρ, τὴν πρώτην πῆξιν καὶ γένεσιν καλεῖ: τελειωτικὸν δὲ καὶ δυναμοποιὸν τὸ πνεῦμα, δι' ὧν ἐπήγαγε· καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. καὶ ὁ γρηγόριος δὲ καὶ θείᾳ γλώσσῃ φησὶ, πρῶτον ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις, καὶ τὸ ἐννόημα ἔργον ἦν λόγῳ συμπληρούμενον, καὶ πνεύματι τελειούμενον· καὶ μυρία ἄλλα. ὠφελίμως δὲ καὶ παιδαγωγίας καὶ εἰσαγωγῆς οἰκείως τὸ τῆς θεογνωσίας προελήλυθε κήρυγμα. καὶ γὰρ διὰ μὲν τῆς παλαιᾶς, ὡς προκαταρκτικὸν τῶν ὅλων αἴτιον ὁ πατὴρ πρώτως κηρύττεται· καὶ δεύτερος[*] δὲ ὁ υἱός, ὡς δημιουργὸν αἴτιον ἐμφανίζεται· καὶ τρίτως, ὡς τελειωτικὸν τὸ πνεῦμα τὸ ἅγιον. τὰ τελειωτικὰ γὰρ τῷ τέλει φερωνύμως ἀναφαίνεται, τῇ προκοπῇ καὶ αὐξήσει τῶν πραγμάτων καὶ τῶν χρόνων οἷα στεφάνου ἀναῤῥήσεως ἐπὶ τοῖς ἀθλητικοῖς ἱδρῶσι κατὰ τὸ τέλος ἐναρμοζόμενος. διὸ καὶ τὸν ἄνθρωπον πλάσας ὁ θεὸς πρῶτον, εἶτα [*] τελεῖ, ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνεῦμα ζωῆς. ταῦτα καὶ τοιαῦτα ἕτερα, περὶ τοῦ ὅτι τὸ πανάγιον πνεῦμα τελειωτικόν ἐστι, διηγωνισμένος ὁ φιλόπονος ἀνὴρ, διὰ τοῦτό φησιν, οἱ φωτιζόμενοι ἑπτὰ ἡμέρας λαμπροφοροῦσι: διότι καὶ ἡ παλαιὰ, σκιᾶς ἐπέχουσα πρὸς τὸ βάπτισμα τύπον, τοῦτο ἐφύλαττε· καὶ φάγεσθε, γάρ φησι, τοὺς ἄρτους τοὺς ἐν τῷ κανῷ τῆς τελειώσεως· καὶ ἀπὸ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου οὐκ ἐξελεύσεσθε ἑπτὰ ἡμέρας. καὶ οὐ τὸν ἀριθμὸν τῶν ἡμερῶν ἡ παλαιὰ μόνον προϋπέγραφεν, ἀλλὰ καὶ τὴν ἄλλην ἀκολουθίαν. καὶ γὰρ ἐνταῦθα πρῶτον μὲν βαπτιζόμεθα, εἶτα τῷ μύρῳ χριόμεθα, ἐκεῖθεν τοῦ τιμίου ἀξιούμεθα αἵματος. οὕτω δὴ καὶ Μωσῆς σκιογραφῶν ταῦτα, λούει πρῶτον τοὺς τελειουμένους τῷ ὕδατι, εἶτα ἐνδιδύσκει καὶ περιζωννύει, εἶθ' οὕτως ἐπιφέρει τὴν τοῦ ἐλαίου χρίσιν· καὶ οὕτω ῥαίνει τῷ αἵματι, καὶ πρὸς τὴν τῶν ἄρτων ἄγει μετάληψιν. διὸ καὶ ὁ θεῖος Λουκᾶς ἐν τῷ εὐαγγελίῳ, πρῶτόν φησιν εὐλογεῖσθαι τὸ δεσποτικοῦ αἵματος τὸ ποτήριον, καὶ τοὺς πιστοὺς μετέχειν· καὶ οὕτω μεταλαμβάνειν τοῦ ἄρτου. ὁ μέντοι θεῖος ἀπόστολος τὴν εὐλογίαν τοῦ ποτηρίου ποτὲ μὲν παρατρέχει, ποτὲ δὲ τοῦ δεσποτικοῦ σώματος ὑποτάττει. καὶ γάρ φησι, τὸ ποτήριον ὃ εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος τοῦ χριστοῦ ἐστιν εἶτα, τὸν ἄρτον ὃν κλῶμεν· καὶ πάλιν, οὐ δύνασθε ποτήριον κυρίου πίνειν, καὶ ποτήριον δαιμονίων. καὶ οὐ δύνασθε τραπέζης κυρίου μετέχειν: ἀλλαχοῦ δέ φησι, τῇ νυκτὶ, ᾗ παρεδίδοτο (περὶ τοῦ δεσπότου λέγων) ἔλαβε τὸν ἄρτον· εἶτα ἑξῆς καὶ περὶ τοῦ ποτηρίου διαλαμβάνει.

[*] δευτέρως

[*] al. τελειοῖ

περὶ

περὶ τοίνυν τούτων διαλαβὼν, πειρᾶται αἰτίας ἀποδιδόναι τῆς εἰρημένης διαφόρου τάξεως· καί φησιν, ὡς ἐπειδὴ ἐν ἡμῖν πρῶτον τὸ αἷμα συνίσταται, εἶτα μεταβάλλεται εἰς σάρκα: φυσικῶς ἡ γραφὴ κινουμένη, τὴν τάξιν ταύτην καὶ κατὰ τὴν τῶν μυστηρίων διήγησιν ἐφύλαξεν. ἡ δὲ ἀνάπαλιν τάξις, τῆς κοινῆς τραπέζης μιμεῖται τὴν τάξιν. πρῶτον γὰρ ἐπ' αὐτῆς ὁ ἄρτος παρατίθεται, εἶτα ὁ οἶνος ἐπιφέρεται. τὴν δὲ κοινὴν ταύτην τράπεζαν μιμεῖσθαι πάλιν τὴν πλάσιν ἡμῶν. ἐπειδὴ γὰρ, ὡς δοκεῖ τῷ Ἰὼβ, ἐκ πηλοῦ διεπλάσθημεν, ὁ δὲ πηλὸς ἐκ γῆς ἐστὶ καὶ ὕδατος· πλάσις δέ ἐστι τρόπον τινὰ καὶ ἡ τροφὴ, ἀναπληροῦσα καὶ ἀναπλάττουσα τὸ ἀπορρέον: διὰ τοῦτο ὥσπερ ἐν τῇ παρὰ θεοῦ πλάσει τὸ ξηρὸν προείληπται τοῦ ὑγροῦ, οὕτω καὶ ἐν τῇ μιμήσει τῆς παρ' ἡμῖν πλάσεως ὁ ἄρτος τοῦ οἴνου προλαμβάνεται. καὶ αὐτὸς μὲν τοιαῦτά τινα περὶ τῆς τάξεως φυσιολογεῖ, εἰ καὶ θειοτέρας θεωρίας ταπεινότερον.

Hæc igitur vbi retulit, causam huius varij ordinis reddere conatur, dum ait: Quandoquidem in nobis primus sanguis constituitur, qui hinc in carnem conuertitur, naturali via Scriptura procedens, hunc etiam ordinem in mysteriorum narratione retinuit. Porro contrarius huic ordo, communis mensæ ritum imitatur. Primo enim in ipsa panis apponitur, ac tum vinum infertur. Communem autem illam mensam, rursum respondere nostræ formationi [addit.] Postquam enim (vt vult [a] Iob) de luto formati sumus(quod è terra & aqua temperatur) Nutritio autem quædam quasi formatio est, replens ac reficiens, quod defluxerat. idcirco quemadmodum in ea quam Deus fecit formatione, aridum ante humidum sumptum est, sic & in ea, quam nos huius imitatione facimus formatione, panis ante vinum sumitur. Huiusmodi ille fere de ordine ex natura philosophatur; etsi id non satis pro dignitate Theologiæ.

IOBIVS.

a Iob. 33. 6.

Διὰ τί τοὺς βαπτιζομένους λαμπροφορεῖν.

Τὸ μέντοι λαμπροφορεῖν φησι τοὺς βαπτιζομένους, τῆς τῶν ἀγγέλων ἐστὶ σύμβολον λαμπρότητος, τὸ καθαρὸν ἐκείνοις τοῦ νοῦ, καὶ ἀμιγὲς τῆς ὕλης καὶ τῶν παθῶν, διατυπούσης. ὧν χρὴ καὶ τὸν φωτισθέντα ἐν μεθέξει τῆς χάριτος γεγονότα, ἐν τοῖς λαμπρότητος χαρίσμασι συντηρεῖν ἑαυτόν. ἀλλ' ἐν τούτοις μὲν αὐτῷ καὶ τὸ ιη' κεφάλαιον εἰς πέρας ἦλθε.

De baptizandorum candidis habitus gestatione.

Quod autem candidam, qui baptizantur, vestem gerant, inquit, signum illud est angelici splendoris, qui puritatem mentis illis, sine mixtione materiæ ac passionum, exhibet, quorum quidem gratiæ cum illuminatus sit particeps effectus, in nitoris accepti donis seipsum conseruare debet. Atque in his decimooctauo capiti ab eo finis imponitur.

Διὰ τί ὁ Μωσῆς οὐκ ἀπ' ἀγγέλων τῆς κοσμογενείας ἤρξατο.

Ἐννεακαιδέκατον δὲ κεφάλαιον πραγματεύεται αἰτίας διεξερχόμενον, δι' ἃς τῆς κοσμογενείας ὁ Μωσῆς οὐκ ἐξ ἀγγέλων ἤρξατο. καί φησιν, ὅτι Μωσῆς νομοθετεῖν μέλλων ἀνθρώποις, καὶ ἀγαθῶν μὲν ἐπαγγελίας τοῖς κατορθοῦσιν, ἀπειλὰς δὲ καὶ τιμωρίας παρὰ θεοῦ τοῖς ἐξαμαρτάνουσιν ἐπανατεινόμενος, εἰκότως, ὡς ἐν ἱστορίας τρόπῳ, καὶ τὴν δημιουργίαν ἐκείνων * πάντων εἰσάγει· ὧν ἡ χρεία πρός τε εὐεργεσίαν, καὶ ἀπειλὴν τῶν νενουθετημένων συντελεῖ. ἔσται γὰρ, φησιν, ὁ οὐρανὸς χαλκοῦς, καὶ ἡ γῆ σιδηρᾶ, καὶ ὅσα ἄλλα διὰ τῶν κτισμάτων τοιαῦτα ἢ πρὸς ἀπόλαυσιν τῶν κατορθούντων, ἢ πρὸς κόλασιν τῶν ἁμαρτανόντων ἀναγέγραπται. ἐπεὶ οὖν σκοπὸς ἦν τῷ νομοθέτῃ, καὶ τῇ ἀνθρωπίνῃ φύσει σωτηριώδεις νόμους εἰσαγαγεῖν, καὶ τῶν νομοθετηθέντων ἀσφάλειαν διά τε τῆς τῶν χαλεπῶν ἀπειλῆς, καὶ τῆς τῶν βελτιόνων ὑποσχέσεως περιποιήσασθαι· ἑκάτερον δὲ τούτων ἐκ τῶν κτισμάτων παραλαμβάνειν: διὰ τοῦτο ὅσα μὲν συντείνει πρὸς τὸν αὐτὸν σκοπὸν, τούτων καὶ ἱστορίαν τῆς γενέσεως ἀνετάξατο· ὅσα δὲ τέως οὐ κατήπειγεν, ὑπερτίθεται. δεύτερον διὰ τοῦ αἰσθητοῦ κόσμου ὡς δι' εἰκόνος ὁ Μωσῆς τὸν τεχνίτην αὐτοῦ καὶ δημιουργὸν ἐβούλετο τοῖς νομοθετουμένοις ὑποδεικνύναι ἅτε δὴ παχυτέροις οὖσι τηνικαῦτα, καὶ μόλις ἐκ τῶν αἰσθητῶν καὶ συντρόφων αὐτοῖς δυναμένοις κατανοεῖν τὸν δημιουργὸν καὶ τεχνίτην τῶν ὁρωμένων. τοῦτο δὲ ἀπὸ τῆς περὶ ἀγγέλους διηγήσεως οὐκ ἐνῆν κατορθοῦν· ἐξ ἀδήλων γὰρ καὶ οὐκ ἐκ φαινομένων τοῦ ἀδήλου τὴν γνῶσιν παρέχειν, ἀσύμφορόν τε καὶ λίαν ἀσθενές. ἄλλως τε δὲ καὶ θεὸν μὲν, εἰ καὶ μὴ ὀρθῶς, ἀλλ' οὐκ ἀμηγέπη τὸ Ἰουδαίων ἔθνος, καὶ πρὸ τῆς νομοθεσίας ἐδόξαζεν:

* πλειόνων.

XIX. Capite causas recenset, *Cur in mundi fabrica referenda, Moses ab angelorum creatione initium non duxerit.* Mosem ergo leges hominibus laturum, cum recte quidem agentibus bonorum promissionem, minas vero à Deo & pœnam sceleratis intenderet, merito, ait, pro historiarum more illorum etiam omnium creationem adducere, quorum vsus vel ad beneficentiam, qui admoniti fuere, vel ad terrorem incutiendum valeret. Erit enim, inquit, *cælum aneum, & terra ferrea.* & quæcumque aliæ huiusmodi creaturæ eorum vel ad vsum rectè agentium, vel ad correptionem peccantium descriptæ sunt. Cum igitur Legislatori propositum fuerit, & mortali generi leges ferre salutares, & ipsis legibus latis præsidium, suppliciorum minis, ac præmiorum promissione, quærere, vtrumque horum ex creaturis desumendo: propterea quæcunque ad hunc scopum conducunt, horum etiam creationis historiam pertexuit, iis quæ eo non pertinebant reiectis.

Deut. 28. 23.

Deinde per sensibilem mundum, tanquam per imaginem, voluit Moses artificem eius, & creatorem, iis quibus legem ferebat exhibere. qui cum tunc adhuc crassiores essent, & vix è sensilibus atque cognatis rebus, eorum quæ videntur creatorem possent cognoscere; rectè illud consequi non potuit, cœpta ab Angelis narratione. Ex ignotis enim, non autem ex apparentibus notitiam ignoti parare velle, inutilis sane conatus est, valdéque infirmus. Alioqui Deum si non rectè, at aliquo saltem modo Iudaica gens, etiam ante legem latam, glorificauit

IOBIVS.

cum angelorum ne appellationem quidem nouisset vno forsitan & item altero excepto, quibus id S. Spiritus gratia reuelarat. Confirmat quæ dicimus hoc, [a] quod etiamnum Sadducæi Deum quidem exsistere, & architectum esse mundi fatentur, cum tamen angelos vllos esse pertinaciter negent. Angelorum vero natura atq; appellatio à principio ignota, inde primũ in notionem venit, ex quo Abrahæ in Deum pietas cognosci cœpit: vnde aucta atq; amplificata, in omnes deinde pios deriuata est. Quãquam hos etiam Moses in fine suæ historiæ cum alia creatura coniungens: [b] *Lætamini*, inquit, *cæli, & adorent eum omnes angeli eius*.

a Act. 23. 8. Sadducæi non credunt esse angelos.

b Deuter 32. 43. secundum LXX.

Tertium illud addit Iobius, si visibilia nobis viciniora, atque ad cognoscendum aptiora, quam inuisibilia sunt, rectè sensibilium tradens ortum Moses, maiora tantisper rudibus tradere ob inaccessam difficultatem, & quæ multa indigeret instructione omittit. Tu porro hic vna mecum cõsidera, vnum esse admodum de sensibilibus docendum illud, quod à Deo producta sint: cum de intelligibilibus duo hæc docenda veniant, & quod sint, & quod suam ex Deo subsistentiam acceperint. Propterea quoq; Angelorum non meminit Moses, dum mundi creationem narrare primum incipit; ne qui forte fidem latius extendere cupiunt, atq; instabiles sunt, ipsum quoque Vniuersum ab Angelis conditum esse opinarentur. Si enim cum nullam huiusce causam Moses scribendo dederit, Hebræorum tamen non pauci, & quibus horum placet error, mundum ab Angelis, quæque mundo continentur, creata esse nugantur, quanto vtique auctior erat futurus morbus, si quid tale ab ipso Legislatore Mose scriptum fuisset.

Nunc vide mihi ratiocinationis huius accurationem. Ab Adami præuaricatione adusque Noë generationem, Angelorum natura in hominum cognitionem minimè venit. quæ prima omnium ætas fuerit. Ac ne in secunda quidem ætate, quæ in audacem illam turris ædificationem desinit. Sed nec tertia se potest ætas Angelorum cognitione iactare, quæ vsque dum Abraham Deum cognoscere cœpit, vt manifestum est, extenditur. At postquam Abrahæ promissiones illæ, quæ Dominicam incarnationem veluti fundabant, ac præordinabant, factæ sunt, humanæque mentis oculi veritatis luce collustrari magis cœpere, & animi fluctuatio stabili religionis fide confirmari; tunc certè Angelus vnus introducitur ancillæ Abrahæ Agar ministrans, qui illam animi pendentem ac deficientem solaretur. Tantum non hanc vocem mittente historia, magnum esse discrimen inter ministerium & creationem, interque creatorem, & res creatas.

Genes. 21. 17.

Illud enim dominationis est atque imperij, hoc vero obedientiæ ac seruitutis. Quamobrem & Paulus præter cæteros Legis benè peritus: *Nonne omnes sunt administratorij Spiritus, in ministerium missi?* exclamauit. Hac igitur de causa, vt diximus, Angelorum creationem initio historia non attigit. Quæ quidem vbi retulit Auctor, aliáque adiunxit, quæ (mihi saltem) nequaquam ea videntur ad rem proposita adferre, quæ necessaria erant, tertium tandem librum finit.

Heb. 1. 14.

ἀγγέλων δὲ οὐδὲ προσηγορίαν ἠπίστατο χωρὶς ἑνὸς, ἢ καὶ δευτέρου, οἷς ἡ τοῦ πνεύματος ἀπεκάλυψε χάρις. μαρτυρεῖ δὲ τὸ λεγόμενον, ὅτι καὶ μέχρι νῦν τὸ σαδδουκαίων ἔθνος, θεὸν μὲν εἶναι καὶ δημιουργὸν ὁμολογεῖ, ἀγγέλους δὲ μηδαμῶς ὑπάρχειν ἀπαυθαδίζεται. ἡ δὲ τῶν ἀγγέλων φύσις καὶ κλῆσις κατ' ἀρχὰς ἀγνοουμένη, ἐκεῖθεν εἰς γνῶσιν κατέστη, ἀφ' οὗ τὸ θεοσεβὲς τοῦ Ἀβραὰμ ἐγνωρίσθη· ἐντεῦθεν αὐξομένη, καὶ προκοπὴν εἰς πᾶν τὸ τῶν εὐσεβῶν διεδόθη γένος· πλήν γε καὶ ὁ Μωσῆς ἐπὶ τέλει τῆς καθ' αὑτὸν ἱστορίας, τούτους τῇ ἄλλῃ συντατόμενος κτίσει, εὐφράνθητε οὐρανοί, φησι, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ. τρίτον ἐκεῖνό φησιν εἰ τῶν ἀοράτων τὰ ὁρατὰ ἐγγύτερα * πρὸς ἡμᾶς, καὶ πρὸς γνῶσιν ἐπιτηδειότερα: εὐλόγως τὴν αἰσθητῶν παραδιδοὺς τὴν γένεσιν ὁ Μωσῆς, τὰ μείζω τέως τοῖς εἰσαγομένοις, διὰ τὸ δυσέφικτον, καὶ πολλῆς παιδαγωγίας δεόμενον, παρατρέχει. κἀκεῖνο δέ μοι συνεπιθεώρει· μιᾶς δέονται τῆς διδασκαλίας τὰ αἰσθητὰ, ὅτι προήχθησαν ἐκ θεοῦ: τὰ δὲ νοητὰ διττὴν ἀπαιτεῖ, ὅτι τέ εἰσι, καὶ ὡς ἡ τούτων σύστασις ἐκ θεοῦ. ἔτι δὲ ἀγγέλων οὐκ ἐμνήσθη, τῆς κοσμογονίας ἀπαρχόμενος· ἵνα μή τινες τῶν εὐρυπίστων τε καὶ εὐμεταβόλων, δι' ἀγγέλων τὸ πᾶν ὑποστῆναί τε καὶ δημιουργηθῆναι δοξάσωσιν. εἰ γὰρ καὶ μηδεμίαν ἀφορμὴν Μωσέως κατὰ τὴν συγγραφὴν * παρατυχόντος, ὅμως ἑβραίων τε οὐκ ὀλίγοι, καὶ εἴς φιλον ἡ ἐκείνων ἀπάτη, δι' ἀγγέλων τὸν κόσμον, καὶ τὰ ἐν τῷ κόσμῳ, δημιουργηθῆναι παραληροῦσιν: ἐπὶ πόσον ἂν οὐκ ἐπενεμήθη τὸ νόσημα, εἴ τι τοιοῦτον τῷ νομοθέτῃ ἀνεγέγραπτο. καὶ ὅρα μοι τὴν τοῦ λόγου ἀκρίβειαν. ἀπὸ τοίνυν τῆς παραβάσεως Ἀδὰμ, μέχρι τῆς Νῶε γενεᾶς, ἀγγέλων φύσις εἰς ἀνθρώπων γνῶσιν οὐκ ἀφίκετο. περίοδος δὲ ἂν εἴη αὕτη τοῦ χρόνου πρώτη. οὐ μὴν οὐδὲ κατὰ τὴν δευτέραν περίοδον, ἥτις εἰς τὴν πυργοποιΐας ἀπολήγει τόλμαν. ἀλλ' οὐδ' ἡ τρίτη τοῦ χρόνου περίοδος τὴν ἀγγέλων ἔχει γνῶσιν σεμνύνεσθαι, ἥτις μέχρι τῆς τοῦ Ἀβραὰμ θεογνωσίας, ὡς δῆλον, παρατείνεται. ἐπεὶ δὲ τῷ Ἀβραὰμ αἱ συνθῆκαι τὴν δεσποτικὴν ἐπιδημίαν οἱονεὶ θεμελιοῦσαί τε καὶ * διοικονομοῦσαι γεγόνασι, καὶ ἤρξατο μᾶλλον τὸ ἀνθρώπινον τῷ φωτὶ τῆς ἀληθείας τοὺς τῆς διανοίας ὀφθαλμοὺς ἐναυγάζεσθαι, καὶ τὸ παλίρροιον τῆς γνώμης εἰς στάσιμον εὐσεβείας πίστιν διαπήγνυσθαι: τότε δὴ τότε τῶν ἀγγέλων ἕνα διακονοῦντα τῇ παιδίσκῃ τοῦ Ἀβραὰμ Ἄγαρ * διακονεῖν, καὶ τὸ ἐν ἑαυτῇ κατεσπευσμένον διηπορημένον τε καὶ ἄθυμον. μονονουχὶ φωνὴν ἀφιείσης τῆς ἱστορίας, ὡς πολὺ μέν ἐστι τὸ μέσον διακονίας καὶ δημιουργίας, καὶ δημιουργοῦ καὶ δημιουργουμένων· τὸ μὲν γὰρ κυριότητος καὶ δεσποτείας, τὸ δὲ ὑπακοῆς καὶ δουλείας. διὸ καὶ Παῦλος, εἴ τις ἄλλος νομομαθὴς οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα, διακέκραγεν, εἰς διακονίαν ἀποστελλόμενα. διὰ ταύτην μὲν οὖν τὴν αἰτίαν, ὡς ἔφθην εἰπὼν, ἀγγέλων κατ' ἀρχὰς ἡ ἱστορία γένεσιν οὐκ ἀναγράφει. καὶ ταῦτα εἰπὼν ὁ συγγραφεὺς, καὶ ἕτερα συνάψας τούτοις, οὐκ ἔμοιγε δοκοῦντα τὸ ἀναγκαῖον πρὸς τὴν ὑπόθεσιν φέρειν προσβάλλεσθαι, τὸν τρίτον ἀπαρτίζει λόγον.

ὅτι οἱ σαδδουκαῖοι ἀγγέλους εἶναι οὐ πιστεύουσι.

* τὰ ὁρατὰ [illegible]

* Ἴσ. παρασχόντος.

* al. οἱ [illegible]

Ὁ δὲ δʹ αὐτοῦ καὶ ὁ τοῦ εʹ λόγος, ἐν δυσὶ κεφαλαίοις περιγραφόμενος, οὐδὲν ἕτερον διαλαμβάνει, ἢ ὅτι τὴν πρεπωδεστάτην ἦν, τὴν ἀπαράλλακτον καὶ φυσικὴν εἰκόνα τοῦ πατρὸς ἡμᾶς τοὺς κατ' εἰκόνα μὲν γεγονότας, τὸν δὲ χαρακτῆρα κιβδηλεύσαντας, ταύτην ἡμᾶς ἀποκαθᾶραί τε τῶν κηλιδωμάτων, καὶ εἰς τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι· καὶ ὡς ἔδει τὴν ἀληθῆ καὶ ἐνυπόστατον τοῦ Θεοῦ σοφίαν, τοὺς εἰς ἀλογίαν παρεκτραπέντας, καὶ πρὸς τὸν κτηνώδη βίον ἀπονεύσαντας, ἀπαλλάξαι τε τῆς ἀλογίας, καὶ πρὸς τὸ λογικὸν ἐπαναγαγεῖν ἀξίωμα.

Ὁ δὲ ἕκτος αὐτοῦ λόγος, κεφάλαιον προβάλλεται πρῶτον, διὰ τί δημιουργὸς ὁ υἱὸς λέγεται τῆς τε πρώτης ἡμῶν ὑποστάσεως, καὶ τῆς ἐπὶ τέλει τῶν αἰώνων ἀναπλάσεως· εἶτα καὶ κριτὴς ἁπάντων ἐν τῷ καιρῷ τῆς καινῆς ἀναστάσεως; ἐχομένων γὰρ τῶν τριῶν τούτων καταστάσεων ἀλλήλοις, καὶ πρὸς τὸν αὐτὸν δεσπότην καὶ τεχνίτην ἀναφερομένων, καὶ ἡ περὶ αὐτῶν ἀλληλουχεῖται καὶ συνυφαίνεται ζήτησίς τε καὶ ἐπίλυσις. ἐπεὶ γὰρ ἔκτισε, δικαίως καὶ διαλυθέντας ἀνακτίζει. καὶ ἐπεὶ τοῦτο, ἀκολούθως τῷ οἰκείῳ πλάσματι καὶ νομοθετεῖ. * νομοθετεῖ δὲ δῆλον ὅτι καὶ τὴν κρίσιν, τοῖς τε νομοφυλακοῦσι καὶ τοῖς τὸ παραβαίνομεν προελομένοις αὐτὸς ἀδέκαστον τὸ προνόμιον ἔχει διανέμειν. προηγουμένης οὖν τῆς ζητήσεως, διὰ τί, μηδεμιᾶς οὔσης ἐν τῇ τριάδι διαφορᾶς, καθ' ὑπεροχὴν λέγω καὶ ἔλλειψιν, ὁ υἱὸς μᾶλλον δημιουργός τε καὶ πλάσης ἀνακηρύττεται; καὶ ταύτης τὴν λύσιν ἤδη λαμβανούσης, φανερὸν ὡς καὶ τὰ ἐφεξῆς τῶν ζητημάτων συνδιαλύεται. φησὶν οὖν, ὡς καλῶς καὶ εὐλόγως ἡ δημιουργία τοῦ παντὸς κατ' ἐξαίρετον τῷ υἱῷ ἀναφέρεται. καὶ γὰρ τοῦ λόγου μετὰ σαρκὸς ἐπιδημήσαντος, αἱ μείζους καὶ πλείους περὶ τὴν δημιουργίαν αἱρέσεις προσέκοψαν. καὶ οἱ μὲν τὸν ἕνα καὶ ὡς ἀληθῶς δημιουργὸν ἀγνοήσαντες, εἰς πολλὰς αἰτίας τὴν τῶν ὄντων ἀνῆψαν ὑπόστασιν. ἔνιοι δ' οὖν οὐκ εἰς πλῆθος μόνον θεῶν ἐξεχύθησαν, ἀλλὰ καὶ τῷ ἀγαθῷ πονηρὸν ἀντικαθιστῶντες, τὴν τῶν ὅλων ἀμέριστον ἐπιστασίαν εἰς ἀντικειμένας προνοίας διέσχισαν. τινὲς δὲ καὶ τῆς ἀμεροῦς καὶ διὰ πάντων τὸ ἴσον ἐχούσης θεότητος, μεριστὰς πικροὺς καὶ ἀδίκους σφᾶς αὐτοὺς προκαθίσαντες, ὅλον τὸ θεοπρεπὲς τῷ πατρὶ περικλείσαντες, τὸν υἱὸν καὶ τὸ πνεῦμα τῆς συμμετοχῆς ἀπώσαντο· προφάσεως [ὡς] ἐνόμιζεν ἐπὶ τὸ ἀσύνετον περιδραξάμενοι· ὅτι δή τινα * θεὸν ἕνα, ὃν καὶ πατέρα ὑμνεῖ τὰ παλαιὰ νόμιμα, ἀνακηρύττουσι, καὶ τολμηρὸν ἐστὶν ἀγνοίας εἰς παρανομίαν θεὸν τὸν υἱὸν ἢ τὸ πνεῦμα συνομολογεῖν. τούτων δ' ἂν εἶεν ἄγνοιαν μὲν τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ἐνοσήσαντες, * ὅσας τὸ Ἰουδαϊκόν τε καὶ ἑλληνικὸν ἐνετάκη φρόνημα. οἱ δὲ γνῶσιν μὲν ἐπισφαλῆ δὲ κτησάμενοι, ὥσπερ Ἄρειος καὶ οἱ κατὰ Μακεδόνιον, οἳ συνηρίθμησαν ἀθέως τῇ κτίσει τὸν κτίσαντα. ἆρα οὖν τῆς τοιαύτης πλάνης οὕτως ἐπιπολάζειν κατισχυούσης, εἰ καὶ τὸ τῆς δημιουργίας τῶν ὅλων ἀξίωμα ἀφωρισμένως προσανετέθη τῷ πατρί. εἶτα καὶ ἡ ἀνάπλασις καὶ ἡ κρίσις, ποίᾳ μανίας οὐκ ἂν διεπλάττετο τοῖς ἀσεβέσι πρόφασις,

* al. νομοθετεῖ.
* al. θεὸν.
* al. ὅσοις.

LIBER IV. & V.

Cur Filius Dei homo factus.

QVARTVS vero & quintus liber duobus capitibus absoluitur, neque aliud quid attingit, quam [CAP. XX.] decentesimum fuisse, vt immutabilis natiuáque Patris imago nos ad eandem conditos (sed qui formam illam iam corruperamus) à sordibus mundaret, & pristino decori restitueret: [CAP. XXI.] vtque oportuerit veram & Hypostaticam Sapientiam Dei conuersos in insipientiam, & iumentis similes redditos à stultitia liberare, & ad rationabilis creaturæ dignitatem reducere.

LIBER VI.

Cur Creator & Iudex Dei Filius.

SEXTVS Liber primum illud [XXII.] Caput proponit: *Quare Dei Filius opifex dicatur, cum primæ nostræ exsistentiæ, tum reformationis in fine sæculorum, tum etiam Iudex omnium, nouæ resurrectionis tempore?* His enim tribus inter se connexis, & ad eundem dominum artificémque relatis, ipsa quoque quæstio & solutio connexam atque cohærentem rationem habent. Postquam enim creauit, merito perditos reparat. Quod cum ita sit, consequenter etiam suæ creaturæ legem fert. Vnde & illud planum efficitur, ipsius esse sententiam incorruptam ferre, tam in legem seruantes, quam in eam sponte violantes. Præmissa igitur quæstione, *Cur cum nulla sit in Trinitate gradus superioris aut inferioris differentia, Filius tamen potius opifex atque formator prædicatur:* manifestum est hac vna soluta, reliquas quoque ex ea deinceps ortas quæstiones dissolui. Quare affirmat recte ac merito Vniuersi creationem ad Filium per excellentiam referri. Cum etenim Verbum in carne ad nos venisset, plures ac maiores hæreses de creatione processerunt. In his aliqui verum atque vnicum creatorem ignorantes, in varias causas mūdi creationem retulerunt. Vnde non in multitudinem solum Deorum quidam sese effuderunt, sed & bono malum opponentes, Vniuersi gubernationem indiuisibilem in contrarias Prouidentias distraxerunt. quidam rursum indiuiduæ & per omnia æqualis Diuinitatis diuisores amaros atque iniustos se constituentes, tota Dei maiestate Patri attributa, Filium ac Spiritum sanctum ab eiusdem naturæ participatione repulerunt. Hoc pro sua dementia prætextu arrepto, quod & DEVM vnum (quem etiam Patrem prædicat vetus Lex) celebrarent, & noxam adducentis audaciæ esset, Filium vel Spiritum Deum confiteri. Ex his vero fuerint tum qui ignorantia Filij & Spiritus laborarunt; quotquot nimirum Iudæorum atque gentilium tabefecit error; tum qui scientia quidem, sed fallaci præditi (vt Ariani atque Macedoniani) ipsum creatorem rebus creatis adnumerauerunt. Vide igitur, quando hic error longe adeo latéque inualescere potuit; si etiam creationis Vniuersi dignitas definite Patri esset attributa, prætereáque redemptio atque iudicium, quis nom impiis dementiæ color, ac prætextus confingeretur,

IOBIVS. quo Filium ac Spiritum sanctum, vel nullo modo subsistere, vel subsistentem in creaturarum ordinem redigere auderent? Propterea igitur Pater Filio iusta de causa cedit, cum creationis dignitate ab initio, tum reformationis, tum etiam iudicij. Veruntamen non si in eorum aliquo, quæ modo diximus, Filio cessit Pater, mox etiam in omnibus cessit. Neque enim hoc disponentis omnia sapienter Prouidentiæ fuerit, quandoquidem tali nulla penitus apparente occasione, multi impiorum duo Testamenta contrariis Legislatoribus assignarunt. Quare conuenienti prorsus, quæque Deum deceat ratione, & sapientiæ plena dispensatione, Filio non formatio solum atque reformatio, sed iudicium quoque (etsi tribus personis communia hæc sint) per excellentiam attribuuntur. Sic igitur obiectam quæstionem Dei amans Scriptor hic dissoluit: cui & alia accedunt, quæ parem nequaquam cum suprascriptis vtilitatem habent.

Interim præsenti dubitationi aliud quiddam inuestigatione dignum admiscet. Quærit enim, *Cur Filio Pater præponatur, ac dehinc tertius Spiritus sanctus constituatur?* Respondétque certum esse, Diuinam naturam (cum nec verbis exprimi, nec mente comprehédi queat) neque ratione, neque oratione hoc ipsum quod est, euulgari vel nominari posse: Quibus vero per ineffabilem dispensationem cognoscenda obijcitur, non sicuti est, sed vt fas atque vtile est iis, quibus apparet, sic pulchritudinis suæ splẽdorem immittere infixius in se intuentes, & vtcumque fruendam dare. quapropter vt profundius, & magis Theologicè loquamur, siue Trinitatem, siue vnitatem, siue Patrem, siue Filium, siue Spiritum sanctum, siue Deitatem, siue aliud quidpiam incomprehensibilem illam & ineffabilem naturam cogitemus, vel nominemus, non hæc illa, sed supra hæc est. Quamobrem etiam ineffabilium enarrator clamat:[a] *Ex parte cognoscimus, & ex parte prophetamus, Cum autem venerit quod perfectum est, euacuabitur quod ex parte est.* Huiusque germanus discipulus, sapiens ille Dionysius, hæc ipsa iisdem propemodum testata verbis reliquit: maximè vbi[b] de perfecto atque vno agit. Quando igitur pleraque eorum, quæ de Deo dicuntur, non id quod est, significant, sed potius manu ducunt, & pro captu nostro per cognatas nobis res atque voces, mentem nostram supra nos attollunt: perspicuum est tale quid illud esse, quod primo loco inter loquendum proferatur Pater, deinde Filius, ac post hunc Spiritus sanctus. Quemadmodum alicubi etiam ipse Dominus, nos instituens, discipulis ait: *Euntes docete omnes gentes. baptizantes eos, in nomine Patris, & Filij, & Spiritus sancti.* Quoniam ipsa secundum se diuina natura, neque præponi, neque subiici apta est, sed supra omnem tam numeri, quam singularitatis notionem collocatur. Numerus siquidem, & vnitas de substantia dicuntur: diuinitas verò substantiam superat vniuersam. Quemadmodum igitur DEVS omnia quæ in tempore existunt, sine tempore cognoscit, & indiuisè, quæ diuisibilia, vt & fluxa, sine vllo fluxu:

a 1. Cor. 13. 9. & 10.

b Cap. XIII. lib. de diu. nom. [illegible]

Matt. 28. 19.

εἰς τὸ τὸν μὲν υἱὸν καὶ τὸ πνεῦμα ἢ μηδόλως ὑφεστάναι, ἢ καὶ ὑφεστῶτα εἰς τὴν τῶν κτισμάτων χώραν ἀπελαύνειν κατατολμήσωσι. διὰ τοῦτο οὖν ὁ πατὴρ τῷ υἱῷ οἰκονομικῶς ὑπεξίσταται, τῆς τε κατ' ἀρχὰς δημιουργίας, καὶ τῆς ἀναπλάσεως, εἶτα καὶ τῆς κρίσεως. οὐ μὴν ἀλλ' οὐδ' εἰ τῶν εἰρημένων μέν τινος ὁ πατὴρ ὑπεξίστη τῷ υἱῷ, μὴ πάντων δὲ τῶν εἰρημένων: οὐδὲ τοῦτο αὖ ἦν τῆς πάντα σοφῶς οἰκονομούσης προνοίας· ὅπου γε μηδὲ τῆς τοιαύτης ὅλως ὑποφαινομένης ἀφορμῆς, πολλοὶ τῶν ἀσεβῶν τὰς δύο διαθήκας ἐναντίοις νομοθέταις διενείμαντο. ὥστε ἐναρμονίῳ τε καὶ θεοπρεπεῖ λόγῳ καὶ οἰκονομίᾳ πεπληρωμένῃ σοφίας τῷ υἱῷ καὶ ἡ πλάσις, καὶ ἡ ἀνάπλασις, καὶ ἡ κρίσις, *καὶ τῶν τριῶν ὑποστάσεων εἴη ταῦτα κοινά, κατ' ἐξαίρετον ἀναφέρεται. οὕτω μὲν οὖν τὴν προκειμένην ἀπορίαν, ὁ *φιλόθεος συγγραφεὺς ἐπιλύεται. *συνυποβάλλεται καὶ ἕτερά τινα, οὐχ ὁμοίως τοῖς εἰρημένοις τὸ χρήσιμον παρεχόμενα. μεταξὺ δὲ τοῦ προκειμένου ζητήματος, καὶ ἕτερόν τι αὐτοῦ ἄξιον ἐξετάσεως συνδιαπλέκεται. ζητεῖ γὰρ διὰ τί προτέτακται ὁ πατὴρ τοῦ υἱοῦ; εἶτα τὸ πνεῦμα τρίτον συντάττεται; καί φησιν, ὡς ἡ θεία φύσις ἄρρητος οὖσα καὶ ἀκατάληπτος, δῆλον ὡς οὔτε λογισμῷ τινι, οὔτε ῥήματι, αὐτὸ τοῦτο ὅπερ ἐστὶν ἐκκαλύπτεται, ἢ ὀνομάζεται. οἷς δ' αὖ καὶ πρὸς ἐμφάνειαν δι' οἰκονομίας ἄφατον κατεστὴ οὐχ ὡς ἔστιν, ἀλλ' ὡς ἑκάστῳ τῶν ἐμφανιζομένων δυνατόν τε καὶ συμφέρον, οὕτως αὐτῆς τοῦ κάλλους τὰς μαρμαρυγὰς ἐνίησί τε τοῖς εἰς ταύτην ἀτενίζουσι, καὶ παραπολαύειν παρέχεται. διὸ βαθύτερόν τι καὶ θεολογικώτερον φάναι, κἂν τριάδα, κἂν μονάδα, κἂν πατέρα καὶ υἱὸν, καὶ πνεῦμα: κἂν θεότητα, κἂν ἕτερόν τι τὴν ἄληπτον ἐκείνην καὶ ἄφατον ἐννοήσωμεν, ἢ ὀνομάσωμεν φύσιν· οὐ ταῦτα, ἀλλ' ὑπὲρ ταῦτά ἐστι. διὸ καὶ ὁ τῶν ἀπορρήτων μυσταγωγὸς, ἐκ μέρους βοᾷ γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν· ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται. καὶ ὁ γνήσιος δὲ τούτου μαθητὴς, ὁ σοφὸς Διονύσιος, τὰ αὐτὰ καὶ τοῖς αὐτοῖς μικροῦ διαμαρτύρεται ῥήμασι, καὶ μάλιστά γε ἐν τοῖς περὶ τελείου καὶ ἑνός. οὐκοῦν ἐπεὶ τὰ πλεῖστα τῶν περὶ θεοῦ, οὐχ ὅπερ ἐστὶ παραδηλοῖ, χειραγωγία δὲ μᾶλλον τίς ἐστι, καὶ συγκατάβασις, διὰ τῶν συμφύλων ἡμῖν καὶ πραγμάτων καὶ ὀνομάτων, τὸν νοῦν ἡμῶν πρὸς τὰ ὑπὲρ ἡμᾶς ἀναφέρουσα: δῆλον, ὅτι τοιοῦτόν ἐστι καὶ τὸ προτετάχθαι τὸν πατέρα κατὰ τὴν ἐκφώνησιν, εἶτα τὸν υἱὸν, καὶ μετ' ἐκεῖνον τὸ πνεῦμα τὸ ἅγιον. ὥς που καὶ αὐτὸς ὁ δεσπότης παιδαγωγῶν ἡμᾶς πρὸς τοὺς μαθητάς φησι. πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. ἐπείγε αὐτὴ καθ' ἑαυτὴν ἡ θεία φύσις οὔτε προτέτακται, οὔτε ὑποτέτακται. ἀλλὰ καὶ πάσης ὑπερίδρυται καὶ ἀριθμήσεως καὶ μοναδικῆς ἐπινοήσεως. εἴπερ καὶ ὁ ἀριθμὸς, καὶ ἡ μονὰς περὶ *οὐσίαν, τὸ δὲ θεῖον ὑπερούσιον. ὥσπερ οὖν τὸ θεῖον τὰ ἐν χρόνῳ πάντα ἀχρόνως ἐπίσταται, καὶ ἀμερίστως τὰ μεριστὰ, καὶ ἀρρεύστως τὰ ῥέοντα:

* al. αἰῶν.

* al. θεόφιλος.

* al. συνεπιβάλλει.

Lib. περὶ θείων ὀνομάτων, c. 13.

* al. οὐσία.

οὕτω

ὑπὸ πάσης γενητῆς φύσεως καὶ τὸ ὑπέρχρονον ἐν χρόνῳ νοεῖ, καὶ μεμερισμένως τὸ ἀμέριστον, καὶ τὸ ἄφθεγκτον, διὰ συντρόφου φωνῆς ὀνόμασι διαμεμορφωμένης καὶ ῥήμασιν.

Εἶτα ἐφεξῆς ἐξετάζει, τίνος ἕνεκεν ὁ μὲν υἱὸς κατὰ τὴν ἐκφώνησιν μέσος παραλαμβάνεται, ἄκρα δὲ ὁ πατὴρ, καὶ τὸ πνεῦμα τὸ ἅγιον; καί φησιν, ὡς ἐπειδὴ δικαιοσύνης ζυγὸς λέγεται ὁ θεὸς, ἀναλόγως τῷ παρ' ἡμῖν ζυγῷ, καὶ ἡ ἐν τῇ θείᾳ φύσει τάξις ἐπινενόηται· ὥστε τὸν υἱὸν, τὴν μέσην χώραν ἀναπληροῦντα, τὴν ἄκραν ἰσότητα πρὸς τὰ ἄκρα συντηρεῖν· αὐτὸς γὰρ τήν τε κατ' ἀρχὰς δημιουργίαν καὶ τὴν ὕστερον τῆς γενέσεως ἀνάπλασιν ἀπειργάσατο. καὶ τὸ παράδειγμα δὲ [τοῦ ζυγοῦ] τὸ ἰσόρροπόν τε καὶ ἰσοδύναμον τῆς ἀπειροδυνάμου τριάδος αἰνίττεται, μηδεμιᾶς τῶν τριῶν ὑποστάσεων ἀναφερομένης τε πλέον, ἢ πρὸς τὴν κάτω ῥοπὴν ἀποκλινούσης· ἀλλ' ἐν τῷ ἴσῳ τε καὶ ὁμοτίμῳ καὶ ἀδιαφόρῳ τῆς δόξης καὶ τῆς οὐσίας ζυγοστατουμένης τε καὶ θεολογουμένης. ἐξ οὗ καὶ ἐν τοῖς γεννητοῖς ἡ ἰσότης δίδοται, καὶ τὸ δίκαιον ταλαντεύεται. ταῦτα μὲν οὖν αὐτῷ κατά τε τὸ κβʹ κεφάλαιον τοῦ ἕκτου βιβλίου, καὶ τὸ τρίτον καὶ κʹ, συνυφαίνεται. μετὰ τοῦτο δέ φησιν ἀναλογίαν τινὰ διασώζειν, τὴν ἐν ταῖς πτέρυξι τῶν σεραφὶμ θεωρουμένην διπλῆν τριάδα· καὶ τὸ μὲν μέσον ἀναλογεῖν τῷ πατρὶ, τὰ δ' ἄκρα τῷ υἱῷ καὶ τῷ πνεύματι· καὶ τὴν τριαδικὴν τῆς ἁγιότητος ἐκφώνησιν ἀπαράλλακτον οὖσαν πάντη, πρὸς ἑαυτὴν τὸ ἀπαράλλακτον κατ' οὐσίαν καὶ δύναμιν καὶ ἐξουσίαν τῶν τριῶν αἰνιγματίζειν ὑποστάσεων. καὶ ἐπισφραγίζειν δὲ καὶ ἐπισυνάπτειν τὸ ὁμοούσιον καὶ ἑνιαῖον τῶν τριῶν τὴν ἐπαγωγὴν καὶ ἐπιφορὰν τοῦ ἑνὸς κύριος. δηλοῦν δὲ καὶ τῶν πτερῶν τὴν διπλόην, πᾶσαν τὴν εἰς ἡμᾶς δι' αὐτῶν κατιοῦσαν γνῶσιν, εἰ καὶ διὰ τῶν ἀΰλων διακονεῖται πνευμάτων, οὐχ ἁπλῆν, ἀλλ' ὑλικὴν κατιέναι, ἐκ τῶν καθ' ἡμᾶς τύπων τε καὶ σχημάτων τοῖς συνθέτοις σύνθετον ἁρμοζομένην· διπλοῦν δὲ τὸ ὑλικὸν ἅπαν ἐξ ὕλης συγκείμενον καὶ εἴδους. ἔτι δὲ καὶ τὰς νοερὰς δυνάμεις ἐξ ἁγιασμοῦ καὶ οὐσίας, ὃ τὸ διπλοῦν αἰνίττεται τῶν πτερύγων, συγκεῖσθαί φασι. δῆλον δὲ ὡς καὶ ἡ τούτων γνῶσις τῆς ὁλοτελοῦς καὶ ὑπὲρ ἁπλότητα γνώσεως, ἥτις μόνῃ τῇ δημιουργικῇ τριάδι ἀφιέρωται, ἐλαττουμένη, καὶ τὸ ἀτελὲς ἔχουσα, οὐκ ἂν πάσης διπλόης τὸ ἐλεύθερον ἔχουσα. παραδηλοῦν δὲ καὶ τὴν ἅγιος φωνὴν, ἄνευ συνθήκης προφερομένην, καὶ μηδὲ μεταλαβοῦντος ἑτέρου προσρήματος, τὸ ἁπλοῦν καὶ ἀσύνθετον καὶ ἐξῃρημένον καὶ ἀβέβηλον τῆς θείας φύσεως, πρὸς πᾶσαν ἄλλην φύσιν τε καὶ ὑπόστασιν. τοῦτο δὲ τὸ ἅγιος τῶν ἁγίων αἰνίττεσθαι τὸ ὑπερϊδρυμένον καὶ ἀσύγκριτον πρὸς πᾶσαν ἄλλην ὀνομαζομένην ἁγιότητα. καὶ γὰρ καὶ ὅσοι διὰ τὸ θεῖον ἅγιοι λέγονται, βέβηλοί τε ἂν κριθείησαν, καὶ ἀκάθαρτοι, παραβαλλόμενοι θεῷ· ὥσπερ καὶ πάντες οἱ βασιλεῖς δοῦλοι, καὶ μὴ ὄντα τὰ ὄντα, πρὸς τὸν ὄντως ὄντα ἐξεταζόμενα. τὸ ἐξαίρετον τοίνυν, ὡς εἴρηται, καὶ μεμονωμένον, καὶ πάσης ἄλλης ὑπέρτερον φύσεως ἐπὶ θεοῦ καταγγέλλει τὸ, ἅγιος.

sic omnis creata natura, id quod tempus excedit, in tempore cognoscit, & diuise, quod diuidi non potest, quodque ineffabile est: per cognatam nominibusque & verbis efformatam vocem. IOBIVS.

XXIII. Quærit deinceps, *Cur Filius, cùm loquimur, medius assumatur, extremisque locis Pater, & Spiritus sanctus?* Respondet: Quoniam iustitiæ trutina dicitur Deus, proportione quadam cum trutina nostra, ideò quoque in natura diuina ordo eiusmodi excogitatus est, vt filius medio occupato loco, exactam æqualitatem cum extremis teneat. Ipse enim & à principio creationem, & ad postremum generis [nostri] instaurationem perfecit. Quin etiam trutinæ exemplum, infinitè potentis Trinitatis æqualem omnino ac parem potestatem subindicat, cum nulla trium personarum, vel plus altera assurgat, vel ad ima magis vergat, sed in æquali & pari, nullóque modo differente gloria, & essentia trutinetur, ac theologicè expendatur. Vnde & in rebus generatis æqualitas datur, & iustum æquis ponderibus libratur. Hæc ferè in vicesimo secundo capite sexti libri, itémque vicesimó tertio ab eo contexuntur.

XXIV. & XXV. Post hæc analogiam quandam seruari asserit à duplici illa Trinitate, quę in alis Seraphim consideratur. Et medium quidem Patri respondere, extrema verò Filio, ac Spiritui sancto. Triplicem quoque illam & omnino inuariatam in se vocis SANCTVS exclamationem: trium personarum immutabilitatem, quo ad essentiam, potentiam, & facultatem subindicare. Quin & illorum trium consubstantialitatem atque vnitatem velut sigillo obsignari ac coaptari, dum vnum dumtaxat postea [per vocem] DOMINVS inducitur & infertur. Alarum item geminationem, significare cognitionem illam omnem, quæ per hos in homines deriuatur (etsi per immateriales spiritus subministretur) non simplicem, sed materiatam deferri: ex nostris nimirum figuris ac formis, velut compositum quoddam, compositis adaptatam, cùm duplex sit materiatum omne, ex materia conflatum & forma. Quanquam & intelligibiles potestates, ex sanctificatione & substantia, quod duplicibus alis significetur, constari volunt. Certum verò quę horum cognitio, perfectissimâ illâ, & quæ omnem cognitionis simplicitatem superat, vt quæ soli creatrici Trinitati adscribatur, inferior atque imperfectior exsistens, non ab omni sit compositione libera. Adhæc vocem SANCTVS sine vlla coagmentatione prolatam, & nullo omnino alio intercedente prouocabulo, indicare simplicem, minimè compositum, excellentem & sacrosanctum diuinæ naturæ statum, cum omni alia natura & subsistentia comparatæ. Illud verò SANCTVS SANCTORVM, eiusmodi significare sanctimoniam, quæ sit supra omnem aliã, quæ nominari possit, collocata: minimeque cũ illa componenda. Quotquot enim ob diuinam gratiam SANCTI dicuntur, profani alioqui atque impuri meritò iudicari queãt, si cum Deo componantur. Vt & omnes reges, serui, & exsistentia, non exsistentia, ad eum qui reuera exsistit collata. Excellentiam igitur, vt dictum est, ac singulare quid, & supra reliquæ creaturæ terminos de Deo nuntiat verbum illud SANCTVS.

Esaia 6. 2.

IOBIVS.

Sanctum enim hîc dicas, non quod ab omni sorde, quæ corpus aut animam inquinat, purum est, nequaquam. Quænam enim illa Dei laus, aut potius quomodo non extrema eius vituperatio sit, si id laudationis loco vsurpetur, quod Deus ab affectionibus nostris liber exsistat: Sed distinctam [Dei naturam vox illa] & cæteris omnibus antecellentem, atque ab iis seiunctam prædicat. Neque verò insolita sacris litteris eiusmodi huius vocabuli significatio, vt ibi: *Omne masculinum adaperiens vuluam, sanctum Domino vocabitur*, hoc est, selectum. Et [a] rursum Iudicum libro: *Paries filium, & non ascendet ferrum super caput eius, quia sanctificatus est puer.* Aliaque sexcenta. Sic sanè sanctificari locum, vel panem, vel vinum dicimus, quæ Deo secernuntur, & ad nullum communem vsum referuntur. Fidem verò vt faciat his (quod materiæ expertes spiritus materialiter nobis materiatis res cœlestes adferant) [b] forcipem illam adducere pergit, quam vnus è Seraphim ad Prophetam missus attulit, carbonem complexam. Palàm enim est corporalibus in Symbolis incorpoream illam potestatem incorporeorum quorumdam, atque intelligibilium mysteria significare apud Prophetam voluisse, docente nos S. scriptura: quemadmodum sine intermedio aliquo, & absque crassiore materia ignis capi non potest: sic nec rerum diuinarum quidquam percipi posse sine materialibus symbolis, cæterisque rebus, iis qui susciperent accommodatis. Est autem forceps materiam designans, quemadmodum & carbo diuinum numen denotat. *Deus* [c] *enim noster ignis consumens est.* Et: *Eloquia Domini* [d] *igne examinata.* Ipsa quoque vox forcipis tactum significat, qui scilicet in solis apparet sensibilibus. Fortasse verò & Verbi incarnationem, nostri causa factam, obscurè designari prædictis symbolis probabiliter dicatur. Ignis enim diuinus, carnis nostræ crassitie [interiecta] nobiscum conue*rsatus est. Fieri etiam potest ait, vt forceps legalem vmbram designet: carbo verò nouum Testamentum; cùm per legalia symbola noui mysteria Testamenti ostendantur ac bene sentientibus tradantur. Addit insuper: Cùm corpus dominicum in sacra mensa p*ositum est: ideò qui ab vtroque latere sacr* *perantibus [adstant] in eorum, quæ sexa* *gestant symbolum, [e] confecta ex alis flabell* *supra oblata ibi horrenda m*ysteria agitare, vt ne sinant initiatos rebus visis inhærere, sed eos mentis oculis supra omne id, *uod cum materia coniunctum est sublatos, fa*ci*nt per ea quæ videntur, ad inuisibilem contemplationem, & inexplicabilem illam pulchritudinem ascendere. Nam tum et*iam cùm corporaliter Dominus præsens esset, cum timore ac tremore Seraphim ei inseruiebant: huiúsque timoris & tremoris specimen obscurum esse, alarum illam agitationem, quam ministrantes adhibêr. Si *verò Seraphim etiam incarnato iam Verbo ministrare declarantur, vt nihil ob eius in terram descensum de seruitute, quæ in cœlo erat, diminuant: clarum quod & alter incorporeorum spirituum ordo Incarnatum cul*tu latriæ adorabat.

Luc. 2. 23.

a Iudic. 13. 5. In vulg. & LXX. Nazaræus legitur, qua vox Hebraicè sanctum, vel sanctificatum significat, vt apud B. Hieronym. videas.

b Isa. 6. 6.

c Deut. 4. 24.

d Psal. 17. 31.

e Qui mos de Hispania hodieque spectatur, ad æstum ardente Canicula depellendum.

ἅγιον γὰρ ἐνταῦθα, οὐχὶ τὸ ῥύπου τινὸς καθαρὸν τοῦ διὰ σώματος ἢ ψυχῆς διαβαίνοντος, ἄπαγε. ποῦ γὰρ ἐγκώμιον θεοῦ, μᾶλλον δὲ πῶς οὐκ ἔσχατος ψόγος εἰς ὕμνον παραλαμβάνειν τὸ παθῶν ἀπηλλάχθαι τὸ θεῖον λέγειν τῶν *ἡμετέρων, ἀλλὰ τὸ ἀφωρισμένον καὶ ὑπεριδρυμένον τῶν ἄλλων ἁπάντων, καὶ ἀνακεχωρηκὸς ἀνυμνεῖ. συνήθες δὲ τῇ θείᾳ γραφῇ τὸ τοιοῦτον τῆς λέξεως σημαινόμενον, ὡς τὸ πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ κυρίῳ κληθήσεται, τουτέστιν, ἀφωρισμένον. καὶ πάλιν ἐν τοῖς Κριταῖς, τέξῃ υἱὸν, καὶ οὐκ ἀναβήσεται σίδηρος ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ὅτι ἡγιασμένον ἐστὶ τὸ παιδάριον. καὶ μυρία ἄλλα. οὕτω δὴ καὶ ἁγιάζεσθαι τὸν τόπον, ἢ τὸν ἄρτον, ἢ τὸν οἶνον, ἃ τῷ θεῷ φαμὲν ἀφορίζεσθαι, καὶ πρὸς μηδεμίαν κοινὴν *ὑποφέρεσθαι χρῆσιν. εἰς πίστιν δὲ παράγειν ἐπιχειρεῖ, ὅτι περ αἱ ἄϋλοι δυνάμεις ὑλικῶς τοῖς ὑλικοῖς τὰ ἄνωθεν διαπορθμεύουσι, τὴν λαβίδα, ἣν ἓν τῶν σεραφὶμ πρὸς τὸν προφήτην ἀποστελλόμενον ἔφερε, τὸν ἄνθρακα φέρουσαν. δῆλον γὰρ ὡς ἐν σωματικοῖς συμβόλοις, ἀσωμάτων τινῶν καὶ νοητῶν ἡ ἀσώματος δύναμις ὑποδήλου τῷ προφήτῃ μυστήρια, διδασκούσης ἡμᾶς τῆς ἱερᾶς γραφῆς, ὅτι καθάπερ οὐκ ἔστιν ἄνευ μεσότητος, οὔτε ὕλης παχυτέρας, τοῦ πυρὸς λαβέσθαι: οὕτω καὶ τῶν θείων οὐδὲν ἐστὶ λαβεῖν ἄνευ συμβόλων ὑλικῶν τε καὶ προσφόρων τοῖς δεχομένοις. ἔστι δὲ καὶ ἡ λαβὶς τυποῦσα τὴν ὕλην, ὥσπερ ὁ ἄνθραξ τὸ θεῖον. ὁ γὰρ θεὸς ἡμῶν πῦρ καταναλίσκον· καὶ τὰ λόγια κυρίου πεπυρωμένα. καὶ αὐτὴ δὲ ἡ φωνὴ τῆς λαβίδος τὴν ἁφὴν ἀπαγγέλλει, ἥτις δηλονότι ἐπὶ μόνων ὁρᾶται τῶν αἰσθητῶν. ἴσως δὲ καὶ τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν τοῦ λόγου αἰνιγματίζεσθαι διὰ τῶν εἰρημένων συμβόλων, φαίη οὐδὲν ἀπεικός. τὸ γὰρ θεῖον πῦρ παχύτητι τῆς καθ' ἡμᾶς σαρκὸς προσωμίλησεν ἡμῖν. δυνατὸν δέ φησι καὶ τὴν μὲν λαβίδα τὴν νομικὴν εἰκονίζειν σκιὰν, τὸν ἄνθρακα δὲ τὴν νέαν διαθήκην. καὶ γὰρ διὰ τῶν συμβόλων τῶν νομικῶν τὰ τῆς νέας μυστήρια παραδηλοῦσθαί τε καὶ τοῖς *εὐγνώμοσι παραδίδοσθαι. λέγει δὲ καὶ τοῦ κυριακοῦ σώματος ἐπὶ τῆς ἱερᾶς τραπέζης προτεθέντος, διὰ τοῦτο τοὺς παρ' ἑκάτερα τὰ ἱερὰ ὑπηρετουμένους, ῥιπίδας πτερῶν πεποιημένας, τοῖς προκειμένοις φρικτοῖς ἐπικινεῖν τῶν ἑξαπτερύγων φέροντας σύμβολα· ὡς ἂν μὴ ἐῶσι τοὺς τελουμένους τοῖς ὁρωμένοις ἐναπομένειν, ἀλλὰ παντὸς προσύλου ὑπεράνω γινομένης τοῖς ὀφθαλμοῖς, διὰ τῶν ὁρωμένων ἐπὶ τὴν ἀόρατον θέαν καὶ τὸ ἀμήχανον ἐκεῖνο κάλλος παρασκευάζουσιν ἀναδραμεῖν. καὶ γὰρ καὶ σωματικῶς τῷ δεσπότῃ παρόντι, φόβῳ καὶ τρόμῳ τὰ σεραφὶμ ὑπηρέτει· οὗ τινος φόβου καὶ τρόμου αἴνιγμα εἶναι, καὶ τὴν γινομένην διὰ τῶν πτερῶν κίνησιν, ἣν τὸ ὑπηρετούμενον ἐνεργεῖ. εἰ δὲ τὰ σεραφὶμ ὑπηρετοῦντα δηλοῦται καὶ σαρκωθέντι τῷ λόγῳ, καὶ οὐδὲν διὰ τὴν κάτω τοῦ λόγου διαγωγὴν τῆς ἄνω καθυφίησι δουλείας: δηλονότι καὶ ἡ ἄλλη τῶν ἀσωμάτων διακόσμησις τὸν ἐν μετὰ σαρκὸς παραγενόμενον λατρεύουσα προσκυνεῖ.

* al. ὑψηλόν.

* ἐπιφαίνεσθαι.

* al. ἀγνώμοσι.

ἡ γὰρ

ἡ γὰρ ἐν τούτοις πρωτεύουσα τάξις, τὴν δουλείαν οὐ καινοτομοῦσα, καὶ τὴν μετ' αὐτὴν τὴν ἴσην ὑπηρεσίαν βεβαιοῦται. γέγραπται γάρ, ὡς καὶ ἄγγελοι προσελθόντες διηκόνουν αὐτῷ. τὸ δὲ τοῦ ἀγγέλου ὄνομα, ὡς οἱ τὰ θεῖα ἴσασι σοφοί, κοινόν ἐστι πάσαις ταῖς νοεραῖς δυνάμεσιν ὄνομα. καὶ πάλιν περὶ τοῦ εἰς τὴν οἰκουμένην εἰσαγομένου πρωτοτόκου, τὸ * ἱερὸν γράμμα φησίν, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ. διά τοι τοῦτο, καὶ ἅμα τῷ πρὸς τὸ θυσιαστήριον εἰσιέναι τοὺς ἱερεῖς, ὁ ἱεροψάλτης ἄνωθεν ἀναβοᾷ τό· ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος. ἥν τινα ὑμνολογίαν συγκεῖσθαί φησιν ἐκ τῆς τῶν σεραφὶμ φρικτῆς ὁμολογίας. φησὶ δὲ ὡς οὐδ' οἴκοθεν πρὸς ταύτην ἦλθε τὴν ἔννοιαν· ἀλλ' * ἐξ ἰουδαίων τις τὸν τῆς ἀληθείας λόγον κατηχηθείς, καὶ ἄλλους κατηχεῖν παρὰ τῆς ἐκκλησίας ἀξίωμα λαβών, σοφός τε τὰ ἄλλα, καὶ βίῳ λαμπρός, ἐκεῖνος αὐτῷ τῆς προκειμένης μαθήσεως καθηγήσατο, ἐξ ὧν ἡ * ἱερολογία συνετέθη ἀναδιδαξάμενος. διδάσκειν οὖν αὐτόν φησιν ἔκ τε τῆς χερουβικῆς ὑμνολογίας, καὶ τοῦ μα' ψαλμοῦ τῶν ἱεροψαλτῶν συντεθεῖσθαι τὸ μελῴδημα. ᾄδεσθαι μὲν γὰρ ἐν τῷ ψαλμῷ τὸν θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα. μεταληφθῆναι δὲ τὸν μὲν ζῶντα εἰς ἰσοδύναμον τὸ ἀθάνατον· αὐτολεξεὶ δὲ διατηρηθῆναι τὸν ἰσχυρόν, καὶ οὕτω συνυφανθῆναι τὸ μελῴδημα τὸ ἱερόν. ἀποδεδόσθαι μέν τοίγε τὸ μὲν θεός, καὶ τὸ ἅγιος, πρὸς ἀντιδιαστολὴν τῶν εἰδωλικῶν σεβασμάτων, ἃ γεώδη τέ ἐστι καὶ χειρῶν τῶν ἀνθρώπων ἔργα, καὶ βδελύγματα ὡς ἀληθῶς· τὸ δὲ ἰσχυρὸς πρὸς τὸ ἐκείνων ἄφωνον καὶ ἀκίνητον, καὶ ἀσθενές· τὸ δὲ ἀθάνατος, πρὸς τὸ ἄπνουν ἐκείνων καὶ ἀνενέργητον, καὶ οὐδ' ὁποσονοῦν ζωῆς μεταχόν. λέγει δὲ τὸν αὐτὸν ἱερὸν ἄνδρα, καὶ τοῦτο αὐτὸν ἐκδιδάξασθαι, καθὰ καὶ ἑτέροις * ἐξιστόρηται, ὡς τῷ μακαρίῳ Πρόκλῳ (Κωνσταντινουπόλεως δὲ πρόεδρος ἦν) ἡ τοῦ εἰρημένου μελῳδήματος δι' ἀποκαλύψεως [ἐμυήθη] σύνθεσις· ἀγγέλων μὲν τὴν ἱερολογίαν ταύτην ἀναμελπόντων, ἐκείνου δὲ τὴν μύησιν πρώτου [ἐκεῖθεν] ἐκδεξαμένου. τοιοῦτον μὲν ἀγῶνα, καὶ τὸ τέταρτον καὶ κ' ἅμα τοῦ ἐφεξῆς ε' κεφαλαίου ἀποδύεται. Ἐν δὲ τῷ κϛ' κεφαλαίῳ * λέγεται ἐν τῇ κοσμογενείᾳ κατ' ἀρχὰς τῶν ϛ' ἡμερῶν ἀριθμὸν τύπον εἶναι τῆς * τριαδικῆς θεογνωσίας, καὶ τοῦτο δηλοῦν σὺν * καὶ τισιν ἑτέροις· καὶ τό, ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα· καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν· ἀλλὰ καὶ τό, ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, ὅσοις γοῦν εἰς τὰς * ἀρχικὰς ἐκείνας ἓξ ἡμέρας ἐναβλέπειν, οὐδὲν τῶν ἀπεμφαινόντων διαγνωσθῆναι. κεφαλὴ γὰρ καὶ ἀρχὴ βιβλίου, τουτέστι, πάσης τῆς θεοπνεύστου γραφῆς, ἡ ἑξαήμερος, ἐν αἷς ἡ κτίσις συνετελέσθη· ὧν ἐκ μεγέθους καὶ καλλονῆς ὁ δημιουργὸς καταλαμβανόμενος ἀνυμνεῖται. εἰκονίζειν δὲ τὴν τριάδα, καὶ πρὸς διδασκαλίαν τοῦ μυστηρίου συντελεῖν τὰς αὐτὰς ἓξ ἡμέρας φησίν, ὥσπερ καὶ τὴν ἐκ χερουβικῶν πτερύγων τὴν συμβολικὴν ἱερολογίαν. ἡ δὲ ἄρα ἐμυσταγώγει τῆς δημιουργοῦ τριάδος τὴν γνῶσιν δι' ὑλικῆς παραγίνεσθαι καὶ συνθέτου. καὶ μὴν καὶ αὐτῆς τῆς ἁπλῆς καὶ ἀσυνθέτου οὐσίας, διὰ τῆς ἐνύλου καὶ συντεθειμένης, τὴν τριαδικὴν ὑπαινίττεσθαι ἰδιότητα.

* al. γραφή.
* al. οὐκ ἐξ.
* al. ἱερομελῳδία.
* al. ἐξιστορεῖται.
* al. λέγων τὸν.
* al. τριάδος.
* al. ϛ'.
* al. ἀρχάς.

Cùm enim qui in his primum ordinem tenent, cultum non immutant, mox etiam par a subsequentibus ministerium exhiberi confirmant. Scriptum[a] est enim, quod etiam Angeli accedentes ministerium ei. *Angeli* verò appellatio, vt rerum diuinarum periti norunt, commune est intelligibilium spirituum nomen. Et iterum de primogenito in orbem terræ introducto S. Scriptura loquitur: *Et[b] adorent eum omnes Angeli Dei*. Propterea etiam simulatque ad altare sacerdotes accedunt, Cantor sacer de superiore loco sic clamat: *Sanctus[c] Deus, sanctus fortis, sanctus immortalis*. Quem hymnum ex veneranda ac tremenda Seraphinorum professione cōpositum asserit. non tamen de suo habere hoc inuentum, sed è Iudæorum gente quendam veritatis doctrina imbutum, qui alios quoque docendi auctoritatem ab Ecclesia accepisset, virum cætera sapientem, vitáque illustrem, huius doctrinæ Iobio auctorem fuisse, cùm vnde cōpositus esset sacer ille hymnus, exponeret. Docere verò ipsum[d] ex Cherubinorum hymno, & Psalmo XLI. sacrorum cantorum canticum illud conflatum esse. Celebrari enim in hoc Psalmo *Deum fortem viuum*: ac mutatam quidem esse vocem *viuum* in æquipollens vocabulum *immortalis*, ipsa voce *fortis* retenta, ita sacrum illud canticum contextum esse. Porrò exprimi voces DEVS & SANCTVS, vt distinctio fiat ab idolorum simulacris, quæ terrestria sunt, humanarum manuum opus, & veræ abominationes. *Fortis* verò aduersus muta, immobilia, & imbecilla idola. *Immortalis* denique, quòd idola nec spirent, nec vllam efficiendi vim habeāt: sed nec tantillam quidem vitæ partem acceperint. Narrat hoc etiam, eundem illum sacrum virum sese docuisse, quemadmodum ab aliis quoque scriptoribus refertur, vt[e] B. Proclus (Constantinopoleos is præsul erat) prædicti hymni constructionem, per reuelationem edoctus sit, cum Angelis sacrum hūc hymnum canentibus, primus ille eandem deinde doctrinam hausit. Tali disputatione vicesimum quartum & quintum clauditur caput.

XXVI. Capite refertur, sex dierum numerum in principio typum esse [illegible] Trinitatis, illúdque cum ex [illegible] manifestum euadere, tum ex illo: *Dies[f] diei eructat verbum, & nox nocti [illegible] scientiam*. Quin & ex illo: *In[g] capite [illegible] scriptum est de me*: quibus [saltem] con[illegible] percipere sex illis initialibus diebus nihil esse intelligendum eorum, quæ apparerent. Caput enim & principium libri, siue omnis à Deo inspiratæ Scripturæ, est opus sex dierum, [illegible]bus mundi creatio perfecta est: cuius ex magnitudine ac pulchritudine creator ipse agnitus [illegible]tur. Imaginem verò referre Trinitatis & ad mysterij cognitionem conducere eosdem illos sex dies asserit, non minus quàm de sex alis Cherubin symbolica & sacra [illegible] quæ certè docebat Trinitatis creatricis notitiam per materialem atque compositam cognitionem aduenire: quin imò simplicis ipsius, & incompositæ substātiæ trinam proprietatem, per materialem ac compositā ænigmaticè denotari.

IOBIVS.

a Matth. 4. 11.
b Deut. 32. 43. secundum L X X. & Psal. 96. 7.
c Hebr. 1. 6.
d Idem docet Niceph. Calliste lus exposit. Liturg. cap. XX.
e Georgius Cedrenus histor. compend. anno XXX. Theodosij.
f Psal. 19. 3.
g Psal. 39. 8. & Hebr. 10. 7.

IOBIVS. atque hinc etiam per duplicem Trinitatem illius, omnem simplicitatem excedentis Trinitatis cognitionem reuelari. fidem verò astruens rebus visis, septimum diem ait esse figuram illius temporis, in quo nobis requies erit à corporeis & grauioribus laboribus, vt [a] alibi etiam Paulus affirmat, relinqui sabbatismum populo Dei. Qui enim ingressus est in requiem suam, etiam ipse requieuit ab operibus suis, sicut à suis Deus. Si verò figura est septimus dies requietis à nostris materialibus operibus, quando [b] secundum eundem diuinum Paulum cum perfectiore cognitione imperfectiorem commutabimus, meritò & sex dierum opus figuram esse materialis cognitionis meditando perspeximus, secundùm quam ex parte & in ænigmate Deus à nobis cognoscitur. His addit Gregorij [c] Theologi sententiam, qua vsque ad tres personas diuinitatis mysterium nobis manifestatum dicit [Vnitate mota, ait, ob diuitias, binario verò superato propter materiam & formam, ex quibus corpora: Trinitate verò propter definitam perfectionem (prima enim [in numeris] trias binarij excedit compositionem) vt neque angustis terminis, diuinitas contineatur, neque in infinitum diffundatur.] Addit huic & aliam causam, cur ad Trinitatem vsque diuinitas progressa sit, & ait: Quia solus numerorum ternarius libræ figura est manifestissima. Libra verò æqualitatem efficit, simul ac significat. Vnde & in numeris solus ternarius medium occupat locum inter vtraque extrema parem atque incommutabilem, sic vt nulla omnino in tribus animaduertatur compositio, in quibus sextus speculatiuo huic homini liber absoluitur.

a Hebr. 4. 9.
b 1. Cor. 13. 9.
c Orat. 37. de regenerat. 1.

LIBER VII.

LIBRO septimo [cap. XXVII.] asserit tres politiarum [illegible]tiones à sacra repræsentari Scriptura, q[illegible]x [d] TERRÆMOTVS nominat. Primam quid[illegible] ab idolorum cultu in legalem reipub. ordinationem, in qua solus Pater manifestissimè prædicatur. Filius autem & Spiritu[illegible] [illegible]olis duntaxat & ænigmatis indicant[illegible] [illegible]m vero ex hac in Euangelium qua mag[illegible] [illegible]tuè Filius & Spiritus sanctus manifest[illegible] [illegible] [illegible]tiam denique illam materiæ magis [illegible]pertem & diuiniorem sortem, in qua penitus Trinitatis vniformitas, & indiuisibilitas, & omnipotentia, quantum natura creata aliqui potest, in hominum indubitatam peruenit cognitionem.

d σεισμοί.

Primum autem terræ-motum prædicat diuinus ille Dauid, his verbis: [e] *A facie Domini mota est terra, à facie Dei Iacob.* addit enim: [f] *Simulacra gentium argentum & aurum, opera manuum hominum.* Rursumque cum dicit; [g] *Afferte Domino patriæ gentium & intrate in atria eius:* [illegible] non in Iudaicum, & vnum tantum [illegible]um: adiungit enim mox: *Commoueatur à facie eius vniuersa terra, dicite in gentibus quia Dominus regnauit.* Et iterum: [h] *Dominus regnauit, exultet terra, lætentur insulæ multæ.* Ac deinceps: *Apparuerunt fulgura tua orbi terræ, vidit, & commota est terra.* multáque id genus apud eundem.

e Psal. 113. 7.
f Ibid. v. 12.
g Psal. 95. 7. & 9.
h Psal. 96. 1. & 4.

ὅθεν καὶ διὰ διπλῆς τριάδος τῆς ὑπὲρ πᾶσαν ἁπλότητα τριάδος τὴν γνῶσιν ἀνακαλύπτεσθαι. πίστιν δὲ τοῖς * τεθεωρημένοις ἐπιτιθεὶς, τὴν ζ φησὶ τύπον εἶναι τοῦ καιροῦ ἐκείνου, ἐν ᾧ τῶν παχυτέρων καὶ σωματικῶν ἡμῖν ἔργων ἡ κατάπαυσις: ὥς που καὶ ὁ Παῦλός φησιν· ὡς ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ θεοῦ. ὁ γὰρ ἐλθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ θεός. εἰ δὲ τύπος ἡ ζ τῆς καταπαύσεως τῶν παρ᾽ ἡμῖν ἔργων * τῶν ὑλικῶν, ὅτε κατὰ τὸν αὐτὸν θεσπέσιον Παῦλον, καὶ τὸ τέλειον τῆς γνώσεως τῆς ἐπὶ μέρους σοφίας ἀνταλλασσόμεθα: εὐλόγως καὶ τὴν ἑξαήμερον εἰς τύπον εἶναι τῆς ὑλικῆς τεθεωρήκαμεν γνώσεως· καθ᾽ ἣν ἐκ μέρους, καὶ ἐν αἰνίγμασιν ἡ περὶ τὸ θεῖον ἡμῖν ὑπόληψις περιγίγνεται. τούτοις ἐπάγει καὶ τὴν τοῦ θεολόγου Γρηγορίου φωνὴν, ἥτις μέχρι τριῶν ἡμῖν ὑποστάσεων τὸ τῆς θεότητος μυστήριον ἀνακαλυφθῆναι λέγει. μονάδος μὲν κινηθείσης, φησὶ, διὰ τὸ πλούσιον, δυάδος δὲ ὑπερβαθείσης διὰ τὴν ὕλην καὶ τὸ εἶδος, ἐξ ὧν τὰ σώματα· τριάδος δὲ ὁρισθείσης διὰ τὸ τέλειον· πρώτη γὰρ ἡ τριὰς δυάδος ὑπερβαίνει σύνθεσιν, ἵνα μήτε στενὴ μένοι * θεότης, μήτε εἰς ἄπειρον χέηται. συνάπτει δὲ τῇ αἰτίᾳ ταύτῃ καὶ ἑτέραν, τῆς μέχρι τριάδος θεϊκῆς προόδου· καί φησι, διότι καὶ μόνος ἀριθμῶν ὁ τρεῖς, ζυγοῦ τύπος ἐστὶ σαφέστατος, ὁ δὲ ζυγὸς ἰσότητος ἔργον ἅμα καὶ σύμβολον: ὅθεν καὶ ἐν ἀριθμοῖς ὁ τριαδικὸς μόνος ἁπάντων φέρει τὸ μέσον πρὸς τὰ ἑκατέρωθεν ἄκρα ἴσον τε καὶ ἀπαράλλακτον, οὐδεμιᾶς τοῖς τρισὶν ἐνορωμένης ὅλως συνθέσεως· ἐν οἷς καὶ ὁ ϛ τῷ φιλοθεάμονι ἀνδρὶ συμπεραίνεται λόγος.

Ἐν δὲ τῷ ζ βιβλίῳ διαλαμβάνει, ὅτι τρεῖς μεταθέσεις πολιτειῶν τὸ ἱερὸν ἀναγράφει γράμμα, ἃς καὶ σεισμοὺς ὀνομάζει. πρώτην μὲν, τὴν ἀπὸ τῆς εἰδωλολατρείας ἐπὶ τὴν νομικὴν πολιτείαν μετάθεσιν· ἐν ᾗ μόνος μὲν ὁ πατὴρ ἐμφανέστατα * κηρύττεται· ὁ δὲ υἱὸς καὶ τὸ πνεῦμα ἐν συμβόλοις * μόνον παραδηλοῦται καὶ αἰνίγμασι· δευτέραν δὲ, τὴν ἀπὸ ταύτης πρὸς τὸ εὐαγγέλιον, ἐν ᾗ τρανώτερον ὁ υἱὸς καὶ τὸ πνεῦμα ἀποκαλύπτεται. καὶ τρίτην λοιπὸν τὴν ἀυλοτέραν τε καὶ θειοτέραν λῆξιν, ἐν ᾗ διαπρυσίως πᾶσι τὸ τῆς τριάδος ἑνοειδὲς, καὶ ἀμέριστον καὶ παντοκρατορικὸν, ὡς γενητῇ φύσει δυνατὸν, εἰς ἀνθρώπων ἀδίστακτον γνῶσιν ἀφικνεῖται. ἀπαγγέλλει δὲ τὸν μὲν πρῶτον σεισμὸν ὁ θεσπέσιος Δαυὶδ, διὰ τῶν ῥημάτων τούτων, ἀπὸ προσώπου κυρίου, Ἐσαλεύθη ἡ γῆ ἀπὸ προσώπου τοῦ θεοῦ Ἰακώβ. ἐπάγει γὰρ τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. καὶ τὸν δεύτερον δὲ, ἐν τῷ λέγειν. Ἐνέγκατε τῷ κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ. ἀλλ᾽ οὐκ εἰς τὴν ἰουδαϊκὴν καὶ μίαν αὐλήν. συνάπτει γὰρ αὐτίκα. σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ· εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι κύριος ἐβασίλευσε. καὶ πάλιν, ὁ κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί. εἶτα, ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ. εἶδε, καὶ ἐσαλεύθη ἡ γῆ. καὶ πολλὰ τοιαῦτά ἐστι παρ᾽ αὐτοῦ.

καὶ ὁ.

* al. τεθεωρημένοις
* al. αὐτῶν.
* al. μένοιτο.
* al. ὑφαίνεται
* al. μᾶλλον.

καὶ ὁ Ἡσαΐας φησὶν, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. ὁ δὲ θεσπέσιος Παῦλος ἅμα τόν τε δεύτερον καὶ τὸν τρίτον ἀναγράφει σεισμὸν, ἐν τῷ τὰ τοῦ Προφήτου Ἀγγαίου ἀναβοᾶν, οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε· νῦν δὲ * ἔτι ἐγὼ ἅπαξ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν. ταῦτα δὲ καὶ τὸν θεολόγον ἀναγράφειν εἰσάγει Γρηγόριον. ἀλλὰ γὰρ ταῦτα εἰπὼν, ἐμβαθυνέει ζητεῖν· διὰ τί ὁ πατὴρ κηρύττεται πρῶτος; καὶ ἡ λύσις· ὅτι περ ἡ περὶ ἡμᾶς τοῦ θεοῦ πρόνοια οἰκονομικῶς τοῦτο διεπράξατο, πανσόφῳ μεθόδῳ τῆς πολυθεΐας ἀπάγουσα. ἀμέθοδον γὰρ ἦν καὶ * ἀνοικονόμητον πολυθεΐας * ἀπαλλάττουσα, τὸ τριαδικὸν τῆς θεότητος ψυχαῖς καταπιστεύειν· μακρῷ * διεπτοημέναις χρόνῳ περὶ τὸ πολύθεον. ἄλλως τε δὲ καὶ ἡ τοῦ πατρὸς ἔννοια σιωπώσῃ καὶ ἀνεκφωνήτῳ ψήφῳ, τὴν τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ὕπαρξιν ἐκύρου, καὶ τὴν γνῶσιν συνῆγεν· οὐ πλήττουσα μὲν τοὺς ἀσθενεῖς, τὸ δὲ τῆς εὐσεβείας μυστικῶς κραταίωμα διαγράφουσα. ὅ, τε γὰρ πατὴρ υἱοῦ πάντως ἐστὶ πατὴρ, καὶ τὸ πνεῦμα ἑτέρου τινὸς λέγοιτ' ἄν. ὁ μὲν οὖν πατὴρ, μηδενὶ μηδεμίαν παρέχων πολυθεΐας λαβὴν, ἠδύνατο δημοσιεύεσθαι τῷ πλήθει· ἔθους γε μάλιστα ὄντος παρά τε Ἑβραίοις καὶ Ἕλλησι, καὶ αὐτῶν τῶν ἀνθρώπων πατέρα καλεῖν τὸν θεόν. συνεσκιάζετο γὰρ τῷ ἔθει ἡ ὑπερφυὴς τοῦ υἱοῦ πρὸς τὸν πατέρα συνάφειά τε καὶ συνύπαρξις, καὶ ἡ πρὸς ἀλλήλους προαιώνιος σχέσις. πατέρα μέν τοι καλεῖν τὸν θεὸν, ἐκ τῶν καθ' ἡμᾶς τιμίων τὸ ἀνθρώπινον ἀνεμάθομεν. οὐδὲν γὰρ τῶν παρ' ἡμῖν τῆς πατρικῆς προσηγορίας οὔτε ἡδύτερον, οὔτε τιμιώτερον, οὔτε μὴν αἰδεσιμώτερον, ἀλλ' οὐδ' οἰκειότερον, ἤτε πρὸς εὐεργεσίαν ἐγγύτερον. καὶ προάγει γὰρ ὁ πατὴρ ἐκ μὴ ὄντων, καὶ τρέφει, καὶ τῆς ζωῆς κήδεται τῶν τέκνων. ἃ μᾶλλον μέν ἐστι καὶ κατὰ πρώτην αἰτίαν τοῦ θεοῦ. ἐκεῖθεν δὲ καὶ κατὰ μετοχὴν, ὡς τοῦ φύσαντος πατρὸς, ἐξ οὗ καὶ τὸ καλεῖν πατέρα τὸν θεὸν, τὸ γηγενὲς ἐπαιδαγωγήθημεν· πνεῦμα δὲ καλεῖν τὸ θεῖον ἢ υἱὸν, οὐχ οὕτως ἐξ ἡμῶν ἀφορμαὶ ἀναφύονται. οὐ μὴν οὐδὲ τῆς πολυθεΐας ἡ τούτων τῷ πατρὶ συναρίθμησις * οὕτως ἀφανίζει, κἂν τῶν δυσσεβεῖν ἐσπουδακότων τῆς πολυθεΐας τὴν πρόφασιν, ὡς ἡ τοῦ πατρὸς καθ' ἑαυτὸν ἀνακήρυξις. οὐκ οὖν συμφερόντως τε καὶ προνοητικῶς, μόνος ὁ πατὴρ διά τε νόμου καὶ προφητῶν ἐμφανῶς ἐκηρύττετο, μήτε πρόσκομμα τοῖς παχυτέροις παρέχοντος τοῦ κηρύγματος, καὶ τοῖς θεωρητικωτέροις τὴν τοῦ υἱοῦ ἔννοιάν τε καὶ ὁμολογίαν συνεισάγοντος. εἰ δὲ πρῶτος ὁ υἱὸς ἐκηρύττετο, οὐκ ἂν τὸ σοφὸν τῆς οἰκονομίας ὁμοίως προέβαινεν. ἀλλ' οὐδ' εἰ τὸ πανάγιον καὶ ζωοποιὸν πνεῦμα. τῆς ὁμοίας τοίνυν ἔχεται προνοίας καὶ θεωρίας, καὶ τὸ μὴ τὸν πατέρα σαρκωθῆναι. πῶς γὰρ ἀνεκτὸν ἀντὶ τοῦ υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε, πρὸς τὸν σαρκωθέντα λέγειν· πατήρ μου εἶ σὺ, σήμερον γεγέννηκάς με. τί γὰρ οὐκ ἂν * πρὸς ἀπόνοιαν ἔπραξε τὸ Ἰουδαίων ἔθνος, μετὰ τὴν καταφυγὴν εὑρηκὸς τῆς τόλμης τὸ τοῦ πράγματος δυσπαράδεκτόν τε καὶ ἀνακόλουθον; εἰ ὁ σαρκωθεὶς ἔλεγε, πατήρ εἰμι τοῦ θεοῦ;

* al. ἔτι

* al. [illegible] ἀπαλλάττοντα.

* al. [illegible]

* al. ἕνα

* al. ὡς

IOBIVS.

[a] Esaias quoque dixit: *Cum resurrexerit conterere terram.* Diuinus verò Paulus secundum simul & tertium terræ-motum describit, dum Aggæi Prophetæ verba inclamat: [b] *Cuius vox terram mouit tunc: nunc autem denuntiauit dicens:* [c] *Adhuc ego semel moueo non solum terram, sed & cælum.* Eadem & [d] Gregorium cognomento Theologum scribere affirmat.

[XXIIX. & XXIX.] Hæc locutus profundius mox inquirere pergit, Cur primus Pater prædicetur? Respondet Dei prouidentiam circa nos pro illo rerum statu id fecisse, dum hac sapientissima ratione [homines] à Deorum multitudine abducere studet. Absurdum enim fuisset atque inordinatum eum, qui à Deorum multitudine auocare vellet, diuinitatis Trinitatem iis animis, qui longo temporum curriculo Deorum multitudinem attoniti suspexissent, committere. Præsertim cùm Patris notio silenti & muto quasi suffragio Filium ac Spiritum sanctum exsistere confirmaret, eorúmque cognitionem colligeret, non lædendo quidem imbecillos, sed religionis firmamenta mysticè delineando. Nam Pater Filij omnino Pater est, & Spiritus quoque alicuius esse dicatur. Pater igitur nulli vllam multitudinis Deorum ansam præbendo, potuit populo publicari, maximè cùm & apud Hebræos: & apud gentes in more positum esset, vt ipsorum etiam hominum Pater Deus vocaretur. Mos enim ille inumbrabat supernaturalem Filij cum Patre coniunctionem, eosdémque simul exsistere, & mutuam ante sæcula inter eos habitudinem esse. Quod autem Deus vocetur *Pater*, ex iis quæ nobis pro hominum more clariora esse solent, dicimus. Nihil enim est omnium apud nos paterna appellatione aut iucundius, aut honorificentius, aut magis venerandum, sed neque familiarius quidquam, vel ad beneficentiam propinquius. Nam & producit Pater antea non exsist[illegible]es, & alit, & de liberorum victu satagit: q[illegible] quidem, & magis etiam, pro primæ ca[illegible] conditione, ad Deum spectant, vnde per participationem ad generantem quoque Patrem pertinent, ex quo Deum vocare Patrem terrigen[illegible] edocti sumus. Porrò *Spiritum*, aut, [illegible] vocemus Deum, pares è nobis ipsis [illegible] non habemus. Neque verò Deorum [illegible]udinem [e] horum cum Patre enumeratio [illegible] funditus aboleuisset, aut impietati deditis multiplicandorum Deorum occasionem eripuisset, vt Patris solitariè sumpti prædicatio. Vtiliter igitur ac prouidè solus Pater per leges & Prophetas clarè prædicabatur, cum sic nec prædicationis offendiculum aliquod crassioribus præberetur, & magis speculatiuis Filij simul notio atque confessio ingereretur. Vbi si Filius prior prædicaretur, non perinde diuinæ prouidentiæ [illegible] procederet, vt neque si sanctissimus a[illegible]tus Spiritus.

Ad eandem ve[illegible]c etiam prouidentiam & cognitionem pertinet, quod Pater non sit incarnatus. Quomodo enim tolerari posset, si pro illo, *Filius meus es tu, ego hodie genui te*, [f] ad incarnatum diceret, Pater meus es tu, hodie genuisti me? Quid enim non per dementiam designasset Iudæorũ gens, inuento ex re vix credibili ac minimè rationi cõsentanea audaciæ suæ perfugio, si incarnatus diceret: Pater sum Dei?

[a] Esaia 2. 21. vbi percutere habet vulg.

[b] Hebr. 12. 26.

[c] Agg. 2. 7.

[d] Orat. de Spiritu S. quæ est XXXVII. ad schol. 58. vide & schol. 32. ad orat. 31. apud Bill.

[e] Filij & Spiritus sancti.

[f] Psal. 2. 7.

IOBIVS. Quomodo item hæc non videretur fabula, si aliqua de cœlo vox diceretur appellare incarnatum: hic est Pater meus dilectus, in quo mihi complacitum est, vel ipsemet diceret: Filius misit me, & maior me est, & quæcumque sunt alia generis eiusdem? Eadémque hæc dici possint de Spiritu sancto.

Quamquam de hoc planius etiam Scriptura sacra, quàm de Filio disserat. De Filio enim dicit: *Dextera*[a] *Domini fecit virtutem.* Et: *Verbo Domini*[b] *cæli firmati sunt*: & similia alibi, quæ intelligentia quidem quadrant, & consentiunt Filij significationi, sed non sine vocum abusione. Iam vide expressum & non detortum Spiritus sancti vocabulum: *Spiritus*[c] *oris eius omnis virtus eorum.* Et: *Spiritus*[d] *Domini repleuit orbem terrarum.* Et: *Spiritus*[e] *tuus bonus deducet me in terram rectam*, item: *Spiritus*[f] *Domini super me.* Sic: *Spiritus*[g] *Domini fecit me.* & alibi: *Emittes*[h] *Spiritum tuum, & creabuntur*: aliáque multa. Vbi & hoc ab ineffabili vtique Dei sapientia profectum obserues, Filium aliis vocibus in Theologia, Spiritum verò sanctum suo tantum nomine appellari. *Filij* enim vocabulum prolatum, statim per se existens, suppositum adducit, quod errore in Deorum multitudine laborantibus occasionem præbuisset, ad illum ipsum errorem recurrendi, quem fugere docebantur. Spiritus verò, etsi à piis similiter suppositum per se agnoscitur; vulgò tamen potest & crassioribus ita tegi, quasi non aliam inducat personam, atque nihilominus etiam dum profertur: monarchiæ prærogatiuam firmare. Vt enim dum dicitur: *Anxiatus*[l] *est spiritus meus*, non duas id affert personas, sed vnitatem peræquè retinet personæ: Sic & *Spiritus Dei*, dum ab antiquis audiretur pinguiore modo, & ad eum quo in nobis est, nullius hoc idololatriæ scandalum dabat. Propterea itaque Spiritus planè in veteri Testamento prædicatur. Filius non item, sed per huiusmodi nom[...] quæ & ipsa nequeant vnitatem hypostase[...] diuidere, vt illud: *Dei manus, brachium, sapientia, potentia, dextera, Verbum*, & quæ sunt generis eiusdem. Ista etenim nec im[...]ortalium naturæ ipsam vnitatem in duo di[...]unt, aut personam distingunt. Sicubi v[...] etiam Filij vocabulum adfertur (quando mox vt dicitur *Filius*, differentia significatur personarum: vt in illo: *Filius*[k] *meus es tu*:) adumbratum hoc & obtectum adducitur. Adiungitur enim: *Hodie*[l] *genui te*, &, *Postula à me* Quæ humana cùm sint, & diuinæ[m] minus apta naturæ, Filij appellationem tegunt, & adumbrant. atque in similibus ad eundem modum.

At, cur [...]andem etiam *Dextera & Verbum*, & *Potestas Pa[...]*, & similia dicitur Filius, non contra Pater Filij? An quia Pater non è Filio, sed Filius è Patre? Adhæc, Manus quidem, Brachiúmque ac Sapientia & Verbum, hominis esse dicuntur, cùm homo dexteræ, vel sapientiæ, vel similium nemo dixerit; quemadmodum non rami arborem, sed ramum arboris esse dicimus.

Spiritus item sanctus *Dei digitus* appellatur.

a Psal. 117. 17.
b Psal. 32. 6.
c Ibid. 7.
d Sap. 1. 7.
e Psal. 142. 10.
f Isa. 61. 1.
g Iob. 33. 4.
h Psal. 103. 30.
i Psal. 142. 4.
k Psal. 2. 7.
l Ibid. 9.
m ἀναρμόζοντα legendum.
Exod. 8. 19.
Luca 11. 20.

πῶς δ' οὐκ ἂν ἐδόκει μῦθος, εἰ τὸν σαρκωθέντα φωνή τις οὐρανόθεν ἐλέγετο καλεῖν, οὗτός ἐστιν ὁ πατήρ μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα. ἢ τὸ λέγειν αὐτὸν, ὁ υἱὸς ἀπέστειλέ με, καὶ μείζων μου ἐστὶ, καὶ ὅσα ἄλλα τοιαῦτα. τὰ αὐτὰ δ' ἂν εἴη λέγειν καὶ ἐπὶ τοῦ παναγίου πνεύματος. καί τοι γε τὸ πανάγιον πνεῦμα καὶ γυμνότερον, ἢ τὸν υἱὸν, τὸ ἱερὸν γράμμα θεολογεῖ. καὶ γὰρ φησὶ περὶ μὲν τοῦ υἱοῦ, δεξιὰ κυρίου ἐποίησε δύναμιν καί, τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ εἴ τι ἄλλο τοιοῦτον· ἃ νοήματι μὲν συμβαίνει, καὶ συνομολογεῖ τῇ σημασίᾳ τοῦ υἱοῦ, τῆς δὲ κατὰ τὴν φωνὴν οὐκ ἐξίσταται παραλλαγῆς. ὅρα δὲ τὸ σαφὲς καὶ ἀπαράλλακτον τῆς κατὰ τὸ ἅγιον πνεῦμα φωνῆς. τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν· καί, πνεῦμα κυρίου πεπλήρωκε τὴν οἰκουμένην· καί, τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· καί, πνεῦμα κυρίου ἐπ' ἐμὲ, καὶ, πνεῦμα θεῖον τὸ ποιῆσάν με· καί, ἐξαποστελεῖς τὸ πνεῦμα καὶ κτισθήσονται· καὶ μυρία ἄλλα. τῆς ἀρρήτου δὲ καὶ τοῦτο τοῦ θεοῦ σοφίας, τὸ τὸν μὲν υἱὸν ἑτέροις[*] λέξεσι θεολογεῖσθαι, τὸ δὲ πνεῦμα διὰ τῆς οἰκείας ὀνομασίας. ὁ μὲν γὰρ υἱὸς ῥηθεὶς, αὐτίκα τὸ αὐθυπόστατον εἰσῆγεν, ὃ τοῖς τὴν πολυθείαν νενοσηκόσι πρόφασις ἂν ἐγεγόνει τοῦ δραμεῖν πρὸς αὐτὴν, ἣν * φυγεῖν ἐδιδάσκετο. τὸ δὲ πνεῦμα εἰ καὶ τοῖς εὐσεβοῦσι ὁμοίως αὐθυπόστατον γινώσκεται. ἀλλ' οὖν δύναται τοῖς πολλοῖς καὶ * παχυτέροις παρακαλύπτεσθαι ὡς οὐχ ἑτέραν εἰσάγον ὑπόστασιν, καὶ οὐδὲν ἧττον λεγόμενον τὸ τῆς μοναρχίας κράτιστον * πρεσβεῦον. ὥσπερ γὰρ τὸ λέγειν, ἠκηδίασε τὸ πνεῦμά μου, οὐ δύο * συνεισάγει πρόσωπα, ἀλλ' οὐδὲν ἧττον τὸ ἑνιαῖον διαφυλάττει τῆς ὑποστάσεως: οὕτω καὶ πνεῦμα θεοῦ τοῖς παλαιοῖς παχυτέροις, καὶ ὡς ἐφ' ἡμῶν ἀκουόμενον, οὐδεμιᾶς πολυθείας ἐνεδίδου σκάνδαλον. διὰ τοῦτο τοίνυν τὸ μὲν πνεῦμα ῥητῶς παρὰ τῇ παλαιᾷ διαθήκῃ κηρύττεται: ὁ δὲ υἱὸς οὐκ ἔτι, ἀλλὰ δι' ὀνομάτων τοιούτων, ἃ καὶ αὐτὰ δύναται τὸ ἑνιαῖον μὴ διαιρεῖν τῆς ὑποστάσεως. ὡς τὸ, χεὶρ θεοῦ, καὶ βραχίων, καὶ σοφία, καὶ δύναμις, καὶ δεξιὰ καὶ λόγος, καὶ ὅσα τοιαῦτα. καὶ γὰρ καὶ ἐπὶ τῆς ἀνθρωπίνης φύσεως ταῦτα τὸ ἑνιαῖον οὐκ εἰς δύο διαλύει, οὐδὲ διαιρεῖ τὴν ὑπόστασιν· εἰ δέ που καὶ τῆς τοῦ υἱοῦ φωνῆς ἐμνήσθη, ἐπειδὴ ἅμα τῷ ὁ υἱὸς ῥηθεὶς διαφορὰν μηνύει τῶν ὑποστάσεων· ὡς τὸ, υἱός μου εἶ σύ: ἐπισκιαζόμενον καὶ περικαλυπτόμενον τοῦτο προσάγει. ἐπάγει γὰρ σήμερον γεγέννηκά σε. καὶ, αἴτησαι παρ' ἐμοῦ. ἅπερ ἀνθρώπινα ὄντα, καὶ τῇ θείᾳ ἐφαρμόζοντα φύσει, τὴν τοῦ υἱοῦ προσηγορίαν παρεκάλυπτέ τε καὶ συνεσκίαζε. καὶ ἐπὶ τῶν ὁμοίων ὡσαύτως. τί δήποτε δὲ δεξιὰ καὶ λόγος καὶ δύναμις, καὶ ὅσα ἄλλα, τοῦ πατρὸς μὲν ὁ υἱὸς λέγεται, ἀλλ' οὐκ ἔμπαλιν ὁ πατὴρ τοῦ υἱοῦ; ἢ διότι ὁ πατὴρ μὲν οὐκ ἐκ τοῦ υἱοῦ, ἀλλ' ὁ υἱὸς ἐκ τοῦ πατρός. ἔτι δὲ χεὶρ μὲν, καὶ βραχίων, καὶ σοφία, καὶ λόγος, τοῦ ἀνθρώπου λέγεται. ἀλλ' ὁ ἄνθρωπος τῆς δεξιᾶς, ἢ τῆς σοφίας, ἢ τῶν ὁμοίων οὐκ ἂν μὴ ῥηθείη: ὥσπερ οὐδὲ τοῦ κλάδου φαμὲν τὸ δένδρον, ἀλλὰ τὸν κλάδον τοῦ δένδρου. καὶ τὸ πνεῦμα δὲ δάκτυλος ὀνομάζεται θεοῦ.

* al. φυγεῖν
* al. παχυτέροις
* al. πρεσβεύειν
* al. συνάγει

καὶ

καὶ ἐπεὶ ὁ δάκτυλος τῆς χειρὸς, εὐλόγως οὐ μόνον τοῦ πατρὸς, ἀλλὰ καὶ τοῦ υἱοῦ, ἥτις ἐστὶν ἡ πατρικὴ δεξιὰ, λέγεται. ἀλλ' οὐ τὸ ἀνάπαλιν, ὁ υἱὸς τοῦ πνεύματος· οὐδὲ γὰρ ἡ χεὶρ ῥηθείη ἂν τοῦ δακτύλου. οὐκ ἦν δὲ ἀρχῆς οὐδὲ διὰ ταῦτα, ἀντὶ τοῦ πατρὸς τὸν υἱὸν, ἢ τὸ πνεῦμα, κατ' ἀρχὰς συμφέρον καταγγέλλεσθαι. καὶ γὰρ καὶ ἀνθρώπων πατὴρ ὁ θεὸς, ὡς προέφημεν, ἐλέγετο· υἱὸς δὲ ἢ πνεῦμα ἡμῶν ὁ θεὸς, τῶν ἀμηχάνων τε καὶ ἀνακολούθων ἐκεῖνο λέγεσθαι. ἀλλὰ καὶ ὁ πατὴρ μὲν κηρυττόμενος διὰ τὴν ἐν τῇ συνηθείᾳ κατάχρησιν, οὐ παρεδήλου τότε τοῖς πολλοῖς τὸ ὑποδείκνυε πρόσωπον. εἰ δὲ ὁ υἱὸς ἢ τὸ πνεῦμα κατήγγελτο, πάντως ἂν τὸ δυαδικὸν συνωμολογεῖτο τῶν ὑποστάσεων. ὁ γὰρ ἀκούων υἱὸν, εὐθὺς πρὸς τὸν πατέρα ἀνήγετο· καὶ τὸ πνεῦμα ὁμοίως. οὗ γὰρ ἦν πνεῦμα, ἐπεζήτει ἡ διάνοια, οἷς ἡ νόσος τὸ πολύθεον ἀπὸ τῆς σωζούσης θεολογίας ἐλάμβανε τὸ ἀνίατον. χωρὶς δὲ τῶν εἰρημένων, οὐδὲ δυνατὸν ἦν καθάπερ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, οὕτω καὶ τὸ τοῦ πατρὸς σοφαῖς μεθόδοις περικαλύπτεσθαι πρόσωπον. πνεῦμα μὲν γὰρ θεοῦ ῥηθὲν, καὶ δεξιὰ, καὶ σοφία, καὶ δύναμις, οὐδὲν ἐκφεύγειν τὸ τῆς πολυθεΐας παλίμφημον· λανθάνει γὰρ τοὺς πολλοὺς διαφορὰν προσώπων συνεισαγόμενον. πατὴρ δὲ θεοῦ κηρυχθεὶς, κἂν τὸν
*λάβοι, al. γεννηθέντα * λάβοις, καὶ τὸ ἐκπορευθὲν οὐκ ἔτι μὲν λαθεῖν ἔχοι τὸ διάφορον εἰσάγων τῶν ὑποστάσεων, οὐδ' ὅμοιον τοῖς τὸ πολύθεον νοσοῦσι προσφέρειν τὸ ἴαμα. οὐ μὲν οὖν, ἀλλ' οὐδ' εἴπερ ὁ πατὴρ κατὰ τὸ ἔμπαλιν χεὶρ τοῦ υἱοῦ ἢ τοῦ πνεύματος ὠνομάζετο,
* al. ἀποκρύπτειν * ὑποκρύπτειν ἑαυτὸν, καὶ τὸ δυαδικὸν περικαλύπτειν τῶν προσώπων ἠδύνατο· ἵνα μὴ λέγω, ὡς οὐδὲ ῥηθῆναι παντελῶς τὰ εἰρημένα, οὔτε νοῦν, οὔτε φύσιν
* al. ἀποδῶσαι. ἔχειν, οὐδεὶς ἂν * ὑπόθοιτο. διὰ τί δ' οὖν κατ' ἀρχὰς ἡ τριὰς οὐχ ἅμα κατήγγελτο; ὅτι καθάπερ τοῖς ὀφθαλμιῶσι τὸ λαμπρὸν φῶς, καίτοι σωτήριον ὂν, ἀθρόον ἐπιβλαβές ἐστι· οὕτω καὶ τοῖς εἰς τὸ πολύθεον ἀποτυφλωθεῖσιν ἡ τριαδικὴ θεολογία βλαβερὸν ὑπῆρχε καὶ ἐπιζήμιον. ἀλλὰ ταῦτα μὲν περὶ φιλοθέῳ συγγραφεῖ καὶ ὁ τῶν λόγων ζ' ἐν τρισὶ φιλοπονεῖται κεφαλαίοις, ἃ μετὰ τὸ κϛ' τὸν ἀκόλουθον ἀριθμὸν ἀναδέχεται.

Τὸ δὲ τριακοστὸν αὐτοῦ κεφάλαιον διέξεισιν, ὡς ὁ πρῶτος σεισμὸς θεμέλιος τοῦ β' γεγένηται, καὶ οὐ μόνον τοῖς κατὰ Μωσέα συνώνησε θεὸν τὸν πατέρα κηρύξας, ἀλλὰ καὶ τοῖς ἐν τῇ χάριτι. ἐπειδὴ γὰρ τὸν θεὸν πατέρα τῶν ἀνθρώπων νομίζεσθαι ἐποίησεν,
* al. ἕκαστον. * ἕκαστον τῶν γνησίως προσανεχόντων θεῷ, υἱὸς θεοῦ εἰκότως ἐλέγετο· ἐκ δὲ τούτου θύρα καὶ ὁδὸς τῇ διὰ σαρκὸς οἰκονομίᾳ ὑπανοίγνυται. διὸ καὶ τὸν υἱὸν ὁ β' κηρύττων σεισμὸς, ὡς ἤδη συνήθους οὔσης τῆς φωνῆς καὶ ἐπὶ ψιλῶν ἀνθρώπων τίθεσθαι, οὐχ οὕτω τοὺς ἀκούοντας διετάραττεν, ἐκ τῆς χρήσεως τῆς προτέρας διαθήκης καταλεανθέντας τὰς ἀκοὰς καὶ οὐκ ἔτι πρὸς τὴν φωνὴν οὕτως ἐκμηνέντας, ὥσπερ ἐμαίνοντο ἂν, εἰ μὴ συνήθης αὐτοῖς ἀπὸ τῆς παλαιᾶς ἐγεγόνει διαθήκης. ὥσπερ δὲ ἐπὶ τῆς νομικῆς πολιτείας, τὸ κηρύττεσθαι τὸν υἱὸν λαμπρῶς ἢ τὸ πνεῦμα, δι' ἃς αἰτίας προειρήκαμεν, βλαβερὸν ἐδόκει τοῖς ἔτι τὰς οὐλὰς τῆς πολυθέου πληγῆς ἐν ἑαυτοῖς φέρουσιν·

quando autem digitus manus esse dicitur, conuenienter non solum Patris, sed & Filij, quæ paterna est dextera, esse dicitur. Verùm non sic vicissim Filius sancti Spiritus. Neque enim manus digiti rectè dicatur.

Neque verò vel ob hæc solùm ab initio expediebat pro Patre Filium, aut Spiritum sanctum enuntiari. Etenim hominum Pater Deus, vt modò referebam, dictus est: *Filium* verò *nostrum* aut *Spiritum* dici Deum, absurdum sanè ac minimè consentaneum iudicatum fuisset. Quamobrem etiam Pater tunc prædicatus, ob familiarem scilicet vocis vsum, vnam vulgo innuebat, ostendebátque personam. [Quo tempore] si Filius aut Spiritus sanctus prædicatus fuisset, omnino personarum dualitas simul probabatur. Qui enim Filium audisset, statim ad Patrem retulisset, & Spiritum sanctum similiter: Cuius enim esset Spiritus, quæreret mens: [ac] quos multorum Deorum morbus teneret, incurabiles ex ipsa salutari Theologia redderentur.

Adde iam dictis, fieri non potuisse, vt quemadmodum Filij, ac Spiritus sancti, sic etiam Patris persona prudenti aliqua ratione absconderetur. Nam quod Spiritus Dei dictus sit *Dextra, Sapientia, Potestas*, id multiplicatorum Deorum insaniam [non difficulter] effugere potuit. Non enim percipit hic vulgus personarum simul differentiam induci. Cùm si *Pater Dei* enuntiatum sit, siue genitum intellexeris, siue eum qui processit, nequaquam iam id, quin personarum discrimen adferat, ignorari amplius possit, neque simile remedium idololatriæ labe infectis adferri. Itaque ne tum quidem, si Pater è contrario *Filij*, vel *Spiritus sancti manus* nominaretur, seipsum abscondere, & dualitatem personarum contegere posset: ne hoc dicam, neminem vnquam censere potuisse, vt quæ nunc commemorauimus, vel omnino dicerentur, aut sensum aliquem, aut genium habere iudicarentur. Quare igitur Trinitas ab initio non euulgata est? Quia, quemadmodum laborantibus ex oculis splendidum lucis iubar, etsi salutiferum, maximè noxium est, ita & multorú Deorum cultu occæcatis noxia erat Trinitatis Theologiæ, ac perniciosa futura. Verùm hæc quidem Dei amans scriptor septimo libro tribus illis gnauiter pertractat capitibus, quæ post sextum & vicesimum ordine consequuntur.

Tricesimvm verò caput persequitur, vt primus motus-terræ fundamentum alterius fuerit, vtque non solum iis qui sub Mose vixerunt, Deum Patrem prædicando profuerit, sed & qui tempore Gratiæ. Postquam enim effecit, vt Deus hominum Pater crederetur: mox etiam quicumque in Deo fiduciam collocaret, meritò *Dei filius* appellatur. Vnde patefacta ianua, & via aperta est ad incarnationem cognoscendam. Quam etiam ob causam dum Filium secundus ille terræ-motus prædicaret (quod iam consuetum esset hanc vocem de meris quoque hominibus vsurpare) non sic auditores turbabat prioris Testamenti vsu mitigatis auribus, vt non amplius sic vocis huius occasione insaniuerint; quemadmodum insaniuissent, nisi vsitata illis per vetus Testamentum esse cœpisset. Quem enim ad modum sub lege Filij aut Spiritus aperta promulgatio, ob eas, quas antea caussas diximus, noxia fore videbatur iis, qui adhuc cicatrices inflicti à Deorum multitudine vulneris gerebant,

IOBIVS. Sic certè Patrem vel Spiritum sanctum incarnari, vmbráque tegi, & latendi accipere facultatem (vt in Filio factum) impossibile fuisset. Nam si tum quoque, cùm Filij appellatio communis esset, atque vsu trita, ipsum tamen Filium carne indutum, quia *Dei Filium* (quod erat) seipsum dixit, [a] ex editiori loco praecipitare, & [b] alapis excipere, ac tandem cruci furiosè affigere aggressi sunt, quod non fecissent & ipsi, & discipuli, [solam] serui videntes formam, si incarnatus dixisset, *Ego sum Pater, vel Spiritus sanctus?* Ergo diuinitus, & supra quam dici ac cogitari possit, vniuersa mundi gubernatio vnà cum hominum salute procurata est.

a Luc. 4. 29.
b Marc. 14. 65.
✠ Ioan. 19. 3.

Attamen mox ab initio Verbum incarnatum non est, cum aliis de causis, tum idcircò quòd non oporteret statim maximum medicamentum morbidis adferre, sed quae vim haberent paulatim morbum abigendi. Adhaec, ab initio Verbum incarnatum, non modo quantam in fine temporum, aduentu suo vtilitatem [non] praebuisset, sed incitamentum potius idololatris ad errorem iudicatum fuisset. Nam si, cum Graeci rerum potirentur, similibus affectionibus obnoxios homines tam facile in Dei euchebant dignitatem, quomodo scientes in carne Verbum apparens, tanquam Deum celebrari, non statim inde fictorum à se Deorum exempla peterent, iisque, qui conarentur ab hoc errore auellere, non promptissimè exprobrarent, illos ipsos, qui reprehenderent, hominem aequè pro Deo praedicare ac venerari. Propterea enim quo tempore Graeci Deos fabricarent, Patris quoque vnitas praedicata est. [[c] Ne item dicerent: Si distulisset, suis se viribus humanum genus saluare potuisset, atque ita summa gratia, fuisset ingratis summum ingrati animi vitium. Et si nihil etiam ab initio vetuisset, salutis loco contentionum amantes homines, sic rursum dubitare: *Cur non in fine*: sed in principio: aut, cur non in medio temporum cursu, *sed in principio Verbum incarnatum est.* Ita in se mutuo quaestiones secundùm triplicem temporum differentiam torquentes.] Oportebat itaque primum illa euacuari, & ea quidem praedicatione, quae Patrem solum annuntiaret: Deindéque D[eor]um effingendorum errore è memoria sub[lato]; verum Deum in carne manifestari. Sic igitur se habet haec de Verbi in temporis plenitudine incarnatione ratiocinatio. Et quemadmodum primus ille terraemotus per contrarias rationes Deorum multitudini medicinam fecit, dum personarum discrimen texit, ita in nouissimis quoque temporibus, cùm Iudaica opinio, in vnam personam lege ac tempore corroborata, Deorum mult[itu]dinem profligasset, & diuinitus tunc DEI Filius ac benignè carnem assumpsit, & Trinitatis mysterium paulatim detexit.

c Hae vocis inclusa verba in duobus duntax. MSS. legebantur.

[XXXI.] Addit istis sapienter omnino Saluatorem, verbis quidem humilibus vtendo, diuinitatis abscondisse radium, sed per illius opera effecisse, vt omnipotentis virtutis maiestas effulgeret, ac per haec eadem praedicari videretur. Atq; hinc etiam ait dicebat: *Verba quae ego loquor, a me ipso non loquor. Pater autem in me manens ipse facit opera.* [d] *Cred. te mihi, quia ego in Patre,*

Ioan 14. 10.
d Vulg. Non creditis?

ὥστε δὴ καὶ τὸ σαρκωθῆναι μὲν τὸν πατέρα ἢ τὸ πνεῦμα, συνεσκιάσθαι δὲ καὶ λαβεῖν ἰσχὺν εἰς τὸ λαθεῖν, ὃν τρόπον ἐπὶ τοῦ υἱοῦ, ἀδύνατον ἦν. εἰ γὰρ καὶ κοινῆς οὔσης καὶ τετριμμένης τῆς τοῦ υἱοῦ προσηγορίας, ὅμως τὸν υἱὸν σάρκα λαβόντα, ὅτι θεοῦ υἱὸν (ὅπερ ἦν) ἔλεγεν ἑαυτὸν, καὶ κρημνοῖς ἐξῶσαι καὶ ῥαπίσμασι λαβεῖν, καὶ τὸ τελευταῖον σταυρῷ ἀναρτῆσαι ἐξεμάνησαν: τί οὐκ ἂν ἐποίησαν καὶ αὐτοὶ καὶ οἱ μαθηταὶ, δούλου μορφὴν ὁρῶντες, εἰ ὁ σαρκωθεὶς ἔλεγεν, ἐγώ εἰμι ὁ πατὴρ, ἢ τὸ πνεῦμα τὸ ἅγιον. ὥστε τὸ πᾶν τῆς οἰκονομίας θεοπρεπῶς τε καὶ ὑπὲρ λόγον καὶ ἔννοιαν διεπραγματεύθη, καὶ τὴν τῶν ἀνθρώπων σωτηρίαν ἀπειργάσατο.

Κατ᾽ ἀρχὰς μέντοι ὁ λόγος οὐ σεσάρκωται, καὶ δι᾽ ἄλλας μὲν αἰτίας, καὶ διότι οὐκ ἔδει εὐθὺς τὸ μέγιστον τῶν φαρμάκων τοῖς νοσοῦσι προσενεγκεῖν, ἀλλὰ τὰ ἐπ᾽ ἔλαττον ἐλαύνειν τὴν νόσον δύναμιν ἔχοντα. ἔτι δὲ καὶ ὅτι κατ᾽ ἀρχὰς * σαρκωθεὶς ὁ λόγος οὐ μόνον παρεῖχεν ἴσην ὥσπερ ἐπὶ τέλει παραγεγονὼς τὴν ὠφέλειαν, ἀλλὰ καὶ παράκλησις μᾶλλον τοῖς εἰδωλολατροῦσι πρὸς τὴν πλάνην ἐνομίζετο. εἰ γὰρ, ὅτε παῖδες Ἑλλήνων ἐπεκράτησαν, τοὺς ὁμοιοπαθεῖς ἀνθρώπους, εἰς τὸ τοῦ θεοῦ ῥᾳδίως ἀνεβίβαζον ἀξίωμα: πῶς ἂν εἰδότες σαρκὶ τὸν λόγον φαινόμενον, καὶ θεὸν ὑμνούμενον, οὐκ ἂν τῶν παρ᾽ αὐτοῖς πεπλασμένων θεῶν, ἐκεῖθεν εἷλκον τὰ παραδείγματα· καὶ τοὺς μέλλοντας αὐτοὺς τῆς πλάνης ἀποσπᾶν εὐχερῶς, οὐκ ἂν ἀντωνείδιζον, ἄνθρωπον καὶ αὐτοὺς τοὺς αἰτιωμένους θεόν τε ὑμνεῖν καὶ σέβεσθαι. διὰ τοῦτο γὰρ τότε τῶν Ἑλλήνων ἀνθρώπους θεοποιούντων, καὶ ἡ τοῦ πατρὸς μονὰς ἐκηρύττετο. [καὶ ἵνα μὴ λέγοιεν, εἰ ἀνέμεινεν αὐτὸ ἂν ἑαυτὸ τὸ ἀνθρώπινον ἀνεσώσατο, καὶ ἦν ἂν ἡ ἀνυπέρβλητος χάρις τοῖς ἀγνώμοσιν ὑπερβαλλούσης ἀχαριστίας ὑπόθεσις. καὶ εἰ καὶ κατ᾽ ἀρχὰς οὐδὲν ἐκώλυε, τοῖς ἀντὶ σωτηρίας τὸ φιλόνεικον ζητοῦσι πάλιν διαπορεῖν· διὰ τί μὴ κατὰ τὸ τέλος, ἀλλὰ κατ᾽ ἀρχάς, ἢ διὰ τί μὴ κατὰ τὸ μέσον, ἀλλ᾽ ἐν ἀρχῇ ἐσαρκώθη, καὶ κατ᾽ ἀλλήλων τρέπειν τὰς ἀπορίας ἀπὸ τῆς κατὰ τὸν χρόνον τριττῆς διαφορᾶς.] ἐχρῆν ἔδει μὲν ἐκεῖνα πρῶτον ἀργῆσαι, ἔδει καταργηθῆναι διὰ τοῦ κηρύγματος, ὃ τὸν πατέρα μόνον κατήγγελλεν· εἶθ᾽ οὕτω λήθῃ δοθείσης τῆς θεοποιοῦ πλάνης, τὸν ἀληθῆ θεὸν ἐν σαρκὶ φανερωθῆναι. οὕτω μὲν οὖν ὁ λόγος τὸν ἐπ᾽ ἐσχάτου τῶν ἡμερῶν τοῦ λόγου σαρκώσεως· καὶ καθάπερ ὁ πρῶτος σεισμὸς διὰ τῶν ἐναντίων ἰάσατο τὸ πολύθεον, ἐπικρυψάμενος τῶν ὑποστάσεων τὸ διάφορον: οὕτω καὶ ἐν ἐσχάτοις καιροῖς, τῆς Ἰουδαϊκῆς δόξης εἰς ἓν πρόσωπον νόμῳ καὶ χρόνῳ κρατυνθείσης, καὶ περιελθούσης τὸ πολύθεον, ὁ υἱὸς τηνικαῦτα θεοπρεπῶς τε καὶ φιλανθρώπως καὶ σάρκα λαμβάνει, καὶ τὸ τῆς τριάδος κατὰ μικρὸν ἀνακαλύπτει μυστήριον. ἐπάγει δὲ τούτοις, ὡς πανσόφως ὁ σωτὴρ τοῖς μὲν ῥήμασιν ἐταπεινολογεῖτο, καὶ τὴν τῆς θεότητος συνέστελλεν αὐγήν· τοῖς ἔργοις δὲ ταύτης παρεσκεύαζεν ἀστράπτειν, καὶ δι᾽ αὐτῶν ἐδόκει κηρύττεσθαι τῆς παντοκρατορικῆς δυνάμεως τὸ ἀξίωμα. διὸ καὶ ἔλεγε· τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ, ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ, ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα· πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ

* σαρκω- θεὶς λόγος

καὶ ὁ πατὴρ ἐν ἐμοί· εἰ δὲ μὴ, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι· διὰ δύο δὲ ταύτας αἰτίας τὸ ταπεινὸν τῶν ῥημάτων ὑπήρχετο· μίαν μὲν, τὸν φθόνον τῶν Ἰουδαίων καταπραΰνων φλεγμαίνοντα· δευτέραν δὲ, καὶ ἡμῖν ὑπογραμμὸν ταπεινοφροσύνης ἔργῳ διατυπῶν· καὶ τρίτην, ὅτι ἡ τῶν ῥημάτων λαμπρότης οὐ πάντως ποιεῖ συνεξαστράπτειν καὶ τὰ πράγματα, ἡ δὲ τῶν ἔργων ὑπερφυὴς καὶ θεοπρεπὴς ἐπίδειξις καὶ τῶν ῥημάτων συνανυψοῖ τὴν εὐτέλειαν. ἐνταῦθα δὲ καὶ ῥητοῦ τινὸς * εὐαγγελικὸν ἀναπτύσσει διάνοιαν τοῦ λέγοντος, τί ἐστιν εὐκοπώτερον εἰπεῖν, ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἢ ἔγειρε καὶ περιπάτει; εὐκοπώτερον δὲ φησιν εἶναι τὸ πρῶτον, ὅτι τὸ μὲν ἀφέωνται, οὐκ ἔχει τὴν τῶν ῥημάτων προφορὰν, ὡς ἐξ ἰδίας ἐξουσίας προφερομένην καὶ προστάγματος. οὐδὲν γὰρ κωλύει καὶ τὸν μὴ ὄντα τῆς ἀφέσεως κύριον, εὐαγγελίσασθαι ταύτην: τὸ δὲ ἔγειρε καὶ περιπάτει, δεσποτικῆς ὅλον προστάξεως * ἤρτηται· ἄλλωστε δὲ καὶ ὅτι τὸ ἔγειρε καὶ περιπάτει, ἀδιάβλητον φέρον ἔργοις τὴν αὐθεντίαν, καὶ τὴν ἄφεσιν συμπεριεῖχεν. ὁ γὰρ δοὺς τὴν χάριν τοῦ βαδίζειν, δηλονότι καὶ τῶν, ὑπὲρ ὧν κατείχετο τῇ νόσῳ, πλημμελημάτων τὴν ἄφεσιν συναπεδίδου. δεσπότου δὲ φιλανθρώπου, καὶ τὴν μάστιγα τοῖς ἁμαρτάνουσιν ἐπαφεῖναι, καὶ τῆς πληγῆς μετὰ τοῦ πταίσματος, τὸν πληγέντα ἀπαλλάξαι. εἰδὼς δὲ τὸ ἔργον, καὶ τὴν ἄφεσιν τῶν ἡμαρτημένων * πιστούμενον, καὶ τὴν δεσποτείαν τοῦ ἀφιέντος ἐπιδεικνύμενον: ἐπάγει [δὲ] ἵνα δὲ ἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ἑξῆς. ἀναγκαῖον δὲ ἦν τὸ ἐπισκιάζεσθαι τὸ μυστήριον τῆς τοῦ λόγου σαρκώσεως, διά τε τὸ γενέσθαι τοῖς ἀκροωμένοις εὐπαράδεκτον, καὶ ἵνα τοῦ σκότους τὸν ἄρχοντα λάθῃ. φησὶ γὰρ ὁ θεοφόρος Ἰγνάτιος[a], τρία λαθεῖν τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, τὴν παρθενίαν Μαρίας, τὴν σύλληψιν τοῦ κυρίου, καὶ τὴν σταύρωσιν. λέγει δὲ καὶ ὁ θεσπέσιος Παῦλος περὶ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου, ὡς εἰ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. ταῦτα εἰπὼν, ἐπιφέρει, ὡς ἡ μὲν ἀΐδιος καὶ ὑπεράρχιος τριὰς ἀεί ἐστι καὶ ὡσαύτως τριὰς, πατὴρ, υἱὸς, καὶ πνεῦμα ἅγιον· ἀλλ᾽ ὑπὲρ ὃ νοοῦμεν, ἢ λαλοῦμεν. πᾶν γὰρ ὃ λέγομεν περὶ θεοῦ, ἢ νοοῦμεν, ἐκ τῶν καθ᾽ ἡμᾶς πραγμάτων τε καὶ ῥημάτων τὰ περὶ αὐτῆς ἀναλόγως ἐστὶ λέγομεν, καὶ νοοῦμεν. ἰσότιμος δὲ καὶ ἰσοσθενὴς ἡ παναγία τριὰς, πάντα πρὸς τὴν ἡμετέραν σωτηρίαν οἰκονομοῦσα, καὶ ὅσα θεολογεῖν αὐτὴν * δυνάμεθα, αὐτὴ ταῦτα φιλανθρώπως ἡμῖν χαριζομένη πάλιν προσίεται. διὸ κατ᾽ ἀρχὰς μὲν, ὡς εἴρηται, διὰ τὸ πολύθεον ἡ θεία γραφὴ συγκαταβαίνουσα, οὐχ ὡς ἔχει φύσεως ἢ τάξεως ἡ τριὰς, ἀλλ᾽ ὡς ἡμῖν εὐπαράδεκτον παραδιδοῦσα, τὸν πατέρα λαμπρῶς καταγγέλλει. εἶτα τὸν υἱὸν κατὰ τὸν δεύτερον σεισμὸν, ἐν ᾧ καὶ τὴν γνῶσιν τοῦ πνεύματος συμπαραλαμβανόμενοι, εἰ μὴν τήν γε τελείαν· αὐτὴ γὰρ ἐν τῷ μέλλοντι αἰῶνι καὶ τῷ τελευταίῳ σεισμῷ παραγίνεται, τῆς τριάδος ὅλης τρανότερον ἡμῖν

* al. εὐαγγελικοῦ.

* al. ἤρτηται.

* al. πιστούμενον.

* ὑπερκείμενα.

IOBIVS.

& *Pater in me est: alioquin propter opera ipsa credite.* Duas autem has ob caussas verborum humilitatem adhibuit. Primum quidem ad Iudæorum efferuescentem inuidiam mitigandam. Deinde verò, vt nobis quoque humilitatis exemplum ipsomet facto exprimeret. Tertiò etiam, quia verborum splendor non omnino actiones simul emicare facit, cùm tamen naturam excedentium & diuinorum operum patratio, verborum vnà secum humilitatem extollat.

Porrò hoc loco dicti cuiusdam Euangelici sensum exponit: *Quid est facilius dicere, Dimittuntur tibi peccata tua: an dicere, Surge & ambula.* Facilius autem primum esse dicit, quoniam illud, *Dimittuntur*, non eam habet verborum pronuntiationem, quasi ex propria auctoritate proprióque imperio proferretur. Nihil enim prohibet ab illo etiam, qui eius nequaquam sit dominus, remissionem annuntiari. At: *Surge & ambula*: totum à Dominico pendet imperio. Præsertim cum illud *Surge & ambula*, irreprehensibilem rebus ipsis adferendo auctoritatem, ipsam quoque remissionem complecteretur. qui enim ambulandi gratiam donabat, idem nimirum peccatorum etiam, ob quæ morbo ille tenebatur, remissionem conferebat. perhumani enim Domini est, & flagellum peccatoribus inferre, & flagellatum tam à plaga, quàm ab ipsomet peccato liberare. Sciens autem opus hoc non remissionem tantum delictorum confirmaturum, sed potestatem quoque dimittentis ostensurum, addit: *Vt autem sciatis, quia Filius hominis habet potestatem in terra dimittendi peccata, &c.* Ceterum necesse erat incarnationis dominicæ mysterium velut vmbra tegi: cùm vt ab audientibus cupidius acciperetur, tum vt id tenebrarum princeps ignoraret. Nam tria diuinus [a] Ignatius sæculi huius principem latuisse commemorat: Virginitatem MARIÆ, Conceptionem Domini, & cruci affixionem CHRISTI. affirmat quippe D. Paulus de principibus sæculi huius: *Si cognouissent, nunquam Dominum gloriæ crucifixissent.*

Matth. 9. 5.

a Epist. ad Ephes.

1. Cor. 2. 8.

[XXXII.] Hæc vbi dixit, infert sempiternam ac summam Trinitatem semper esse, & similiter Trinitatem, Patrem nimirum, & Filium, & Spiritum sanctum, sed supra omne, quod aut cogitamus, aut loquimur. Quandocumque enim de DEO loquimur aut cogitamus, ex nostris verbis ac rebus ea quæ ad ipsam Triadem spectant, proportione quadam & dicimus & cogitamus. Sanctissima etenim Trinitas, dignitate ac potentia æqualis, omnia quæ ad nostram salutem faciunt prouidè operata est: quæq; Theologice de ipsa speculari possimus, hæc illa nobis benignè gratificans identidē admittit. Propterea quidem à principio, vt diximus (ob Deorum scilicet multitudinem) S. Scriptura nobis condescendens, non vt natura aut dignitas Trinitatis se habet, sed quatenus à nobis facilius capi potest eam tradendo, perspicuè Patrē indicat. In altero deinde terræ motu Filiū, in quo & Spiritus sancti cognitionem, etsi minus perfectā, simul accipimus. Hæc enim in futuro sæculo, & vltimo illo accedit terræ-motu, quo tota nobis Trinitas manifestius

IOBIVS. apparebit, ac reuelabitur. Etsi enim Spiritus arrham habemus, vt [a] vas electionis testatur: nondum tamen ad perfectionem spiritalis status peruenimus. Ipsum etenim arrhæ nomen signum quidem perfecti doni est: at non ipsum donum. Idem etiam [b] alibi pignus futuræ hæreditatis esse Spiritum prædicat, & primitias æternorum bonorum. Quare perfectionem Spiritus nonnisi post redemptionem corporis suscipimus.

a 2. Cor. 1. 22.
b Ephes. 1. 14. Rom. 8. 23.

Iam quando qui apud homines cùm *Pater*, tum *Filius* dicitur, per coniugij societatem declaratur atque cognoscitur: propterea præsentis vitæ duos terræ-motus, alterum pertinere ad Patrem: alterum ad Filium, vaticinia tradunt. Rursus cùm Spiritus sanctus, etiam vt apud nos est, corporum transcendat crassitudinem, meritò vbi cessauerint coniugia, excelsior illa & illustrior vita (vita hæc resurrectionis est, *In resurrectione enim* [c] *neque nubent, neque nubentur*,) propriè attribuatur Spiritui. Illius autem vitæ tempore, in qua patres filios progenerant, Deum Patrem ordine Filio præpositum cognosci oportebat, non quod Trinitas ordinem aliquem exigeret: (Quis enim ibi ordo sit, vbi æqualitas immutabilis viget?) sed quod per eum ordinem, qui in ipsa ex apta dispositione est, à liberis parentes honorari hortaretur. Spiritus quoque dignitatem sacra Scriptura extollens, vniuersam Trinitatem *Spiritus* nomine appellat. Quale illud: [d] *Spiritus est Deus: & eos qui adorant eum, in Spiritu & veritate oportet adorare.* Hoc item: *Omne* [e] *peccatum remittetur hominibus: ei autem qui blasphemauerit in Spiritum sanctum, non remittetur*: de tota diuinitate acceptum, cum prædicto scopo quadrat. Illa quoque per speculum & in ænigmate cognitio supernaturalis in Triade deitatis, per Spiritum nobis in futuro perficitur. Sic enim hic motus ad Spiritum sanctum, quemadmodum duorum præcedentium alter ad Patrem, alter ad Filium refertur. Qui autem ordine primus est terræ-motus, extremus idem dignitate & vtilitatis magnitudine est. Manifestum enim gratiam multò esse lege [antiqua] maiorem & vtiliorem. Verùm & secundus minor est tertio. Si quidem *nunc* [f] *videmus per speculum & in ænigmate: tunc autem facie ad faciem.* Quare etiam, [g] *cùm venerit quod perfectum est, euacuabitur quod ex parte est.* Et considera [quæso] diuina operantis prouidentiæ sapientissimam & æqualem trutinam. Videbatur Pater priscis illis præcipuam dignitatem obtinere: rursúmque Filius in noua lege quibusdam minorem, at multis æqualem: Spiritus verò sanctus multis minorem, paucis æqualem. Vt igitur ex hominum opinione orta inæqualitas ad æqualitatem reduceretur, primus ille terræ-motus, qui Patri attributus est, minorem dignitatem habuit: secundus dein, qui filij erat, illo maiorem: tertiúsque Spiritus sancti, vtroque excellentiorem. Ita clarè perspicias, quomodo quæ in hominum est opinione inæqualitas, per trium temporum inæqualitatem, in admirandam ac stabilem æqualitatem coierit.

c Matth. 22.
d Ioan. 4. 24.
e Matth. 12. 31. Marc. 3. 29. Luc. 12. 10.
f 1. Cor. 13. 12.
g Ibid. v. 10.

ἐμφανιζομένης τε καὶ ἀνακαλυπτομένης. εἰ γὰρ καὶ τοῦ πνεύματος τὸν ἀρραβῶνα, ὡς τῆς ἐκλογῆς ἐπιμαρτύρεται τὸ σκεῦος, ἔχομεν: ἀλλ' οὐκ εἰς τὴν τελειότητα τῆς πνευματικῆς ἐφθάσαμεν καταστάσεως. καὶ γὰρ καὶ αὐτὸ τὸ τοῦ ἀρραβῶνος ὄνομα, σύμβολον μέν ἐστι τοῦ τελείου δώρου, οὐ μὴν αὐτό γε τὸ δῶρον. καὶ πολλαχοῦ ἀρραβῶνα τῆς μελλούσης κληρονομίας τὸ πνεῦμα ὑμνεῖ, καὶ ἀπαρχὴν τῶν αἰωνίων ἀγαθῶν. ὥστε τὴν τελειότητα τοῦ πνεύματος, μετὰ τὴν ἀπολύτρωσιν τοῦ σώματος, ὑποδεχόμεθα. ἐπειδὴ δὲ ὁ κατὰ τὸ ἀνθρώπινον γένος λεγόμενος καὶ πατὴρ καὶ υἱὸς, κοινωνίᾳ γάμου ἀναφαίνεται καὶ γνωρίζεται: διὰ τοῦτο τοῦ παρόντος βίου τοὺς δύο σεισμοὺς, τὸν μὲν πρότερον ἀνήκειν τῷ πατρὶ, τῷ υἱῷ δὲ τὸν δεύτερον, τὰ λόγια παραδιδόασι. πάλιν ἐπειδὴ τὸ πνεῦμα καὶ τὸ παρ' ἡμῖν σωμάτων ὑπερβαίνει παχύτητα, εἰκότως ὁ τῶν γάμων πεπαυμένων ἀνακύπτων τε καὶ ἀναλάμπων βίος (οὗτος δὲ ὁ τῆς ἀναστάσεως ἂν εἴη: ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε * γαμίσκονται) οἰκείως ἂν ἀφορισθείη τῷ πνεύματι. ἔδει δὲ τὸν βίον, ἐν ᾧ πατέρες παῖδας φύουσι, τὸν θεὸν καὶ πατέρα προτεταγμένον γινώσκεσθαι τοῦ υἱοῦ, οὐ τῆς τριάδος τὴν τάξιν ἀπαιτούσης. ποῦ γὰρ τάξις, ἔνθα τὸ ἴσον ἀπαράλλακτον; ἀλλὰ διὰ τῆς ἐν αὐτῇ κατ' οἰκονομίαν τάξεως τοὺς πατέρας τιμᾶσθαι παρὰ τῶν παίδων παραινούσης. καὶ τὸ ἀξίωμα δὲ τοῦ πνεύματος ἡ ἱερὰ ἐπαίρουσα γραφὴ, ὅλην τὴν τριάδα τῇ τοῦ πνεύματος ὀνομάζει φωνῇ. ὡς τὸ, πνεῦμα ὁ θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. καὶ τὸ, πᾶσα ἁμαρτία ἀφεθήσεται τοῖς ἀνθρώποις, τῷ δὲ βλασφημοῦντι εἰς τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἀφεθήσεται· ἐπὶ τῆς θεότητος ὅλης ἐκληφθὲν, σύμφωνον ἂν εἴη τῷ προειρημένῳ σκοπῷ. καὶ ἡ ἐν ἐσόπτρῳ δὲ γνῶσις, καὶ ἡ ἐν * αἰνίγματι τῆς ὑπερφυοῦς ἐν τριάδι θεότητος, εἰς τὸ τέλειον διὰ τοῦ πνεύματος ἡμῖν ἀποκαθίσταται κατὰ τὸ μέλλον. καὶ γὰρ * οὕτως τῷ παναγίῳ πνεύματι, ὥσπερ τῶν πρὸ αὐτοῦ δύο σεισμῶν, ὁ μὲν τῷ πατρὶ, ὁ δὲ τῷ υἱῷ ἀναφέρεται. ἔστι δὲ δηλονότι ὁ μὲν τῇ τάξει πρῶτος σεισμὸς, ἔσχατος τῷ τε ἀξιώματι, καὶ τῷ τῆς ὠφελείας μεγέθει. δῆλον γὰρ ὡς ἡ χάρις πολλῷ τοῦ νόμου μείζων τε καὶ λυσιτελεστέρα. ἀλλὰ καὶ ὁ δεύτερος ἐλάττων τοῦ τρίτου. εἴγε νῦν μὲν ἐν ἐσόπτρῳ βλέπομεν, καὶ ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον. διὸ καὶ ὅταν ἔλθῃ τὸ τέλειον, καταργηθήσεται τὸ ἐκ μέρους. καὶ σκόπει τῆς θεουργοῦ προνοίας τὸν πάνσοφόν τε καὶ ἀρρεπῆ ζυγόν. ὁ πατὴρ ἐδόκει τοῖς πάλαι τὸ μεῖζον ἔχειν: ὁ υἱὸς δὲ πάλιν κατὰ τὴν νέαν * ἐνίοις μὲν τὸ ἔλαττον, τοῖς πολλοῖς δὲ τὸ ἴσον· τὸ δὲ ἅγιον πνεῦμα τοῖς πολλοῖς μὲν τὸ ἔλαττον, ὀλίγοις δὲ τὸ ἴσον. ἵνα οὖν τὸ ἄνισον τὸ ἀπὸ τῆς τῶν ἀνθρώπων ὑπολήψεως εἰς ἰσότητα ἐπαναχθῇ: ὁ μὲν πρῶτος σεισμὸς, ὃς ἀνέκειτο τῷ πατρὶ, τὸ ἔλαττον ἔσχεν: ὁ δὲ δεύτερος, ὃς ἦν τῷ υἱῷ, τὸ ἐκείνου μεῖζον, καὶ ὁ τοῦ πνεύματος ἀμφοῖν ὑπερέσχεν. καὶ ὅρα σαφῶς, ὅπως ἡ ἐν ταῖς τῶν ἀνθρώπων δόξαις ἀνισότης, * καὶ τῆς τῶν τριῶν καιρῶν ἀνισότητος εἰς * ἀρρεπεστάτην τε καὶ θαυμασίαν συνεβιβάσθη ἰσότητα.

* al. ἐκγαμίζονται.
* al. αἰνίγμασι.
* al. οὕτως.
* al. ἐλάττω.
* al. διὰ τό
* al. ἀρρεπεστάτην.

τῆς τρια-

τῆς τριαδικῆς θεαρχίας, ὥσπερ αὐγήν τινα παραδεξαμένην καὶ ἔλλαμψιν. ὅτι δὲ ἡ ἐν τριάδι τάξις τὴν τῶν πολλῶν οἰκονομίαν στοχάζεται, ἀλλ' οὐκ ἀπὸ τῆς ὑπερφυοῦς ἐκείνης καὶ ἀῤῥήτου βλαστάνει φύσεως: ὁ τῶν ἀποῤῥήτων μύστης διδάσκει, ὃς καὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα θεόληπτον μύησιν ἔχων, ἐνίοτε τοῦ πατρὸς προτάττειν· διαιρέσεις γὰρ χαρισμάτων εἰσὶ, καὶ τὸ αὐτό, φησι, πνεῦμα: διαιρέσεις δὲ διακονιῶν, καὶ ὁ αὐτὸς κύριος· καὶ διαιρέσεις ἐνεργημάτων, καὶ ὁ αὐτὸς θεός. καὶ πρὸς Γαλάτας, Παῦλος ὁ ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ θεοῦ πατρός. ὥστε τὸ προτάττεσθαι καὶ ὑποτάττεσθαι τῆς θεαρχικῆς τριάδος, καὶ πᾶσαν τάξιν καὶ πάντα λόγον ὑπερεχούσης, ὀνόματα, οὐχ εἱρμόν τινα φυσικὸν διασώζει τάξεως, ἀλλὰ πρὸς τὴν τῶν ἀκροατῶν σωτηρίαν οἰκονομεῖται καὶ διαποικίλλεται. ταῦτα μὲν ὁ κλεινός τε καὶ τῶν θείων μαθημάτων διάπυρος ἐραστὴς, κατὰ τὸ τριακοστὸν πρῶτον καὶ δεύτερον κεφάλαιον φιλοπονησάμενος, ἐπραγματεύσατο. ἐν δὲ τῷ ἑξῆς κεφαλαίῳ αἰτίας τίθησι, δι' ἃς ἡ παλαιὰ καὶ νέα διαθήκη τῷ δυσλήπτῳ τε καὶ δυσερμηνεύτῳ ποικίλλεται. εἰ καὶ μᾶλλον μὲν ἡ παλαιὰ, ἧττον δὲ τὰ τῆς χάριτος. καὶ ἐπὶ μὲν τοῦ μωσαϊκοῦ γράμματός φησιν, ὅτι ἐπεὶ τύπος ἦν καὶ σκιὰ τῶν μελλόντων ἀγαθῶν, εἰκότως ὡς ἐν σκιᾷ τε καὶ τύπῳ καὶ πρὸς αὐτὰ τὰ *ῥήματα, καὶ τὴν τῶν ῥημάτων συνθήκην περιβάλλεται, δι' ὧν κρατεῖ ἡ ἀσάφεια. πλήν γε καὶ τὰς διπλᾶς τῆς νομοθεσίας πλάκας διπλῆν καὶ τὴν χρείαν παρέχειν: τοῖς μὲν ἀναβεβηκόσι τὸν νοῦν, τὴν αἴγλην ἔσωθεν ἀποστράπτοντα τὴν τοῦ πνεύματος, τοὺς δὲ παχυτέρους ψυχαγωγοῦντα τῇ σκιαγραφίᾳ τοῦ γράμματος. ἐκρύπτετο δὲ τὰ μέλλοντα ἀγαθὰ, ὧν ἡ τῆς τριάδος γνῶσις τὸ κεφάλαιον, δι' ἃς αἰτίας πολλάκις ἀποδεδώκαμεν· λέγω δὴ διά τε τῶν ἀκροατῶν τὸ ἀσθενὲς, καὶ διὰ τὸ λαθεῖν τὸν ἄρχοντα τοῦ σκότους, καὶ τρίτον, ἵνα ἐκ μέσου παντελῶς ἀρθῇ τὸ πολύθεον, μηδεμιᾶς προφάσεως τοῖς πεπλανημένοις τε καὶ ἀμαθεστέροις ἐκ τοῦ τὴν τριάδα κηρύττεσθαι σαφῶς, καὶ χωρὶς παρακαλυμμάτων, ὑπολειπομένης πρὸς πλάνησιν. καὶ ἔοικε τὰ ἱερὰ γράμματα χρυσίτιδι γῇ, ἥτις οὐ πᾶσιν, οὐδὲ τοῖς τυχοῦσιν, ἀλλὰ τοῖς φιλοπόνως καὶ ἐπιστημόνως μεταλλεύουσι, τό, τε χρυσίον δόκιμον, καὶ τὸ κέρδος τῶν πόνων μεῖζον παρέχεται. ὥσπερ οὖν πενίας οὐκ ἀπαλλάττεται, ὁ τὴν μεταλλικὴν ψάμμον ἐν ἀθύρματι, ἢ παιδιᾷ, ἢ κατὰ μυκτηρισμὸν ἐπαφώμενος, οὐδὲν δὲ φιλοπονῶν, οὐδ' ἀνιχνεύων τὸ ὑπὸ ταύτης κρυπτόμενον: οὕτως οὐκ ἂν ἀγνοίας ἀπαλλαγείη, *οὐδὲ τῆς ἐχούσης τοὺς ῥαθύμους αἰτιάσεως, ὁ τῷ γράμματι μόνῳ προσφυόμενος, τὸν δὲ ἐν αὐτῷ θησαυρὸν οὐκ ἀνερευνῶν, οὐδὲ τὸ ἐν βάθει κέρδος τῶν νοημάτων ἀναλεγόμενος. καί τοι καὶ αὐτὸ τὸ κεκρύφθαι τὰ θεῖα νοήματα, τὸ τιμιώτατον αὐτοῖς καὶ ὑψηλὸν ἐπιμαρτυρεῖ· καὶ πόθον ἐγκεντρίζει μᾶλλον ζητήσεως ταῖς ψυχαῖς, ὅσαι πρὸ τῆς ῥᾳστώνης τὸ θεοφιλές τε καὶ φιλόπονον ἔμπροσθεν ἄγουσι.

*γρ. πράγματα. N M.

* al. οὐδὲ.

IOBIVS.

Trinitatis maiestate veluti splendorem quendam ac lucem accipiente. Quod verò qui in Trinitate est ordo, vulgi duntaxat ordinationem spectet, non autem ex ineffabili & supernaturali natura promanet, arcanorum ille mysta docet, qui diuinitus eam institutionem accepit, vt Filium & Spiritum quandoque ante Patrem locaret. [a] *Diuisiones enim gratiarum sunt*, inquit, *idem autem Spiritus: Diuisiones ministrationum, & idem Dominus: & diuisiones operationum, idémque Deus*: Ad Galatas quoque scribens: [b] *Paulus Apostolus non ab hominibus, neque per homines, sed per* IESVM CHRISTVM, *& Deum Patrem*. Quare quod diuinæ Trinitatis, quæ omnem & ordinem & sermonem excedit, nomina modo præponantur, modo postponantur: non id seriem aliquam naturalem tuetur, sed ad auditorum salutem variè accommodatur. Hæc verò inclytus ardénsque diuinarum disciplinarum amator tricesimo primo capite & altero studiosè laborando pertractauit.

a 1. Cor. 12. 4.

b Galat. 1. 1.

XXXIII. Proximo dehinc capite caussas reddit, cur tam nouum quàm vetus Testamentum intellectu atque explanatu difficilibus locis intertextum sit. Etsi vetus Testamentum plus, minus verò nouum huiusmodi difficultatum habeat. Et super Mosaico quidem scripto affirmat, quandoquidem typus illa erant & vmbra futurorum bonorum, merito vt in typo atque vmbra cum verba tum verborum compositionem eiusmodi proferre, per quæ cresceret obscuritas. Quanquam hæc in duplicibus legis tabulis, geminam quoque vtilitatem præbeant, cum & iis qui mente altius ascenderunt, interius suum spiritus lumen veluti effulminant, & crassiores litteræ obumbratione delectant.

Abscondebantur autem futura bona, in quibus cognitio Trinitatis caput est, ob eas [maximè] caussas, quas iam sæpenumero tradidimus. Propter audientium imbecillitatem, inquam, vtque tenebrarum principem laterent: multorum Deorum cultus, cùm nullus [deinceps] errantibus atque imperitioribus erroris sui prætextus relinqueretur ex clara & minimè velata Trinitatis prædicatione. V[...]cræ litteræ non dissimiles aureæ terræ vide[...]tur, quæ non omnibus neque vulgaribus, sed laboriosè tantùm ac scienter perscrutantibus, aurum probatum, & lucrum labore maius præbet. Quemadmodum itaque paupertatem non euadit, qui fossilem arenam ornamẽti, ludi, aut ioci caussa tractans, nullum interea studium adhibet, vt quod sub ea absconditum latet inuestiget: sic neque ignorantiam, neque negligentiæ reprehensionem euadere queat, qui soli litteræ adhærescens, thesaurum in ipsa reconditum non scrutetur, neque latentẽ in eius fundo sensuum vtilitatem colligere studeat. Et certè hoc ipsum quod diuini sensus abditi lateant, pretium eorum maximum & sublimitatem indicat: ac maius simul inquirendi desiderium iis infigit animis, qui Dei & laboris amorem inertiæ anteponunt.

IOBIVS. Iudæorum insuper improbitas, & in rebus quæ minimè attingendę essent audacia, obscuritatis est in veteri Testamento nonnulla causa. Ne enim quæ manifesta essent de Christo atque aperta Scripturarum testimonia circumciderent & obliterarent, ideò adumbratè ea promuntur. Tertiò etiam ne diuinarum præceptionum contéptrix Iudæorum natio, si clarè didicissent vniuersam aliquando legem præterfluxuram: atque in aliam reipubl formam, quæ apud ipsos in honore ac pretio erant, transitura: magis etiam ad contemptum præceptorum Dei, ex ipsa hac clara cognitione traherentur. Quid enim amare attinet me, quod mox dissoluetur, & cuius non ita multo post nulla erit vtilitas? Propterea nimirum hæc obscuritate atque percipiendi difficultate inuoluuntur. Nam si absque vlla causa millies à præceptis Dei desciuerunt Iudæi, cùm neque de eorum mutatione quidquam cognitum haberent, vt neque quod imperfecta & alterius politiæ figura essent atque vmbræ: quid tandem [putas] non egissent, si tradita ipsis mandata tandem soluenda atque mutanda è Scripturis clarius cognouissent? Alioquin & illa disciplinas tradendi lex vbique obtinebat, vt qui recenter primis elementis imbuerentur, ad perfectionis vsque tempus perfectiora quæque celarentur: sed rudioribus dumtaxat præceptis discipuli ad perfectiorum cognitionem percipiendam præpararentur.

Præter hæc autem etiam naturam ita gubernari, & opera sua regere videmus. Prima enim sementis atq; semina perfectam in se speciem clarè nequaquam ostendunt: sed eius tantùm rationes abditas continent: vt granum spica non est, etsi in se spicæ rationem tegit. Eadem naturæ series in aliis quoque fructibus ac seminibus cognoscitur. Qualem & lex vetus ferè rationem cum gratia seruat. Nam quæ gratia perficit, iacti per legem seminis seges habetur. Quibus igitur de causis obscuritatem assumpserit lex Mosaica, vtcumque iam dictum.

Nunc quod gratiæ quoque lex obscurior, & non ita cuilibet perspicua sit, auditorum recens adhuc instructio, mentisque imbecillitas in causa est. Vnde & vas electionis: [a] *Lac*, inquit, *vobis potum dedi, non escam: nondum enim poteratis.* Quemadmodum autem minus conueniens cibus omnis accipienti noxius: sic & scientia, tametsi verissima proponat, nullam imperfectis vtilitatem affert. Etsi enim nouum quàm vetus Testamentum clarius fidei mysterium exponat: cùm tamen principij aliquam ac seminis rationem obtineat, etiam hac ratione ad eam quæ nunc innouata est reipubl. formamq; non statim initiatis, sed sensim ac iuxta proficientium gradus, quæ perfectiora sunt, manifestat. Canibus præterea (hoc est, aduersariis & oblatrantibus, ne temerè ac sine ratione proijcias sancta, aut [b] *margaritas ante porcos*, quibus nimirum vita voluptatum cœnum, Dominicum, & quod docendi regulam statuat, præceptum est. Sanctificans item sacrificium *Mysterium* dici solet: mysterium autem commune non est, neq; facilè profanis adeundum.

a 1. Cor. 3. 2.

b Matth. 7. 6.

καὶ τὸ κακοῦργον δὲ τῶν ἰουδαίων, καὶ τολμηρὸν περὶ τὰ ἀτόλμητα, τῆς κατὰ τὴν παλαιὰν ἀσαφείας αἴτιον. ἵνα γὰρ μὴ τὰς περὶ χριστοῦ μαρτυρίας τὸ περιφανὲς καὶ κατάδηλον ἐχούσας τῶν γραφῶν περικόψωσιν καὶ ἐξαφανίσωσι, διὰ τοῦτο μετὰ τοῦ συνεσκιασμένου ταῦτα προάγεται. καὶ τρίτον, ὅτι ὀλίγωρος ὢν καὶ τῶν θείων προσταγμάτων καταφρονητὴς ὁ τῶν ἰουδαίων λαός· ἵνα μὴ μαθόντες σαφῶς, ὡς τὰ τοῦ νόμου πάντα ῥυήσεται, εἰς ἑτέραν δὲ πολιτείαν, ἃ παρ᾽ αὐτοῖς ἐστὶ τίμιά τε καὶ σπουδαζόμενα, μεταστήσεται· ἐκ δὲ τῆς τοιαύτης ἐμφανοῦς ἐπιγνώσεως, πλέον τι πρὸς τὴν ὑπεροψίαν ὑπαχθῇ τῶν προσταγμάτων. τί γάρ με δεῖ στέργειν ἃ μετὰ μικρὸν λυθήσεται, καὶ ὧν οὐ μετὰ βραχὺ τὸ ἀνόνητον; διὰ τοῦτο τῇ ἀσαφείᾳ ταῦτα καὶ τῇ δυσληψίᾳ περικαλύπτεται. εἰ γὰρ καὶ χωρὶς προφάσεως μυριάκις τῶν τοῦ θεοῦ προσταγμάτων ἀπέστησαν, μήτε μετάστασιν αὐτῶν ἐγνωκότες, μήτε ὅτι τὸ ἀτελὲς ἔχουσι, μήτε ὅτι πολιτείας ἑτέρας εἰσὶ τύποι καὶ σκιάσματα: τί οὐκ ἂν ἔδρασαν, εἰ ἐξ αὐτῶν ἐκείνων σαφῶς τὴν οἰκείαν λύσιν καὶ μετάθεσιν *ἐμάνθανον; ἄλλως τε δὲ καὶ νόμος πανταχοῦ κρατεῖ τῆς διδασκαλίας, τοῖς ἄρτι στοιχειουμένοις τὰ τελεώτερα μέχρι καιροῦ τῆς τελειώσεως συγκαλύπτεσθαι, εἰσαγωγικοῖς δὲ παιδεύμασι τὸν μαθητὴν προπαρασκευάζειν, πρὸς τὴν τῶν τελεωτέρων κατανόησιν. ἐπὶ δὲ τοῖς εἰρημένοις, καὶ τὴν φύσιν οὕτως οἰακιζομένην τε, καὶ τὰ οἰκεῖα ἔργα ῥυθμίζουσαν, ὁρῶμεν. αἱ γὰρ πρῶται καταβολαὶ, καὶ τὰ σπέρματα, τὸ μὲν τέλειον εἶδος ἐν ἑαυτοῖς ἐμφανῶς οὐ δεικνύουσι: τοὺς δὲ λόγους ἐγκεκρυμμένους φέρουσιν· οἷον, ὁ κόκκος στάχυς μὲν οὐκ ἔστιν· ἐν ἑαυτῷ δὲ κρύπτει τὸν λόγον τοῦ στάχυος. καὶ ἐπὶ τῶν ἄλλων δὲ καρπῶν καὶ σπερμάτων, ὁ αὐτὸς τῆς φύσεως εἱρμὸς ἐπιγινώσκεται. τοιοῦτον δή τινα καὶ ὁ νόμος πρὸς τὴν χάριν διασώζει λόγον. ἃ γὰρ ἡ χάρις ἐτελείωσε, τῶν νομικῶν σπερμάτων ἐστὶ τῆς καταβολῆς τὰ γεώργια. δι᾽ ἃ μὲν οὖν τὴν ἀσάφειαν ἡ μωσαϊκὴ νομοθεσία ὑπέδυ, μετρίως εἴρηται. καὶ τῆς χάριτος δὲ τὸ ἀσαφὲς καὶ οὐ πᾶσιν ἐπίδηλον *τὸ νεοκατήχητον αἴτιον ἔχει τῶν ἀκροατῶν, καὶ τῆς διανοίας τὴν ἀσθένειαν. διὸ καὶ τὸ σκεῦος τῆς ἐκλογῆς, γάλα, φησὶν, ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα: οὔπω γὰρ ἠδύνασθε. ὥσπερ δὲ πᾶσα τροφὴ ἀκατάλληλος, βλαβερὰ τῷ μετέχοντι: οὕτω καὶ γνῶσις, κἂν τὸ παναληθέστατον εἴη, προβάλλουσα, τοῖς ἀτελέσιν ἀσύμφορος. εἰ γὰρ καὶ τῆς παλαιᾶς ἡ νέα τηλαυγέστερον ἐκδιηγεῖται τὸ τῆς εὐσεβείας μυστήριον· ἀλλ᾽ οὖν ὡς ἀρχῆς καὶ σπέρματος λόγον ἐπέχουσα, καὶ αὐτὴ πρὸς τὴν ἤδη πολιτείαν ἐγκαινιζομένην, οὐκ εὐθὺς τοῖς μυουμένοις, ἀλλὰ κατὰ προκοπὴν ἀποκαλύπτει τὰ τέλεια. ἔτι δὲ καὶ τοῖς κυσὶ, τουτέστι, τοῖς ἀντικειμένοις καὶ καθυλακτοῦσιν, οὐχὶ προπετῶς καὶ ἀφιλοσόφως ῥίπτειν τὰ ἅγια, οὐδὲ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, οἷς ὁ βίος ὁ τῶν ἡδονῶν βόρβορος, δεσποτικὸν ὑπάρχει καὶ τὴν διδασκαλίαν κατευθῦνον παράγγελμα. ἀλλὰ δὴ τῶν εἰρημένων: καὶ ἡ ἁγιοποιὸς θυσία, μυστήριον ὀνομάζεται: τὸ δὲ μυστήριον οὐ κοινὸν, οὐδὲ τοῖς βεβήλοις εὐεπίβατον.

* al. ἐπεμάνθανον.

* al. τὸν ἐπιτυχόντα.

ἵνα

ἔτι μὴν καὶ τὰ ἅγια ποτὲ μὲν τοῖς τε σεραφὶμ καὶ χερουβὶμ, ὑλικῶς δὲ καταπετάσμασι, καὶ πτεροῖς, καὶ πύλαις, καὶ κλείθροις περιστοιχίζεται. οὕτω γοῦν χρὴ καὶ τὴν ἱερὰν ἡμῶν γραφὴν τοῖς μὲν βεβήλοις περικαλύπτεσθαι, ἵνα μὴ τὰ ἅγια ἐξυβρίζοιτο· τοῖς δὲ μεμυημένοις καὶ πιστοῖς ἀνακαλύπτεσθαι. ἄλλως τε δὲ καὶ τὸ ῥᾷον εἰς χρῆσιν, οὐχ ὥσπερ τὸ πόνῳ * κτηθὲν περισπούδαστον· (εὐλόγως τὸ ἱερὸν γράμμα τοῖς μὲν ῥαθύμοις τὸν θησαυρὸν ἀποκρύπτει), τοῖς δὲ φιλοπονοῦσι χαρίζεται. ἀλλὰ καὶ ἱδρῶσι πᾶν τὸ τίμιον, καὶ ἡ ἀρετὴ εἰς κτῆσιν ἀφικνεῖται καὶ ἀπόλαυσιν· ἡ δὲ κακία ῥᾷόν τε καὶ πᾶσι πρόχειρον. καὶ τὸ μὲν πόνῳ κατορθωθὲν, μᾶλλον ποθεῖται· ὃ δὲ ῥᾳδίως λαμβάνεται, καὶ ῥᾳδίως ἀποβάλλεται, καὶ πρὸς τὸ παρεωραμένον μᾶλλον ἀντὶ τοῦ ποθεῖσθαι κατασύρεται. διὸ καὶ ὁ Ἀδὰμ ἄνευ ἄθλων καὶ καμάτων ὁμιλίας ἀξιούμενος θείας, καὶ τῶν ἄλλων ἀγαθῶν· ῥᾳδίως ὧν ἀπήλαυεν ἐξωλίσθησε· καὶ ἐπειδὴ τὸν ἄλυπον καὶ ἄμοχθον βίον, βαράθρου πρόξενον ἑαυτῷ κατεσκεύασεν· ὁ πάνσοφος ἰατρὸς τοῖς ἐναντίοις φαρμάκοις ἐξιᾶται τὸ νόσημα, ἐν ἱδρῶτι τοῦ προσώπου καὶ τὸν σωματικὸν ἄρτον φαγεῖν νόμον τιθέμενος, καὶ ὅσοις ὁ πνευματικὸς ἔρως πνευματικὴν παρατίθησι τράπεζαν. ἀλλὰ δὲ τῶν εἰρημένων, εἰ παντὸς ἦν καὶ χωρὶς καμάτων ἡ κατὰ τῆς γραφῆς θεωρίας ἡ κατάληψις· ποῦ τῶν ἐπαγρυπνούντων ταύτῃ καὶ ἐπαγωνιζομένων τὰ ἔπαθλα; ἢ τίς ἂν προσανεῖχε τῇ ταύτης φιλοπονίᾳ, οὐδὲν ἔλαττον ἐχόντων τῶν ῥαθύμως αὐτῆς ἁπτομένων; ὥστε διὰ τῶν εἰρημένων δίκαιόν τι ἅμα καὶ λυσιτελὲς ἀνεφάνη, τὸ μὴ ἀνηπλῶσθαι μᾶλλον, μήδ' ἀπαραφυλάκτως ἐρρίφθαι, ἢ τὰ κοινὰ προκεῖσθαι πᾶσι, καὶ τοῖς ἀναξίοις, τῆς γραφῆς τὰ νοήματα. διὰ μέν τοι τὰ εἰρημένα, τῶν μὲν φιλοπόνων, καὶ ἀξίων τοῦ κατὰ γνῶσιν πνευματικοῦ χαρίσματος, οὐκ ἄν τις αἰτιάσαιτο τῆς γραφῆς τὴν ἀσάφειαν· ὁ δὲ ῥᾴθυμος, καὶ ἀναπτήσκων, τί δή ποτε μὴ καταλαμβάνων δυσχεραίνοι ἄν; εἰ μὲν γὰρ σπουδῆς ἀξίαν τὴν τῶν θείων γνῶσιν ἡγεῖται, τί μὴ σπουδάζει περὶ τὰ τίμια; εἰ δὲ πρὸς ἀρετὴν μηδὲν ἀναγκαῖον παρέχουσαν, τί καὶ δυσχεραίνει μηδὲν ζημιούμενος; τί δὲ καὶ ἐκ τῆς ἀσαφείας παραλαβεῖν τις ζητῶν μαθεῖν τὴν διάνοιαν; ἔστι γὰρ ἔστι τοῖς βουλομένοις ἃ μὴ ζητοῦσιν οὐ χαλεπὸν μαθεῖν. πολλοὶ γὰρ ἀνδρῶν ἱερῶν πόνοι ἀναπτύσσουσί τε καὶ ἐξαπλοῦσι τὰ θεσπέσια λόγια, οἷς ἐμφιλοχωρεῖν τις προαιρούμενος, οὐκ ἂν ἀτυχήσῃ τοῦ βουλήματος. ὃς δ' οὐχ αἱρεῖται, δῆλον ὡς εἰ καὶ πάντων εἴη σαφέστερα, οὐκ ἂν αὐτῶν εἰς γνῶσιν ἀφίκοιτο. ὅτι δὲ ἀληθὲς τὸ ῥηθέν, εἰσὶν οἱ μηδὲ ἁπλῶς αὐτὰ τῶν ἀποστολικῶν ἐπιστολῶν ψιλὰ γινώσκουσι τὰ ὀνόματα. ἀλλ' οὐδὲ τῶν προφητῶν, ἢ τῶν ἄλλων ἱερῶν βίβλων, ὅσα τῆς παλαιᾶς, καὶ ὅσα τῆς χάριτος· οὐδ' αὐτὸν τὸν κατάλογον διὰ φωνῆς προάγειν ἐπίστανται. καί τοι τί σκοτεινὸν, τί δ' ἀσαφὲς, τί δὲ χαλεπὸν ὀνομάτων εἰδέναι κατάλογον; ποίας δὲ μελέτης δεῖται; ἀλλὰ τοῖς γε μὴ βουλομένοις οὐδὲν ἧττον ταῦτα

al. κτητόν.

IOBIVS.

Quin etiam Sancta, spiritualiter quidem à Seraphim atq; Cherubim, materialiter vero velamentis, alis, portis, ac repagulis vndique ambiuntur. Sic igitur sacram quoque Scripturam nostram oportet profanis hominibus adscondi (vt ne sacra iniuria aliqua afficiantur) ac solis initiatis atque fidelibus reuelari. Alioqui, quando etiam illud, cuius vsus facile obtineri potest, nunquam tam amatur, atque id quod labore multo acquisitum est, merito sacræ Scripturæ thesaurum illum negligentibus abscondunt, quem laboriosis concedunt. Sed & sudantibus honesta omnia, virtutisque non possessio dumtaxat, sed fructus insuper obtingit, cum vitium facile pareteur, & omnibus in promptu sit. Quicquid item cum labore feliciter confectum est, maius longe sui excitat desiderium: Quod autem facile obtinetur, facile etiam reijcitur, propiúsque est vt contemnatur, quam vt expetatur. Propterea etiam Adá, qui sine certaminibus aut laboribus diuino alloquio cæterisque bonis dignus erat habitus, citius ea quibus vtebatur amisit. At postquam doloris ac laboris expertem vitam præcipitij sibi causam fecit, contrarijs vtique medicamentis sapientissimus medicus morbum curat, lata lege, vt [a] in sudore vultus, non corporalis tantum cibus sumeretur, verum & quibus Spiritalis amor spiritalem adornat mensam. Adhæc vero, si quiuis, nullo etiam labore adhibito, S. Scripturæ sensum percipere posset, vbinam eorum, qui in hac non sine vigilijs atque laboribus versantur, præmia manerent? Aut quis vnquam huius sese studio addicere velit, si minus nihil consequantur ij, qui negligenter eam attingerent? Ex ijs igitur, quæ hactenus commemorata sunt, æquum simul & vtile appareat, quod non explicata magis Scripturæ sensa neque incautius abiecta, vel in cõmuni omnibus, etiam indignis, proposita fuerint.

a Gen. 3. 19.

Verum ob hæc, quæ iam diximus, nemo eorum, qui aut laboris amantes sunt, aut spiritali intellectus gratia digni, S. Scripturæ obscuritatem accusarit. At negligens & remissus, cur tandem indignetur, si non capiat? Nam si diuinarum rerum cognitionem labore aliquo dignam iudicat, cur ijs non studet rebus quæ habet in pretio? Sin ad virtutem hanc nihil esse necessariam putat, cur nullo affectus damno molestiam capit? quid vero ex ipsa quoque obscuritate, sensum qui quærat, adsequi possit. Licet enim licet cuicunque colenti quæsita facile addiscere. Multorum enim Sanctorum virorum labores explicant & elucidant diuinas litteras; quibus inhærere si quis libenter velit, is à proposito minime aberrabit; Quod si facere recuset, manifestum [eiusmodi hominem] numquam in illarum cognitionem peruenire posse, non etiamsi omnium essent apertissimæ. Verum autem esse quod diximus patet, quia sunt qui omnino ne nuda quidem nomina Epistolarum Apostolicarum nouerint: Sed neque Prophetarum, vel aliorum sacrorum Librorum (siue illi antiquæ Legis sint, siue nouæ) vel nudum Catalogum voce possint recensere. Et certe quæ obscuritas, vel quæ tenebræ, quæue difficultas, nominum indicem cognoscere? quanto vero id studio indiget? Cæterum nolentibus, hæc non minus,

IOBIVS. quam Scriptura ipsa, incognita manent. Quare non eloquiorum Dei obscuritas vulgo ignorantiæ causa est: sed horum incuria ac negligentia etiam clarissima quæque ignorari fecit. Apud quos clari atque obscuri, vt demonstratum est, nullum discrimen: cùm studiosos hæc obscuritas, præterquam quod sinceram ex se vtilitatem præbeat, sapientes ac virtute præditos efficiat. Quicumque ad hæc Scripturæ sacræ sententiam illustrari optat, si quidem humanam gloriam quærit, meritò à diuinæ sapientiæ vestibulo arcetur: sin virtutis dumtaxat, & supernæ remunerationis gratiam, quantum laboribus ac sudoribus ipsa processerit, tanta ei que certa retributionis assecutio allaborantibus relinquetur. Sed istud quoque ad sapientiæ illius inexplicabilis prouidentiam pertinet, quod tollens mox ab initio Deus omnem de sorte nostra querimoniam, expertes ærumnarum delicias nobis in paradiso donat, donec deprehenso ex factis nostris, inutilem hominibus esse labore ac miseria carentem vitam, laborum ac miseriarum pondus vitæ [nostræ] tanquam pro remedio admiscuit: hoc veluti stadium nobis ac palæstram constituens, quæ magnum posset quæstum ac [multa] præmia conciliare. His auctor tricesimum tertium Caput, simul & septimum librum absoluit.

LIBER IIX.

OCTAVVS Liber de duobus certamen instituit. [Cap. XXXIV.] Horum primum solutio cuiusdam dubitationis est, quæ rem seriam sane nec inelegantem continet. Refert autem eam dubitationem ortam ex adstructione ratiocinationis cuiusdam, per quam Deum habere Filium probatur; Auctorémque huius adstructionis esse Gregorium Nyssenum. Argumentatio ipsa ita se habet. Quisquis non irrationalem esse Deum confitetur, is etiam omnino Verbum habere concedit, quod immortali immortale est: immortale autem Verbum, præter eum quem Filium statuimus, nihil esse queat aliud. Illa igitur argumentatio, quæ oportere adstruit, vt Deus Filium habeat, huiusmodi est. Deinde aduersus hæc obiectionem amici cuiusdam adducit, quem vt reuerendissimum celebrat. Obiectio vero est, Nihil prohibere, quin eadem de Filio quoque ac de Spiritu sancto assumantur. Deus enim horum vterque est. Atque ita non in Trinitatem tantum, sed in infinitas Personas ex huius argumenti vt mysterium procedet. Hanc itaque obiectionem, acrem sane, atque implexam variis quidem soluere rationibus aggreditur, non tamen (quantum ego iudico) satis accuratè, tametsi multum hac in re laborando desudet, tredecim nonnihilominus argumentis allatis. Ac pro pietatis quidem cultoribus, eorum quæ ibi dicta sunt aliqua non inepta sint, sed quæ contentioso alicui homini, non modo nihil ad pietatem impellens adferant, vt ridendi potius occasiones præbeant.

Dixerit vero quispiam, concisa ac minimè superflua vsus oratione, aduersus eum, qui hac obiectione pugnet insolentius: Si quis patre primum posito, de ipso deinde interroget, Vtrum rationis particeps an expers sit, atque ex illo conficiat Patri oportere Filiũ accedere,

ἢ τὰ τῶν γραφῶν μὲν ἀνεπίγνωστα. ὥστε οὐχὶ τῶν λογίων ἀσάφεια τῆς τῶν πολλῶν ἀγνοίας τὸ αἴτιον· τὸ δὲ τούτων ἠμελημένον καὶ ῥᾴθυμον, καὶ τὰ σαφέστατα πάντων ἀγνοεῖν παρεσκεύασε. παρὰ μὲν τοῖς τοιούτοις οὐδὲν τοῦ σαφοῦς τὸ ἀσαφὲς, ὡς δέδεικται, διενήνοχε· τοῖς δὲ σπουδαίοις ἡ ἀσάφεια μετὰ τοῦ παρέχειν ἀκαπήλευτον τὸ οἴκοθεν κέρδος, καὶ σοφούς τε καὶ σπουδαίους τὴν ἀρετὴν ἐπιδείκνυσιν. ἔτι δὲ ὁ μὲν τῆς ἱερᾶς γραφῆς τῷ νοῒ ἐλλαμφθῆναι ἀξιῶν, εἰ μὲν ἀνθρωπίνην δόξαν ζητῶν ἐστὶ, δικαίως τῶν τῆς θείας σοφίας προπυλαίων ἀπελαύνεται· εἰ δὲ τῆς ἀρετῆς χάριν καὶ τῆς ἄνωθεν ἀνταποδόσεως, ὅσον διὰ πόνων καὶ ἱδρώτων αὕτη προσέσεισι, τοσοῦτον ἀδιάστατος τῆς ἀμοιβῆς ἡ ἀπόλαυσις τοῖς ἀγωνισταῖς περιγίνεται. ἀλλὰ γὰρ καὶ τοῦτο σοφίας ἐστὶ τῆς ἀνεκδιηγήτου προνοίας. *ἐκκόπτων μὲν γὰρ κατ' ἀρχὰς ὁ θεὸς τὸ μεμψίμοιρον, δίδωσιν ἡμῖν ἀταλαίπωρον τὴν ἐν παραδείσῳ τρυφήν. διελέγξας δὲ οἷς ἐπράξαμεν, ὡς ἀσύμφορον ἀνθρώποις ὁ ἄμοχθος βίος καὶ ἀταλαίπωρος· ὥσπερ τι φάρμακον τῶν καμάτων καὶ μόχθων τοῦ βίου τὴν βαρύτητα συνεκέρασε· στάδιον ὥσπερ καὶ ἀγωνιστήριον τοῦτο ἡμῖν προτιθεὶς, καὶ μεγάλου κέρδους καὶ ἐπάθλων πρόξενον. ἐν τούτοις μὲν τῷ συγγραφεῖ τό, τε τριακοστὸν κεφάλαιον τρίτον καὶ ὁ ἕβδομος ἀπαρτίζεται λόγος.

* al. ἐκκίνων.

Ὁ δὲ η περὶ δύο τινῶν τὸν ἀγῶνα ὑποδύεται. ὧν ἓν μὲν λύσις ἐστὶν αὐτῷ ἀπορίας τινὸς οὐκ ἄκομψον σπουδὴν ἐχούσης. ταύτην δὲ βλάστημα εἶναι κατασκευῆς λόγου τινὸς, δι' οὗ τὸν θεὸν υἱὸν ἔχειν κατασκευάζεσθαι· τὸν δὲ πατέρα τῆς κατασκευῆς τὸν Νύσσης εἶναι Γρηγόριον. λέγει δὲ τὸ ἐπιχείρημα, ὡς ὅστις μὴ ἄλογον εἶναι διομολογεῖ τὸν θεὸν, πάντως λόγον ἔχειν συγκατατίθεσθαι· ὁ δὲ τοῦ ἀκηράτου λόγος ἀκήρατος· ὁ δὲ ἀκήρατος λόγος, παρ' ὃν δοξάζομεν υἱὸν, οὐδὲν ἂν εἴη ἕτερον. ἡ μὲν οὖν ἐπιχείρησις, τοῦ δεῖν υἱὸν ἔχειν τὸν θεὸν, τοιαύτη. εἶτα πρὸς ταύτην ἀνθυποφέροντά τινα τῶν φίλων εἰσάγει, ὃν καὶ τιμιώτατον ὑμνεῖ. ἡ δὲ ἀνθυποφορὰ, ὅτι περ οὐδὲν κωλύει τὰ αὐτὰ καὶ περὶ τοῦ υἱοῦ, καὶ περὶ τοῦ πνεύματος διαλαβεῖν. θεὸς γὰρ τούτων ἑκάτερον. καὶ οὕτω οὐκ εἰς τριάδα, ἀλλ' εἰς μυριάδα ὑποστάσεων, ὅσον ἀπὸ τοῦ ἐπιχειρήματος προελεύσεται τὸ μυστήριον. ταύτην τὴν ἀνθυποφορὰν, δριμεῖάν τε καὶ συνεστραμμένην οὖσαν, διαφόροις μὲν ἐπιχειρεῖ λόγοις ἀνασκευάζειν, οὐ μὴν (κατά γε ἐμὲ) τῆς ἀκριβείας ἐφικνεῖται, καί τοι πολὺς αὐτῷ περιρρεῖται τῆς ἐπὶ τούτῳ σπουδῆς ὁ ἱδρώς. μέχρι γὰρ καὶ ιγ' ἐπιχειρημάτων τὸν πόνον παρατείνει. ἀλλὰ πρὸς μὲν τοὺς τὴν εὐσέβειαν τιμῶντας ἔστιν ἃ τῶν ἐν αὐτοῖς εἰρημένων οὐκ ἀφυῶς ἔχει· ἀνδρὶ δὲ διαμαχομένῳ οὐ μόνον οὐδὲν ἐπαγωγὸν πρὸς εὐσέβειαν παρέξει, ἀλλὰ καὶ ἀφορμὰς πρὸς τὸν γέλωτα. εἴποι δ' ἄν τις ἴσως συντετμημένῳ τε καὶ ἀπερίττῳ λόγῳ πρὸς τὸν τῇ ἀνθυποφορᾷ γαυρούμενον· ὡς εἰ μέν τις τὸν πατέρα προτίθησιν, εἶτα περὶ αὐτοῦ διερωτᾷ, πότερον ἄλογον ἢ λογικὸν κἀκεῖθεν κατασκευάζει, τῷ πατρὶ δεῖν προσεῖναι τὸν υἱόν· τῆς ἀν-

τῆς ἀνθυποφορᾶς τὸ περίεργον ἴσως ἔχει παράδειγμα καὶ ἰσχύν. εἰ δὲ τοῦτο μὲν οὐ ποιεῖ (οὔτε γὰρ δεῖ, οὔτε ὁ θαυμαστὸς Γρηγόριος οὕτω τὸν λόγον προήνεγκεν) αὐτὸ δὲ τὸ Θεὸς προβαλλόμενος, ὃ κοινόν ἐστι καὶ ἀμέριστον τῶν θεαρχικῶν ὑποστάσεων ὄνομα, ἐπ' αὐτῷ δὴ καὶ τὸν λόγον, ἢ τὸ γόνιμον, εἰ βούλει δὲ καὶ τὸ ἔμπνουν ἐπερωτᾷ. κατασκευάσει μὲν τὸ τῆς τριάδος μυστήριον οὕτω, οὐ μέντοι χώραν ἐνδώσει τοῖς βουλομένοις τὴν κατασκευὴν περιεργάζεσθαι. ποῦ γὰρ ἴσον ἢ ἐγγὺς ὅμοιον, ἀντὶ τῆς ὁλικῆς θεότητος μίαν ὑπόστασιν διαλαβεῖν, καὶ περὶ ταύτης φιλοπραγμονεῖν, ἃ καλῶς εἶχε περὶ ὅλης θεολογεῖν τῆς θεότητος. τὸν γὰρ οὕτω εἰς ἀλογίαν ἐκφερόμενον, οὐδὲν κωλύει καὶ ἄνευ τινὸς περινοίας παραληρεῖν. ὡς ἐπείπερ ὑμῖν ἐν τριάδι ὁ Θεός, ἀνάγκη καὶ ἕκαστον τῆς τριάδος εἰς ἑτέραν τριάδα πληθύνεσθαι. πρὸς δὲ τοιοῦτον λῆρον οὐδεὶς ἂν οἶμαι σοφὸς ἔλεγχος ἐπιστραφείη. ἀλλὰ γὰρ ἡ μὲν λύσις τῆς ἀνθυποφορᾶς τοιαύτη τις ἂν εἴη, καὶ ὅσαι ἄλλαι τὴν αὐτὴν ἴασι. τὸ μὲν οὖν πρῶτον τοῦ ἑβδόμου βιβλίου κεφάλαιον τοιοῦτον. δεύτερον δὲ ζητεῖ, διὰ τί τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ὁμοτίμως ἐκ τοῦ πατρὸς προϊόντων, ὁ μὲν λέγεται υἱός, τὸ δὲ πνεῦμα, καὶ οὐκ ἄμφω τῆς υἱότητος διασώζουσι κλῆσιν, ὥσπερ οὐδὲ τὴν σχέσιν: καὶ οὕτω διαπορήσας, ἐπάγει τὴν λύσιν· ὡς ἅπαξ ἡ θεολογία ἐκ τῶν γνωρίμων ἡμῖν τῆς θείας φύσεως τὸ ἐν τριάδι γνήσιον καὶ ὁμότιμον λογογραφοῦσα, διὰ τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, τὸ ἄρρητόν τε καὶ ἀκατονόμαστον τῆς θεότητος ὄνομα συνήθεσιν ἡμῖν καὶ συντρόφοις προσηγορίαις ὑπέβαλεν. καὶ ἐπειδὴ συνήθες, ἐπὶ μὲν τῶν καθ' ἡμᾶς υἱῶν καὶ πρόσφορον λέγειν τὴν γέννησιν, ἐπὶ δὲ τοῦ πνεύματος τὴν ἐκπόρευσιν· πνεῦμα γάρ φησι πορευόμενον καὶ οὐκ ἐπιστρέφον· καὶ, ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ· καὶ, ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει. ἐπεὶ οὖν ἐν τῷ ἀνθρωπίνῳ γένει τῷ μὲν υἱῷ τὴν γέννησιν ἐφαρμόζομεν, τῷ πνεύματι δὲ τὴν ἐκπόρευσιν· ἀναλόγως καὶ ἐπὶ τῆς ἀρρήτου καὶ ὑπερφυοῦς φύσεως, τὸν μὲν υἱὸν γεγεννῆσθαι διδασκόμεθα, ἐκπορεύεσθαι δὲ τὸ πνεῦμα, θεοπρεπῶς ἐμυήθημεν· διὰ τοῦτο γὰρ καὶ πνεῦμα μὲν τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ τὸ ἅγιον πνεῦμα εἴρηται: ἐπεὶ καὶ παρ' ἡμῖν ἑκατέρου τούτων πνεῦμα λέγεται, πατὴρ δὲ, ἢ υἱὸς, τοῦ πνεύματος οὐκ ἔτι; οὐδὲ γὰρ παρ' ἡμῖν. Ὅτι δὲ τὸ θεῖον τῇ ἑαυτοῦ φύσει ἄρρητόν ἐστι καὶ ἀπερινόητον, πᾶσα μὲν κοινὴ ὁμολογεῖ ἔννοια· πολλαχοῦ δὲ καὶ τῆς ἱερᾶς γραφῆς ἀνακηρύσσεται· καὶ τῶν σοφῶν πατέρων ἡμῶν μικροῦ πᾶς ὁ χορὸς συνεπιμαρτύρεται, ὧν οὐδὲ τὰς φωνὰς, ὡς οὐκ ἀδήλους, ἀνάγκη ἐπισημήνασθαι. ταῦτα μὲν ἐν τῷ ὀγδόῳ διέξεισιν.

Ἐν δὲ τῷ θ' μετά τινα διάπλασιν προοιμίων, ἐν ᾧ τὸν τοῦ Ναυῆ Ἰησοῦν φασὶν ἐπερωτᾶν τὸν ἀρχιστράτηγον, ἡμέτερος εἶ, ἢ τῶν ὑπεναντίων; οὐκ εἰ τίς ἐστι τῶν αἰσθητῶν πολεμίων, ἀλλὰ τῶν νοητῶν, τὴν ἐρώτησιν ποιεῖσθαι. πολλὰ γὰρ αὐτὸν ἀνεδίδασκε, μήτε τῆς παρατάξεως ἐκείνων εἶναι, ἀλλὰ μηδέ τινα τῆς οἰκείας στρατιᾶς. τό, τε γὰρ ἀθρόον τῆς ἐπιστασίας,

obiectionis huius curiositatem aliquod forsitan specimen ac robur habere. Sin hoc omisso (neque enim expedit, neque admirandus Gregorius sic orationem hanc protulit) ipsam vocem DEVS proponat, quod commune est atque indiuisibile trium diuinarum Personarum nomen, ac de eius tum siue Verbo siue gignendi vi, immo & afflatu, si voles, interroget, hic & Triadis mysterium adstruet, & locum ei nullum dabit, qui velit adstructionem ipsam curiosius excutere. Vbi enim æquale vel prope simile sit, pro tota diuinitate vnam aliquam hypostasin accipere, & de hac contentiosius illa disputare, quæ recte poterant, de tota Deitate theologice dici? Eum enim qui in tantam absurditatem delabitur, nihil prohibet sine vlla solertia nugando hinc concludere, quandoquidem Trinum confitetur Deum, necessarium quoque esse, singulas Triadis personas in aliam Triadem multiplicari. Aduersus qualia deliramenta, nulla, opinor, sapiens confutatio intorqueri possit. Verũ tamen solutio huius obiectionis talis fuerit, aut si quæ aliæ eadem progrediantur via. Hoc igitur primum est octaui libri Caput.

XXXV. Alterum deinde quærit, Cur, cum Filius ac Spiritus sanctus ex Patre pariter procedant, hic Filius, ille Spiritus dicatur, & non ambo filiationis appellationem seruent, quemadmodum neque habitudinem: Hoc ergo vbi dubitauit modo, solutionem adhibet, Omnino [inquit] Theologia ex cognitis nobis rebus germanam atque æqualem diuinæ naturæ Trinitatem verbis describens, per Patrem, Filium & Spiritum sanctum, ineffabile, quodque denominari nequit diuinitatis nomen, consuetis nobis cognatisque appellationibus suggessit. Quando autem consuetum est atque conueniens de filijs nostris dicere generationem, de spiritu vero processionem, ([a] *Spiritus enim inquit, vadens & non rediens.* Et, [b] *Exibit Spiritus eius.* Itemque, [c] *Quoniam Spiritus pertransiuit in illo, & non subsistet.*) quando igitur in humano genere filio generationem adaptamus, Spiritui vero processionem: pari quoque ratione in natura ineffabili ac supernaturali, & Filium genitum, & Spiritum sanctum procedere, diuinitus edocti sumus. Propterea enim Spiritus, Patris æque ac Filij, Spiritus sanctus dicitur: quia etiam apud nos vtriusque horum spiritus [esse recte] dicitur. Pater vero & Filius Spiritus sancti non item, quia neque apud nos. Ceterum quod Deus suapte natura neque dici nobis, neque cogitari possit, communis omnium sensus admittit: & vero passim in sacris litteris prædicatur, sanctorúmque Patrum nostrorum cœtus pæne vniuersus idem testificatur, quorum ne verba quidem (cum minimè dubia sint) designare necesse. Atque hæc libro octauo Iobius persequitur.

a Psal. 77. 39.
b Psal. 145. 4.
c Psal. 102. 16.

LIBER IX.

Libro NONO modice præfatus, dum Iosue filius Naue dicitur exercitus Principem illum interrogare: *Noster es, an aduersariorum?* non idem petere disputat Iobius aliquisne esset sensibilium hostium, sed an spiritualium? Multa enim Iosue docebant, neque aliquem esse hunc ex hostili acie, ac neque ex proprio exercitu, vt, quod subito astitisset,

Iosue 5. 14.

IOBIVS.

quodque nemo aduersariorum auderet, vel per medias hostium copias transire, vel in conspectum Imperatoris venire, quin &, quod tanta vsus audacia, nihil omnino hostile fecisset. Alioqui ne sapientissimi Imperatoris fuerat ignorare, qualis contribulium esset habitus atque apparatus, qualis item alienigenarum. Verum nouerat quidem Iosue visum illud vnum intell[ectualium] gentium spirituum esse, sed hoc cognoscere auebat, vtrum quod apparuisset ex hostibus esset, an de illo exercitu, qui protegebat Israël. De hoc ergo in proœmio agit.

XXXVI. Quærit postea, quomodo vtraque hæc concedi queant, nos & adeptos esse gratiam angelica dignitate maiorem, & Angelis æquales in resurrectione apparituros? Quæ quæstio ita dissoluitur. Primum, nihil prohibet, eandem rem secundum aliud honorem quendam paulo maiorem consequi, secundum aliud vero inferioris esse conditionis. In quantum enim nostro corpore assumpto Dominus id sibi coniunxit, & supra omnes Principatus ac potestates euectum ad dextram Patris considere fecit, Angelicæ scilicet dignitati nostra natura anteposita est. Quatenus item [a] innotuit *Principatibus & potestatibus in cœlestibus per Ecclesiam* (quæ est in Christum credens populus) *multiformis sapientia Dei, quam exhibuit in Christo* IESV, eatenus etiam genus humanum primas retulit. Tertio quod illo insuper munere ex munificentia donati simus, vt iis fruamur rebus, [b] in quas desiderant Angeli prospicere. Quatenus etiam vtrisque lapsis Adamo & Angelorum ordinibus, illius, (non item horum) assumpta natura, salutem attulit. Atque hinc clarum est, maiori honore dignam esse habitam naturam nostram. Quod autem in [c] resurrectione sicut angeli erunt homines, non id vtriusque generis æqualitatem edocet, sed adsimile duntaxat vitæ genus attestatur. Tunc enim, quemadmodum angeli non indigent, sic neque genus humanum nuptiis aut corporum congressu indigebit.

Præter ista, nihil prohibet homines angelis æquales, vel [d] paulo minus ab illis diminutos maius aliquod consequi munus, quandoquidem illi, qui corporis expertem naturam consecuti sunt, vbi semel è proprio honore & gloria exciderunt, in suo deinceps casu sine pœnitentia remanent: nos vero, cum inferiorem illis conditionem ex ipsamet origine nostra (propter corporis coniunctionem) acceperimus, præceptum deinde transgressi, in peccatis hærere nolumus, sed illorum qui exciderunt sortem, per pœnitentiam recuperare studemus. Et vero per exsuperantiam [diuinæ] munificentiæ, cœlum ac Dei regnum pro Paradiso hæreditate cernimus.

XXXVII. His illa profligata quæstione, ad explanationem parabolæ aggreditur, quæ iuniorem ac prodigum filium, & seniorem simul cum patre inducit, & eorum historiam ita digerit. In seniore ait Filio ostendi angelicas potentias (nam & tempore & modo, nostro generi dignitate præstant) in prodigo vero humanum genus: in patre Creatorem Vniuersi ac Dominu͂ repræsentari

a Ephes. 3. 10.
b 1. Petri 1. 12.
c Matt. 22. 30. Luc. 20. 36.
d Psal. 8. 6. Hebr. 2. 7.
Luc 15. De filio prodigo.

καὶ τὸ μηδένα τολμᾶν τῶν ἐναντίων μήτε διὰ μέσου στρατοπέδου πολεμίου διελθεῖν, μήτε εἰς ὄψιν ἐλθεῖν τοῦ στρατηγοῦ, ἀλλὰ καὶ * τοσαῦτα τολμήσαντα μηδὲν ὅλως * πολέμιον δρᾶσαι. ἄλλως τε δὲ οὐδὲ τοῦ σοφωτάτου τῶν στρατηγῶν ἦν, μὴ εἰδέναι ὁποῖόν τι τῶν ὁμοφύλων τὸ σχῆμα καὶ ἡ κατασκευὴ, καὶ οἷον τὸ ἀλλόφυλον. ἀλλ' ᾔδει μὲν τὴν παροῦσαν ὄψιν ἕν τι τῶν νοερῶν πνευμάτων εἶναι: ἐζήτει δὲ μαθεῖν, πότερον τὸ φαινόμενον τῆς ἐναντίας εἴη, ἢ τῆς ὑπερασπιζούσης δυνάμεως * τὸν Ἰσραήλ. καὶ μὲν τὸ προοίμιον περὶ τούτου διαλαμβάνει. μετὰ δὲ τοῦτο ζητεῖ, πῶς αὖ ἀμφότερα συγχωρηθείη, καὶ τὸ τυχεῖν ἡμᾶς χαρίσματος κρείττονος τοῦ ἀγγελικοῦ ἀξιώματος, καὶ * τὸ ἰσαγγέλους ἐν τῇ ἀναστάσει ὀφθήσεσθαι; καὶ ἐπιλύεται τὸ ζήτημα, πρῶτον μὲν, ὡς οὐδὲν κωλύει, τὸ αὐτὸ κατ' ἄλλο μὲν ἑτέρας τινὸς μείζονος τιμῆς ἀπολαύειν, κατ' ἄλλο δὲ λήξεως εἶναι τῆς ἥττονος. καθὸ μὲν γὰρ τὸ ἡμέτερον ἀναλαβὼν φύραμα, συνῆψεν ὁ δεσπότης ἐν ἑαυτῷ, καὶ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας ἀναγαγὼν, ἐν δεξιᾷ συνεκάθισε τοῦ πατρὸς, δηλονότι τῆς ἀγγελικῆς ἀξίας ἡ ἡμετέρα φύσις προτετίμηται. καὶ καθὸ ἐγνωρίσθη ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας, ἥτις ἐστὶν ὁ εἰς Χριστὸν πιστεύων λαὸς, ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ, ἣν ἔδειξεν ἐν Χριστῷ Ἰησοῦ, καὶ κατὰ τοῦτο τὸ ἡμέτερον γένος, τὸ πρεσβεῖον ἀπενήνεκται. τρίτον δὲ, ὅτι παρ' ἐκείνων τὴν ἀπόλαυσιν ἐφιλοτιμήθημεν ἡμεῖς, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι· καὶ καθὸ ἀμφοτέρων παραπεπτωκότων, τοῦ τε Ἀδὰμ καὶ τῆς ἀγγελικῆς τάξεως τοῦ μὲν τὴν φύσιν λαβὼν ἀνεσώσατο, τῶν δὲ οὐκ ἔτι. κἀντεῦθεν δῆλον, ὡς φιλοτιμίας μείζονος ἡ ἡμετέρα φύσις κατηξίωται. τὸ δὲ ἐν τῇ ἀναστάσει ὡς ἀγγέλους εἶναι τοὺς ἀνθρώπους, οὐκ ἰσοτιμίαν ἑκατέρου γένους διδάσκει, ἀλλὰ πολιτείας ὁμοιότροπον μαρτυρεῖ. τηνικαῦτα γὰρ ὥσπερ οὐδ' οἱ ἄγγελοι, οὕτως οὐδὲ τὸ ἀνθρώπινον γένος γάμου καὶ σωματικῆς ὁμιλίας δεήσονται. ἔτι δὲ οὐδὲν κωλύει καὶ τοὺς ἀνθρώπους ἰσαγγέλους ὄντας, ἢ βραχύ τι παρ' αὐτοὺς ἠλαττωμένους μείζονος ἀπολαύειν δώρου: ὅταν οἱ μὲν ἀσωμάτου φύσεως τυχόντες, καὶ τῆς οἰκείας ἀποστατήσαντες δόξης καὶ ἀξίας, ἀμεταμέλητον συντηρῶσι τὴν πτῶσιν· ἡμεῖς δὲ τὸ ἔλαττον ἐκείνων ἐξ αὐτῆς τῆς πλάσεως λαβόντες διὰ τὴν πρὸς τὸ σῶμα συνάφειαν, εἶτα τῆς ἐντολῆς παραρρυέντες, οὐ θέλωμεν μένειν ἐν τῷ πτώματι, διὰ μετανοίας δὲ ἐκείνων τῶν ἐκπεσόντων τὴν λῆξιν καταλαβεῖν σπεύδομεν. καί γε δι' ὑπερβολὴν φιλοτιμίας, τὸν οὐρανὸν καὶ τὴν τοῦ θεοῦ βασιλείαν ἀντὶ τοῦ παραδείσου κατακληρονομούμεθα. τούτοις ἐπιλυσάμενος τὸ ζητούμενον, εἰς ἀνάπτυξιν πρόεισι τῆς παραβολῆς, ἥ τις τὸν νεώτερον καὶ ἄσωτον υἱὸν, καὶ τὸν πρεσβύτερον, ἅμα τοῦ πατρὸς, εἰσάγει, καὶ τὰ κατ' αὐτοὺς διατίθεται, καί φησι τὸν μὲν πρεσβύτερον υἱὸν τὰς ἀγγελικὰς παραδειγματίζειν δυνάμεις. χρόνῳ γὰρ καὶ τρόπῳ τοῦ ἡμετέρου γένους τὸ πρεσβεῖον αὗται φέρονται· τὸν δὲ ἄσωτον τὸ ἀνθρώπινον γένος· πατέρα δὲ τὸν δημιουργὸν καὶ δεσπότην πάντων.

* al. τὰ ταῦτα
* al. τόλμημα.
* al. τοῦ.
* al. τὸ.
διὰ τὸ ἀνάτε

τὸ δὲ ἀποδυσπετεῖν τὸν πρεσβύτερον υἱὸν ἐπὶ τῇ ἀνακλήσει καὶ δεξιώσει τοῦ νεωτέρου, μὴ τῆς ἀγγελικῆς μὲν εἶναι γνώμης τοῦτο ἢ διαθέσεως, κατασχηματίζειν δὲ τὴν παραβολὴν ταῦτα, τὸ μέγεθος τῆς εὐεργεσίας ἐπιδεικνυμένην, ὅτι τοσαύτης μετὰ τοσαύτην ἀσωτίαν ἀπήλαυσε τῆς φιλοτιμίας ὁ ἄσωτος υἱός. ὅτι καὶ αὐτὴ ἂν ἡ τῶν ἀγγέλων τάξις, εἴπερ ἦν ἐν τῇ τούτων φύσει, τὸ ἐπιβασκαίνειν ἐνδεχόμενον ἄν, καὶ οὐκ ἀνεκτὴν ἡγήσατο τὴν τῆς φιλοτιμίας ὑπερβολήν. ποῦ γὰρ ὅμοιον τοὺς αὐτούς τε χαίρειν ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, καὶ βασκαίνειν πάλιν πατρικῶν ἀξιουμένῳ σπλάγχνων; ἀλλὰ γὰρ τοιοῦτον ἡ διάπλασις τῶν παραβολῶν. οὐ γὰρ τὰ γεγονότα μόνον ἢ γενησόμενα διαλαμβάνουσιν, ἀλλὰ καὶ ἃ ἄν τις συνυφηνάμενος ἐναργέστερον αὐτῶν τὸ καταπληκτικόν, ἢ τὸ ἡδύνον, ἢ τὸ ἀκόλουθον, ἢ ἁπλῶς τὸ * εὐπόριστον παραστήσει καὶ ὠφέλιμον. καὶ τῶν ρ' δὲ προβάτων τὴν παραβολὴν εἴς τε τοὺς ἀγγέλους καὶ τὴν ἀνθρωπίνην ἀναφέρει φύσιν. μνημονεύει δὲ περὶ τῆς παραβολῆς τοῦ ἀσώτου, καὶ ἑτέρων τινῶν ἀναπτύξεων· ὧν τὴν προκειμένην ἁπασῶν προκρίνει, πολλοῖς αὐτὴν συγκροτῶν ἀγωνίσμασιν. ἀλλὰ ταῦτα μὲν αὐτῷ καὶ τὸ ζ' καὶ λ' σπουδάζει κεφάλαιον. τὸ δὲ λη' ζητεῖ, πῶς ὑπὲρ πάντων ἀποθανεῖν λέγεται ὁ χριστὸς πολλαῖς γενεαῖς ὕστερον, ἀφ' οὗ μυρίων γένος ἀνθρώπων ἔφυ τε καὶ κατέλυσε τῷ θανάτῳ, τῆς κατὰ τὸν σωτῆρα γεγενημένης οἰκονομίας; καὶ ἐπιλύεται τὸ ζήτημα, ὡς πολλαχοῦ διαμαρτύρεται ἡ γραφή, ὃν τρόπον τοῖς τηνικάδε ζῶσι, τὸν αὐτὸν καὶ τοῖς ἐν ᾅδου διὰ χριστοῦ τὴν ἀπολύτρωσιν παραγενέσθαι. λέγει γὰρ ὁ τῶν μαθητῶν κορυφαῖος, εἰς τοῦτο γὰρ ἀπέθανε καὶ ἀνέστη, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. καὶ πάλιν, τοῖς ἐν φυλακῇ πορευθεὶς ἐκήρυξε πνεύμασιν, ἵνα κριθῶσι μὲν σαρκί, ζῶσι δὲ πνεύματι. τουτέστιν, ὅπως οἱ μὲν ἄπιστοι καὶ διὰ τοῦτο ἁμαρτωλοὶ μεμενηκότες κατακριθῶσιν, ἅτε δὴ ὁλόκληρος σὰρξ γεγονότες, καὶ διχοτομηθέντες τοῦ πνεύματος. ὅσοι δὲ κἂν ἐν ᾅδου χριστῷ τῇ δικαιοσύνῃ πεπιστεύκασι, τῆς πνευματικῆς * εὐφροσύνης ἀπολαύουσιν. τὸ οὖν, ἵνα κριθῶσι σαρκί, περὶ τῶν ἀπιστησάντων εἰρῆσθαί φησι· τὸ δὲ ζῶσι πνεύματι, περὶ τῶν πεπιστευκότων. ὡς περὶ ἑνὸς δὲ φαντασίαν παρεχόμενον προφέρει τὸν λόγον, ὅτι κἂν διάφορος ἑκατέρα μερίς, τῶν τε πεπιστευκότων καὶ τῶν ἀπιστησάντων· ἀλλ' οὖν εἰς ἓν * κεφαλαιοῦται τὸ τῶν καταχθονίων τάγμα. οὕτω γοῦν καὶ περὶ σώματος ἑνός, νοσεῖν τὸ αὐτὸ καὶ ὑγιαίνειν, λέγειν δυνάμεθα, κατ' ἄλλο μέρος καὶ ἄλλο τοῦ σώματος. ὥσπερ δὲ φαμὲν τὸν δεῖνα πυρὶ κεκρίσθαι καὶ κολάζεσθαι: οὕτω λέγει καὶ τὸ ἱερὸν γράμμα, ἵνα κριθῶσι σαρκί. μεγίστη γὰρ κόλασις, καὶ μάλιστά γε κατὰ τὸν τῆς ἀναστάσεως καιρόν, ἡνίκα τὴν ὑπὲρ ἄνθρωπον τρυφὴν τρυφῶσιν οἱ δίκαιοι, καὶ πνεύματι ζῶσι, τότε τὸ τῶν ἁμαρτωλῶν πλῆθος σαρκὶ ψιλῇ, καὶ πάσης πνευματικῆς κεχηρευμένον χάριτος, τὸν βίον δι' αἰῶνος ἐξαναλίσκειν καὶ κατατρίβεσθαι. ἔστι μέντοι καὶ ἑτέραν ἀποδοῦναι τοῦ ῥητοῦ διασάφησιν. ὁ θεῖός φησι Παῦλος, οὗ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται·

* εὐπαρόδευτον

* al. ἀπολαύσουσι

* al. συμπεριλαμβάνεται

IOBIVS.

Indignatum vero seniorem filium reuocatione & benigna tractatione iunioris, non hoc angelicæ esse mentis aut affectionis: sed parabolam ista, quo beneficij magnitudinem declaret, ita effingere. Quoniam tantum post tam insignem intemperantiam prodigus ille filius expertus est benignitatem, vt ipse quoque Angelorum ordo, si inuidentia in horum naturam caderet, indignatus vtique fuisset, neque tolerabilem putasset tantam beneuolentiæ magnitudinem. Quomodo enim alioqui consentaneum sit, [a] lætari eosdem super vno peccatore pœnitentiam agente, & rursum inuidere, quod amantissimi patris amplexibus dignatus esset? Sed enim talis parabolarum fictio esse solet. nec enim ea solum, quæ aut facta aut futura sunt complectuntur: sed & illa, quæ curiosius quispiam eorum commouendi vim, aut iucunditatem, aut consequentiam, aut denique adipiscendi facilitatem atque vtilitatem contexendo, adiungeret.

Parabolam quoque centum ouium ad Angelorum & hominum naturam refert. Meminit aliarum etiam parabolæ de filio prodigo explicationum, sed quibus omnibus prędictam anteponit, quam varia ingenij ostentatione concinnare studet. Hæc septimum ipsius & tricesimum Caput studiosè tractat.

XXXIIX. porro quærit, *Quomodo pro omnibus mortuus esse Christus dicatur: cum non nisi multis ætatibus post quam infinita hominum progenies & nata, & rursum morte deleta esset, Redemptoris incarnatio euenerit?* Nodus autem sic dissoluitur: multis in locis S. Scripturam testificari, quo modo tunc viuentibus, eodem etiam iis, qui apud inferos erant, per Christum redemptionem venisse. Nam princeps Apostolorum ait. [b] *In hoc enim mortuus est, & resurrexit, vt & mortuorum & viuorum dominetur.* Et rursus: [c] *His qui in carcere erant spiritibus veniens prædicauit,* [d] *vt indicentur quidem carne, viuant autem Spiritu.* hoc est: Vt fideles, qui propter infidelitatem suam peccatores remanserunt, damnentur; quasi plane caro facti, & diuulsi à Spiritu: Quotquot autem etiam apud inferos, Christo (qui ipsa erat iustitia) crediderunt, spiritali lætitia perfruantur. Illud igitur, *vt indicentur carne*; de incredulis dictum affirmat. at illud: *viuant Spiritu*, de credentibus. Porro ita sermonem instituit, vt quasi de vno aliquo loqui videatur; quia, etiamsi non eadem sit credentium & incredulorum conditio, in vnum tamen inferorum ordinem colliguntur. Atque ita quidem de vno eodémque corpore ægrotare idem & valere dicere possumus, secūdum aliam nimirum atque aliam sui partem. Quemadmodum autem aliquem igne damnari atque puniri dicimus, sic & sacra Scriptura dicit: *Vt indicentur carne.* Grauissima enim pœna est (maximè resurrectionis tempore) quando ea delectatione perfruuntur iusti, quæ humanam omnem superat, & Spiritu viuunt, peccantium tunc multitudinem in nuda carne, & sine vlla spiritali gratia, vitam suam in æternum transigere atq; conterere. Verum & aliam licet huic dicto dare explanationem. Ait enim [e] Diuinus Paulus: *Cuius opus arserit, detrimentum patietur:*

a Luc. 15. 25.
b Rom. 14. 9.
c 1. Petr. 3. 19.
d Ibid. 4. 6.
e 1. Cor. 3. 15.

IOBIVS. *ipse autem saluabitur, sic tamen quasi per ignem.*
a Ibid. v. 13. a *Et vniuscuiusque opus, quale sit, ignis probabit.* Et ne quis existimet, quemadmodum peccatum, sic & peccantem concremandum atque consumendum, propterea addit: vt si opera ardeant atque dispareant, non tamen ipsum peccatorem vna dispariturum. *Saluabitur verò*, hoc est, perpetuæ manebit pœnæ reseruatus. At ne illud: *Saluabitur*, videatur dicere sectariis, quasi peccato expenso, peccatorum quilibet ad iustorum atque saluatorum cœtum adiungendus esset (cessante nimirum pœna, ac communi omnibus libertate proposita) post illud *Saluabitur* addit, quod eorum sententiam manifestius euertit: *Sic tamen quasi per ignem*, id est, ab ignis pœna non liberatus. Affine igitur & illud est, quod de iis diximus, qui apud inferos Christo credere noluerunt. Hoc enim, *vt iudicentur carne*, & quæ sequuntur, indicare videtur: Iudicatos quidem ipsos esse ad eadem, ad quæ caro iudicari ac condemnari solet; sed viuere nihilominus, non tanquam corruptibilis caro, & quæ pœnarum grauitate soluatur, verum ita, vt cum expertes interitus per sancti Spiritus potentiam consementur, incorruptibiles in perpetua pœna, carentem fine & laboriosam vitam degunt. Sic huius loci explanatio tanquam per digressionem tractatur. Præcipuus enim scopus erat ostendere, non super viuis dumtaxat, verum & super olim mortuis Adami posteris communem Dominum ac Saluatorem subiisse mortem, salutémque per ipsum omnibus & prædicari, & velut certaminis præmium conferri. Illud ergo primum eorum argumentorum, per quæ probari hæc sententia potest.

Secundo igitur loco sic argumentatur: Si virtutis præmia ac coronas Resurrectio conciliat, Crux vero Resurrectionem, qua sine nihil boni consequi quispiam potest: certum est Christum pro salute omnium nostrum morti seipsum tradidisse.

Post hæc illam Domini sententiam, rationem reposcendo, explanat, quæ dicit: b *Non*
b Matt. 9. 13. *veni vocare iustos, sed peccatores ad pœnitentiam*: negátque hæc ita esse a Saluatore pronunciata, quasi vniuersam hominum multitudinem in peccatores, & iustos distinguere voluisset. Pugnat enim [inquit] huiusmodi sensus, non cum sacris tantum literis, sed cum ipsa quoque rerum natura. Nam in primis communis Saluator omnes, non aliquos tantum, præmissis cæteris, & appellabat, & redemptione perfrui concedebat, doctrinámque [suam] omnibus esse communem volebat. Euangelium quoque prædicatum esse in toto terrarum orbe, peccatorum illam à iustis discretionem penitus euertit. Paulus item ait: c *Omnes vnum*
b Rom. 12. 5. & Gal. 3. 28. *sumus in Christo.* Immo & parabola d de Sagena
d Matt. 13. 47. communem captorum conditionem denunciat. neque enim hæc alios quidem complectitur, alios vero non persequitur: sed omnes
e Act. 10. 11. prorsus quotquot incidunt, irretit. e Sic & Petro ostensum linteum communiter omnes appellatos designat, non impuros solos, exclu-
f Rom. 10. 4. si puris: f *Finis quoque legis Christus: ad iustitiam omni credenti*, non peccatoribus tantum. Verum idem rursum ait:

αὐτὸς δὲ σωθήσεται. * οὕτω δὲ ὡς διὰ πυρός· καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ αὐτὸ δοκιμάσει. καὶ ἵνα μή τις νομίσῃ, ὥσπερ τὴν ἁμαρτίαν, οὕτω καὶ τὸν ἐξαμαρτήσαντα κατακαίεσθαι, καὶ εἰς ἀφανισμὸν χωρεῖν· ἐπάγει, ὡς εἰ καὶ τὰ ἔργα κατακαήσεται καὶ ἀφανισθήσεται, ἀλλ' αὐτὸς ὁ τῆς ἁμαρτίας ἐργάτης οὐ συναφανισθήσεται· σωθήσεται δὲ τουτέστι, διαμενεῖ τῇ αἰωνίῳ κολάσει συντηρούμενος. ἵνα δὲ τὸ σωθήσεται μὴ δόξῃ λέγειν τοῖς αἱρετίζουσιν, ὡς τῆς ἁμαρτίας δαπανωμένης, καὶ τῶν ἁμαρτωλῶν ἕκαστος τοῦ χοροῦ τῶν δικαίων καὶ τῶν σωζομένων γενήσεται· τῆς μὲν κολάσεως παυομένης, τῆς δὲ * ἀπολαύσεως κοινῆς ἅπασι προτιθεμένης· μετὰ τὸ σωθήσεται, ἐπάγει τὴν γνώμην αὐτῶν ἐμφανῶς καταστρέφων. * οὕτω δὲ ὡς διὰ πυρός, τουτέστι, τῆς διὰ πυρὸς τιμωρίας οὐκ ἀπολυόμενος. παραπλήσιον τούτῳ ἐστὶ καὶ ὅπερ εἴρηται περὶ τῶν ἐν ᾅδου μὴ πιστευσάντων τῷ Χριστῷ. βούλεται γὰρ δηλοῦν τὸ ἵνα κριθῶσι σαρκὶ καὶ ἑξῆς, τὸ κριθῆναι μὲν αὐτοὺς τοιαῦτα, οἷα πέφυκε κρίνεσθαι σάρξ· ζῆν δὲ ὅμως οὐχ οἷα φθειρομένη σάρξ, καὶ τῇ βαρύτητι λυομένη τῆς κολάσεως, ἀνωλέθρους δὲ τῇ δυνάμει συνεχομένους τοῦ * θείου πνεύματος, καὶ ἀφθάρτους ἀφθάρτῳ κολάσει τὴν ἀτελεύτητον καὶ ἐπίπονον ζωὴν διανύοντας. ἀλλ' ἡ μὲν τοῦ ῥητοῦ διασάφησις, ὡς ἐν παρεκβάσει. ὁ δὲ σκοπὸς ἦν, παραστῆσαι ὡς καὶ ὑπὲρ ζώντων, καὶ ὑπὲρ τῶν ἐξ Ἀδὰμ πάλαι τεθνεώτων ὁ κοινὸς δεσπότης καὶ σωτὴρ ἡμῶν ὑπέστη τὸν θάνατον, καὶ δι' αὐτοῦ ἡ σωτηρία [καὶ] κηρύττεται πᾶσι καὶ βραβεύεται. ἀλλὰ δι' ὧν μὲν αὐτὸ κατασκευάζεται τὸ προκείμενον, τὸ πρῶτον εἴρηται τῶν ἐπιχειρημάτων.

Δεύτερον δέ φησιν, ὡς εἰ τοὺς ὑπὲρ ἀρετῆς μισθοὺς καὶ στεφάνους ἡ ἀνάστασις προξενεῖ, ὁ δὲ σταυρὸς τὴν ἀνάστασιν, καὶ χωρὶς αὐτῆς οὐκ ἔστιν οὐδένα τῶν ἀγαθῶν τυχεῖν· δῆλον ὡς ὑπὲρ πάντων ἡμῶν τῆς σωτηρίας ὁ Χριστὸς τῷ θανάτῳ παρέδωκεν ἑαυτόν. ταῦτα εἰπὼν λογοθετεῖ; καὶ διαπλοῖ τὴν δεσποτικὴν φωνὴν, τὴν λέγουσαν· οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν. καί φησιν, ὡς οὐχὶ διαιρῶν εἰς ἁμαρτωλοὺς καὶ δικαίους τὸ τῶν ἀνθρώπων πλῆθος ὁ σωτὴρ τοῦτο ἐφθέγξατο. μάχεται γὰρ ἡ τοιαύτη διάνοια καὶ τῇ θεοπνεύστῳ γραφῇ, καὶ αὐτῇ τῇ τῶν πραγμάτων φύσει. καὶ γὰρ πρῶτον μὲν ἅπαντας ὁ κοινὸς σωτὴρ, καὶ οὐχὶ τοὺς μὲν, τοὺς δ' οὐκ ἐκάλει τε, καὶ τῆς σωτηρίας ἀπολαύειν ἐδίδου· ἀλλὰ καὶ * κοινὴν τὴν διδασκαλίαν ἐποιεῖτο. καὶ τὸ κηρυχθῆναι τὸ εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ, τὴν διαστολὴν τῶν ἁμαρτωλῶν ἀπὸ τῶν δικαίων ἀναιρεῖ. καὶ ὁ Παῦλός φησι, πάντες εἷς ἐσμὲν ἐν Χριστῷ. καὶ τῆς σαγήνης ἡ παραβολὴ τὸ κοινὸν τῶν εἰς θήραν συλλαμβανομένων κηρύττει. οὐδὲ γὰρ οὐδὲ ἐκείνη τὰ μὲν θηρεύει, τὰ δὲ οὐ μεταδιώκει· ἀλλ' ὁμοῦ πάντα τὰ προσπίπτοντα σαγηνεύει. καὶ ἡ σινδὼν, ἡ τῷ Πέτρῳ ὑποδειχθεῖσα, τὴν κοινὴν κλῆσιν ἁπάντων ὑπογράφει· ἀλλ' οὐ τῶν ἀκαθάρτων μόνον, τῶν δὲ καθαρῶν οὐκέτι. καὶ τέλος νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι. οὐχὶ τοῖς ἁμαρτωλοῖς μόνοις. ἀλλὰ καὶ αὐτὸς πάλιν φησὶ,

κηρύσσειν

* σῶσαι
* al. ἀπολαύσεως
* al. οὕτως.
* al. ἁγίου.
* κοινὴν

κηρύσσειν τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν. πάλιν δὲ πῶς οὐ δόξῃ μάχεσθαι τό, εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε. πορεύεσθε δὲ πρὸς τὰ πρόβατα, τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. ὅσον γὰρ αὖ ἀπολώλει τὰ πρόβατα, δικαιοσύνης μᾶλλον καὶ ἀρετῆς ἐγγύτερα πάντως τῶν Σαμαρειτῶν καὶ ἑλλήνων ἐτύγχανον. πῶς δὲ καὶ τέκνα δεῖν [τὸ] χορτασθῆναι πρότερον διεμαρτύρατο, καὶ τὰ περιττὰ τοῖς κυναρίοις ὑπολείπεσθαι. ἀλλὰ καὶ τοὺς μαθητὰς διατάττων, εἰς ἣν ἄν φησι πόλιν ἢ κώμην εἰσέλθητε, ἐξετάσατε, τίς ἐστιν ἐν αὐτῇ ἄξιος· οὐχὶ τίς ἐστιν ἁμαρτωλός· κἀκεῖ μείνατε ἕως ἐξέλθητε ἐκεῖθεν· ὃ καὶ ἡ πορφυρόπωλις εἰδυῖα, τοῖς περὶ Βαρνάβαν καὶ Παῦλον ἔλεγεν, εἰ πιστήν με κεκρίκατε τῷ κυρίῳ, μείνατε πρός με. καὶ τὸ λέγειν μὲν πρὸς τοὺς ἀποστόλους, οἵ τινες ἀρετῆς ὑπῆρχον κανόνες, ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια, ἐκείνοις δὲ οὐ δέδοται: δηλονότι τοῖς ἀναξίοις. τούτοις οὖν τοῖς εἰρημένοις ἅπασι πῶς οὐκ ἀντιπεσεῖται λαμπρῶς τό, οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλούς· εἴ τις ἐπιμερίζων τὸν ἄνθρωπον εἰς ἁμαρτωλῶν καὶ δικαίων * τάγμα, οὕτω τὴν τοῦ ῥητοῦ διάνοιαν ἐκλαμβάνει. ἔτι δὲ εἰ τοὺς μὲν δικαίους οὐ κέκληκεν, οἱ δὲ ἁμαρτωλοὶ οὐ προσέρχονται· πᾶς γὰρ ὁ τὰ φαῦλα πράττων, μισεῖ τὸ φῶς, καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ τῆς καρδίας αὐτοῦ θησαυροῦ ἐκβάλλει τὰ πονηρά· καὶ ποσάκις ἠθέλησα συναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε. εἰ οὖν τοὺς μὲν δικαίους οὐ κέκληκεν, οἱ δὲ ἁμαρτωλοὶ τὸ ἀποσκιρτᾶν τοῦ προσιέναι, καθάπερ εἴρηται, προτετιμήκασι: τίσιν ἐκηρύχθη τὸ κήρυγμα; σὺ δέ μοι καὶ ἀπ' αὐτῶν τῶν πραγμάτων σκόπει· ἔδει μητέρα Θεοῦ ἐπὶ γῆς γενέσθαι, τὴν πασῶν πάσαις ἀρεταῖς ὑπεραγλαϊζοῦσαν ἐκάλεσεν. ἔδει πατέρα καὶ ἀδελφοὺς ἐπὶ γῆς ὀνομάσαι τὸν ἀπάτορα· οὐκ ἐκ τῶν λῃστῶν καὶ * πορνῶν τούτους ἐξελέξατο, ἀλλὰ τοὺς ἐν δικαιοσύνῃ διαλάμποντας. τοιοῦτος γὰρ Ἰωσήφ, καὶ οἱ τούτου παῖδες. ὁ δὲ Ἰάκωβος ἐφ' ὅσον ἀρετῆς ὕψος ἀνῆλθε, καὶ τίνα παρεῖχεν ὑπόληψιν τῷ τῶν Ἰουδαίων λαῷ, καὶ ἡ κλῆσις ἀναβοᾷ. * ὠβλίαν γὰρ αὐτὸν τὸ πλῆθος, διὰ τὸ τῆς ἀρετῆς μέγεθος, καὶ τὴν πρὸς τὸ θεῖον παρρησίαν, τουτέστι, περιοχὴν καὶ σκέπην τοῦ λαοῦ, κατωνόμαζον. πάλιν ἔδει προδραμεῖν τοῦ λόγου πρόδρομον, ὁ μείζων προφητῶν καὶ πάντων ἀνθρώπων προέτρεχε. ἔδει μάρτυρα τῆς αὐτοῦ προβάλλεσθαι δόξης, τὸν Συμεὼν καὶ τὴν Ἄνναν ἐκάλεσεν. ἔδει μαθητὰς προσλαβεῖν, τοὺς ἀρίστους λογάδας ἤθελεν. οἶδα γάρ φησιν, οὓς ἐξελεξάμην. [ἔδει] νεκρὸν ἐγεῖραι [τὸν ἐκ Βηθανίας] Λάζαρον· ἀλλ' ἐξ εὐσεβούσης οἰκίας, ἐν ᾗ Μάρθα καὶ Μαρία, ἣ τὴν ἀγαθὴν ἐκλέξασθαι μερίδα, τὸ θεῖον ἀπέφηνε ψήφισμα· ἐξ ἐθνῶν ἔδει κληθῆναι, ἀπαρχὴ τῶν ἄλλων ὁ Κορνήλιος καλεῖται. ὅσος δὲ τὴν ἀρετὴν καὶ πρὸ τοῦ βαπτίσματος, τὸ ἱερὸν ἀνακηρύττει γράμμα. σταυροῦνται δύο λῃσταί: ἀλλ' ὁ μὲν εὐγνώμων ἀνοίγει τὸν παράδεισον,

* πλήρωμα

* al. πορνῶν.

* al. ἰωβλ.

* ἰδὲ ἐλια.

IOBIVS.

a *Prædicare se vocatis Iudæis atque Græcis, Christum Dei virtutem & Dei sapientiam.* Iterumque, Quomodo non pugnare illa videantur? b *In viam gentium ne abieritis, & in ciuitatem Samaritanorum ne intraueritis? sed potius ite ad oues quæ perierunt domus Israël.* Quatenus enim, qui perierant, oues erant, iustitiæ omnino & virtuti viciniores erant, quam Samaritani atque gentes. c Quomodo item filios antea esse satiandos edocet, ac tum quæ supersunt canibus relinqui? Sed & discipulos colligens: d *In quamcumque*, ait, *ciuitatem aut castellum intraueritis interrogate, quis in ea dignus sit* (non quis sit peccator) *& ibi manete, donec inde exeatis.* Hoc item purpuraria illa mulier non ignorans, Barnabæ ac Paulo dixit: e *Si iudicastis me fidelem, manete apud me.* Et dictum illud Apostolis, qui virtutis erant norma: f *Vobis datum est nosse mysteria, illis autem non est datum.* nimirum indignis. His igitur omnibus iam dictis, quomodo non repugnabit clarè illud: *Non veni vocare iustos, sed peccatores.* si quis de hominum diuisione in Iustos & Iniustos huius loci sententiam accipiat. Adhæc vero, si iustos non vocauit, peccatores autem non accedunt. g (*Omnis enim qui male agit, odit lucem, & non venit ad lucem.* Et, h *Malus homo de cordis sui malo thesauro profert mala.* Item, i *Quoties volui congregare filios tuos, & noluisti.*) Si, inquam, iustos non vocauit, peccatores autem resilire, quam accedere, (quemadmodum diximus) maluerunt: quibusnam prædicatum est Euangelium? Atque idem mihi iam è factis quoque ipsis obserua. Oportebat Dei matrem in terra esse: eam vocauit, quæ omnibus virtutibus alias omnes superaret. Patrem oportebat, & fratres super terram nominare eum, qui sine patre erat. Non è latronibus hos, & meretricibus, deligendos putauit, sed qui iustitia collucerent. Talis Ioseph, & tales & eius liberi. Iacobus vero in quantum virtutis gradum ascendisset, quantámque de se opinionem apud Iudæorum populum excitasset, vel sola eius appellatio clamat. Ipsum enim populus propter virtutis magnitudinem, atque agendi cum Deo libertatem k OBLIAM, hoc est, *Populi præsidium, & protectionem* vocabant. Rursum, Verbo præcurrere oportuit Præcursorem: & l qui prophetis, omnibusque adeo hominibus maior esset, præcurrit. Oportuit & testem offerri, qui eius gloriam testaretur. m Simeonem itaque & Annam vocauit. Discipulósne legisse oportuit? optimos vtrique delegit: n *Scio enim*, inquit, *quos elegerim.* [Oportebat] mortuum resuscitare [Bethaniensem] o Lazarum. Sed eum non nisi ex pia domo, in qua Martha & Maria, quam p bonam elegisse partem diuina pronuntiauit sententia. Ex gentibus quoque vocari aliquos oportuit: primus omnium q Cornelius vocatur, qui quantus virtute (etiam ante baptismum) fuerit, sacræ loquuntur literæ. r Cruci affiguntur duo latrones: sed cur mens melior, paradisum sibi aperit;

a 1. Cor. 1. 24.
b Matth. 10. 5. & 6.
c Matt. 15. 26.
d Matth. 10. 11.
e Act. 16. 15.
f Matt. 13. 11.
g Ioan. 3. 20.
h Matt. 12. 35.
i Idem 23. 37.
k Confirmat Euseb. lib. II. cap. 23. ex Hegesippo. atque ergo hic exemplar Græcum corrige.
l Luc. 7. 28.
m Luc. 2. 25 & 36.
n Ioan. 13. 18.
o Ioan. 11.
p Luc. 10. 42.
q Act. 10.
r Luc. 23. 39. & seq.

IOBIVS. blasphemus contra, & peccati indelebilia gestans vulnera, ex pœna in damnationem mittitur.

Sic in omni etiam natione, tum familia & vitæ genere, qui ex virtute viuerent videmus vocari, accurrere, vocantémque sequi potius, quam qui contrariis essent dediti studiis. Quod si tu prostibulum mihi aut publicanum aliquem adduxeris, etiam illo è numero scias atque ordine ad vocantem Saluatorem accedere qui exiguam saltem humanæ nobilitatis scintillam retinerent, vt merito præ multitudine non accedentium ad Deum, digni habeantur atque dicantur. Vbi est igitur peccatorum vocatio, quando è meretricibus, publicanis & latronibus hosce solos diuinam esse vocationem amplexatos videmus, qui inter consortes (quamquam ingenti in malorum barathro) cæteris tamen meliorum rerum studio præstabant.

a Matth. 25. Neque vero illud præterire fas est. [a] Decem erat admodum virginum cœtus, sed non nisi quinque prudentes sponsali thalamo fruuntur,
b Matth. 22. quinque fatuæ repelluntur. Sic ille [b] qui nuptialem vestem non attulerat, cæteris suum quisque locum tenentibus, solus eiicitur. Qui-
c Thess. 4. 16. nam vero ab Angelo [c] in extremo iudicij die in occursum Domini assumuntur? Nonne iusti & non peccatores? Quid igitur sibi
d Matth. 9. 13. vult illud: [d] *Non veni vocare iustos, sed peccatores.* hoc est, Quod ab integra atque perfecta iustitia exciderat humanum genus, vocatum veni, & in eam sortem, educturus, quam amiserat. Etsi enim vitæ genere valde inter se homines illi differant, qui indecentius vixerint, quique continentius, nemo tamen est sine peccato. Consonat huic menti, etiam ipsa sententiæ enunciatio, sine articulo
e Matt. 9. 13. relatiuo prolata. Nam si dixisset: [e] *Non veni vocare iustos, sed ipsos peccatores.* Forsitan illa opinio locum habere poterat, quæ peccatores vocatum venisse, non autem iustos, opinatur. At cum vox hæc absolute sine relatione prolata sit, omnino periculosam ac fallacem hanc esse opinionem demonstrat. Hoc autem & diuinus ille Paulus confirmat, cum
f Tim. 1. 15. ait; [f] *Christus venit in hunc mundum peccatores saluos facere: quorum primus ego sum.* Et rur-
g Rom. 3. 10. sum: [g] *Causati sumus Iudæos & gentes omnes, sub peccato esse, sicut scriptum est:* [h] *Non est in-*
h Psal. 14. 10. & 53. 4. *stus quisquam, non est intelligens, non est requi-*
i Rom. 1. 23. *rens Deum.* [i] *Omnes enim peccauerunt, &*
k Luc. 19. 10. *egent gloria DEI.* Illúdque: [k] *Venit Dominus quærere, & saluum facere quod perierat*; de toto nimirum hominum genere dicitur, quod etiam supplementum illius centenarij rationabilium ouium designat:
l Luc. 15. 4. 8. quemadmodum & [l] drachma illa vna è decem sordibus obruta. Huic etenim [generi] [m] mors imperauit, iuxta eundem B. Pau-
m Rom. 5. 14. lum, non quibusdam tantum, & quibusdam non, sed ab Adamo vsque ad Mosem, in quibus fuerunt Abel, atque Enos, & reliqua sub lege Iustorum ac Prophetarum multitudo. Ac rursum idem caritatis præco,
n Rom. 8. 18. & seq. & incensus amator: [n] *diligentibus Deum*, inquit, *omnia cooperantur in bonum, iis qui secundum propositum vocati sunt.* Et post hæc: *quos præsciuit, etiam prædestinauit:*

ὁ δὲ βλάσφημος καὶ τῆς ἁμαρτίας ἀνεξάλειπτα φέρων τὰ στίγματα, εἰς δίκην ἐκ τιμωρίας *πέμπεται. (* al. παραπέμπεται) οὕτω κατὰ πᾶν ἔθνος, καὶ γένος, καὶ πολιτείας ἰδίωμα, τοὺς κατ' ἀρετὴν ἔστι μᾶλλον βιοῦντας ὁρᾶν, ἢ τοὺς τἀναντία σπουδάζοντας, καὶ κληθέντας, καὶ προσδραμόντας, καὶ ἀκολουθήσαντας τῷ καλέσαντι. εἰ δὲ σὺ πόρνην καὶ τελώνην εἴπῃς, κἀκείνων ἴσθι τῶν διατριβῶν καὶ πολιτευμάτων, τοὺς βραχὺν σπινθῆρά τινα τῆς ἀνθρωπίνης εὐγενείας διασώζοντας *προσελθεῖν τῷ καλοῦντι τῷ σωτῆρι, (* al. φοιτᾶν) καὶ δικαίους πρός γε τὸ πλῆθος τῶν μὴ προσελθόντων ἀξίους καὶ νομίζεσθαι καὶ ὀνομάζεσθαι. ποῦ τοίνυν τῶν ἁμαρτωλῶν ἡ κλῆσις, ὅτι πόρναι καὶ τελῶναι καὶ λησταὶ ὁρῶνται, ἐκεῖνοι μόνον ἀσπασάμενοι τὴν σωτήριον κλῆσιν, οἱ τῶν ὁμοτέχνων, ὡς ἐν τοσούτῳ κακῶν βάθει, ὅμως προέχοντες ἐν τοῖς ἀμείνοσιν. οὐδὲ ἐκεῖνο δὲ παρελθεῖν δίκαιον· τὸ τάγμα τῶν παρθένων ἡ δεκὰς διελάμβανεν: ἀλλ' αἱ μὲν φρόνιμοι τοῦ νυμφῶνος ἀπολαύουσιν· αἱ δὲ μωραὶ ἀπελαύνονται. καὶ ὁ τὸ ἔνδυμα τοῦ γάμου μὴ φορῶν, τῶν ἄλλων μενόντων ἐν τῇ ἰδίᾳ τάξει, αὐτὸς ἐκβάλλεται μόνος. τίνες δὲ καὶ ὑπ' ἀγγέλων ἐν τῇ τελευταίᾳ τῆς κρίσεως ἡμέρᾳ εἰς ἀπάντησιν τοῦ κυρίου παραλαμβάνονται; ἢ δῆλον ὡς οἱ δίκαιοι, ἀλλ' οὐχ ἁμαρτωλοί; τί οὖν ἐστι τό, οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλούς, τουτέστι, τὸ ἀνθρώπινον γένος τῆς ἀκριβοῦς καὶ τελείας διαμαρτόντας δικαιοσύνης, ἦλθον καλέσαι, καὶ ἐπαναγαγεῖν πρὸς ἐκείνην τὴν λῆξιν, ἧς κατωλίσθησαν. εἰ γὰρ καὶ διαφορὰν πρὸς ἀλλήλους κατὰ τὴν πολιτείαν τὸ γένος ἡμῶν ἔχουσιν, οἱ μὲν ἐκτοπώτερα βεβιωκότες, οἱ δὲ ἀνεκτότερα· ὅμως οὐδεὶς χωρὶς ἁμαρτίας. συνᾴδει δὲ τῇ διανοίᾳ ταύτῃ, καὶ αὐτὴ ἡ τοῦ ῥητοῦ προφορά, ἄνευ τοῦ ἀναφορικοῦ ἄρθρου προφερομένη. εἰ γὰρ ἔλεγεν, οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ [τοὺς] ἁμαρτωλούς· τάχα ἂν εἶχεν ἡ ὑπόνοια χώραν, ἡ τοὺς ἁμαρτωλοὺς μὲν καλέσαι νομίζουσα, οὐκέτι δὲ τοὺς δικαίους· τὸ δὲ ἀπόλυτον τῆς φωνῆς, καὶ χωρὶς ἀναφορᾶς προενεχθῆναι, παντελῶς ἀποφαίνει τὴν ὑπόνοιαν σφαλεράν. τοῦτο δὲ καὶ ὁ θεσπέσιος Παῦλος ἐπισφραγίζει, λέγων· χριστὸς ἦλθεν εἰς τὸν κόσμον, ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. καὶ πάλιν προῃτιασάμεθα ἰουδαίους καὶ ἕλληνας πάντας ὑφ' ἁμαρτίαν εἶναι, καθὼς γέγραπται, οὐκ ἔστι δίκαιος, οὐδὲ εἷς· οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν θεόν· πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ. καὶ τὸ ὁ κύριος ἦλθε ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός, δηλονότι περὶ ὅλου τοῦ ἀνθρωπίνου γένους εἴρηται· ὃ καὶ ἀναπλήρωμα τῆς τῶν λογικῶν προβάτων ἑκατοντάδος νοεῖται· ὥσπερ καὶ ἡ καταχωσθεῖσα δραχμή, μία οὖσα τῶν δέκα δραχμῶν. καὶ γὰρ τούτοις ἐβασίλευσεν ὁ θάνατος, κατὰ τὸν αὐτὸν θεσπέσιον Παῦλον οὐ τινῶν μέν, τινῶν δὲ οὔ: ἀλλὰ ἀπὸ Ἀδὰμ [καὶ] μέχρι Μωϋσέως, ὧν ἦν Ἄβελ καὶ Ἐνώς, καὶ ὁ λοιπὸς τῶν ἐν τῷ νόμῳ δικαίων καὶ προφητῶν χορός. πάλιν δὲ ὁ αὐτὸς τῆς ἀγάπης καὶ κῆρυξ καὶ διάπυρος ἐραστής, τοῖς ἀγαπῶσι τὸν θεόν, φησί, πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν. εἶτα, οὓς προέγνω, καὶ προώρισε·

καὶ οὓς

καὶ οὓς προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, καὶ ἐδικαίωσε, καὶ ἐδόξασε· καὶ, ἐξελέξατο ἡμᾶς ἀπὸ καταβολῆς κόσμου· οὐ μόνον ἐξ ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν· καὶ ἡ ἐκλογὴ ἐπέτυχεν, οἱ δὲ λοιποὶ ἐπωρώθησαν. καὶ ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων μάλιστα πιστῶν. καὶ ἀδιεξόδευτον ἂν εἴη τὰ τοιαῦτα φέρειν εἰς ἀριθμὸν ταῦτα φιλοτιμότερον ὁ * φιλότιμος οὗτος συγγραφεὺς ἐπελθὼν, καὶ τοῦ τριακοστοῦ ὀγδόου πέρας ἐπιτίθησι κεφαλαίου.

* al. φιλόπονος.

Ἐν δὲ τοῦ λθʹ τὴν δοκοῦσαν ἐν τοῖς ἱεροῖς λογίοις διαφωνίαν πολυπραγμονεῖ καὶ διευθύνει. ἐπαπορεῖ γὰρ, πῶς ὁ μὲν κύριος ἐν τῇ ἰδίᾳ πατρίδι σημεῖα ποιεῖν οὐκ ἠδύνατο, διὰ τὴν ἀπιστίαν τῶν ἐν αὐτῇ; καὶ πάλιν πρὸς τοὺς ἐγκαλοῦντας, ὅτι οἱ μαθηταὶ οὐκ ἐξέβαλον τὸ δαιμόνιον, τὴν αἰτίαν εἰς τοὺς ἐγκαλοῦντας ἀναφέρων ἔφη, διὰ τὴν ἀπιστίαν ὑμῶν. ὁ δέ γε τούτου γνήσιος μαθητὴς Παῦλος, τἀναντία λέγει. Τὰ γὰρ σημεῖα, φησι, τοῖς ἀπίστοις, οὐχὶ τοῖς πιστεύουσι. καὶ ἐπιλύεται τὸ ἀπόρημα, λέγων· ὡς καθολικῷ μὲν καὶ κοινῷ λόγῳ τὰ σημεῖα διὰ τοὺς ἀπίστους τερατουργεῖται, ἄγειν αὐτοὺς εἰς σωτήριον πειθὼ τοῦ θαυματουργοῦντος προνοουμένου· ἐκείνοις μὲν τοι ταῦτα προβάλλεσθαι, οἳ τὸ ἐπιτήδειον τῆς ὑπακοῆς ἀντιπαρέχοντες, καὶ τὴν ἀπ' αὐτῶν ὠφέλειαν εἰσοικίζονται: ὅσοις δὲ τῶν ἀπίστων ἑκουσίως πρὸς τὰ τῶν ἔργων ὑπερφυῆ τυφλώττοντας ἐπιστάμεθα, τούτοις ἡ * τῶν σημείων προβολὴ ἀπρονόητόν τι καὶ μάταιον. ὥστε καὶ τοῖς ἀπίστοις τὰ σημεῖα προβάλλεται. καὶ πρὸς τὸ μὴ δεῖν αὐτοῖς ταῦτα προβάλλειν, σύμφωνόν τε καὶ ἐναρμόνιον: τὸ μὲν, ὅτι δι' αὐτῶν τὴν σωτηρίαν κερδαίνουσι· τὸ δὲ, διότι πρὸς βάθος * καταδύντες τῆς ἀπωλείας, ἐξ ὧν ἄλλοι μέγα κέρδος συλλέγουσιν, αὐτοὶ κακουργοῦντες πρὸς τὰ χείρω καταστρέφονται. ἀλλὰ ταῦτα μὲν καὶ ἐν τῷδε τῷ κεφαλαίῳ.

* al. τῆς σαρκὸς.

* al. καταδύνοντες.

Ἐν δὲ τοῖς ἑξῆς ἐρωτήματι τελοθεάμενοι ἐμβαλόντων αἰτιολογεῖ, διὰ τί μὴ ὑπὲρ ἀγγέλων πεσόντων, ὥσπερ ὑπὲρ ἀνθρώπων γέγονεν ἄνθρωπος, οὕτω καὶ ἄγγελος; καὶ πρώτην μὲν ἀποδίδωσιν αἰτίαν, ὅτι περ ἐπειδὴ ἐκ πάσης τῆς λογικῆς φύσεως μόνος ὁ ἄνθρωπος σαρκὶ καὶ * ὕλῃ συνεδέθη, ἑτοίμη δὲ πρὸς ὄλισθον ἡ ὕλη· ἔτι δυσὶ φύσεσι μαχομέναις συντεθεὶς ὁ ἄνθρωπος, ἑκατέρας πρὸς τὸ οἰκεῖον ἐπειγομένης διασπᾶσθαι φιλεῖ τὸ ζῶον καὶ διαμερίζεσθαι (τὸ γὰρ φρόνημα τῆς σαρκὸς, ὡς καὶ ὁ θεσπέσιος Παῦλος ἐπιμαρτύρεται, τῷ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται:) διὰ ταῦτα ὡς * μόνος τῶν λογικῶν ὁ ἄνθρωπος τοιαύταις σωματικαῖς συντεθεὶς πέδαις, εἶτα καὶ τὴν μετάνοιαν οἴκοθεν τοῦ ὀλισθήματος προβαλλόμενος, εἰκότως καὶ προνοίας εἰς τὸ ἀναστῆναι πλείονός τε καὶ μείζονος δεῖται, καὶ τῆς θείας δαψιλέστερον ἀπολαύει βοηθείας. καὶ ὁ κατ' ἀρχὰς ἐλάττονα τῶν ἄλλων λογικῶν * ἀπέφηνεν ἡμᾶς, τοῦτο μεγάλης ἡμῖν σωτηρίας ἀφορμὴν ὁ δίκαιος ἀνέδειξε κριτής. ὃς καὶ συνέδησε μὲν τῇ * σαρκὶ κολάζων τὴν ἔπαρσιν, δι' ἧς καὶ ἀγγέλων τέλη ἐκτραχηλισθέντα, ἀνίατον ἔχει τὸ παράπτωμα. εἶτα δὲ καὶ ἀφορμὴν τῆς ὑπὲρ τοῦ εὐεργεσίας τὸν νομισθέντα δεσμὸν, τῆς ὕλης ὑπέθετο. τί γὰρ ἂν εἴη μεῖζον καὶ ὑψηλότερον εἰς εὐεργεσίαν;

* al. ὕλῃ.

* al. μόνος.

* al. ἀπέφηνε.

* al. σαρκί.

& quos prædestinauit, hos & vocauit; & quos vocauit, etiam iustificauit, atque glorificauit. Item: [a] Elegit nos ante mundi constitutionem. Non solum ex Iudæis, sed etiam ex gentibus. Rursum: [b] Electio consecuta est: cæteri vero excæcati sunt. Et, [c] Qui est Saluator omnium hominum, maximè fidelium. vt infinitum fuerit talia vel numerando recensere. Hæc vbi studiosus ille scriptor honorificentius discernit, & tricesimo octauo Capiti finem imponit.

IOBIVS.

a Ephes. 1. 4.

b Rom. 11. 7.

c 1. Tim. 4. 10.

XXXIX. eam, quæ in sacris scripturis videbatur esse dissensio, curiosè inquirit, atque perscrutatur. Dubitat enim, Quomodo Dominus in sua patria signa facere non posset, [d] propter incredulitatem illorum, rursúmque ad incusantes quod discipuli dæmonium non eiecissent, culpam in accusantes regerendo dixerit: [e] Propter incredulitatem vestram. Cum germanus huius discipulus Paulus contradicat: [f] Signa enim, inquit, infidelibus, non autem fidelibus. Nodus ab illo sic dissoluitur, vt dicat Vniuersè quidem & communiter propter infideles prodigiosa signa fieri, quo hæc ipsos eo adducant, vt salubriter acquiescant ei, qui & admiranda illa patrat, & mente iam antea ab illis præceptus est. Illis tamen solis hæc offerri, qui cum obtemperandi studium sua ex parte adferant, etiam nascentem ex his vtilitatem in se admittant. Nam quos ex incredulis sponte sua cæcos ad supernaturalia opera nouimus, his signa sine vlla numinis prouidentia, & vane oblata videntur. Itaque & incredulis illa proponi, & eadem rursus non proponi oportere, consentaneum congruúmque [videtur.] Illud quidem, quia salutem per hæc consequuntur: hoc verò, quia in profundum interitus demersi, vnde alij magnum lucrum colligunt, ipsi malefici ad deteriora abripiuntur. Atque ista hoc Capite Iobius.

d Matt. 13. 58.

e Eiusd. 17. 19.

f 1. Cor. 14. 22.

Sequentibus vero, XL. & XLI. curiosam ingressus speculationem, causas reddit, Quare non pro Angelis lapsis sit factus Angelus [Dei Filius] quemadmodum pro hominibus homo factus est.

Primam ergo istam causam adfert. Quandoquidem ex omni rationali natura, solus homo carne & materia compactus est (materia vero ad casum prona) atque ex duabus insuper pugnantibus naturis compositus, dum vtraque ad suam eum conditionem impellit; diuelli debet animal, ac diuidi([g] Sapientia enim carnis, vt diuinus ait Paulus, Legi Dei non est subiecta) propterea solus homo inter ratione prædita, istiusmodi corporalibus vinculis innexus, deindeque lapsus sui resipiscentiam à seipso offerens, merito & prouidentia ad surgendum ampliore atque maiore indiget, & diuino copiosius fruitur auxilio. Ita quod ab initio infra reliquas ratione præditas creaturas nos esse ostendit, hoc magnæ nobis salutis causam attulisse iustus iudex declarauit, qui nos colligauit quidem carni ad coërcendam superbiam, per quam ipsi angelorũ ordines irreparabili lapsu in præceps acti sunt; sed statutũ illud materiæ vinculũ in infinitæ postea beneficentiæ occasionem vertit. Quænam enim aut maior, aut præstantior beneficentia esse possit,

g Rom. 8. 7.

IOBIUS. quam ad dexteram Dei Patris videre sedentem nostram conditionem: & rebellantem quondam naturam obedientem iam ac pacificam, & vniuersorum parenti conciliatam contueri? Quod post hanc assumptam, per suam primitiarum oblationem, Verbum perfeci. Atque hanc mihi pacem mundo per Apostolos velut pignoris loco relinquendo, dicere videtur:

a Ioan. 14. 27. [a] *Pacem meam do vobis.* Et, *Non quomodo mundus dat pacem.* Cui etiam concinit germanus eius discipulus,

b Philip. 4. 7. [b] *Pax*, inquit, *Dei, quæ exsuperat omnem sensum, custodiat corda vestra.* Et,

c Rom. 5. 1. [c] *Iustificati ex fide pacem habemus ad Deum, per Dominum nostrum* IESVM *Christum, per quem & accessum habuimus.* Non enim profecto è bello pacem natam mutuam illam inter nos hic intelligere oportet: sed quam habet vnusquisque secum, ac per eandem etiam cum eius largitore, & imperturbabilis salutis suppeditatore, quæ & corda nostra custodit, & omnem excedit sensum, & quam mundus dare non potest. Quare cum his non pugnat illud:

d Matth. 10. 34. [d] *Non veni mittere pacem, sed gladium.* Mundi enim pacem, inquit, non veni mittere. Rursum:

e Matt. 10. 22. [e] *Eritis odio omnibus*, & id genus plurima. Piorum enim cum Deo affinitas, ad odium, inuidiam, & metum impios concitauit. Venit igitur Saluator pacem mittere, quæ cum animo ea consentire, quæ corporis sunt, facit; quodque deterius est, melioris arbitrio subiicit. Quam quidem nobis præbuit, cum rebelli nostræ naturæ pacificam deitatem copulauit. quod & diuinus Paulus docuit, cum ait:

f Rom. 8. 3. [f] *Nam quod impossibile erat legi, in quo infirmabatur per carnem, Deus filium suum mittens in similitudinem carnis peccati, & de peccato damnauit peccatum in carne.* vt iam aptè de eadem re dicatur:

g Rom. 5. 20. [g] *Vbi enim abundauit delictum, superabundauit gratia.* quamobrem & redemptionis nostræ perfectum a Verbo opus, *iustitiam Dei*, & *iudicium*, & *misericordiam* sacra Scriptura prædicat. vt iusto iudicio Dei, qui inter rationales creaturas soli è luto fabricati sunt, soli etiam tanto honore, & ineffabili misericordia digni habiti sint. Indicabat idem & per Oseam dicens:

h Os. 2. 19. [h] *Sponsabo te mihi in iustitia, in misericordia, & in miserationibus.* Mille item alij sacræ scripturæ loci clamant, ob carnis vincula commiseratione dignum esse habitum humanum genus, & pro annexa nobis materia, incarnationem suam, cæteraque ex ea profecta bona vicissim nobis Dominum donasse.

i Psal. 102. 14. [i] *Recordatus est*, inquit Dauid, *quoniam puluis sumus.* Et,

k Psal. 77. 14. [k] *Quoniam caro sumus.* Et Iob:

l Iob. 10. 9. [l] *Memento quod sicut lutum feceris me.*

Alteram deinde tam egregiè humano generi prospicientis curæ hanc fuisse causam dixeris, quod nequaquam à principio Conditor naturam perfectam, quemadmodum angelis, ita & hominibus tribuerit: sed modicis progressibus perfectionem tandem consequi voluerit. quamobrem & pro virtutis præmio, & pro molestiis toleratis perfectionem rependit:

ἐν δεξιᾷ τοῦ πατρὸς ὁρᾷν τὸ ἡμέτερον ἱδρυμένον φύραμα· καὶ τὴν ποτε στασιώδη φύσιν, ὑπήκοόν τε καὶ εἰρηναίαν, καὶ τῷ πατρὶ τῶν ὅλων * διηλλαγμένην; ὃ διὰ τῆς ἀπαρχῆς ὁ ταύτην προσλαβὼν λόγος ἀπειργάσατο. Ταύτην μοι δοκεῖ τὴν εἰρήνην τῷ κόσμῳ καὶ διὰ τῶν μαθητῶν, ὡς ἐν ἀρραβῶνος λόγῳ, καταλιμπάνων λέγειν· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν, καὶ ἀφίημι ὑμῖν, καὶ οὐ καθὼς ὁ κόσμος δίδωσιν εἰρήνην. οἷς συνᾴδων καὶ ὁ γνήσιος μαθητὴς, ἡ εἰρήνη (φησὶ) τοῦ θεοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν. καὶ, δικαιωθέντες ἐκ πίστεως εἰρήνην ἔχομεν τὰ πρὸς τὸν θεὸν, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν. Οὐ γὰρ δὴ τὴν ἐκ τῶν πολέμων εἰρήνην, ἢ τὴν πρὸς ἀλλήλους ἐνταῦθα νοεῖν δεῖ: ἀλλὰ δηλονότι τὴν ἑκάστου πρὸς ἑαυτὸν, καὶ διὰ ταύτης πρὸς τὸν δοτῆρα ταύτης, καὶ τῆς ἀστασιάστου σωτηρίας ἡμῶν χορηγὸν, ἥτις καὶ φρουρεῖ τὰς καρδίας ἡμῶν, καὶ ὑπερέχει πάντα νοῦν, καὶ ἣν ὁ κόσμος διδόναι οὐ δύναται. διὸ οὐδὲ μάχεται τὸ, οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. τὴν γὰρ κοσμικήν φησιν εἰρήνην οὐκ ἦλθον βαλεῖν. πάλιν, ἔσεσθε μισούμενοι ὑπὸ πάντων, καὶ πολλὰ τοιαῦτα. ἡ γὰρ εἰς θεὸν τῶν εὐσεβούντων συνάφεια, εἰς μῖσος καὶ φθόνον, καὶ φόβον, τοὺς ἀσεβεῖς διεκύμαινεν. ἦλθεν οὖν ὁ σωτὴρ εἰρήνην βαλεῖν, ἥτις * σύμφωνα τῇ ψυχῇ τὰ τοῦ σώματος ἀποτελεῖ, καὶ ὑποτάσσει τὸ χεῖρον τοῖς τοῦ κρείττονος * βουλεύμασι. καὶ παρέσχε ταύτην, ἑνώσας ἡμῶν τῇ στασιώδει φύσει τὴν εἰρήναρχον θεότητα. τοῦτο δὲ καὶ ὁ θεσπέσιος Παῦλος ἐκδιδάσκει λέγων· τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί. ὡς ἁρμόζειν ἐπ' αὐτῆς λέγεσθαι τὸ, οὗ γὰρ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. διὸ καὶ τὴν καθ' ἡμᾶς τοῦ λόγου οἰκονομίαν, δικαιοσύνην θεοῦ καὶ κρίσιν, καὶ ἔλεον, τὸ ἱερὸν ἀνακηρύττει γράμμα· ὡς δικαίᾳ κρίσει τοῦ θεοῦ μόνους τῶν λογικῶν τῷ πηλῷ συνδεθέντας, μόνους καὶ τῆς τοσαύτης ἀξιωθῆναι φιλοτιμίας καὶ τοῦ ἀνεκφράστου ἐλέους. ἐδήλου δὲ καὶ διὰ τοῦ Ὠσηὲ· μνηστεύσομαί σε ἐν αὐτοῖς λέγων ἐν δικαιοσύνῃ καὶ ἐν ἐλέει, καὶ οἰκτιρμοῖς. καὶ μυρίοι λόγοι ἄλλοι * ἱεροὶ διακεκράγασιν, ὅτι διὰ τῶν δεσμῶν τῆς σαρκὸς συμπαθείας τὸ ἀνθρώπινον ἠξιώθη γένος, καὶ ἀντὶ ταύτης τῆς συναφθείσης ἡμῖν ὕλης, τὴν ἐνανθρώπησιν αὐτοῦ, καὶ τὰ δι' αὐτῆς ἀγαθὰ ἀντιπέδωκεν ἡμῖν ὁ κύριος. ἐμνήσθη γάρ, φησιν ὁ Δαυίδ, ὅτι χοῦς ἐσμεν, καὶ ὅτι σάρξ ἐσμεν. καὶ ὁ Ἰὼβ, μνήσθητι ὅτι πηλόν με ἔπλασας. δευτέραν δ' ἄν τις αἰτίαν φαίη τῆς περὶ τὸ ἀνθρώπινον τοσαύτης προνοίας, ὡς ἀπ' ἀρχῆς ὁ πλάστης οὐκ αὐτοτελῆ τὴν φύσιν, καθάπερ ἀγγέλοις, οὕτω καὶ τῷ ἀνθρωπίνῳ γένει παρέσχετο: ἀλλὰ ταῖς κατὰ μικρὸν προκοπαῖς τοῦ τελείου τυγχάνειν * δεδώκασιν. διὸ καὶ ἀρετῆς ἆθλον, καὶ κακοπαθείας ἀντάμειψιν τὴν τελειότητα δίδωσι·

* al. διαλλαγεῖσαν.
* al. σύμφωνα
* al. βουλήμασι
* al. ἱεροί.
* al. δεδόκηκεν

καὶ δὴ

καὶ δὴ καὶ μέσον θανάτου καὶ ἀθανασίας αὐτὸν ἔθετο, τῆς πρὸς ἑκάτερον αἱρέσεως ἀναφήνας κύριον· ἄγγελοι δὲ, καὶ εἴ τι ἄλλο λογικὸν καὶ ἀσώματον, ἐξ αὐτῆς προόδου τὸ ἐν τῇ φύσει τέλειον ἐκληρώσαντο. διὸ καὶ ὁ Δαβὶδ φησι, δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τουτέστιν, οἷα μηδενὶ τῶν ὑλικῶν, καθάπερ ἡμεῖς, καθελκόμενοί τε καὶ συμποδιζόμενοι, οὕτω διὰ ταχέων, καὶ χωρίς τινος μελλήσεως πληροῦσι τὸ κελευόμενον. τῆς οὖν ἀρρήτου δικαιοκρισίας ἦν τοῦ θεοῦ, τοῖς μὲν ἀτελέσι, καθ' ὃν ἐδοκίμαζε καιρὸν, τὸ λεῖπον ἀναπληρῶσαι· οὓς δ' ἀπ' ἀρχῆς τελείους ὑπέστησε, μὴ τῆς ὁμοίας προνοίας ἀξιῶσαι· ἀλλὰ τοὺς μὲν οἷς προέλαβον ἀρκεῖσθαι, τοὺς δὲ ὧν ὑστερήθησαν ἀναπληρωθῆναι τὸ ὑστέρημα δικαιῶσαι. καὶ τῶν ἀγγέλων δὲ ὅσοι πεπτώκασιν, οὐ τῆς ὕλης κατασπώσης, οὐδὲ τοῦ σαρκίου μεθέλκοντος, τῆς προαιρέσεως δὲ τὸ φαῦλον ἑλομένης, τῆς οἰκείας δόξης κατηνέχθησαν. ἡμεῖς δὲ τοῦ τε σαρκίου διοχλοῦντος, καὶ τῶν ἐκεῖθεν παθῶν ὑπογαργαλιζόντων, πρὸς τὰ πλείω τῶν ἁμαρτημάτων οὔ τι γε ἑκούσιοι, εἰ καὶ μὴ τὸ ὅλον ἀκούσιοι, καταπίπτομεν. καὶ γὰρ τὸ δαιμόνιον φῦλον, εἰ καὶ τοῖς αἵμασιν ἥδεται, καὶ τοῖς διὰ σαρκὸς χαίρει πάθεσιν· ἀλλ' οὖν οὐδὲν τούτων οὐ μόνον αὐτουργεῖν φύσιν οὐκ ἔλαχεν, ἀλλ' οὐδ' αἰτίαν οἴκοθεν ἔχει, πρὸς ἃ μὴ θέμις ὑποσύρουσαν. οὔτε γὰρ ξίφος ὠθεῖ διὰ τῆς δεξιᾶς πρὸς τὴν σφαγὴν, οὔτε γάμους αὐτὸς ὁμιλῶν τῇ μοιχαλίδι τοὺς ἀνθρωπίνους διορύσσει. ἀλλ' οὐδὲ θυμὸς αὐτὸν κολάζειν ἀδίκημα πρὸς τὴν σφαγὴν συνωθεῖ, οὐ μὴν οὐδ' ἡ σωματικῆς ἔρως μίξεως. ἡμεῖς δὲ πολλάκις καὶ ὧν τὴν αἵρεσιν βδελυττόμεθα, τῇ ῥοπῇ τῆς ὕλης νικηθέντες ἐργαζόμεθα· καὶ βραχύ τι πρὸς τὸν τοῦ νήφειν τόνον ὑπενδόντες, τοῖς πάθεσιν ἀνδραποδιζόμεθα. ὅθεν καὶ Παῦλος ἐβόα, οἶδα ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ τουτέστιν ἐν τῇ σαρκί μου τὸ ἀγαθόν. τὸ γὰρ θέλειν παράκειταί μοι, καὶ ἑξῆς. καὶ πάλιν, οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθὸν, ἀλλ' ὃ οὐ θέλω, τοῦτο πράσσω· εἰκότως οὖν καὶ πλείω τῶν δαιμονίων, φησὶν, ἁμαρτάνοντες, συγγνώμης ἡμεῖς, ἀλλ' οὐκ ἐκεῖνοι τυγχάνουσιν. ἔτι δὲ οὐδ' εἴ τις δοίη, φησὶ, φύσιν ἀγγέλων ἀναλαβεῖν τὸν ἡμῶν σωτῆρα καὶ λυτρωτὴν ἐπὶ τῇ τούτων σωτηρίᾳ, οὐδὲν ἂν κέρδος ἐκ τῆς συναφείας αὐτοῖς ἀπήντα. ἀνάγκη μὲν γὰρ οὐκ ἂν αὐτοὺς μετῆγεν, ὥσπερ οὐδὲ τοὺς ἀνθρώπους ἀπὸ τοῦ πτώματος ἐπὶ τὸ κρεῖττον· τὸν δὲ θεοφιλῆ καὶ ἄριστον βίον, πρᾶξις ἀρίστη καὶ νεῦσις εἰς θεὸν, ὅπερ ἐστὶ πίστις ἀκηλίδωτος, κατασκευάζει. ὧν ἡμῖν εἰσηγητὴς καὶ διδάσκαλος ὁ σαρκωθεὶς ἐχρημάτισε λόγος. τούτων δὲ οὐδέτερον πρὸς διδασκαλίαν καὶ μάθησιν, ᾔδεσαν γὰρ σαφῶς ἑκάτερον, τῷ τῶν ἀγγέλων συνετέλει γένει· ἐξ αὐτῆς γὰρ παραγωγῆς τὴν τούτων εἶχον γνῶσιν. οὐ γὰρ, ὥσπερ ἡμεῖς, τῶν τοιούτων ἐπιδεὲς τὸ ἀσώματον. καὶ γὰρ καὶ τὸν υἱὸν τοῦ θεοῦ σαρκὶ παρόντα, δαίμονες ἐπεγίνωσκον· καὶ κριτὴν, καὶ βασανιστὴν, καὶ δεσπότην ἀνεκήρυττον. καὶ τὸ ἱερὸν γράμμα μαρτυρεῖ λέγον· σὺ πιστεύεις ὅτι θεός ἐστι, καὶ τὰ δαιμόνια πιστεύουσι, καὶ φρίσσουσι.

IOBIVS.

quin & medium mortem inter atque immortalitatem ipsum constituit; alterutrius eligendi facta potestate; cum interim angeli, & si quid aliud ratione præditum & incorporeum [vspiam exsistit] ex ipso mox ortu naturæ perfectionem adepti sint. Vnde & Dauid ait: [a] *Potentes virtute, facientes verbum illius*, hoc est, Quemadmodum eos nihil materiatum, vti nos, vel deorsum trahit, vel impedit: ita cito, & absque mora iussa perficiunt. Exigebat ergo ineffabile Dei iustumque iudicium, vt imperfectis quidem (quo tempore placitum esset) quod deerat suppleret, quos vero ab initio perfectos reddidisset, non simili his cura prouideret: sed ex æquitate iudicaret, cum hos contentos illis [rebus] esse debere, quas ipsimet occupassent, tum illis earum rerum defectus supplendos, quibus aliquando priuati fuissent. Enimuero quotquot ex Angelis lapsi sunt, non ij materia diuellente, neque carne retrahente, sed arbitrio id quod malum erat eligente, de sua gloria deturbati sunt. Nos contra & carne interturbante, & natis ex ea affectionibus titillantibus, ad pleraque delicta non sponte volentes, sed nec omnino inuiti, delabimur. Dæmonum enim genus, tametsi sanguine delectetur, & carnis gaudeat affectionibus: non modo tamen eam naturam non accepit, vt quidquam horum perficere per se possit, sed neque vllam ex se proficiscentem caussam habet quæ ad nefas trahat. Neque enim gladium dextra vibrat ad cædem, neque nuptias humanas cum adultera consuescens violat. Sed nec iracundia ipsum impellit, cæde vt acceptam iniuriam vindicet, neque corporeæ commixtionis amor. Nos vero sæpe, materiæ pondere incitati, ea quoque perpetramus, quæ sponte detestemur eligere, atque ad breue admodum tempus sobrietatis contentioni cedentes, rursus ab affectibus nostris captiui abducimur. Vnde & Paulus clamabat: [b] *Scio quia non habitat in me, hoc est, in carne mea, bonum. nam velle adiacet mihi*, & quæ sequuntur: Iterumque: [c] *Non enim quod volo bonum, hoc facio, sed quod nolo [malum] hoc ago.* Merito igitur, etsi plura quam dęmones, inquit, peccemus, nos veniam consequemur, non ipsi.

Amplius vero, neque si concesserit quispiam, inquit, nostrum Saluatorem ac Redemptorem Angelorum naturam pro illorum salute suscepisse, commodum ipsis vllum ex hac affinitate obueniat. Non enim necessitas ipsos, vt neque homines, à lapsu ad meliorē statum trans ferat: sed optima quæque operatio, atque propensus in Deū animus, quod est fides immaculata, gratam Deo vitam probámque efficit, quorum nobis dux & præceptor Verbum incarnatum fuit, cum eorum tamen neutrum ad Angelici generis (cui hæc ipsa satis erant cognita) instructionē atque doctrinam conduceret, vt qui ab ipsa sui productione horum scientiam habuissent. Neque enim, vt nos, talibus incorporei indigent. Etenim Dei Filium in carne pręsentem dęmones agnoscebant, & [d] Iudicem eum pœnam inferentem, ac Dominum prædicabant. Et sacrę hoc testatę litterę aiunt: [e] *Tu credis quoniam Deus est, etiam dæmones credunt, & contremiscunt.*

a Psal. 102. 20.
b Rom. 7. 18.
c Ibid. v. 19.
d Matt. 8. 29.
e Iac. 2. 19.

IOBIVS.

a Act. 19. 15. Iterúmque alibi: [a] IESVM *noui, & Paulum scio: tu vero qui es?* Vnde satis patet, dæmonum nationem non solum scire Deum, eúmque metuere, & venerari, sed & germanos eius cultores.

Porro ineffabilis in homines amoris Dei causam & hanc adiungit: Nobis [inquit] inaccessum antea, neminique adhuc visum cœlum (quod *cælorum* puto *regnum* appellat) aperit. Nam secundum B. Paulum: [b] *Initiauit nobis viam nouam, & viuentem.* Et: [c] *Non in manufacta sancta introiuit, sed in ipsum cælum, vt appareat nunc vultui Dei pro nobis.* Et, [d] *Vbi præcursor pro nobis introiuit Christus.* Hanc igitur viam reuelauit, ad quam vt nobis præiret, iustitiæ exemplar fuit, quo aliquando edocti, desiderio accenderemur, eóque accensi ad rem desideratam præpararemur. Angelis vero cœlum iam inde à principio notum fuit, atque testatum. Nostræ præterea coniunctus naturæ resurrectionem nobis, & incorruptionem atque immortalitatem per suam resurrectionem donauit. Incorporeum vero genus, cum sit immortale, hac non indiget gratia: Nostra insuper causa in carne peregrinatus, à diaboli, qua tenebamur, tyrannide nos liberauit, [e] de Principatibus triumphans & Potestatibus in Cruce, [f] data item nobis potestate calcandi omnem virtutem inimici. Vbi si horum subijsset naturam, [g] quosnam destruxisset? De quibus triumphasset? Qualem item quibusdam potestatem dedisset, aut in quos?

b Hebr. 10. 20.
c Ibid. 9. 24.
d Ibid. 6. 20.
e Coloss. 2. 15.
f Luc. 10. 19.
g 1. Cor. 2. 6.

Adhæc vero, cum nos lapsi sumus, nullum reliquum fuit exemplar, quod eandem naturam integram retineret. At lapsis dæmonibus innumerabiles nihilominus incorporeorum acies inuariatè consistunt, quæ & diuinæ ordinationis exemplum, & nunquam flexæ rectitudinis specimen exhiberent. Quapropter qui omnia sapiéter, & supra quàm dici potest, prouidet ac facit Deus noster, Deique Verbum, cum iam humana natura prolapsa esset, non hanc solum ex infinita sua in homines amoris vi assumit, sed per eam quoque omnibus, qui eiusdem naturæ essent, correctionem, incorruptionem, & alia ista innumerabilia bona largitur: cum dæmonis tamen genus assumere neque iustum, neque vtile esse iudicet. Sic [XL.] & quod sequitur Caput ab speculatiuo & studioso scriptore clauditur.

XLII. inuestigat, Vnde nobis è deteriore in melius, & contra ad deterius è meliori mutatio tam frequens, varia, ac pæne continua exsistat: incorporeis vero, aliis bonum sit immutabile, aliis vitium? Causam reddit, quod in nobis cum animi inclinatio in alterutram partem connitatur, ob subiectæ materiæ fluxum atque vacillationem, illa aliquando rationem superet, interdum etiam superetur: in illis, ad quos nequaquam materia irrepere potest, ratio sola in actiones omnes imperium obtineat. Quamobrem illorum quidem casus, qui sponte & imperantis reuera more ad deterius delapsi sunt, fit immedicabilis, cúm nihil quidquam in se validius habeant, quod sui iuris mentem, iam ex se fluentem, ad id quod deterius est, reuocet: quemadmodum aliis contra, qui sponte ac liberè amorē honesti acceperūt,

καὶ ἀλλαχοῦ, τὸν μὲν χριστὸν οἶδα, καὶ τὸν Παῦλον ἐπίσταμαι: σὺ δὲ τίς εἶ; ἐξ ὧν δῆλον, ὅτι τὸ δαιμόνιον φῦλον οὐ μόνον ᾔδει τι τὸν [*] θεὸν, καὶ ἐδεδοίκει, καὶ ἐσέβεν: ἀλλὰ καὶ τοὺς ἐκείνου γνησίους θεραπευτάς. αἰτίαν δὲ τῆς ἀφάτου φιλανθρωπίας ἐπισυνάπτει καὶ ταύτην. ἡμῖν μὲν ἀνοίγει τὸν οὐρανὸν, οὔπω γεγονότα βατὸν, οὐδὲ θεατόν· ὃς καὶ οὐρανῶν οἶμαι βασιλεία προσαγορεύεται. κατὰ γὰρ τὸν θεῖον Παῦλον ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν· καὶ οὐκ εἰς χειροποίητα ἅγια εἰσῆλθεν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν· καὶ, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε χριστός. ταύτην οὖν τὴν ὁδὸν ἡμῖν ἀνεκάλυψε. καὶ ταύτης ἡμῖν καθηγήσασθαι δικαιοσύνης ἀπόδειξις ἦν, ὡς ἂν μαθόντες ἐπιποθήσωμεν· ποθήσαντες δὲ, πρὸς τὸ ποθούμενον παρασκευαζώμεθα, τοῖς δὲ ἀγγέλοις γνώριμος ἦν ἀπ' ἀρχῆς, καὶ εἰς γνῶσιν ἡγμένος ὁ οὐρανός. ἔτι δὲ καὶ ἡμῖν μὲν τὴν ἀνάστασιν, ἑνωθεὶς, καὶ τὸ ἄφθαρτον καὶ ἀθάνατον διὰ τῆς οἰκείας χαρίζεται ἀναστάσεως. τὸ δὲ ἀσώματον γένος, ἀθάνατον ὂν, τῆς τοιαύτης ἀνενδεὲς χάριτος. καὶ δι' ἡμᾶς μὲν ἐπιδημήσας σαρκὶ, τῆς κατεχούσης τοῦ διαβόλου τυραννίδος ἠλευθέρωσε, τὰς ἀρχὰς θριαμβεύσας καὶ τὰς ἐξουσίας ἐν τῷ σταυρῷ, καὶ δύναμιν ἡμῖν χαρισάμενος, πᾶσαν τὴν τοῦ ἐχθροῦ δύναμιν καταπατεῖν. εἰ δὲ τὴν ἐκείνων ὑπέδυ φύσιν, τίνας ἂν κατήργησε; κατὰ τίνων δ' ἂν ἐθριάμβευσε; ποίαν δὲ τὴν ἐξουσίαν τισὶν ἐδίδου, καὶ κατὰ τίνων; χωρὶς δὲ τῶν εἰρημένων, ἡμῖν μὲν πεσοῦσιν οὐδεὶς ἦν ὑπόγραμμος, τὴν αὐτὴν λαχὼν φύσιν διορθώσεως: τοῖς δὲ πεπτωκόσι τῶν δαιμόνων, μυρία τάγματα τῶν ἀσωμάτων ἀτρέπτως ἑστηκότα πρόκειται, καὶ πολιτείας ἐνθέου παραδείγματα ὄντα, καὶ διορθώσεως ἀκλινοῦς ὑποτύπωσις. διόπερ ὁ πάντα σοφῶς καὶ ὑπὲρ λόγον προνοούμενος καὶ πράττων θεὸς ἡμῶν, ὁ τοῦ θεοῦ λόγος, τῆς μὲν ἀνθρωπίνης φύσεως τὸν ὄλισθον ὑποστάσης, καὶ προσλαμβάνεται ταύτην ἀρρήτῳ φιλανθρωπίας μέτρῳ, καὶ δι' αὐτῆς πᾶσι τοῖς ὁμοφυέσι τὴν τε διόρθωσιν καὶ τὴν ἀφθαρσίαν, καὶ τὰ μυρία χαρίζεται ἀγαθά· τοῦ δὲ δαιμονίου φύλου ἡ μὲν οὖν οὔτε δικαίαν οὔτε συμφέρουσαν κρίνει τὴν πρόσληψιν. οὕτω μὲν οὖν καὶ τὸ ἐπὶ τούτῳ τῷ φιλοθεάμονι καὶ σπουδαιολόγῳ ἀνδρὶ διανύεται κεφάλαιον.

Ἐν δὲ τῷ μβ´ ζητεῖ, πόθεν ἡμῖν μὲν ἔκ τε τοῦ χείρονος εἰς τὸ κρεῖττον, καὶ πρὸς τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος ἡ μεταβολὴ καὶ πολλὴ καὶ διάφορος, καὶ μικροῦ συνεχής: τῶν δὲ ἀσωμάτων γενῶν, τοῖς μὲν τὸ καλὸν ἀμετάβλητον, τοῖς δὲ τὸ φαῦλον; καὶ τίθησιν αἰτίαν. ἡμῖν μὲν τῆς ἐφ' ἑκάτερα στασιαζούσης ῥοπῆς, τῆς ὑποβεβλημένης ὕλης τὸ ῥοῶδές τε καὶ διαφορον, ποτὲ μὲν τοῦ λογισμοῦ κρατούσης, ποτὲ δὲ κρατουμένης. ἐν ἐκείνοις δὲ μηδαμῶς τῆς ὕλης παρείσδυσιν λαβούσης, ὁ λογισμὸς μόνος τῶν πράξεων ἔχει τὸ κράτος. διὸ τῶν μὲν ἑκουσίως καὶ ὡς ἀληθῶς αὐτοκρατορικῶς πρὸς τὸ χεῖρον ἀπενεχθέντων, ἡ πτῶσις ἀνίατος γίνεται· οὐκ ἐχόντων ἕτερόν τι κρεῖττον ἐν ἑαυτοῖς, ὃ τὴν αὐτοδέσποτον γνώμην αὐτὴν ὑφ' ἑαυτῆς ῥεύσασαν πρὸς τὸ χεῖρον πάλιν ἀνακαλέσοιτο. ὥσπερ [*] αὖ πάλιν τοῖς ἑκουσίως καὶ αὐτονόμως τὸν ἔρωτα τοῦ ἀγαθοῦ λαβοῦσιν [*] al. ἔν.

[*] χρησ.

ἀπαρα-

* al. ἀπαθ. ἀπαράτρεπτος ὁ πόθος * ὑπὸ μηδεμιᾶς ῥοπῆς ἐνοχλούμενος διασώζεται. ἡμεῖς δὲ ὥσπερ διπλοῖ τινές ἐσμεν, διὸ καὶ μεταμεληθέντες οἷς ἁμαρτάνομεν, ὡς ἑτέροις ἑαυτοῖς ἐπιμεμφόμεθα. δύο δὲ μαχομένων, καὶ τούτων ἀνὰ μέρος κρατούντων τε καὶ κρατουμένων, πῶς ἂν ἢ τὰ τῆς νίκης, ἢ τὰ τοῦ πτώματος σχοίη τὸ ἀμετάβλητον: οὐ μόνον δὲ ἐπὶ τῶν πράξεων, αἳ τὸ ἐπαινετὸν ἢ τὸ ψεκτὸν φέρουσιν, ἐφ' ἡμῶν ἡ μεταβολὴ, καὶ ἡ παλίρροια τὸ κράτος οὐκ ἔχει ἀνανταγώνιστον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἡμῶν ἐνεργειῶν καὶ παθημάτων. οὔτε γὰρ διὰ παντὸς καθῆσθαι, οὔτε ἵστασθαι δυνάμεθα, ἀτονίας εὐθὺς τῆς κατὰ τὴν φύσιν ἑκατέρου τῇ ὑπερβολῇ συνεπομένης. καὶ δῆλον τοῦτο, ὡς διὰ τὴν ἐν ἡμῖν τῶν στοιχείων διαφοράν τε καὶ μάχην συμβαίνει. καὶ γὰρ τὸ μὲν θερμὸν τὴν ἄνω χώραν διώκει, τὸ δὲ γεῶδες βρίθει τε καὶ συγκαθέλκει πρὸς τὴν γῆν. καὶ ἐπὶ τῶν ἄλλων δὲ τῶν παραπλησίων ὡσαύτως, ἃ ἐπὶ τῆς * αὐτομάτου οὐκ ἔχει χώραν φύσεως. (* al. ἀσωμάτ.) ἀλλ' ὥσπερ ἐν ἡμῖν τὸ ποικίλον καὶ πολύμορφον, οὕτως ἐν ἐκείνοις τὸ ἀποίκιλον καὶ μονοειδὲς ἐγκαθίδρυται. ὅθεν τοῖς ἁπλοῖς μὲν καὶ μονοειδέσιν ἀκολουθεῖ τὸ δυσαλλοίωτόν τε καὶ δυσμετάβλητον· τοῖς δὲ συνθέτοις, ἡ μεταβολὴ καὶ ἀλλοίωσις. τὸ δὲ μὴ πάντη πάντως τὸ ἀμετάβλητον καὶ ἀναλλοίωτον, μηδὲ ἐν ταῖς ἀσωμάτοις οὐσίαις ὁρᾶσθαι· καὶ γὰρ μετεβλήθη τὸ δαιμόνιον ἀπὸ τοῦ κρείττονος εἰς τὸ χεῖρον: ἐκεῖνο ἄν τις ἴσως προφασίσαιτο, ὅτι καὶ αὐτὸ τὸ ἀσώματον ἐκ τροπῆς τε καὶ ἀλλοιώσεως ἤρξατο. ἐκ μὴ ὄντων γὰρ εἰς τὸ εἶναι καὶ αὐτὸ παρήχθη, κἂν ἡ κατὰ τὴν ὕλην συμπλοκῆς ἐλευθέραν ἔχῃ τὴν ὕπαρξιν. τάχα δ' ἂν καὶ διὰ τὴν μίαν ταύτην ἐκτροπὴν, μίαν καὶ αὐτοὶ τὴν πρὸς τὸ φαῦλον τῆς γνώμης ἀλλοίωσιν ἐπεδείξαντο. ταῦτα εἰπὼν ὁ θεοσεβὴς οὗτος καὶ φροντίσιν ἱεραῖς ἀνειμένος οὗτος ὁ ἀνὴρ, ἐπιρραπίζει τὰς Ὠριγένους περὶ δαιμόνων, καὶ ἀγγέλων, καὶ ἀνθρώπων, καὶ ἀστέρων, καὶ τῆς ἄλλης ὁρωμένης κτίσεως, δυσσεβῆ τε καὶ ἀνόητον καὶ πολυπλανῆ φλυαρίαν, καὶ τέλος ἐπιτίθησι καὶ τῷ δευτέρῳ καὶ μ' κεφαλαίῳ.

Ἐν δὲ τῷ ἑξῆς δύο ταῦτα ζητεῖ, ἓν μὲν διὰ τί αἱ ἅγιαι καὶ νοεραὶ δυνάμεις, ὅσα γε ἡμῶν εἰς γνῶσιν ἧκε, καὶ οἱ χρησμοὶ ἐξεπαίδευσαν, τὸ καλὸν ἀπ' ἀρχῆς μέχρι τέλους ἀμετάβλητον σώζουσιν, ὥσπερ αἱ πονηραὶ τὴν κακίαν; καὶ διὰ τί πολλῶν ἀνθρώπων μελλόντων κολάζεσθαι, τὸ πῦρ ἔφησεν ὁ σωτὴρ ἡτοιμάσθαι τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ; Καὶ πρὸς μὲν τὴν προτέραν ζήτησιν ἐφ' ἑκατέρας μερίδος, (τῆς τε ἀγγελικῆς φημι καὶ τῆς δαιμονίας), τὸ ἁπλοῦν αἰτιᾶται, καὶ ἀσύνθετον καὶ ἀποίκιλον· καὶ διὰ τοῦτο πρὸς τὰ ἀντικείμενα τῆς μεταβολῆς ἐνυπάρχειν αὐτοῖς τὸ ἀπαράδεκτον. πρὸς δὲ τὴν δευτέραν ζήτησιν, ὅτι διὰ τοῦτο τὸ πῦρ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ ἡτοιμάσθαι γέγραπται. ἀλλ' οὐχὶ τοῖς ἀνθρώποις: ἐπειδὴ ἐν ἡμῖν μὲν οὐκ * ἀδόκητος (* ἀδιάσειστος) ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον ἡ μεταβολή· οὗτοι δὲ γνώμῃ παρέχοιντο τὸ ἀνέλπιστον. τὴν εἰρημένην δὲ τοῦ σωτῆρος φωνὴν, ἅμα τε λύσιν ἐπάγει τῆς δευτέρας ἀπορίας, καὶ δεύτερον ἐπιχείρημα

IOBIVS. nullo fluxu turbatum illud eorum desiderium conseruatur. cum nos interim veluti duplices quidam, ac propterea etiam malè admissorum pœnitentia ducti, nos ipsos tanquam alienos incusemus. Duo verò vbi pugnant, & hi partim vincentes, partim victi: quomodo in his aut victoria, aut lapsus immutabilis sit: Neque verò solùm in actionibus iis quæ laudem aut vituperationem merentur, mutatio & refluxus in nobis imperium sine repugnantia non habet: sed in alijs quoque nostris operationibus atque affectionibus. Nam neque semper sedere, neque rursum stare possumus, cum mox iuxta alterutrius naturam virium remissio[in his]excessum consequatur. Quod per elementorum in nobis varietatem & pugnam contingere constat. Calor enim ad supera impellit: Terrenum verò quod est, deorsum vergit, atque ad terram detrahit. atque in similibus aliis ad eundem modum quæ sanè in incorporeis naturis locum non obtinent. Sed quemadmodum in nobis varietas, multiplexque forma: sic in ipsis nihil varium, at vna perpetua forma residet. Vnde simplices hos atque vniformes illud consequitur, vt alterari atque mutari nonnisi difficulter possint: composita verò comitatur mutatio atque alteratio. Quod autem non omnis omnino immutabilitas ne ab incorporeis quidem naturis abesse videatur (dæmon enim ex bono in malum mutatus est) illud fortè aliquis prætexat, quod ipsa quoque incorporea natura ex mutatione atque alteratione initium sumpserit. nam è non existentibus & ipsa producta est, tametsi à materiæ commistione liberam habet subsistentiam. Ac forsitan etiam ob vnicam mutationem, vnam quoque ipsi mentis illam in malum mutationem ostenderunt. Hæc vbi pius ille, & sacris vir studiis deditus retulit, Origenis de dæmoniis, Angelis, hominibus, astris, aliisque sub aspectum cadentibus conditis rebus impias, stolidas, & erroris plenas nugas refellit: sicque finem quadragesimo secundo capiti imponit.

XLIII. In sequenti deinde capite de his duobus quærit. Primum, cur sanctæ & intelligibiles potestates (quod quidem nouerimus, atque è sacris litteris didicerimus) sic virtutem ab initio ad extremum vsque immutabilem retineat, quemadmodum improbitatem malignæ. Quum item ob caussam, cùm multi essent homines puniendi, *Ignem*, dicat Saluator *Diabolo & angelis eius paratum*. Matth. 25

Atque ad primam quidem quæstionem, vtraque in parte (Angelorum, inquam, & Dæmonum) [naturæ] simplicitatem, quæ neque composita neque varia sit, in caussa esse ponit: ac per hoc eam quoque vim iis inesse, vt oppositas mutationis rationes suscipere nequeant. Ad alteram porrò quæstionem respondet: Idcirco ignem Diabolo eiusque angelis, non autem hominibus præparatum, scribi, quoniam in nobis non inopinata sit è malo in melius mutatio, cum illi confirmata sua voluntate, nullam de se spem reliquam fecerint. Prædictam ergo Saluatoris sententiam simul pro solutione dubitationis secundæ affert, & simul pro altero argumento,

306 b a quo dæmonum naturam è malo non mutari posse ostendatur.

XLIV. Post hæc capite excutitur, qua de causa qui regenerationis lauacro tingendi accedunt, Satanæ & operibus eius nuncium remittant: non item hominibus improbis, eorúmque actionibus? Enimuerò si non Dæmonum naturæ, sed operibus dumtaxat eorum, tanquam malis, renunciemus, pari ratione oportebat hominum non naturæ quidem, at certè operibus renuntiare. Non enim quod maiora, difficiliora, ac supra naturam nostram dæmonum opera sint, rectè quispiam pro dubitationis solutione dixerit. Nam contrarium potius hoc ipsum dubium auget. si quidē illa quispiam ne admittat, deprecetur, non quæ facere nullo modo possit, sed ad quæ agenda propēdet. Ipsam igitur dubitationē sic ferè instituit: cuius hanc subiicit solutionem.

Primam quidem, quod dæmones resipiscere non possint. quod vtique longè grauius atque abominandum magis est, quàm alia multò grauiora peccata: sed quæ ab hominibus, qui per pœnitentiam in viam reduci possunt, committuntur.

Alteram deinde, quòd ab initio Saluator, & securitatis nostræ curator, terminum inimicitiarum immobilem, dæmonem inter & homines præfixerit, vt aduersus ipsum odium immortale inter seipsos seruantes, nunquam amplius oblatam ab ipso fraudem excipiamus. quemadmodū etiam singuli qui baptizantur, tanquam fateantur se ad id vsque tempus cum primo suo parente Adamo deceptos fuisse, rectè ac sapienter in posterum deceptoris amicitiæ renunciāt. de hominibus autem, tametsi improbè viuant, nihil tale Dominus, quin potius contrarium penitus præcepit. Ac de sexcentis id genus aliis, quæ hic cōmemorare poteram, vnum illud è maximè necessariis, quòd charitati mutuæ prospiciens Ecclesiæ lex (quam mille modis improbus dæmon discindere conatur) omni eam via ac sapientia componere ac conseruare iubet. quare neque ipsos improbos, [a] Proximi cùm sint, pro execrandis habere, atq; odio esse permittit: sed contra, quoad eius fieri potest, amare iubet atque diligere. Immò verò de purganda curandáque malitia cogitare, illósque ad se sumere, nullo autem modo repellere, præcipit. Idémque Paulus inter alia monet, [b] qui Iudæis tanquam Iudæus, & omnibus omnia factus est, vt omnino aliquos saluos faceret.

a Matth. 5.

b 1. Cor. 9. 20.

Quod si à peccatoribus iustorum cœtus inde ab initio in hunc vsque diem abstinuisset, quis saluus esset? Quomodo mundus sagena captus esset: si, cùm peccatores nihil inuicem vtilitatis afferant, iusti insuper illos execrarentur ac reiicerent? Sed & quod [c] Petro visum est linteum, puris atque impuris animantibus plenum, ad consuetudinem potius malos assumendos, quàm repellendos designat.

c Act. 10.

Iam si tum etiam, quando charitatem adeò Dei Verbum vbique imperat, & [d] omnibus aliis virtutibus maiorem per suos sectatores clamitat, hostili tamen alij in alios animo sumus, & fere vnusquisque proximum, tametsi optimus sit, per inuidiam lædimus, atque interdum etiā ei insidias paramus:

d 1. Cor. 13.

δι' οὗ τὸ ἀμετάβλητον ἀπὸ κακίας τῆς δαιμονίας ἐπιδείκνυται φύσεως.

Ἐπὶ δὲ τούτοις ἐν τῷ μδʹ κεφαλαίῳ διερευνᾶται, τίνος χάριν οἱ πρὸς λουτρὸν τῆς παλιγγενεσίας προσερχόμενοι τῷ μὲν σατανᾷ καὶ τοῖς ἔργοις αὐτοῦ ἀποτάσσονται, οὐκ ἔτι δὲ καὶ τοῖς πονηροῖς ἀνθρώποις καὶ τῇ τούτων πράξεσι; καίτοιγε, εἰ μὴ τῇ τῶν δαιμόνων οὐσίᾳ, ἀλλὰ τοῖς ἔργοις αὐτῶν ὡς φαύλοις ἀποτασσόμεθα· ἐχρῆν καὶ τῇ τῶν ἀνθρώπων μὲν οὐσίᾳ μὴ ἀποτάσσεσθαι, τοῖς ἔργοις δ' αὐτῶν ἀποτάσσεσθαι. οὐ γὰρ ὅτι μείζονα καὶ χαλεπώτερα, καὶ ὑπὲρ τὴν ἡμῶν φύσιν, τὰ τῶν δαιμόνων ἔργα· τοῦτο ἄν τις λύσιν θείη τοῦ ἀπορήματος. τοὐναντίον γὰρ μᾶλλον αὐξάνει τὸ ἄπορον, εἴπερ ἐκεῖνά τις ἁμαρτάνειν ἀπεύχεσθαι, οὐχ ἃ μηδὲ πράττειν πέφυκεν, ἀλλ' ὧν εἰς τὴν πρᾶξιν καταφέρεται. τὴν μὲν οὖν ἀπορίαν οὕτω συγκροτεῖ. λύσιν δὲ ἐπάγει, * πρῶτον μὲν τὸ τῶν δαιμόνων ἀμετανόητον, ὅπερ ἐστὶ καὶ τῶν πολὺ μὲν χαλεπωτέρων ἁμαρτημάτων, ἀνθρώποις δὲ πραττομένων, ἅτε δὴ μετανοίᾳ μεθοδεύεσθαι δυναμένων, λίαν βαρύτερόν τε καὶ βδελυκτότερον. δεύτερον δὲ, ὡς ἀπ' ἀρχῆς ὁ σωτὴρ, καὶ τῆς ἀσφαλείας ἡμῶν προνοητὴς, ὅρον ἔχθρας ἀμετακίνητον μεταξὺ τοῦ τε διαβόλου καὶ ἡμῶν ἐπήξατο, ὡς ἂν τὴν πρὸς αὐτὸν ἔχθραν ἀκήρατον ἐν ἑαυτοῖς διασώζοντες, μηκέτι παρ' αὐτοῦ προσαγομένην τὴν ἀπάτην εἰσδεξόμεθα. διὸ καὶ τῶν φωτιζομένων ἕκαστος, ὥσπερ ὁμολογῶν τῇ τοῦ προπάτορος ἀπάτῃ μέχρι τότε συνέχεσθαι, καλῶς τε καὶ θεοσόφως τὸ λοιπὸν τῇ πρὸς ἐκεῖνον ἀποτάσσεται φιλίᾳ. ἐπὶ δὲ τῶν ἀνθρώπων, κἂν πονηρίᾳ συζῶσιν, οὐδὲν τοιοῦτον, ἵνα μὴ λέγω πᾶν τοὐναντίον ὁ δεσπότης * ἐκέλευσε. καὶ μυρία μὲν ἔστιν εἰπεῖν καὶ ἄλλα· ἓν δὲ τῶν ἀναγκαιοτάτων, ὡς τὸν εἰς ἀλλήλους ἀγάπης, ὁ τῆς ἐκκλησίας θεσμὸς προνοούμενος, ἣν μυριοτρόπως ὁ πονηρὸς διασπᾶν ἐπείγεται, πάσῃ μεθόδῳ καὶ σοφίᾳ συγκροτεῖν τε ταύτην καὶ συνέχειν νομοθετεῖ. διὸ οὐδὲ αὐτοὺς τοὺς φαύλους ὁμοφύλους ὄντας βδελύττεσθαι καὶ μισεῖν ἐᾷ· τὸ ἀνάπαλιν δὲ στέργειν τε καὶ φιλεῖν, ὅση δύναμις. * καὶ δὴ κάθαρσίν με τῆς πονηρίας καὶ θεραπείαν ἐπινοεῖν, προσλαμβάνεσθαι δὲ, ἀλλ' οὐκ ἀπωθεῖσθαι. καὶ τοῦτο Παῦλος μετὰ τῶν ἄλλων παραινεῖ, ὃς καὶ τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, καὶ τοῖς πᾶσι τὰ πάντα ἐγένετο, ἵνα πάντως τινὰς σώσῃ. εἰ δὲ τοῖς ἁμαρτωλοῖς ὁ τῶν δικαίων χορὸς ἀπ' ἀρχῆς μέχρι νῦν ἀπετάσσετο τίς ἂν ἐσώθη; πῶς δ' ἂν ὁ κόσμος ἐσαγηνεύθη, τῶν μὲν φαύλων ἀλλήλους οὐδὲν * ὠφελούντων, τῶν δ' ἀγαθῶν τούτους βδελυσσομένων τε καὶ ἀποπεμπόντων. ἀλλὰ καὶ ἡ τῷ Πέτρῳ σινδὼν ὀφθεῖσα, καὶ πλήρης καθαρῶν τε καὶ ἀκαθάρτων ζώων ὑπάρχουσα, τὴν συναναστροφὴν μᾶλλον καὶ πρόσληψιν τῶν φαύλων, ἀλλ' οὐ τὴν ἀποστροφὴν ὑπηνίττετο. εἰ δὲ τὴν ἀγάπην οὕτω πανταχοῦ τοῦ θεοῦ λόγου νομοθετοῦντος, καὶ πάσης ἄλλης ἀρετῆς ὑπερέχουσαν διὰ τῶν αὐτοῦ μαθητῶν ἀναβοῶντος, ὅμως πολεμίως πρὸς ἑαυτοὺς διακείμεθα, καὶ μικροῦ τὸν πλησίον ἕκαστος, κἂν ἄριστος ᾖ, φθόνῳ κακίζομεν· ἔσθ' ὅτε δὲ καὶ ἐπιβουλεύομεν: εἰ τοιαύ-

* al. πρῶτον

* al. ἐκέλευσε

* al. καὶ

* al. ὠφελούντων

εἰ τοιαύτης ἀφορμῆς ἐδραξάμεθα, λέγω δὴ τῷ τοῖς πονηροῖς ἐκ νομοθεσίας τε καὶ ὁμολογίας ἀποτάσσεσθαι· ἐγὼ μὲν ἐξ ὧν ὁρῶ τὸ ἀνθρώπινον, καὶ τοὺς εὐεργέτας φημί, ἐπεὶ τούς γε τὶ παραλυποῦντας, κἂν δικαίως τοῦτο πράττωσι, πάντως ἂν ἐκτόπως ἐμισοῦμεν τε καὶ ἀπεστρεφόμεθα, ἅτε δὴ παρακάλυμμα τῆς φθονερᾶς γνώμης καὶ τῆς πολλῆς ἐφ' οἷς μισοῦμεν ἀλλήλους αἰσχύνης, τὴν θείαν ἐντολὴν προβαλλόμενοι καὶ συνήγορον ἔχοντες. καὶ οὐκ ἂν οὐδὲ μέχρι θανάτου τὴν πρὸς τοὺς τοιούτους ἔχθραν διαλυόμεθα, κἂν τὸν ἥλιον μὴ ἐπιδύειν ἐπὶ τῷ παροργισμῷ ἡμῶν, τῆς δεσποτικῆς νομοθετούσης ἀγαθότητος, καὶ τοῦ πατρὸς μιμητὰς ἀποφαίνοντος ἐν τῷ πᾶσι καὶ τοῖς μισοῦσι χρηστὸς εἶναι, ὃς βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐφ' ἑκατέρας ὁμοίως μερίδα. εἰ δὲ ἦν νενομισμένον τοῖς πονηροῖς τῶν ἀνθρώπων τοὺς φωτιζομένους ἀποτάσσεσθαι· καὶ γυνὴ ἂν ταύτης τῆς ἀφορμῆς λαβομένη τοῦ ἀνδρὸς διεχωρίζετο, καὶ γυναικὸς ὁ ἀνήρ, πατρός τε ὁ υἱός, καὶ μητρὸς ἡ θυγάτηρ, καὶ δοῦλος δεσπότου. ἐστηρίζετο γὰρ ἂν ἕκαστος τούτων τῇ πρὸς θεὸν οἰκείᾳ ὁμολογίᾳ, καὶ νόμον ἐπίθετον τοῦτον ἀπαράβατον τῷ οἰκείῳ θελήματι βεβαιούμενον. διὰ ταῦτα τοίνυν τῷ διαβόλῳ μόνον καὶ τοῖς δαιμονίοις, καὶ τοῖς τούτων ἔργοις, φεύγειν τε, καὶ βδελύττεσθαι, καὶ ἀποτάττεσθαι προστετάγμεθα· ἀμέτοχοι τῆς ἐκείνων γνώμης διαπαντὸς συντηρηθῆναι, ὁμολογοῦντές τε καὶ εὐχόμενοι, διὰ τὴν αὐτῶν πρὸς τὰ φαῦλα ἄκλιτόν τε καὶ ἀμετάθετον ῥοπήν, καὶ διὰ τὸ κόρον τῶν ἁμαρτημάτων μὴ δέχεσθαι. ἀλλήλοις δέ, κἂν ἀνθρώπινον ᾖ, κἂν εἰς τὸ θεῖον διαβαίνῃ τὸ ἁμάρτημα, οὐκ ὀξεῖαν καὶ ἀπότομον τὴν κρίσιν φέρειν ὀφείλομεν. λυμαντικόν τε γὰρ τοῦτο τῆς ἐμφύτου πρὸς ἀλλήλους στοργῆς, διά τε τὴν συνηρτημένην ὕλην τῇ φύσει, καὶ ὅτι πεσοῦσιν ἐλπὶς διορθώσεως ἀπολείπεται. διὸ καὶ ἄν τις μὲν λέγῃ, οὐκ εἰμὶ καθ' ἕνα τῶν δαιμόνων, ἐπείπερ ἀληθεῖαί φησιν, οὐκ ἀπόβλητος. ὁ δὲ κατὰ τὸν φαρισαῖον ἀλαζονευόμενος, καὶ ὡς ὁ τελώνης μὴ εἶναι μεγαλαυχῶν, κατακρίνεται. οὔτε γὰρ αὐτὸς ὁ ἑστάμενος, εἰ μὴ πέσοι, δῆλον, οὔτε ὁ πεπτωκὼς εἰ μὴ στήσεται. χωρὶς δὲ τῶν εἰρημένων, κἀκεῖνο θεωρητέον, ὡς ἐπειδὴ τὸ μὲν δαιμόνιον φῦλον ἀμετανόητον, ἡμεῖς δὲ διὰ μετανοίας τῷ βαπτίσματι προσίεμεν· δι' ὧν τοῖς ἀμετανοήτως ἔχουσιν ἀποτασσόμεθα, τὴν μετάνοιαν πάντως θεῷ καθομολογοῦντες δεικνύμεθα. καὶ ὁ τοῖς δαιμονίοις διὰ * τὸ σφῶν ἀμετάθετον ἀποταξάμενος, πῶς οὐχὶ τῷ ἀμεταθέτῳ πρότερος αὐτὸς ἀπετάξατο. καὶ ὁ τῆς προτέρας αὐτοῦ πονηρίας καὶ ἀσεβείας συγγνώμην αἰτῶν, πῶς ἂν τοῖς ὁμοιοπαθέσιν ἀνθρώποις, ὃν αὐτὸς διὰ μετανοίας ἔσχεν ἀποκλείσειεν ἔλεον. ἀλλὰ ταῦτα μὲν καὶ ἐν τῷ παρόντι κεφαλαίῳ· ἐν οἷς καί φησιν, ὡς ἐν τῇ ἀναστάσει τὸν ἀγγελικὸν βιωσόμεθα βίον, μηκέτι πρός τι τῶν φαύλων ἐκκλίνοντες, ἀλλ' ἐν τῷ ἀτρέπτῳ στηριζόμενοι· οὐ φύσει τοῦτο κτησάμενοι, τῇ δὲ τοῦ πνεύματος δυνάμει, ὥσπερ καὶ αὐτὸ τὸ τῶν ἀγγέλων σύστημα. ταύτῃ τοί φησι καὶ τό, ὁ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων ἐστὶν Ἰωάννου,

* al. τῶ

hac oblata occasione (vt scilicet improbis, ex lege atque pacto nuntius remittendus sit) equidem quantum hominum mores perspicio, ipsos quoque beneficos in nos, qui modo aliquam molestiam, etiam iustè afferrent, absurdè vtique & indecenter odissemus atque auersaremur (velamentum nimirum noxiæ huius voluntatis, & probrosi illius quo inuicem prosequimur odij diuinum præceptum obiicientes, & tanquam pro aduocato habentes) ac neque ad extremum vsque spiritum odium in tales vnquam deponeremus, etiamsi [a] Solem non occidere super iracundiam nostram Domini bonitas præcipiat, atque per benignitatem erga omnes, etiam inimicos, patris sui imitatores fore declaret, *qui pluit super iustos & iniustos, & Solem suum oriri facit super bonos, & malos.* Et verò si lege decretum foret, vt baptizandi malos homines omnino valere iuberent: iam & vxor hoc colore à viro discederet, & vir ab vxore, filius à patre, à matre filia, à domino seruus. Confirmaret enim horum quilibet se suo cum Deo inito pacto, legémque hanc sibi propria voluntate corroboratam nunquam transgrediendam statueret. Has igitur ob causas solum diabolum atque dæmonia, & eorum opera iubemur fugere, execrari, repellere, ac nos per omnia liberos, ne cum iis sentiamus, conseruare, profitentes atque optantes, propter eorum ad malum immutabilem & irreuocabilem inclinationem, & quia peccatis non satiantur, eosdem nos minimè admittere. In nos mutuo verò, siue in hominem siue in Deum admissum peccatum sit, celerem & abruptam ferre sententiam non debemus, (noxium enim illud innato nobis amori mutuò esse solet) tum quod genus vniuersum à materia dependeat, tum etiam quia lapsis spes restitutionis adhuc reliqua est. Vnde si quis dixerit: Ægóne vel vnum dæmonem imitando sequor: siquidem verum dicit, non est reiiciendus, sin, vt [b] ille Pharisæus, sese iactitet, & publicano non esse similem superbius glorietur, is vtique damnatur. Neque enim constat, an ille qui stabat iam non deciderit: neque an non sit surrecturus, qui ceciderat. Præter ea verò, quæ iam dicta sunt, etiam illud considerandum, quoniam pœnitentia duci dæmones non possunt: nos verò per pœnitentiam ad baptismum accedimus, ex eo quod impœnitentibus renuntiamus, pœnitentiam omnino Deo spondere nos apparet. Et verò qui dæmonibus ob id quod non resipiscant, renuntiauit, quomodo is non impœnitentiæ primum renuntiauit? Qui etiam prioris suæ nequitiæ atque impietatis veniam petit, quomodo is hominibus, qui iisdem obnoxij sunt passionibus, eandem quam per pœnitentiam consecutus est misericordiam, secluserit? Atque ista quidem hoc capite complexus est. Inter quæ illud etiam ait, nos in resurrectione Angelicam vitam acturos, non iam amplius ad malum vllum pronos, sed in constanti statu confirmatos: non id quidem ex natura consecuti: sed, vt & Angelorum ordo, virtute S. Spiritus. Eadem, inquit, ratione etiam illud dicit: *Qui [c] minor est in regno cælorum, maior est Ioanne Baptista,*

IOBIVS.

a Ephes. 4. 26.

Matth. 5. 45.

b Luc. 18.

c Matth. 11. 11.

ὅτι.

IOBIVS. quia scilicet præ abundantia gratiæ spiritalis mutari amplius nequit. Quando enim maiorem Ioannem inter natos mulierum appellauit, qui in Spiritus sancti donis Veritas est, conditor ac Dominus noster, cùm huius & futuræ vitæ differentiam ostenderet: Etsi nunc, ait, spiritalibus donis maior est præcursor: tanta tamen erit in futura vita harum rerum in melius commutatio, tantáque Spiritus copia, vt qui illis minor est, ampliora dona consecuturus sit, quàm qui hic maiora acceperunt. Qui enim hîc degebat, etiamsi maius quid esset consecutus, nondum tamen habebat immutabilitatem; qui vero in cœlorum regno minor, quisquis tandem ille fuerit, quod tulit bonum, id simul stabile & nunquam adimendum tulit, nulli mutationis infirmitati obnoxius.

QVINTO ET QVADRAGESIMO capite in eam venit quæstionem, Quomodo illi duo, qui primi in vtroque [rationalis creaturæ] genere conditi fuêre, diabolus & Adam, statim à creatione ceciderunt? Et Adamum quidem omnium sui generis primum esse conditum, nemini dubium. Quod verò & diabolus tanquam dux antesignanus ceciderit, apud Iob, inquit, [legitur] [a] *Hoc est principium creationis Domini, factum, vt illuderetur ab Angelis eius.* Et Propheta: [b] *Quomodo cecidit Lucifer, qui manè oriebatur?* Lucifer enim, cum motu quodam suo propinquior sit cæteris stellis, primus est auroræ nuntius. quod proportione quadam olim in diabolum, respectu spiritalis iustitiæ Solis conuenisse, obscurius Scriptura indicat. Sed quod iam agitur: Etsi, inquit, minimè iucundum creaturæ vtriusque, tam intelligibilis, quàm quæ sensuum particeps est, primogenitos in interitum ruisse: posteris tamen omnibus illorum lapsus in communiter vtile exemplar proponitur, præconis more exclamans, magnum vt incolumitatis suæ curam gerant, ne aut cum istis in eadem incidant mala, aut talium certè rerum amore teneantur, per quas in perniciem aliquis ruat: Sed omni modo, omníque vi inobedientiam, quódque per illam committitur peccatum execrentur: quando ipsa quoque creationis veluti fundamenta ac bases, dum quantum oportuerat sibi non attendunt, tam turpiter lapsæ sunt. Nam & propterea sapiens hominum formator atque curator ad totius posteritatis emendationem statim, & quodammodo ante tempus vtrique pœnam infligit, alterum quidem morte damnando: alteri vero locum permutando, & pro supera beatáque vita, tenebras rependendo ac Tartarum, vtrique vitio quod conueniat, mixto pharmaco. Deum enim aliquem fore se Adam arbitratus, apertósque gestaturum oculos, & boni insuper ac mali cognitione ditandum: mortalis [subito] & variis passionibus obnoxius esse demonstratus est, occœcatam fermè ac varia ignorantia plenam naturam sortitus. Qui vero animo iam thronum in cœlo collocarat, ipsi quoque altissimo similis factus, merito sub terram deiectus Tartareas cauernas subiit. Ita hi per insatiabilem cupiditatem, ab eo in quo erant bonorum temperamento exciderunt: Medici vero sapientis fuit, contrariis opponere contraria medicamenta.

a Iob. 40. 14. secundum LXX.
b Esa. 14. 12.

τουτέστι* τῇ πρὸς τὸ ἄτρεπτον* διαμελείᾳ τοῦ πνεύματος. ἐπειδὴ γὰρ μείζονα τὸν Ἰωάννην ἐν γεννητοῖς γυναικῶν, ἐν τοῖς τοῦ πνεύματος ἀληθεία χαρίσμασιν ὁ κοινὸς δημιουργὸς καὶ δεσπότης ἔφησε, δεικνὺς τὸ διάφορον τῆς μελλούσης πρὸς τὴν παροῦσαν ζωὴν καταστάσεως: φησὶν, ὡς εἰ καὶ νῦν τοῖς πνευματικοῖς χαρίσμασι μείζων ἐστὶν ὁ πρόδρομος· ἀλλ' οὖν τοσαύτη τις ἔσται κατὰ τὸ μέλλον ἡ τῶν παρόντων μεταβολὴ πρὸς τὸ ἄμεινον, καὶ ἡ δαψιλεία τοῦ πνεύματος, ὡς καὶ τὸν ἐκεῖσε μικρότερον, τῶν ἐνταῦθα τὸ μεῖζον ἐχόντων μεγαλοπρεπεστέρας τυχεῖν δωρεᾶς. καὶ γὰρ ὁ μὲν ἐνταῦθα κἂν τὸ μεῖζον εἶχεν, οὐκ εἶχε τὸ ἄτρεπτον: ὁ δὲ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μικρότερος, ὅστις ποτ' ἂν ᾖ, ὅπερ ἂν εἴληφεν ἀγαθὸν, ἀναφαίρετον συνεπιφέρεται, μηδαμῶς ἀρρωστίᾳ τροπῆς* ὑποκείμενος.

Ἐν δὲ τῷ με' κεφαλαίῳ εἰς ἐξέτασιν ἄγει, πῶς οἱ δύο ἐν ἑκατέρῳ γένει πρωτόπλαστοι, ὅ, τε διάβολος καὶ ὁ Ἀδὰμ, εὐθέως κτισθέντες ἐξέπεσον; ἀλλ' ὅτι μὲν ὁ Ἀδὰμ τῶν ἐν τῷ αὐτοῦ εἴδει πρωτόπλαστος, δῆλον. ὅτι δὲ καὶ ὁ διάβολος· ἐν τῷ Ἰὼβ φησὶν, ὥσπερ ὁ στρατηγὸς προστοστάτης πεπτωκὼς, τοῦτό ἐστιν ἀρχὴ κυρίου πλάσματος πεποιημένον εἰς τὸ ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ. καὶ ὁ προφήτης· πῶς ἔπεσεν ὁ ἑωσφόρος, ὁ πρωῒ ἀνατέλλων; ὁ γὰρ ἑωσφόρος, ἅτε δὴ πλησιάζων κατά τινα πορείαν μᾶλλον τῶν ἄλλων ἀστέρων, πρῶτός ἐστιν ἡλίου κῆρυξ. ὃ ἀναλόγως ἔχειν πρὸς τὸν διάβολον, αἰνιττόμενον τὸ λόγιον, πρὸς τὸν νοητὸν τῆς δικαιοσύνης ἥλιόν φησιν. ἀλλ' ὅπερ προκεῖται, εἰ καὶ λυπηρόν φησι τὸ ἑκατέρας κτίσεως, τῆς τε νοητῆς καὶ τῆς μετεχούσης τῶν αἰσθήσεων, τοὺς πρωτοτόκους εἰς ὄλεθρον ἐκπεσεῖν· ἀλλ' οὖν τοῖς ἑξῆς ἅπασι τὸ ἐκείνων πτῶμα κοινωφελὲς παράδειγμα πρόκειται, κῆρυξ δίκην ἀναφωνοῦν, πολλῆς ἀσφαλείας ἔχειν πρόνοιαν, μὴ τοῖς αὐτοῖς περιπεσεῖν, μηδὲ στέργειν, δι' ὧν ἄν τις ὀλισθήσειεν: ἀλλὰ παντὶ τρόπῳ καὶ πάσῃ δυνάμει τὴν παρακοὴν καὶ τὴν δι' αὐτῆς ἁμαρτίαν βδελύττεσθαι. εἴ γε καὶ αὐτὰ τῆς δημιουργίας τὰ οἱονεὶ βάθρα καὶ θεμέλια, μὴ τῆς δεούσης ἑαυτοὺς ἀξιώσαντες* προσοχῆς ἐπὶ τοσοῦτο ὠλίσθησαν. διὰ τοῦτο γὰρ καὶ ὁ σοφὸς ἡμῶν πλάστης καὶ προνοητὴς, πρὸς σωφρονισμὸν τῶν μετὰ ταῦτα πάντων παραυτίκα, καὶ πρὸ καιροῦ τρόπον τινὰ, ἑκατέρῳ προσάγει τὴν κόλασιν: τὸν μὲν τῷ θνητῷ καταδικάσας· τῷ δὲ τὴν χώραν ἀμείψας, καὶ ἀντὶ τῆς ἄνω καὶ μακαρίας διαγωγῆς τὸ σκότος ἀντιδοὺς καὶ τὸν τάρταρον, ἑκατέρῳ πάθει κατάλληλον κεράσας τὸ φάρμακον. ὁ μὲν γὰρ Ἀδὰμ θεὸς ἔσεσθαι νομίσας, καὶ τοὺς ὀφθαλμοὺς φέρειν ἀνεῳγμένους, καὶ γνώσει πλουτίσαι τοῦ καλοῦ τε καὶ τοῦ πονηροῦ· θνητός τε ἐδείχθη καὶ πολυπαθὴς, καὶ μικροῦ τυφλώττουσαν καὶ παντοδαπῆς ἀγνοίας μεστὴν φύσιν ἠνέγκατο: ὁ δὲ τὸν θρόνον εἰς οὐρανὸν τῇ φαντασίᾳ τιθεὶς, καὶ ὅμοιος τῷ ὑψίστῳ γενόμενος, ὑπὸ γῆν τε δικαίως ἐρρίφη, καὶ τοὺς ταρταρίους ὑπέδυ μυχούς. καὶ γέγονεν αὐτοῖς ἡ ἀπληστία, καὶ τῆς ἐν αἷς ὑπῆρχον συμμετρίας ἀποπτώσεως. ἰατρικῆς δὲ σοφίας καὶ τὸ προσφέρειν τοῖς ἐναντίοις τὰ ἐναντία ἰάματα.

* al. τῇ.
* al. δαψιλείᾳ.
* al. ὑποκείμενον.
* al. προσοχῆς.

ἀλλ'

ἀλλ' ἐν τούτοις μὲν τῷ ἱερομαθεῖ τε καὶ φιλοθεάμονι τὸ πέμπτον καὶ τεσσαρακοστὸν τὸ πέρας ἀποφέρεται κεφάλαιον.

Verùm in his sacrarum ille rerum peritus, & contemplationis amans scriptor quintum & quadragesimum caput absoluit. IOBIVS.

ΘΕΟΔΩΡΟΥ ΕΠΙΣΚΟΠΟΥ Ταρσοῦ κατὰ εἱμαρμένης.

σκγ΄. Theodorus Episcopus Tarsi contra Fatum.

ΑΝΕΓΝΩΣΘΗ βιβλίον Θεοδώρου ἐπισκόπου Ταρσοῦ, κατὰ εἱμαρμένης ἐν λόγοις μὲν η΄, κεφαλαίοις δὲ ἑνὶ καὶ πεντήκοντα. ἔστι μὲν οὖν ἐν τούτοις εὐσεβῶν ὁ ἀνὴρ, καὶ οὐδὲ περὶ τὴν δόξαν τοῦ υἱοῦ τοῦ θεοῦ, ἣν ἡ τοῦ Νεστορίου λύσσα διασπαράττει σφαλλόμενος. τοῖς δὲ ἐπιχειρήμασιν, ἔστι μὲν οἷς ὀρθῶς τε καὶ εὐφυῶς ἐπιβάλλει, διελέγχων τοὺς τὴν εἱμαρμένην δοξάζοντας· ἔστι δὲ ὅπου πρὸς μόνον τὸ φαινόμενον τὸν ἀγῶνα φέρει, καὶ μηδὲ σαφῶς τὸ τῶν ἐναντίων ἐξακριβῶν δόγμα. ὅθεν πολλάκις οὐκ ἐκείνοις, πρὸς οὓς ὁ πόλεμος, ἀλλ' ἑτέροις μᾶλλον δόξειεν ἂν διαμάχεσθαι. πλὴν ὅ γε εὐγνώμων κριτὴς, οὐχ ὑπὲρ ὧν οὐκ εὐστόχως ἐνιαχοῦ φέρεται μεμψάσθω ἄν· ὑπὲρ ὧν δὲ σπουδάζει τῆς εἱμαρμένης πλάνην κατενεγκεῖν καὶ οἷς οὐκ ἐν ὀλίγοις κατ' αὐτῆς εὐδοκιμεῖ, τὸν ἄνδρα τιμῆς καὶ χάριτος ἄξιον ὁμολογεῖν, ἐστὶ δίκαιον. ἐν μὲν τοί γε τῷ α΄ καὶ ν΄ κεφαλαίῳ, ἅμα τε τὴν τῆς εἱμαρμένης καθαιρεῖν δόξαν, καὶ τὴν Βαρδισάνου συνεπιρραπίζει. αὕτη δὲ ἡμιμανής τίς ἐστι καὶ ἡμίτομος· τὴν μὲν γὰρ ψυχὴν εἱμαρμένης τε καὶ τῆς λεγομένης γενεθλιαλογίας ἐλευθέραν ἀπολύει, συντηρῶν αὐτῇ τὸ αὐτεξούσιον. ὑποτάττει δὲ τῇ ταύτης διοικήσει τὸ σῶμα καὶ τὰ περὶ τὸ σῶμα· πλοῦτον δέ φημι, καὶ πενίαν, καὶ νόσον, καὶ ζωὴν, καὶ θάνατον, καὶ ὅσα οὐκ ἐφ' ἡμῖν· καὶ ταῦτα πάντα τῆς εἱμαρμένης ἔργα δογματίζει. ὃν ὁ φιλομαθὴς καὶ σπουδαῖος Διόδωρος σαφῶς τε καὶ γενναίως διελέγξαι, λόγῳ μὲν ἡμίτομον τὴν τῆς εἱμαρμένης πλάνην κηρύττειν, ἔργῳ δὲ συγκροτεῖν τὴν ὅλην· εἴπερ καὶ τὰ πλεῖστα τῶν σωματικῶν παθῶν τε καὶ ἔργων διὰ τῆς ψυχικῆς ἐνεργείας τε καὶ συνεργίας * καὶ διὰ τῆς συμπαθείας εἴωθεν ἐπισυμβαίνειν καὶ ἀποτελεῖσθαι.

* al. καὶ.

Ἐν μὲν οὖν τῷ πρώτῳ λόγῳ ἄλλα τέ τινα περὶ εἱμαρμένης διελθὼν, καὶ ὅθεν ἔσχε τὴν τόλμαν ἡ πλάνη παρρησιάσασθαι, καὶ κατὰ τῆς λεγούσης δόξης * τόδε τὸ πᾶν ἀγέννητον εἶναι διανιστάμενος. (αὕτη γὰρ ἐκ τῆς ὑπολήψεως, τῆς τὸν κόσμον ἀγέννητον ποιούσης, ἐκεῖθεν καὶ τὸ τῆς εἱμαρμένης συγκροτεῖσθαι πλάσμα.) περατοῖ τὸν πρῶτον λόγον· καὶ ἐν τῷ β΄ τοῦ αὐτοῦ μὴ ἀφιστάμενος ἀγωνίσματος. διὸ καὶ ἐν τῷ δεκάτῳ κεφαλαίῳ * γεννητὸν εἶναι τόν τε κόσμον, καὶ τὸν ἐν αὐτῷ ἄνθρωπον ἐπιδεικνὺς· ὧδέ πως εἰσβάλλει πρὸς τὴν ἐπιχείρησιν· Ἐπεί φησι τῶν κατὰ μέρος ἀνθρώπων ἕκαστος φθαρτός ἐστι καὶ * γεννητὸς, δῆλον ὡς καὶ ἡ τούτων φύσις εἰς τὴν ὁμοίαν ἄγεται λύσιν, ἐν μόναις ταῖς ἐξ ἀλλήλων διαδοχαῖς διαμένουσα. τὸ γὰρ ἀγέννητον οὐκ ἐν διαδοχαῖς ἐπινοούμενον ἔχει τὸ ἄφθαρτον, ἀλλὰ καθ' ἑαυτὸ καὶ κατὰ τὴν ἰδίαν ὑπόστασιν. ὅτι δὲ ὁ κόσμος * γεννητὸς; δῆλον ἐξ ὧν καὶ τὰ ἐν αὐτῷ * γεννητὰ, πῦρ καὶ ὕδωρ, καὶ γῆ καὶ ἀήρ· καὶ γὰρ ταῦτα παρὰ μέρος καθ' ἑκάστην καὶ φθείρεται καὶ γίνεται

* al. τόνδε.
* al. γενητόν.
* al. γενητός.
* al. γενητός.
* al. γενητά.

DIODORVS TARSI EPISCOPVS contra Fatum. CCXXIII.

LECTVM est [a] DIODORI *Episcopi Tarsensis opus aduersus Fatum*, libris octo, ac tribus supra quinquaginta capitibus distinctum. Quibus in libris pius quidem est hic scriptor, neque in eam [b] sectam de Dei Filio, quem impia Nestorij rabies dissecuit, aberrando deflectit. Verùm in argumentis, etsi quædam rectè satis at dextere adhibet, dū Fati laudatores oppugnat: aliàs tamē neq; satis clarè, neq; satis accuratè aduersariorū dogma persecutus, ea oppugnare aggreditur, quę speciem dūtaxat dogmatis præ se ferant. inde sæpenumero non cum illis, quibuscum certamen suscepit, sed cum aliis potius quibusdam pugnare cēseatur. Quāquam benè sentiens arbiter, nō ob id quod minus feliciter alicubi hanc rem agat, reprehensum eum velit: cùm ex eo saltem honor illi & gratia meritò debeatur, quod non sine sua in multis laude [noxium] de Fato errorem opprimere moliatur. In primo quidem certè & quinquagesimo capite, simul dum Fati opinionem cōuellit, etiā [c] Bardisanis sententiā refellit: quę ipsa vt è dimidio ab illa resecta, ita semi-insana etiānum remansit. Nam etsi animam quidem à Fato, & à natalitia notatione quæ dicitur, liberam dimittit, arbitrij libertatem illi conseruando: corpus tamē, & quęcunq; ad corpus spectant, Fato gubernāda subiicit. Diuitias, inquā, egestatem, morbum, vitam, mortem, & quæ in nostra non sunt potestate: eáq; omnia Fati esse affecta tradit. Ergo hūc studiosus ille & sciendi cupidus Diodorus clarè ac validè conuincit, verbo quidem mediam dumtaxat erroris partem prædicare, re autem ipsa totum confirmaret quandoquidem plurimæ corporis sue affectiones per animæ operationem, cooperationem, aut etiam naturę consensum, accidere solent ac perfici.

PRIMO igitur libro post alia de Fato relata, tum vnde tam liberè agendi audaciam error sumpserit, aduersus eam insurgit opinionē, quæ vniuersum hoc ortu carere asserit (putat enim ex hac opinione illud quoq; de Fato figmentū cōflari) libróq; huic ita finem imponit, vt ne in altero quidē ab eadem pugna desistat.

QVAMOBREM decimo post hæc capite, tam mundum ipsum, quàm in eo degentē hominem ortum habere demonstrans, hoc ferè modo ad argumentationem aggreditur. Quandoquidem, ait, singulatim hominū singuli corruptioni atque generationi obnoxij sunt, manifestum sanè ipsam quoque horum naturam ad similem redigi dissolutionem, & nonnisi in solis ex se mutuò successionibus perdurare. neque enim quod ortu caret, inde suam habere incorruptibilitatem potest, quod vnum in alterius locum identidem succedere cogitemus: sed quod id per seipsum, atque ex suamet subsistentia, tale sit. Porrò mundum quoque ipsum habere ortum, ex iis est manifestum, quod quæ in ipso sunt, ignis, aqua, terra, aër, ortum habeant. Hæc enim quotidie particulatim & corrumpuntur, & gignuntur.

a Diodorum potius quam Theodorum appellare placuit: cum quod post paulo à Photio sic nominetur, tum quod Suidas Tarsensi huic Episcopo κατὰ ἀστρονόμων καὶ ἀστρολόγων καὶ εἱμαρμένης opus attribuat. Idem tractat argumentum B. Chrysostomus VI. Homiliis de Fato. & Hom. I. in caput I. ad Timot. Euseb. toto libro VI. de prepara. Euangel. Cicero de diuinat. & de Fato. Alexander Aphrodisiensis Fauorinus apud Agel. XIV. cap. I.

b Ob quam male audiuisse supra indicat Photius Cod. CII.

c Habes eum apud Euseb. lib. VI. de prepar. Euang. cap. 8. De ipso porro Bardisane legendus Euseb. lib. IV. hist. cap. 28. B. Hieron. in catalogo cap. 43. Niceph. lib. 4. cap. 7. & lib. 5. cap. 10. B. Augustinus heresi 35. S. Epiphan. heresi 50. Theodoret. lib. I. heret. fabul.

DIODOR. Episc. Tars.

Rursum autem quod terra corruptibilis sit, ex iis perspicuum euadit, quod siue homo, siue alia animalia corrumpantur, in terram conuertantur. Nam quod hæc in illam corrumpantur, argumento vtique est, ex illa ipsa corrupta ortum suum initio accepisse. Adde quod etiamnum animantia pleraque ex hac versa atque corrupta gignantur, & fiant. Quod autem conuertitur, etiam si forte minus fuerit manifesta eius corruptio, quomodo id ortu carere possit? quoniam omnis mutatio eius quod antea sua natura exsistebat, vel maxime in causa esse solet, cur id ortu non careat. Iam si ortus omnis expers fuisset hominis natura, quomodo eam aut Genesis aut Fatum dispensaret? Nam quod ortu caret, alterius nequaquam indiget, vt subsistat.

Si quis autem ipsa rerum euidentia coactus, forsitan fateatur, orta quidem esse cum terrestria, tum aquatica & aërea: sed illam tamen Genesim, per quam hæc perficiantur, cursu suo continuam quandam, & ortus expertem corruptionem efficere, illáque, quæ iam diximus, omnia perpetuò & sine ortu operari: hic suamet ipsius sententia redarguitur. Non enim fieri potest, vt hæc eadem & orta, & non sempiterna sint, & tamen sempiternam admittant dispensationem. Nam ea quidem quæ exsistunt tueri quispiam ac dispensare potest: quæ verò non existunt, primum facit, ac tum demum gubernat atque dispensat: non autem prius, quæ non sunt, dispensat atque gubernat, ac deinde eadem creat.

Ortum autem habere etiam elementa, vel ex eo docet, quod mutuo hæc quotidie subsidio egere videamus. quoniã quod ortu caret, idem quoque immutabile est, & nullius indigens. Porro indigent mutuo elementa, non solum vt ipsa seruentur, verùm etiam vt animantia, quæ in ipsis degunt, conseruent. Mundum adhæc totum habere ortum apparet ex eo, quod hunc coagmentationem quandam esse percipimus, è cœlo, terra, eorúmque quæ in horum medio sunt constantem. Et vero si, vt oculus vel caput in reliquo corpore, sic & cœlum inter mundi partes dignissimum: omnino, quemadmodum caput & oculus, etsi dignissima præ cæteris membra, iisdem cum reliquo corpore permotionibus subiiciuntur, sic etiam cœlum (quod iisdem motibus cum terra, aqua, aëre, & omnibus quæ in eo sunt corruptibilibus obnoxium est) communem nequaquam effugit corruptionem: Etenim quomodo, quæ à Genesis dispensatione pendent, ortu careant, vel quomodo, quæ ad exsistendum aliorum non indiguerint, iam alienæ, & quidem non bonæ dispensationis cœperunt indigere? Quid vero ex hac dispensatione emolumenti capient, si iam antea ortu carebant? Omnis quippe naturæ ortu carentis mutatio, corruptio est, atque amissio illius exsistentiæ, quæ principio carebat. Quomodo item posuit ea, quæ ortu carent à Genesis dispensatione pendere, non vt eis [a] donetur illa ortus expers natura, sed vt conseruetur [dumtaxat.]

a [illegible] lege pro [illegible].

Si quis vero dixerit eorum mutationem ortu carere, etiam hoc infert, quod minime omnium fieri potest. Mutatio enim eiusmodi quædam affectio est, quæ principium habet, & nullus vnquam dixerit mutationem esse sine principio. Quin imò, vt breuiter dicam, & elementorum, & quæ ipsis fiunt cum animantium, tum corporum sapientissima mutatio, figurarum adhæc atque colorum, & reliquarum qualitatum varia differentia, tantum non clamat, ne aut ortu carere mundum, aut naturæ sponte exsistere atque sine prouidentia esse putemus

ὅτι δὲ πάλιν ἡ γῆ φθαρτὴ, δῆλον ἐξ ὧν εἰς γῆν καὶ ὁ ἄνθρωπος, καὶ τὰ ἄλλα τῶν ζώων φθειρόμενα μεταβάλλεται· τὸ γὰρ εἰς ταύτην φθείρεσθαι, ἀπόδειξίς ἐστι τὸ ἐκ ταύτης φθαρείσης κατ' ἀρχὰς ταῦτα γενέσθαι. πλὴν καὶ νῦν ἔτι τὰ πολλὰ τῶν ζώων ταύτης τρεπομένης καὶ φθειρομένης γίνεταί τε καὶ συνίσταται. τὸ δὲ τρεπόμενον εἰ καὶ μὴ πρόδηλον εἶχε τὴν φθορὰν, πῶς ἂν εἴη * ἀγέννητον. τροπὴ γὰρ πᾶσα τῆς κατὰ φύσιν προϋπάρχοντος, καὶ μάλιστα τῆς * ἀγεννησίας καθέστηκεν ἔκπτωσις. εἰ δὲ ἦν ἀγέννητος ὁ ἄνθρωπος, πῶς ὑπὸ τῆς γενέσεως ἢ τῆς εἱμαρμένης διοικεῖτ' ἄν; τὸ γὰρ * ἀγέννητον οὐ δεῖται τινος ἀλλοτρίου πρὸς τὴν ἰδίαν σύστασιν. εἰ δέ τις ἀπὸ τῆς τῶν πραγμάτων ἐναργείας βιαζόμενος, ὁμολογεῖ γεννητὰ μὲν εἶναι τὰ ἐπὶ γῆς καὶ θαλάττης, καὶ τὰ ἐν ἀέρι: τὴν δὲ ταῦτα ἀποτελοῦσαν γένεσιν τρέχουσαν, διηνεκῆ φθορὰν καὶ ἀγέννητον ἐνεργεῖν, καὶ ἐργάζεσθαι τὰ προειρημένα πάντα ἀιδίως καὶ ἀγέννητα: αὐτόθεν ἔχει τὸν ἔλεγχον. οὐ γὰρ οἷόν τε αὐτὰ μὲν εἶναι γεννητὰ καὶ οὐκ ἀΐδια: ἀΐδιον δὲ αὐτῶν τὴν διοίκησιν. τὰ γὰρ ὄντα τις συγκρατεῖ καὶ διοικεῖ: τὰ δὲ οὐκ ὄντα, πρότερον ποιεῖ μὲν, εἶτα κυβερνᾷ καὶ διοικεῖ· οὐ μὴν πρὸ τοῦ γενέσθαι διοικεῖ καὶ κυβερνᾷ τὰ μὴ ὄντα, εἶτα δημιουργεῖ. γεννητὰ δὲ φησι τὰ στοιχεῖα, καὶ ἐξ ὧν ὁρᾶται καθ' ἑκάστην ἀλλήλων δεόμενα· τὸ γὰρ ἀγέννητον καὶ ἄτρεπτον, καὶ ἀνενδεές. δεῖται δὲ τὰ στοιχεῖα ἀλλήλων καὶ εἰς τὸ σώζεσθαι, καὶ εἰς τὸ σώζειν τὰ ἐν αὐτοῖς ζῶα. ὁ δὲ κόσμος ὅλος γεννητός. ἐξ ὧν καὶ σύνθεσις ὁρᾶται, ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ συγκειμένος. εἰ γὰρ καὶ ὥσπερ ὀφθαλμὸς ἢ κεφαλὴ τοῦ λοιποῦ σώματος, οὕτως ὁ οὐρανὸς τῶν κοσμικῶν στοιχείων τὸ τιμιώτατον· ἀλλ' οὖν ὥσπερ κεφαλὴ καὶ ὀφθαλμὸς, κἂν τιμιώτατον, ὁμοιοπαθεῖ τῷ λοιπῷ σώματι· οὕτω καὶ οὐρανὸς γῇ, καὶ ὕδατι, καὶ ἀέρι, καὶ τοῖς ἐν αὐτοῖς φθαρτοῖς ἅπασιν ὁμοιοπαθὴς ὑπάρχων, τὴν κοινὴν φθορὰν οὐ διέφυγεν. ἀλλὰ γὰρ πῶς τὰ διοικούμενα ὑπὸ γενέσεως ἀγέννητα: ἢ πῶς τὰ εἰς τὸ εἶναι ἑτέρων μὴ δεηθέντα εἰς χρείαν ἦλθεν ἀλλοτρίας διοικήσεως καὶ ταύτης οὐκ ἀγαθῆς; τί δὲ ἀπὸ τοῦ διοικεῖσθαι κρεῖττον ἕξει προϋπούσης αὐτοῖς ἀγεννησίας; καί τοι τροπὴ πᾶσα φύσεως ἀγεννήτου, φθορὰ καὶ ἔκστασις οὐσίας ἀνάρχου. καὶ πῶς ἤνεγκε τὰ ἀγέννητα ὑπὸ * γενέσεως διοικεῖσθαι, οὐκ ἐπὶ τὸ σωθῆναι αὐτοῖς τὸ ἀγέννητον, ἀλλ' ἐπὶ τὸ φυλαχθῆναι. εἰ δέ τις * ἀγέννητον λέγοι αὐτῶν τὴν τροπὴν, τὸ πάντων ἀδυνατώτερον εἰσάγει. * τροπὴ γὰρ πάθος ἐστὶν ἀρχόμενον. καὶ οὐκ ἄν τις εἴποι τροπὴν ἄναρχον. καὶ συντόμως εἰπεῖν, τῶν στοιχείων καὶ τῶν ἐξ αὐτῶν ζώων τε καὶ σωμάτων ἡ πάνσοφος τροπὴ, καὶ τῶν σχημάτων καὶ χρωμάτων, καὶ τῶν ἄλλων ποιοτήτων, ἡ ποικίλη διαφορὰ μονονουχὶ φωνὴν ἀφίησι, μήτε ἀγέννητον, μήτε αὐτόματον νομίζειν τὸν κόσμον, μήτ' * αὖ ἀπρονόητον.

* al. ἀγέννητα.
* al. ἀγεννησίας.
* al. ἀγέν. [illegible]
* al. [illegible]
* al. ἀγέννητον
* al. τρ. [illegible]
* al. [illegible]

* θεὸν

DIODORVS Episc. Tars.

* al. θεοῦ παρεχόμενον

*θεὸν δὲ αὐτοῖς καὶ τὸ εἶναι, καὶ τὸ εὖ εἶναι *παρεχόμενον σαφῶς εἰδέναι, καὶ ἀδιστάκτως ἐπίστασθαι. τάχα δὲ γενητὰ μὲν τὰ ἄλλα φήσουσι, μόνην δὲ τὴν τῶν ἄστρων φύσιν καὶ θέσιν ἀγένητον. ἀλλὰ πρῶτον μὲν τίς ἦν ἡ γένεσις πρὶν γενέσθαι ταῦτα; τίς δὲ ὁ τὰ στοιχεῖα δημιουργήσας; ἢ ἕτερος μὲν οὐδεὶς, αὐτὰ δὲ ἑαυτά. τὸ δὲ ἀγένητον, οὔτε τροπὴν αὐθαίρετον ὑπομένει· πᾶσι μὲν γὰρ φίλον τὸ κατὰ φύσιν, μάλιστα δὲ τῇ ἀγενήτῳ φύσει. οὔτε ὑφ' ἑτέρου μὴ βουλόμενον πάθοι· ἀβίαστον γὰρ τὸ κρεῖττον, κρεῖττον δὲ ἀγενήτου οὐσίας οὐδέν. πῶς δ' αὖ τὰ μηδαμῇ μηδαμῶς *γένοιντο δίχα τοῦ ποιοῦντος; πῶς δὲ τὸν θεὸν ταύτην τὴν ἰσχὺν ἀφαιρούμενοι, αὐτοῖς ἑαυτὰ παράγειν ἐκ μὴ ὄντων περιάπτουσι τὸ κράτος. εἰ δὲ καὶ αὐτὰ παραγαγεῖν ἴσχυσεν ἑαυτὰ, διὰ τί μὴ καὶ τὸ διοικεῖσθαι οἴκοθεν παρέχει, ἀλλὰ τῆς ἑτέρου κηδεμονίας ἐδεήθη; τὸ γὰρ γενέσθαι τοῦ διαμένειν γενόμενον πολλῷ δυσχερέστερον. πῶς οὖν ὃ μὲν ἦν δυσχερέστερον εἰς πρᾶξιν ἤνεγκεν. ὃ δὲ ῥᾷον οὐκ ἂν ἔχοι μὴ παρ' ἑτέρου λαβόν, πῶς δὲ καὶ ἡ γένεσις γῆν τε καὶ ἀέρα, καὶ τὰ ἄλλα, ἃ μὴ πεποίηκε διοικεῖ; ἔργον γὰρ τοῦ πεποιηκότος καὶ τὸ διοικεῖν, ὅτι καὶ μόνος τῶν ἑαυτοῦ δημιουργημάτων τὴν φύσιν οἶδε, καὶ ὅπως μὲν κρατοῖτο. πόθεν δὲ συγχέοιτο καὶ διαφθείροιτο. εἰ δὲ τολμήσαιεν καὶ τῶν στοιχείων τὴν δημιουργίαν ἀνάπτειν τῇ εἱμαρμένῃ· λεγέτωσαν ἡμῖν, ποῖος μὲν ἀστὴρ εἰς τόδε τὸ ζώδιον εἰσελθὼν, ἀπετέλεσε τὴν γῆν; ποῖος δὲ τὸν ἀέρα, ἢ τὸ πῦρ, ἢ τὸ ὕδωρ; ἀλλ' οὐκ ἂν ἔχοιεν λέγειν, εἰ καὶ πλέον ληρεῖν μελετήσωσιν. ἄλλως τε δὲ [εἰ] οὐχ ἅπαξ ποιεῖ ὃ ποιεῖ ἡ γένεσις· πολλάκις δὲ αὐτὰ κατά τινας *χρόνων περιόδους· δεικνύτωσαν ἡμῖν πολλάκις μὲν γεγενημένας πολλὰς ὁλότητας γαιῶν, πολλὰς δὲ ὑδάτων, πολλὰς δὲ θαλασσῶν, ἐξ ὧν καὶ κόσμους ἀπείρους συστήσουσιν. ἀλλὰ μὴν ἀδύνατον τοῦτο· ἀδύνατον ἄρα καὶ τὸ ἅπαξ τὴν γένεσιν ἕν τι τῶν στοιχείων παραγαγεῖν. εἰ δὲ ἐκ μανίας εἰς μανίαν μεταπίπτοντες, ὑπὸ θεοῦ μὲν δημιουργηθῆναι φαῖεν τὰ στοιχεῖα, ὑπὸ δὲ τῆς γενέσεως ἀγενήτου καὶ αὐτῆς ὥσπερ τὸ θεῖον οὔσης διοικεῖσθαι· ἐκδηλότερον αὐτῶν τὴν ἄνοιαν στηλιτεύουσι. διὰ τί γὰρ τὸ θεῖον ἀτάκτῳ γενέσει τὸ οἰκεῖον ὑπέβαλε δημιούργημα; ἆρ' ὡς αὐτὸς οὐκ ἔχων τὴν τοῦ προνοεῖν σοφίαν; καὶ τίς ἂν ἐνέγκοι τὸ δύσφημον, τίς δὲ τὸ ἀνόητον; δημιουργίας μὲν κράτος ἔχειν, προνοίας δὲ μηδ' ὅσον ἡ ἄτακτος ἥρπασε γένεσις. καὶ μυρίος ἄλλος ἑσμὸς ἀτοπημάτων ἕπεται. εἰ δ' ὥσπερ ἀγαθότητι ἐποίησεν ὁ θεὸς, οὕτω καὶ προνοεῖ· περιττὴ καὶ ματαία ἡ ἐπίνοια τῆς εἱμαρμένης ἤτοι τῆς γενέσεως. πῶς δὲ ἀγένητος ὁ οὐρανὸς, τοῦ συνθέτου κόσμου μέρος ὑπάρχων καὶ περιοχή; τὸ γὰρ *ἀγένητον, οὔτε περιοχή τις, οὔτε τόπος ἑτέρων ἂν εἴη· καθαρεύει δὲ τῶν τοιούτων τε καὶ παθῶν ἁπάντων. ἀλλὰ καὶ ἐξ αὐτῆς αὐτῶν τῆς πλαττομένης ὑποθέσεως δῆλον, ὡς οὔτε ὁ οὐρανὸς, οὔτε οἱ ἀστέρες ἀγένητοι. καὶ γὰρ τοὺς μὲν αὐτῶν ἀγαθοποιοὺς, τοὺς δὲ κακοποιοὺς λέγουσι·

* al. γένοιτο

* al. χρόνων

* al. ἀγένητον

sed illud clarè sciamus, & indubitate teneamus, Deum hisce omnibus & esse, & bene esse largiri. Verùm illud forsitan dicent, Cætera quidē ortum habere omnia, sed solam stellarum siue naturam, siue positionē ortu carere. At primo, Cuiusnam sit Genesis illa, priusquam aliquid factum esset? Quis verò elementa creasset? an alius nemo, sed hæc ipsa? Verùm quod ortu careat, nunquam sponte sua mutationem vllā subeat. Nam cum omnibus illud gratum esse solet, quod secūdum eius naturam est, tum illi maximè naturæ, quæ ortu careat. Neque verò hæc, si nolit, ab alio quopiam pati res vlla possit. quoniā quod validius est, vi nulla [minore] cogi queat, & sanè nihil illa natura validius, quæ ortum nullum habet. Quomodo item, quæ nullo prorsus modo sunt, sine opifice fieri possint? aut quomodo Deo hanc vim auferentes, sibi vindicare facultatem eam possunt, vt seipsa producant, quæ antea non exsistebant? Si vero semetipsa producere potuerūt, quin item à seipsis dispensandi sui facultatem acceperūt, sed aliena cura opus habuerunt? Multo enim factu difficilius est, primum aliquid fieri, quam postquam factum fuerit permanere. Quomodo igitur quod erat difficilius [à sese habuerunt,] quod autem facilius, non haberent, nisi ab alio accepissent? Et quomodo Genesis terram, aërem, & alia quæ non fecit, dispensat? Conditoris enim munus est etiam dispensatio, cùm non solùm omnium quæ ab ipso condita sunt naturam norit, verum etiam qua potissimum ratione conseruari, & vnde rursus confundi queant, atque corrumpi. Si qui porrò audeant, elementorum quoque creationem Fato tribuere, dicant velim nobis, qualenam astrum, ad suum in Zodiacum circulum ingressum, terram perfecerit? Quale etiam aërem, vel ignem, vel aquam? Verùm id nunquam dixerint, etiā si maximè amplius nugari velint. Præterea si, quod facit Genesis, non semel facit, sed eadem sæpius post temporum aliquot curricula repetit, ostendant nobis sæpius esse factas multas integras terras, multas integras aquas, multa integra maria, vnde etiam mundos infinitos constituant. Ac quemadmodum hoc fieri non potest, ita nec illud, vt vel semel Genesis vnum aliquod elementum produxerit. Iam si de insania in insaniam delabentes, à Deo quidem creata esse dixerint elementa, verum hæc ab ea Genesi dispensari, quæ æquè ac Deus ipse ortus expers sit, multò etiam manifestius amentiam suam produnt: Quorsum enim Deus ordinem nullum seruanti Genesi creatum à se opus subiiciat? An quod eam ipse sapientiam non habeat, qua illi prouideat? At quis hanc tulerit blasphemiam? quis amentiam? creandi quidem potentiam habere Deum, prouidentiæ non habere tantum, quantum inordinata illa Genesis sibi rapuerit? Quin & infinitum præter hæc absurdorum examen consequitur. Verum si, quemadmodum bonitate sua [creaturas] fecit Deus, sic & prouidet: superuacaneum certe ac stultum est hoc de Fato siue Genesi commentum. Quomodo item sine ortu cœlum esse possit, quandoquidem compositi mundi, quem vndique cingit, pars est? at quod ortum nullum habet, id neque cingere quidquam neque aliorum locus esse possit, sed cum ab his, tum ab aliis affectionibus omnibus liberum est. Quin vel ex ipsa eorum quam confingunt hypothesi, satis apparet, omnino neque cœlum, neque stellas ortu carere. Etenim quasdam earum esse beneficas volunt, quasdam rursus maleficas faciunt,

THEODOR. Episc. Tars.

domósque aliis alias attribuunt, in quibus dum versentur, aliæ vel maligniores fiant, vel certè ex benignis malignæ euadant, aliæ contra vel ad beneficentiam (malæ cum sint) delabantur, vel benigniores quàm antea reddantur. Quomodo ergo de his vel mente concipi possit, perturbationis ea esse expertia, aut simplicia, aut incomposita, aut sine ortu, aliáque prope infinita: Vbi demum secundus liber absoluitur, vnáque [a] decem illa capita, quæ à decimo initio ducto in vicesimum vsque pertingunt.

a ἕνδεκα legendum, vt calculus quadret: nisi libro insequenti vicesimum caput Photius omiserit.

TERTIO deinde libro conatur quidem vicesimo primo, secundo, tertio, & quarto capitibus reprehendere eos, qui cœlum esse globosum statuunt, sed eiusmodi nequaquam argumentis adhibitis, quæ redarguendi vim habeant. Globosam verò formam cœlo concedere propterea recusat, quod Fatum ex tali positione induci putet: quamquam nulla id demonstratio extorquet. Non enim, si cœlum globosum sit, mox etiam Fatum necessariò ponitur. Porrò vicesimum quintum & sextum caput pias continet rationes, sed quæ ad reprehensionem subiectæ hypothesis robur non adeò magnum præferant. Septimo dehinc & vicesimo de cœlo, déque eius stellis, opinionibus (quas Astrologorum esse ait) allatis, & non satis ipsas sincerè adducit, & quæ contra easdem profert argumenta, ea neque demonstrandi vim habere, neq; saltem veris similia proponere videntur. Iam vicesimum octauum caput aduersus easdem opiniones insurgens, per similem quidem demonstrandi rationem delabitur, sed non ita etiam illud à verisimili aberrat.

Proximo autem refert [Astrologos] terram vniuersam in duodecim æquas partes pro pari signorum cœlestium numero partientes, singulas terræ sectiones, vnà cum earum incolis, ita definitè cuique signo attribuere, vt terræ partibus subiectis singula Zodiaci signa incumbant, atque instar nebulæ supra definitam terræ partem deuehantur. At cùm etiam ex illorum sententia, perpetuo cœlum motu feratur vnáque cum ipso & duodecim signa circumagantur: fieri nullo modo posse [docet] vt eandem illa terræ sectionem perpetuò obtineant; sed pertransibit, ait, iuxta cœli progressum omnes terræ sectiones signũ quodlibet, dum aliàs ad ortum, aliàs ad occasum Solis, aliásque ad meridiem vnà cum cœlesti motu circumagitur, & nunquam in vna aliqua sectione fixum manet. Vnde fit, vt singula signa non minus illam sibi definitam terræ sectionem regant, quàm alienam. Adde, si secundùm eorum opinionem terra centri ac puncti rationem habet ad cœlum, & quodlibet Zodiacum signum cum latitudine, tum longitudine multis partibus est, quàm illa, maius: qui fieri omnino potest, vt quælibet duodenarum illarum terræ partium signorum cuilibet ex æquo respondeat, atque coextendatur, ac propterea etiam affinitatem illam cum eo habeat: præsertim cùm neque terra vniuersa sit habitabilis, sed pro maxima parte, præ nimio partim calore, partim frigore, habitari ab hominibus nequeat, ab ceteris item terræ partibus iam inde à principio penitus distincta. Quod si non ratione situs singulis terræ sectionibus signa imperare dixerint, neque ratione corporeæ magnitudinis, quasi terræ nimirum habeant amplitudinem,

καὶ οἴκοις ἄλλοις ἀφορίζουσιν· ἐν οἷς γινόμενοι ἄλλοι μὲν κακοῦνται ἢ πλέον, ἢ καὶ ἐξ ἀγαθότητος ἐκπίπτεις εἰς κάκωσιν· οἱ δὲ τοὐναντίον ἢ πρὸς ἀγαθότητα (κακοὶ ὄντες) μετεβλήθησαν· ἢ πλέον τῆς προτέρας ἠγαθύνθησαν ἀγαθότητος. καὶ πῶς αὖ ἐν τούτοις νοηθῇ ἢ τὸ ἀπαθὲς, ἢ τὸ ἁπλοῦν, ἢ τὸ ἀσύνθετον, ἢ τὸ [*] ἀγένητον, καὶ μυρία ἄλλα. ἐν οἷς καὶ ὁ δεύτερος αὐτῷ συναπαρτίζεται λόγος. καὶ τὰ δέκα κεφάλαια, τελευτήσαντα μὲν εἰς τὸ κ΄, ἀρχὴν δὲ τὸ ι΄ ποιησάμενα.

* ἀγένητον.

Ἐν δὲ τῷ τρίτῳ πειρᾶται μὲν διά τε τοῦ κα΄ κεφαλαίου καὶ τοῦ κβ΄, καὶ μὴν καὶ τοῦ τρίτου καὶ εἰκοστοῦ καὶ κ΄ καὶ δ΄ ἐλέγχειν τοὺς τὸν οὐρανὸν σφαιρικὸν ὑποτιθεμένους, οὐ μέντοι γε διὰ τῶν ἰσχὺν ἐχόντων οἱ ἔλεγχοι προΐασι. τὸ σφαιρικὸν δὲ οὐ βούλεται συγχωρεῖν τῷ οὐρανῷ· διότι νομίζει τὴν εἱμαρμένην ἐκ τῆς τοιαύτης εἰσάγεσθαι θέσεως· καίτοι οὐδεμία τοῦτο ἀπόδειξις ἐκβιάζεται. οὐ γὰρ, εἴγε σφαιρικὸς ὁ οὐρανὸς, καὶ τὸ τῆς εἱμαρμένης ἐξ ἀνάγκης συνίσταται. τὸ δὲ κε΄ καὶ ς΄ κεφάλαιον εὐσεβεῖς μὲν προβάλλεται λόγους, πρὸς ἔλεγχον δὲ τῆς προκειμένης ὑποθέσεως τὴν ἰσχὺν οὐ λίαν ἐπιδεικνυμένους. ἐν δὲ τῷ κζ΄, δόξας προθέμενος περί τε οὐρανοῦ καὶ τῶν ἐν αὐτῷ ἀστέρων, ἃς λέγει τῶν ἀστρολογούντων εἶναι, οὔτε ταύτας ἀκιβδήλως προάγει. καὶ τὰς κατ' [*] αὐτῶν ἐπιχειρήσεις οὔτε ἀποδεικτικὰς, ἀλλ' οὐδὲ διὰ τοῦ πιθανοῦ δείκνυσι προϊούσας. τὸ δὲ κη΄ πρὸς τὰς αὐτὰς ἐνιστάμενον δόξας, δι' ἴσου μὲν τῶν ἀποδείξεων διαπίπτει, οὐ μέντοι γε καὶ τοῦ πιθανοῦ διαμαρτάνει. ἐν δὲ τῷ κθ΄ φησὶ, πῶς τὴν ὅλην γῆν εἰς ἴσα μέρη τοῖς δώδεκα καταμερίζοντες ζωδίοις, τὰ μὲν τμήματα τῆς γῆς, καὶ τοὺς ἐν αὐτοῖς δῆλον οἰκοῦντας, εἰς ἕκαστον ἀφωρισμένως ἀναφέρουσι τῶν ζωδίων· καὶ ὑποκεῖσθαι μὲν τὰ τῆς γῆς μέρη, ἐπικεῖσθαι δὲ τῶν ζωδίων ἕκαστον δίκην νεφέλης τῇ ἀφωρισμένῃ μοίρᾳ, τῆς γῆς ἐποχούμενον. ἐν κινήσει γὰρ κατ' αὐτοὺς διηνεκεῖ τοῦ οὐρανίου πόλου φερομένου, καὶ συμπεριαγομένων αὐτῷ τῶν ιβ΄ ζωδίων, ἀδύνατον τὸ αὐτὸ τῆς γῆς διὰ παντὸς ἐπέχειν τμῆμα· ἀλλὰ παραλλάξει μὲν κατὰ τὴν πορείαν τοῦ πόλου ἕκαστον ζώδιον, πάντα τὰ τμήματα τῆς γῆς, ἄλλοτε μὲν ἐπ' ἀνατολῆς, ἄλλοτε δὲ ἐπὶ δύσιν, ἄλλοτε δὲ ἐπὶ μεσημβρίαν τῇ οὐρανίᾳ κινήσει συμπεριδινούμενον, καὶ οὐκ ἐφ' ἑνί τινι στηριζόμενον. ἐξ οὗ συμβαίνει τῶν ζωδίων ἕκαστον, οὐδὲν ἧττον τὸ ἀφωρισμένον τῆς γῆς ἐπέχειν τμῆμα ἢ τὸ ἀλλότριον. ἄλλως τε δὲ εἰ κατ' αὐτοὺς ἡ γῆ κέντρου καὶ σημείου λόγον ἐπέχει πρὸς τὸν οὐρανὸν, καὶ τῶν ζωδίων ἓν ὁποῖον οὖν τῷ τε πλάτει καὶ μήκει πολλαπλάσιόν ἐστιν αὐτῆς: πῶς οἷόν τε ἐστιν, ἕκαστον τῶν δωδεκατημορίων τῆς γῆς ἑκάστῳ τῶν ζωδίων ἰσομοιρεῖν τε καὶ συμπαρατείνεσθαι, καὶ διὰ τοῦτο τὴν οἰκείωσιν ἔχειν πρὸς αὐτό: καὶ ταῦτα οὐδ' αὐτῆς ὅλης οἰκουμένης τῆς γῆς, κατὰ δὲ τὸ πλεῖστον, τὸ μὲν διὰ καύματος, τὸ δὲ διὰ ψύχους ὑπερβολὴν ἀνθρώποις οὔσης ἀοικήτου, καὶ παντελῶς ἀπ' ἀρχῆς ἀφωρισμένης· εἰ δὲ μὴ τοπικῶς τῶν τῆς γῆς τμημάτων τὰ ζώδια κρατεῖν λέγοιεν, μηδὲ σωματικὰ μεγέθη κατὰ τὸ ἔχειν αὐτῆς τὸ πλάτος,

* al. αὐτήν.

ἀλλὰ

ἀλλὰ μηδὲ φυσικῶς χαίρειν ἕκαστον τῶν ζωδίων ἑκάστῳ μέρει τῆς γῆς, περιττῶς πρὸς τὰ σχήματα τῶν ζωδίων, καὶ γῆς τόπους ἀπονέμουσι· ταῖς μὲν τοῦ καρκίνου χηλαῖς ἐξοχάς τινας καὶ ἐκτάσεις ἐκτὸς τοῦ ὅλου μεγέθους· τοῖς δὲ τοῦ ταύρου κέρασι, καὶ τοῖς ποσὶν, ἑτέρους τῷ τῆς φύσεως σχήματι παραπλησίους. ἔτι δὲ [εἰ] χαίρει τῶν ζωδίων ἕκαστον φυσικῶς ἑκάστῳ μέρει τῆς γῆς, καὶ βλάπτει μὲν αὐτῆς τὰ μέρη καὶ ἀφανίζει ἢ σεισμοῖς, ἢ πολέμοις, ἢ πυρπολήσεσιν, ἢ ἀφορίαις κακοποιοῦ φανέντος [τοῦ] ἀστέρος, ὠφελεῖ δὲ τὰ μέγιστα, τῶν ἀγαθοποιῶν τινος εἰς αὐτὸ ἐρχομένου, γηπονίαις, οἰκοδομαῖς, εὐφορίαις: πῶς εἰσι τόποι, διὰ κρύους ἢ θάλπους ὑπερβολὴν, διὰ παντὸς πάντων ἔρημοι· καὶ οὔτε ἀγαθοποιὸς αὐτοῖς ἀφεῖλε τὴν ἐρημίαν, παρέσχε δὲ τὴν * ἀκρασίαν· οὔτε τοὺς οἰκησίμους τόπους, κακοποιὸς οὐδεὶς * ἐπεμβαίνων τῶν ζωδίων, εἰς παντελῆ ἐρημίαν καὶ ἀφανισμὸν κατεσκεύασεν; εἰ γὰρ καὶ γένοιντο κατακλυσμοὶ, ἢ χαλάζης ἢ κεραυνῶν βολαὶ, τὰ ἐν αὐτοῖς ἀφανίζοντες· ἀλλ' ἡ συμμετρία πάλιν εἰς τὸ κατὰ φύσιν εὔφορον αὐτοὺς * ἐπανήγαγε, τοὺς δὲ ἐρήμους τόπους οὔπω τις ὠφέλησεν ἀγαθοποιὸς ἀστήρ: ἀλλ' ἡ φύσις κρατεῖ, καὶ ἐν ἐρημίαις καὶ πανταχῆ παρὰ θεοῦ τοῖς οὖσι διαφόρως δοθεῖσα· καὶ οὔτ' ἂν ὑετὸς κατενεχθείη, ὅπου μὴ πέφυκεν, οὔτ' αὖ νιφετῶν ἀπαλλαγείη τὰ διὰ παντὸς φέροντα κρυμοὺς ἀγρίους. εἰ δὲ αὐτὸ τὸ τῶν τόπων φύσεως τὸ ἀμετάβλητον δεῖγμα λαμβάνουσι τοῦ χαίρειν ἕκαστον ζώδιον ἑκάστῳ μέρει γῆς· αἱ ἀπὸ εὐφοριῶν εἰς ἀφορίας μεταβολαὶ, καὶ οἱ σεισμοὶ, τὸ λεγόμενον αὐτοῖς ἀσθενὲς διελέγχουσι. τῶν μὲν γὰρ ἀγαθῶν τόπων πολλάκις ἠφανίσθη τὸ εὔκρατον, τῶν δὲ ἐρήμων οὐδεπώποτε μετεβλήθη τὸ ἄγριον καὶ ἀοίκητον. τῶν μὲν οὖν ἐν τῷ λ' κεφαλαίῳ, ὅσα τὸ ἀκόλουθόν πως κατὰ τοῦ πιθανοῦ εἶχε, ταῦτά ἐστι. τῶν δ' ἄλλων τὰ μὲν τοῖς προλαβοῦσι κεφαλαίοις προείρηται, τὰ δὲ κατὰ τὸ φαινόμενον μᾶλλον καὶ ἐπιπόλαιον διεσκεύασται.

Εν δὲ τῷ λα' διαπορεῖ, τὴν τῶν ἀστρολόγων δόξαν διασείων, καί φησι: διὰ τί γὰρ τὰ ζώδια οἴκους τῶν πλανήτων καλοῦσιν; ἆρ' οὖν ὅτι πέπηγεν ἐν τῷ οὐρανῷ; καὶ πάντες ἄρα οἱ ὁμοίως πεπηγότες οἶκοι ἂν αὐτῶν εἴησαν εἰκότως. ἀλλ' ὅτι τῶν ἀπλανῶν ἕκαστος χαίρει τῷ πλανήτῃ. διὰ τί οὖν μὴ καὶ οἱ πλανῆτες οἶκοι τῶν * ζωδίων; πῶς δὲ μὴ ἀλλήλων οἶκοι πάλιν οἱ ἀγαθοποιοὶ πλανῆτες, καὶ οἱ κακοποιοὶ, καὶ ἔτι τὰ ἀλλήλοις τῶν ζωδίων. εἰ δ' ὅτι τὰ μὲν ζώδια σύγκειται ἐκ πολλῶν, ἕκαστος δὲ τῶν πλανήτων μονοειδὴς, καὶ ἑκάστην σύνθεσιν τῶν ἀπλανῶν οἶκον ὀφείλουσι ποιεῖν τῶν πλανήτων· πολλὰς γὰρ ἄν τις εὕροι συνθέσεις, βουληθεὶς ζητεῖν, καὶ τῶν ἄλλων ἀπλανῶν. εἰ δὲ ὅτι μόνα τὰ ζώδια τοῖς πλανήταις εἰς τὰ ἀποτελέσματα συνεργεῖ· διὰ τί μὴ καὶ οἱ πλανῆτες οἶκοι τῶν ζωδίων συνεργοῦντες αὐτοῖς; εἰ δὲ διότι τὰς τῶν ζωδίων ἐνεργείας καὶ ἀκύρους καὶ ἐνεργεῖς δύνανται ποιεῖν:

*al. λυσιτελεῖ... *al. ἐπεμβαίνων. *al. ἐπανήγαγε. *al. ζωδίων.

THEODOR. Episc. Tars.

sed neque ratione naturæ gaudere singulas signiferi partes singulis terræ partibus, frustra omnino iuxta figuras signorum, etiam terræ loca distribuunt. vt cum cancri chelis siue forcipibus eminentes quasdam atque exporrectas extra totius molem partes attribuunt: & Tauri rursum cornibus ac pedibus alia quædam loca, quæ propius ad naturalem horum figuram accedant.

Adhæc [si] singula signiferi signa singulis terræ sectionibus, ita naturę ratione gaudeant, vt & lædant eius partes ac vitient, vel terræ motibus, vel bellis, vel ignis vastationibus, vel sterilitate, quoties malignum aliquod sidus apparet, & contra iuuent maximè, agricultura, ædificatione, vbertate, dum benignum aliquod sidus ad eas defertur; quomodo adhæc loca quædam reperiuntur, quæ ob nimium siue frigus, siue calorem omnino deserta perpetuò remanent: neque vel beneficum aliquod astrum sublata solitudine temperiem hisce attulit; vel ad habitabiles locos malignum signum ascendens, in meram eos solitudinem ac vastitatem redegit? Etsi enim hic contigerint aliquando eluuiones, vel grandinum aut fulminum ictus, quibus ea quæ in ipsis sunt, perirent: attamen συμμετρία rursus hæc loca ad naturalem vbertatem reduxit: cum illis desertis nunquam aliquod hactenus felix astrum profuerit. Sed natura nimirum obtinet, cum in solitudinibus, tum vbicumque, non eadem illa rebus omnibus à Deo indita, vt neque pluuia ibi decidat vbi per naturam non solet, neque niuibus vnquam illa careant, quæcumque immania pati frigora consueuerunt. Quod si qui forsitan immutabilem hunc in locorum natura ordinem pro indicio atque argumento assumant, quod singula signiferi signa singulis terræ partibus gaudeant: certè fertilitatis in sterilitatem commutationes, terræque ipsius motus imbecillum esse horum argumentum satis arguunt. nam etsi fœlicium locorum temperamentum persæpe perierit, solitudinum tamen inhabitabilis asperitas nunquam immutata est. Hæc igitur illa sunt quæ tricesimo capite ita tractantur, vt consequentiam aliquam & probabilitatem habeant, cætera vero, partim capitibus dicta sunt præcedentibus, partim in speciem duntaxat exteriorem instructa videntur.

At primo & tricesimo capite Astrologorum opinionem labefactans, ita quærit: Cur Zodiaci signa errantium stellarum domos appellant? An quia hæc in cœlo fixa sunt? Ergo quotquot similiter fixa manent astra, ipsorum æque domus fuerint. Non: sed quia non errantium stellarum quælibet gaudet errante. Quin igitur & Planetæ signorum Zodiaci domus appellantur? Quo modo non item domus inuicem sunt benefici prosperique Planetæ, & malefici: immò & quæ sibi mutuò familiaria sunt Zodiaci signa. Si verò propterea, quòd signa è multis componatur stellis, cùm singuli Planetæ vnius generis sint: mox etiam quamlibet fixarum stellarum compositionem Planetarum constituere domum Astrologi coguntur. Multas enim, qui inuestigare velit, etiam aliarum fixarum compositiones reperiat. Sin quod nullæ præter Zodiaci signa vnà cum Planetis effectus fatales operentur: Cur non & Planetæ domus sunt signorum cœlestium, quemadmodum cum illis vna operantur? Sin forte propterea quòd signorum cœlestium operationes possint Planetæ aut irritas, aut efficaces facere,

THEODOR. Episc. Tars.

quomodo non etiam aliorum alij domus sunt, quemadmodum mutuos effectus, vt illi fatentur, & ratos & irritos reddere queunt? Quomodo item sola Signiferi signa Planetis cooperantur? Num superuacaneus est reliquus fixarum cœtus? Quomodo adhæc Planetas aut benignè facere, aut nocere posse asserunt: an propter motum? Nullum igitur è XII. illis Zodiaci signis prosperum erit vel aduersum: sed neque alia vlla non-errans stella. Sin ideò, inquit, quod per illa gradiantur Planetæ, iam multò potius siue zonæ, siue aëris illa loca, per quæ isti gradiuntur, hanc benè aut malè agendi potestatem habebunt. Neque enim hæc Planetarum cœlum, cùm multo sint (vt aiunt) inferiora, contingunt. Quorsum tandem Luna minui atque augeri potest: & cùm cæterorum Planetarum progressus, status fixos, ac retrogressiones adducant, Solem tamen & Lunam ab hoc retrogrado errore liberos sinunt? Et si paruus qui videtur Saturnus, aliis tamen (vt aiunt) maior est Planetis, eò quod per altiorem orbem obambulet; cur maior Luna quàm Sol, qui quarto supra illam orbe decurrit? oportebat enim ipsum multò illa minorem apparere. Quare omnia falsa sunt atque conficta, quæ Astrologorum scriptis adstruuntur. Sic quidem primum & tricesimum caput absoluitur. Alterum verò supra tricesimum nihil ad refutandos aduersarios adfert, quod veri speciem habeat. Sed quàm prius in suis ratiocinationibus apparet hic vir, tam etiam (quod saltem ad erroris refutationem attinet) languidum eundem videas. Iam tertium & tricesimum caput eiusdem est, quoad efficaciam formæ. Quæ enim ibi ad refutandum cœlum esse rotundum adfert, communes esse difficultates queant aduersus eos, qui hemisphæricum illud esse statuunt, vel fornicis in modum cauum, vel similem ei aliquam formam tribuunt. Vbi & tertius liber desinit.

QVARTO dehinc libro, capite verò tricesimo quarto, quinto, & sexto, hæc ferè tractat. E diuersitate, quæ cùm inter habitabilem orbis partem atq; inhabitabilem, tum inter ipsa inuicem climata reperitur, refutare Genesin siue Fatum aggreditur. Quisnam enim astrorũ ille motus est, interrogat, quo fit, vt altera quidem terræ pars ob frigus nimium, altera ob intolerabilem calorẽ habitari omnino nequeat? rursumque alia vel perpetuò liquescens calore, vel assiduis percussa niuibus, & frigoris asperitate velut efferata, nonnisi difficulter incoli possit? Cur non & in his aëris constitutionem immutat perpetua illa Genesis, quæ tot semper in aliis climatibus mutationes producit? Certum igitur illud, neq; Planetarum cursum, neq; signorum cœlestium compositionem sed vnã Solis naturã pro interuallo locorumq; situ eas, quas iam diximus, varietates efficere. Cur item, cũ reliqua vbiq; terra imbribus irrigetur, solam Ægyptum Nilus, dum certis anni temporibus exundat, atque in illam se effundit, fertilem frugibus reddit? Cur adhæc Thebaidos interiorem regionem, quam Oasin nominant, neq; fluuius, neq; imber vllus irrigat, sed fontium dumtaxat fluxus lætificant, qui magno inquilinorum labore exsistunt, non sponte sua, neque imbribus in terram delabentibus,

πῶς οὐχὶ καὶ ἀλλήλων οἶκοί εἰσι τοῖς ἀλλήλων ἀποτελέσμασι, καὶ κύρους καὶ κατάλυσιν ἐπάγειν, ὥς φασιν, ἰσχύοντες; πῶς δὲ μόνα τὰ ζώδια τοῖς πλάνησι συνεργεῖ; ἆρα μάταιός ἐστιν ὁ λοιπὸς τῶν ἀπλανῶν χορός; πῶς δὲ πλάνητας ἀγαθοποιεῖν καὶ κακοποιεῖν ὅλως δύνασθαί φασιν, ἆρα διὰ τὸ κινεῖσθαι; οὐκοῦν τῶν ιβ' ζωδίων οὐδὲν οὔτε ἀγαθοποιήσει, οὔτε κακοποιήσει· ἀλλ' οὐδέ τις ἄλλος τῶν ἀπλανῶν. εἰ δὲ, διότι (φησὶ) δι' αὐτῶν πορεύονται οἱ πλάνητες, πολλῷ μᾶλλον αἱ ζῶναι, καὶ οἱ τοῦ ἀέρος τόποι, δι' ὧν ὁδεύουσι, τοῦ καλοποιεῖν καὶ κακοποιεῖν δύναμιν ἕξουσιν· οὐρανοῦ γὰρ, ἐν ᾧ οἱ πλάνητες, οὐδὲ μὲν οὖν (ὥς φασι) πολλῷ κατωτέρω ὄντες οὐχ ἅπτονται. τί δὲ δή ποτε σελήνη μὲν τὸ μειοῦσθαι καὶ αὔξεσθαι ὑπομένει· τῶν δὲ ἄλλων πλανήτων προποδισμοὺς, καὶ στηριγμοὺς, καὶ ἀναποδισμοὺς εἰσάγοντες, ἥλιον καὶ σελήνην τῆς τοιαύτης πάλιν τρόπῳ πλάνης ἐλευθέρους ἐῶσιν; καὶ εἰ μικροφανὴς ὁ Κρόνος, μείζων ὥς φασι τῶν ἄλλων ὑπάρχων πλανήτων, ὅτι τούτων ἀνώτερον διεξέρχεται κύκλον· διὰ τί μείζων ὁ ἥλιος τῆς σελήνης, τετάρτην ἀπ' αὐτῆς ζώνην ἐλαύνων; ἐχρῆν γὰρ αὐτὸν πολλῷ ταύτης μικρότερον φαίνεσθαι. ὥστε πάντα ψευδῆ καὶ πεπλασμένα, ἃ τῆς ἀστρολογίας οἱ πόνοι κρατύνουσιν. οὗτος μὲν οὖν καὶ τὸ λα' κεφάλαιον. τὸ δὲ * δεύτερον, οὐδὲν τῶν ἀληθῶν πρὸς ἀνατροπὴν, οὐδ' ὅσον εἰς τὸ φαινόμενον, ἀναγράφει· ἀλλ' ὅσον ὁρᾶται κἀνταῦθα τοῖς λογισμοῖς ἀσθενῶν ὁ ἀνήρ, τοσοῦτον ἔχει τὸ ἄτονον, ὅσα γε πρὸς τὴν ἀνασκευὴν τῆς πλάνης. καὶ τὸ τρίτον δὲ καὶ τριακοστὸν τῆς αὐτῆς ἐστι κατὰ τὴν δύναμιν ἰδέας. ἃ γὰρ εἰς ἀνατροπὴν προβάλλεται τοῦ μὴ σφαῖραν εἶναι τὸν οὐρανὸν, κοινὰ ἂν ἀπορήματα εἴη καὶ πρὸς τοὺς ἡμισφαίριον * αὐτὸν τιθέντας, ἢ καμάραν, ἤ τι ἄλλο τῶν παραπλησίων σχημάτων. ἐν οἷς καὶ ὁ τρίτος λόγος.

* al. λβ'.

* al. ἐντομ-

Ἐν δὲ τῷ τετάρτῳ μὲν λόγῳ, τριακοστῷ δὲ δ' κεφαλαίῳ, καὶ πέμπτῳ, καὶ ἕκτῳ διέξεισι ταῦτα. ἀπὸ τῆς διαφορᾶς ἣν ἔχει τὸ οἰκούμενον πρὸς τὸ ἀοίκητον, καὶ ἣν πρὸς ἄλληλα τὰ κλίματα ἔχουσι, τὴν ἀνατροπὴν τῆς γενέσεως ἤτοι τῆς εἱμαρμένης * ποιεῖται. φησὶ γὰρ, ποία τῶν ἀστέρων ἐργάζεται κίνησις, τὴν μὲν ἀοίκητον εἶναι δι' ὑπερβολὴν ψύχους, τὴν δὲ δι' ὑπερβολὴν καύματος; καὶ τὴν μὲν διὰ παντὸς μόλις οἰκεῖσθαι τηκομένην τῷ καύματι· τὴν δὲ δυσχερῶς ὁμοίως οἰκουμένην, ἅτε δὴ συνεχῶς νιφομένην, καὶ τῇ τοῦ κρύους ἐκθηριωμένην ἀγριότητι. διὰ τί δὲ αὐταῖς οὐ μεταβάλλει τὴν τοῦ ἀέρος κατάστασιν ἡ γένεσις συνεχὴς, ἀεὶ τὰς μεταβολὰς ἐν τοῖς ἄλλοις παρέχουσα κλίμασιν; ἢ δῆλον, ὡς οὔτε πλανήτων δρόμος, οὔτε σύνθεσις ζωδίων, μόνη [δὲ] τοῦ ἡλίου ἡ φύσις πρὸς τὰ διαστήματα, καὶ τῶν τόπων τὰς θέσεις, τὰς προειρημένας ἐργάζεται διαφοράς. διὰ τί δὲ πάλιν, τῆς γῆς ὑετοῖς ἀρδομένης ἁπανταχοῦ, μόνην τὴν Αἴγυπτον πλημμυρῶν ὁ Νεῖλος, κατά τινα χρόνον τοῦ ἐνιαυτοῦ καὶ ἀναχεόμενος εἰς αὐτὴν, καρποφόρον ἐργάζεται. διὰ τί δὲ τὴν ἐνδοτέρω Θηβαΐδος χώραν, ἣν ὀνομάζουσιν Ὄασιν, οὔτε ποταμὸς οὔτε ὑετὸς ἄρδει· ἀλλὰ πηγῶν εὐφραίνει ῥεύματα πολυχειρίᾳ τῶν οἰκητόρων, ἀλλ' οὐκ αὐτομάτως ἀναδιδομένων· οὐδὲ ὑετῶν φορᾶς ἐπὶ γῆς ἐρχομένης,

* al. ποιεῖ.

αἱ τοῦ χώ[illegible] Ὀάσεως [illegible] ἀρχ[illegible]

καὶ δια-

καὶ διὰ τῶν ἐν αὐτῇ φλεβῶν ἀναδιδομένους, ὅπερ γίνεται παρ' ἡμῖν. καὶ τούτου σημεῖον, τὸ τὰς μὲν ὑπωρείας προσιέναι πηγὰς ποταμοὺς ἐργαζομένας διειδεῖς τε καὶ γλυκείας, τὰ δὲ ἐπὶ πλεῖστον ἡπλωμένα πεδία, καὶ τῆς τῶν ὀρῶν ἐγγύτητος οὐ μετέχοντα, καὶ μάλιστα ἰσόπεδα, μὴ ἔχειν ὕδωρ, ἢ σφόδρα βραχὺ, καὶ τοῦτο βαρὺ καὶ ἁλμυρῶδες, οὐ πηγάζον ἀλλ' ἐν ὀρύγμασιν εὑρισκόμενον οὐδὲ διόλου τοῦ θέρους ἀρκεῖν δυνάμενον. Εἰ πάντα διοικεῖται τῇ γενέσει, πῶς πλάνητος εἰσιόντος εἰς ὑγρὸν ζώδιον, ᾧ χαίρει, οὐ πᾶσαν ὁμοῦ τὴν γῆν πληροῖ ὑετός: ἀλλ' ἡ μὲν ὑδάτων πλήθει καὶ διεφθάρη πολλάκις, ἡ δὲ αὐχμοῖς κατὰ τὸν αὐτὸν καιρὸν, καί τοι γε οὐδὲ πολὺ πόρρω διεστωσῶν ἀλλήλων; τἀναντία δ' οὖν πάλιν εἰς καιρὸν ἕτερον ταύταις ὁρᾶται συμβαίνοντα. τάχα τοῦ * ἔθνους ἰδιάζουσά τις γένεσις, ὡς αὐτοὶ * αὐτοὶ πλάσσονται, ἤ τι παρανατέλλον ἰδίως ζώδιον τὰ κοινὰ τῆς γενέσεως ἀποτελέσματα διέλυσε, καὶ μάταιόν ἐστι τὸ τῆς γενέσεως καθολικὸν, εἰ μὴ συντρέχῃ καὶ ἡ μερική. οὐκοῦν αἱ τῶν τῆς γῆς μερῶν γενέσεις τὸν ἀέρα κινοῦσι, καὶ οὐδὲν ἀνύσει τὸ ὑγρὸν ζώδιον κατὰ τὸν οἰκεῖον πλάνητα, τῆς μερικῆς εἱμαρμένης ἀντιπιπτούσης. καὶ διὰ τί ἐν τισὶ μὲν τόποις σπανίζει τὸ πότιμον ὕδωρ, ἐν τισὶ δὲ καὶ τοῦτο πληθύει· καὶ θερμῶν ὑδάτων ἀπολαύουσιν αὐτομάτως ἀναδιδομένων. Σικελίας δὲ καὶ Γαλλίας καὶ Λυκίας, καὶ ἑτέρων ἐθνῶν οὐκ ὀλίγων ὄρη μέγιστα, πῦρ ἀέναον ἐκδιδόασι τοσοῦτον, ὡς καὶ τοῖς ἐν νυκτὶ φαίνεσθαι πόρρωθεν, μήτε ὑπὸ κρύους ἐλαττούμενον, μήτε ὑπὸ ὄμβρους σβεννύμενον, μήτε τοῖς τῆς γῆς βλαστήμασι λυμαινόμενον τῶν παρακειμένων * αὐτοῖς· μή τέ τι τοιοῦτο πασχόντων, μή τι ἐπιδεικνύντων, τί τοσαύτην τόπων, ἀέρων, ὑδάτων, πεδίων, ὀρῶν δέδωκε διαφορὰν, οἱ δώδεκα τὰ ζώδια καὶ οἱ πλάνητες ζ. διὰ τί οὖν οὐ πανταχοῦ τὰ αὐτὰ ἐνεργοῦσι καὶ μὴν πένητας καὶ πλουσίους, ἄρχοντας καὶ ἀρχομένους, νοσοῦντας καὶ ὑγιαίνοντας, καὶ τὰ ἑξῆς, εὕροις ἂν ἁπανταχοῦ. πῶς οὖν οὐ πανταχοῦ καὶ ὑετοὶ, καὶ αὐχμοὶ, καὶ ὅσα προειρήκαμεν. χρυσοῦ δὲ μέταλλον, ἢ ἀργύρου, ἢ χαλκοῦ, ἢ κασσιτέρου, ἢ μολίβδου, ἢ τῶν ἄλλων μεταλλικῶν ἀπὸ ποίας γενέσεως ἡ φύσις εὑρίσκεται; θεὸν μὲν οὖν τοσαύτην διαφορὰν καὶ μυρίαν ἄλλην κεχαρίσθαι τῇ γῇ δι' ἡμᾶς, ὁμολογοῦντες εὐσεβοῦμεν· εἱμαρμένην δὲ διὰ τοῦτο τεχνίτας πλάττειν, ἵνα χρήσωνται ταῖς ὕλαις, οὔτ' ἂν ἡμεῖς εἴποιμεν, οὔτε ἕτερος εὖ φρονῶν; ἔτι δὲ εἰ κλίμα ἕκαστον διαμένει μυρίαις ταῖς πρὸς ἄλληλα διαφοραῖς, ἀπὸ καταβολῆς κτίσεως * κοσμούμενον, καὶ ἀκίνητον ἀπ' αἰῶνος ἕστηκεν ἀπὸ τῆς γενέσεως μεταβολῶν οὐ βλαπτόμενον· οὔτε γὰρ παλίρροιαι θαλάσσης ἐπαύσθησαν, οὐ πυρὸς ἄσβεστοι πηγαὶ, οὐ ζώων ἑκάστου κλίματος διαφοραὶ, οὐ μυρίων ἄλλων ἑτερότητες, ἀμετάβλητοι τοσούτων πραγμάτων τῆς παρ' αὐτῆς γενέσεως ἀπηλλαγμένων: πῶς οὐδὲν ἄνευ ταύτης οὔτε γίνεσθαι λέγουσιν, οὔτε διαμένειν, οὔτε διοικεῖσθαι. πυθοίμην δ' ἂν αὐτῶν ἡδέως, ποία δρόμου κίνησις εἰς τὸ εἶναι τὴν ἀρχὴν παρέχει ταῖς βοτάναις, τοῖς φυτοῖς, τοῖς ζώοις; δεῖ γὰρ ἑκάστου τούτων φαίνεσθαι τὴν τῆς γενέσεως ὥραν, ὅτι ἀπὸ γῆς ἐπλάττοντο·

* al. ἔθνεσι.
* al. αὐτοί.
* al. αὐτοῦ.
* al. κοσμούμενον.

THEODOR. Epist. Tars.

iisdémque rursus per illius venas redditis, vt apud nos contingit. Cuius quidem rei illud signum esto, quod quæ montibus subiecta sunt loca, eiusmodi fontes emittant, qui integra etiam flumina non minus limpida quàm dulcia producant, cum interim patentissimi quique campi à montibus remotiores, maximéque plani, vel nullam habeant aquam, vel nonnisi modicam eámque grauem & salsam, nec scaturientem illam, sed in fossis inuentam, ac neque tota æstate siti sufficientem. Quod si omnia per Genesim administrantur, qui fit quod in humidum aliquod signum sibíque familiare Planeta ingresso, non omnem simul terram impleat pluuia, sed alibi nihilominus aquarum abundantia, alibi pluuiarum inopia, eodé prorsus tempore, neque magno admodú locorum interuallo, terra vitietur? quanquam & contraria iterum in his alio tẽpore cótingere videas, nisi forte vel peculiaris quædam sit illius populi Genesis, vt ipsi fingunt, vel in propinquo alicubi singulari quodam modo exoriens signũ communes illas Geneseos effectiones euertat, inanísq; sit vniuersalis Geneseos vis, si non & particularis Genesis concurrat. Singularum igitur terræ partium Geneses aërem mouent, neque signum humidum * vnà cum sibi affini Planeta quidquam efficere poterit, particulari Fato resistente. Quare præterea in locis quibusdam rarior est potabilis aqua, in quibusdã vero abundat, & calidis insuper potiuntur aquis incolę sponte productis? Siciliæ quoque, Galliæ, Lyciæ, aliarúmque gentium non minimarum, maximi montes, perennem ignem sic emittunt, vt etiam longè positis noctu appareat, neque vel frigoribus imminuatur, vel imbribus extinguatur, vel terræ germinibus noceat: cum qui his ipsis populi adiacent, tale nihil patiantur, neque ostendere [illi] possint, quid tantam locorum, aëris, aquarum, camporum, montium, differentiam dederit. Nam si duodecim signa Zodiaci, & septem Planetæ [id præstent] quare igitur non eadem vbique operantur? inopes præterea & diuites, imperantes & subditos, ægros atque sanos, & cætera vbiq; reperias: quin ergo etiam vbiq; pluuię & ariditates, & quæcunque antea commemorauimus? Iam auri metallum, argenti, æris, stanni, plũbi, vel cæterorum metallicorum natura, à quali tãdem Genesi orta reperitur? Itaque DEUM quidem & hanc tantam, & alias innumerabiles varietates nostra potissimum causa terræ impertiuisse piè fatemur: à Fato verò propterea fabros artifices creari, quo mundi huius rebus vti possint, id neq; nos dixerimus, neq; alius rectè sentiẽs quisquam. Præter ista, si singula climata permanent, sexcentis inter se differentiis iam inde à cõdito orbe exornata, & nihil à Geneseos mutationibus læsa, immobilia prorsus ab æterno cõstituerũt (nõ enim aut alterni fluxus maris, aut ignis inexstincti fontes, aut animaliũ in singulis climatibus differẽtię, aut aliæ innumerabiles, sed immutabiles rerum alterationes vnquam cessarunt: tot interim rebus per ipsã Genesim immutatis) quomodo sine hac aut fieri quidquam aut permanere, aut gubernari posse negant? Libenter autem ab eis quæsierim: qualisnam forte curriculi motus herbis, plantis & animantibus existentibus principiũ dederit: demonstranda enim Genituræ horum cuiuique hora, quã è terra formabantur:

* ἀμετὰ lego non τῷ.

THEODOR. Episc. Tars.

& aliam quidem esse palmæ, aliam ficus, canis item suam esse propriam, similitérque cameli, neque eandem illam esse equi, columbæ, aut hominum, & id genus aliorum. Si ergo possunt dicere, cur non & nunc è terra Genesis formet prædicta, doceant nos. nihil enim, quod semel dumtaxat per Geneseos ambitum perficiatur, sed idem etiam sæpe efficit? Cur insuper ab initio quidem non essent quæ producta sunt, nisi è terra formata fuissent: post autem nihil horum è terra germinare possit, sed per mutuam debeat successionem conseruari? Aut quomodo cum, quæ propria maximéque necessaria sunt, Genesis non habeat (vim illam puto formandi è terra omnia) conseruand [tamen] perficiendi, atque destruendi potens sit? Præterea ex accurata illa horæ cognitione, singulis quæ gignuntur euentura referunt, homini, inquam, & boui, aui atque naui, vrbi item & cæteris omnibus, quorum præcognitionem habere se asserunt: [at] qua ratione cum terræ, maris, aëris geniture tempora non nouerint, horum affectiones, ac motiones, mutationésque denunciare se promittunt? Quomodo quis istis credat, aut qua ratione immoderatam ipsorum arrogantiam non auersetur? nunquam enim singulatim omnium exhibere proprias genituras poterũt. Et vero etiam consequens est, tot esse geniturarũ differentias, quot sunt eorum quæ producuntur genera. Nam quomodo eadem curriculi Genesis canem & leonem producat, hominem item & equum tantopere inter se discrepantes? quomodo item colorum, figurarum, qualitatum varietas sit, nisi varia quoque Genesis hæc omnia efficeret, vt aiunt? Cum vero non vna sit omnium siue actio, siue affectio, non equorum omnium vel porcorum eadem magnitudo, celeritas, fortitudo, vox non vnum etiam cogentur, vt constat, genituræ momentum fateri, sed tot plane, quot erunt eorum quę ab ea perficiuntur differentiæ, non terrestrium modo animalium puta & volantium, atque aquatilium, sed & plantarum, & herbarum, & si quid aliud in terra nascatur. Et quomodo immensam adeo temporis momentorum multitudinem forment? Nunquam sane poterunt, non si decem dierum millibus annus ipsis constet. Ita vero maximè horum mendacium prosternitur, si quis animalia frequenter parientia considerat, vt canes, porcos, gallinas, & potissimum quæ iam plurimos simul gignunt fœtus. Nam porci, pisces, canes, multis pariẽdis etiam diei [integri] spatium absumunt. & vero piscis (quantum ego puto) multos quoque dies, eo quod ouorum illa multitudo in myriadas piscium ex ordine transformetur, qui deinde singuli pariuntur. quibus quidem diebus fieri nullo modo potest, quin volatilia vel terrestria in toto mundo, vel natatilia in toto mari & fluuiis & stagnis gignantur.

Verum hinc etiam, quod volo, certius quis discat. quando ver bene temperatum incipit, omnis floret herba & parturit, omnisque lignorũ species, sed & multa siue volucrium, siue animantium, siue pisciũ genera mista inuicem concipiũt. infinita quoq; [plantarum] genera eodem tẽpore perfecta ferunt semina, infinitæque arbores suos fructus, non vno quidẽ momẽto, sed multis diebus, dum in eadem plãta alij etiamnũ florẽt, alij crescũt, alij maturescũt.

καὶ ἑτέραν μὲν εἶναι φοίνικος, ἄλλην δὲ συκῆς, καὶ κυνὸς ἰδιάζουσαν, καὶ καμήλου οὐ τὴν αὐτὴν ἵππου, περιστερᾶς, * ἀνθρώπων, καὶ τῶν ἄλλων ὁμοίως. εἰ μὲν οὖν ἔχουσι λέγειν, διὰ τί μὴ καὶ νῦν ἀπὸ [τῆς] γῆς ἡ γένεσις πλάττει τὰ προειρημένα: διδασκέτωσαν· οὐδὲν γὰρ ἅπαξ ὁ τῆς γενέσεως κύκλος ἀποτελέσει, τὸ δ' αὐτὸ ποιεῖ πολλάκις. διὰ τί δὲ τὴν μὲν ἀρχὴν οὐκ ἂν ἦν ἃ παρήχθη, μὴ ἀπὸ γῆς πλασθέντα. μετὰ δὲ ταῦτα οὐδὲν ἂν αὐτῶν ἀπὸ γῆς βλαστήσειε, διὰ δὲ τῆς ἐξ ἀλλήλων διαδοχῆς σώζεται; ἢ πῶς τὸ κυριώτατον καὶ ἀναγκαιότατον ἡ γένεσις οὐκ ἔχουσα, * λέγω δὴ τὸ ἀπὸ γῆς πλάσαι τὰ πάντα, τοῦ συντηρεῖν καὶ ἀποτελεῖν καὶ ἀφανίζειν ἐστὶ κυρία; ἔτι δὲ ἀπὸ τῆς κατὰ τὴν ὥραν ἀκριβοῦς ἐπιγνώσεως ἑκάστῳ τῶν γινομένων τὰ συμβησόμενα λέγουσιν, ἀνθρώπῳ φημὶ καὶ βοΐ, καὶ ὀρνέῳ, καὶ πλοίῳ, καὶ πόλει, καὶ πάντων ὧν τὴν πρόγνωσιν ἔχειν ἰσχυρίζονται. πῶς γῆς καὶ θαλάσσης, καὶ τοῦ ἀέρος, οὐκ εἰδότες * τῆς γενέσεως τοὺς καιροὺς, τὰ πάθη τούτων καὶ τὰς κινήσεις, καὶ τὰς μεταβολὰς ἐπαγγέλλονται λέγειν; καὶ πῶς οὐκ ἄν τις αὐτοῖς ἀπιστήσειε, πῶς δὲ οὐκ ἂν αὐτῶν ἀποστραφείη τὴν ἄμετρον ἀλαζονείαν; οὐδὲ γὰρ τὴν κατὰ μέρος ἁπάντων ἰδιαζούσας παρέξουσι τὰς γενέσεις. καὶ μὴν ἀκόλουθον τοσαύτας εἶναι γενέσεων διαφορὰς, ὅσα τὰ γένη τῶν παραγομένων. πῶς γὰρ ἂν ἡ αὐτὴ τοῦ δρόμου γένεσις, κύνα καὶ λέοντα εἰργάσατο, καὶ ἄνθρωπον καὶ ἵππον, τοὺς τοσοῦτον ἀλλήλων διαλλάττοντας; πῶς δ' ἂν εἴη ποικιλία χρωμάτων, σχημάτων, ποιοτήτων, μὴ πάντα ποικίλης γενέσεως ἀποτελούσης, ὥς φασιν· οὐ μίαν δὲ ἐχόντων πρᾶξιν, ἢ πάθος ἐν τῶν ἁπάντων, ἢ ἵππων ὅλων, ἢ χοίρων, ἢ μέγεθος, οὐ τάχος, οὐκ ἰσχὺν, οὐ φωνήν· δῆλον ὡς οὐδὲ μίαν γενέσεως ῥοπὴν, ἀλλὰ τοσαύτας ἀναγκασθήσονται λέγειν, ὅση καὶ τῶν ἀποτελουμένων ἡ διαφορὰ, οὐ μόνον ζώων χερσαίων, καὶ πτηνῶν, καὶ ἐνύδρων, ἀλλὰ καὶ φυτῶν, καὶ βοτανῶν, καὶ εἴ τι ἄλλο ἐν κόσμῳ φύεται· καὶ πῶς ἂν τοσοῦτον ἄπειρον πλῆθος τῶν καιρῶν ἀναπλάσωσιν, ἀλλ' οὐχ ἕξουσι. οὐδ' εἰ μυριάδες ἡμερῶν αὐτοῖς * τὸν ἐνιαυτὸν ἐπλήρουν. μάλιστα δὲ αὐτῶν τὸ ψεῦδος κατάφωρον γίνεται, εἰ τὰ συνεχῶς τίκτοντα σκοπήσειέ τις, κύνας, ἢ χοίρους, ἢ ὄρνεις, καὶ οὐχ ἥκιστα τὰ πολυγονώτατα. χοῖροι γὰρ καὶ ἰχθύες καὶ κύνες, πολλὰ τίκτοντες τὸν τῆς ἡμέρας ἀναλίσκουσι καιρόν. ὁ δ' ἰχθὺς οἶμαι καὶ πολλὰς ἡμέρας, τοῦ τῶν ᾠῶν πλήθους ἐν τάξει μορφουμένου εἰς μυριάδας ἰχθύων κατὰ μέρος τικτομένων, ἐν αἷς ἀμήχανον μὴ γενέσθαι πτηνὰ, ἢ χερσαῖα, ἐν ὅλῳ τῷ κόσμῳ, ἢ νηκτὰ ἐν ὅλῃ θαλάσσῃ, καὶ ποταμοῖς καὶ λίμναις. ἔτι δὲ ἀκριβέστερον ἄν τις ἐντεῦθεν ὃ λέγω καταμάθοι· ἡνίκα * τὸ ἔαρ εὔκρατον ἐπιστῇ, πᾶσα μὲν ἀνθεῖ βοτάνη καὶ κυοφορεῖ, πᾶσα δὲ ξύλων φύσις, πολλὰ δὲ καὶ πτηνῶν καὶ χερσαίων, καὶ ἐναλίων γένη μιγνύμενα κύει. καὶ μυρία μὲν γένη κατὰ τὸν αὐτὸν καιρὸν τελεσφορεῖ τὰ σπέρματα, μυρία δὲ τῶν ξύλων τοὺς καρποὺς, οὐκ ἐν μιᾷ ῥοπῇ, ἀλλ' ἐν πλείσταις ἡμέραις· τῶν μὲν ἀνθούντων ἔτι ἐν τῷ αὐτῷ φυτῷ, ἑτέρων δὲ αὐξομένων, καὶ ἄλλων πεπαινομένων.

ἡ αὐτὴ

* al. [illegible]
* al. λέγω δὴ τῷ
* al. τῆς γενέσεως
* al. τῶν ἐνιαυτῶν.
* τό.

THEODOR. Episc. Tarf.

ἡ αὐτὴ δ' ἀναλογία τοῦ τόκου, καὶ τῆς κυήσεως, καὶ ἐπὶ τῶν ζώων πάντων. ὧν οὐχ οἷόν τε τὴν αὐτὴν τῆς γενέσεως ἔχειν ῥοπήν. ἔτι δὲ τὰ μὲν ἐνιαυτὸν κυοφορεῖ, τὰ δὲ μῆνας δέκα, τὰ δὲ ἡμέρας μ', καὶ μυρία ἄλλη διαφορά. ποῖος οὖν ἀστὴρ εἰς ποῖον ζώδιον εἰσιὼν, μεμετρημένον ἑκάστῳ γένει τῆς κυοφορίας ἀφορίζει χρόνον; διὰ τί δὲ τῶν κατὰ τὸ γένος ζώων, ὁ τῆς ζωῆς χρόνος οὐκ ἴσος ὢν, τὴν κύησιν ἴσην ἔχει; εἰ μὲν οὖν καὶ ταῦτα ἀπὸ γενέσεως· λεγέτωσαν, ἵνα *πλεῖον ὀφλήσωσι γέλωτα. εἰ δὲ σιγῇ τὴν αἰσχύνην ἀποκλίνουσι, πῶς οὐδὲν αὐτὸ γενέσεως εἶναι λέγουσι. καίτοι οὔπω λέγω τὰς διαφορὰς τῶν τικτομένων. τὰ μὲν γὰρ ὅμοια τῶν γειναμένων ἐστὶν, ὡς ἄνθρωποι, καὶ ἵπποι, καὶ λέοντες· τὰ δὲ οὐχ οὕτως, ὡς ἄρκτοι, καὶ σφῆκες, καὶ μέλιτται, ὅσα διὰ τῶν ᾠῶν πρόεισι. καί τινα μὲν καὶ δίχα μίξεως τίκτεται, τινὰ δὲ χωρὶς ταύτης οὐδαμῶς. καὶ τίς ἂν ἀπαριθμήσειε τὰς ἐν τούτοις ἀναριθμήτους διαφοράς, οὐ τῶν ζώων μόνον, ἀλλὰ καὶ φυτῶν, καὶ βοτανῶν, καὶ τῶν παραπλησίων. ὧν ἁπάντων τὰς αἰτίας παρὰ τῶν τῆς εἱμαρμένης πατέρων ζητεῖν δίκαιον, εἴπερ πάντα τῆς γενέσεως κατ' αὐτοὺς ἤρτηται, καὶ τὸ εἶναι, καὶ ὁ τοῦ εἶναι τρόπος, κυοφορεῖσθαί τε καὶ πάσχειν, καὶ δρᾶν, καὶ ἀποθνήσκειν, ἢ κατὰ τῶν ἀθλίων ἀνθρώπων αὐτοῖς μόνον ἠκριβολόγηται τὰ τῆς γενέσεως· ἵνα τὸ πάντων τῶν καλλίστων ἐν ἡμῖν τὸ αὐθαίρετον ἀγνοηθῇ, καὶ θεὸς μὴ εὐχαριστηθῇ, ὡς τὸ γένος εὐεργετήσας. πῶς δὲ πάλιν ἡ γένεσις ἀκαίρους μὲν προσθήκας δίδωσι, τετρακέφαλα καθ' αὐτοὺς ἀποτελοῦσα, καὶ χεῖρας πλείους, καὶ πόδας τῶν κατὰ φύσιν· τοῖς δὲ ἑρπετοῖς οὐ δίδωσι πόδας, οἳ παρέξουσιν αὐτοῖς τὸ ἐν τῇ βαδίσει χρήσιμον, οὐκ ὀφθαλμοὺς τοῖς ἀσπάλαξιν, οὐδ' ἄλλοις ὧν δέονται. εἶτα ζῆν μὲν οἷς τὰς ἀκαίρους προσθήκας ἔδωκεν, οὐκ ἐᾷ· πάντα γὰρ βραχύβια τὰ τερατόμορφα, καὶ τῇ προσθήκῃ τὴν ὅλην ἀφανίζει φύσιν· ὧν δὲ τὰ κατὰ φύσιν ἀφεῖλε χεῖρας ἢ πόδας ἢ ὀφθαλμοὺς, ταῦτα ζῆν ἐᾷ, τὴν σωματικὴν πήρωσιν ἀπαραμύθητον ἔχοντα. εἰ μὲν οὖν τις εἰς εἱμαρμένην ἀναφέρει ταῦτα, *αὐτῆς σὺν αὐτῇ τῆς ἀτοπίας ὁ αἴτιος. εἰ δὲ τῆς φύσεως οἶδε τὸ διαμαρτάνειν, ἐξαίρει τὸ θεῖον τῆς κατηγορίας. ὥσπερ γὰρ *αὐτὴν τρέχειν οἰκείοις νόμοις δεδώρηκεν, οὕτω καὶ θνητὴν συνεχώρησε κατά τινα συμφέροντα λόγον. αὕτη δὲ σώζουσα μὲν τὰ οἰκεῖα μέτρα, οὐδὲν ὑβριζόμενον φέρει· ἐξοκείλασα δὲ πρὸς ἀμετρίας, ἢ ἐνδείας, ἢ φόβους, ἢ πάθη· καὶ τοὺς δοθέντας παραχαράξασα νόμους· οὐδ' ἐν τοῖς τικτομένοις τὸ ἀκίβδηλον σώζει. διὰ τί δέ τινα τῶν ζώων οὐ τρέφει τὰ γεννήματα, ὥσπερ πετεινῶν γῦπες, καὶ κόρακες, ἰχθύες δὲ μικροῦ σύμπαντες· τὰ δὲ καὶ γηροτροφεῖ τοὺς τεκόντας. καὶ τὰ μὲν καὶ νόθον ὑποβάλλεται γονὴν, καὶ τρέφει, τὰ πλεῖστα δὲ οὔ; καὶ τίς ἂν τὰς ἀναριθμήτους τῶν ὄντων διαφορὰς καταλέξειεν· ἀλλὰ ταῦτα μὲν ἐν τῷ τετάρτῳ λόγῳ.

* al. [illegible] * al. αὐτὸς * al. [illegible]

Ἐν δὲ τῷ ε' λόγῳ, ἄλλα τε διέξεισι, καὶ περὶ αὐτῶν ὁμοίως κατὰ τῆς εἱμαρμένης τοῦτο. εἰ τοὺς γονεῦσι

Nec dissimilis est in animalibus omnibus, partus conceptúsque proportio: quæ idem omnino genituræ momentum habere nullo modo possunt. adde quod alia per annum integrum fœtum vtero gestant, quædam mensibus decem, quædam diebus quadraginta, aliáque in his plurima reperitur differentia. Quale igitur astrum, in quale Signum ingrediens dimensum vnicuique generi fœtum ferendi tempus determinat? Cur autem, cum animantium in genere vitæ tempus æquale non sit, æqualem tamen illa vteri gestationem habent? Dicant igitur, an hæc etiam à Genesi proficiscantur? vt magis irrideantur. Sin per silentium dedecus suum declinent: quomodo aliquid sine Genesi fieri negant? Neque tamen hic fœtuum differentias affero: quorum alij genitoribus similes sunt, vt homines, equi, leones; alij non item, vt vrsæ, vespæ, apes, & quæcumque ex ouis prodeunt. pars rursum sine coitu generantur: pars absque eo nequaquam. Et quis innumeras: quæ in his reperiuntur, differentias enumerauerit, non animantium modo, verumetiam stirpium & herbarum, aliorúmque similium? quorum omnium causas ab his Fati auctoribus quærere iustum est: si quidem omnia secundum horum sententiam ex Genesi pendent, & quod exsistant, & modus quo existunt, & gestari vtero, & pati, & agere, & mori. An forte aduersus miseros mortales duntaxat tam accuratus de Genesi sermo ab ipsis institutus est: vt, quod in nobis omnium est honestissimum, libertas arbitrij, ignoretur: Deóque pro collatis in genus humanum beneficiis, gratiæ non agantur? At quomodo rursum Genesis intempestiua illa additamenta adiicit, dum quadricipites fœtus secundum hos, aut plures quam natura exigit, siue manus siue pedes perficiat: cum neque reptilibus pedes tribuat, qui illis ad ambulandum sint vsui, neque oculos talpis, neque aliis ea quibus indigent. Adde quod ea quidem, quibus intempestiua illa additamenta dedit, non sinit viuere (quæcumque enim prodigiosæ formæ sunt, breuis quoq; æui esse solent) & additione sua totam simul horum naturam abolet. quibus vero à natura debita siue pedes, siue manus, siue oculos abstulit, ea ita viuere permittit, vt mutilati corporis solatium nullum habeant. Si quis hæc igitur ad Fatum referat, is absurditatis auctor non minus quam illud efficitur. Sin naturæ esse peccatum agnoscit, omnem accusandi Numinis occasionem tollit. Quemadmodum enim ipsam suis quibusdam currere legibus statuit, sic & eâdem, ratione quadam vtili, iuxta mortalium conditionem ferri concessit. Ipsa igitur suum modum seruans, nihil quod vlla sit affectum iniuria profert. at si in nimietatem vel defectum, in pauorem, vel vehementes affectiones delapsa, aduersus latas sibi leges quidpiam admittat, mox neque in iis quæ gignuntur, sinceritatem seruat.

Cur insuper quædam animantia suos fœtus non nutriunt, quemadmodum in volatilibus vultures, corui, piscésque ferè omnes: quædam vero etiam parentes in senio alunt? Item alia etiam illegitimum sibi suppositum fœtum nutriunt, pleraque vero minimè? At quis innumerabiles rerum omnium differentias recenseat? Igitur hæc quidem libro quarto continentur.

Libro QVINTO cum alia persequitur, tum ante hæc de Fato similiter ista. Si quod parentes

THEODOR. Episc. Tars.

gignant, ait, à Genesi contingit, manifestum est à parentum Genesi & filiorum Genesim, & huius horam definitam esse: Sin minus, ergo gignentium Genesis eos qui gignuntur non perficit, frustráque longus de Fato sermo habetur. Si enim quod fœtus seminetur, gestetur, perfectúsque vel imperfectus proueniat, à parentum Genesi exsistit, clarum quod horum quoque hora ab eadem proficiscatur. Sin minus hæc, ergo nec illa. Iam si Geneses aliæ ex aliis sunt, ipsúmque nascendi momentum ab eorum qui genuerunt Fato proficiscitur, facile sit huius amatoribus vnam aliquam hominis capere Genesim, atque ex ipsa tum patrum, tum auorum, immo & maiorum Genesim indicare, horúmque omnium tam animi quam corporis affectiones actionésque, ac simul figuras, colores, & magnitudines. Nec hoc solum, sed etiam ex hac ipsa & illius vnius Genesi licebit quinam generandi sint prædicere, omnémque adeo futuram ex ordine cognationem, cum suis actionibus, & quæcumque alia supradicta sunt: vt neque præteritorum, neque futurorum quisquam ignoretur. Quod & ipsimet irriserint. At tu mihi illud quoque inspice: Filiorum, aiunt, Genesis infelices reddit parentes, etiamsi forte à propria Genesi felicitas ipsis attributa sit. Interdum etiam tollit & vincit patrum Genesim ipsa filiorum, quoties videlicet hæc fatalis illius effectus est: sed & patrum Genesis infelices reddit liberos & fratrum fratres, eundémque in modum etiam coniugum; quantumuis forte aliam alter habeat Genesim, & aliunde natus sit. Et quod his omnibus magis deplorandum, Genesis cogit generantes odium suscipere pro amore erga liberos: liberos item parentibus, atque inter se fratres, coniugésque infestos reddit, & ad cædes prouocat, itaque aduersus inuicem armat naturam, vt totam turbet cognationem. Et ille quidem lamentatur, quod laboret filius, vel mortua sit vxor, aut maritus, ignarus interim quod horum cuiusque Genesis, & amorem inuicem necessaria conciliarit, & infortunia, dum eorum qui amabantur exitu dolores acerbos obiicit. Hæccine sapiens quisquam ferat? Rursum infelices seruos esse per dominorum Genesim prodigiose iidem referunt: itemque caprarum, boum, & aliorum animantium greges, per Genesim possessoris; vt & integros exercitus per Genesim Regis. ita innumerabiles Geneses per vnicam illam vnius tantum hominis, siue ad meliora, siue ad deteriora auertuntur: & quidem tam felicium quam infelicium, quæ ob vnius Genesim infinitas habent varietates ætatum, annorum, mensium, dierum, horarum, patrum, matrum, cognatorum: immo & idem quandoque mortis genus siue gladio, siue mari, siue simili aliquo casu subeunt. Attamen inuenio ego & seruorum atque militum Genesim, quomodo ipsi loquuntur, heros Regésque superantem. Fallaciis enim hi aut lenocinio interdum dominos vel alia quapiam ratione aggrediuntur, sua illos Genesi in Dominos armante. Quod si forte patris familias Genesim hanc seruis dare nocendi potentiam dixerint, magis etiam difficultatem augebunt.

φασὶ τὸ τίκτειν ἀπὸ γενέσεως ὑπάρχει, δῆλον ὡς ἀπὸ τῆς τῶν πατέρων γενέσεως καὶ ἡ τῶν υἱῶν γένεσις, καὶ ἡ ταύτης ὥρα διωρίσθη. εἰ δὲ μὴ, οὐ τῶν γεννησάντων ἡ γένεσις ἀποτελεῖ τοὺς τικτομένους, καὶ μάταιος ὁ πολὺς τῆς εἱμαρμένης λόγος. εἰ γὰρ τὸ σπαρῆναι καὶ κυοφορηθῆναι, καὶ τέλειον προελθεῖν ἢ ἀτελὲς, τῆς γενέσεως ἔργον ἐστὶ τῶν τικτόντων: δῆλον ὅτι καὶ ἡ τούτων ὥρα. εἰ δὲ μὴ αὕτη, οὐδὲ ἐκεῖνα. εἰ δὴ αἱ γενέσεις ἐξ ἑτέρων εἰσὶ γενέσεων, καὶ ὁ τοῦ γεννᾶσθαι καιρὸς ἀπὸ τῆς τῶν γεγεννηκότων εἱμαρμένης: ῥᾴδιον ἂν εἴη τοῖς ταύτης ἐρασταῖς, μίαν μὲν ἀνθρώπου λαβεῖν γένεσιν, ἐξ αὐτῆς δὲ τήν τε τῶν πατέρων εἰπεῖν, καὶ τῶν πάππων, καὶ τῶν ἔτι προσωτέρων, καὶ τούτων ἁπάντων τά τε πάθη, καὶ τὰς πράξεις τῆς ψυχῆς καὶ τοῦ σώματος, τά τε σχήματα καὶ χρώματα, καὶ μεγέθη. οὐ τοῦτο δὲ μόνον, ἀλλ᾽ ἐκ τῆς αὐτῆς καὶ τοῦ ἑνὸς γενέσεως, τίνες οἱ τεχθησόμενοι προειπεῖν, καὶ πᾶσαν τὴν ἐσομένην ἐκ τῆς διαδοχῆς συγγένειαν, καὶ ταύτης τὰς πράξεις, καὶ ὅσα ἄλλα προείρηται. καὶ μήτε τοὺς παρελθόντας ἀγνοεῖν, μήτε τῶν ἐσομένων μηδένα. ὃ καὶ αὐτοὶ ἂν διαγελάσαιεν. ὅρα δὲ κἀκεῖνο, τῶν παίδων φασὶν ἡ γένεσις κακοδαίμονας ποιεῖ τοὺς πατέρας, κἂν ἀπὸ τῆς ἰδίας γενέσεως τὸ εὔδαιμον αὐτοῖς ἐβραβεύετο· ἔσθ᾽ ὅτε δὲ καὶ ἀναιρεῖ, καὶ νικᾷ τὴν τῶν πατέρων γένεσιν ἡ τῶν τέκνων γένεσις, ἀποτέλεσμα ἐκείνης οὖσα. ἀλλὰ καὶ ἡ τῶν πατέρων γένεσις τοὺς παῖδας κακοδαίμονας ποιεῖ, καὶ ἀδελφοὺς ἡ τῶν ἀδελφῶν, καὶ τοὺς γεγαμηκότας ὁμοίως, κἂν ἄλλης τινὸς εἴη γενέσεως, * κἂν ἑτέρωθεν ἔφυ. καὶ, τὸ πάντων ἀνιαρώτερον, μῖσος ἡ γένεσις βιάζεται τοὺς φιλοῦντας εἰς τοὺς * φυομένους ἀντὶ τῆς στοργῆς ἔχειν καὶ τέκνα τοῖς γεγεννηκόσι, καὶ ἀδελφοὺς πρὸς ἀλλήλους, καὶ τοὺς γεγαμηκότας ποιεῖ πολεμίους, καὶ πρὸς ἀναιρέσεις ἐρεθίζει, καὶ κατ᾽ ἀλλήλων ὁπλίζει τὴν φύσιν, ὅλην ταράσσουσα τὴν συγγένειαν. καὶ ὁ μὲν ὀδύρεται, διότι νοσεῖ ὁ παῖς, ἢ τέθνηκεν ἡ γυνὴ, ἢ ὁ ἀνήρ· ἀγνοεῖ δὲ, ὅτι ἡ τούτων ἑνὸς ἑκάστου γένεσις, καὶ ἀγαπᾶν ἀλλήλους ἠνάγκασε, καὶ κακοδαιμονεῖν, δριμείαις ὀδύναις περιβάλλουσα ταῖς τελευταῖς τῶν στεργομένων. ταῦτα ἀνέξοιτ᾽ ἄν τις νοῦν ἔχων; πάλιν δούλους κακοδαιμονεῖν, ὑπὸ τῆς τοῦ δεσπότου γενέσεως τερατεύονται, καὶ αἰγῶν ἀγέλας καὶ βοῶν, ἢ τῶν ἄλλων ζώων ὑπὸ τῆς τοῦ κεκτημένου· καὶ στρατόπεδα πάλιν διὰ τὴν τοῦ βασιλέως. καὶ τοσαῦται μυριάδες γενέσεων ἀνατρέπονται διὰ τὴν τοῦ ἑνὸς ἢ πρὸς τὸ χεῖρον, ἢ πρὸς τὸ ἄμεινον. καί τοι γε τῶν εὐτυχούντων ἢ δυσπραγούντων, διὰ τὴν τοῦ ἑνὸς γένεσιν μυρίας ἐχόντων διαφορὰς ἡλικιῶν, ἐνιαυτῶν, μηνῶν, ἡμερῶν, ὡρῶν, πατέρων, μητέρων, συγγενῶν· καὶ τὸν αὐτὸν ἔσθ᾽ ὅτε τοῦ θανάτου τρόπον ὑπερχομένων, τὸν διὰ σιδήρου ἢ θαλάσσης, ἢ τινος παραπλησίου συμπτώματος. εὑρίσκω δὲ ἔγωγε καὶ τὴν τῶν οἰκετῶν, ἢ στρατιωτῶν γένεσιν, ὡς ἂν αὐτοὶ φαῖεν, κρατοῦσαν τοῦ δεσπότου ἢ τοῦ βασιλέως. ἀπατῶσι γὰρ ἢ φαρματτουσιν ἔσθ᾽ ὅτε τοὺς δεσπότας, ἢ ... ἄλλως ἐπιτήδειον)· τῆς γενέσεως αὐτοὺς κατὰ τῶν κυρίων ὁπλιζούσης. εἰ δὲ λέγοιεν, τὴν τοῦ οἰκοδεσπότου γένεσιν τοῖς δούλοις δίδοσθαι τὴν ἰσχὺν τοῦ κακοποιῆσαι: πλείονα ποιοῦσι τὴν ἀπορίαν.

* al. ἢ
* al. γεγεννημένους

οὐ γὰρ

οὐ γὰρ μόνον ἠττᾶσθαι τοὺς ὑπηκόους ἠνάγκασε τῆς βασιλέως ἡ γένεσις, ἀλλὰ καὶ αὐτοῦ κρατεῖν, οὗ ἐστι γένεσις. καὶ τοὺς οὐκ ἂν ἀπὸ οἰκείας εἱμαρμένης τοῦτο τολμησάντας, ἡ τοῦ βασιλέως ἐγείρει κατ' αὐτοῦ. οὐ γὰρ οἷόν τε τοσούτων ὁμοῦ στρατιωτῶν γενέσεις εἰς τὸν κατὰ τοῦ δεσπότου θάνατον συμφωνεῖν. κρατεῖ δὲ καὶ τῆς πόλεως ἡ γένεσις τοῦ πλήθους τῶν ἐνοικούντων. καταπίπτουσα γὰρ ἡλικιῶν μυρίας διαφορὰς, μυρίαις γενέσεσι διοικουμένας: ἀναιρεῖ δὲ φθορᾷ μιᾷ καὶ τῇ αὐτῇ διαφθείρουσα. καὶ ὁ ἀὴρ ὁμοίως, καὶ κατακλυσμὸς ὡσαύτως ὁλόκληρον ἔθνος ἀφανίζων. οὐ γὰρ οἷόν τε τοσαύτας γενέσεις μίαν ἔχειν ἰδίαν θανάτου. εἰ δέ τις καὶ τὸ ἀδύνατον τοῦτο συγχωρείη· πάλιν ἡ τῆς πόλεως [γένεσις] ἢ τοῦ ἀέρος ὑπὸ τῆς τῶν πολλῶν ἀνατέτραπται· καὶ δυοῖν θάτερον, ἢ τὰς τῶν πολλῶν ἀκυρῶσαι τὴν μίαν, ἢ ταύτην τῇ τῶν πολλῶν ἀκολουθῆσαι τῆς οἰκείας ἀποστερουμένην ἐνεργείας. τὰ δ' αὐτὰ λέγειν ἂν εἴη, καὶ περὶ ξύλων, καὶ χόρτων, καὶ βοτανῶν, καὶ ζώων ἁπάντων. εἰ τοίνυν αἱ γενέσεις ὑπ' ἀλλήλων ἀνατρέπονται, καὶ αἱ μὲν τῶν παίδων τὰς τῶν πατέρων, αἱ δὲ τούτων τὰς ἐκείνων ἀναιρῶσι, καὶ αἱ τῶν συζυγιῶν τὰς ἀλλήλων, καὶ αἱ τῶν οἰκιῶν τοὺς ἐνοικοῦντας, ἢ αἱ τούτων τὰς τῶν οἰκημάτων· καὶ ἁπλῶς ὅσα προείρηται πανταχόθεν ἡ γένεσις ἑαυτὴν ἀνέτρεψε καὶ διέλυσεν. ἀλλ' οὕτω μὲν τὸ β' καὶ μ' κεφάλαιον.

Ἐν δὲ τῷ γ' καὶ μ' φησὶν, ὅτι ποικίλαις μὲν πράξεσι καὶ πάθεσιν, ἢ φυσικαῖς, ἢ αὐθαιρέτοις τὰ ἐπὶ γῆς, καὶ τὰ ἐν ἀέρι καὶ ἐν θαλάττῃ, καὶ ἡμεῖς ὁμολογοῦμεν ὑποκεῖσθαι: τὸ δὲ ἀνάγκην εἱμαρμένην πάντων αἰτίαν εἶναι, καὶ ἐκτρεπόμεθα καὶ διελέγχομεν, ἀπὸ τῶν ἀψύχων ἀρχόμενοι, καὶ εἰς τὰ ἄλογα ζῶα μεταβαίνοντες, ἐκεῖθεν εἰς τοὺς λογικοὺς ἀνθρώπους τὸν λόγον διαβιβάζοντες. Μάγνης γοῦν ὁ λίθος σίδηρον ἁρπάζει, καὶ οὐχ ἁρπάζει μόνον, ἀλλὰ καὶ δύναμιν ἐντίθησιν ἕτερον ἁρπάσαι, κἀκεῖνος πάλιν ἄλλον μέχρι πλειόνων. Δίκταμος ἡ βοτάνη, πάλιν τοῖς ἰοβόλοις ἐστὶ πολέμιος: καὶ γὰρ καὶ μόνης τῆς ὀσμῆς ἀντιλαμβανομένη, εἰς τὸ ἀνενέργητον μεταβάλλει. καὶ βοτανῶν ἀγλαοφωτὶς, μόνη τοσοῦτον ἐν νυκτὶ λάμπει, ὅσον ἡ προσηγορία δηλοῖ, καὶ τὸν ἐπιθυμοῦντα λαβεῖν φεύγει. καὶ ταῦτα ἐρριζωμένη τόπον ἐκ τόπου παρὰ φύσιν μεταβαίνουσα: οὐ γὰρ πρόσεστι τοῖς ἐρριζωμένοις κίνησις ἡ μεταβατική. χαμαιλέων τὸ ζῶον εἰς πολλὰ χρώματα τὸ σῶμα μεταβάλλει, καὶ τοιοῦτος φαίνεται, οἷον τὸ πλησιάζον καὶ παρακείμενον αὐτοῦ, κἂν ξύλον, κἂν λίθος, κἂν ὅ, τι τοιοῦτον ᾖ. πρὸς γὰρ τὴν ἐκείνου χροιὰν [a] ἁρμολογεῖ τὴν ἑαυτοῦ. καὶ ἡ σελευκὶς τὸ πτηνὸν, οὕτως ἐστὶν ἀκρίσιν ὀλέθριον, ὥστε καὶ ὅσαι ἂν τῇ σκιᾷ ταύτης καταληφθεῖεν, φθείρονται. ἄλλοις πάλιν ἡ νὺξ, ἀλλ' οὐχὶ τὸ φῶς ἐστὶ τῇ ὄψει ἁρμόδιον. καὶ τροφὴ πάλιν ἄλλοις ἡ ἑτέρα θανάσιμος. ἀλλὰ καὶ τὸ ποτὸν οὐ πᾶσι τοῖς ζώοις χρήσιμον. τὸ δέ γε οὐρεῖν τετραπόδων μὲν ἐνίοις οὐ πρόσεστι, πτηνῶν δὲ οὐδενί. καὶ τί δεῖ λέγειν κατὰ μέρος τὰς ἐν τοῖς ζώοις τροφῆς τε καὶ πότου [καὶ] διαπλάσεων, καὶ ᾠδῆς, καὶ σιγῆς, καὶ μονῆς, καὶ ἀποδημίας, καὶ ἐπανόδου, καὶ ὑπηρεσίας, καὶ ἐλευθερίας,

[a] al. ἁρμόζει.

THEODOR Episc. Tars.

Non solum enim [non] inferiores esse subditos coëgit dominorum Genesis, sed praeterea illum ipsum vincere, cuius est Genesis; atque eos qui pro suo Fato nunquam tantum ausi fuissent, Regis illa Genesis in ipsum met prouocat. Nam fieri omnino nequit, vt tot simul militum Geneses in domini mortem conspirent. Ciuitatis item Genesis in vniuersam incolarum multitudinem imperium obtinet. Quando enim haec decidit, infinitas aetatum varietates pluribus Genesibus distinctas è medio tollit, vno hoc eodemque excidio euertens. Ad eundem quoque modum & aër [corruptus] & diluuium totam saepe gentem delet. neque enim possunt tot Geneses vnum mortis genus nancisci. Si quis porro illud etsi impossibile sit, admittat tamen rursum, [dicam] ciuitatis vel aëris Genesis à multitudinis Genesi vertitur, atque è duobus alterum [concedendum] vel multorum Genesim ab illa vna irritam reddi, vel certe hanc, propria exutam efficacia, ab illa multorum abripi. Eademque dicere quis posset de lignis, graminibus, herbis, & omnibus animalibus. Si igitur Geneses aliae ab aliis inuicem euertantur, ita vt filiorum Geneses parentum Genesim, & horum rursus illorum destruant, & similiter coniugum inter se, vt & domorum Genesis illas habitantium, vel contra horum ipsam domorum Genesim, atque, vt semel dicam, ea fiant, quae iam dicta sunt, ipsamet sese Genesis vndique euertit & dissoluit. Sic quidem Capite quadragesimo secundo disputat.

Proximo deinde Capite, variis actionibus atque affectionibus, iisque vel naturalibus, vel liberis subjici tam quae in terra, quam quae in aëre & mari exsistunt, etiam nos, inquit, fatemur: at necessitatem fatalem horum omnium causam esse, id vero & auersamur, & redarguimus, ducto ab inanimis initio, ad rationis expertia animantia descendentes, indéque ad hominem ratione praeditum sermonem conuertentes. Magnes igitur lapis ferrum ad se rapit, nec ipse rapit tantummodo, sed & huic aliquid ad se ferrum rapiendi vim tribuit, & huic rursum aliud, ad plura vsque. Dictamus quoque herba venenatis animalibus adeo inimica est, vt vel solo odoratu recepta, nocendi vim omnem eripiat. Sola item inter herbas [a] Aglaophotis ita noctu lucet, vt nominis veriloquium indicat, & carpere conantem refugit; idque radicata cum sit, locum ex loco contra naturam mutans: neque enim quae radicibus haerent transitiuo motu praedita sunt. Chamaeleon adhaec animal in multos colores corpus mutat, talisque omnino apparet, quale quod illi adiunctum atque subiectum est siue lignum, siue lapis, seu quid aliud fuerit. ad illius enim colorem etiam suum aptat. Seleucis insuper auis vsque adeo locustis est inimica, vt quotquot eius vmbram subeunt, intereat. Aliis rursum nox est ad videndú quam dies accómodatior. aliis etiam alimentum illud est, quod alteri lethale sit, sed & potus non omnibus conuenit animantibus. Quaedam adhaec in quadrupedibus, volatilia vero omnia, vrinam reddendi facultate destituũtur. Et quid attinet sigillatim animãtium infinitas differẽtias tũ in cibo, tũ in potu, in figura, in cãtu & silẽtio, in mãsione & migratione ac reditu, in obsequio & libertate,

[a] Lege Plinium lib. XXIV. cap. 17. & Ælian. de animal. lib. 14. cap. 27.

THEODOR. Episc. Tars.

in temperantia & libidine, in labore & otio, in audacia & timiditate, atque in aliis infinitis recensere: Qualis ergo curriculi fatalis motus talis vt esset, genus quodlibet effecit: cur vero vniuersum genus eiusmodi est, vt neque lepus audeat, neque leo paueat, neque aliud vllum animal innatam suo generi operationem vitare conetur: sed vnumquodque genus totum informe sit, solúsque homo mutationibus varietur? Quod si per Genesim vnum quodque genus in proprio naturæ more vbique conseruatur, quomodo contrarium in hominibus reperitur. Etenim in eo timiditas & audacia, iracundia & mansuetudo, improbitas & probitas, omniáque adeo contraria. Vbi est igitur ille Geneseos cursus? vbi septem Planetæ, & duodecim Zodiaci signa? Quid tandem hominibus tantam præbet affectionum studiorúmque varietatem, cæteris non item? asinus enim vbique onera gestat, pardalis rapax est, cæteráque speciei suæ ordinem seruant. Eodem prorsus modo & quæ brutis animantibus secundum cuiusque speciem inest natura, cum Genesim, tum circiter eam exorientes stellas, omnémque illam longam domorum sortionem vincit. Vbi enim Mars cuiusnam bruti animantis dexteram gladio armauit, vel corpus lorica texit, vel galea caput tutatus est, aut crura aut pedes? Nec enim lupum in lupum armauit, neque leonum vnquam acies inter se commisit. Quis autem commemorare studeat, quæ recensere queat nemo? Si enim nihil extra Genesim sit, quomodo nullum sidus, non errans stella, non iuxta alicubi exoriens, non signiferi signum hæc congenitis brutis præbet, quæ cum homine communicauit? non textoriam artem, non ferrariam: neque alios quidem Magistros alijs qui ab eiusdem speciei socijs discerent constituit? Si quis fortè a nobis doceri animalia contendat, primum quidem pauca eiusmodi ostendet, & cur non etiam omnia doceantur, difficilius erit demonstrare. Deinde nunquam mente aut intelligentia, quemadmodum homo; sed fraude vel timore animalia docentur. quemadmodum canis, vel simia, vel equus, si verberibus coërceatur, ea quæ ostensa illi sunt obseruat: non quod hæc domino vtilia fore existimet, sed quod cædatur, ni faciat. Psittacus quoque astu deceptus [humanam vocem] imitatur, quando per speculum appositum non animaduertit quem imitetur. Clanculo enim post speculum quod obiectum est loquuntur, quæ discere ipsos cupiunt: Psittacus vero, ratus se alium Psittacum videre, vo[ces] illas exprimere conatur, nihil interim quæ dicuntur intelligens, cum omnia articulate didicerit. Et vero solus psittacus, non autem aquila, neque aliud vllum animal sic docetur. At quomodo non illud rursum contra Genesis legem, quod cum hæc cetera animalia ratione destituta producat, eorum tamen aliqua ab hominibus doceantur, superétque Geneseos terminos is, qui nunquam huius legibus soluitur. Si vero etiam apes ab inuicem doceri dixerint, in his quoque falsum tuentur: A natura enim, non ab arte operatur apis. Quanquam sic etiam difficultas augeatur. Cur enim neque alia in suo quæque genere inter se aut docent, aut docentur? Quis enim coruos aut vultures volare docuit, quos ne parentes quidem alere solent?

σωφροσύνης τε καὶ πολυγαμίας, καὶ ἐργασίας καὶ ἀργίας, θρασύτητός τε καὶ δειλίας, καὶ τῶν ἄλλων ἀναριθμήτων διαφορᾶς. ποία τοίνυν δρόμου κίνησις ἕκαστον * γένος τοιοῦτον ὑπέστησε; διὰ τί δὲ τὸ ὅλον γένος τοιοῦτον· καὶ οὔτε λαγωὸς θρασυνθῇ, οὔτε λέων δειλιάσειε, οὐδ' ἄλλο τι τῶν κατὰ γένος καὶ προσηκούσης αὐτῷ ἐνεργείας, τὴν φυγὴν μελετήσειεν: ἀλλ' ἕκαστον γένος ὅλον ὅμοιον μόναις δὲ ταῖς μεταβολαῖς τὸ τῶν ἀνθρώπων γένος ποικίλλεται; εἰ δ' ἡ γένεσις ἕκαστον γένος ἐν τῷ οἰκείῳ τῆς φύσεως ἤθει πανταχοῦ διασώζει: πῶς ἐν ἀνθρώποις τοὐναντίον εὑρίσκεται; καὶ γὰρ δειλία καὶ θρασύτης, θυμὸς καὶ πρᾳότης, κακουργία καὶ χρηστότης, καὶ τἀναντία πάντα. ποῦ οὖν ὁ τῆς γενέσεως δρόμος; οὐχ ἑπτὰ οἱ πλάνητες, καὶ τὰ ζώδια δώδεκα. τί δήποτ' οὖν τοῖς ἀνθρώποις παρέχει παθῶν τε τοσαύτην καὶ ἐπιτηδευμάτων διαφοράν, τοῖς δὲ λοιποῖς οὐκ ἔτι; ἀλλὰ πανταχοῦ μὲν ὄνος ἀχθοφορεῖ, πάρδαλις δὲ ἁρπάζει· καὶ τὰ ἄλλα τοῦ εἴδους τὸν εἱρμὸν συντηρεῖ· ὁμοίως καὶ νικᾷ τῶν ἀλόγων ζώων ἡ κατ' εἶδος φύσις, τήν τε γένεσιν καὶ τοὺς * παρανατέλλοντας, καὶ πάντας τὸν μακρὸν ἐκεῖνον κλῆρον. ποῦ γὰρ ὁ Ἄρης, τίνος τῶν ἀλόγων ὥπλισε ξίφει δεξιάν, ἢ θώρακι τὸ σῶμα, ἢ κράνει τὴν κεφαλὴν ἠσφαλίσατο, ἢ κνήμας ἢ πόδας; οὐ γὰρ λύκους ὥπλισε κατὰ λύκων, οὐδὲ λεόντων συνεκρότησε φάλαγγας. ἀλλὰ τίς διεξιέναι φιλονεικοίη τὰ ἀδιεξίτητα; εἰ γὰρ οὐδὲν ἐκτὸς γενέσεως, πῶς οὐδεὶς ἀστὴρ, οὐ πλάνης, οὐ παρανατέλλων, οὐ ζώδιον ταῦτα τοῖς ὁμοφυέσιν ἀλόγοις παρέχει, οἷς τὸν ἄνθρωπον κατεμέρισεν· οὐχ ὑφαντικὴν, οὐ χαλκευτικήν· οὐ τὴν μὲν εἰς διδασκάλους, τοὺς δὲ παρὰ τῶν ὁμοειδῶν μανθάνειν συνέστησεν. εἰ δέ τις παρ' ἡμῶν διδάσκεσθαι ταῦτα ἐρεῖ. πρῶτον μὲν ὀλίγα δείξει, καὶ διὰ τί μὴ πάντα πλέον ἀπορήσει. δεύτερον οὐχὶ νῷ καὶ ἐπιστήμῃ, ὥσπερ ἄνθρωπος. ἀλλ' ἀπάτῃ, ἢ φόβῳ διδάσκεται: ὥσπερ κύων τυπτόμενος, ἢ πίθηκος, ἢ ἵππος τηρεῖ τὰ δεικνύμενα· οὐχ ὅτι ταῦτα τῷ δεσπότῃ χρήσιμα νοῶν, ἀλλ' ὅτι μὴ ποιῶν τύπτεται. καὶ ψιττακὸς ἀπατώμενος μιμεῖται· ἐσόπτρῳ γὰρ παρακειμένῳ τὴν μίμησιν κλέπτεται. λανθάνοντες γὰρ ὄπισθεν λαλοῦσι τοῦ παρατεθέντος ἐσόπτρου, ἃ μανθάνειν * ἐκείνους βούλονται. ὁ δὲ ψιττακὸς ἄλλον δοκῶν ὁρᾷν ψιττακὸν, ἀποδίδωσι πρὸς μίμησιν τῶν ἐκείνου φωνῶν· οὐ τῶν λεγομένων ἔχων νόησιν, πάντα γὰρ ἐνάρθρως ἐμάνθανε. καὶ μὴν καὶ ψιττακὸς μόνος, ἀλλ' οὐκ ἀετὸς, οὐδὲ τὰ ἄλλα τῶν ζώων τὰ ἐκείνου διδάσκεται. ἀλλὰ καὶ πῶς οὐκ αὐτὸ πάλιν παρὰ τὸν τῆς γενέσεως νόμον· ἄλογα γὰρ ἐκείνη τὰ ἄλλα ζῶα ποιεῖ. διδάσκει δὲ αὐτῶν ὁ ἄνθρωπος ἔνια, καὶ νικᾷ τῆς γενέσεως τοὺς ὅρους, ὁ μηδέποτε τούτων ἀπολυόμενος. εἰ δὲ καὶ τὰς μελίττας διδάσκειν ἀλλήλας φαῖεν: κἀνταῦθα τὸ ψεῦδος ἐτίμησαν· ἐκ φύσεως γὰρ ἀλλ' οὐκ ἀπὸ τέχνης ἐργάζεται μέλισσα. πλὴν καὶ οὕτω τὸ ἄπορον αὔξεται. διὰ τί γὰρ μὴ καὶ τὰ ἄλλα κατὰ γένος ἄλληλα καὶ διδάσκει καὶ διδάσκεται; τίς δὲ κόρακας καὶ γῦπας ἐδίδαξεν ἵπτασθαι, * οὓς οὐδὲ τρέφειν οἱ γεγεννηκότες πεφύκασι; πῶς

* al. τὸ αὐτὸ τοιοῦτον.

* al. παρατέλλοντας.

* al. λαλῶν.

* νεοττοὺς

THEODOR. Episc. Tars.

πῶς δ' * αὖ αὐτοῖς ἀπεῖπεν ἡ βασιλέας ποιοῦσα καὶ ἄρχοντας γένεσις; οὔτε γὰρ ὄνος ὄνων, οὔτε λύκων ἐβασίλευσε λύκος· οὐδ' ὁ μὲν αὐτῶν πένεται, ὁ δὲ πλουτεῖ· οὐδὲ τῶν ἄλλων οὐδὲν, οἷς τὸ ἀνθρώπινον γένος καταμερίζεται. ποῦ οὖν οἱ παρανατέλλοντες, καὶ ἡ γένεσις, καὶ τὸ τῶν ἀποτελεσμάτων αὐτοῖς πλῆθος; ἢ κατὰ μόνων τῶν ἀθλίων ἀνθρώπων τὸ κράτος ἥρπασαν; καί τοι τῶν ἄλλων ζώων κράτιστον ἄνθρωπος. καὶ γὰρ καὶ τῶν δυνατωτέρων συνέσει κρατεῖ, καὶ τῶν ἱπταμένων ἐπὶ γῆς βαδίζων κύριος γίνεται. καὶ τὰ εἰς βυθὸν ἀγρεύει νηχόμενα· καὶ ἁπλῶς πάντων ἐστὶ τῷ λόγῳ καὶ τῇ συνέσει κρατιώτερος. πῶς οὖν ἡ γένεσις τοῦ μὲν κρατοῦντος πάντων κρατεῖ, τῶν δὲ ὑπ' * ἐκείνοις κρατουμένων ἀρχὴν οὐκ ἴσχυσεν; ἀλλ', ὡς ἔοικε, κατὰ ἀνθρώπων αὕτη παρὰ τοῦ πονηροῦ προβέβληται ἡ μηχανή: ἵνα τὸ εὐσεβεῖν καὶ δικαιοπραγεῖν ἀνάγκης ἔργον νομίσαντες, ἀλλοτριωθῶσι θεοῦ· καὶ τὸ τἀναντία πράττειν τῆς αὐτῆς αἰτίας πειθόμενοι, οὐδὲν ἀποκνοῦσι πρὸς τὰ ἁμαρτήματα. οὐκ οὖν οὐκ ἔστιν ἡ γένεσις, πλάττεται δὲ ὑπὸ τῶν ἐχθρῶν τῆς ἀληθείας, κατὰ τῆς ἀληθείας, ὥσπερ ὑπὸ τῶν ταύτης ἐλέγχεται φίλων. οὐδὲ γὰρ τὴν ἀλογίαν εὕροι τις ἂν ἀκριβολογούμενος αἰτίαν τοῦ μὴ μανθάνειν τὰ ζῶα, ὅσα καὶ ἄνθρωπος, ὥσπερ οὐδὲ τὸ λογικὸν τῷ ἀνθρώπῳ τῶν μυρίων ἐπιτηδευμάτων αἴτιον. πόσους γὰρ κατ' αὐτοὺς ἡ γένεσις ἐργάζεται κωφοὺς, ἀφώνους, μωροὺς, ἀτέχνους, ἀφυεῖς. τί οὖν ὠφέλησε τὸ λογικὸν τὸν ἐκ μήτρας προελθόντα τυφλὸν καὶ κωφὸν, ἢ τοὺς τοιούτους; καὶ πόσων ἀλόγων οὐκ εἰσὶ χείρους, καὶ πρὸς βίον, καὶ πρὸς μάθησιν; τί δὲ μέλιτταν ἔβλαψεν, ἢ ἀράχνην, ἢ μύρμηκα ἡ ἀλογία, εἰ πράττει ἃ ἕκαστον ἀκωλύτως κατὰ φύσιν αὐτοῖς ἐπιτηδεύεται. τί δὲ τὰ ἄλλα τῶν ζώων παρέβλαψε πρὸς τὸ οἰκεῖον ἔργον, ἀντὶ τοῦ λογικοῦ λαβόντα τὸ ἄλογον· μὴ τοῖς πτεροῖς ᾄδειν τὸν κύκνον ἡ ἀλογία συνέστειλεν, ἢ τοὺς τέττιγας; ἀλλ' ἄρα δύναται καὶ φύσει ποιεῖν ἡ γένεσις μουσικοὺς, καὶ πῶς οὐχὶ καὶ ῥήτορας καὶ σοφιστὰς ἀπετέλεσε, διὰ τί δὲ * καθὰ γινώσκει τὰ ἄλογα, μὴ καὶ ἡμεῖς ἴσμεν χωρὶς τοῦ μανθάνειν; ἀλλὰ τὰ τῶν λογικῶν διὰ τὸ ἄλογον οὐ δύναται μανθάνειν τὰ ἄλογα. καὶ πῶς τὰ ἀλλήλων διὰ τὴν κοινὴν ἀλογίαν οὐ διδάσκονται, γέρανοι τὰ κύκνων, ὄνοι τὰ κυνῶν, καὶ τὰ μελίττης ἀράχνη, καὶ ἕκαστον τὸ ἀλλότριον. οὐκ ἄρα διὰ τὴν ἀλογίαν ἡ τῶν ἀνθρώπων μάθησις ἀλόγοις ἀπαράδεκτος· ἀλλὰ διὰ τὴν διαφορὰν τῆς ὑπὸ τοῦ δημιουργοῦ προαχθείσης φύσεως. τίς δὲ ἀστὴρ τόδε καταλαβὼν τὸ ζῴδιον, τὸ γένος ἔπλασε τῶν θηρίων ἀπὸ τῆς γῆς, ἢ τῶν κτηνῶν· ἢ ἀπὸ θαλάσσης τῶν νηκτῶν; καὶ διὰ τί μὴ καὶ νῦν τὸ αὐτὸ διαπράττεται; ἡ δὲ τοὺς ἀώρους θανάτους ἐπάγουσα γένεσις πῶς οὐχὶ καὶ δέκα ἐτῶν ἄνθρωπον ἔδειξε γέροντα, ἢ παρὰ τοῖς ἰούλοις τὸ πρόσωπον στεφανούμενον; καὶ εἰ τοῦ χρόνου τὸ μῆκος τῆς ἑκάστου ζωῆς εἰς πέντε καὶ ξ', ἐνίοτε δὲ καὶ ἀσύγκριτον κατὰ τὸ ἔλαττον ἔτεμε:

* ἐκείνων.

* al. καταγινώσκει.

Quomodo item Genesis, quæ Reges ac Principes constituere solet, hos eis negauit? nam neque asinus asinorum, neque lupus luporum Rex est, neque inter hos alius pauper est, alius diues, neque aliorum ibi quidquam, quibus humanum genus obnoxium est. Vbi igitur vna orientes stellæ? vbi ipsorum Genesis, atque illa apotelesmatum multitudo? An hæc in solos miseros mortales tantam abripuere potentiam? Atqui vi cæterorum omnium animantium potentissimus homo. Etenim & fortioribus intellectu præstat, & super terram gradiens volatilium tamen dominus est, & in mari natantia captat, & vt simul dicam, omnibus animantibus ratione atque intelligendi facultate antecellit. Quomodo igitur Genesis in eum habet imperium, qui cæteris imperat omnibus, iis vero imperare nequit, quæ huius imperio continentur? Verum, vt apparet, hæc aduersus homines à malo dæmone instructa machina est, vt & piè viuere iustéque agere necessitatis esse effectum rati, alieni à Deo efficerentur; & quæ his contraria committerentur, ab eadem proficisci causa persuasi, nullum omnino peccatum prætermitterent. Nulla est igitur prorsus Genesis, sed à veritatis hostibus contra veritatem fingitur, quemadmodum ab huius amicis demonstratur.

Neque enim quod animalia ratione careant, in causa esse diligens rerum perscrutator deprehendet, quo minus bruta discant eadem, quæ homines solent, vt neque rationem in homine efficere, quod disciplinas prope infinitas comprehendat. Quam multos enim ex illorum sententia Geneses efficit surdos, mutos, stultos, inertes, ineptos? Quid igitur ratio profuit ex vtero prodeunti cæco surdo aut simili alicui? Et quibus animantibus inferiores non sunt, siue ad victum quærendum, siue ad discendum? Quid vero apiculæ nocuit, vel araneæ, vel formicæ, quod rationis expers sit, si horum quodlibet facit id, quod ei secundum naturam conuenit? Quid denique aliis obfuit animantibus ad suum cuiusque opus, quod rationis expertia sint? Nunquid propterea quod ratione carerent, impediti fuere siue cygni, siue cicadæ, quo minus alis suis cantum ederent? Sed quæ ex ipsa natura canendi peritos producere Genesis potest, quomodo non eloquentes ac disertos eadem reddidit? Cur bruta damnas? Nunquid nos aliquid nisi discamus, nouimus? Verum bruta animantia cum ratione destituantur, eorum quæ ad rationem spectant, discere nihil possunt. Quin ergo, cum perinde omnia ratione careant, non ea saltem discunt, quæ ad cætera bruta pertinent; vt grues quæ ad olores, asini, quæ ad canes, & ad apes aranea, & sic deinceps quodlibet, quod ad alterum spectat? Non certe quia ratione destituitur, propterea humanæ institutionis brutum capax non est, sed ob naturæ, quam conditor produxit, differentiam. Quodnam vero illud astrum est, quod hocce signiferi occupato signo ferarum atque iumentorum genus è terra, aut ex mari natalitium formauit? Et cur idem nunc quoque non efficit? Iam quæ immaturam mortem adducit Genesis, cur non vel decennem aliquem fecit esse senem, vel lanugine saltem faciem vestiuit? Et si vitæ spatium cuiusque nostrum ad quintum & sexagesimum annum, & nonnunquam etiam longissimè infra eum terminum rescecuit,

THEODOR. Episc. Tars.

qui fit, quod nunquam illud in quintuplum aut decuplum? at quid dico quintuplum, immo vel in triplum aut in duplum extendit? Quæ vbi vir ille dixit, mox Climacteris descriptionem subiecit, vt & astrologicorum nominum ac schematum, accuratius horum expositionem persequendo. Addit deinde, si per stellarum cursum atque schemata omnia animalia gubernantur, quomodo nullum vnquam astrum aut schema, aut vicini sideris exortus vel patrem esse mulum fecit, vel matrem mulam, cum tamen hi fœcundis non raro animalibus misceantur? Natura nimirum huius vim elidit, & vbique eam vincit: in temporis productione, in corporum congressu, in gestandi fœtus varietate, in ætatum immutatione, in cæteris, quæ secundum naturam fiunt omnibus quorum illa nihil potest immutare. Cur enim equus nullus vel asinus hominum effugit flagellum, cum cætera animantia horum ictum non ferant. At si qua, quæ tamen rara sunt, sustinent, ne sic quidem difficultas soluitur. Cur enim non & cætera omnia sustineant numero multo plura? Deinde inter ea, quæ flagris cæduntur, libera sunt bruta, dum adoleuerint: nam mox vt onera ferre cœperint, etiam verberari incipiunt. at homo potissimum in pueritia flagellatur: cum autem ad virilem ætatem creuerit, aut nunquam, aut saltem raro cæditur. Quare adhæc fibris, suibus, gallis gallinaceis, hominibus, equis, & quibusdam forte aliis, genitalia exsecantur, ferrúntque ipsos pro fœcundis steriles reddit: cum cætera tamen animantia non modo ab astrorum necessitate nihil læduntur, sed eam etiam irridendam proponant?

Cur tandem eadem stellarum positura eundem cursum tenente, si plantæ amputentur, rursum ramos emittunt, & circumtonsa herba æque vt antea, quin etiam altius exsurgit, cum in animalibus, si quod forte membrum dissectum fuerit, oculus, vel nasus, vel digitus, nihil plane Fatum ad huius membri restaurationem adiuuat, etsi hoc ipsum præbere illa quæ sic abstulit, censent? At non naturæ proprietas, sed astrorum motus quidam atque constitutio illud partim bestiis, partim hominibus distribuit. Iam vero quis sues, gallos gallinaceos, capras, boues, & si quid his simile est, ad mortem per gladium subeundam adiudicauit, cum plurima animantia hoc mortis genere non pereant? Olim præterea, cum idolis sacrificandi ritus vigeret, innumerabilis horum quæ iugulantur, multitudo vna sæpe immolabatur hora. Hoc vero more cessante, non perinde iam hæc animalia gladio subiiciuntur, siderum tamen constitutio, vt illi loquerentur, constanter eundem cursum tenent, inæqualiter adeo horum animalium conditionem immutauit, quæ cæterorum priscum viuendi modum inuariatum reliquit. Quod si forte alia quoque nonnulla ad hunc fere modum immutata sunt, quando id neque in omnibus, neque in plurimis accidit, æquabilis nihilominus astrorum cursus, & insuper incommutabilis illa necessitas ludibrio exposita est. Et hoc quidem Libri V. Capitisque quadragesimi tertij extremum est.

πῶς οὐδέποτε πενταπλάσιον ἢ δεκαπλάσιον; καὶ τί λέγω πενταπλάσιον, ἀλλ' οὐδὲ εἰς τὸ τριπλάσιον ἢ διπλάσιον παρεξέτεινε; ταῦτα εἰπὼν ὁ ἀνὴρ, καὶ κλιμακτῆρος καταγραφὴν ὑπήχθη ποιεῖν, καὶ τινῶν* ἀστρολογικῶν ὀνομάτων καὶ σχημάτων τὴν πυκνοτέραν ἀκριβολογούμενος ἔκθεσιν. ἐπάγει δὲ* ὡς εἰ τῷ δρόμῳ τῶν ἀστέρων καὶ τοῖς σχήμασι πάντα διοικεῖται τὰ ζῶα: πῶς οὐδεὶς ἀστὴρ, οὐδὲ σχῆμα, οὐδὲ παρανατέλλων γειτόνιον πατέρα ἢ μητέρα, καίτοι καὶ τοῖς γονίμοις πολλάκις μιγνυμένας, οὐδέποτε ἀπειργάσατο; ἀλλ' ἡ φύσις τὸ ἐκείνης λύει κράτος, καὶ πανταχοῦ ταύτην νικᾷ· ἐν παρατάσει χρόνων, ἐν ὁμιλίᾳ σωμάτων, ἐν κυοφορειῶν διαφοραῖς, ἐν ἐξαλλαγαῖς ἡλικιῶν, καὶ ἐν τοῖς ἄλλοις πᾶσι τοῖς κατὰ φύσιν, ὧν οὐδὲν ἐκείνη ἐξαλλάττειν δύναται. διὰ τί γὰρ ὄνων μὲν καὶ ἵππων οὐδεὶς τὰς ἐξ ἀνθρώπων διαφεύγει μάστιγας, τἄλλα δὲ τῶν ἀλόγων ζώων τὴν ἀπὸ τούτων πληγὴν οὐχ ὑπομένει; εἰ δέ που καὶ σπανία, τὸ ἄπορον οὐκ ἀνίεται. διὰ τί γὰρ μὴ καὶ τὰ ἄλλα πολὺ πλείω τυγχάνοντα; εἶτα καὶ αὐτῶν μαστιζομένων, τὰ μὲν ἄλογα, ἕως ἂν ἀνδρωθῇ, μαστίγων ἐλεύθερα: ἀχθοφορεῖν δὲ ἀρξάμενα, προσλαμβάνει καὶ τὸ τύπτεσθαι. ἄνθρωπος δὲ ἐν παισὶ μὲν ὢν, μάλιστα μαστίζεται: ἀνδρωθεὶς δὲ τῆς ἡλικίας αὐτὸν δυναστευούσης, ἢ οὐδαμῶς, ἢ ἐπ' ἔλαττον ὑπὸ μάστιγας ἄγεται. διὰ τί δὲ κάπροις μὲν, καὶ ὕες, καὶ ἀλεκτρυόνες, καὶ ἄνθρωποι, καὶ ἵπποι, καὶ εἴ τι ἄλλο ἴσως ἕτερον, τὸ γόνιμον ἀντὶ στεῤῥοῦ ἀποτέμνεται· καὶ σίδηρος αὐτοῖς ἀντὶ παιδογονίας δικάζει τὸ ἄγονον, τὰ δὲ ἄλλα τῶν ζώων τὴν ἀπὸ τῶν ἀστέρων ἀνάγκην ἀντὶ τοῦ σινοῦσθαι γελωμένην καταλείπουσι. τί δήποτε δὲ τῆς αὐτῆς ἀστροθεσίας τὸν αὐτὸν δρόμον ἐχούσης, φυτὰ μὲν περιτεμνόμενα πάλιν αὔξει κλάδους, καὶ περικειρομένη βοτάνη ἀνίσχει τὴν ἴσην ἢ καὶ πλείονα: τῶν δὲ ζώων εἴ τι τῶν μελῶν περικοπῇ, ὀφθαλμὸν ἢ ῥῖνα, ἢ δάκτυλον, οὐδὲν ἡ εἱμαρμένη πρὸς τὴν τοῦ μέλους ἀνάφυσιν συλλαμβάνεται; καίτοι ταύτην καθιζοῦσιν ἐκείνοις χαριζομένην ἅπερ ἀφεῖλεν; ἀλλ' οὐχ ἡ τῆς φύσεως τοῦ ἰδίωμα: αὐτὸ δὲ τοῦτο τις ἀστέρων κίνησις καὶ σχῆμα, τὰ μὲν εἰς ἀλόγους, τὰ δὲ εἰς λογικοὺς διεκλήρωσε. τίς δὲ ὑσὶ μὲν καὶ ἀλεκτρυόσι, καὶ αἰξὶ, καὶ βουσὶ, καὶ εἴ τι τούτοις ὅμοιον, τὸν διὰ μαχαίρας ἐδικαίωσε θάνατον; τὰ δὲ πλεῖστα τῶν ἄλλων ζώων τὴν τοιαύτην οὐκ εἶδεν ἐπήρειαν; ἀλλὰ καὶ τούτων ἀναιρουμένων, πάλαι μὲν τῆς εἰδωλοθυσίας ἐπικρατούσης, ἄπειρον ἐν ὥρᾳ μιᾷ κατεθύετο πλῆθος: νῦν δὲ παυθείσης ἐκείνης, οὐχ ὁμοίως τὸ ξίφος ὑπέρχονται: καὶ τῶν ἀστέρων ὁ σχηματισμὸς, ὡς ἂν ἐκεῖνοι φαῖεν, ἀναλλοιώτως τὸν αὐτὸν ἐξομαλίζων δρόμον. οὕτω μὲν τὰ περὶ τούτων ἀνωμάλως ἐξηλλοίωσε, τῶν δ' ἄλλων ζώων τὸν τρόπον τῆς ἀρχαίας ζωῆς οὐ μετέβαλεν· εἰ δὲ καί τινα παραπλησίως τούτων μεταβέβληκεν: ἀλλ' ὅτι μὴ πάντα, μηδὲ τὰ πλεῖστα, οὐδὲν ἧττον ὁ τῶν ἀστέρων ὁμαλὸς δρόμος, καὶ πρὸς ἀπαράβατον* ἀνάγκη διεχλεύασται. ἀλλ' εἰς τοῦτον μὲν πέρας καὶ ὁ ε λόγος, καὶ τὸ ἕτερον* καὶ μ' κεφάλαιον καταλήγει.

* al. ἀστρονομικῶν.
* al. ἐπάγει
* al. ὁ.
* al. ἀναγκαῖον.

Ἐν δὲ

Ἐν δὲ τῷ ἕκτῳ μὲν λόγῳ, τετάρτῳ δὲ καὶ μ' κεφαλαίῳ, ταῦτα ὑποβάλλει. εἰ τῆς γενέσεώς φησιν ὁ δρόμος ἀπὸ γῆς τὸν ἄνθρωπον, καὶ τὰ ἄλλα τῶν ζώων ἀπετέλεσε: πῶς νυνὶ χωρὶς γάμου, οὔτε ἄνθρωπον, οὔτε τὰ μυρία εἴδη τῶν ζώων οὐδαμῶς προσάγουσα δείκνυται. εἰ δέ τινα τούτων καὶ νῦν προσάγει, ὥσπερ καὶ σκώληκας, καὶ τὰ τοιαῦτα ἔνια: πῶς μὴ καὶ πάντα ὅσα ὁμοίως ἀπ' ἀρχῆς τῆς γῆς ἔδειξε φυόμενα. ἀλλ' εἰ καὶ δρόμος ἀστέρων τοὺς ἀνθρώπους ἀπὸ γῆς κατ' ἀρχὰς ἔπλασε, πῶς οὐχὶ καὶ τεχνίτας αὐτίκα συμπροήγαγεν; ἀλλὰ πολλῷ χρόνῳ ὕστερον τεκτονικὴ καὶ ὑφαντικὴ καὶ ἱστορικὴ, γεωμετρία τε καὶ ῥητορικὴ, καὶ μυρίαι τέχναι ἄλλαι λογισμοῖς ἀνθρωπίνοις εὑρέθησάν τε καὶ ἐπηγάγοντο; εἰ δὲ καὶ προαχθῆναι ἀπὸ γῆς ἐπιστήμονας τοὺς ἀνθρώπους τερατεύονται· πῶς τότε μὲν αὐτοὶ μαθήσεως ἐπιστήμονες ἀνεφύοντο: νυνὶ δὲ πόνοις καὶ μελέταις μόλις κατορθοῦσι τὴν μάθησιν; ποῦ δὲ οὖν οἴχεται δρόμος ἐκεῖνος ὁ παλαιὸς, ὁ τοὺς ἅμα τῇ προόδῳ [τοὺς] σοφοὺς ἀναπλάττων; καὶ πόθεν τὰ νῦν ἀνέστη ὁ τοὺς αὐτοφυεῖς ἐπιστήμονας πόνοις προσβιβάζων καὶ * μακρᾷ μελέτῃ. τί δὲ οὖν ὁ μιαιφόνος ἐποίει τότε Ἄρης, τότε τῶν ἀνθρώπων κατ' ἀλλήλων οὐχ ὁπλιζομένων; ποῦ δὲ ὁ βασιλέας καὶ ἄρχοντας ποιῶν τῶν ἀστέρων δρόμος πολλαῖς γενεαῖς ὕστερον, καὶ τὸ κατὰ κώμας οἰκεῖν; μή τι γε πόλιν ἢ ἀρχὴν εἰδέναι ἐπινοησάντων. διὰ τί δὲ πάλαι μὲν ἄνθρωποι τεχνῶν ἐχρημάτιζον εὑρεταὶ, νῦν δὲ ταῖς ἐξευρημέναις ἀρκούμενοι, περαιτέρω προσθεῖναι οὐκ ἐπινοοῦσιν ἢ δῆλον, ὅτι ὁ παρὰ θεοῦ τοῖς ἀνθρώποις δοθεὶς νοῦς τῷ χρόνῳ καὶ πόνῳ καὶ πρό γε τούτων τῇ ἄνωθεν συνεργίᾳ τὰ πρὸς τὸν βίον χρήσιμα ἐξευρὼν, ἔστη τῆς περαιτέρω καὶ ματαίας ἐνταλαιπωρεῖσθαι ταῖς ἐπινοίαις. πῶς δὲ τῷ αὐτῷ κλίματι ἔθνος μὲν ὁλόκληρον κομᾷ, ἄλλο δὲ κείρεται; καὶ ἄλλο μὲν μιξογαμεῖ, τὰ πλείω δὲ μυσαρὰν τὴν πρᾶξιν ἡγοῦνται; καὶ μυρίαις ἄλλαις * κατατέμνεται διαφοραῖς νόμων, βίων, ἐθῶν; καὶ οὐδεὶς ἀστέρων δρόμος οὔτε τοὺς κομήτας κείρει, οὔτε τοὺς κειρομένους κομᾶν ἐκβιάζεται· οὐδὲ τὰ ἄλλα πράττειν ἄλλους, ὅσα τοῖς παρὰ σφίσι νόμοις οὐκ * ἔμαθον. καὶ τὰ μὲν τοῦ παρόντος κεφαλαίου τοιαῦτα. ἐν δὲ τῷ ἑξῆς ἐπάγει· ὡς εἰ καὶ δόξαιεν καταφεύγειν οἱ τῆς εἱμαρμένης ἐρασταὶ ἐπὶ τοὺς παρανατέλλοντας, οἳ τῶν ζῳδίων καὶ τῶν πλανητῶν εἰσὶν ἕτεροι· καὶ οὔτε τοῖς τῆς γενέσεως ἀποτελέσμασι χαίρουσιν, οὔτε ἀλλήλοις συνᾴδουσιν: ἀλλὰ καὶ τὰς τῶν κλιμάτων διαφορὰς, ἕκαστος αὐτῶν τὰ οἰκεῖα χορηγεῖ ἀποτελέσματα. εἰπάτωσαν ἡμῖν, ποῦ τὸ τῆς γενέσεως βέβαιον, καὶ ἀπαράλλακτον. ἕκαστος γὰρ τούτων ἰδίαις ἐνεργείαις τὰ ταύτης ἀνακόπτων· ἐξ ὧν, φασὶν, ἐπιδείκνυται ἀποτελέσματα. καί τοι οὐδὲ πάντες τὸ αὐτὸ τῆς γῆς ἔχουσι μέρος. οἷον ἡ περσῶν καὶ ἰβήρων μοῖρα ἢ ἡ λαζῶν καὶ ῥωμαίων, ἢ τῶν ἄλλων. πῶς οὖν τόδε τι ἔθνος * πρὸς τόδε ἀντικειμένοις καὶ βίοις καὶ νόμοις, καὶ ἤθεσι διοικεῖται; δεύτερον δὲ πῶς τὰ πλεῖστα τῶν ἐθνῶν ἐν τοῖς ἰδίαις γῆς ὅροις ἱδρυμένα εἰς τὰ τῶν ῥωμαίων μετέβαλεν ἤθη.

* al. μακρᾷ.

* al. κατατέμνονται.

* al. ἐμάθον.

* al. εἰς.

THEODOR. Episc. Tars.

SEXTO autem Libro & Capite quadragesimo quarto hæc subiicit. si Geneseos cursus ait è terra hominem cæteraque animalia produxit: quo modo nunc sine coniugio nequaquam vel hominem, vel varias illas animantium species, producere deprehenditur? Quod si & nunc quædam eorum sic producit, vermes puta & id genus nonnulla, quomodo non etiam omnia alia quæcumque eodem modo è terra ab initio prognata exhibuit? At si forte stellarum cursus homines è terra initio formauit, cur non eos ita produxit, vt simul artibus instructi prodirent? sed longo post tempore & fabrilis ars atque textoria, & historica, Geometria, Rhetorica, aliæque innumeræ artes humano sunt ingenio primum excogitatæ atque inductæ? Si vero prouenisse homines olim scientia instructos è terra nugentur: quomodo tunc sine disciplina docti sunt nati, qui nunc vix multis laboribus atque exercitationibus doctrinam parant? Quo nunc igitur verus ille cursus recessit, qui ab ipso ortu sapientes homines fingebat? aut vnde hic noster prodiit, qui natura sua peritos non nisi per labores ac longam exercitationem prouehit?

Quid igitur crudelis Mars tum faciebat, cum homines in mutuam cædem non armarentur? Vbi astrorum cursus ille Regum & Principum multis post sæculis, vt & pagos habitandi auctor, cum neque mente quidem vrbem vllam aut imperium homines excogitassent? Cur adhæc olim homines artium inuentores erant, nunc verò inuentis contenti longius progredi non student? Manifestum certe datam à Deo hominibus intelligendi vim, post inuenta cum tempore & labore, ac potissimum cum cœlesti auxilio ea quæ ad vitam tuendam erant vtilia, iam constitisse, neque vltra quidquam frustra comminiscendis nouis allaborare. Quomodo item eiusdem Prouinciæ tota natio aliqua comam nutrit, alia tondetur? Et quædam gens matribus miscetur, plures vero hunc execrandum esse morem ducunt? Etsi aliis insuper innumerabilibus differentiis legum, vitæ, ac consuetudinum distinguuntur. neque tamen vllus siderum cursus aut comatos tondet, aut attonsos comam alere cogit, aut alia alios facere, quæ suis ipsi legibus docti non sunt. Hæc autem ipso capite continentur.

Proximo vero illud adducit, Si etiam Fati amatores illi fugiendum putent ad vicinatum stellarum exortus (quæ à Signis atque Planetis diuersæ, fatalibus Geneseos euentis affines non sunt, neque inter se consentiunt, sed pro climatum differentiis, singulæ suos suppeditant euentus) dicant velim nobis, vbinam sit Geneseos inconcussa illa firmitas atque constantia? Ex iis enim quæ ipsi referunt satis apparet, propriis viribus harum singulas illius effectus rescindere. Quanquam non omnes idem terræ spatium obtinent. qualis sit Persarum atque Iberorum portio, vel Lazorum atque Romanorum, seu aliorum quorumcumque. Quomodo igitur hæc gens oppositis adeo illius gentis viuendi normis, legibus, ac moribus gubernatur? Deinde quomodo pleræque gentes suos quæque fines incolentes, in Romanorum terminos irruerunt

THEODOR. Episc. Tars.

Tertio verò, migrauit olim populus Iudaicus in Ægyptum, neque tamen à patriis legibus recessit: ex Ægypto deinde idem iterum demigrans, Palæstinam & Arabiam inhabitauit, idololatris prius bello pulsis. nec à mosaica ideo lege desciuit, vt neque tunc, cum in captiuitatem Babylonem deductus est, sed nec postea per totam terram dispersus patrias leges deseruit. Nullius enim extra Zodiacum positæ stellæ ortus, ac neque Genesis ipsa, circumcisionis illos aut sabbathi præceptum soluere coegit. Quin & nostrum genus, Christianorum, inquam, quadringẽtis abhinc annis exortum, subito Orbem, qua patet, occupauit, à suis gente qualibet ritibus abducta, atque ad ducendam ex pietatis præscripto vitam tralata. non id patriam mutando, sed in eadem, vt solebant, habitando; atque ita vetusta illa stellarum harum Apotelesmata imbecilla & risu digna relinquendo. Itaque ab hominibus indoctis prolata doctrina, hæc ipsa manifeste euertit, quibus pudibunda cedebat imbellis Genesis. Etenim paruit quidem olim Assyriis subactus orbis, hinc Babylon imperauit, deinde Medi imperium exceperunt, & post illos Persæ, donec id tandem ad Macedonas transiit: attamen quæque gens suos retinebat mores, & à suis regebatur Regibus, ac saltem communem illum, qui omnibus imperabat, agnoscebat Dominum. Nunc vero, quemadmodum vna duntaxat est religio, sic & regium imperium vnus tenet, trecentisque gentibus aut amplius, non nisi vna legitima imperij Romanorum maiestas præest, quemadmodum & Religio non nisi vna est. neque tamen aliquem hoc tempore cogit Genesis vel idola colere, aut matribus misceri, aut alia quædam patrare, quibus metuendæ gentes illæ non inter se tantummodo discrepabant, sed etiam ab oppositis sibi inuicem nationibus distinguebantur. Illud ergo nobis explicent, quomodo Religionis atque doctrinarum mutationem Fatum inducat, neque tamen cætera mutandi vim vllam habeat? Neminem enim vnquam aut suadendo, aut vi cogendo eo adduxisse videtur, vt cum ignominiæ, paupertatis, inualetudinis, seruitutis, iniuriæ, aut alicuius ex infinitis aliis horum similibus desiderium caperet. Sed quemadmodum vbique visa est natura potentior quam fatales effectiones, sic & ratio, propriæ libertatis dignitate seruata, manifestè satis in iis, quæ voluntariè operatur, nugas istas vincere demonstratur.

Verumtamen si piè aut impiè agere à Genesi proficiscitur, explicent velim nobis. quæ Genesis Stoicum reddat? quæ Epicureum? Peripateticum item qualis, aut Platonicum? quæ immolare Baccho, aut Cereri, Solive aut Lunæ? Quæ Ægyptium pecus adorare, vel canem felemve? quæ Manichæum reddat? quæ Valentinos? Quod si indicare nequiuerint, ne quoque vltra sese efferãt, moneo. In nobis igitur situm non in Geneseos operatione, sic vel sic Numen colere. Si vero hoc: vtique & colere simpliciter: & [omnino] nõ colere: è partibus enim totum constat. Quomodo autem non absurdissimum illud sit, improbum per Genesim fieri, & eidẽ tamen improbitatis nomine odio esse?

ἀλλὰ καὶ ξένον, μετῴκισε μὲν τὸ ἰουδαίων ἔθνος εἰς αἴγυπτον, τῶν δὲ πατρῴων νόμων οὐ μετέστησεν. αἰγύπτου δὲ πάλιν * ἀπαναστάντες, παλαιστίνην μὲν καὶ ἀραβίαν ἐποικοῦσι, τοὺς πρὶν οἰκοῦντας εἰδωλολάτρας πολέμοις ὠσάμενοι· καὶ τὸν μωσαϊκὸν οὐ παρεξέβησαν νόμον, ἀλλ᾽ οὐδ᾽ ὅτε * πρὸς βαβυλῶνα δορυάλωτον τὸ ἔθνος ἀπήχθη, καὶ μετὰ χρόνους εἰς πᾶσαν τὴν γῆν διεσκεδάσθη, καὶ τῶν πατρῴων οὐκ ἀπεστάτησε νόμων. καὶ οὔτε τις τῶν παρανατελλόντων, οὔτε ἡ γένεσις κατηνάγκασεν αὐτούς, ἢ τῆς περιτομῆς ἢ τοῦ σαββάτου τὸ παράγγελμα λῦσαι. τὸ δέ γε ἡμέτερον γένος, τὸ τῶν χριστιανῶν λέγω, πρὸ τετρακοσίων μὲν ἐτῶν τὴν ἀρχὴν ἔσχεν, ἀθρόον δὲ πᾶσαν ἔλαβε τὴν οἰκουμένην. καὶ τῶν μὲν οἰκείων ἐθῶν ἕκαστον ἀπέστησεν ἔθνος, εἰς δὲ τὸν τῆς εὐσεβείας μετερρύθμισε βίον. οὐ τὰς πατρίδας μεθισταμένους, ἀλλὰ τὴν αὐτὴν ὡς καὶ πρότερον οἰκοῦντας· καὶ * τῶν παρανατελλόντων ἀποτελέσματα πολυχρόνια σαθρὰ καὶ γελᾶσθαι κατέλιπεν ἄξια. καὶ πρὸς ἃ ἡ γένεσις ἰσχὺν οὐκ ἔχουσα κατεδύετο, ταῦτα περιφανῶς τὸ τῶν ἀγραμμάτων κατέλυσε κήρυγμα. ἐδούλευσε μὲν οὖν ἀσσυρίοις ὁ κόσμος πάλαι, εἶτα βαβυλὼν ἐκράτει, καὶ μῆδοι τὴν ἀρχὴν * διεδέξαντο, καὶ μετ᾽ ἐκείνους πέρσαι, καὶ πρὸς μακεδόνας ὕστερον τὸ κράτος ὅλον μετέβαλεν. ἀλλ᾽ ἕκαστον ἔθνος τοῖς οἰκείοις * ἔμενεν ἔθεσι, καὶ βασιλεῦσιν ἰδίοις ἐπολιτεύοντο, εἰ καὶ μὴ τὸν πάντων κρατοῦντα κοινὸν δεσπότην ἐπεγίνωσκον. νυνὶ δὲ ὥσπερ ἡ εὐσέβεια μία, οὕτω καὶ ὁ τὸ βασίλειον κράτος ἔχων εἷς, καὶ τριακοσίων ἐθνῶν ἢ καὶ πλειόνων, μία τις ἔννομος τῶν ῥωμαίων, ὥσπερ καὶ ἡ εὐσέβεια, ὑπάρχει ἀρχή· καὶ οὐδένα βιάζεται ἡ γένεσις νῦν, οὔτε εἰδωλολατρεῖν, οὔτε μητρογαμεῖν, οὐδὲ τὰ ἄλλα, ὅσοις τὰ φοβερὰ τῶν ἐθνῶν οὐκ ἐξήλλαττε μόνον ἀλλήλων, ἀλλὰ καὶ πρὸς τὰ ἀντικείμενα κατετέμνετο. ἐκεῖνο δὲ ἡμῖν λεγέτωσαν, πῶς εἱμαρμένη μεταβολὰς ποιεῖ θρησκείας καὶ δογμάτων, οὐχὶ καὶ τὰ ἄλλα ἰσχὺν οὐδεμίαν μεταβαλεῖν ἔχει: οὐδένα γὰρ ἐφάνη πείσασα, οὐδὲ βιασαμένη ἀδοξίας, ἢ πτωχείας, ἢ ἀρρωστίας, ἢ δουλείας, ἢ κολάσεως, ἢ ὕβρεως, οὐδὲ μυρίων ἄλλων τοιούτων πόθον λαβεῖν. ἀλλ᾽ ὥσπερ ἡ φύσις κρείττων ὤφθη πανταχοῦ τῶν τῆς γενέσεως ἀποτελεσμάτων, οὕτω καὶ ὁ λογισμὸς τὸ οἰκεῖον τῆς ἐλευθερίας ἀξίωμα διασώζων, ἐν οἷς αὐθαιρέτως πράττει, τὸν ἐκεῖθεν δείκνυται κατεξουσιάζων λῆρον. ἀλλὰ γὰρ εἰς τὸ εὐσεβεῖν καὶ δυσσεβεῖν ἀπὸ γενέσεως λεγέτωσαν ἡμῖν, τίς γένεσις στωϊκὸν ποιεῖ: τίς δὲ ἐπικούρειον, περιπατητικὸν δὲ ποία: ἢ πλατωνικόν: τίς λατρεύειν Διόνυσον, ἢ Δήμητραν, ἢ Σελήνην, ἢ Ἥλιον: ἢ τὸν αἰγύπτιον συνελαύνει λατρεύειν τὸ πρόβατον, ἢ τὸν κύνα, ἢ τὸν αἴλουρον: τίς δὲ μανιχαῖον ἀποτελεῖ, τίς οὐαλεντίνους: εἰ δὲ οὐκ ἂν φαῖεν, οὐδ᾽ ἂν πλέον θρασυνθεῖεν. ἐν ἡμῖν ἄρα, καὶ οὐ τῆς γενέσεως ἔργον, τὸ τοιῶσδε ἢ τοιῶσδε σέβειν. εἰ δὲ τοῦτο: καὶ τὸ σέβειν ἁπλῶς, καὶ τὸ μὴ σέβειν. ἐκ τῶν μερῶν γὰρ τὸ ὅλον συνίσταται. πῶς δὲ οὐκ ἀλογώτατον, πονηρὸν γενέσθαι ἀπὸ γενέσεως, καὶ μισεῖσθαι ὑπὸ τῆς αὐτῆς διὰ τὴν πονηρίαν:

* al. ἐπαναστάντες.

* al. οὐδ᾽.

* al. τὰ.

* al. διεδέξατο.

* al. ἐμμένει.

ὁμοίως

THEODOR. Episc. Tars.

ὁμοίως καὶ ἀγαθὸν γίνεσθαί τε καὶ θαυμάζεσθαι, μοιχὸν ὁμοίως ἢ φονέα, καὶ δρᾶν ὑπ' αὐτῆς τὰ ἄτοπα βιαζόμενον, καὶ διὰ τοῦτο κολαζόμενον; νομοθέτας καθίζειν, κολάζειν τοὺς ἁμαρτάνοντας, καὶ ἑτέρους συνωθεῖν καὶ ἄκοντας πρὸς τὰ ἁμαρτήματα καὶ ὅσων ἄλλων τοιούτων μεστὸς ὁ βίος ὁρᾶται. ἅπερ εἰ μὲν ἐν ἡμῖν, ἡμέτερον καὶ τὸ ἔγκλημα τῶν ἐργαζομένων: εἰ δὲ τῆς γενέσεως τὸ κράτος, ἡ μέμψις ἐκείνης, ἢ τοῦ ταύτην πεποιηκότος. οὕτω πανταχόθεν τὸ τῆς εἱμαρμένης μετὰ τοῦ ἀσυστάτου * ἀσεβές τε καὶ παλίμφημον. ἀλλὰ γὰρ ἐν τούτοις καὶ τῶν λόγων ὁ ἕκτος καὶ τὸ ε καὶ μ' ἐπεράτωθη κεφάλαιον.

Ἐν δὲ τῷ ζ.* λόγῳ ἀπορίαν τινὰ δῆθεν ὑπὸ τῶν ἀστρολόγων προβαλλομένην διεξελθὼν, ἐπάγει καὶ τὴν λύσιν. λέγουσι γάρ φησιν, εἰ μὴ ἀπὸ τῆς εἱμαρμένης, πόθεν τὰ κακά; οἷς καὶ ἀποκρίνεται.* ὡς εἰ μὲν ἃ διαπράττομεν ἀλλήλοις τὰ κακὰ μαθεῖν ἐθέλοιτε, πόθεν, τοὺς δρῶντας ὁρῶντες, μάτην αἰτίαν ἄλλην ζητεῖτε; εἰ δὲ ἃ πάσχομεν ἄκοντες, [καὶ] τοῦτο φανερὰν ἔχει τὴν λύσιν, ἐθολώσαμεν παντοδαπῆς κακίας θυέλλῃ τὸν βίον, πράττομεν ἃ μισεῖ καὶ ἀποστρέφει θεός: διὰ τοῦτο πάσχομεν ἃ μὴ θέλομεν, ἵνα μηκέτι πρὸς τὸ πλεῖον ἐκφερώμεθα. ἢ ἐχρῆν ὑπευθύνως οὕτω βιοῦντας εὐδαιμονίας ἀπολαύειν, ἵνα τε πλέον θεὸς ἠγνοήθη, καὶ προθυμότερον πρὸς τὰ πάθη καταφερώμεθα. εἰ δὲ πράττειν τὰ ἄτοπα διὰ τῆς εἱμαρμένης ὁ θεὸς ἡμᾶς κατηνάγκαζε: πῶς πάλιν κολάζει ὡς πταίσαντας; ἕτερον δὲ ἐστιν, ὡς δῆλον, τὸ συγχωρεῖν * χρῆσθαι τῷ αὐτεξουσίῳ, καὶ αἱρεῖσθαι ἕκαστον ὃ βούλεται: καὶ τὸ καταναγκάζειν πράττειν τὰ ἄτοπα. πῶς δὲ ὑμῖν, φησιν, ἐπῆλθε τῶν τοῦ θεοῦ οἰκονομιῶν ἀγνοοῦσι τὸ βάθος, εἰς τὸ τῆς γενέσεως ἀποστραφῆναι πλάσμα; καὶ ὅτι μὴ ἐπὶ γῆς ἕρποντες εἰς τὸ τοῦ δημιουργοῦ τῶν κριμάτων ὕψος ἀνέβητε, διὰ τοῦτο ἐπ' ἀστέρας καὶ σελήνην καὶ ἥλιον τὰς αἰτίας ἀνάπτειν παρήχθητε τῶν παρ' ἡμῖν πραττομένων. καὶ ἃ μὲν ἑαυτοὺς ὁρῶμεν ἐργαζομένους, οὐχ ἡμέτερα εἶναι περιϊστάμεθα. ἃ δὲ οὐκ ἔστιν ἰδεῖν τοὺς ἀστέρας πράττοντας, ἐκείνων εἶναι τὸ ἔργον καταψευδόμεθα. κἀγὼ δέ φησι ταῦτα γράφων, ὑπὸ γενέσεως καθ' ὑμᾶς ἠναγκάσθην γράφειν τοὺς κατ' αὐτῆς ἐλέγχους· ὥστε καὶ οὕτως αὐτὴ καθ' ἑαυτῆς πλέον τῶν ἔξωθεν αὐτῇ μαχομένων ἐπανίσταται. Τί δὲ καὶ ὄφελος, τὸ μανθάνειν τὰ ἀπὸ γενέσεως προσδοκώμενα; εἰ μὲν γὰρ ἔστι φυγεῖν τοὺς μαθόντας ἃ ἐπέκλωσε, λῆρος ἡ πρόρρησις. κρατεῖ γὰρ τὸ ἐν ἡμῖν τῆς γενέσεως· μάλιστα δὲ τοὺς τῆς εἱμαρμένης ἐπιστήμονας τὸ λύειν αὐτῆς τὸν εἱρμὸν συμβήσεται. εἴτε γὰρ τῶν ἄλλων μᾶλλον τὸ ἀπὸ γενέσεως αὐτοῖς ἐπιστάμενοι, οὐδὲν τῶν ἀπὸ ταύτης [αὐτοῖς] ἀπειλουμένων συμπεσεῖν παραχωρήσουσιν. εἴτε, ἀλλ' οὐκ ἐκτός φασι γενέσεως τὸ * μανθάνοντας ἀπαλλάττεσθαι· εἰς κοινὸν ἡ γένεσις εἰς τὰ ἀντικείμενα τέμνεται καὶ τὸ μὲν αὐτῆς προλέγει, τὸ δὲ καταγελᾷ τῆς προρρήσεως. καὶ τί ἂν [εἴη] γελοιότερον; πολλὴ δὲ πάλιν καὶ ἄλλως ἀδικία καὶ ἀνωμαλία. διὰ τί γὰρ μὴ πάντας ἔπεισε μανθάνειν, ἵνα πάντες τῶν τοσούτων ἀπαλλάττωνται;

* al. κεφαλαίῳ.
* al. ἀπὸ τῆς εἱμ.
* χρῆσθαι.
* al. μαθόντας.

similiter & bonum fieri, atque admirationi esse, & similiter adulterum, aut homicidam? Ab eadem item per vim coactum mala perpetrare, & rursum ob illud ipsum puniri? Legislatores constituere, sceleratos punire, & nihilominus alios vel inuitos impellere ad peccandum, seu ad alia quibus referta est hominum vita? Quæ siquidem in nostra sunt potestate, nobis quoque eorum quæ fiunt culpa sustinenda: Sin Genesis summam potestatem obtinet: aut hæc culpanda, aut is certe, qui hanc condidit. Ita vndique Fatum non consistere tantum nullo modo posse, sed impium insuper esse, atque probrosum [ostenditur.] Verum his & Liber sextus & quintum ac quadragesimum Caput absoluitur.

SEPTIMO autem Libro quæstionem ab Astrologis proponi solitam dissoluit. Dicunt enim, ait, Vnde exsistunt mala, si non à Fato proficiscuntur? Quibus sic respondet: Si quæ nobis mutuo mala struimus, discere velitis vnde exsistant, dum eorum patratores vestris oculis conspicitis, frustra causam aliam quæritis: Sin ea mala, quæ inuiti patimur, etiam huius solutio ad oculum patet. Perturbauimus omnigenæ improbitatis turbine ipsam vitam, facimus quæ odit & auersatur Deus: Ideo patimur quæ nolumus, vt ne deinceps in vitia prolabamur. Nisi forte oportuit ita criminibus obnoxios felicitate insuper potiri, quo Deus amplius etiam ignoretur, & nos pronius in mala feramur. At si perpetrare mala per Fatum Deus nos cogit, quomodo rursum velut peccantes castigat? Aliud autem est, vt clarum, permittere quemlibet libero arbitrio vti, & quod velit eligere: aliud ad committenda mala impellere. Quomodo vero vobis, ait, diuinæ gubernationis profunditatem ignorantibus, in mentem venit ad Geneseos illud figmentum conuerti? & quæ nos ipsos efficere videmus, ea non esse nostra nugari; quæque astra efficere nullo modo possunt, hæc tamen per illa fieri mendaciter fingere? Quia per terram reptantes vos ad Conditoris ipsius iudiciorum altitudinem nequaquam ascendistis, propterea in stellas, Lunam, Solemque, eorum quæ à nobis fiunt, causas referre conati estis. Quin ego ipse, inquit, dum hæc scribo, à Genesi secundũ vos, coactus sum has eius scribere reprehensiones: vt ita etiam ipsamet acrius aduersus seipsam, quam vllus alius extrinsecus eam oppugnans hostis insurgat. At vero quid iuuat ea discere, quæ à Genesi exspectantur? Nam si quidẽ vitare cognoscentibus conceditur, quæ Fato destinata sunt, inepta est prædictio: Vincit enim quæ in nobis est facultas Genesim: & maxime, quibus Fatum nõn ignorũ, soluere ipsius seriem poterunt, cum hi magis quã cæteri, quæ à Genesi ordinata sunt cognoscentes, nihil eorum quę ipsa minitatur, accidere sibi patientur. At nec hoc, iterum illi aiunt, extra Geneseos seriem est, quod qui hæc cognouerint, eripiantur. Igitur Genesis in contraria diuiditur, partimque prædictionem adhibet, partim eam ipsam irridet: quo quid magis ridiculum esse queat. Quanquam & alia rursus ex parte multa est in ea iniustitia atque inæqualitas. Cur enim non omnibus hoc persuasit, vt euentura sibi discerent, quo item omnes ex his eriperentur?

THEODOR. Episc. Tars.

Quod si vero ei qui ista cognouerit, effugere tamen non licet; quid frustra cognoscere iuuat, curisque ante tempus consumi, percelli ante ictum, & ante mortê grauius quam morte ipsa affligi? Hoc porro omnibus perspicuum, eos, qui Fatum asserunt, & proborum laudes atque coronas è medio tollere, & improbis contra iniustam denunciare pœnam atque correctionem. Nam si necessitate adductus est vter libet ad ea, quæ agit, iam [a] neque virtuti merces vlla est, neque scelerum pœnam exigere licet, quod non potest non penitus nostram vitam confundere atque inuertere, & omnibus in Deum linguam suam acuentibus esse impudentius. Non sufficiebat nimirum miseris, si cogerentur mala cogitare, dicere, facere: sed cum eorû misereri oporteret, odium insuper adiicitur & pœna. Vbi si quis dixerit, nostrum non esse scire, cur Deus talem condiderit Genesim; is dum modeste agere se fingit, pietatem perstringit, ac per ea ipsa etiam magis fit impius, per quæ moderatè loqui videtur. Si enim vere bona Genesis est, quæ nobis mala apparet, & id quidem per ipsam Genesim: non iam hoc meum erratum est, si malam puto, quæ mala nô est; sed eius potius, qui tale per Genesim iudicium cogitatis nostris insevit. Nam si meum erratum est, aliena erunt vtique à Genesi, quæcumque ad cogitata pertinent, quæ & sermo & operatio sequuntur. frustráque fuerit Genesis. Vera igitur moderatio cautáquê hic circumspectio non sit, malam finxisse Genesim, deindeque Deo malorum cogitationem concedere; neque item illud, affirmare eundem & ad malum impellere, & quos eo per Genesim impulerit, nihilominus punire. non sunt hæc modestè loquentis, sed ipsa demissionis specie in grauem errorem inducentis. At vero pietatem colens soboles, nullam Deo iniuriam per illa eadem facit, per quæ ipsum colere se arbitratur: neque eius tollit bonitatem, malorum ipsi potestatem attribuendo: iniuriam enim facere neque modo nouit, neque vnquam poterit diuina potentia. non, quem hæc homicidam fecit, postea castigat: nô ita prohibet labi, vt deinde & cogat nô obtéperare præcepto, & puniat negligentem. Hæc neque in Deum cadunt, neque a pia mente admittuntur. Nos autem quæ consentanea sunt mente agitantes, perfectè Deum omnia quæ in mundo sunt, comprehendere fatemur; at non etiam ipsi côprehendere hæc contendimus, certi nos nunquam comprehensuros. Cæterum hanc esse veram Dei potentiam agnoscimus, quod neque a malis aliquando superetur, & quod in rerum conditarum vtilitatem bonitate vtatur. At tu mihi etiam illud considera. Solent in venationibus tauri stimulis excitari, atque ad pugnandum proritari, dolorem quoque dominis sentientibus, si forte minus excandescant. Verum astrorum ille cursus morte remuneratur eos, qui ipsius fatalibus decretis obsecutus fuerit. Seruos adhæc nostros immorigeros castigamus, obsequentes præmio afficimus. At illa quæ hæc cogitare ac facere cogit Genesis, & labi iubet, & persuasos cruciatibus subiicit. Eadem item nos quidem iustos in subditos interdum facit, cum ipsa interim iniustissima in nos committere non erubescat. An non igitur extremæ dementiæ hæc statuere? Atque hæc quinto & quadragesimo Capite disserit.

[a] Ex tero hic vocalum γὰρ, ex præcedente forsitan versu elapsum.

εἰ δὲ καὶ μαθόντα μὴ δυνατόν ἐστι φυγεῖν· τί χρὴ μανθάνειν μάτην, καὶ ταῖς φροντίσι προδαπανᾶσθαι, καὶ πλήττεσθαι πρὸ τῆς πληγῆς, καὶ πρὸ τοῦ θανάτου χεῖρον τῶν τεθνεώτων κολάζεσθαι; ἐκεῖνο δὲ πᾶσι καταφανές, ὡς ὁ τὴν εἱμαρμένην εἰσάγων, καὶ τῶν σπουδαίων ἀφαιρεῖται τοὺς ἐπαίνους καὶ τοὺς στεφάνους· καὶ τῶν κακούργων ἄδικον ἀνακηρύσσει τὴν ποινὴν καὶ τὰς εὐθύνας. εἰ γὰρ ἑκάτερος ἐξ ἀνάγκης ἦλθεν εἰς τὸ πράττειν ἃ πράττει· [a] οὔτε [γὰρ] τῆς ἀγαθοεργίας ἐστὶ μισθὸς, οὔτε τῆς κακουργίας ποινῆς εἰσπραξις· ὃ πῶς οὐκ ἂν εἴη ὅλως ἡμῶν * συγχέων καὶ ἀνατρέπων τὸν βίον, καὶ κατὰ τοῦ θεοῦ τὴν γλῶσσαν πάντων ὀξυνόντων ἀναιδέστερον; οὐκ ἤρκει δὲ τοῖς δυστυχέσι, τὰ κακὰ νοεῖν τε καὶ λέγειν καὶ πράττειν ἀναγκάζεσθαι· ἀλλὰ δέον ἐλεεῖσθαι, καὶ τὸ μισεῖσθαι προστεθεῖται, καὶ τὸ κολάζεσθαι. εἰ δὲ λέγοι τις, ὡς οὐχ ἡμῶν ἐστιν εἰδέναι, διὰ τί τοιαύτην ὁ θεὸς ἐδημιούργησε γένεσιν· ἐν προσποιήσει τοῦ μετριάζειν ἐπιτείνει τὴν δυσσέβειαν καὶ δι' ὧν δοκεῖ μετριάζειν, μεῖζον ἀσεβεῖ. εἰ γὰρ καλὴ μέν ἡ γένεσις, ἡμῖν δὲ φαίνεται κακὴ καὶ τοῦτο δὲ ἀπὸ γενέσεως· οὐκ ἐμὸν τὸ σφάλμα, φαύλην οἴεσθαι τὴν οὐ φαύλην. τοῦ δὲ τοιαύτην κρίσιν διὰ τῆς γενέσεως καταθεμένου ἡμῶν τοῖς λογισμοῖς· εἰ δὲ ἐμὸν τὸ σφάλμα· ἐκτὸς ἄρα γενέσεως τὰ τῶν λογισμῶν· οἷς ἀκολουθεῖ καὶ λόγος καὶ πρᾶξις· καὶ μάτην ἡ γένεσις. ἀληθὴς τοίνυν μετριότης καὶ εὐλάβεια, οὐ τὸ κακὴν πλάσαι γένεσιν, εἶτα παραχωρεῖν θεῷ τὴν κακῶν τὴν γνῶσιν· οὐδὲ τὸν αὐτὸν λέγειν ὠθεῖν εἰς τὰ κακὰ, καὶ κολάζειν οὓς διὰ τῆς γενέσεως ὤθησεν. οὐκ ἔστι ταῦτα μετριάζοντος, ἀλλ' ἐν σχήματι ταπεινοφροσύνης χαλεπὴν ἀπάτην εἰσάγοντος. τὸ δὲ τῆς εὐσεβείας γένος οὐχ ὑβρίζει θεὸν, δι' ὧν δοκεῖ τιμᾶν· οὐδὲ τὴν αὐτοῦ ἀναιρεῖ ἀγαθότητα, τῶν κακῶν αὐτῷ τὴν ἐξουσίαν * παρέχον. ἀδικεῖν γὰρ οὔτε οἶδεν, οὔτε δυνήσεται ἡ τοῦ θεοῦ ἐξουσία· οὐ ποιεῖ φονέα, καὶ κολάζει· οὐδὲ ἀπαγορεύει πταίειν, καὶ βιάζεται παρακούειν, καὶ παρακούσαντα τιμωρεῖται. ταῦτα γὰρ οὔτε πρέπει θεῷ, οὔτε εὐσεβὴς οὐδεὶς δέχεται λογισμός. τὰ δὲ πρέποντα νοοῦμεν, καὶ τῶν ἐν κόσμῳ γενομένων τὴν παντελῆ κατάληψιν αὐτῷ παραχωροῦμεν· καὶ καταλαβεῖν οὐ φιλονεικοῦμεν, εἰδότες ὡς οὐ καταληψόμεθα. ἀληθῆ δὲ θεοῦ ἐξουσίαν ἴσμεν, τὸ μήτε πονηρῶν ἡττᾶσθαι, καὶ πρὸς τὸ τῶν δημιουργημάτων συμφέρον κεχρῆσθαι τῇ ἀγαθότητι. σκόπει δὲ κἀκεῖνο, ἐν κυνηγεσίοις παροξύνουσι ταύρους, πρὸς μάχην ἐρεθίζοντες· κἂν μὴ χρήσωνται τοῖς θυμοῖς, ἀγανακτοῦσιν οἱ δεσπόται. ὁ δὲ τῶν ἀστέρων δρόμος τοὺς πειθομένους τοῖς αὐτῶν ἀποτελέσμασι, θανάτοις * ἀμείβονται. δούλους πάλιν ἡμεῖς ἀπειθοῦντας κολάζομεν, τιμῶμεν δὲ ὑπακούοντας· ἡ δὲ ταῦτα νοεῖν τι καὶ πράττειν ἀναγκάζουσα γένεσις, καὶ πταίειν παρακελεύει, καὶ τιμωρίαις ὑπάγει τοὺς πεισθέντας. καὶ ἡμᾶς μὲν δικαίους πρὸς τοὺς ὑπὸ χεῖρα ἀποφαίνει· αὐτὴ δὲ τὰ * ἀδικώτατα δρῶσα εἰς ἡμᾶς, οὐκ αἰσχύνεται. ἆρ' οὐκ ἐσχάτη μανία ταῦτα νομίζειν; ἀλλὰ ταῦτα μὲν καὶ τὸ μέ καὶ ε διαλαμβάνει κεφάλαιον.

* al. συνεχῶν.

* al. παρέχων

* ἀμείβονται

* al. ἀδικώτατα.

Εἰ δὲ

Ἐν δὲ τῷ μϛʹ φησὶν, ὡς ὑπὸ τῆς γενεθλιαλογίας οἱ ἐκμανέντες, καὶ δημιουργὸν τῶν ἁπάντων ὑποτάττουσι ταύτῃ. φασὶ γὰρ ὥσπερ τὸ δικαιοπραγεῖν ἀπὸ γενέσεως, οὕτω καὶ τὸ προσευχόμενον εἰσακούεσθαι, καὶ τὸ πληροῦσθαι θείας παρουσίας, καὶ τὸ καταξιοῦσθαι θειοτέρων ἀποκαλύψεων. ὥστε ἐξ ὧν τολμῶσι λέγειν, τὸν θεὸν ὑπηρέτην ἀποφαίνουσι τῆς γενέσεως· κἀκείνων εὐεργέτην, οἷς ἂν ὁ δρόμος ταύτης τὸ πάσχειν εὖ ἐχαρίσατο. οὗ τί ἂν εἴη ἀθεώτερον ἢ δυσσεβέστερον; εἰ δὲ ταῦτα καὶ τὰ τοιαῦτα τῆς εἱμαρμένης ἀφαιροῦσι, τὰ μέγιστα τῶν ἀγαθῶν αὐτῆς ἀποτέμνοντες: μόνης δυναστεύειν πονηρίας ἀναγράφουσιν. ἀλλὰ καὶ πλείστους ἔδειξεν ὁ μακρὸς χρόνος ἐξ ἀρετῆς εἰς κακίαν μεταβαλόντας· ὥστε πάλιν κρατεῖ ὧν οὐκ ἐκράτει, τοὺς ἀγαθοὺς εἰς φαύλους μετακινήσασα. οὕτως ἡ ταύτης ὑπόθεσις πάντα συγχεῖ καὶ ταράττει, καὶ πρὸ πάντων ἑαυτὴν καταβάλλει τε καὶ περιτρέπει. λέγει δὲ κατὰ τὸ ἑξῆς κεφάλαιον, ζʹ δὲ τοῦτό ἐστι καὶ μʹ, ὡς καὶ τῶν παρ' Ἕλλησι φιλοσοφησάντων τὰ τοιαῦτά τινες ἐπὶ νοῦν θέμενοι, τῆς γενέσεως ἐμυσάχθησάν τε καὶ κατεγέλασαν πλάσμα. καίτοι τόν τε οὐρανὸν σφαιρικὸν οὐδὲν ἧττον ἢ οὗτοι ἐδόξαζον· καὶ μὴν καὶ τὴν τῶν ζωδίων σύνθεσιν, καὶ τὴν τῶν πλανήτων κίνησιν οὐκ ἄλλως ἐνόμιζον. τίς οὖν αὐτοῖς ἡ γνώμη, τοῦτο μὲν δέχεσθαι, ἐκεῖνο δὲ μὴ προσίεσθαι; ὅτι τῶν ἐπὶ γῆς καὶ θαλάττης συμβαινόντων, ἐν ἀέρι τε καὶ τοῖς ἄλλοις στοιχείοις, προσημαντικὸν μὲν εἶναι νομίζουσι τὸν τῶν ἀστέρων δρόμον· ἀλλ' οὐκ ἀναγκαστικὸν ἢ ποιητικόν: μηνύειν δὲ τοῦτον τὰ ἐσόμενα, ὥσπερ καὶ τὴν μαντικὴν καὶ τὴν οἰωνιστικὴν, καὶ ὅσαι αὐταῖς παραπλήσιοι. καὶ οὐκ ἐπειδὴ * προλέγει γίνεται: ἀλλ' ἐπειδὴ γίνεται, προλέγει. καὶ οὐκ ἀνάγκῃ τῇ ἀπ' αὐτῆς διοικεῖσθαι τὰ ἐνταῦθα, προσημαίνειν δὲ μόνον τὰ ἐσόμενα. ἀλλ' οἱ ταῦτα μὲν νομίζοντες, τὴν πολλὴν τῶν ἀστρονόμων δυσσέβειαν * ἀπεσείσαντο, πρὸς δὲ τὸ τῆς ἀληθείας ἀκριβὲς οὐκ ἀφίκοντο. ἀλλ' ἐν τούτοις μὲν καὶ τοῦ ἑβδόμου λόγου τὸ πέρας.

* al. λέγει.

* al. ἀποσεισάμενα.

Ὁ δὲ ὄγδοος λόγος κατὰ τὸ ηʹ καὶ μʹ ἀπαρχόμενος κεφάλαιον, δύο μὲν οὐρανοὺς λέγει γεγενῆσθαι, ἕνα μὲν τοῦ ὁρωμένου ἀνώτερον, ὃν καὶ συνυφεστάναι τῇ γῇ· θάτερον δὲ τὸν ὁρώμενον· δύο δὲ ὄντων, τὸν μὲν ὀροφῆς ἐπέχειν λόγον· τὸν δὲ πρὸς μὲν τὴν γῆν ὀροφῆς ὡσαύτως, ἐδάφους δὲ καὶ βάσεως πρὸς τὸν ὑπερέχοντα. καὶ γῆν δὲ μίαν. καὶ τὰ μὲν οὐράνια ταῖς κρείττοσιν ὑποτεταγμένα * δυνάμεσι, τοῖς δὲ ὁρωμένοις δὲ τὰ ὑπουράνια. μὴ σφαῖραν δὲ τὸν οὐρανὸν εἶναι, ἀλλὰ σκηνῆς καὶ καμάρας σχηματίζειν σχῆμα. καὶ ταύτης τῆς ὑπολήψεως γραφικὰς, ὡς οἴεται, προβάλλει μαρτυρίας· οὐ μόνον περὶ τοῦ σχήματος, ἀλλὰ καὶ περὶ δύσεως καὶ ἀνατολῆς ἡλίου. αἰτιολογεῖ δὲ καὶ τὰς τῶν ἡμερῶν καὶ νυκτῶν αὐξομειώσεις. καὶ ἄλλα τινὰ τοιαῦτα πολυπραγμονεῖ, ὡς ἐμοί γε δοκεῖ, τὸ ἀναγκαῖον οὐκ ἔχοντα, εἰ καὶ τοῖς ἱεροῖς λογίοις προσπεφύκεται. ἐξ ὧν εὐσεβοῦντα μὲν τὸν ἄνδρα, οἷς κέχρηται, θείη ἄν τις: ἀκρίβειαν δὲ λογισμῶν τῶν γραφικῶν μαρτυριῶν προσφέρειν οὐκ ἔτι ὁμοίως φαίη. ἐντεῦθεν ἐπὶ τὸ μʹ καὶ θʹ μεταβαίνων κεφάλαιον, τῆς ἱερᾶς ἡμῶν γραφῆς τοὺς νόμους

* al. συνημμένα.

THEODOR. Episc. Tars.

Quadragesimo sexto Capite asserit illos à Genethlialogia dementatos, omnium quoque architectum Deum eidem subijcere. ita enim loquuntur, ait, quemadmodum iuste viuere à Genesi proficiscitur, sic & orantem exaudiri, & Dei præsentia impleri, & diuinis dignari apparitionibus. Per ea igitur quæ asserere ipsi audent, Deum esse Geneseos ministrum declarant, atque in eos solos esse beneficum, quibus huius cursus beneficium accipere benignè concesserit. Quo quid esse possit impium magis? Sin hæc atque his similia adimunt, iam maximis ab eo bonis diuulsis, in vnam duntaxat dominari malitiam scripserint. Attamen tempus docuit quam plurimos è bonis malos euasisse; ita vt probos in improbos commutando, in eos rursum potestatem obtineat, qui ab eius potentia liberi erant. Adeo dum hæc statuitur, omnia confunduntur atque conturbantur, & vel ipsa sese ante omnia prosternit, ac circumagendo euertit.

Proximum deinde Caput (septimum id est & quadragesimum) asserit, Græcos aliquot Philosophos hęc animo cōsiderantes, illud de Genesi figmentum detestatos esse atque irrisisse. Quamquam & cœlum ipsum non secus atque illi globosum assererent: & nō aliter de Signorum compositione, deque errantium stellarum motu statuerent. Quęnam igitur horum sententia est, quod hæc quidem admittant, illud vero nequaquam: Ea quæ terra marique, vel in aëre & cæteris elementis accidunt, præsignificandi, etsi non cogendi aut efficiendi vim habere astrorum cursum arbitrantur. hūc enim ad eum fere modum futura denunciare, quo diuinandi, aruspicandi, aut similis ars quæpiam solet. vt non propterea hæc eueniant, quod prænuncientur, sed ideo prænuncientur, quod eueniāt. neque enim astra per vim gubernare hęc inferiora, sed dumtaxat quæ post euentura sint denunciare. Verum etsi qui sic sentiunt, magnam illā Astrologorum impietatem à se repulerint, ad perfectam tamen veritatem non peruenerunt. Ita septimus liber absoluitur.

Octauus porro Liber à quadragesimo octauo inchoatus Capite, duos creatos dicit cœlos, vnum quidem aspectabili isto superius, quod vna cum terra subsistiterit, alterum vero hoc quod videmus. Horum ergo duorum alterum tecti quasi locum tenere, alterum terræ quidem tecti vicem similiter præbere, sed altiori illi cœlo soli instar esse ac fundamenti. terram adhæc vnam esse. cœlestia item potestatibus maioribus esse subjecta, vt & visibilibus [a] ea quæ sub cœlo sunt. Cœlum insuper non esse rotundum; sed tentorij ac fornicis formam præferre. Pro qua quidem opinione Scripturæ, vt putat, testimonia profert: non ea solum de figura, sed & de occasu atque ortu Solis. Reddit & causam incrementi ac decrementi dierum ac noctium: aliáque id genus curiosè inuestigat, mea quidem sententia, quæ necessaria non sunt, etsi cum sacris oraculis connexionem quandam habent. Vnde pium quidem hunc virum, ex iis quæ refert, iudices, at non ita etiam accurata cum ratiocinatione sacrarum scripturarum testimonia producere dixeris.

a ὑπουράνια hic lege pro ἐπουράνια.

Inde ad nonum & quadragesimum Caput transitione facta, sacræ nobis scripturæ leges,

THEODOR. Episc. Tars.

admonitionésque, & magnum illud redemptionis nostræ mysterium (nec immeritò sanè) prædicat: vbi & astrologiam, ex iisdem illis diuinis libris egregiè perstringit.

Hinc ad quinquagesimum caput gradu facto, eundem illum errorem nihilo segnius oppugnat, præter alia etiam ista referens. Et si quid, ait, ab illis prædictum euenire fortè videatur, non id mox quoniam [prædictum fuit] euenit. multa siquidem & nobis eorum quæ cogitaueramus, acciderunt: & negotij alicuius vel moti iam, vel breui mouendi expectatione suspensi, illud ipsum tale habuisse principium vel finem postea deprehendimus, qualem speraueramus: neque tamen propterea nos in Prophetarum ordinem referimus, sed casus esse hunc euentum, atque coniecturæ agnoscimus. Enimuero si quid alienum ab humana vita prædicerent, ac deinde insolitum illud, non dico sæpius, sed semel admodum euenisset, merito admirari licebat. At cùm ea quæ plerumque accidere solent prædicere videantur, quid mirum, si rectè coniiciant? non enim facilè est tam multa dicentem aberrare. Quin illud potius mirandum sit, semper si aberrarent. Iam si etiam dæmones habeant adiutores, quemadmodum sanè habent, qui ipsorum prædictionem confirmant, non ampliùs tum mirer, si rectè coniectent, sed multo magis, si non rectè coniiciant. Adiuuant enim eos dæmones, in Astrologorum scriptis maximè versati, omni adhæc perficienda contentione adhibita, quo nimirum illo de Fato errore nimis credulis infuso, contemptum insuper Dei his ipsis persuadeant. Prædicunt autem huiusmodi libri diuitias, paupertatem, & quæcunque contingere in hac vita solent, ad quæ sanè dæmones suam opem afferre non difficulter possunt. Etenim etiam nos horū non pauca in alios, si modò velimus, vel persuadendo, vel decipiendo, vel vim adhibendo, conferamus. Et verò peccatores in sua tenet potestate dæmonum turba, obsequentésque ducit atque agit quo vult. Velint autem ad Astrologorum fallacias nostram componi vitam: vt euentus quidem, cum Astrologorum prædictionibus consentire animaduertentes, sed eorum auctores non obseruantes, non solùm astrorum cursu decepti fallamur: verùm etiam pietatis ac iustitiæ nulla habita ratione, in impietatis abyssum incidamus. Et hoc quidem ipsum, quod illam, quam diximus, compositam aduersus homines machinationem hi non animaduertant, dæmonum vtique opus fuerit, peccato simul atque impietate adscitis, per quę prohibeantur [miseri] & horum molitionem, & diuinorum similiter iudiciorum profunditatem intelligere. Quomodo enim Deus aut dæmonum insidias, aut suæ prouidentiæ mysteria manifestet iis, quibus studio est eius despicere præcepta? Etenim quæ iniqua esse scimus, perpetramus: neque tamen ea consectamur, quæ laudanda nouimus; & adhuc speramus nos ignota percepturos? Vbi ea feceris, quæ didicisti, atque per virtutem teipsum dignum reddideris, ad plura præter ea quæ ante cognoueris percipienda, tum demum mireris, si quæ perfectiora sunt, discere nequiueris. At quandiu perturbationibus refertus es, Deúmque contemnis, quomodo tu aut eius prouidentiæ mysteria disces, vel cōtra te dęmonū impetum?

καὶ τὰς παραινέσεις, καὶ τὸ μέγα τῆς σωτηρίας ἡμῶν μυστήριον, καὶ μάλα δικαίως ἐξυμνεῖ. ἐν ᾧ καὶ τῆς ἀστρολογίας ἐκ τῶν αὐτῶν θεοχρήστων λογίων ἁρμοδίως καθάπτεται. ἐκεῖθεν ἐπὶ τὸ ν' αἰτιὸν κεφάλαιον, τῆς αὐτῆς πλάνης οὐδὲν ἧττον καταγωνίζεται, λέγων μετὰ τῶν ἄλλων· ὡς εἰ καί τι τῶν προλεγομένων *αὐτοῖς δοκεῖ ἐκβαίνειν, οὐκ ἐπειδὴ τὴν ἔκβασιν ἔσχηκε. πολλὰ μὲν γὰρ καὶ ἡμῖν ἐννοουμένοις τῶν ἐννοηθέντων ἀπήντησε· καὶ πρᾶγμα κεκινημένον ἢ κινηθησόμενον προσδοκήσαντες, οἷον ἠλπίσαμεν ἀρχὴν λαβεῖν ἢ τέλος, τοιοῦτον ἀπολαβεῖν κατελάβομεν. καὶ οὐ διὰ τοῦτο χειροτονίαν ἑαυτοῖς προφητείας ἐπιφερόμεθα· ἀλλὰ συντυχίας [ἢ] καὶ στοχασμοῦ, τὴν ἀπόβασιν ἔργον γινώσκομεν. εἰ μὲν γάρ τι τοῦ ἀνθρωπίνου βίου ἀλλότριον προεκήρυττον, εἶτα τὸ ξένον ἀπέβη, οὐ λέγω πολλάκις, ἀλλ' ἅπαξ θαυμάζειν εἰκὸς ἦν. εἰ δέ γε τὰ φιλοῦντα συμβαίνειν δοκοῦσι προλέγειν· τί θαυμαστὸν, εἰ τυγχάνουσι; οὐ γάρ ἐστι ῥᾳδίως ἀποτυχεῖν ἐν πλήθει βάλλοντα τοὺς λόγους· θαυμαστὸν δὲ ἦν μᾶλλον, εἰ διὰ παντὸς ἀπετύγχανον. εἰ δὲ καὶ δαίμονας ἔχουσι συνεργοὺς, ὥσπερ οὖν ἔχουσιν ἐπικρατύνοντας αὐτῶν τὴν πρόρρησιν: οὐκ ἔτ' ἂν εἰ ἐπιτυγχάνοιεν ἀπορήσαιμι. ἀλλὰ πολλῷ μᾶλλον εἰ μὴ ἐπιτυγχάνοιεν. συνεργοῦσι δὲ τούτοις οἱ δαίμονες, εἰδότες μὲν τὰ παρὰ τοῖς ἀστρολόγοις γεγραμμένα: πληροῦντες δὲ ταῦτα, ἀγῶνα πάντα καταβαλλόμενοι· ἵνα τὴν τῆς εἱμαρμένης πλάνην τοῖς πειθομένοις ἐνπήξαντες, τοῦ θείου καταλιγωρεῖν ἀναπείσωσι. προλέγει δὲ τὰ βιβλία πλοῦτον καὶ πενίαν καὶ ὅσα ἐν βίῳ. ἐπὶ δὲ ταῦτα τοὺς δαίμονας συνεργεῖν, οὐ χαλεπόν. καὶ γὰρ καὶ ἡμεῖς ἀλλήλους πολλὰ τούτων ἂν βουληθέντες διαθείημεν, ἢ πείθοντες, ἢ ἀπατῶντες, ἢ καταναγκάζοντες. κατισχύουσι δὲ ἁμαρτανόντων τὸ δαιμόνιον φῦλον, ἄγουσί τε καὶ φέρουσι τοὺς πειθομένους ὅποι ἂν βούλοιντο. βούλοιντο δὲ πρὸς τὰς τῶν ἀστρολόγων ἀπάτας τὸν ἡμέτερον ἁρμόζειν βίον· ἵνα τὰς μὲν ἐκβάσεις ὁρῶντες τοῖς ἀστρολόγοις συμφώνους, τοὺς δὲ ταῦτα πράττοντας μὴ συνορῶντες: τοῦ *τε δρόμου τῶν ἀστέρων οἱ ἠπατημένοι *καταψηφίζοιντο, καὶ τῆς εὐσεβείας καὶ δικαιοσύνης ἀμελήσαντες, εἰς τὸν τῆς ἀσεβείας βυθὸν ὀλισθήσωσι. καὶ αὐτὸ δὲ τοῦτο, τὸ μὴ συνορᾷν αὐτοὺς τὸ ῥηθὲν κατὰ τῶν ἀνθρώπων δραματούργημα, τῶν δαιμόνων ἔργον ἂν εἴη, τῆς ἁμαρτίας καὶ ἀσεβείας συναιρομένης αὐτοῖς· καὶ τό, τε αὐτῶν μηχάνημα συνιέναι διακωλυούσης, καὶ τῶν τοῦ θεοῦ κριμάτων ὡσαύτως τὸ βάθος. πῶς γὰρ ἀποκαλύψει τὸ θεῖον ἢ τὰς τῶν δαιμόνων ἐνέδρας, ἢ τὰς αὐτοῦ οἰκονομίας, οἷς παρορᾷν αὐτοῦ σπουδάζεται τὰ προστάγματα; καὶ γὰρ ἅπερ ἴσμεν ἄδικα, ταῦτα πράττομεν: οὐχ ὧν ἐπαίνους ἴσμεν ταῦτα μεταδιώκομεν. καὶ πῶς ἅπερ ἀγνοοῦμεν, μαθησόμεθα; ἔπραξας ἃ ἔμαθες, παρεσκεύασας ἑαυτὸν, δι' ἀρετῆς τοῦ μαθεῖν πλέον ὧν ἐπίστασαι ἄξιον. θαύμαζε, εἰ μὴ μαθεῖν ἔχεις τὰ τελειότερα. εἰ δὲ πάθεσι βρύεις, καὶ θεοῦ καταφρονεῖς: πῶς μαθήσῃ τὰς οἰκονομίας αὐτοῦ, ἢ τὰς κατά σου τῶν *δαιμονίων ἐπηρείας.

* al. ἐκκλ.
* al. δι.
* al. καταψηφίσονται
* al. δαιμόνων

πῶς

πῶς δὲ οὐ κρατήσαιεν δαίμονες εὐχερῶς, ὧν οὐκ ἔστι τὸ θεῖον ὑπέρμαχον; πρὸς ἐκεῖνα τούτους κατασύροντες, ἃ τῶν ἀστρολόγων αἱ βίβλοι προλέγουσιν. ὡς αὖ τὸ τῆς εἱμαρμένης ἐν αὐτοῖς βεβαιώσαντες πλάσμα, πλέον θεοῦ ἀποστατήσωσιν. εἰ μέν τοι γε ὅσην περὶ τὰ κακὰ σπουδὴν εἴχομεν, τοσαύτην περὶ τὰ καλά: οὐκ ἂν ἠγνοήσαμεν ὅσον ὑπὸ θεοῦ τετιμήμεθα, οὐδ᾽ ὅσον κατὰ δαιμόνων ἰσχύομεν. πανταχοῦ γὰρ θεὸς, ἐγγίζει δὲ μᾶλλον τοῖς δι᾽ ἔργων ἀγαπῶσιν αὐτόν· ὅπου δὲ θεὸς: τίς ὁ λανθάνων τῆς ἐπιβουλῆς, ἢ ὁ ἐπιβουλεύων ὅλως. Ταῦτα διαλαβὼν τὰ ἱερὰ λόγια πάλιν κατὰ τῆς εἱμαρμένης ὁπλίζει, παραινῶν τοὺς ἀνθρώπους ἀπαλλάττεσθαι τῆς τοιαύτης πλάνης. διὰ δὲ τοῦ λέγειν, εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ ἐνιαυτοὺς γενέσθαι παρὰ θεοῦ τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας: τὰ ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ γεγενημένα δηλοῦσθαί φησι, καὶ τὰ ἐπὶ Ἐζεκίου τοῦ βασιλέως, καὶ τὰ ἐπὶ τοῦ δεσποτικοῦ πάθους. ἀλλὰ τοιαῦτα μὲν καὶ κατὰ τὸ ν´ κεφάλαιον διεξελθὼν, μέτεισιν ἐπὶ τὸ ά καὶ ν´. ἐν ᾧ τοὺς ἀπὸ Βαρδισάνους αἱρετικοὺς διελέγχει, δέχεσθαι [μὲν] προσποιουμένους τοὺς προφήτας, καὶ τὰς μὲν ψυχὰς γενέσεως * ἐλευθέρας καὶ αὐτεξουσίους ὁμολογοῦντας: τὸ σῶμα δὲ τῇ ταύτης ὑποτάττοντας διοικήσει. πλοῦτον γὰρ καὶ πενίαν, καὶ νόσον, καὶ ὑγείαν, καὶ ζωὴν, καὶ θάνατον. καὶ ὅσα οὐκ ἐν ἡμῖν ἔργον εἶναι λέγουσι τῆς εἱμαρμένης. εἰ δὲ κατὰ τὸν Ἡσαΐαν οὐκ ἴσασιν οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ τὰ μέλλοντα· καὶ κατὰ τὸν Ἱερεμίαν, ματαία ἐστὶν ἡ περὶ ταύτην σπουδή: πῶς οὗτοι δέχεσθαι μὲν φασι τοὺς προφήτας. τὸ σῶμα δὲ δοῦλον ποιοῦσι τῆς εἱμαρμένης; καὶ γὰρ ὁ θεὸς τοῖς Ἰουδαίοις καὶ τὰς ἀπειλὰς, καὶ τὰ πάθη σωματικὰ ἐπαφίει, τοιαύτας δὲ καὶ τὰς εὐεργεσίας, ὧν ἄγνοιαν ἔχειν τοὺς ἀστρολόγους, διὰ τοῦ Ἡσαΐου κατεψηφίσατο. πῶς οὖν ἐγχωρεῖ καὶ τοῖς προφήταις πείθεσθαι, καὶ τῶν σωματικῶν κακώσεων καὶ εὐεργεσιῶν, τῇ εἱμαρμένῃ τὸ κράτος χαρίζεσθαι· καὶ προλέγειν τοὺς περὶ αὐτὴν ἐπτοημένους τὰ ἐσόμενα. εἰ μὴ ἄρα μεμηνότες εἴποιεν, τὰ μὲν ἀγαθὰ τοῖς εὐσεβοῦσι, νέμειν δὲ τἀναντία τοῖς δυσσεβοῦσι, καὶ τὸ θεῖον ἐξυπηρετούμενον τῇ εἱμαρμένῃ. καὶ πῶς ψυχαὶ γενέσει οὐχ ὑποκείσονται θεοῦ τοῦ πάντων δημιουργοῦ συνεργοῦντος * αὐτοῖς, καὶ ὑπηρετουμένου τοῖς ἀποτελέσμασιν. εἰ δὲ οὔτε τὰ δι᾽ ἀγγέλων καὶ προφητῶν οἰκονομηθέντα, πάλαι γενέσεως ἔργον ἦν, οὐδ᾽ ἅπερ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διὰ σώματος φανεὶς εἰργάσατο, μυριάδας ἀνθρωπείων ἰασάμενος σωμάτων: πῶς οἴονται τὸ σῶμα λέγειν γενέσει διοικεῖσθαι; ἢ γὰρ τὸ ἀπειλεῖν τὸ θεῖον τοῖς * παραχοῦσιν: εὐεργετεῖν δὲ τοὺς πειθομένους, εἰς ψεῦδος ἀπάξουσιν: ἢ εἰ τὸ πρῶτον ἀληθὲς: πλάσμα τὸ δεύτερον. χωρὶς δὲ τῶν εἰρημένων, πῶς οἴονται, σώματος ὑποκειμένου γενέσει, τὰς ψυχὰς ταύτης ἀπηλλάχθαι. εἰ γὰρ ἀπὸ γενέσεως εὕρεσις θησαυροῦ, καὶ οἴκου κτῆσις, ἢ ἑτέρων τινῶν σωματικῶν πρόσληψις ἢ ἀποβολή. καὶ δὴ καὶ ἡ τῶν πορνευόντων ἢ τῶν μοιχευόντων ποινὴ, ἀνάγκη τὴν ψυχὴν ἐλαύνεσθαι μὲν πρὸς εὕρεσιν θησαυροῦ, πρὸς μάθησιν δὲ τεκτονικῆς, διὰ τὸν οἶκον, ἢ ὑφαντικῆς διὰ τὸ ἱμάτιον.

* ἐλευθεροῦσαι.
* al. αὐτῇ.
* al. παραμένειν.

Et quomodo non facilè vincant dæmones eos, quibus non est Deus propugnator? ad illa nimirum hos attrahentes, quæ Astrologorũ libri prædicunt: vt Fati in eis figmento corroborato, amplius etiam à Deo deficiant. Atqui, si quanto ad malum studio contendimus, tanto item ad honestatem incumberemus, non ignoraremus quàm Deo chari simus, neque quantum virium contra dæmonem habeamus. Etsi enim vbique Deus, ad eos tamen propius accedit, qui per opera ipsum diligunt. Vbi autem Deus est, quænam illic insidiæ lateant, aut quis omnino adsit insidiator? Quæ vbi disseruit, diuinis rursum eloquiis aduersus Fatum instructus, homines adhortatur, vt se illo errore liberent. Quod autem in [a] signa & tempora, & annos factum esse à Deo Solem cum Luna & stellis dicitur, his ea significari vult, quæ [b] sub Iesu filio Naue & [c] Ezechia rege, itémque in [d] Christi passione contigerunt.

His igitur quinquagesimo capite pertractatis, ad LI. deinceps transit, quo a Bardisane ortos hæreticos redarguit, quod cùm profiteantur se Prophetas admittere, animas quidem à Genesi liberas & sui iuris confiteantur, sed corpus nihilominus huius gubernationi subiiciant. nam diuitias, paupertatem, morbum, sanitatem, vitam, mortem & quæcunque in nostra non sunt potestate, per Fati vim effici affirmant. At si secundùm [e] Esaiam ignorant cœli Astrologi quæ futura sint, & ex [f] Ieremiæ sententia, vanum hoc omne studium est, quomodo hi suscipere se dicunt Prophetas, qui corpus Fati seruituti subiiciunt? Etenim Deus Iudæis siue minas siue pœnas nonnisi corporeas intendit, similiáque parat beneficia, quorum tamen cognitionem non habere Astrologos per Esaiam pronuntiauit. Quonam igitur pacto fieri potest, vt & Prophetis fides adhibeatur, & corporeorum cùm malorum tum bonorum potestas omnis Fato concedatur, & huic nimium addicti futura prędicant: nisi fortè per insaniam dixerint, bona quidem piis, mala verò impiis distribuere, & ipsum insuper Numen Fato deseruire. At qui animæ Genesi non subiiciantur, quando Deus ipse, rerum omnium conditor, vnà cũ hac operatur, fatalibusque effectis subseruit? Si verò quæ per Angelos olim ac Prophetas administrata sunt, ea Genesis non efficit, vt nec ea quæ Dominus noster IESVS CHRISTVS in carne apparens operatus est, dum innumerabilem humanorum corporum multitudinem sanauit, quorsum adhuc volunt affirmare corpus à Genesi administrari? nam aut illud falsum reddent, quod Deus immorigeris pœnas minitetur, obtemperantibúsq; benignè faciat: aut certè, si primum illud verum, secundum fabula est. Ad hæc quî fieri potest, vt Genesi corpora subiecta cùm sint, animæ tamen eius imperio subducantur? Si enim à Genesi accidat inuentio thesauri, vel ædificatio domus; vel aliarum aliquarum corporearum rerum siue adsumptio, siue abiectio, immò & adulterantium atque mœchantium pœna, necessarium vtique animam impelli ad inuentionem thesauri [propter ipsum thesaurum,] atque ad discendam vel architecturam propter domum, vel textoriam propter vestem.

THEODOR. Episc. Tars.

a Gen. 1. 14.
b Ios. 10. 13.
c 4. Reg. 20. 9.
d Matt. 27. 45.
e Esa. 47. 12.
f Ier. 10. 2.

THEODOR. Episc. Tars.

Quin à muliebri amore vinci hanc oportet vt ferat corpus proprij pœnas delicti: immò etiam ad cædem incitari propter Genesim, quæ mortis sententiam tulit: & sic de aliis. Vix enim corporeum quidquam fiet, nisi anima obediat atque adiuuet, vt necesse sit Bardisanæ sectatores, vel animum subiicere Genesi, vel si hoc non audeant, etiam corpus ab huius imperio liberum pronuntiare. Ita secundum & quinquagesimum caput finitur.

Proximo verò extremam illam impietatem confutat eorum, qui ipsum quoque Dominum nostrum IESVM CHRISTVM Genesi subiicere audent, sumpta de ostensa Magis stella occasione. Hanc ergo amentiam bene & sapienter refellit, multis illos confodiens argumentis, cùm alibi, tum vbi ostendit visam stellam non vnam è multis in cœlo fuisse, [a] sed vim quandam diuiniorem in astrum conformatam, quæ omnium Domini natiuitatem denuntiaret. Porrò Magos refert à Chaldæis ita accepisse, stellam quandam olim fore, quæ natum in carne communem Seruatorem nuntiaret. hoc illis vaticinium, tanquam eiusdem artis studiosis, enarrasse Balaamum illum, qui vel inuitus imprecationis loco bene precando Israëli, [b] benedictioni suæ nasciturí regis ortum, & huius præconem stellam admiscuisset. Dum autem sese videndum obtulit Dominus, præ cæteris nationibus Persis potissimum iam natus apparuit, quòd quibuscumque eam expetentibus, siue Magis siue incantatoribus, per ipsum gratia & redemptio donaretur. His ergo atque aliis horum similibus pertractatis, vltimo tandem capite repetitionem prædictorum omnium instituit, simúlque quinquagesimum tertium caput, & octauum librum absoluit.

Est autem in loquendo purus atque distinctus, eiusmodi enthymematis atque epichirematis efformatis, qualia ex parte iam in his illius operis excerptis indicauimus.

a Eadem Basil. & Nisseni sententia Homil. de natiuit. Domini.

b Num. 24.

δεῖ δὲ καὶ γυναικὸς ἡττᾶσθαι διὰ τὸ παθεῖν τὸ σῶμα ἅπερ αὐτὸ ἥμαρτεν. ἀλλὰ καὶ πρὸς φόνον ὠθεῖσθαι διὰ τὴν καταψηφισαμένην τὸν θάνατον γένεσιν· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. οὐδὲν γὰρ σχεδὸν τῶν σωματικῶν, τῆς ψυχῆς μὴ ὑπακουούσης, καὶ συλλαμβανούσης, γενήσεται. καὶ ἀνάγκη τοὺς ἐκ Βαρδισάνους, ἢ καὶ τὴν ψυχὴν ὑποτάξαι γενέσει· ἢ τοῦτο μὴ τολμῶντας, καὶ τὸ σῶμα ταύτης ἀποφαίνειν ἐλεύθερον· οὕτω μὲν καὶ τὸ β' καὶ ν'. ἀπεπεράτωτο κεφάλαιον.

Ἐν δὲ τῷ ἐφεξῆς τὴν ἐσχάτην ἀσέβειαν διελέγχει τῶν γενέσει τολμώντων ὑποβάλλειν, καὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν φανέντα πρὸς φασὶ τοῖς μάγοις ἀστέρα, καὶ ταύτην εὖ τε καὶ σοφῶς τὴν ἀπόνοιαν καταβάλλει, πολλοῖς αὐτοὺς κατατιτρώσκων τοῖς ἐπιχειρήμασι, τά τε ἄλλα, καὶ δι' ὧν δείκνυσι τὸν φανέντα ἀστέρα, μὴ ἕνα τῶν πολλῶν καὶ κατ' οὐρανὸν εἶναι· ἀλλὰ δύναμίν τινα θειοτέραν, εἰς ἀστέρα μὲν σχηματιζομένην, τὴν δὲ τοῦ κοινοῦ δεσπότου κηρύττουσαν γένεσιν. λέγει δὲ τοὺς μάγους παραλαβεῖν μὲν παρὰ χαλδαίων, ὡς ἀστὴρ ἔσται τῆς κατὰ σάρκα γεννήσεως τοῦ κοινοῦ σωτῆρος μηνυτής: ἐκείνοις δὲ ὡς ὁμοτέχνοις ἀναθεῖναι τὴν προρρησιν τὸν Βαλαὰμ ἐκεῖνον· ὃς καὶ ἄκων ἀντὶ κατάρας εὐλογήσας τὸν Ἰσραὴλ, τῇ εὐλογίᾳ συμπεριέλαβε καὶ τὴν τοῦ τεχθησομένου γένεσιν βασιλέως, καὶ τὸν ταύτης κήρυκα ἀστέρα. ἐμφανίζεται δὲ τεχθεὶς, πέρσαις πρὸ τῶν ἄλλων ἐθνῶν ὁ δεσπότης ἑαυτὸν δεικνὺς: ὅτι καὶ μάγων καὶ γοήτων τοῖς ἐθέλουσιν ἡ δι' αὐτοῦ παρέχεται χάρις καὶ σωτηρία. ταῦτα καὶ τὰ τοιαῦτα ἕτερα διαπερανάμενος, τὸ τελευταῖον κεφάλαιον ἀνακεφαλαίωσιν τῶν εἰρημένων ποιεῖται· καὶ ἅμα τὸ τρίτον καὶ ν', καὶ τὸν ὄγδοον τούτοις ἀπαρτίζει λόγον. ἔστι δὲ τὴν φράσιν καθαρός τε καὶ εὐκρινὴς ὁ ἀνήρ: τοῖς δὲ ἐνθυμήμασι καὶ τῇ τῶν ἐπιχειρημάτων διαπλάσει, οἷον αὐτὸν κατὰ μέρος ἐν τῇ τῶν λόγων αὐτοῦ ὑπεδείξαμεν ἐκλογῇ.

CCXXIV.

MEMNONIS HISTORIARVM LIBRI.

[*De Heraclea Pontica tyrannis.*]

[*Latinitate donati Laur. Rhodomanno interprete.*]

ΜΕΜΝΟΝΟΣ ΙΣΤΟΡΙΚΟΝ.

CAPVT I. *Summa historiæ sequentis de Heraclea Pontica.*

MEMNONIS historia, à libro V. vsque ad XVI. quæ circa Heracleam Ponticam acciderunt (id enim operis institutum est) exponit: tum vrbis tyrannos, & res horum gestas morésque, tum aliorum etiam vitam & exitum, & quæcunque eo pertinent, recenset.

CAPVT II. *Clearchi tyranni I. eruditio, & crudelitas.*

CLEARCHVS (ait) primus tyrannidem in hanc sibi vrbem vindicauit, disciplinæ philosophicæ haud equidem rudis (è Platonis enim discipulis vnus fuit, & quadriennium Isocrati oratori operam dedit) at enimuero crudelem, si quisquam alius, ciuibus se exhibuit & cruentum: & ad summum vsque insolentiæ processit, vt & Iouis se filium nominaret. Nec colore genuino, quo natura faciem eius tinxerat, contentus, subinde aliis atque aliis eam fucis illinebat, vt nitida & rubicunda intuentibus videretur. Quin & vestes ad terrores & delicias permutabat.

Eius insolentia.

σκδ'. *Memnonis historia.*

ΑΝΕΓΝΩΣΘΗ βιβλίον Μέμνονος ἱστορικὸν, ἀπὸ τοῦ ε λόγου ἕως ἕκτου καὶ δεκάτου. ἡ δὲ πραγματεία, ὅσα περὶ τὴν ποντικὴν ἡράκλειαν συνηνέχθη, σκοπὸν ἀναγράψαι προτίθεται, τοὺς ἐν αὐτῇ τυραννήσαντας ἀναλεγομένη, καὶ πράξεις αὐτῶν, καὶ ἤθη. καὶ τοὺς ἄλλων βίους, καὶ τὰ τέλη οἷς ἐχρήσαντο, καὶ ὅσα τῶν εἰρημένων ἐξήρτηται. Κλέαρχον μὲν οὖν ἐπιθέσθαι πρῶτον τυραννίδι κατὰ τῆς πόλεως ἀναγράφει. φησὶ δὲ παιδείας μὲν τῆς κατὰ φιλοσοφίαν οὐκ ἀγύμναστον, ἀλλὰ καὶ Πλάτωνος τῶν ἀκροατῶν ἕνα γεγονέναι, καὶ Ἰσοκράτους δὲ τοῦ ῥήτορος τετραετίαν ἀκροάσασθαι· ὠμὸν δὲ τοῖς ὑπηκόοις καὶ μιαιφόνον, εἴπερ τινὰ ἄλλον, ἐπιδειχθῆναι, καὶ εἰς ἄκρον ἀλαζονείας ἐλάσαι, ὡς καὶ Διὸς υἱὸν ἑαυτὸν ἀνειπεῖν· καὶ τὸ πρόσωπον μὴ ἀνέχεσθαι ταῖς ἐκ φύσεως χρωματίζεσθαι βαφαῖς, ἄλλαις δὲ καὶ ἄλλαις ἰδέαις ποικιλλόμενον, ἐπὶ τὸ στιλπνόν τε καὶ [a] ἐρυθρὸς τοῖς ὁρῶσιν ἐπιφαίνεσθαι. ἐξαλλάττειν δὲ καὶ τοὺς χιτῶνας ἐπὶ τὸ φοβερόν τε καὶ ἁβρότερον.

Clearchus.

a al. ἐπιφαίνεσθαι.

ὑποπι-

οὐ ταῦτα δὲ μόνον γεγένηται κακὸν, ἀλλὰ καὶ πρὸς τοὺς εὐεργέτας ἀχάριστον, καὶ πάντα βίαιόν τε καὶ τὰ ἄτοπα τολμηρὸν· φῦναι δὲ καὶ δραστήριον τὰ παλαμναῖον οἷς ἂν * ἐπιβάλλοιεν, οὐ κατὰ τῶν ὁμοφύλων μόνον, ἀλλὰ καὶ εἴ τι ἐν ἀλλοφύλοις ἐφρόνει πολέμιον. βιβλιοθήκην μέν τοι κατασκευάσασθαι πρὸ τῶν ἄλλων, ὅσους ἡ τυραννὶς ἀπέδειξεν ὀνομάζεσθαι. τοῦτον δὲ ἐπιβουλὰς μὲν πολλὰς πολλάκις διὰ τὸ μιαιφόνον καὶ μισάνθρωπον καὶ ὑβριστικὸν κατ' αὐτοῦ συστάσας διαφυγεῖν· ὀψὲ δὲ καὶ μόλις ὑπὸ * Χίωνος τοῦ Μάτριος, ἀνδρὸς μεγαλόφρονος, καὶ κοινωνίαν πρὸς αὐτὸν τῆς ἐξ αἵματος ἔχοντος, καὶ Λέοντος καὶ Εὐξένονος καὶ ἑτέρων οὐκ ὀλίγων συσκευασθεῖσαν, πληγὴν καιρίαν ἐνεγκεῖν, καὶ τελευτῆσαι πικρῶς ἀπὸ τοῦ τραύματος. ἔθυε μὲν γὰρ δημοτελῆ θυσίαν ὁ τύραννος· οἱ δὲ περὶ τὸν Χίωνα ἐπιτήδειον εἶναι τὸν καιρὸν τῇ πράξει νομίσαντες, τῇ τοῦ Χίωνος χειρὶ τὸ ξίφος διὰ τῶν τοῦ κοινοῦ πολεμίου λαγόνων ἐλαύνουσιν. ὁ δὲ πολλῶν αὐτὸν καὶ πικρῶν ἀλγηδόνων κατατεινόντων, καὶ τοσούτων φασμάτων ἐνδειματούντων (εἴδωλα δὲ τὰ φάσματα ἦν, ὧν ἐκεῖνος μιαιφόνως ἀνῃρήκει) ὑστεραῖος τὸν βίον κατέστρεψε· ζήσας μὲν ἔτη η καὶ ν', τούτων δὲ τυραννήσας δυοκαίδεκα. εἶχε δὲ τὴν περσῶν ἀρχὴν Ἀρταξέρξης τότε, εἶτα καὶ Ὦχος ὁ τούτου ἐκ πατρὸς ἐνδεξάμενος· πρὸς οὓς καὶ πολλάκις ἔτι ζῶν ὁ Κλέαρχος διεπρεσβεύσατο. οἱ μέντοιγε ἀνῃρηκότες τὸν τύραννον, μικροῦ πάντες οἱ μὲν ὑπὸ τῶν σωματοφυλάκων κατ' αὐτὸν τὸν τῆς ἐπιθέσεως καιρὸν, οὐκ ἀγεννῶς ἀνδρισάμενοι, κατεκόπησαν· οἱ δὲ καὶ ὕστερον συλληφθέντες, καὶ πικραῖς τιμωρίαις ἐγκαρτερήσαντες ἀνῃρέθησαν.

Σάτυρος δὲ ὁ τοῦ τυράννου ἀδελφὸς, οἷα δὴ ἐπίτροπος καταλειφθεὶς τῶν παίδων, Τιμοθέου καὶ Διονυσίου, τὴν ἀρχὴν ὑποδέχεται· ὃς ὠμότητι μὲν οὐ Κλέαρχον, ἀλλὰ καὶ πάντας τυράννους ὑπερέβαλεν. οὐ μόνον γὰρ τοὺς ἐπιβεβουλευκότας τῷ ἀδελφῷ ἐτιμωρήσατο, ἀλλὰ καὶ τῶν τέκνων, ἃ μηδὲν συνῄδει τοῖς γεγενηκόσιν, οὐδὲν ἀνεκτότερον ἐδηλήσατο· καὶ πολλοὺς ἀναιτίους, κακούργων δίκας ἀπῄτησε. τοῦτον δὲ καὶ μαθημάτων τῶν τε κατὰ φιλοσοφίαν καὶ τῶν παντὸς ἐλευθερίου [ἄλλον] ἄλλου παντελῶς ὑπάρξαι ἀπαράδεκτον· καὶ νῦν δὲ πρὸς τὰς μιαιφονίας μόνον ὀξύρροπον ἔχοντα, φιλάνθρωπον μηδὲν μηδὲ ἥμερον μήτε μαθεῖν ἐθελῆσαι, μήτε φῦναι ἐπιτήδειον. ἀλλὰ πάντα μὲν ἦν ἀεὶ κάκιστος, εἰ καὶ χρόνος αὐτὸν κόρον λαβεῖν τῶν ἐμφυλίων αἱμάτων καὶ τῆς μιαιφονίας ὑπεξέλυεν· ἐπὶ δὲ τῇ φιλαδελφίᾳ τὸ πρῶτον ἠνέγκατο. τὴν γὰρ ἀρχὴν τοῖς τοῦ ἀδελφοῦ παισὶν ἀνεπηρέαστον συντηρῶν, ἐπὶ τοσοῦτον τὸν * αὐτῶν κηδεμονίας [τὸν] λόγον ἐτίθετο, ὡς καὶ γυναικὶ συνὼν, καὶ ταύτῃ λίαν στεργομένῃ, μὴ * ἀνασχέσθαι παιδοποιῆσαι· ἀλλὰ μηχανῇ πάσῃ γονῆς στέρησιν ἑαυτῷ διεργάσασθαι, ὡς ἂν μηδόλως ὑπολίποι τινὰ ἐφεδρεύοντα τοῖς τοῦ ἀδελφοῦ παισίν. οὗτος ἔτι ζῶν καὶ γήρᾳ βαρυνόμενος, Τιμοθέῳ τῷ πρεσβυτέρῳ τῶν παίδων τοῦ ἀδελφοῦ ἐγχειρίζει τὴν ἀρχὴν, καὶ μετὰ χρόνον οὐ πολὺν, ἀνιάτῳ πάθει καὶ χαλεπωτάτῳ συσχεθείς. καρκίνωμα γὰρ μεταξὺ βουβῶνός τε καὶ ὄσχεος ὑποφυὲν, τὴν νομὴν πρὸς τὰ ἔνδον ἐπεδίδου πικρότερον.

* ἐπιβάλοι, H. St.

* al. χίονι.

Satyrus.

* al. αὐτῶν.

* al. ἀναδέξασθαι.

MEMNON.

Nec verò in his tantum improbus erat, sed etiam in benefactores ingratus: & in omnibus violentus, ad res nefarias audax. Natura industrius ad cædes eorum quos impeteret, non tantum si quid hostile meditaretur contra populares, sed etiam in exteros. Bibliothecam tamen sibi comparauit, cuius laude antegreditur alios quos tyrannis famosos reddit. Hic insidias crebrò multas, propter cædes, immanitatem & iniurias sibi structas, effugit: sed vix tandem à Chione Matris filio (qui vir erat magnanimus, & necessitudine sanguinis tyranno deuinctus) & Leone & Euxenone, cæterisque non paucis, coniuratione inita, vulnus lethale accepit: cuius dolore acerbissimo est exstinctus. Cómune enim populi sacrum agebat tyrannus. Oportunam igitur occasionem se adeptos rati qui cum Chione conspirauerant, manu Chionis ensem trans ilia communis patriæ hostis adigunt. Qui inter multos & sæuissimos cruciatus magis magisque ingrauescentes, & pauores à spectris incussos (erant autem simulacra eorum quos crudelem in modum necauerat) altero die post vitam cum morte commutauit: quum annos exegisset in vita LIIX. & XII. tyrannicum imperium tenuisset. Apud Persas tunc regno præerat Artaxerxes, & exinde Ochus, patris in imperio successor. Ad quos sæpenumerò Clearchus, dum vita fruitur, legatos misit. Qui verò necis auctores tyranno fuerant, prope omnes, partim à satellitibus, in ipso aggressionis articulo (vbi tamen strenuos se viros gerebant) concisi, partim aliquanto post capti, & atrocibus suppliciis (quæ fortiter tolerarunt) adfecti, occubuêre.

Clearchi amor studiorum.

Insidiæ in Clearchum.

Clearchi mors tragica.

Coniuratorum exitus.

SATYRVS autem, tyranni germanus, & curator puerorum Timothei & Dionysij relictus, imperium suscipit, qui non Clearchum solummodo, verum cunctos etiam tyrannos crudelitate superauit. Non enim de insidiatoribus fratris tantum vindictam sumpsit, sed & in liberos eorum qui etiam rei perpetratæ conscij non essent, non minus sæuiit. Atque ita à multis insontibus maleficorum pœnas exegit. Fit hic omnis doctrinæ philosophicæ & artiũ ingenuarum omnino expers, ingenio tantum ad sæuitiam propẽso. Nec voluntas ei erat, humanum aliquid & moderatum discendi, nec à natura indita facultas: sed per omnia erat pessimus, etiamsi tempus ipsum infringebat hominẽm, vt ciuilis tandem sanguinis & cædis cum satietas caperet. Amoris tamen fraterni primas tulit. Nam, vt dominatum fratris filiis integrũ ab iniuriis conseruaret, adeo eius rationem habuit, vt licet cõiugali vxoris, quàm vnicè amabat, consuetudine vteretur, liberos tamen ex ea procreare nollet, sed omni arte hanc orbitatis & non gignendæ sobolis ceu pœnam sibi irrogaret: ne quem omnino insidiatorem fratris filiis relinqueret. Superstes adhuc, sed senio grauatus, Timotheo, qui de filiis fratris ætate præcessit, rerum summam tradit: nec multo tẽpore post difficillimo corripitur morbo & imedicabili. Cãcer. n. inter inguẽ & scrotũ enatus ad interiora pascẽdo subinde acerbius proserpebat:

Satyri tyranni II. immanitas, crudelitas.

Satyri tyranni philostorgia in fratrem.

Satyri tyranni morbus atrox.

MEMNON.

ex quo carne laxata, sanies, grauissimos & intolerabiles exspirans odores, profluebat, vt nec ministri nec medici virulentissimum putredinis fœtorem sustinerent ac perferrent. Continentes autem & acerrimi dolores totum eius corpus excarnificabant: quorum vigiliis & conuulsionibus eousque mali contagio adaugescebat, donec ad ipsa viscera se insinuans, vitam tyranno abrupit.

Vindicta diuina, etiam in hac vita.

Quare hic, non minus quàm Clearchus, animaduertentibus considerandum exhibuit, pœnas tandem exigi illorum quæ contra diuina & humana iura immaniter in ciues admisisset. Sæpe enim inter morbi torturas precatus dicitur, vt quamprimum se mors obrueret, voti tamen compos non ante factus, quàm morbi vi & acerbitate consumptus, eo modo fatis debitum exsoluit: postquam LXV. in vita, in tyrannide VII. annos compleuerat. Et tempestate illa regnum apud Lacedæmonios Agesilaus administrabat.

CAP. IV. Timotheus filius Clearchi, princeps III. Eius merita in rempubl. & priuatos.

TIMOTHEVS igitur, imperium adeptus, ita ad moderationem, & quàm potuit maximè popularem statum, illud reduxit, vt non vltrà tyrannus, sed benefactor & seruator ob preclarè merita nuncuparetur. Nam de suo nomina creditoribus expediuit, & inopia laborantibus sine fœnore ad negotiationes, & alios vitæ vsus, pecunias suppeditauit. nec modò insontes, sed & veris criminibus obnoxios, carceribus exsoluit. Iudex quidem accuratus & seuerus, cæteroqui tamen humanus & benignus, In rebus fidei suæ credendis minimè suspectus. idcirco & fratrem Dionysium cum in aliis paterno amore & studio complexus est, tum statim imperij cõsortem adsciuit, & successorem sibi destinauit.

Eius heroica in bellis virtus.

Sed enimuerò ad res bellicas alacri, & qui virum decet, animo ferebatur. Magno enim spiritu, & generoso corporis & animi robore erat præditus. Quin & ad controuersias bellorum dirimendas & componendas æquum bonúmque se præbebat, nec difficilem. Ad perspiciendum res idoneus, & ad exsequẽdũ bene consideratas strenuus. Ingenio & moribus clemens, misericors & beneficus. In periculis quidem adeundis ferox erat: in cætera vita per quam humanus & comis. Ideò, quandiu salua ei vita mãsit, hostibus quam maximè formidabilem (vt omnes quibuscum inimicitias susceperat, eum expauescerent) sed ciuibus suauem & mitem sese præstitit.

Eius mors immatura.

Hinc accidit vt ad vitæ exitum vocatus, ingens sui desiderium faceret reliquum, & parem desiderio luctum excitaret.

Habitus ei à Fratre honos post mortem.

Germanus autem eius Dionysius magnificis cadauer sũptibus rogo tradit, & è suis fratri palpebris lachrymas seu libans effundit, éque propriis visceribus ei gemitus impendit. Ludos etiam equestres, & præter hos, gymnicos & thymelicos & scenicos: alios statim, alios postea, qui magnificentiores essent, peregit. Hæc IX. & X. libro (quatenus cursim ista perstringimus) historia Memnonis describit.

CAP. V. Dionysius princeps IV. Rex fortunatissimus imperij augendi occasionem non neglegit.

DIONYSIVS, gubernaculis imperij acceptis, in augendo eo non vanam collocauit operam. Alexander enim, Persis ad Granicum profligatis, securam amplificandi ditiones suas occasionem patefecerat his, qui vellent: cum, quæ hactenus impedimento fuerat, Persarum potentia labefactaretur.

Alexandrum fortunam ... sæpe superat.

Sed varias deinceps fortunæ vices expertus est, maximè quũ Heracleę exules missitãdis ad

ἐξ οὗ ἰχῶρες, ἀνασομωθείσης τῆς σαρκὸς, ἐξέρρεον βαρὺ καὶ δύσοιστον πνεῦσαι, ὡς μηκέτι μήτε τοὺς ὑπηρετουμένους, μήτε τοὺς ἰατροὺς τὸ τῆς σηπεδόνος * στέργειν δυσῶδες [καὶ] ἀνυπόστατον. καὶ συνεχεῖς δὲ ὀδύναι καὶ δριμεῖαι ὅλον τὸ σῶμα κατέτεινον. ὑφ᾽ ὧν ἀγρυπνίαις τε καὶ σπασμοῖς ἐξεδίδοτο, ἕως προσκόψασα μέχρις αὐτῶν τῶν σπλάγχνων τοῦ πάθους ἡ νομὴ, τοῦ βίου ἀπέρρηξεν. ἐδίδου μὲν καὶ οὗτος, ὥσπερ καὶ Κλέαρχος, τελευτῶν τοῖς ὁρῶσιν ἐννοεῖν, δίκας ἀποτίνειν ὧν ὠμῶς τε καὶ παρανόμως τοὺς πολίτας διέθεσαν. πολλάκις γὰρ αὐτόν φασιν ἐν τῇ νόσῳ τὸν θάνατον ἐπελθεῖν αὐτῷ κατευχόμενον, μὴ τυχεῖν: ἀλλὰ συχναῖς ἡμέραις τῇ πικρᾷ καὶ βαρείᾳ καταδαπανώμενον νόσῳ, οὕτως ἀποτῖσαι τὸ χρεών· ἔτη μὲν βιώσαντα πέντε καὶ ἑξήκοντα. ὧν ἡ τυραννὶς εἶχεν ζ. Ἀγησίλαος δὲ τηνικαῦτα Λακεδαιμονίων * ἐβασίλευεν.

* al. τάσιν

* ἐβασίλευε.

Ὁ δὲ Τιμόθεος παραλαβὼν τὴν ἀρχὴν, οὕτω ταύτην ἐπὶ τὸ πρᾳότερον καὶ δημοκρατικώτατον μετερρύθμιζεν, ὡς μηκέτι τύραννον, ἀλλ᾽ εὐεργέτην αὐτὸν, οἷς ἔπραττε, καὶ σωτῆρα ὀνομάζεσθαι. τά τε γὰρ χρέα τοῖς δανεισταῖς παρ᾽ ἑαυτοῦ διελύσατο, καὶ τοῖς χρῄζουσι πρὸς τὰς ἐμπορείας καὶ τὸν ἄλλον βίον τόκων ἄνευ ἐπήρκεσε. καὶ τῶν δεσμωτηρίων οὐ τοὺς ἀνευθύνους μόνον, ἀλλὰ καὶ τοὺς ἐν αἰτίαις διῄρει· καὶ δικαστὴς ἀκριβὴς ἦν ὁμοῦ καὶ φιλάνθρωπος, καὶ τὰ ἄλλα χρηστός· καὶ ταῖς ὑποθέσεσιν οὐκ ἀπιστούμενος. * ἐν οἷς καὶ τὸν ἀδελφὸν Διονύσιον τά τε ἄλλα πατρικῶς περιεῖπε, καὶ κοινωνὸν μὲν εἶχεν αὐτίκα τῆς ἀρχῆς, ἐχομένως δὲ καὶ διάδοχον. οὐ μὴν ἀλλὰ γὰρ καὶ πρὸς τὰς πολεμικὰς τῶν πράξεων ἀνδρείως ἐφέρετο. μεγαλόφρων δὲ ἦν, καὶ γενναῖος σῶμα καὶ ψυχήν· ἀλλὰ καὶ πρὸς τὰς τῆς μάχης διαλύσεις εὐγνώμων τε καὶ οὐκ ἄχαρις· πράγματα μὲν συνιδεῖν ἱκανὸς, ἐξικέσθαι δὲ πρὸς τὰ συνιστάμενα δραστήριος· οἰκτίρμων τε τὸ ἦθος καὶ χρηστός. καὶ τῇ μὲν εὐτολμίᾳ δεινῶς ἀπότομος, τῇ δὲ μετριότητι φιλάνθρωπός τε καὶ μειλίχιος. διὸ σφόδρα μὲν περιὼν τοῖς πολεμίοις φοβερὸς ἦν, καὶ πάντες αὐτὸν κατωρρώδουν ἐπειδὰν ἀπεχθάνοιντο, τοῖς δ᾽ ἀρχομένοις γλυκύς τε καὶ ἤπιος. ἐντεῦθεν καὶ τελευτῶν, πόθον αὐτοῦ κατέλιπε πολὺν, καὶ πένθος ἤγειρε τοῦ πόθου ἐνάμιλλον. ὁ δὲ τούτου ἀδελφὸς Διονύσιος * καίει μὲν τὸ σῶμα πολυτελῶς, σπένδει δὲ αὐτῷ καὶ τὰ ἀπὸ βλεφάρων δάκρυα, καὶ τὰς ἀπὸ τῶν σπλάγχνων οἰμωγάς· ἐπιτελεῖ δὲ καὶ ἀγῶνας ἱππικούς· οὐχ ἱππικοὺς δὲ μόνον, ἀλλὰ καὶ σκηνικοὺς καὶ θυμελικοὺς, καὶ γυμνικούς· τοὺς μὲν αὐτίκα, τοὺς δὲ λαμπροτέρους καὶ ὕστερον· ἀλλὰ ταῦτα μὲν ἡ θ' καὶ ι' τοῦ Μέμνονος, ὡς ἐν ἐπιδρομῇ φάναι, διαγράφει ἱστορία.

Τιμόθεος.

* ἐφ' H. St.

* al. ἦγε ἤ.

Τὴν δὲ ἀρχὴν διαδεξάμενος Διονύσιος ηὔξησε ταύτην, Περσῶν ἐπὶ Γρανικῷ τῷ Ἀλεξάνδρου μάχῃ καταγωνισαμένου, καὶ παρασχόντος ἄδειαν τοῖς βουλομένοις αὔξειν τὰ ἑαυτῶν, τῆς πως ἐμποδὼν πᾶσιν ἱσταμένης περσικῆς ἰσχύος, ὑποσταλλομένης. ὕστερον δὲ ποικίλας ὑπέστη περιστάσεις, μάλιστά γε τῶν τῆς Ἡρακλείας φυγάδων πρὸς Ἀλεξαν-

Διονύσιος.

Ἀλέξανδρον, περιφανῶς ἤδη τῆς Ἀσίας κρατοῦντα, διαπρεσβευομένων, καὶ κάθοδον καὶ τὴν τῆς πόλεως πάτριον *δημοκρατίαν ἐξαιτουμένων. δι' ἅπερ ἐγγὺς μὲν κατέστη τοῦ ἐκπεσεῖν τῆς ἀρχῆς· καὶ ἐξέπεσεν ἄν, εἰ μὴ συνέσει πολλῇ καὶ ἀγχινοίᾳ καὶ τῇ τῶν ὑπηκόων εὐνοίᾳ, καὶ θεραπείᾳ Κλεοπάτρας, τοὺς ἀπειληθέντας αὐτῷ πολέμους διέφυγε· τὰ μὲν ὑπείκων, καὶ τὴν ὀργὴν ἐκλύων, καὶ μεθοδεύων ταῖς ἀναβολαῖς. τὰ δέ, ἀντιπαρασκευαζόμενος. ἐπεὶ δὲ ἢ θανάτῳ ἢ νόσῳ κατὰ Βαβυλῶνα γεγονὼς Ἀλέξανδρος τὸν βίον διέδραμεν: εὐθυμίας μὲν ὁ Διονύσιος ἄγαλμα, τὴν ἀγγελίαν ἀκούσας, ἱδρύσατο· παθὼν τῇ πρώτῃ προσβολῇ τῆς φήμης ὑπὸ τῆς πολλῆς χαρᾶς, ὅσα ἂν ἡ σφόδρα λύπη δράσειε. μικροῦ γὰρ παρεκπεσὼν, εἰς τὸ πεσεῖν ὑπήχθη, καὶ ἄνους ὤφθη γινόμενος. Περδίκκα δὲ τῶν ὅλων ἐπιστάτου, οἱ μὲν τῆς Ἡρακλείας φυγάδες, πρὸς τὰ αὐτὰ καὶ τοῦτον προὔτρεπον: Διονύσιος δὲ ταῖς ὁμοίαις μεθόδοις χρώμενος, ἐπὶ ξυροῦ ἀκμῆς, πολλοὺς κινδύνους κατ' αὐτοῦ συστάντας πάντας διέδρασεν. ἀλλ' ὁ μὲν Περδίκκας ὑπὸ τῶν ἀρχομένων, μοχθηρὸς γεγονώς, ἀνῄρηται. καὶ αἱ τῶν φυγάδων ἐλπίδες ἐσβέννυντο· Διονυσίῳ δὲ πανταχόθεν τὰ πράγματα πρὸς τὸ εὐδαιμονέστερον μετεβάλλοντο. ἡ δὲ πλείστη ῥοπὴ τῆς εὐδαιμονίας ὁ δεύτερος αὐτῷ κατέστη γάμος. ἠγάγετο μὲν γὰρ Ἄμαστριν, αὕτη δὲ [ἦν] Ὀξάθρου θυγάτηρ. ἀδελφὸς δὲ ἦν οὗτος Δαρείου, ὃν καθελὼν Ἀλέξανδρος, Στάτειραν τὴν αὐτοῦ θυγατέρα, γυναῖκα ἠγάγετο. ὡς εἶναι τὰς γυναῖκας ἀλλήλαις ἀνεψιάς, ἔχειν δέ τι πρὸς *ἑαυτὸν καὶ φίλτρον ἐξαίρετον, ὃ τὸ συντρόφοις ὑπάρξαι *ταύταις ἐνέφυσεν. ἀλλὰ ταύτην τὴν Ἄμαστριν Ἀλέξανδρος, ὅτε Στατείρᾳ συνώκητο, Κρατερῷ (τῶν φιλουμένων ἦν οὗτος [ὡς] μάλιστα) *ἁρμόζει. Ἀλεξάνδρου δὲ ἐξ ἀνθρώπων ἀποπτάντος, [καὶ] Κρατεροῦ πρὸς Φίλαν τὴν Ἀντιπάτρου ἀποκλίναντος, γνώμῃ τοῦ λιπόντος, Διονυσίῳ ἡ Ἄμαστρις συνοικίζεται. ἐξ οὗ ἐπὶ μέγα ἡ ἀρχὴ αὐτοῦ διήρθη, πλούτου τε προσβολῇ τῇ διὰ τῆς ἐπιγαμίας προστεθείσῃ καὶ ἰδίᾳ φιλοκαλίᾳ. καὶ γὰρ καὶ τὴν τοῦ Διονυσίου πᾶσαν ἐπισκευὴν τοῦ Σικελίας τυραννήσαντος, αὐτὸν ἐπῆλθεν ἐξωνήσασθαι, τῆς ἀρχῆς ἐκείνου διαφθαρείσης. οὐ ταῦτα δὲ μόνον αὐτῷ τὴν ἀρχὴν ἐπεκράτυνεν, ἀλλὰ καὶ *εὐπραγία καὶ εὔνοια τῶν ὑπηκόων. καὶ πολλῶν ὧν οὐκ ἐκράτει πρότερον, ἡ κυριότης· καὶ Ἀντιγόνῳ δὲ τὴν Ἀσίαν κατέχοντι λαμπρῶς συμμαχήσας, ὁπότε τὴν Κύπρον ἐπολιόρκει, τὸν ἀδελφιδοῦν Πτολεμαῖον (στρατηγὸς δὲ οὗτος ἦν τῶν περὶ τὸν Ἑλλήσποντον) φιλοτιμίας ἀμοιβὴν εὕρατο παρ' Ἀντιγόνου, γαμβρὸν λαβεῖν ἐπὶ θυγατρί. ἡ δὲ παῖς ἐκ προτέρων ἦν αὐτῷ *γεγαμημένη γάμων. οὕτω γοῦν εἰς μέγα δόξης ἀρθῆναι, καὶ τὸ τοῦ τυράννου ἀπαξιώσας, τὸ βασιλέως ἀντέλαβεν ὄνομα. φόβων δὲ καὶ φροντίδων ἐλευθερώσας, καὶ ταῖς καθημεριναῖς τρυφαῖς ἐκδιαιτηθεὶς ἐξωγκώθη τε τὸ σῶμα, καὶ τὸ κατὰ φύσιν πολὺ πλέον ἐλιπάνθη. ὑφ' ὧν οὐ μόνον περὶ τὴν ἀρχὴν ῥᾳθύμως εἶχεν: ἀλλὰ καὶ, ἐπειδὰν ἀφυπνώσειε, βελόναις μακραῖς τὸ σῶμα *διαπειρόμενος,

* al. δημοκρατίαν.
* al. ἑαυτὰς.
* al. ταύτας.
* al. συναρμόζει.
* al. τὸ πρὸς ...
* γεγαμημένη. M. 50.
* διαπειρόμενος. B.

ΑΝΕΓΝΩΣΘΗ τοῦ ἐν ἁγίοις Εὐλογίου πάπα Ἀλεξανδρείας βιβλίον ἐν λόγοις β. τὸ δὲ βιβλίον συνηγορία μέν ἐστι τοῦ ἐν τοῖς τόμοις Λέοντος τοῦ ἐν ἁγίοις τῆς ῥώμης ἀρχιερέως, ἔλεγχος δὲ Τιμοθέου καὶ Σευήρου τῶν καθαπτόντων τοῦ Τόμου· καὶ γὰρ ἡ αἵρεσις ἑκάτερον κατὰ τῆς συνόδου καὶ τοῦ Τόμου μεγαλαυχεῖ ἀγωνίσασθαι: ἀλλὰ Σεβῆρον μὲν πλατύτερον, Τιμόθεον δὲ ἀκριβέστερον. προσφωνεῖ δὲ τὸ βιβλίον Δομετιανῷ τῷ μελιτηνῆς ἀρχιερεῖ. ὁ μὲν οὖν πρῶτος λόγος ἐν κεφαλαίοις ἀπαρτίζεται δ', ἐξ δὲ κεφαλαίοις καὶ δέκα ὁ δεύτερος. διηγεῖται δὲ μετὰ τὰ προοίμια τὸ πρῶτον βιβλίον τὴν αἰτίαν, δι' ἣν ἡ γραφὴ προῆλθε, καὶ ὡς εὐσεβῶν ἀνδρῶν εὐλαβῶν προτροπῇ ταύτην * ἀπεδέξατο. ἐφ' οἷς ἐκτίθεται νόμον καὶ κανόνα, Μὴ δεῖν ἐκ μέρους τὰ συγγράμματα κρίνειν· μηδ' ἀποσπαράγματά τινα λαμβάνοντας, διὰ τούτων τὴν ὅλην τοῦ γράφοντος ἐνδιαβάλλειν διάνοιαν. τοῖς γὰρ τοιούτοις καὶ ὁ προφήτης ἐπαφίησι τὴν ἀράν. οὐαὶ τοῖς προφητεύουσι, λέγων, ἀπὸ καρδίας αὐτῶν, καὶ τὸ καθόλου μὴ βλέπουσι. τοῦτον δὲ τὸν νόμον καὶ κανόνα, καὶ αἱ τῶν ἱερῶν ἡμῶν πατέρων αἱ ψῆφοι κρατύνουσι. καὶ γὰρ καὶ Εὐστάθιος ὁ τῶν Ἀντιοχέων ἀρχιερεὺς ἐν ἓξ λόγοις τοῖς κατὰ Ἀρειανῶν αὐτοῖς ῥήμασιν οὕτω φησίν· ἀλλ' οἱ παράδοξοι τῆς ἀρείου θυμέλης μεσόχοροι, τὸ μὲν ἁμαρτίαν πεποιηκέναι τὸν χριστὸν φράζουσι καὶ μετ' ὀλίγα· τὸ δὲ, ὅτι θεὸς ἦν ἐν χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ: οὔτε ἐν μνήμῃ φέρουσιν, οὔτε τοῖς τῆς γλώττης ὀργάνοις ἐκφωνοῦσιν· ἀλλ' ὥσπερ δεινοὶ συκοφάνται καὶ κατήγοροι ἀκροτηριάσαντες τὸ χωρίον, τὸν ἀγῶνα τῆς κατηγορίας ποιοῦνται. εἶτα καὶ ἡ ψῆφος ἡ ὑπὲρ τοῦ νόμου. δεῖ δὲ φιλαλήθως τοὺς ἐννόμους ἀγωνιστὰς, πάντα συμπεριλαβόντας ἀπαραλείπτως, ἀλλὰ μὴ πρὸς ἀπάτην, μέρος μὲν ἀποσιωπᾷν, μέρος δὲ ἀποσπῶντας προφέρειν. ὡσαύτως καὶ Βασίλειος ὁ θεῖος, ὡδέ πως Σωζοπολίταις ἐπιστέλλων γράφει· Οὐ νεώτερον τοῦτο τῆς δοκήσεως τὸ ἀσέβημα· ἀλλὰ πάλαι ἀπὸ τοῦ ματαιόφρονος ἀρξάμενον Οὐαλεντίνου: ὃς ὀλίγας τοῦ ἀποστόλου λέξεις ἀποσπαράξας, τὸ δυσσεβὲς * ἑαυτῷ κατεσκεύασε πλάσμα. ὥστε τῆς τῶν αἱρετικῶν ἐστὶν ἀπονοίας, μέρος τι παραλαβόντα τῆς γραφῆς· καὶ τοῦτο παραχαράσσοντα, δι' αὐτό τε συκοφαντεῖν τὰ λοιπὰ, καὶ διὰ τῆς τῶν ἱερῶν λογίων συκοφαντίας καὶ κατατομῆς, συγκροτεῖν ἑαυτοῖς τὴν ἀσέβειαν. οὕτω δ' αὖ κατηγορηθείη τοῖς ἀσεβέσι καὶ Πέτρος ὁ κορυφαῖος τῶν ἀποστόλων, ὡς διαιρῶν τὸν Ἐμμανουὴλ, φησὶ, Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲθ ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς πνεύματι ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου, ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ. καὶ δὴ καὶ Παῦλον, τὸν περιλαβόντα τὴν οἰκουμένην τῷ τῆς εὐσεβείας κηρύγματι, τοῖς ὁμοίοις * ἀκρωτηριασμοῖς καὶ συκοφάνταις αἰτιάσεται, ἐν οἷς δημηγορῶν * καὶ ἀθηναίοις ἔφη. παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι μετανοεῖν, καθότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ ἐν ἀνδρὶ, ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. ἐν οἷς πάλιν πρὸς ἑβραίοις γράφων, φησίν·

ὃς ἐν

Right margin: κεφ'. Eulogij, Papæ Alexandrini, liber contra Timotheum & Seuerum hæreticos. — * ἐπεδέξατο M. M. — Euſtathius Antiochenus. — * al. αὐτῷ. — * al. ἀκρωτηριασμοῖς. — * πρὸς ἀθηναίοις.

ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, καὶ ἑξῆς. ἆρ' ὁ συκοφάντης καὶ τῶν οἰκείων κλεμμάτων καὶ σπαραγμάτων κριτὴν ἑαυτὸν ποιῶν, οὐχ ὡς ἄνθρωπον λεγόντων ψιλὸν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὐκ ἂν κατηγοροίη τῶν κηρύκων αὐτοῦ: ἀλλ' οὐχ οὕτω τῆς ἀληθείας ὁ φίλος· ἀλλ' ἐπισυνάψας τοῖς προειρημένοις, ἃ καθ' ἕτερον μέρος περὶ τοῦ σωτῆρος τοῖς τῆς εὐσεβείας κήρυξιν ἐθεολογήθη, πάσης ὕβρεως ἀπαντέρους τοὺς τῆς εὐσεβείας [ἀποδείξει] διδασκάλους. οἷον, συνάπτει τοῖς προειρημένοις τό· ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς [εἰ] εἰς τοὺς αἰῶνας ἀμήν. καὶ δὴ καὶ τό· ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. ὁ ταῦτα τοῖς προτέροις συναρμόσας, καὶ Νεστόριον τούτοις ἀσεβοῦντα διελέγξει, καὶ τὴν εὐσέβειαν λαμπροτέραν ἐπιδείξει. οὕτω δὲ καὶ ὁ θαυμάσιος πάλιν Βασίλειος τὴν περὶ τῶν λόγων κρίσιν γίνεσθαι παραινεῖ, ἐν οἷς πρὸς τοὺς μοναχοὺς γράφει τὰ ἀμφιβόλως λεγόμενα, καὶ ἐπικεκαλυμμένως εἰρῆσθαι δοκοῦντα ἔν τισι τόποις τῆς θεοπνεύστου γραφῆς, ὑπὸ τῶν ἐν ἄλλοις τόποις ὁμολογουμένων σαφηνίζεται. ὅτι δὲ οὐ χρὴ διά τινων σπαραγμάτων καὶ περικομμάτων τὴν τοῦ συγγραφέως κρίνειν εὐσέβειαν, οὕτω λαμπρὰν ἀφίησι τὴν ἀκτῖνα ἡ ἀλήθεια, ὡς καὶ Σεβῆρον αὐτὸν, καίτοι περὶ ταῦτα τυφλώττοντα, ὅμως πεῖσαι τοῦτο συνιδεῖν. γράφει γὰρ πρὸς Ἰουλιανὸν τὸν Ἁλικαρνασοῦ· Δεῖ τοίνυν τὰς τῶν ὁσίων καὶ τῆς ἁγιωτάτης ἐκκλησίας μυσταγωγῶν διδασκαλίας ἐντελῶς ἀναγινώσκειν, καὶ μὴ * ἑκατέρως τὰ ἐκείνων προφέρειν, καὶ τῆς ὅλης αὐτῶν διανοίας ἐπικινδύνως καταστοχάζεσθαι. τοῦτο δὲ καὶ ἐπὶ τῶν ἀποστολικῶν καὶ εὐαγγελικῶν συγγραμμάτων, καὶ ἐπὶ πάσης τῆς θεοπνεύστου γραφῆς προσήκει ποιεῖν: ἐπεὶ μηδὲ ἐκ μιᾶς ῥήσεως, ἤγουν ἐπιστολῆς ἢ συντάγματος, ἔστι φράσαι τὴν ὅλην τοῦ συγγραφέως εὐσέβειαν. οὕτω μὲν ἡ τῆς ἀληθείας τοῦ κανόνος ἀστραπὴ καὶ τὸν Σεβῆρον, καίτοι τυφλὸν ὄντα, τῆς οἰκείας αὐγῆς ὅμως ἀπολαῦσαι παρεσκεύασεν. ἀλλὰ γὰρ τοῦ μὲν νόμου τὸ ἄμαχον κράτος συνιδεῖν * ἔσχε: χρήσασθαι δὲ τῷ ἀσυνέτῳ τῆς γνώμης οὐκ ἠμέλησε. τὸν γὰρ τῆς ἐν ὁσίᾳ τῇ μνήμῃ Λέοντος τόμον οὐ τῷ νόμῳ, ὃν ἐκήρυξε, τῇ δὲ τῆς ἀντιπαθείας γλώσσῃ ζυγοστατῶν, καὶ διά τινων σπαραγμάτων καὶ κιβδήλων λόγων προοιμίων ἔδοξεν ἐπ' ἀσεβείᾳ γράφειν τὸν εὐσεβῆ· αὐτὸς ὢν ἀληθῶς, ἃ διαβάλλειν ἄλλους ἐτόλμησε. τίς γὰρ ὀξύτερον ἄλλος βέλος κατὰ τῆς δυσσεβοῦς ἀφῆκε Νεστορίου τῆς στερρᾶς ἐκείνης καὶ λεοντείας φωνῆς; ὁ ἀπαθὴς Θεὸς οὐκ ἀπηξίωσε παθητὸς γενέσθαι ἄνθρωπος, καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτου. ἀλλὰ ταῦτα μὲν ὁ συκοφάντης παρέτρεχε: ἄλλα δέ τινα ῥητὰ πρὸς τὸ οἰκεῖον περικόπτων τι καὶ διαστρέφων βούλημα· οὔτε τὴν προειρημένην φωνὴν δυσωπεῖται, οὔτε τὸν παρ' αὐτοῦ λόγοις τιμηθέντα νόμον ἔτι βούλεται εἰδέναι. εἰ μὲν γὰρ ἅπασα ἡ τοῦ ἐν ἁγίοις Λέοντος ἐπιστολὴ δι' ἀμφιβόλων τινῶν ὥδευε, καὶ ἐξ ὧν οἱ ἀκέφαλοι τῆς μιᾶς ὑποστάσεως αἰτιῶνται διαίρεσιν: τάχα ἂν αὐτοῖς τῆς διαβολῆς ἡ ἄγνοια πρόφασις. ἐπεὶ δὲ διὰ μυρίων ἡ εὐσέβεια πρόδηλος ἐ

Margin: * al. ἐν μέρει. — * al. ἔσχεν

EVLOGIVS. *Heb. 5. 7.*

Qui in diebus carnis suæ preces supplicationésque ad eum qui possit illum saluum facere à morte, & deinceps. Calumniator igitur proprij furti & lacerationis iudicem seipsum constituens, non vt nudè hominem dicentes Dominum nostrum IESVM CHRISTVM, contemneret præcones ipsius, sed non sic veritatis amicus. Et prædictis adiungens, quæ ex alia parte de Saluatore à pietatis præcone denuntiata sunt, extra omnem iniuriam pietatis magistros ostendit, vt illud adiungit: *Patres ex quibus est Christus secundum carnem, qui est super omnia benedictus in sæcula, Amen.* *Rom. 9. 5.* Certè & illud: *Qui cum sit splendor gloriæ, & figura substantiæ eius, portansque omnia Verbo virtutis suæ.* *Heb. 1. 3.* Hæcque primis accommodans, & Nestorium impium in his accusabit, & pietatem clariorem reddet. Et sic rursum diuinus Basilius fieri de orationibus iudicium suadet, quibus ad monachos ambiguè dicta perscribit, & obscurè dicta in aliquot sacræ scripturæ locis visa, vt alia clarè dicta loca ostendunt: Non oportere per aliquot fragmenta & diuulsiones scriptoris pietatem iudicare, adeò clarum radium emittit veritas, vt Seuerum in his cæcutientem, tamen consensum suasisse. Scribit enim ad Iulianum Halicarnassæum. Oportet igitur præceptiones sanctorum sanctæ Ecclesiæ doctorum per occasionem perfectè legere, & non singulatim omnia proferre, & de toto sensu periculosè coniectare. Hoc in Apostolicis atque Euangelicis scriptis, atque adeò in omni diuinitus inspirata scriptura seruandum est, quando non in vna voce scilicet epistolæ, vel operis collocanda est scriptoris pietas. sic & veri canonis fulgur Seuerum cæcum proprio fulgore tamen frui sinit, sed inexplicabile legis robur cognoscere licuit. Vti verò consueta sententia neglexit. Piæ enim memoriæ beati Leonis librum non lege quam prædicauit, sed contraria expendens lingua, & per fragmenta quædam & perniciosis sermonibus præfando, visus est de impietate pie scribere: ipse reus verò exsistens eorum quæ aliis obiicere ausus est. *Vide hæc & sequentia in Leonis epistola.* Quis enim alius acutius telum in Nestorium impium torsit, quàm voce robusta Leo: *Impatibilis DEVS dignatus est homo fieri, & immortalis mortis parere legibus.* Hæc sycophanta prætermittit: alia verò quædam dicta resecans ad suum dogma rapit, nec pudet vocis illius prædictæ. neque agnoscere ab ipso cultam vult legem. Si enim integra Leonis epistola per ambiguitates ambulauit, etiam ex quo Acephali, vnius personæ diuisionem damnant, Facilem iis imperitia calumniandi occasionem afferebat. Postquam verò per innumerabilia pietas ostensa est,

EVLOGIVS. quomodo non sycophantæ arripiunt alteram à prima impietatem? sed in his capita duo. Tertium verborum calumniantium, sancti Leonis comparatio, & ex eodem libro redditio, qua iniusta calumniantium sententia clariùs refellitur. Hæc autem calumniantur. Primùm enim seruat altera natura indeficienter sui proprietatem. Et quemadmodum non tollit serui formam Dei forma: sic & serui forma non minuit Dei formam. Quod igitur dictum est secundùm se piè mentis germen est. Nisi quid contra obiiciatur ex ipsa epistola. Sic enim melius impietatis improbitas accusetur. Sic enim habet: Ipse sempiterni Patris vnigenitus sempiternus, genitus ex Spiritu sancto & Maria Virgine. Quæ generatio temporalis diuinam ipsius ac sempiternam generationem nihil diminuit, neque ipsi quid postponit, vsque ad illud: Conceptus est videlicet de Spiritu sancto in vtero Virginis matris, vt quæ sic seruata integritate ipsum genuerit, quemadmodum & manente virginitate concepit. Intellexit hoc aliquando Nestorius? Reperiátne itaque contra hæc aliquis quod iure calumnietur, etiamsi ipsum diabolum habeat cooperantem in hac re ab initio homicidam? Quare igitur non ad hæc, etsi quid ambiguum est adaptamus, sed hæc potius inde sumere audemus? Cerne Acephalum quomodo non iterum alterum dictum omittens erubescit, quæ, inquit, in [vniuersa] quantitate relata vtrinque sunt, & hominis vilitas & Dei contra magnitudo. Quemadmodum enim cùm dicit: Deus mutationem non suscipit: Sic homo diuinæ dignitatis non consumitur. Quomodo enim pudore non est affectus dictam vocem opponens, & ad debitum nostræ naturæ conditum dissc. diuina natura vnita est patibili naturæ, vt hoc certè nostris medicinis aptum exsistens, vnus & ipse mediator Dei & hominum exsistens homo IESVS CHRISTVS, & mori per vnam potuit, & finiri per alteram non potuit. (1. Tim. 2. 5.) Rursum tertium ad accusationem trahunt. Operatur enim vtraque forma per alterius communicationem, donec diuinitas quidem miraculis clarescat, humanitas verò iniuriis excipiatur. Duos enim esse operantes, docere sententiam accusatores mentiuntur. Sed ille rursum per seipsum opponens vocem propriam, obstruit os eorum dicens, vnus ipse & Filius Dei verè, & verè filius hominis est. Deus quidem quatenus. (Ioan. 1. 1.) *In principio erat Verbum, & Verbum erat apud Deum, & Deus erat Verbum*: Homo verò secundùm illud, Verbum caro factum est, & habitauit in nobis, vsque ad illud: Quem vt hominem. Certè audit dæmonis astutia. huic quasi DEVS sit Angelorum ordo ministrat. Hæc enim tunc dicta dilucidè explicat, & quæcumque hæresis calumniari aggreditur, & omni calumnia ostendit superiora. Quarto carpsit hanc sententiam,

πῶς οὐχὶ δευτέραν ἐπὶ τῇ πρώτῃ δυσσεβείᾳ οἱ συκοφάνται *προσλαμβάνουσιν; ἀλλ' ἐν τούτοις μὲν τὰ δύο κεφάλαια. τρίτον δ' ἂν εἴη τῶν διαβαλλομένων ῥητῶν, τοῦ ἐν ἁγίοις Λέοντος ἡ παράθεσις, καὶ ἡ ἐκ τοῦ αὐτοῦ τόμου ἀντιπαράθεσις, δι' ἧς ἡ ἄδικος τῶν συκοφαντῶν γνώμη λαμπρῶς στηλιτεύεται. ἔστι δὲ τῶν συκοφαντουμένων. πρῶτον γὰρ φυλάττει ἑκατέρα φύσις ἀνελλιπῶς τὴν ἑαυτῆς ἰδιότητα: καὶ ὥσπερ οὐκ ἀναιρεῖ τὴν τοῦ δούλου μορφὴν ἡ μορφὴ τοῦ θεοῦ, οὕτω τὴν τοῦ θεοῦ μορφὴν ἡ τοῦ δούλου μόρφωσις οὐκ ἐμείωσε. τὸ μὲν οὖν ῥητὸν καὶ καθ' ἑαυτὸ εὐσεβοῦς διανοίας ἐστὶ βλάστημα. πλὴν ἀλλ' ἀντιπαρακείσθω τούτῳ ἐκ τῆς αὐτῆς ἐπιστολῆς: οὕτω γὰρ ἂν μᾶλλον ἐλεγχθείη τῆς δυσσεβείας τὸ κακούργημα. ἔχει γὰρ οὕτως· ὁ δὲ αὐτὸς τοῦ ἀϊδίου πατρὸς μονογενὴς ἀΐδιος, ἐτέχθη ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου. ἥτις γέννησις χρονικὴ τῆς θείας αὐτοῦ καὶ ἀϊδίου γεννήσεως οὔτε τι ἀπεμείωσεν, οὔτε μὴν τι ταύτῃ προσέθηκεν, ἕως τοῦ· συνελήφθη μὲν οὖν δῆλον ὅτι ἐκ πνεύματος ἁγίου ἐν γαστρὶ παρθένου μητρός, ἥτις οὕτω φυλαχθείσης τῆς παρθενίας αὐτὸν ἀπεκύησεν· ὥσπερ οὖν καὶ ἀκεραίου μενούσης τῆς παρθενίας συνέλαβεν. ἆρ' ἐνενόησέ ποτε ταῦτα Νεστόριος; ἆρ' εὑρήσει τις κατὰ τούτων διαβολήν τινα, κἂν αὐτὸν συνεργοῦντα ἐν ἑαυτῷ τὸν ἀπ' ἀρχῆς ἀνθρωποκτόνον ἔχει διάβολον; διὰ τί οὖν μὴ πρὸς ταῦτα καὶ εἴ τι ἀμφίβολον μεθαρμόζομεν, ἀλλὰ ταῦτα μᾶλλον ἐκεῖθεν συνδιαβάλλειν θρασυνόμεθα; ὅρα δὴ [ῥήσεως] τὸν ἀκέφαλον πῶς πάλιν ἑτέρας οὐκ αἰσχύνεται καταξέχων ῥήσεως, ἥ φησιν ἐν [ὅλῳ] ὅσῳ τὰ συναμφότερα μετ' ἀλλήλων εἰσὶ, καὶ τοῦ ἀνθρώπου τὸ ταπεινὸν, καὶ τὸ μέγεθος τῆς θεότητος. ὥσπερ γὰρ ἐν τῷ λέγειν, ὁ θεὸς τροπὴν οὐχ ὑφίσταται: οὕτως ὁ ἄνθρωπος τῷ μεγέθει τῆς ἀξίας τῆς θείας οὐκ ἀναλίσκεται. πῶς γὰρ οὐκ ἐδυσωπήθη τὴν λέγουσαν ἀντιπαραθεὶς φωνὴν, καὶ πρὸς τὸ χρεωστούμενον ὄφλημα τῆς ἡμετέρας φύσεως ἐκτισθῆναι, ἡ θεία φύσις ἡνώθη τῇ φύσει τῇ παθητῇ: ἵνα τοῦτο δὴ τὸ ταῖς ἡμετέραις ἰάσεσιν ὑπάρχον ἁρμόδιον, εἷς καὶ ὁ αὐτὸς ὢν μεσίτης θεοῦ καὶ ἀνθρώπων ἄνθρωπος Ἰησοῦς Χριστὸς, καὶ ἀποθνήσκειν ἐκ τοῦ ἑνὸς δυνηθῇ, καὶ τελευτᾶν ἐκ τοῦ ἑτέρου μὴ δυνηθῇ. πάλιν *τρίτον εἰς κατηγορίαν προτείνουσιν. ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας, ἕως καὶ τὸ μὲν αὐτῶν διαλάμπει τοῖς θαύμασιν, τὸ δὲ καὶ ταῖς ὕβρεσιν ὑποπέπτωκε. δύο γὰρ εἶναι τοὺς ἐνεργοῦντας ἐκδιδάσκειν τὸ ῥητὸν οἱ κατήγοροι ψευδολογοῦσιν. ἀλλ' ἐκεῖνος πάλιν δι' ἑαυτοῦ *ἀντιπαραθεὶς τὴν οἰκείαν φωνὴν, ἐμφράττει τούτων τὰ στόματα λέγων· εἷς καὶ ὁ αὐτὸς υἱός τε τοῦ θεοῦ ἀληθῶς, καὶ ἀληθῶς υἱὸς ἀνθρώπου τυγχάνει: θεὸς μὲν κατὰ τοῦτο, καθὸ ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος. ἄνθρωπος δὲ κατὰ τοῦτο: καθὸ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, ἕως τοῦ· ὃν ὡς ἄνθρωπον. τὴν γαστέρα πειράζει ἡ τοῦ διαβόλου πανουργία. τούτῳ ἅτε δὴ θεῷ ὄντι ἡ τῶν ἀγγέλων τάξις διακονεῖ. ταῦτα γὰρ εἰ καὶ τότε ῥηθέντα σαφῶς ἑρμηνεύει, καὶ ἅπερ ἡ αἵρεσις συκοφαντεῖν ἐπῆρθη, καὶ διαβολῆς ἁπάσης δεικνύει ἀνώτερα. τέταρτον διαβάλλουσι τὴν ἔχουσαν ῥῆσιν· ὅτι

* al. φιλικῶς
* τὴν μορφὴν
* ἀντιπαραθεὶς

ὅτε δὲ πρὸς τὸ τοῦ προδρόμου ἑαυτοῦ Ἰωάννου ἔρχεται βάπτισμα, ἵνα μὴ λάθῃ ὅπερ τῷ περικαλύμματι τῆς σαρκὸς ἡ θεότης ἐκρύπτετο· ἡ τοῦ πατρὸς φωνὴ οὐρανόθεν ἐπιβοῶσα, φησίν· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. ἀλλ' ἤδη ἑ αὐτοὺς καταισχύνει τῆς ῥωμαϊκῆς ἀρχιερωσύνης τὸ καλλώπισμα. λέγει γὰρ, παρέρχεται τοίνυν εἰς τὸ ταπεινὸν τοῦτο τοῦ κόσμου ὁ υἱὸς τοῦ θεοῦ, ἀπὸ τοῦ οὐρανίου θρόνου καταβαίνων, καὶ ἀπὸ τῆς πατρικῆς δόξης οὐκ ἀφιστάμενος, καινῇ τῇ τάξει καὶ καινῇ τῇ γεννήσει γενόμενος· καινῇ μὲν τῇ τάξει, ᵃ ὅπερ ἀόρατος ὢν ἐν τοῖς ἑαυτοῦ, ὁρατὸς γέγονεν ἐν τοῖς παρ' ἡμῖν. μέχρι γὰρ τοῦ ὁ ὢν θεὸς ἀληθὴς, ᵇ αὐτός ἐστι καὶ ἄνθρωπος ἀληθὴς, καὶ μετὰ ταῦτα. ὥσπερ οὖν, ἵνα τὰ πολλὰ παραλείψω, ἡ τῆς αὐτῆς ἐστὶ φύσεως τὸ κλαίειν ἐκ διαθέσεως οἰκτοῦ τὸν τελευτήσαντα φίλον, καὶ τὸ τὸν αὐτὸν ἀναζῆν μέλλοντα, διασκεδασθέντος τοῦ προκεχωρηκότος τῆς τεταρταίας ἤδη ταφῆς, ἐξαναστῆσαι πρὸς τὸ κέλευσμα τῆς φωνῆς, καὶ ἑξῆς· μέχρι τοῦ, ὅς τις δι' ἀποκαλύψεως τοῦ πατρὸς, τὸν αὐτὸν καὶ υἱὸν τοῦ θεοῦ ὡμολόγησε καὶ χριστόν. ἀλλὰ πάλιν ἡ αἵρεσις διασύρει τὸ λεγόμενον ῥητόν· εἰ καὶ τὰ μάλιστα ἐν τῷ δεσπότῃ Ἰησοῦ τῷ Χριστῷ τῷ Θεῷ καὶ τῷ ἀνθρώπου ᶜ ἕν ἐστι πρόσωπον· ὅμως [ἕτερόν] ἐστιν ἐκεῖνο, ἐξ οὗ ἐν ἑκατέρῳ κοινόν ἐστι τὸ τῆς ὕβρεως· καὶ ἕτερον ἐξ οὗ κοινὸν τὸ τῆς δόξης καθέστηκεν. ἀλλ' ὁ ἱερὸς ἀνὴρ καὶ ἀναισχύντους ὄντας, δι' ἑαυτοῦ ἐλέγχει τοὺς δυσσεβεῖς. λέγει γάρ· μετὰ δὲ τὴν ἀνάστασιν τοῦ κυρίου, ἥτις δηλαδὴ τοῦ ἀληθινοῦ σώματος αὐτοῦ γεγένηται, ἐπειδὴ ἄλλος οὐκ ἀνέστη, εἰ μὴ ὁ σταυρωθεὶς καὶ ἀποθανών· μέχρι τοῦ, ἀλλ' ἕνα υἱὸν θεοῦ καὶ τὸν λόγον ὁμολογοῦμεν καὶ τὴν σάρκα. ἀλλ' ἔτι ἐπιπηδᾷ τὸ αἱρετικὸν φρόνημα, καὶ διαβάλλει τό, διὰ ταύτης τοίνυν τῆς προσώπου ἑνώσεως ἐν ἑκατέρᾳ φύσει νοεῖσθαι ὀφείλουσαν. ἀλλὰ κἀνταῦθα τοῖς ἰδίοις ὅπλοις ὁ συκοφαντούμενος τούτους καταβάλλει, λέγων· ἐν ἀκροτάτῃ τοιγαροῦν ἀνθρώπου καὶ τελείᾳ φύσει θεὸς ἀληθῶς ἐτέχθη ὅλος ἐν τοῖς ἑαυτοῦ, καὶ ὅλος ἐν τοῖς ἡμῶν, καὶ ἑξῆς. τοιγαροῦν ὡς μένων ἐν μορφῇ θεοῦ πεποίηκεν ἄνθρωπον· οὕτως ἐν μορφῇ δούλου γέγονεν ἄνθρωπος. πάλιν ἡ αἵρεσις ὁπλίζεται κατὰ τοῦ, ποία φύσις ἐμπεπαρμένη τοῖς ἥλοις ἐν τῷ τοῦ σταυροῦ ξύλῳ κρέμαται). καὶ πάλιν ὁ τῆς εὐσεβείας στρατηγὸς ἐκνικᾷ τὸ πολέμιον, πολλοὺς ἑαυτοῦ συνεπαγόμενος συμμάχους· πλὴν ἀλλὰ καὶ καθ' ἑαυτὸν ὧδε καταβάλλει τούτους· περὶ γὰρ Εὐτυχοῦς λέγων, φησίν· ὃς τὴν φύσιν τὴν ἡμετέραν ἐν τῷ μονογενεῖ υἱῷ τοῦ θεοῦ, οὔτε διὰ τῆς ταπεινότητος, οὔτε διὰ τῆς δόξης ἐπέγνω τῆς ἀναστάσεως, καὶ ἑξῆς. μέχρι τοῦ, τί δέ ἐστι τὸ διαιρεῖν τὸν Ἰησοῦν, εἰ μὴ τὴν ἀνθρωπίνην ἀπ' αὐτοῦ φύσιν ἀποχωρίζειν τὸ μυστήριον, δι' ὅπερ ἐσώθημεν μόνου, πειρᾶσθαι ματαίως διὰ πλασμάτων ἀναιδῶν ἀπεργάζεσθαι. τὰ μὲν οὖν ῥητὰ τοῦ ἐν ἁγίοις Λέοντος, τά τε ἐπηρεαζόμενα μάτην, καὶ ἃ τοὺς ἐπηρεάζοντας καταισχύνουσι, ταῦτα· ἃ τοσοῦτον συσφίγγει τὴν ἕνωσιν, ὥστε θαυμάζειν πῶς ἐκ τούτων οἱ συκοφάνται οὐχὶ σύγχυσιν τοῦ ἀνδρὸς κατεῖπον, ὥσπερ ἐκ τῶν ἐπηρεασθέντων [τὴν] διαίρεσιν συνεπλάσαντο. τὸ γὰρ λέγειν, ὡς ὁ ἀπαθὴς θεὸς οὐκ ἀπηξίωσε παθητὸς γενέσθαι ἄνθρωπος, καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτου, καὶ ὁ ἄχρονος ἐκ χρόνου ἤρξατο ἀπὸ χρόνου· πῶς ἔλαθε τοὺς πικροὺς συκοφάντας, μὴ συγχύσεως τὸν ἄνδρα καταγράψασθαι διὰ τούτων;

ᵃ al. ἐστιν.
ᵇ αὐτὸς ἔστι.
ᶜ ἕτερ.

quando à præcursore Ioanne cœpit Baptismus, ne ignoretur quia obscuro carnis velamento tegitur diuinitas. vox Dei Patris cœlitus demissa ait: *Hic est filius meus dilectus in quo mihi bene complacui.* Sed mox pudet illos Romani Pontificij dignitatis. Sic enim ait: Venit igitur in hanc mundi vilitatem Dei Filius, è cœlesti descendens throno, & à patria non discedens gloria, nouo modo nouâque generatione natus. Nouo quidem modo, vt qui inuisibilis erat, visibilis factus sit apud nos. Hactenus Deus verus, idem etiam verus homo, & quæ sequuntur. Quemadmodum igitur, vt multa complectar, non eiusdem est naturæ deflere ex commiseratione amicum, & rediuiuum, diuulgato iam obitu quatriduani mortui, ad vocis iussum resurgere, & infra vsque ad illud: Quicumque per reuelationem Patris eundem Dei Filium confessus & Christum. sed rursum hæresis dictum verbum discerpit; etsi maximè in Domino Iesv Christo Dei filio & hominis vna est persona: tamen aliud est illud, ex quo in vtroque communis est iniuria, & alterum, ex quo communis opinio orta est. Sed sanctus vir impudentes per hoc conuertit impios. Dicit enim: post Domini resurrectionem quæ videlicet veri corporis ipsius facta est, cùm alius non resurgat, nisi cruci affixus & mortuus &c. sed vnum Dei Filium confitemur & carnem. Postquam verò inuasit hæretica opinio, & hoc deprauat. Per hanc igitur personæ vnitatem in vtraque natura debitam intelligi. Etiamsi verò hic propriis armis sycophanta hos inuadit, dicens: In importunitate igitur hominis, & vltima natura, Devs verè natus est totus in iis, quæ ipsius, & totus in nostris, & deinceps. Vt manens igitur in forma Dei, fecit hominem. Sic in serui forma factus homo est. Rursum hæc hæresis oppugnat, Qualis natura infixa clauis ligno Crucis pendet. Et rursum pietatis miles euertit hostem, multos in se adducens commilitones. nisi quod & sic per se hos complectatur. De Eutyche sic enim loquitur: Qui naturam nostram in vnigenito Dei Filio, neque humilitate, neque gloria agnouit resurrectionis, & quæ sequuntur vsque ad illud: Quid separat Iesvm, nisi mysterium humanam ab ipso naturam seiungere, per quem solum saluati sumus, conari stylum per impudentes fictiones operari. Et quidem beati Leonis dicta quædam temere reprehensa, & quorum pudeat ipsos calumniantes, hæc sunt: quæ talem constringunt vnitatem, vt admirentur quomodo in his sycophantæ non confusionem viri reprehenderint, quemadmodum è calumnia oppressis diuisionem confingunt. Dicere enim, vt impatibilis Deus non dedignatus est fieri homo mortalis, & mortis non horruit obsequium, & sine tempore factus est cum tempore. quomodo ignorarunt mali calumniatores, non scripsisse virum per hoc cõfundi,

EVLOGIVS.
Matth. 17. 5.

EVLOGIVS. nisi quod, vt diuisionem redarguunt hæc, sic & illa confusionem adornant.

Quo tandem scriptor hic tendat, geminum hinc aduersus Ecclesiam nascitur bellum. Hinc enim Eutychem referens principem, illinc vero Nestorium, & post acceptam plagam, lapsúmq; pugnam instaurantem, cum vtroque pugnans pietatis hic dux, suis ipsos ac mutuis telis vulnerat. Et cum Nestorio quidem dimicans, confusionem per confessionem summæ vnitatis stultis inuehere videtur. Cum Eutyche vero certans, naturarúmq; diuersitatem accuratè defendens, differentiam personarum in medium attulisse accusatur. Oportet verò integrum auditorem scriptoris scopum inuestigare, & totius scriptionis seriem considerare. Duos autem sese hostes nactum, scribens ipse ad pientissimum Leonem Imp. & Nestorium anathemate feriens & Eutychem, clare docet. Oportebat autem Patrum vigilias circumspectè legisse. & quemadmodum Arianis exilia verba, passionémque in Filij Deitatem referentibus, vt ipsum minorem faciant Patre, Patres dicitis crassioribus vti verbis, dominicum appellantes hominem, vel assumptum.

CCXXVI. EVLOGII *eiusdem liber contra Theodosium & Seuerum.*

LECTVS liber EVLOGII Alexandrini Episcopi, quo piæ doctrinæ causam suscepisse videtur, pudorem propugnatoribus impietatis ingutiens. Inscribit vero librum primum Pontifici Leoni, accusatus ac reprehensus à Theodosio, alicubi vero à Seuero Acephalis. Perstringit vero illorum dementiam improbitatémq; nihil ostendens verum neque concludere necessario, conficta & falsa mendacia. & non contra illum magis armatos, quicum pugnent, nihilominus tamen aduersus Sanctos omnes, quorum nomina respuunt: non igitur inficiantur. & pro omnibus audacter illos opposuit, quibus S. Leonem oppugnant, & contra B. Cyrillum, quodque mirandum magis, aduersus eos, qui decreta opponunt. Has enim voces quas allatrant, Cyrillum sæpius obiiciunt asserentem, aliorúmque SS. Patrum catetuam. Quo in numero Athanasius, Gregorij, Basilius, Ambrosius, & Amphilochius. Denique amentiæ confutatio, Seuerum ipsum vbique dogmatis auctorem adducit. Quibus vsus est B. Leo [innumeris hæreseos] conuitiis à Theodosio & Seuero excipitur. Sic illorum dementiam ostendit, & aduersariam tuentes partem armis exuit, vt in se ictus assiduos inferentes nihil læderent. Est autem hic Scriptor purus ac suauis, & breuiter ac leuiter accusationes instituens, & sine causa nihil in medium proferens. In quatuordecim capita hæreticis

πλὴν ἀλλ᾽, ὥσπερ τὴν διαίρεσιν ἐπιρραπίζει ταῦτα, οὕτω κἀκεῖνα τὴν σύγχυσιν ἀποσκευάζει.)

Τί δήποτε δὲ ὁ συγγραφεὺς διὰ τοιούτων ἐκδίδωσι ῥημάτων, διττὸς τηνικαῦτα κατὰ τῆς ἐκκλησίας συνίσταται πόλεμος. ἐνταῦθα μὲν τὸν Εὐτυχέα φέροντα πρωτοστάτην, ἐκεῖθεν δὲ τὸν Νεστόριον, καὶ μετὰ τὴν πληγὴν καὶ τὸ πτῶμα μαχόμενον ἔτι. πρὸς οὖν ἑκατέρους ὁ τῆς εὐσεβείας στρατηγὸς διαμαχόμενος, * οἰκείοις καὶ καταλλήλοις βέλεσι τοὺς ἀντιπάλους ἐτίτρωσκε. καὶ Νεστορίῳ μὲν πολεμῶν, σύγχυσιν διὰ τὴν ὁμολογίαν τῆς ἄκρας ἑνώσεως τοῖς ἀσυνέτοις δοκεῖ παρεισάγειν. Εὐτυχεῖ δὲ συμπλεκόμενος, καὶ τὴν τῶν φύσεων διαφορὰν ἀκριβολογούμενος, διαφορὰν ὑποστάσεων κατηγορεῖται προτείνειν. δεῖ δὲ τὸν ἀδέκαστον ἀκροατὴν τὸν τοῦ συγγραφέως σκοπὸν ἐξετάζειν, καὶ τὸν εἱρμὸν ὅλον τῆς * γραφῆς ἐπισκοπεῖν. ὅτι δὲ διχόθεν αὐτῷ προσέβαλε τὸ πολέμιον, αὐτὸς γράφων πρὸς τὸν εὐσεβέστατον βασιλέα Λέοντα, καὶ Νεστόριον ἀναθεματίζων καὶ Εὐτυχέα, σαφῶς ἐκδιδάσκει. ἐχρῆν οὖν εὐλαβῶς τοῖς τῶν πατέρων πόνοις προσέχειν: ἀλλὰ μὴ [πρὸς] διαβολὴν αἰτία τοῦ ἀγνωμονεῖν ἑτοίμους εἶναι· καὶ καθάπερ τῶν Ἀρειανῶν τὰ ταπεινὰ ῥήματα, καὶ τὸ πάθος εἰς τὴν τοῦ υἱοῦ θεότητα μεταφερόντων, ὡς ἂν αὐτὸν εἰς τὸ ἔλαττον καταγάγωσι τοῦ πατρὸς τοὺς πατέρας φατὲ βιαζομένους παχυτέραις χρήσασθαι λέξεσι τὸν κυριακὸν ὀνομάζοντας ἄνθρωπον καὶ τὸν ἀναληφθέντα. λείπει.

*al. οἰκείοις δὲ καὶ καταλλήλοις.
*συγγραφῆς ὅμοιον.

ΤΟΥ ΑΥΤΟΥ ΕΥΛΟΓΙΟΥ
ἄλλη βίβλος κατὰ Θεοδοσίου καὶ Σεβήρου.

σκϛʹ. Eulogij eiusdem liber contra Theodosium & Seuerum Acephalos.

ΑΝΕΓΝΩΣΘΗ Εὐλογίου τοῦ ἁγιωτάτου πάπα Ἀλεξανδρείας βίβλος, ἐν ᾗ φαίνεται μὲν τῶν τῆς εὐσεβείας ὑπερμάχων δογμάτων, τοὺς δὲ τῆς ἀσεβείας προασπιστὰς καταισχύνων. προστίθεται δὲ αὐτὴ τῷ ἐν ἁγίοις πάπα Λέοντι ὁ τόμος, ἐπηρεαζόμενος μὲν καὶ συκοφαντούμενος ὑπὸ Θεοδοσίου, ἐνιαχοῦ δὲ καὶ * Σεβήρου, τῶν ἀκεφάλων: στηλιτεύει δὲ τὴν ἄνοιαν αὐτῶν καὶ κακουργίαν· οὐδὲν μὲν ἐπιδεικνῦς ἀληθὲς ἢ ἀναγκαῖον λέγοντας, διεψευσμένα δὲ καὶ συμπεπλασμένα· καὶ οὐ κατ᾽ ἐκείνου μᾶλλον ὁπλιζομένοις, ᾧ διαπληκτίζονται, ἀλλ᾽ οὐδὲν ἔλαττον κατὰ πάντων ὁμοῦ τῶν ἁγίων. ὧν οὐδὲ τὰς κλήσεις ὡς οὐχὶ τιμῶσιν, οὐ μέντοι γε οὐκ εἰσὶν ἔξαρνοι. καὶ πρό γε πάντων παρίστησιν αὐτοὺς ἐναργῶς, οἷς τὸν εὐσεβῆ διασύρουσι Λέοντα: κατά τε τοῦ θεσπεσίου Κυρίλλου, καὶ (τὸ θαυμασιώτερον) καθ᾽ ἑαυτῶν τὴν ψῆφον φέροντας. ἐκείνας γὰρ τὰς φωνάς, ὧν καθυλακτοῦσι, Κύριλλόν τε προκομίζει τὸν θεσπέσιον πολλάκις * ὑπόντα, καὶ τῶν ἄλλων ἁγίων τὸν χορόν: ὃν Ἀθανάσιός τε καὶ * Γρηγόριοι, καὶ Βασίλειος, καὶ Ἀμβρόσιος, καὶ Ἀμφιλόχιος πληροῦσι. καὶ ὁ τελευταῖος τῆς αὐτῶν μανίας ἔλεγχος, αὐτὸν πολλαχοῦ παράγει Σεβῆρον δογματιστὴν ἐκείνων. οἷς κεχρημένος ὁ ἐν ἁγίοις Λέων, (μυρίαις αἱρέσεως) λοιδορίαις παρά τε Θεοδοσίου καὶ αὐτοῦ Σεβήρου * περιβάλλεται. οὕτω τὴν μανίαν ἐπεδείξατο τοὺς ὑπ᾽ αὐτῆς στρατηγουμένους ἐξοπλίζων, ὥστε καθ᾽ ἑαυτῶν τὰς πληγὰς καιρίας φέροντας οὐδεμίαν λαμβάνειν τοῦ πάθους συναίσθησιν. ἔστι μὲν οὖν ὁ συγγραφεὺς καθαρός τε καὶ ἡδύς, καὶ διὰ συντόμου καὶ λείας ὁδοῦ τοὺς ἐλέγχους ποιούμενος, καὶ πρὸς μηδὲν τῶν ἔξω τοῦ ἀναγκαίου φερόμενος. εἰς ιδʹ δὲ κεφάλαια τῶν αἱρετιζόντων κατα-

*al. Σεβήρου
*εἰπόντα.
*Γρηγόριοι
*ὑποβάλλει ὁ M M.

κατατεμνόντων τὸν τόμον τοῦ ἐν ἁγίοις Λέοντος, οὐ λώβας καὶ αἰτιάσεις καὶ μέμψεις ἀλόγους καταχέουσι· καὶ αὐτὸς εἰς τοσαῦτα κατεδιεῖλεν ἀνατροπῆς μέρη τὸν τῆς ἀκεφάλου συκοφαντίας ἰσχυρόν τι καὶ ἄρρηκτον ἔλεγχον. ἐπισυνάπτεται δὲ τούτοις καὶ ἡ ἀθώωσις τῆς ἐν Χαλκηδόνι συνόδου, ὧν αὐτὴν ἡ αἱρετικὴ κατηγορεῖ γλωσσαλγία, τὴν καθ' ὑπόστασιν ἕνωσιν αὐταῖς λέξεσιν οὐ φαμένην φωνῇ. δείκνυσι γὰρ πολλοὺς τῶν ἁγίων πατέρων, οὐ μόνον τῶν πρὸ τῆς ἐν Ἐφέσῳ συνόδου, ἀλλὰ καὶ τῶν μετ' αὐτήν, τῇ τοιαύτῃ μὲν οὐ κεχρημένους φωνῇ [δι' ἑτέρων δὲ ῥημάτων τὴν αὐτὴν δογματίσαντας εὐσέβειαν.] ὃ καὶ ἡ σύνοδος * διαπεπράξατο. οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτὸν τὸν ἁγιώτατον Κύριλλον ἐν τῇ πρὸς ἀνατολικοὺς ἑνώσει ταῖς τοιαύταις προσφέρεσθαι μὴ κεχρημένον λέξεσι. φησὶ δὲ [καὶ] ὅτι ἡ καθ' ὑπόστασιν ἕνωσις τῷ θεσπεσίῳ Κυρίλλῳ βούλεται δηλοῦν, ὡς ἡ τοῦ λόγου ὑπόστασις ἀνθρωπείᾳ φύσει ἡνώθη ἀτρέπτως. οὐ μὴν ἀλλ' ὅτι καὶ ἡ τετάρτη ἁγία σύνοδος τὰ παρὰ Κυρίλλου πρὸς Νεστόριον γραφέντα δι' αἰδοῦς καὶ ἀποδοχῆς ποιησαμένη (ἐν οἷς οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τετράκις ἡ καθ' ὑπόστασιν ἕνωσις τοῦ λόγου περιφανῶς ἐκηρύττετο) τὰ τῶν αἱρετικῶν ἐμφράττει στόματα. οἷς αὐτὴν οὐ φρονεῖν, οὐδὲ τὴν καθ' ὑπόστασιν ἕνωσιν συνεπλάσαντο· καὶ ἁπλῶς ὅσα περὶ αἰτιῶνται οἱ ἀκέφαλοι τὸν θαυμάσιον ἐπηρέασαν Λέοντα. καὶ τὴν ἐν Χαλκηδόνι ἁγίαν τετάρτην σύνοδον συντόμῳ λόγῳ τοῦ αἰτιάματος ἀπολύων, ἀναντιρρήτοις ἐλέγχοις τοὺς ἐπηρεαστὰς καταισχύνει, καὶ δείκνυσι, μᾶλλον αὐτοὺς καθ' ἑαυτῶν, ἢ καθ' ὧν παρετάξαντο, καὶ κατὰ τῶν ἁγίων ἡμῶν πατέρων, ἢ καθ' ἡμῶν πόλεμον ἔχοντας. οὗτος δὲ ὁ ἐν ἁγίοις Εὐλόγιος, πρεσβυτέρου βαθμὸν ἐν Ἀντιοχείᾳ εἶχε τὸ πρότερον [καὶ] μονῆς ἡγήσατο τῆς παναγίας θεοτόκου τῆς λεγομένης τῶν Ἰουστινιανοῦ. κατεβάλετο δὲ καὶ ἑτέρας οὐκ ἀγεννεῖς πραγματείας. ὕστερον μέντοι καὶ τῆς Ἀλεξανδρείας ἀρχιερεὺς ἐχρημάτισεν.

* *ἐκ. διαπράξ.*

ΤΟΥ ΑΥΤΟΥ ΣΤΗΛΙΤΕΥΤΙΚΟΣ ΛΟΓΟΣ.

σκζ. *Eulogii eiusdē Inuectiua oratio in Theodosianos & Cainitas.*

Ἀνεγνώσθη λόγος στηλιτευτικὸς τοῦ αὐτοῦ ἐν ἁγίοις ἀνδρός, κατὰ τῆς γεγενημένης τοῖς Θεοδοσιανοῖς τε καὶ Γαϊνίταις τοῖς αὐτοῖς ἀκεφάλοις προσκαίρου ἑνώσεως. οὗτοι γὰρ διϊστάμενοι πρὸς ἀλλήλους πρότερον, ὕστερον ἂν ὑπερ ἐθνικῶν δογμάτων, ταῦτα προδόντες ἀλλήλοις εἰς ἑνωτικήν τινα πρὸς ὀλίγων * ἀσέβειαν συνεχύθησαν. ἐκεῖθεν δὲ πάλιν ἀναχυθέντες εἰς τὴν προτέραν ἀσέβειαν μερὶς ἑκατέρα, ἐξ ὧν συνετύρησαν, διηρέθησαν. ἐλέγχει τοίνυν ἐν τῷδε τῷ βιβλιδαρίῳ τὴν δυσσέβειαν αὐτῶν, καὶ δείκνυσιν, ὅτι περ οὐχ ὡς ἐκείνοις ἔδοξεν οἰκονομίαν αὐτοῖς ἡ ἕνωσις ἐξειργάσατο, ἀλλ' ὅλης αὐτῶν τῆς πίστεως προδοσίαν * ἐμπεδοῖ. διαιρεῖ δὲ καὶ τὸ τῆς οἰκονομίας εἶδος, ὅπερ ἡ τοῦ θεοῦ οἶδεν ἐκκλησία, τρισὶ διαφοραῖς, καὶ ὡς κατὰ μηδεμίαν τῶν τριῶν προῆλθον αὐταῖς, εἰς τὴν συμπεφυρμένην ἀσέβειαν ποιεῖται τὸν ἔλεγχον, αἱ τῶν ἀκεφάλων αὐτοῖς δυσσεβημάτων * σπονδαί, ἀλλ' (ὡς ἔφημεν) τῆς ὅλης αὐτῶν θρησκείας ἑκατέρα μερὶς ἐπ' ὀνόματι τῆς ἑνώσεως, προδοσίαν καὶ ἐξάρνησιν διεπράξατο. καὶ πρῶτον μέν φησιν, ὡς ὁ τῆς οἰκονομίας λόγος οὐ τὰ τυχόντα τῶν προσιόντων ἐπόπτας καὶ διαιτητὰς καθίστησι τῆς πράξεως, ἀλλὰ τοὺς ὑπηρέτας Χριστοῦ καὶ οἰκονόμους τῶν τοῦ θεοῦ μυστηρίων, καὶ οἷς τῶν ἀρχιερατικῶν θρόνων οἱ νόμοι κατεπιστεύθησαν.

* *ἑνωτ.*

* *al. μεθόδευσαν.*

* *al. σπουδῶν.*

EVLOGIVS.

librum B. Leonis diuidentibus, non captiones accusationésve, vituperationésque ineptas afferunt, & ipse totidem diuidit Refutationis Capita, fortem ac validam reprehensionem calumniæ Acephalorum. Additur vero his absolutio à Chalcedonensi Synodo, quam hæreticorum mala lingua proscindit, vnitatem personæ ipsis verbis non expressam. Plurimos enim Patres ostendit, non modo ante Synodum Ephesinam, sed & sequentes, hac ipsa voce non vsos [per alia verba pietatē suam ostendisse] quod & Synodus perfecit. non solum vero, sed & B. Cyrillum in vnione cum Occidentalibus huiusmodi verbis non vsum ostendit. Asserit autem Cyrillum ostendere vnitatem voluisse, tanquam verbi Hypostasis humanæ absque mutatione vniatur naturæ. Enimuero quia quarta S. Synodus scripta Cyrilli ad Nestorium verecunde, & laudabiliter facta (in quibus non semel, sed & bis, & quater personæ vnitas Verbi clare declaratur) hæreticorum obstruit ora: quibus ipsam non sapere, neq; in persona vnitatem confinxerunt, & omnino de quibuscumque Acephali D. Leonem accusare sunt ausi, & Chalcedonensem S. Synodum, breui sermone accusationes refellens, & insolubilibus argumentis aduersariis pudorem incutiens, ostendit ipsos secum potius, quam cum iis quos oppugnant, aut cum Sanctis Patribus, aut nobiscum certamen habere. Cæterum hic Eulogius olim sacerdotij gradum Antiochiæ habuit primum, ædémque solum rexit Sanctissimæ Deiparæ quæ Iustiniana nuncupatur. Aggressus est & alia non ignobilia opera: tandem etiam Alexandriæ Præsul renunciatus est.

EVLOGII eiusdem inuectiua oratio.

LECTA est inuectiua eiusdem contra vnitatem subito exortam inter Theodosianos, & Cainitas Acephalos. Hi enim primum inter se cum dissedissent, postmodum ea quæ ad necem defendebant dogmata inuicem tradentes, in vnam, sed breuem quandam conspirarunt impietatem. Inde iterum refusa in priorem impietatem pars vtraque, discesserunt ad eas ex quibus in vnum coaluerant, opiniones. Ostendit igitur quod non vt illis visum est, ipsis [a] œconomiam sua vnitas operata est: sed potius fidei illorum proditionem integram propalauit. Diuidit autem œconomiæ speciem,[b] quam Dei nouit Ecclesia, tribus differentiis: arguitque contra conduplicatam eorum impietatem, quod secundum nullam trium illarum procederent inita ab ipsis immortalia impietatis fœdera: sed vt diximus, vniuersæ eorum religionis vtraq; pars; nomine vnitatis proditionem negationémque perpetrauit. Et primo quidem ait quod œconomiæ ratio non obuios quosque rei speculatores & arbitros admittit, sed Christi ministros atq; dispensatores mysteriorū Dei & quibus pōtificaliū thronorū leges crediderūt.

[a] *Incarnationē s. hoc loco, incarnationis expositionem.*

[b] *Quam nouit esse diuini Verbi dispensationem, quæ vna Voce comprehenditur eiusdem Verbi personalis missio seu incarnatio, & doctrinalis ipsius distributio atque administratio.*

EPHRAEMIUS.

De quibus iam dicta Cainitis ac Theodosianis vnitas neminem agnouit. Sane ex tunc disecta de ipsa incarnatione oratio inchoatur, vbi iam dogma pietatis non læditur. Illo enim incorrupto ac sincero permanente, incarnatio non potest circa aliquid externum, eidem in quo sistat locum reperire. Sæpenumero enim aliqua temporaria œconomia ad breue tempus prodiit aliquid indebitum tolerans & amplectens, vt continuum & inconcussum robur pietas acciperet, & ad dissoluendos eorum qui veritati insidiabantur insultus: qui quidem magnam illaturi perniciem lata omnes via prorumpentes (dum interim Ecclesiæ rectores de accurata veritate nihil quidquam remittunt) rem totam absque controuersia effecerunt. Sic Paulus propter ineuitabiles Iudæorum insidias & propter defectionis occasiones Timotheum circumcidit. Tondetur & ipse caput, & purificatur, qui ad Galatas scribens: Ecce ego Paulus dico vobis, quoniam si circumcidamini, Christus vobis nihil proderit. Sed hanc præceptionem ad breue tempus constituit, quemadmodum & experimentum docet. Per omnia enim & perpetuo Ecclesia seditiones vitat, & integritatem curat. Altera vero gubernationis forma in verbis capit firmitatem. Quando enim Ecclesiæ dogmatibus recte factis, & per alias voces scandali expertibus promulgatas, tametsi non bene dicti fiunt prætextus, taceri hæc contingit. Qui vero sermones suos disponit in iudicio, & silentio, sonum priorum dogmatum per omnem terram audiri facit. Qualiter fecisse magnum Athanasium Gregorius cognomento Theologus testatur: *Postquam*, inquit, *consentientes reperit, & verbo nihil discrepantes; nomina rebus committens colligat.* & Oratione in Pentecoste, Magistrum eundem videas ipsum gubernandi formam vincere. sed syllabis, inquit, offendimini, & voce. date vim diuinitatis, & dabimus vobis veniam vocis. Et tertiam ait esse gubernandi formam, quando sæpe personæ despiciunt, promulgatum decretum accuratè contra illos pronunciatum, nihilominus recta præualente doctrina. Secundum quam, ait, œconomiam Theophilus cum Gelasio communicat, in tabulis habente scriptum Eusebium Palæstinum. Cyrillus vero à Theodori Mopsuestiæ Episcopi, per orientem eodem modo iterum anathemate percussi, communione non abstinuit. Videbat enim sinceris dogmatibus seruari præcipuos religionis articulos. Ad illud enim vsque tempus sana doctrina obtinuit, neque hactenus quippiam Ecclesiæ dogmatum innouatum. Tres igitur in partes Oeconomiam diuidens, & secundum nullam Theodosianorum & Cainitarũ vnitatem procedere demõstrans, in proditionem conclusos, singulas partes propriæ religionis constituit, & nullibi stetisse, sed confusos, rursus ab inuicem diuulsos esse, & mutuum gessisse bellum. Hæc & his similia reprehendens, Acephalorum quam dicunt vnitatem referens, per alia multa dilucide ostẽdit.

ὧν ἡ λεγομένη τῶν * Γαϊνιτῶν καὶ Θεοδοσιανῶν ἕνωσις οὐδένα ἐγίνωσκεν. ἔπειτα δὲ τὸ τῆς οἰκονομίας ὁ ὀρθὸς λόγος μεταχειρίζεται, ὅτε τὸ δόγμα τῆς * εὐσεβείας οὐδὲν παραβλάπτεται. ἐκείνου γὰρ ἀκηράτου καὶ ἀκαπηλεύτου μένοντος, ἡ οἰκονομία περί τι τῶν ἔξωθεν αὐτοῦ, χώραν [οὐχ] εὑρίσκει συνίστασθαι. πολλάκις δέ τις καὶ πρόσκαιρος οἰκονομία προῆλθε πρὸς βραχύ, τι τῶν οὐκ ὀφειλόντων ἀνεχομένη * στέρξασα· ἐπὶ τὸ διηνεκὲς μὲν καὶ ἀκλόνητον τῆς εὐσεβείας ἀπολαβεῖν τὸ κράτος, ὑποκλίνασα δὲ καὶ τὰς τῶν ἐπιβουλευόντων κατὰ τῆς ἀληθείας ὁρμάς· αἳ πολλαὶ φερόμεναι τῇ ῥύμῃ, μέγα τι κακὸν εἰργάσαντο· μὴ πρὸς βραχύ τι τῶν τῆς ἐκκλησίας οἰκονομούντων ὑπενδιδόντων, παρεῖχον τὸ ἀναμφίβολον. οὕτως ὁ Παῦλος διὰ τὰς τῶν Ἰουδαίων ἀναποδράστους ἐπιβουλὰς, καὶ τὰς πρὸς τὴν ἀποστασίαν προφάσεις, περιτέμνει μὲν τὸν Τιμόθεον· ξυρᾶται δὲ καὶ αὐτὸς τὴν κεφαλὴν, καὶ ἁγνίζεται, ὁ πρὸς Γαλάτας γράφων· ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἂν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. ἀλλὰ ταύτην μὲν τὴν οἰκονομίαν βραχύς τις χρόνος ἐπίσταται, * καθὸ διδάσκει καὶ τὸ παράδειγμα. διὰ παντὸς δὲ καὶ εἰσαεὶ ἡ ἐκκλησία τὸ ἀστασίαστον μεταδιώκει καὶ ὁλόκληρον. τὸ δὲ ἕτερον εἶδος τῆς οἰκονομίας περὶ τὰς λέξεις λαμβάνει τὴν σύστασιν. ὅτε γὰρ τῶν τῆς ἐκκλησίας δογμάτων ὀρθῶς ἐχόντων, καὶ δι' ἑτέρων φωνῶν ἀνακηρυττομένων ῥήματά τινα τοῖς ἀκεραιοτέροις σκανδάλου, κἂν οὐκ εὔλογοι γίνωνται προφάσεις, ἀποσιωπᾶσθαι * συγκαταβαίνει ταῦτα. ὁ δὲ τοὺς λόγους αὐτοῦ οἰκονομῶν ἐν κρίσει καὶ σιωπῇ, τῶν εὐσεβῶν δογμάτων τὸν φθόγγον εἰς πᾶσαν τὴν οἰκουμένην περιηχηθῆναι καταπραγματεύεται. οἷα * δὲ καὶ τὸν μέγαν Ἀθανάσιον ὁ Θεολόγος Γρηγόριος πεποιηκότα ἐπιδείκνυσιν. ἐπειδὴ γάρ φησι συμφρονοῦντας εὗρε, καὶ οὐδὲν διεστῶτας κατὰ τὸν λόγον· τὰ ὀνόματα συγχωρήσας συνδεῖ τοῖς πράγμασι. καὶ ἐν τῇ Πεντηκοστῇ δὲ πάλιν τὸν αὐτὸν διδάσκαλον ἴδοις ἂν τῆς αὐτῆς οἰκονομίας κρατύνοντα τὸ εἶδος. ἀλλὰ ταῖς συλλαβαῖς, φησι, δυσχεραίνετε, καὶ προσπταίετε τῇ φωνῇ· [δότε τὴν δύναμιν τῆς θεότητος, καὶ δώσομεν ὑμῖν τῆς φωνῆς] τὴν συγχώρησιν. καὶ τρίτον δέ φησι τρόπον οἰκονομίας, ὅτε παρορῶνται πρόσωπα πολλάκις, ἐκκήρυκτον ψῆφον τῆς ἀκριβείας κατ' αὐτῶν ἀνακηρυττούσης, οὐδὲν ἔλαττον τῶν ὀρθῶν κρατυνομένων δογμάτων. καθ' ἣν, φησιν, οἰκονομίαν Θεόφιλος μὲν τῷ Γελασίῳ ἐκοινώνει, ἐγγεγραμμένον ἔχοντι τοῖς ἱεροῖς διπτύχοις τὸν Παλαιστῖνον Εὐσέβιον. Κύριλλος δὲ τοῦ Μοψουεστίας Θεοδώρου, κατὰ τὴν ἑῴαν ὡσαύτως ἀνακηρυττομένου, τῆς κοινωνίας οὐκ ἀφίστατο. ἑώρα γὰρ ἀκηράτοις σωζόμενα δόγμασι τὰ τῆς εὐσεβείας * κυριώτατα. μέχρι γὰρ τούτου τὰ τῆς οἰκονομίας ὁ ὀρθὸς λόγος ἀνέχεται, μέχρις ἂν οὐδὲν καινοτομῆται τῶν τῆς ἐκκλησίας δογμάτων. τριχῇ τοίνυν τὴν οἰκονομίαν * διελὼν, καὶ κατ' οὐδεμίαν αὐτῶν τὴν τῶν Θεοδοσιανῶν καὶ Γαϊνιτῶν προελθεῖν ἐπιδειξάμενος ἕνωσιν· εἰς προδοσίαν συγκλεισθέντας ἑκάτερον μέρος τῆς οἰκείας θρησκείας παρέστησε. καὶ στῆναι μὲν οὐδαμοῦ, ἀλλὰ συγχυθέντας πάλιν ἀπ' ἀλλήλων διαρραγῆναι, καὶ κατ' ἀλλήλων φέρειν τὸν πόλεμον. ταῦτα καὶ τοιαῦτα ἕτερα στηλιτεύων τὴν τῶν ἀκεφάλων λεγομένην ἕνωσιν διεξελθὼν, διὰ πλειόνων ἄλλων ἐναργῶς ἐπεδείξατο, ὡς οὐδὲν

Margin notes: Γαϊνιτ. Lecat. — * al. ἀνεξ. — * al. [illegible] — Act. 16. — Ibid. 21. Galat. 5. — * al. καθὰ. — * συμβαίνει. — * al. δὲ. — * al. [illegible] — * al. διαδ.

ὡς οὐδὲν αὐτοῖς ἴχνος οἰκονομίας διαπέπρακται: ἀλλὰ σαφὴς προδοσία καὶ ἐξάρνησις, ὑπὲρ ὧν πρότερον μυριάκις ὑπελθεῖν τὸν θάνατον διετείνοντο. οὕτω μὲν τὰ περὶ τῶν ἀκεφάλων ἐν τῷ βιβλιδαρίῳ τούτῳ διέξεισι. περιεῖχε δὲ τὸ τεῦχος καὶ ἐπιστολὴν αὐτοῦ γεγραμμένην Εὐτυχίῳ τῷ Ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως, ἣν ἔγραψεν ἐν πρεσβυτέροις ἔτι τελῶν, πληροφορίας περιέχουσαν τῆς ὀρθοδόξου καὶ καθολικῆς εὐσεβείας καὶ πίστεως.

EVLOGIVS.

σκή. Ephraemij Theopolitani variae orationes.

ΕΦΡΑΙΜΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ Θεουπόλεως λόγοι διάφοροι.

ΑΝΕΓΝΩΣΘΗ τοῦ ἐν ἁγίοις Ἐφραιμίου, πατριάρχης δὲ οὗτος Θεουπόλεως ἦν, λόγοι διάφοροι. Σύρος μὲν γεγονὼς καὶ φωνῆς καὶ γένει, παιδευθεὶς δὲ καὶ τὴν ἑλλήνων γλῶσσαν οὐκ ἀγεννῶς. ἀλλὰ καὶ πολιτικὰς οὐκ ὀλίγας μεταχειρισάμενος ἀρχάς, ὧν τὴν τελευταίαν, κόμης ἀναρρηθεὶς [τῆς] ἀνατολῆς, ἐκεῖθεν ἐπὶ τὸν ἀρχιερατικὸν μετηνέχθη θρόνον. φασὶ δὲ αὐτὸν τά τε ἄλλα ἐπαίνων ἄξια διαβιῶναι, καὶ πολὺν τῆς ἐλεημοσύνης ἐργάτην γενέσθαι. συνέταξε μὲν οὖν ὁ ἀνὴρ διαφόρους βίβλους, ὧν εἰς ἡμᾶς τέως τρεῖς περιῆλθον. σχεδὸν δέ τοι αὐτοῦ πάντες, ὡς τεθεάμεθα πόνους, ὑπὲρ τῶν τῆς ἐκκλησίας σπουδάζουσι δογμάτων· καὶ τὴν περιιστᾶσαι, τὴν κατὰ Καλχηδόνα ἁγίαν σύνοδον πάσης λαβῆς αἱρετικῆς ὑπερκειμένην καὶ ἐπικρατοῦσαν.

Ἐν μὲν οὖν τῇ πρώτῃ βίβλῳ, ὁ πρῶτος αὐτοῦ λόγος, ἐπιστολή ἐστι πρὸς Ζηνόβιόν τινα σχολαστικὸν Ἐμίσης, τῆς ἀκεφάλου μοίρας ὄντα, διαπεμφθεῖσα. σπουδὴν δὲ ποιεῖται περὶ τῶν ἐπηρεαζομένων ῥημάτων, ἃ ἐν τῇ ἐπιστολῇ περιέχεται τοῦ ἁγιωτάτου Λέοντος προέδρου Ῥώμης. προτάττει δὲ τῆς γυμνασίας τῶν εἰρημένων ῥημάτων, διάσκεψίν τινα τοῦ τρισαγίου ὕμνου. καὶ γὰρ καὶ ὁ Ζηνόβιος τῆς κοινῆς ἐκκλησίας ἑαυτὸν ἀπορρήξας, πρόφασιν ἐδίδου τὴν περὶ τὴν τρισάγιον δοξολογίαν καινοτομίαν. φησὶ δὲ ὁ Ἐφραίμιος τὴν τοιαύτην ὑμνολογίαν τοὺς μὲν τὴν ἀνατολὴν οἰκοῦντας, εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀναφέρειν, καὶ διὰ τοῦτο μηδὲν ἐξαμαρτάνειν ἐπισυνάπτοντας τό, ὁ σταυρωθεὶς δι' ἡμᾶς: τοὺς δὲ τὸ Βυζάντιόν τε καὶ τὴν ἑσπερίαν νεμομένους, εἰς τὴν ὑπερτάτην καὶ παντὸς πηγὴν τῆς ἀγαθότητος, τὴν ὁμοούσιον τριάδα, τὴν δοξολογίαν ἀνάπτειν· διὸ μηδὲ ἀνέχεσθαι τούτους ἐπισυνάπτειν τό, ὁ σταυρωθεὶς δι' ἡμᾶς, [ἵνα μὴ πάθος τῇ τριάδι περιάψωσιν. ἐν πολλαῖς δὲ τῶν κατὰ τὴν Εὐρώπην ἐπαρχίαις ἀντὶ τοῦ, ὁ σταυρωθεὶς δι' ἡμᾶς,] τὸ, ἁγία τριὰς ἐλέησον ἡμᾶς, ἐπάγειν. ἐξ ὧν ἐπιδηλότερον τὸν σκοπὸν τῶν εὐσεβούντων καθιστᾶσι, ὡς εἰς τὴν ἁγίαν τριάδα τὸ ἅγιος ὁ θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος, ἀνάγοντες, ἀκριβεῖ καὶ ἀκολούθῳ λόγῳ τὸ, ὁ σταυρωθεὶς δι' ἡμᾶς παραγράφοντα. οὕτω μὲν οὖν ἑκατέραν μοῖραν περὶ τῆς προειρημένης δοξολογίας φρονοῦσάν τε καὶ λέγουσαν, ἐπειδὰν κατὰ τὰ ἄλλα τῆς εὐσεβείας δόγματα μηδαμῶς μηδὲν ὁρᾶται παραχαράττουσα: ὀρθῶς τε πράττειν ὁ ἀνὴρ ἀμφοτέρας λέγει. καὶ οὐδεμίαν χώραν εὑρίσκειν ὑπὸ μῶμον * ποιεῖν τὴν ἑτέραν, ἢ ὑπὸ κατάγνωσιν ἕλκειν ὕβρεως. ἀλλ' ἐκεῖνος μὲν οὕτω διαιτᾷ. ὅτι δὲ τοῖς ἀκεφάλοις αἱρετικοῖς, κακῶς τὴν δοξολογίαν ταύτην ἐκλαμβάνουσι, μεγάλη γίνεται κατὰ τῆς εὐσεβείας καταδρομή: εἰκότως οἱ ἄλλοι πατέρες ἡμῶν παντελῶς περιεῖλον τό,

Les Papa Romanus.

* al. ποιῶ.

nullum ab iis Incarnationis vestigium relictum, sed manifesta proditio & negatio, pro quibus millies se mortem oppetere velle iactabas. Sic fere de Acephalis hoc ipso libello pertractat. Complectitur autem opus Epistolam quoque scriptam Eutychio Archiepiscopo Constantinopolitano, quam etiamnũ presbyter scripsit, certitudinem continentem pietatis & fidei orthodoxæ ac Catholicæ.

CCXXVIII. S. EPHRÆM THEOPOLITANI Patriarchæ variæ Orationes.

Alius hic ab Ephraem Ascetico, cuius opera Photius enumerauit, & exstant, tametsi Syrus vterque.

LECTÆ sunt S. Ephræmij Patriarchæ Theopolitani orationes variæ. Syrus quidem fuit genere ac sermone, Græcam vero linguam non mediocriter calluit. Sed & ciuiles gessit magistratus, è quibus Comes tandem Orientis renunciatus, inde ad summam Ecclesiæ cathedram euectus est. Ferunt autem cum alia laude digna gessisse, tum vero eleemosynis elargiendis enituisse. Libros vero varios composuit, quorum in manus meas tres inciderunt. Omnia pene opera eius quæ vidimus pro Ecclesiasticis dogmatibus pugnant, defenduntque sanctum Chalcedonense concilium extra omnem esse hæreticorum reprehensionem.

Libro quidem primo initio est epistola ad Zenobium quendam Scholasticum Emisenum Acephalorum labe infectum, missa. Propugnat vero irrisum de infestis atque acerbis verbis, quæ in epistola Leonis Rom. Pontificis continentur. Præmittit verò horum verborum disputationi, vsum quendam sacri Trisagij hymni. Etenim Zenobius à communi segregatus Ecclesia, colorem hunc quæsiuit, quod recens diuisa esset tersancti hymni sententia. Asserit contra Ephræmius, eundem hymnum Orientales Christo IESV attribuere, & propterea nihil peccare tametsi adiiciant. *Crucifixus pro nobis*; Constantinopolitanos vero atque Occidentales, in supremum sacratissimúmque bonorum omnium fontem, consubstantialem trinitatem sententiam referre: idcirco non sustinere illud addi: *Crucifixus pro nobis*, ne qua passio trinitati attribuatur. In multis enim Europæ ditionibus pro illo, qui *crucifixus est pro nobis*, hoc reponunt, *Sancta Trinitas miserere nobis*. Vnde piorum sententia clarius elucescit, vt in sanctã Trinitatem hoc *Sanctus Deus*, *sanctus fortis*, *sanctus immortalis* accommodent; accurata ac consequenti oratione illud, *qui passus est pro nobis*, adscribunt. Sic igitur alteram vtramque partem de his sentire atque asserere, quando in cæteris piis dogmatibus nihil deprauare comperiantur. Rectè vero facere vtrosque hic affirmat, neque vllam reperire rationem cur alterutra reprehendatur, vel in disquisitionem reuocetur. Sed hic quidem ita censet, quod ab Acephalis hæreticis malè hanc sententiam accipientibus, magnus fiat in pios incursus: meritò cæteri patres nostri illud decreuerunt,

Hymnus Trisagius.

ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασι δόγμασί τε καὶ ῥήμασι, καθ' ὧν οὐ λαλεῖν οἱ αἱρετικοὶ οὐ πεφεύγασι. τούς τε γὰρ εἰρημένους πατέρας ὀρθοδοξεῖν τὸ καὶ ὁμολογεῖν τῷ ἀνδρί. καὶ μὴν καὶ Ἀθανάσιον τὸν πολύαθλον, καὶ τὸν ἐν θεολογίᾳ περιβόητον Γρηγόριον, Πρόκλον τε τὸν Κωνσταντινουπόλεως, καὶ Ἀμφιλόχιον τὸν Ἰκονίου, καὶ τὸν θαυμάσιον Ἰωάννην τὸν Χρυσόστομον. ἀλλὰ ταῦτα μὲν αὐτῷ καὶ τὸ δεύτερον διαπεραίνεται κεφάλαιον.

Athanasius. Greg. Nazian. Proclus Constantinopol. Amphiloc. Icon. Chrysost.

Τὸ δὲ τρίτον, ὅτι τὰ ἄρθρα προστατιθέμενα τῶν ἐν τῷ Χριστῷ φύσεων, οὐδαμῶς υἱῶν δυάδα *ἐπινοεῖν. οὐ μὲν οὖν οὐχ ὑποτίθεται, ἀλλ' ἔστιν ἰδίωμα τῆς *θείας γραφῆς· οὐ προσώπων μὲν, ὡς εἴρηται, δυάδα παριστάνον· τὰς ἑνωθείσας δὲ φύσεις ἀτμήτους τε καὶ ἀδιαιρέτους διαφυλάττον. καὶ γὰρ καὶ ταύτην τὴν ἐπήρειαν κατὰ τῆς τοῦ Λέοντος ἐπιστολῆς ἡ αἱρετικὴ λύσσα κατέχεει, εἰπόντος αὐτοῦ· ὥσπερ ἐν τῷ ἐλεεῖν ὁ θεὸς τροπὴν οὐχ ὑφίσταται· οὕτως ὁ ἄνθρωπος τῷ μεγέθει τῆς ἀξίας οὐκ ἀναλίσκεται. ὅπερ οὖν εἴρηται κατὰ τὸ τρίτον κεφάλαιον ἔκ τε τῶν εὐαγγελικῶν φωνῶν, καὶ ἐκ τῶν ἀποστολικῶν, καὶ δὴ καὶ ἐκ τῶν μακαρίων πατέρων ἡμῶν, Ἰγνατίου τοῦ Θεοφόρου, καὶ Ἰουλίου, καὶ Ἀθανασίου, καὶ Γρηγορίων, καὶ Βασιλείου· διελέγχει τοὺς δυσσεβεῖς, ὡς ἡ τῶν ἄρθρων χρῆσις (πάντες γὰρ οὗτοι τούτοις ἐχρήσαντο) οὐδεμίαν τομὴν ἢ διαίρεσιν ἐπινοεῖ τῆς ἑνώσεως· ἐν οἷς ὑποφέρει, ὅτι καὶ τὸ, ἐν ὅσῳ τὰ συναμφότερα μετ' ἀλλήλων ἐστίν· εἰρημένον δὲ ὂν τοῦτο τῷ ὁσιωτάτῳ Λέοντι, οὐ χρόνου δήλωσιν, ἀλλ' ἀντὶ τοῦ διὰ παντὸς παραλαμβάνεται.

** Θεμιτ. * al. ἱερᾶς.*

Τέταρτον δὲ κεφάλαιον, εἰς μέμψιν παρὰ τῶν αἱρετικῶν προταθὲν, ἀνεύθυνον παντελῶς ἀποφαίνει διὰ τῆς ὁμοίας μεθόδου, φωνὰς *συμβαινούσας τῷ αἰτιαθέντι παρατιθεὶς· αἷς ὁ χορὸς τῶν ἁγίων ἡμῶν πατέρων χρῆσθαι εἰώθασι. τὸ δὲ κεφάλαιον φωναὶ μέν εἰσι τοῦ ἐν ἁγίοις Λέοντος. λέγουσι δὲ ταῦτα· τῷ μὲν κλαῦσαι τὴν βεβαιότητα τῆς [αὐτοῦ] σαρκὸς *ἐπεδείκνυτο· τῷ δὲ ἀναστῆσαι πρὸς τὸ κέλευσμα τῆς αὐτοῦ φωνῆς, τὴν ἄχραντον αὐτοῦ θεότητα ἐδήλου. παρ' ἑνὸς δὲ καὶ τοῦ αὐτοῦ ἀμφότερα πέπρακταί τε καὶ λέλεκται.

** συμφωνούσας. * ἀπεδείκνυτο.*

Πέμπτον δὲ, λαβὴν προταθεῖσαν παρὰ τῶν αὐτῶν αἱρετικῶν, κατὰ φωνῶν ὁμοίων τοῦ αὐτοῦ ἱεροῦ ἀνδρὸς, διὰ τῆς ὁμοίας ἐπιρραπίζει μεθόδου. ἔστι δὲ ἡ φωνή· ποία φύσις διαπέπαρται τοῖς ἥλοις ἐν τῷ τοῦ σταυροῦ ξύλῳ τοῦ προσπαπηγότος τῷ σταυρῷ; ἐν τούτῳ τῷ κεφαλαίῳ καὶ Ἰσιδώρου τοῦ ἐν μονάζουσι περιβλέπτου, Ἀλεξανδρέως δὲ τὸ γένος ὄντος, καὶ τοῖς ἀρχιερεῦσιν αἰδεσίμου, διαφόρους *ἐκ ἐπιστολῶν διαφόρων χρήσεις ἐπιφέρει, αἳ κατὰ πάντα συμβαίνουσι ταῖς παρὰ τῶν αἱρετικῶν ὡς οὐκ εὐσεβέσι συκοφαντουμέναις. ἀλλὰ ταῦτα μὲν ἡ πρὸς Ζηνόβιον ἐπιστολὴ τὰ κεφάλαια πόνον ἐποιεῖτο. ἕτεραι δὲ αὐτοῦ πρὸς τὸν βασιλέα Ἰουστινιανὸν *γράφονται ἐπιστολαί· ἡ μὲν αὐτοῦ τὴν εὐσέβειαν ἀποδεχομένη· ἡ δὲ ἀσκητῶν τινῶν εὐσεβῶν τὴν ἔρημον οἰκούντων διὰ μαρτυρίαν ὑπὲρ εὐσεβείας προτεινομένη· ἑτέρα δὲ τὰ τοῦ Ἀνθίμου συνοδικὰ κατὰ τὴν ἀκρίβειαν τῶν τῆς ἐκκλησίας δογμάτων ἀξιοῦσα *διατυπωθῆναί τε καὶ ἀποσταλῆναι· ἄλλη δὲ πρὸς αὐτὸν τὸν Ἄνθιμον μετὰ τὰ συνοδικὰ *στέλλεται, [καὶ] τὴν ἐκείνων ἀποδοχὴν οὐ παραιτουμένη ἅτε μηδὲν ἐν αὐτοῖς τοῦ Ἀνθίμου ἐμφανίσαντος τῆς δυσσεβείας, πλὴν προσθεῖναι τὸν Ἄνθιμον ἐξαιτεῖ λεπτομερέστερόν τε καὶ ἀκριβέστερον, Εὐτυχῆ τε καὶ τὰ Εὐτυχοῦς δόγματα εἰς ἀνάθεμα θεῖναι.

*Isidorus Alexandrinus. * ἐξ ἐπιστολῶν. * al. γράφονται. * al. τυπωθῆναι. * στέλλ.*

EPHRÆmius.

verum etiam in omnibus adeo & verbis & dogmatibus, quibus oblatrare hæretici non erubuerunt. Prædictos enim patres rectè cum illo sentire, vt & laboribus exercitum Athanasium, & Theologi cognomine præditum Gregorium, Proclum quoque Constantinopoleos, & Amphilochium Iconij præsules, & admirandum illum Ioannem Chrysostomum. Et hæc quidem capite secundo.

Tertium, articulos præfixos naturarum in Christo, nequaquam filios duos exhibere, non igitur subiicitur, sed est proprius loquendi sacræ scripturæ modus: non duas quidem personas, vt diximus, significans, sed vnitas naturas inseparabiles & indiuiduas conseruans. Etenim hæretica rabies effudit iniuriam contra Leonis epistolam sic dicentis: Quemadmodum miserando mutationem Deus non suscipit: sic homo dignitatis magnitudine non perit. Quod igitur tertio capite dictum est ex Euangelij & Apostolorum sensu, atque adeo ex SS. Patrum sententia, * diuini Ignatij, Iulij, Athanasij, Gregoriorum, & Basilij; reprehendit impios, quod articulorum vsus (omnes enim hi illis vsi sunt) nullam sectionem, aut diuisionem vnitatis significat, quibus addit, quæ & vtroque versum relata sunt. Hoc à Leone expressum, non temporis declarationem, sed pro illo, per omnia, accipitur.

** Theophori.*

Quartum vero caput contra reprehensionem hæreticorum. Innocentem vtquequaque ostendit per similem methodum, voces vero consentientes accusato adiiciens, quibus vt solet SS. Patrum cœtus vti solet. Hoc autem caput verba ipsa sunt Leonis, quæ sic ferè habent, Fletu carnis veritatem ostendit, resurrexisse vero ad vocis imperium Lazarum, inmaculatam eius diuinitatẽ declarat. Ab vno enim vtraque & dicta & facta.

Supra hæc Leonis verba ab Eulogio afferuntur. Ioan. 11.

Quintum vero hæreticorum prætextum afferens, contra vocum similitudinem eiusdem viri sancti, per similem methodum refellit. verba illius sunt, Qualis natura clauis affixa in ligno crucis compacta cruce? Hoc quidem capite & Isidori monachi clari, Alexandrini domo & inter præsules illustris, epistolas aliquot de multis adducit, quæ per omnia conueniunt cum iis, quæ vt impia hæretici calumniari solent. Atque in his quidem epistola ad Zenobium versatur. Aliæ ad Iustinianum Imp. missæ litteræ: hæc quidem illius pietatem commendans, illa vero de monachis religiosis eremum incolentibus pietatis testimonium luculentum dat. tertia vero Anthimi synodalia accuratè de fidei dogmatibus, & missa & scripta esse ostendit: altera vero ad ipsum mittitur Anthimum post synodalia, eorum laudationem non excusans, quasi nihil Anthimi impietatis in iis appareat, nisi quod minutissimè, & accuratissimè Anthimum postulet recipi; Eutychen & Eutychis dogmata excõmunicari.

Isidorus Pelusiota.

EPHRAEMIUS

Mittitur & ad Domitianum epistola, qui incidens, vt scribit, in eius quædam verba, turbatus est mente, & solui dubitationem exoptauit. Verba autem sunt: non potest persona personæ, qua persona est, vniri, vt Petrus & Paulus vnam eandémque personam constituere, sed neque substantia cum altera substantia, vt per eam alia subsistit, in identitatem substantiæ conuenire: vt, animi & corporis natura, vnam non potest perficere naturam, nisi quis forte in cómune quid quod afferat, secúdum illas & prius vniri inuicem minimè conducebat, vt quod in creaturam fertur, vel hoc, in tempore, vel similia. Tunc enim non amplius diuersæ naturæ in vnam naturam conuenerunt. Sed quæ habent substantiæ ab initio consubstantialitatem communitate quadam longissima, idem iustenere videntur. Quæ enim Domitianum turbant, & quorum exoptabat solutioné, & nactus erat, hæc erant. Primum quidem non incredibili sermone dubitationem aggreditur. Deinde & per SS. Patrum voces propria ac subiecta verba rectè concluduntur. Et hæc quidem tractat epistola ad Domitianum. Altera vero ad quemdam Syncleticum, nomine (Tarsensem) scribitur, proferens & ista disputationem cum Acephalis. Qua post vnionem agnoscentes naturam Patres adducit, & nusquam per illos vllam personarum vnionem, neque diuisam, neque separatam. Et testimonia idem testantia proferuntur, Cyrilli, inquam, Gregorij Theologi, & aliorum, Deique Ecclesia, omnésque adeo Chalcedonensis Synodi Patres, vnum Trinitatis Deum Verbum incarnatum & hominem esse factú, cuius & secundum Hypostasen vnitatem & senserunt, & prædicauerunt, primúmque Dei matrem compellasse Elisabeth, cum ait: *Et vnde hoc mihi, vt mater Domini veniat ad me?* Clarius vero quam alij postea hanc vocem protulit Leo Pontifex. Ad Leonem enim Imp: sic scribit: Excommunicetur Nestorius credens Mariam non Dei, sed hominis dumtaxat esse genitricem, & hæc quidem in subiecta epistola. Scribit vero ad Anthimum Episcopum Trapezuntis, in qua Iustinianum vt pium suscipit, & infelicé Eutychem hæresim constituere, quia non sustinuit duas naturas in vna hypostali subsistere, narrat: Et illud per illud perspicuè patres ad vnum omnes, & docent & prædicant, sed illius animi impotentiam ferendam non esse, sed ex duabus naturis constare Christum, post vnionem non amplius duas, neque in duabus cognosci, vnam vero naturam post vnitatem prodigiose asseri. quibus consonare ait prædatoriam illam in Epheso Synodum hæc asserentem, *His & nos omnes conditi sumus*, vtque iisdem de causis Chalcedonensis synodus Nestorium & Eutychem condemnarit: & nosse naturas post vnitatem in vna persona, ab omni est diuisione alienum. Idémque B. Cyrillus omnísque adeò SS. Patrum cœtus claris prædicat vocibus.

Luc. 1.

γράφει δὲ καὶ πρὸς Δομετιανὸν ἐπιστολὴν, ὃς ἐντυχὼν (ὡς τὸ γράμμα λέγει) ῥήμασί τισι τοῦ ἀνδρὸς, διεταράχθη τε τοὺς λογισμοὺς, καὶ ἐπιλυθῆναι τὴν ἀπορίαν ἐζήτησε. τὰ δὲ ῥήματα ἔλεγε ταῦτα· οὐκ ἔστιν ὑπόστασιν ὑποστάσει ἑνωθῆναι καθ' ὑπόστασιν, οἷον Παῦλον καὶ Πέτρον μίαν ὑπόστασιν ἀποτελέσαι, ἀδύνατον. ἀλλ' οὐδὲ οὐσίαν ἑτέρᾳ οὐσίᾳ, καθὸ ἑτερούσια, εἰς ταυτότητα συνελθεῖν οὐσίας: οἷον ψυχῆς καὶ σώματος οὐσίαν, μίαν οὐσίαν *ἀποτελεσθῆναι, ἀμήχανον: εἰ μήπω ἄρα τις εἰς κοινότητά τινα ταύτας *ἀνάγῃ, καθ' ἣν καὶ πρὶν ἑνωθῆναι ἀλλήλαις οὐ διέφερον. οἷον τὸ εἰς τὸ κτιστὸν ἀναφέρεσθαι ἢ τὸ ὑπὸ χρόνον, ἢ τὰ ὅμοια. τότε γὰρ οὐκ ἔτι ἑτερούσιαι οὐσίαι εἰς μίαν οὐσίαν συνῆλθον· ἀλλ' αἱ ἀπ' ἀρχῆς ἔχουσαι οὐσίαι τὸ ὁμοούσιον κατὰ τὴν πορρωτάτω κοινότητα, τὸ αὐτὸ φυλάττουσαι ἐπεδείχθησαν. ἃ μὲν οὖν τὸν Δομετιανὸν ἐθορύβει, καὶ ὧν τὴν λύσιν ἐπεζήτει, καὶ ἔτυχε, ταῦτα ἦν. ὁ δὲ πρῶτον μὲν οὐκ ἀπιθάνῳ λογισμῷ τὴν ἀμφισβήτησιν περιέρχεται. εἶτα [δὲ] καὶ διὰ τῶν πατρικῶν φωνῶν τὰ οἰκεῖα καὶ προκείμενα καλῶς ἔχειν βεβαιοῖ ῥήματα. καὶ ἡ μὲν πρὸς Δομετιανὸν ἐπιστολὴ ταῦτα ἰσχυρίζετο. ἄλλη δὲ πρὸς Συγκλητικὸν τοὔνομα (Ταρσοῦ δὲ μητροπολίτην αὐτὸν τὸ γράμμα οἶδε) διαπέμπεται, τὸν ἀγῶνα καὶ αὐτὴ τὸν κατὰ τῶν Ἀκεφάλων προάγουσα. ἐν ᾗ μετὰ τὴν ἕνωσιν τὰς φύσεις τοὺς πατέρας παράγει γνωρίζοντας, καὶ οὐδαμοῦ διὰ ταύτας οὔτε τὴν καθ' ὑπόστασιν ἕνωσιν, οὔτε τεμνομένην, οὔτε διαίρεσιν καὶ διχασμὸν ὑπομένουσαν. καὶ μαρτυρίαι πάλιν προέρχονται βεβαιοῦσαι τὸ προκείμενον, Κυρίλλου τε, καὶ τοῦ θεολόγου Γρηγορίου, καὶ ἄλλων πατέρων. καὶ ὅτι ἡ ἐκκλησία τοῦ θεοῦ καὶ ἡ ἐν *Χαλκηδόνι σύνοδος τὸν ἕνα τῆς ἁγίας τριάδος θεὸν λόγον ὁμολογεῖ σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι, οὗ καὶ τὴν καθ' ὑπόστασιν οἶδε καὶ κηρύττει ἕνωσιν. καὶ ὅτι μητέρα θεοῦ πρῶτον μὲν ἡ Ἐλισάβετ ἀνεῖπεν, ἐν οἷς λέγει καὶ πόθεν μοι τοῦτο, ἵνα ἡ μήτηρ τοῦ κυρίου μου ἔλθῃ πρός με; σαφέστερον δὲ τῶν ἄλλων μετὰ ταῦτα τὴν λέξιν πρῶτος ὁ ὅσιος Λέων ὁ Πάπας προήνεγκεν. ἐν γὰρ τῇ πρὸς [τὸν] Λέοντα τὸν βασιλέα ἐπιστολῇ, ῥήμασιν αὐτοῖς οὕτως γράφει· ἀναθεματιζέσθω Νεστόριος, ὁ τὴν Μακαρίαν καὶ θεοτόκον Μαρίαν οὐχὶ τοῦ θεοῦ, ἀνθρώπου δὲ μόνου πιστεύων εἶναι μητέρα. ἀλλὰ ταῦτα μὲν καὶ ἡ προκειμένη ἐπιστολή. γράφει δὲ ὁ αὐτὸς καὶ πρὸς Ἄνθιμον ἐπίσκοπον Τραπεζοῦντος· ἐν ᾗ τόν τε βασιλέα Ἰουστινιανὸν τῆς εὐσεβείας ἀποδέχεται, καὶ τὸν δυστυχῆ Εὐτυχῆ τὴν καθαίρεσιν ὑποστῆναι, διότι μὴ ἠνέσχετο δύο φύσεων ἕνωσιν λέγειν ἐν μιᾷ ὑποστάσει, διηγεῖται· καίτοιγε τρανῶς τῶν θεοφόρων πατέρων ἡμῶν τοῦτο δογματιζόντων τε καὶ ἀνακηρυττόντων. ἀλλ' ἐκεῖνον τὸν *παράφορον μὴ ἀνέχεσθαι· ἀλλ' ἐκ δύο μὲν φύσεων γεγενῆσθαι τὸν κύριον, μετὰ δὲ τὴν ἕνωσιν οὐκ ἔτι δύο οὐδὲ ἐν δύο γνωρίζεσθαι, μίαν δὲ φύσιν μετὰ τὴν ἕνωσιν τερατεύεσθαι. οἷς συμφωνεῖν διήγγελε καὶ τὴν λῃστρικὴν ἐν Ἐφέσῳ σύνοδον, αὐτοῖς εἰποῦσαν ῥήμασι. τούτοις καὶ ἡμεῖς πάντες συντιθέμεθα· καὶ ὡς ἡ ἐν *Χαλκηδόνι σύνοδος τόν τε Νεστόριον καὶ τὸν Εὐτυχῆ ὑπὸ ἴσῳ καὶ ὁμοίῳ τῷ ἀναθέματι ἔθετο. καὶ ὅτι τὸ εἰδέναι τὰς φύσεις μετὰ τὴν ἕνωσιν ἐν μιᾷ ὑποστάσει, πάσης ἐστὶν ἀλλότριον διαιρέσεως. καὶ τοῦτο αὐτός τε Κύριλλος καὶ ὁ λοιπὸς τῶν θεοφόρων ἀνδρῶν χορὸς λαμπραῖς ἀνακηρύττουσι ταῖς φωναῖς.

* ἀποτελεσθῆναι.
* al. ἀνάγῃ.
* Χαλκηδόνι.
* παράφορον.
* Χαλκηδόνι.

Εὐτυχὴς

Εὐτυχὴς δὲ καὶ οἱ αὐτοῦ περὶ τῆς ἑνώσεως μὲν, τουτέστι δίχα ἑνώσεως. ὢ λήρου καὶ δυσσεβείας ὑπερβολὴ, τὰς δύο κηρύττουσι φύσεις, οὐκ ἔτι δὲ μετὰ τὴν ἕνωσιν. καὶ [ὅτι] οἱ τὸν Εὐτυχῆ ἀναθεματίζοντες, καὶ τὰ αὐτοῦ δόγματα παραχρῆμα καὶ ἄκοντες τὴν οἰκουμενικὴν τετάρτην κηρύττουσι σύνοδον. οὐκ ἄλλη γὰρ οἰκουμενικὴ σύνοδος· ἀλλ' αὕτη μόνη δεχθέντα μετὰ τῶν βδελυκτῶν αὐτοῦ δογμάτων, καθὰ καὶ προείρηται, παρὰ τῆς λῃστρικῆς ἐν Ἐφέσῳ δευτέρας συνόδου, τότε παντελῶς ἐξέτεμέ τε καὶ ἀπεκήρυξεν. ἔοικε δὲ ταῦτα γράφειν Ἀνθίμῳ παρευσιάζοντι μὲν τῇ βασιλίδι πόλει, ἥττω δὲ τοὺς ἀρχιερατικοὺς αὐτῆς ὑπελθόντι νόμους· ὃν καὶ παραινεῖ κατά τε τῶν Νεστοριανῶν καὶ τῶν φρονούντων τὰ Εὐτυχοῦς ἀγωνίζεσθαι. ἀλλὰ ταῦτα μὲν καὶ ἡ παροῦσα λέγει ἐπιστολή. ἡ δὲ πρὸς Βοράζαν τὸν πέρσην, ἐπειδὴ τοῦτο ᾔτησεν ἐκεῖνος, ἐκ τῶν θείων γραφῶν, ἀλλ' οὐκ ἐκ πατρικῶν μαρτυριῶν, περί τε τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος διαλαμβάνει, καὶ περὶ τῆς ἐν σαρκὶ παρουσίας τοῦ λόγου, καὶ περὶ τῆς [ἁγίας καὶ] ὑπερενδόξου παρθένου καὶ θεοτόκου Μαρίας. αἱ δὲ γραφαί εἰσιν αὐτῶν, ἥ τε παλαιὰ διαθήκη, καὶ τὰ κυριακὰ λόγια, καὶ τὰ ἀποστολικὰ κηρύγματα, δι' ὧν αἱ προκείμεναι τῶν ὑποθέσεων τὸ ἀληθὲς καὶ βέβαιον ἀπηνέγκαντο. πλέον δὲ τῶν ἄλλων ἐμφιλοχωρεῖ τῇ ὑποθέσει, ἐν ᾗ ἡ τοῦ λόγου σάρκωσις ἀναδιδάσκεται, ἅτε δὴ καὶ τοῦ καιροῦ πλείονα τὴν περὶ αὐτῆς ἐξεργασίαν ἀπαιτοῦντος. τοιοῦτον μὲν καὶ τὸ σπούδασμα ταυτησὶ τῆς ἐπιστολῆς. γράφει δὲ καὶ πρὸς μοναχούς τινας· οἳ τῆς τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας τὴν διάστασιν ἐνόσουν. *οὓς διὰ πατρικῶν παραινέσεων πειρᾶται συνάψαι, δεικνὺς τὰς ἐκείνων φωνὰς οὐδὲν τῶν ἄλλων αἱρετικῶν διαφερούσας, καὶ μηδεμίαν ἐξ αὐτῶν, ὥσπερ οὐδ' ἐκείνοις, ὄνησιν κερδαίνειν. συνίστησι δὲ διαφόροις πατέρων μαρτυρίαις· ἐφ' ἑνὸς καὶ τοῦ αὐτοῦ προσώπου διάφορον φυσικὴν ἐνέργειαν θεωρεῖσθαι. καὶ ἀρκεῖν πρὸς πᾶσαν εὐσεβῆ πληροφορίαν, θεοτόκον φρονεῖν καὶ λέγειν τὴν παναγίαν παρθένον. ἐπειδὰν γάρ τις εἴπῃ θεὸν ἐνανθρωπήσαντα τεκεῖν τὴν παναγίαν παρθένον, τῇ τῶν *ἀγγέλων ὅλῃ θεολογίᾳ φαίνεται κεχρημένος. γράφει δὲ καὶ ἑτέραν ἐπιστολὴν ὁ αὐτὸς πρὸς τοὺς ἀποσχιστὰς Καλλινίκου· νουθετῶν μὲν, τῇ τοῦ θεοῦ τούτους ἑνωθῆναι ἐκκλησίᾳ, καθαρὰν ἀποφαίνων ταύτην πάσης αἱρετικῆς κηλῖδος· καὶ ὅτι τὰ παρὰ ταύτην συνακτήρια, λῃστῶν ἐστι σπήλαια. καὶ μιμεῖσθαι δεῖν, εἰσηγεῖται, Συμεῶνα καὶ Βαραδάτον καὶ Ἰάκωβον, ἄνδρας ἐπ' ἀρετῇ ἀνὰ πᾶσαν τὴν γῆν βεβοημένους, οἳ τὴν ἐκκλησιαστικὴν διὰ βίου ἠσπάσαντό τε καὶ ἐξετελέσαντο κοινωνίαν. ἀλλ' ἐν τούτοις μὲν καὶ ἡ παροῦσα ἐπιστολή. ὁ δὲ ἐφεξῆς λόγος συνοδικὴν ἀναπτύσσει πρᾶξιν τοῦ αὐτοῦ ἁγιωτάτου πατριάρχου *Εὐφραιμίου. ἐν ᾗ ὅ, τε Συγκλητικὸς (τῆς Ταρσοῦ δὲ τοῦτον ὁ προλαβὼν λόγος ἐπίσκοπον εἶπε) *λογοθετεῖ· οὐκ ὀρθοδόξους λιβέλλους παρά τινων δεξάμενος, ἐξ ὧν καὶ αἱρετικὴν περιέχει ὑπόνοιαν: καὶ Στέφανός τις μονάζων *σύγκελλος δὴ τοῦ Συγκλητικοῦ καλούμενος. καὶ διελέγχεται μὲν κατὰ μικρὸν τοῦ λόγου προϊόντος ἑκάτερος: μὴ τὰ ὀρθὰ τῆς ἐκκλησίας στέργων δόγματα· ἀλλὰ πρὸς τὴν Εὐτυχοῦς νόσον ὑπονενευκώς. ὅμως οὖν τοῦ Συγκλητικοῦ τὴν εὐσέβειαν ἐπὶ τέλει συνομολογήσαντος εἰπεῖν, ἡ σύνοδος διαλύεται.

Eutyches eiúsque asseclæ, pro vnitate quidem, hoc est, duplici vnitate (o ingentem dementiam atque impietatem) duas prædicant naturas, non amplius post vnionem, & qui Eutychem sacris interdicunt, & eius opiniones, *de plano, atque inuiti œcumenicam quartam prædicant synodum. non alia enim œcumenica synodus fuit, sed ea sola, susceptum cum pestiferis eius opinionibus, vt diximus, in perfida illa synodo Ephesina, hoc omnino reiecit & dānauit. Apparet vero Anthimo hæc scripsisse in regia vrbe versanti, & nūquam sacras illius leges violasse, quem & aduersus Nestorianos & Eutychianos certare suadet. Hæc quidem epistola illa complectitur. Quæ vero ad Brasen Persam data est, cum hoc postulasset è sacra scriptura, sed non è patribus, de sancta & consubstantiali Trinitate continet, & de incarnatione Verbi, deque gloriosa & sancta virgine, & Dei genitrice Maria. Sūt autem eorum scripturæ, & vetus testamentum, & Domini verba, apostolicæque prædicationes, quibus quæstionum veritas & confirmatio allata est, præ cæteris huic vni quæstioni inhæret, in qua de incarnatione Verbi disceptatur, occasione scilicet longiorē huius disputationē exigente. Hoc autem in hac epistola conatur. Scribit autem ad aliquos monachos ecclesiæ defensionē Catholicæ & Apostolicæ molientes, quos SS. Patrū monitionibus cōiungere molitur, ostendens eorum sententiā non procul ab hæreticorum opinionibus distare, nullúmque ex ea, quemadmodum hæretici solent, commodum accipere, hoc variis testimoniis SS. Patrum confirmat. In vna eadémque persona variam naturæ actionem perspici, & ad omnem pietatis plenitudinem sufficere, Deiparam credere & appellare sanctissimam Virginem. Postquam enim quis dixerit Deum incarnatum Virginem peperisse, angelorum vti videtur Theologia. Scribit idem & alteram epistolam ad Callinici desertores; cupiens verò eos Ecclesiæ Dei conciliare, ab omni eam liberam hæretica labe ostendit, & qui ad eam laberam conuentus fiunt, latronum esse speluncam. affertur imitari oportere Simeonem, & Baradatum, & Iacobum, viros virtutis nomine toto terrarum orbe celebres, qui vitam vniuersam in ecclesiastica disciplina transegerunt. Atque hæc quidem Epistola continet. Proxima verò oratio Ephræmij synodicam actionem explicat, in qua Syncleticus nominatur (quem Tarsi Episcopum fuisse paulò ante memoraui) quod libellos non Catholicos ab hæreticis accepisset, vnde hæreticas hauserit opiniones, & Stephanus monachus Syncletici Syncellus appellatus, & pæne accusatur vterque præcedenti oratione, propterea quod orthodoxam non amplexarētur fidem, sed Eutychis labe infecti essent. Tamen cùm Syncleticus religionem profiteri tandem coactus esset, synodus soluitur. [Tamen inquit, pietatem tandem suscipiente, soluitur synodus.]

Marginal notes: EPHRAEmius. — *παρακεχώρημα et tempore. — Vide Zonaram & Curopalatē de Magistratibus. — *al. δὲ. — *ἀρχαγγέλων. — *al. Ἐφραιμίου — *λογοθετεῖται. *σύγκελλος. M. M. — συναλλάξεις (?)

EPHRAEMIUS.

In hac ipsa actione B. Cyrillum alicubi *natura* pro *persona* vsum esse ostendit, cum dicit: *Vnam maxime Verbi naturam carnem induisse.* non ipsum dicere sæpe cum duas confessum naturas, quemadmodum mutato consilio vnam naturam, nisi forte nunc *naturæ* vocem pro *persona* vsurpauerit, & confirmatur id ex aliis Cyrilli locis, eámque esse Ecclesiæ mentem, aliaque id genus vtilia aduersus hæreticam labem hæc Actio certamina continet. Post hæc inscripta libro epistola ad Magnum Episcopum Berrææ, hoc, in duabus naturis Emanuelem agnosci (vt in quarta & generali synodo asseritur) docens atque explanans, & vsum loquendi, vnam Verbi naturam hominem esse factam, contra eos, qui duas ab inuicem naturas separant probandi robur habere. Sed non contra negantes naturarum differentiam propter vnionem. Quemadmodú vna verbi natura incarnata cum separantibus ab inuicem naturas, pugnat: sic & in duabus naturis vnionem in persona fateri Confundentes reprehendit, & horum conatus retundit. Sic igitur & in duabus naturis vnio secundum Hypostasin, vt vna verbi natura incarnata, certant contra eos qui secum ipsi & inter se pugnant, non igitur altera cum altera pugnat. Neque enim vna verbi natura incarnata, in sublatione quadam naturæ dicitur: neque vnio in duabus naturis quæ secundum hypostasin agnoscitur, diuisionem ab inuicem affert naturarum. Quare duarum vnio naturarum, confirmatio est vnius verbi incarnatæ personę inconfusæ, & diuersitatis indiuisæ quę prædicatur. Hæc & alia id genus non pauca pro re nata epistolæ conscribens, pietatis dogmata cōfirmat, impudenter vero confundentiū sensum redarguit, & eum cui reddita epistola est admonens, augeri & crescere scripta, quasi non exhausta facultate, scribendi finem facit. Dein ad Eunoïum monachum aliam scribit: qua epistola narrat, neque secum ipsos, neque inter se pugnare SS. Patres, quando de corruptione & incorruptione disserunt. & incorruptionem sanitatem quandam esse, non autem naturæ nostræ sublationem: Corruptionem contra morbum quendam esse. Vnde & Adamum ante lapsum incorruptam habuisse carnem, & per omnia nobis similē fuisse Patrum testimoniis confirmans, & alia ad pietatem vtilia epistolæ includens finem facit. Sequuntur hinc eiusdem panegyricæ orationes septem. Prima in festum SS. Prophetarum. altera in Iesu Christi natalem diem. tertia in sacra anni ieiunia. quarta in Catechumenorum instructionem. item in festum diem Michaëlis archangeli in Daphne. sexta in sacram Quadragesimam, denique in vnam quadragesimæ nonam. Octaua ad hæc oratio quæ in sacro quaternario ad Neophytos habita. primum itaque quod in manus meas volumen incidit, hæc continebat.

Panegyricæ orationes Ephraemii.

ἐν ταύτῃ τῇ πράξει τὸν θεσπέσιον Κύριλλον τῇ φύσει ἀντὶ ὑποστάσεως ἀλλαχοῦ [τι] παρεισάγει χρήσασθαι, καὶ ἡνίκα λέγει μάλιστα μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην. οὐ γὰρ αἰτεῖν αὐτὸν πολλάκις τὰς δύο φύσεις ὡμολογηκότα, ὥσπερ ἐκ μεταμελείας μίαν φύσιν· εἰ μὴ τὸ ῥῆμα νυνὶ τῆς φύσεως ἀντὶ τῆς ὑποστάσεως παρειλήφει. καὶ συγκροτεῖ τοῦτο ἐξ ἑτέρων τε φωνῶν τοῦ αὐτοῦ Κυρίλλου· καὶ ὅτι τοιοῦτον καὶ τὸ τῆς ἐκκλησίας φρόνημα. καὶ ἄλλα δέ τινα χρήσιμα κατὰ τῆς συγχυτικῆς αἱρέσεως ἡ πρᾶξις ἀγωνίσματα περιέχει. μετὰ ταῦτα δὲ ἐνεγέγραπτο τῇ βίβλῳ, πρὸς Μάγαν τὸν ἐπίσκοπον Βερροίας ἐπιστολή, τὸ ἐν δύο φύσεσι γνωρίζειν τὸν Ἐμμανουὴλ (ὡς ἐν τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ τετάρτῃ συνόδῳ εἴρηται) δογματίζουσά τε καὶ ἐπικυροῦσα, καὶ ὅτι ἡ λέγουσα χρῆσις, μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, κατὰ τῶν διαιρούντων ἀπ' ἀλλήλων τὰς φύσεις ἔχει τὸ κραταιῶς περιβάλλεσθαι· ἀλλ' οὐ κατὰ τῶν ἀναιρούντων τὴν τῶν φύσεων διαφορὰν διὰ τὴν ἕνωσιν. ὥσπερ δὲ ἡ μία φύσις τοῦ λόγου σεσαρκωμένη τοῖς διαιροῦσιν ἀπ' ἀλλήλων τὰς φύσεις ἀπομάχεται: οὕτω καὶ τὸ ἐν δύο φύσεσι τὴν καθ' ὑπόστασιν ὁμολογεῖν ἕνωσιν, τοὺς συγχυτικοὺς ἐλέγχει, καὶ καταισχύνει τούτων τὸ βούλημα. οὕτως οὖν καὶ ἡ ἐν δύο φύσεσιν ἕνωσις καθ' ὑπόστασιν, καὶ ἡ μία τοῦ λόγου σεσαρκωμένη φύσις, κατὰ μὲν τῶν ἀντικειμένων αὐτοῖς καὶ ἀλλήλοις δοξασμάτων ἀγωνίζονται· οὐδ' ἑτέρα δὲ κατὰ τῆς ἑτέρας ὁπλίζεται. οὔτε γὰρ ἡ μία τοῦ λόγου σεσαρκωμένη φύσις ἐπ' ἀναιρέσει τῆς τῶν φύσεων διαφορᾶς λέγεται: οὔτε ἡ ἐν δύο φύσεσι γινωσκομένη καθ' ὑπόστασιν ἕνωσις, διαίρεσιν ἀπ' ἀλλήλων εἰσάγει τῶν φύσεων. ὥστε ἡ τῶν δύο φύσεων ἕνωσις, βεβαίωσίς ἐστι τῆς μιᾶς τοῦ λόγου σεσαρκωμένης ὑποστάσεως ἀσυγχύτου, καὶ διαφορᾶς ἀδιαιρέτου κηρυττομένης. ταῦτα καὶ τοιαῦτα ἕτερα οὐκ ὀλίγα, διὰ τῆς προκειμένης ἀναγράφων ἐπιστολῆς· τὰ μὲν τῆς εὐσεβείας κρατύνει δόγματα, τῆς δὲ συγχυτικῆς ἀναιδείας διελέγχει τὴν ὑπόνοιαν. καὶ παραινέσας τὸν τὴν ἐπιστολὴν δεξάμενον, ἐπαυξῆσαί τε καὶ πληθῦναι τὰ γεγραμμένα, ἅτε καὶ δυνάμεως οὐκ ἀπορῶν καταλήγει γράφων τὸ γράμμα. μετὰ δὲ ὁ πρὸς Εὐνόϊον μονάζοντα ἑτέραν γράφει. ἐν ᾗ διέξεισι, μήτε ἀλλήλοις μήτε ἑαυτοῖς ἐναντιωθῆναι τοὺς ἱεροὺς ἡμῶν πατέρας, ἐπειδὰν περὶ φθορᾶς καὶ ἀφθαρσίας διαλαμβάνωσι. καὶ ὅτι ἡ μὲν ἀφθαρσία ὑγεία τίς ἐστιν, ἀλλ' οὐκ ἀναίρεσις τῆς ἡμετέρας φύσεως· ἡ δὲ φθορά, νόσος. ὅθεν καὶ τὸν Ἀδὰμ πρὸ τῆς παραβάσεως ἄφθαρτον ἔχοντα σάρκα, κατὰ πάντα ὑπάρχειν ἡμῖν ὁμοούσιον. ταῦτα χρήσεσι πατέρων διαβεβαιῶν, καὶ ἕτερα οὐκ ὀλίγα πρὸς τὴν εὐσέβειαν χρήσιμα συγκαταλέξας τῇ ἐπιστολῇ, πέρας αὐτῇ ἐπιτίθησιν. ἐπὶ ταύταις δὲ καὶ λόγοι αὐτοῦ πανηγυρικοὶ διήχθησαν ζ. ὁ μὲν εἰς τὰ ἐγκαίνια τῶν ἁγίων προφητῶν· ὁ δὲ εἰς τὰ γενέθλια τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ἕτερος δὲ περὶ τῶν ἁγίων νηστειῶν· καὶ ἄλλος εἰς τὴν κατήχησιν τῶν νεοφωτίστων. καὶ δὴ καὶ εἰς τὰ ἐγκαίνια τοῦ Ἀρχαγγέλου Μιχαὴλ τοῦ ἐν Δάφνῃ· καὶ εἰς τὴν ἁγίαν τεσσαρακοστήν, καὶ ἐν μιᾷ τῆς ἁγίας τεσσαρακοστῆς ἐνάτῃ. ἀλλὰ καὶ ἐπὶ τούτοις ὄγδοος, ὁ ἐν τῇ ἁγίᾳ τετράδι λεχθεὶς εἰς τοὺς νεοφωτίστους: τὸ μὲν οὖν πρότερον περιελθὸν εἰς τὰς ἡμετέρας χεῖρας τεῦχος, ταῦτα περιεῖχεν.

σλθʹ. Ephraemij eiusdem alius liber.

EPHRAEMIUS CCXXIX.

ΤΟΥ ΑΥΤΟΥ ΑΛΛΗ ΒΙΒΛΟΣ.

ΑΝΕΓΝΩΣΘΗ βιβλίον τοῦ αὐτοῦ ἐν ἁγίοις Ἐφραιμίου, ὃς τῶν ἱερῶν τῆς Ἀντιοχείας θεσμῶν ἡγεῖτο ἐν λόγοις τέσσαρσιν. ὧν ὁ μὲν πρῶτος περὶ τῶν * ἐπηρεαζομένων ῥημάτων Κυρίλλου, ἃ ἐκεῖνος παρέθηκε πρὸς Σούκκενσον κατὰ τὴν δευτέραν ἐπιστολὴν γράφων διαλαμβάνει. τὴν ἐπήρειαν δὲ ἡ τοῦ Σευήρου αἵρεσις ἐπάγει. ὁ δὲ δεύτερος, ἀπόκρισίς ἐστι πρὸς τὸν σχολαστικὸν Ἀνατόλιον, περὶ ὧν ἐκεῖνος μαθεῖν ἠβουλήθη. ὁ δὲ τρίτος, ἀπολογίαν ὑπὲρ τῆς ἁγίας καὶ οἰκουμενικῆς ἐν Χαλκηδόνι συνόδου γράφει πρὸς Δόμνον καὶ Ἰωάννην, τοὺς ἐν τῇ δευτέρᾳ Κιλικίᾳ ἀσκοῦντας. ὁ δὲ τέταρτος πρὸς τοὺς ἀνατολικοὺς μοναχούς, τῇ Σευήρου δυσσεβείᾳ καὶ αὐτοὺς ἀντεχομένους. * προστίθησιν οὖν ἐν τῷ πρώτῳ λόγῳ τὴν ἐπηρεαζομένην φωνήν, ὥσπερ εἴρηται, ἐκ τῆς δευτέρας πρὸς Σούκκενσον ἐπιστολῆς, ἔχουσαν οὕτως· Ἔστω δὲ ἡμῖν εἰς παράδειγμα πάλιν ὁ καθ' ἡμᾶς ἄνθρωπος. δύο μὲν γὰρ καὶ * ὑπ' αὐτοῦ νοοῦμεν τὰς φύσεις· μίαν μὲν τῆς ψυχῆς, ἑτέραν δὲ τοῦ σώματος. ἀλλ' ἐν ψιλαῖς διῃροῦντες ἐννοίαις, καὶ ὡς ἐν ἰσχναῖς θεωρίαις, ἤτοι νοῦ φαντασίαις, τὴν διαφορὰν δεξάμενοι, οὐκ ἀνὰ μέρος τίθεμεν τὰς φύσεις· οὔτε μὴν [καὶ] διαμπὰξ διατομῆς δύναμιν ἐφίεμεν αὐταῖς· ἀλλὰ μίαν ἑνὸς εἶναι νοοῦμεν. ὥστε τὰ δύο μηκέτι μὲν εἶναι δύο· δι' ἀμφοῖν δὲ τὸ ἓν ἀποτελεῖσθαι ζῶον. αἱ μὲν οὖν ἐπηρεαζόμεναι φωναί, αὗται. ὁ μὲν γὰρ ἱερὸς Κύριλλος ψυχῆς καὶ σώματος, ἐξ ὧν ὁ εἷς ἄνθρωπος ἀποτελεῖται, τὴν διαφορὰν ἠβουλήθη διὰ τῆς λέξεως παραστῆσαι. διὸ καὶ εἶπεν, οὐκ ἀνὰ μέρος τίθεμεν τὰς φύσεις, ἡ δὲ * διαίρεσις φησίν· ἀλλ' ἐπήγαγε, μίαν ἑνὸς εἶναι νοοῦμεν. καὶ τί τοῦτο; μίαν γὰρ ἐνταῦθα τὴν ὑπόστασιν, ἀλλ' οὐ τὴν φύσιν εἶπε. καὶ τοῦτο σαφέστερον ἐδήλωσεν, ἐπαγαγών· δι' * ἀμφοῖν δὲ τὸ ἓν ἀποτελεῖσθαι ζῶον. πῶς γὰρ οἷόν τέ ἐστι νοεῖν σώματος καὶ ψυχῆς μίαν οὐσίαν. ἀλλ' ὅρα πάλιν ἑτέραν ἄνοιαν τῆς αἱρέσεως. νοεῖν εἶπε φησίν, οὐ λέγειν. καίτοιγε τίς οὐκ οἶδεν ὡς τὸ καλῶς νοούμενον καὶ καλῶς λέγεται· τὸ δὲ κακῶς νοούμενον, οὐδὲ λέγεσθαι δίκαιον. εἰ δὲ διότι λέγει μίαν ἑνὸς νοοῦμεν· τὸ δὲ μίαν καθ' ἡμᾶς τὴν φύσιν εἶπεν. καὶ ἑνὸς μὲν εἶναι ζώου μόνον δεῖ νοεῖν, λέγειν δὲ οὐκ ἔτι. οὐκ οὖν οὐ χρὴ λέγειν μίαν φύσιν καὶ νοεῖν, τισὶν ἐπῆλθε τοῦτο. πῶς δὲ ὁ αὐτὸς ὅλως εἶπεν, ἃ λέγειν οὐκ ἔδει: ἀλλ' ὁ κενὸς οὗτος ἐρρίφθω λῆρος. πάλιν δέ φασιν, εἴρηκεν· ὥστε τὰ δύο μηκέτι μὲν εἶναι δύο, δι' ἀμφοῖν δὲ τὸ ἓν ἀποτελεῖσθαι ζῶον: ἠκούσατε; τὰς δύο φύσεις λέγειν, μὴ μένειν ἔτι δύο φύσεις. εἰ δὲ ἐπὶ τοῦ παραδείγματος φασι, τὰς δύο φύσεις οὐ λέγει διαμένειν δύο: δηλονότι καὶ ἐπὶ Χριστοῦ τοῦτο ἀκολούθως θεωρηθήσεται. καὶ ταῦτά φασι μὴ συνιέντες, πρῶτον μὲν ὡς οὐχὶ πάντα τὰ ἐν τῷ παραδείγματι ὀφείλει καὶ ἐν τῷ παραδειγματιζομένῳ θεωρεῖσθαι. δεύτερον δέ, ὅτι τὸ μηκέτι μὲν εἶναι δύο, εἶπε· τουτέστι μὴ ἀνὰ μέρος καὶ ἰδιοσυστάτως ὑπάρχειν: ἀλλ', ὡς προεῖπε, δι' ἀμφοῖν τὸ ἓν ἀποτελεῖσθαι ζῶον. καὶ σκόπει ὡς οὐκ ἐξ ἀμφοῖν, ἀλλὰ δι' ἀμφοῖν ἀποτελεῖσθαι ζῶον· σημαίνων ὡς ἑκατέρα φύσις ἐν τῷ ἀποτελεσθέντι σώζεται ζώῳ. ἐπεὶ τί ἐκώλυεν αὐτὸν τοῦ δι' ἀμφοῖν εἰπεῖν, ὅτι διὰ μιᾶς τὸ ἓν ἀπετελέσθη ζῶον. εἰ γὰρ αἱ δύο οὐκ ἔτι μένουσι δύο, εἰς μίαν δὲ συνῆλθον φύσιν:

* ἐπηρεαζόντων
* al. πρὸς
* ἰσ.
* αὐτῶν
* al. ἀμφοῖν

EPHRAEMII EIUSDEM *liber alius.*

LEGI eiusdem sancti alterum librum, qui de sacris Antiochiæ legibus narrat libris quatuor. Primus de verbis Cyrilli, in calumniam adductis, quæ ad * Succensum epistola secunda scripsit, & oppugnationem Seuerianæ profert hæresis. Alter responsio est ad Anatolium Scholasticum, de iis quæ discere volebat. Tertius apologiam concilij Chalcedonensis continet ad Domnum mittens & Ioannem, qui Ciliciæ secundæ monachi erant. Quartus ad Orientis monachos, qui & ipsi Seueriana correpti labe fuerunt. Affert autem libro primo calumniæ illam vocem, vt dictum est ex secunda ad Succensum epistola, his verbis: *Sit nobis iterum exemplo homo inter nos versatus. Duas enim in illo naturas agnoscimus: vnam quidem corporis, alteram vero animæ, sed in puras notiones diuisas, & vt in tenuibus simulacris, hoc est mentis cogitationibus, differentiam suscipientes, non per partes naturas collocamus, neque vtriusque sectionis vim ipsis concedimus, sed vnius vnam esse intelligimus, quare bina non amplius bina sunt, sed vtroque tantum vnum perficitur animal.* Hæc sunt quæ in calumniam vocata sunt verba. Cyrillus enim animi & corporis, è quibus homo componitur, vocibus differentiam constituere recusabat. Quamobrem sic ait: non per partes naturas ponimus, sed diuisio inquit, verum addidit, *vnam esse vnius intelligimus.* & quid hoc. vnam enim hic hypostasin, sed non naturam asserit, idque manifestius reddit ostendens, *vtroque vnum animal constituitur.* Quomodo igitur fieri potest vnam esse animi, corporisque naturam. Sed vide iterum alteram hæreseos amentiam, intelligere oportet, inquit, non dicere. quamquam quis nescit rectè intellectum, rectè etiam dici, contra vero malè intellectum, malè etiam dici. Si vero, quia dicit, *vnam vnius intelligimus?* Illud vero *vnam secundum nos naturam* dixit, vnius quoque duntaxat animalis esse intelligere par est, dicere vero non item. non igitur asserendum & intelligendum, vnam esse naturam, quibus hoc accessit, At quomodo idem integrè dixit, quæ dixisse non oportuit: Sed valeant hæ nugæ. Iterum aiunt, inquit, *vt bina non amplius esse bina, sed vtroque tantum vnum perficitur animal.* Igitur duas asserere naturas, non duas amplius manere. Si vero exemplo loquuntur, duas naturas non amplius dicit manere duas, videlicet de Christo idem ex consecutione consideratur. Et quidem non intelligentes affirmant, primú quidem, vt non omnia in exemplo debent, & per exemplum declarato considerari. deinde, non amplius esse duos, ait: hoc est, non ex parte, & per se subsistere, sed, vt antea diximus, vtroque vnum animal constitui. Et considera, quomodo non ex vtroque, sed per vtraque fiat animal. Significans, vtramque naturam in absoluendo animali conseruari. quando quid prohibuit pro illo *per vtraque* dicere, per vnam vnum perfici animal. Si enim bina bina non maneant, in vnam conuenerunt naturam,

* Al. Succensum

EPHRÆmius.

per vnam dici oportebat fieri, animal vnum, & neque iterum dixit, ex vtroque vna natura perfecta est: sed vnum animal, hoc est, persona. & rectè non dixit vna natura perfecta est. Hoc enim asserere Apollinarij hæresis est, qui dixit, *mistio diuina Deus & homo vnam & eandem perfecit naturam*, & quamuis in prima ad Succensum epistola de eodem exemplo agit, &, si videtur, capiamus exempli gratia nostri compositionem, qua homines sumus. Componimur enim ex anima & corpore, duásque perspicimus corporis alteram, alteram animi. quare in compositione duas naturas conspicit, non igitur amplius esse duos, neque vnam fieri naturam asserit, absit, sed non ex parte & per se subsistere. Diuersam vero esse animi & corporis naturam, & post compositionem in composito perspici: Testaturque Gregorius cognomento Theologus his ferè verbis in oratione de baptismo, *Geminatos nos è duobus entibus animo & corpore, & hoc quidem visibili, illo vero inuisibili, gemina quoque purgatio*, & quæ sequuntur. Quin & B. Cyrillus libro nono commentariorum in Ioannem Euangelistam ita scribit. Sacræ nos docent scripturæ: credere in crucifixum, mortuum, & à mortuis excitatum, vt non alium existentem Filium ipsi quam Verbum. Deinde, non quantum in naturæ vnitatem dico, corpus enim corpus non verbum, etsi corpus Verbi, sed quantum in vsum veræ filiationis. Vbi igitur substātiæ, hoc est naturæ corporis, & animæ identitas? vel quomodo hæc vna, quorum non licet capere identitatem naturarum & essentiæ? Eadem quoque magnus Eustathius, Antiochiæ præsul, Antiochus quoque Ptolemaidis Episcopus, cum ait; *Domine, fili Dauid, & duplex ac simplex, vnus & duo, non diuisæ incarnationis, non duplicatæ redemptionis, vt nec DEVS patibilis inuentus, neque homo per se mundum seruans.* Et aureum illud os Ecclesiæ, aliijque plurimi SS. Patrum, in duabus naturis atque essentiis vnum agnoscunt Christum. E quibus enim incarnatū Verbum compositum est, in iis & est & cognoscitur: Cyrillus rursum exclamat: *quemadmodum*, inquit, *in diuinitate perfectus, ita & in humanitate*, & iterum: *non ipsum vnigenitum Dei Filium, qua parte cognoscitur & reuera est Deus, pati in propria natura corpore affirmamus: pati vero potius terrena natura.* Et rursum: *oportet enim seruari necessario vtraque, vno & vero filio.* Et illud: *non pati diuinitus*, Et illud: *dicere humanitus pati*, Ipsius enim caro passa est. Verum doctus Cyrillus ita sensit, at contra hæretici affirmant, *diuine passus est simul & humane.* Sed hic rursum ait: *humanitatis perfectio, nostraque naturæ exhibitio allata est, dum dicetur incarnata.* Supra quoque de carne à Verbo assumpta sic loquitur, *neque diminuta est, neque* (vt ipse ait:) *furto sublata est, necessario igitur seruatur.* & paulò ante: *Etsi compositionis Verbis inest differentia secundum naturam, eorum quæ ad vnitatem collata sunt.*

διὰ μιᾶς ἔδει φάναι τὸ ἓν ἀποτελεῖσθαι ζῶον. καὶ οὐδὲ πάλιν εἶπε, δι' ἀμφοῖν ἡ μία φύσις ἀποτελεῖται· ἀλλὰ τὸ ἓν ζῶον, τουτέστιν ἡ ὑπόστασις. καὶ καλῶς οὐκ εἶπε, μία φύσις ἀποτελεῖται. τὸ γὰρ λέγειν τοῦτο, τῆς Ἀπολιναρίου λώβης ἐστίν, ὃς ἔφη, μίξις θεσπεσία θεὸς καὶ ἄνθρωπος, μίαν καὶ τὴν αὐτὴν ἀπετέλεσε φύσιν. καὶ μὴν κἂν τῇ προτέρᾳ πρὸς Σούκενσον ἐπιστολῇ ἐπὶ τοῦ αὐτοῦ παραδείγματος λέγει. καὶ, εἰ δοκεῖ,* δεξιώμεθα πρὸς παράδειγμα τὴν καθ' ἡμᾶς αὐτοὺς σύνθεσιν, καθ' ἣν ἐσμὲν ἄνθρωποι. συντιθέμεθα δὲ ἐκ ψυχῆς καὶ σώματος. καὶ ὁρῶμεν δύο φύσεις· ἑτέραν σαρκὸς, καὶ ἑτέραν ψυχῆς. ὥστε ἐν τῇ συνθέσει τὰς δύο φύσεις θεωρεῖ. οὐκοῦν τὸ μηκέτι μὲν εἶναι δύο οὐδὲ μίαν φύσιν ταύτας γενέσθαι λέγει, ἄπαγε, ἀλλὰ μὴ ἀνὰ μέρος καὶ ἰδιοσυστάτως ὑπάρχειν. ὅτι δὲ διάφορος ἡ ψυχῆς καὶ σώματος φύσις, καὶ μετὰ τὴν σύνθεσιν ἐν τῷ συνθέτῳ θεωρεῖται· καὶ ὁ θεολόγος Γρηγόριος μαρτυρεῖ ἐν τῷ περὶ τοῦ βαπτίσματος φάσκων λόγῳ· διττῶν δὲ ὄντων ἡμῶν ἐκ ψυχῆς καὶ σώματος· καὶ τῆς μὲν ὁρατῆς,* τῆς δὲ ἀοράτου φύσεως· διττὴ καὶ ἡ κάθαρσις, καὶ ἑξῆς. ἀλλὰ καὶ ὁ ἱερὸς Κύριλλος ἐν τῷ ἐννάτῳ λόγῳ τῶν ὑπομνημάτων, ἐν οἷς τὸν εὐαγγελιστὴν Ἰωάννην ὑπομνηματίζει, οὕτω φησί· πιστεύειν δὲ ἡμᾶς αἱ θεῖαι γραφαὶ διδάσκουσιν εἰς τὸν σταυρωθέντα καὶ ἀποθανόντα καὶ ἐγηγερμένον ἐκ νεκρῶν. ὡς οὐχ ἕτερον ὄντα τὸν υἱὸν παρὰ τὸν αὐτοῦ λόγον. εἶτα, οὐχ ὅσον εἰς οὐσίας ταυτότητα φημί. σῶμα γὰρ τὸ σῶμα καὶ οὐ λόγος· εἰ καὶ σῶμα τοῦ λόγου· ἀλλ' ὅσον εἰς τὸ τῆς ἀληθοῦς υἱότητος χρῆμα. ποῦ οὖν ἡ τῆς οὐσίας ἤτοι φύσεως ψυχῆς καὶ σώματος* ταυτότης; ἢ πῶς ταῦτα μία, ὧν οὐκ ἔστι λαβεῖν ταυτότητα φύσεων καὶ οὐσίας; τὰ αὐτά φησι καὶ Εὐστάθιος ὁ μέγας, ὁ τῆς Ἀντιοχέων ἀρχιερεὺς, καὶ Ἀντίοχος ὁ Πτολεμαΐδος, ἐν οἷς φησί· Κύριε υἱὲ Δαβὶδ, ὁ διπλοῦς καὶ ἁπλοῦς, ὁ δύο καὶ ἓν, μὴ μεριζομένης τῆς οἰκονομίας, μὴ διχοτομουμένης ἡμῶν τῆς σωτηρίας· ἵνα μήτε Θεὸς παθητὸς εὑρεθῇ, μήτε ἄνθρωπος καθ' ἑαυτὸν τὴν οἰκουμένην σώζων. καὶ τὸ χρυσοῦν γε στόμα τῆς ἐκκλησίας, καὶ μυρίος ἄλλος χορὸς τῶν θεοφόρων ἡμῶν πατέρων, ἐν δυσὶν οὐσίαις καὶ φύσεσι τὸν ἕνα γνωρίζουσι Χριστόν. ὅτι μέντοι γε ἐξ ὧν ὁ εἷς σεσαρκωμένος λόγος συνετέθη, ἐν αὐτοῖς καὶ ἔστι καὶ γνωρίζεται· Κύριλλος πάλιν βοᾷ. ὥσπερ γὰρ, φησὶν, ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι. καὶ πάλιν, οὐκ αὐτὸν τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ, καθὸ νοεῖται καὶ ἔστι θεὸς, παθεῖν εἰς ἰδίαν φύσιν τὰ* σώματα ἰσχυριζόμεθα, παθεῖν δὲ μᾶλλον τῇ χοϊκῇ φύσει. καὶ πάλιν, δεῖ γὰρ ἀναγκαίως ἀμφότερα σώζεσθαι τῷ ἑνὶ καὶ κατ' ἀλήθειαν υἱῷ. καὶ τὸ, μὴ πάσχειν θεϊκῶς· καὶ τὸ, λέγεσθαι παθεῖν ἀνθρωπίνως· ἡ αὐτοῦ γὰρ πέπονθε σάρξ. ἀλλ' ὁ σοφὸς μὲν Κύριλλος ταῦτα. ἡ δὲ αἵρεσις λέγει, ἔπαθε θεϊκῶς ἅμα καὶ ἀνθρωπίνως· ἀλλ' ὁ αὐτὸς πάλιν φησὶν· ἡ ἐν ἀνθρωπότητι τελειότης, καὶ τῆς καθ' ἡμᾶς οὐσίας ἡ δήλωσις εἰσκεκόμισται διὰ τοῦ λέγειν σεσαρκωμένην. καὶ ἀνωτέρω περὶ τῆς τοῦ λόγου σαρκὸς οὕτω φησίν· οὔτε μεμείωται, οὔτε (καθά φησιν) ὑποκέκλεπται· οὐκοῦν ἀναγκαίως σώζεται. καὶ ἀνωτέρω· κἂν τοῖς τῆς συνθέσεως λόγοις ἐνυπάρχῃ τὸ διάφορον κατὰ φύσιν, τῶν εἰς ἑνότητα συγκεκομισμένων.

* δεξόμεθα.
* al. τῶν δέ.
* ταυτότητος.
* σώματι.

ἐ

καὶ ἀλλαχοῦ, οὐ πέφυρται κατὰ τοῦτο, κατὰ τὸ ἐκείνοις δοκοῦν. οὔτε μὴν εἰς τὴν τῆς σαρκὸς φύσιν μεταπεφοίτηκεν ἡ τοῦ λόγου. ἀλλ' οὐδὲ ἡ τῆς σαρκὸς εἰς τὴν αὐτοῦ· ἀλλ' ἐν ἰδιότητι κατὰ φύσιν φύσιν ἑκατέρου μένοντός τε καὶ νοουμένου, ἡ * ἄρρητος καὶ ἄφραστος ἕνωσις, μίαν ἡμῖν ἔδειξεν υἱοῦ φύσιν· πλὴν, ὡς ἔφην, σεσαρκωμένην. ἰδοὺ φανερῶς καὶ μετὰ τὴν σάρκωσιν * ἑκατέρου τῶν ἑνωθέντων ἐν τοῖς κατὰ φύσιν μένειν * προεῖπε. ταῦτα διηγηθεὶς ὁ συγγραφεὺς, φησὶ μὲν, ὡς ὁμοούσιον μὲν ὁμοουσίῳ καθ' ὑπόστασιν οὐχ ἑνοῦται. οὐδὲ γὰρ ψυχὴ ψυχῇ καθ' ὑπόστασιν ἑνοῦται. οὔτε σῶμα σώματι: τὰ δὲ ἑτερούσια ἑνούμενα, τὴν καθ' ὑπόστασιν ἕνωσιν ἀποτελεῖ· εἰς μίαν δὲ οὐσίας ταυτότητα τὰ ἐκ τῆς ἑνώσεως, οὐ τρέπεται. ὥστε, εἰ βουλοίμεθα, τὴν μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην, τουτέστι τὴν μίαν ὑπόστασιν * κρατύνεσθαι ἐν αὐτῇ γνωρίζομεν τῶν ἑνωθέντων τὴν κατ' οὐσίαν διαφοράν. τὴν μὲν οὖν μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην, μίαν ὑπόστασιν νοοῦμεν. εἰ γὰρ μίαν φύσιν σεσαρκωμένην εἰπόντες τὴν κυρίως φύσιν σεσαρκωμένην νοήσομεν, τὸν πατέρα καὶ τὸ πανάγιον πνεῦμα σεσαρκωμένον εἰσοίσομεν. ἡ αὐτὴ γὰρ φύσις υἱοῦ καὶ πατρὸς καὶ ἁγίου πνεύματος. ἀλλὰ τοῦτο μὲν ἀκριβέστερον ἐπισκεπτέον. ἡ δὲ αἵρεσις τί φησι; δύο μὲν φύσεων ἕνωσιν λέγομεν, μετὰ δὲ τὴν ἕνωσιν μίαν. ἀλλ' εἰ μὲν φύσιν καὶ οὐσίαν λέγουσι, πῶς οὐ σύμφυσιν καὶ συνουσίωσιν φρονοῦντες ἁλίσκονται. εἰ δὲ πρόσωπον ἓν, ἢ ὑπόστασιν μίαν, καλῶς φασι. γινωσκέτωσαν δὲ ὡς ἡ ἄκρα καὶ ἀδιάστατος ἕνωσις, οὔτε τομὴν ἐπιδέχεται τῶν ἑνωθέντων, οὔτε * σύγχυσιν ἢ συνουσίωσιν. οὕτω γάρ φησι καὶ ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῷ κατὰ Ἰωάννην ὑπομνήματι. εἷς ἐστιν ὁ υἱὸς καὶ Χριστὸς, τομὴν οὐκ ἔχων διὰ τὴν ἐνανθρώπησιν· πλὴν ὅσον εἰπεῖν εἰς τὸ διαστεῖλαι μόνον λόγου τε καὶ σαρκὸς φύσιν, οὐ τὴν αὐτὴν οὖσαν εἰς γνῶσιν. καὶ πάλιν πρὸς Εὐλόγιον γράφων· κἀκεῖνο δὲ μὴ ἀγνοείτωσαν. ὅπου γὰρ ἕνωσις ὀνομάζεται, οὐχ ἑνὸς πράγματος σημαίνεται σύνοδος· ἀλλὰ δύο, ἢ καὶ πλειόνων, καὶ διαφερόντων ἀλλήλοις κατὰ τὴν φύσιν. εἰ τοίνυν λέγομεν ἕνωσιν, ὁμολογοῦμεν ὅτι σαρκὸς ἐμψυχωμένης νοερῶς καὶ λόγου γέγονεν ἕνωσις. καὶ πάλιν ἐκ τῆς αὐτῆς πραγματείας τοῦ λόγου. ἐπεὶ τί ποιήσεις, ὅταν ἡμῖν ὁ ἁπλοῦς τὴν φύσιν εἰσβαίνει διπλοῦς; καὶ μυριάκις εὑρεθήσεται ὁ ἱερὸς οὗτος ἀνὴρ * τῆς τοῦ πατρὸς ὁμοουσιότητος καὶ τῆς ἡμετέρας, τὸν ἕνα Χριστὸν ὁμολογῶν, μὴ ἀφιστάναι. καὶ ὁ ἐν ἁγίοις δὲ τοῦ Ἰκονίου πρόεδρος Ἀμφιλόχιος οὕτω φησίν. δείκνυται τοιγαροῦν ὅπως καὶ οἱ θεσπέσιοι πατέρες, ὁμοούσιον εἰρήκασι τὸν υἱὸν τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον τῇ μητρὶ κατὰ τὴν ἀνθρωπότητα, διπλοῦν τὴν οὐσίαν ἤτοι κατὰ τὴν φύσιν· οὐ διπλοῦν δὲ τὴν ὑπόστασιν: τῶν ἀξιολογωτάτων δὲ ὁ Ἀμφιλόχιος. Κύριλλος γὰρ χρῆσθαι αὐτῷ κατὰ τοῦ δυσσεβοῦς Νεστορίου προήγαγε. καὶ Ἀμβρόσιος δὲ ὁ θαυμάσιος ἐκεῖνος ὁμολογητὴς οὕτω φησί: πρόσχες τὴν ἕνωσιν τῆς θεότητος καὶ τῆς σαρκὸς, εἷς ἐν ἑτέρῳ * καλεῖ ὁ τοῦ θεοῦ υἱός. ὅτι ἐν αὐτῷ ἡ ἑκατέρα φύσις ἐστί. ταύτης δὲ τῆς χρήσεως καὶ κατὰ Νεστορίου κέχρηται ὁ ἱερὸς Κύριλλος. ἐν δὲ τῷ λόγῳ ὃς ἐπιγέγραπται περὶ

* ἴσ. [illegible] * ἑκατέρων. * εἶπε. * κρατυνθῆ. * σύγκρισιν. * al. τοῦ. * λαλεῖ.

Et alibi : *Non commistum est per hoc, vt ipsis videtur, ne in carnis quidem naturam transiit Verbi natura, sed neque carnis natura in illius, sed in proprietate secundum naturam, altero manente atque intellecto, ineffabilis atque inexplicabilis vnio, vnam nobis filij naturam ostendit. nisi, vt ait, incarnatam.* Ecce clare etiam post incarnationem vtriusque vnitorum, ante dixit manere in iis, quæ secundum naturam. Scriptor hæc enarrans scribit, vt consubstantiale consubstantiali secundum hypostasin non vnitur, neque enim anima animæ in persona vnitur, neque corpus corpori. Quæ vero diuersa substantia vniuntur, personæ vnitatem absoluunt, in vnam enim substantiæ proprietatem, quæ ex vnitate sunt non conuertuntur. Quare, si volumus, vnam incarnatam Verbi naturam, id est, vnam personam, in se ipsam inualescere, agnoscimus vniorum in natura differentiam, vnam igitur Verbi incarnatam naturam, vnam intelligimus personam. Si enim vnam naturam incarnatam asserentes, propriè naturam incarnatam intelligimus, Patrem & Spiritum incarnatos asserimus. Vna enim est eademque natura Filij, Patris ac Spiritus sancti: Verum considerandum illud accuratius. Sed hæresis quid astruit? Duarum naturarum vnitatem asserimus post vnam vnionem. Verum si naturam & essentiam dicunt, quomodo non confusionem & consubstantialitatem sentientes capiuntur. Si verò vnam personam, vel vnam hypostasin rectè adstruunt, cognoscant summam & indiuisam vnitatem, neque suscipere sectionem vnitatum, neque confusionem, neque consubstantialitatem. Sic enim affirmat B. Cyrillus commentario in Ioannem: *Vnus est filius & Christus, diuisionem non admittens in humanitatem, nisi quod dicere ad diuidendum solum Verbi & carnis naturam, non eandem esse cognitam.* Rursumque ad Eulogium scribens: *Et illud non ignorent, vbi enim vnio nominatur, non vnius rei collectio significatur, sed duarum, vel plurium, & ab inuicem diuersorum. Siquidem vnitatem dicimus: Confitemur, carnis animata perspicuè & Verbi facta est vnio.* & rursum ex eadem verbi actione. Quid agas, quando, qui natura nobis, cum simplex est, euadit duplex? Ex millies inuenietur sanctus hic vir confiteri vnum Christum à consubstantialitate Patris & nostri non discrepare. Amphilochius quoque Iconij Episcopus ita ait: *Apparet certè sanctos Patres nostros consubstantialem asserere Patri filium secundum diuinitatem, & consubstantialem matri secundum humanitatem, duplicem quoad essentiam siue naturam, non duplicem quoad personam.* Et vero Amphilochius inter fide dignissimos est. Cyrillus enim eo teste vtitur contra impium Nestorium; Ambrosius quoque confessor ille admirabilis sic scriptum reliquit: *appone vniones diuinitatis & carnis, vnus in altero vocatur Dei filius quod in ipso vtraque natura sit.* Idem fere testimonium adhibet contra Nestorium Cyrillus in Oratione, quæ inscribitur de

EPHRÆmius.

Amphilochij locus.
S. Ambrosius.

EPHRAEMius

expositione fidei. Sic enim confessor ille scribit: *asserentes Christum purum hominem, vel patibilem Deum, vel in carnem conversum: vel consubstantiale corpus habere, vel cœlitus delatum, aut imaginationem esse, vel mortale Dei Verbum, indiguisse vero in resurrectione opera Patris. aut inanimatum esse corpus, vel sine mente hominem resumsisse, aut duas Christi essentias mistione confusas vnam factam esse substantiam: & non confitentes IESVM Christum duas esse substantias incommixtas, vnam vero personam, qua ratione vnus Christus, vnus filius, hos Catholica excommunicat ecclesia.* Non enim verbi & carnis consubstantialitatem, id est, vnam naturam dixerunt Patres fieri, non certe vt S. Ambrosius contra Apollinarium scribens ait. Sed in quo illos arguimus pullularunt alij dicentes, *Domini corpus ac diuinitatem vnius naturæ esse.* Quis Orcus hanc euomuit blasphemiam: Ariani vero, quorum error maiori contentione peruadit, Patrem, Filium, & Spiritum S. non vnius naturæ asserentes: Christi diuinitatem, & carnem vnius naturæ esse dicere conati sunt. Eadem sed clarius, Athanasius in epistola ad Epictetum. Scriptor deinceps natura siue substantia, & de hypostasi, siue persona, patrum adhibens testimonia. vt quod commune est vocetur natura, genus, essentia: quod vero proprium est, Hypostasis, & persona vocetur, & propriè quidem loquitur, cum substantiam dicit essentiam, & vice versa. Abusiuè autem capere quis potest naturæ nomen pro hypostasi, oportet tamen non ad impiorum libidinem, sed ad sensum piorum intelligere, de persona quidem affirmatur hoc vocabulum, & de perfecto vno pro hypostasi, oportet capere naturæ nomen. Si vero de iis, ex quibus vnus perficitur Christus: tunc naturæ vocabulum, pro propria natura & essentia intelligere. Hæc enim obseruantes, nusquam sanctos ac disertos patres nostros inter se pugnare videbimus, talemque esse Patrum mentem cognosce è strenuo Cyrillo prima ad Succensum epistola: *Non est enim aliquid vllo modo possibile vt in diuinitatis essentiam siue naturam transire aliquid creatum queat. Caro enim creatura est: constat itaque naturam hic pro substantia capi.* Rursum in epistola ad Nestorium: *Asserit enim Deum suum Patrem, & certè Deus cum sit suapte natura atque essentia, etsi natura essentiæ concursum accepit.* Et rursum: Quando enim diuinitus de se ipse testatur: *Qui videt me videt & Patrem.* Et: *Ego & Pater vnum sumus.* Diuinam eius & inexplicabilem intelligimus naturã, qua vnus est cum Patre, per eãdem substantiam. Omnibus enim perspicuum est, vt naturam atque essentiam hoc significantem confirmarit. Sanctus quoque Amphilochius, vt clarè diximus, similiter. Sed naturam pro substantia capi, ostensum est, abusiuè quoque & pro hypostasi capi, Cyrillus testatur.

ἑρμηνείας τῆς πίστεως, οὕτω φησὶν ὁ αὐτὸς ὁμολογητής· τοὺς δὲ λέγοντας ψιλὸν ἄνθρωπον τὸν χριστὸν, ἢ παθητὸν τὸν θεὸν, ἢ εἰς σάρκα τραπέντα, ἢ συνουσιωμένον ἐσχηκέναι τὸ σῶμα, ἢ οὐρανόθεν τοῦτο κεκομικέναι, ἢ φαντασίαν εἶναι, ἢ θνητὸν λέγοντας τὸν θεὸν λόγον, δεδεῆσθαι δὲ τῆς παρὰ τοῦ πατρὸς ἀναστάσεως, ἢ ἄψυχον σῶμα, ἢ ἄνουν ἄνθρωπον ἀνειληφέναι, ἢ τὰς δύο οὐσίας τοῦ χριστοῦ κατὰ ἀνάκρασιν συγχυθείσας μίαν [οὐσίαν] γεγενῆσθαι, καὶ μὴ ὁμολογοῦντας τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δύο εἶναι οὐσίας ἀσυγχύτους, ἓν δὲ πρόσωπον, καθὸ εἷς Χριστὸς, εἷς υἱὸς: τούτους ἀναθεματίζει ἡ καθολικὴ ἐκκλησία. οὔτε γὰρ τοῦ λόγου καὶ τῆς σαρκὸς ὁμοουσιότητα, τουτέστι μίαν φύσιν εἶπον οἱ πατέρες, μὴ γένοιτο· ὡς καὶ ὁ ἐν ἁγίοις Ἀμβρόσιος κατὰ Ἀπολιναρίου γράφων, φησίν. ἀλλ' ἐν ὅσῳ τούτους ἐλέγχομεν, ἀναφύησαν ἕτεροι λέγοντες, τό, τε σῶμα τοῦ κυρίου, καὶ τὴν θεότητα μιᾶς φύσεως εἶναι. ποῖος ᾅδης τὴν τοσαύτην * ἠρεύξατο βλασφημίαν; Ἀρειανοὶ γὰρ ἤδη τυγχάνουσιν ἀνεκτότεροι, ὧν ἡ ἀπιστία διὰ τούτους κρατύνεται μείζονι φιλονεικίᾳ, πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα μιᾶς οὐσίας μὴ λέγειν: ἐπειδήπερ οὗτοι τὴν θεότητα τοῦ Κυρίου καὶ τὴν σάρκα μιᾶς φύσεως εἰπεῖν ἐπεχείρησαν. τὰ αὐτὰ δὲ καὶ σαφέστερον Ἀθανάσιος ἐν τῇ πρὸς Ἐπίκτητον λεγομένῃ ἐπιστολῇ. ταῦτα εἰπὼν ὁ συγγραφεὺς, ἐφεξῆς περὶ φύσεως ἤτοι οὐσίας, καὶ περὶ ὑποστάσεως ἤτοι προσώπου πατρικὰς προκομίζει μαρτυρίας· ὡς τὸ κοινὸν μὲν καλεῖται καὶ φύσις, καὶ γένος, καὶ οὐσία: ὑπόστασις δὲ καὶ πρόσωπον, τὸ ἰδικόν. καὶ κυριολεκτεῖ μὲν ὁ λέγων τὴν φύσιν οὐσίαν· καὶ τὸ ἀνάπαλιν. καταχρηστικῶς δὲ δύναταί τις λαμβάνειν καὶ τὸ τῆς φύσεως ὄνομα ἀντὶ ὑποστάσεως. δεῖ μέντοι γε τὰς λέξεις οὐ πρὸς τὴν τῶν ἀσεβούντων * ὑπόληψιν, πρὸς δὲ τὴν τῆς εὐσεβείας λαμβάνειν διάνοιαν. καὶ εἰ μὲν ἐπὶ προσώπου λέγεται ἡ φωνὴ, καὶ τοῦ ἀποτελεσθέντος ἑνὸς, ἀντὶ ὑποστάσεως δεῖ παραδέχεσθαι τὸ τῆς φύσεως ὄνομα. εἰ δὲ περὶ τῶν ἐξ ὧν ἀπετελέσθη φύσεων ὁ εἷς χριστὸς· τότε τὴν φωνὴν τῆς φύσεως ἀντὶ τῆς κυρίας φύσεως καὶ τῆς οὐσίας νοεῖν. ταῦτα γὰρ παραφυλάττοντες, οὐδαμοῦ τοὺς ἱεροὺς καὶ λογάδας ἡμῶν πατέρας εὑρήσομεν διαμαχομένους ἀλλήλοις. καὶ ὅτι τοιοῦτον τὸ φρόνημα τῶν πατέρων, ἄκουε τοῦ νικηφόρου Κυρίλλου, ἐκ τῆς πρὸς Σούκενσον προτέρας ἐπιστολῆς. οὐ γάρ ἐστι τῶν ἐφικτῶν εἰς θεότητος οὐσίαν ἤτοι * φύσεως μεταχωρῆσαί τι δύνασθαι τῶν κτισμάτων· κτίσμα δὲ καὶ ἡ σάρξ. δῆλον γὰρ ὡς τὴν φύσιν ἐνταῦθα ἀντὶ τῆς οὐσίας παρέλαβε. καὶ πάλιν ἐκ τῆς πρὸς Νεστόριον ἐπιστολῆς. ἔφη μὲν γὰρ θεὸν ἑαυτοῦ τὸν πατέρα· καίτοι θεὸς ὢν φύσει, καὶ τῆς οὐσίας αὐτοῦ, κἀνταῦθα τὸ φύσει * τῷ τῆς οὐσίας παρέλαβε συνδέσμῳ. καὶ πάλιν· ὅταν μὲν γὰρ θεοπρεπῶς λέγῃ περὶ ἑαυτοῦ, ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα. καὶ, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· τὴν θείαν αὐτοῦ καὶ ἀπόρρητον ἐννοοῦμεν φύσιν, καθ' ἣν καὶ ἕν ἐστι πρὸς τὸν ἑαυτοῦ πατέρα, διὰ τὴν ταυτότητα τῆς οὐσίας. παντὶ γὰρ δῆλον, ὡς τὴν φύσιν καὶ τὴν οὐσίαν ταυτὸ σημαίνουσαν ἐβεβαίωσε. καὶ ὁ ἐν ἁγίοις δὲ Ἀμφιλόχιος, ὡς ἐκ τῶν προειρημένων δῆλον, ὁμοίως. ἀλλ' ὅτι μὲν ἡ φύσις ἀντὶ τῆς οὐσίας παραλαμβάνεται, δέδεικται: ὅτι δὲ καταχρηστικῶς καὶ ἀντὶ τῆς ὑποστάσεως, ὁ αὐτὸς μαρτυρήσει Κύριλλος.

* ἐξηρεύξατο.
* ἀσεβούντων.
* φύσιν.
* τὸ τῷ.

ἐν γὰρ

ἐν γὰρ ταῖς αὐτοῦ προρρήσεσί φησιν· ἀναγκαίως οὖν ἡμεῖς τοῖς ἐκείνου μαχόμενοι, τὴν καθ' ὑπόστασιν ἕνωσιν γεγενῆσθαι φαμέν, * τῆς καθ' ὑπόστασιν οὐδὲν ἕτερον * ὑφαινομένου, πλὴν ὅτι μόνη ἡ τοῦ λόγου φύσις, ἤγουν ὑπόστασις, ὅ ἐστιν, αὐτὸς ὁ λόγος ἀνθρωπείᾳ φύσει τῇ ἀληθινῇ ἑνωθεὶς, τροπῆς δίχα καὶ συγχύσεως, καθὰ πλειστάκις εἰρήκαμεν, εἷς νοεῖται· καὶ ἔστι Χριστὸς ὁ αὐτὸς θεὸς καὶ ἄνθρωπος. καὶ ὁ θαυμάσιος δὲ Βασίλειος, ὁ ἐκ Καππαδοκίας, πᾶσαν φωτίσας τὴν οἰκουμένην, τὴν μορφὴν καὶ τὴν οὐσίαν ταὐτὸν δογματίζει. καὶ Πρόκλος δὲ ὁ Κωνσταντινουπόλεως ἐπίσκοπος, ὡσαύτως. ὁ μὲν γὰρ τὴν μορφὴν οὐσίαν ὠνόμασεν· ὁ δὲ φύσιν. οὕτως οἱ πατέρες ἡμῶν ἐκ δύο φύσεων λέγοντες τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν συγκεῖσθαι, ἐκ δύο νοοῦσιν οὐσιῶν. ὥσπερ καὶ ἡνίκα ἐν δύο φύσεσιν, ἐν δυσὶν οὐσίαις. καὶ ὁ τῆς βροντῆς δὲ υἱὸς τοῦτο διδάσκει ἐν τῷ λέγειν, ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἑωράκαμεν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς. τὸν ἕνα γὰρ καὶ τὸν αὐτὸν δι' ὧν ἔφημεν καὶ ψηλαφητὴν οὐσίαν ἔχειν καὶ ἀψηλάφητον ἀνεκήρυξε. λόγον γὰρ εἰπὼν, τὸν ἀψηλάφητον ψηλαφηθῆναι προσεμαρτύρησε. καὶ ἑωρακέναι εἰπὼν, τὸν ἀόρατον προσανήγγειλεν· ὥστε τὸν ἕνα Χριστὸν ἐν ψηλαφητῇ καὶ ἀψηλαφήτῳ οὐσίᾳ, καὶ ἐν ὁρατῇ καὶ ἀοράτῳ γνωρίζεσθαι, καὶ τοῖς ἄλλοις εἰδέναι διδάσκαλος γίνεται. εἰ γὰρ καὶ ἑνὸς προσώπου [καὶ] ἑκάτερον, ἀλλ' οὐδεὶς ἂν εἰπεῖν δύναιτο νοῦν ἔχων ὡς ἡ αὐτὴ φύσις ψηλαφητοῦ καὶ ἀψηλαφήτου, καὶ ὁρατοῦ καὶ ἀοράτου. οὕτω καὶ τὸ παρὰ τῶν πιστῶν λαμβανόμενον σῶμα Χριστοῦ, καὶ τῆς αἰσθητῆς οὐσίας οὐκ ἐξίσταται, καὶ τῆς νοητῆς ἀδιαίρετον μένει χάριτος. καὶ τὸ βάπτισμα δὲ πνευματικὸν, ὅλον γενόμενον καὶ ἓν ὑπάρχον, καὶ τὸ ἴδιον τῆς αἰσθητῆς οὐσίας, τοῦ ὕδατος λέγω, διασώζει, καὶ ὃ γέγονεν οὐκ ἀπώλεσεν. ἀλλ' ὁ δυσσεβὴς Νεστόριος, ὃς προφανῶς θεομαχεῖν τοῖς ἐκ διαμέτρου τὴν ἀσέβειαν δοκεῖ γίνεσθαι, δύο φύσεις διῃρημένας καὶ ἰδιοϋποστάτους ἐφαντάζετο· καὶ τὴν τῶν φύσεων κατὰ τὰς ὑποστάσεις διαίρεσιν, τῇ μιᾷ προσκυνήσει ἑνοποιεῖν ἐσοφίζετο. ὁ δὲ * θεομάχος Εὐτυχὴς, τὴν μὲν καθ' ὑπόστασιν ἕνωσιν οὐκ ἠρνεῖτο. οὐδ' ὅτι ἐσαρκώθη ἐκ τῆς θεοτόκου παρθένου ὁ Κύριος ἡμῶν Ἰησοῦς [ὁ] Χριστὸς, ἐκ μεταμελείας μαθὼν λέγειν [ὃ] οὐκ ἤθελεν. ἀλλὰ καὶ ἀνάθεμα ποιεῖν, ὃ πρότερον αὐτὸς ἔστεργε, τοὺς λέγοντας, ἐκ τοῦ οὐρανοῦ καταγηνοχέναι τὴν σάρκα. τὸ δὲ πρὸς ἡμᾶς ὁμοούσιον, καί τοι πολλὰ καὶ πολλάκις * βιασθεὶς, οὐδαμῶς ὁμολογῆσαι ἠνέσχετο· ἀλλὰ μίαν οὐσίαν κηρύττων, ἀντὶ τοῦ ἡμῖν ὁμοούσιον ὁμολογῆσαι τὴν σάρκα, τῷ ἀναθέματι ὑπενήνεκται. ὁ μὲν οὖν πρῶτος λόγος ταῦτα διελθὼν, τὸν σκοπὸν ἐπέρανε.

* al. τῶ. * ἐμφαίνεται

* θεομάχος. al.

* al. βιασθεὶς.

Ἐν δὲ τῷ β'. λόγῳ πέντε τινῶν κεφαλαίων, ὧν ὁ σχολαστικὸς Ἀνατόλιος τὴν μάθησιν ἐπεζήτησεν, ἀποδίδωσι λόγον· ἑνὸς μὲν, εἰ καὶ νῦν Χριστὸς ὁ θεὸς ἡμῶν σαρκὶ γνωρίζεται; ἑτέρου δὲ, εἰ σύνθετος ὁ Ἀδὰμ ἐπλάσθη, πῶς ἀθάνατος ἐκτίσθη; τρίτον δὲ, πόθεν δυνάμεθα τεκμήρασθαι τὸν εὐαγγελιστὴν Ἰωάννην ἔτι μένειν; ἔτι δὲ εἰ ἀθάνατος Ἀδὰμ ἐπλάσθη, πῶς τὸ συμφέρον ἠγνόησε; καὶ τελευταῖον, τί ἐστιν [τὸ] ἰδοὺ Ἀδὰμ γέγονεν, ὡς εἷς ἐξ ἡμῶν

EPHRAEMIVS.

Nam in controuersiis ait. Nos igitur illius argumentis pugnamus, vnitatem in persona fieri asserimus, nihil aliud apparente secundùm hypostasin, quam solam Verbi naturam, videlicet hypostasin, quod est, ipsum Verbum humanæ naturæ reuera vnitum, sine mutatione & confusione, vt sæpe iam diximus, vnus esse percipitur,& est CHRISTVS idem homo & Deus. Magnus quoque Basilius Cappadox. cuius fama vniuersum peruagatur orbem, *formam & essentiam* idem esse docet. Proclus quoque Cõstantinopolitanus Patriarcha similiter: Ille enim formam essentiam appellauit, hic verò naturam. Sic & Patres nostri è duabus cõstare naturis dicẽtes Christum Iesum,è duabus substantiis intelligunt.Quemadmodum & cum in duabus naturis, in duabus substantiis. Et ille tonitrui filius idem docet, cùm ait: *Quod fuit in initio, quod vidimus oculis nostris, & manus nostræ contrectauerunt, de Verbo vitæ.* Vnum & eundem per quæ diximus manibus tractabilem naturam habere & intractabilem, prædicauit. Verbum enim intractabile tractatum esse ostendit,& inuisibile visum fuisse prænuntiauit. Quare Christus vnus in palpabili, & impalpabili substantia, vt & in visibili atque inuisibili cognoscitur, & aliis præceptor agnoscitur. Si enim & vnius personæ alterum:sed nemo sana mente dicere queat, vt eadem natura tractabilis & intractabilis,sub aspectum cadentis & minimè,sic & à fidelibus sumptum Christi corpus, & sensibilis essentiæ non cognoscitur,& indiuisum à gratia intelligibili manet. Et spiritualis baptismus, totum tactum est vnum existens, hócque substantiæ sensibilis proprium est, per aquam inquam, saluat, & quod factum est non perit. At verò impius ille Nestorius, qui cum Deo pugnandi auctor exstitit, impietatem opponere videtur, duas naturas diuisas & proprias personas excogitauit, & naturarum secundùm hypostases diuisionem, & vna adoratione vnum facere conatus est.At verò Eutyches Dei quoque aduersarius, vnionem hypostaticam non est inficiatus, atque incarnatum è virgine Dominum nostrum Iesum Christum, asserere pœnitentia ductus,quod nolebat,didicit. Sed quod prius asseruerat è cœlo detulisse carnem, asserentes execratus est. Consubstantiale verò nobiscum, & sæpe ac multum coactus, nequaquam confiteri voluit:verùm vnam prædicando naturam, cùm carnem *nobiscum consubstantialem* debuisset confiteri, excommunicationi subiectus est. Hunc quidem scopum assecuta prima oratio,finitur.

Basilius

1. Ioan. 1.

Nestorius impius.

Eutyches.

Altera verò capitibus quinque,quorum sciẽtiam Anatolius Scholasticus exquisiuit, rationem reddit: vno quidem, an nunc etiam Dominus noster Christus in carne cognoscitur? Altero verò, si compositus Adam formatus est, quomodo immortalis est conditus? Tertio quomodo persuaderi posset etiamnum Ioannem Euangelistam superstitem esse? Adhuc verò si immortalis Adam est cõditus, quomodo quid vtile erat ignorauit? Quinto, quid est *quòd Adam factus est sicut vnus è nobis?*

EPHRAEMIVS

Esa. 63. Primum quidem multis scripturis & Patrum sententiis confirmat. Primò Esaias de Christo incarnando sic habet: *Quis est iste qui venit de Edom.* Hoc est terrenus: & statim: *Tinctis*
Bosor. *vestibus de Bosra*: Hebræi verò *Bosor* carneum appellant. Et mox: *Quare ergo rubrum est indumentum tuum, & vestimenta tua sicut calcantium in torculari?* Hoc affectus post affectum, & in inuio significat mysterium. Et rursum alius Propheta, vt in persona Dei, inquit,
Zach. 13. 6. tanquam interrogantibus Angelis: *Quid sunt*
° Gr. humerorum. *plagæ istæ in medio ° manuum tuarum?* Et subiicit Saluator: *Plagatus sum in domo eorum qui diligebant me.* Sed & Angeli in ascensionis tempore
Act. 1. astantes: *Veniet*, inquiunt, *quemadmodum vidistis eum euntem in cælum.* Primus quoque martyr Stephanus martyrij tempore, conspiciens Deum Christum stantem à dextris, qua forma cum discipulis versatus est, piam ac diuinam visionem liberè confessus est. Electionis
Act. 7. 56. item vas ad veritatem benè informatus, audiit è cœlo clamantem Christum: *Saule, Saule, quid*
Act. 9. 4. *me persequeris.* Quo audito, *Quis es*, inquit, *Domine? Ego sum Iesus Nazarenus quem tu persequeris. Nazarenus* verò & *Iesus* cùm dicit, carnis veritatem ostendit. Idem testatur Gregorius Nazianzenus, & Cyrillus contra Consubstantialistas libro. Basilius quoque oratione de fide. Quin & Cyrillus ad Acacium Scythopolitanum Episcopum scribens, in interpretatione vocis *ἀποπεμπαίου*, id est malorū depulsoris, Auerrunci, & innumeri alij cum carne venisse ac mansisse, & sic esse ad secundum eius vsque aduentum docent. propterea quoque cœlestis ac terrenus, visibilis atque inuisibilis. Visibilis quidem cum diuinitate, non secundùm diuinitatem, sed secundùm corpus: rursum quoque inuisibilis cum humanitate, non secundùm humanitatem, sed diuinitatem. creatus & increatus, aliaque secundùm piam dictam distinctionem considerantur. Etenim caro nostra Deo Verbo vnita hypostaticè, non in substantiam Verbi mutata est, etsi Dei caro facta est, neque Verbum in carnem, etsi propriam sibi hanc sumpserit. Sed vnus idémque dicitur Christus: seruatur verò indiuisè, & sine mutatione, & quomodo in his & ex his cognoscitur Christus, ex alio in alium nó mutari, sed vt sæpenumero dictum, vnus idémque
Heb. 7. 3. est. idem generatur, éstque sine genealogia secundùm aliud atque aliud. Etenim sacra scri-
Esa. 53. 8. ptura ait: *Homo est, quis nouit eum, generationem*
Matth. 1. *eius quis enarrabit?* Sed & rursum clamat, *Liber generationis Iesu Christi filij Dauid.* Quare secundùm diuinitatem ingenerabilis est: secundùm humanitatem verò generabilis. Idem præno-
Marc. 13. scit omnia, est enim natura Deus, & rursum
Ioan. 7. 8. ignorare dicitur extremū diem per carnem nostram. & neque me videtis neque Patré meum videtis. & rursum scilicet humana conditione
Ioan. 5. 31. & 8. 14. scitis, *Et vnde sim scitis, Si ego testimonium perhibeo de me ipso, testimonium meum non est verum,*

τὸ μὲν οὖν πρῶτον κεφάλαιον διὰ πολλῶν γραφικῶν τε καὶ πατρικῶν φωνῶν συνίστησι καὶ ἀποδείκνυσι. καὶ πρῶτον μὲν, ἐξ ὧν Ησαΐας περὶ τῆς ἐνσάρκου χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀναβάσεως εἶπε: τίς ἐστιν οὗτος ὁ παραγινόμενος ἐξ Εδὼμ, τουτέστιν ὁ γήϊνος. καὶ ὁ αὐτὸς πάλιν, ἱμάτιον αὐτοῦ ἐκ Βοσὼρ: ἑβραῖοι δὲ τὸ βοσὼρ σάρκινον καλοῦσι. καὶ πάλιν, διὰ τί ἐρυθρά σου τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατητοῦ ληνοῦ; ὅπερ τοῦ πάθους μετὰ τὸ πάθος καὶ ἐν τῇ ἀνόδῳ μηνύει τὸ μυστήριον. καὶ πάλιν ἕτερος προφήτης, ὡς ἐκ προσώπου τοῦ δεσπότου, φησὶν, ὡς δῆθεν ὑπὸ τῶν νοερῶν ἐρωτώμενος δυνάμεων· τίνες αἱ πληγαὶ αὗται ° καὶ ἀναμέσον τῶν ὤμων σου; ἀποκρίνεται γὰρ ὁ σωτὴρ, λέγων· ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τοῦ ἀγαπητοῦ μου. ἀλλὰ καὶ ἐν τῷ καιρῷ τῆς ἀναλήψεως οἱ παρεστῶτες ἄγγελοι οὕτω φασίν· ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν. καὶ ὁ πρωτομάρτυς Στέφανος ἐν τῷ καιρῷ τῆς μαρτυρίας, ἐπιγνοὺς τὸν δεσπότην χριστὸν ἑστῶτα ἐκ δεξιῶν τοῦ πατρὸς, ἐν ἐκείνῳ τῷ σχήματι, ἐν ᾧ τοῖς μαθηταῖς συνηυλίζετο, τὸ σεπτὸν καὶ θεῖον θέαμα παῤῥησίᾳ ὡμολόγησε. καὶ τὸ σκεῦος δὲ τῆς ἐκλογῆς, μυσταγωγούμενος πρὸς τὴν ἀλήθειαν, ἐξ οὐρανοῦ κράζοντος ἀκούει ° χριστοῦ· Σαοὺλ, Σαοὺλ, τί με διώκεις; καὶ πυθομένου, τίς εἶ κύριε; ἐγώ εἰμι, φησὶν, Ιησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις· τὸ δὲ Ναζωραῖος, καὶ Ιησοῦς, δῆλον ὅτι τῆς σαρκὸς αὐτοῦ μηνύει τὴν ἀλήθειαν. καὶ Γρηγόριος ὁ Ναζιανζοῦ τὰ αὐτὰ διαμαρτύρεται· καὶ Κύριλλος ἐν τῷ κατὰ συνουσιαστῶν λόγῳ· καὶ Βασίλειος ἐν τῷ περὶ πίστεως. ἀλλὰ καὶ Κύριλλος πάλιν πρὸς Ακάκιον σκυθοπόλεως ἐπίσκοπον γράφων καὶ ἐν τῇ ἑρμηνείᾳ δὲ τοῦ ἀποπομπαίου. τοῦτον γὰρ ἕκαστος, καὶ μυρίοι ἄλλοι, μετὰ τῆς σαρκὸς καὶ ἐλθεῖν, καὶ διαμένειν, καὶ παραγενέσθαι κατὰ τὴν δευτέραν αὐτοῦ κηρύττουσιν ἐπιφάνειαν· διὸ καὶ [ὁ] αὐτός ἐστιν οὐράνιος καὶ ἐπίγειος, ὁρατὸς καὶ ἀόρατος: ὁρατὸς μὲν μετὰ τῆς θεότητος, οὐ κατὰ τὴν θεότητα, ἀλλὰ κατὰ τὸ σῶμα· ἀόρατος δὲ πάλιν, μετὰ τῆς ἀνθρωπότητος, οὐ κατὰ τὴν ἀνθρωπότητα, ἀλλὰ κατὰ τὴν θεότητα· κτιστὸς καὶ ἄκτιστος. καὶ ὅσα ἄλλα τοιαῦτα κατὰ τὴν εἰρημένην εὐσεβῆ θεωρεῖται διάκρισιν. καὶ γὰρ ἡ ἐξ ἡμῶν σάρξ, ἑνωθεῖσα τῷ θεῷ λόγῳ καθ' ὑπόστασιν, οὐκ εἰς τὴν οὐσίαν μετεβλήθη τοῦ λόγου, εἰ καὶ θεοῦ γέγονε σάρξ· οὐδὲ ὁ λόγος εἰς σάρκα, εἰ καὶ ἰδίαν οἰκονομικῶς ἐποιήσατο τὴν σάρκα: ἀλλ' εἷς μὲν λέγεται καὶ ἔστι χριστὸς, σώζεται δὲ ἀκαινοτομήτως, καὶ ἀχωρίστως, καὶ τὰ ἐξ ὧν καὶ ἐν οἷς νοεῖται χριστὸς, οὐκ ἄλλος καὶ ἄλλος, μὴ γένοιτο· ἀλλ', ὥσπερ πολλάκις εἴρηται, εἷς καὶ ὁ αὐτός. [ὁ αὐτὸς] γενεαλογεῖται καὶ ἔστιν ἀγενεαλόγητος, κατ' ἄλλο δηλονότι καὶ ἄλλο. καὶ γὰρ τὰ ἱερὰ λόγια φησί· καὶ ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτὸν, καὶ τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ἀλλὰ καὶ πάλιν βοᾷ· βίβλος γενέσεως Ιησοῦ Χριστοῦ υἱοῦ Δαυΐδ. ὥστε κατὰ μὲν τὴν θεότητα αὐτοῦ, ἀγενεαλόγητος: κατὰ δὲ τὴν ἀνθρωπότητα, γενεαλογούμενος. ὁ αὐτὸς πάντα προγινώσκει, ἐστὶ γὰρ φύσει θεός: καὶ πάλιν ἀγνοεῖν τὴν ἐσχάτην ἡμέραν διὰ τὸ ἡμέτερον λέγεται φύραμα. καὶ, οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου οἴδατε. καὶ πάλιν, δῆλον ὅτι κατὰ τὸ ἀνθρώπινον, κἀμὲ οἴδατε, καὶ πόθεν εἰμὶ οἴδατε. ἔτι δὲ, εἰ ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής.

° al. ἀνὰ μέσον.
° al. χριστόν.

καὶ

καὶ ἀλλαχοῦ· εἰ ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστι. τὸ μὲν διὰ * τὴν ἐμαυτοῦ φύσιν· τὸ δὲ διὰ τὴν ἀνθρωπότητα. ὥστε οὖν ἐστιν ὁ αὐτὸς ἀπερίγραπτος καὶ περίγραπτος· ὡς δύο γεννήσεις ἔχων, καὶ δύο οὐσίας ὁ εἷς. εἰ δὲ μιᾶς οὐσίας ἐστὶ κατὰ τὴν σάρκωσιν, κατὰ τὸν Μάνην· μίαν αὐτοῦ πάντως ὁμολογήσουσι καὶ τὴν γέννησιν, καὶ μάτην υἱὸς ἀνθρώπου κέκληται. τὸ μὲν οὖν πρῶτον κεφάλαιον οὕτως ἐπῆλθε. τὸ δὲ δεύτερον, οὕτω διέσταλται. Εἴτε θνητός, φησιν, εἴτε ἀθάνατος ἐπλάσθη τὴν ἀρχὴν ὁ Ἀδάμ· πρόδηλον ὅτι ὁ θεὸς θάνατον οὐκ ἐποίησεν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων· φθόνῳ δὲ διαβόλου, θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. ὑπὸ δέ τινα μέχρι ὅρον ἐν ἀφθαρσίᾳ τὸν ἄνθρωπον διεκελεύσατο, ἐντολὴν εἰς φυλακὴν παραθέμενος· ἣν παραβεβηκώς, τὴν φθορὰν ἀντὶ τῆς ἀφθαρσίας εἰσήγαγε. τῷ μὲν γὰρ αὐτεξουσίῳ τιμηθεὶς ὁ ἄνθρωπος, εἵλετο τὸ χεῖρον ἑκὼν φυγὼν τὸ ἄμεινον. ἀλλὰ καὶ αὐτὴν τὴν ψυχὴν ἀθάνατον καὶ νοητὴν δημιουργηθεῖσαν, ἐκ παραβάσεως ἴσμεν θανάτῳ παραδεδομένην, εἰ καὶ μὴ αἰσθητῷ, ἀλλά γε (τὸ χαλεπώτερον) νοητῷ. ἡ ἁμαρτία γὰρ αὐτῆς ἐστιν ὁ θάνατος, ὡς κόλασιν * αὐτῇ καὶ φθορὰν προξενοῦσα ἄφθαρτον. φοβήθητε γάρ φησι τὸν δυνάμενον καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ἀπολέσαι ἐν γεέννῃ. ἁπλοῦς δὲ μόνος ἐστὶν ὁ θεός, ἀπερίγραπτος ὤν. πᾶν γὰρ τὸ περιγραπτὸν οὐχ ἁπλοῦν, τὰ δὲ παρὰ τὸ θεῖον πάντα σύνθετα. ὅτι δὲ τὸ σύνθετον δύναται καὶ ἀθάνατον μεῖναι· μαρτυροῦσι μὲν τὰ * νοερὰ τάγματα, καὶ ἡ ψυχή· μαρτυρεῖ δὲ μᾶλλον καὶ ἡ ἀνάστασις, ἐν ᾗ σύνθετος ὁ ἄνθρωπος οὐδὲν ἧττον, ἢ πρότερον, ἀνιστάμενος εἰς ἀθανασίαν, μετὰ ψυχῆς καὶ σώματος ἀνίσταται. δεῖ γὰρ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν, καὶ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν. καὶ οὐκ ἄν τις εἴποι, τὸ σῶμα τότε εἰς τὴν οὐσίαν μεταβάλλειν τῆς ψυχῆς. εἰ γὰρ καὶ λεπτότερον καὶ διαυγέστερον γίνεται· ἀλλ' οὖν τὰ ἰνδάλματα σώζει τοῦ σώματος· καὶ ἄνθρωπός ἐστι, τὰ ἀνθρώπου φέρων γνωρίσματα. μαρτυρεῖ δὲ τοῖς εἰρημένοις Ἐνὼχ καὶ Ἠλίας, καὶ ὁ τῆς βροντῆς υἱὸς Ἰωάννης, ἔτι περιόντες ἐν τῷ σώματι. καὶ γὰρ τούτους ὡς ἀπαρχὴν τοῦ ὅλου φυράματος ἡμῶν ὁ δημιουργὸς λαβὼν ἔδειξε πᾶσιν, ὡς εἰ μὴ ἥμαρτεν ὁ Ἀδάμ, ἔτι ἂν περιῆν μετὰ τοῦ σώματος· πλὴν καὶ οὗτοι πολυχρόνιον βίον ἀνύοντες, γεύσονταί ποτε θανάτου, κἂν ἐν ῥιπῇ ὀφθαλμοῦ. ὅρα δὲ τὴν δι' αὐτῶν πίστιν, ὡς ἐκ τῶν τριῶν περιάγεται γενεῶν· ἐκ μὲν τῶν πρὸ νόμου ληφθέντος τοῦ Ἐνώχ· ἐκ δὲ τῶν μετὰ τὸν νόμον, τοῦ Ἠλία· ἐκ δὲ τῶν μετὰ τὴν χάριν, τοῦ ἐπιστηθίου τῶν μαθητῶν. ἐκοινοῦ καὶ ὁ Ἀδάμ, εἰ τὴν ἐντολὴν ἐφύλαττε, τούτοις ἂν ἀδιαστάτως συμπεριεῖναι. ὅτι δὲ περίεστιν ὁ παρθένος Ἰωάννης, ὅπερ ἐζήτησας, ὥσπερ τὸν Ἐνὼχ καὶ τὸν Ἠλίαν παράδοσις μαρτυρεῖ, οὕτω καὶ τοῦτον. καὶ τὸ ἐν τοῖς εὐαγγελίοις δὲ εἰρημένον, εἰς τὴν αὐτὴν ἡμᾶς ἔννοιαν ἕλκει. εἶπε μὲν γὰρ ὁ Χριστὸς τὸν τρόπον τοῦ θανάτου, ὃν ἔμελλεν ὑπὲρ αὐτοῦ ἀποθνήσκειν ὁ Πέτρος· ὁ δὲ Πέτρος τὸν οἰκεῖον θάνατον ἀκούσας, εὐθὺς ἐπερωτᾷ περὶ τοῦ εὐαγγελιστοῦ Ἰωάννου. δῆλον κἀκείνου οὐκ ἄλλο τι, ἀλλ' ἢ τὸν τρόπον τοῦ θανάτου αὐτοῦ μαθεῖν ἐπιζητῶν. ὥστε δὲ τί; οὐ γὰρ ἄλλο μὲν * ἤκουε παρὰ τοῦ σωτῆρος περὶ αὐτοῦ· εἰς ἄλλο δέ τι ἀνακόλουθον τὴν ἐρώτησιν μετήγαγε.

* τὴν θεότητα φησί.
* al. αὐτῇ.
* ἴσως αἱ.
* al. ἤκουσε.

EPHRAEMIVS.

alibi quoque: *Et si ego testimonium perhibeo de me ipso, verum est testimonium meum.* Hoc quidem respectu diuinitatis: illud verò humanitatis respectu. Vnus itaque idemque est incircumscriptus & circumscriptus, tanquam duas generationes habens & substantias, vnus tamen. Si verò vnius est substantiæ secundùm carnem, hoc contra Manem, vnam illius confitebuntur generationem, & frustra Filius hominis vocabitur. Hactenus capite primo ista exequitur. Alterum verò sic disserit: Si mortalis vel immortalis Adamus initio conditus est, constat Deum non fecisse mortem, neque hominum interitu delectari: inuidia dæmonis mors in mundum venit, iussit verò hominem aliquandiu manere incorruptum, præceptum custodiendum ei tradens, quod transgrediens pro incorruptibili corruptibilis euasit. Libertate enim arbitrij donatus homo, arripuit sponte quod deterius est, relicto meliore. Sed immortalem animam & intelligibilem creatam, post lapsum scimus morti tradidisse: idque non corporali modo, verùm, quod est grauius, intelligibili. Peccatum enim animi quædam mors est, veluti pœnam & sempiternam corruptionem illi parans: *Timete qui potest animam & corpus perdere in gehennam.* Simplex igitur solus est Deus atque incircumscriptus. Omne enim quod circumscribitur simplex non est, omnia enim præter Deum composita sunt, quia compositum potest & immortale fieri, & * Angoli id testantur & anima, amplius vero testificatur id resurrectio, qua non minus atque primò compositus homo ad immortalitatem resurgens exsistit corpore & animo præditus. *Oportet enim corruptibile hoc induere incorruptionem: & mortale hoc induere immortalitatem:* & ne dixerit aliquis, corpus tunc in animæ conditionem migrare. Si enim tenuius fit atque angustius, sed corporis speciem seruat, & homo est hominis habens insignia: testatur id Enoch, Elias, & Ioannes tonitrui filius, adhuc in corpore agentes. Hos enim vt initia totius conditionis nostræ conditor arripiens, omnibus ostendit, vt nisi Adam peccauisset, adhuc viueret; nisi quod longam vitam agentes gustant aliquando mortem, etiamsi in momento oculi. Vide eorum fidem, vt è tribus generationibus adducantur, ante legem latam fuit Enoch; post legem Elias, tempore gratiæ decus discipulorum. Quare si Adam non peccasset, cum his incorruptibilis vixisset; virginem autem Ioannem sic superesse, vt postulasti, vt Enoch & Eliam, traditione habemus, & quod in Euangelio habetur, in hūc sensum trahitur. Dixit Christus qua morte esset moriturus Petrus, & interrogās his auditis de Ioāne Euāgelista. Patet itaq; hunc nihil aliud quàm de morte illius quæsisse. *Hic autē quid?* Nihil aliud de ipso ex Saluatore audiuit, alio responsionē detorsit,

Math. 10. 28.
τὰ μετὰ τὸ μετα-
1. Cor. 15. 53.
Enoch.
Ioannes Euangelista. Elias.
Ioan. 21.

EPHRAEMIVS.

tanquam despiciens & nihili eam faciens doctoris de ipso prophetiam. & Petri interrogatione de morte interrogantis an Ioannes esset moriturus: & respondente Domino: *Si eum volo manere donec veniam quid ad te?* Quomodo non illum mansurum in hunc vsque diem veritas prædicit. Quamobrem B. Cyrillus illud, *Sequere me*, de morte Petri dixisse Christum accipit. Illud autem: *Exiuit sermo ille inter fratres quia discipulus ipse non moritur*, & quæ sequuntur; nō modò nihil pugnat, sed & consonat: non enim quis immortalem dixerit, sed manere cum Enoch & Elia, vsque ad secundum Domini aduentum, quod & discipulus iste confirmat: *Et non dixit ei Iesus, Non moritur, sed, si eum volo manere donec veniam, quid ad te?* & apparet quod immortalem esse negauit, *Manere verò donec veniat*, confirmauit. Si verò Eusebius Ecclesiasticæ scriptor historiæ, & tempora quibus vixit numerauit, ad vsque Traiani tempora peruenit, nihil prohibet, etiamsi dicat. Hoc vnusquisque mente percipiat, tanquam tempora, Enoch ostēdat, & quot ānos vixerit sacræ litteræ clarè ostendunt. Sed non propterea quis iustus trāslationem cum corpore inficiabitur. Huic sententiæ consentiunt actiones dilecti Ioannis, & vita, quas pauci narrant. Cùm in aliquo loco, vt aiunt, illius monitu positus esset, quæsitus mox inuentus non est, sed diffundens sanctimoniam è loco, quo breui tempore continebatur, à quo tanquam sanctitatis fonte sacrum vnguentum hausimus. Illud verò patet, præsentem quęstionem, quamuis à veritate abhorret, non adferre animæ periculum: fidei enim inuestigatio, veritatem transiliens, magnum animæ naufragium creat: Ideò quoque vel breuis syllaba, quæ ad veritatem conferat, defendenda est; Quæstio verò problematum contra pietatem, pulchrum quiddam est, si ad veritatis finem perueniat, si verò ab ea aberret, non pulchrum quidem, tamen perniciem animæ non adfert. Sic secunda & tertia profligatur quæstio: immortalis verò creatus Adam, quid vtile, ignorauit, Quemadmodum & ante ipsum diabolus cum angelis. Illud verò: *Ecce Adam tanquam vnus è nobis factus est*: Etsi quibusdam per ironiam dictum videtur, verùm non ita est, non quod reuera factus sit Deus, hoc enim fieri non potest, blasphemúmq; est: Quid igitur sibi vult: *Ecce Adam tanquam vnus è nobis factus est.* Ecce nunc, ait, sensum accepit, quoad imaginari se Deum esse. Ad illius sententiam hæc loquitur Deus, accusatque malitiam. Exprobrare verò Deum ad instructionem nostram sæpenumero in scriptura comperimus. Et hæc quidem secunda ratio. Potest autem illud: *Ecce Adam tanquam vnus è nobis factus est*, ironica figura proferri, & à probro sermonem abstinere, & miserabilem sermonem in miseris ostendere. Eligat quisque quod sibi placeat.

Ibidem.

Gen. 3. 22.

Gen. 3. 22. Theodoret. quæst. in Gen.

ὥσπερ παρορῶν, καὶ παρὰ φαῦλον ποιούμενος, τὴν τοῦ διδασκάλου περὶ αὐτοῦ προφητείαν. τῆς δὲ τοῦ Πέτρου ἐρωτήσεως περὶ τοῦ θανάτου, ὃν ἔμελλεν Ἰωάννης ἀποθνήσκειν ἐπερωτῶντος, καὶ τοῦ σωτῆρος εἰπόντος· ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρός σε; πῶς οὐχὶ τὴν μέχρι τῆς παρουσίας αὐτοῦ διαμονὴν ἡ ἀλήθεια προλέγει. διὸ καὶ ὁ ἐν ἁγίοις Κύριλλος τὸ, ἀκολούθει μοι, περὶ τοῦ θανάτου τοῦ ἁγίου Πέτρου εἰρῆσθαι τῷ σωτῆρι, ἐκδέχεται: τὸ δὲ, ὅτι ἐξῆλθεν ὁ λόγος οὗτος εἰς τοὺς μαθητὰς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει, καὶ τὰ ἑξῆς· οὐ μόνον οὐδὲν μάχεται, ἀλλὰ καὶ συνᾴδει. οὐ γάρ τις ἀθάνατον αὐτὸν εἶναί φησιν, ἀλλὰ διαμένειν μετὰ Ἐνὼχ, καὶ Ἠλία, μέχρι τῆς δευτέρας τοῦ δεσπότου παρουσίας· ὃ καὶ ὁ μαθητὴς αὐτὸς βεβαιῶν, φησιν· ὅτι, οὐκ εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει: ἀλλ' ἐὰν αὐτὸν θέλω μένειν, ἕως ἔρχομαι, τί πρός σε; καὶ φανερὸν, ὅτι τὸ μὲν ἀθάνατον εἶναι ἀπέτρεψε: τὸ δὲ μένειν ἕως τῆς παρουσίας, ἐβεβαίωσεν. εἰ δὲ ὁ Παμφίλου Εὐσέβειος, τὴν ἐκκλησιαστικὴν γράφων ἱστορίαν, καὶ τοὺς χρόνους * αὐτοῦ, καθ' οὓς ἔζησεν, ἀριθμητοὺς ἔθετο, καὶ ὡς μέχρι τῶν Τραϊανοῦ χρόνων διήρκεσεν: οὐδὲν μαχόμενον, κἂν δοκῇ, λέγει. ἐκεῖνο γὰρ ἕκαστος κατὰ νοῦν λαμβανέτω. ὡς οἱ * τοῦ Ἐνὼχ κατάδηλοι χρόνοι, καὶ ὅσα ἔτη ἐν τῷ κόσμῳ ἐβίω, σαφῶς ἡ θεία γραφὴ παραδίδωσιν: ἀλλ' οὐδ' οὐ διὰ τοῦτο τὴν μετὰ σώματος ἀρνήσεταί τις τοῦ δικαίου μετάθεσιν. ταύτῃ τῇ δόξῃ συνᾴδουσι καὶ αἱ πράξεις τοῦ ἠγαπημένου Ἰωάννου, καὶ ὁ βίος, αἳ οὐκ ὀλίγοι προφέρουσι. κατατεθεὶς γάρ φασι, κατὰ τὴν αὐτοῦ ἐκείνου προτροπὴν, ἔν τινι τόπῳ· ζητηθεὶς αἰφνίδιον, οὐχ εὑρίσκετο· ἀλλὰ μόνον τὸ ἁγίασμα βρύον ἐξ αὐτοῦ τοῦ τόπου, ἐν ᾧ πρὸς βραχεῖαν ῥοπὴν ἐτέθη. ἀφ' οὗ πάντες, ὡς ἁγιασμοῦ πηγὴν, τὸ ἅγιον ἐκεῖνο μύρον ἀρυόμεθα. ἐκεῖνο δὲ δῆλον, ὡς τὸ παρὸν ζήτημα, κἂν τῆς ἀληθείας * παρασφαλῇ, οὐ φέρει ψυχῆς κίνδυνον. ἡ μὲν γὰρ περὶ πίστεως ἔρευνα, τῆς ἀληθείας παραξαπτοῦσα, ναυάγιον μέγα τῇ ψυχῇ προξενεῖ. διὸ δὴ καὶ βραχείας, τῆς εἰς αὐτὴν τελούσης, ἀντέχεσθαι δεῖ συλλαβῆς. ἡ δὲ ζήτησις τῶν παρὰ τὴν εὐσέβειαν προβλημάτων, καλὸν μὲν, εἰ πρὸς τὸ τῆς ἀληθείας καταλήγει τέλος. εἰ δέ γε ταύτης ἀστοχήσει· οὐ καλὸν μὲν, ὅμως ὄλεθρον ψυχῆς οὐ φέρει. ἀλλὰ τὸ μὲν δεύτερον, καὶ τρίτον, οὕτω διελύσατο ζήτημα. ἀθάνατος δὲ πλασθεὶς ὁ Ἀδὰμ, τὸ λυσιτελὲς ἠγνόησεν· ὥσπερ καὶ * πρὸ αὐτοῦ ὁ διάβολος, καὶ αἱ περὶ αὐτὸν ἀποστατικαὶ δυνάμεις· τὸ δὲ, ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν· εἰ καί τισιν εἰρῆσθαι παρ' εἰρωνείαν ἐνομίσθη: ἀλλ' οὐχ οὕτως ἔχει. οὐ μὴν ἀλλ' οὐδ', ὅτι γέγονε τῇ ἀληθείᾳ θεός. τοῦτο γὰρ παντελῶς μετὰ τοῦ ἀδυνάτου, καὶ βλάσφημον. τί οὖν βούλεται τὸ, ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν; ἰδοὺ νῦν, φησιν, αἴσθησιν ἐδέξατο, οἷόν ἐστι τὸ φαντάζεσθαι γενέσθαι θεόν. πρὸς δὲ τὴν ἐκείνου γνώμην, ταῦτα φθέγγεται θεὸς, καὶ διελέγχει τὴν κακόνοιαν. ὀνειδίζειν δὲ τὸ θεῖον πρὸς νουθεσίαν ἡμετέραν, πολλαχοῦ τῆς γραφῆς εὑρίσκομεν. ἀλλὰ ταῦτα μὲν καὶ ὁ δεύτερος λόγος. δύναται δ' ἂν τὸ, ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν, καὶ ἐν εἰρωνείας σχήματι προενεχθεῖν, καὶ ὀνείδους * λόγον ἐπέχειν, καὶ ἐλεεινολογίας ἐν οἰκτιρμοῖς ἐπιδείκνυσθαι. * αἱρείσθω δὲ τὸ δοκοῦν μᾶλλον ἕκαστος.

Ioan. 21. v. 21.

* al. αὐτοῦ.

* al. τοῦ Ἐνὼχ κατάδηλοι.

* al. ἀσφαλῇ.

* al. αἱ.

* al. λόγους.

* al. αἱρείσθω.

Ἐν ᾗ

Ἐν δὲ τῷ τρίτῳ λόγῳ (καὶ) πρὸς Δόμνον καὶ Ἰωάννην γράφων, τοὺς τὴν δευτέραν Κιλικίαν οἰκοῦντας ἀσκητάς, ταῦτα ὑπὲρ τῆς ἐν Καλχηδόνι λέγει συνόδου· ὅτι ὀρθοδοξίας ἐστὶ φρόνημα, καὶ Κυρίλλῳ [φίλον,] μίαν ὑπόστασιν τοῦ λόγου σεσαρκωμένην κηρύττειν, καὶ ἓν πρόσωπον· καὶ τὸ φρονεῖν τὸν αὐτὸν ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν [τὸν αὐτὸν] κατὰ τὴν ἀνθρωπότητα. τουτέστι, τὸ δύο φύσεις ὁμολογεῖν, ἐξ ὧν ὁ εἷς Χριστὸς ἀπετελέσθη. δύο γὰρ γεννήσεις τοῦ ἑνὸς Χριστοῦ καὶ θεοῦ ἡμῶν εἰδότες, οὐδὲ τῆς σαρκὸς καὶ τοῦ λόγου τὴν κατ' οὐσίαν διαφορὰν ἀγνοοῦμεν. αὕτη δὲ ἡ πίστις τῆς ἐν Καλχηδόνι συνόδου δέδεικται κήρυγμα. εἶτα τριακόσιοι καὶ ἑβδομήκοντα ἀρχιερεῖς ταύτην ὑπογράφως ἐβεβαιώσαντο: ἐν οἷς καὶ οἱ θαυμαστοὶ τὸν βίον, Συμεὼν καὶ Ἰάκωβος, καὶ Βαραδάτος τὴν αὐτὴν γνώμην ἰδίοις ἐπεκύρωσαν γράμμασι. δῆλον δὲ ὡς, ἔνθα μία καθ' ὑπόστασιν ἕνωσις, πᾶσα * διαιρέσεως ὑπόνοια ἀπελήλαται. τὸ γὰρ γνωρίζειν τῶν οὐσιῶν τὸ διάφορον, οὐκ * ἔστι διαιρεῖν ταύτας, κατὰ τὸν ἐν ἁγίοις Κύριλλον. ὅτι τὸ πρὸς ἡμᾶς ὁμοούσιον τοῦ ἐνανθρωπήσαντος θεοῦ λόγου σαφῶς ἡ σύνοδος ἀνεκήρυξε, δογματιζόμενον μὲν παρὰ τῶν ὁσίων ἡμῶν [πατέρων:] οὔπω δὲ τῆς φωνῆς οἰκουμενικῆς συνόδου ψηφίσμασι τὴν βεβαίωσιν λαβούσης. διὸ πάντως ἂν ἐξεβέβλητο· τῆς δυσσεβοῦς μὲν δόξης Εὐτυχοῦς ἐν τῇ λῃστρικῇ συνόδῳ παρρησιασαμένης, ὑφ' ἑτέρας δὲ μὴ καταχρισθείσης: κἀκείνου μὲν τῆς δικαίας καθαιρέσεως ἀπολυθέντος, ἐπὶ Φλαβιανὸν δὲ τὸν ἀοίδιμον, ὃς ἐκεῖνον καθεῖλε, τῆς δίκης ἀδίκως μετενεχθείσης. καίτοι λαμπρῶς κηρύττοντα, μίαν μὲν τοῦ λόγου φύσιν σεσαρκωμένην, τουτέστιν ὑπόστασιν: συνανακηρύττοντα δὲ καὶ τό, ἡμῖν ὁμοούσιον, ὅτι, φησὶν οἱ ἅγιοι πατέρες μὴ χρῆναι τὴν λέξιν γυμνήν, καὶ κακούργως ἐξετάζειν, ἀλλὰ τῇ εὐσεβεῖ διανοίᾳ προσέχειν τοῦ γράφοντος. καὶ παρατίθησι τῆς παραινέσεως μάρτυρας, * Ἀθανάσιον μέν, ἐκ τοῦ κατὰ Ἀρειανῶν· * Κυρίλλου δέ, ἐκ τῶν θησαυρῶν· Ἰωάννου δὲ τοῦ Χρυσοστόμου, ἐκ τοῦ ὑπομνήματος τῆς πρὸς Γαλάτας ἐπιστολῆς· ὅτι, φησί, τὸ λέγειν σαρκὶ παθεῖν τὸν θεὸν λόγον, φρόνημα τῆς ἐκκλησίας ἐστίν: ὥσπερ καὶ βλάσφημον καὶ ἀπόβλητον τό, κηρύττειν αὐτὸν παθεῖν τῇ φύσει τῆς θεότητος. καὶ παράγει μαρτυρίας διαφόρους. Κύριλλον μὲν ἐκ τῶν σχολίων, ἐκ τῆς πρὸς Σούκενσον δευτέρας ἐπιστολῆς, ἐκ τῆς πρὸς Νεστόριον πρώτης, ἐκ τῶν θησαυρῶν, ἐκ τῆς ἑρμηνείας τοῦ ἀποπομπαίου, καὶ ἐκ τῆς ἀπολογίας τοῦ ιβ' ἀναθεματισμοῦ, καὶ ἐκ τῆς πρὸς τὰς βασιλίδας ἐπιστολῆς, καὶ ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ἑβραίους, καὶ ἐκ τοῦ εἰς τὸν Ἡσαΐαν ὑπομνήματος, καὶ ἐκ τῆς ἑρμηνείας τοῦ ὀγδόου ψαλμοῦ, καὶ ἐκ τοῦ περὶ ἀπαθείας λόγου, καὶ ἐκ τοῦ περὶ πάθους λόγου, καὶ ἐκ τοῦ εἰς τὸ εὐαγγέλιον Ἰωάννου ὑπομνήματος βιβλίου ζ', καὶ ἐκ τοῦ περὶ ἐνανθρωπήσεως, καὶ ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ἑβραίους, καὶ ἐκ τοῦ εἰς τὸ εὐαγγέλιον Ἰωάννου ὑπομνήματος βιβλίου β', καὶ ἐκ τοῦ περὶ ἐνανθρωπήσεως λόγου, καὶ ἐκ τοῦ ὑπομνήματος τοῦ εἰς εὐαγγέλιον Ἰωάννου βιβλίου θ' καὶ η'. συμπαρατίθησι μέντοι καὶ Γρηγορίου, καὶ Βασιλείου ἐκ τοῦ περὶ εὐχαριστίας, καὶ ἐκ τῆς πρὸς Σωζοπολίτας ἐπιστολῆς, καὶ ἐκ τῆς πρὸς Ἀπολινάριον· καὶ δὴ καὶ Ἀθανασίου τοῦ πολυάθλου ἐκ διαφόρων λόγων: ὅτι τῶν ἀπὸ Σευήρου ληρούντων, ὡς ἐννοεῖν μὲν χρὴ τὸ ἑτεροειδὲς καὶ ἑτεροφυὲς τῶν εἰς ἑνότητα ἄφραστον συνεληλυθότων, μὴ χρῆναι δὲ λέγειν ταῦτα: πλατὺν μὲν γέλωτα τῆς ἀνοίας αὐτῶν ὁ ἱερὸς ἀνὴρ καταχεῖ.

*d. διαιρέσεως. *d. ἔστι. *d. Ἀθανάσιον. *Κύριλλον δὲ ἐκ τῶν θησ.

Tertia verò oratione ad Domnum & Ioannem scribens, monachos in Cilicia secunda, hæc de Chalcedonensi refert Synodo, rectæ fidei normam esse, & Cyrillo placere vnam Verbi hypostasin incarnatã prædicare, & vnã personam, & sentiri consubstantialem Patri Filiũ diuinitate, & humanitate nobis similem. Hoc nimirum est duas fateri naturas, è quibus vnus Christus conditus est. Duas enim generationes vnius Christi & Dei nostri cognoscentes, neque carnis, neque Verbi differentiam secũdùm substantiam ignoramus. Hæc verò fides Chalcedonensis concilij præconium præ se fert, deinde trecenti & septuaginta Episcopi hanc subscribendo consignarunt, in qua admirandi viri Simeon & Iacobus & Baradatus hãc suis scripturis fidem confirmarunt. Quæ cùm ita sint, efficitur, vbi vna est secundùm hypostasim vnio, ibi omnem diuisionis opinionem euanescere. Nosse enim substantiarum differentiam, non est illas diuidere secundùm B. Cyrillum, quia nobiscum *Consubstantialem* incarnati Dei Verbi clarè concilium prædicauit, quod antea alij SS. Patres docuerunt, nusquam tamen voce œcumenicæ Synodi decretis confirmata, idcirco prorsus reiectum est. Impia doctrina Eutychis in perfida Synodo damnata, ab alia non condemnata. Dum ille iustæ condemnationis absoluitur traducta in venerabilem Flauianum qui ipsum sustulit, culpa. licet clarè pronunciantem, vnam quidem Verbi naturam incarnatam, hoc est personam, simúlque asserentem consubstantialem nobis esse, dicit, sanctos Patres non vti nuda voce, & improbè inuestigare, sed mentem adhibere scriptori pio, & admonitionis adhibet testes: Athanasij librum contra Arianos, Cyrilli thesaurum, Ioannis Chrysostomi commentarium in epistolam ad Galatas: Ait enim: Carne pati Deum Filium, sententiam esse Ecclesiæ: pati verò diuinitate, hæreticorum esse & blasphemum. Adfert & varia testimonia ex Cyrilli scholiis, ex epistola secunda ad Succensum, ex prima ad Nestorium, ex thesauris, ex interpretatione *ἀποπομπαίου*, ex Apologia duodecimi anathematismi, ex epistola quoque ad reginas, & ex commentario in epistolam ad Hebræos, item in Esaiam, & in octauum Psalmum, & ex oratione de impatibilitate, itémque de perturbatione, rursum ex commentario in Ioannem lib. septimum, secundum, octauum, & nonum de incarnatione, loco vno & item altero, ex interpretatione epistolæ ad Hebræos. Adduntur & Gregorij & Basilij de gratiarum actione testimonia, item ex epistola ad Sosopolitas & ad Apolinariũ. Quin & Athanasij athletę magni è diuersis sermonibus, Seuerianis hæreticis delirantibus, intelligẽdo alteram speciem ac diuersam naturã in vnionem inexplicabilem cõuenisse, asserendum non esse: magnum vir pius risũ mouet,

EPHRÆMIUS.

Chalcedonense Concilium.

Seueriani.

EPHRAEMIUS

& ante hunc virum ipsa communis opinio, & Pauli vox est cùm dicit: *Corde quidem creditur ad iustitiam, ore autem confessio fit ad salutem.* (Rom. 10. 10.) Asserit & vnam inquit personam, hoc est Verbi incarnati hypostasin pronuntiamus. Quandoquidem simplicem ponit IESVM D. Dionysius Areopagita, & de hypostatica quidem vnione, iustè contra pietatem compositum dicitur: compositum verò dicere nemo audeat præter Apolinarium. Manifestè & Christus, hypostasin compositam esse, naturam non item: Intrans autem ad discipulos obturatis ostiis: *Palpate*, inquit, *& videte, quia spiritus carnem & ossa non habet, sicut me videtis habere.* (Luc. 24. 39.) & alibi: *Spiritus est Deus, & eos qui adorant eum, in Spiritu & veritate oportet adorare.* (Ioan. 4. 24.) Quomodo hæc ergo non pugnant? vel quia secundùm essentiam diuinitatis carnem non habet, quando essentia composita esse nequit, sed secundùm personam & hypostasin carnem habet, vt habere cernitur, & quod non habet secundum substantiam (non enim compositus erat) hoc hypostaticè possidet, hypostasis enim composita est, & secundùm vnam quidem substantiam non habet alteram, sed quod ad personam, vtramque habet, quemadmodum & carnem habet ac spiritum hypostaticè: substantialiter verò neque spiritus est caro, neque caro spiritus induit naturam. Hoc explanans beatus Cyrillus: *Si enim*, inquit, *caro caro est & non deitas, etsi Dei caro facta est, secundùm substantiam differentiam inuenio, etsi Filium vnum esse confitear.* Adhæc in Euangeliis Christus cùm dicit: *Vt sint vnum sicut & nos vnum sumus, Ego in eis, & tu in me.* (Ioan. 17. 21.) Vtriusque consubstantialem naturæ fuisse ostendit. Vnum enim est diuina natura cum Patre Dei Verbum, & vnum rursum in ipsis, id est secundùm nostram essentiam. Dictis assentiens Cyrillus sic dictum explanat: *Quemadmodum*, inquit, *ego in eis, quia carnem illorum gestat, & vt Pater, tu in me, quia tua sum essentiæ. sic volo vt hi quoque in vnionem adducti coniungantur inuicem. & vt vnum corpus in me omnes sint, sicut vno comprehendente templo.* Idem etiam Isaias his verbis asserit: *Puer natus est nobis & filius datus est nobis*: & Deus est potens ac fortis. (Esa. 9. 6.) Quà puer, est nobis consubstantialis: quà verò Deus, Patri & S. Spiritui consubstantialis. Gregorius quoque Nyssenus contra Apolinarium scribens: *Si enim in contrariis*, inquit, *proprietatibus vtriusque cernitur natura, carnis, inquam, & diuinitatis, quomodo vna duo?* Hæc sacer Ephræmius congerens, impiè interpretantibus Domni sociis illud: *Et habitauit in nobis.* Illos enim reprehendit: Nam pro illo, *In terra visus est, & cum hominibus conuersatus est*: (Ioan 1. Bar. 3. 38.) vocem peruersè intellexit, hanc illi æquando: *Loth habitauit in oppidis circa Iordanem, & habitauit in Sodomis*, (Gen. 13. 12.) taxans ineptam consecutionem, verbum illud *Habitauit*, explanat, interpretamentum esse eius: *Verbum caro factum est*, & reprehensionem mutationem, atque alterationem Verbi accusaturis.

καὶ πρό γε τοῦ ἀνδρὸς, αὕτη γε ἡ κοινὴ ἔννοια, καὶ ἡ Παύλου φωνὴ λέγουσα. *καρδίᾳ μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. (* καρδίᾳ & στόματι.) ὅτι (φησὶν) ἓν πρόσωπον, τουτέστι μίαν ὑπόστασιν τοῦ λόγου σεσαρκωμένην κηρύττομεν. ἐπειδὴ καὶ ἁπλῶς Ἰησοῦς συνετέθη κατὰ τὸν ἐν ἁγίοις Ἀρεοπαγίτην Διονύσιον. καὶ ἐπὶ μὲν τῆς καθ᾽ ὑπόστασιν ἑνώσεως, δικαίως παρὰ τῆς εὐσεβείας τὸ σύνθετον λέγεται σύνθετον δὲ οὐσίαν οὐδεὶς εἰπεῖν ἐτόλμησε, πλὴν Ἀπολιναρίου. δηλῶν δὲ καὶ ὁ Κύριος, ὅτι σύνθετος μὲν αὐτοῦ ἡ ὑπόστασις, οὐκ ἔτι δὲ καὶ ἡ φύσις: τῶν μὲν θυρῶν κεκλεισμένων πρὸς τοὺς μαθητὰς εἰσελθὼν, ψηλαφήσατέ με, λέγει, καὶ ἴδετε: ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. ἀλλαχοῦ δὲ, πνεῦμα ὁ θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. πῶς οὖν οὐκ ἐναντία ταῦτα; ἢ ὅτι κατὰ μὲν τὴν οὐσίαν τῆς θεότητος οὐκ ἔχει σάρκα· ἐπειδὴ μὴ δύναται ἡ οὐσία σύνθετος εἶναι: τῷ δὲ προσώπῳ καὶ τῇ ὑποστάσει ἔχει, καθὼς αὐτὸς ἔχων ἐθεωρεῖτο· καὶ ὅπερ οὐκ εἶχε κατὰ τὴν οὐσίαν· οὐ γὰρ ἦν σύνθετος: τοῦτο κατὰ τὴν ὑπόστασιν ἔχει, σύνθετος γάρ ἐστιν αὕτη· καὶ καθ᾽ ἑτέραν μὲν οὐσίαν, οὐκ ἔχει τὴν ἑτέραν: κατὰ δὲ τὴν ὑπόστασιν, ἑκατέραν ἔχει. ὥστε καὶ σάρκα ἔχει καὶ πνεῦμα, κατὰ τὴν ὑπόστασιν: κατὰ δὲ τὴν οὐσίαν, οὔτε τὸ πνεῦμά ἐστι σὰρξ, οὔτε ἡ σὰρξ τὴν τοῦ πνεύματος φύσιν ὑπῆλθε. τοῦτο δὲ ἑρμηνεύων καὶ ὁ ἱερὸς Κύριλλος· ἡ γὰρ σὰρξ, φησὶ, σάρξ ἐστι, καὶ οὐ θεότης: εἰ καὶ θεοῦ γέγονε σάρξ· τὴν κατ᾽ οὐσίαν γάρ φησιν εὑρίσκω διαφορὰν, *κἂν τὸ τῆς υἱότητος μοναδικὸν ὁμολογῶ. (* al. καὶ) καὶ ἐν εὐαγγελίοις δὲ λέγων ὁ Κύριος· ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς ἕν ἐσμεν, κἀγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοί: τὸ ὁμοούσιον ἑκατέρας ἐδήλωσε φύσεως. ἓν γάρ ἐστι τῇ θείᾳ οὐσίᾳ ἐν τῷ πατρὶ ὁ εἷς θεὸς λόγος: καὶ ἓν πάλιν ἐν αὐτοῖς, τουτέστι τῇ καθ᾽ ἡμᾶς οὐσίᾳ. ὁμονοῶν δὲ τοῖς εἰρημένοις ὁ Κύριλλος, οὕτω καὶ αὐτὸς ἑρμηνεύει τὸ ῥητόν· ὥσπερ, φησὶν, ἐγώ εἰμι ἐν αὐτοῖς, διὰ τὸ τὴν αὐτῶν αὐτοῖς φορέσαι σάρκα. καὶ σὺ *ὥσπερ ἐν ἐμοὶ, διὰ τὸ εἶναί με τῆς [σῆς] οὐσίας: (* ὥσπερ.) οὕτω βούλομαι, ἵνα καὶ *αὐτοὶ εἰς ἑνότητά τινα συναχθέντες, ἀλλήλοις ἀνακραθῶσι· (* al. αὐτοὶ.) καὶ ὥσπερ ἓν σῶμα γινόμενοι ἐν ἐμοὶ πάντες ὦσιν, ὡς πάντας φοροῦντι διὰ τοῦ ἑνὸς ἀναληφθέντος ναοῦ. *τοῦτο δὲ ὁ προφήτης Ἡσαΐας φησὶν ἐν τῷ λέγειν· παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν. (* al. ταῦτα δή) καὶ θεός ἐστιν ἐξουσιαστὴς ἰσχυρός. διὰ μὲν γὰρ τοῦ παιδίον, τὸ ἡμῖν ὁμοούσιον: διὰ δὲ τοῦ θεὸς, τὸ πρὸς τὸν πατέρα καὶ τὸ πνεῦμα ἐκήρυξεν ὁμοούσιον. καὶ ὁ νύσσης δὲ Γρηγόριος ἐν τῷ κατὰ Ἀπολιναρίου γράφων· εἰ ἐν τοῖς ἐναντίοις (φησὶν) ἰδιώμασιν ἡ ἑκατέρου τούτων θεωρεῖται φύσις, τῆς σαρκὸς λέγω καὶ τῆς θεότητος: πῶς μία αἱ δύο; ταῦτα εἰπὼν ὁ ἱερὸς Ἐφραίμιος, δυσσεβῶς ἑρμηνευόντων τῶν περὶ Δόμνον τὸ ἐσκήνωσεν ἐν ἡμῖν: ἐπιρραπίζει μὲν τούτους. καὶ γὰρ ἀντὶ τοῦ, ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συναναστράφη, παρενόησαν τὴν φωνὴν, ἐν ἴσῳ ταύτην νομίσαντες τῆς λεγούσης· Λὼτ ἐσκήνωσεν ἐν πόλει τῶν περιχώρων καὶ πάλιν, ἐσκήνωσεν ἐν Σοδόμοις. ἐπιρραπίζων δὲ [καὶ] τὸ ἀνόητον τῆς ἐκδοχῆς, αὐτὸς τὸ ἐσκήνωσεν ἀναπτύσσει, σαφήνειαν εἶναι τοῦ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἔλεγχον τῶν τροπήν τινα καὶ ἀλλοίωσιν τοῦ λόγου μελλόντων κατηγορεῖν.

καὶ γὰρ

EPHRAEMIVS. Ioan. 1.

καὶ γὰρ εἰπὼν ὁ εὐαγγελιστὴς, ὁ λόγος σὰρξ ἐγένετο, εὐθὺς συνῆψε, καὶ ἐσκήνωσεν ἐν ἡμῖν: τήν τε εἰς μίαν ὑπόστασιν σύνοδον, καὶ τὸ ἀμετάβλητον τῆς ἑκατέρας φύσεως δι' ἑκατέρας * ἐκδιδάσκων φωνῆς. οὕτω τὸ λόγιον θεωρήσας, τόν τε Χρυσόστομον μάρτυρα καλεῖ, καὶ σὺν αὐτῷ Κύριλλον, καὶ Ἀθανάσιον, καὶ τὸν θεολόγον Γρηγόριον, παραπλησίως τὸ ῥητὸν ἐννοήσαντας. κἀκεῖθεν πάλιν παράγει ῥητὰ, ὧν Δόμνος καὶ Ἰωάννης γενήτορες, καὶ δείκνυσιν αὐτοὺς δι' ἑαυτῶν καὶ ἄκοντας ὁμολογεῖν ἐν τοῖς πλείστοις, ἃ καὶ ἡ ἐν * Καλχηδόνι ἐδόξασε σύνοδος, καὶ μάτην αὐτοὺς ταύτην ἐκτρέπεσθαι. τὸ μέν τοι λέγειν, ἐκ δύο φύσεων [εἶναι] τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πρὸ τῆς ἑνώσεως παντελῶς [ἐλέγχει] μετὰ τῆς ἀσεβείας καὶ ἄλογον. ἡ μὲν γὰρ τοῦ λόγου φύσις ἀεὶ, καθὰ καὶ μετὰ τὴν ἐνανθρώπησιν, συναΐδιος καὶ ὁμοούσιος ὑπῆρχε τῷ πατρί: ἡ δὲ σὰρξ οὔπω τῷ λόγῳ συναφθεῖσα, οὐδὲ τῶν ὑπαρχόντων ὅλως ἦν. πῶς οὖν, εἰ μή τις ἕλοιτο Νεστορίῳ συνασεβεῖν, ἐκ δύο φύσεων τὸν κύριον πρὸ τῆς ἐνανθρωπήσεως ἢ νοεῖν ἢ λέγειν δυνατόν; τὸ μέν τοιγε μετὰ τὴν ἕνωσιν λέγειν ἐκ δύο φύσεων, ὥσπερ καὶ ἐν δυσὶ τὸν Χριστὸν θεωρεῖν, εὐσεβές τε καὶ τῶν ὀρθοδόξων φρόνημα· ὃ καὶ ἡ ἐν * Χαλκηδόνι ἐπρέσβευσε σύνοδος· ἐν θεότητι γὰρ τέλειον τὸν Χριστὸν καὶ θεὸν ἡμῶν, καὶ ἐν ἀνθρωπότητι, τρανῶς ἀνεκήρυξεν. εἰ δέ τις μέρους τῶν ἀπὸ Σευήρου φαίη, * ὡς αἱ δύο φύσεις ἐν τῷ Χριστῷ καὶ πρόσωπα δύο ἱστᾶσι, καὶ ὑποστάσεις· φύσις γὰρ οὐκ ἀπρόσωπος, οὐδὲ ἀνυπόστατος: ἴστωσαν ὅτι τοῦ πατρὸς αὐτῶν τὴν ἀσχημοσύνην ἀνακαλύπτοντες οὐκ αἰσθάνονται· καὶ γὰρ καὶ Σευῆρος τὸ ἐκ δύο φύσεων λέγων, ἐκ δύο προσώπων καὶ δύο ὑποστάσεων τὸν Χριστὸν οὐκ ἠρυθρία συντιθέναι καὶ ἀποφαίνεσθαι. πλὴν εἰδέναι γε χρὴ, ὡς πολλὰ τῶν ἐν τοῖς οὖσι φύσις μὲν λέγεται, οὐκ ἐξ ἀνάγκης δὲ συνεισάγει καὶ πρόσωπον: ὥσπερ φύσις ὕδατος, καὶ φύσις ὀργῆς, καὶ φύσις πολέμου καὶ μάχης. ποῦ γάρ τις τῶν εἰρημένων ποτὲ, ὥσπερ εἶπε φύσιν, οὕτω καὶ πρόσωπον ἀπελήρησε· καὶ πάλιν, φύσιν μὲν ψυχῆς, καὶ φύσιν σώματος, ἕκαστον τῶν ἀνθρώπων ἔχειν λέγομεν: πρόσωπον δὲ ψυχῆς, ἢ πρόσωπον σώματος· ἢ ψυχῆς ὑπόστασιν, ἢ σώματος, οὐδ' οἱ μῦθοι ἀνεπλάσαντο. ὅτι δὲ δύο φύσεων ἕνωσιν, καὶ μίαν ὑπόστασιν, καὶ πρόσωπον ἓν ὁμολογεῖν, τοῦ ὀρθοῦ φρονήματός ἐστι, καὶ τῶν πατέρων κήρυγμα: Ἰωάννης μὲν ὁ Χρυσόστομος, τὸ κατὰ Ἰωάννην ἀναπτύσσων εὐαγγέλιον, ἐν ἑνδεκάτῃ ὁμιλίᾳ μαρτυρεῖ, λέγων· ἑνώσει καὶ τῇ συναφείᾳ ἕν ἐστιν ὁ θεὸς λόγος καὶ ἡ σὰρξ, οὐ συγχύσεως γενομένης, οὐδὲ ἀφανισμοῦ τῶν οὐσιῶν. καὶ Κύριλλος δὲ ἐν τῇ πρὸς ἀνατολικοὺς ἐπιστολῇ· εἷς γὰρ Κύριος Ἰησοῦς Χριστὸς, κἂν ἡ τῶν φύσεων μὴ ἀγνοῆται διαφορά. καὶ Ἀμβρόσιος ὁ Μεδιολάνων, ἐν τῷ περὶ ἐνανθρωπήσεως λόγῳ· τοὺς δὲ μὴ ὁμολογοῦντας τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, δύο [εἶναι] οὐσίας ἀσυγχύτους, ἓν δὲ πρόσωπον, καθὸ εἷς Χριστὸς, εἷς υἱός: τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία. ἐπὶ τούτοις καὶ ὁ τῶν Ἱεροσολύμων Κύριλλος, καὶ Ἀμφιλόχιος ὁ τοῦ Ἰκονίου, καὶ Πρόκλος ὁ Κωνσταντινουπόλεως· ὃς καί φησιν ἐν τῇ τεσσαρακοστῇ· ἡ θεία φύσις ἄκτιστος, ἡ ἐξ ἡμῶν πρόσληψις ἀνόθευτος· καὶ ἔστιν εἷς υἱὸς, οὐ τῶν φύσεων εἰς δύο ὑποστάσεις διαιρουμένων, ἀλλὰ τῆς φρικτῆς οἰκονομίας τὰς δύο φύσεις εἰς μίαν ὑπόστασιν ἑνωσάσης.

* διδάσκων. * Χαλκηδόνι. * Καλχηδόνι. * ἀνὰ δύο.

Dicit enim Euangelista, *Verbum caro factum est*, statim subdit, *& habitauit in nobis*: in vnam personam conuentum, & indemutabilem vtramque naturam, vtraque explicans voce. Sic scripturam contemplatus, Chrysostomum testem adhibet, & praeterea Cyrillum, Athanasium, Gregorium Theologum. Hinc rursum dicta affert, quorum auctores Domnus & Ioannes; & ostendit ipsos per se, etiam inuitos, fateri inter multos, quae in sacra Chalcedonesi Synodo decreta sunt, & temerè haec ipsos inuertere. Illud quidem asserere, Iesum Christum è duabus naturis constare etiam ante vnionem, impium penitus & absurdú esse declarat. Semper enim Verbi natura & veluti post incarnationé coaeterna Patri & consubstantialis fuit. Sed nunquam caro Verbo vnita, neq; subsistentium integrè erat. Quomodo igitur, nisi quis cum Nestorio sentiat, fieri potest è duabus naturis, antequam incarnaretur, dominum cogitare vel dicere: pium quidem est & orthodoxum post vnionem iam è duabus naturis factú dicere, quemadmodum eum vidimus. Hoc & sacrosanctum concilium Chalcedonense confirmat, clarè & euidenter ostendens, in diuinitate perfectum Christum & in humanitate. Si quis porrò Seuerianus dixerit, duas naturas in Christo duas personas constituere, & hypostases, natura enim sine persona non est, neque non subsistens: Sciant patris sui impudentiam abscondentes, non tamen sapere. Etenim Seuerus non erubuit exponere & demonstrare, è duabus naturis, duabus personis, hypostasibúsque duabus Christum componi. Nisi quod sciendum sit, saepius in entibus naturam dici, non necessario tamen adduci & personam, veluti aquae natura, irae, belli, pugnaeq; Vbi quaeso, aliquis è praedictis vt naturam ita personam temerè appellauit? & rursum: Dicimus singulos homines animae naturam, & naturam corporis habere: animae autem personam & corporis, vel animae subsistentiam, vel corporis habere, ne fabulae quidem finxerunt. Sed duarum naturarum vnionem, vnam hypostasin, vnamque personam confiteri, idque pium esse, éque sanctorum Patrum sententia. Ioannes Chrysostomus quidem Ioannis Euangelium exponens, vndecima homilia sic habet. Vnione & coniunctione Deus Verbum & caro vnum sunt, nulla facta confusione, nullaque substantiarum corruptione. Idque testatur in epistola ad Orientales Cyrillus: etsi inquit diuersitas sit naturarum ignota, vnus tamen est CHRISTVS. Et Mediolani praesul Ambrosius oratione de incarnatione: Eos autem excommunicationis vinculo stringit Ecclesia Apostolica, qui duas naturas habere inconfusè, vnamque personam secundùm quam vnus CHRISTVS & vnus est Filius ausi sunt inficiari. Adhaec & Hierosolymitanus Cyrillus, Iconij Amphilochius, Proclus Cóstantinopoleos Episcopi, Qui in Quadragesimam sic loquitur: Diuina natura increata, & nostrae carnis legitima assumptio, & vnus est filius, personis non separatis, sed mirabili quadam dispensatione duas naturas in vnam hypostasin coniungente.

Ex Ambrosio.

EPHRAEMIUS.

Sed & Paulus Emissenus Episcopus, præsentiam Domini declarans, vehementerque illustrans, sic ait: Statim princeps & lingua Apostolorum dixit: *Tu es* CHRISTUS *Filius* DEI *viui*. *Tu es* CHRISTUS, duplex natura scilicet. *Tu es* CHRISTUS, & non dixit Filius, sed Filius DEI viui, quo vnam personam commonstrauit. Quin & Hilarius Gabalitarum confessor & Episcopus libro IV. de fide & vnitate, hæc denuntiat, Cyriacus quoque Paphi, vnus de trecentis illis & octo Patribus. Id & in libro quem Gratiano Cæsari inscripsit Ambrosius Episcopus Mediolanensis, & in libro de Apollinario, & de incarnatione. Sed & Petrus Martyr Alexandriæ præsul, Basilius Cæsareæ Cappadociæ, Gregorius Theologus in natali Domini, & libro secundo de Filio, & epistola secunda ad Cledonium, locupletissimè hæc ipsa testantur, & Amphilochius epistola ad Seleucum, & Chrysostomus in primam Pauli ad Timotheum, Proclus quoque Bysantinus in sermone de natiuitate Domini. Athanasius etiam Alexandriæ Episcopus in epistola ad virgines, & Cyrillus epistola prima & secunda ad Succensum, & ad Orientales, ad Acacium Episcopum Melitenes, libro de incarnatione, & epistola ad Eulogium sacerdotem, & in thesauris, aliisque variis libris. Has sanctorum Patrum sententias sacra Chalcedonensis Synodus coacervans, religionem orthodoxam confirmauit. Quare contra hanc disputare est sanctos Patres tanquam inuidiosè oppugnare. Siquidem CHRISTUS verus DEUS noster, neque proprietatem diuinitatis, neque humanitatem diuisit, sed omnia vnione personarum ipse vnus & idem, tam humana quàm diuina perfecit: iterumque eosdem sanctos Patres in testes citat: Iulium Romanum Antistitem, è libro de vnione diuinitatis & carnis in CHRISTO IESU: Et Athanasium præsulem Alexandrinum, ex epistola ad Maximum philosophum, aliisque opusculis. Tertium etiam librum contra Eunomium, & de doctrina Christiana Gregorij Nysseni, & epistolam Basilij Cæsareæ ad Sosopolitas, Cyrillum quoque doctum in libro de incarnatione, è thesauris, epistolaque secunda ad Succensum, de interpretatione ad Hebræos, & ex scholiis. His allatis, Leonem quoque Papam producit, contra impios illos hæreticos, Valentinum, Marcionem, Manem, Apolinarium, Eutychem aliosque similes digladiantem, & ideò ab coniuratis illis reprehensum & oppugnatum. Hoc quidem primum. Quemadmodum enim eum miseretur * DEUS mutationem non subit: sic homo magnitudine diuinæ gloriæ non consumitur. Secundò: Vtraque forma cum vtraque communione cooperatur. Asserit enim hæresis, duos hos articulos præfixos, *Deus & homo*, duas personas esse, & hypostases binas repræsentare, & sola conexione vnionem denotare.

Matth. 16. 16.

* *Vt in incarnatione, quod summum est misericordia opus.*

καὶ Παῦλος δὲ ὁ ἐμέσης ἐπίσκοπος, κατενώπιον ὁμολογήσας κυρίου, καὶ λίαν * ἀποδειχθεὶς, οὕτω φησίν· εὐθέως ὁ κορυφαῖος, τὸ στόμα τῶν ἀποστόλων, ἔφη· Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. σὺ εἶ ὁ Χριστὸς, ἡ διττὴ φύσις· σὺ εἶ ὁ Χριστὸς, καὶ οὐκ εἶπεν υἱὸς, ἀλλ' ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. ἐπέγνω καὶ τὸ μοναδικὸν πρόσωπον. ἐφ' οἷς καὶ Ἰλάριος ὁ ὁμολογητὴς καὶ ἐπίσκοπος Γαβάλων, ἐν τῷ δ΄ περὶ πίστεως λόγῳ, καὶ ἐν τῷ περὶ ἑνώσεως, ταῦτα κηρύσσει. καὶ Κυριακὸς ἐπίσκοπος πάφου, εἷς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ * ἁγίων πατέρων. καὶ Ἀμβρόσιος ἐπίσκοπος μεδιολάνων ἐν τῷ λόγῳ, ὃν ἐπέγραψε Γρατιανῷ τῷ βασιλεῖ. καὶ ἐν τῷ περὶ Ἀπολιναρίου καὶ ἐν τῷ περὶ [τῆς] ἐνανθρωπήσεως * λόγῳ. ἀλλὰ καὶ Πέτρος ὁ Ἀλεξανδρείας καὶ μάρτυς· καὶ Βασίλειος ὁ καισαρείας τῆς ἐν καππαδοκίᾳ· καὶ Γρηγόριος ὁ θεολόγος ἐν τοῖς γενεθλίοις, καὶ ἐν τῷ περὶ υἱοῦ δευτέρῳ λόγῳ· καὶ ἐν τῇ πρὸς Κληδόνιον δευτέρᾳ ἐπιστολῇ, τὰ ὅμοια μαρτυρεῖ· καὶ Ἀμφιλόχιος δὲ ἐν τῇ πρὸς Σέλευκον ἐπιστολῇ· καὶ ὁ Χρυσόστομος τῇ πρὸς Τιμόθεον πρώτην ἑρμηνεύων ἐπιστολήν· καὶ Πρόκλος ὁ κωνσταντινουπόλεως, ἔν τε τῷ εἰς τὸ γενέθλιον λόγῳ, καὶ ἐν ἄλλοις διαφόροις· Ἀθανάσιος ὁ Ἀλεξανδρείας ἐν τῇ πρὸς τὰς παρθένους ἐπιστολῇ· καὶ Κύριλλος ἐν τῇ πρὸς Σούκενσον πρώτῃ, καὶ μὴν καὶ ἐν τῇ δευτέρᾳ, καὶ ἐν τῇ πρὸς ἀνατολικοὺς, καὶ ἐν τῇ πρὸς Ἀκάκιον τὸν ἐπίσκοπον μελιτηνῆς, καὶ ἐν τῷ περὶ ἐνανθρωπήσεως λόγῳ, καὶ ἐν τῇ πρὸς Εὐλόγιον τὸν πρεσβύτερον ἐπιστολῇ, καὶ * ἐκ τῶν θησαυρῶν, καὶ ἐν ἄλλοις αὐτοῦ διαφόροις λόγοις. τούτων τῶν θεοφόρων ἡμῶν πατέρων ἡ ἐν Καλχηδόνι ἁγία σύνοδος τὰς γνώμας ἐκμελετήσασα, τὴν εὐσέβειαν ἐπεκύρωσεν. ὥστε τὸ κατ' ἐκείνης σπουδάζειν, κατὰ τούτων ἐστὶν εἰς ὕβριν ὁπλίζεσθαι. ὅτι γάρ μὲν Χριστὸς, ὁ ἀληθινὸς θεὸς ἡμῶν, οὔτε τὰ τῆς θεότητος ἴδια, οὔτε τὰ ἴδια τῆς ἀνθρωπότητος * διῃρημένας προήγαγεν· ἑνώσει δὲ τῇ καθ' ὑπόστασιν ἅπαντα, ὁ εἷς καὶ ὁ αὐτὸς τά τε θεῖα, καὶ τὰ ἀνθρώπινα ἐπετέλει: τοὺς θεοφόρους ἡμῶν πατέρας πάλιν παράγει μάρτυρας, Ἰούλιον τὸν ἐπίσκοπον ῥώμης, ἐκ τοῦ περὶ τῆς ἐν Χριστῷ ἑνώσεως τοῦ σώματος πρὸς τὴν θεότητα· καὶ Ἀθανάσιον τὸν Ἀλεξανδρείας, ἐκ τῆς πρὸς Μάξιμον τὸν φιλόσοφον ἐπιστολῆς, καὶ ἐξ ἑτέρων διαφόρων λόγων· Γρηγόριόν τε τὸν νύσσης, ἐκ τοῦ τρίτου λόγου κατ' Εὐνομίου, καὶ ἐκ τοῦ κατηχητικοῦ· καὶ Βασίλειον τὸν Καισαρείας ἐκ τῆς πρὸς σωζοπολίτας ἐπιστολῆς· Κύριλλόν τε τὸν σοφὸν, ἐκ τοῦ περὶ ἐνανθρωπήσεως λόγου, καὶ ἐκ τῶν θησαυρῶν, καὶ ἐκ τῆς πρὸς Σούκενσον δευτέρας ἐπιστολῆς, καὶ ἐκ τῆς πρὸς ἑβραίους ἑρμηνείας, καὶ ἐκ τῶν σχολίων. ταῦτα δὲ διελθὼν ὁ συγγραφεὺς, ῥητὰ τοῦ ἐν ἁγίοις Πάπα Λέοντος προκομίζει. ἃ καί φησι κατὰ τῶν δυσσεβῶν Οὐαλεντίνου καὶ Μαρκίωνος καὶ Μάνη, καὶ Ἀπολιναρίου, καὶ Εὐτυχοῦς καὶ τῶν ὁμοίων αἱρετικῶν παρατάττεσθαι, καὶ διὰ τοῦτο παρὰ τῶν ὁμοφρόνων ἐπιχειρεῖσθαι. καὶ πρῶτον μὲν τοῦτο. ὥσπερ γὰρ ἐν τῷ * ἐλεεῖν ὁ θεὸς τροπὴν οὐχ ὑφίσταται, οὕτως ὁ ἄνθρωπος τῷ μεγέθει τῆς θείας * δόξης οὐκ ἀναλίσκεται. δεύτερον, τὸ ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας. λέγει γὰρ ἡ αἵρεσις, ὡς τὰ δύο τῶν ἄρθρων προτακτικὰ, ὁ θεὸς καὶ ὁ ἄνθρωπος, δύο προσωπικά εἰσι καὶ ὑποστάσεων παραστατικὰ, καὶ σχέσει μόνῃ τὴν ἕνωσιν χρηματίζουσιν. ἀλλὰ

* ἀποδειχθεὶς. M. M.

* ἱεροφάντου. M. M.

* τῷ λόγου.

* ἐκ. ἐν τοῖς θησαυροῖς.

* ἰ. διῃρημένως.

* al. λέγων.

* ἀξίας.

ἀλλὰ τὸ ἀναιδὲς τούτων Ἀθανάσιός τε καὶ οἱ Γρηγόριοι, καὶ Ἐπιφάνιος, καὶ ὁ Χρυσόστομος, καὶ αὐτὸς ὁ κύριος, καταισχύνουσι, ἴσαις φωναῖς καὶ ὁμοίαις καὶ αὐτοὶ πολλαχοῦ χρησάμενοι· καὶ δηλοῦντες διὰ τῆς τοιαύτης προσθήκης τῶν ἄρθρων, οὐ τόν τινα ἄνθρωπον, ἀλλὰ τὸν ὁλικόν· οὐδὲ τὴν τοῦ πατρὸς ἢ τὴν τοῦ υἱοῦ ὑπόστασιν, ἀλλὰ τὴν κοινὴν φύσιν· καὶ οὐ κατ' εὐθεῖαν μόνον τὰ ἄρθρα, ἀλλὰ καὶ κατὰ τὰς πλαγίους τοῖς ὀνόμασι συνδιαπλέκοντες. αὐτίκα Ματθαῖος, ὃς ἐὰν εἴπῃ λόγον, φησί, κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· καὶ πάλιν· μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ. καὶ πάλιν, μηδενὶ εἴπητε τὸ ὅραμα, ἕως ἂν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ. καὶ ὁ θεσπέσιος Παῦλος· εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον· πολλῷ μᾶλλον ἡ χάρις τοῦ θεοῦ, καὶ ἡ δωρεὰ ἐν χάριτι τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ, εἰς τοὺς πολλοὺς * ἐπερίσσευσεν. ἐν γὰρ τούτοις ἅπασιν ἡ τοῦ ἀνθρώπου μνήμη μετὰ τοῦ γενικοῦ προσταττομένη ἄρθρου, οὐδαμῶς διεῖλε τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς διαφορὰν ὑποστάσεων. καὶ ὁ θεοφόρος δὲ Ἰγνάτιος καὶ μάρτυς, Σμυρναίοις ἐπιστέλλων, ὁμοίως κέχρηται τῷ ἄρθρῳ. καὶ ὁ Ῥώμης Ἰούλιος ἐν τῇ πρὸς Δόκιον ἐπιστολῇ φησιν· ὥστε καὶ ἀνάθεμα ἔστω πᾶς ὁ τὸν [ἐκ] Μαρίας ἄνθρωπον οὐχ ὁμολογῶν εἶναι ἔνσαρκον θεόν. τὰ αὐτὰ δὲ καὶ ὁ πολύαθλος Ἀθανάσιος ἐν τῷ περὶ πίστεως λόγῳ· καὶ ὁ θεολόγος Γρηγόριος ἐν τῇ πρὸς Κληδόνιον δευτέρᾳ ἐπιστολῇ· ναὶ μὴν καὶ ὁ Νύσσης Γρηγόριος ἐν διαφόροις λόγοις, καὶ Βασίλειος ὁ θεσπέσιος ἐν τῷ περὶ πίστεως λόγῳ· καὶ ὁ θαυμάσιος Ἐπιφάνιος ἐν τῷ περὶ αἱρέσεως πρώτῳ βιβλίῳ. ἀλλὰ καὶ ὁ Κωνσταντινουπόλεως Ἀττικός, ἐν τῇ πρὸς Εὐψύχιον ἐπιστολῇ· καὶ ὁ Χρυσόστομος ἐν τῇ ἑρμηνείᾳ τῆς πρὸς Ἐφεσίους ἐπιστολῆς, τρίτης ὁμιλίας. καὶ Κύριλλος δὲ ἐν τοῖς θησαυροῖς, καὶ ἐν τῇ ἑρμηνείᾳ τοῦ προφήτου Μαλαχίου, καὶ ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου, καὶ ἐν τῷ περὶ τῆς ἐν πνεύματι λατρείας ἐνάτῳ βιβλίῳ. λέγει γὰρ οὕτως· φύσεως γὰρ τῆς ἀνωτάτω καταπλουτεῖ τὸν ἐναυλισμὸν ὁ ἐκ παρθένου ναός. τούτων ἁπάντων μετὰ τῶν ἄρθρων τήν τε θείαν φύσιν, καὶ τὴν ἀνθρωπίνην, προαγόντων· πῶς ὁ τὸν ἐν ἁγίοις Λέοντα αἰτιώμενος διὰ τὴν τῶν ἄρθρων προσκομιδὴν, οὐχὶ κατὰ πάντων ἡμῶν τῶν θεοφόρων πατέρων ὑλακτεῖ; ἀλλ' ἴδωμεν καὶ τό· * ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας, ὅπερ ἴδιον ἔσχηκε· τοῦ μὲν λόγου κατεργαζομένου τοῦτο, ὅπερ ἐστὶ τοῦ λόγου· τοῦ δὲ σώματος ἐκτελοῦντος ἅπερ ἐστὶ τοῦ σώματος. καὶ γὰρ κἀνταῦθα ὁμόδοξός τε καὶ ὁμόφρων τοῖς ἱεροῖς ἡμῶν ἀναδείκνυται πατράσι. πάντες γὰρ τὰ μὲν ἀνθρώπινα τῷ ἀνθρώπῳ ἀνατιθέασι, τῷ θεῷ δὲ τὰ θεῖα. ὥσπερ καὶ ὁ σοφὸς Κύριλλος ἐν τῇ ἑρμηνείᾳ τοῦ κατὰ Ἰωάννην εὐαγγελίου. εἰ δὲ δή (φησι) λέγοιτο προκόπτειν ὁ Ἰησοῦς ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι· τῆς οἰκονομίας ἔσται τὸ χρῆμα. συνεχώρει γὰρ ὁ τοῦ θεοῦ λόγος διὰ τῶν τῆς ἰδίας φύσεως ἐθῶν ἰέναι τὸ ἀνθρώπινον. καὶ ἐν τῷ κατὰ Νεστορίου λόγῳ· ἄθρει δή (φησιν) ὅπως οὐδὲν καθυφεὶς αὐτὸς, οὔτε μὴν εἰς ἰδίαν φύσιν τὸ ἀσθενῆσαι παθεῖν συγκεχώρηκε τῇ σαρκί, καὶ διὰ τῶν ἰδίων ἰέναι νόμων· καὶ αὐτοῦ τὸ χρῆμα λέγεται διὰ τὸ ἴδιον εἶναι τὸ σῶμα αὐτοῦ. καὶ ἐν τοῖς Θησαυροῖς· τὸ μὲν ταράττεσθαι, τῆς σαρκὸς ἴδιον πάθος· τὸ δὲ ἐξουσίαν ἔχειν θεῖναί τε καὶ πάλιν λαβεῖν τὴν ψυχήν, τῆς τοῦ λόγου δυνάμεως ἔργον. καὶ μυρία ἄν τις βουλόμενος συλλέξει, ἔκ τε τοῦ θείου ἀνδρὸς, καὶ ἐκ τῶν λοιπῶν ἡμῶν πατέρων, οὐκ ἂν ἀπορήσει.

* al. [illegible]

* al. [illegible]

Verùm hanc impudentiam Athanasius, Gregorij ambo, Epiphanius, Chrysostomus, & ipsemet Dominus confutant, similibus penè & æqualibus vbique vsi vocibus. Hac præfixione articulorum ostentantes, non aliquem certum hominem, sed vniuersalem, neque Patris aut Filij hypostasin, sed naturam communem designari, & non in recto casu modò articulos, sed & casibus aliis verbo declinato sumi. Statim Matthæus: *Quicumque dixeris verbum contra Filium hominis, remittitur ei.* Et iterum: *Filius hominis venturus est in gloria Patris sui.* & subdit: *Nemini dixeritis visionem hanc, donec Filius hominis à mortuis resurgat.* Et S. Paulus: *Si enim vnius delicto multi mortui sunt, multò magis in gratia Dei, & donum in gratia vnius hominis Iesu Christi in plures abundauit.* In his omnibus mentio fit hominis in gignendi casu, nec vsquam Christi Iesu personam diuisit. Scribens quoque Smyrnæis diuus Ignatius, similiter hoc articulo vtitur. Et Iulius Pontifex Roman. in epist. ad Decium, hunc esse iubet Anathema, qui Deum incarnatum è Maria hominem non fuerit confessus. Eadem & strenuus Athanasius in lib. de fide, & Gregorius Theol. in epist. ad Cledonium 2. etiam variis locis Gregor. Nyssen. & sacer Basilius in orat. de fide, & in lib. 1. de hæresi Epiphanius: sed & Atticus Constantinopoleos in epist. ad Empsychium, & Ioan. Chrysost. hom. 3. in epist. Pauli ad Eph. & in thesauris Cyrillus, & explicatione Malachiæ Prophetæ & Ioannis Euangelistæ, & in * libro nono de adoratione in Spiritu & veritate: Habet enim ita: *Naturæ enim supernæ habitaculum locupletat virginale templum.* Hæc omnia & cum articulis & diuinam & humanam naturam designant. Sed quomodo hic sanctum Leonem in productione articulorum accusat, & cæteros Patres non allatrat. Sed illud etiam videamus. Operatur enim vtraque forma cum vtriusque coniunctione secundùm suam proprietatem. Hoc quidem operante Verbo, quod Verbi est: corpore verò ea efficiente, quæ corporis sunt. & in his cum sanctis Patribus consentire & conuenire videbitur: omnes enim humana homini, diuina Deo tribuunt. Quemadmodum doctus ille Cyrillus in commentario ad Ioannem: *Si*, inquit, *Iesus proficere dicebatur sapientia & ætate, & gratia, incarnationis opus est.* Permittebat enim Dei Verbum humanitatem suis moribus ferri. & in oratione aduersus Nestorium: *Aspice*, inquit, *vt ipse nihil remittens, cum pateretur, permiserit carni in propriam naturam parum posse; etsi propria lege ferretur; & ipsius res dicitur, eo quod proprium sit eius corpus*: & in Thesauris: *Turbari verò proprium carnis est: potestatem verò habere ponendi, & iterum resumendi animam, opus est potentia Verbi.* Et sextenta alia si quis voluerit è sancto colligere reliquisque Patribus inueniet.

EPHRAEMIVS

Matth. 12. 32.
Matt. 16. 27. & 17. 9.

Rom. 5. 15.

* Hodie vndeuiginti extant Cyrilli de adoratione, Romæ & Toleti editi.

Luc. 2. 52.

EPHRAEMIUS.

Gregorius enim, Athanasius, Amphilochius, Chrysostomus, Ambrosius, reliquusque sanctorum cœtus idem promulgarunt. Postquam verò proposuerunt qui repugnant, vt Gregorius Neocæsariensis, Athanasius, Iulius, Cyrillus, Erechthius, vnam Dei naturam incarnatam sentiunt. Clarè enim vocis sensum explicat dicens: vt ipsa differentiam vnitarum naturarum edoceat. Nisi enim humana natura & diuina differant, vel omnino carnis in diuinitatis essentiam inuertatur, vel in carnem diuinitas, & sic vna fiat: quod est Apollinarij & similium hæreticorum impia blasphemia. Et Cyrillus in secunda ad Succensum epistola, naturæ differentiam, & per hanc vocem inficiari manifestum, cùm dicit vnam Dei Verbi naturam incarnatam, attulit. Si verò, vt dixi, incarnatione illum dicere, clara est & non dubia huius confessio, factum esse hominem; nihil vetat sentire, quòd vnus exsistens, & vnicus filius Christus, qui idem Deus & homo est, vt in diuinitate perfectus, sic & in humana conditione. Ecce perspicuè declarat, quomodo ab eo dictum consentiat cum Patribus illud: *Vna Verbi natura incarnata.* Naturarum differentiam hæc vox dilucidè ostendit, & summam & continuam vnionem Dei Verbi & carnis declarat, vtque vnus exsistat Iesus Christus incarnatus & non duo filij, vt Nestorij praua erat opinio, secundùm quod & hæc ab eo vox profecta est. Quid enim aliud hoc significat, *Idem est Deus & homo*, quàm duas naturas vnitas in vna hypostasi, vt & Gregorius Theologus dicens, duas naturas, Deum & hominem, interpretatus seipsum dicit, quòd qui asserit, Christum Deum & hominem, duas naturas vnitas personaliter profiteatur. Et S. Cyrillus addit, quemadmodum in diuinitate profectum, sic & in humanitate, in duabus naturis cognosci Dominum ostenditur. Quare dicere ipsum vnam naturam incarnatam, non in ablatione cognitionis vnitorum secundùm personam dictum est, sed vt appareat indiuisibiliter hominem fieri Dei Verbum, & non in homine, vt in vno Prophetarum habitasse. & similia in hac quis reperiat epistola, quibus duæ naturæ Christi confirmantur. Solùm verò diuisim ponere naturas, hæreticum est. Vnam verò naturam Verbi incarnatam contra Nestorium adducens, non tollit diuisionem naturarum, sed dualitatem hypostaseon. Nestorius enim non quia cognoscat duas in Christo naturas, sed diuidendo indiuisibile in duas personas ab Ecclesia expellitur. Quare vna natura incarnata Nestorium reprehendens, nihil aliud ostendit, quàm vnam personam Dei Verbi oportere incarnatam prædicare. Quæ sententia est fidei nostræ & Synodi Chalcedonensis. Confessor enim Athanasius ait, vnam tantùm naturam Dei Verbi incarnatam, non ad tollendam naturarum differentiam, ait, cognosci naturarum discrimen, quæ hypostaticam implent vnionem, sed & ipse volens ostendere,

οὔτε γὰρ Γρηγόριοι, καὶ Ἀθανάσιος, Ἀμφιλόχιός τε καὶ ὁ Χρυσόστομος, καὶ Ἀμβρόσιος, καὶ ὁ ἄλλος τῶν ἁγίων χορὸς, τὰ αὐτὰ διακεκηρύχασιν. ἐπεὶ δὲ προτείνουσιν οἱ δι' ἐναντίας, ὡς Γρηγόριος ὁ νεοκαισαρείας, καὶ Ἀθανάσιος, καὶ Ἰούλιος, καὶ Κύριλλος, καὶ Ἐρέχθιος, μίαν φύσιν τοῦ θεοῦ λόγου δοξάζουσι σεσαρκωμένην: διασαφεῖ μὲν τῆς φωνῆς τὴν διάνοιαν, λέγων· ὡς καὶ αὕτη τὸ διάφορον τῶν ἑνωθεισῶν ἐκδιδάσκει φύσεων. εἰ γὰρ μὴ ἡ ἀνθρωπίνη φύσις καὶ ἡ θεία διάφορος: * πάντως γε ἢ τὰ σαρκὸς εἰς τὴν τῆς θεότητος οὐσίαν ἔτραπη, ἢ εἰς τὴν τῆς σαρκὸς ἡ θεότης, καὶ οὕτω γέγονε μία· ὅπερ Ἀπολιναρίου, καὶ τῶν ὁμοστοίχων αἱρετικῶν, ἄθεον φρόνημα. ὁ μέντοι γε Κύριλλος ἐν τῇ δευτέρᾳ πρὸς Σούκενσον ἐπιστολῇ τὸ διάφορον τῶν φύσεων, καὶ διὰ ταύτης τῆς φωνῆς ἀνομολογεῖσθαι * δῆλον μὲν τὸ εἰπεῖν αὐτὸν μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην, ἐπήνεγκεν· εἰ δὲ, ὡς ἔφημεν ἐν τῷ σεσαρκῶσθαι λέγειν αὐτὸν, σαφὴς ἐστι καὶ ἀναμφίβολος ὁμολογία τοῦ, ὅτι γέγονεν ἄνθρωπος: οὐδὲν ἔτι κωλύει νοεῖν, ὡς εἷς ὑπάρχων καὶ μόνος υἱὸς Χριστὸς, ὁ αὐτὸς θεός ἐστι καὶ ἄνθρωπος· ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι. ἰδοὺ φανερῶς ἔδειξεν, ὅπως εἴρηται αὐτῷ τε καὶ τοῖς ἄλλοις ἡμῶν πατράσι, τὸ, μία φύσις τοῦ λόγου σεσαρκωμένη. τὴν μὲν τῶν φύσεων διαφορὰν σαφῶς ἡ φωνὴ διδάσκει, παρίστα δὲ καὶ τὴν ἄκραν καὶ ἀδιάσπαστον ἕνωσιν τοῦ θεοῦ λόγου καὶ τῆς σαρκός· καὶ ὡς εἷς ὑπάρχει καὶ μόνος * Ἰησοῦς Χριστὸς ὁ σεσαρκωμένος, καὶ οὐ δύο υἱοὶ, ὡς Νεστόριος ἐδυσφήμει· καθὸ καὶ αὐτῷ προεβέβληται αὕτη ἡ φωνή. τί γὰρ [ἂν] ἄλλο καὶ * σημαίνει τὸ, ὁ αὐτός ἐστι θεὸς, καὶ ἄνθρωπος, ἢ δύο φύσεις ἑνωμένας ἐν ὑποστάσει μιᾷ. ὥσπερ καὶ ὁ θεολόγος Γρηγόριος εἰπὼν δύο φύσεις θεὸς καὶ ἄνθρωπος ἑρμηνεύων ἑαυτὸν εἶπεν· ὥστε ὁ λέγων τὸν Χριστὸν καὶ θεὸν καὶ ἄνθρωπον, δύο φύσεις ἑνωθείσας καθ' ὑπόστασιν ὁμολογεῖ. καὶ ὁ ἱερὸς δὲ Κύριλλος ἐπαγαγὼν, ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τὸ ἐν δύο φύσεσι γνωρίζεσθαι τὸν κύριον ἐκδιδάσκει. ὥστε τὸ λέγειν αὐτὸν, μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, οὐκ ἐπ' ἀναιρέσει τοῦ γνωρίζεσθαι τὰ ἑνωθέντα καθ' ὑπόστασιν εἴρηται, ἀλλ' εἰς παράστασιν τοῦ ἀδιαιρέτως ἄνθρωπον γενέσθαι τὸν θεὸν λόγον· καὶ οὐκ ἐν ἀνθρώπῳ, ὡς ἐν ἑνὶ τῶν προφητῶν κατῳκηκέναι. καὶ πολλὰ ἄλλα ἐν τῇ αὐτῇ εὕροι τις ἐπιστολῇ, δι' ὧν ἡ ὁμολογία μὲν τῶν δύο φύσεων ἐπὶ τοῦ Χριστοῦ βεβαιοῦται: μόνον δὲ τὸ ἀνὰ μέρος τιθέναι τὰς φύσεις, αἱρετικοῦ φρονήματος ἀπελέγχεται. τὸ δὲ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην κατὰ Νεστορίου προάγων, οὐ τὴν φύσεων τὴν διαφορὰν ἀναιρεῖ· ἀλλὰ τὴν δυάδα τῶν ὑποστάσεων [φανερῶν.] Νεστόριος γὰρ οὐ διὰ τὸ γνωρίζειν τὰς δύο ἐπὶ Χριστοῦ φύσεις, ἀλλὰ τὸ διαιρεῖν τὸν ἀδιαίρετον εἰς ὑποστάσεις δύο, τῆς ἐκκλησίας ἐξωστράκισται· ὥστε ἡ μία φύσις τοῦ λόγου σεσαρκωμένη τὸν Νεστόριον διελέγχουσα, οὐδὲν ἕτερον δηλοῖ, ἢ ὅτι μίαν ὑπόστασιν χρὴ τοῦ θεοῦ λόγου κηρύττειν σεσαρκωμένην. * ὅ, τι φρόνημα τῆς εὐσεβείας ἐστί: καὶ ἡ ἐν Καλχηδόνι σύνοδος ἐδογμάτισεν. εἰπὼν μέν τοιγε ὁ πολύαθλος Ἀθανάσιος φύσιν μίαν τοῦ θεοῦ λόγου σεσαρκωμένην· οὐκ εἰς ἀναίρεσιν ἔφη τοῦ γνωρίζεσθαι τὴν διαφορὰν τῶν φύσεων, αἳ τὴν καθ' ὑπόστασιν ἐπλήρωσαν ἕνωσιν: ἀλλὰ καὶ αὐτὸς δεῖξαι βουλόμενος,

* ὁ εἷς

* πάντως δη.
* al. δηλῶν.
* ἰδὼ ὁ χρ. M. M.
* σημαίνει.
* al. ἐστί.

[* al. ἄνθρ.] ὁ εἷς ἐστιν υἱὸς σεσαρκωμένος καὶ ἐνανθρωπήσας· καὶ μάλιστα κατὰ Παύλου τοῦ Σαμοσατέως ἀγωνιζόμενος· ὃς ἄλλον μὲν τὸν πρὸ αἰώνων υἱὸν, ἕτερον δὲ τὸν ἐπ' ἐσχάτων φρενοβλαβῶς ἐδογμάτιζε. καὶ ὁ ἐν ἁγίοις δὲ Ἰούλιος διὰ τῆς αὐτῆς ἐννοίας ὁδεύει. κατὰ Παύλου γὰρ καὶ αὐτὸς τοῦ Σαμοσατέως, καὶ τῶν ὁμοίων, διὰ τῆς αὐτῆς φωνῆς ἐξωπλίζετο. ὁ μέν τοι γε Ἐρέχθιος εἰ μὲν ὡς Ἀθανάσιός τε καὶ Κύριλλος καὶ Ἰούλιος τὴν φωνὴν ἐκλαμβάνει, τοῦτο ἂν εἴη ἄμεινον· εἰ δὲ παρὰ τὴν ἐκείνων δόξαν, θαυμαστὸν οὐδέν. [* al. ἱερῶν] εἰ γὰρ τὴν Εὐτυχοῦς νόσον πολλοὶ τῶν ἱερῶν ἀνδρῶν τοῦτον ἐφώρασαν κείμενον, ἣν καὶ αὐτὸς [* al. ἐνδείκνυσιν] ἀποδείκνυσιν, ὧδέ πως λέγων· εἰ μὲν ἀνθρωπίνης σπορᾶς ἦν βλάστημα ὁ Χριστὸς, συνετιθέμην ἂν τὸν καρπὸν εἶναι κατὰ τὴν ῥίζαν· εἰ δὲ ἐκ πνεύματος ἁγίου, κατὰ τὴν τοῦ ἀρχαγγέλου φωνὴν θεὸς ἐτέχθη· ἐπειδὴ καὶ θεὸς ὁ τῆς γεννήσεως προέξενος. ὁ μὲν Ἐρέχθιος ταῦτα. ἔοικε δὲ ὁ ἀνὴρ μηδὲ τὰ τῆς Ἐλισάβετ συνιέναι ῥήματα, ἣ τὴν θεοτόκον Μαρίαν εὐλογοῦσα, κράζει· εὐλογημένη σὺ ἐν γυναιξὶν [ἀνακράζει,] καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. ἀλλ' οὐδὲ τὸν Ἡσαΐαν ἔγνω λέγοντα· καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος [* al. ἀρχηγὸς] ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι. καὶ μυρία ἄλλα. μετὰ ταῦτα δὲ περὶ τῆς διαφορᾶς, ἣν [ν] οὐσία καὶ τὸ γένος καὶ τὸ εἶδος πρὸς τὴν ὑπόστασιν ἔχει, διαλαμβάνει· ὅτι τὰ μὲν τὸ κοινὸν δηλοῦσι, τὰ δὲ τὸ πρόσωπον, καὶ ὃ λέγεται τοῖς ἔξω καθ' ἕκαστον· [καὶ] τῆς ἰδίας γνώμης, ὡς ἔθος αὐτοῖς, διαφόρους παρίστησι μάρτυρας, Βασίλειόν τε, καὶ Ἀθανάσιον, καὶ Ἰούλιον, καὶ Κύριλλον, καί φησιν· ὡς εἴποτέ τις εὕροι τινὰς τῶν εἰρημένων ἀνδρῶν, τὴν φύσιν εἰπόντας ὑπόστασιν, οὐ κυρίως τοῦτο, ἀλλ' ἐν καταχρήσει νοεῖται εἰρῆσθαι. εἰ γὰρ μὴ, ἑαυτοῖς τε τἀναντία καὶ τὸ πρὸς ἀλλήλους λέγειν, τοὺς ἱεροὺς ἡμῶν ἐξυβρίζομεν πατέρας. κατεχρήσατο μέν τοι τῇ φύσει ἀντὶ τῆς ὑποστάσεως Ἀθανάσιος μὲν, ἐν τῇ πρὸς τὸν βασιλέα Ἰουλιανὸν ἐπιστολῇ, λέγων· μίαν τοίνυν λέγειν δεῖ, μᾶλλον δὲ καὶ ὁμολογεῖν τοῦ λόγου φύσιν τε καὶ ὑπόστασιν σεσαρκωμένην. καὶ Ἰούλιος δὲ ἐν τῇ γραφείσῃ παρ' αὐτοῦ ἐπιστολῇ πρὸς τοὺς κατὰ τῆς θείας τοῦ λόγου σαρκώσεως ἀγωνιζομένους. ἣν ἀλλαχοῦ μίαν φύσιν εἶπε τοῦ λόγου, ἐνταῦθα ὑπόστασιν ὀνομάζει· λέγει γάρ τι. ἀλλὰ καὶ ὁ ἐν ἁγίοις Κύριλλος ἐν τοῖς σχολίοις οὕτω φησίν· ὅτε δὲ ἀσυγχύτως μεμνήκασιν [* al. ὑποστάσεις, ἤγουν αἱ φύσεις] αἱ φύσεις ἤγουν ὑποστάσεις, ἐντεῦθεν εἰσόμεθα. καὶ πάλιν ἐν τῷ τρίτῳ κεφαλαίῳ τῶν ἀναθεματισμῶν· εἴ τις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ διαιρεῖ τὰς φύσεις, ἤγουν τὰς ὑποστάσεις, μετὰ τὴν ἕνωσιν, μόνῃ συνάπτων αὐτὰς συναφείᾳ τῇ κατὰ τὴν ἀξίαν, ἤγουν αὐθεντίᾳ, καὶ οὐχὶ μᾶλλον συνόδῳ τῇ καθ' ἕνωσιν φυσικήν· ἀνάθεμα ἔστω. καὶ ἑρμηνεύων αὐτὸς ἑαυτὸν, καὶ ἅμα Νεστόριον στηλιτεύων, καὶ δεικνὺς ποίῳ τρόπῳ οὗτος δύο φύσεις ἐφρόνησε· λέγει· οἱ διαιροῦντες εἶναι τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν, καὶ ἀνὰ μέρος τιθέντες ἑκατέραν, τουτέστιν ἄνθρωπον χωρὶς, καὶ θεὸν χωρὶς· ἐπινοοῦντες [* al. τῇ] δὲ συνάφειαν αὐταῖς [* al. μόνην] τὴν κατά γε μόνην τὴν ἀξίαν, δύο που πάντως ἱστῶσιν υἱούς. ὁ αὐτὸς δὲ ἱερὸς Κύριλλος, (ὁ) ἀλλαχοῦ μὲν μίαν φύσιν εἰρηκὼς τοῦ θεοῦ λόγου σεσαρκωμένην. λέγει γὰρ ἀκριβῶς ἑνὶ προσώπῳ (τὰς) τοῖς εὐαγγελίοις πάσας ἀναθετέον φωνὰς ὑποστάσει μιᾷ, τῇ τοῦ λόγου σεσαρκωμένῃ. εἷς γὰρ Κύριος Ἰησοῦς Χριστὸς κατὰ τὰς γραφάς· οὐδὲν δὲ κοινὸν τοῖς δύο φύσεις λέγουσιν ἰδιοϋποστάτους,

vnum esse filium incarnatum, & cum Paulo Samosatensi præcipuè pugnat, qui alium ante sæcula filium, alterum verò postea summa dementia asserunt. S. quoque Iulius eadem graditur via, pugnatque idem cum eodem Paulo Samosatensi, & aliis de hac voce, Erechthius, si quidem vt Athanasius, Cyrillus, & Iulius hanc vocem sumit, hoc præstantius fuerit: si verò præter eorum opinionem, nihil admirandum. Si enim Eutychis morbo afflictum multi sancti viri deprehenderunt, quem & ipse prodit, sic dicens: siquidem ex humano semine Christus fuit, concedam fructum esse secundùm radicem: si verò è S. Spiritu, secundùm Archangeli Gabrielis vocem Deus genitus est, quandoquidem à Deo generatus sit. Sic quidem Erechthius, quem verisimile est non intellexisse verba Elizabeth, quæ Mariæ Deiparæ benedicens, exclamauit: *Benedicta tu in mulieribus, & benedictus fructus ventris tui.* [Luc. 1.] Sed neq; Isaiam intellexisse: *Erit radix Iesse, qui stat in signum populorum, in ipsum gentes sperabunt*, & alia multa. [Isa. 11. 10.] Post hæc de differentia, quam substantia, genus, species ad hypostasin habet, tractat. quia illa commune quiddam ostendunt, hæc verò personam, & quod dicitur gentilibus singulare siue indiuiduum: suæque sapientiæ, vt illi mos, varios adhibet testes, Basilium, Athanasium, Iulium, Cyrillum, & ait, vt si quis denique reperiat aliquos Patres, qui naturam appellent hypostasin, non proprie, sed abusiuè dici intelligatur. Si enim sibi contraria & aliis dicere videantur, sacros Patres nostros iniuria afficimus. Abutitur enim naturæ nomine pro hypostasi Athanasius epistola ad Iulianum apostatam his verbis: *Vnam appellare decet, ac potius confiteri Verbi naturam & hypostasin incarnatam.* Et Iulius in epistola ad eos missa, qui de incarnatione Verbi contendebant. Quam alibi vnam Verbi naturam dixit, ibi personam appellauit. Quin & beatus Cyrillus in Scholiis sic habet: *Quando inconfusæ naturæ nominantur, siue hypostases, inde cognoscemus.* Et in tertio capite Anathematismorum: *Si quis duas Christi vnius diuidat naturas siue hypostases, post vnionem, solo copulans vinculo secundum dignitatem, hoc est authoritatem, & non magis coitione, quæ secundùm naturalem vnionem est, anathema sit.* Et seipse elucidans & Nestorium refellens, ostendensque qua ratione ipse duas naturas sentiat, dicit: Tollentes personas post vnionem, & vtrumque diuidentes, id est hominem purè, & DEVM purè, intelligentes connexionem inter se, secundùm solam dignitatem, duos omnino alicubi ponunt filios. Idem autem beatus Cyrillus, qui alibi vnam naturam Dei Verbi pronuntiauit incarnatam, dicit: Certè vna persona in Euangeliis, omnes ponendæ voces vna hypostasi Verbi incarnata. Vnus enim Dominus IESVS CHRISTVS secundùm scripturas. Nihil verò commune cum iis, qui dicunt duas naturas in propria & particulari hypostasi subsistere,

EPHRAEMIVS.

vt Nestorius, & iis qui dicunt eas vnitas, cùm Verbum per hypostasim vnitetur, vt S. Ecclesia, & sacra Synodus & Leo Pontifex prædicant. Sed & infinita quædam differentia est inter impietatem & pietatem, & quantum lumen à tenebris distat. Quia postquam Seueriani refutantur SS. Patrum testimoniis, qui ante Chalcedonensem Synodum floruerunt, & duas naturas in vnione hypostatica promulgarunt, ad reprehensionem sese conuertunt. hæreticorum prætextum quidem vt apparet, calumniæ speciosum prætexunt: grauius verò nemine nominato, ipsos veteris comœdiæ ritu conuitiantes: Etenim vt diximus, illi dualitatem naturarum, non ex sententia, neque libenter, neque ex fide confessionis asserunt: verùm vt in contraposita falsæ cognitionis cognitione, sed secundùm ordinationem in occasionémque, & ab hæretica quadam necessitate compulsi. Et quid hoc aliud fuerit nisi* eximios magistros ostendere improbos, & veritatis proditores, & propriæ pietati alienam & hæreticam opinionem anteponentes, & ad illorum barathrum potius tractos quam inde aliquos trahentes. Quomodo enim talia cum Paulo dicere liceat? *Quia sermo noster, qui fuit apud vos, non est in illo* EST *&* NON: *sed* EST *in ipso factum est.* Innumeras in vita mutationes licet non mutatis, sed Euripi mutationes imitantibus. Sed quid rursum asserit hæresis, venia Patribus danda. Si enim vi quadam sententia peruincit, tanquam potestatem nacta conuitiandi, & condemnandi quod libeat, & rursum dimittere peccatum & tantumnon sic exclamans: *Labia nostra à nobis sunt, quis noster Dominus est.* Præterquam quod cum hæreticis Patres pugnarunt, etsi à pietate exciderunt, propterea venia digni, quomodo æqualis nobiscum affectionis, & si quid adulterare videantur, qui Chalcedonensi Synodo non interfuerunt, & ad duas hæreses, & hi oppugnantes Nestorij opinionem & Eutychis, tradiderunt. Sed vbique adeò cæca est ac surda impietas, & neque cernere quidquam nouit, neque audire, neque quæ illa ipsa proponit. Chalcedonense concilium statim initio, quæ contra Nestorium beatus Cyrillus Ephesi tractauit, iis decretam auctoritatem addidit, & ante hoc duas habitas Synodos tanquam fidei definitrices recepit, & Arium, Macedonium, Nestorium eodem damnauit anathemate: & qui in filiorum dualitatem incarnationis secant mysterium, quemadmodum audentes dicere vnigeniti diuinitatem patibilem, pariter condemnant, ita & duas ante vnionem Domini naturas confingentes, vnam post vnionem formantes, eadem compede constringit. Definiuit autem, quemadmodum quæ ante hanc Synodum, *nemini fas esse aliam profiteri fidem*, hoc est conscribere, vel componere, vel sentire, præter quam tradidit prima & secunda Synodus generales. Qui verò audeant aliud symbolon præter hoc scribere vel docere, qui volunt conuerti ex Iudaismo & Ethnicismo, cuius tandem sectæ priuari Episcopos quidem aut Clericos dignitate,

[Margin notes: * προκρίτους vetustos. — 2. Cor. 1. 18. — Psal. 11. 5.]

καὶ ἀνὰ μέρος ὡς Νεστόριος, καὶ τοῖς λέγουσι ταύτας ἡνωμένας ἐν τῇ καθ' ὑπόστασιν τοῦ λόγου ἑνώσει, ὡς ἡ ἐκκλησία τε καὶ ἡ ἁγία σύνοδος, καὶ ὁ Πάπας Λέων ἐπρέσβευεν. ἀλλὰ καὶ μυρία ἄλλη διαφορὰ μεταξὺ τῆς ἀσεβείας καὶ τῆς εὐσεβείας, καὶ ὅση τοῦ φωτὸς πρὸς τὸ σκότος. ὅτι ἐπειδὰν οἱ ἀπὸ Σευήρου διελέγχωνται ταῖς τῶν θεοφόρων ἡμῶν πατέρων φωναῖς, οἳ πρὸ τῆς ἐν Καλχηδόνι συνόδου διέλαμψαν, καὶ τὰς δύο φύσεις ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει τοῦ λόγου ἐκήρυξαν, εἰς διαβολὴν ἑαυτῶν εὐθὺς τρέπονται· σχῆμα μὲν, ὡς δοκοῦσιν, εὐπρόσωπον τῇ διαβολῇ περιθέντες· βαθύτερον δὲ τῶν ἀπροσώπως *αὐτοὺς ὑβριζόντων διακωμῳδοῦντες. φασὶ γὰρ ὡς εἴρηται μὲν αὐτοῖς τῶν φύσεων τὸ δυαδικὸν, οὐκ ἀπὸ γνώμης δὲ, οὐδὲ ἑκουσίως, οὐδὲ κατὰ πίστεως ὁμολογίαν· ἀλλ' ὡς ἐν ἀντιθέσει τῆς ψευδωνύμου γνώσεως, καὶ ὁ κατ' οἰκονομίαν καὶ ἐπὶ καιροῦ, καὶ ὑπό τινος αἱρετικῆς ἀνάγκης ἐκβιαζομένοις. καὶ τί αὖ εἴη τοῦτο, ἢ τοὺς διδασκάλους προκρίτους *ὑποφαίνειν δειλούς τε καὶ τῆς ἀληθείας προδότας· καὶ τῆς οἴκοθεν εὐσεβείας τὸ ἀλλότριον, καὶ αἱρετικὸν δόγμα προτιμῶντας· καὶ ἑλκυσθέντας μᾶλλον πρὸς τὸ ἐκείνων βάραθρον, ἢ ἐκεῖθεν τινας ἀνελκύσαντας. ποῦ γάρ ἐστι τοῖς τοιούτοις μετὰ Παύλου λέγειν ὡς ὁ λόγος ἡμῶν, ὁ πρὸς ὑμᾶς, οὐκ ἐγένετο ναὶ καὶ οὔ: ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονε: μυρίας τροπὰς πρὸς τὸν βίον καὶ οὐ τρεπομένοις, [καὶ] τὰς καὶ Εὐρίπου μεταβολὰς μιμουμένοις. ἀλλὰ τί πάλιν ἐστὶν ἡ αἵρεσις συγγνώμη τοῖς πατράσιν. ἡ γὰρ βία τῆς γνώμης ἐκράτησεν, ὥσπερ ἐξουσίαν λαβοῦσα λοιδορεῖν καὶ κατακρίνειν ὅ,τι βούλεται, καὶ πάλιν ἀφιέναι τὸ ἁμάρτημα· καὶ μονονουχὶ βοῶσα, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι, τίς ἡμῶν Κύριός ἐστι; πλὴν εἰ διότι πρὸς αἱρέσεις οἱ πατέρες ἐμάχοντο, κἂν τῆς εὐσεβείας ἐξέπιπτον, διὰ τοῦτο συγγνώμης ἐπάξιοι: πῶς τῆς ἴσης συμπαθείας ἡμῶν, εἰ καί τι παραχαράττειν ἔδοξαν οἱ ἐν Καλχηδόνι οὐκ ἀπήλαυσαν. καὶ πρὸς δύο γὰρ αἱρέσεις καὶ οὗτοι διαμαχεσάμενοι τῆς Νεστορίου καὶ Εὐτυχοῦς, ἐδογμάτισαν: ἀλλ' ἢ πῶς ἐστι πανταχοῦ τυφλὸν καὶ κωφὸν ἡ ἀσέβεια, καὶ οὔτε βλέπειν οἶδεν, οὔτε ἀκούειν, οὐδ' ἅπερ *αὕτη ἐκείνη προβάλλεται. ἡ δὲ ἐν Καλχηδόνι σύνοδος εὐθὺς μὲν ἀρχομένη ἃ κατὰ Νεστορίου Κύριλλος ἐν Ἐφέσῳ διεπράξατο, τούτοις τὸ κῦρος ἐπέθετο, καὶ τὰς *πρὸ ταύτης δύο συνόδους εἰς ὅρον ἐδέξατο πίστεως· καὶ Ἄρειον δὲ καὶ Μακεδόνιον καὶ Νεστόριον τῷ αὐτῷ συνέδησεν ἀναθέματι· καὶ τοὺς εἰς υἱῶν δυάδα τὸ τῆς οἰκονομίας διασπῶντας μυστήριον. ὥσπερ καὶ τοὺς παθητὴν τοῦ μονογενοῦς τολμῶντας λέγειν τὴν θεότητα, καταδικάζει δι' ἰσοτιμίας. ναὶ δὴ καὶ τοὺς δύο μὲν πρὸ τῆς ἑνώσεως φύσεις τοῦ Κυρίου μυθεύοντας, μίαν δὲ μετὰ τὴν ἕνωσιν ἀναπλάττοντας, τοῖς αὐτοῖς συνέσφιγξε βρόχοις τοῦ ἀναθέματος. ὥρισε δὲ, καθάπερ καὶ *αἱ πρὸ αὐτῆς, μηδενὶ ἐξεῖναι πίστιν ἑτέραν προφέρειν, ἤγουν συγγράφειν, ἢ συντιθέναι, ἢ φρονεῖν. παρ' ἣν παρέδωκεν ἥ τε πρώτη καὶ ἡ δευτέρα οἰκουμενικὴ ἁγία σύνοδος. τοὺς δὲ τολμῶντας ἕτερον παρ' *ἐκεῖνο σύμβολον συγγράφειν ἢ διδάσκειν, τοὺς (δὲ) θέλοντας ἐπιστρέφειν ἐξ Ἰουδαϊσμοῦ ἢ Ἑλληνισμοῦ, ἤγουν ἐξ αἱρέσεως οἱασδηποτοῦν ἐπισκόπους μὲν, ἢ κληρικοὺς ὄντας: ἀλλοτριοῦσθαι τοῦ ἀξιώματος· μονα-

[Margin notes: * ἀνυπ. — * ἀπεμφαίνειν. — 2. Cor. 1. — * al. κοινὴ ἐν αὐτῇ. — * al. πρὸ. — * al. ἡ. — * al. ἐκεῖνα.]

μονάζοντας δὲ ἢ λαϊκοὺς ἀναθεματίζεσθαι. Ταῦτα εἰπὼν, καὶ ῥητὰ τῆς ἐπιστολῆς τοῦ Πάπα Λέοντος τῆς πρὸς Φλαβιανὸν τὸν Κωνσταντινουπόλεως παρατίθησιν, ἐν οἷς αὐτοῦ λαμπρῶς διαλάμπει ἡ εὐσέβεια. κἀκεῖθεν εἰς παραίνεσιν καὶ *συμβουλὴν συγκλείει τὸν λόγον, μεταθέσθαι τῆς πλάνης τοὺς δεχομένους τὴν ἐπιστολὴν παρακαλῶν, καὶ τῷ τῆς εὐσεβείας συναρθῆναι φρονήματι. οὕτω μὲν καὶ ὁ τρίτος λόγος.

*al. συμβουλευτικῷ

Ἔστι δὲ καὶ ὁ τέταρτος αὐτῷ πεπονημένος πρός τινας ἀνατολικοὺς μοναχοὺς, τῇ αὐτῇ τῶν θεοπασχιτῶν κατεχομένους αἱρέσει. ὧν ἐγκαλεσάντων τινὰ, ῥᾳδίως μὲν τὰς ἐγκλήσεις ψευδεῖς ἐπιδείξας, τὸ ἔγκλημα ἀποδύεται. παραινεῖ δὲ καὶ αὐτοὺς μεταθέσθαι τῆς αἱρετικῆς δόξης, φέρων ὑπὲρ τοῦ ὀρθοῦ δόγματος μαρτυρίας, αἷς καὶ ἐν τοῖς πρόσθεν λόγοις ἐχρήσατο, Ἀθανασίου τέ φημι καὶ Ἀμβροσίου, καὶ Κυρίλλου, καὶ τῶν ἁγίων πατέρων· δι' ὧν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν θεότητι τέλειον, καὶ ἐν ἀνθρωπότητι τέλειον, διαπρυσίᾳ τῇ φωνῇ ἀνεκήρυξεν. ὧν ἐστὶ μία καὶ ἡ τοῦ ἐν ἁγίοις Ἀμβροσίου, Ἐπισκόπου Μεδιολάνων καὶ ὁμολογητοῦ, ἣν ἐν τῷ κατὰ Ἀπολιναρίου λόγῳ παρέθετο, ἔχουσα οὕτως· ἀλλ' ἐν ὅσῳ φησὶ *τούτοις ἐλέγχομεν, ἀνεφύησαν ἕτεροι, λέγοντες· τό, τε σῶμα τοῦ κυρίου καὶ τὴν θεότητα μιᾶς φύσεως. ποῖος ᾅδης τὴν τοσαύτην ἠρεύξατο βλασφημίαν! Ἀρειανοὶ γὰρ ἤδη τυγχάνουσιν ἀνεκτότεροι, ὧν ἡ ἀπιστία διὰ τούτους κρατύνεται, ὡς μείζονι φιλονεικίᾳ πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα μιᾶς οὐσίας μὴ λέγειν, ἐπειδή περ οὗτοι τὴν θεότητα τοῦ κυρίου, καὶ τὴν σάρκα μίαν ἐκήρυξαν. τὴν δὲ ἱερὰν τούτου ἀνδρὸς χρῆσιν ὁ νικηφόρος Κύριλλος κατὰ Νεστορίου προσενήνοχεν, ἐξ ὧν αὐτοῦ τὸ ἀξιόπιστον καὶ θαυμαστὸν ἐπιδείκνυται. λέγει δὲ καὶ αὐτὸς ὁ ἅγιος Κύριλλος ἄλλα τε πολλὰ κρατύνων τὴν εὐσέβειαν, καὶ ἐν τῷ περὶ πίστεως λόγῳ· λέλυται μὲν ὁ ναὸς ἐν τῷ καιρῷ τῆς τριημέρου ταφῆς, βουλομένου αὐτοῦ. καὶ πάλιν ἀνέστησε, καὶ ἡνώθη αὐτῷ *ἀρρήτως λόγῳ, τῇ τριημέρῳ οὐ κεκραμένος ἐν αὐτῷ ἢ ἀποσεσαρκωμένος, ἀλλὰ σώζων ἐν ἑαυτῷ τῶν δύο φύσεων τῶν ἑτερουσίων ἀσύγχυτον τὴν ἰδιότητα. καὶ πάλιν ἐν τῷ κατὰ Ματθαῖον ὑπομνήματι, βιβλίῳ πρώτῳ· πλὴν οἶδεν ὁ λόγος τῆς θεοπνεύστου γραφῆς ἄνθρωπον ὄντα καὶ θεὸν τὸν Χριστὸν, εἰ καὶ εἷς νοοῖτο καὶ ὁ αὐτός. *ἀπονέμει τοιγαροῦν ὁ μακάριος εὐαγγελιστὴς τὸ οἱονεὶ τῶν μερῶν ἑκατέρῳ πρέπον, ἀπλανῆ καὶ ἀσύγχυτον τοῦ μυστηρίου διατηρήσας τὸν λόγον. τὰ μὲν γὰρ ἰδικῶς οἶδεν ὄντα τε καὶ πρέποντα τοῖς τῆς ἀνθρωπότητος μέτροις: τὰ δὲ ταῖς ὑπεροχαῖς τῆς ἀφράστου θεότητος. οὐ μόνον δὲ δύο φύσεις ὁ Κύριλλος, ἀλλὰ καὶ δύο ἐνεργείας κηρύττει, ὡς ἐν τοῖς θησαυροῖς λέγει: οὐδὲν γὰρ τῶν ὄντων πρὸς τὸ ἑτερογενὲς καὶ ἑτεροούσιον τὰς αὐτὰς ἀπαραλλάκτους *φορήσει δυνάμεις τε καὶ ἐνεργείας. καὶ πάλιν· ὥσπερ ἀποκεχωρισμένον ἔχουσι τῆς οὐσίας ἤτοι τῆς ποιότητος τὸν λόγον, οὕτω καὶ διάφορον ἀποσώζουσι τὴν ἐνέργειαν. καὶ πάλιν· οὐ γὰρ δή που μίαν εἶναι φυσικὴν τὴν ἐνέργειαν δώσομεν θεοῦ καὶ ποιήματος· ἵνα μήτε τὸ ποιηθὲν εἰς τὴν θείαν ἀναγάγωμεν οὐσίαν, μήτε μὴν τῆς θείας φύσεως τὸ ἐξαίρετον εἰς τὸν τοῖς γενητοῖς πρέποντα καταγάγωμεν τρόπον. ἐπειδὴ δὲ οἱ πρὸς οὓς ἔγραφεν ἐζήτησαν ψιλῶς τὴν *λέξιν τὴν ἑκατέρα παρὰ τισὶν εἴρηται τῶν πατέρων:

*τίνι.

*γρ. ἐν Μ.

*al. ἀπονέμει.

*al. φερομένου.

*al. τάξιν.

monachos verò aut laicos excõmunicari. Hæc fere à Leone Pontifice dicta sunt in epistola ad Flauianum Constantinopoleos, quibus clarè eius pietas elucescit, & ibidem adhortatione atque consilio sermonem claudit, eos qui epistolam suscepturi sunt, adhortans vt errorem deponant, & piorum sententiam amplectantur. Sic quidem libro tertio. EPHRÆMIVS.

Quartum verò ad Orientis monachos elaborauit, Deopassitarum hæresi infectos, quorum vnum, facile falsas criminationes ostendens, crimine se purgat; quas ab hæretica opinione conatur auertere, de recta fide proferens testimonia, quibus & in prioribus vsus est, Athanasij, Ambrosij, Cyrilli, aliorúmque Patrum, quibus Dominum nostrum IESVM CHRISTVM in diuinitate & humanitate perfectum clarissimè ostendit. quorum vnum est S. Ambrosij confessoris Mediolani Episcopi, quod in libro contra Apollinariũ produxit hoc modo. Sed in quantum, inquit, hos accusamus, prodierunt alij dicentes: corpus Domini & diuinitatem, vnius naturæ. O blasphemiam ex Tartaro eructatam! Ariani enim paulò magis ferendi sunt, quorum error per hos confirmatur, Patrem, Filium, & Spiritum sanctum, non vnius naturæ asserentes. Quandoquidem CHRISTI diuinitatem & carnem, vnam dicunt. Huius sancti viri verba etiam perstrenuus Cyrillus contra Nestorium adducit, quibus dignum eum fide & admirandum ducit. Dicit verò & idem Cyrillus multis modis pietatem corroborans, in libro de fide: *Solutum est templum tempore triduanæ sepulturæ illo volente.* & iterum: *Resurrexit, & vnitum est ipsi Verbo ineffabiliter, tribus diebus non in illo mixtum, vel carne indutum, sed in se seruans inconfusam proprietatem naturarum, quæ diuersa erant essentia.* Et rursum commentario in Matthæum libro primo: Nisi sciuisset à DEO infusa scriptura, hominem & DEVM, CHRISTVM esse, etsi vnus & idem intelligeretur. Tribuit igitur sanctus Euangelista tanquam vnicuique parti decorum, clarum & inconfusum mysterij sermonem seruans. Nam hæc quidem propria esse sciuit, & conuenientia humanitatis terminis: illa verò excellentiæ ineffabilis deitatis. Ergo non solùm duas naturas, sed & duas operationes Cyrillus confitetur, vt in thesauris loquitur. Non enim incommutabiles virtutes & operationes ad ea quæ alterius generationis & essentiæ producit. Et rursum: Quemadmodum separatam habent essentiæ vel qualitatis rationem, sic & diuersam operationem seruant. & iterum: Non enim vnam sanè esse naturalem operationem dabimus DEI & creaturæ, vt neque aliquid creatum ad diuinam essentiam referamus, neque diuinæ naturæ præstantiam ad modum humanitatis reducamus. Cũ verò illi ad quos scripsit quæsiuerunt tenui dictione, quæ ab aliquibus patribus dicta sunt,

LIB. IV.

EPHRÆMIVS.

ostendit vsum qui est in interpretatione Cyrilli ad Hebræos hoc modo: non refusionem aliquam naturarum in se mutuo factam esse dicimus, manente potius vtraque, hoc, quod est, vniri carni intelligimus verbum: & rursum idem in eadem re, & non dicimus, velut quandam refusionem in naturis factam esse, vt fiat Verbi natura in hominis, verbi causa, tenuitatem, sed neque rursum humanam in ipsam Dei: intellecta potius & subsistente vtraque in propriæ naturæ termino, factam vnionem dicimus, inhabitante corporaliter Verbo in templo, quod ex B. Virgine sumpsit. Sic & Basilius Cæsareæ Cappadociæ Episcopus libro contra Eunomium. Propterea omni contentione & cautione considerandum est, quomodo in vno eodemque vtriusque naturæ ostendatur veritas. quoniam patres quidem non vnam in Christo, sed duas naturas in personali vnione confitentur. quod & antea dictum est, nunc vero idem recensere nihil prohibet. Dicit enim Gregorius Nyssenus in libro contra Apollinarium. Sic igitur in contrariis proprietatibus vtraque harum cognoscatur natura, carnis, inquam, & Dei, quomodo vna sunt duæ? Et S. Ephræm in libro de incarnatione, & in Margaretam: non minuta est inquit, connexio assumptionis, vt perdiderit quod habuit, & quod non habuit, adepta sit. Sed perfectum est, quod assumpsit, & quod adepta est. Et Cyrillus epistola ad Eulogium, & prima ad Succensum, & in oratione de fide, & libro contra impium Nestorium, & in thesauris eadem dicit, similiter & libro de incarnatione, sic habet: Sed in vnam vtrasque collegisse secundum coniunctionem œconomicam naturarum proprietates, multis sermonibus nobis ostenditur. Et post alia contendit & certat oratione. Verum & sapiens Ioannes tantum non connectens potestatem proprietatum accidentium vtrique naturæ. Sed è multis aliis locis hæc fas est colligere. Exponens enim prophetam Zachariam sic ait: S. Ezechiel thronum vidisse se dixit: *In firmamento super caput Cherubim*: dixit se in throno vidisse sedentem quendam duplicis naturæ. Et rursum commentario in Ioannem libro secundo habet: cum aliquid facies, quando nobis simplex, naturam ingreditur duplex, & alia sexcenta. quomodo non ex duabus naturis dixit Sacra Synodus Christum esse, luculenter declarans, ante sæcula eum è patre natum diuinitate, & in vltimis diebus nostra causa & ad nostram salutem è Maria Deipara sempérq; virgine humanitate. Alioqui si Cyrilli epistolas amplexus sit, quę vbique illud è duabus naturis vociferantur: quomodo non sine causa hæresis aduersus S. Synodum fremit? Verum inspice malignitatem hæreticorum, Dicente enim synodo de *Patre & Filio & Spiritu sancto docent perfectionem, & domini incarnationem rectè sentientibus ob oculos ponunt*: Quatuor in Trinitate personas illam dicere furenter accusator exclamauit. quare?

S. Ephræm Syrus hoc antiquior.

Ioan. Chrysostomus.

Ezech. 10. 18.

προσκομίζει χρῆσιν, κειμένην ἐν τῇ πρὸς Ἑβραίους Κυρίλλου ἑρμηνείᾳ, ἔχουσαν οὕτως· οὐκ ἀνάχυσίν τινα τῆς εἰς ἀλλήλας τῶν φύσεων γεγενῆσθαι * φαμέν: μενούσης δὲ μᾶλλον ἑκατέρας, τοῦθ᾽, ὅπερ ἐστὶν, * ἡνῶσθαι σαρκὶ νοοῦμεν τὸν λόγον. καὶ πάλιν τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν· καὶ οὐ δήπου φαμὲν ἀνάχυσιν ὥσπερ τινὰ συμβῆναι περὶ τὰς φύσεις, ὡς εἶναι τὴν τοῦ λόγου φύσιν εἰς τὴν τοῦ ἀνθρώπου τυχόν· ἀλλ᾽ οὐδ᾽ αὖ πάλιν τὴν ἀνθρωπίνην εἰς τὴν τοῦ αὐτοῦ τοῦ λόγου: νοουμένης δὲ μᾶλλον καὶ ὑπαρχούσης ἑκατέρας ἐν τῷ τῆς ἰδίας φύσεως ὅρῳ, γεγενῆσθαι φαμὲν τὴν ἕνωσιν, ἐνοικήσαντος τοῦ λόγου σωματικῶς τῷ ἐκ τῆς [ἁγίας] παρθένου ναῷ. ὡσαύτως δὲ λέγει καὶ Βασίλειος ὁ Καισαρείας τῆς Καππαδοκίας ἐν τῷ κατ᾽ Εὐνομίου λόγῳ· διὸ μετὰ πάσης ἀγωνίας τε καὶ εὐλαβείας δεῖ συνορᾶν, ὅπως ἂν ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ ἑκατέρας φύσεως ἀποδειχθῇ ἡ ἀλήθεια. ὅτι μέν τοι γε οὐ μίαν οἱ πατέρες ἡμῶν ἐπὶ Χριστοῦ, ἀλλὰ δύο φύσεις ἐν τῇ καθ᾽ ὑπόστασιν ἑνώσει κηρύττουσιν· εἴρηται μὲν καὶ πρότερον: οὐδὲν δὲ κωλύει, καὶ νῦν παραστῆσαι. λέγει γὰρ ὁ ἐν ἁγίοις Γρηγόριος Νύσσης, ἐν τῷ κατὰ Ἀπολιναρίου λόγῳ· εἰ οὖν ἐν τοῖς ἐναντίοις ἰδιώμασιν ἡ θατέρου τούτων θεωρεῖται φύσις, τῆς σαρκός τε λέγω καὶ τῆς θεότητος: πῶς μία αἱ δύο; καὶ ὁ ἐν ἁγίοις δὲ Ἐφραὶμ ἐν τῷ περὶ ἐνανθρωπήσεως, καὶ εἰς τὸν Μαργαρίτην· οὐχ ἡττήθη, φησὶ, τῇ πλοκῇ τῆς προσλήψεως, ἵνα ἀπολέσῃ ὃ εἶχε, καὶ ὃ μὴ εἶχε γένηται. τέλειον ἔχει ὃ ἦν, καὶ τέλειον ἔχει ὃ προσέλαβε. καὶ Κύριλλος δὲ ἐν τῇ πρὸς Εὐλόγιον ἐπιστολῇ, ἀλλὰ καὶ ἐν τῇ πρὸς Σούκενσον προτέρᾳ, καὶ ἐν τῷ περὶ πίστεως λόγῳ, καὶ ἐν τῷ κατὰ τοῦ δυσσεβοῦς Νεστορίου, καὶ ἐν τοῖς Θησαυροῖς τὰ αὐτὰ λέγει. ὡσαύτως δὲ, καὶ ἐν τῷ περὶ ἐνανθρωπήσεως λόγῳ· φησὶ γὰρ, ἀλλ᾽ εἰς ἓν ἄμφω συλλέγων κατὰ σύμβασιν οἰκονομικὴν τὰ τῶν φύσεων ἰδιώματα, διὰ μυρίων ὅσων ἡμῖν ὁρᾶται λόγων. καὶ μεθ᾽ ἕτερα· ἐπαγωνιεῖται δὲ αὖ καὶ συναθλήσει τῷ λόγῳ. καὶ ὁ σοφὸς Ἰωάννης μονονουχὶ καὶ συναγείρων τὰς φύσεις, καὶ συνδέων τὴν φύσιν τῶν * ἑκατέρᾳ προσόντων ἰδιωμάτων τὴν δύναμιν. καὶ ἐκ μυρίων ἄλλων λόγων αὐτοῦ τὰ αὐτὰ ἔστι λαβεῖν. ἑρμηνεύων δὲ τὸν προφήτην Ζαχαρίαν, οὕτω φησίν· ὁ δέ γε θεσπέσιος Ἰεζεκιὴλ θρόνον τεθεᾶσθαι φησὶν ἐπὶ στερεώματος ὑπεραιρόμενον τῶν Χερουβίμ: ἔφη δὲ ὅτι τὸν ἐπὶ θρόνου καθήμενον ἑώρακε διφυᾶ. καὶ πάλιν ἑρμηνεύων τὸ κατὰ Ἰωάννην εὐαγγέλιον, ἐν τῷ δευτέρῳ βιβλίῳ, φησίν: * ἐπεὶ τί ποιήσεις, ὅταν ἡμῖν ὁ ἁπλοῦς τὴν φύσιν εἰσβαίνει διπλοῦς· καὶ μυρία ἄλλα. πῶς δὲ οὐκ ἐκ δύο φύσεων εἶπεν ἡ ἁγία σύνοδος τὸν Χριστὸν, διαρρήδην βοῶσα· πρὸ αἰώνων τὸν αὐτὸν ἐκ τοῦ πατρὸς γεννηθῆναι κατὰ τὴν θεότητα, καὶ ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τὸν αὐτὸν δι᾽ ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς θεοτόκου καὶ ἀειπαρθένου κατὰ τὴν ἀνθρωπότητα. ἄλλως τε δὲ εἰ τὰς Κυρίλλου ἠσπάσατο ἐπιστολὰς, αἳ πολλαχοῦ τὸ ἐκ δύο φύσεων διακεκράγασι. πῶς οὐ μάτην ἡ αἵρεσις κατὰ τῆς ἱερᾶς συνόδου φρυάττεται; ἀλλ᾽ ὅρα τὸ κακοῦργον τῆς αἱρέσεως. * φαμένης γὰρ τῆς συνόδου· περί τε γὰρ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐκδιδάσκουσι τὸ τέλειον, καὶ τοῦ κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησι: τετράδα εἰπεῖν ἐμμανῶς ὁ κατήγορος ἀνεβόησε. διὰ τί; διότι

* al. φάμενοι
* al. ἑνοῦσθαι
* al. ἑκατέρα
* al. ἔτι
* al. φαμ.

EPHRAEMIVS.

διότι μετὰ τὸ εἰπεῖν πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον, τὴν τοῦ κυρίου ἐπήγαγεν ἐνανθρώπησιν. ἀλλὰ καὶ ταύτην ὁ συγγραφεὺς τὴν συκοφαντίαν εἰς τὰς τῶν συκοφαντῶν ἔρριψε κεφαλὰς, μυρίαις μαρτυρίαις ἀρχαιοπαράδοτον εἶναι τὴν τοιαύτην ἐπιδειξάμενος σύνταξιν· ὡς μετὰ τὴν τῆς ἁγίας καὶ ὑπερφυοῦς τριάδος * ἀσύμμετον τὴν τοῦ ἑνὸς τῆς ἁγίας τριάδος σάρκωσιν ἡ ἐκκλησία θεολογεῖ, μηδαμῶς τετράδος ἐγκληθείσης συναρίθμησιν. οὕτω Κύριλλος ἐν τῷ ἑβδόμῳ λόγῳ τῆς ἐν πνεύματι λατρείας λέγει, οὕτως ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ, οὕτως ἐν τῷ κατὰ Ματθαῖον· καὶ μυρίοι ἄλλοι. λαμπρῶς δὲ καὶ ἐν πολλοῖς αὐτοῦ λόγοις ὁ νικηφόρος Κύριλλος τὸ ἐν θεότητι τέλειον, καὶ ἐν ἀνθρωπότητι τοῦ Χριστοῦ τέλειον ἀνακηρύττει καὶ παραδίδωσιν. ᾧ καὶ ἡ ἁγία συνᾴδουσα σύνοδος ἕνα τὸν αὐτὸν Ἰησοῦν Χριστὸν μονογενῆ ἐν δυσὶ φύσεσιν ἀσυγχύτως καὶ ἀδιαιρέτως ἐκήρυξεν. οἷς πάλιν ὁ ἱερὸς Κύριλλος ἐν τῇ πρὸς Σούκενσον ἐπιστολῇ συμφθέγγεται, λέγων· ἐννοοῦντες τοίνυν, ὡς ἔφην, τῆς ἐνανθρωπήσεως τὸν τρόπον· ὁρῶμεν, ὅτι δύο φύσεις συνῆλθον ἀλλήλαις καθ' ἕνωσιν ἀδιάσπαστον ἀσυγχύτως, ἀτρέπτως· ἡ γὰρ σὰρξ, σάρξ ἐστι, καὶ οὐ θεότης, εἰ καὶ γέγονε θεοῦ σάρξ· ὁμοίως δὲ καὶ ὁ λόγος, θεός ἐστι, καὶ οὐ σάρξ· εἰ καὶ ἰδίαν ἐποιήσατο τὴν σάρκα οἰκονομικῶς. καὶ μεθ' ἕτερα· οὐκοῦν ὅσον μὲν ἧκεν εἰς ἔννοιαν καὶ εἰς μόνον τὸ ὁρᾶν τοῖς τῆς ψυχῆς ὄμμασιν, ὃν τρόπον ἐνηνθρώπησεν ὁ μονογενὴς, δύο τὰς φύσεις εἶναί φαμεν· ἕνα δὲ Χριστὸν καὶ υἱὸν καὶ κύριον τὸν τοῦ θεοῦ λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον. καὶ ἐν τῇ πρὸς τοὺς ἀνατολικοὺς ἐπιστολῇ· δύο γὰρ φύσεων ἕνωσις γέγονε, διὸ ἕνα Χριστὸν, ἕνα υἱὸν, ἕνα κύριον ὁμολογοῦμεν. καὶ ἐν τῇ πρὸς Ἀκάκιον τὸν Μελιτινῆς· ὅταν τοίνυν ὁ τῆς σαρκώσεως πολυπραγμονεῖται τρόπος, δύο τὰ ἀλλήλοις ἀπορρήτως τε καὶ ἀσυγχύτως συνενηνεγμένα καθ' ἕνωσιν ὁρᾷ δὴ πάντως ὁ ἀνθρώπινος νοῦς, ἑνωθέντα γε * μὴν διΐστησιν οὐδαμῶς· ἀλλ' ἕνα τὸν ἐξ ἀμφοῖν καὶ υἱὸν καὶ Χριστὸν καὶ θεὸν, καὶ κύριον εἶναι πιστεύει, καὶ παραδέχεται. καὶ ἐν τοῖς σχολίοις· γεγονότα δὲ σάρκα καὶ ἐν ἡμῖν σκηνώσαι φησιν, ἵνα δι' ἀμφοῖν ἀποδείξῃ, καὶ γενόμενον ἄνθρωπον, καὶ οὐ μεθέντα τὸ ἴδιον· μεμένηκε γὰρ ὅπερ ἦν. νοεῖται δὲ πάντως * ἕτερον ἐν ἑτέρῳ τὸ κατοικοῦν, τουτέστιν, ἡ θεία φύσις ἐν ἀνθρωπότητι, καὶ οὐ παθοῦσα φυρμὸν ἢ ἀνάχυσίν τινα καὶ μετάστασιν * τῆς ὅπερ οὐκ ἦν. τὸ γὰρ οἰκεῖν [ἐν] ἑτέρῳ λεγόμενον, οὐκ αὐτὸ γέγονε τοῦτο, ὅπερ ἐστὶ τὸ ἐν ᾧ κατοικεῖ. νοεῖται δὲ μᾶλλον ἕτερον ἐν ἑτέρῳ. καὶ ἐν τῇ ἑρμηνείᾳ δὲ τοῦ Λευιτικοῦ· διὰ τοῦτο [καὶ] δύο λαμβάνεται τὰ ὀρνίθια, καὶ νοεῖται πάλιν ὡς ἓν ἀμφότερα, πλὴν ζῶντα καὶ καθαρά. ζωῆς γὰρ καὶ καθαρότητος ἁπάσης περιεκτικὸς καὶ αὐτὸς καθ' ἑαυτὸν ὁ λόγος· καὶ ὁ ἐκ παρθένου ναὸς τὸν αὐτὸν λόγον ἔχων ἐν ἑαυτῷ. ἦν γὰρ ἴδιον αὐτοῦ τὸ σῶμα, καὶ οὐχὶ ἀλλότριον φόρημα, διά τοι τοῦτο καὶ εἷς κύριος Ἰησοῦς Χριστός. καὶ ἐν τῇ ἑρμηνείᾳ δὲ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου· οὐκοῦν ὁ στατὴρ ὁ ἀληθινός τε καὶ νοητός· καὶ ὡς ἐν τύπῳ τῆς ὕλης δηλούμενος αὐτός ἐστιν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς διπλοῦς χαρακτήρ. καὶ μεθ' ἕτερα· ὁ στατὴρ τοιγαροῦν ὁ νοητὸς, τουτέστι, τὸ νόμισμα τὸ βασιλικὸν,

* al. ἀσύμμετρον

* al. μὴ

* al. ἕτερος

* al. τοῦ αὐτοῦ

quia cum dixisset Patrem, Filium & Spiritum S. & domini incarnationem pro persona adiunxit. Verum hanc blasphemiam S. Scriptor in caput auctorum retorquet, multis testimoniis antiqua traditione hunc ordinem esse ostendens, vt post sanctæ & supernaturalis Trinitatis laudes, vnius in Trinitate incarnationem sancta Ecclesia confiteatur, ne autem quaternitatem connumeret. Sic Cyrillus libro septimo de Adoratione in spiritu & veritate loquitur, sic & in Euangelium Ioannis & Matthæi, aliique permulti. Clare vero in multis suis libris D. Cyrillus, & in diuinitate perfectum, & in humanitate Christum prædicat & tradit. Quibus & sacra consentiens synodus, vnum eundemque Iesum Christum vnigenitum in duabus naturis inconfusè & indiuise prædicauit. Quibus iterum Cyrillus in epistola ad Succensum consentit, dicens: *Intelligentes ergo, vt dixi, incarnationis modum: videamus quomodo duæ naturæ, per vnionem inseparabilem, inconfusè, insolubiliter inter se conuenerint. Caro enim caro est, non diuinitas, licet Dei caro facta sit. Eodem modo & Verbum Deus est, non caro, licet per incarnationem propriam sibi carnem fecerit.* & deinde. *Quantum profectò sub intelligentiam cadere possit, & sub oculos animæ, quomodo incarnatus est vnigenitus, duas naturas esse dicimus: vnum vero Christum, filium, dominum, Dei Verbum incarnatum & hominem factum.* Et in epistola ad Orientales: *Duarum naturarum vnio facta est, ideo vnum Christum, vnum filium, vnum dominum confitemur.* Et in epistola ad Acacium Melitinis Episcopum. *Cum itaque curiosè incarnationis modus inquiritur, duo quædam inter se ineffabiliter & sine confusione, per vnionem coniuncta humana mens omnino videt, incarnatum vero nequaquam intelligit, sed vnum ex ambobus filium, Deum & Christum; & dominum esse credit, & conuenienter id suscipit* & in Scholijs, factam carnem, & in nobis, inquit, habitasse, vt ambobus ostendit, & factum hominem, & proprium suum non dimisisse. nam meminerat qualis esset. Intelligitur autem omnino alter in altero habitans, hoc est, diuina natura in humanitate, & non patiens misturam, refusionem aliquam, vel mutationem illius in id, quod non erat. Habitare vero in altero dictum, non idem factum est hoc, quod est in quo habitat. Magis autem intelligitur illud alterum in altero, in expositione Leuitici. Propterea duæ sumuntur aues, & cognoscuntur iterum ambæ vt vna, nisi quod viuant & puræ sint. Vitæ enim & puritatis omnis capax est ipsum per se Verbum, & templum è virgine sumptum, idem Verbum in se continet. Erat enim proprium eius corpus, & non aliena gestatio, propterea & vnus dominus Iesus Christus. & in expositione Euangelij secundum Matthæum: *Stater igitur & verus est, & intelligibilis, & vt in figura ex materia ostensus est idem Dominus noster Iesus Christus duplex character.* & deinde: *Stater igitur intelligibilis, hoc est numisma regium,*

Leuit. 5. 7.

Matth. 17. 27.

EPHRAEMIVS.

qui in vnitate duplex character, seipsum pro nostra omnium vita redemptione tulit. Et rursum libro contra Arium, *Duplex igitur est de filio sermo: referenda igitur ad Deum quæ sunt Dei, & quæ sunt hominis, homini.* & mox: *Sapientes ergo (dicam enim) & solertes dixerint, duplicem & simplicem in his adducentes sermonem, & temporibus conuenientibus attribuant sacrorum disputationem* & libro nono de Adoratione in spiritu: Ex argento vero & ex duobus est basis. Clarus enim [in terra] & illustris Christus, iuxta

Psal 117.27. illud, *Deus dominus, & illuxit nobis.* & tanquam duplicem habens sententiam, in hoc enim noscitur Deus & homo. Hoc enim est, vt puto, duplex ex argento habere fundamentum. & libro aduersus Nestorium. Nam altera quidem præter Dei Verbum caro, & secundum propriæ naturæ Verbum, alia rursum essentialiter ipsius Verbi natura. Sic & consentit sacræ & œcumenicæ synodo S. Cyrilli sententia. Rursum sacro Concilio asserente, nequaquam naturarum differentia sublata per vnionem, sed potius seruata vtriusque naturæ proprietate, & in vnam personam, & in vnam hypostasin coalescente. vide quomodo nullatenus Cyrillus dissentiat. Nam in epistola prima ad Nestorium ait: non vt sublato discrimine naturarum per vnionem, sed magis perficientibus nobis vnum dominum, Filium, & Christum, diuinitate & humanitate, per ineffabilem consensionem vnione. & rursū in Scholiis. Adorat quidem, vt adorandam naturam capiens, & adoratur iterum idem, tanquam adorandæ vlterius naturæ existens, quatenus percipitur Deus. & vide, vt neque secundum rectum casum, neque secundum accusatiuum adducit Cyrillus diuisionē vnius Christi. rursum ipse in Scholiis loquitur, non diuidendus igitur vnus dominus Iesus Christus proprie: sed vnum & eundem Iesum Christum oportet sentire, naturarum dicimus differentiam, & inconfuse inuicem easdem seruantes. & in Thesauris. Deniq; quid aliud sit, quam ignorantiam dixit œconomice, nisi iterum seruare, humanitati conuenientem ordinem? Humanitatis enim proprium, non scire futura. Et in secunda epistola ad Succensum. Si enim & vnus dicatur pro nobis Filius Dei incarnatus, non permistus ideo inuicem videri, neque in carnis naturam mutata est Verbi natura: sed neque carnis in Verbi, Sed in proprietate naturali vtraq; manente & intellecta. Hæc ipsa sic recipiens soluit scandalum, sed qui contraria asserit, subiicitur terribili Edicto immaculatæ vocis dicente in Euangelicis; væ homini per quem venit scandalum. Sic concilium & Cyrillus. Et non solum Cyrillus, sed & alij SS. Patres, vt consentientes in fide, ita & vnius sententię cognoscuntur. Sed adhuc vide hæreseos impudentiam. Reprehēdit enim eum, qui epistolam suam Tomum vocauerat, nescientes rudes, quomodo idē Cyrillus & strenuus Athanasius,

ὁ ἐν ἑνότητι διπλοῦς χαρακτὴρ ἑαυτὸν ὑπὲρ πάντων ὡς παρὰ πάντων προσενήνοχε τῆς ἡμετέρας ζωῆς ἀντίλυτρον. καὶ ἐν τῷ κατὰ Αρείου λόγῳ πάλιν· διπλοῦς οὖν ἄρα ἐστὶν ὁ ἐφ' υἱῷ λόγος: ἀναθετέον δὴ οὖν πρὸς θεὸν τὰ τοῦ θεοῦ, καὶ ὡς καθ' ἡμᾶς γεγονότι τὰ ἀνθρώπινα. καὶ πάλιν. ἄρ' οὖν (ἐρήσομαι γὰρ) σοφοὶ καὶ ἀγχίνοι καταλογισθεῖεν ἂν οἱ διφυᾶ καὶ διπλοῦν τὸν ἕν γε τούτοις* περιτιθέμενοι λόγον, καὶ καιροῖς ἀπονέμοντες τοῖς καθήκουσι τὴν μυσταγωγίαν. καὶ ἐν τῷ ἐννάτῳ λόγῳ τῆς ἐν πνεύματι λατρείας· ἐξ ἀργύρου δὲ καὶ ἐκ δυοῖν ἡ βάσις· λαμπρὸς γὰρ [ἐν γῇ] καὶ διαφανὴς ὁ Χριστὸς, κατά γε τὸ, θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν· καὶ οἱονεὶ διφυᾶ τὴν γνώμην ἔχων: νοεῖται γὰρ ἐν ταυτῷ θεὸς καὶ ἄνθρωπος. τοῦτο γὰρ οἶμαι ἐστὶ τὸ διπλῆν ἐξ ἀργύρου τὴν βάσιν ἔχειν. καὶ ἐν τῷ κατὰ Νεστορίου λόγῳ· ἑτέρα μὲν γὰρ παρὰ * τὸν θεοῦ λόγον ἡ σάρξ, κατά γε τὸν τῆς ἰδίας φύσεως λόγον: ἑτέρα δὲ πάλιν οὐσιωδῶς ἡ αὐτοῦ τοῦ λόγου φύσις. οὕτω σύμφωνος τῷ τῆς ἁγίας καὶ οἰκουμενικῆς συνόδου δογμάτων ἡ Κυρίλλου πανταχοῦ δόξα. πάλιν μέν τοι τῆς αὐτῆς ὁσίας συνόδου φαμένης, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης: ὅρα πῶς κατ' οὐδένα τρόπον ὁ νικηφόρος Κύριλλος διαφωνεῖ. ἐν γὰρ τῇ πρὸς τὸν Νεστόριον πρώτῃ φησὶν ἐπιστολῇ· οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, ἀποτελεσασῶν δὲ μᾶλλον ἡμῖν τὸν ἕνα κύριον, καὶ υἱὸν, καὶ Χριστὸν, θεότητός τε καὶ ἀνθρωπότητος, διὰ τῆς ἀφράστου καὶ ἀπορρήτου πρὸς ἑνότητα συνδρομῆς. καὶ πάλιν ἐν τοῖς σχολίοις· προσκυνεῖ μὲν γὰρ, ὡς τὴν προσκυνοῦσαν φύσιν λαβών· προσκυνεῖται δὲ πάλιν ὁ αὐτὸς, ὡς τῆς προσκυνουμένης φύσεως ὑπάρχων ἐπέκεινα, καθ' * ὃ νοεῖται θεός· καὶ σκόπει ὡς οὔτε τὰ κατ' εὐθεῖαν ἄρθρα, οὔτε τὰ κατ' αἰτιατικὴν μερισμὸν εἰσάγει τῷ ἱερῷ Κυρίλλῳ τοῦ ἑνὸς Χριστοῦ. πάλιν δὲ ὁ αὐτὸς ἐν τοῖς αὐτοῖς σχολίοις φησίν· οὐ διοριστέον ἄρα τὸν ἕνα Κύριον Ιησοῦν Χριστὸν ἰδικῶς, καὶ εἰς θεὸν ἰδικῶς: ἀλλ' ἕνα καὶ τὸν αὐτὸν Ιησοῦν Χριστὸν δεῖ φρονεῖν τῶν φύσεων φαμὲν εἰδόσι τὴν διαφορὰν, καὶ ἀσυγχύτως ἀλλήλαις * τηροῦντες αὐτάς. καὶ ἐν τοῖς θησαυροῖς· τέλος δὲ τί ἂν ἕτερον εἴη, ἣν ἄγνοιαν * ἔφη οἰκονομικῶς, ἢ ἀποσώζειν πάλιν τῇ ἀνθρωπότητι τὴν αὐτῇ πρέπουσαν τάξιν; ἀνθρωπότητος γὰρ ἴδιον, τὸ μὴ εἰδέναι τὰ μέλλοντα. καὶ ἐν τῇ πρὸς Σούκενσον δευτέρᾳ ἐπιστολῇ. εἰ γὰρ καὶ εἷς λέγοιτο πρὸς ἡμῶν ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ σεσαρκωμένος καὶ ἐνανθρωπήσας, οὐ πέφυρται διὰ τὸ ἐκείνοις δοκοῦν, οὔτε μὴν εἰς τὴν τῆς σαρκὸς φύσιν μεταπεφοίτηκεν ἡ τοῦ λόγου φύσις· ἀλλ' οὐδὲ ἡ τῆς σαρκὸς εἰς τὴν αὐτοῦ: ἀλλ' ἐν ἰδιότητι τῇ κατὰ φύσιν ἑκατέρου μένοντός τε καὶ νοουμένου. ὁ ταῦτα οὕτω δεχόμενος λύει τὸ σκάνδαλον: ὁ δὲ ἐναντίως φρονούμενος, ὑπόκειται τῇ φοβερᾷ ἀποφάσει τῆς ἀχράντου φωνῆς, λεγούσης ἐν τοῖς εὐαγγελίοις· οὐαὶ δι' οὗ ἔρχεται τὸ σκάνδαλον. οὕτως ἡ σύνοδος καὶ ὁ Κύριλλος. καὶ οὐχ ὁ Κύριλλος μόνον, ἀλλὰ καὶ πᾶς ὁ ἄλλος τῶν ἱερῶν ἀνδρῶν χορὸς, ὥσπερ ὁμόφρονες, οὕτω γνωρίζονται καὶ ὁμόφωνοι. ἀλλ' ἔτι σκόπει τὸ ἀναίσχυντον τῆς αἱρέσεως· ἐπικαλεῖ γὰρ τὴν ἐπιστολὴν αὐτοῦ καλέσαντι· ἀγνοοῦντες οἱ παράπληγες ὡς αὐτός τε Κύριλλος, καὶ ὁ πολύαθλος Αθανάσιος

* προτιθέμενοι.

* al. τοῦ θεοῦ λόγου.

* al. ἐν.

* τηροῦσι.

* ἔφησεν.

τῷ,

EPHRAEMIUS.

καὶ πολὺς ἄλλος τῶν ἁγίων ὅμιλος τὰς ἰδίους ὑπὲρ εὐσεβείας πόνους τόμους ἐκάλεσαν· ὥστε μάτην αὐτοῖς τὸ τοῦ τόμου ὄνομα τὴν τομὴν ἐφαντάσε, καὶ διαίρεσιν. ἀλλ' οὐκ ἐπιλείπουσιν οἱ τῆς αἱρέσεως ἐρασταὶ καταισχυνόμενοι καὶ ἀναιδευόμενοι, τὸ ἐν ὅσῳ τὰ συναμφότερα μετ' ἀλλήλων ἐστὶν, ὡς χρονικὴν καὶ πρόσκαιρον ἐπαγγελλόμενον τὴν συνάφειαν. τὸ γὰρ ἐν ὅσῳ, ἀντὶ τοῦ ἕως λαμβάνεσθαι. ἀλλ' ὁ μὲν ἱερὸς συγγραφεὺς δείκνυσι, τὸ ἐπίρρημα παρὰ τοῖς ἱεροῖς λογίοις, οὐ χρονικὴν διάνοιαν μόνον ὑποσημαῖνον, ἀλλ' ἐν πολλοῖς πολλάκις καὶ τὸ ἀπέραντον. ἐμοὶ δὲ δοκεῖ τὸ ἐν ὅσῳ ἐνταῦθα οὐδὲ τὴν ἕως δύναμιν ἔχειν, ἀλλ' ἀντὶ τοῦ * καθὸ παρειλῆφθαι μᾶλλον. πλὴν ἀλλὰ [γὰρ] καὶ ὁ θεολόγος Γρηγόριος τὰς αὐτὰς προεῖπε φωνὰς, οἷς ὁ ἐν ἁγίοις Λέων ἠκολούθησεν. πάλιν δὲ ἡ αἵρεσις διαβάλλει τὸν ὅσιον Λέοντα, διότι (φησὶν) εἶπε, τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ, τό, τε ταπεινὸν τῆς σαρκὸς καὶ τὸ μέγεθος τῆς θεότητος. καί τοιγε εἰ μὲν μὴ προειπὼν τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ, τάχα ἂν τοῖς ἄφροσι παρεῖχε λαβῆς ὑπόνοιαν, ὡς ἀνὰ μέρος τίθησι τὴν σάρκα καὶ τὴν θεότητα. εἰς δὲ μηδὲ τοῦτο ἡ λέξις μηδὲ τότε ἐδήλου. ἐπεὶ δὲ προειπὼν τοῦ ἑνὸς καὶ τοῦ αὐτοῦ, ἐπήγαγε τό, τε ταπεινὸν τῆς σαρκὸς καὶ τὸ μέγεθος τῆς θεότητος· πῶς οὐκ ἐσχάτης ἐστὶ μανίας, * ἐν αἰτίαις ποιεῖν τὸν ἀναίτιον; ὅτι δὲ καὶ τῶν ἱερῶν ἡμῶν πατέρων γέμει τὰ γράμματα τὰς τοιαύτας φωνὰς, περιττὸν οἶμαι παριστάνειν τῇ παραθέσει τῶν * χρημάτων. καί τοι καὶ εἴ τι τοιοῦτον ὑπενοεῖτο τοῖς τοῦ μακαρίου Λέοντος ῥήμασιν, ἐχρῆν κατὰ τὸν ἐν ἁγίοις Γρηγόριον τὸ ἀμφίβολον πρὸς τὸ εὐσεβέστερον εὐλαβῶς ἑλκῦσαι, ἀλλὰ μὴ θρασέως οὕτω πρὸς τὴν * ἀσέβειαν ἐκβιάσασθαι. εἰ δὲ ἐν οὐδενὶ λόγῳ αὐτοῖς ὁ θεολόγος Γρηγόριος· ἀλλ' οὖν γε δυσωπηθῆναι τὸν ἀπόστολον Παῦλον λέγοντα, αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ. οἱ δὲ πάλιν ἐπιπηδῶσι τοῖς τοῦ ἀνδρὸς ῥήμασιν, ἐν οἷς φασιν· ἐνεργεῖ γὰρ ἐν ἑκατέρᾳ μορφῇ μετὰ τῆς θατέρου κοινωνίας, ὅπερ ἴδιόν * ἐστι· τοῦ μὲν λόγου κατεργαζομένου τοῦθ' ὅπερ ἐστὶ τοῦ λόγου, τοῦ δὲ σώματος [ἐκτελοῦντος] ἅπερ ἐστὶ τοῦ σώματος. ἰδού, φασι, δύο πρόσωπα εἴρηκεν, καὶ ἰδίας τὰς ἐνεργείας ἐκήρυξε, καί τοιγε οὐδὲν τοιοῦτον οὔτε ἡ λέξις οὔτε ἡ ἀκολουθία ἀπαιτεῖ τοῦ νοήματος. ποῦ γὰρ εἶπεν ὡς ἀνὰ μέρος [καὶ ἀνὰ μέρος] μορφὴ ἑκατέρα ἐνεργεῖ; ἢ ποῦ παρέλιπε τὸ μετὰ τῆς θατέρου κοινωνίας, τουτέστιν, ἐν τῇ ἑνώσει τῶν φύσεων; εἰ δ' οὗτος ταῦτα εἰπὼν ὑπ' αἰτίαν, καὶ Κύριλλος οὐκ ἄλλα λέγων ἐν τοῖς κατὰ Νεστορίου λόγοις τῆς αὐτῆς ἔνοχος μέμψεως. παρεχώρει μὲν γὰρ * τὸ σῶμα τοῖς τῆς ἰδίας [χρῆσθαι] φύσεως νόμοις, καὶ τὴν τοῦ θανάτου γεῦσιν ἐδέχετο· καὶ τοῦτο παθεῖν ἐφίετο * αὐτοῦ χρησίμως τοῦ ἑνωθέντος λόγου. καὶ πάλιν ἐν τοῖς θησαυροῖς. ἐπιτρέπει δὲ τῷ σώματι καὶ τῇ ἀνθρωπότητι τὰ αὐτῆς φύσει προσόντα, εἰς ἀπόδειξιν τοῦ ὄντως καὶ κατὰ ἀλήθειαν φορέσαι σάρκα, καὶ ἄνθρωπον γενέσθαι κατὰ τὰς γραφάς. ἀλλὰ ταῦτα μὲν ταύτῃ. ὅτι δὲ ἡ μορφὴ οὐχ ὑπόστασιν ἢ πρόσωπον πάλιν νοεῖ), ἀλλ' οὐσία· Βασίλειος μὲν ὁ λαμπρὸς τῆς ἐκκλησίας κήρυξ ἐν τοῖς κατ' Εὐνομίου λόγοις σαφῶς διδάσκει. καὶ Κύριλλος δ' ἐν τοῖς θησαυροῖς, λέγων· ἣν ἔλαβε μορφὴν ὁ ἐν μορφῇ θεοῦ ὑπάρχων, ὁμοούσια * ἡμῖν ἐστιν, ὅτι καὶ ἐξ ἡμῶν. ἔστι δὲ θεοῦ μορφὴ ὁ υἱός· ὁμοούσιος ἄρα ἐκείνου, οὗ καὶ ἔστιν ἐν μορφῇ. καὶ πρὸ τούτων ὁ μέγας Παῦλος. * ὁ ἐν μορφῇ θεοῦ ὑπάρχων

* al. καὶ θεῖοι [illegible]
* al. ἀναίτιον.
* χρησμῶν.
* al. εὐσέβειαν
* ἐστί.
* τῷ σώματι.
* al. αὐτοῦ.
* al. ἡμῶν.
* ad Phil. 2.

aliorúmque Patrum cœtus, pios labores tomos vocent. Quare frustra Tomi nomen illos decepit, & in hæresim induxit. Sed non relinquunt hæretici impudentes & inuerecundi, hoc, in quo, consentiunt vt temporalem & opportunam annuncians coniunctionem, hoc vero, in quantum, pro donec capi; sed sacer quidem scriptor ostendit aduerbium in sacris litteris, non solum temporalem sensum significare, sed in multis sæpe & infinitum. Sed mihi videtur, *in quantum*, hic non *donec* significare, sed potius pro quatenus accipi. Nisi quod B. Gregorius Theologus easdem voces prædixit, quem Leo sequitur. Rursum vero hæresis Leonem calumniatur, quia, inquit, dixit, vnius & eiusdem hoc, humilitas carnis & magnitudo diuinitatis, & certè si non prædixisset *vnius & eiusdem*, cito hæreticis occasionem hæreseos dedisset, quod ipse diuisim ponat carnem & diuinitatem. Etsi vox hoc tunc non significabat. Quando vero dixit *vnius & eiusdem*, adiunxit, *humilitas carnis & magnitudo diuinitatis*. Quomodo non vltimæ sit dementiæ innoxium accusare. Quia SS. Patrum libri his vocibus scatent, superuacaneum existimo adferre copiam exemplorum, & si quid simile in his verbis B. Leonis intelligitur, oportuit, secundum Gregorium dubium ad pietatem cautè trahere, sed non audacter ad impietatem conuertere. Si in nullo libro Theologus Gregorius illos confundat, sanctus Paulus id facit: *In captiuitatem redigentes omnem intellectum in obsequium Christi.* (2 Cor. 10. 5.) Sed rursum in illius verba inuadant, in quibus ait: *Cooperatur vtraque forma cum vtraque communione, quod proprium est. Verbo quidem operante hoc, quod est Verbi, & corpore quæ sunt corporis.* ecce, inquiunt, duas personas posuit, & propria opera attribuit. Et sanè nihil tale neque vox neque consequentia sensus postulat. Vbi enim dixit, vt diuisim vtraque natura operetur, vel vbi reliquit, cum vtriusque coniunctione, hoc est, vnione naturarum? Si vero ipse qui hæc dixit, accusatur: Cyrillus non alia dicens in libris contra Nestorium etiam accusetur. Dicit enim corpus propriæ naturæ [vti] legibus, & mortem gustasse concedit, & hoc passum esse adiuncto illi vtiliter vnito Verbo. Et rursum in Thesauris, permittit corpori & humanitati ea quæ illis conueniunt. & declarationem veram carnem fuisse, & hominem factum secundum scripturas. Sed hæc nunc. quia forma non hypostasis vel persona rursus intelligitur, sed essentia. Egregius quoque Ecclesiæ doctor Basilius in libro contra Eunomium clarè docet, & Cyrillus in Thesauris, dicentes, quam accepit formam in forma Dei existens, nobis est consubstantialis, & è nobis est. Est vero Dei forma filius; similis igitur illi cuius etiam in forma est. & ante hos Magnus ille Paulus: *Qui cum in forma Dei esset,* (Philip. 2)

EPHRÆMIVS.

non rapinam arbitratus est esse se aqualem Deo, sed se ipsum exinaniuit formam serui accipiens. Clarum est iam quomodo non persona sit patris filius, nec eiusdem personæ, sed eiusdem essentiæ, & in qua etiam est. Rursum S. Basilius libro contra Eunomium capite primo sic habet, *in forma* in essentia Dei, non enim aliud *forma*, & aliud *essentia* Dei est, ne compoſita ſit, qui secundum formam æqualis. Hæc & Amphilochius Episcopus Iconij epistola ad Seleucum: Quare & Dei formam & serui simul desinere in vnam personam Filij & domini Iesu. Sic Christum Dei filium duarum naturarum, passibilis & impassibilis, mortalis & immortalis, intelligibilis & inuisibilis, palpabilis & impalpabilis, sine principio, & cum principio, incircumscriptæ & circumscriptæ. Prænominati viri vt excellentis pietate, Beatus Cyrillus secundum tertiam synodum adducit testimonia contra Nestorium. Et sane Proclus Constantinopolitanus, & Cyriacus Paphi Episcopus vnus è trecentis & octodecim patribus hæc habet. Ille quidem in Pulcheranis post natalem, & in Epiphaniæ oratione, hic idem in oratione de Incarnatione eadem dicit. Et Chrysostomus in sermone de assumptione, & Gregorius Nyssenus libro contra Eunomium: quid gloriæ splendor? quid hoc, clauis fixum? Qualis forma ad mortem capitur, & qualis ab inferno redit? Sic quidem vbique cum S. Synodo conuenit, & cum S. Leone omnis SS. Patrum cœtus. Sed impudens hæresis rursum contra hunc blaterat, vbi dicit: *aliud est quod miraculis coruscat, alius quod iniuriis succumbit.* [filiorum dualitatem adducit & personarum] Et si dixerit, miraculis coruscat, & aliud iniuriis succumbit, prætextum habet. Etsi igitur figura sit opinio, quia hoc omnino non dicit, sed aliud quidem miraculis coruscare; aliud vero iniuriis succumbere, vtraq; eiusdem esse dicit, & passionem & miracula, quomodo impietatis occasionem præbuit? hoc & alij Patres docuerunt. Gregorius Nyssenus libro contra Eunomium. neque quibus magis hæresis ventilatur, neque his vti accusata est. non enim neutro, sed contra vocem masculinum sermonem instituit. dicit enim: Quis lassus è via & quis sine labore totum mundum substituens verbo per continuationem? quid gloriæ splendor, quid clauis confixum? Hæc clara sunt, inquit, licet nullus explicet. Iterum irrident Beatum Leonem, sic dicentem: quod quemadmodum Verbum ab æqualitate à patris gloria est inseparabile, sic & corpus naturam nostram non reliquit. Et quid hæc differunt ab eo, quem dicimus esse nobis similem secundum humanitatem [Et patri per diuinitatem?] Quod soli Eutychi non placet, & asseclis eius. Sed & Leo prædictis hæc addit: Vnus enim & idem vere est Filius Dei, & verè filius hominis, quod omnes vires impiorũ imbelles poteſt cõfundere.

Cyriacus Synodo interfuit Nicena.

Hi Gregorij Nysseni libri tres eius aduersus Eunomium in Bibliothecis Italiæ adhuc inediti latent.

B. Leo Papa.

Quare epistolã eius ad Flauianum.

οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. δῆλον γὰρ * οὐχὶ πρόσωπον ὑπῆρχεν ὁ υἱὸς τοῦ πατρὸς, οὐδὲ τῆς αὐτῆς ὑποστάσεως, ἀλλὰ τῆς αὐτῆς οὐσίας, ἐν ᾗ καὶ εἶναι λέγεται. πάλιν δὲ ὁ ἐν ἁγίοις Βασίλειος ἐν τῷ κατὰ Εὐνομίου λόγῳ, ἐν τῷ πρώτῳ κεφαλαίῳ, οὕτω φησί· τὸ ἐν μορφῇ, ἐν οὐσίᾳ ἐστὶ Θεοῦ. οὐ γὰρ ἄλλο μορφὴ, καὶ ἄλλο οὐσία Θεοῦ: ἵνα μὴ σύνθετος ᾖ, ὁ ὢν κατὰ μορφὴν ἴσος. τὰ αὐτὰ δὲ καὶ ὁ ἐν ἁγίοις Ἀμφιλόχιος ὁ ἰκονίου, ἐν τῇ πρὸς Σέλευκον ἐπιστολῇ· ὥστε τὴν τοῦ Θεοῦ μορφὴν καὶ τὴν τοῦ δούλου μορφὴν συντελεῖν εἰς ἓν πρόσωπον υἱοῦ τε καὶ Κυρίου Ἰησοῦ Χριστοῦ· οὕτω Θεόν τε καὶ ἄνθρωπον ὁμολογῶ τὸν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ: ἕνα δὲ υἱὸν δύο φύσεων, παθητῆς τε καὶ ἀπαθοῦς, θνητῆς τε καὶ ἀθανάτου, * νοητῆς καὶ ἀοράτου, ψηλαφητῆς καὶ ἀνεπάφου, ἀνάρχου καὶ ἀρχομένης, ἀπεριγράφου, καὶ περιγραμμένης. τοὺς μὲν τοίνυν προκειμένους ἄνδρας, ὡς τὸ ἐπίσημον ἐπ' εὐσεβείᾳ ἔχοντος, ὁ ἱερὸς Κύριλλος κατὰ τὴν ἱερὰν τρίτην σύνοδον παρήγαγε [μαρτυρίας] κατὰ Νεστορίου. καὶ μὴν καὶ Πρόκλος ὁ κωνσταντινουπόλεως, καὶ Κυριακὸς ὁ τῆς Πάφου ἐπίσκοπος, εἷς ὢν τῶν τιη ἁγίων πατέρων, τὰ αὐτά φησιν: ὁ μὲν ἐν πουλχεριαναῖς μετὰ τὸ γενέθλιον, ὁ δὲ ἐν τῷ εἰς τὰ θεοφάνια λόγῳ. ὁ αὐτὸς δὲ, καὶ ἐν τῷ περὶ ἐνανθρωπήσεως λόγῳ τὰ αὐτὰ λέγει. ἀλλά γε δὴ καὶ ὁ Χρυσόστομος ἐν τῷ περὶ τῆς ἀναλήψεως λόγῳ, καὶ ὁ Γρηγόριος ὁ νύσσης ἐν τοῖς κατ' Εὐνομίου ταυτά φησι· τί τὸ τῆς δόξης ἀπαύγασμα; τί τὸ τοῖς ἥλοις καταπειρόμενον; ποία μορφὴ ἐπὶ τοῦ πάθους ῥαπίζεται; καὶ ποία δὲ ἀΐδιος δοξάζεται; οὕτω μὲν οὖν οὗτοι σύμφωνοι πανταχοῦ τῇ ἁγίᾳ συνόδῳ, καὶ τῷ ἱερῷ ἀνδρὶ Λέοντι, καὶ ὁ πρεσβύτερος ἅπας τῶν ἁγίων χορός. ἀλλ' ἡ αἵρεσις πάλιν ἀναισχυντοῦσα, καὶ κατὰ τοῦ ἱεροῦ [λέγεται] φησὶ· ἐν τῷ εἰπεῖν αὐτόν· τὸ μὲν * αὐτῶν διαλάμπει τοῖς θαύμασι, τὸ δὲ τοῖς ὕβρεσιν ὑποπέπτωκεν [υἱῶν δυάδα συνεισάγει καὶ ὑποστάσεων· καί τοι εἰ ὁ μὲν ἔφη διαλάμπει τοῖς θαύμασιν, ὁ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκεν:] εἶχεν ἂν πρόφασις· κἂν γοῦν σχῆμα ἡ λαβεῖν. ὅτι δὲ τοῦτο μὲν παντελῶς οὐ λέγει, ἀλλὰ τὸ μὲν αὐτοῦ διαλάμπειν τοῖς θαύμασι, τὸ δὲ ὑποκεῖσθαι ταῖς ὕβρεσι, τοῦ αὐτοῦ εἶναι λέγων ἀμφότερα, τά τε πάθη καὶ τὰ θαύματα: πῶς ἂν ἀσεβείας πρὸς λαβὴν παρέχοι; τὸ αὐτὸ δὲ καὶ πάντες οἱ πατέρες ἡμῶν ἐκδιδάσκουσιν. ὁ δέ γε νύσσης Γρηγόριος ἐν τῷ κατ' Εὐνομίου γράφων· οὐδ' οἷς μᾶλλον ἀνασοβεῖται ἡ αἵρεσις, οὐδὲ τούτοις χρήσασθαι παρῃτήσατο. οὐ γὰρ κατὰ τὸ οὐδέτερον, ἀλλὰ κατὰ τῆς φωνῆς τὸ ἀρρενικὸν προστάξας τὸν λόγον. λέγει γάρ· τίς ὁ κοπιάσας ἐκ τῆς ὁδοιπορίας, καὶ τίς ὁ ἀπόνως ὅλον τὸν κόσμον ὑποστήσας τῷ λόγῳ κατὰ συνέχειαν; τί τὸ τῆς δόξης ἀπαύγασμα; καὶ τί τὸ τοῖς ἥλοις καταπειρόμενον; φανερὰ γὰρ ταῦτα, φησι, καὶ μή τις ἑρμηνεύσῃ τῷ λόγῳ. πάλιν δὲ διασύρουσι τὸν ἐν ἁγίοις Λέοντα, φάμενον οὕτως. ὅτι καθάπερ ὁ λόγος ἀπὸ τῆς ἰσότητος τῆς τοῦ πατρὸς δόξης ἐστὶν ἀχώριστος, οὕτω τὸ σῶμα τὴν φύσιν τοῦ ἡμετέρου γένους οὐκ ἀπολέλοιπεν. καὶ τί διαφέρει ταῦτα τοῦ λέγειν ὁμοούσιον ἡμῖν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα, [καὶ ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα·] * ὃ τῷ Εὐτυχεῖ μόνῳ οὐκ ἀρέσκει, καὶ ὅσοι τῆς ἐκείνου μανίας ὑπόδικοι. καί τοι ὁ ἐν * ὁσίοις Λέων τοῖς εἰρημένοις ἐπιφέρει· εἷς γὰρ καὶ ὁ αὐτὸς ἀληθῶς υἱός τε τοῦ Θεοῦ, καὶ ἀληθῶς υἱὸς ἀνθρώπου ὑπάρχει. ὃ πᾶσαν ἀσεβούντων ἰσχὺν ἄμαχον ἔχει καταισχύνειν δυνάμει.

* οὐκ ἴσ. ὑπ.

* λυπ. al. ἀοράτου καὶ ἁφῆς.

* αὐτοῦ.

* al. ὅπερ Εὐτυχ.

* ἁγίοις.

ταῦτα

Ταῦτα μὲν οὖν πρὸς τὴν αἱρετικῶν προβαλλόμενα * προσλαβὼν τῆς εὐσεβείας γνησίως ὁ ἐν ἁγίοις Ἐφραίμιος ἀπελύσατο. τίθησι δὲ καὶ αὐτὸς οἴκοθεν τοῦ αὐτοῦ τόμου ῥήματα, ἐν οἷς τοῦ ἀρχιερέως αὐτοῦ τῆς εὐσεβείας ἐξαστράπτει τὸ κήρυγμα, καὶ οὐδὲ ἡ αἰσχυντηλὸς τῶν ἀσεβούντων τόλμα, ἐπιλαβέσθαι τινὸς τούτων ἔμελλεν οὐδαμῶς ἀπηναισχύντησεν. ὧν ἐκ πολλῶν ἐστὶν ἓν καὶ τό, ὁ ἀπαθὴς θεὸς οὐκ ἀπηξίωσε παθητὸς γενέσθαι ἄνθρωπος, καὶ ὁ ἀθάνατος νόμοις ὑποκεῖσθαι θανάτου. ἀναθεματίζει δὲ σαφῶς ἡ σύνοδος καὶ Νεστόριον διὰ τοῦ αὐτοῦ Λέοντος, οὕτω λέγουσα· ἀναθεματιζέσθω Νεστόριος, ὁ τὴν μακαρίαν παρθένον Μαρίαν οὐχὶ τοῦ θεοῦ, ἀνθρώπου δὲ μόνου πιστεύων εἶναι μητέρα: ἵνα τῆς μὲν σαρκὸς ἄλλο, τῆς δὲ θεότητος ἄλλο πρόσωπον * ἀπεργάζηται. πῶς οὖν τὰ Νεστορίου φρονεῖ, ὁ Νεστόριον καὶ τὰ αὐτοῦ δόγματα οὕτω καταδικάζων. πάλιν δὲ ἐπηρεάζουσιν οἱ αἱρετικοὶ τὴν τετάρτην σύνοδον, λέγοντες· ὡς ἐδογμάτισε, μηδενὶ ἐξεῖναι προσφέρειν ἤγουν συγγράφειν, ἢ συντιθέναι, ἢ φρονεῖν πίστιν ἑτέραν, παρ᾽ ἣν ἐξέθετο αὐτή. καίτοι ἡ τοῦτο ἡ σύνοδος διωρίσατο, κἂν ἀναισχυντῶς ἤτοι καταψεύδονται: ἀλλὰ τὴν πίστιν, ἣν οἱ τιή [καὶ οἱ] ἅγιοι πατέρες ἐξέθεντο, τιμῶσά τε καὶ θειάζουσα, παρὰ ταύτην ἔφησε μηδενὶ ἐξεῖναι προσφέρειν ἑτέραν πίστιν, καὶ τὰ ὑπόλοιπα. δῆλον δέ ἐστι μάλιστα ἐξ αὐτῶν τῶν συνοδικῶν φωνῶν· ὧν καὶ μόνον αἰσχυνομένων, οὐδεμιᾶς ἄλλης δεῖται κατασκευῆς ἢ συστάσεως ἐπιδειχθεῖσα ἡ ἀλήθεια. καὶ οὐχ ὥρισε μὲν τοῦτο, ἔπραξε δὲ ἄλλως: ἀλλ᾽ ὡς ὥρισεν, οὕτω πανταχοῦ καὶ διαπραττομένη γνωρίζεται. καὶ γὰρ τοὺς * τῇ εὐσεβείᾳ προσιόντας οὐκ ἄλλο σύμβολον, ἀλλὰ τὸ τῶν τιή ἁγίων πατέρων ἐκδιδάσκει καὶ παραδίδωσιν. γέλωτα δὲ μᾶλλον καθ᾽ ἑαυτῶν ἡ διαβολὴ τῆς συνόδου καταχεουσα, ἐν οἷς φασιν, αὐτὴν ὑπὸ πολλῶν διαβάλλεσθαι. πόσαι γὰρ τῆς πρώτης καὶ οἰκουμενικῆς ἁγίας συνόδου κατεῖπον σύνοδοι, καὶ τό τε ἀρχιερέων εἶχον πλήρωμα: τὴν δὲ τῶν ρν, οὐδ᾽ εἰ γέγονε, τινὲς τῶν αἰγυπτίων εἰδέναι ἠθέλησαν. ἀλλ᾽ ἐάσθω μὲν τὸ ἀλόγιστον. ἐπεὶ δὲ χρῆσιν τινὰ τοῦ Ἰουλίου Ῥώμης οἱ πρὸς οὓς ἔγραφεν * ὑπὸ τῆς ἰδίας δυσσεβείας, ὡς ἐνόμιζον, * προεκόμισαν: τὴν μὲν χρῆσιν ὁ σοφὸς συγγραφεὺς ἐπεδείξατο, κατά τε τοῦ Σαμοσατέως Παύλου, καὶ τῆς Νεστοριανῆς δευτέρας αἱρέσεως εἰρῆσθαι, καὶ κωλύειν τὰς δύο φύσεις ἰδικῶς καὶ ἀνὰ μέρος φρονεῖν: ὥσπερ καὶ δύο ὑποστάσεις καὶ πρόσωπα καὶ υἱούς. καὶ γὰρ ἡ μία φύσις ἐπὶ Χριστοῦ τοῦ Ἰουλίῳ ἐνταῦθα ἀντὶ τῆς ὑποστάσεως εἴληπται, καὶ οὐδὲν οὔτε τῇ ἀληθείᾳ οὔτε τοῖς ἄλλοις θεοφόροις ἡμῶν πατράσιν ἀντιμάχεται. καὶ δῆλον τοῦτο ποιεῖ ὁ θεῖος Ἰούλιος κατὰ Μαρκίωνος καὶ Οὐαλεντίνου, καὶ Ἀπολιναρίου καὶ Εὐτυχέως, διὰ τῶν ἱερῶν αὐτοῦ φωνῶν τὸ βέλος ἀφείς. ἔφη γὰρ ἐν τῷ λόγῳ τῷ περὶ ὁμοουσίου· ὅθεν ἐξ ἀνάγκης καὶ τὸ σωματικὸν καθόλου καὶ τὸ θεϊκὸν καθόλου λέγεσθαι. καὶ ὁ μὴ δυνάμενος ἐν τοῖς ἡνωμένοις διαφόροις εἰδέναι, τί τὸ ἴδιον ἑκατέρου: ἐναντιώμασιν ἀσυμφώνοις περιπίπτει. ὁ δὲ καὶ τὰ ἴδια γνωρίζων, καὶ τὴν ἕνωσιν φυλάττων, οὔτε τὰς φύσεις ψεύδεται, οὔτε τὴν ἕνωσιν ἀγνοήσει. ὥστε φανερόν, ὡς ὁ * θαυμάσιος Ἰούλιος τὰς δύο φύσεις ὁμολογῶν, τὴν μίαν φύσιν ἐν τῷ προρρηθέντι ῥητῷ ἀντὶ τῆς ὑποστάσεως παρέλαβεν. ἐλέγχει δὲ καὶ ἕτερά τινα (οὐκ) ὀλίγα ἄτοπα;

Hæc quidem contra hæreticos pietatem defendens Ephræmius adducit, ponit & idem proprij libri verba, in quibus Archiepiscopi illius pietatis illustrat præconium, & neque impudens impiorum audacia aliquid horum apprehendere erubescit, quorum è multis hoc verum est, Deus impassibilis homo passibilis fieri non dedignatus est, & immortalis subiicere se mortis legibus. Excommunicat clarè per Leonem S. concilium Nestorium hoc modo. Execratus sit Nestorius, qui sacram virginem non Dei, sed hominis modo matrem esse contendit. vt carnis aliam; aliam diuinitatis personam statuat. Quomodo igitur cum Nestorio sentit, cum eius dogmata condemnet. Ecce iterum quartam synodum hæretici calumniantur dicentes; eam docuisse, non licere proferre, vel scribere, vel componere, vel sentire aliam fidem, præter eam quam ea proposuit, & tamen id Synodus non decreuit, quamuis impudentissimè id hæretici mentiantur: sed eam fidem quam trecenti octodecim Patres asseruerunt obseruans & confirmans, præterquam quod dixit nemini licere aliam fidem proferre.& quæ sequuntur. Ex his omnibus Synodi vocibus quas solum oportet legere, maximè manifestum, non alia præparatione vel probatione veritatem receptam indigere, nec aliud definire aliud facere; sed vt decreuit sic vbique & fecisse cognoscitur, néue etiam pios aliud symbolum profiteri, quam cccxviii. patres docuerunt & tradiderunt. Sed rident eos hæretici, vbi dicunt hanc ab omnibus infestari. quot enim synodi contra primam generalem contradixerunt, quæ & archiepiscopos habuerunt: illam verum centum & quinquaginta Patrum, si non fuit, quidam Ægyptij scire voluerunt, sed permittatur illis stupiditas. Cum vero aliquod verbum Iulij Pontificis, ad quos de propria impietate scripserat, vt putabant prolatum: Sapiens ille vir id contra Paulum Samosatensem, secundámque Nestorij hæresim prolatum esse declarauit, & duas naturas seorsim & diuisim confiteri prohibere, vt & duas hypostases, duásque personas & filios. Vna enim natura in Christo pro hypostasi à Iulio relicta est, verumtamen neque veritati, neque sanctis Patribus contradicit. Clarè idem ostendit Iulius Pont. contra Marcionem, Valentinum, Apollinarium, & Eutychem, sacris tela verbis iaculans. Sic enim in oratione de consubstantialitate scriptum reliquit: *Vnde necessario, & corporeum vniuersè & diuinum vniuersè dici, & qui non potest in vnitis differentiis cognosci, quid erit proprium vtrique, dissonis repugnantius concidit: qui vero propria cognoscit, vnionemque custodit, neque naturas mentitur, neque ignorare vnionem posset.* Quibus perspicuè patet, quomodo S. Iulius duas naturas fateatur, nam naturam prædictis verbis pro hypostasi accepit. Reprehendit enim alia non pauca absurda,

EPHRAEMIVS.

Nicænum Concilium.

* al. προλαβὼν

* ἀπεργάσηται.

* al. τῇ εὐσεβείᾳ

* ἐπὶ

* al. προτεινόμενα

* al. θαυμαστὸς

EPHRAEMIVS.

quæ ij contra quos scripsit S. Ephræmius suæ epistolæ inseruerunt, plena esse impietatis ostendens. Illud vero mirum videri queat, quæ prædixit Cyrillus, eadem iterum à concilio pronuntiari: vt illud, inquam, *Nusquam sublata naturarum differentia per vnionem*, Et iterum hoc: *Concurrentibus naturis in vnam personam & in vnam hypostasin.* Hæc sunt quæ in Cyrillo infesti calumniantur. Hæc vir Dei Ephrem exequitur. Apponit vero epistolas S. Simeonis, qui in seditione Cionensi occubuit, & Baradati ad Basilium Antiochiæ Episcopum missas; item ad Leonem Imperatorem, horum vtriusque propriè ad alterum duorum secundum vnam scripta. Iacobi enim vna & ipsa ad sanctissimum Basilium mittitur. omnes enim candido & simplici stylo conscriptæ, S. vero spiritu plenæ & sacrâ doctrina. Similiter prædicant Chalcedonensem synodum in sacris hisce dogmatibus constanter manere, communi scriptorum testimonio, & qui eas suscipiunt amare ac prædicare, quæ in ea decreta sunt, consolationem admonitionemque continentes.

CCXXX. B. EVLOGII ARCHIEPISCOPI *Alexandriæ Orationes XI.*

Legi S. Eulogij Archiepiscopi Alexandriæ orationum vndecim, volumen. Prima Romanum Pontificem cui inscripsit, appellat, qui à scriptore synodicam accepit epistolam, deesse autem illam ostendit, quod quatuor synodorum appellationes neque verbo probarit, neque hic inseruit, neque numerum vniuscuiusque synodi significarit, nec S. Leonis epistolæ ad verbum mentionem faciat. sed neque Eutyches, neque Dioscorus, neque Seuerus anathemati traditi sunt. Et quia hoc verbum, *In duobus*, obscurius quàm par erat, denunciatum est: Hæc erant quæ illæ synodum recipiens accusabat: Sanctus vero vir eorum de quibus accusabatur, rationem reddens, primò quidem comprehensa esse capitibus omnia synodalibus ait, quæ, vt recipiantur, digna visa sunt. Verùm de his pluribus agere non piget. Hoc verò studiosè & piè ad optimum ac perfectissimum exitum adducés: cùm alia, tum sacram fidei nostræ addit confessionem, maximè inhærens sententiæ de incarnatione domini. In qua indiuisam & impermistam hypostaseos duarum naturarum vnionem profitetur, & vtrinque natas hæreses gladio dissecat veritatis. Vtitur autem verbo mistionis piè quidé, sed non vtitur secundum insanum Apollinarium, quomodo hac voce sit vtendum testatus, neque secúdum audacem Eutychem, sed vt lex pietatis permittit: vt qui nosset vnum filium dominũ nostrũ Iesum Christũ declarare, duabus naturis indiuisis & inconfusis constare in perfecta humanitate & perfecta diuinitate: vt permistio secundum illum confusionem non significet, neque inducat diuisioné vocis ἐν δύο.

ἃ πρὸς οὓς ἀντέγραψεν ὁ φιλόθεος Ἐφραίμιος τῇ οἰκείᾳ ἐντεθείκασιν ἐπιστολῇ, δεικνὺς αὐτὰ δυσσεβείας γέμοντα. ἐκεῖνο δέ ἐστι θαυμάζειν ἄξιον, ὅτι ἃ Κύριλλος μὲν προεῖπεν, *ἐκεῖ δὲ ἡ σύνοδος λαβοῦσα προήνεγκε. λέγω δὴ τό, οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν. καὶ πάλιν τό, συντρεχουσῶν τῶν φύσεων εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν. ταῦτα οἱ ἐπὶ Κυρίλλῳ σεμνυνόμενοι διασύρουσιν. ἀλλὰ γὰρ ταῦτα διελθὼν ὁ θεοφιλὴς Ἐφραίμιος, παρατίθησιν ἐπιστολὰς τοῦ τε ἐν ἁγίοις Συμεῶνος, τοῦ ἐν τῇ Κιόνων στάσει ἀθλήσαντος, καὶ Βαραδάτου πρὸς Βασίλειον ἐπίσκοπον Ἀντιοχείας, ἐπεσταλμένας· καὶ δὴ καὶ πρὸς Λέοντα τὸν βασιλέα ἑκατέρου τούτων *ἰδίᾳ πρὸς ἑκάτερον τοῖν δυοῖν *ἀναγκαίας γεγραμμένας. τοῦ μέντοιγε Ἰακώβου μία, καὶ αὐτὴ πρὸς τὸν ἁγιώτατον ἐγράφη *Βασίλειον. ἅπασαι δὲ ἀφελεῖ μὲν συντέθεινται καὶ ἁπλῷ λόγῳ· πνεύματος δὲ πεπλήρωνται καὶ τῆς ἱερᾶς ἡμῶν σοφίας. πρεσβεύουσι δὲ ὁμοίως τὴν ἐν Καλχηδόνι σύνοδον, ἐν τοῖς εὐσεβεστάτοις *ταύτης δόγμασι διαμένειν τοὺς γεγραφότας ἀνομολογοῦσαι, καὶ τοὺς δεχομένους αὐτὰς στέργειν, καὶ κηρύττειν τὰ ἐν τῇ ὁσίᾳ σπουδῇ δογματισθέντα παράκλησίν τε καὶ παραίνεσιν συνεισάγουσαι. λέγει.

* al. ἐκεῖνα. ἴσ. ἐκεῖθεν.
* ἰδί. ἀνὰ μίαν.
* Βασιλείῳ.
* τούτοις.

ΕΥΛΟΓΙΟΥ ΠΑΠΑ ΑΛΕΞΑΝΔΡΕΙΑΣ λόγοι ιά.

σλ′. *Eusebij archiepiscopi Alexādriæ, orationes XI.*

ΑΝΕΓΝΩΣΘΗ τοῦ ἐν ἁγίοις Εὐλογίου [τοῦ πατριάρχου τῆς Ἀλεξανδρείας] βιβλίον πληρούμενον λόγοις ιά. τούτων ὁ πρῶτος Ῥώμης ἀρχιερέα ἐλέγχει, πρὸς ὃν ἔγραψεν· ὃς ἐδέξατο μὲν παρὰ τοῦ συγγραφέως ἐπιστολὴν συνοδικήν, ἐνδεῖν δὲ αὐτὴν αὐτὸ δήλωσεν, ὅτι μήτε τῶν τεσσάρων συνόδων τὰς προσηγορίας ῥήματι εἶπε, μήδ' ἔνθα συνέστησαν· ἀλλὰ μηδὲ τοῦ πλήθους τὸν ἀριθμὸν ἑκάστης ἐσήμηνε. καὶ ὅτι οὐδ' ἡ τοῦ ἐν ἁγίοις Λέοντος ἐπιστολὴ ἐπὶ λέξεως μνήμης ἔτυχεν· ἀλλὰ μήδ' Εὐτυχὴς μηδὲ Διόσκορος, μηδὲ Σευῆρος τῷ ἀναθέματι παρεδόθησαν· καὶ *ὅτι ὁ ἐν δύο φωνὴ ἀμυδρότερον ἢ ὅσον ἐχρῆν ἀπηγγέλλετο. ἃ μὲν ὁ τὰ συνοδικὰ δεξάμενος ᾐτιᾶτο, ταῦτα ἦν· ὁ μέντοιγε θεοφιλὴς ἀνὴρ λόγον, ὑπὲρ ὧν ᾐτιάθη, διδούς· πρῶτον μὲν περιειλῆφθαι πάντα, φησίν, ἐπὶ κεφαλαίων τοῖς συνοδικοῖς, ἃ ἔδοξε παραληφθῆναι. πλὴν πλατύτερον καὶ νῦν εἰπεῖν περὶ αὐτῶν, μηδένα λαβεῖν ὄκνον. τοῦτό *τε σπουδαίως καὶ θεοφρόνως ἐπιτελῶν εἰς τὸ ἄριστόν τε καὶ τελειότατον· τά τε ἄλλα, καὶ τὴν περὶ τῆς πίστεως ἱερὰν ἡμῶν ὁμολογίαν διατίθησιν, ἐμφιλοχωρῶν μάλιστα, τῇ κατὰ τὴν οἰκονομίαν θεολογίᾳ. ἐν ᾗ τῶν τε δύο φύσεων ἀδιαίρετόν τε καὶ ἀσύγχυτον τὴν καθ' ὑπόστασιν ἕνωσιν ὑμνεῖ, καὶ τὰς ἑκατέρωθεν αἱρετικὰς παραφυάδας τῇ μαχαίρᾳ τέμνει τῆς ἀληθείας. κέχρηται δὲ καὶ τῇ λέξει τῆς κράσεως εὐσεβῶς μὲν *πλὴν κέχρηται, μὴ κατὰ τὸν ἄνουν Ἀπολινάριον, τῇ φωνῇ χρῆσθαι διαμαρτυρόμενος· μὴ μέντοιγε [μηδὲ] κατὰ τὸν δυσσεβῆ Εὐτυχῆ· ἀλλ' ὡς ὁ τῆς εὐσεβείας νόμος βούλεται. ἅτε δὴ ἕνα τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν θεολογεῖν ἐν δύο φύσεσιν ἀδιαιρέτοις τε καὶ ἀσυγχύτοις εἰδώς, ἐν τελείᾳ θεότητι καὶ τελείᾳ ἀνθρωπότητι. οὔτε τῆς κράσεως σύγχυσιν αὐτῷ δηλούσης, οὔτε τῆς ἐν δύο φωνῆς διαίρεσιν παρεισαγούσης.

* ἔτι.
* ἴδ.

τοῖς

Ταὐτὰ δὲ καὶ Ἀθανάσιον καὶ Κύριλλον συμβαίνειν ὑπαγορεύει, οἳ αὐτὸ διωμολόγησαν μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην. ἐν ᾧ γὰρ ἔφησαν σεσαρκωμένην, τὴν προσληφθεῖσαν ἀνεκήρυξαν φύσιν. ταῦτα διελθὼν, καὶ ὡς ἐν ἄλλοις αὐτοῦ πόνοις, γυμνάζει τὴν προειρημένην φωνὴν, ἐπισημηνάμενος τριπλῇ φησι διαμερίζεσθαι διανοίᾳ τὴν παροῦσαν χρῆσιν. [τὸ σεσαρκωμένην] καὶ γὰρ [τὸ] σεσαρκωμένον, ἢ ἀντὶ τοῦ σαρκὶ *ἐσχηματισμένην, καὶ οἷον εἰδοποιηθεῖσαν, ὥσπερ ὁ χαλκὸς τῇ μορφῇ τοῦ ἀνδριάντος ἐκληφθείη ἄν· ἢ ὅτι εἰς σάρκα τῆς τοῦ λόγου φύσεως τραπείσης, καὶ οἷον ἀποσαρκωθείσης, μία προῆλθεν ἡ φύσις· ἢ ὅτι μία οὖσα ἡ τοῦ λόγου φύσις, κατὰ τὴν οἰκονομίαν οὐκ ἔτι μία μόνη, ἀλλὰ καὶ μετὰ σαρκὸς θεωρεῖται, τὸ ἄτρεπτον καὶ ἀναλλοίωτον ἑαυτῇ τε καὶ τῇ προσληφθείσῃ σαρκὶ διασώζουσα. αἱ μὲν οὖν πρῶται δύο ὑπολήψεις Ἀπολιναρίου εἰσὶ καὶ Εὐτυχέα. ἡ δὲ τρίτη δόξα τοῦ κηρύγματός ἐστι τῶν ἀποστόλων, ἣν καὶ ὁ τῶν μακαρίων πατέρων ἡμῶν χορὸς ἐκεῖθεν μαθὼν *συνετήρησεν. καὶ δῆλον ὡς, εἴ τις εὐσεβεῖν ἐθέλει ἐν τῷ λέγειν μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, τὸ αὐτὸ φρονεῖν ἂν χαρισθείη τοῖς δύο φύσεις ἀδιαιρέτους καὶ ἀσυγχύτους ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ Χριστῷ θεωροῦσί τε καὶ δοξάζουσιν. εἰ δὲ μὴ, πρὸς Ἀπολινάριον *καὶ Εὐτυχέα πάντως δεδραμεῖται· καὶ γὰρ ἐνταῦθα τὴν μίαν μὲν φύσιν ἀντὶ τῆς ὑποστάσεως εἰρῆσθαι: τὸ δὲ σεσαρκωμένην, ἀντὶ τῆς ἀνθρωπίνης φύσεως. ὡς μηδὲν διαφωνεῖν τὸν λέγοντα: μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, ἢ μίαν ὑπόστασιν τοῦ λόγου ἀνθρωπίνην φύσιν ἀναλαβοῦσαν. διὸ καὶ οἱ πατέρες ἡμῶν ἐπεξηγούμενοι τὴν φωνὴν, ἐπάγουσιν· οὐκ ἀνῃρημένης τῆς τῶν φύσεων διαφορᾶς *διὰ τὴν ἕνωσιν: σωζομένης δὲ μᾶλλον ἑκατέρας ἐν τῷ ἰδίῳ τῆς φύσεως ὅρῳ τε καὶ λόγῳ, ἐν τῷ αὐτῷ [καὶ] ἑνὶ Χριστῷ τῷ Θεῷ ἡμῶν. εἴτε εἰ τὰ σωζόμενα μὲν θεωρεῖται, τὰ θεωρούμενα ὁμολογεῖται· ἃ δὲ ὁμολογεῖται, καὶ ἀριθμεῖται: φανερὸν ὅτι τὸ λέγειν εὐσεβῶς μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, καὶ τὸ δύο φύσεις ἀδιαιρέτους ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει, διαφορὰν οὐδεμίαν εἰς τὸν τῆς εὐσεβείας ἐμποιεῖ λόγον. Ταῦτα καὶ τοιαῦτα ἕτερα εἰπὼν, περατοῖ τὸν πρῶτον λόγον.

Ὁ δὲ δεύτερος ἐπιγέγραπται μὲν δογματικὸς, ἔκθεσιν δὲ καὶ ὀρθῆς ἀπαγγέλλει πίστεως· ἐν ᾗ τήν τε τριάδα εὐσεβοφρόνως θεολογεῖ, καὶ τὰ περὶ τὴν οἰκονομίαν ὁμοίως διέξεισι· συνοπτικώτερον μὲν ἢ ἐν τῷ προτεταγμένῳ ταῦτα διεξιὼν, οὐδὲν μέντοι τῆς ἀκριβείας καθυφιείς. καὶ ταῦτα διαδραμὼν, εἰς παραίνεσιν περαίνει τὴν σπουδὴν, δι' ἧς τοὺς τῆς ἐκκλησίας ἀποφοιτῶντας τὴν κοινὴν ὁμόνοιαν ἀσπάσασθαι παρακαλεῖ. ἐν τούτῳ τῷ λόγῳ φησίν· ὡς τῶν ἐν τῇ ἐκκλησίᾳ παραδιδομένων ὑπὸ τῶν ὑπηρετῶν τοῦ λόγου διδαγμάτων, τὰ μέν ἐστι δόγματα, τὰ δὲ κηρύγματα· καὶ ἡ διαφορὰ τὰ μὲν δόγματα, μετ' ἐπικρύψεως καὶ σοφίας ἀπαγγέλλεται, καὶ τῇ ἀσαφείᾳ πολλάκις ἐξεπίτηδες περιβάλλεται, ὡς ἂν μὴ βεβήλοις εἴη τὰ ἅγια ἔκθετα, καὶ οἱ μαργαρῖται τοῖς χοίροις προσερριμμένοι: τὰ δὲ κηρύγματα χωρίς τινος ἐπικρύψεως ἀπαγγέλλεται, καὶ μάλιστα ὅσα εἰς λόγον ἐντολῶν καὶ θείου φόβου συντήρησιν ἀναφέρεται. εἶναι δὲ καὶ τῶν δογμάτων ἔτι τινὰ μυστικώτερα, ἃ παντελῶς (ὡς τὸ ἔπος φάναι) σεσίγηται: ἐκείνοις δὲ μόνοις μυστικῶς παραδίδοται, *οἳ διὰ λόγου ζῶντος ἔχουσι πνευματικὴν σοφίαν πιστοῖς ταῦτα *παρατίθεσθαι.

* al. ἐσχηματισμένην
* διετήρησε.
* al. τὸν.
* al. ἢ κατὰ τὴν
* al. οἷς.
* al. συμπαρατίθεσθαι.

EVLOGIVS.

Eadem autem sentire Athanasium & Cyrillum prædicat, qui vnam verbi naturam incarnatam confessi sunt. Cum enim *incarnatam* dixerunt, assumptam naturam prædicarunt. In his pergens, vt & in aliis eius scriptis contendit super hac voce, tribus ostendens modis capi posse vocem *incarnatam*. Etenim *incarnata*, pro carnem indura, & veluti effigie coformata, quemadmodum æs simulachri forma, sumi possit; vel quod conuersa verbi natura in carnem, & quasi incarnata vna prodiit natura: vel quod vna existens verbi natura, secundum incarnationem non amplius vna sola, sed cum carne spectetur; incommutabilitatem atque integritatem sibi & assumptæ carni conseruans. Primæ itaque duæ significationes Apollinarij & Eutychis, tertia verò ex mente Apostolorum est, quam & SS. Patrum nostrorum cœtus inde mutuatus retinuit. Clarum verò est, si quis piè sentire velit, dicendo vnam Verbi naturam incarnatam, gratiam adepturum, sentiendo cum iis qui duas naturas inconfusas atque impermixtas in vno & eodem Christo esse & cognoscunt, & statuunt. Alioqui cum Apollinario & Eutyche sentit. Etenim vnam hic naturam pro persona dictam esse, *Incarnatam* verò pro humana natura: vt nihil intersit dicere vnam verbi naturam incarnatã, vel vnam verbi personam humanam assumpsisse naturam. Quamobrem patres nostri hanc vocem explanantes adducunt: non sublata naturarum differentia per vnionem, sed potius vtraque conseruata in proprio naturæ termino & verbo, in vno eodemque Christo Iesu Deo nostro. Quare si conseruata cognoscantur, cognita prædicentur, & quæ prædicantur, & numerentur: perspicuum est piè dicendo vnam verbi naturam incarnatam, & illud, duas naturas in vnione hypostatica indiuisas, nullam differentiam piis adferre. His ac similibus prima absoluitur oratio.

Incarnati triplex significatio.

Secunda dogmatica inscribitur, quæ fidei expositionem continet, quæ piè & sincerè de veritate sentit, & hæc de incarnato Christo eodé modo prosequitur, compendiosius hæc quam supra exequẽs, nihil tamen accurationis omittens, & hæc percurrens in admonitionem desinit, & eos qui ab Ecclesia se segregarunt, ad communem consensionem reuocare conatur. Hoc libro ait, earum quæ in Ecclesia sunt à verbi ministris traditæ doctrinæ, quædam dogmata sunt, quædam præconia & differentiæ dogmata cum occultatione & sapientia declarantur, & obscuritati sæpe de industria inuoluuntur, ne profanis sint sancta exposita, & margaritæ porcis obiiciantur: præconia sine vlla obscuritate dicuntur, & ea præsertim quæ de præceptorum & diuinæ reuerẽtiæ obseruatione tractant. Esse præterea dogmata quædam obscuriora, quæ omnino, vt ita dixerim, tacentur: solis verò illis mysticè tradita, qui fideles habent spiritualẽ sapientiam per verbũ viuum,

EVLOGIVS. Præterea distinctionem eorum, quæ de Christo dicuntur, facit, quædam reuerà & propriè dicta asserens: alia per transumptionem. Capiuntur enim à nobis, quemadmodum ipse caput sit omnium, quæ à nobis dicuntur, peccatum, maledictum, & si qua similia. Ait enim Apostolus: *Qui non nouerat peccatum, pro nobis peccatum fecit.* Et iterum: *Christus nos redemit à maledicto legis, factus pro nobis maledictum.* Sic & inobedientiam nostram & ignorantiam, vt caput integri corporis suscepisse. & illud, Deus meus, Deus meus, vt quid dereliquisti me, per ineffabilem amorem, nostra tanquam sua assumpserit.

2. Cor. 5. 21. Gal. 3. 13.

Tertia oratio aduersus calumniantes sanctos Patres, & Concilium Chalcedonense decertat. Primò verò epistolas ad Succensum à B. Cyrillo conscriptas, & quæ huc pertinere videntur diiudicat. Etenim aduersarij ab huiusmodi vocibus tanquam à turre quadam aduersus dogmata pietatis incurrunt. Hinc & alias calumnias refellit. Nam hæreticorum opinionem primum quidem proponit secunda epistola ad Succensum; quæ ait, dicere duas esse naturas indiuisas post vnionem, contrarium esse iis, qui vnam Verbi naturam incarnatam colunt. Contra quos veritatis patronus disserit, vt qui vnam Verbi naturam incarnatam docent, clarè voce volunt demonstrare eam quæ est per hypostasim: & quod Verbum hominem præexsistentem non assumpserit, sed reuera caro factum sit. Hæc autem vox non satis demonstrat mysterij perfectionem. Vbi enim licet accipere per vocem, fuerit ne animata assumpta caro, nec ne? & an solum carne indutum, vel reuera natum sit caro? Vnde porrò quod perfecta & inconfusa; concurrentia permanserint? nihil enim horum clarum ex ea reperies. Propterea enim & Apolinario & Eutychi propositus locus conuenit, huic quidem coniuncta confundenti, Apollinario verò inanimatam carnem imaginanti. Quin & hæc vox placet Maneti, imaginariam & adumbratam fingenti incarnationem. Qui verò duas inconfusas asserunt naturas, inconfusa quidem concurrentia conseruant, neque hi per easdem voces vnionem hypostaticam prædicant. Fieri enim potest, vt contrà improbè capiant quod vnitum est, (vt Nestorius) honore & gloria, & aliis hæreticorum inuentis. Ideo & B. Cyrillus in fine huius epistolæ, *indiuisum*, ait, *additum, videtur nostræ rectæ fidei esse signum: illi verò non ita sentiunt.* Indiuisum enim apud illos, secundum nouas Nestorij voces, alio modo sumitur. Dicit enim honoris paritate, & voluntatis & auctoritatis indiuisum hominem esse, in quo Dei Verbum habitauit. Quare dupliciter magnus ille Cyrillus indiuisum intelligit. aliud quidem hæreticè, aliud verò propriè & orthodoxè. Duobus autem modis indiuisum vsurpando, verè dixit: dicere vnam Verbi naturâ incarnatâ, pugnare contra Nestorianos asserentes duas naturas indiuisas.

ἔτι δὲ διάστολὴν τῶν ἐπὶ Χριστοῦ λεγομένων ποιεῖται, τὰ μὲν ἀληθῶς καὶ κυρίως ὑποτιθέμενος λέγεσθαι: τὰ δὲ κατὰ ἀναφοράν. ἀναφέρεται γὰρ ἀφ' ἡμῶν, ὡς κεφαλῆς ἐκείνου πάντων ἡμῶν ἀναγομένου γνωρίσματος, ἥ τε ἁμαρτία, καὶ ἡ κατάρα, καὶ ὅσα παραπλήσια. λέγει γὰρ ὁ ἀπόστολος· τὸν μὴ γνόντα ἁμαρτίαν, ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησε. καὶ πάλιν· Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. οὕτω δὲ καὶ τὸ ἀνυπότακτον ἡμῶν, καὶ τὴν ἄγνοιαν, ὡς κεφαλὴν τοῦ ὅλου σώματος, ἀναδέχεσθαι· καὶ τὸ θεέ μου θεέ μου, ἵνα τί με ἐγκατέλιπες; δι' ἄφατον φιλανθρωπίαν ὡς ἑαυτοῦ τὰ ἡμέτερα οἰκειούμενον.

Ὁ δὲ τρίτος λόγος κατὰ τῶν συκοφαντησάντων τοὺς ἁγίους πατέρας, καὶ τὴν ἐν Καλχηδόνι σύνοδον, ἀγωνίζεται. καὶ πρῶτον μὲν τὰς πρὸς Σούκενσον ἐπιστολὰς, ἃς τῷ μακαρίῳ Κυρίλλῳ γεγράφησαν, καὶ ὅσα ἄλλα ταύταις συντείνειν δοκοῦσι, διακρίνει. καὶ γὰρ οἱ δι' ἐναντίας ἀπὸ τῶν τοιούτων φωνῶν, ὥσπερ ἀπό τινος ἀκροπόλεως, κατατρέχειν τῶν τῆς εὐσεβείας δογμάτων φρυάττονται. ἔπειτα δὲ καὶ τὰς ἄλλας συκοφαντίας ἀποσκευάζεται. τὸ μὲν οὖν αἱρετικὸν φρόνημα, πρῶτον μὲν προτείνει τῆς δευτέρας πρὸς Σούκενσον ἐπιστολῆς χρῆσις, ἥτις τὸ δύο λέγειν φύσεις ἀδιαιρέτους μετὰ τὴν ἕνωσιν, ἐναντίον εἶναι φησὶ τοῖς μίαν πρεσβεύουσι τοῦ λόγου φύσιν σεσαρκωμένην. οἷς ἀντιτιθέμενος ὁ συνήγορος λέγει τῆς ἀληθείας, ὡς οἱ μίαν τοῦ λόγου φύσιν σεσαρκωμένην δοξάζοντες, σαφηνίζειν μὲν βούλονται διὰ τῆς φωνῆς ποιεῖν τὴν καθ' ὑπόστασιν, καὶ ὡς ὁ λόγος οὐκ ἄνθρωπον προϋποστάντα προσέλαβεν, ἀλλὰ σὰρξ ὡς ἀληθῶς γέγονεν· ἡ δὲ οὐκ ἐξαρκεῖ τοῦ μυστηρίου δεῖξαι τὸ τέλειον. ποῦ γάρ ἐστι διὰ τῆς φωνῆς λαβεῖν, εἴτε ἔμψυχος ἦν ἡ ἀναληφθεῖσα σὰρξ, ἢ μή· καὶ εἰ ἐσχημάτιστο μόνον τῇ σαρκὶ, ἢ ἀληθῶς ἐπεφύκει σὰρξ; πόθεν δὲ, ὅτι τέλεια ἢ ὅτι ἀσύγχυτα [τὰ] συνελθόντα μεμενήκασιν; οὐδὲν γὰρ τούτων διακεκριμένον ἐστὶν ἐξ αὐτῆς εὑρεῖν. διὰ τοῦτο γὰρ καὶ Ἀπολιναρίῳ καὶ Εὐτυχεῖ τὸ προκείμενον χωρίον συνῴδουσι: τῷ μὲν συγχέοντι τὰ συνελθόντα· Ἀπολιναρίῳ δὲ, ἄψυχον τὴν σάρκα φανταζομένῳ. ἀλλὰ καὶ Μάνεντι φίλον ἡ φωνὴ, σχήματι καὶ φαντασίᾳ τὴν ἐνανθρώπησιν πλάττοντι. οἱ μέντοι λέγοντες δύο φύσεις ἀδιαιρέτους, ἀσύγχυτα μὲν τὰ συνελθόντα φυλάττουσιν, οὐδ' οὗτοι μέντοι διὰ τῶν αὐτῶν φωνῶν τὴν καθ' ὑπόστασιν κηρύττουσιν ἕνωσιν. δυνατὸν γὰρ πάλιν * κακούργοις λαβεῖν τὸ ἡνωμένον, ὡς ὁ Νεστόριος, τιμῇ καὶ δόξῃ καὶ τοῖς ἄλλοις αἱρετικοῖς ἐπιτεχνάσμασιν. διὰ τοῦτο καὶ ὁ θεῖος Κύριλλος κατὰ τὸ πέρας τῆς εἰρημένης ἐπιστολῆς· τὸ δὲ * ἀδιαίρετον, ἔφη, προστεθὲν, δοκεῖ μέν πως παρ' ἡμῖν ὀρθῆς δόξης εἶναι σημαντικόν: αὐτοὶ δὲ οὐχ οὕτω νοοῦσι. τὸ γὰρ ἀδιαίρετον παρ' αὐτοῖς κατὰ τὰς Νεστορίου κενοφωνίας, καθ' ἕτερον λαμβάνεται τρόπον. φασὶ γὰρ ὅτι τῇ ἰσοτιμίᾳ, τῇ ταυτοβουλίᾳ, τῇ αὐθεντίᾳ, ἀδιαίρετός ἐστι τοῦ θεοῦ λόγου ὁ ἐν ᾧ κατῴκησεν ἄνθρωπος. ὥστε διττὸν καὶ ὁ μέγας Κύριλλος οἶδε τὸ ἀδιαίρετον: τὸ μὲν αἱρετικῆς δόξης, τὸ δὲ οἰκεῖόν τε καὶ ὀρθοδόξου φρονήματος. διχῇ δὲ τοῦ ἀδιαιρέτου λεγομένου, εὐλόγως ἔφησε μάχεσθαι τὸ λέγειν μίαν τοῦ λόγου φύσιν σεσαρκωμένην, τοῖς κατὰ Νεστόριον φάσκουσι δύο φύσεις ἀδιαιρέτους.

* κακούργοις.
* ἀδιαίρετον.

αὐτὸ

αὐτὸ δὲ τοῦτο τὸ ῥητὸν ὀρθῆς γίνεται δόξης, ἀπομερισθὲν τῆς ὁμωνυμίας. ἀπομερίζεται δὲ κατ' ἄλλους τρόπους: μάλιστα δὲ ἐν τῷ τὴν καθ' ὑπόστασιν προσλαβεῖν ἕνωσιν. αὕτη γὰρ ἡ προσθήκη τὸ ἀκριβὲς πληροῦσα, καὶ τὸν δόλον ἐλαύνει Νεστορίου, καὶ τοὺς συκοφάντας τῆς δυσσεβείας καταισχύνει. ἀτελὴς οὖν ἑκατέρα φωνὴ, ὡς ἐκ τῶν εἰρημένων δῆλον καθέστηκε, μὴ προσλαβοῦσα τὴν ἑτέραν. λέγω * δὴ καὶ ἡ λέγουσα μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, καὶ ἡ δύο φύσεις ἀδιαιρέτους: τελειοῦται δὲ ἑκατέρα συμπλεκομένη τῇ ἑκατέρᾳ. ἡ μὲν γὰρ τοῦ λόγου φύσις σεσαρκωμένη τὴν καθ' ὑπόστασιν ἁπλῶς ἕνωσιν εἰσάγει: ὁ δὲ τὰς δύο φύσεις λέγων ἀδιαιρέτους, τὸ ἄφυρτόν τε καὶ ἀσύγχυτον τῶν συνελθόντων μηνύει. ἐκ τούτου ἀπομερισθεῖσα φωνὴ θατέρας ἡ ἑτέρα, καὶ σοφιστικῶς προσαγομένη δικαιοτάτην ἂν τὴν κατάγνωσιν ἐλέγχοι. ὥστε δικαίως καὶ ὁ ἱερὸς Κύριλλος πρὸς Νεστόριον ἀποτεινόμενος, ὡς ἀτελῆ τὴν λέγουσαν ῥῆσιν δύο φύσεις ἀδιαιρέτους, καὶ μὴ ἐξαρκοῦσαν τὸ αἱρετικὸν σόφισμα διελέγξαι, παραιτεῖται· καὶ μάχεσθαι αὐτῇ τὴν λέγουσαν μίαν [φύσιν] τοῦ λόγου σεσαρκωμένην. μεθ' ἧς εἰ συντεθεῖσα προέλθοι, ἀκέραιον τὴν εὐσέβειαν ἐδήλου, τὰς δύο φύσεις ἀδιαιρέτους ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει τρανολογοῦσα. οὕτω δὴ κἂν μίαν τις προσφέρῃ τοῦ λόγου φύσιν σεσαρκωμένην, καὶ μάλιστα πρὸς Ἀπολινάριον * ἀπομαχόμενος, ἢ Μάνεντα, ἢ Εὐτυχέα, ἀτελῶς τε ἂν προσφερόμενος εἴη, καὶ τῷ ἐκείνων μᾶλλον φρονήματι συνεπαμύνων· καὶ τὴν τοῦ Κυρίλλου δόξαν διαπολεμῶν καὶ ἀναστρέφων, συνελαύνων δὲ καὶ * τοὺς δύο φύσεις ἀδιαιρέτους ἐν τῇ καθ' ὑπόστασιν ὁμολογοῦντας ἑνώσει. ὅτι δὲ τὸ δύο φύσεις ὁμολογεῖν ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει, σύνδρομόν ἐστι τῇ εὐσεβῶς δοξαζούσῃ γνώμῃ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην: ἐμαρτύρησε περιφανῶς ὁ φύλαξ τῆς ἀκριβείας Κύριλλος. τοὺς γὰρ ἀνατολικοὺς τοῦ θεοῦ ἀρχιερεῖς, μίαν μὲν τοῦ λόγου φύσιν σεσαρκωμένην οὐδαμῶς εἰπόντας, δύο δὲ φύσεις ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει καὶ δογματίζοντας καὶ φρονοῦντας, εὖ μάλα καὶ μετὰ πολλῆς τῆς εὐφροσύνης ἀπεδέξατο. ὁ μὲν γὰρ ἐν ἁγίοις Ἰωάννης, ὃς τὸν ἀρχιερατικὸν τῆς Ἀντιοχείας ἀνεδέξατο θρόνον, ἔγραψεν, ὅτι δύο φύσεων ἕνωσις γέγονε: διὸ ἕνα Χριστὸν, ἕνα υἱὸν, ἕνα κύριον ὁμολογοῦμεν. κατὰ ταύτην τὴν τῆς ἀσυγχύτου ἑνώσεως ἔννοιαν, ὁμολογοῦμεν τὴν ἁγίαν παρθένον, θεοτόκον· διὰ τὸ τὸν θεὸν λόγον σαρκωθῆναι καὶ ἐνανθρωπῆσαι. ὁ δὲ θερμὸς τῆς ἀκριβείας ἐραστὴς Κύριλλος, ταῦτα καὶ τὰ τούτοις ἀκόλουθα ταῖς γράμμασι * διομολογησάμενος, οὐ μόνον ἀσμένως καὶ περιχαρῶς προσῆκατο: ἀλλὰ καὶ Παῦλον τὸν Ἐμέσης ἐπίσκοπον, ὃς ἐξ αὐτοῦ ἀπεσταλτο ἐπὶ πανδήμου προσομιλήσαντα πανηγύρεως, ὃ ὑπῆρχεν αὐτῷ τε καὶ τῷ ἀποστείλαντι φρόνημα, ἐγκωμίοις τε ἐδεξιώσατο, καὶ ὡς ὁμογνώμονα ἐμεγάλυνεν. ἡ δὲ ὁμιλία διεξῄει, ὡς ὁ λόγος σὰρξ ἐγένετο, [καὶ] τὸ ἐσκήνωσεν ἐν ἡμῖν· [καὶ ὅτι τὸ δεύτερον τοῦ αὐτοῦ ἑρμηνεία ἐστὶ τοῦ, ὁ λόγος σὰρξ ἐγένετο, τὸ ἐσκήνωσεν ἐν ἡμῖν] τουτέστιν, ἐν τῇ ἡμετέρᾳ φύσει. τοιαῦτα μὲν ὁμιλήσας ὁ Παῦλος, τῶν Κυριλλίων ἀπήλαυσεν ἐπαίνων. ὅρα δὲ πάλιν καὶ τὸν Ἰωάννην δύο φύσεις κηρύττοντα, καὶ ἕνα υἱόν· ἕτερον σκηνὴ, καὶ ἕτερον τὸ σκηνοῦν· ἕτερον ναὸς, καὶ ἕτερον ὁ ἐνοικῶν θεός. πρόσεχε τοῖς λεγομένοις

*al. ἢ.
*ἀπομαχόμενον.
*al. τάς.
*al. ἐπιμαρτυρησάμενος.

EVLOGIVS.

Idem autem quod dictum est, Ecclesiæ est orthodoxæ, si æquiuocatio tollatur. Tollitur autem & aliis modis, maximè verò, in assumendo vnionem hypostaticam. Eadem enim hæc additio accuratè adimplens, & fraudem Nestorij discutit, & hæreticos confundit. Imperfecta ergo est vtraque vox, vt ex prioribus patet, non alteram arripiendo. Itaque intelligo eam vocem, quæ dicit, vnam Verbi naturam incarnatam, & illam, quæ dicit, duas naturas inconfusas, vtramq; perficere inter se copulatam. Verbi enim natura incarnata vnionem hypostaticam simpliciter profert, qui verò duas asserit indiuisas naturas, immixtum & inconfusum eorum, quæ coniunguntur significat. Igitur diuisa vox altera ab altera, & captiosè adducta iustissimam reprehensionem meretur. Quare rectè S. Cyrillus in Nestorium inuectus, vt imperfectam vocem dicentem duas indiuisas naturas, & non valentem hæreticorum sectam refutare, accusat, & pugnare [ait] cum illa quæ dicit vnam naturam incarnatam. Cum qua si composita veniat, sinceram pietatem ostendit, duas indiuisas naturas in vnione hypostatica clarè prædicans. Sic certè licet quis vnam Verbi naturam incarnatam dixerit, & maximè cum Apolinario dimicans, aut Manete, aut Eutyche, imperfectè proferat, & illorum sententiam potius adiuuans, & Cyrilli sententiam oppugnans, & inuertens, & constringens eos, qui duas naturas indiuisas in vnione hypostatica confitentur. quod autem duas naturas confiteri in vnione hypostatica, congruat cum Ecclesia vnam naturam Verbi incarnatam docente, Cyrillus accuratæ veritatis custos clarè ostendit. Orientis enim Episcopos negantes vnam Verbi incarnatam, duas verò naturas in vnione hypostatica & docentes & sentientes, rectè & lubentissimè excepit. S. enim Ioannes, qui Antiochenam tenuit sedem, scripsit, duarum factam esse vnionem naturarum, & ideò vnum Christum, vnum filium, vnum dominum nos confiteri: secundum hanc inconfusæ vnionis intelligentiam, confitemur Deiparam Virginem Dei matrem esse, quia Dei Verbum incarnatum est, & carnem induit. Ardens ille veritatis studiosus Cyrillus, hæc & his cōsimilia scripturis asserens, non modo libenter & iucundissime accessit, sed & Paulum Emisenum, qui ab ipso missus erat in publico cœtu concionaturus, quæ & sibi & mittenti Cyrillo fuerit sententia, laudibus excepit, & vt eadem sentientem magnificeit. Concio vero persequitur illud, *Verbum caro factum est, & habitauit in nobis.* [Secundo interpretatus est: *Verbum caro factum est, & habitauit in nobis.*] hoc est in nostra natura. Talia Paulus ille prædicans, Cyrilli laudibus ornatur. Respice iterum Ioannem duas naturas declarantem, & vnum filium; aliud tabernaculum, aliud inhabitans. aliud templum, aliud inhabitans Deus. Attende dicto,

Ioan. 1. vlt...

EVLOGIVS. non dixit, alius est & alius. vt de duobus Christis aut duobus filiis. Sed *aliud & aliud*, vt de duabus naturis. Quando ergo dixit, *habitauit in nobis*, & duas dixit naturas, tum & hoc addidit, *& vidimus gloriam eius, gloriam quasi vnigeniti.* Hæc & id genus alia S. Euangelistæ Ioannis verba docent vera esse cum prædictis dogmata. A propria auspicatus doctrina ait, S. Isaias propheta Christi doctorum eloquentiam prænuncians ait: *Haurietis aquas in gaudio de fontibus Saluatoris.* (Esai. 12. B) Ecce hausimus nobis aquas è diuino fonte, prædicti, inquam, doctoris, qui S. Spiritus facibus accensus, ostendit nobis magnum & sanctum Saluatoris mysterium. Sic S. Ioannem duas naturas sursum deorsum vertentem, feruidus ille veritatis adamator Cyrillus sacrum fontem appellat, lumine S. Spiritus plenum, & clarum prædicatorem magnorum & sanctorum Christi mysteriorum: Neque hunc solum, sed de commemorato antea Paulo ad Ioannem scribens, qui de voce dixit. Veniente Alexandriam confratre in domino pio, & sacris iisdem initiato, animi voluptate impleti sumus, & valde probabiliter, vt viri ita mediantis. & iterum, modum excedens, & non facile excusandum ecclesiarum dissidium contigit, nunc maximè domino impleti sumus, proferente epistolam B. Paulo Episcopo, irreprehensibilem habens fidei professionem. Sic quidem iucunditate dignum Paulum fuisse, & allatam Orientalium fidem irreprehensibilem prædicare. Adhæc accuratè ostendens, in quibus cum Orientalibus consentiat, & quæ communiter allegant, ne contentiosam transferre securitatem, accipiat ad quod volet, pacificam consensionem, & constitutionem verbis ipsis caput hoc postremum facit. Scimus viros diuinos scripturæ peritos quas de domino voces protulerint, partim dum veluti vni personæ illas communicant, partim dum velut in duas distribuunt, & quasdam Deo dignas respectu diuinitatis Christi, quasdam abiectas respectu humanitatis tradunt; quibus adiungit & suum iudicium; quæ cum nostris vocibus conueniunt, sic & illos sentientes reperimus: (Ephes. 4. 5.) *Vnus enim dominus, vna fides, vnum baptisma*: Sensimus vniuersorum saluatorem Deum, aliis inuicem congaudentes, quia diuinæ scripturæ, & traditioni SS. Patrum fidem habent consentientem, quæ apud vos & nos sunt ecclesiæ. Et quis alius sit generosior, & fide Cyrillo dignior, ad Cyrillum interpretandum, & eiusdem sententiam puram & hæreticis mixturis non inquinatam constituere, in quibus indifferenter opinari se, & Orientales de pietate renunciarunt. Ostendit clarè non differre & hoc, in vna persona, vel in vna hypostasi duas naturas indiuisas confiteri, & hoc, vnam Verbi naturam incarnatam anima rationali & intelligibili. Non ad Orientales modo scribens, similem illis testatur opinionem:

οὐχ * εἶπεν ἕτερος καὶ ἕτερος, ὡς ἐπὶ δύο Χριστῶν, ἢ δύο υἱῶν· ἀλλ' ἕτερον καὶ ἕτερον, ὡς ἐπὶ δύο φύσεων. ὅτε οὖν εἶπεν· ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐκήρυξε δύο φύσεις. τότε ἐπήγαγε· καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς. ταῦτα οὖν καὶ τοιουτότροπα, τοῦ ἱεροῦ γεγραφότος Ἰωάννου, ἐπιμαρτύρεται μὲν τοῖς εἰρημένοις δογμάτων ὀρθότητα· τῆς δὲ οἰκείας ἀπαρχόμενος διδασκαλίας, * ὧδέ φησιν· ὁ μακάριος προφήτης Ἡσαΐας τῶν ἐν Χριστῷ διδασκάλων τὰς εὐστομίας προανακηρύττων ἔλεγεν· ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. ἰδοὺ τοίνυν ἠντλήσαμεν ἡμῖν ὕδωρ ἐξ ἁγίας πηγῆς, τοῦ προλαβόντος φημὶ διδασκάλου, ὃς καὶ ταῖς τοῦ πνεύματος δᾳδουχίαις λελαμπρυσμένος διεσάφησεν ἡμῖν τὸ μέγα καὶ σεπτὸν τοῦ σωτῆρος μυστήριον. οὕτω τὸν ἱερὸν Ἰωάννην, δύο φύσεις ἄνω καὶ κάτω στρέφοντα, ὁ τῆς ἀληθείας θερμὸς ἐραστὴς Κύριλλος πηγὴν μὲν ἁγίαν ἀποκαλεῖ, τῆς δὲ τοῦ παναγίου πνεύματος φωτοχυσίας ἔμπλεων καὶ λαμπρὸν ὑποφήτην τοῦ κατὰ Χριστὸν σεπτοῦ καὶ μεγάλου μυστηρίου. οὐ μόνον δὲ, ἀλλὰ καὶ περὶ τοῦ μνημονευθέντος ἀρχιερέως Παύλου, πρὸς τὸν αὐτὸν ἐν ἁγίοις Ἰωάννην ἀντιγράφων, ὧδέ φησιν ἐπὶ λέξεως. * ἀφικομένου τοίνυν εἰς τὴν Ἀλεξάνδρειαν τοῦ κυρίου καὶ θεοσεβάστου ἀδελφοῦ καὶ συλλειτουργοῦ Παύλου, θυμηδίας ἐμπεπλήσμεθα, καὶ σφόδρα εἰκότως, ὡς ἀνδρὸς τοιούτου μεσιτεύοντος. καὶ πάλιν, ὅτι [δὲ] περιττῶς καὶ οὐκ εὐαφόρμως τῶν ἐκκλησιῶν ἡ διχοστασία γέγονε, νυνὶ μάλιστα πεπληροφορήμεθα, τοῦ κυρίου τοῦ θεοσεβάστου Παύλου τοῦ ἐπισκόπου χάρτην προσκομίσαντος, ἀδιάβλητον ἔχοντα τῆς πίστεως τὴν ὁμολογίαν. οὕτω μὲν οὕτω καὶ τὸν ἀρχιερέα Παῦλον θυμηδίας * ἄξιον γενέσθαι, καὶ τὴν προσκομισθεῖσαν δι' αὐτοῦ τῶν ἀνατολικῶν πίστιν, τὸ ἀδιάβλητον ἔχουσαν, ἀνακηρύττειν. ἐπὶ δὲ τούτοις δεικνὺς ἐναργῶς, ἐφ' οἷς τοῖς ἀνατολικοῖς συμβαίνει, καὶ ἃ κοινῇ πρεσβεύουσιν· ἵνα μὴ τὸ φιλόνεικον μεταφέρειν ἄδειαν λάβοι πρὸς ὃ βούλοιτο, τὴν εἰρηνικὴν ὁμόνοιάν τε καὶ κατάστασιν αὐτοῖς ῥήμασι κεφάλαιον τελευταῖον ταῦτα ποιεῖται. τὰς δὲ εὐαγγελικὰς καὶ ἀποστολικὰς περὶ τοῦ κυρίου φωνὰς ἴσμεν, τοὺς θεολόγους ἄνδρας τῶν γραμμάτων, τὰς μὲν κοινοποιοῦντας ὡς ἐφ' ἑνὸς προσώπου· τὰς δὲ διαιροῦντας, ὡς ἐπὶ δύο φύσεων· καὶ τὰς μὲν θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ Χριστοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα παραδιδόντας. οἷς ἐπιφέρει καὶ τὴν οἴκοθεν κρίσιν, λέγων· ταύταις ἡμῶν ἐντυχόντες ταῖς ἱεραῖς φωναῖς, * οὕτω τε καὶ αὐτοὺς φρονοῦντας εὑρίσκοντες· εἷς γὰρ κύριος, μία πίστις, ἓν βάπτισμα· ἐδοξάσαμεν τὸν τῶν ὅλων σωτῆρα θεὸν, ἀλλήλοις συγχαίροντες, ὅτι ταῖς * θεοπνεύστοις γραφαῖς καὶ τῇ παραδόσει τῶν ἁγίων πατέρων συμβαίνουσαν ἔχουσι πίστιν, αἵ τε παρ' ὑμῖν καὶ αἱ παρ' ἡμῖν ἐκκλησίαι. καὶ τίς ἂν ἄλλος εἴη μεγαλοφωνότερος ἢ ἀξιοπιστότερος Κυρίλλου, Κύριλλον ἑρμηνεῦσαι καὶ τὸ αὐτοῦ φρόνημα καθαρὸν καὶ ἀκαπήλευτον αἱρετικῆς ἐπιμιξίας παραστῆσαι; ἐξ ὧν οὖν ἀδιαφόρως δοξάζειν αὐτόν τε καὶ τοὺς * ἀνατολικοὺς τὴν εὐσέβειαν ἀνεῖπεν· ἔδειξε περιφανῶς ἀδιάφορον εἶναι καὶ τὸ ἐφ' ἑνὸς προσώπου, ἤτοι μιᾶς ὑποστάσεως δύο τὰς φύσεις ἀδιαιρέτως ὁμολογεῖν· καὶ τὸ, μίαν τοῦ λόγου σεσαρκωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ. οὐ μόνον δὲ, πρὸς τοὺς τῆς ἀνατολῆς γράφων, τὸ ὁμόδοξον αὐτοῖς μαρτυρεῖ: ἀλλὰ

* ἴσ. εἶπεν.
* οὕτω.
* al. ἀφικομένου
* αὐτὸν ἡμῖν
* al. οὕτω.
* al. θεοπνεύστοις
* ἀνατολ. κ. ἀν. M. M.

EVLOGIVS

ἀλλὰ καὶ τινων ἐγκαλούντων αὐτῷ, ὅτι τὰς δύο φύσεις ὁμολογοῦντας τοὺς ἀνατολικοὺς ἐδέξατο· αὐτὸς πρὸς Οὐαλεριανὸν τὸν Ἰκονίου ἐπίσκοπον ὑπὲρ αὐτῶν γράφει ὡς Νεστόριον μὲν οἱ ἀνατολικοὶ καταχρίνουσι, καὶ τὴν τῶν πατέρων ὁμολογίαν ἀκέραιον διασώζουσι, τὴν ἁγίαν παρθένον θεοτόκον μεθ' ἡμῶν ἀνομολογοῦντες· καὶ ἕνα εἶναι Χριστὸν καὶ υἱὸν καὶ Κύριον, τὸν ἐκ θεοῦ μὲν πατρὸς γεννηθέντα θεὸν λόγον, ἐπ' ἐσχάτων δὲ τὸν αὐτὸν ἐκ γυναικὸς κατὰ σάρκα τεχθέντα. καὶ τέλειον εἶναι τὸν αὐτὸν ἐν θεότητι, καὶ τέλειον ἐν ἀνθρωπότητι· οὐ διαιροῦντες εἰς δύο υἱοὺς, ἢ χριστοὺς, ἢ κυρίους· καὶ τοὺς ἐπιχειροῦντάς τι λέγειν κατ' αὐτῶν, ὡς ψεύστας καὶ ἀπατεῶνας, καὶ τὸ τοῦ ψεύδους ἑαυτῶν προβαλλομένους πατέρα μυσάττεσθαί τε παραινεῖ καὶ ἀποπέμπεσθαι. ἀλλὰ μὴν καὶ ἐν τῇ πρὸς Ἀκάκιον τὸν Μελιτηνῆς ἐπίσκοπον περὶ τῶν ἀνατολικῶν οὕτω φησίν· οὐ διαιροῦσι τὸν ἕνα υἱὸν καὶ Χριστὸν· τὸν αὐτὸν δὲ εἶναί φασι τὸν ἐκ θεοῦ πατρὸς ὡς θεὸν, καὶ ἐκ γυναικὸς κατὰ σάρκα ὡς ἄνθρωπον· καὶ ὡς οὐκ ἂν νοοῖτο ὁμοούσιος ἡμῖν κατὰ τὴν ἀνθρωπότητα, οὐδὲ τῷ πατρὶ κατὰ τὴν θεότητα, εἰ μὴ νοοῖτο θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ αὐτός· ὃ Νεστόριος οὐκ ἀνέχεται. οὕτως οὐ μόνον δύο λέγοντας φύσεις τοὺς ἀνατολικοὺς κατασπάζεται· ἀλλὰ κἂν κατηγορῇ τις, ὑπέρμαχος γίνεται, καὶ (τὸ παράδοξον) κἂν μὴ προσθῶσιν [τὸ] ἀδιαιρέτως, οὐ λέγει διαιρεῖν αὐτοὺς τὰς φύσεις. οἶδε γὰρ ὁ ἕνα Χριστὸν, ἓν πρόσωπον, μίαν ὑπόστασιν, ὁ λέγων τὸν αὐτὸν θεὸν καὶ ἄνθρωπον, καὶ θεοτόκον τὴν παρθένον, οὐδὲν ἧττον, κἂν μὴ προσθῇ τὸ ἀδιαιρέτοις, ὡς ὁμολογῶν ἐκ τῶν εἰρημένων τὴν καθ' ὑπόστασιν ἕνωσιν, συνεισάγει καὶ τὸ ἀληθῶς ἀδιαίρετον. ὁ αὐτὸς δὲ τῆς ἀσφαλοῦς καὶ θείας ὄντως ἐραστὴς, πάλιν πρὸς Ἀκάκιον γράφων· ἔνεστιν εἰπεῖν καὶ δύο φύσεις, φησὶ, [καὶ] μὴ διαίρεσιν τῶν φύσεων ἐννοεῖν πως, ἐπειδὰν τις συνάψοι τοῖς εἰρημένοις τὴν καθ' ὑπόστασιν ἕνωσιν. καὶ μὴν ἐπιστέλλων καὶ πρὸς Εὐλόγιον, ὁμόδοξον ἡγεῖται τὸν μίαν φύσιν λέγοντα τοῦ λόγου σεσαρκωμένην, τῷ δύο φύσεις ἀδιαιρέτους ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει συνομολογοῦντι. ἐπιλαμβάνονταί τινες τῆς ἐκθέσεως, *ἧς πεποίηνται οἱ ἀνατολικοὶ, καί φασι· διὰ τί δύο φύσεις ὀνομαζόντων αὐτῶν ἠνέσχετο, καὶ ἐπῄνεσεν ὁ τῆς Ἀλεξανδρείας. οἱ δὲ τὰ Νεστορίου φρονοῦντες λέγουσι, κἀκεῖνον οὕτω φρονεῖν· συναρπάζοντες τοὺς οὐκ εἰδότας τὸ ἀκριβές. χρὴ δὲ τοῖς μεμφομένοις ἐκεῖνα λέγειν, ὅτι οὐ πάντα, ὅσα λέγουσιν οἱ αἱρετικοὶ, φεύγειν καὶ παραιτεῖσθαι χρή· ὥστε δύο φύσεις λέγοντας τοὺς μὲν ἀνατολικοὺς ἀποδέχεται· εὐσεβῶς γὰρ οὗτοί φασι· Νεστόριον δὲ καταχρίνει, οὐχ ὅτι δύο φύσεις ἔλεγεν· ἀλλ' ὅτι δύο φύσεις λέγων, τὴν καθ' ὑπόστασιν ἕνωσιν οὐ προσίεται. ὥσπερ οὐδὲ τὸ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην. μετ' ὀλίγα γὰρ ἐπιφέρει, ὡς κἂν δύο φύσεις λέγῃ Νεστόριος, τὴν διαφορὰν σημαίνων τῆς σαρκὸς καὶ τοῦ θεοῦ λόγου· ἀλλ' οὐκέτι τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν. ἡμεῖς γὰρ ἑνώσαντες ταῦτα, ἕνα Χριστὸν, ἕνα υἱὸν, ἕνα Κύριον ὁμολογοῦμεν. ὃ κοινόν ἐστιν ὁμολόγημα αὐτῷ τε καὶ τῶν ἀνατολικῶν. εἶτα καὶ πάλιν ἐπάγει· μίαν τὴν τοῦ υἱοῦ φύσιν ὁμολογοῦμεν σεσαρκωμένην. ὡσεὶ ἔλεγεν, ὑμεῖς [τὴν] διαφορὰν τῶν συνελθόντων ὁμολογοῦντες, δύο μὲν λέγομεν φύσεις·

Sed accusantibus nonnullis, quod duas naturas confitentes Orientales suscepit, ipse ad Valerianum Iconij Episcopum scribit, Orientales Nestorium damnasse, & S S. Patrum consensionem synceram seruare, S. Virginem Dei genitricem nobiscum confitentes, & vnum esse Christum, filium & dominum à Deo patre genitum Deum Verbum, & vltimis temporibus è muliere in carne natum, & perfectũ eum esse in diuinitate, & perfectum in humanitate, non in duos filios & Christos & dominos separantes, & hæc oppugnare audentes, vt mendaces & fraudulentos, & mendacij sui patrem prætexentes, detestari hortatur ac refugere. Sed & in ea, quæ ad Acacium Melitinensem Episcopum, de his Orientalibus sic habet. Non diuidere eos vnum filium & Christum, quem è patre dicunt vt Deum, & ex muliere natum in carne vt hominem, & quomodo non intelligatur secundum humanitatem nostri similis, neque patri secundum diuinitatem, nisi intelligatur simul & Deus & homo idem. Quod Nestorius negauit. Sic non solum duas naturas Orientales asserentes saluat: Sed tametsi quis accuset, propugnator fit, & quod mirum videatur, etsi non apponant *Indiuisè*, non dicit ipsos naturas diuidere. Sciuit enim & vnum Christum, vnam personam, & vnam hypostasin, qui dicit eundem Deum & hominem, & Deiparam Virginem, nihilominus etiamsi addat indiuisos, vt confitens ex dictis vnionem hypostaticam, simul & hoc indiuisum verè adducit. Qui idem turæ & diuinæ adamator * doctrinæ iterum ad Acacium scribens: Licet, inquit, duas naturas dicere, nec diuisionem naturarum vllo modo intelligere, cum quis adiungat prædictis vnionem hypostaticam. Et ad Eulogium scribens, consentientem existimauit secum, vnam Verbi naturam incarnatam credentem, cum duas naturas indiuisas in vnione hypostatica confitentur. Reprehendunt quidam expositionem quam faciunt Orientales, & aiunt: Quare ipsis duas naturas confitentibus, erubuit, & præsul laudauit Alexandriæ. Nestoriani asserunt illum quoque sic sentire, eos inuoluentes, qui nihil accuratè scient. Oportet autem reprehendentibus hæc respondere, non omnia quæ astruunt sectarij, vitari & reprehendi debere: quare Orientales duas naturas confitentes admittit, Piè enim illi asserunt: Nestorium damnat, non quia duas naturas dixit, sed quia duas asserens naturas, vnionem hypostaticam non recipit: Quemadmodum non, vnã Verbi naturam esse incarnatam: Mox enim subdit, vt tametsi duas naturas Nestorius dicat, differentiam carnis & Dei Verbi significans, sed nondum vnionem hypostaticam nobiscum confitetur. Nos enim hæc coniungentes, vnum Christum, vnum filium, vnum dominum confitemur. Hoc communis ipsius & Orientalium confessio. Deinde rursum adducit: Vnam Verbi naturam incarnatam confitemur, quasi diceret: Nos differentiam coëũtium confitentes, duas quidẽ asserimus naturas,

*διδασκαλίας addendum fortè.

*ἀλ.

EVLOGIVS. sed & vnionem tradentes, hoc statim adiungimus, vnam Verbi esse naturam incarnatã; hoc siquidem de vnitorũ differentia; illud vero hypostaticam vnionem ostẽdit. ex quibus de Nestorio dicit, tantum-non clamat: Vt si nobiscũ vnionem Nestorius asserit, vnum Christum, vnum dominum, vnũ filiũ confitens, recepimus illum duas dicentem naturas. Siquidem eadem voce differentiam carnis ac Dei Verbi conatur ostẽdere, sed ne decerpere veritatem conatus sit. Si vero duas naturas dicere, vt ipse dixit, differentiam significat carnis & Dei Verbi, & hanc seruare oportet [post] vnionem: nimirum duas naturas docet, post vnionem seruare. Differẽtia scilicet seruata, necesse est ea seruari de quibus differentiã, & Orientales secum ait cõsentire, & nequaquam vnam verbi naturam incarnatam asserentes, sed duas quidem asserentes naturas hypostatica vnione vnitas, indifferentes voces clare ostenditur. Quare synodus, etsi non lingua, tamen sententia vnam nouit Verbi naturam incarnatam prædicare. Nõ modò è dictis hoc facile est perspicere, sed etiam ex eo libello quem propria manu S. Flauianus conscripsit, & Theodosio Imp. inscripsit. *Concilium verò ante alios hunc legi præcepit.* Sic enim ibi ad verbum; *Etenim è duabus naturis Christum post incarnationem in vna hypostasi confitentes, & in vna persona vnum Christum, vnum filium, vnum dominum confitemur: deinde & vnam naturam Verbi incarnatam, & carnem induiam dicere non negamus, quia è duobus vnum & eundem esse dominum nostrum Iesum Christum.* Tu vero & illud considera. Concilium continenter dicit eundem & vnum Christum: Hoc verò quid aliud est quam vnionem hypostaticam confiteri, vel, si placet, vnam verbi naturam incarnatam. Etenim absque hæreticorum cauillationibus, vsus hic antea allatus differentiam continet ad prædictum sensum. Quemadmodũ autem ex humanitate atq; diuinitate Christum Dominum ex duabus naturis similiter synodus prædicans iterum laudat: sic & in diuinitate & humanitate dicens in duabus opinatur naturis ac confitetur. Non enim ex his est Christus, neq; hæc, neque illa, non in quibus, sed è quibus est, & in quibus agnoscitur. Et hęc ferè sunt. Sic quoq; B. Ambrosius libro quarto de incarnatione docet: *Ibi Deus ab æterno esse carnis mysteria præuidit, nec separatim, sed vnus.* Postquam vtrumq; vnus, & vnus in vtroq; hoc est, in diuinitate & humanitate. Rursus idẽ alio libro, vnde mutuatus est doctus Cyrillus contra Nestoriũ, sic bonus inquit Ambrosius: *Vnus Dei filius in vtraque specie verba facit,* quando vtraque præditus natura est. Hoc vero dictum corrupit Seuerus, nihil iniuriarum omittens. Vertit enim vnam vocem in alteram, vt persuadeat apparere voce non naturam, sed loquendi formulam, quod ipsum reprehendi meritò debet. Veruntamen refellitur ob vsum vocis prędictum cum dicit, in vtroque idem designare.

B. Ambrosius.

ἀλλὰ καὶ τὴν ἕνωσιν ἐξακριβοῦντες, συνάπτομεν αὖθις τὸ, μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην. τὸ μὲν γὰρ ἐστι τῆς τῶν ἑνωθέντων διαφορᾶς, τὸ δὲ αὐτῆς τῆς καθ' ὑπόστασιν ἑνώσεως [ἐστι] δηλωτικόν. ἐξ ὧν δὲ περὶ Νεστορίου ἔφη, μονονουχὶ τοῦτο βοᾷ· ὡς εἴ γε τὴν ἕνωσιν μεθ' ἡμῶν καὶ Νεστόριος ᾔδει, ἕνα Χριστὸν, ἕνα Κύριον, ἕνα υἱὸν ὁμολογῶν, ἐδεξάμεθα ἂν αὐτὸν καὶ δύο λέγοντα φύσεις· εἴπερ διὰ τῆς τοιαύτης φωνῆς τὴν διαφορὰν τῆς σαρκὸς καὶ * τοῦ θεοῦ λόγου δηλοῦν ἐβούλετο, ἀλλὰ μὴ διαιρεῖν τὴν ἕνωσιν ἐπεχείρει. εἰ δὲ τὸ δύο φύσεις λέγειν, ὡς αὐτὸς εἶπε, τὴν διαφορὰν σημαίνει τῆς σαρκὸς καὶ τοῦ θεοῦ λόγου· καὶ ταύτην δεῖ σώζεσθαι [μετὰ] τὴν ἕνωσιν: δηλονότι καὶ τὰς δύο διδάσκει φύσεις μετὰ τὴν ἕνωσιν σώζεσθαι. τῆς γὰρ διαφορᾶς σωζομένης, ἀνάγκη καὶ τὰ ὧν ἡ διαφορὰ συνδιασώζεσθαι· καὶ τοὺς ἀνατολικοὺς δ' εἰπὼν συμφέρεσθαι αὐτῷ, καίτοι μηδαμοῦ φαμένους μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, ἀλλὰ δύο μὲν λέγοντας τὰς φύσεις, ἑνουμένας δὲ τῇ καθ' ὑπόστασιν ἑνώσει: ἀδιαφόρους τὰς φωνὰς περιφανῶς ἀποφαίνεται). ὥστε καὶ ἡ σύνοδος κἂν * μὴ τῇ γλώσσῃ, ἀλλὰ τῇ γνώμῃ, μίαν φύσιν κηρύττειν οἶδε τοῦ λόγου σεσαρκωμένην. οὐκ ἐκ τῶν εἰρημένων δὲ μόνον ῥᾴδιόν ἐστι τοῦτο καθορᾶν, ἀλλὰ καὶ ἐκ τοῦ λιβέλλου, ὃν ἔγραψε μὲν οἰκείᾳ χειρὶ ὁ θεσπέσιος Φλαβιανὸς, ἐπιδέδωκε δὲ Θεοδοσίῳ τῷ βασιλεῖ. ἡ δὲ σύνοδος, πρὸ τῶν ἄλλων, ταύτην ἐκέλευεν ἀναγνωσθῆναι. ἔχει γὰρ ἐπὶ λέξεως οὕτω· καὶ γὰρ ἐκ δύο φύσεων ὁμολογοῦντες τὸν Χριστὸν μετὰ τὴν σάρκωσιν ἐν μιᾷ ὑποστάσει, καὶ ἐν ἑνὶ προσώπῳ, ἕνα Χριστὸν, ἕνα υἱὸν, ἕνα Κύριον ὁμολογοῦμεν. εἶτα καὶ μίαν μὲν φύσιν τοῦ λόγου σεσαρκωμένην μέντοι καὶ ἐνανθρωπήσασαν λέγειν οὐκ ἀρνούμεθα, διὰ τὸ ἐξ ἀμφοῖν ἕνα καὶ τὸν αὐτὸν εἶναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. σὺ δέ μοι σκόπει κἀκεῖνο. ἡ σύνοδος τὸν αὐτὸν συνεχῶς λέγει καὶ ἕνα Χριστόν. τοῦτο δὲ τί ἐστιν ἕτερον, ἢ τὸ τὴν καθ' ὑπόστασιν ἕνωσιν ὁμολογεῖν; ἢ, εἰ βούλει, τὴν μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην. καὶ γὰρ καὶ χωρὶς τῶν αἱρετικῶν σοφισμάτων, ἡ χρῆσις αὕτη προσφερομένη, τὸ * ἀδιάφορον ἔχει, πρός γε τὴν προειρημένην [διανοίας.] ὥσπερ δὲ ἐκ θεότητος καὶ ἀνθρωπότητος ἡ σύνοδος λέγουσα τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν * ἐκ δύο φύσεων ὁμοίως εὐφημεῖ: οὕτω καὶ ἐν θεότητι καὶ ἐν ἀνθρωπότητι λέγουσα, ἐν δυσὶ δοξάζει φύσεσι καὶ συνομολογεῖ. οὐ γὰρ ἐκ τούτων μέν ἐστιν ὁ Χριστὸς, οὐχὶ ταῦτα δὲ, οὐδὲ ταῦτα μὲν, οὐκ ἐν τούτοις δὲ, ἀλλ' ἐξ ὧν ἐστι, καὶ ἐν τούτοις γνωρίζεται), καὶ ταῦτά ἐστιν. οὕτω δὲ καὶ Ἀμβρόσιος ὁ θαυμάσιος ἐν τῷ περὶ ἐνανθρωπήσεως τετάρτῳ δογματίζει λόγῳ. ἐν τῷ θεὸς ἐξ αἰῶνος τὰ τῆς σαρκὸς μυστήρια προελάμβανε τὸν οὐ διῃρημένος. ἀλλ' εἷς: ἐπειδὴ τὸ ἑκάτερον εἷς, καὶ ὁ εἷς ἐν * ἑκατέρῳ, τουτέστι καὶ θεότητι καὶ σώματι. πάλιν δὲ ἐν ἄλλῳ λόγῳ, ἐξ οὗ καὶ ὁ σοφὸς Κύριλλος χρῆσιν κατὰ Νεστορίου προήνεγκεν, οὕτως ὁ χρυσὸς Ἀμβρόσιός φησιν· εἷς θεοῦ υἱὸς ἐν ἑκατέρᾳ λαλεῖ. ἐπειδήπερ ἑκατέρα φύσις ἐν αὐτῷ. τοῦτο δὲ τὸ ῥητὸν ἐκακούργησε μὲν Σευῆρος, οὐδὲν δὲ τῆς κακουργίας ἀπώνατο. μεταστρέφει μὲν γὰρ εἰς τὸ ἑκατέρᾳ τὴν ἑκατέραν φωνὴν, ἵνα πείσῃ δηλοῦσθαι διὰ τῆς φωνῆς μὴ τὴν φύσιν, ἀλλὰ τὸν τρόπον τῆς λαλιᾶς· οἷον, ἐν ἑκατέρῳ τρόπῳ θεϊκῷ τε καὶ ἀνθρωπίνῳ λαλεῖ: ὅπερ αὐτόθεν μὲν ἔχει τὸν ἔλεγχον. οὐ μὴν ἀλλὰ καὶ διὰ τῆς προειρημένης ἐπισφραγίζεται χρήσεως· ἐν αὐτῇ γὰρ εἰπὼν, αὐτὴν τὴν λέξιν ἐν ἑκατέρῳ αὐτὸς ἡρμήνευσε. τί βού-

* al. τοῦ θεοῦ λόγου.
* al. μὴ.
* διάφορον.
* al. ὡς.
* al. ἑκατέρᾳ.

τί βούλεται αὐτῷ τὸ ἐν [τῷ] * ἑκατέρῳ, τουτέστιν ἐπισυνάψας καὶ θεότητι καὶ σώματι· ὥστε εἴτε ἐν ἑκατέρᾳ λαλεῖ, ὡς ἔχει τὸ ἀκακούργητον τῶν Ἀμβροσίου ῥημάτων· εἴτε ἐν * ἑκατέρῳ, ὡς ὁ τῆς κακίας σοφιστὴς τὴν φωνὴν διαφθείρει· οὐδὲν ἧττον αἱ δύο φύσεις δηλοῦνται. διότι ὁ αὐτὸς Ἀμβρόσιος, ὡς εἴρηται, τὸ ἐν ἑκατέρῳ εἰπὼν, τουτέστιν ἐν * ἑκατέρῳ πράγματι πρὸς τὴν θεότητα, καὶ τὸ σῶμα, τὴν φωνὴν ἀποδέδωκεν ἀναφέρεσθαι. καὶ πρὸς Ἀλβῖνον δὲ γράφων ὁ αὐτὸς, ἵνα (φησὶ) τέλειος ἐν ἑκατέρᾳ φύσει τυγχάνει. ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον. εἰ δέ τις ἡμῖν Ἀθανάσιον ἐν τῷ περὶ σαρκώσεως προκομίζει λόγῳ, καὶ τὸν νεοκαισαρείας Γρηγόριον ἐν τῷ περὶ τῆς κατὰ μέρος πίστεως, δύο λέγειν κωλύοντας ἐπὶ Χριστοῦ τὰς φύσεις· μανθανέτω καὶ αὐτὸς, ὅτι (καθάπερ εἴρηται πολλάκις) οὐδ᾽ οἱ λοιποὶ πατέρες τὸ δύο λέγειν φύσεις, οὔτε ἁπλῶς ἠσπάσαντο, ἀλλὰ καὶ πολλάκις ἀπώσαντο· μετὰ μὲν τοίγε τὴν ἀδιαίρετον προσηχθῆσαν τὴν φωνὴν, οὔτε προπετῶς ἀσπάσασθαι, οὔτε ἀβασανίστως ταύτην περιπλέξασθαι. * οὐ μὲν οὖν οὐκ ἐλάμβανον τὸ ἀδιάστακτον. συνομολογηθείσης δὲ τοῖς * λεχθεῖσι τῆς καθ᾽ ὑπόστασιν ἑνώσεως, οὐ μὲν οὖν οὐδεὶς εὑρέθη τῶν εὐσεβῶν, μὴ λίαν τὴν φωνὴν ἀσπαζόμενος. μὴ οὖν λεγέτω τις, οὐδὲν γὰρ τοῦτο πρὸς τὴν εὐσέβειαν, ὡς ἐπὶ Χριστοῦ δύο φύσεις λέγειν οἱ πατέρες ἐκώλυσαν· ἀλλὰ δεικνύτω, πότε, ἢ πῶς τοὺς συνομολογοῦντας τὴν καθ᾽ ὑπόστασιν ἕνωσιν δύο λέγειν φύσεις ἀδιαιρέτως ἐκώλυσαν; καὶ γὰρ κἀνταῦθα ὅρα, πῶς φησιν ὁ Ἀθανάσιος· οὐ δύο φύσεις ὁμολογοῦμεν τὸν ἕνα υἱὸν, μίαν προσκυνητὴν, καὶ μίαν ἀπροσκύνητον. ἀκούεις πῶς ἔστι τὸ προσκυνητὸν καὶ ἀπροσκύνητον. καὶ τίς οὐκ οἶδεν, ὅτι τὸ προσκυνητὸν καὶ ἀπροσκύνητον εἰς δύο μὲν ὑποστάσεις τέμνουσι τὸν ἕνα, τὴν καθ᾽ ὑπόστασιν [δὲ] ἕνωσιν ἐκκηρύττουσιν, ἀλλ᾽ ἡ μὲν τοῦ μεγάλου Ἀθανασίου διάνοια δήλη. ἡ δὲ τὸν θαυματουργὸν Γρηγόριον ὑποβαλλομένη χρῆσις· λέγεται μὲν γὰρ ἐκείνου, τὸ δὲ Ἀπολλινάρειον εἰσκομίζει· καταφορὲς προβάλλεται τῆς ἀτοπίας. λέγει γάρ· καὶ ἔστι θεὸς ἀληθινὸς ὁ ἄσαρκος ἐν σαρκὶ φανερωθεὶς, τέλειος τῇ ἀληθινῇ καὶ θείᾳ τελειότητι, οὐ δύο πρόσωπα, οὐδὲ δύο φύσεις· οὐδὲ γὰρ τέσσαρας προσκυνεῖν λέγομεν. ὁρᾷς, ὅπως προφανὴς ἡ δυσσέβεια; τὸ τέλειον γὰρ εἰπὼν κατὰ τὴν θεότητα, τὴν ἀνθρωπότητα παντελῶς ἐσιώπησεν. καὶ τὸ προσθεῖναι δὲ, ὁ ἄσαρκος ἐν σαρκὶ φανερωθεὶς, τῆς Ἀπολιναρίου * φρενοβλαβοῦς γεωργίας πικρόν ἐστι βλάστημα. ἀλλὰ γὰρ καὶ ἡ χρῆσις, ἣν ἡ αἵρεσις προκομίζει ἐκ τῆς πρὸς Διονύσιον ἐπιστολῆς τοῦ Ἰουλίου Ῥώμης, ἀναμφίβολον μὲν οὐκ ἔχει τὸ γνήσιον. ὁ γὰρ ἱερὸς Κύριλλος, ἐν τῇ κατ᾽ Ἔφεσον συνόδῳ ἐκ τῆς πρὸς Δόκιον ἐπιστολῆς αὐτοῦ χρείαν * προενεγκὼν, οὐκ ἠξίωσεν εἰς μνήμην ταύτης ἐλθεῖν. ἣν δὲ τῇ συνόδῳ * ἐπανέγνωσαν· οὕτω τοῖς ῥήμασιν ἔχει· Ὁ τοῦ θεοῦ υἱὸς σκηνώσας ἐν ἀνθρώποις, οὐκ ἐν ἀνθρώπῳ ἐνεργήσας, τέλειος θεὸς ἐν σαρκὶ, τέλειος ἄνθρωπος ἐν πνεύματι. οὐ δύο υἱοί· εἷς μὲν γνήσιος υἱὸς, ἀναλαβὼν ἄνθρωπον, ἕτερος δὲ θνητὸς ἄνθρωπος, ἀναληφθεὶς ὑπὸ τοῦ θεοῦ· ἀλλ᾽ εἷς ἐν οὐρανῷ μονογενὴς, μονογενὴς ἐπὶ γῆς θεός. ἡ μὲν τοῦ Ἰουλίου ῥῆσις, ἡ τῇ συνόδῳ διαναγνωσθεῖσα, τοιαύτη. εἰ δὲ γνησίαν ἤδη τὴν φωνὴν, ἣν ἐκ τῆς πρὸς Διονύσιον προφέρουσιν ἐπιστολῆς, καὶ μάλιστα Νεστόριον καταχρίνουσαν· οὐχ ἀπεπέμψατο ταύτην. ὅτι δὲ κἀκεῖνο δεῖ συνιδεῖν, ὡς ὁ ἱερὸς Κύριλλος τὸν ἄνθρωπον εἰς παράδειγμα, οὐχ ἵνα δείξῃ μίαν φύσιν ἐπὶ τοῦ Χριστοῦ, παραλαμβάνει

EVLOGIVS.

Quid sibi vult hoc *eodem* pro in *vtroque*, hoc est coniungens diuinitati & humanitati, quare si *in vtraque* dicat, vt syncerè habent verba Ambrosij, siue *in vtroque*, vt improbus ille Sophista vocem deprauat; nihilominus duæ offenduntur naturæ. Idcirco, vt diximus, Ambrosius quod *in vtroque* est dicens, hoc est *in vtraque* re ad diuinitatem & corpus, vocem traduxisse videtur. Et idem ad Albinum scribens, vt perfectus, inquit, in vtraque natura sit. Sed hactenus de his. Si vero quis nobis Athanasium proferat libro de Incarnatione, Gregorium item Thaumaturgum in libro de fide particulari, prohibētes duas in Christo asserere naturas: sciat ille (vt sæpe iam diximus) neque reliquos Patres duas naturas asserere, neque vnam complecti; sed & frequēter reiecisse, Post enim adductam *Indiuisi* vocem, neque temerè amplexos esse, neque improuidè illum explanasse, Neque enim sumpserunt inordinatum. Conueniente verò cum prædictis vnione hypostatica, nemo pius visus est, qui hanc vocem valdè adamauerit. Nemo igitur dicat, nihil enim hoc ad pietatem, vt in Christo duas naturas dicere Patres prohibeant; sed ostendat, verum, simul confitentes vnionem hypostaticam duas dicere naturas indiuisè prohibebant: Etenim & sic vide quomodo dicat Athanasius. Non duas naturas prædicamus vnum filiū, vnam adoratam, & vnam non adoratam. Et quis ignorat, adoratum & non adoratum in duas quidem hypostases diuidunt vnum, hypostaticam vnionem prædicant. Sed magni Athanasij sensus clarus est. Testimonium quod Gregorij Thaumaturgi nomine subiicitur, illius quidem esse dicitur, sed Apollinarij esse absurditas illa manifestè declarat. Habet enim & est verus Deus sine carne in carne visus, perfectus in vera & diuina perfectione, non duæ personæ, neque duæ naturæ. Neque enim quatuor adorare dicimus. Vides quomodo pateat impietas. Nam perfectum dicens in diuinitate, humanitatem reticuit. & adiicere, sine carne in carne apparens, impiæ culturæ acerbum est germen. Sed enim testimonium quod hæresis adfert ex epistola Iulij Romani ad Dionysium, haud dubiè non est genuinum. Etenim S. Cyrillus in Synodo Ephesina ex epistola ad * Decium eius vsum adducens, non dignatus est in memoriam huius venire, quam in Synodo cognouit his verbis: *Filius Dei habitans in hominibus, non in homine operans, perfectus Deus in carne, perfectus homo in Spiritu non duo filij, vnus quidem genitus Filius carnem assumens, alter verò homo morti obnoxius, assumptus à Deo: sed vnus vnigenitus in cælo, vnigenitus in terra Deus.* Iulij Papæ quidem verba in Synodo lecta hæc ferè, siue veram sonat vocem, quam ex epistola ad Dionysium adducunt, & maximè Nestorium damnās hanc non contempsit. Ad hæc & illud sciendū, B. Cyrillum hominem ponere pro exemplo, non vt ostendat vnā naturā in Christo capere,

EVLOGIVS. sed vt per hoc vnionem constituat hypostaticam. Etenim in nostri comparatione, diuersæ formæ corpus & animam, vt vnita vnam perfectam hominis naturam, non adiecit *corporatam & animatam.* In verbo vnam naturam dicens, statim adiungit incarnatam. Rarius enim illam tacuisse, non repugnantiam sententiarum, sed magis confirmationem testatur. Sæpenumerò enim quod quis assiduò clamat, & validam eius opinionem omnibus inculcans, nouit vt confessum & clarum, interdum tacendo, silentio non contemnit quod sæpius dixit, sed ostendens ita firmum atq; apertum esse, vt nec verbis, nec commemoratione amplius indigeat. Sic igitur doctus & pius minime vacillans Cyrillus vnam docet verbi naturam, & illam incarnatam, & hoc non simpliciter, sed anima rationali & intelligibili, hæc assumens, & antea fundans in omnium animis per cognitionem, & non dubitationem, & naturæ comprehensionem ex parte asserens, omisit reliquum efferri & audire: Etenim multa cogitat, non verbis & nominibus sensum credit, sed mente verba & nomina conferens atque accommodans. Attende quid libro primo Thesaurorum dicat, & quid in epistolis ad Succensum. Ibi enim dicit: *Deum Verbum pro nobis summum Pontificem factum, tanquam vestem aliquam, ex Maria hominem, vel templum resumere.* Hic verò: *Non homo igitur factus est, non autem hominem assumit.* quomodo ergo ibi quidem, *non assumpsit*, hic verò *assumpsit*? Seipsum explanat. Adducit enim Nestorio videri. Quid hoc aliud est nisi verbis sensum credere, verba sensum repræsentare? Quamobrem sicubi dixisse videatur Deum Verbum hominem non assumpsisse, hac ipsa doctrina prædicauit, non omnino ipsum negare, hoc non dici: Quomodo erga alios sic loqui prohibeat, quod ipse facit? sed non sic loqui vt Nestorio visum est. Clarus itaque Eulogius vnam Verbi naturam incarnatam indicans, hoc etiam addit. Vt si quis præceptoris sensum accuratiùs cupiat inuestigare, inueniet voce nihil aliud voluisse, quàm incommutabilitatem Verbi ostendere: Ne dictum alio, sed ad diuinitatem vnigeniti referatur. In dialogo enim, qui inscribitur, *Vnus Christus*: vnum Filium & vnam eius naturam dicimus, licet in assumptione carnis fieri intelligatur habentis animam intelligibilem. Quibus nihil aliud quàm immutabilitas diuinitatis declaratur. Non igitur vna Verbi natura, vt diximus, incommutabilitatem declarat diuinitatis, non autem duas naturas secundùm hypostasin vnitas tollit. Sic igitur intellexit pius ille scriptor, quod à præceptore ad Eulogium dictum est. Vnus denique Filius, & vna natura incarnati Verbi, hoc est non conuersa, nec à propria perfectione declinans. Et illud ad sensum referre oportet, vt B. Cyrillus nusquam vnam Christi naturam dicere videatur: sed vnum Christum, vnam personam, & vbique vnam Christi hypostasin,

Eulogius Cyrilli discipulus.

ἀλλ' ὡς ἂν δι' αὐτοῦ τὴν καθ' ὑπόστασιν ἕνωσιν παραστήσῃ. καὶ γὰρ ἐπὶ μὲν τοῦ καθ' ἡμᾶς συγκρίματος, ἐπειδὴ φάμενος τὸ σῶμα καὶ τὴν ψυχήν· καὶ ὡς ἑνωθέντα, μίαν ἀποτελέσαι ἀνθρώπου φύσιν· οὐκ ἐπήγαγεν οὔτε σεσωματωμένην, οὔτε ἐμψυχωμένην· ἐπὶ δὲ τοῦ λόγου μίαν φύσιν εἰπὼν, εὐθὺς συνάπτει τὸ σεσαρκωμένην. τὸ γὰρ σπανιάκις αὐτὴν ἀποσιωπῆσαι, οὐκ ἐναντιότητα τῆς αὐτοῦ γνώμης, βεβαίωσιν δὲ μᾶλλον μαρτυρεῖ. πολλάκις γὰρ ὅπερ τις συνεχῶς ἀναβοᾷ, καὶ βεβαίαν τὴν περὶ αὐτοῦ δόξαν πᾶσιν ἐνιδρύσας οἶδεν· ὡς ὁμολογούμενον, καὶ δῆλον, ἐνίοτε ἀποσιωπᾷ διὰ τῆς σιγῆς οὐκ ἀθετῶν, ὃ πολλάκις * ἐκήρυξεν· ἀλλὰ δεικνὺς, οὕτω βέβαιον εἶναι καὶ περιφανὲς, ὡς μηκέτι φωνῆς μηδὲ μνήμης δεῖσθαι. οὕτω τοίνυν καὶ ὁ σοφὸς, καὶ ἀσάλευτος τῆς εὐσεβείας Κύριλλος, τὸ μίαν δοξάζειν φύσιν τοῦ λόγου, καὶ ταύτην σεσαρκωμένην· καὶ οὐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ ψυχῇ * τῇ νοερᾷ καὶ λογικῇ· τοῦτο δὴ τοῦτο * συγκαταλαβὼν, καὶ προθεμελιώσας ἐν ταῖς ἁπάντων ψυχαῖς, διά τε τὸ γνώριμον, καὶ ἀναμφισβήτητον, καὶ τὸ σύντομον τῆς φωνῆς ἀπὸ μέχρις εἰπὼν, ἀφῆκε τὸ λοιπὸν συνεκφωνεῖσθαι καὶ συνεξακούεσθαι. καὶ γάρ ἐστιν ὅτε ὁ πολὺς ἐν διανοίᾳ, οὐ τοῖς ῥήμασι καὶ τοῖς ὀνόμασιν ἀεὶ τὸν νοῦν καταπιστεύων· τοῖς δὲ νοήμασι καὶ τὰ ῥήματα καὶ τὰ ὀνόματα συμμεταφέρων τε καὶ μεθαρμοζόμενος. ἄκουε γὰρ τί μὲν ἐν τῷ πρώτῳ τῶν Θησαυρῶν λέγει, τί δὲ ἐν ταῖς πρὸς Σούκενσον ἐπιστολαῖς. ἐν ἐκείνῳ μὲν γάρ φησι· τὸν θεῖον λόγον ὑπὲρ ἡμῶν ἀρχιερέα γεγονότα, ὥσπερ τινὰ ποδήρη τὸν ἐκ Μαρίας ἄνθρωπον, ἢ τὸν ναὸν ἀναλαβεῖν· ἐν ταύταις δέ· οὐκ οὖν γέγονε, φησιν, ἄνθρωπος, οὐκ ἄνθρωπον ἀνελάβετο. πῶς οὖν ἐκεῖ μὲν, οὐκ ἀνέλαβεν· ἐνταῦθα δὲ ἀνέλαβεν; αὐτὸς ἑαυτὸν ἑρμηνεύσει. ἐπάγει γὰρ, ὡς Νεστορίῳ δοκεῖ. τοῦτο δὲ τί ἐστιν * ἄλλο, ἢ μὴ τοῖς ῥήμασι καταπιστεύειν τὸν νοῦν, τὰ δὲ ῥήματα τῇ διανοίᾳ ζυγοστατεῖν. ὥστε εἴ που λέγων εὑρεθείη, τὸν θεὸν λόγον ἄνθρωπον μὴ ἀναλαβεῖν, ἐκ τῆς παρούσης ἀνεκήρυξε διδασκαλίας, οὐχ ἁπλῶς αὐτὸν ἀπείργειν τοῦτο μὴ λέγειν. πῶς γὰρ ἂν ἑτέρους κωλύσειεν, ὅπερ αὐτὸς λαμπρῶς διαπράττοιτο; ἀλλὰ μὴ λέγειν οὕτως, ὡς Νεστορίῳ δοκεῖ. ὁ μέν τοιγε κλεινὸς Εὐλόγιος τὴν μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην διδάσκειν, καὶ τοῦτό φησιν· ὡς εἴ τις τὸν νοῦν τοῦ διδασκάλου ἐξακριβώσασθαι βουληθῇ, εὑρήσει τοῦτον διὰ τῆς φωνῆς οὐδὲν ἕτερον βουλόμενον, ἢ τὸ ἄτρεπτον ἐπιδεῖξαι τοῦ λόγου· ἵνα [μὴ] τὸ λεγόμενον μὴ εἰς ἄλλο τι, ἀλλ' εἰς τὴν θεότητα τοῦ μονογενοῦς ἀναφέρηται. ἐν γὰρ τῷ διαλόγῳ, ὃς ἐπιγράφεται, ὅτι εἷς ὁ Χριστὸς· * ἕνα τε μὴν υἱὸν, καὶ μίαν αὐτοῦ φύσιν φαμὲν, κἂν εἰ ἐν προσλήψει νοοῖτο γεγενῆσθαι σαρκὸς, ψυχὴν ἐχούσης τὴν νοεράν. δι' ὧν οὐδὲν ἕτερον ἢ τὸ ἄτρεπτον ἀποσημαίνεται τῆς θεότητος. οὐκοῦν ἡ τοῦ υἱοῦ μία φύσις, καθάπερ εἴρηται, τὸ ἄτρεπτον ἐνδεικνῦσα τῆς θεότητος, οὐδαμῶς ἀναιρεῖ τὰς καθ' ὑπόστασιν ἑνωθείσας δύο φύσεις. οὕτω δὴ ἂν νοήσειεν ὁ τῆς εὐσεβείας [θεῖος] φίλος καὶ τὸ πρὸς Εὐλόγιον τῷ διδασκάλῳ εἰρημένον. εἷς λοιπὸν υἱὸς, καὶ μία φύσις αὐτοῦ τοῦ σαρκωθέντος λόγου· τουτέστιν, οὐ τραπεῖσα, οὐδὲ τῆς οἰκείας * ἀποπεσοῦσα τελειότητος. κἀκεῖνο δὲ δεῖ κατὰ νοῦν φέρειν, ὡς ὁ θεῖος Κύριλλος οὐδαμοῦ φαίνεται μίαν φύσιν Χριστοῦ εἰπών· ἀλλ' ἕνα μὲν Χριστὸν, καὶ ἓν πρόσωπον, καὶ μίαν ὑπόστασιν Χριστοῦ πανταχοῦ·

* ἀνεκήρυξεν.
* al. τε.
* προκαταβαλών.
* al. ἄλλως.
* al. ἕνα γε δὴ. ἕνα γε.
* al. ἀπεσοῦσα.

μίαν

EVLOGIVS.

μίαν δὲ φύσιν Χριστοῦ οὐκέτι. τοὐναντίον μέντοιγε καὶ ἀποκωλύει ἐν ταῖς ἐπιστολαῖς, αἳ τὸν Σούκενσον ἐπιγράφονται, μίαν φύσιν λέγειν ἐπὶ τοῦ συνθέτου. ἐὰν γάρ φησιν ἀνέλωμεν τό, ὅτι ἐκ δύο καὶ διαφόρων φύσεων ὁ εἷς καὶ μόνος ἐστὶ Χριστὸς, ἀδιαίρετος ὢν μετὰ τὴν ἕνωσιν: ἐροῦσιν οἱ τῇ ὀρθῇ μαχόμενοι δόξῃ, εἰ μία φύσις τὸ ὅλον, πῶς ἐνηνθρώπησεν; ὅλον δὲ εἰπὼν, καὶ μετὰ τὴν ἕνωσιν εἰπών: δῆλον ὡς οὐ τὰ περὶ τῆς ἑνώσεως, ἀλλὰ τὰ * μετὰ τὴν ἕνωσιν, ὅπερ ἐστὶ τὸ σύνθετον λέγει: καὶ γὰρ ὅλον τί ἐστιν ὁ Χριστός. εἰ δὲ μὴ μία φύσις τὸ ὅλον, ὑπὲρ τὴν μίαν πάντως. τούτοις καὶ ὁ θεολόγος συνᾴδων Γρηγόριος, εἰ καὶ τὸ συναμφότερον ἕν φησιν: ἀλλ' οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ. ὁ μέντοι δυστυχὴς Εὐτυχὴς ἐκ δύο μὲν φύσεων τὴν ἕνωσιν ὡμολόγει, μετὰ δὲ τὴν ἕνωσιν, μίαν ἐδυσφήμει. ἐφ' οἷς αὐτὸν ἥ τε ἐν Καλχηδόνι, καὶ ἡ πρὸ αὐτῆς ἐν Κωνσταντινουπόλει δικαίως κατεδίκασε σύνοδος. ἀλλ' ὁ γενναῖος Διόσκορος οὐδὲν αὐτὸν Ἀπολιναρίου διαφέροντα μετὰ πλείστης ὅσης σπουδῆς * ἀπεδέξατο. ὁ γὰρ δυσσεβὴς Ἀπολινάριος, ἐν τῷ περὶ σαρκώσεως αὐτοῦ λόγῳ, πρόσεχε οἷά φησιν: ὢ καινὴ κτίσις καὶ μίξις θεσπεσία! θεὸς καὶ σὰρξ μίαν ἀπετέλεσαν φύσιν. ἐξ οὗ τοὺς ὀχετοὺς τῆς δυσσεβείας οἱ μετ' ἐκεῖνον ἠρύσαντο. σὺ δέ μοι καὶ τὸν ἀρχαιότερον ὅρα βόρβορον. Οὐαλεντῖνος γὰρ κατὰ λέξιν οὕτω λέγει: τῶν γαλιλαίων ἐπὶ Χριστοῦ δύο φύσεις λεγόντων, πλατὺν * καταχεόμενοι γέλωτα: ἡμεῖς γὰρ τοῦ ὁρατοῦ καὶ ἀοράτου μίαν εἶναι τὴν φύσιν φαμέν. * καὶ μὴν καὶ ὁ Μανιχαῖος πρὸς Σκυθιανὸν ἐπιστέλλων, καὶ ὑπὸ μέμψεις ποιῶν τοὺς δύο λέγοντας φύσεις, τοιαῦτά φησιν: ὁ δὲ τοῦ ἀιδίου φωτὸς υἱὸς τὴν ἰδίαν οὐσίαν ἐν τῷ ὄρει ἐφανέρωσεν, οὐ δύο φύσεις ἔχων, ἀλλὰ μίαν ἐν ὁρατῷ τε καὶ ἀοράτῳ. καὶ Πολέμων δὲ τὸν Ἀπολινάριον διδάσκαλον οὕτως εὐφημεῖ, τοὺς ἱεροὺς ἡμῶν πατέρας αἰτιώμενος, ἃ τοῖς ἐν Καλχηδόνι οἱ ἀπὸ Σευήρου. ὅρα τί φησιν; οὐδὲν χεῖρον ἐννοῆσαι κἀκεῖνο: θεὸν γὰρ λέγοντες καὶ ἄνθρωπον τὸν αὐτὸν, οὐκ αἰσχύνονται μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, καθάπερ μίαν σύνθετον ὁμολογοῦντες. εἰ γὰρ θεὸς τέλειος, καὶ ἄνθρωπος τέλειος ὁ αὐτός: δύο φύσεις ἄρα ὁ αὐτὸς, καθάπερ ἡ τῶν Καππαδοκῶν εἰσηγεῖται καινοτομία, καὶ Ἀθανασίου ἡ οἴησις, καὶ τῶν ἐν Ἰταλίᾳ ὁ τῦφος. καὶ σχηματίζονται μὲν, ὡς δῆθεν ἡμέτεροι, φρονεῖν τὰ τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀπολιναρίου: κηρύττουσι δὲ καθάπερ οἱ Γρηγόριοι τὴν τῶν φύσεων δυάδα. πῶς οὖν ἐνῆν Εὐτυχοῦς τε καὶ Ἀπολιναρίου, Οὐαλεντίνου τε καὶ Μανιχαίου τὴν τοσαύτην τῆς ἀσεβείας ῥύμην ἐπισχεῖν, καὶ τὴν νομὴν οὕτως ἕρπουσαν, καὶ τὰς τῶν ἀνθρώπων ψυχὰς καταβοσκομένην ἀναστεῖλαι: εἰ μὴ τῆς ἱερᾶς ἐν Καλχηδόνι ὁμηγύρεως ὁ θεῖος ζῆλος, δύο φύσεις ἀδιαιρέτους ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει τοῦ Χριστοῦ διαπρυσίως τε καὶ θεοφρόνως * ἀνεκήρυξε; τῆς γὰρ αἱρετικῆς φορᾶς οὕτω μαινομένης, εἰ μὴ τῆς εὐσεβείας ὁ πύργος ἀνέκοψε τὸ ῥεῦμα, οὐδὲν ἐκώλυεν ὑποβρυχίους πολλοὺς τῇ πλάνῃ γενέσθαι. ὥστε εἰ μὲν ἐπὶ τοῖς ἔμπροσθεν πατράσιν ἡ τῶν δύο φύσεων ἐγνωρίζετο φωνὴ, τὸ ἀναγκαῖον εἶχεν ἡ σύνοδος, διὰ τὴν ἐκείνων λύσσαν, ταύτην ἀνευρεῖν τε καὶ ἀνακηρύξαι. μικροῦ δὲ πᾶσι τοῖς ἱεροῖς ἀνδράσιν ἠγνοημένης, πῶς οὐκ ἀπαραίτητον ἦν κατὰ τῶν πολεμίων ταύτην πανδήμοις ψήφοις ἀναστηλῶσαι;

* μετὰ τὴν ἕνωσιν M. M.
* ἴσ. ἀπεδέξατο
* al. καταχεόμενοι
* al. νῦν δὲ
* ἀνακηρύξας

non autem vnam naturam. Et contra prohibet in epistolis ad Succensum, vnam naturam in composito dicere. Si enim hoc tollimus, è duabus diuersis naturis vnum solúmque Christum esse post vnionem indiuisum; afferent aduersarij, si vna natura totum, quomodo incarnatus est: totum autē dicens, & post vnionem dicens, certum est quod hæc non ante vnionem, sed post vnionem, quod qudem & compositum dicit. Etenim totum quoddam est Christus: si verò non vna natura totum, at supra naturam certè. Cum his sentiens Gregorius cognomento Theologus, etsi vtrumque vnum dicat, sed non natura, sed concilio. Quanquam infelix Eutyches è duabus naturis vnionem confitebatur, post vnionem vnam nefandè dicebat. Vnde illum meritò Chalcedonensis, & antea Constantinopolitana Synodus condemnauit. Sed famosus Dioscorus, nihil illum ab Apollinario differentem magno studio suscipit. Impius verò Apollinarius libro suo de incarnatione .· vide quid scribat: *O noua creatura, & diuina mistio! Deus & homo vnam conficiunt naturam.* Vnde impietatis veluti aquæductus alij post illum deriuarunt. Tu & antiquum vide lutum. Valentinus verò ad verbum sic ait: *Galilæos duas in Christo naturas dicentes, risu copioso excipimus: nos verò visibilis & inuisibilis vnam naturam esse dicimus.* Et verò Manichæus ad Scythianum scribens & eos reprehendens, qui duas dicunt naturas, hæc dicit: *Sempiterni luminis Filius propriam in monte Thabor naturam ostendit, non duas habens naturas, sed vnicam in visibili atque inuisibili.* Polemon quoq; præceptorem suum Apollinarium laudauit, sacris nostris Patribus dans crimini, quæ Patribus in Chalcedonensi Synodo Seueriani, vide quid dicat. non peius hic intelligere Deum & hominem eundem dicētes, non erubescunt vnam Verbi naturam incarnatam, quemadmodum vnum compositum confitentes. Si enim perfectus Deus & perfectus homo idem, duæ naturæ igitur vnus, quemodmodum noua Cappadocum dicit diuisio, & Athanasij opinio, & Italorum fumus; & simulant quidē, quasi nostri, se sentire quę S. noster Pater Apollinarius: sed prædicāt quemadmodū duo Gregorij naturarū dualitatē. Quomodo non licuit Eutychis, Apollinarij, Valentini, Manichæi hāc impietatis vim sustinere, & morbum sic repentem, & humanas animas depascentem remisisset nisi sacri Chalcedonensis conuentus diuinus zelus, duas naturas indiuisas Christi in vnione hypostatica, piè & conuenienter prædicasset: Hæreticis sic delirantibus, nisi pietatis turris fluctum sistat, nihil vetat submersos multos in plano esse. Quare nisi antedictis Patribus duarum naturarum cognita fuisset vox, necessitatē haberet Synodus propter illorū amentiam hanc inuenire ac prædicare. Parum verò ab omnibus sanctis illis cognita, quomodo exorari non poterat contra hostes hanc publicis decretis reprehenderet

EVLOGIVS. Quemadmodum enim ad impium Arrium, aliam substantiam Patris & Filij blaterantem, Nicæna Synodus consubstantialitatem decreuit, & nusquam hac voce apud Patres exstante, contra verò prohibente, à quibus Paulus Samosatensis hæreticus declaratus est. Sic etiam prædictos impios sacra Synodus cùm duas in Christo naturas agnoscit, oppugnauit. non ipsa prima impias illas voces reperiens, sed multorum antea præceptorum auctoritatem secuta. Si verò quis contendat, Iulium in Christo vnam naturam dicere; primum quidem nunquam clarum, si genuinus hic sermo: Secundum par est cognoscere, vt posterius Iulio, apud Romanos, naturæ & hypostaseos studiosè nomen indicauit, & frustra hæretica zizania semen ibidem student suffocare. Iniudicatis enim vocibus manentibus, non obuiam iuit impietas, potius valde consequens pro hypostaseos voce naturæ vti. Sed illud de Iulio licet dicere. Ad hæc hæretica impudens sententia dicit: Quare non quemadmodum ex duabus naturis dicentes hominem, deinde post vnionem & vnam ipsius naturam? Neque etiam Christum è duabus naturis dicentes, vnam eiusdem naturam post vnionem confitemur? Vnam quidem naturam scimus compositum, at resolutorio vsi schemate, duas coincidentes agnoscimus. Sed hæc quærit hæretica impudentia. Discant impetiti, hoc compositum vnam naturam sine impedimento dici, quando nec propriè in eodem simplicia, ex quibus compositus est, nomina dicantur. Velut hominem nullus corpus propriè, neque animam propriè appellabit. Neque enim corporis neque animæ termino includitur. Abusiuè quidem sæpe & leniter familiaris sermo parum limatus, & S. Scripturæ Spiritus vsus libertate, ex parte totum hominem denominant. nolumus subire iugum seruitutis dialecticæ vanitatis. Quando ineffabilis atque incomprehensibilis vnionis neque exemplar magis proprium sumere quis possit: & asserentes Christum ex humanitate & diuinitate constare, dicimus eundem similiter & Deum eundem & hominem. Quapropter propriè ac verè semper virgo Maria Deipara dicitur. Quapropter hominis exemplar temerè ab imprudentibus in calumniandi occasionem vertit, & euertendæ vnionis secundùm hypostasin inconfusè & indiscrete duarum in Christo naturarum. quia Christus Deus noster vtrumque est proprie, vnde est, & dicitur veluti Deus & homo: alij multi clamant, & sanctus Cyrillus in epistola ad Succensum, vnum & eundem hoc & illud esse dicit. Et similiter ad Valerianum Iconij Episcopum scribit. Quare confitemur quod à carne quidē est, carnem esse, quod à Deo Deū esse, secūdùm idem vtraq; Christus, vnus Filius, vnus Dominus, est propria sua carne. Vtraq; enim quid aliud cōfirmat, quàm eūdem esse Deum & hominem. Sed licet hæc vociferetur Cyrillus, tamen allatrare nonnulli ausi sunt, quasi Christus ex diuinitate atque humanitate, neq; homo neque Deus sit.

ὥσπερ γὰρ πρὸς τὸν δυσσεβῆ Ἄρειον, ἑτέραν οὐσίαν πατρὸς καὶ υἱοῦ δυσφημοῦντα, ἡ ἐν Νικαίᾳ σύνοδος τὸ ὁμοούσιον ἀντιτάξατο, καίτοι τῆς λέξεως οὔπω τοῖς πατράσιν ἐπιπολαζούσης· τοὐναντίον δὲ καὶ κεκωλυμένης, ὑφ' ὧν ὁ Σαμοσατεὺς Παῦλος καθαιρετικὴν ἀπόφασιν εὕρηκεν: οὕτω δὴ καὶ κατὰ τῶν εἰρημένων δυσσεβῶν ἡ ἁγία σύνοδος διὰ τοῦ δύο φύσεις λέγειν ἐπὶ Χριστοῦ ἀνθωπλίσατο. οὐκ αὐτὴ πρώτη τὰς τῆς εὐσεβείας φωνὰς * ἀνευροῦσα, ἀλλὰ καὶ πολλοὺς ἔχουσα πρὸ αὐτῆς τούτων διδασκάλους. εἰ δέ τις φιλονεικοίη τὸν Ἰούλιον ἐπὶ Χριστοῦ μίαν εἰπεῖν φύσιν· πρῶτον μὲν οὔπω δῆλον, εἰ γνήσιος ὁ λόγος: δεύτερον δὲ προσήκει γινώσκειν, ὡς Ἰουλίου ὕστερον, παρὰ Ῥωμαίοις, τὸ τῆς φύσεώς τε καὶ ὑποστάσεως ἐφιλονεικήθη τε καὶ διεκρίθη ὄνομα, καὶ μάτην τὰ αἱρετικὰ ζιζάνια τῆς σπορὰν ἐκεῖθεν σπουδάζει * συλλαγχάνειν. ἀδιακρίτων γὰρ ἔτι τῶν φωνῶν * μενουσῶν, οὐδὲν ἀπαντᾷ δυσσεβὲς, μᾶλλον δὲ καὶ λίαν ἀκόλουθον, ἀντὶ τῆς ὑποστάσεως τῇ λέξει τῆς φύσεως χρήσασθαι. ἀλλὰ ταῦτα μὲν * ὑπὲρ Ἰουλίου ἐστὶ φάναι. ἔτι δὲ τὸ αἱρετικὸν ἀναισχυντεῖ φρόνημα καί φησι· διὰ τί μὴ, καθάπερ ἐκ δύο φύσεων λέγοντες τὸν ἄνθρωπον, εἶτα μετὰ τὴν ἕνωσιν καὶ μίαν αὐτοῦ τὴν φύσιν· μὴ καὶ τὸν Χριστὸν ἐκ δύο φύσεων λέγοντες, μίαν αὐτοῦ τὴν φύσιν μετὰ τὴν ἕνωσιν ἀνομολογοῦμεν; μίαν μὲν γὰρ ἴσμεν φύσιν τὸ σύνθετον· ἀναλυτικῷ δὲ κεχρημένοι τρόπῳ, δύο τὰς συνελθούσας γνωρίζομεν. ἀλλ' ἡ μὲν αἱρετικὴ ἀναισχυντία ζητεῖ ταῦτα. μανθανέτωσαν δὲ οἱ ἀσύνετοι, ὅτι τότε τὸ σύνθετον μία φύσις ἀκωλύτως λέγεται, ἡνίκα μὴ κυρίως ἐπ' αὐτοῦ τὰ τῶν ἁπλῶν, ἐξ ὧν συνετέθη, ὀνόματα λέγεται. οἷον τὸν ἄνθρωπον οὔτε σῶμά τι ἄν τις κυρίως, οὔτε ψυχὴν, εἴποι: οὐδὲ γὰρ οὐδ' ἐπιδέξαιτο ἂν, οὔτε τὸν τοῦ σώματος οὔτε τὸν τῆς ψυχῆς ὅρον. καταχρηστικῶς μέν τοι πολλάκις ἥ τε ἀνὰ χεῖρα ὁμιλία τὸ ἀκριβὲς παρατρέχουσα, καὶ τὰ ἱερὰ λόγια τῇ ἐλευθερίᾳ κεχρημένα τοῦ πνεύματος, ἐκ μέρους τὸν ὅλον ἄνθρωπον ἐπονομάζουσι, ζυγῷ δουλείας [τῆς] διαλεκτικῆς ματαιότητος ὑπείκειν οὐκ ἀνεχόμεθα. ἐπεὶ δέ γε τῆς ἀρρήτου καὶ ἀνεπινοήτου ἑνώσεως οὔτε παράδειγμα λαβεῖν οἰκειότερον δύναιτ' ἄν τις. καὶ λέγοντες τὸν Χριστὸν ἐκ θεότητος καὶ ἀνθρωπότητος, φαμὲν αὐτὸν ὁμοίως καὶ θεὸν τὸν αὐτὸν καὶ ἄνθρωπον: διὸ καὶ κυρίως καὶ ἀληθῶς ἡ παναγία παρθένος θεοτόκος πρεσβεύεται. ὥστε μάτην ἐκακουργήθη τοῖς ἀσυνέτοις τὸ κατὰ τὸν ἄνθρωπον παράδειγμα εἰς διαβολὴν, καὶ ἀνατροπὴν τῆς ἀσυγχύτου καὶ ἀδιαιρέτου τῶν δύο τοῦ Χριστοῦ φύσεων καθ' ὑπόστασιν ἑνώσεως. ὅτι δὲ Χριστὸς ὁ θεὸς ἡμῶν κυρίως ἀμφότερα, ἐξ ὧν τί ἐστι καὶ λέγεται, οἷον θεὸς καὶ ἄνθρωπος: ἄλλοι τε πολλοὶ βοῶσι, καὶ ὁ θεῖος δὲ Κύριλλος ἐν τῇ πρὸς Σούκενσον ἐπιστολῇ, ἕνα φησὶ, καὶ τὸν αὐτὸν τοῦτο κἀκεῖνο ὑπάρχειν. καὶ πρὸς Οὐαλεριανὸν δὲ Ἰκονίου ἐπίσκοπον ὁμοίως γράφει.

Οὐκοῦν ὁμολογοῦμεν, ὡς μὲν τὸ ἀπὸ σαρκὸς, σάρξ ἐστι: τὸ δὲ ἐκ θεοῦ, θεός ἐστι, κατὰ τὸ αὐτὸν ἀμφότερα Χριστὸς, εἷς ὢν υἱὸς, εἷς κύριος μετὰ τῆς ἰδίας αὐτοῦ σαρκός. τὸ γὰρ ἀμφότερα, τί ἄλλο, ἢ [ὅτι] ὁ αὐτός ἐστι καὶ θεὸς καὶ ἄνθρωπος βεβαιοῖ; ἀλλὰ καίτοι ταῦτα βοῶντος Κυρίλλου, ὅμως ἐτόλμησάν τινες ὑλακτεῖν, ὡς ὁ Χριστὸς ἐκ θεότητος μέν ἐστι καὶ ἀνθρωπότητος, οὔτε δὲ ἄνθρωπος, οὔτε θεὸς * μηδὲ

* al. ἀνακαθάρασα.
* συλλαγχάνειν.
* al. μενουσῶν.
* al. ὑπὲρ.
* al. ὁμολογοῦμεν.

μηδὲ τοῦ Παύλου τὸ θεόπνευστον καὶ μεγαλόφωνον καταιδεσθέντες, ὡς κέκραγεν· Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. διὰ μὲν τοῦ χθὲς καὶ σήμερον, ἄνθρωπον τὸν αὐτὸν ὁμολογῶν· διὰ δὲ καὶ εἰς τοὺς αἰῶνας, τὸν αὐτὸν ἀνακηρύττων θεόν. καὶ πάλιν ὁ αὐτὸς εἷς θεὸς, εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς. ὥστε κυρίως ὁ Χριστὸς, καὶ ἄνθρωπος καὶ θεός. καὶ Ἀθανάσιος δὲ γνήσιον ἑαυτὸν τοῦ Παύλου δεικνὺς μαθητὴν, οὕτω φησίν· ἐπεὶ καὶ θεός ἐστιν ὁ Χριστός. Βασιλείου δὲ καὶ τῶν ἱερῶν Γρηγορίων, καὶ τῶν ἄλλων ὁσίων πατέρων, εἴ τις συλλέγειν πειραθείη, εἰς τὸ ἄπειρον αἱ μαρτυρίαι * παραπέμψουσι τὸν λόγον. ὁ μὲν τοίνυν σοφὸς Κύριλλος τὸν τῆς οἰκουμένης διδάσκαλον Παῦλον μάρτυρα καλῶν, κατὰ τῶν μὴ βουλομένων ὁμολογεῖν θεοτόκον τὴν ἁγίαν παρθένον, οὕτω γὰρ ἐπιγράφει καὶ τὸν λόγον· ὅρα τί φησιν· τὴν μὲν δὴ φωνὴν μὲν οὐκ εἴρηκεν, * ἤγουν τὴν θεοτόκος· Θεὸν δὲ τὸν Χριστὸν ἐπὶ πάντων ἀνεβόησεν. καὶ πάλιν· εἰ μὴ θεόν * τε καὶ ἄνθρωπον ἐπίστευσε τὸν Χριστὸν· οὐκ ἂν ἐπέφερε, κατὰ σάρκα. τοῦτο γὰρ φανερῶς ἐπὶ τοῦ μὴ μόνον ἀνθρώπου, ἀλλὰ καὶ ἕτερόν τι κατ' οὐσίαν ὑπάρχοντος λέγεται. ὁ δὲ αὐτὸς θεοφόρος ἀνὴρ κἂν τῷ δευτέρῳ ἀναθεματισμῷ τὰ αὐτὰ βοᾷ. Εἴ τις οὐχ ὁμολογεῖ καθ' ὑπόστασιν σαρκὶ ἑνῶσθαι τὸν ἐκ θεοῦ πατρὸς λόγον, ἕνα τε Χριστὸν εἶναι μετὰ τῆς ἰδίας σαρκὸς, τὸν αὐτὸν δηλονότι θεόν τε καὶ ἄνθρωπον· ἀνάθεμα ἔστω. καὶ ἐν τῷ πρὸς τὰς βασιλίδας προσφωνητικῷ ὁμοίως· ἕνα τε ἡμῖν οὕτως ἀναδειχθῆναι Χριστὸν, τὸν αὐτὸν ὁμοῦ θεὸν ὄντα καὶ ἄνθρωπον. καὶ μυρία ἄλλα. κατάδηλον οὖν, ὡς πολλὴ καὶ ἄπειρος ἡ διαφορὰ τοῦ κατὰ τὸν Χριστὸν μυστηρίου, καὶ τοῦ κατὰ τὸν ἄνθρωπον παραδείγματος· ὁ μὲν γὰρ ἐξ ὧν ἐστιν, οὐ λέγεται ταῦτα· ὁ δὲ ἐξ ὧν προῆλθε, καὶ διαπρυσίως ταῦτα ὀνομάζεται.

Ἀλλὰ γὰρ τῆς αἱρέσεως πάλιν ἡ ἀπόνοια τήν τε τετάρτην μέμφεται σύνοδον, ὡς ὅρον ἐκθεμένην, διατεινομένη τὴν τοιαύτην ἐπιχείρησιν ὑπὸ τῆς κατὰ τὴν Ἔφεσον πρώτης συνόδου παντελῶς ἀποκεκωλῦσθαι. καί τοιγε εἰ κατὰ τὸν λῆρον αὐτῶν ἀπεῖργεν ἡ σύνοδος ἕτερον ὅρον μηδ' ὅλως προάγειν, αὐτὴ καθ' ἑαυτῆς πρὸ τῶν ἄλλων τὴν καταδικάζουσαν ἐξήνεγκε ψῆφον. ὁρίζει γὰρ αὐτὸ τοῦτο τυποῦσα, ἃ μηδ' ἑτέρα τῶν πρὸ αὐτῆς διωρίσατο. ἀλλὰ καὶ ἡ καθ' ὑπόστασιν ἕνωσις αὐτῆς ἐστιν ὅρος, ὃ ταῖς πρεσβυτέραις τῶν συνόδων οὐ διώρισται. ναὶ δὴ καὶ τὴν ἐν Κωνσταντινουπόλει τῶν ρν' ἁγίων πατέρων, ἐξ ὧν αὐτοὶ ληροῦσι, παραγράφεται· τὸν πνευματομάχον γὰρ αὕτη καθελοῦσα, τῷ κατὰ τὴν Νίκαιαν καταφωνηθέντι ὅρῳ τὴν περὶ τοῦ ἁγίου πνεύματος θεολογίαν προσθεῖσα συνήρμοσεν. εἰ γὰρ αἱ προλαβοῦσαι προστιθεῖσαι τὸν μῶμον ἐκφεύγουσιν, οὐδὲ αἱ μετ' αὐτὰς ἐν τοῖς ὁμοίοις ἀνομοίως ἕξουσι τὴν κατάγνωσιν. οὕτω τὸ ἀσύνετον πάντα φύρει καὶ διαστρέφει. καὶ γὰρ ἡ ἐν Ἐφέσῳ σύνοδος πίστιν μὲν ἑτέραν, ἧς ἐναντία τὰ δόγματα πρὸς τὴν ἐν Νικαίᾳ καθέστηκε σύνοδον, παντελῶς ἐκτίθεσθαι διεκώλυσεν. ἀκεραίων δὲ τῶν ἐν αὐτῇ σωζομένων, ἅπερ ὁ καιρὸς ἀπαιτεῖ προστεθεῖναι· αὐτῆς τε γέγονεν ἔργον, καὶ τῶν πραγμάτων * ἡ φύσις, καὶ τῆς ἐκκλησίας ὁρᾶται τοῦτο στέργουσα διὰ παντὸς ἡ παράδοσις. διὸ καὶ κατὰ τὴν Ἀλεξάνδρειαν, οὔπω τῆς οἰκουμενικῆς

* al. παραπέμπουσι.
* ἤγουν τὴν θεοτόκον.
* al. ἅμα τε.
* al. ἀναγκα-

EVLOGIVS.

Neque Pauli illud diuinitus inspiratum & clara voce dictum reuerentur, qui clamat: *Iesus Christus heri & hodie ipse & in sæcula.* Per illud, *heri & hodie*, eundem hominem confessus: per hoc, *in sæcula*, eundem Deum prædicat. Et iterum: Vnus Deus, vnus & mediator Dei & hominum homo Iesus Christus. Quare propriè Christus & Deus & homo. Atque Athanasius germanum se Pauli discipulum ostendens, sic ait: *Cum Christus etiam Deus sit.* Basilij & sanctorum Gregoriorum, & aliorum SS. Patrum, si quis omnia colligere testimonia studeat, in infinitum trahetur oratio. Sapiens enim Cyrillus, orbis doctorem testem Paulum adducens, *Contra nolentes virginem fateri Deiparam*: sic enim habet orationis titulus, vide quid dicat, vocem quidem non pronūtiauit, scilicet hanc, *Deipara*: Deum autem Christum super omnia prædicauit. & rursum, nisi Deum & hominem crediderit, non addidit, *secundum carnem*. Hoc enim perspicuè de non solum homine, sed aliud quid secundum substantiam existente dicitur. Idem homo diuinus in altero Anathematismo eadem vociferatur, *Si quis minimè confiteatur hypostaticè carni ex Patre Deo Verbum vnitum, & esse vnum Christum cum propria sua carne eundem nimirum Deum & hominem, anathema sit.* & similiter in oratione quam Reginis inscripsit, vnum nobis sic exhibitum esse Christum, cum simul Deum & hominem existentem, aliaque innumerabilia. Patet igitur magnam & infinitam differentiam esse in mysteriis CHRISTI, & humana forma. qui quidem ex quibus est, non dicitur hæc; ex quibus verò prodiit, perspicuè hæc nominatur.

Sed hæreticorum vesania quartam Synodum vituperat, quod decretum posuerit, contenditque tale propositum à prima Synodo Ephesi habita omnino prohibitum fuisse. Quamuis si secundum istorum delirium Synodus aliud decretum omnino producere vetuit, hæc ante alias contra se condemnationis sententiam protulit. Definit enim hoc adumbrans, qualia neque alia ante ipsam definiuit. Sed hypostatica vnio huius est definitio, quæ ab antiquis conciliis non statuta est. Certè & Cóstantinopolitanam CL. Patrum, ex quibus delirant ipsi, condemnat, quæ cum Spiritu pugnantem [Macedonium] tollens, è Nicena Synodo declaratæ definitioni, de Spiritu S. doctrinam conueniēter addidit. Si enim præcedentes apponendo reprehensionem effugiunt, neque illas secutæ in similibus dissimiliter damnabuntur. Sic stultum omnino commiscet & conuertit. Ephesina etenim Synodus fidem quidem aliam, cuius dogmata contraria Nicænæ sint Synodo, omnino exponi vetuit. Sinceris verò in hac seruatis, quæ occasio postulat, apponere illius opus fuit, & rerum natura, & Ecclesiæ traditio videtur semper hoc adamasse. Quare & Alexandriæ, nondum œcumenicæ

Hebr. 13. 8.
1. Timoth. 2.
Rom. 9. 5.
Rom. 1. 3.

EVLOGIVS. Synodo coacta, delectos in ea sacerdores, B. Cyrillus congregans, & fidem scriptam dispo nens, ad Nestorium misit. Sic quidem effugit iniustas accusationes pietas. Hæresis aliis reprehensionibus insultare non erubescit, dicens Chalcedonensem Synodum cum Cyrilli verbis pugnare. Hic enim in epistolis ad Succensum & alibi Christum è duabus naturis docet, illa verò hanc vocem expellens duas naturas indiuisas vicissim constituit. Adeò calumniari quam veritatem sectari studio magis est hæreticis. Dioscorum namque id quod ex duabus naturis compositum erat admittentem, duas verò naturas recusantem, quod Eutychianam saperet hæresin, Synodus repudiauit. Neque simpliciter damnauit illud ex duabus naturis Christum astruere, sed dicere cum Eutyche & Dioscoro. per dicere duas naturas indiuisas cum pio sensu, illam etiam ex duabus naturis, simul introduxit. Quia Eutyches è duabus dixit naturis, impiè verò, constat. Non igitur gratam aliquam Cyrillo vocem, sed impiam Eutychis sententiam Synodus reiecit. Etenim secundùm medium earum rerum quæ Chalcedone gesta sunt, lecta fide S. Flauiani, in qua scriptum, post incarnationem è duabus naturis constare confitemur Christum, in vna hypostasi, vnáque persona, vnum Christum vnum Filium confitentes: exclamauit Synodus, ipsos sic sentire, & Patrum fidem hanc esse cognoscere. Quomodo ergo hæc dicens, vel cum Cyrillo pugnat, vel asserentes piè è duabus naturis auersatur? Hæc persequens Episcopus Eulogius & admonitionem prædictis addens, ad vnionem Ecclesiæ desertores reuocantem, sermoni finem imponit.

Proxima quoque oratio contra calumniatores Chalcedonensis Synodi serio agit: vtitur verò etiam hic exemplo hominis, quo piè vsus est Cyrillus, impiè vero nouum quid profert. Asserit vnam naturam de Christo, quemadmodum & de homine dici. Nisi quatenus pro pietate agit, contra ipsam magis pugnat, licet non sentiat. Asserit enim de dissimilibus partibus, totũ partiũ nominibus non nominari, sed propria appellatione agnosci. Si verò hoc, vnius esse cognoscetur naturæ. Hæresis sic captionẽ nectit. Hic verò Verbi discipulus Eulogius vaniloquentiã illius redarguens Patrũ testimoniis ostendit, propriè & verè vnũ Dominum Iesum Christum & Deum appellari & hominem. Quare si in quibus totum partium nomina non recipit, neque vna inducitur, in quibus totũ partium appellationes propriè suscipit: in his enim & vna natura cognoscetur. Quare sapiens auctor adducit D. Cyrillum seipsum elucidantem, quomodo & cur exemplo hominis vsus sit. Theodoro enim Mopsuestiæ humanum exemplum calumniante, vt non conueniens Christi mysterio, sic & in dicto tomo 1. repugnat Cyrillus, vnum & eundem esse cognoscimus, & è Deo Patre diuinè,

συγκροτηθείσης συνόδου, τοὺς ἐν * αὐτοῦ τῶν ἱερέων * αὐτῇ. λογάδας ὁ θεσπέσιος ἀθροισάμενος Κύριλλος, καὶ πίστιν ἐκθέμενος ἔγγραφον, τῷ Νεστορίῳ διεπέμψατο. ἐκφεύγει μὲν οὕτω τὰς ἀδίκους λαβὰς ἡ εὐσέβεια. τὸ αἱρετικὸν δὲ πάλιν ἑτέραις μώμοις ἐπιπηδᾶν οὐκ αἰσχύνεται, καί φησιν· ὡς ἡ κατὰ Καλχηδόνα σύνοδος, τοῖς Κυρίλλου δόγμασι μάχεται. ὁ μὲν γὰρ ἔν τε ταῖς πρὸς Σούκενσον ἐπιστολαῖς, καὶ ἀλλαχοῦ δὲ, τὸν Χριστὸν ἐκ δύο δογματίζει φύσεων: ἡ δὲ τὴν τοιαύτην φωνὴν ὀστρακίζουσα, δύο φύσεις ἀδιαιρέτους ἀντεχειροτόνησεν· οὕτω τὸ συκοφαντεῖν τοῦ ἀληθεύειν πολὺ τῇ αἱρέσει σπουδαιότερον. καὶ γὰρ Διόσκορον ἡ σύνοδος, τὸ ἐκ δύο μὲν φύσεων δεχόμενον, τὸ δύο δὲ φύσεις οὐκ ἀνεχόμενον δέξασθαι, ὡς τὰ τοῦ Εὐτυχοῦς νοσοῦντα διώσατο· καὶ οὐχ ἁπλῶς ἐξεκήρυξε τὸ ἐκ δύο λέγειν φύσεων τὸν Χριστὸν, ἀλλὰ τὸ λέγειν κατ' Εὐτυχέα καὶ Διόσκορον. διὰ μέντοι τοῦ δύο φύσεις ἀδιαιρέτους μετὰ τῆς εὐσεβοῦς διανοίας λέγειν αὐτὴν, καὶ τὸ ἐκ δύο φύσεων συνεισήγαγεν. ὅτι γὰρ Εὐτυχὴς ἐκ δύο * [μὲν] ἔλεγε φύσεων, δυσσεβῶς δέ: πρόδηλον. οὐ τοίνυν τὴν Κυρίλλου φίλην φωνὴν, ἀλλὰ τὴν Εὐτυχοῦς δυσσέβειαν ἡ σύνοδος ἀπεπέμψατο. καὶ γὰρ καὶ κατ' αὐτὸ τὸ μέσον τῶν ἐν Καλχηδόνι πεπραγμένων τῆς πίστεως τοῦ ἐν ἁγίοις Φλαβιανοῦ ἀναγινωσκομένης, ἐν ᾗ ἐγέγραπτο. ἐκ δύο φύσεων ὁμολογοῦμεν εἶναι τὸν Χριστὸν μετὰ τὴν ἐνανθρώπησιν, ἐν μιᾷ ὑποστάσει, ἐν ἑνὶ προσώπῳ, ἕνα Χριστὸν, ἕνα υἱὸν ὁμολογοῦντες: ἡ σύνοδος ἐξεβόησεν· αὐτούς τε οὕτω φρονεῖν, καὶ τὴν πατέρων πίστιν εἶναι ταύτην ἐπίστασθαι. πῶς οὖν ἡ ταῦτα λέγουσα, ἢ Κυρίλλῳ μάχεται; ἢ τοὺς λέγοντας εὐσεβῶς ἐκ δύο φύσεων ἀποστρέφεται; ταῦτα [δὲ] διεξελθὼν ὁ ἱεράρχης Εὐλόγιος, καὶ παραίνεσιν, πρὸς ἕνωσιν ἐκκλησιαστικὴν τοὺς διεστῶτας παρακαλοῦσαν, τοῖς εἰρημένοις ἐπιθεὶς, περαιοῖ λόγον. al. γὰρ

Καὶ ὁ ἐφεξῆς δὲ λόγος κατὰ τῶν συκοφαντῶν τῆς ἐν Καλχηδόνι συνόδου τὴν σπουδὴν ἔχει. γυμνάζει δὲ κἀνταῦθα τὸ κατὰ τὸν ἄνθρωπον παράδειγμα, ᾧ κέχρηται μὲν Κύριλλος εὐσεβῶς, προφέρει δὲ δυσσεβῶς τὸ ἀλλόφυλον. προσφέρει γὰρ ἵνα μίαν φύσιν ἐπὶ Χριστοῦ, ὥσπερ καὶ ἐπὶ τοῦ ἀνθρώπου λέγεσθαι δογματίσῃ. πλὴν ἐξ ὧν ὑπὲρ τῆς * εὐσεβείας σπουδάζει, κατ' αὐτῆς μᾶλλον, κἂν οὐκ ἔχῃ τὴν αἴσθησιν, ἐξοπλίζεται. λέγει γάρ, ὡς ἐπὶ τῶν ἀνομοιομερῶν τὸ ὅλον ταῖς τῶν μερῶν προσηγορίαις, οὐκ ὀνομάζεται, ἀλλ' ἰδιαζούσῃ κλήσει γνωρίζεται. εἰ δὲ τοῦτο, καὶ μιᾶς γνωσθήσεται φύσεως. ἡ μὲν αἵρεσις οὕτω συμπλέκει τὸ σόφισμα. ὁ δὲ τοῦ λόγου μαθητὴς Εὐλόγιος τὸ ματαιολόγον αὐτῆς ἐξελέγξας, πατρικὰς ἐπιδείκνυσι μαρτυρίας, κυρίως τε καὶ ἀληθῶς τὸν ἕνα Κύριον Ἰησοῦν Χριστὸν καὶ Θεὸν καλεῖσθαι καὶ ἄνθρωπον. ὥστε εἰ ἐφ' ὧν τὸ ὅλον τὰς τῶν μερῶν προσηγορίας οὐ δέχεται, οὐδὲ ἡ μία συνεισάγεται, ἐφ' ὧν τὸ ὅλον τῶν μερῶν τὰς κλήσεις κυρίως ἀναδέχεται: ἐπ' ἐκείνων γὰρ καὶ ἡ μία φύσις συνθεωρηθήσεται. ὁ μέντοι γε σοφὸς συγγραφεὺς παράγει τὸν ἱερὸν Κύριλλον, ἑρμηνεύοντα ἑαυτὸν, ὅπως καὶ ἐφ' ᾧ τῷ κατὰ τὸν ἄνθρωπον ἐχρήσατο παραδείγματι. Θεοδώρου γὰρ τοῦ Μοψουεστίας τὸ κατὰ τὸν ἄνθρωπον ἐνδιαβάλλοντος παράδειγμα, ὡς ὑπάρχον τῷ κατὰ Χριστὸν μυστηρίῳ ἀνάρμοστον, οὕτως ἐν τῷ λεγομένῳ πρώτῳ τόμῳ ἀνθυποφέρει ὁ Κύριλλος· ἕνα καὶ τὸν αὐτὸν ὄντα γινώσκομεν, καὶ ἐκ Θεοῦ πατρὸς θεϊκῶς, * δυσσεβείας.

καὶ ἐκ

καὶ ἐκ γυναικὸς κατὰ σάρκα. κεχρήμεθα δὲ τῇ τοῦ παραδείγματος χρείᾳ, τηροῦντες πανταχοῦ τῇ ἑνώσει τὸ ἀδιάσπαστον, καὶ τὴν διαίρεσιν παραιτούμενοι. ἀκούεις ἐφ' ὧν Κύριλλος παραλαμβάνει τὸ παράδειγμα. οὐ γὰρ ἵνα σὺ μίαν τοῦ Χριστοῦ φύσιν καινολογήσῃς· ἀλλ' ἵνα Θεόδωρος καὶ Νεστόριος καταισχυνθῶσι τῇ τοῦ παραδείγματος χρείᾳ, τηροῦντος τοῦ ἱεροῦ Κυρίλλου τῇ ἑνώσει τὸ ἄτμητόν τι καὶ ἀδιάσπαστον. σὺ δὲ ἴσως ἀκολουθῶν τῷ παραδείγματι, οὐδὲ θεὸν οὐδὲ ἄνθρωπον κυρίως εἰπεῖν ἀνάσχοιο ἂν τὸν Χριστόν, διότι οὐδὲ ὁ ἄνθρωπος τὸ παράδειγμα, οὔτε σῶμα κυρίως, οὔτε ψυχή, εἰ ἐκβιάσῃ ταῦτα λέγειν αὐτόν· διότι *ἐπὶ τὸν κατὰ Χριστὸν ἀπορρήτου ἑνώσεως, ἐξ ὧν αὐτὸς σύγκειται, ταῦτα κυρίως λέγεται. οὐ τοίνυν, κἂν ὁ ἄνθρωπος μιᾶς λέγοιτο φύσεως, οὐδεὶς ἀκολουθίας ἀπαιτήσει λόγος, καὶ τὸν Χριστὸν μιᾶς ὑπάρχειν διὰ τοῦτο φύσεως. διὸ καὶ Κύριλλον μὲν τὸν θαυμάσιον, μίαν μὲν τὸν ἄνθρωπον φύσιν εὑρήσεις λέγοντα· μίαν δὲ φύσιν εἰπόντα τοῦ Χριστοῦ, οὐκ ἂν φωράσῃς. εἰ δέ τις δύο φύσεις δέδοικεν εἰπεῖν, ἵνα μὴ διαίρεσιν συνεισάξῃ· πρῶτον μὲν οὕτως ἁπλῶς μηδὲ λεγέτω δύο φύσεις, προστιθέτω δὲ τὸ ἀδιαίρετον. εἶτα *συνομολογείτω καὶ ἓν καθ' ὑπόστασιν πρόσωπον, καὶ μίαν ὑπόστασιν. ἢ ἀντ' αὐτῶν *εἰ βούλεται, τὸ μίαν τοῦ λόγου φύσιν σεσαρκωμένην. ταῦτα γὰρ ὁ λέγων κατὰ τὸν γνώμονα τῆς ἀκριβείας *Κύριλλον, οὐκ ἂν οὐδὲ συκοφάνταις παράσχῃ λαβὴν ὡς διαίρεσιν δογματίσας τῶν φύσεων. καὶ γὰρ καὶ ἀνατολικῶν δύο φύσεις εἰπόντων, καὶ συκοφαντεῖν αὐτοὺς ὡς διαιροῦντας *ἑτέρων κινηθέντων, πρὸς Ἀκάκιον γράφων· ἐπειδὴ μετὰ τοῦ εἰπεῖν δύο φύσεις καὶ τὸ ἀδιαίρετον συνῆψαν, καὶ ἐν ἑνὶ καὶ τῷ αὐτῷ Χριστῷ τὰς δύο φύσεις ὁρᾶν ὡμολόγησαν· τέκνα μὲν διαβόλου τοὺς συκοφάντας ἀποφαίνει· τοὺς δὲ ὁμολογοῦντας κατὰ τὸ φρόνημα τῶν ἀνατολικῶν ἀδύνατόν ποτε διαίρεσιν εἰσάγειν. ὅρα δὲ καὶ Ἀθανάσιον, οἷα περὶ τῆς ἐνανθρωπήσεως τοῦ λόγου γράφων, κατὰ τῶν τὰ Ἀπολιναρίου νοσούντων ἐκτίθεται. λέγων γὰρ διὰ τοῦ ἑκάτερα, τὸ δύο παρ' οὐδενὸς τῶν εὐσεβῶν εἰσάγειν ὑπενοήθη διαίρεσιν. λέγει δέ· ἀλλ' ὁ ὢν φύσει θεὸς, γεννᾶται ἄνθρωπος. ἵνα εἷς ᾖ τὰ ἑκάτερα τέλειος, *κατὰ πάντα θεὸς καὶ ἄνθρωπος ὁ αὐτός. καὶ ὁ θεολόγος δὲ Γρηγόριος ἐν τῷ ἀπολογητικῷ φησι· τοῦτο ἡ κενωθεῖσα θεότης, τοῦτο ἡ προσληφθεῖσα σάρξ, τοῦτο ἡ καινὴ μίξις· θεὸς καὶ ἄνθρωπος, ἓν ἐκ δυοῖν, καὶ δι' ἑνὸς ἀμφότερα. καὶ δὴ καὶ πρὸς Οὐαλεριανὸν τὸν Ἰκονίου γράφων ὁ Κύριλλος· Οὐκοῦν ὁμολογουμένως μέν φησι τὸ ἀπὸ σαρκὸς σάρξ ἐστι, τὸ δὲ ἐκ θεοῦ θεός. ἔστι δὲ κατ' αὐτὸν ἀμφότερα ὁ Χριστός. ὥσπερ οὖν οὐ τέμνει τὸ θεὸς καὶ ἄνθρωπος τὸν ἕνα Χριστὸν, οὐδὲ τὸ ἀμφότερα, οὐδὲ τὸ ἑκάτερα· οὕτως οὐδὲ τὸ δύο· εἰ μὴ τὸν νοῦν εἶεν σχίζοντες ἐκτετμημένοι τινὲς, καὶ τοῦ καλοῦ σπορέως οὐδένα καρπὸν φῦναι δυνάμενοι. σὺ δέ μοι σκόπει πάλιν νεωτεριζομένην τὴν αἵρεσιν. ὁ Κύριλλος, φησι, τὸ δύο λέγειν φύσεις ἀδιαιρέτους ἐξεκήρυξεν, ἀντίπαλον εἶναι νομίζων τῇ λεγούσῃ δόξῃ μίαν εἶναι φύσιν τοῦ λόγου σεσαρκωμένην. ῥᾷον δὲ αὐτῆς τὸ φρύαγμα καταβάλλεται. διττὸν γὰρ τὸ ἀδιαίρετον κἀνταῦθα, ὡς καὶ ἐν τοῖς ἄλλοις αὐτοῦ λόγοις, ὁ συγγραφεὺς ἐπιδειξάμενος [φαίνεται:]

* al. ἐπὶ.
* al. συνομολογείτω.
* al. εἰ βούλοιτο, ὑφίσταιτο.
* al. ἑτέρων.
* al. ἢ τά.

& è muliere secundùm carnem. Vtimur autem exemplo, seruantes vbiq; vnione indiuulsum, diuisionem reiicientes. Audis vnde Cyrillus exemplum sumat;non enim vt tu vnã in Christo naturam noue fingas: Verùm vt Theodorus & Nestorius pudefiant exempli vsu seruante B. Cyrillo vnione sectionis expers & indiuulsum. Tu verò forsitã exemplum secutus, neque Deum neque hominem propriè dicere sustineas eundem Christum? Quia neque homo exemplum, neque corpus propriè, neq; anima, si cogas eum hæc dicere. Quandoquidem de vnione ineffabili in Christo, vnde ipse constat, propriè hæc dicũtur. Non igitur licet homo vnius dicatur naturæ, vlla consequentiæ ratio exiget, & Christum vnius esse ideò naturæ. Quare & admirandum illum Cyrillum, vnam quidem hominem asserentem naturam inuenies, vnam verò dicentem Christi non deprehendes. Si verò duas quis naturas metuat dicere, ne diuisionem inducat. Primum quidem adeò simpliciter, neque dicat duas naturas, apponat verò indiuisas, deinde confiteatur & vnam hypostaticam personam, & vnam hypostasin: aut illorum loco, si quis volet, vnam Verbi naturam incarnatam. Hoc igitur ad accuratam amussim dicto Cyrillus, neque accusatoribus præbet occasionem quasi diuisas docens naturas. Etenim Orientalibus duas naturas dicentibus, & aliis illos accusantibus, quasi alteram ab altera diuidant, ad Acacium scribit. Quando duas naturas dicendo, & indiuiduum adiunxere, & in vno eodemque Christo duas naturas se videre testati sunt: contradicentes filiorum diaboli loco tenet. qui verò idem sentiunt, quod Orientales, impossibile est aliquando diuisionem inducere. Vide etiam Athanasium, quæ de incarnatione verbi scribens contra Apolinaristas exponit. Cùm enim dicit per vtraque, nemo Christianorum suspicatus est per dualitatem diuisionem fieri. Dicit verò: *Sed qui est natura Deus generatur homo, vt vtraque sint vnus perfectus, per omnia idem Deus, & homo.* Sed & Gregorius cognomento Theologus in Apologetico ait: hoc exinanita Deitas, hoc assumpta caro, hoc noua mistio, Deus & homo, vnũ e duobus, & per vnum vtraque. Et sane ad Valerianum Iconij Episcopum scribens Cyrillus: Quare ex confesso, inquit, quod à carne caro est, quod e Deo Deus. Est verò secundùm ipsum vtraque Christus. vt ergo non diuidit Deus & homo vnum Christum, neque dictio vtraque, sic neque illud duo; nisi quod nonnulli sensum diuidant, nec boni satoris vllum fructum proferre valentes. Tu verò mihi considera iterum nouatam iam hæresim. Cyrillus, ait, duas naturas dicere indiuisas damnauit, contradicere putans opinioni dicenti vnam esse Verbi incarnatam naturam, facilius autem eius fastus deiicitur. Dupliciter enim hic indiuisum, vt & in aliis suis sermonibus prædictus scriptor ostendit, vt apparet:

EVLOGIVS. Et hoc quidem Nestorio amicum, illud piis honoratum, & propterea inter se certant. Hoc enim relatione indiuisum, vt arma Nestorij excutitur: illud verò *hypostasi indiuisum*, vel hypostatica vnio, clarè & prædicatur & explanatur. Quare sicut si quis vnionẽ in Christo asserens, non coaptet vnioni hypostasin, suspectum verbum reddit: sic si quis duas naturas indiuisas dixerit, non adiungens hoc, *secundum hypostasin*, in eandem suspicionem incidit. Ad eundem modum asserens Dei Verbum assumere hominem, nisi vocem [assumere] aliunde exponat (nam fieri potest, vt ex Nestorij mente seu opinione, vel ex orthodoxa ratione explicata auditoribus causam [vel errandi vel rectè sentiẽdi] præbeat) culpa minimè vacat. Quapropter Cyrillus in conciliandis controuersiis acutus, in Thesauro suo, à Deo verbo assumptum ex Maria hominem veluti vestem aut templum affirmat; in epistolis verò ad Succensum: Igitur homo factus est, inquit, non autem hominem assumpsit, vt Nestorius docet. Atque aduerte sis iudicij solertiam & prudentiam. Hic assumptũ hominem vt templum sanctè asserit, & tamen Nestorium, hominem [à Deo] assumptum asserentem damnat. Vtrumque sanè rectè pieque. Etenim Nestorius hominem vna cum hypostasi humana assumptum nugabatur.

Cyrillus igitur docet Deum assumpta humanitate, siue præexistente siue subsistente hypostasi humanâ, sed humanâ naturâ in ipsa diuinâ hypostasi, subsistẽte, sine vlla tamen diuinitatis immutatione, verè hominem factũ. Sapienter ergo pariq; modo D. Cyrillus in epistolâ ad Succensũ disputat, diciq; eum qui duas naturas post vnionem asserit indiuisas, nec tamen addit (secundum hypostaticam vnionem) pugnare cum iis, qui vnicam tantum Verbi naturam incarnatam asserũt. Nequaquam ergo vox [assumpta] nisi integrè accipiatur, sed nudè tantũ pronuncietur, sufficit, vt cum iis conueniatur consentiaturque, qui vnam Verbi naturam incarnatam docent. Quod si quis rursum duas indiuisas naturas asserens, addat etiam, secundum hypostaticam vnionem, rectè & piè loquetur, habebitque Cyrillum suffragatorem. Sed attende extremam epistolæ partem, quemadmodum ratiocinetur; Vox, inquit, indiuisè, adiecta videtur esse nota certa nostræ & orthodoxæ sententiæ. Sed illi vocem non ita intelligunt. Quod si ita vt nos eam acciperent, rectè sentirent, & cum Cyrillo consentirent, apud quem illud, indiuisè, rectè intelligunt ij, qui vocem secundum hypostaticam vnionem accipiunt. Hæreticis autem etiam indiuisum est diuisum seu diuulsum. Nã illud ipsum secũdum hypostaticã vnionẽ diuellunt diuiduntq; Ita quoque reprehendas eos qui duas indiuisas naturas admittunt, sed negant eas secundũ hypostaticam vnionẽ cõiunctas; reuera enim aduersantur iis qui vnicã Dei Verbi naturam sentiunt esse incarnatã. Illos tamẽ, inquit, non reprehenderim, qui duas professi naturas in hypostatica vnione indiuisas considerant, vti nec Orientales coarguerim, qui idem sentiunt. Sed neq; hos cõtra me venire; neq; pugnare aduersus eos, qui vnã Verbi naturã aiunt incarnatam pronunciarim. Sed tu mecũ dispice, nec vnam quidẽ Verbi naturã, (si ita nudè & simpliciter loquare) incarnatã sine reprehẽsione dici posse.

καὶ τὸ μὲν Νεστορίῳ φίλον, τὸ δὲ τῇ εὐσεβείᾳ τιμώμενον, καὶ διὰ τοῦτο ἀλλήλοις ἀντικείμενα. τὸ γὰρ κατὰ σχέσιν ἀδιαίρετον ὡς ὅπλον Νεστορίου ἀποβάλλεται· τὸ δὲ καθ' ὑπόστασιν ἀδιαίρετον, ἤτοι ἡ καθ' ὑπόστασιν ἕνωσις περιφανῶς καὶ κηρύσσεται καὶ περιπτύσσεται. ὥσπερ οὖν εἴ τις ἕνωσιν ἐπὶ Χριστοῦ λέγων, μὴ συνάπτοι τῇ ἑνώσει τὸ καθ' ὑπόστασιν, ὕποπτον τὸ ῥῆμα ποιεῖ· οὕτως εἴ τις δύο φύσεις ἀδιαιρέτους λέγῃ, μὴ συνεπιφέρων τὸ καθ' ὑπόστασιν, εἰς τὴν αὐτὴν ὑποψίαν περιΐσταται. ὡσαύτως δὲ καὶ ὁ λέγων, ἄνθρωπον ἀναλαβεῖν τὸν θεὸν λόγον· εἰ μὴ τὴν φωνὴν ἄλλοθεν ἑρμηνεύσειε [δυνατὸν γὰρ αὐτὴν κατὰ * Νεστόριον, καὶ κατὰ τὸν ὀρθὸν εἰπεῖν λόγον, λαβὴν παρασχεῖν τοῖς ἀκροαταῖς) οὐκ ἔστιν ἀναίτιος. διὸ καὶ ὁ διαιτᾶν σοφὸς Κύριλλος ἐν μὲν τῷ Θησαυρῷ τὸν θεὸν λόγον, ὥσπερ τινὰ ποδήρη τὸν ἐκ Μαρίας ἄνθρωπον ἢ ναὸν ἀναλαβεῖν λέγει. ἐν δὲ ταῖς πρὸς Σούκενσον ἐπιστολαῖς. οὐκοῦν ἄνθρωπος (φησι) γέγονεν, οὐκ ἄνθρωπον ἀνέλαβεν, ὡς Νεστορίῳ δοκεῖ. καὶ ὅρα τῆς διαίτης τὸ ἀγχίνουν καὶ νηφάλιον. ὁ μὲν, ἄνθρωπον καὶ ναὸν ἀναλαβεῖν ὁμολογεῖ· Νεστόριον δὲ ἄνθρωπον ἀναλαβεῖν εἰπόντα, παραχαράττεται· εὐσεβῶς δὲ ἑκάτερον. ὁ μὲν γὰρ ὑποστάντα τὸν ἄνθρωπον ἀναλαβεῖν Νεστόριος ἐσοφίζετο· ὁ δὲ * ὑμνούμενον προϋποστάντα, ἐν ἑαυτῷ δὲ τοῦτον ὑποστήσαντα, κἂν τῷ ἀτρέπτῳ μεμενηκότα τῆς θεότητος, ἀληθῶς γενέσθαι καὶ ἄνθρωπον. σαφῶς οὖν καὶ ὁμοίως διαπρεπτόμενος ὁ ἱερὸς Κύριλλος, καὶ ἐν τῇ πρὸς Σούκενσον ἐπιστολῇ τὸ δύο φύσεις λέγειν ἀδιαιρέτους μετὰ τὴν ἕνωσιν, μὴ συνεπιφέροντα τὴν καθ' ὑπόστασιν ἕνωσιν, μάχεσθαι τοῖς μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην δογματίζουσί, φησιν. οὐ γὰρ αὐτάρκης οὕτως ἡ μίξεως ἡ φωνὴ, ἡ ῥηθεῖσα συνῆφθαι, καὶ ὁμοφρονῆσαι τοῖς μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην δογματίζουσιν. εἰ δὲ δύο τὰς φύσεις ἀδιαιρέτους εἰπὼν, συμπαραλάβοι καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν· ὀρθῶς τε καὶ εὐσεβῶς ἐρεῖ, καὶ Κύριλλον εὑρήσει ὁμόψηφον. καὶ ἄκουσον κατὰ τὸ τέλος τῆς αὐτῆς ἐπιστολῆς, οἷα διέξεισι. τὸ ἀδιαιρέτως, φησὶ, προστεθὲν, δοκεῖ μέν πως παρ' * ἡμῖν ὀρθῆς εἶναι δόξης σημαντικόν· αὐτοὶ δὲ οὐχ οὕτω νοοῦσι. ὥστε εἰ οὕτως ἐνόουν, ὀρθοδόξως ἂν ἔλεγον, καὶ τῇ Κυρίλλου γνώμῃ συνέβαινον. ἔστι γὰρ τὸ ἀδιαίρετον αὐτοῦ δόξης ὀρθῆς, τοῖς συνάπτουσι τὴν φωνὴν * ἢ συνεπινοοῦσι τῆς καθ' ὑπόστασιν ἑνώσεως· τοῖς αἱρετικοῖς δὲ * διεσπασμένον καὶ τὸ ἀδιαίρετον· τῆς γὰρ καθ' ὑπόστασιν ἑνώσεως αὐτὸ διαχωρίζουσιν. οὕτω δὴ ἂν εἴη μεμφόμενος καὶ τοὺς λέγοντας μὲν δύο φύσεις ἀδιαιρέτους, τὴν καθ' ὑπόστασιν δὲ μὴ συνομολογοῦντας ἕνωσιν· μάχονται γὰρ ὡς ἀληθῶς οὗτοι τοῖς μίαν φύσιν φρονοῦσι τοῦ θεοῦ λόγου σεσαρκωμένην. τοὺς μέν τοι μετὰ τοῦ λέγειν δύο φύσεις ἀδιαιρέτους ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει θεωρεῖν οὔτ' ἂν μεμψάμενον ἐρεῖ, ὥσπερ οὐδὲ τοὺς ἀνατολικοὺς τὰ ὅμοια λέγοντας ἐμεμψάμην· ἀλλ' οὔτε ἐμοὶ τἀναντία φρονεῖν, οὔτε διαμάχεσθαι πρὸς τὴν μίαν τοῦ λόγου φύσιν σεσαρκωμένην * οὐκ ἂν ψηφισαίμην. σὺ δέ μοι συνδιασκόπει, ὅπως οὐδὲ ἡ μία φύσις τοῦ λόγου σεσαρκωμένη, ἁπλῶς οὕτω προαγομένη, οὐ μένουσα τὸ ἀνεπίληπτον οὐ διασώζει λέγοιτο.

* al. Νεστορίου
* ὑμνούμενον.
* al. ἡμῶν.
* al. οὐ.
* al. διεσπασμένον
* al. λέγ.

λέγοιτο γὰρ ἂν μία φύσις τοῦ λόγου σεσαρκωμένη, καὶ οἷς ἄψυχος ἡ προσληφθεῖσα νομίζεται σάρξ, καὶ οἷς τῶν συνελθόντων ἡ σύγχυσις δυσσεβεῖται, καὶ οἷς ἡ τοῦ λόγου φύσις εἰς σάρκα φρενοβλαβῶς *ἀντρέπεται. ὁ δὲ τῆς ἀκριβείας διδάσκαλος Κύριλλος, ἕκαστον τῶν αἱρετικῶν φρονημάτων ὁμοτίμως βδελυσσόμενος, διὰ τῆς κοινῆς προκειμένης φωνῆς, τὸ ἀδιαίρετον μὲν καὶ ἀσύγχυτον τῶν συνελθόντων τρανολογεῖ φύσεων· ἀπευθύνει δὲ ταύτην ἔτι μᾶλλον, τὴν σεσαρκωμένην φύσιν ἐψυχῶσθαι δογματίζων ψυχῇ λογικῇ τε καὶ νοερᾷ. διὸ καὶ τοὺς ἀνατολικούς, ὡς πολλάκις εἴρηται, ταύτην μὲν τὴν φωνὴν οὐκ εἰπόντας, τὴν δὲ ἰσοδυναμοῦσαν προβαλλομένους (δύο γὰρ φύσεις εἶπον πρεσβεύειν ἐν τῇ καθ' ὑπόστασιν ἑνώσει) καὶ μηδὲ τὸ ἀδιαιρέτοις *ἐπενεγκόντας, ὀρθοδόξους ἀνεκήρυξεν· καίτοιγε οὐδὲ αὐτοῖς ῥήμασι τὸ καθ' ὑπόστασιν ἔγραψαν, ἀλλ' ἐξ ὧν εἶπον ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν τὸν ἐκ πατρὸς ἀχρόνως γεννηθέντα, καὶ ἐκ τῆς θεοτόκου Μαρίας ἐπ' ἐσχάτων· καὶ τὸν αὐτὸν πρεσβεύειν θεόν τε καὶ ἄνθρωπον· ἅτε δὴ *σύνδρομα εἰδὼς τὰ εἰρημένα τῇ καθ' ὑπόστασιν ἑνώσει φωνῇ, ὁμοδοξεῖν αὐτὸν αὐτοῖς, περιφανῶς ἐμαρτύρησε. δεῖ δὴ οὖν εἰδέναι, ὡς οἱ τὴν καθ' ὑπόστασιν ἕνωσιν εἰπόντες πατέρες ἡμῶν, δύο τινῶν συνόδων καθ' ἕνωσιν ἀδιάστατον διὰ ταύτης τῆς φωνῆς δογματίζουσιν. εἰ δὲ ἀσύγχυτα τὰ συνελθόντα μεμενήκασιν, οὐδὲν ἡ προκειμένη φωνὴ παραδίδωσιν. ὡσαύτως καὶ τὸ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην λέγειν, εἰς τὴν αὐτὴν μὲν ἔννοιαν σχεδὸν ὑποφέρεται. παρελκυσθῆναι δὲ πολλοῖς αἱρετικοῖς πρὸς τὸ βούλημα τὸ ῥᾷστον *ἐμπαρέχεται. ὥστε οὐχ ἁπλῶς αὐτὴν παραδεκτέον, ἀλλ' ὡς ὁ τὰ θεῖα *σοφὸς ἐξηγήσατο Κύριλλος, τουτέστι, ψυχῇ λογικῇ [τε] καὶ νοερᾷ συνάπτοντα ἐψυχωμένην, καὶ τῶν συνελθόντων συνεπιθεωροῦντα τὸ ἀσύγχυτον. οὕτω γοῦν ἑκατέρα φωνὴ τῆς ἀκριβείας οὐκ ἐπιτελέως, αἱ μὲν δηλοῦσι τὸ πρόσωπον, τῶν δὲ συνελθόντων οὐ τρανολογοῦσι τὸ ἀσύγχυτον. πάλιν οἱ δύο φύσεις ἀδιαιρέτους δοξάζοντες, τὸ μὲν ἀσύγχυτον διετράνωσαν, ἓν δὲ εἶναι τὸ πρόσωπον, ἤτοι τὴν ὑπόστασιν οὐ συνδιετράνωσαν· ὥστε δεῖ καὶ τοὺς δύο φύσεις ἀδιαιρέτους λέγοντας, ἢ τὴν καθ' ὑπόστασιν ἐπισυνάπτειν ἕνωσιν· ἢ τὴν μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, ἢ τὸν αὐτὸν θεόν τε καὶ ἄνθρωπον. ἄνευ γὰρ ἑνὸς τῶν εἰρημένων, τὸ ἀτελὲς ἡ φωνὴ προβαλλομένη δικαίως ἂν διελέγχοιτο. ταῦτα καὶ τὰ τούτοις ὅμοια διεληλυθὼς ὁ συγγραφεύς, καὶ παραίνεσιν παρακαλοῦσαν πρὸς ὁμόνοιαν καταβαλών, καὶ τὸν παρόντα διαναπαύει λόγον.

Ὁ δὲ ἐφεξῆς αὐτῷ λόγος πρὸς τοὺς οἰομένους ἀνθρωπίναις ἐπινοίαις δύνασθαι τὴν ἀληθῆ τῶν Χριστιανῶν ὑποβάλλειν θεολογίαν διαλέγεται· ἐν ᾧ θεολογήσας εὐσεβῶς, καὶ κρείττω πάσης ἐπιτεχνήσεως, καὶ τῆς ἐκ λόγων σοφίας, τὴν παρὰ χριστιανοῖς ἀποδειξάμενος θεολογίαν, καὶ τὸ ἐξῃρημένον αὐτῆς αἰνιξάμενος. διαλαμβάνει, ὡς ἐφ' ἡμῶν [μὲν] αἱ τῶν ἰδιωμάτων διαφοραὶ φανερῶς διεστήκασι, καθ' ἃς ἀπ' ἀλλήλων διακρινόμεθα, καὶ τὰ χαρακτηριστικὰ τῆς τινὸς ὑποστάσεως ἑτέρας οὐκ ἐῶσι κοινοποιεῖν ἰδιώματα· ἐπὶ δὲ τῆς ἁγίας τριάδος αἱ ἰδιότητες ἀκίνητοι

*al. ἀνατρέπεται.

*al. ἐπενηνοχότας.

*al. σύνδρομα.

*al. παρέχεται. σοφῶς.

EVLOGIVS.

Nam & vna Verbi natura incarnata diceretur ab iis qui putant inanimatam carnem esse assumptam; & qui ex coëuntium permixtione [naturam assumptam] blasphemant; & qui naturam Verbi in carnem mutatam .·. insaniunt. Accuratissimus autem doctor Cyrillus singulas hæreticorum pariter execratus sententias, per vocem in medio positam, duas naturas [in Christo] concurrentes indiuisas & inconfusas planissimè demonstrat. Refellit porro hanc magis, dum docet naturam incarnatam, animâ rationis & intelligentiæ plenâ fuisse animatam. Quapropter & Orientales, vti sæpe dictum est, quamuis hanc vocem non pronuncient, aliam tamen quæ eandem vim habet, ponant (duas enim naturas in hypostatica vnione se venerari dixerunt) neque vocem, indiuisas, .·. vsurpent, rectè sentire declarauit. Quin neque verbis ipsis, illa secundum hypostasin, in scriptis suis expresserunt; sed ex dictis quibus vnum & eûdem ex patre ab æterno, & ex Maria Dei genitrice vltimis temporibus natum confitentur, eundemq; Deum & hominem venerantur, quæ dicta cum videret .·. respondere, vnioni secundum hypostasin, verbo se cum illis sentire apertè contestatus est.

.·. Stultissimè dissentiunt.

.·. al. auferunt.

.·. Cyrillus.

Sciendum ergo à patribus, qui hypostaticam vnionem profitentur, hac voce, duarum quarumdam naturarum concurrentium indiuulsam vnionem asseri.

Quod si autem duæ illæ naturæ inconfusæ permansere, nihil proposita vox [veritati] officit. Eodem modo cum dicitur, vnam Verbi naturam esse incarnatam, eundem ferè sensum habet. Rapi autē à multis hæreticis hoc ad cuiusq; arbitrium, non negatur; vt proinde vox non sit ita nudè acceptāda, sed quēadmodum Cyrillus rerū diuinarū sciens illam vsurpauit, hoc est, vt addas animā rationali & intelligēti [carnē] animatā, & duarum naturarū inconfusam coniunctionem intelligas. Ita ergo vtraq; voce non accuratè excussā, vnā quidem personam explicant, sed inconfusū duarum naturarum concursum non explanant. Rursū qui duas naturas indiuisas tradunt, id quidem quod est inconfusum exposuere, sed vnā esse personam aut hypostasin non declarauere. Vt proinde sit necesse ab iis, qui duas naturas indiuisas profitentur, aut adiungi, secundum hypostaticam vnionem, aut vnā Verbi naturam esse incarnatam, aut eūdem simul Deum esse & hominem: Absque altero enim dictorum, vox proposita, vt imperfectum quid iure sanè reprehendatur.

Hæc & his genuina cum auctor explicasset; adiecta ad concordiam [ineundam] adhortatione libro huic præsenti finem imponit.

Quinta deinceps oratio disputat contra illos, qui humano ingenio Christianam fidem comprehendi posse existimant: in quo piè, planéque diuinè philosophatur, atque .·. dicendi ratione Christianam religionem certam ostēdit, quodque illa potissimum sequitur prædicat; & docet quemadmodum proprietatū differētiæ in nobis àperte distinctæ sint, quibus alter ab altero differt, notæque singulares alterius alicuius personæ proprietates [indiuiduo ilii assignent,] communes fieri prohibeant:

.·. Rationem scientia.

In sancta autem Trinitate proprietates manēt

EVLOGIVS. immutabiles, & per indiuisam vnionem copulantur; Cumque sit vna personarum potentia, habent tamen in ipsa differentia diuinam & inexplicabilem inter se coniunctionem, secundum quam in Patre Filius, & pater in Filio, & Filius in Patre & Spiritu sancto; & Spiritus S. in Filio & Patre cognoscitur, coniunctione vbique dominante, neque indiuisum * in proprietatibus separante. Sed aliud est ESSE supremæ Trinitatis, aliud nostrum. In Trinitate ENS est supra ESSE; At nostrum ESSE neque propriè ENS est. Quomodo enim sit propriè ENS quod à non ENTE descendit, & quod naturâ suâ in non ENS desinit? Quanquam à conditore suo hoc per amorem honore & munere dignatum est, vt sit semper, & immortalitatem assequatur. Deus igitur nobis est vnus, & Trinitas [seu trinus] cognoscitur fons infinitæ & incomprehensæ sapientiæ, & quæ sanctificat, virtutis. Vnde vnus Deus & Dominus, & rex, & ipse pater est, & perfectionis auctrix Sapientia, & virtus sancti Spiritus. Indiuisus enim Pater, à sua ipsius sapientia, & virtute sanctificantis spiritus, in vna natura adorandus, nec in vnum atque vnum Deum diuidendus, quemadmodum in nobis, qui incommunicabili proprietatum discrimine & differentia operationis distinguimur & separamur, totâque diuisione ab inuicem per differentiam subsistimus. Quapropter non est in illa, vt in nobis dicendum, hoc huius esse primum, aut aliud huius secundum aut tertium. Vnitas enim verè est trinitas, & trinitas vnitas. Nec quia vnitas est, idcirco contrahit trinitatem; Nec quia Trinitas, diuidit vnitatem. Neque enim *vnum* in diuinâ substantiâ, vt in rebus creatis accipimus, in quibus nec *vnum* propriè est intelligere. Nec enim vnũ numero in nobis, etiam propriè est vnum, Nam quod in nobis dicitur vnũ, non est propriè vnum, sed aliquid vnum: hoc autem vnum est, & non vnum, vt pote quod habeat nomẽ *vnius*, & re ipsa in multa diuidatur.

Quando autem Theologi diuinam naturam vnum quid esse prædicant, vt mentem, id propter solam diuinam Verbi seu impatibilem generationem faciunt. Nam recta piaque sententia diuinitatem supra naturam mentis [humanæ] collocatam piè asserit. Identitas enim etiam in mente spectatur., itemque diuersitas, & motus & quies, nec omnino caret duplicitate. Sed quies quidem in ipsa propter essentiæ identitatem spectatur: diuersitas autem, & motus, propter naturalem vim & operationem. Neque enim est idem dicere vnum [per se] & vnum respectu alterius. Vnde quamuis vnus sit subiecto, tamen quando seipsum considerat, & noscitur à seipso pro vno & simplici duplex esse probatur; quod, etsi quid simile habet [vni,] propriè [tamen] ab vno, & à beata [Dei] natura prorsus alienum est. Hinc neque numero vnum est, aut vt principium numeri; neque vt magnitudo, vel vt principium magnitudinis, omnem enim magnitudinem & partem, & compositionem vincit. Et si fas liberius loqui, vnum est diuinitas secundum simplicitatem essentiæ, non vt vnum sub triplici nomine consideratum, aut in partes diuisum, aut ex pluribus compositum: Inexplicabile enim est nec vllo nomine hoc *vnum* exprimi potest;

* Ob proprietates Græcè in ἰδιώμασι

μένουσαι, συνάπτονταί πως διὰ τῆς ἀδιαιρέτου ἑνώσεως· καὶ [τὸ] μίαν εἶναι τῶν ὑποστάσεων τὴν ἐνέργειαν· πλείστην ἔχουσαι κἂν τῇ διαφορᾷ τὴν θεϊκήν τε καὶ ἄρρητον πρὸς ἀλλήλας συνάφειαν, καθ' ἣν [ὁ] υἱὸς ἐν πατρὶ, καὶ πατὴρ ἐν υἱῷ, καὶ υἱὸς ἐν πατρὶ καὶ πνεύματι· καὶ πνεῦμα ἐν υἱῷ καὶ πατρὶ, θεωρεῖται· τῆς συναφείας πανταχόθεν ἐπικρατούσης, καὶ μηδ' ἐν τοῖς ἰδιώμασι καινοτομούσης τὸ ἀδιαίρετον. καὶ δὴ καὶ τὸ εἶναι, ἄλλο τί ἐστιν ἐπὶ τῆς ὑπεραρχίου τριάδος, καὶ ἄλλο τὸ ἐν ἡμῖν. ἐκεῖ μὲν γὰρ τὸ ὂν, ὑπὲρ τὸ εἶναι: ἐνταῦθα δὲ, οὐδὲ κυρίως ὄν. πῶς γὰρ ἂν εἴη κυρίως ὂν, τὸ ἐκ μὴ ὄντων παρηγμένον, καὶ εἰς τὸ μὴ ὂν τῇ γε οἰκείᾳ φύσει ὑπόρρεον; εἰ καὶ δωρεᾷ ἐφιλοτιμήθη τοῦ δημιουργοῦ, εἰς τὸ ἀεὶ εἶναι καὶ εἰς ἀφθαρσίαν ἀναβιβάζεσθαι. θεὸς οὖν ἡμῖν ἐστιν εἷς, καὶ τριὰς θεωρούμενος, πηγὴ τυγχάνων ἀπεριορίστου σοφίας, καὶ ἁγιαστικῆς δυνάμεως. ὅθεν εἷς θεὸς καὶ κύριος καὶ βασιλεὺς, αὐτός τε πατὴρ, καὶ ἡ τελειοποιὸς σοφία αὐτοῦ, καὶ ἡ ἁγιαστικὴ δύναμις. ἀδιαίρετος γὰρ ὁ πατὴρ πρός τε τὴν ἑαυτοῦ σοφίαν, καὶ τὴν ἁγιαστικὴν δύναμιν, ἐν μιᾷ φύσει προσκυνούμενος· οὐκ εἰς ἕνα καὶ ἕνα μεριζόμενος θεὸν, καθάπερ ἐφ' ἡμῶν, οἳ τῷ ἀκοινωνήτῳ τῶν ἰδιωμάτων, καὶ τῷ διαφόρῳ τῆς ἐνεργείας μεριζόμεθά [τε] καὶ διαιρούμεθα, καὶ τῇ * δι' ὅλου τομῇ τὴν πρὸς ἀλλήλους διαφορὰν ὑφιστάμεθα. διὸ οὐδὲ ἔστιν εἰπεῖν, ὥσπερ ἐφ' ἡμῶν, οὕτω καὶ ἐπ' αὐτῆς, ὅτι τόδε τοῦδε πρότερον, ἢ ἐκεῖνο τοῦδε δεύτερον, ἢ τρίτον. μονὰς γὰρ ἀληθῶς ἡ τριὰς, καὶ τριὰς ἡ μονάς. οὔτε διότι μονὰς, τὴν τριάδα συστέλλουσα: οὔτε διότι τριὰς, τὴν μονάδα τέμνουσα: οὐδὲ γὰρ τὸ ἓν ἐπὶ τῆς θείας οὐσίας, ὡς ἐπὶ τῶν κτισμάτων, νοούμενον· παρ' οἷς οὐδὲ τὸ κυρίως ἓν ἔστι θεωρῆσαι. οὐ γὰρ τὸ ἓν ἀριθμῷ ἐφ' ἡμῶν καὶ κυρίως ἕν. καὶ γὰρ τὸ ἐφ' * ἡμῶν λεγόμενον ἓν, οὐ κυρίως ἓν, ἀλλά τι ἕν: τοῦτο δὲ ἕν τέ ἐστι καὶ οὐχ ἕν· ἅτε δὴ καὶ τοῦ ἑνὸς φέρον τὴν κλῆσιν, καὶ πρὸς τὸ πολλὰ εἶναι μεριζόμενον. εἰ δὲ καὶ ὡς νοῦν οἱ θεολόγοι τὸ ἓν ἐπὶ τῆς θείας ὑμνοῦσι φύσεως, ἀλλὰ διὰ μόνην τὴν ἀπαθῆ τοῦ λόγου γέννησιν τοῦτο παραλαμβάνουσιν. ἡ γὰρ εὐσεβὴς ἔννοια καὶ τῆς τοῦ νοῦ φύσεως ὑπεριδρυμένην θεολογεῖται θεότητα. καὶ γὰρ καὶ κατὰ τὸν νοῦν ταυτότης ὁρᾶται, καὶ ἑτερότης, κίνησίς τε καὶ στάσις. καὶ τῆς διπλόης παντελῶς οὐκ ἐξίσταται: ἀλλὰ στάσις μὲν αὐτῷ διὰ τὴν τῆς οὐσίας ἐνορᾶται ταυτότητα. ἑτερότης δὲ καὶ κίνησις, διὰ τὴν αὐτεξούσιον ὁρμὴν καὶ ἐνέργειαν· οὐ γάρ ἐστι ταυτὸν ἓν εἰπεῖν, καὶ μετὰ τῆς πρὸς ἕτερα παραθέσεως ἕν. ὅθεν εἰ καὶ εἷς τῷ ὑποκειμένῳ τυγχάνει: ἀλλὰ νοῶν ἑαυτὸν, καὶ ὑφ' ἑαυτοῦ γινωσκόμενος, ἀνθ' ἁπλοῦ, διπλοῦς ἀποδείκνυται. ὅπερ καὶ εἴ τι ὅμοιον τοῦ κυρίως ἑνὸς καὶ τῆς μακαρίας φύσεως παντελῶς ἠλλοτρίωται. διόπερ οὐκ ἔστιν οὐδὲ τῷ ἀριθμῷ ἕν, ἢ ὡς ἀρχὴ ἀριθμοῦ· οὐδὲ ὡς μέγεθος, ἢ ὡς ἀρχὴ μεγέθους: πάσης γὰρ ποσότητος καὶ μέρους καὶ συνθέσεως ὑπερίδρυται. ἀλλ' εἰ δεῖ θαρρήσαντα εἰπεῖν, ἕν ἐστι τὸ θεῖον κατὰ τὴν ἁπλότητα τῆς ὑπάρξεως, οὐχ ὡς ἓν τριώνυμον θεωρούμενον, ἢ ὡς μέρη διαιρούμενον, ἢ ἐκ πλειόνων συγκείμενον· ἄρρητον γάρ ἐστι καὶ ἀκατονόμαστον τοῦτο τὸ ἕν.

* δύναμ.

* al. ὑμῶν

ἐπεὶ

* al. ἑνάδων. ἐπεὶ δὲ αὐτὸ τῦ ἑνός ἐστιν αἴτιον, πάσης * ἑνάδος ἑνοποιὸν· καὶ παντὸς ἑνὸς καὶ πλήθους ὑπεραπλούμενον, διὰ τὸ κυρίως ἓν εἶναι, καὶ ἐν πᾶσιν εἶναι, καὶ ὑπὲρ πάντα γινώσκεσθαι· ὑποστατικὸν μὲν ἁπάντων τῶν ὄντων, ὑπεριδρυμένον δὲ ἐν τῇ ὑπερουσίῳ καὶ ἰδίᾳ μονότητι· ἑνὰς δὲ καὶ μονὰς θεολογούμενον, υἱὸς ἐν πατρὶ, καὶ πατὴρ ἐν υἱῷ γινωσκόμενον· πνεῦμα ἅγιον ἐκπορευόμενον ἐκ πατρὸς, ἀρχὴν μὲν ἔχον τὸν πατέρα, δι' υἱοῦ δὲ εἰς κτίσιν ἐπ' εὐεργεσίᾳ τῶν δεχομένων ἐρχόμενον· οὐ καθ' ὕφεσιν γινωσκομένης τῆς * γεννήσεως, * al. γεννήσεως. οὐδὲ κατὰ τομὴν θεωρουμένης τῆς ἐκπορεύσεως. εἰ γάρ τις δοίη ταῦτα· καὶ ἐπὶ τετράδα, καὶ πεντάδα, καὶ ἐπ' ἄπειρον τὴν πρόοδον ῥυῆναι, κατὰ τοὺς ἑλλήνων μύθους, συγκατασκευάσειεν· ἓν κυρίως ὂν τὸ θεῖον πληθυσμὸν οὐδένα παραδεχόμενον· ὡς ἀκριβής τε καὶ ἀληθὴς ἑνότης κατὰ τὴν φυσικὴν, εἰ χρὴ φάναι, θεωρούμενον ταυτότητα. ὅθεν εἰ καὶ ὑποστάσεις ἢ πρόσωπα ἢ ἰδιότητας ὀνομάζομεν, ἃ ὁ νοῦς ἔγνω, καθ' ὅσον δυνατόν ἐστιν, ἑρμηνεῦσαι βουλόμενοι: οὐ τὸ ἓν διαιροῦμεν, οὐ τὴν μονάδα μερίζομεν, οὐ τὴν ἑνάδα διασπῶμεν· ἀλλὰ τῇ ἀϊδίῳ μονότητι θεολογοῦντες ταύτην, ἐν τρισὶν αὐτὴν συνθεολογοῦμεν ὑποστάσεσιν· οὐκ ἀνθρωπίνοις λογισμοῖς τὰ ὑπὲρ νοῦν * ὑποβάλλοντες, οὐδὲ περιεργοτικαῖς ἐρεύναις τὰ ὑπὲρ εὕρεσιν ἐνυβρίζοντες. διὸ τοὺς παρὰ ταῦτα, ἢ τὴν ἄρρητον ἑνότητα διατέμνοντας, ἢ τὸ τριαδικὸν τῶν ὑποστάσεων εἰς μοναδικὴν πενίαν συγκλείοντας, ὡς τῆς εὐσεβείας πολεμίους ἐκτρεπόμεθα. ταῦτα καὶ [τὰ] τοιαῦτα διεξελθὼν, πρὸς τοὺς ἰδίωμα μόνον εἶναι * κατολιγοροῦντας τὴν ὑπόστασιν ἀποδείκνυται, καὶ πλείοσι τῆς εὐσεβείας λογισμοῖς τὴν αὐτῶν ἐπιστομίζει κακόνοιαν. εἰ γὰρ ταυτὸν ὑπόστασις καὶ ἰδίωμα, ἐνανθρωπῆσαι δὲ τὴν τοῦ λόγου φαμὲν ὑπόστασιν· ἀλλὰ τὸ ἀκόλουθον γνώριμον ὂν, καὶ πρὸς βλασφημίαν γνωριμώτερον, εἰς τὰς κεφαλὰς τῶν ῥηθῆναι βιαζομένων στρεφέσθω ἀπορριφθέν. πῶς δὲ καὶ τὸ πνεῦμα, εἴπερ ἰδίωμα, δύναιτ' ἂν [τοῦ πατρὸς] ἐκπορεύεσθαι, καὶ παρὰ τοῦ πατρὸς ἐπ' εὐεργεσίᾳ τοῦ πλάσματος ἀποστέλλεσθαι; ἀλλὰ καὶ πᾶσα ὑπόστασις τῶν ὑφεστηκότων ἐστὶ καθ' ἑαυτὰ· ἰδίωμα δὲ πῶς ἂν ὑποσταίη καθ' ἑαυτὸ, μὴ ἐκείνου ἱδρυθέντος οὗ καὶ εἶναι ἰδίωμα λέγεται; καὶ ἐν τρισὶ μὲν ὑποστάσεσιν ὁ ἱερὸς τῶν πατέρων χορὸς τὴν θεϊκὴν οὐσίαν δογματίζει: ἐν τρισὶ δὲ ἰδιώμασιν οὐδεὶς ἂν φαίη. τοὐναντίον γὰρ· ἐν μὲν τῇ οὐσίᾳ καὶ περὶ τὴν οὐσίαν ὁρᾶται τὰ ἰδιώματα· αὐτὴν δὲ ἐν ἰδιώμασιν οὐκ ἄν τις φαίη. εἰ γὰρ καὶ τῷ θεολόγῳ εἴρηται, τὴν μίαν φύσιν ἐν τρισὶν ὑπάρχειν ἰδιότησιν: ἀλλὰ πρῶτον μὲν οὐ ταυτὸν ἰδιότης καὶ ἰδίωμα. ἔπειτα δὲ οὐδ' εἰ ὁ πατὴρ κατεχρήσατο τῇ φωνῇ, ταύτην λαβὼν ἀντὶ τῆς ὑποστάσεως, ἤδη ταυτόν τις εἶναι δογματίσει τὴν ὑπόστασιν καὶ τὴν κυρίως ἰδιότητα· εἰ δὲ καὶ χαρακτηριστικὸν καθέστηκεν ἡ ἰδιότης τῆς ὑποστάσεως, ὥσπερ Βασιλείῳ τε καὶ πολλοῖς τῶν πατέρων δοκεῖ: οὐδὲν μὲν ἄτοπον τὸν ἱερὸν Γρηγόριον εἰπεῖν, ἐν τρισὶν ἰδιότησιν· οὐ ταυτὸν ὑπάρχειν νομοθετοῦντα τῇ ὑποστάσει τὴν ἰδιότητα, ἀλλ' [ὡς] ἐκ τοῦ μάλιστα χαρακτηριστικοῦ,

* al. ἐπιβάλλοντες.

* κατολιγορῦντας.

quia ipsius vnius etiam est causa, & vnitatis cuiuscumque vnicus effector; Omnibus quoque tam vno, quam multis ipsa simplicitate superior, eo quod propriè vnum sit, & in omnibus, & super omnia intelligatur; Quod omnia quidem quæ sunt, condidit; in supersubstantiali autem, & sibi propria singularitate fundatum, à Theologis vnitas & singularitas vocatur: nec aliud esse cognoscitur, quam Filius in Patre, & Pater in filio; spiritus quoque sanctus procedens ex patre; & principium quidem habens Patrem, sed per filium in creaturas, pro sua ergo electos beneficentia descendens: sic tamen vt nec generatione [Filij] imminuta noscatur essentia, nec in processione [Sp. Sancti] eiusdem diuisio facta existimetur. generatione non per imminutam essentiam spectata, neque processione secundum diuisionem cognita. Si enim hæc concesserit quispiam, tum secundum fabulas paganorum vique ad quaternarium, quinarium ac tandem progressum in infinitum cócedere cogeretur. Itaque quicquid Deus est propriè vnum est, quod nullam admittit multitudinem, tamquam perfecta veráque secundùm naturalem, si ita loquendum est, vnitatem, spectatum. Vnde, quamuis hypostases seu personas, seu proprietates nuncupamus, quas mens cognouit, pro facultate nostra interpretari conati, nequaquam hoc vnum diuidimus aut vnitatem partimur, aut vnitatem diuellimus; sed hanc in æterna vnitate piè perpendentes, illam in tribus personis vnà profitemur, neque ea, quæ supra mentis captum sunt, rationi humanæ subijciendo, neque curiosa & vafra inuestigatione illa quæ inueniri nequeunt violando. Quapropter illos, qui hos limites egressi aut vnitatem hanc inenarrabilem partiuntur, aut tres personas ad vnitatis angustias redigunt, vt hostes pietatis profligamus.

At tandem vicem ad progressum infinitum aperies.

Hæc & hoc genus alia prosecutus, contra eos disputat, qui hypostasin nihil aliud esse contendunt, quam nudam proprietatem, pluribúsq; veræ pietatis rationibus impiam illorum sententiam retundit. Etenim si idé est persona & proprietas; dum Verbi hypostasin incarnatã dicimus, manifestum est id quod inde ∴ sequitur, & manifestius ob blasphemiã, quæ tacitè in caput illorum retorqueatur, qui hæc dicere cogunt. Quomodo porro Spiritus S. si proprietas est, potest à Patre procedere; & à Patre in opus creatũ ex beneficio mitti. Quin immo omnis persona rerum subsistentiũ per se subsistit. Quomodo ergo proprietas per se subsistat, si illud positũ ante non sit, cuius proprietas esse dicitur? In tribus quoq; personis sacer patrũ senatus diuinam essentiam esse docet: In tribus autem proprietatibus nemo affirmauit, sed contra potius in Essentia & per essentiam cognoscuntur esse proprietates. Essentiam autem per proprietates nemo asseruerit.

Vide D. Thomam 1. p. q. 40. a. 1.

∴ Sequitur ludum proprietatem esse incarnatam, si idem est hypostasis verbi & proprietas.

Etsi enim à Theologo dictum est vnam naturam in tribus esse proprietatibus, idem tamen non est * proprietas & proprium. Deinde etiamsi abusus sit Nazianzenus voce [proprietas] non illicò tamen quis asserat, idem esse personam, & propriè dictam proprietaté; cũ vero & proprietas, quasi per signũ exprimat seu constituat personam, quemadmodum Basilio & plerisque patribus videtur, quid absurdi dictũ est à S. Gregorio [vnam naturam] in tribus esse proprietatibus; cũ non decernat idé esse personá & proprietaté, sed quasi ab optimo signo,

** Ἰδιότης και ἰδίωμα proprietas & proprium seu communicatio proprietatum siue proprium.*

EVLOGIVS. hoc est proprietatate, denominet hypostasin. Addit ergo, intellectualibus perfectionibus per se subsistentibus. quod nemo, nisi mente destitutus, de proprietatibus accipiat.

Præter ea quæ dicta sunt, Prima Synodus personas quidem consubstantiales declarauit; quis autem, nisi insanus, proprietates dixerit consubstantiales. Quod si quis proprietates ausus est dicere consubstantiales, eò quod sæpe in eadem essentia videantur concurrere, ille ipse sui oblitus, aliam consubstantialitatis significationem finxit. Præsertim autem heterogenia, seu quæ diuersi generis sunt (sic quantitatem & qualitatem & quæcumque alia simul in vnam naturam nullo modo conuenire possunt, appello) hæc nouus ille doctor seu legislator sic iubet ac si sint eiusdem naturæ eiusdem simul substantiæ concipi & appellari.

Concilium Nicaenum. In nostra enim substantia apertè cernitur quantitas, & qualitas, & quod est ad aliquid relatum: Et si quis per hæc [naturam nostram] in principia incommunicabilia simul diuiserit. Atque hoc quidem absurdum dogma copiosam nobis præbuit materiam refutandi. Enimuerò nec ita quidem didicit tacere contentiosus litigator. Docent enim nonnulli ex substantiæ & proprietatis copulatione constare personam. Quæ sententia manifestè asserit [in DEO] compositionem: At vbi erit illud simplex & ab omni concretione materiæ liberum in sanctæ Trinitatis Deitate? Quin & Basilium M. huius sententiæ auctorem laudant; cum [interim] nolint capere, à sapiente illo viro neque definitam esse nec descriptam hypostasin, quando copulationis nomen vsurpauit, sed cum vellet reprimere Anomium, (qui ingenitum & essentiam confundere, & differentiam inter genitum & ingenitum ad rationem substantiæ transferre contendebat, vt non solum differentes, sed etiam contrarias ponat in Patre & Filio substantias) propterea disponens sermones suos in iudicio Basilius, in disputationis certamine cum Anomio, proprium componit cum communi inconfusâ nobis & distinctâ viâ ad capiendam veritatem demonstratâ. Non potest enim humana mens simplici & vnico conceptus impetu, simul illud vnicum ac simplex [in diuinitate] & triplicem personarum numerum capere; propterea, vt magister docet; per proprietatum adiectionem distinctum in his format personarum conceptum. Methodus sanè succurrit imbecillitati, efficitque vt quod intelligi prius non poterat, facilè intelligatur. Nullo modo ergo [D. Basilius] Deitatis simplicitatem, aut personam quamcumque diuinitatis compositam voluit. Hinc adiecit, impossibile esse proprium & singularem de Patre aut filio sine proprietatum, quibus intelligendi facultas distinguatur, adiectione, formare conceptum. Et quod antea vocarat compositionem, id nunc appellauit adiectionem, vt id quod dixerat, magis declararet. Modi ergo seu tropi, ad indicandam proprietatem *(Basilius.)* ab illo in docẽdo adhibiti, simplicitatis rationẽ non euertũt: alioqui omnia quæ de Deo dicuntur, Deum nobis compositum probabunt.

Deus non λέγεται aut similis. His explicatis, egregius Eulogius aliam quæstionẽ proponit. Enimuero, inquit, quãdo contendunt proprium cum communi esse coniunctũ, aut mentiuntur, cum hoc faciunt, aut verè affirmãt;

τουτέστιν, ἐκ τῆς ἰδιότητος, ἐπονομάζοντα τὴν ὑπόστασιν. διὸ καὶ ἐπάγει νοεραῖς τελείαις καθ' ἑαυτὰς ὑφεστώσαις, ὅπερ οὐδεὶς ἂν νοῦν ἔχων ἐπὶ τῶν ἰδιωμάτων παραδέξαιτο. χωρὶς δὲ τῶν εἰρημένων, τὰς μὲν ὑποστάσεις ἡ ἁγία πρώτη σύνοδος ὁμοουσίους *ἀνεκήρυξε· τὰ δὲ ἰδιώματα πῶς ἄν τις μὴ μελαγχολῶν ἀποφήνοι ὁμοούσια; εἰ δέ τις ὁμοούσια ἀποθρασυνθείη λέγειν τὰ ἰδιώματα, ὅτι ἐν τῇ αὐτῇ πολλάκις οὐσίᾳ συντρέχοντα ὁρᾶται· λέληθε μὲν αὐτὸς ἑαυτόν, ἕτερον ἀναπλάττων ὁμοουσίου σημαινόμενον· ἄλλως τε δὲ καὶ τὰ ἑτερογενῆ, *οἷον ποσότητά φημι καὶ ποιότητα, καὶ ὅσα ἄλλα, ἀδύνατον εἰς μίαν φύσιν συνελθεῖν. ταῦτα ὁ καινὸς νομοθέτης οὗτος παρακελεύεται νοεῖν τε καὶ λέγειν ὁμοφυῆ τε καὶ ὁμοούσια. ἐν γὰρ τῇ ἡμετέρᾳ οὐσίᾳ φανερῶς ὁρᾶται καὶ ποιότης καὶ ποσότης καὶ πρός τι· καὶ εἴ τις τούτοις εἰς ἀκοινωνήτους ἀρχὰς συνδιήρηται. ἀλλὰ τοῦτο μὲν αὐτάρκως ἔδωκε τὸν ἔλεγχον τὸ ἀτόπημα. ἀλλ' οὐδ' οὕτω σιγᾶν οἶδε τὸ φίλερι. φασὶ γάρ τινες, συμπλοκὴν οὐσίας καὶ ἰδιώματος εἶναι τὴν ὑπόστασιν· ὃ περιφανῶς συνεισάγειν οἶδε τὴν σύνθεσιν. καὶ ποῦ ἂν εἴη τὸ ἁπλοῦν καὶ ἀσύνθετον τῆς ἐν τριάδι θεότητος; οἱ δὲ καὶ Βασίλειον προϊστῶσι τὸν μέγαν τῆς φωνῆς διδάσκαλον. οὐκ ἐθέλοντες νοεῖν, ὡς ὁ σοφὸς ἐκεῖνος ἀνήρ, οὔτε ὅρον, οὔτε ὑπογραφὴν ἀποδιδοὺς *ὑποστάσεως, τὸ τῆς συμπλοκῆς παρέλαβεν ὄνομα, ἀλλὰ βουλόμενος ἐπιστομίσαι τὸν *Εὐνόμιον, τὴν ἀγεννησίαν καὶ τὴν οὐσίαν εἰς ταὐτὸν ἀγαγεῖν φιλονεικήσαντα, καὶ τὴν πρὸς τὸν γεννητὸν τοῦ ἀγεννήτου διαφορὰν εἰς τὸν τῆς οὐσίας λόγον μεταγαγεῖν· ἵνα μὴ μόνον εἰς διαφόρους, ἀλλὰ καὶ ἀντικειμένας οὐσίας εἰσάγῃ ἐπί τε τοῦ πατρὸς καὶ τοῦ υἱοῦ. διὰ τοῦτο ὁ τοὺς λόγους οἰκονομῶν ἐν κρίσει Βασίλειος, ἐν τῷ πρὸς τὸν Ἀνόμοιον ἀγῶνι, τῷ κοινῷ συμπλέκει τὸ ἴδιον, ἀσύγχυτον ἡμῖν καὶ διακεκριμένην μεθοδείαν τῆς τῆς ἀληθείας καταλήψεως. ἀπορεῖ μὲν γὰρ ὁ ἀνθρώπινος νοῦς ἁπλῇ καὶ μιᾷ προσβολῇ τὸ ἑνιαῖον ἅμα καὶ ἁπλοῦν, καὶ τὸ τριττὸν καταλαβεῖν τῶν ὑποστάσεων, διὸ τῇ τῶν ἰδιωμάτων, ὡς ὁ διδάσκαλος ἔφη, προσθήκῃ τὴν ἰδιάζουσαν ἀφορίζει τῶν ὑποστάσεων ἔννοιαν. καὶ ἔστι μὲν ἡ μέθοδος ἀσθενείας ἐπίκουρος καὶ τοῦ περὶ τὸ ἀκατάληπτον συνεργὸς καταλήψεως· οὐ μήν γε συμπεπλεγμένον τὸ ἁπλοῦν τῆς θεότητος, ἢ ὅλως τινὰ τῶν ταύτης ὑποστάσεων ὑμνεῖν οὐδαμῶς ἀπηργάσατο. διὸ καὶ ἐπήγαγεν, ὡς ἀμήχανον, ἰδιάζουσαν ἔννοιαν πατρὸς λαβεῖν, ἢ υἱοῦ, μὴ τῇ τῶν ἰδιωμάτων προσθήκῃ τῆς διανοίας διαρθρουμένης. καὶ ὅπερ ἐν τοῖς προλαβοῦσι συμπλοκὴν ἐκάλεσε, τοῦτο νῦν προσθήκην ὀνόμασε. σαφέστερον δὲ τὸ εἰρημένον ποιῶν. οὐ γὰρ οἱ *δεικτικοί, φησι, τῆς ἰδιότητος αὐτοῦ τρόποι τὸν τῆς ἁπλότητος αὐτοῦ λόγον παραλυπήσουσιν. ἢ οὕτω γε ἂν πάντα, ὅσα περὶ θεοῦ λέγεται, σύνθετον ἡμῖν τὸν θεὸν ἀναδείξει. ταῦτα διελθὼν ὁ καλὸς Εὐλόγιος, ἄλλην ἀπορίαν κινουμένην ἵστησιν. ἆρα γάρ φησιν, ἡνίκα τὸ ἴδιον συμπλεκόμενον τῷ κοινῷ ψευδόμενοι τοῦτο ποιοῦσιν, ἢ ἀληθεύοντες;

* al. ἀνεκήρυξε. * οἷον. * al. ὑποστάσεων. * Ἀνόμιον. * al. δεικτικοί.

ἀλλ'

ἀλλ' εἰ καὶ ψευδόμεθα, τί καὶ προφέρομεν λέξεις, ὧν μήτε ἐστὶ λαβεῖν ὑποκείμενον; εἰ δ' * ἀληθεύομεν, συμπεπλεγμένον ἂν εἴη καὶ τῆς τριάδος, ἐφ' ἣν τὴν φωνὴν φέρομεν, * ὑπόστασις. ἡ μὲν ἀπορία τοιαύτη. ἀνασκευάζει δὲ αὐτὴν δι' ὧν εἶπε πρότερον. ἐξασθενῶν γάρ φησι περὶ τὴν τοῦ ὄντος θεωρίαν ὁ νοῦς ὁ ἀνθρώπινος, βιάζεται ταῖς συμπεπλεγμέναις χρῆσθαι φωναῖς, καὶ τῷ κοινῷ συνάπτειν τὸ ἴδιον, τὸ ἁπλοῦν ἅμα καὶ διακεκριμένον τῆς ὑποστάσεως ἁπλῶς καὶ * κατ' ταὐτὸν ὑποδηλῶσαι μὴ δυνάμενος· ὡς εἴ γε οἷόν τε ἦν, ἁπλῇ τὸ ἁπλοῦν ἀπαγγεῖλαι φωνῇ τῇ συμπλοκῇ τῶν λέξεων, οὐκ ἂν ὁ νοῦς ἀπεχρήσατο. ἀλλ' οὐ συμφέρεται τῇ ἀτελείᾳ τῶν ῥημάτων τῆς θείας οὐσίας τὸ ἀκατάληπτον· ἐπεὶ καὶ αὐτὸς ὁ διδάσκαλος συμπλοκὴν εἰπὼν, ἐφεξῆς τὸ θεῖον ἁπλοῦν πάντῃ καὶ ἀσύνθετον καὶ ἀλλαχοῦ πολλάκις ἀνύμνησε, μονονουχὶ βοῶν, ὡς ἀσθενείας ἐστὶν ἡ προσθήκη καὶ ἡ συμπλοκὴ πρόβλημα, πρὸς κατάληψιν ἡμᾶς τῆς ἀληθείας χειραγωγοῦσα· οὐ μέντοι γε τὸ ἁπλοῦν τῆς φύσεως καὶ ἀσύνθετον εἰς διπλόην καὶ σύνθεσιν καταγαγεῖν ποθὲν τόλμαν εἴληφεν. ἀρρήτως * τε καὶ ἀπεριορίστως ἕν τι ὑπάρχον καὶ τριὰς θεωρούμενον· τὸ μὲν κατὰ τὴν ἄχραντόν τε καὶ ὑπὲρ ἡμᾶς θεολογίας κατανοεῖται, τὸ δὲ κατὰ τὴν σχετικήν τε καὶ περὶ ἡμᾶς. τὴν μὲν οὖν ἀπορίαν οὕτως * ἔδοξεν ἐπιλύεσθαι. εἰ δέ τις οὐδὲν ἧττον ἐρεῖν οἴεται, τὸ ἠπορημένον τοῖς ἀπ' ἀρχῆς ἐπερείδεσθαι· προσλαβέτω τῷ λόγῳ, ὅτι καὶ ὅπερ ἄφραστον λέγομεν, ῥήμασιν ἀπαγγέλλομεν· καὶ τὸ ἀπερινόητον σκιαγραφοῦμεν διανοήσεως, καὶ τὸ ἄχρονον χρονικαῖς ἐπιβολαῖς καὶ κινήσεσιν ὑποβάλλομεν, καὶ τὸ ἀδιάστατον καὶ ἀκίνητον κινουμέναις τε καὶ διεστώσαις φαντασίαις ἀνατυπούμεθα. ὥστε εἰ, ἃ πάσχομεν περὶ τὴν τοῦ θείου θεωρίαν ἀναγόμενοι, ταῦτά τις ἐνορᾶν καὶ περὶ αὐτὸ ἐκβιάσαιτο: τὰ ἄνω κάτω ποιήσει, καὶ * πρὸ πάντων αὐτὸς ἑαυτὸν ἀμηχανίας βυθῷ περιπέμψει. ὁ δὲ ἱερὸς Εὐλόγιος ἀπὸ τῆς προτεθείσης ἀπορίας ἑτέραν ἀναφυομένην διέξεισιν. εἰ γὰρ μήτε ἰδιότης φησὶν ἡ ὑπόστασις, μήτε * συμπλοκὴ οὐσίας καὶ ἰδιώματος: τί ἂν εἴη ἕτερον; καὶ ἐπιλύεται, λέγων· ὡς ὑπόστασιν μὲν καλεῖν τὸ ἕνα τῆς τριάδος, παρὰ τῆς ἐκκλησίας μεμαθήκαμεν: τί δέ ἐστιν ὑπόστασις; εἰ μὲν ἐπὶ κτισμάτων ἐστὶν ἡ ἐρώτησις, οὐ πάνυ χαλεπόν ἐστιν ἀποκρίνασθαι, διὰ τὸ καὶ τὴν περὶ ταῦτα ἁμαρτίαν τε καὶ ἀποτυχίαν μὴ λίαν εἶναι ὑπεύθυνον. εἰ δὲ περὶ τῆς ἁπλῆς καὶ μακαρίας φύσεως· οὐδὲν παρ' ὃ παρέδοσαν οἱ θεοφόροι πατέρες ἀσφαλές ἐστιν ἀποκρίνασθαι. πλὴν οὐδὲν κωλύει γραφικῶς φάναι, ὡς ἡ τοῦ υἱοῦ ὑπόστασις, εἰκών ἐστι τοῦ θεοῦ τοῦ ἀοράτου, ὅλον ἐν ἑαυτῇ τὸν πατέρα δεικνύουσα. εἰ δὲ καὶ σοφίαν αὐτὴν πατρικὴν εἴπω, ἀποκρινοῦμαι, ἢ λόγον, ἢ δύναμιν τοῦ πατρὸς: τῇ * ἱερολογίᾳ * συμφθέγγομαι. καὶ περὶ τοῦ πατρὸς δὲ καὶ τοῦ πνεύματος ὑποστάσεως, τοιαῦτα εἴ τις ἐκ τῶν ἱερῶν λογίων ἀναλεγόμενος, καὶ διδοὺς τοῖς ἐπερωτῶσιν ἀπόκρισιν εὐσεβῶς τε καὶ ἀκινδύνως ἀποκρινεῖται.

* ἀληθεύοντες. * al. ἐπίστασις. * al. καθ' αὐτό. * τόπ. * al. ἐπιδέξασθαι. * al. περὶ. * in. συμπλοκή. * ὁ ἱεροῖς λόγοις, ἐκγραφαί.

EVLOGIVS.

si mentiuntur, quorsum verba proferimus, quorum subiectū argumentum non capias? Si verè affirmāt, sequetur Trinitatis personam ad quā, vocem referimus, esse aliquid compositum. Atque hæc quidem est proposita quæstio.

Respondet ad hanc ex antedictis. Cum enim inquit, humana mens ob [naturæ] imbecillitatem, ENTIS rationem non possit assequi: verbis aliquo modo compositis vti, & proprium cū communi copulare cogitur. Eo quod [esse diuinum] simpliciter & secundum se [prout à parte rei est] explicare non possit. Quod si fieri posset, vti simplex illud, simplici voce, non minus quam compositione verborum, sufficienter exprimeretur, mens [nostra] nequaquā [cōpositis] abuteretur. Sed vocum imperfectio incomprehensibile non comprehendit [aut assequitur.] Enimuero magister ipse qui coniunctis verbis visus erat, postea frequenter alibi Deum omni ex parte simplicem & sine vlla compositione esse prædicauit, qui tantum non clamat, coniunctionem verborum & compositionem in defectus locum adhiberi, qua ad veritatis cognitionem deducamur. Numquam autem id sibi sumere, vt simplicitatem naturæ & ab omni concretione liberam redigat ad compositionem aut duplicitatem: inexplicabili enim & incomprehensa ratione [Deus] cum vnus sit, trinus tamen cognitus, partim quidem secundum incomprehensam & quæ nostram facultatem intelligendi superet rationem consideratur, partim qua à nobis intelligi & comprehendi potest. Atque ita hanc quæstionem visus est expediisse. Quod si cui nihilominus dicendum videtur, quæstionem adhuc in ijs, quæ à principio dicta sunt, hærere; addat ille superiori causæ, quod etiam tum cum Deum inexplicabilem affirmamus, id non nisi verbis enunciemus, sicut &, quod supra intelligentem est nostram, adumbramus per intellectum; quod æternum, per temporum rationes motúsque, explicamus; quod continuum & immobile, per mobiles & discretas imagines animi repræsentamus. Vt si quis ea quæ nobis in diuina natura contemplanda occupatis accidunt, ∴ vna cum re ipsa cogeretur intueri [& conferre] rem sus déque sit acturus, & quod caput est, ipse seipsum in inextricabilium difficultatum barathrum præcipitaturus.

∴ In ipso uidetur lacunae hoc est: Ad ipsum esse seu diuinam naturam uitetur transferre.

Sanctus Eulogius porro ex proposita dubitatione, aliam quæstionem nascentem explicat. Si enim inquit, neque proprietas est hypostasis neque essentiæ & proprietatis coniunctio, quid erit aliud? Et soluitur quæstio cum dicit: nos ab Ecclesia didicimus vt ∴ vnā personam ex Trinitate appellemus hypostasin. Quid verò est hypostasis? Si de rebus creatis sit quæstio, facile erit respondere, eò quod in his errare, & scopum non attingere non sit adeo grauis noxa. Si autem de simplici & beata natura, nihil extra diuinorum patrum traditiones *et decreta*, tuto responderi potest. Fas tamen est cū scriptura dicere, quod hypostasis Filij sit imago Dei inuisibilis, quæ totum in seipsa Patrem refert. Quod si etiam eandem patris esse sapientiam, aut Verbum, aut virtutem patris dixero, à diuinis litteris non dissentiam. Et qui ex diuinis eloquijs de Patris & Spiritus S. personis similia affirmabit quærentibúsq; respondebit, is piè rectéque affirmabit.

∴ Seu Patrem seu Filium &c.

Potentiam

EVLOGIVS. Tu porro inferre poteris, explicans rationem hypostaseos Filij; Deum de Deo, ab æterno, impatibili modo genitum: pariterque de Spiritu S. Deum de Deo ab æterno procedentem atque profluentem: Similique modo Patris hypostasin, verbo explicaturus, dices: Ex quo Deus Verbum genitum est, tali generationis processu, in quo ne per cogitationem quidem vlla seu diuisio, seu passio reperiri possit. Si vis autem Spiritum S. [ad Patrem aliquo modo declarandum adhibere, dices:] Ex quo, inenarrabili, & incomprehenso, impatibilique modo, coæternè procedit: Et si quid aliud huiuscemodi dicere fas est, scripturâ diuinitus inspiratâ spiritualem nobis sapientiam propinante & studium nostræ voluntatis iuuante. Atque ne sic quidem explicata seu dicta, omni imaginatione humanâ, quæ nobis [perpetuo] coniunctionem obtrudit, carebunt. Sed non vtendo voce compositionis & coniunctionis, non videtur auditorem perturbare aut offendere. Atq; in his ab eo etiam hæc præsens oratio absoluitur. Scribit verò idē vir Sanctus ad Domitianum Melitensem Episcopū, asseritq; haud abs re esse vnam Dei naturam Verbi naturam profiteri incarnatam. Ille enim S. Eulogium non extra culpam affirmabat, quod illam vocem vsurpasset. Sed Eulogius cum ex præteritis sæpe orationibus, & rectè vocem intelligentibus nihil impietatis subesse ostendisset, docet eos qui dicunt vnam Verbi naturam incarnatam esse, non affirmare vnam naturam simpliciter ex ambabus factam naturis, ita vt coniunctæ inter se confundantur; sed illud potius velle, vnigenitum Patris filium secundum hypostasim carni vnitum, qui idem Deus & homo est, quemadmodum & Theologo placet. Verbum inquit caro factum est, & habitauit in nobis. Hæc cum fusè disseruisset, & defendisset; eadem etiam Cyrillum docere affirmat. In quibus potissimum dicit; Si nos vna Verbi natura positâ tacuissemus, nec addidissemus, *incarnatam*, [eam naturam] sed quasi extrinsecam poneremus œconomiam seu dispensationem; esset illis probabilis causa si vellent quærere, vbi esset in humanitate perfectio, aut quomodo nostra subsisteret essentia? Sed quoniam in humanitate perfectio, & nostræ substantiæ declaratio per verbum, incarnatam, allata est, desinant arundine se fulcire. Duas ergo naturas hæc vox [incarnata] indiuisè constrictas posuit, vt idem clamitat Cyrillus. Hinc sæpe vnam Verbi naturā videtur dicere incarnatā. Quod si vnam duntaxat Christi naturā simpliciter profiteretur, nonne dānaretur? Quid autem sit natura humana, (vt idem alibi docuit,) aut caro intelligēti anima informata, vt vel propterea rursum vtrumq; in vnionem conuenientiū indiuisibiliter conseruetur? Patet ergo ex dictis, eos qui secundum Cyrillum orthodoxè [seu catholicè] docent vnam naturam Verbi incarnatam, non ad alium finem respicere, quam quemcumque alium, qui talē vocem [seu modum loquendi] ipsis proponit, quæ duas [nēpe] in Christo Domino naturas penitus iunctas indiuisè asserit. Dum enim B. Cyrillus docet per ipsam incarnationem vtrumq; in vnionem coëuntiū indiuisibiliter cōseruari,

σὺ δ' ἂν δυνήσῃ λέγειν, ἀποδιδοὺς τὸν λόγον τῆς ὑποστάσεως τοῦ υἱοῦ, θεὸν ἐκ θεοῦ ἀχρόνως τε καὶ ἀπαθῶς γεννηθέντα· ὁμοίως δὲ καὶ τοῦ πνεύματος, θεὸν ἐκ θεοῦ ἀϊδίως τε ἐκπορευόμενον, καὶ ἀρρεύστως. οὕτως δὲ καὶ τοῦ πατρὸς τὴν ὑπόστασιν λόγῳ παριστάναι μέλλων, φήσεις· ἐξ οὗ γεγέννηται ὁ θεὸς λόγος, τομῆς ἁπάσης, καὶ παντὸς πάθους, μηδὲ κατ' ἐπίνοιαν θεωρουμένης τῇ προόδῳ τῆς γεννήσεως. εἰ βούλει δὲ τὸ πνεῦμα, ἐξ οὗ ἀφράστως τε καὶ ἀνεπινοήτως καὶ ἀπαθῶς καὶ συναϊδίως ἐκπορεύεται, καὶ εἴ τι ἄλλο τοιουτότροπον ἔστιν εἰπεῖν, τῆς θεοπνεύστου γραφῆς τὴν πνευματικὴν σοφίαν πηγαζούσης ἡμῖν καὶ συνεργούσης τῷ βουλήματι. καίτοι οὐδὲ τὰ ῥηθέντα παντελῶς ἐστιν ἐλεύθερα φαντασίας, ἀνατυπουμένης τὴν σύνθεσιν. ἀλλά τῷ γε μὴ τῷ ῥήματι τῆς συνθήκης καὶ τῆς συμπλοκῆς, καὶ τῶν τοιούτων, προσκεχρῆσθαι οὐ δοκεῖ θορυβεῖν τὸν ἀκροατήν, οὐδὲ * προσίστασθαι. ἀλλ' ἐν τούτοις μὲν αὐτῷ καὶ ὁ παρὼν ἀπαρτίζεται λόγος. *al. προΐστασθαι.

Γράφει δὲ ὁ αὐτὸς ἱερὸς ἀνὴρ καὶ πρὸς Δομετιανόν, Μελιτινῆς δὲ οὗτος ἐπίσκοπος, οὐκ ἀπρόσφορον εἶναι παριστῶν, τὸ μίαν λέγειν φύσιν [θεοῦ] τοῦ λόγου σεσαρκωμένην. ὁ μὲν γὰρ οὐκ ἀναίτιον ἐτίθει τὸν ἱερὸν Εὐλόγιον, κεχρημένον τῷ ῥήματι· ὁ δὲ ὡς πολλάκις ἐν τοῖς προλαβοῦσι λόγοις τὴν φωνὴν ἐπικουρήσας, καὶ τοῖς ὀρθῶς αὐτὴν ἐκλαμβάνουσιν, εὐσεβῶς ἔχουσαν παρέχων· καὶ ὡς οἱ λέγοντες μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, οὐ μίαν φύσιν ἁπλῶς φασὶν ἐξ ἀμφοτέρων γεγονέναι τῶν φύσεων, ὥστε καὶ συγχεῖσθαι τὰ συνελθόντα παρεισάγειν· ἐκεῖνο δὲ μᾶλλον βούλεσθαι, ὡς ὁ μονογενὴς τοῦ πατρὸς υἱὸς ἡνώθη σαρκὶ καθ' ὑπόστασιν, ὁ αὐτὸς καὶ θεὸς καὶ ἄνθρωπος ὤν· ὡς καὶ τῷ θεολόγῳ δοκεῖ. ὁ λόγος γάρ φησι σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν. ταῦτα διὰ πλάτους εἰπών, καὶ ἀπολογησάμενος, οὕτω δοξάζειν καὶ Κύριλλον ἐπαγγέλλεται. ἐν οἷς μάλιστα λέγει· εἰ μὲν γὰρ μίαν εἰπόντες τοῦ λόγου φύσιν σεσιγήκαμεν, οὐκ ἐπενεγκόντες τὸ * σεσαρκωμένην, ἀλλ' οἷον ἔξω τιθέντες τὴν οἰκονομίαν· ἦν αὐτοῖς τάχα που καὶ οὐκ ἀπίθανος ὁ λόγος προσποιουμένοις [ἐρωτᾶν] ποῦ τὸ τέλειον ἐν ἀνθρωπότητι; ἢ πῶς ὑφέστηκεν ἡ καθ' ἡμᾶς οὐσία; ἐπειδὴ δὲ καὶ ἐν ἀνθρωπότητι τελειότης, καὶ τῆς καθ' ἡμᾶς οὐσίας ἡ * δήλωσις εἰσκεκόμισται, διὰ τοῦ λέγειν σεσαρκωμένην· παυσάσθωσαν [καὶ] καλαμίνην ῥάβδον ἑαυτοῖς ὑποστήσαντες. οὐκοῦν τὰς δύο φύσεις ἡ παροῦσα φωνὴ τῷ ἀδιαιρέτῳ εἰσήνεγκεν ἐπισφίγγουσα, ὡς αὐτὸς ἐμβοᾷ ὁ Κύριλλος. διὸ καὶ μίαν φύσιν τοῦ λόγου [σεσαρκωμένην] πολλάκις φαίνεται φάμενος. μίαν δὲ φύσιν Χριστοῦ ἁπλῶς εἰπὼν οὐκ ἂν ἁλοίη; τί δ' ἂν εἴη φύσις ἀνθρωπότητος, ἤ, ὡς αὐτὸς πάλιν ἐν ἄλλοις ἐδίδαξε, σὰρξ ἐμψυχωμένη νοερῶς· ὡς καὶ διὰ τοῦτο πάλιν σώζεσθαι τῶν * συνδραμόντων εἰς ἕνωσιν ἀδιαιρέτως ἑκάτερον. δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὡς οἱ ὀρθοδόξως λέγοντες, καὶ κατὰ Κύριλλον, μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην· οὐ πρὸς ἄλλον ἀφορῶσι σκοπόν, ἢ ὅστις αὐτοῖς τὴν τοιαύτην φωνὴν ἐπιδείκνυσι, τὰς δύο φύσεις ἐπὶ τοῦ δεσπότου Χριστοῦ τῷ ἀδιαιρέτῳ πάντως συνεισάγουσαν. ἐν τῷ γὰρ εἰπεῖν τὸν μακάριον Κύριλλον, σώζεσθαι δι' αὐτῆς τῶν συνδραμόντων εἰς ἕνωσιν ἀδιαιρέτως ἑκάτερον:

*al. σεσαρκωμένον. * λέξεως. *al. δραμόντων.

ποῖον

EVLOGIVS.

ποῖος ἂν ἄλλος παρεισαχθείη σκοπός, ἢ ὁ τὰς δύο φύσεις ἐπὶ τοῦ σωτῆρος Χριστοῦ ἑνιζομένας κηρύττων ἀδιαιρέτως, καὶ ἀποδεχόμενος. καὶ τοῦτο φανερώτερον καὶ ἐν τῇ πρὸς Σούκενσον ὁ αὐτὸς δευτέρᾳ ποιεῖται ἐπιστολῇ. ἑρμηνεύων γὰρ ἐν αὐτῇ, τί ποτέ ἐστιν *αὐτὸ δηλοῦσα ἡ μία φύσις τοῦ λόγου σεσαρκωμένη καὶ εἰπών, ὡς ἔστιν υἱὸς ὁ φύσει καὶ ἀληθῶς, εἰ καὶ κατὰ πρόσληψιν σαρκὸς οὐκ ἀψύχου, ἀλλ' ἐμψυχωμένης νοερῶς, προῆλθεν ἄνθρωπος ἐκ γυναικός· καὶ ἐπενεγκών, ὡς οὐ διὰ τοῦτο μερισθήσεται εἰς δύο πρόσωπα ἢ υἱούς, ἀλλὰ καὶ οὕτω διαμένει εἷς: προστίθησι, πῶς οὐκ ἄσαρκος οὐδὲ ἔξω σώματος, ἀλλ' ἴδιον ἔχων αὐτό, δῆλον ὅτι τὸ σῶμα καθ' ἕνωσιν ἀδιάσπαστον. *κἀν τῇ πρός σε δὲ ἐπιστολῇ, καὶ ἐν ἄλλοις πολλοῖς τὰ αὐτὰ διδάσκων εὑρίσκεται. ἀλλ' οἱ περὶ Σευῆρον τὴν διαφορὰν τῶν συνελθόντων μετὰ τὴν ἕνωσιν ὁμολογεῖν οὐκ ἀνεχόμενοι, κακούργως τε καὶ δυσσεβῶς, πρῶτον μὲν τάττουσι τὰς φωνὰς *καὶ τὴν διαφορὰν δηλοῦσι τῶν φύσεων. ἔπειτα δέ, ὡς δῆθεν *ἀναζέοντες αὐτάς, τὴν μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην ἐπάγουσιν. οὐχ οὕτω δὲ ποιεῖ ἡ εὐσέβεια, ἀλλὰ ταύτην προστεθεῖσα τὴν φωνήν, εὐθὺς ἐφεξῆς δείκνυσι, καὶ διὰ ταύτης σώζεσθαι πάλιν τῶν συνελθόντων εἰς ἕνωσιν ἀδιαιρέτως ἑκάτερον. ἐλέγχουσα τοὺς δυσσεβεῖς, ὡς ἡ μία φύσις τοῦ λόγου σεσαρκωμένη οὐδὲν ἕτερον, ἢ τὴν ἀδιάσπαστον καὶ καθ' ὑπόστασιν ἕνωσιν δηλοῖ, φυλαττομένων κατὰ πάντα καιρὸν ἐν τῷ ἀσυγχύτῳ τῶν φύσεων. δύο γὰρ φύσεις ἀδιαιρέτους δοξάζει, ὡς τὸ διάφορον τῶν συνελθόντων κηρύττουσα· καὶ μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην, ὡς τὸν αὐτὸν τοῦ πατρὸς προαιώνιον λόγον ἐνανθρωπῆσαι καὶ σαρκωθῆναι δογματίζουσα. ταῦτα καὶ τὰ τοιαῦτα ὑπὲρ τῆς προκειμένης ἀπολογησάμενος φωνῆς, καὶ τὰ αὐτὰ τὴν ἐν Καλχηδόνι σύνοδον φρονοῦσάν τε καὶ κηρύττουσαν ἐπιδειξάμενος, διά τε ἄλλων, καὶ ἐξ ὧν τὴν ἐν ἁγίοις Φλαβιανοῦ ἰδιόχειρον πίστιν ἀναγνωσθεῖσαν ἡ σύνοδος ἐπεκύρωσεν: ἀπαλλάττει μὲν τὴν φωνὴν αἱρετικῆς ὑπολήψεως, ἀπαλλάττει δὲ καὶ ἑαυτὸν οὐκ εὐαγοῦς ὑπονοίας, ἣν περὶ αὐτὸν ὁ Δομετιανὸς ὑπετόπαζε· νομίζων αὐτόν, οὐ κατὰ γνώμην ἐνδιάθετον τὴν τοιαύτην οἰκειοῦσθαι καὶ προάγειν φωνήν· ἐξ οἰκονομίας δέ, καὶ ὥστε δι' αὐτῆς τοὺς ἀκροατὰς εὐμηχάνως ἄγειν πρὸς ἑνότητα, καὶ τὰς προφάσεις ἐκκόπτειν τῶν τῆς καθολικῆς ἐκκλησίας διαστάσεων. ταῦτα καὶ τοιαῦτα ἕτερα ἐπιστείλας, ἅπερ καὶ τοῖς προλαβοῦσι λόγοις διεξελήλυθε, καὶ θερμὸν ἑαυτὸν τῆς τε κατὰ Καλχηδόνα συνόδου πρόμαχον, καὶ τῆς τοῦ ἐν ἁγίοις Πάπα Λέοντος ἐπιστολῆς, διὰ πολλῶν, ὧν περ διαφόρως ἔγραψε, παραστησάμενος, πέρας τῷ γράμματι ἐπιτίθησι.

*in. αὐτῇ. *al. αἱ τῶν *al. ἀνατρέποντες.

quis alius scopus seu finis ab eo spectaretur, quam qui duas in Saluatore Christo naturas indiuisè copulatas prædicat recipitque. Et hoc clarius in epistola altera ad Succensum exponit. Cum enim explicasset in illa, quid sit hoc ipsum quod declarat; vnam naturam Verbi incarnatam; & docuisset, verum & naturalem esse [Dei] filium, quamuis secundum assumtam carnem non inanimam, sed intelligenti anima informatam, ex muliere prodierit homo; Cumque intulisset non propterea diuisum iri [Christum] in duas personas aut Filios, sed ita quoque mansurum vnum; adiungit quomodo non sine carne, nec extra corpus, sed suum ac proprium habeat corpus, secundum vnionem nempe indiuulsum. Et in Epistolâ ad te, aliisque locis multis, eadem docere legitur. At Seueriani differentiam post concurrentium naturarum vnionem auersati malitiosè & impiè primum quidem ponunt voces, quæ differentiam naturarum declarant; deinde verò cum illas ipsas scilicet inuertunt, vnam Verbi naturam aiunt incarnatam. At non ita religio Catholica, sed addita hac voce, illico deinceps ostendit per hanc rursus saluari ex coniũctis alterâ indiuisibili ratione vnitis, quæ [pietas catholica] coarguit impios, dum ostendit vnam Verbi naturam incarnatam, nihil aliud esse, quam indiuulsam secundum hypostasim vnionem, naturâ [vtraque] integrâ & inconfusâ semper conseruatâ. Duas enim indiuisas naturas asserit; quasi duarum conuenientium naturarum differentiam: indicans: Et vnam Verbi naturam incarnatam; quasi ipsum Patris ante sęcula Verbum humanâ assumtâ naturâ incarnatum docens. Hæc & his similia, postquam pro vocis propositæ defensione dixit, ostenditque eadẽ à Synodo Chalcedonẽsi iudicata & prædicata, cũ per alia, tum ex ijs quibus Synodus S. Flauiani professionem fidei ipsius manu scriptam confirmauit, vindicat vocem [seu formulam illam Ecclesię] ab hæreseos suspicione; vindicatque seipsum a non sincera opinione, quam illi Domitianus suspiciosè obiecerat, quod existimaret vocem talem non sincerè ex animo ab eo vsurpari & proponi, sed dispensatione quadã, vt per eam auditores nullo negotio ad vnitatem reuocaret, causasque dissentionum ab Ecclesia catholica præcideret. Hæc & hoc genus alia cum perscripsisset (quę & in superioribus libris exposuerat) & sese ardentem Chalcedonensis Synodi, atque S. Leonis papæ Epistolæ multis ac varijs scriptis propugnatorem exhibuisset: epistolæ finem imposuit. Scribit idem venerandus vir ad Christophorum quendam, quem ipse sanctissimum in inscriptione literarum appellat, rogatus ab eo vt ad quasdam ex sacris literis dubitationes responderet. Quæstiones porro hæ sunt: *Et fecit Deus David numerare populum* : Et infra : *Quia numerauit, indignatus est contra eum.* Respondet Eulogius, in diuinis literis, Deum quemadmodum & Dominum non solum verum Deum, sed etiam ipsius mali principem nominari.

2. Reg. 24. Vide Sept. Interp.

Γράφει δὲ ὁ αὐτὸς θαυμάσιος ἀνὴρ καὶ πρὸς Χριστοφόρον τινά, ὃν αὐτὸς ὁσιώτατον ἐπιγράφει, γραφικῶν ἐρωτήσεων αἰτησάμενον λύσεις. τὰ δὲ ἠρωτημένα ἐστί· πρῶτον μέν, πῶς δεῖ νοεῖν τὸ ἐν τῇ δευτέρᾳ τῶν Βασιλειῶν εἰρημένον; καὶ *ἐποίησεν ὁ θεὸς τὸν Δαυὶδ ἀριθμῆσαι τὸν λαὸν καὶ μετὰ ταῦτα, ὅτι ἠρίθμησεν, ἠγανάκτησε κατ' αὐτοῦ; καὶ ἐπιλύεται, ὅτι θεὸν πολλάκις ἡ γραφή, ὥσπερ καὶ κύριον, οὐ μόνον τὸν ἀληθινὸν ὀνομάζει θεόν, ἀλλὰ καὶ αὐτὸν τὸν τῆς πονηρίας ἄρχοντα.

*λαὸν

[EVLOGIVS. 2. Corint. 4. Luc. 16.] In hoc intellectu Paulus dixit: In quibus *Deus huius sæculi excæcauit mentes infidelium*: Et saluator, *Nemo potest duobus dominis seruire.* Hinc in primo paralipomenon apertè dicit Dauidem à Satana incitatum fuisse vt numeraret populum: nisi quod nostrum exemplar cum eo quod à te missum est, non conuenit. Ita enim [al. persuasit, incitauit.] habet: *Et addidit furor Domini irasci contra Hierusalem, & commouit Dauid in ipsis*: Et quæ sequuntur. Ita vt videatur is qui dictus est in Paralipomenis diabolus, hic *ira Domini* appellari. Atq; siue sic [vt ego lego] siue vt tu scripsisti, se locus scripturæ habet, existimo tamen certam apertamque esse quæstionis solutioné. Quod ergo vox *Dominus*, & vox *Deus*, in sacra scriptura æquiuoca sit, eadémq; (vti sæpe dictum est) in contrarium sensum accipiatur, explicatū est. Nihil tamen obstat, quominus etiam alium inde locum similem firmemus. Etenim in lege [Exod. 12. & 23. ὑμῶν.] de Paschate celebrando latâ [postquam dixit] vngendum sanguine superliminare & postes: [Ita legendum in Græco non ἡμῶν.] *Vos* inquit, *non aggrediemini vnusquisque ianuam suam vsque mane: & transibit Dominus percutiens Aegyptios: & videbit sanguinem in superliminari & in vtroque poste, & pertransibit Dominus ostium, & non sinet percussorem ingredi domus vestras ad percutiendum.* Clarum est alium esse Dominum, quem dicit transiturum ad percutiendos Ægyptios, & alium qui prohibeat ne ingrediatur [Num. 22. 20.] percussor in domos Israëlitarum & percutiat ipsos. Tale etiam est illud de Balaam dictum. Dicit enim scriptura permisisse quidem illi Deum vt iret ad eos qui illum vocabant; iratum verò Deum quod proficisceretur ad illos. Et hic alium insinuari ait Deum qui illum moneat vt proficiscatur, & alium qui ira commoueatur in illum. Neque enim irascebatur illi, quod mandatum exequeretur, qui id præceperat, sed vel imperantem non oportebat irasci, aut si irasceretur ob ipsius discessum, nō oportebat imperare. Ergo Eulogius quæstionem per homonymiam [seu æquiuocationem declaratam] videtur soluere. Sed mihi videtur à Theodoreto aliisque SS. patribus dubitationis quæstio melius esse soluta. Dicit verò, Dauide in numerando populo peccante, populum dedisse pœnas, non quod ille numerando peccarit, sed parricidæ Absoloni bellum patri inferenti suppetias tulerit populus, & seditione eadem abreptus prætulerit illum qui ex sua ambitione seu superbia regnum rapuerat, illi qui à Deo in regem vnctus erat. Ergo solutâ, vt videtur, prima quæstione, soluit & alteram, [Ephes. 3.] quæ ita habet. Quomodo intelligendum est quod Apostolus alibi dicit: *Christum habitare in* [Gal. 3.] *cordibus nostris*; alicubi verò: *Quotquot in Christo baptiZati estis, Christum induistis*, cum magnum sit discrimen inter tabernaculum & indumentum. Vestis enim summam tantum cutem tangit, tabernaculum verò totum recipit. Affirmat enim distincta ratione eundem esse regem & pastorem; Regem quidem hominum, pastorem vero brutorū appellauit, ad varium vsum eorum, qui beneficiis ab eo afficiuntur. Neque enim quisquam rectè dicatur rex animátium,

κατὰ τοῦτο γὰρ τὸ σημαινόμενον καὶ τὸν Παῦλον φάναι, ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰς καρδίας τῶν ἀπίστων. καὶ ὁ σωτὴρ, οὐ δύνασθε δυσὶ κυρίοις δουλεύειν. διὸ καὶ ἐν τῇ πρώτῃ τῶν παραλειπομένων, ἀπαρακαλύπτως τὸν διάβολον λέγει, τὸν ἐπισείσαντα τὸν Δαυὶδ ἀριθμῆσαι τὸν λαόν. πλὴν καὶ τὸ παρ' ἡμῖν ἀντίγραφον οὐχ ὡς τὸ ἀποσταλὲν παρὰ σοῦ περιέχει. ἔχει γὰρ, καὶ προσέθετο [* al. ὀργή.] ὀργὴν κυρίου ἐκκαῆναι ἐν Ἱερουσαλὴμ, καὶ [* al. ἐπέσεισε κύριον.] ἔπεισε τὸν Δαυὶδ ἐν αὐτοῖς, καὶ ἑξῆς. ὡς δοκεῖν πως ὀργὴν ἐνταῦθα λέγεσθαι κυρίου [* τὸν εἰρημένον.] τὸν εἰρημένον ἐν παραλειπομέναις διάβολον· εἴτε δὲ οὕτως, εἴτε, ὡς γέγραφας, ἔχει τὸ ῥητὸν: οἶμαι φανερῶς τὴν λύσιν ἀναμφίβολον προσῆχθαι. ὅτι δὲ ὁμώνυμον καὶ τὸ κύριος, καὶ τὸ θεὸς, [* ἐῤῥέθη.] καὶ (ὡς ἐρρέθη πολλάκις) ἐπὶ τοῦ ἀντικειμένου παραλαμβάνεται τῇ ἱερᾷ γραφῇ, εἴρηται μέν. οὐδὲν δὲ κωλύει καὶ ἕτερον πιστώσασθαι. ἐν γὰρ τῇ νομοθεσίᾳ τῇ περὶ τοῦ πάσχα, μετὰ τὸ χρῖσαι τῷ αἵματι τὴν φλιὰν καὶ τοὺς σταθμοὺς, ὑμεῖς δὲ οὐκ ἐξελεύσεσθέ φησιν ἕκαστος τὴν [* al. χύρα.] θύραν αὐτοῦ ἕως πρωΐ, καὶ παρελεύσεται κύριος πατάξαι τοὺς αἰγυπτίους, καὶ ὄψεται τὸ αἷμα ἐπὶ τῆς φλιᾶς, καὶ ἐπ' ἀμφοτέρων τῶν σταθμῶν, καὶ παρελεύσεται κύριος τὴν θύραν, καὶ οὐκ ἀφήσει τὸν ὀλοθρεύοντα εἰσελθεῖν εἰς τὰς οἰκίας ὑμῶν πατάξαι. δῆλον γὰρ, ὡς ἄλλος κύριος, ὃν λέγει παρελεύσεσθαι, καὶ τοὺς αἰγυπτίους πατάξαι· καὶ ἄλλος, ὁ μὴ συγχωρῶν, τὸν ὀλοθρεύοντα εἰσελθεῖν εἰς τὰς τῶν Ἰσραηλιτῶν οἰκίας, καὶ πατάξαι αὐτούς. τοιοῦτον δέ ἐστι, καὶ τὸ περὶ τοῦ Βαλαὰμ εἰρημένον. λέγει γὰρ ἡ γραφὴ, ἐπιτρέψαι μὲν [* αὐτῷ.] αὐτῷ τὸν θεὸν ἀπελθεῖν πρὸς τοὺς καλοῦντας: ὀργισθῆναι δὲ θυμῷ τὸν θεὸν, ὅτι ἐπορεύετο πρὸς αὐτούς. κἀνταῦθα γὰρ ἄλλον αἰνίττεσθαί φησι θεὸν, τὸν ἐπιτρέψαντα αὐτῷ, καὶ ἄλλον τὸν ὀργισθέντα θυμῷ ἐπ' αὐτόν. οὐ γὰρ ἂν ὁ ἐπιτρέψας ὠργίζετο τῷ πληρώσαντι τὸ ἐπίταγμα. ἀλλ' ἢ ἐπιτρέψαντα οὐκ ἔδει θυμοῦσθαι: ἢ εἰ θυμοῦσθαι μέλλοντα ἀπελθεῖν, οὐκ ἔδει ἐπιτρέπειν. αὐτὸς μὲν οὕτω δοκεῖ πως διὰ τῆς [* ὁμωνυμίας.] ὁμονοίας τὴν ἀμφιβολίαν ἐπιλύσασθαι. ἄμεινον δέ μοι δοκεῖ, Θεοδωρήτῳ τε καὶ τοῖς ἄλλοις ἱεροῖς ἀνδράσι πεπραγματεῦσθαι τῆς προκειμένης ἀπορίας [* ἡ ἐπίλυσις.] τὴν ἐπίλυσιν. λέγει δὲ, καὶ τοῦ Δαυὶδ ἐν τῇ ἀριθμήσει ἁμαρτήσαντος, τὸ πλῆθος ὑποσχεῖν τὴν τιμωρίαν οὐχ' ὅτι ἐκεῖνος ἠρίθμησεν, ἀλλ' ὅτι τῷ πατραλοίᾳ Ἀβεσαλὼμ, χεῖρα πολεμίαν [* ἐπαναστάντι.] ἐπανατείναντι τῷ πατρὶ, συναντῆραί τε ὁ λαὸς, καὶ συνεστασίασε, προτιμήσας τὸν ἐξ αὐθαδείας ἁρπάσαντα τὴν ἀρχὴν, τοῦ παρὰ θεοῦ εἰς βασιλέα χρισθέντος. τῆς οὖν προτέρης ἐπιλυσάμενος (ὡς ἔδοξεν) ἀπορίας, ἐπιλύεται καὶ τὴν δευτέραν ἔχουσαν οὕτω· πῶς δεῖ νοῆσαι πῆ μὲν λέγοντος τοῦ ἀποστόλου, ἐν ταῖς καρδίαις ὑμῶν κατοικεῖν τὸν Χριστόν: πῆ δὲ, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε· μεγάλης οὔσης τῆς διαφορᾶς, οἰκήσεώς τε καὶ ἐνδύσεως. ἡ μὲν γὰρ τὸ ἐπιπόλαιον, ἡ δὲ τὸ διὰ βάθους παρίστησι. λέγει δὲ τὸν νοῦν διακρίνων, ὅτι καθάπερ αὐτὸς ὁ βασιλεὺς ὑπάρχει καὶ ποιμὴν· καὶ βασιλεὺς μὲν τῶν λογικῶν, ποιμὴν δὲ τῶν ἀλόγων: πρὸς τὴν διάφορον χρείαν τῶν τὴν εὐεργεσίαν δεχομένων ὀνομαζόμενος (οὔτε γάρ τις ἀλόγων βασιλεύειν, εἰκότως λεχθείη

ὅτι

* δι. οὗ. ἀπὸ ποιμαίνειν τὰ λογικά:) οὕτω* δὴ νοεῖν καὶ τὸ προκείμενον. κατοικεῖ μὲν γὰρ, ὡς αὐτὸς ὁ θεσπέσιος λέγει Παῦλος, ἡ τοῦ θεοῦ σοφία ἐν οἷς πολιτεύεται, καὶ οἳ καθεστήκασιν ἐρριζωμένοι τε καὶ τεθεμελιωμένοι ἐν αὐτῷ: ἐκδύεται δὲ τὸν Χριστὸν, καὶ ὁ πάλιν αὐτὸν δυνάμενος ἀποδύσασθαι. διὸ φαμὲν ἐρριζωμένοις ἐν* αὐτῷ δικαίως ἐγκατοικεῖ. τοῖς δὲ ἄλλοις διὰ τὴν ἄφατον φιλανθρωπίαν ἔνδυμα γίνεται, παρέχων σκέπην, ἵνα μὴ ἀπὸ τοῦ βορρᾶ, τοῦ σκληροῦ καὶ ψυχροῦ ἀνέμου, τοῖς ἐπιστρέφουσι πρὸς αὐτὸν ἐπιτρίβοιτο, ἄδικα καὶ ψυχοφθόρα ἐπιπνέοντος· ἀπὸ προσώπου γὰρ βορρᾶ ἐκκαυθήσεται κακά. τὰς οὖν δύο ταύτας ἀπορίας ἐπιλυσάμενος, ἐν ταύτῃ τῇ ἐπιστολῇ εἰς ἐξαίτησιν προσευχῶν τελευτᾷ. ἔτι δὲ ὁ αὐτὸς* καθωμολόγησεν ἐν τῷ θ' σημείῳ, δι' ὧν ἐγκώμιον μὲν διαπλέκεται τοῦ μονάδος βίου, καὶ τί ποτέ ἐστιν ὁ μοναχὸς, ὑπογράφει· καὶ αὐτὸν δὲ τῆς αὐτῆς πολιτείας ἀπαγγέλλει. παραινεῖ δὲ τοὺς τῆς μονάδος πολιτείας ἐραστὰς κατὰ τὸ ἐπάγγελμα πολιτεύεσθαι, καὶ τῇ μονότητι καὶ ἑνότητι τῆς ἐκκλησίας συναρμόζεσθαι. εἴησαν δὲ, πρὸς οὓς ἀφορῶσα ἡ παραίνεσις, τῆς Σευήρου διασπορᾶς, καὶ κατὰ τομῆς μερίδος οὐκ ἄσημοι. οἷς ὅπως μὲν μάχονται τῶν πατέρων αὐτῶν αἱ δόξαι πρὸς ἑαυτὰς, ὅπως δὲ πρὸς ἀλλήλας· καὶ οὐδαμῇ τὸ στάσιμον οὐδὲ τὸ* πάγιον ἔχουσιν: ἀπογυμνώσας τε καὶ *ἀποκαλυψάμενος, ἐκ τῆς ἐκεῖθεν ἀτοπίας, ὁρᾷν αὐτοὺς πρὸς τὴν ἕνωσιν τῆς ἐκκλησίας, ὑποτίθεται. τοὺς μὲν γὰρ παράγει λέγοντας σώζεσθαι τὰς διαφορὰς μετὰ τὴν ἕνωσιν, ὥσπερ καὶ Σευῆρον: τοὺς δὲ, σώζεσθαι μηδαμῶς, ὥσπερ καὶ Τιμόθεον· ἐν ἄλλοις τε, καὶ ἐν οἷς κατὰ τοῦ ἐν ἁγίοις ἀγωνίζεται Λέοντος. οὐ μόνον δὲ [αὐτὸς] οὐκ ἀνέχεται φάναι σώζεσθαι, ἀλλὰ καὶ ἀσεβείας ἐνόχους ἀποφαίνει τοὺς, εἴ τινες σώζεσθαι τῶν φύσεων τὴν διαφορὰν μετὰ τὴν ἕνωσιν δογματίζουσιν. ἀλλὰ καὶ Σευῆρος πάλιν σώζεσθαι λέγων τὰς διαφορὰς, τὰ πράγματα, οἷς ἡ διαφορὰ ἐπιθεωρεῖται, οὐ συνομολογεῖ σώζεσθαι. καὶ οὐ πανταχοῦ δογματίζει τοῦτο, παλίντροπος γάρ ἐστι τὴν πίστιν καὶ πολύμορφος. καὶ γὰρ ἔν τισιν αὐτοῦ λόγοις καὶ αὐτὰ διομολογεῖ τὰ πράγματα σώζεσθαι. οὕτως οὐ πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ πρὸς ἑαυτοὺς τὸ ἀλλόφυλον τῆς δυσσεβείας στασιάζουσι σύνταγμα. ἐκ τούτου παραινῶν τοὺς στασιάζοντας τῷ φρονήματι τῆς εὐσεβείας συνδραμεῖν, κατ' ἐπιδρομὴν ἱστορεῖ, Μαρκιανὸν μὲν συγκροτῆσαι τὴν ἐν Καλχηδόνι σύνοδον· καὶ, ὡς ἐκείνου τὸν βίον λιπόντος, Λέων μὲν κατέστη τῶν πραγμάτων κύριος· οἱ δὲ αἰγύπτιοι τῆς ἱερᾶς ἐπαναστρέψαντες συνόδου, ταραχῆς ἐπλήρωσαν τὴν οἰκουμένην, δυσσεβῶς τε καὶ πεπλασμένως φημίσαντες, ὡς ἡ σύνοδος Κύριλλον ἀπεβάλλετο, καὶ Νεστόριον ἀπεδέξατο. ὧν τὸν ἄλογον ὁ Λέων καταστέλλων θόρυβον, τὰ ψηφισθέντα ἐν Καλχηδόνι, καὶ τὰ πραχθέντα, πανταχοῦ διαπέμψας τῆς οἰκουμένης μετ' ἐγκυκλίων κελεύσεων ἕκαστον τῶν ἀρχιερέων καὶ ἱερέων ἀλλὰ καὶ τοὺς ὅσοι ἐν τῷ μοναδικῷ διέλαμπον βίῳ, τὸ φρόνημα αὐτῶν ἐγγράφως ὁμολογῆσαι διετάξατο· ὃ καὶ προθύμως πεπράχασι τῶν ἀρχιερέων τοῦ ἀριθμοῦ εἰς χ' καὶ χιλίους

Margin: * αὐτῷ. * καθωμίλησε. * al. πάγιον. * ἀνακαλυψάμενοι. πραγ.

neque pastor hominum: Ita præsentem quoque locum licet interpretari; *Habitat enim*, vt ipse S. Paulus docet, *Sapientia Dei in iis quibus imperat, & qui in illo radicati & superædificati sunt*; Induit autem Christum qui illum postea rursum exuere potest. Quapropter merito de radicatis in eo dicitur illum habitare in eis. Aliis autem ob inexplicabilem clementiam suam indumentum fit; quibus tegumentum præbet, ne ab Aquilone vento aspero frigidoque, qui pestilentem & exitiabilem animabus afflat auram, conuersi ad Christum pereant, *à facie enim Aquilonis exardescent mala.* His igitur duabus quæstionibus solutis epistolam hanc cum votorum comprecatione finit.

Idem adhuc Eulogius in libro seu argumento nono declarauit, ea quibus vitæ solitariæ laus continetur, & quid sit monachus describit, atque rationem eius viuendi exponit. Hortatur vitæ monasticæ cultores, vt ad professionis præscriptum vitam instituant, & se ad solitariam vitam & Ecclesiæ vnitatem conforment. Erant autem, quos illius admonitio respicit, ex factione & secta Seueriana, vti non est obscurum; quibus, quomodo [hæreticorum ipsorum maiorum] sententiæ cum ipsis auctoribus & cum aliis eiusdem sectæ pugnent, nec vsquam quicquam stabile & solidum habeant, aperiens declaransque ex illorum absurditate, si ad Ecclesiæ vnionem respiciant ostendit. Hos enim producit, vt asserentes differentias post vnionem seruari, vti Seuerum: illos autem vt negantes seruari: vti Timotheum, cum in aliis ipsius scriptis, tum in iis quibus S. Leonem oppugnat. Ipse verò nón solum dicit non seruari differentias, sed etiam impietatis reos peragit illos quicumque differentias post vnionem seruari docent. Sed Seuerus rursus dum docet differentias seruari; res tamen, quibus differentia cognoscitur, negat seruari. Nec constanter hoc vbiqué docet: inconstans enim, & Vertumnus aliquis aut Proteus est in fide; etenim in quibusdam libris confitetur ipsas etiam res seruari. Adeo non solum inter se ipsi, sed neque sibi ipse quisquam constans dogma Babylonicum nempe & à vera pietate alienum cudunt. Hinc [sumpta occasione] hortatus dissidentes, vt in Ecclesiæ sententiam descendant, cursim narrat à Marciano Chalcedonensem Synodum coactam; Leonem, Marciano mortuo, suffectum summæ rerum præfuisse: Ægyptios concilium euertere conatos orbem totum tumultibus implesse, impiè fictéque rumores sparsisse, Cyrillum à Synodo damnatum, Nestorium receptum fuissé. Quorum [inquit] insanum furorem reprimens Leo Decreta concilij Chalcedonensis Actáque cum encyclicis seu circularibus mandatis per totum orbem misit, singulisque Episcopis & presbyteris, nec non iis qui in religiosa & monastica vita celebres habebantur præcepit, vti sententiá suam scripto profiterentur. Quod Episcopi, numero mille sexcenti, promptè sanè executi sunt,

Margin: EVLOGIVS. Hier. 6. apud Septuag. est, ἐκκαυθ. Marcianus Imperator. Leo Imperator.

EVLOGIVS. nemine qui aliter sentiret deprehenso præter Amphilochium Sidæ Pontificem, qui tamen & ipse paulo post concilij sententiæ subscripsit consensitque. A quibus stetit & Simeon qui in columna cœlitum vitam æmulabatur, & Baradatus, aliique eandem viuendi rationem secuti. His oratione decursis, cum Seuerum anathemate proscriptum dixisset, disputationem fine concludit.

Simeon Stylita.

Sequens oratio eandem præfert inscriptionem, & adhortationem ad eos continet, qui ab Ecclesia dissidebant, qua monet, vt suas inter se pugnas, suorumque dissensiones hæreticorum, cum Ecclesiæ recto consensu respiciant componantque. Ostendit præterea vnde factum sit, vt opinatio hæretica in infinitas quasi sectas & sententias distracta & diuulsa sit. Interrogans enim [hæresis] Ecclesiæ filios an, quemadmodum duas [in Christo] naturas asserunt, asserant similiter & duas personas: Et cum respondent vnam esse in Christo hypostasin: quærit an etiam asserant vnam naturam? Sed nihil horum hactenus vnquam quæ hæresis quæsiuit, ab [Ecclesiæ filiis] audiuit. Vicissim autem & ab Ecclesia interrogatur hæresis, cur id quærat? an quod existimet naturam & personam esse idem, & propterea putet eos qui asserant duas naturas, etiam asserere duas personas? Aut contra; qui vnam profiteantur personam, etiam vnam profiteri naturam censet?

Catholici nec vnam naturam, nec duas in Christo personas admittunt.

Hinc nato contentionis initio, bellum illud hæreticorum inter se digladiantium multiplex & implacabile extitit: idemne sit natura & hypostasis. Etenim cum dicamus vnam in Trinitate naturam esse, necessario dicendum erit, vnam quoque esse hypostasin. Aut si tres hypostases; natura quoque in tres erit partienda naturas. Hinc commenti sunt aliud esse naturam, & aliud essentiam. Naturam rursum diuiserunt in generalem & singulares naturas. Et cum ad Sergium scribit Seuerus: vnam, inquit, essentiam Christum esse, volumus dicere, ne concurrentium differentiam auferamus. Nam vel vna semel nata essentia aut etiam qualitate, quomodo mansit naturarum, ex quibus vnus existit Christus, secundum essentiam differentia? Si enim vna qualitas est & essentia, frustra deinceps ponit differentiam. Et sane; quibus fundamentis nixus vnam asserere essentiam Seuerus recusat; iisdem vel inuitus negare cogitur vnam esse in Christo naturam.

Nonnulli porro ex impudentioribus, naturam, personam, essentiam idem esse admittentes, non horruerunt affirmare etiam in S. Trinitate tres esse essentias, vnde & tres Deos & tres Deitates, etsi non verbo, mente tamen docent. Et hi quidem damnantur veluti tres essentias in Trinitate prodigiosè audentes: Hi verò quod non propriè Deum patrem aut Filium, aut Spiritum S. dici censeant. Isti verò fortasse sint, qui tantum signatas seu figuratiuas proprietates putant esse hypostases. Ita in multas sententias & errores aliosillorum dissecta secta progressa est; quemadmodum & de differentia concurrentium in Christo naturarum. Aliis enim nugatoribus visum est perire differentiam post vnionem naturarum: aliis seruari differentiam iudicatum;

συγκεφαλαιωθέντος μηδενὸς ἑτερογνωμήσαντος πλὴν Ἀμφιλοχίου τοῦ Σίδης, ὃς μετ' οὐ πολὺ καὶ αὐτὸς διὰ ὑπογραφῆς συνεφώνησε. μεθ' ὧν καὶ ὁ μέγας Συμεὼν, ὁ ἐν τῷ στύλῳ τὸν ἀγγελικὸν ἐκεῖνον βίον διανυσάμενος, καὶ Βαραδάτος, καὶ ἄλλοι τὸν αὐτὸν βαθμὸν τῆς πολιτείας φθάσαντες. ταῦτα διαδραμὼν καὶ δικαίως Σευῆρον τῷ ἀναθέματι παραπεμφθῆναι* συστησάμενος, εἰς τέλος* διέστησε τὴν διάλεξιν.

Καὶ ὁ ἐφεξῆς δὲ λόγος* παραδιαβάλλεται μὲν τὴν αὐτὴν ἐπιγραφήν· παραίνεσιν δὲ πρὸς τοὺς διεστῶτας τῆς ἐκκλησίας εἰσηγεῖται, ἐκ τῆς πρὸς ἀλλήλους τῶν αἱρετιζόντων κἀνταῦθα μάχης τε καὶ διαφορᾶς συνιδεῖν τὸ τῆς ἐκκλησίας ὀρθὸν φρόνημα παρακαλῶν. λέγει δὲ καὶ ὅθεν κατετμήθη εἰς μυρίας διαιρέσεις καὶ τομὰς ἡ αἱρετικὴ δόξα. ἐπερωτῶσα γὰρ τὰ τέκνα τῆς ἐκκλησίας, εἰ καθάπερ δύο τὰς φύσεις λέγουσιν, οὕτω καὶ τὰς ὑποστάσεις λέγειν αἱροῦνται; καὶ* ἐπεὶ μίαν λέγουσιν ἐπὶ Χριστοῦ τὴν ὑπόστασιν, ἄρα καὶ μίαν φύσιν ἐπ' αὐτοῦ δογματίζουσι; ταῦτα* ἐπιζητοῦσα ἡ αἵρεσις, ὧν ἐπεζήτησε μὲν πέως οὐδὲν ἀκούει. ἀντερωτᾶται δὲ παρὰ τῆς ἐκκλησίας, τί δήποτε ταῦτα ἐρωτᾷ; ἆρα γὰρ ταὐτὸν ἡγεῖται φύσιν καὶ ὑπόστασιν, καὶ διὰ τοῦτο τοὺς δύο λέγοντας φύσεις, νομίζει δύο καὶ ὑποστάσεις δοξάζειν· ἢ ἀνάπαλιν, τοὺς μίαν ὑπόστασιν [λέγοντας] καὶ μίαν φύσιν συνομολογεῖν νομίζει. ἀρχὴν οὖν τοιαύτην τῆς κινήσεως λαβούσης, καὶ ὁ πολὺς ἐκεῖνος καὶ ἄσπονδος τῶν αἱρετιζόντων ἐν ἑαυτοῖς συνερράγη πόλεμος, εἰ ταὐτὸν φύσις καὶ ὑπόστασις; ἐπεὶ μίαν φύσιν ἐπὶ τῆς τριάδος φαμὲν, καὶ μίαν ὁμολογεῖν ἀνάγκη τὴν ὑπόστασιν· ἢ ἐπεὶ τὰς ὑποστάσεις τρεῖς, καὶ ἡ φύσις εἰς τρεῖς* διαιρείσθω. κἀκεῖθεν ἄλλο μὲν σημαίνειν τὴν φύσιν, ἄλλο δὲ σημαίνειν τὴν οὐσίαν, ἀνέπλασαν. καὶ τὴν φύσιν πάλιν εἰς* γενικὴν φύσιν καὶ ἰδικὰς φύσεις κατεμέρισαν. καὶ πρὸς μὲν τὸν γραμματικὸν Σέργιον ὁ Σευῆρος γράφων, μίαν οὐσίαν, φησὶν, εἰπεῖν τὸν Χριστὸν ἐβουλόμεθα, ἵνα τῶν συνελθόντων τὴν διαφορὰν μὴ ἀνέλωμεν. μιᾶς γὰρ καθάπαξ γεγενημένης οὐσίας ἢ καὶ ποιότητος, πῶς ἔτι μεμένηκε τῶν φύσεων, ἐξ ὧν εἷς ὁ Χριστὸς, ἡ κατ' οὐσίαν διαφορά; εἰ γὰρ μία ποιότης καὶ οὐσία, τὰ τῆς διαφορᾶς λοιπὸν ψευδῆ καθέστηκε. καίτοιγε ἐξ ὧν τὴν μίαν οὐσίαν εἰπεῖν ὁ Σευῆρος παραιτεῖται, ἐκ τῶν αὐτῶν καὶ τὸ μίαν [λέγειν] φύσιν ἐπὶ Χριστοῦ, κἂν μὴ βούλοιτο, παρῃτήσατο. τινὲς δὲ τῶν ἀπηρυθριασμένων φύσιν καὶ ὑπόστασιν καὶ οὐσίαν ταὐτὸν εἰπεῖν ἐκδεξάμενοι, καὶ ἐπὶ τῆς ἁγίας τριάδος τρεῖς οὐσίας λέγειν οὐκ ἔφριξαν· δι' ὧν καὶ τὸ τρεῖς θεοὺς καὶ* θεότητας, εἰ καὶ* τῇ φωνῇ, τοῖς γε νοήμασι δογματίζουσι. καὶ οἱ μὲν κατακρίνονται, ὡς τρεῖς οὐσίας ἐπὶ τῆς τριάδος τερατευόμενοι: οἱ δὲ, ὡς οὐ κυρίως θεὸν τὸν πατέρα, ἢ τὸν υἱὸν, ἢ τὸ πνεῦμα δοξάζοντες, οὗτοι δ' ἂν εἶεν, οἱ μόνα τὰ χαρακτηριστικὰ ἰδιώματα τὰς ὑποστάσεις εἶναι δογματίζοντες. καὶ εἰς πολλὰ ἄλλα τοιαῦτα ὁρισμὸς αὐτοῖς καὶ ἡ κατατομὴ περιελήλυθεν, ὥσπερ καὶ περὶ τῆς διαφορᾶς τῶν συνελθουσῶν ἐπὶ [τοῦ] Χριστοῦ φύσεων. τοῖς μὲν γὰρ, μετὰ τὴν ἕνωσιν μὴ φυλάττεσθαι τὴν διαφορὰν, ἐπῆλθε φαντάζεσθαι: τοῖς δὲ, σώζεσθαι τὴν διαφορὰν ἡ ὁμολογία γέγονε.

* παραγενόμενος.
* διέστειλε.
* προγρα- βάλλεται = προ- διαβάλλ.
* al. αἰτοῦν.
* ἐπερωτῶν.
* διαιρεῖσθαι.
* al. ἑνικήν.
* θεότητας.
* λεγομ. ἴσως μὴ.

διχῆ

δικῆ δὲ καὶ οὗτοι διετμήθησαν. οἱ μὲν γὰρ τὴν διαφορὰν ὁμολογοῦντες σώζεσθαι, τὰ ὧν ἡ διαφορὰ σώζειν οὐ βούλονται· οἱ δὲ, κἀκεῖνα ὑπὸ τῆς ἀναγκαζούσης ἀκολουθίας συγχωροῦντες πολλάκις (ἄλλος λῆρος* ἐστὶ, καὶ ἄλλη παραφροσύνη) δύο ταύτας λέγειν ἔμφρονα οὐδ᾽ ὅλως αἰσχύνονται· ἡ γὰρ δύο φωνὴ, φασιν, ἀνὰ μέρος καὶ καθ᾽ ἑαυτὰ τὰ διαφέροντα παρίστησι. ταῦτα καὶ τὰ τοιαῦτα διὰ βραχέων προθεὶς, καὶ τῇ παραινέσει πλατυνάμενος, καὶ τὸν παρόντα καταπαύει λόγον.

* ἴσως

Γράφει λόγον ἕτερον κατὰ ἀγνοητῶν. μοναχούς δέ τινας τῶν ἐκ τῆς κατὰ τὰ Ἱεροσόλυμα ἐρήμου κινῆσαι [λέγει] τὸ δόγμα, οἳ ἄγνοιαν τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ περιάπτειν ὑπετόπησαν, ἐξ ὧν τε εἶπεν αὐτὸς, ποῦ τεθείκατε Λάζαρον; καὶ, οὐδεὶς οἶδε τὴν ὥραν ἐκείνην, ἢ τὴν ἡμέραν ἐκείνην, οὐδὲ ὁ υἱός· καὶ ἐξ ἄλλων τοιουτοτρόπων ῥημάτων. ὁ δὲ ἱερὸς Εὐλόγιος ἐστὶ, οὔτε κατὰ τὸ ἀνθρώπινον, πολλῷ δὲ μᾶλλον οὐδὲ κατὰ τὸ θεῖον, ἀγνοεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, οὔτε τὸν τάφον τοῦ Λαζάρου, οὔτε τὴν τέλειον ἡμέραν, διατείνεται. οὔτε γὰρ τὸ ἀνθρώπινον, εἰς μίαν ὑπόστασιν συνελθὸν τῇ ἀπροσίτῳ καὶ οὐσιώδει σοφίᾳ, ἀγνοήσει ἄν τι, ὥσπερ οὐδὲν τῶν παρόντων, οὕτω δὲ οὐδὲ τῶν μελλόντων. οὔτε διαψευσθῆναι δύναται τὸ εἰρημένον παρ᾽ αὐτοῦ, πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστιν· εἰ μὴ ἄρα καὶ τὸν πατέρα πρὸς τὴν ἄγνοιαν, οἱ πάντα τολμῶντες, παρελκύσουσι. τὸ μέντοι γε φάναι τὸν σωτῆρα, ποῦ τεθείκατε Λάζαρον, εἰς ἐπίστασιν καὶ μνήμην* ἄγοντα τοὺς παρόντας τῶν Ἰουδαίων, εἰπεῖν. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἕτερά τινα διαπράξασθαι, ὥσπερ τὸ λύσατε αὐτὸν, καὶ ἄφετε ὑπάγειν. ἵνα ἐξ ὧν τε κατὰ μέρος εἶδον, καὶ ἐξ ὧν ἤκουσαν, πιστὸν μὲν τὸ ὁρατὸν καὶ ἀναμφισβήτητον, ἀνεξάλειπτον δὲ παραδοθείη τῇ μνήμῃ. λέγει δὲ, ὅτι καὶ τὰ ἐπὶ Χριστοῦ λεγόμενα, τὰ μὲν κατὰ ἀναφορὰν, τὰ δὲ κατὰ ἀλήθειαν λέγεται. κατὰ ἀναφορὰν μὲν, τὸ ἁμαρτίαν αὐτὸν καὶ κατάραν ὑπὲρ ἡμῶν γενέσθαι. οὐ γὰρ γέγονε ταῦτα, ἀλλ᾽ οἷα τῆς κεφαλῆς οἰκειουμένης τὰ τοῦ ἰδίου σώματος, αὐτὸς τὰ τοῦ σώματος ἀναδέχεται. κατὰ ἀλήθειαν δὲ λέγεται ἄνθρωπός τε γεγονέναι, καὶ πεινῆσαι, καὶ διψῆσαι, καὶ τὰ ὅμοια. ὥστε εἴ τις ἐθέλοι λέγειν, ἀγνοεῖν αὐτὸν κατὰ ἀναφορὰν, ὡς οὐκ *ἐκτὸς ἀγνοίας ὄντος αὐτοῦ τοῦ σώματος, ἤτοι τῆς ἀνθρωπίνης* φωνῆς, ἧς ἐστιν αὐτὸς [ἡ] κεφαλή· οὐκοῦν μὲν ἔξω τοῦ εἰκότος παρενεχθείη. οὐ μὴν ἀγνοοῦσαν τὴν τοῦ πατρὸς* σοφίαν δοξάσειεν. ἀλλ᾽ εἰ τὸ, ποῦ τεθείκατε αὐτὸν, ἄγνοιαν τοῦ Χριστοῦ κατηγορεῖν τοὺς ἀπαιδεύτους ἀναπείσει· πῶς οὐχὶ καὶ τῷ πατρὶ τὴν αὐτὴν ἄγνοιαν ἐπιρρίψουσι; διαπυνθανομένῳ καὶ λέγοντι πρὸς τὸν Ἀδὰμ, ποῦ εἶ; καὶ πρὸς τὸν ἀδελφοκτόνον, ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου; καὶ κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα· [καὶ] καταβὰς οὖν ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν συντελοῦνται· εἰ δὲ μὴ, ἵνα γνῶ. ἐρωτᾷ δὲ καὶ ὁ Ἰησοῦς τὸ δαιμόνιον, τί ὄνομά σοι; κἀκεῖνο ἀποκρίνεται, λεγεὼν ὄνομά μοι, ὅτι πολλοί ἐσμεν. ἀλλὰ καὶ τοῖς τυφλοῖς λέγει, τί θέλετε ποιήσω ὑμῖν; καὶ πῶς οὐκ ἔστι ταῦτα φανερὰ, ὡς οὐκ ἀγνοίας ἦν· ἀλλὰ τὸ* μὲν ἐπερωτῆσαι αὐτοῦ τὸ δαιμόνιον

* al. ἐπίσ. & ἄγοντα

* al. ἐκτὸς

* al. ἀνθρωπίνης

* al. ὑπὲρ

qui & ipsi bifariam diuisi sunt. Nam qui differentiam manere volunt; nolunt tamen ea manere per quæ existit differentia. Alij vero & illa manere, cogente necessaria consequentia, sæpe concedentes (alia hæc est insania atque amentia) duas tamen naturas appellare penitus auersantur. Vox enim Duo inquiunt, per partes & per se res differentes ostendit. His breuiter disputatis, longa exhortatione hunc quoque librum finit.

EVLOGIVS.

Aliam orationem componit contra Agnoitas siue ignorantes: Monachos autem quosdá ait ex Palæstina solitudine excitasse [prauum] dogma, qui Domino nostro IESV Christo ignorantiam, ex iis quę ipse dixit, assignare conati sunt. *Vbi posuistis* Lazarum [inquit Dominus] Et: *Nemo nouit illum, aut diem illum, neque filius hominis.* Atque item ex aliis hoc genus verbis. Sanctus autem Eulogius iste, Christum IESVM Dominum nostrum, neque secundum humanitatem quidem, multo minus verò secundum diuinitatem ignorasse sepulchrum Lazari, neque etiam illum vltimum diem contendit. Neque enim humanitas Christi in vnam inaccessibilis & substantiantialis sapientiæ hypostasin admissa quicquam velut rerum præsentium, ita futurarum poterit ignorare: neque falsum esse potest quod dixit: *Omnia quæcunque habet pater, mea sunt.* An ergo & Patri, nihil non audentes, ignorantiam attribent. Enimuero hoc quod dixit Saluator: *Vbi posuistis Lazarum*, eò dixisse ait, vt id præsentes Iudæi scirent, illorumque memoriam firmaret. Imo non hoc solum, sed & alia quædam id genus fecisse affirmat. Vt illud; *Soluite eum, & sinite abire*, vt ex iis quæ speciatim viderant, & quæ audierant, fidem oculorum testatam & indubitatam [Iudæis] faceret; memoriæ vero illorum factum nunquam obliterandum infigeretur. Docet etiam alia de Christo dicta per ∴ figuram, alia secundum rei veritatem. Figuratè dicitur illum pro nobis peccatum & maledictum factum esse, neq; enim fuit quicquam horum. Sed veluti sibi caput vendicat ea quæ sunt reliqui corporis, ita Christus ea quæ corporis sunt sibi assignat. Secundum rei veritatem autem dicitur homo factus, & esuriisse, & sitiuisse, & hoc genus similia. Quod si ergo quis velit dicere, eum figuratè & anaphoricè aliquid ignorare, eo quod corpus non sit extra ignorantiam: aut humana vox cuius ipse caput est, is non absurde loquetur, neque interim Patris sapientiam ignorasse aliquid docebit. Sed si illa verba: *Vbi posuistis eum*, ad Christi ipsius, imperiti homines, referunt ignorantiam, quomodo non eandem ignorantiam in Patrem reiicient; quando interrogat & dicit ad Adamum: *Vbi es?* Et ad fratricidam: *Vbi est Abel frater tuus?* Et: *Clamor Sodomorum & Gomorraeorum multiplicatus est & peccata eorum magna valde: descendam ergo & videbo vtrum clamorem suum* [qui venit ad me] *opere compleuerint nec ne, vt sciam.* Interrogat & IESVS dæmonium: *Quod tibi nomen est?* Et illud respondet: *Legio mihi nomen est, quia multi sumus.* Quin & cæcos interrogat: *Quid vultis faciam vobis.* Et quomodo non patet, hæc non ex ignorantia quæsita? Sed à Dæmonibus quidem quærit,

Ioan. 11
Marc. 13

Ioan. 16.

ἀναφορ.

Nos membra eramus maledictum.

Gen. 3.
Gen. 4.
Gen. 18.

Mar. 5.
Matth. 20.

EVLOGIVS. quanta sit obsidentium multitudo, vt discipulis ostentat se iam multis esse superiorem, & fidem firmet: animósque addit calcandi super serpentes & scorpiones, & super omnem virtutem inimici. Luc. 10. Cęcos autem interrogat, vt petitionem ab illis eliciat. Quantum enim beneficium ex petitione accipimus, tantum afficimur ad beneficium [agnitum &] acceptum. Illud autem quod de extremo iudicij die dictũ, quod illud nemo nouit, neque angeli, neque Filius, nisi solus pater; id quidam ob cautationem dictum existimant, vt discipuli arbitrati quotidie diem vltimum imminere semper vigilarent. Sed nihil obstat quo minus & hoc figuratè dictum interpretemur: quemadmodum & illud: *Tu scis insipientiam meam.* Et illud, Psal. 68. Psalm. 21. *Deus Deus meus vt quid me dereliquisti?* Sunt qui censeant illum dixisse quod ignoraret vltimum diem, vt humanæ naturæ signum proprium quod illi inest, declararet & ostenderet; non quod ipse ignoraret: Absit [quod ipse ignorarit.] Quicunque enim vel diuinitati ipsius, vel humanitati ignorãtiam adscribet, nunquam certissimę temeritatis crimen effugiet. Sed cum, vt B. Cyrillus docet, subtili mentis conceptu & animi imaginibus per contemplationem, rem à re diuidimus; tum videmus proprias naturæ vtriusque, vt in se est, notas & proprietates. Aut vt Gregorius Theologus tradit, quando naturæ ratione distinguuntur, etiam nomina naturarum simul diuiduntur. Sed nudæ puræque humanitatis signum proprium est ignorantia. Hac ratione ergo Christi humanitati, vt simplici & puræ humanitatis naturæ consideratæ [præcisè secundum ea quæ à se ipsa habet] adscribi poterit ignorantia. Et hoc est quod Theologus explicauit, quando dixit: Scit quidem vt Deus, nescit verò vt homo. Quibus dictis addit: Quod si qui ex Patribus ignorãtiam in Saluatore ex parte humanitatis admiserunt, id tamen non vt dogma sanxerunt, sed Arianorum insaniam repressuri (qui omnia [quæ in Christo erant] humana ad vnigeniti diuinitatem transtulerunt, vt increatum Dei verbum creaturam ostenderent) rectius hæc de humanitate dici posse existimarunt, quam humana ab illis [Arrianis] ad diuinitatem trahi. Etsi forte qui dixerit, etiam patres figuratè seu anaphoricè locutos esse, religiosius videbitur iudicasse. His expositis, dicendi finem facit.

Liber postremus orationem continet, cui titulus: DECRETVM IN SAMARITANOS editum. Argumentum orationis huiusmodi. Plebs Samaritana in contrarias diuulsa factiones, inter se dissidebat, & peregrinis se opinionibus propugnabat. Alij enim Iesum Naue eum esse censuerunt, de quo Moyses dixit, Prophetã vobis excitabit Dominus Deus ex fratribus vestris, vt me. Alij, reiectã hac sententiã, Dosthen quendã nomine, siue Dositheum prædicarunt Samaritanũ etiam gente æqualem Simoni mago. Et hunc illum esse à Moyse prædictum, portentosè commenti, ab ipsius nomine Dosthêni cognominati sunt. Hic in diuinos Dei Prophetas maledicus, potissimum tamen in Iudam vnum de XII. Patriarchis contumeliosus,

Iesum

τὸ πλῆθος τῶν κατοικούντων τοῖς μαθηταῖς ἐπιδεῖξαι βουλόμενος, ὡς αὖ μάθοιεν* καὶ τῶν πολλῶν ἤδη περιγίγνονται, αὐτοῖς πίστιν καὶ θάρσος ἐντιθεὶς τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. τοὺς τυφλοὺς δὲ ἐπερωτᾷ, οἰκονομῶν ἐξ αὐτῶν προσαχθῆναι τὴν αἴτησιν. ὅσον γὰρ αἰτοῦντες τῆς ὠφελείας τυγχάνομεν, τοσοῦτον τὴν αἴσθησιν τῆς εὐεργεσίας δεχόμεθα. τὸ δὲ περὶ τῆς ἐσχάτης ἡμέρας εἰρημένον, ὡς οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι, οὐδὲ ὁ υἱός, εἰ μὴ ὁ πατήρ· τινὲς μὲν κατ᾽ οἰκονομίαν εἰρῆσθαί φασιν, ἵνα τῶν μαθητῶν καθ᾽ πᾶσαν ἡμέραν νομιζόντων ἐπελεύσεσθαι τὴν τελευταίαν ἡμέραν, ἀεὶ* γρηγοροῦντες διατελῶσιν. οὐδὲν δὲ κωλύει καὶ τοῦτο ἐκλαβεῖν ὡς κατὰ ἀναφορὰν εἰρημένον, καθάπερ καὶ τό, σὺ ἔγνως τὴν ἀφροσύνην μου. καὶ τό, θεέ μου θεέ μου, ἵνα τί με ἐγκατέλιπες; ἔνιοι δέ φασιν, αὐτὸν ἀγνοεῖν φάναι τὴν ἐσχάτην ἡμέραν, τὸ* ἰδίως προσὸν τῇ ἀνθρωπίνῃ φύσει γνώρισμα δεικνύοντά τε καὶ ἐμφανίζοντα. οὐχ ὡς αὐτοῦ ἀγνοοῦντος, ἄπαγε· οὔτε γὰρ κατὰ τὴν θεότητα, οὔτε κατὰ τὴν ἀνθρωπότητα τὴν ἄγνοιαν λέγων ἐπ᾽ αὐτοῦ, θράσους ἐπισφαλοῦς ἀπελαθήσεται· ἀλλ᾽ ἐπειδή, ὡς ὁ μακάριος Κύριλλός φησιν, ἐν ἰσχναῖς διαιροῦντες ἐννοίαις, ἤτοι ταῖς φαντασίαις, τῷ τρόπῳ τῆς θεωρίας ἑκατέρας φύσεως ὁρῶμεν ἴδια καὶ καθ᾽ ἑαυτὰ γνωρίσματα. ἢ καί, ὡς ὁ θεολόγος Γρηγόριος, ἡνίκα αἱ φύσεις διίστανται ταῖς ἐπινοίαις, συνδιαιρεῖται* καὶ τὰ ὀνόματα· ἴδιον δὲ γνώρισμα ψιλῆς ἀνθρωπότητος ἡ ἄγνοια. κατὰ τοῦτο ῥηθείη ἂν ἐπὶ τῆς κατὰ Χριστὸν ἀνθρωπότητος, ὡς ἁπλῶς ἀνθρωπότητος θεωρεῖσθαι τὴν ἄγνοιαν. καὶ τοῦτο καὶ ὁ θεολόγος ἐξέφανεν, εἰπών· γινώσκει μὲν ὡς θεός, ἀγνοεῖ δὲ ὡς ἄνθρωπος, ἄν τις τὸ φαινόμενον χωρίσῃ τοῦ νοουμένου. ταῦτα εἰπὼν ἐπάγει· ὡς εἰ καί τινες τῶν πατέρων τὴν ἄγνοιαν ἐπὶ τῆς κατὰ τὸν σωτῆρα παρεδέξαντο ἀνθρωπότητος· οὐχ ὡς δόγμα τοῦτο προηνέγκαν, ἀλλὰ πρὸς τὴν τῶν Ἀρειανῶν μανίαν ἀντιφερόμενοι· οἳ γὰρ τὰ ἀνθρώπινα πάντα ἐπὶ τὴν θεότητα τοῦ μονογενοῦς μετέφερον, ὡς ἂν κτίσμα τὸν ἄκτιστον λόγον τοῦ θεοῦ παραστήσωσιν· οἰκονομικώτερον ἐδοκίμασαν ἐπὶ τῆς ἀνθρωπότητος ταῦτα φέρειν, ἢ παραχωρεῖν ἐκείνοις μεθέλκειν ταῦτα κατὰ τῆς θεότητος. εἰ δὲ κατὰ ἀναφορὰν κἀκείνους δεῖν ταῦτα τις εἰπεῖν, τὸν εὐσεβέστερον λόγον ἀποδέξεται. ταῦτα δὴ περιελθών, πέρατι περιβάλλει τὸν λόγον.

Τελευταῖον δὲ περιεῖχε τὸ βιβλίον λόγον, ἐπιγραφὴν φέροντα, Ὅρος ἐκφωνηθεὶς τοῖς Σαμαρείταις. ἡ δὲ ὑπόθεσις περιέχεται τοιαύτη. τῶν Σαμαρειτῶν τὸ πλῆθος εἰς ἀντικειμένας μερίδας διαιρεθέντες, καὶ στασιάσαντες πρὸς ἀλλήλους, καὶ ἀλλοφύλοις ἑαυτοὺς ἀποδιατειχίσαντες δόξαις, οἱ μὲν Ἰησοῦν τὸν Ναυῆ ἐδόξαζον εἶναι, περὶ οὗ Μωσῆς εἶπε· προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· οἱ δὲ τοῦτον μὲν παρεγράφοντο, Δοσθὴν δέ τινα τοὔνομα ἢ Δοσίθεον ἀνεκήρυττον, Σαμαρείτην μὲν καὶ αὐτὸν τὸ γένος, συνακμάσαντα δὲ κατά τε τοὺς χρόνους Σίμωνι τῷ μάγῳ· καὶ τοῦτον εἶναι τὸν προφητευθέντα* τερατευόμενοι, ἐξ αὐτοῦ τὴν ἐπωνυμίαν ἔφερον, Δοσθηνοὶ καλούμενοι. οὗτος δὲ ὑβριστὴς μὲν γέγονε τῶν τοῦ θεοῦ προφητῶν, ὑβριστὴς δὲ μάλιστα τοῦ Ἰούδα τοῦ ἑνὸς τῶν ιβʹ πατριαρχῶν.

* κεῖται ἴσ. ὅτι.
* al. γρηγορῶσι.
* al. ἴδιον.
* al. διίστ.
* τερατευόμενοι

μηδὲ

μηδὲ τοὺς περὶ ᵃ αὐτὸν μυρίους ἐπαίνους τοὺς διὰ τῆς Μωσαϊκῆς γραφῆς αἰσχυνθείς. τοὺς οὖν εἰρημένους πάντας πλύνων καὶ ἐξαγελῶν, εἰς ἑαυτὸν πάντα καὶ τὴν προφητείαν καὶ τὴν ἄλλην περιέσπασε θειότητα. μυρίαις δὲ καὶ ποικίλαις ἄλλαις νοθείαις τὴν μωσαϊκὴν ὀκτάτευχον * κατακιβδηλεύσας, καὶ ἕτερά τινα συγγράμματα, μωρά τε καὶ ἀλλόκοτα καὶ ἀπεναντία πνευματικῆς νομοθεσίας συντεταχώς, τοῖς πειθομένοις κατέλιπεν. ἀπεκήρυττε δὲ καὶ τὴν ἀνάστασιν. αἱ μὲν οὖν μερίδες οὕτω εἰς ἀτόπους καὶ βλασφήμους δόξας διετέτμηντο, ἐπιδιδόασι δὲ καὶ λιβέλλους ὑπὲρ τοῦ οἰκείου φρονήματος, καὶ κατὰ τοῦ ἀντικειμένου, μερὶς ἑκατέρα, τὸν παρ' αὐταῖς πρεσβευόμενον, προφήτην εἶναι προτιμῶσα. καθίζει δὲ τούτων δικαστὴς ὁ ἱερὸς Εὐλόγιος μετὰ συνόδου, ἀρχιερεῖς τε τῶν ἐπισήμων καὶ τοὺς λαμπροὺς τῶν ἐν ἀξιώμασι πλήρωμα ποιουμένης. Μαρκιανὸς δὲ τηνικαῦτα, ὃς τοῖς ῥωμαϊκοῖς ἐνίδρυτο σκήπτροις, ἕβδομον ἔτος ἤνυε τῆς βασιλείας. γυμνάσας δὲ τὰ παρ' ἑκατέρων λεγόμενα ὁ ἱερὸς Εὐλόγιος, καὶ τῆς ἀληθείας ἑκατέρους διελέγξας μακρὰν ἀφισταμένους· τὸν μὲν προφητευόμενον, γραφικοῖς παρέστησε ῥητοῖς, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ἀληθινὸν θεὸν εἶναι· τοὺς δὲ μακράν τε καὶ χαλεπωτάτην ἀποπλανηθῆναι πλάνην· τοὺς μὲν Ἰησοῦν τὸν τοῦ Ναυῆ τὸν προφητευόμενον εἶναι κενολογοῦντας. τοὺς δὲ Δόσθην ἢ Δοσίθεον τὸν δυσσεβῆ τερατολογοῦντας. καὶ οὕτω τὸν σύλλογον διαλύει, συντελευτώσης αὐτῷ καὶ τῆς ὑποθέσεως, καὶ τῆς ἀποφωνήσεως, καὶ τοῦ περιελθόντος εἰς τὰς ἡμετέρας χεῖρας τρίτου τεύχους. ἐν τούτῳ τῷ βιβλίῳ τὴν ἀνάστασιν ὁ συγγραφεὺς ἐκ τῶν μωσαϊκῶν μαρτυριῶν ἐπιδεικνύειν [ᵇ ἀγωνίζων,] τοιαῦτά φησιν· Εἰ μὴ παναλήθης ἦν τὸ τῆς ἀναστάσεως χρῆμα, πῶς ἔλεγε πρὸς Ἀβραὰμ ὁ θεός· σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου μετ' εἰρήνης, ᶜ ταφεὶς ἐν γήρᾳ καλῷ; πῶς γὰρ ἂν ἀπῄει, καὶ πρὸς ποίους, εἰ μηδαμῶς μηκέτι μήτε ᵈ αὐτὸς ἔμελλεν εἶναι, μήτε πρὸς οὓς ἀπῄει; πῶς δὲ πάλιν μετ' ὀλίγα τὸ ἱερὸν λόγιον φησὶ περὶ αὐτοῦ· καὶ ἐκλιπὼν ἀπέθανεν Ἀβραὰμ ἐν γήρει καλῷ, πρεσβύτης καὶ πλήρης ἡμερῶν, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ. τίς γὰρ τοῦ μὴ ὄντος προσθήκη, καὶ πῶς προστίθεται τοῖς μὴ οὖσι τὸ ὄν; τί δὲ λέγει καὶ περὶ τοῦ Ἰακώβ· ὅτι συνήχθησαν πάντες οἱ υἱοὶ αὐτοῦ, καὶ πᾶσαι αἱ θυγατέρες, καὶ ἦλθον παρακαλέσαι αὐτὸν, καὶ οὐκ ἤθελε παρακαλεῖσθαι, λέγων· ὅτι καταβήσομαι πρὸς τὸν υἱόν μου πενθῶν εἰς ᾅδην· πῶς γὰρ ἂν ἐπινοηθείη κάθοδος τοῦ μὴ ὄντος; πῶς δὲ καὶ κατέβαινε καὶ πρὸς τὸν υἱὸν, τὸν μηδαμῇ μηδαμῶς, κατὰ τὸν Δοσιθέου δύσφημον λῆρον, δυνάμενον εἶναι; πάλιν δὲ τοὺς υἱοὺς εὐλογήσας ὁ Ἰακώβ φησιν· ἐγὼ δὲ προστίθεμαι πρὸς τὸν λαόν μου. εἰ γὰρ περατουμένην ᾔδει τὴν ὕπαρξιν αὐτοῦ τῷ πέρατι τοῦ παρόντος βίου, πῶς ἔλεγε προστίθεσθαι μὴ ὢν αὐτὸς τῷ μηδαμῇ μηδαμῶς ὄντι αὐτοῦ λαῷ; ὅρα δὲ, καὶ αὐτὸς ὁ δεσπότης καὶ θεὸς τῶν ὅλων τί λέγει τῷ Μωσεῖ, ὅτε αὐτὸν εἰς τὸ ὄρος ἀναβιβάζει τὸ πέραν Ναβαῦ καὶ τὴν γῆν ἐπιδεικνύει, ἣν ἔμελλε κατακληροδοτεῖν τῷ Ἰσραήλ; ἐπάγει γάρ· καὶ ὄψει αὐτὴν εἶτα, καὶ προστεθήσῃ πρὸς τὸν λαόν σου καὶ σὺ, καθὰ προσετέθη καὶ Ἀαρὼν ὁ ἀδελφός σου.

ᵃ al. κατεκίβ. [illegible] ᵇ al. ἀπο[illegible] ᶜ al. γηραλέα. ᵈ ἄνευ

EVLOGIVS.

nihil reueritus immensas de illo in voluminibus Mosaicis perscriptas laudes. His ergo Prophetis omnibus explosis exsibilatisque ipse sibi omnia & vaticinia, & reliquam diuinitatem arrogauit. Octateuchum spuriis scriptis & omni genere mixtis corruptelis adulterauit, aliosque libros stultitia & portentis plenos, diuinisque legibus contrarios consarcinauit, suisque assectis reliquit. Resurrectionem quoque negauit. Hæ ergo factiones ita in dissidentes, contrarias & impias sectas & opiniones dissectæ fuerant. Vtraque porro factio libellos pro sua sententia, & contra aduersariam partem, suum quæque Prophetam alteri præferendo, porrexit. S. Eulogius cum Synodo frequentissima, pontificibus plena insignibus atque illustribus dignitate viris, iudex his præsedit. Marcinus susceptum imperium Romanũ septimum iam annum administrabat. B. Eulogius discussis quæ ab vtraque parte adferebantur, & vtrâque erroris à veritate procul remoti conuictâ, illum à Prophetis prædictum Messiam, ex scripturis sacris docuit esse Dominum nostrum IESVM Christum verum Deum: illos vero grauissimo errore laborasse: hos quidem quod IESVM Naue illum Prophetam prænunciatum fingerent; illos verò quod Dosthen seu Dositheum impium portentosè comminiscerentur. Atque ita concilium soluit. Sed argumentum, & decretum cum Eulogio periit: tertius liber superstes in nostras manus peruenit. In hoc auctor RESVRRECTIONEM ex Moysi tabulis testatam facere connixus hæc disputat. Quod nisi verissima esset de Resurrectione sententia, quomodo diceret ad Abrahamum Deus: *Tu autem ibis ad patres tuos cum pace, sepultus in senectute bona.* Gen. 15. Quomodo enim abiret, & ad quos abiret, si ille nullus amplius futurus erat, & non essent ij amplius ad quos abiturus erat. Et quomodo rursum paulo infra de illo diuinum ait eloquium: *Et deficiens mortuus est Abraham in senectute bona, prouectaque ætatis, & plenus dierum; congregatusque est ad populum suum.* Gen. 25. Quænam congregatio sit ad id, quod non est? Et quomodo id quod est, addi potest iis quæ non sunt. Quid porro de Iacob dicit? *Congregati sunt omnes filij & filiæ, vt lenirent dolorem Patris, noluit consolationem accipere, sed ait: Descendam ad filium meum lugens in infernum.* Gen. 37. Quomodo intelligitur descensus eius qui non existit? & quomodo descendit ad filium, qui, ex deliramento execrati Dosithei, nullus vsquam esse potest? Rursum Iacob quando benedicit filiis, ait. *Ego congregor ad populum meum.* Gen. 49. Si nouerat suam naturam [seu essentiam] vna cum præsenti vita finitum iri; quomodo dixit qui mortuus, nusquam amplius fuit, se ad populum suum qui nusquam erat, congregari? Aduerte sis; quid ipse Dominus & DEVS vniuersorum dicat ad Moysem, quando illum in extremum ∴ Nebo, deduxit, & ostendit illi terram quam daturus erat in hæreditatem Israël. Deut. 32. Addit enim *& videbis eam:* Deinde; *& appóneris ad populum tuum & tu, sicut appositus est & Aaron frater tuus.*

∴ Nabo.

EVLOGIVS. Illud autem quos non moueat, Deo ipso clamante affirmantéque. *Ego sum* Devs *Abraham, &* Devs *Isaac &* Devs *Iacob.* Ecquomodo erit Devs, Devs verus eorum qui nusquam futuri sunt, sed in nihilum redacti? Eccur paradisum ad orientem plantauit in terra Edem, in quo hominem, quem formarat, posuit, si illum statim quidem peccaturum norat, & è paradiso in exilium eiectum iri, neminem vero postea ex hominibus in illo habitaturum? Etenim si omnes, siue qui piam siue impiam hanc vitam exegerunt, decurso vitæ præsentis stadio in nihilum recidunt, nec quisquam manet, qui paradisum vt hæres occupet, diuinisque gaudiis in illo perfruatur, quomodo non hæc ingrata aduersus Devm, & impia opinio, frustra creatum ostendit, & per hanc in illum iniuriam, ipsum communem rerum effectorem Deum contumeliosè perstringit, quando illum ea fecisse insimulat, quæ nec mediocriter prudens vnquam faceret? Sic impiam Dosithei de resurrectione sententiam ex sacra scriptura refutans, ostendit mundum corrumpi, quem ille incorruptibilem, animam verò corruptibilem monstrosè fingebat: Angelorum naturam à Deo factam, quam insanus ille, inter ea quæ nusquam existunt, ponebat: Dæmonum quoque genus factum esse, & manere; Dosthéni vero idola seu simulacra, dæmonas esse dictitabant, aliud genus dæmoniorum nullum agnoscebant: eo insaniæ illum esse progressum ostendit.

In hoc [porro] libro quæstionem addit; cur, cum multa essent animalia inter munda numerata, quinque tantum sacrificata fuerint, & ab antiquis [Iudæis] ad rem diuinam adhibita; hircus nempe, & aries, & bos, turtur, & columba? Respondet, antiqua figuram esse, & pleraque ad ænigmatum cognitionem referri. Quinque autem ex mundis sacrificari ait, quod per illa quinque sensus nostros pari numero voluerit insinuare: His enim purificatos seu mundos nos adiungere Verbo vult legislator & decernit. Atque hæc quidem [ex orationibus Eulogij] excerpta sunt.

CCXXXI. **Sophronii Hierosolymitæ Synodica Epistola.**

Legi epistolam Synodicam Sophronij Patriarchæ Hierosolymitani, Honorio Romano Imperatori missam. Hæc epistola plena est pietate, nouis passim verbis, vt equi pullus saltibus gaudens, nisi quod rectam opinionem diligenter examinet, & sacrorum dogmatum non fortuitam esse cognitionem ostendat. In hac epistola inuenias Magnum cum Apollinario excommunicatum & Theodoretum ab Ecclesia non abmissum, *etsi vbi Cyrillum damnauit, prauum & malum asseuerit.* Sed & quod alius sit Origenes antiquus, alius qui post illum vocatus Adamantius, quodque cum aliis hæreticis condemnetur Iacobus Syrus, à quo hæreticorum Acephalorum secta nomen traxit. Rogat autem hæc epistola si quid prætermissum sit eorum quæ dici debuerant Honorium Rom. Imperatorem,

Origenes duo.

ἐκεῖνο δὲ τίνας οὐκ ἂν δυσωπήσειε, αὐτοῦ τοῦ θεοῦ διακεκραγότος καὶ λέγοντος· ἐγώ εἰμι ὁ θεὸς Ἀβραάμ, καὶ ὁ θεὸς Ἰσαάκ, καὶ ὁ θεὸς Ἰακώβ. πῶς γὰρ ἂν εἴη θεὸς ὁ ἀληθινὸς θεὸς τῶν μηκέτι ἐσομένων, ἀλλὰ ἀποφθαρέντων εἰς τὸ μὴ ὄν; τί δὲ καὶ τὸν κατὰ ἀνατολὰς παράδεισον ἐφύτευσε, τὸν ἐν Ἐδέμ, ἐν ᾧ τὸν ἄνθρωπον, ὃν ἔπλασεν, ἔθετο. εἰ ἐκεῖνον μὲν εὐθὺς παραβήσεσθαι ᾔδει, καὶ τοῦ χωρίου γυμνούμενον ὑπερόριον· μηδένα δὲ τῶν μετὰ ταῦτα ἀνθρώπων μέλλοντα πάλιν οἰκήσειν αὐτόν; εἰ γὰρ ἕκαστος καὶ τῶν * εὐσεβῶς βεβιωκότων, καὶ τῶν δυσσεβῶς πολιτευσαμένων, μετὰ τὸ * στάδιον τοῦ παρόντος βίου, πρὸς τὸ μὴ ὂν ἀναλύεται, καὶ οὐδεὶς οὐκ ἔτι διαμένει, ὥστε καὶ παράδεισον κληρονομεῖν, καὶ τῆς ἐν αὐτῷ τρυφῆς ἀπολαύειν ἱερᾶς: πῶς οὐ μάτην αὐτὸν γεγενῆσθαι, ἡ τοιαύτη ἀγνώμων καὶ δυσσεβὴς ὑπόληψις * ἀποφανεῖ, καὶ διὰ τῆς εἰς ἐκεῖνον ὕβρεως τὸν κοινὸν * ἐξυβρίσει δημιουργὸν, ἐκεῖνα πεπραχέναι * κατηγοροῦν, ἃ μηδὲ μέχρις ἄν τις * διαπράξοιτο ἀνήρ; οὕτω τὸ δυσσεβὲς περὶ ἀναστάσεως διὰ τῶν ἱερολογιῶν Δοσιθέου κήρυγμα καταβαλών, καὶ ὅτι φθαρτὸς ὁ κόσμος· ἐκεῖνος [γὰρ] φθαρτὴν [ἐπὶ] τὴν ψυχὴν, ἄφθαρτον δὲ τοῦτον ἐτερατολόγει: καὶ ὅτι τῶν ἀγγέλων ἡ φύσις παρὰ θεοῦ ὑπέστη. τῶν γὰρ μὴ ὄντων καὶ * τούτων [τὴν φύσιν] ἐκεῖνος ὁ ληρώδης ἐνόμιζε: ναὶ δὲ καὶ, ὅτι τὸ δαιμόνιον γέγονέ τε καὶ διαμένει ζῶον· οἱ γὰρ Δοσιθεανοὶ, τὰ μὲν εἴδωλα δαίμονας ἔλεγον, ἄλλο δέ τι δαιμόνιον φῦλον οὐκ ἐγίνωσκον: εἰς πολλὴν αὐτὸν ἐλάσαι φρενοβλάβειαν διήλεγξεν. ἐν τούτῳ τῷ βιβλίῳ ἀπορίαν προσθείς, ὅτι πολλῶν ὄντων ζώων, ἃ τῶν καθαρῶν ἐτάχθη μερίδος: διὰ τί πέντε μόνα * ἐθυσιάζοντο τοῖς παλαιοῖς καὶ ἱερουργοῦντο, τράγος καὶ κριὸς, καὶ βοῦς, τρυγὼν καὶ περιστερά; καὶ ἐπιλύεται, τύπον μὲν εἶναι λέγων τὰ παλαιὰ, καὶ τὰ πλεῖω εἰς αἰνιγμάτων ἀναφέρεσθαι θεωρίαν. πέντε δὲ ἐκ τῶν καθαρῶν ἱερουργεῖσθαι, ἅτε δὴ καὶ τὰς ἡμετέρας αἰσθήσεις τὸν ἴσον ἀριθμὸν ὑποβαλλόμενος· ταύτας γὰρ ἡμᾶς κεκαθαρμένας προσάγειν τῷ λόγῳ, νομοθετεῖ τε καὶ βούλεται ὁ νομοθέτης. ἀλλὰ τὰ μὲν τῆς ἐκλογῆς ἐν τούτοις.

* al. εὐσεβῶν
* al. ῥάδιον.
* al. ἀποφαίνει ἢ ἐξυβρίζει.
* ἴσ. κατηγορῶν
* κατασκευάζοιτο

* al. τούτων ἐκεῖνο.

* al. ἐθυσιάζετο.

ΣΩΦΡΟΝΙΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ συνοδικὴ ἐπιστολή.

σλα´. Sophronii Hierosolymitani Synodica epistola.

Ἀνεγνώσθη Σωφρονίου ἱεροσολύμων πατριάρχου συνοδικὴ, ἡ ἀπεστάλη ἐν ῥώμῃ Ὀνωρίῳ τῷ ταύτης ὑπάρχοντι. αὕτη ἡ ἐπιστολὴ πλήρης μέν ἐστιν εὐσεβείας, ἐννεωτερίζει δὲ * πανταχοῦ τοῖς ῥήμασι, καθάπερ τις πῶλος ἐπιγαυρούμενος τοῖς σκιρτήμασι· πλὴν τήν τε ὀρθόδοξον ὡς μάλιστα γνώμην διακριβοῖ, καὶ τῶν ἱερῶν δογμάτων οὐ τὴν τυχοῦσαν μάθησιν ἐπιδείκνυται. ἐν ταύτῃ τῇ ἐπιστολῇ εὑρήσεις καὶ Μάγνον σὺν Ἀπολιναρίῳ ἀναθεματιζόμενον, καὶ Θεοδώρητον τῆς ἐκκλησίας οὐκ ἀποκηρυττόμενον, εἰ καὶ ἐν οἷς * Κυρίλλου κατεψηφίσατο, τὸ ἀδόκιμον καὶ μεμπτὸν ἀπηνέγκατο. ἀλλὰ καὶ ὡς ἄλλος μέν ἐστιν Ὠριγένης ὁ παλαιὸς, ἕτερος δὲ ὁ μετ' ἐκεῖνον, ὁ ἐπικληθεὶς ἀδαμάντιος, καὶ ὡς τοῖς ἄλλοις αἱρετικοῖς συναναθεματίζεται ὁ σύρος Ἰάκωβος, ἐξ οὗ τὴν ἐπωνυμίαν τὸ τῶν ἀκεφάλων αἱρετικῶν εἵλκυσε σύστημα. αἰτεῖται δὲ ἡ ἐπιστολὴ, καὶ εἴ τι παρώφθη τῶν ὀφειλόντων ῥηθῆναι, τὸν ῥώμης Ὀνώριον

* πολλαχοῦ.

* al. Κύριλλον.

οἷα

οἷα δὴ καὶ δυνάμενον ταύτης ποιήσασθαι καὶ τὴν διόρθωσιν καὶ τὴν ἀναπλήρωσιν. μεγάλην δ᾽ αὖ ὁμολογήσειν τὴν χάριν, εἰ μὴ διαμάρτοι τῆς αἰτήσεως, καὶ μηδέποτε φανῆναι τῆς εὐεργεσίας ἀγνώμονα. ἀλλὰ ταῦτα μὲν ἐν τῷ βιβλίῳ ἔλεγεν ἡ συνοδικὴ Σωφρονίου τοῦ ἁγιωτάτου ἐπιστολή. ἐν δὲ τῷ αὐτῷ περιείχοντο τεύχει χρήσεις ἁγίων καὶ διαφόρων πατέρων, τῶν τε πρεσβυτέρων τῆς τετάρτης συνόδου, καὶ τῶν κατ᾽ αὐτὴν ἀκμασάντων, καὶ τῶν ἔτι μεταγενεστέρων. αἱ δὲ χρήσεις τὴν διπλῆν ἐνέργειαν ἐπὶ Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀνεκήρυττον· ὧν πατέρες καὶ γεννήτορες ἦσαν· Λέων τε ὁ τῆς πρεσβυτέρας Ῥώμης ἀρχιερεύς, καὶ αὐτὴ ἡ τετάρτη καὶ οἰκουμενικὴ ἁγία σύνοδος, Πέτρος τε ὁ Μύρων ὁσιώτατος ἐπίσκοπος, καὶ Γεννάδιος ὁ Κωνσταντινουπόλεως, καὶ ὁ τῆς Φωτικῆς ἐπίσκοπος ὄνομα Διάδοχος, καὶ Εὐφραίμιος ὁ τῆς Ἀντιοχείας ἀρχιερεύς, ὃς καὶ κατὰ τῶν ἀκεφάλων ἐν πολλοῖς συντάγμασι *γενναίως ἠνδρίσατο. καὶ Διονύσιος ὁ πολὺς μὲν τὴν γλῶσσαν, *πλείων δὲ τὴν θεωρίαν, ὁ μαθητὴς Παύλου, καὶ τοῦ Χριστοῦ μάρτυς, καὶ τῶν Ἀθηναίων ἐπίσκοπος, καὶ Ἰουστῖνος ὁ μαρτυρικοῖς αἵμασι βεβαιώσας τὸ φιλόσοφον, καὶ ὁ πολύαθλος Ἀλεξανδρείας Ἀθανάσιος· Γρηγόριός τε ὁ τῆς θεολογίας μυσταγωγός, καὶ τῆς ἐκκλησίας ὁ κόσμος Βασίλειος, καὶ ὁ ποταμὸς τῶν λόγων ὁ Νύσσης Γρηγόριος, καὶ ὁ νικηφόρος Κύριλλος· καὶ ὁ τῆς ἐνθέου παρρησίας γνώμην ἀκίνητος, καὶ τῆς εὐσεβείας, ὁ Μεδιολάνων Ἀμβρόσιος· καὶ ὁ χρυσοῦς τὴν γλῶτταν καὶ τὸ στόμα Ἰωάννης ὁ Κωνσταντινουπόλεως Ἐπίσκοπος· καὶ Σευηριανὸς ὁ Γαβάλων, καὶ ὁ ἐν ἁγίοις Θεόδοτος, Ἀγκύρας οὗτος ἐπεστάτησε· καὶ Ἰωάννης ὁ Κωνσταντινουπόλεως, ὁ ἐκ Καππαδοκίας ἕλκων τὸ γένος καὶ τὸ ἐπώνυμον, ἀνὴρ ἀρετῆς οἰκητήριον, καὶ ὁ ἐν ἁγίοις Εὐλόγιος, ὁ τῆς Ἀλεξανδρείας Ἀρχιεπίσκοπος, ὁ πολλοῖς λόγοις καταβαλὼν τὴν τῶν ἀκεφάλων δυσσέβειαν· καὶ Ἰωάννης ὁ ἐν ἁγίοις Ἐπίσκοπος Σκυθοπόλεως, ὃς καὶ ὑπὲρ τῆς ἐν Καλχηδόνι συνόδου σοφῶς τε καὶ θεοφρόνως ἐσπούδασε, καὶ Ἡρακλειανὸς ὁ Καλχηδόνος ἐπίσκοπος, ὁ πολὺν κατὰ τῶν θεομάχων Μανιχαίων ἀγῶνα βαλλόμενος· καὶ Λεόντιος, ὁ τὴν ἐρημικὴν πολιτείαν καὶ τὸν μονάδα βίον ἑλόμενος, Ἀναστάσιός τε ὁ ἐν ἁγίοις Θεουπόλεως ἐπίσκοπος, καὶ Συμεώνιος μοναχὸς καὶ πρεσβύτερος. ἡ δὲ χρῆσις, ἣ τὸ ὅσιον ἐπιγινώσκουσα, ἐξ ἐπιστολῆς ἐστιν, ἣν πρὸς τὸν Ἰουστινιανὸν βασιλέα διεπέμψατο· ἣ καὶ κατὰ Νεστοριανῶν τε καὶ Εὐτυχιανιστῶν τὸν ἀγῶνα ἔχει. αὐτός τε ὁ Ἰουστινιανός, ὁ εὐσεβὴς βασιλεύς, ἐν οἷς πρὸς Ζωΐλον ἔγραψε (πατριάρχης δ᾽ Ἀλεξανδρείας οὗτος ἦν) καὶ τὴν ἐπιστολὴν θησαυρὸν ἐπωνόμασε· ναὶ δὴ καὶ Κωνσταντῖνός τις, τὸ κοιαιστόρων φέρων τὸ ἀξίωμα· καὶ γὰρ οὗτος λόγον κατὰ Θεοδοσίου τοῦ δυσσεβοῦς ἐσπούδασεν, ἐξ οὗ χρήσεις περὶ τῶν δύο ἐνεργειῶν συνανεγράφοντο). ἐπὶ πᾶσι καὶ Θεόφιλός τις τῶν θεοφιλῶν καὶ λογίων, ὃς κατὰ Σευήρου πολὺν ἐν λόγοις ἀγῶνα διήνυσεν· ὃν καὶ δυσχεραίνων καὶ διαπληκτιζόμενος ὁ δυσσεβὴς *καλλιγράφον ὁ κακογράφος, οἷα δὴ ἐνυβρίζων, ὠνόμαζεν· αἱ μὲν οὖν χρήσεις, ἃς ἡ βίβλος περιεῖχε, τοὺς εἰρημένους ἱεροὺς ἄνδρας πατέρας ἐπεγράφοντο. χρήσιμοι δ᾽ ἂν εἶεν πρὸς ἔλεγχον τῶν φρονούντων ἐπὶ Χριστοῦ δυσσεβῶς μίαν ἐνέργειαν. περιείχετο μέντοι ταῖς εἰρημέναις καὶ ἐξ ἀνεπιγράφου χρῆσις· τὸ δὲ σύνταγμα, ἐξ οὗ ἡ χρῆσις, Σευῆρον ὑπεδείκνυ γενναίως τοῖς λόγοις καταβαλλόμενον. καὶ

IV. Synodus oecumenica.

* al. γενναῖον. * πλεῖον.

* ἴσ. καλλιγράφον.

vt qui posset ea & impleret & corrigeret. Habiturum autem se magnam gratiam, si voto non frustratus fuerit, & nunquam beneficij immemorem fore. Hæc autem in hac oratione Synodica S. Sophronij epistola tradit. In hoc volumine continebantur testimonia sanctorum variorum Patrum, qui ante quartam Synodum fuerunt, & qui post illam floruerũt, & post nati sunt. *Quæ testimonia* duplicẽ in Christo Deo nostro operationem prædicarunt, quarũ principes & præcipui erant, Leo veteris Romæ Pótifex, & quarta illa œcumenica Synodus, Petrus sanctissimus Myrorum Episcopus, Gennadius Constantinopolis, & Photicæ Diadochus, & Euphræmius Antiochiæ Præsul, qui etiam contra Acephalos in multis libris strenuè certauit. Et Dionysius copiosus quidem verbis, copiosior tamen speculatione, discipulus S. Pauli, Christi martyr, Atheniensium Episcopus, & Iustinus Martyrij sanguine philosophiam confirmans, & strenuus Athanasius Alexandriæ præsul, & Gregorius Theologiæ arcanum vas, & decus Ecclesiæ Basilius, & verborum flumen Nyssenus, & fortis athleta Cyrillus, & in Dei sententia liberè confitenda infractus Ambrosius Mediolani antistes, & aureus ore & lingua Ioannes Constantinopoleos Episcopus, & Seuerianus Gabalorum, & S. Theodotus qui Ancyræ præfuit, & Ioannes Constantinopolitano genere & cognomine Cappadox, homo verè virtutis domicilium, & B. Eulogius Episcopus Alexandriæ, qui multis verbis Acephalorũ sententiam refellit, & B. Ioannes Antistes Scythopolitanus, qui doctè & piè de Synodo Chalcedonensi scripsit, & Heraclianus Episcopus Chalcedonensis, qui cum Manichæis maximũ certamen inijt, & Leontius solitariã & monasticam vitam ducens, & B. Anastasius Theopolitanus, & Symeonius monachus & presbyter. *Testimonium vero quod sanctum agnoscit* ex epistola eius ad Iustinianum Imperatorem, quæ etiã contra Nestorianos & Eutychianos digladiatur, depromptum est. Ipse vero Iustinianus pius Imperator in ijs quæ ad Zoilum Patriarcham Alexandrinum scripsit, *hanc epistolam Thesaurum* nominauit, etiam profectò Constantinus quidam dignitate quæstoria (nam ipse quoque contra impium Theodosium scripsit,) vnde testimonia de duabus in Christo operationibus describuntur. Ad hos omnes accedit Theophilus vnus è pijs & doctis, qui in scriptis suis cum Seuero plurimum pugnat, quẽ odiosus & contentiosus sectarius librarium ipse pessimus scriptor per contumeliã nominat. *Hæc quidem testimonia* quæ liber hic continebat è sanctis illis prius nominatis patribus depromta sunt. Vtilia verò essent ad reprehendendum eos qui vnam tantum in Christo operationem asserunt. Continebatur etiam testimonium in supradictis quoddam è libro quodam sine inscriptione positum. Liber vero *vnde testimonium* erat petitum Seuerum his orationibus reprehensum clare demonstrabat.........

SOPHRON.

Dionysius Areopagita.

SOPHRON. CCXXXII.

Stephani Gobari Tritheitæ liber.

Legi librum Stephani Tritheitæ cognomine Gobari. Opus magni videbatur laboris, fructum verò non æqualem operæ tulit. Laudis enim studium magis quam magnam vtilitatem præ se fert. Ipsa capita quæ tractat, quæque in communes & Ecclesiasticas quæstiones retulit, minimum quinquaginta duo erant, paucis his adiectis *particularibus*. Hæc duplices *Sententias* includunt, & non solum duplices, sed etiam repugnantes. Sententias verò has non argumentis, nec verbis S. Scripturæ confirmauit: sed *testimoniis tantum, vt scriptor putauit, variorum Patrum, quorum alia sententiā Ecclesiæ, alia contrariam continebant*. Contrariam quidem, antiqua testimonia, & antiquorum hominum non multum de certa sententia laborantium asseruerūt, quarum aliqua non amplexi sunt, sed tamen ei qui hæc collegit amplecti visi sunt: Ecclesiasticam vero opinionem confirmant testimonia virorum, qui verè senserunt. Hæc autem sunt capita, de quibus per testimonia duplex, & contraria sententia proponitur.

1. Proprietas, & figura, & forma hypostasis est, sed non coniunctio *substantiæ, & proprietatis, nec per se subsistens*.

2. Hoc primum nonnulla testimonia confirmatunt; deinde rursum postea contrarium *alia, hoc est, formam & proprietatem, & characterem* hypostasin non esse, sed hypostaseos figuram. Et in aliis capitibus, ne in singulis eadem repetere cogamur; *testimonia diuersa contrarium asserentia*, videntur vtrumque prolatum confirmare.

3. Ioannes Baptista Octobri mense conceptus est, cuius contrarium, non in hoc, sed Nouembri.

Deipara Dominicæ conceptionis in mense *nouorum* Annunciationem accepit, nimirum Aprili, quem Hebræi Nisam dicūt. peperit vero Dominum nostrum Iesvm Christum mensibus nouem euolutis, hoc est, quincto Ianuario, media nocte, quæ est octauo Idus Ianuarias: huic opinio contraria, non in illo mense, quem diximus, sed 25. Martij Annunciationem accepisse, & peperisse Saluatorem non quinto Ianuarij, sed octauo Cal. Iannar.

4. In resurrectione idem omnino corpus quo nunc induimur, assumemus, nullam mutationem in incorruptibile assumentes, & è contrario, non corruptibile hoc idem nos corpus assumemus.

5. Eadem forma resurgemus, & non eadem, sed alia.

6. Qua ætate quis mortuus est, eadem resurget: contrarium, non ita, sed pueri in perfecta statura resurgent, & non simul omnes, sed diuisim.

7. Tenue, aërium, ætherium, & spirituale tempore resurrectionis corpus assumemus, & non hoc, sed terreum, densum, & solidum.

ΣΤΕΦΑΝΟΥ ΤΡΙΘΕΙΤΟΥ ΤΟΥ ἐπίκλην Γοβάρου βιβλίον.

σλβ. Stephani Gobari Tritheitæ liber.

Ἀνεγνώσθη βιβλίον Στεφάνου τινὸς τριθεΐτου, ᾧ ἐπίκλην ὁ Γόβαρος. τὸ δὲ βιβλίον πόνων μὲν ἔδοξε μακρῶν, καρπὸν δὲ ἄξιον τῆς πολλῆς οὐχ ὅμοιον σπουδῆς. φιλοτιμίαν γὰρ μᾶλλον, ἢ χρείαν ἐπεδείκνυτο περισσήν. ἀλλὰ γὰρ τὰ μὲν κεφάλαια, περὶ ὧν ἡ σπουδή, καὶ ὅσα εἰς κοινὰς καὶ ἐκκλησιαστικὰς ἀνεφέρετο ζητήσεις, μικρῷ δύο καὶ πεντήκοντα ἦν, μερικωτέρων τινῶν οὐ πολλῶν τούτοις παρεμβεβλημένων. ταῦτα δὲ διτταὶ δόξαι κατεμερίζοντο· καὶ οὐ διτταὶ μόνον, ἀλλὰ καὶ ἀντικείμεναι. τὰς δὲ δόξας, οὐ λογισμοί τινες, οὐδὲ λόγια συνεκρότουν ἱερά: χρήσεις δὲ μόνον, ὡς ὁ γράφων ἐνόμιζε, διαφόρων πατέρων. ὧν αἱ μὲν τὸ ἐκκλησιαστικὸν φρόνημα, αἱ δὲ συνεκρότουν τὸ ἀπόβλητον. ἀλλὰ τὸ μὲν ἀπόβλητον, παλαιαί τε χρήσεις καὶ παλαιῶν ἀνδρῶν, οὐ πάντα πρὸς ἀκρίβειαν ἐξετασάντων, περιέθαλπον. ὧν ἐνίων μὲν οὐδ' ἔθαλπον, ἐδόκουν δὲ θάλπειν ὅμως τῷ συλλέγοντι ταύτας. τὸ δὲ φρόνημα τὸ ἐκκλησιαστικὸν αἱ τῶν μάλιστα τὴν ἀλήθειαν διακριβωσάντων ἱερῶν ἀνδρῶν ἐβεβαίουν μαρτυρίαι. ἔστι δὲ τὰ κεφάλαια, περὶ ὧν ἡ διὰ τῶν χρήσεων διπλῆ καὶ ἀντικειμένη σπουδάζει κατασκευὴ ταῦτα.

Ὅτι τὸ ἰδίωμα καὶ ὁ χαρακτὴρ καὶ ἡ μορφὴ ὑπόστασίς ἐστιν, ἀλλ' οὐχὶ συμπλοκὴ τῆς οὐσίας καὶ τοῦ ἰδιώματος, οὐδὲ τὸ ἀνυπόστατον. τοῦτο μὲν αἱ χρήσεις κατασκευάζουσι πρότερον. εἶτα πάλιν ὕστερον τὸ ἐναντίον ἕτεραι· τουτέστιν, ὅτι τὸ ἰδίωμα καὶ ἡ μορφή, καὶ ὁ χαρακτήρ, οὐκ ἔστιν ὑπόστασις, ἀλλὰ τῆς ὑποστάσεως χαρακτήρ. καὶ ἐπὶ τῶν ἄλλων κεφαλαίων, ἵνα μὴ τὰ αὐτὰ καθ' ἕκαστον λέγειν συναναγκασθείημεν, τὸ ἀντίθετον αἱ διάφοροι χρήσεις ἀπολαμβάνουσαι, δοκοῦσιν ἑκατέρωθεν συνιστᾶν τὸ προτεινόμενον. α'.

Ὡς ὁ Βαπτιστὴς Ἰωάννης ὀκτωβρίῳ μηνὶ συνελήφθη. οὗ τὸ ἀντικείμενον, ὡς οὐκ ἐν τούτῳ, ἀλλ' ἐν τῷ νοεμβρίῳ. β'.

Ὡς ἡ θεοτόκος τὴν δεσποτικὴν σύλληψιν ἐν τῷ μηνὶ τῶν νέων εὐηγγελίσθη, ὅσον ἀπριλλίῳ, ὃν οἱ ἑβραῖοι νισὰν καλοῦσι. τέτοκε δὲ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, μηνῶν πληρωθέντων θ', τουτέστιν ἰανουαρίῳ ε', κατὰ τὸ μέσον τῆς νυκτός, ἥτις ἐστὶ πρὸ ὀκτὼ εἰδῶν ἰανουαρίων. τὸ δὲ τούτου ἀντικείμενον, ὡς οὐκ ἐν τῷ εἰρημένῳ μηνί, ἀλλ' ἐν πέμπτῃ καὶ εἰκάδι τοῦ μαρτίου εὐηγγελίσθη. ἐτέχθη δὲ ὁ σωτὴρ ἡμῶν οὐκ ἰανουαρίῳ πέμπτῃ, ἀλλὰ πρὸ ὀκτὼ καλανδῶν, * ἰανουαρίων. γ'.

* ἰανουαρίων

Ὅτι ἐν τῇ ἀναστάσει τὸ σῶμα, κατὰ πάντα ὃ καὶ νῦν περικείμεθα, ἀποληψόμεθα, μηδεμίαν διαφορὰν ἐπὶ τὸ ἄφθαρτον προσειληφότες. καὶ τὸ ἀντικείμενον, ὡς οὐ τὸ αὐτὸ σῶμα τῷ νῦν ἀναληψόμεθα φθειρομένῳ. δ'.

Ὅτι ἐν τῷ αὐτῷ σχήματι ἀναστησόμεθα: καὶ ὅτι οὐκ ἐν τῷ αὐτῷ, ἀλλ' ἐν ἑτέρῳ.

Ὅτι καθ' ἣν ἡλικίαν ἕκαστος τὸν βίον μετήλλαξεν, κατὰ ταύτην καὶ ἀναστήσεται· τὸ δὲ ἀντικείμενον, ὅτι ε'.
οὐχ οὕτως, ἀλλὰ καὶ τὰ παιδία ἐν τελείῳ σχήματι ἀναστήσονται. καὶ οὐκ ἀθρόον πάντες, ἀλλὰ κατὰ μέρος. ϛ'.

Ὅτι λεπτὸν καὶ ἀεροειδὲς καὶ αἰθέριον καὶ πνευματικὸν ἐν τῷ καιρῷ τῆς ἀναστάσεως ἀποληψόμεθα τὸ ζ'.
σῶμα· καὶ ὅτι οὐ τοιοῦτον, ἀλλὰ γήινον καὶ παχὺ καὶ ἀντίτυπον.

Ὅτι

η'. Ὅτι τὸ θεῖον ἀνθρωπόμορφον καὶ ἔμψυχον· καὶ ὅτι τὸ κατ' εἰκόνα, τὸ σωματικὸν σχῆμα δηλοῖ, καθ' ὃ καὶ ὁ ἄνθρωπος πρὸς μίμησιν τοῦ ἀρχετύπου διεπλάσθη· καὶ ὡς οἱ ἄγγελοι σώματά τε ἔχουσιν ὁμοιόσχημα τῶν ἀνθρωπίνων σωμάτων· καὶ ὡς ἐκ τῆς θείας οὐσίας ἡ ἀνθρωπίνη προελήλυθε ψυχή. καὶ τὰ ἀντικείμενα τούτοις· ὡς οὔτε τὸ θεῖον ἀνθρωπόμορφον, οὔτε ὅλως ἐσχηματισμένον, ἀλλ' οὔτε ἄλλο τι τέτυχεν εἶναι τῶν προειρημένων· ὡσαύτως δὲ οὐδ' οἱ ἄγγελοι σώματα, ἀλλ' ἀσώματοι. καὶ ὡς ἡ τῶν ἀνθρώπων ψυχὴ οὐκ ἐκ τῆς θείας οὐσίας.

θ'. Ὅτι ἄλλο ἦν τὸ πρὸ τῆς παραβάσεως τοῦ ἀνθρώπου σῶμα, ὅπερ καὶ αὐγοειδὲς καλοῦσι: καὶ ἄλλο τὸ μετὰ τὴν παράβασιν, ὃ νυνὶ περικείμεθα σάρκινον (καὶ τοῦτό ἐστιν οἱ δερμάτινοι χιτῶνες) ὅπερ καὶ ἀποτιθέμεθα ἐν τῇ ἀναστάσει. καὶ ἐκ τοῦ ἐναντίου, ὅτι οὐχ ἡ σάρξ ἡμῶν οἱ δερμάτινοι χιτῶνες.

ι'. Ὅτι πρότερον οἱ δίκαιοι ἀναστήσονται, καὶ σὺν αὐτοῖς πάντα τὰ ζῶα, καὶ ἐπὶ χίλια ἔτη τρυφήσουσι καὶ ἐσθίοντες καὶ πίνοντες, καὶ τεκνοῦντες, καὶ μετὰ τοῦτο ἡ καθολικὴ ἐπιστήσεται ἀνάστασις. καὶ ἐκ τοῦ ἐναντίου, ὅτι τῶν δικαίων προανάστασις οὐκ ἔστιν, οὐδὲ ἡ χιλιονταέτης τρυφή, οὐδὲ ὁ γάμος.

ια'. Ὅτι μετὰ τὴν ἀνάστασιν ἐν παραδείσῳ τῶν δικαίων ἔσται ἡ διαγωγή. καὶ ὅτι οὐκ ἐν παραδείσῳ, ἀλλ' ἐν τοῖς οὐρανοῖς. καὶ ὡς ὁ παράδεισος οὔτε ἐν τῷ οὐρανῷ, οὔτε ἐπὶ τῆς γῆς, ἀλλὰ τούτων μεταξύ.

ιβ'. Ὡς ὁ παράδεισος ἡ ἄνω ἐστὶν Ἱερουσαλὴμ, καὶ ἐν τῷ τρίτῳ ἐστὶν οὐρανῷ, καὶ τὰ ἐν αὐτῷ ξύλα νοερά τέ εἰσι, καὶ σύνεσιν ἔχουσι καὶ λόγον: καὶ ὡς ὁ ἄνθρωπος, μετὰ τὴν παράβασιν, ἐκεῖθεν ἐπὶ τὴν γῆν κατηνέχθη. εἶτα καὶ τὸ ἀντικείμενον, ὅτι ὁ παράδεισος οὐκ ἔστιν ἐν τῷ τρίτῳ οὐρανῷ, ἀλλ' ἐπὶ τῆς γῆς.

ιγ'. Ὅτι τὰ ἡτοιμασμένα τοῖς δικαίοις ἀγαθὰ οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. Ἡγήσιππος μέντοι, ἀρχαῖός τε ἀνὴρ καὶ ἀποστολικὸς, ἐν τῷ πέμπτῳ τῶν ὑπομνημάτων, οὐκ οἶδ' ὅ, τι καὶ παθὼν, μάτην μὲν εἰρῆσθαι ταῦτα λέγει, καὶ καταψεύδεσθαι τοὺς ταῦτα φαμένους τῶν τε θείων γραφῶν, καὶ τοῦ κυρίου λέγοντος, μακάριοι οἱ ὀφθαλμοὶ ὑμῶν οἱ βλέποντες, καὶ τὰ ὦτα ὑμῶν τὰ ἀκούοντα, καὶ ἑξῆς.

ιδ'. Ὅτι οἱ ἐν τῇ κολάσει παραδιδόμενοι τῶν ἁμαρτωλῶν καθαίρονται τῆς κακίας ἐν αὐτῇ, καὶ μετὰ τὴν κάθαρσιν ἀπολύονται τῆς κολάσεως. καί τι οὐ πάντες οἱ παραδοθέντες τῇ κολάσει καθαίρονται, καὶ ἀπολύονται, ἀλλά τινες. καὶ ὅτι, ὅπερ ἐστὶν ἀληθὲς, τὸ ἐκκλησιας φρόνημα, οὐδεὶς ἀπολύεται τῆς κολάσεως.

ιε'. Ὅτι τὸ καίεσθαι καὶ μὴ κατακαίεσθαι, φθορὰν ἐστιν ἄφθαρτον φθείρεσθαι. Τίτος δὲ ὁ ἐπίσκοπος Βόστρων, κατὰ Μανιχαίων γράφων, ἐν τῷ πρώτῳ λόγῳ φησί· πῶς ἂν [εἴη] φθορὰ * ἑαυτῆς ἡ φθορά; πάντως γὰρ ἕτερόν τι φθείρει, οὐχ * ἑαυτήν. εἰ δὲ ἑαυτὴν ἐφθείρεν, οὐδὲ τὴν ἀρχὴν ἂν ὑπεστῆναι φθαρῆναι γὰρ ἑαυτὴν μᾶλλον φθείρουσα ἦν ἄν ποτε. φθορὰν γὰρ ἄφθαρτον ἀδύνατον κατά γε τὰς κοινὰς ἐννοίας, ἐπινοηθῆναί ποτε. καὶ δῆλον ὅτι ὁ μὲν ἱερὸς οὗτος ἀνὴρ καθ' ἑτέραν ἔννοιαν εἶπεν ἀδύνατον εἶναι τὴν φθορὰν ἄφθαρτον: ὁ δὲ θεσπέσιος Ἰωάννης καθ' ἑτέραν. ὁ μὲν γὰρ, τὴν φθορὰν ἄφθαρτον εἰπὼν, ἀντὶ τοῦ διαιωνίζουσαν καὶ διὰ παντὸς γινομένην

* al. in' ἑαυτῆ * ἑαυτόν

STEPHAN. 8. Deitatem humana esse forma, & animatam, *& illud*; ad imaginem corpoream figuram ostendere, qua & homo ad imitationem archetypi conditus est. Angelos habere corpora eiusdem figuræ, qua sunt hominum, & è diuina substantia animam humanam prodiisse. Et his contraria. Deitatem non esse humana forma, nec omnino figuratam, sed neque quidquam aliud prædictorum naturâ esse. Similiter nec Angelos corporeos, sed incorporeos esse, humanamque animam non esse è diuina substantia.

9. Aliud fuisse hominis corpus ante præuaricationem, quod splendidum vocant, & aliud post transgressionem, carneum scilicet, vt nunc est, (& hoc sunt pelliceæ tunicæ) *quod in* resurrectione deponemus. & è contrario, * pellitas tunicas non esse carnem nostram.

* *Pellitas vetus interpres.*

10. Primo resurgent Iusti, & cum iis omnia animalia, & [post] mille annos viuêt laute, comedentes, bibêtes, generantes, & post hęc vniuersalis fiet resurrectio. & è contrario, neq; Iustorum neq; pręcedet resurrectio post mille annos deliciæ, neque generatio erit.

11. Post resurrectionem in paradiso iusti viuent, & non in paradiso, sed in cœlis, & paradisus non in cœlo, nec in terra, nec in iis quæ interiecta sunt.

12. Super Hierusalem est paradisus, & in tertio cœlo, & arbores in eo, sensu prditæ sunt, & intellectum habent, & rationem, & homo post præuaricationem inde in terram delatus est. Deinde & contrarium. Paradisum non in tertio esse cœlo, sed in terra.

13. Bona quæ præparata sunt iustis oculus nô vidit, nec auris audiuit, nec in cor hominis ascenderunt. Quanquam Hegesippus vir antiquus & Apostolicus, libro quinto Commentariorum haud scio an offensus dicit frustra hæc dici, & eos qui hæc dicunt *in S. scripturam*, & contra *Christum dicentem*, beati oculi vestri videntes, & aures vestræ hæc audientes, &c. mentiri.

14. Damnati peccatores in punitione absoluûtur à peccatis suis, & post mundationem absoluentur à pœna. Quanquam non omnes dannandi liberantur, & absoluuntur, sed aliqui tâtum, & hanc esse Ecclesiæ sententiam, neminem è pœna eripi.

15. Vri & non comburi, est incorruptibiliter corrumpi. Titus autem Episcopus Bostrorum contra Manichæos scribens primo libro ait: Quomodo corruptio suimet corruptio. Semper enim aliud quid corrumpit, non seipsum. Si seipsum corrumperet, principium non habuisset: corrumpetur enim seipsum corrumpens. Fieri enim nôn potest incorruptibilem corruptionem communi sensu percipi aliquando posse, & clarum est hunc S. virum in altero sensu dixisse impossibilem esse corruptionem non corruptam. Et S. Ioannes secundum alterum sensum. Hic quidem incorruptibilem esse corruptionem dixit, pro perpetuo viuentem, & semper existentem.

STEPHAN. Ille vero corruptionem incorruptibilem non esse, hoc est, non posse corruptionem impassibilitatem esse, & incorruptionem, & accidentium seruatricem [impassibilitatem] sed num vtraque sententia ita se habeat Gobarus auctor operis differentem sententiam non intelligens pugnátes quodammodo inter se tradidit conclusiones.

16. Futurum sęculum octauum est, & contra non octauum: sed nonum est.

17. Saluatoris nostri Iesv Christi corpus tenue erat post resurrectionem, & agile, cœleste, leue, neque tangibile. *Et ideo intrauit clausis ianuis.* Et tangibile & crassum corpus est aliud à tenui, & eo quod est diuersæ figuræ & diuersæ substantiæ. Huius contrarium est: Dominum nostrum Iesvm Christum post resurrectionem, nec purum, nec subtile, nec agile corpus habuisse: magica vero arte, non ipsius corporis natura, ianuis clausis intrasse. *Ioan. 20.*

18. Christus non deposuit carnem post resurrectionem, sed vna cum carne in dextra sedet Patris; & è contrario, veniet iudicare viuos & mortuos, non carnem indutus, sed diuinum habens corpus.

19. Non veniet Dominus in carne in secundo aduentu, sed nuda diuinitate. Hoc vero Gobarus caput constituens, & testimonia adducens Titi Episcopi Bostrorum, milleq; alia habens quæ adducere posset testátia, Dominum Iesvm Christum in sola diuinitate venturum; omnia omisit, & nullus meminit, vbique *præsultantem* suam impietatem, quæ in negádo carnis vnam naturam esse, impudens est, ostendens.

20. Corpus impassibile, inuulnerabile, & immortale, alterius est substantiæ, & generationis, quam corpus nostrum: & mortalia in incorruptionem & immortalitatem transeuntia, mutationem substantiæ admittunt.

21. Definitio vnaquæque perfecta manens, definitorum conseruat naturam: si quis vero ab illo aliquid sustulerit, eiue addiderit: definitum dissoluitur. Hæc duo igitur capita, quemadmodum & parua illa prius dicta, ex vna partegantum, & non ex vtraque oppositorum testimoniis muniuntur.

22. Deus Verbum totus est in omni, & super omne, & totus est corpore, quod sibi hypostaticè aduniuit, & simpliciter diuinitatis substantia tum natura, cum virtute, & operatione, omnia complet, & per singula creata communicando se ad vniuersum transit. Et non ita. Deus sua substantia est extra vniuersum, in omnibus vero suis est virtutibus.

23. Ante mundi creationem Deus Angelos creauit. Et non sic, sed primo die quo mundum fecit.

24. Angeli & Dæmones corporibus vniuntur, & contra, neutri horum corporibus vniuntur.

25. Angeli & rationales animæ, & omnes creaturæ intelligibiles, natura ipsa, & secundum naturam incorruptibiles & immortales sunt. Et è contrario. Non natura, sed gratia sunt immortales: natura vero solus Deus.

ὁ δὲ τὴν φθορὰν ἄφθαρτον μὴ εἶναι, τουτέστι, μὴ δύνασθαι τὴν φθορὰν ἄφθαρτον μὴ εἶναι· τουτέστι, μὴ δύνασθαι τὴν φθορὰν ἀπάθειαν εἶναι, καὶ ἀφθαρσίαν, καὶ συστικὴν τῶν ὑποκειμένων [ἀπάθειαν.] ἀλλ᾽ οὕτως [ἐχούσης] ἑκατέρας διανοίας, ὁ πατὴρ τοῦ παρούσης συγγραφῆς Γόβαρος τὴν διαφορὰν ἔννοιαν οὐ συνιείς, ὡς ἀντικειμένας ἀλλήλαις παρέθηκε τὰς φωνάς.

Ὅτι ὁ μέλλων αἰὼν ὄγδοός ἐστι· καὶ τὸ ἀντικείμενον, ὡς οὐκ ὄγδοος, ἀλλ᾽ ἔννατος. ιϛʹ.

Ὅτι τὸ τοῦ σωτῆρος ἡμῶν Ιησοῦ Χριστοῦ σῶμα λεπτομερὲς μετὰ τὴν ἀνάστασιν γέγονε, καὶ πνευματικὸν, καὶ οὐράνιον, καὶ κοῦφον, καὶ μηδὲ ὑποπίπτον ἁφῇ· καὶ διὰ τοῦτο καὶ τῶν θυρῶν εἰσῆλθε κεκλεισμένων. καὶ ὡς τὸ ἁπτὸν καὶ παχυμερὲς σῶμα ἕτερόν ἐστι παρὰ τὸ λεπτομερὲς, καὶ ἀντίτυπον, καὶ οὐσίας διαφόρου. ἐκ τοῦ εἰρημένου τὸ ἀντικείμενον, ὅτι ὁ Κύριος ἡμῶν Ιησοῦς Χριστὸς μετὰ τὴν ἀνάστασιν οὔτε ἀνέπαφον, οὔτε λεπτομερὲς, οὔτε πνευματικὸν εἶχε σῶμα: κατὰ θαυματουργίαν δὲ, καὶ οὐ τῇ τοῦ σώματος φύσει, τῶν θυρῶν εἰσῆλθε κεκλεισμένων. ιζʹ.

Ὅτι ὁ χριστὸς οὐκ ἀπέθετο τὴν σάρκα μετὰ τὴν ἀνάστασιν, ἀλλὰ μετὰ τῆς σαρκὸς ἐν δεξιᾷ καθίζεται τοῦ πατρός· καὶ ἐκ τοῦ ἀντικειμένου, ὡς ἐλεύσεται μὲν κρῖναι ζῶντας καὶ νεκρούς· οὐκέτι δὲ σάρκα ἔχων, ἀλλὰ θεοειδέστερον σῶμα. ιηʹ.

Ὅτι οὐ μετὰ σαρκὸς, ἀλλὰ γυμνῇ τῇ θεότητι κατὰ τὴν δευτέραν παρουσίαν ὁ δεσπότης παραγίνεται. τοῦτο δὲ θέμενος ὁ Γόβαρος εἰς κεφάλαιον, καὶ χρήσεις παραγαγὼν Τίτου ἐπισκόπου Βόστρων, μυρίας ἔχων ἑτέρας συναγαγεῖν, αἳ κατασκευάζουσι τὸ γυμνῇ τῇ θεότητι παραγενέσθαι τὸν δεσπότην χριστὸν: πάσας παρῆκε, καὶ οὐδεμιᾶς ἐμνήσθη, πανταχοῦ προπηδῶσαν αὐτοῦ τῆς ψυχῆς ἐπιδεικνὺς τὴν ἀσέβειαν, ἥτις ἐν τῇ ἀπαρνήσει τῆς σαρκὸς μίαν φύσιν δογματίζειν ἀναιδεύεται. ιθʹ.

Ὅτι τὸ ἀπαθὲς καὶ ἄτρωτον καὶ ἀθάνατον σῶμα, ἑτεροούσιόν ἐστι καὶ ἑτερογενὲς τῷ ἡμετέρῳ σώματι: καὶ ὅτι τὰ θνητὰ, εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν μεταβάλλοντα, τὴν κατ᾽ οὐσίαν τροπὴν ἐπιδέχεται. κʹ.

Ὅτι ἕκαστος ὅρος μένων ἐντελὴς, τὴν τῶν ὁριστῶν διασώζει φύσιν. εἰ δέ τις τούτου ἀφέλοι τι, ἢ προσθήσει: τὸ ὁριστὸν διαλύεται. ταῦτα τοίνυν τὰ δύο κεφάλαια, ὥσπερ καὶ τὰ μικρὰ πρόσθεν εἰρημένα, μονομερῶς καὶ οὐκ ἐξ ἑκατέρου τῶν ἀντικειμένων τὰς χρήσεις ἐδέξατο. καʹ.

Ὅτι ὁ τοῦ θεοῦ λόγος ὅλος ἐστὶν ἐν τῷ παντὶ, καὶ ὑπὲρ τὸ πᾶν, καὶ ὅλος ἐστὶν [ὁ] ἐν τῷ σώματι ὃ καθ᾽ ὑπόστασιν ἥνωσεν ἑαυτῷ· καὶ ἁπλῶς ἡ τῆς θεότητος οὐσία καὶ φύσει καὶ τῇ δυνάμει καὶ τῇ ἐνεργείᾳ πάντα πληροῖ, καὶ δι᾽ ἑκάστου τῶν ὄντων δίεισι τῇ πρὸς τὸ πᾶν ἀνακράσει. καὶ ὅτι οὐχ οὕτως: ἀλλ᾽ ὁ θεός ἐστιν ἐκτὸς τοῦ παντὸς κατ᾽ οὐσίαν, ἐν πᾶσι δέ ἐστι ταῖς ἑαυτοῦ δυνάμεσιν. κβʹ.

Ὅτι πρὸ τῆς τοῦ κόσμου γενέσεως, καὶ ἀγγέλους ὁ θεὸς ἔκτισε. καὶ ὅτι οὐχ οὕτως, ἀλλ᾽ ἐν τῇ πρώτῃ τῆς κοσμογενείας ἡμέρᾳ. κγʹ.

Ὅτι οἱ ἄγγελοι καὶ οἱ δαίμονες σώμασιν ἑνοῦνται, καὶ ὅτι οὐδέτεροι αὐτῶν σώμασιν ἑνοῦνται. κδʹ.

Ὅτι οἱ ἄγγελοι, καὶ αἱ λογικαὶ ψυχαὶ, καὶ πάντα τὰ νοερὰ κτίσματα, φύσει καὶ κατὰ φύσιν εἰσὶν ἄφθαρτα: καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι οὐ φύσει, ἀλλὰ χάριτι εἰσὶν ἀθάνατοι· φύσει δὲ μόνος ὁ θεός. κεʹ.

Ὅτι

STEPHAN.

κϛ'. Ὅτι οἱ ἄγγελοι κατελθόντες ἐκ τῶν οὐρανῶν εἰς τὴν γῆν, σάρκα τε ἔσχον, καὶ παιδοποιὰ μόρια, καὶ ταῖς γυναιξὶν ὁμιλήσαντες τοὺς γίγαντας ἐγέννησαν, καὶ ἐδίδαξαν αὐτοὺς τέχνας τε, καὶ κακοτεχνίας. οἱ δὲ γίγαντες *ἀλόγοις μιγέντες, ἐγέννησαν τερατώδεις ἀνθρώπους, καὶ δαιμόνια ἄρρενά τε καὶ θήλεα. κολάζονται δὲ οἱ ἄγγελοι ἐκεῖνοι, ἔνθα τὸ τῆς γῆς πῦρ ἀναδίδοται, καὶ θερμὰ ὕδατα. καὶ ὅτι αἱ ψυχαὶ τῶν ἁμαρτωλῶν δαιμόνια γίνονται· καὶ τἀναντίον, ὅτι ἄσαρκοι ὄντες οἱ ἀποστατήσαντες ἄγγελοι, οὐ δι' ἑαυτῶν, ἀλλὰ διὰ μέσων ἀνθρώπων ἐμίγησαν ταῖς γυναιξί· μᾶλλον δὲ οὔτε δι' ἑαυτῶν, οὔτε διὰ μέσων ἀνθρώπων. καὶ ὅτι οὐ *μεταβάλλονται αἱ τῶν ἀνθρώπων ψυχαὶ εἰς δαιμόνια.

*ἐξαλλάξαντ. M. M.

*μεταβάλλονται.

κζ'. Ὅτι ὁ οὐρανὸς σφαιρικός ἐστι, οὔτε κύκλῳ κινεῖται. καὶ ὅτι οὐ σφαιρικός ἐστι, καὶ κύκλῳ κινεῖται.

κη'. Ὅτι τὸ εἰρημένον, πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος, τὸ πνεῦμα τὸ ἅγιον ἦν: καὶ ὅτι οὐ τὸ πνεῦμα τὸ ἅγιον ἦν, ἀλλὰ τὸ ἓν τῶν τεσσάρων στοιχείων.

κθ'. Ὅτι ἡ κυριακὴ ἡμέρα, ἡ αὐτή ἐστιν ἡ ὀγδόη καὶ πρώτη· καὶ ὅτι οὐκ.

λ'. Ὅτι σώματά εἰσι νοερὰ αἱ τῶν ἀνθρώπων ψυχαὶ, καὶ διατετυπωμέναι κατὰ τὸ φαινόμενον ἔξωθεν τοῦ σώματος σχῆμα. καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι ἀσώματός ἐστιν ἡ ψυχὴ, καὶ σωματικοῖς οὐχ ὑπόκειται τύποις.

λα'. Ὅτι αἱ ψυχαὶ πρὸ τῆς τοῦ κόσμου ὑπέστησαν καταβολῆς, καὶ ὅτι ἐκ τῶν οὐρανῶν εἰς τὰ σώματα *μετέβησαν: ὥσπερ Μωσῆς, καὶ οἱ προφῆται, καὶ Σωκράτης, καὶ Πλάτων, καὶ ὁ Βαπτιστὴς Ἰωάννης, καὶ τῶν ἀποστόλων αἱ ψυχαί· ἀλλὰ καὶ αὐτή γε ἡ τοῦ κυρίου. καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι πρὸ τῶν σωμάτων οὐκ ἦσαν αἱ ψυχαὶ ἐν οὐρανῷ, ἀλλ' ἐν τῇ τοῦ σώματος γενέσει ὑπέστησαν· προϋπάρχει μέντοιγε τὸ σῶμα, εἶτα ἡ ψυχή· ἢ μᾶλλον, ὅτι οὔτε προϋπάρχουσιν, οὔτε μεθυπάρχουσιν, ἀλλὰ συνυπάρχουσιν ἀλλήλαις.

*ἐπέβησαν

λβ'. Ὅτι τὸ σῶμα τοῦ Ἀδὰμ ἀπὸ γῆς ἔπλασεν ὁ Θεός· καὶ ὅτι οὐκ ἀπὸ γῆς, ἀλλ' ἐξ ὕδατος καὶ πνεύματος.

λγ'. Ὅτι ἡ πνοὴ, ἣν ἐνεφύσησεν ὁ Θεὸς εἰς τὸ πρόσωπον τοῦ Ἀδὰμ, πρόσκαιρος ἦν, καὶ οὐχ ὡς τὸ πνεῦμα αἰώνιον. καὶ ὅτι οὐ πρόσκαιρος ἦν, ἀλλὰ ψυχὴ ἀθάνατος.

λδ'. Ὅτι οὐ πρόσκαιρος ἦν, οὔτε ψυχὴ, ἀλλὰ νοῦς· ὡς ἐκ τριῶν συγκεῖσθαι μερῶν τὸν ἄνθρωπον, νοῦ τε καὶ ψυχῆς καὶ σώματος· καὶ ὅτι οὐδὲν τῶν εἰρημένων ἦν ἡ ἐμφυσηθεῖσα πνοὴ, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον. καὶ οὐκ αὐτὸ ψυχὴ, οὐδὲ νοῦς χρηματίσαν, ἀλλὰ δεδημιουργηκὸς τὴν ψυχήν.

λε'. Ὅτι ἡ γῆ καὶ τὸ ὕδωρ καὶ τὰ λοιπὰ στοιχεῖα μεταβάλλει εἰς *τοὺς καρποὺς, καὶ τὰ φυτά· καὶ ἡ τροφὴ εἰς σάρκα καὶ νεῦρα, καὶ τὰ λοιπὰ μέρη τοῦ σώματος. καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι οὐ μεταβάλλει ἡ

*ἐκπυρωθ.

Angeli descendentes è cœlo in terram, carnem habuerũt, & genitalia, & cum mulieribus 26.
commisti gigantes procrearunt: & docuerunt illos artes & malas artes. Gigantes vero cum brutis congredientes, homines prodigiosos genuere, & dæmones tam virili quam muliebri specie. illi Angeli puniuntur: *vbi terrarum ignis editur atque erumpit*, & calida aqua. Animæ peccatorum dæmonia sunt. Et contra omnes angeli rebelles cum sine carne fuerint, nõ per se, sed vsi hominibus velut instrumentis congressi sunt cum feminis: at potius neque per se, neque hominibus vsi velut medijs; & non mutãtur hominum animæ in dæmonia.

Cœlum rotundum est, neque in orbem vertitur. Et non est rotundum, & in orbem vertitur. 27.

Hoc quod dictum: *Spiritus Domini ferebatur super aquas*, hic Spiritus sanctus fuit; & 28.
contra Spiritus sanctus nón fuit, sed vnum è quatuor elementis.

Dies Dominicus idem est, & octauus & primus; & non sic. 29.

Animæ hominum sunt corpora intelligibilia, & eadem figurâ sunt, qua forma exterior 30.
corporis, & è contrario; Incorporea est anima, & corporeis non subijcitur figuris.

Animæ hominum ante mundi constitutionem fuerunt, & è cœlis in corpora transierunt, 31.
vt Moses & Prophetæ, Socrates, Plato, Ioannes Baptista, Apostolorumque animæ, & ipsa etiam Christi. Et è cõtrario: non ante corpora in cœlo erant hominum animæ, sed in corporis ortu substiterunt. Ante fuit corpus, deinde anima: Vel potius, nec prius sunt, nec post sunt, sed simul exsistunt.

Corpus Adami fecit Deus è terra; & non è terra, sed ex aqua & vento. 32.

Spiraculum quod Deus inspirauit in faciem Adami temporarium fuit, nec vt æternus spiritus; Et non temporarium fuit, sed animus immortalis. 33.

Temporarium spiraculũ non fuit, neque anima, sed mens, vt è tribus partibus homo constituatur mente, anima, & corpore. & nihil dictorum fuit, *inspiratum illud spiraculum, sed Spiritus sanctus. Et non ipse fuit anima, neque mens appellatus*; sed creans animam. 34.

Terra, aqua, & reliqua elementa mutantur in fructus, & plantas, & cibus in corpora & 35.
neruos, & reliqua membra corporis. Et è contrario. Terra non conuertitur in carnem & neruos, & plantas, & fructus, nec alimentum in corpus nostrum.

Post mortem anima, neque corpus, neque sepulcrum excedit. Et è contrario, non 36.
manet cum corpore anima, neque in sepulcro. Hic mille testimonijs abundans Gobarus, Seueriani solum Gabalorum antistitis, & Irenæi adhibuit. Irenæus.

Omne generatũ corruptibile est, & mortale, 37.
voluntate v. Dei manet insolubile & incorruptibile. Et è contrario natura corruptũ, nõ põt incorruptibile esse volũtate Dei. Contraria.n.

γῆ εἰς σάρκα καὶ νεῦρα, καὶ τὰ φυτὰ καὶ τοὺς καρποὺς, οὔτε ἡ τροφὴ εἰς τὸ ἡμέτερον σῶμα.

λϛ'. Ὅτι μετὰ θάνατον ἡ ψυχὴ οὔτε τοῦ σώματος, οὔτε τοῦ τάφου χωρίζεται, καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι οὐ παραμένει τῷ σώματι ἡ ψυχὴ, οὔτε τῷ τάφῳ. ἐνταῦθα δὲ μυρίων *εὐπορῶν ὁ Γόβαρος χρήσεων, Σευηριανοῦ *μόνου τοῦ Γαβάλων καὶ Εἰρηναίου παρέθηκε χρήσεις.

*al. ἀπορῶν

*μόνου.

Ὅτι πᾶν γενητὸν, φθαρτόν ἐστι καὶ θνητὸν, βουλήσει δὲ Θεοῦ διαμένει ἄλυτον καὶ ἄφθαρτον.
λζ'. καὶ ἐκ τοῦ ἐναντίου, ὅτι τὸ φύσει φθαρτὸν, οὐ δύναται ἄφθαρτον, τῇ βουλήσει Θεοῦ. ἐναντία γὰρ

STEPHAN. docet sibi hoc asserens, & impossibilitatem Creatori assignat. ad hanc opinionem confirmandam testimonium adducit Iustini Martyris, è libro quo Gentium errores refutat, & contra Platonis argumentum dicentis.

38. Cum facti estis, immortales non estis, neque omnino indissolubiles: neque igitur dissoluemini, nec moriemini morte, nacti legem, quæ mea voluntate fortior est. Ipse quidem Martyr Platonicum arguens sophisma ostendit Platonem creatorem inducere, quasi contra se ipsum loquatur & nullam *consequentiam* dictis adhibeat. vel enim necesse est omne generatum corruptibile esse secundum priorem definitionem, vel eum dicendo omne generatum corruptibile esse mentiri. Gobarus gentile argumentum euertens nititur ad Ecclesiæ opinionem traducere. Hæc igitur priora capita duobus, & contrariis testimoniis, vt putauit, adornans, ad ea quæ vnius partis tantum sunt descendit. Et primo quidem dicit, quod totius opusculi caput est tricesimum octauum, quomodo de Domini incarnatione Beatus Eustathius Antiochenus antistites docuerit.

Lego κεφάλαιον

39. Et vt B. Cyrillus Alexandrinus, & qua ratione hoc doctores Ecclesiæ intellexerint: *De die*

40. *illo, vel hora nemo scit, neque Angeli, neque filius, nisi Pater*: & quomodo hoc Seuerus intellexe-

41. rit. Hæc capita vnius opinionis prosequens descendit, iterum ad ea quæ duplices opiniones continent, & caput constituit.

42. Dominus noster IESVS Christus lacte è B. Virgine nutritus est, & non lacte nutritus est.

43. Minimus in regno cœlorum maior est Ioanne Baptista, de se ipso dixit Saluator, & non de se ipso, sed de Ioanne Euangelista.

44. Dominus noster IESVS Christus tricesimo ætatis anno crucifixus est, & non tricesimo, sed tricesimo tertio. Et non tricesimo tertio, sed quadragesimo; & nec tricesimo tertio, nec etiam solum quadragesimo, sed amplius, non multum à quinquagesimo distans.

45. Eo tempore quo IESVS Christus tradidit discipulis noui Testamenti mysterium, Pascha secundum leges comedit, & quod tunc non comederit pascha legale.

46. Æneus serpens quem Moses in eremo erexit, typus fuit Christi, & non typus, sed antitypus.

47. Fuit Thomas, qui seruo summi sacerdotis auriculam amputauit; & non fuit Thomas, sed Petrus.

48. Tempore passionis Deitas è corpore Christi * discessit, & non discessit ab anima nec à corpore.

* ἀφωρίσθη, separata fuit.

49. Saluator Lytrum pro humano genere comprehenso, proprium inimico sanguinem dedit, inimico hunc eligente. Et è contrario: Non inimico, sed Deo Patri hunc obtulit.

50. Gloriosius & admirabilius Christus resurrexit quam in monte transfiguratus est. Et resurgens non mutauit corpus in gloriam sibi debitam, sed tale monstrauit quale erat ante mortem. Et hoc quidem dicit Cyrillus, sed contrarium Dionysius Alexandrinus.

δοξάζει ἑαυτῷ ὁ τοῦτο λέγων, καὶ ἀδυνάτα χαρίζεται τῷ δημιουργῷ. ταύτης δὲ τῆς δόξης χρῆσιν μὲν παρέθηκεν ἐκ τοῦ μάρτυρος Ἰουστίνου. τῷ δὲ πρὸς τὴν ἑλληνικὴν μὲν δόξαν συνενήνεκτο μάχη, καὶ τοῦ Πλάτωνος ἔλεγχος κατεσκεύαζετο, * εἰρηκότος· ἐπείπερ ἐγένεσθε, ἀθάνατοι μὲν οὐκ ἐστέ, οὐδὲ ἄλυτοι πάμπαν· * οὔτι γε μὴν λυθήσεσθε, οὐδὲ τεύξεσθε θανάτου μοίρης, τῆς ἐμῆς βουλήσεως ἰσχυροτέρου δεσμοῦ λαχόντες. καὶ ὁ μὲν μάρτυς, τὸ Πλατωνικὸν διελέγχων σόφισμα, ἀποδείκνυσι τὸν Πλάτωνα τὸν τε δημιουργὸν εἰσάγοντα, τἀναντία λέγοντα ἑαυτῷ, καὶ εἱρμὸν ἀκολουθίας οὐδένα τοῖς εἰρημένοις ἁρμόζοντα. ἢ γὰρ ἀνάγκη πᾶσα τὸ γενητὸν φθαρτὸν εἶναι, κατὰ τὸν πρότερον ὅρον: ἢ ψεύδεσθαι λέγοντα, πᾶν τὸ γενόμενον φθαρτὸν εἶναι. ὁ δὲ * Γόβαρος τὸν ἑλληνικὸν ἔλεγχον εἰς ἀναστροφὴν ἐκβιάζεται χρῆσθαι τοῦ φρονήματος τοῦ ἐκκλησιαστικοῦ. τὰ πρῶτα εἰρημένα κεφάλαια διπλαῖς καὶ ἀντικειμέναις χρήσεσιν, ὡς ἐνόμιζε, κατασκευάζων, ἐπὶ τὰ μονομερῆ πάλιν μεταβαίνει. καὶ πρῶτον μέν φησιν, ὅπερ ἐστὶ τῆς ὅλης συντάξεως ἡ καὶ λ' κεφάλαια, ὅπως ἐδίδαξε περὶ τῆς τοῦ Κυρίου ἡμῶν ἐνανθρωπήσεως ὁ ἐν ἁγίοις Εὐστάθιος ὁ τῆς Ἀντιοχείας ἀρχιερωσύνης προεδρεύσας. ἐφεξῆς δὲ ὅπως ὁ ὡσιώτατος Κύριλλος, ὁ τῆς Ἀλεξανδρείας ἀρχιερεύς. Καὶ ὅπως ἐνόησαν οἱ τῆς ἐκκλησίας διδάσκαλοι τό, περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας, οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι, οὐδὲ ὁ υἱός, εἰ μὴ ὁ πατήρ. Καὶ ὅπως τοῦτο Σευῆρος ἐνόησε. ταῦτα μονομερῶς διελθὼν τὰ κεφάλαια, μεταβαίνει πάλιν ἐπὶ τὴν διπλῆν προκομιδὴν τῶν χρήσεων καὶ ποιεῖται κεφάλαιον.

* al. λέγοντος.

* ἄνηθι.

* al. Γόμαρος.

Iustini martyr.

Ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐγαλακτοτροφήθη ἐκ τῆς θεοτόκου Μαρίας, καὶ ὅτι οὐκ ἐγαλακτοτροφήθη. μβ'.

Ὅτι, ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων ἐστὶν Ἰωάννου τοῦ Βαπτιστοῦ, περὶ ἑαυτοῦ εἶπεν ὁ σωτήρ: καὶ ὅτι οὐ περὶ ἑαυτοῦ, ἀλλὰ περὶ Ἰωάννου τοῦ Εὐαγγελιστοῦ. μγ'.

Ὅτι ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τριάκοντα ἐνιαυτῶν ὑπάρχων ἐσταυρώθη· καὶ ὅτι οὐ τριάκοντα, ἀλλὰ τριῶν καὶ τριάκοντα. καὶ ὅτι οὐ τριῶν καὶ λ', ἀλλὰ μ'. καὶ ὅτι οὐ λ' ἐτῶν, οὔτε μ' μόνον: ἀλλὰ καὶ πλέον, οὐ πολὺ τῶν πεντήκοντα ἀφεστηκώς. μδ'.

Ὅτι ἐν ᾧ καιρῷ παρέδωκε τοῖς μαθηταῖς ὁ Κύριος τὸ τῆς καινῆς διαθήκης μυστήριον, τὸ νομικὸν ἔφαγε πάσχα: καὶ ὅτι οὐκ ἔφαγε τηνικαῦτα τὸ νομικὸν πάσχα. με'.

Ὅτι ὁ χαλκοῦς [ὄφις,] ὃν ὕψωσεν ἐν τῇ ἐρήμῳ ὁ Μωσῆς, τύπος ἦν τοῦ διαβότου. καὶ ὅτι οὐχὶ τύπος, ἀλλὰ ἀντίτυπος. μς'.

Ὅτι ὁ τὸ ὠτίον ἀποκόψας τοῦ δούλου τοῦ ἀρχιερέως, Θωμᾶς ἦν: καὶ ὅτι οὐχὶ Θωμᾶς ἦν, ἀλλὰ Πέτρος. μζ'.

Ὅτι κατὰ τὸν καιρὸν τοῦ πάθους ἡ θεότης ἐχωρίσθη τοῦ σώματος τοῦ Χριστοῦ. καὶ ὅτι οὔτε τῆς ψυχῆς, οὔτε τοῦ σώματος, ἡ θεότης ἐχωρίσθη. μη'.

Ὅτι λύτρον ἀντὶ τοῦ κατεχομένου ἀνθρώπου τῷ ἐχθρῷ τὸ οἰκεῖον ὁ σωτὴρ ἔδωκεν αἷμα, τοῦ ἐχθροῦ τοῦτο αἱρησαμένου· καὶ τὸ ἀντικείμενον. ὡς οὐχὶ τῷ ἐχθρῷ, ἀλλὰ τῷ θεῷ καὶ πατρὶ προσήνεγκε τοῦτο. μθ'.

Ὅτι κρεῖσσον καὶ θαυμασιώτερον τῆς ἐν τῷ ὄρει μεταμορφώσεως ἀνέστη ὁ Χριστός: καὶ ὅτι οὐ μετεστοιχείωσεν ἀναστὰς τὸ σῶμα πρὸς δόξαν τὴν αὐτῷ καθαρμοζομένην, ἀλλὰ τοιοῦτον ἔδειξεν, οἷον ἦν καὶ πρὸ τοῦ θανάτου. καὶ τοῦτο μὲν λέγει Κύριλλος: τὸ δὲ ἀνάπαλιν ὁ Ἀλεξανδρείας Διονύσιος. ν'.

Ὅτι

ια'. Ὅτι ἐν τῇ δωδεκάτῃ τοῦ πρώτου μηνὸς ἤλειψε τὸν Κύριον ἡ Μαρία μύρῳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ. ἐν δὲ τῇ ιγ' τὸ μυστικὸν δεῖπνον ὁ Κύριος παραδέδωσι τοῖς μαθηταῖς. ἐν δὲ τῇ ιδ' τὸ σωτήριον ὑπέστη πάθος. ἐν δὲ τῇ ιε' ἐκ νεκρῶν ἀνέστη. καὶ τῇ ις' ἀνελήφθη· ἢ οὐχ οὕτως. ἀλλὰ τῇ μὲν ιδ' τὸ μυστικὸν ἔφαγε δεῖπνον. τῇ δὲ ιε' ἐσταυρώθη· ἀνέστη δὲ τῇ ις' ἢ ὅτι οὐδὲ τοῦτο, ἀλλ' ὅτι τριήμερος μὲν, καὶ ἐν τῇ κυριακῇ γέγονεν ἡ τοῦ Κυρίου ἀνάστασις, καὶ μετὰ μ' ἡμέρας ἀνελήφθη.

ιβ'. Ὅτι ἀπὸ τῆς ἑσπέρας τῆς ε', ὅτε τὸ μυστικὸν δεῖπνον ὁ Κύριος παρεδίδου τοῖς μαθηταῖς, τότε τὸ * σῶμα αὐτοῦ ἐτέθυτο.

* αἷμα.

Μέχρι μὲν οὖν τούτων περὶ τῶν κοινῶν τῆς ἐκκλησίας δογμάτων τε καὶ ζητημάτων μικροῦ διὰ πάντων τῶν κεφαλαίων ἐποιεῖτο τὸν λόγον. τὰ πλεῖστα μὲν δι' ἀντικειμένων χρήσεων ἑκάτερον μέρος τῆς ἀντιθέσεως * ἐπικουρῶν· ὀλίγα δὲ, καὶ μονομερέσι μαρτυρίαις ἐπιβεβαιῶν. ἐντεῦθεν δὲ περί τινων ἰδικῶν κεφαλαίων τὸν ἀριθμὸν ὀκτωκαίδεκα διαλαμβάνει. οἷον τίνας εἶχεν ὑπολήψεις Σευῆρος περὶ τῶν τῆς ἐκκλησίας ὁσίων μυσταγωγῶν; καὶ ὅπως διετέθη πρὸς τὰ εἰρημένα παρὰ Κυρίλλου καὶ Ἰωάννου ἐν τῇ πρὸς Θωμᾶν τὸν ἐπίσκοπον γερμανικείας; καὶ ὅτι τὰ ἐν ἁγίοις Γρηγορίῳ, τῷ ἐπισκόπῳ νύσσης, τὰ εἰρημένα περὶ ἀποκαταστάσεως οὐκ ἀποδέχεται· οὐ μὴν ἀλλ' οὐδὲ * Παπίαν τὸν ἱεραπόλεως ἐπίσκοπον καὶ μάρτυρα· οὐδὲ Εἰρηναῖον τὸν ὅσιον ἐπίσκοπον λουγδούνων, ἐν οἷς λέγουσιν αἰσθητῶν τινῶν βρωμάτων ἀπόλαυσιν [εἶναι] τὴν τῶν οὐρανῶν βασιλείαν.

* ἐπικουρῶν. * Παπίαν.

α'. Ὅτι Βασίλειος ὁ ἐν ἁγίοις τὸν ἐν ἁγίοις Διονύσιον Ἀλεξανδρείας οὐκ ἐν πολλοῖς ἀποδέχεται· μάλιστα δὲ ἐν οἷς τὸ Ἀρειανῶν ἔθνος ἐπερείδεται. ἀπολογεῖται δὲ ὑπὲρ αὐτοῦ ὡς οὐκ * ἀσεβεῖ γνώμῃ, μάχῃ δὲ τῇ πρὸς Σαβέλλιον εἰς τὴν ἀντίθεσιν κατὰ τοὺς λόγους περιτραπῆναι δυσφημίαν. οὐ μὴν ἀλλὰ καὶ περὶ τοῦ πνεύματος, οὐκ εὐαγεῖς αὐτὸν ἀφεῖναι φωνάς.

* ἀσεβείᾳ.

β'. Ἀλλὰ καὶ ὁ μέγας Ἀθανάσιος τοῦ αὐτοῦ ἀνδρὸς Διονυσίου ὑπεραπολογεῖται. τὰ γὰρ Ἀρείου φησὶ, Διονύσιος οὔτε ἐφρόνησέ ποτε, οὔτε ἠγνόησε τὴν ἀλήθειαν. οὔτε γὰρ ὑφ' ἑτέρων ἐπισκόπων ἐπ' ἀσεβείᾳ κατεγνώσθη, οὔτε τὰς Ἀρειανικὰς φωνὰς ἐφθέγγετο, ὡς δογματίζων. ἀλλὰ καὶ Θεοδώρητος τοὺς αὐτοὺς ὑπὲρ τοῦ εἰρημένου Διονυσίου λογισμοὺς ἀποδίδωσιν.

γ'. * Ἔτι μὲν παρατίθησι μαρτυρίας. καὶ ὅπως μὲν διετέθη Θεόφιλος καὶ ἡ σὺν αὐτῷ σύνοδος πρὸς τὸν ἐν ἁγίοις Ἰωάννην τὸν Χρυσόστομον.

* al. ὅτι.

δ'. Καὶ ποίας ἔχει δόξας Ἀττικὸς καὶ Κύριλλος περὶ τοῦ αὐτοῦ ἁγιωτάτου Ἰωάννου Κωνσταντινουπόλεως.

ε'. Καὶ οἵας ἔχει ὑπολήψεις ὁ εὐλαβέστατος Ἰσίδωρος ὁ τοῦ πηλουσίου περὶ Θεοφίλου, καὶ Κυρίλλου τῶν Ἀλεξανδρείας ἱεραρχῶν· καὶ περὶ τοῦ ἐν ἁγίοις Ἰωάννου τοῦ Χρυσοστόμου· ὡς * τοὺς μὲν, ἕνεκα τῆς πρὸς τὸν Χρυσόστομον ἀπεχθείας ἐκάκιζε. τὸν δὲ ἐτίμησε τε καὶ ἐθαύμαζεν.

* al. τὸν.

ς'. Ὅτι Σευῆρος τὸν ἐν ἁγίοις Ἰσίδωρον μέμψασθαι μὲν ὁρμηθεὶς, οὐκ ἔχων δὲ ὅθεν φήμην αὐτῷ * περιπλάττει ὠριγενιασμοῦ, εἰ καὶ ταύτην αὐτὸς πάλιν ἀποσκευάζεται δι' ἑαυτοῦ, ὑπὸ τῆς ἀληθείας νικώμενος.

* περιάπτει.

ζ'. Ἔτι δὲ ποίας ὑπολήψεις ἔχει Ἱππόλυτος καὶ Ἐπιφάνιος περὶ Νικολάου, τοῦ ἑνὸς τῶν ζ διακόνων.

η'. Καὶ ὅτι ἰσχυρῶς αὐτοῦ καταγινώσκουσιν.

θ'. Ἰγνάτιος μὲν τοί ὁ Θεοφόρος, καὶ Κλήμης ὁ στρωματεύς, καὶ Εὐσέβιος ὁ παμφίλου, καὶ Θεοδώρητος

STEPHAN.

Duodecimo primi mensis Christum Maria in domo Simonis Leprosi vnguento vnxit, & decimo tertio Christus sacram cœnam Discipulis dedit. Decimo quarto salutarem passionem subiit. Decimo quinto resurrexit à mortuis, & decimo sexto assumptus est. Vel non ita: sed necimo quarto sacram cœnam manducauit, decimo quinto crucifixus est, decimo sexto resurrexit. Vel neque hoc, sed post triduum, & in Dominica facta est Resurrectio, & post quadraginta dies assumptus est. 51.

A vespera quinta cum Dominus cœnam Discipulis dedit, tunc corpus suum sacrificauit. 52.

Hactenus quidem de communibus doctrinis Ecclesiæ, & quæstionibus per omnia fere capita, disseruit plerunque per contraria testimonia alteram contradictionis partem confirmans, pauca vero vnius opinionis testimoniis confirmans. Hinc autem quædam capita particularia numero octodecim tractat. Vt, quales opiniones habuerit Seuerus de sanctis Ecclesiæ sacerdotibus? Et quomodo sentiat de iis quæ dicta sunt à Cyrillo, & Ioanne in epistola ad Thomam Germaniceæ Episcopum. Et quod ea quæ dicta sunt de restauratione rerum à Gregorio Nysseno non probet, *neque Papiam Episcopum Hieropolitanum, & Martyrem, nec S. Irenæum Lugdunensem, vbi dicunt regnum cælorum esse fruitionem* quandam ciborum sensibilium.

Papias

D. Basilius S. Dionysium Alexandrinum in locis multis non admittit, maxime vbi Arianorum hæresim confirmat. Defendit illum non ve impia sentientem, sed quod nimio Sabellium oppugnandi studio verbo tenus in contrariam deflexerit opinionem. Quin & de Spiritu sancto impiam illum verba fundere. 1.

Magnus Athanasius hunc Dionysium defendit. Dionysius, inquit, nunquam sensit cum Arianis, nec veritatem ignorauit, nec ab aliis Episcopis impietatis damnatus est, nec Arianas voces locutus est, tanquam docendo. Quin & Theodoretus eadem de hoc Dionysio habet. 2.

Apponit adhæc testimonia, & quomodo Theophilus & cum eo tota Synodus erga B. Ioannem Chrysostomum affecta fuerit. 3.

Qualem habuerit opinionem de B. Ioanne Chrysostomo Episcopo Constantinopolitano Cyrillus & Atticus. 4.

Quid senserit S. Isidorus Pelusiota de Theophilo, & Cyrillo Alexandriæ Episcopis, deque Ioanne Chrysostomo; illos, odij erga Ioannem Chrysostomum, accusauit, hunc vero laudauit & coluit. 5.

Isidori Pelusiotæ.

Seuerus impulsus, vt B. Isidorum reprehenderet, non inuenta causa aliqua, affingit illi quod cum Origene senserit, etsi idem iterum per sese, à veritate superatus id reuocet. 6.

Adhæc qualem opinionem habuerit Hippolytus & Epiphanius de Nicolao è septem Diaconis vno: & quod valide illum condemnent. 7.

Diuinus Ignatius, & Clemens Stromateus, Eusebius Pamphili, Theodoretus 8.

STEPHAN. Cyri episcopus Nicolaitarum damnant hæresim, sed ipsum Nicolaum talem fuisse negant.

10. Hippolytus & Irenæus Epistolam Pauli ad Hebræos dicunt non esse illius. Clemens quidem, & Eusebius, aliorumque Patrum consessus hanc etiam aliis adnumerant, & aiunt hunc Clementem hanc ex Hebræo transtulisse.

11. Origenes. Origenem & Theognostum magnus ille Athanasius Alexandrinus in multis libris admittit. Et Titus Bostrorum, & Gregorius Theologus in epistolis eundem Philocalum nominat. Et Nyssenus laudabiliter eius mentionem facit, & Dionysius Alexandrinus ad hunc eundem scribit: & post mortem illius scribens ad Theotecnum Cæsariensem Episcopum laudat Origenem, atque Alexander Hierapolitanus ad Origenem scribens, verbis eum plurimum delinit.

12. Theophilus & Epiphanius Origenem plurimum auersantur.

13. Quid senserit B. Hippolytus de hæresi Montanistarum, & quid Gregorius Nyssenus. Hæc quidem particularia magis quam capita in his. Iterum vero in quid communius delabitur, & adfert testimonia.

14. Anima omnis mortui iuuatur maxime per preces, oblationes, & eleemosynas pro se factas. Et e contrario non sic.

15. Hactenus quidem reperimus Gobarum capitum suorum libellum confecisse.

GERMANI PATRIARCHÆ C. P. LIBER

CCXXXIII. [*Apologeticus pro Gregorio Nysseno.*]

LEgi librum auctore Germano, qui primum Cyzici ordinatus, post Constantinopolitanus Patriarcha fuit, qui liber inscribitur, *Retribuēs & legitimus*: quod perinde est ac si dixeris: De vera & legitima retributione, quod rependatur hominibus pro vt vixerint. Et hæc quidē tituli inscriptio. Contendit vero Gregorium Nyssæ Episcopum eiusque scripta ab Origenis errore esse immunia. Etenim quibus delirium illud placet, dæmonibus & hominibus in æternam pœnam coniectis liberationem inde expectandam: illi (quod virum doctrina singularem, & eloquentia insignem cum agnoscerent, claramq; sanctitatis existimationem per omnium ora decantatam viderēt) aggressi sunt claris & salutaribus eius scriptis, obscura ac perniciosa Origeniani somni venena admiscere, virtuti que hominis, & doctrinæ celebri hæreticam occulte amentiam subiicere. Quare partim Additamentis falsis; partim rectis argumentis violenter detortis, multa ex irreprehensibilibus eius monumentis calumniari conati sunt. Contra quos Germanus pietatis patronus acutum veritatis gladium stringens, *& vulnere prostratos hostes relinquens, victorem superioremque eum constituit in quem hæretica* colluuies insidias struxerat, & posuerat.

ὁ κύριος, τὴν μὲν νικολαϊτῶν κατακρινώσκουσιν αἵρεσιν, τὸν δὲ Νικόλαον, μὴ [τὸν] τοιοῦτον εἶναι ἀποφαίνονται.

Ὅτι Ἱππόλυτος καὶ Εἰρηναῖος τὴν πρὸς ἑβραίους ἐπιστολὴν Παύλου, οὐκ ἐκείνου εἶναί φασι. Κλήμης μέν τοι καὶ Εὐσέβιος, καὶ πολὺς ἄλλος τῶν θεοφόρων πατέρων ὅμιλος, ταῖς ἄλλαις συναριθμοῦσι ταύτην ἐπιστολαῖς, καί φασιν, αὐτὴν ἐκ τῆς ἑβραΐδος μεταφράσαι τὸν εἰρημένον Κλήμεντα. ι'. ια'.

Ὅτι Ὠριγένην καὶ Θεόγνωστον ὅ, τε μέγας Ἀθανάσιος ὁ Ἀλεξανδρείας ἐν πολλοῖς ἀποδέχεται λόγοις, καὶ Τίτος ὁ βόστρων, καὶ ὁ θεολόγος Γρηγόριος, ἐν ἐπιστολαῖς φιλόκαλον αὐτὸν λέγει· καὶ ὁ νύσσης δὲ εὐφήμως εἰς μνήμην ἄγει. ἀλλὰ καὶ Διονύσιος ὁ Ἀλεξανδρείας, πρὸς αὐτὸν ἐκεῖνον γράφων· ἔτι δὲ καὶ μετὰ θάνατον ἐκείνου πρὸς Θεότεκνον τὸν τῆς καισαρείας ἐπίσκοπον γράφων, δι' ἐπαίνων τὸν Ὠριγένην ἄγει. καὶ Ἀλέξανδρος ὁ ἱεραπόλεων ἐπίσκοπος καὶ μάρτυς, πρὸς τὸν αὐτὸν Ὠριγένην γράφων, λίαν οἰκειοῦται τὸν ἄνδρα τοῖς λόγοις. ιβ'. περὶ Ὠριγένους

Ὅτι Θεόφιλος μὲν καὶ Ἐπιφάνιος λίαν ἐκτρέπονται τὸν Ὠριγένην. ιγ'.

Τίνας ὑπολήψεις εἶχεν ὁ ἁγιώτατος Ἱππόλυτος [περὶ] τῆς μοντανιστῶν αἱρέσεως, καὶ τίνας ὁ ἐν ἁγίοις τῆς νύσσης Γρηγόριος. τὰ μὲν οὖν μερικώτερα τῶν κεφαλαίων ἐν τούτοις. πάλιν δὲ ἐπί [τι] κοινότερον μεταβαίνει, καὶ παρατίθησι χρήσεις. ιδ'.

Ὅτι παντὸς τεθνεῶτος ψυχὴ ὠφελεῖται μέγιστα διὰ τῶν ὑπὲρ αὐτοῦ ἐπιτελουμένων εὐχῶν καὶ προσφορῶν, καὶ ἐλεημοσυνῶν: καὶ ἐκ τοῦ ἀντικειμένου, ὅτι οὐχ οὕτω. ιε'.

Τὸν μὲν οὖν Γόβαρον μέχρι τούτων τῶν κεφαλαίων τὸν πόνον εὕρομεν ἀναδεξάμενον.

ΓΕΡΜΑΝΟΥ ΠΑΤΡΙΑΡΧΟΥ Κωνσταντινουπόλεως βίβλος.

ΑΝΕΓΝΩΣΘΗ βιβλίον τὸν ἐν ἁγίοις Γερμανὸν φέρον συγγραφέα, ὃς μετὰ τὸ κυζίκου χειροτονηθῆναι Κωνσταντινουπόλεως ἐχρημάτισεν ἀρχιερεύς. ἀνταποδοτικὸς δὲ ἢ ἀνόθευτος τὴν ἐπιγραφὴν ἔχει· ὃ ἴσον ἂν εἴη περὶ τῆς ἀνοθεύτου τῶν βεβιωμένων ἀνθρώποις ἀνταποδόσεως. ἡ μὲν οὖν ἐπιγραφῆς ἡ ἐπαγγελία τοιαύτη. ἀγωνίζεται δὲ ὁ λόγος τὸν ἐν ἁγίοις τῆς νύσσης Γρηγόριον καὶ τὰ τούτου * συγγράμματα, τῆς Ὠριγένους παραχεῖν ἐλεύθερα λώβης. καὶ γὰρ οἷς τοῦ δαιμονίου φύλου καὶ τῶν εἰς κόλασιν ἀτελεύτητον παραπεμπομένων ἀνθρώπων ἡ λῆρος ἀποκατάστασις φίλον, οὗτοι δὴ (ἅτε τὸν ἄνδρα ὑψηλόν τε τοῖς δόγμασι, καὶ πολλοὺς τοῖς τῶν λόγων ῥεύμασιν εἰδότες, καὶ λαμπρὰν τῆς εὐσεβείας τὴν ὑπόληψιν εἰς πάντας ἀνθρώπους περιηχηθεῖσαν ὁρῶντες) * ἐπιβάλλονται παρεγγράφειν τοῖς ἐκείνου φωτιστικοῖς καὶ σωτηρίοις λόγοις τὰ ζοφώδη καὶ ὀλέθρια τῆς Ὠριγένους ὀνειρώξεως ἀμβλωθρίδια, τῇ τοῦ ἀνδρὸς * πολυωνύμῳ ἀρετῇ τε καὶ γνώσει τὴν αἱρετικὴν ὑποβαλεῖν λαθραίως διαγνοηθέντες ἀπόνοιαν. διότι τοῦτο μὲν προσθήκαις νόθοις, τοῦτο δὲ καὶ διαστροφῇ τῶν ὀρθῶν λογισμῶν βεβιασμένῃ, πολλὰ τῶν ἀμωμήτων ἐκείνου συνταγμάτων καταχιβδηλεύειν ἐπιχειρήθησαν. καθ' ὧν Γερμανὸς, ὁ τῆς εὐσεβείας συνήγορος, ὀξὺ τὸ ἀληθείας ἐπαφεὶς τὸ ξίφος, καὶ νεκροὺς τῇ πληγῇ ἢ λιπὼν τοὺς πολεμίους, νικηφόρον καὶ προταγωνιστὴν τὸν καθ' οὗ τὰς ἐπιβουλὰς ἡ αἱρετικὴ φάλαγξ ἐρραδιούργει καὶ κατεσκεύαζε, παριστᾶσαν.

σλγ'. Germanus Patriarcha C. P. liber apologeticus pro Greg. Nysseno.

* al. γράμματα

* al. ἐπιβάλλοντο.

* al. πολυυμνή-του.

Ἔστι μὲν οὖν ὁ ἀνὴρ ἐν τῷ παρόντι λόγῳ καθαρός τε καὶ διειδής, καὶ ταῖς ἐν ὀνόμασι *τροπαῖς εὐστόχως ὑποβαλλόμενος· καὶ τὴν μὲν φράσιν ἡδύνων, οὐχ ὑψηλόμενος δὲ πρὸς ψυχρότητα· γενναῖος μὲν ἐπιβαλεῖν τῇ προθέσει, ὅμοιος δὲ διελθεῖν τὰ ἀγωνίσματα· καὶ τῶν μὲν ἀναγκαίων μηδὲν ἔξωθεν παρελκόμενον, οὐδὲν δὲ τῶν ὀφειλόντων ῥηθῆναι παρορῶν, οὔτε τῇ κατασκευῇ, οὔτε τοῖς ἐπιχειρήμασιν, οὔτε τοῖς ἐνθυμήμασιν. ἀλλ' ἔστιν ὥσπερ τῶν εὐσεβῶν δογμάτων κανὼν ἀπαρέγκλιτος, οὕτω καὶ τῶν, εἴ τις ἐθέλει λόγους γράφειν δυνατοὺς καὶ σαφεῖς καὶ χαρίεντας, καὶ πνευματικὴν διδασκαλίαν προτιμῶντας τῆς ἐπιδείξεως, καλὸν παράδειγμα, καὶ ἀξιοζήλωτον. ἐπιρραπίζει μὲν οὖν πρότερον τὸ αἱρετικὸν δόγμα, ὃ τῆς ἀποκαταστάσεως τῶν δαιμόνων εἰς τὸ ἀρχαῖον, καὶ τῶν ἐν ἁμαρτίαις καταλυσάντων τὸν βίον, κατά τινας ποινὰς ὡρισμένας εἰς τὸν χορὸν τῶν δικαίων μετελθεῖν τερατεύεται. ἐλέγχει δὲ τὸ μυθῶδες τοῦτο δυσσέβημα, πρῶτον μὲν ἐξ αὐτῶν τῶν δεσποτικῶν φωνῶν· δεύτερον δὲ ἐκ τῶν ἀποστολικῶν κηρυγμάτων· οἷς καὶ προφητικὰς ἐπισυνάπτει μαρτυρίας, *ξυνολογούσας ὥσπερ αἰώνιον τὴν τῶν δικαίων ἀνεκλάλητον ἀπόλαυσιν, οὕτω καὶ τὴν τῶν ἁμαρτωλῶν ἀτελεύτητόν τε καὶ ἀνυπόστατον κόλασιν. οὐκ ἐκ τῶν εἰρημένων δὲ μόνον χρήσεων τὸ αἱρετικὸν καὶ ἀλλόφυλον καταβάλλει φρύαγμα, ἀλλὰ καὶ ἐξ ἄλλων ἱερῶν ἀνδρῶν· ναὶ δή, τὸ κραταιότερον, καὶ ἐκ λόγων αὐτοῦ ἐκείνου, ὧν κακομηχάνως ἡ αἵρεσις συνήγορον λαβεῖν ἠγωνίζετο. διὰ δὴ τούτων ἁπάντων τῶν ἱερολογιῶν, τὸ μὲν παθοποιὸν καὶ ψυχοφθόρον πάσης ἐκκλησιαστικῆς χοροστασίας ἀπελαύνων ἀναδείκνυσι μυθολόγημα· τὸ δὲ τῆς εὐσεβείας μισοπόνηρον κρατύνων τε καὶ ἀνυψῶν φρόνημα. οὕτω δὲ προδιασκευάσας καὶ κραταιωσάμενος τὸ τῆς ἀληθείας ὀχύρωμα, ἐξ οὗ καταβαλεῖν ῥᾷον ἔμελλε τὸν πολέμιον· τὰ ῥητὰ λοιπὸν μετὰ ταῦτα τοῦ ἱεροῦ προάγει πατρός, οἷς οἱ κακοὶ καὶ πονηροὶ τῶν δογμάτων κάπηλοι τὸν οἶνον ὕδατι μιγνύντες κιβδηλεύειν [αὐτά,] μᾶλλον δὲ τὰ τῆς ἐκκλησίας ἐμελέτησαν *διδάγματα. ταῦτα δὴ τὰ ἱερὰ ῥητὰ προθείς, ἑαλωκότας ἐπ' αὐτοφώρῳ τοὺς [illegible], οἷς ἐνεχείρησαν, ἐθριάμβευσε. τοῦτο μὲν ἀπηρυθριασμένως καὶ ἀναισχύντοις προσθήκαις ἐπινοθεύοντας διελέγχων τὰ ἀνόθευτα· τοῦτο δέ, καὶ τὸ συνεχὲς ὑφαιρουμένους τῆς προσθήκης, ἐκ πολλῆς ἄλλης αὐθαδείας τε καὶ ἀπονοίας, πρὸς τὴν αἱρετικὴν αὐτῶν ἐπίνοιαν, ἀποθρασυνθέντας ἐκβιάζεσθαι. καὶ ὡς ἔπος εἰπεῖν, πάσης τοὺς τοῦ ἀνδρὸς ἀπηλλαγμένους πόνους ἀποφαίνει αἱρετικῆς τε ἐπιβουλῆς, καὶ συκοφαντίας, ἀφορμῆς εἰς ἀσέβειαν. ἡ δ' ἀπαλλαγή, καὶ τῆς κακουργίας ὁ ἔλεγχος, ἔκ τε τῶν προηγουμένων τοῦ κακουργημένου χωρίου, καὶ τῶν ἑπομένων, κατασκευάζεταί τε καὶ ἀνακαλύπτεται· καὶ ἐξ ἄλλων δὲ τοῦ θεσπεσίου Γρηγορίου μυρίων λόγων, τὸ ὀρθὸν διασωζόντων καὶ ἀνόθευτον. καὶ ταῦτα καλῶς ἀγωνισάμενος, καὶ ὡς οὐκ ἄν τις ἄλλος ἄμεινον, εἰς σωτηρίους εὐχὰς καὶ δοξολογίας θεοῦ ἀποπερατοῖ τὸ φιλοπόνημα. οἱ δὲ λόγοι, οὓς ὑπελθεῖν ἐνέδραις τὸ ἀλλόφυλον *ἐπεχείρησατο, καὶ ὁ παρὰ τῆς ἀληθείας ταχθεὶς στρατηγὸς τῆς λῃστρικῆς ἐφόδου κακῶν ἀπαθεῖς διεσώσατο, ὅ, τε περὶ ψυχῆς ἐστὶ πρὸς τὴν ἀδελφὴν Μακρίναν διάλογος· καὶ δὴ καὶ ὁ κατηχητικός, καὶ ὁ περὶ τοῦ τελείου βίου τὴν εἰσήγησιν ἀναδεξάμενος.

* γρ. [illegible]

* al. τρανολογ. [illegible]

* al. δόγματα.

* ἐπεχείρησαν.

Huius stylus in hoc opusculo purus ac clarus, verborumque tropos feliciter arripiens, phrasi venusta & eleganti non ad frigiditatem vergens, proposito valide insistens, par etiam in contentionibus suscipiendis, nihilq; citra necessitatem immiscens, nihil quod dictu sit necessarium prætermittens, tum constructione & epicherematibus, tum entymematibus, & est veluti clara sanæ doctrinæ norma. Ita & illorum si quis vehementes, claras, & gratas, & spiritualem *doctrinam ostentationi* præferentes scribere orationes cupit, egregium est exemplum, & imitatione dignum. Notat enim primo hæreticum dogma, quod dæmones in antiquum statum, & eos qui in flagitiis suis moriuntur, post pœnas definitas in Beatorum numerum aggregandos nugatur. Refellit vero fabulis plenam impietatem, primum è Domini verbis, hinc ex Apostolicis Decretis, quibus & Prophetarum testimonia adiicit, clare ostendentia, vt æterna est Iustorum ineffabilis fruitio; sic & peccantium sempiternam atque infinitam pœnam futuram. non modo autem testimoniis allatis hæreticum atque profanum condemnat venenum, verum etiam è sanctis Patribus. Quin etiam validius, ex eiusdem propriis scriptis quorũ perfide hæresis patronum accipere aggressa est: ex his omnibus piis sententiis & verbis calamitosam illam animæque perniciosam fabulam à toto clero Ecclesiastico illum amouere, pium vero dogma, malitiam exosam confirmare & erigere apparet ad eundem quoque modum instruere ac munire veritatis vallum, vnde hostem arcere in promptu sit. Dicta reliqua deinde sancti Patris adfert, quibus improbi ac nequam sectarũ caupones, vinum aquę miscentes adulterare illa, quin potius Ecclesiasticas doctrinas conati sunt. Has porro sacras sententias adducens de Origenistis in propriis sententiis conuictis quibus illi male vtebantur, triumphum egit. Reprehendens tum quod legitima quidem audacibus & impudentibus additamentis illegitima redderent, tum vero additamenta continuantes, noua magna arrogantia & stupiditate ad hæreticam suam opinionem ea audacter detorquerent. Et, vt breuiter dicam omnia, Sancti huius Patris scripta ab omni hæretica prauitate, & à calumnia, quæ in impietatem vergit, immunia esse declarat. Hæc porro immunitas & improbitatis refutatio & ex antecedentibus loci deprauati, & ex consequentibus conficitur, & demonstratur; & ex aliis sexcentis B. Gregorij Nysseni libris, qui orthodoxè & legitimè sentiunt, recte excutiens, vt nemo melius, in salutares preces ac laudes Dei laborem finiit: Libri autem *quos insidiis* excipere hæretici moliti sunt, & quos Germanus veritatis propugnator primarius ab latronum insultu sine noxa seruauit, *Sunt Dialogus ad Macrinam sororem de Anima; & liber catecheticus, & ille qui de perfecta vita narrationem continet.*

METHOD. CCXXXIV.

EXCERPTA EX ORATIONE S. METHODII de Resurrectione.

LEGI S. Methodij Episcopi & Martyris, ex oratione de RESVRRECTIONE: cuius compendij hoc est argumentum: Corpus non esse vinculum animæ vt Origenes existimauit; neque carceribus illigatas à Hieremia propheta dici, eo quod in corporibus sint: neque enim animæ operationes a corpore impediri affirmat, immo corpus circumferri potius, & cooperari ea ad quæ anima inuitat. Enimuero quomodo illud Gregorij Nazianzeni, & multorum aliorum intelligendum? Origenes asseruit corpus post præuaricationem animo vinculi loco adiunctum esse, cum prius sine corpore viueret. Quin & hoc corpus quod gestamus causam esse peccatorum; propterea etiam vinculum appellauit, vt quod animam à bonis operibus prohibere possit.

Thren. 3. 34.

Quod si corpus animæ vt vinculum copulatum est post præuaricationem; aut datum est, bonorum aut malorum animæ: impossibile est bonorum: nullus enim medicorum aut artificũ aliorum porrigit remedium peccanti, vt plus peccet: multo minus Deus. Sequitur ergo malorum. atqui videmus, vt primum Cain hoc corpore vestitus homicidium fecerit; Posteri verò ad quæ scelera prolapsi sint, manifestum est. Ergo corpus non est vinculum malorum, nec vllum penitus vinculum [aut carcer] nec illud anima post præuaricationem primum induit.

.·. Methodius.

Homo .·. inquit, secundum naturam, dicitur verissimè neque anima sine corpore: neque corpus sine anima, sed illud quod ex anima & corpore in vnam pulchritudinis formam componitur .·. Origenes vero, vt Plato, solam animam dixit constituere hominem. Differentiam inter hominem & cætera animalia esse dicit: Animalibus variæ species & diuersæ formæ datæ sunt, quantas nimirum valida & visibilis natura Deo iubente produxit: Homini vero datum est vt esset similis Deo, Deique formæ, & omnia quæ ad perfectam & primigeniam Patris & Filij vnigeniti imaginem spectant: Et qua ratione hoc [datum sit] sanctus ait inuestigandum. Phidiam statuarium ait, cum Pisæam statuam ex ebore formasset, imperasse vt oleum interius infusum semper ex statua promanaret, vt illi immortalem vim hoc modo conciliaret.

.·. Neque Origenes.

Diabolus, inquit, est spiritus, circa materiam, à Deo factus, vt & Athenagoræ placuit, (quemadmodum & reliqui angeli ab eodem Deo facti sunt) cui materia & quæ ad materiæ formas pertinent, administratio commissa est. Ad hoc enim angeli creati à Deo, vt rebus ab ipso effectis præessent: vt Deus quidem communem & generalem omnium prouidentiam gerens, qua rerum omnium potestas & imperium ab ipso pendet. reliqui vero angeli in iis officiis ad quæ illos Deus fecit, & præfecit, mansere: Diabolus verò arrogantia elatus, & in rebus suæ fidei commissis, inuidiâ aduersus nos conceptâ, perfidus factus est. Quemadmodum & ij, qui postea corporum amore capti,

προνοουμένων refertur ad πνεῦμα.

ΤΟΥ ΑΓΙΟΥ ΜΕΘΟΔΙΟΥ ΕΚ τοῦ περὶ ἀναστάσεως λόγου.

σλδ'. Excerpta ex oratione S. Methodij de Resurrectione.

ΑΝΕΓΝΩΣΘΗ τοῦ ἁγίου Μεθοδίου ἐπισκόπου καὶ μάρτυρος, ἐκ τοῦ περὶ ἀναστάσεως λόγου, οὗ ἡ ἐκλογὴ τὰ ὑποκείμενα λέγει· ὅτι οὐ δεσμόν φησι τὸ σῶμα τῆς ψυχῆς εἶναι, ὡς Ὠριγένης ᾠήθη, οὐδὲ δεσμώτιδας τὰς ψυχὰς [καὶ] παρὰ τοῦ προφήτου Ἱερεμίου καλεῖσθαι, διὰ τὸ ἐν σώμασιν αὐτὰς τυγχάνειν. οὐ γὰρ ἐμποδίζειν τὰς τῆς ψυχῆς ἐνεργείας τὸ σῶμα, τίθεται· συμπεριάγεσθαι δὲ μᾶλλον τὸ σῶμα, καὶ συνεργεῖν, πρὸς ἃ ἡ ψυχὴ ἐπιζητεῖ. ἀλλὰ πῶς τὸ τοῦ θεολόγου Γρηγορίου νοητέον, καὶ ἄλλων πολλῶν; Ὅτι Ὠριγένης δεσμὸν τὸ σῶμα ἔλεγε δεδόσθαι τῇ ψυχῇ, μετὰ τὴν παράβασιν· πρὶν δὲ * ἀσωμάτους αὐτὴν βιοτεύειν. ἀλλὰ καὶ τοῦτο τὸ σῶμα, ὃ περικείμεθα, αἴτιον εἶναι τῶν ἁμαρτιῶν· διὰ τοῦτο καὶ δεσμὸν ἔλεγεν, ὡς ἀπὸ τῶν ἀγαθῶν ἔργων κωλύειν δυνάμενον τὴν ψυχήν. Ὅτι εἰ δεσμὸς ἐδόθη τὸ σῶμα μετὰ τὴν παράβασιν: ἢ τῶν κακῶν ἢ τῶν ἀγαθῶν ἐδόθη τῇ ψυχῇ. τῶν μὲν οὖν ἀγαθῶν, ἀδύνατον· οὐδεὶς γὰρ * ἰατρῶν ἢ τεχνιτῶν ἄλλος τῷ ἁμαρτήσαντι δίδωσι φάρμακον, ὥστε πλέον ἐξαμαρτῆσαι, μὴ ὅτι γε θεός. λείπεται δὴ τῶν κακῶν. ἀλλὰ μὴν ὁρῶμεν, ὡς κατ' ἀρχὰς ὁ μὲν Κάϊν περικείμενος τοῦτο τὸ σῶμα ἐφόνευσεν: οἱ δὲ ἐφεξῆς πρὸς ἃς ἀθεμιτουργίας ἐξώκειλαν, δῆλον. οὐδὲ τῶν κακῶν ἄρα δεσμὸς τὸ σῶμα, οὐδὲ ὅλως ἄρα δεσμός· οὐδὲ ὕστερον αὐτὸ ἠμφιάσατο μετὰ τὴν παράβασιν ἡ ψυχή. Ὅτι ἄνθρωπός φησι λέγεται κατὰ φύσιν ἀληθέστατα οὔτε ψυχὴ χωρὶς σώματος, οὔτε αὖ πάλιν σῶμα χωρὶς ψυχῆς: ἀλλὰ τὸ ἐκ συστάσεως ψυχῆς καὶ σώματος εἰς μίαν τὴν τοῦ καλοῦ μορφὴν συντεθέν. * ὁ δὲ Ὠριγένης τὴν ψυχὴν μόνην ἔλεγεν ἄνθρωπον, ὡς ὁ Πλάτων. Ὅτι διαφορὰν ἀνθρώπου, καὶ τῶν ἄλλων ζώων φησί· καὶ τοῖς * μὲν διάφορα σχήματα φύσεως δίδοται καὶ μορφαί, ὁπόσας ἡ στερέμνιος καὶ ὁρατὴ φύσις καλοῦντος ἐγέννησε θεοῦ: τῷ δὲ τὸ θεοειδὲς καὶ θεοείκελον καὶ πάντα πρὸς ἐκείνην * ἀπεικαζόμενον τὴν πρωτότυπον τοῦ πατρὸς καὶ μονογενοῦς εἰκόνα. καὶ πῶς τοῦτο, λέγει ὁ ἅγιος, ἐπισκεπτέον. Ὅτι φησὶ Φειδίαν τὸν ἀγαλματοποιὸν τὸ πισαῖον εἴδωλον ποιήσαντα * ἐξ ἐλέφαντος, προστάξαι ἔλαιον ἐμπροσθεν τοῦ ἀγάλματος ἐκχέειν, ὥστε ἀθάνατον εἰς δύναμιν αὐτὸ φυλάσσεσθαι. Ὅτι φησὶν ὁ διάβολός ἐστι πνεῦμα περὶ τὴν ὕλην γενόμενον ὑπὸ τοῦ θεοῦ, καθάπερ καὶ Ἀθηναγόρᾳ * ἐλέχθη· ὥσπερ δὴ καὶ οἱ λοιποὶ γεγόνασιν ὑπ' αὐτοῦ ἄγγελοι· καὶ τὴν ἐπὶ τῇ ὕλῃ καὶ τοῖς ὕλης εἴδεσι πεπιστευμένον διοίκησιν. τοῦτο γὰρ ἡ τῶν ἀγγέλων σύστασις τῷ θεῷ ἐπὶ προνοίᾳ γεγονέναι τοῖς ὑπ' αὐτοῦ διακεκοσμημένοις: ἵνα τὴν μὲν παντελικὴν καὶ γενικὴν ὁ θεὸς ἔχων τῶν ὅλων πρόνοιαν, ᾗ τὸ κῦρος καὶ τὸ κράτος ἁπάντων αὐτὸς ἀνηρτημένος, ἀλλ' οἱ μὲν λοιποί, ἐφ' ὧν αὐτὸς ἐποίησε καὶ διετάξατο ὁ θεός, ἔμειναν: αὐτὸς δὲ ἐνύβρισε, καὶ πονηρὸς περὶ τὴν τῶν πεπιστευμένων ἐγένετο διοίκησιν, φθόνον ἐγκισσήσας καθ' ἡμῶν· ὥσπερ καὶ οἱ μετὰ ταῦτα σαρκῶν ἐρασθέντες, καὶ ταῖς

* al. ἀσωμάτους.
* ἰατρός.
* al. ὁ δὲ Ὠριγ.
* al. μέν.
* al. ἀπεικονισμένον.
* ἐξ ἐλέφαντος.
* al. ἐλέχθη.

METHOD.

καὶ ταῖς τῶν ἀνθρώπων εἰς φιλοτησίαν ὁμιλήσαντες θυγατράσιν. αὐθαίρετον γὰρ καὶ αὐτοῖς ἔχειν πρὸς ἑκάτερα διετάξατο βούλησιν ὁ θεὸς, οἷα καὶ ἐπὶ τῶν ἀνθρώπων. καὶ πῶς τοῦτο ληπτέον; Ὅτι δερματίνους χιτῶνας τὸν θάνατόν φησι. λέγει γὰρ περὶ τοῦ Ἀδὰμ, ὃν ὁ θεὸς ὁ παντοκράτωρ ἀθάνατον, κακὸν ἐξ ἐπιβουλῆς ἰδὼν γεγενημένον, καθάπερ καὶ ὁ πλανήσας αὐτὸν διάβολος ἦν, τοὺς δερματίνους χιτῶνας διὰ τοῦτο κατεσκεύασεν, οἱονεὶ νεκρότητι περιβαλὼν αὐτὸν, ὅπως διὰ τῆς λύσεως τοῦ σώματος πᾶν τὸ ἐν αὐτῷ *γεννηθὲν κακὸν ἀποθάνῃ. Ὅτι δύο ἀποκαλύψεις φησὶ γεγονέναι τῷ ἁγίῳ Παύλῳ· λέγει γὰρ, ἀλλ' οὐδὲ ὁ ἀπόστολος ὑποτίθεται εἶναι τὸν παράδεισον ἐν τῷ τρίτῳ οὐρανῷ, τοῖς λεπτῶν ἀκροατὰς λόγων ἐπισταμένοις. οἶδα γὰρ τὸν τοιοῦτον ἁρπαγέντα ἕως τρίτου οὐρανοῦ, λέγων· καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον, εἴτε ἐν σώματι, εἴτε χωρὶς τοῦ σώματος, ὁ θεὸς οἶδεν, ὅτι ἡρπάγη εἰς τὸν παράδεισον: δύο ἀποκαλύψεις μεγάλας ἑωρακέναι μηνύει, δὶς ἀναληφθεὶς ἐναργῶς: ἅπαξ μὲν ἕως τρίτου οὐρανοῦ, [ἅπαξ δὲ εἰς τὸν παράδεισον. τὸ γὰρ οἶδα ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ,] ἰδίως ἀποκάλυψιν *αὐτῷ κατὰ τὸν τρίτον οὐρανὸν πεφηνέναι συνίστησι. τὸ δὲ καὶ οἶδα πάλιν ἐπιφερόμενον τὸν τοιοῦτον ἄνθρωπον εἴτε ἐν σώματι, εἴτε ἐκτὸς σώματος, ὁ θεὸς οἶδεν, ὅτι ἡρπάγη εἰς τὸν παράδεισον· ἑτέραν αὖθις αὐτῷ πεφανερῶσθαι κατὰ τὸν παράδεισον ἀποκάλυψιν δείκνυσι. ταῦτα δὲ λέγει, ἐπεὶ οἱ δὲ ἐναντίας τὸν παράδεισον νοητὸν ἔθεντο ἐκ τοῦ ἀποστολικοῦ ῥητοῦ, ὡς ὄντα ὑπὲρ τὸν οὐρανόν· ἵνα τὸ ἀσωμάτως γενέσθαι τὴν ἐν τῷ παραδείσῳ διαγωγὴν συνάξουσιν. Ὅτι φησὶ τὸ μὲν πρᾶξαι ἢ μὴ πρᾶξαι τὰ κακὰ, ἐφ' ἡμῖν: ἐπεὶ οὐκ ἂν δίκας ἐδίδομεν τῶν *κακῶς δρωμένων, ἢ ἀμοιβὰς ἐλαμβάνομεν τῶν καλῶς. τὸ δὲ ἐνθυμηθῆναι τὰ κακὰ, ἢ μὴ οὐκ ἐφ' ἡμῖν. διὰ τοῦτο καὶ τὸν θεῖον Παῦλον, φησὶ, λέγειν· οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω: ἀλλ' ὃ οὐ θέλω, τοῦτο ποιῶ· τουτέστιν, οὐχ ὃ θέλω ἐννοεῖν, τοῦτο ἐννοῶ: ἀλλ' ὃ μὴ θέλω. ἐκριζωθῆναι δέ φησι καὶ τὸ τὰ κακὰ ἐνθυμεῖσθαι, διὰ τῆς τοῦ φυσικοῦ θανάτου παρουσίας: ἐπεὶ καὶ διὰ τοῦτο θάνατος ἐδόθη παρὰ θεοῦ τῷ ἐξημαρτηκότι, ἵνα μὴ ἀθάνατον μένῃ τὸ κακόν. ἀλλὰ πῶς τοῦτο εἴρηται, σημειωτέον, ὅτι καὶ ἄλλοις ἡμῶν πατράσιν εἴρηται, οἵπερ ὁ θάνατος τοῖς τοῦτον μετερχομένοις κατὰ τὸν καιρὸν ἐκεῖνον οὔτε προσθήκη, οὔτε *ὑφαίρεσις ἁμαρτημάτων γίνεται.

* al. ἀποθάνῃ.
* ἐντελεῖ M. M.
* λέγοντα.
* al. κακῶς δρωμένων.
* ἄφεσις.

ΤΟΥ ΑΥΤΟΥ ΕΚ ΤΟΥ ΑΥΤΟΥ λόγου ἀποστολικῶν ῥητῶν ἑρμηνεία κατὰ σύνοψιν.

Expositio dictorum quorundam Apostolicor. ex eodem S. Methodij libro.

ΑΝΕΓΝΩΣΘΗ τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου, ἀποστολικῶν ῥητῶν ἑρμηνεία κατὰ σύνοψιν. ἴδωμεν δὲ τί ἦν ὅπερ πρῶτον εἰς τὸν ἀπόστολον προηχθῆμεν εἰπεῖν. τὸ γὰρ, ἐγὼ δὲ ἔζων, λεχθὲν αὐτῷ, χωρὶς νόμου, ποτὲ ἄνω τὴν ἐν τῷ παραδείσῳ, καθάπερ ἐξ ἀρχῆς ὑπεθέμεθα, πρὸ τῆς ἐντολῆς, οὐκ ἐκτὸς σώματος, ἀλλὰ μετὰ σώματος ἡμῶν, ἐν τοῖς πρωτοπλάστοις διαγωγὴν παρεγγυᾷ· ἐκτὸς δὲ ἐπιθυμίας διήγομεν, οὐ γινώσκοντες ὅλως ἐπιθυμίας προσβολάς.

cum filiabus hominum per amorem sunt congressi. Nam & ipsis Deus, vti & hominibus, liberum dedit [ad bonum eligendum, aut malum] arbitrium.

Et per pelliceas tunicas mortem intelligit. Narrat enim de Adam: Quem DEVS omnipotens cum immortalem fecisset, sciens eum ex insidiis [diaboli] malum factum, vti & ille erat qui eum deceperat, diabolus, propterea illi pelliceas vestes concinnauit, quasi illum induens mortalitate, vt per corporis solutionem omne quod in eo malum erat, moreretur.

Respondendum, hos resurrexisse vt iterum morerentur: Nos autem de iis pronunciamus, qui post resurrectionem nunquam amplius sunt morituri. Quod si de Eliæ anima dubius dixeris, quasi scripturis affirmantibus illum in carne assumptum esse, nos doceamus illum Apostolis absque carne apparuisse? Respondendum, quod etsi diceremus illum Apostolis in carne apparuisse, illud tamen pro nobis magis faceret. Ostenderetur enim propterea quoque corpus nostrum immortalitatis esse capax, quemadmodum ostensum est in Enoch translato. Si enim incorruptionis capax non esset, haud potuisset tanto tempore sine labe corruptionis permanere. Ergo cum corpore apparuit, erat ille quidem moriturus, sed nondum adhuc surrexerat. Et hæc vt demus Origeni, qui formam secundum eadem lineamenta post mortem à corpore seiunctam, animæ reddi dicit, quod nulla prorsus ratione fieri potest, eo quod forma carnis prius in alterationibus corrumpatur, quemadmodum & figura fusæ statuæ ante totius operis solutionem, qualitas enim à materia secundum hypostasin separatur quidem à fusa statua, forma in ære deleta, sed quæ non amplius secundum substantiam subsistat. Quia vero forma à carne in morte recedere dicitur, age quomodo recedat videamus. Separari aliquid ab aliquo dicitur aut facto & subsistentia, aut cogitatione; aut facto quidem seu operatione, sed non hypostasi: Vt si quis triticum & hordeum mixta inter se secernat, quatenus enim secundum motum secernitur, operatio dicitur. quatenus verò secreta per se subsistunt, hypostasi diuisa dicuntur. Cogitatione verò seu ratione, quando materiam à qualitatibus distinguimus, & qualitates à materia. Operatione tantum & non hypostasi, quum separatum aliquid ab aliquo non amplius fuerit, substantiæ hypostasin non habens. Intelligat autem quispiam hoc etiam in rebus mechanicis, quomodo se habeat, si statuam videat, aut equum ex ære fusum. Hæc enim contemplatus videbit naturalem formam in his mutari, & in aliam figuram mutata transformari, à qua prior forma naturalis deletur. Etenim si quis signa in hominis aut equi figuram effigiata colliquefaciat, figuræ formam videbit extinctam, materiam manere. Itaque absurdum est affirmare formam quidem nequaquam corruptam resurgere, corpus autem, in quo forma descripta est corrumpi. Atqui sanè inquit: in spirituale transferetur corpus. Ergo fateri necesse est eandem propriè formam primam non resurgere, eo quod simul mutata & corporea sit cum corpore. Etsi enim in spirituale corpus translata sit: ipsa tamen eadem non erit primum propriè subiectum, [quod ante fuit] sed quædam illius in subtili corpore transformata similitudo. Si autem non eadem forma, neque idem corpus resurgit, sed aliud pro alio, simile enim alterum simile sibi est; Illud ipsum, ad cuius exemplum factum est, fieri non potest.

Formam ait esse id, quod in figura formæ vniuscuiusque, membrorum identitatem exhibet.

λεκτέον, ἀλλ' οὗτοι εἰς τὸ καὶ αὖθις ἀποθανεῖν ἀνέστησαν· ἡμεῖς δὲ περὶ τῶν μηκέτι μετὰ τὴν ἔγερσιν διοριζόμεθα, τεθνηξομένων. ἐὰν δὲ καὶ περὶ τῆς ψυχῆς διαπορήσας φράσῃ τοῦ Ἠλιοῦ, ὡς τῶν μὲν γραφῶν ἀνειλῆφθαι αὐτὸν λεγουσῶν ἐν σαρκὶ, ἡμῶν δὲ ἀσύμπλοκον σαρκὸς τοῖς ἀποστόλοις ὦφθαι φασκόντων: λεκτέον, ὅτι καὶ μὴν μᾶλλον τὸ λέγειν αὐτὸν ὦφθαι τοῖς ἀποστόλοις ἐν σαρκὶ, πρὸς ἡμῶν ἐστί. δείκνυται γὰρ καὶ διὰ τοῦτο ἀφθαρσίας ἡμῶν ὑπάρχον τὸ σῶμα δεκτικὸν, καθάπερ ἐδείχθη καὶ ἐπὶ τοῦ Ἐνὼχ μετατεθειμένου. εἰ μὴ γὰρ ἀφθαρσίας ἠδύνατο δέξασθαι, οὐκ ἂν οὐδὲ διέμεινεν ἐν ἀπαθείᾳ τοσούτῳ χρόνῳ. εἰ τοίνυν ὤφθη μετὰ τοῦ σώματος, καὶ ἦν τελευτήσας μὲν, ἀναστὰς δὲ ἤδη ἐκ νεκρῶν οὐδέπω. καὶ ταῦτα ἵνα δὴ συγχωρήσωμεν τῷ Ὠριγένει, καθ' ἑαυτὸ τὸ εἶδος λέγοντι μετὰ τὴν τελευτὴν ἀποζευγνύμενον ἀπὸ τοῦ σώματος τῇ ψυχῇ δίδοσθαι, ὅπερ ἐστὶν ἀπάντων ἀδύνατον, τῷ προαπόλλυσθαι τὸ εἶδος τῆς σαρκὸς ἐν τῇ ἀλλοιώσει, καθάπερ καὶ τὸ σχῆμα τοῦ συγχωνευομένου ἀνδριάντος πρὸ τῆς διαλύσεως τοῦ ὅλου, ὅτι μὴ δύναται χωρίζεσθαι καθ' ὑπόστασιν ἀπὸ τῆς ὕλης ἡ ποιότης. χωρίζεται μὲν γὰρ [ἀπὸ] τοῦ ἀνδριάντος χωνευθέντος ἡ περὶ τῷ χαλκῷ μορφὴ ἀφανιζομένη, οὐ μὴν ὑφεστῶσα ἔτι κατ' οὐσίαν. ἐπεὶ δὲ λέγεται ἐν τῷ θανάτῳ τὸ εἶδος χωρίζεσθαι ἀπὸ τῆς σαρκός: φέρε τὸ χωριζόμενον ποσαχῶς λέγεται χωρίζεσθαι, ἐπισκεψώμεθα. λέγεται τοίνυν χωρίζεσθαί τι ἀπό τινος ἢ ἐνεργείᾳ καὶ ὑποστάσει, ἢ ἐπινοίᾳ: ἢ ἐνεργείᾳ μὲν, οὐ μὴν καὶ ὑποστάσει. ὡς εἴ πυρούς τις καὶ κριθὰς μεμιγμένα χωρίσειεν ἀπ' ἀλλήλων· ᾗ μὲν γὰρ κατὰ κίνησιν χωρίζεται, ἐνέργεια λέγεται· ᾗ δὲ χωρισθέντα ὑφέστηκεν, ὑποστάσει λέγεται κεχωρίσθαι. ἐπινοίᾳ δὲ, ὅταν τὴν ὕλην ἀπὸ τῶν ποιοτήτων χωρίζωμεν, καὶ τὰς ποιότητας ἀπὸ τῆς ὕλης. ἐνεργείᾳ δὲ, οὐ μὴν καὶ ὑποστάσει, ὅταν χωρισθέν τι ἀπό τινος μηκέτι ὑπάρχοι, ὑπόστασιν οὐσίας οὐκ ἔχον. γνοίη δ' ἄν τις καὶ ἐν τοῖς χειροτεχνήμασιν ὡς ἔχει ἀνδριάντα ἰδὼν, ἢ ἵππον χαλκοῦν. ταῦτα γὰρ λογιζόμενος, ὄψεται τὴν ἔμφυτον μορφὴν διαλλάττοντα: εἰς δὲ ἑτέραν ὄψιν *μεθιστάμενα ὑφ' ἧς τὸ ξυγγενόμενον εἶδος ἀφανίζεται. εἰ γάρ τις τὰ ἔργα τὰ σχηματιζόμενα εἰς εἶδος ἀνθρώπου ἢ ἵππου συντήκοι, εὑρήσει τὸ μὲν τοῦ σχήματος εἶδος ἀφανιζόμενον, αὐτὴν δὲ τὴν ὕλην μένουσαν. ὥστε ἀσύστατον τὸ λέγειν, τὸ μὲν εἶδος ἀνίστασθαι ἠμαυρωμένον μηδέν. τὸ δὲ σῶμα, ἐν ᾧ ἦν τὸ εἶδος ἐντετυπωμένον, διαφθείρεσθαι. ἀλλὰ ναί φησιν, ἐν πνευματικῷ γὰρ μετατεθήσεται σώματι. οὐκοῦν ἀνάγκη τὸ μὲν εἶδος ἰδίως ὁμολογεῖν αὐτὸ τὸ πρότερον μὴ ἀνίστασθαι, τῷ συναλλοιοῦσθαι αὐτὸ συμφθινον τῇ σαρκί. κἂν γὰρ ἐν πνευματικῷ μεταπλασθῇ σώματι, αὐτὸ μὲν ἰδίως τὸ πρότερον ὑποκείμενον ἐκεῖνο οὐκ ἔσται, ὁμοιότης δέ τις ἐκείνου καὶ λεπτομερεῖ μεταπεπλασμένη σώματι. εἰ δὲ μήτε τὸ εἶδος τὸ αὐτὸ, μήτε τὸ σῶμα ἀνίσταται, ἀλλ' ἕτερον ἀντὶ τοῦ προτέρου· τὸ γὰρ ὅμοιον ἕτερον τοῦ ἑαυτοῦ ὁμοίου ὂν * αὐτὸ ἐκεῖνο τὸ πρότερον, πρὸς ὃ ἐγένετο, εἶναι οὐ δύναται.

Ὅτι εἶδός φησιν εἶναι τὸ τὴν ταυτότητα τῶν μελῶν ἐν τῷ χαρακτῆρι τῆς μορφῆς ἑκάστου ἐμφαῖνον.

* al. μεθιστάμενα ἐφ' ἧς,

* al. αὐτῷ.

Ὅτι

Ὅτι τὸ ῥηθὲν τοῦ προφήτου Ἰεζεκιὴλ περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν ῥητὸν εἰρημένον τοῦ Ὠριγένους ἀλληγορήσαντος, καὶ εἰς τὴν τῶν εἰς Βαβυλῶνα αἰχμαλωτισθέντων Ἰσραηλιτῶν ἐπάνοδον ἐκβιαζομένου εἰρῆσθαι· ὁ διελέγχων μετὰ πολλὰ ὁ ἅγιος, καὶ τοῦτό φησιν· οὐδὲ γὰρ οὐδὲ αὐτοὶ πρὸς ἐλευθερίαν ἀσφαλῆ καθαρὰν, οὐδὲ τῶν ἐχθρῶν κατακρατήσαντες ἐξουσιαστικώτερον κατῴκισαν τὴν Ἱερουσαλήμ. εἴργοντο γοῦν *ὑπὸ τῶν ἀλλοεθνῶν πολλάκις οἰκοδομῆσαι θελήσαντες μᾶλλον· ὅθεν καὶ ἐν μʹ αὐτὸν καὶ ἓξ ἔτεσι μόλις ἠδυνήθησαν δείμασθαι, τοῦ Σολομῶντος ἐν ἑπτὰ τοῖς χρόνοις ἐκ θεμελίων αὐτὸν συμπληρώσαντος. καὶ τί χρὴ λέγειν; ἀπὸ γὰρ δὴ Ναβουχοδονόσορ, καὶ τῶν μετ' αὐτὸν Βαβυλῶνος βασιλευσάντων, ἄχρι τῆς Περσῶν ἐπὶ τοὺς Ἀσσυρίους καθόδου, τῆς τε Ἀλεξάνδρου ἡγεμονίας, καὶ τοῦ Ῥωμαίοις τοῦ πρὸς τοὺς Ἰουδαίους συρραγέντος πολέμου, ἑξάκις κατεστράφησαν ὑπὸ τῶν πολεμίων τὰ Ἱεροσόλυμα. καὶ τοῦτο *Ἰώσηππος ἱστορεῖ λέγων, ἔτει δευτέρῳ τῆς Οὐεσπασιανοῦ ἡγεμονίας, ἁλοῦσα δὲ καὶ πρότερον πεντάκις, τοῦτο δεύτερον ἠρημώθη. Ἀσωχαῖος μὲν γὰρ, ὁ τῶν Αἰγυπτίων βασιλεύς, καὶ μετ' αὐτὸν Ἀντίοχος, ἔπειτα Πομπήιος, καὶ ἐπὶ τούτοις σὺν Ἡρώδῃ Σόσσιος ἑλόντες ἐνέπρησαν τὴν πόλιν. πρὸ δὲ τούτων, ὁ τῶν Βαβυλωνίων βασιλεὺς κρατήσας ἠρήμωσεν αὐτήν.

Ὅτι Ὠριγένης τάδε φησί· περὶ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου ἀπορεῖσθαι δύναται· τῶν μὲν *ἁπλούστερον οἰομένων ταῦτα λελέχθαι, ὡς ἀμφοτέρων μετὰ τῶν σωμάτων λαμβανόντων τὰ ἄξια τῶν τῷ βίῳ πεπραγμένων, τῶν δὲ *ἀκριβέστερον: ἐπεὶ μετὰ τὴν ἀνάστασιν οὐδεὶς ἐν βίῳ καταλείπεται, οὐκ ἐν τῇ ἀναστάσει οἰομένων ταῦτα γεγονέναι. λέγει γὰρ ὁ πλούσιος, ὅτι πέντε ἀδελφοὺς ἔχω, καὶ ἵνα μὴ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου, πέμψον Λάζαρον ἀπαγγελοῦντα αὐτοῖς τὰ ἐνταῦθα. καὶ διὰ τούτων ζητοῦμεν τὴν γλῶσσαν, καὶ τὸν δάκτυλον, καὶ τοὺς κόλπους Ἀβραὰμ, καὶ τὴν *ἀνάκλισιν, καὶ τάχα τὸ τῆς ψυχῆς ἅμα τῇ ἀπαλλαγῇ σχῆμα, ὁμοιοειδὲς ὂν τῷ παχεῖ καὶ γεηρῷ σώματι, δύναται οὕτως λαμβάνεσθαι. εἴ ποτε γοῦν ἱστόρηταί τις τῶν κεκοιμημένων φαινόμενος, *ὁμοίως ἑωρᾶσθαι τῷ ὅτε τὴν σάρκα εἶχε σχήματι. εἶτα, ἀλλὰ καὶ ὁ Σαμουὴλ φαινόμενος, ὡς δῆλόν ἐστιν ὁρατὸς ὢν, παρίστησιν ὅτι σῶμα περίκειται· μάλιστα ἐὰν ἀναγκαζώμεθα ὑπὸ τῶν ἀποδείξεων τὴν οὐσίαν τῆς ψυχῆς ἀσώματον εἶναι, καὶ ταύτην ἀποφαίνεσθαι. ἀλλὰ καὶ ὁ κολαζόμενος πλούσιος, καὶ ὁ ἐν κόλποις Ἀβραὰμ πένης ἀναπαυόμενος, πρὸ τῆς παρουσίας τοῦ σωτῆρος καὶ πρὸ τῆς συντελείας τοῦ αἰῶνος· καὶ διὰ τοῦτο *πρὸ τῆς ἀναστάσεως λεγόμενοι, ὁ μὲν ἐν ᾅδου κολάζεσθαι, ὁ δὲ ἐν κόλποις Ἀβραὰμ ἀναπαύεσθαι, διδάσκουσιν ὅτι καὶ νῦν τῇ ἀπαλλαγῇ σώματι χρῆται ἡ ψυχή. Πρὸς ταῦτα ὁ ἅγιος τάδε φησί, σχῆμα ἄλλο ὁμοειδὲς τῷ αἰσθητῷ τούτῳ μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν ἔχειν ἐκτιθέμενος τὴν ψυχὴν ἀσώματον ὑπό τι πλατωνικῶς ἀποφαίνεται αὐτήν. τὸ γὰρ καὶ μετὰ τὴν ἀπὸ τοῦ κόσμου ἀποφοίτησιν ὀχήματος αὐτὴν δεῖσθαι καὶ περιβολῆς λέγειν, ὡς οὐ δυναμένην καταχθῆναι γυμνὴν, πῶς οὐκ αὖ καθ' ἑαυτὴν *ἀσώματον εἶναι

* al. ἀπὸ
* al. Ἰώσηπος
* al. ἁπλούστερον
* al. ἀκριβέστερον
* al. ἀνάκλισιν
* al. ὅμοιος
* al. διὰ
* ἀσώματος

METHOD. Ezech. 37.

Verbum quod dixit Propheta Ezechiel de mortuorum resurrectione Origenes Allegoricè interpretatus est,& ad Israëlitarum ex captiuitate Babylonica reditum quasi per vim detorsit, quem post multa S. Methodius coarguens hoc dicit: Neque Iudæi plenam sincerámque libertatem assecuti sunt, neque hostibus deuictis maiori cum potestate Hierosolymam incoluerunt. Immo sæpe cum instaurare vrbem conarentur, ab aliis populis sunt impediti. Vnde & intra quadraginta sex annos vix templum absoluerunt, cum illud Solomon septem annis ab ipsis fundamentis excitatum perfecisset. Et quid opus est verbis, à Nabuchodonosore, & successoribus eius in Babylone vsque ad Persarum in Assyrios expeditionem, & Alexandri imperium, & bellum iam cum Romanis incrudescens sexies ab hostibus Hierosolyma euersa sunt. Et hoc Iosepho teste qui dicit: Anno altero Vespasiani imperatoris, capta autem & ante iam quinquies fuerat, iterum excisa est Hierosolyma. Asochæus enim Ægypti Rex, & huius successor Antiochus: deinde Pompeius, deinde post hos Sosius cum Herode captam vrbem incenderunt. Ante hos verò Babylonis Rex expugnatam vastauit.

Luc. 16.

Origenes præterea hæc dicit: de Lazaro & diuite dubitari potest: Aliis quidem simplicius dictum putantibus, quasi ambo in corporibus suis assumptis digna factis in vita præmia receperint; aliis subtilius: quia cum post resurrectionem nemo in vita relinquatur, non existimant hæc in resurrectione contigisse. Dicit enim diues: habeo quinque fratres, ne & ipsi veniant in locum hunc tormentorũ, mitte Lazarum, qui nunciet ipsis, quæ hic fiunt. Quærunt ergo per hæc linguam & digitum & sinus Abrahæ, & compellationis vocem, & fortasse figuram illam seu formam statim cum animæ excessu, similem corpori crasso & terreno. Res ita potest intelligi: Si quando quis ex mortuis narratur apparuisse, videtur in simili formâ, quam in carne habuit. Deinde Samuel apparens, vt manifestum est, spectabilis probat se corpore indutum fuisse. Si maximè demonstrationibus vrgeamur fateri, animæ naturam incorpoream esse, hanc videri [demonstrationem.] Sed & diues punitus, & pauper in sinu Abraham requiescens ante Saluatoris aduentum, & ante consummationem sæculi, & propterea ante resurrectionem, dum dicuntur hic quidem apud inferos puniri, ille verò in sinu Abrahæ requiescere, docent, etiam nunc post excessum è vita animam corpore vti. Ad hæc vir Sanctus respondet, figuram aliam visu similem sensibili huic; animam post emigrationem ex hac vita habere; animam incorpoream professus ad Platonicam ferè rationem definit. Dum enim dicit illam post excessum ex hac vita vehiculo egere & veste, eo quod nuda comprehendi tenerive non possit, Quomodo ergo per se non sit incorporea

METHOD.

Cum autem incorporea sit, quomodo non expers erit [per se] passionum, seu dolorum. Comitatur enim ipsam, si incorporea sit, vti nec pati, nec teneri possit. Ergo si concupiscentiâ irrationali nulla ratione fuit tacta, neque corporis dolentis patientisque sensu vllo fuit tacta, (nam incorporeum quomodo corporis sensu, aut corpus incorporei affectu tangatur;) Sequitur conuenienter prædictis vt incorporea esse videatur. Si autem cum corpore patiatur, quemadmodum ex iis qui apparuerunt comprobatur, incorporea esse non potest. Ergo solus Deus natura ingenita, nullius indigens, & indefessa nec fatigabilis prædicatur, qui cum incorporeus sit propterea est inuisibilis. Deum enim nemo vidit. Animæ verò à Patre vniuersorum corpora rationalia conditæ, in membra ratione percipienda exornatæ hanc figuram acceperunt: vnde apud inferos vt in Lazaro & diuite [est videre] linguam, & digitum & alia membra habere dicuntur, non quod alienum corpus cum illis existat informe, sed quod ipsæ animæ, ab omni tegumento nudatæ per se natura sua secundum substantiam tales sint. Addit in fine vir Sanctus, illud dictum: *In hoc Christus mortuus est vt viuorum & mortuorum dominetur.* de animabus & corporibus accipiendum esse: viuis scilicet animabus, vtpote immortalibus, mortuis verò corporibus. Quod si corpus humanum omnium animalium aliorum corporibus est nobilius, quia ipsius Dei manibus efformatum & rationalis animæ præstantius vehiculum: quomodo hoc tam breuis est æui, cum multa animalium irrationalium corpora sint hoc multo longioris vitæ? Manifestum ergo illius substantiam post resurrectionem longæuam [siue æternam] fore.

Error Methodij animas esse corporeas.

Rom. 14. 9.

Si legas ὑ pro τῇ, vt videtur legendum propter sequens ὑ δοξαν, alius sensus est Christum dicitur mortuorum siue corporum Dominus aut quia corpus eorum est aut quia manifestum est illius.

ἀσώματος δὲ οὖσα, πῶς οὐκ ἔσται καὶ ἀνεπίδεκτος παθῶν; ἀκόλουθον γὰρ τῷ ἀσώματον αὐτὴν ὑπάρχειν, καὶ τὸ ἀπαθῆ εἶναι καὶ ἀπερίσπαστον. εἰ μὲν οὖν ὑπὸ ἀλόγου οὐ παρειλκέτο ὅλως ἐπιθυμίας, οὐδὲ συμμετεβάλλετο ἀλγοῦντι καὶ πάσχοντι τῷ σώματι· ἀσώματον γὰρ σώματι ἢ σῶμα ἀσωμάτῳ οὐκ ἄν ποτε συμπαθοῖ, ἵνα αὖ ἀσώματον δόξῃ αὐτῶν* ἀκολούθως τοῖς εἰρημένοις. εἰ δὲ συμπάσχοι τῷ σώματι, καθάπερ καὶ διὰ τῆς ἐπιμαρτυρήσεως τῶν φαινομένων ἀποδείκνυται· ἀσώματος εἶναι οὐ δύναται. ἤγουν ἀγένητος καὶ ἀνενδεὴς καὶ ἀκάματος φύσις ὁ Θεὸς μόνος ᾄδεται, ἀσώματος ὤν, διὸ καὶ ἀόρατος· Θεὸν γὰρ οὐδεὶς ἑώρακεν. αἱ δὲ ψυχαὶ ὑπὸ τοῦ δημιουργοῦ καὶ πατρὸς τῶν ὅλων, σώματα νοερὰ ὑπάρχουσαι, εἰς λόγῳ θεωρητὰ μέλη διακεκόσμηνται, ταύτην λαβοῦσαι τὴν διατύπωσιν. ὅθεν καὶ ἐν τῷ ᾅδῃ, καθάπερ καὶ ἐπὶ τοῦ Λαζάρου, καὶ τοῦ πλουσίου, καὶ γλῶσσαν καὶ δάκτυλον καὶ τὰ ἄλλα μέλη ἱστοροῦνται ἔχειν· οὐχ ὡς σώματός τινος ἑτέρου συνυπάρχοντος αὐταῖς ἀειδοῦς, ἀλλ' ὅτι [καὶ] αὗται οὖσαι, αἱ ψυχαί, παντὸς ἀπογυμνωθεῖσαι περιβλήματος, τοιαῦται κατὰ τὴν οὐσίαν ὑπάρχουσιν. Ὅτι φησὶν ὁ ἅγιος ἐν τέλει, ὥστε τὸ διὰ τοῦτο Χριστὸς ἀπέθανε λεγόμενον, ἵνα ζώντων καὶ νεκρῶν κυριεύσῃ, ἐπὶ τῶν ψυχῶν καὶ ἐπὶ τῶν σωμάτων παραληπτέον· ζώντων μὲν τῶν ψυχῶν, καθὸ ἀθάνατοι, νεκρῶν δὲ τῶν σωμάτων. Ὅτι [εἰ] τιμιώτερον σῶμα ἀνθρώπου τῶν ἄλλων ζώων, ὅτι χερσὶ τοῦ Θεοῦ λέγεται πεπλάσθαι, καὶ ὅτι *τιμιώτερον τῆς λογικῆς ψυχῆς τετύχηκεν *ὄχημα. πῶς τοῦτο μὲν ὀλιγοχρόνιον, ἀλόγων δὲ τινῶν πολλῷ πολυχρονιώτερα; ἢ δῆλον ὡς ἡ τούτου πολυχρόνιος ὕπαρξις μετὰ τὴν ἀνάστασιν ἔσται.

* al. ἀσωμάτων.

* al. τιμιώτ. & ὀχήματι.

CCXXXV.

Ex Lib. S. Methodii de creatis excerpta.

Legi è sancto Methodio Episcopo martyre per compendium excerpta de genitis seu creatis. Illud Christi, *Nolite proiicere Sanctum canibus, neque margaritas vestras ante porcos*: dixit margaritas esse eos qui in Ecclesiâ sanctiora diuinæ religionis mysteria capiunt: porcos vero, qui in omni genere impietatis & voluptatis veluti porci in cœno adhuc volutantur. His, inquit, à Christo dictum est, non esse ∴ cœlestia mysteria proiicienda, eo quod hæc capere non possint, veluti impietatis & fœdisve voluptatibus iam ante occupati. S. Methodius ait, si per margaritas intelligendæ sunt venerandæ sacræque literæ, per porcos autem homines impietati & voluptatibus deditι, quibus Apostolica dicta, ad pietatem & Christi fidem ducentia, non sint ∴ accommodata, sed celata, vide ne dicas vllum Christianorum Apostolicis præconiis ex prioris vitæ impietate conuersum esse. Neque enim vlla ratione diuina Christi mysteria* proiecerint iis, qui propter infidelitatem similes sunt porcis.

Matth. 7. 6.

∴ Forte Origenes quem refutat.

∴ Sacras literas Ϛευὸν hoc loco pro Ecclesia accipiendum puto, quæ commune omnium hospitium, nisi forte locum intelligit vbi catechumeni simul & pagani docebantur religionem Christianã. Ξενὼν aliquã est etiam quod venerdochium vbi peregrini recipiuntur.

∴ Non proponenda.

** παρέβαλλε.*

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΩΝ ΓΕνητῶν ἐκλογὴ κατὰ σύνοψιν.

ΑΝΕΓΝΩΣΘΗ ἐκ τοῦ ἁγίου μάρτυρος καὶ ἐπισκόπου Μεθοδίου τοῦ περὶ τῶν γεννητῶν ἐκλογὴ κατὰ σύνοψιν. Ὅτι τὸ μὴ βάλητε τὸ ἅγιον τοῖς κυσί, μηδὲ τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων· μαργαρίτας μὲν τοῦ ξενῶνος τὰ μυστικώτερα τῆς θεοδότου θρησκείας ἐκλαμβάνοντας μαθήματα· χοίρους δέ, τοὺς ἔτι ἀσεβείᾳ καὶ ἡδοναῖς παντοίαις, δίκην χοίρων, ἐν βορβόρῳ καλινδουμένους, τούτοις γὰρ εἰρῆσθαι παρὰ Χριστοῦ, ἔλεγε, μὴ παραβαλεῖν τὰ θεῖα μαθήματα· διὰ τὸ μὴ δύνασθαι αὐτὰ φέρειν, ἅτε τῇ ἀσεβείᾳ καὶ ταῖς ἀγρίαις ἡδοναῖς προκατειλημμένους. Ὁ μέγας Μεθόδιος φησίν, εἰ μαργαρίτας, τὰ σεμνοπρεπῆ καὶ θεῖα μαθήματα δεῖ κατανοεῖν, χοίρους δὲ τοὺς ἀσεβείᾳ καὶ ἡδοναῖς συζῶντας, οἷς καὶ ἀπαράβλητα καὶ ἀπόκρυφα τὰ πρὸς εὐσέβειαν καὶ τὴν εἰς Χριστὸν πίστιν ἀποστολικὰ διεγείροντα κηρύγματα δεῖ εἶναι. ὅρα ὡς οὐδένα λέγῃς τῶν Χριστιανῶν τοῖς τῶν ἀποστόλων κηρύγμασιν ἐκ ἀσεβείας αὐτῶν τῆς προτέρας *ἐπιστρέψαι. οὐδὲ γὰρ ἂν πάντως παρέλαβον τὰ κατὰ τὸν Χριστὸν μυστήρια τοῖς δι' ἀπιστίαν χοίροις ἐοικόσιν.

σλε'.

E Lib. S. Methodij de creatis excerpta.

* al. ἀποστῆ.

ἡ οὖν

ἢ οὖν πᾶσι τοῖς Ἕλλησι καὶ τοῖς ἄλλοις ἀπίστοις ταῦτα παρελήφθη παρὰ τῶν τοῦ Χριστοῦ μαθητῶν καὶ ἐκηρύχθη, καὶ ἀπὸ τῆς ἀσεβείας μετέβαλεν αὐτοὺς εἰς τὴν εἰς Χριστὸν πίστιν. (ὥσπερ οὖν καὶ πιστεύοντες ὁμολογοῦμεν) καὶ οὐκέτι δύναται νοεῖσθαι τὸ μὴ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, ὡς ἐρρήθη· ἢ τοῦτο ὡς ἐλέχθη νοούμενον, ἀνάγκη ἡμᾶς λέγειν, ὡς οὐδενὶ τῶν ἀπίστων, οὓς χοίροις ἀπεικάζομεν, ἐκ τῶν ἀποστολικῶν διδαγμάτων, μαργαριτῶν δίκην τὰς ψυχὰς καταυγαζόντων, ἡ εἰς πίστιν καὶ ἡ τῆς ἀσεβείας ἐλευθερία γεγένηται. βλάσφημον δὲ τοῦτο. οὐκ ἄρα δεῖ μαργαρίτας μὲν τὰ μυστικώτερα τῶν μαθημάτων ἐκλαμβάνειν ἐνταῦθα· χοίρους δὲ, τοὺς ἀσεβεῖς. οὐδὲ τὸ, μὴ βάλλετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, εἰς τὸ μὴ παραβάλλετε τοῖς ἀσεβέσι καὶ ἀπίστοις τὰ μυστικὰ καὶ τελειοποιὰ τῆς εἰς Χριστὸν πίστεως διδάγματα παραλαμβάνειν· ἀλλὰ μαργαρίτας μὲν τὰς ἀρετὰς ἐκδέχεσθαι χρὴ, αἷς ὥσπερ πολυτίμοις μαργαρίταις ἡ ψυχὴ καθωραΐζεται. μὴ παραβαλεῖν δὲ αὐτὰς τοῖς χοίροις, τουτέστι, μὴ παραβαλεῖν αὐτὰς τὰς ἀρετὰς, οἷον ἁγνείαν, καὶ σωφροσύνην, καὶ δικαιοσύνην καὶ ἀλήθειαν, ταύτας δὴ μὴ παραβαλεῖν ταῖς μαχλώσαις ἡδοναῖς, χοίροις γὰρ ἐοίκασιν αὗται· ἵνα μὴ τὰς ἀρετὰς αὗται καταφαγοῦσαι, χοιρώδη βίον καὶ πολυπαθῆ τὴν ψυχὴν βιοτεύειν παρασκευάσωσιν. Ὅτι ὁ Ὠριγένης, ὃν κένταυρον καλεῖ, ἔλεγε συναΐδιον εἶναι τῷ μόνῳ σοφῷ καὶ ἀπροσδεεῖ θεῷ τὸ πᾶν. ἔφασκε γὰρ, εἰ οὐκ ἔστι δημιουργὸς ἄνευ δημιουργημάτων, ἢ ποιητὴς ἄνευ ποιημάτων, οὐδὲ παντοκράτωρ ἄνευ τῶν κρατουμένων· τὸν γὰρ δημιουργὸν διὰ τὰ δημιουργήματα ἀνάγκη, καὶ τὸν ποιητὴν διὰ τὰ ποιήματα, καὶ τὸν παντοκράτορα διὰ τὰ κρατούμενα λέγεσθαι: ἀνάγκη ἐξ ἀρχῆς αὐτὰ ὑπὸ τοῦ θεοῦ γεγενῆσθαι, καὶ μὴ εἶναι χρόνον, ὅτε οὐκ ἦν ταῦτα. εἰ γὰρ ἦν χρόνος, ὅτε οὐκ ἦν τὰ ποιήματα. ἐπεὶ τῶν ποιημάτων μὴ ὄντων, οὐδὲ ποιητὴς ὤν· ὁρᾷς οἷον ἀσεβὲς ἀκολουθεῖ: ἀλλὰ καὶ ἀλλοιοῦσθαι καὶ μεταβάλλειν τὸν ἄτρεπτον καὶ ἀναλλοίωτον συμβήσεται θεόν. εἰ γὰρ ὕστερον πεποίηκε τὸ πᾶν, δῆλον ὅτι ἀπὸ τοῦ μὴ ποιεῖν εἰς τὸ ποιεῖν μετέβαλε. τοῦτο δὲ ἄτοπον μετὰ τῶν προειρημένων. οὐκ ἄρα δυνατὸν λέγειν, μὴ εἶναι ἄναρχον καὶ συναΐδιον τῷ θεῷ τὸ πᾶν. πρὸς ὅν φησι δι' ἑτέρου προσώπου ὁ ἅγιος ἐρωτῶν, ἆρά γε σοφίας καὶ δόξης, καὶ συλλήβδην πάσης ἀρετῆς ἀρχὴν καὶ πηγὴν οὐσιωδῶς, ἀλλὰ μὴ ἐπικτήτως ἡγῇ τὸν θεόν; ὁ δὲ, ναί. τί δὲ πρὸς τούτοις, οὐχὶ τέλειος αὐτὸς δι' ἑαυτοῦ καὶ ἀπροσδεής; ἀληθῆ. ἀμήχανον γὰρ τὸ ἀπροσδεὲς δι' ἕτερον εἶναί τι ἀπροσδεές, ἀμήχανον. πᾶν γὰρ τὸ δι' ἕτερον πλῆρες ὂν, καὶ ἀτελὲς λεκτέον ἀνάγκη. τὸ γὰρ αὐτὸ δι' ἑαυτὸ ἑαυτοῦ πλήρωμα ὂν, καὶ αὐτὸ ἐν ἑαυτῷ μένον, τέλειον εἶναι, τοῦτο μόνον δοξαστέον; ἀληθέστατα λέγεις. τὸ δὲ μήτε αὐτὸ δι' ἑαυτὸ, μήτε αὐτὸ ἑαυτοῦ πλήρωμα ὂν φαίης ἂν ἀπροσδεές; οὐδαμῶς. οὐκ ἄρα ὁ θεὸς τέλειος, διά τι νομισθήσεται. τὸ γὰρ διά τι τέλειον, οὐκ αὐτὸ καθ' ἑαυτὸ ἀτελὲς ἀνάγκη τυγχάνειν; ἀνάγκη. οὐκοῦν καὶ ὁ θεὸς αὐτὸς δι' ἑαυτὸν τέλειος, ἀλλ' οὐ δι' ἕτερον λογισθήσεται; ὀρθότατα.

Aut ergo omnibus Græcis. & aliis infidelibus hæc mysteria à Christi discipulis sunt proposita & prædicata, illósq; ab impietate ad Christum conuerterunt, (vti & nos credentes confitemur) & illud dictum, Ne proiicite margaritas vestras ante porcos, non potest amplius ita accipi, vti dictum est: aut hoc ita, vt dictum est, accepto seu intellecto, dicendum erit nobis, nulli infidelium quos porcis comparamus, per Apostolica documenta quæ animas instar margaritarum illuminant, fidem in Christum & ab impietate libertatem partam esse. Sed hoc blasphemum est dicere. Ergo margaritæ hoc loco non sunt accipiendæ pro sanctioribus [Ecclesiæ] disciplinis, neque porci pro impiis. Neque illud dictum: nolite proiicere margaritas vestras ante porcos: ita explicandum est: ne proiicite impiis & infidelibus diuina & fidem in Christum perficientia præcepta: sed margaritæ pro virtutibus accipiendæ sunt, quibus veluti preciosis gemmis anima exornatur. Non abiiciendas autem eas porcis, hoc est, non proiiciendas virtutes, castitatem nempe, temperantiam, iustitiam, & veritatem, has inquam non obiiciendas esse impuris voluptatibus, hæ enim porcis comparantur, ne has depascentes, illos vitam porcis similem viuere cogant, & animam omni vitiorum genere compleant. Origenes, quem centaurum .·. appellat, asserebat vniuersum hoc [quod creatum est,] soli, sapienti & nullius indigo Deo coæternum esse, Dicebat enim, sicut non est opifex sine opificio, poëta sine poëmatis, imperator sine subiectis, necesse est enim vt opifex ab opificio, poëta à poëmatis, & imperator à subiectis nominetur, [ita] necesse est creata à principio à Deo facta esse, nec tempus vllum esse, quo hæc non fuerint. Si enim fuit tempus quo non fuerunt opificia, ergo opificiis nullis existentibus, neque opifex est. Vide quæ sequatur [ex dictis] impietas; Quin alterari etiam & mutari sequetur immutabilem & inuariabilē Deum. Si enim non ab æterno omnia creauit, manifestum est, illum à non faciendo ad faciēdum transiisse. Sed hoc vna cum antedictis absurdū est, ergo dici non potest, non esse principij expers & Deo coæternum hoc vniuersum. Huic respondet alia quasi persona per interrogationem [sermocinationis siue Dialogi.] Nonne Deum existimas principium & fontem sapientiæ, gloriæ, & simul omnis virtutis substantialiter & non adscititiè? Sanè inquit, sed quid hoc ad rem? Nonne absolutè per se ipsum perfectus est & nullius indigens? Ita est. Impossibile enim est, vt id quod nullius indiget, sit propter alterum aliquid, [quam etiam] nullius indigens. imᵃ possibile [inquam.] Quicquid enim propter alterum perfectum est, necesse est dicatur imperfectum. Hoc enim solū quod propter seipsum sui ipsius perfectio est & in seipso manet, perfectum esse censendum est? verissimè censes. Quod autem neque ipsum, propter seipsum; neque ipsum suiipsius est perfectio, dices alieni non egentem? Nequaquam. Deus ergo non perfectus propter aliud existimabitur. Quod enim propter aliud perfectū est, nonne est necesse vt id in seipso sit imperfectum? necesse. Nonne ergo Deus ipse propter seipsum & non propter aliud perfectus iudicabitur? rectissimè.

METHOD.
ᵃ Videtur vox redundare.

.·. Methodius Origenem centaurum appellauit. Bened.

METHOD. Nonne aliud est Deus mundi, & aliud mundus Dei? Omnino. Non igitur Deus & creator & omnipotens, perfectus est dicendus propter mundum? Nequaquam, ne propter mundum, præsertim mutabilem, ac non propter se ipsum [potius] dicatur secundum se perfectus, merito conuenienter. Quamobrem diues, nonne propter diuitias diues appellandus est? rectè, & sapiens secundum participationem essentialis sapientiæ, qui non est ipsa sapientia, sapiens tamen dicendus est? sanè. An ergo & Deus, qui non est mundus, propter mundum tamen sic diues, benefactor, & creator nominandus est? nequaquam, apage. Nonne ipse in se ipso & propter seipsum diues ac potens est: videtur. Erátne etiam ante mundi molitionem, omnino nullis indigens, pater nempe & omnipotens, & creator, adeo vt propter seipsum & non propter aliud sit hæc omnia? necessarium est. Si enim propter mundum, & non propter seipsum alius à mundo existens, omnipotens esse intelligeretur, (pace tua Deus, cogor ita loqui) ipse secundum seipsum imperfectus esset, & indigens his, quorum caussâ omnipotens & creator est supernaturalis. Reiiciendus ergo perniciosus error eorum, qui dicunt de Deo, Deum non propter seipsum, sed propter subiectas res & creatas, quæ mutabiles sunt, esse omnipotentem & creatorem.

Etiam ita ratiocinare: Si non ab æterno, inquis, mundus est conditus, & olim non fuit, necesse est Deum impatibilem & inalterabilem, mutari. Etenim necesse est illum prius nihil facientem à non faciendo ad faciendum transire & mutari: Dicebant enim: Requieuit ne Deus à mundo faciendo nec ne? requieuit, alioqui enim nondum esset perfectus. Ita est. Si ergo facere, à non faciendo, Deo alterationem adfert, nonne etiam non facere, à faciendo? ita prorsus. mutatum autem diceres eum hodie operantem, ab eo quod erat cum non operaretur? nequaquam. Neque ergo ideo illum mutari necesse erit, quod faciat mundum, ab eo quod erat, quando non faciebat. Atque [ita] non necessario dicendum erit hoc vniuersum existere cum illo, propter hoc ipsum illi coæternum, ne cogamur dicere illum esse mutatum. Atqui sic mecum disputant. Diceresne genitum, quod generationis principium non habet? Non equidem. Quod enim caret generationis principio, necessario est ingenitum. Si autem genitum est, concedis ab aliqua causa esse genitum: prorsus enim impossibile est sine causa generationem esse? impossibile. Nonne ergo & mundum, & quæcumque sunt in illo? Nonne vel ab aliquo, vel Deo creatore postea factum dicemus cum prius non esset? perspicuum est à Deo. Impossibile enim est, vt quod generationis principio circumscribitur id infinite esse coinfinitum? impossibile. Ergo iterum, centaure, ad principium disputationis reuertamur. Affirmatis ne ea quæ existunt, diuinâ scientiâ facta esse nec ne? Iterum dicent: minimè. Sed ab elementis, vel materia, aut firmamentis, aut quibus hæc verbis appellare vultis, nihil enim interest. His enim absque creatione præexistentibus, temereque oberrantibus, Deus [illa] secernens, omnia fabricatus est, velut præstans pictor ex multis coloribus vnam exprimit ideam seu imaginē,

ἕτερον θεὸς κόσμου, καὶ ἕτερον κόσμος θεοῦ; παντελῶς. οὐκ ἄρα τέλειον φατέον, καὶ δημιουργὸν καὶ παντοκράτορα, διὰ κόσμον τὸν θεόν; οὔ. ὅπως [μὴ] δι' ἑαυτὸν, ἀλλὰ μὴ διὰ κόσμον, καὶ ταῦτα τρεπτὸν, αὐτὸς καθ' ἑαυτὸν τέλειος εὑρίσκοιτο. προσηκόντως. τί δὲ τὸν πλούσιον, διὰ τὸν πλοῦτον λεκτέον πλούσιον; ὀρθῶς. καὶ τὸν σοφὸν κατὰ μετοχὴν τῆς οὐσιώδους σοφίας, οὐκ αὐτὸν σοφίαν ὄντα σοφὸν προσαγορευτέον; ναί. τί δὲ καὶ τὸν θεὸν ἕτερον ὄντα κόσμου, διὰ κόσμον ταύτῃ πλούσιον καὶ εὐεργέτην καὶ δημιουργὸν κλητέον; οὐδαμῶς, ἄπαγε. οὐκοῦν αὐτὸς ἑαυτῷ πλοῦτος, καὶ δι' ἑαυτὸν πλούσιος καὶ δυνατὸς τυγχάνει; ἔοικεν. ἦν ἄρα καὶ πρὸ κόσμου πάντη ἀπροσδεὴς, ὢν καὶ πατὴρ καὶ παντοκράτωρ καὶ δημιουργὸς, ὅπως αὐτὸς δι' ἑαυτὸν, ἀλλὰ μὴ δι' ἕτερον ταῦτα ᾖ; ἀνάγκη. εἰ γὰρ διὰ κόσμον, καὶ οὐχὶ δι' ἑαυτὸν ἕτερος ὢν [καὶ] κόσμου παντοκράτωρ γνωρίζοιτο, (συγγνώμην ὁ θεὸς, ἀναγκάζομαι γὰρ τοῦτο εἰπεῖν:) αὐτὸς καθ' ἑαυτὸν ἀτελὴς [ἂν] ἔσται καὶ προσδεὴς τούτων, δι' ἃ παντοκράτωρ καὶ δημιουργός ἐστιν ὑπερφυῶς. οὐκ ἄρα ἀποδεκτέον ταύτην τὴν ὀλέθριον ἁμαρτίαν περὶ θεοῦ τῶν λεγόντων, παντοκράτορα καὶ δημιουργὸν διὰ τὰ κρατούμενα καὶ δημιουργούμενα τρεπτὰ: ἀλλ' οὐ δι' ἑαυτὸν εἶναι τὸν θεόν. ὅρα δὲ καὶ ὧδε· εἰ ὕστερον ἔφης πεποίηται ὁ κόσμος, μὴ πρότερον ὤν; μεταβάλλειν ἀνάγκη τὸν ἀπαθῆ καὶ ἀναλλοίωτον θεόν. τὸν γὰρ ποιοῦντα πρότερον μηδὲν ὕστερον δὲ ἀπὸ τοῦ μὴ ποιεῖν εἰς τὸ ποιεῖν μεταβάλλειν καὶ ἀλλοιοῦσθαι ἀνάγκη. ἔλεγον γὰρ, πέπαυται δὲ τοῦ ποιεῖν ποτὲ τὸν κόσμον ὁ θεὸς, ἢ οὔ; πέπαυται, οὔπω γὰρ ἦν τετελειωμένος ἄν. ἀληθές. εἰ οὖν τὸ ποιεῖν ἐκ τοῦ μὴ ποιεῖν ἀλλοίωσιν τοῦ θεοῦ καταψηφίζεται, οὐχὶ καὶ τὸ μὴ ποιεῖν ἐκ τοῦ [μὴ] ποιεῖν; ἀνάγκη. ἠλλοιῶσθαι δὲ αὐτὸν φαίης μὴ ποιοῦντα σήμερον παρ' ὃ ἦν ὅτε ἐποίει; οὐδαμῶς. οὐδ' ἄρα ὅτι ποιεῖ τὸν κόσμον, ἠλλοιῶσθαι αὐτὸν ἀνάγκη, παρ' ὃ ἦν ὅτι οὐκ ἐποίει· καὶ οὕτω ἀνάγκη συνυπάρχειν αὐτῷ τὸ πᾶν δεῖ λέγειν, διὰ τὸ μὴ ἀναγκάζεσθαι λέγειν ἠλλοιῶσθαι, ὅτι συναΐδιον δι' αὐτὸ τοῦτο. καί μοι *φάθι καὶ ὧδε· γεννητὸν τὸ μὴ γενέσεως ἔχον ἀρχὴν φαίης ἄν; οὐ δῆτα. εἰ γὰρ μὴ ὑποπίπτει γενέσεως ἀρχῇ, ἐξ ἀνάγκης ἀγέννητόν ἐστιν: εἰ δὲ γέγονεν ὑπὸ αἰτίου τινὸς, δίδως αὐτὸ γεγονέναι· πάντη γὰρ ἀδύνατον χωρὶς αἰτίου γένεσιν ἔχειν; ἀδύνατον. κόσμον δὴ οὖν, καὶ ὅσα ἐν αὐτῷ μὴ ἄλλου τινὸς ἢ θεοῦ δημιουργοῦντος φήσομεν γεγονέναι ὕστερον, *πρότερον οὐκ ὄντα, δῆλον ὅτι θεοῦ. ἀδύνατον γὰρ τὸ γενέσεως ἀρχῇ περιορισθὲν συναπείραντον [γὰρ τὸ γενέσεως] εἶναι τῷ ἀπεράντῳ; ἀδύνατον. πάλιν δὴ οὖν, ὦ κένταυρε, ἐξ ἀρχῆς διαλεγόμεθα· θείᾳ ἐπιστήμῃ τὰ ὄντα φατὲ γεγονέναι, ἢ οὔ; *ὦ βάλη λέξουσιν οὐδαμῶς, ἀλλὰ ἀπὸ τῶν *στοιχείων, ἢ ὕλης, ἢ στερεωμάτων, ἢ ὅπως αὐτοὶ ταῦτα βούλεσθε ὀνομάζειν: οὐδὲν γὰρ διαφέρει. τούτων ἀγεννήτως προϋφεστηκότων καὶ πλημμελῶς φερομένων, ὁ θεὸς διακρίνας *ἐτεχνήσατο τὰ πάντα, ὥσπερ ἀγαθὸς ζωγράφος ἀπὸ πολλῶν χρωμάτων μίαν τεχνησάμενος ἰδέαν ἢ

εἰδὲ

ἕτερον ὄντα κόσμου legi, non κόσμον, vti & infra ἕτερος κόσμου.

ἦ abluatur.

μὴ deleatur.

ὦ βάλη ὦ aperge inquies. In margine πάλιν iterum. ἀγεννήτως proprie sine generatione ἀγενήτως principium initium ... nisi idem valeant.

* al. φάσι.

* al. πρότερον.

* al. πάλιν.

* al. τῶν χρω.

* ἐνεχρήσατο.

METHOD.

οὐδὲ τοῦτο. πάντως γὰρ ἀποφεύξονται ὁμολογῆσαι καθ' ἑαυτῶν, ἵνα μὴ τῆς κατακρίσεως καὶ τῆς μεταμορφώσεως τὴν ὕλην συγχωρήσαντες ἀρχὴν ἐσχηκέναι, ἀναγκασθῶσι τῷ λόγῳ καὶ πάντα τὸν θεὸν ἦρχθαι τοῦ διοικεῖν λέγειν, καὶ κατακοσμεῖν τὴν πρότερον ἄμορφον οὖσαν ὕλην. φέρε γάρ, ἐπειδή, σὺν τῷ θεῷ φάναι, ἐνταῦθα τοῦ λόγου γεγόναμεν. εἴπερ τις ἀνδριάς, ἑστὼς ἐπὶ βάσεως, καλὸς οὗ θαυμάζοντες οἱ θεώμενοι τὴν * εὔρυθμον καλλονήν, διαφερισθεῖσαν πρὸς ἀλλήλους, πῇ μὲν γενητόν, πῇ δὲ καὶ ἀγένητον λέγειν πειρώμενοι. ἐροίμην γὰρ σφᾶς, διὰ ποίαν αἰτίαν ἀγένητον αὐτὸν * φατε, πότερον διὰ τὸν τεχνίτην, ὅπως μηδαμῶς ἀργήσας τῆς δημιουργίας νομίζοιτο, ἢ δι' αὐτόν; εἰ μὲν γὰρ διὰ τὸν τεχνίτην, πῶς ἀγένητος ὢν πρὸς τοῦ τεχνίτου δημιουργεῖται; εἰ γὰρ ὅλως ἐν ἐνδείᾳ τῆς τέχνης καθεστηκὼς χαλκουργούμενος πρὸς τὸ σχεῖν ὁποῖον ὁ δημιουργὸς ἐθέλοι χαρακτῆρα, ποίῳ τρόπῳ ἀγένητος ἔσται πάσχων τε καὶ δρώμενος; εἰ δὲ αὖ δι' ἑαυτὸν τέλειος καὶ ἀγένητος λέγοιτο μὴ δεῖσθαι τῆς τέχνης ὁ ἀνδριάς, ἐχρῆν τὸ ὀλέθριον δόγμα· ἀνάγκη αὐτοματισμὸν ὁμολογεῖν. ἢ οὐδὲ τοῦτον ἴσως ἐθελήσαντες προσίεσθαι τὸν λόγον, πικρότερον ἀποκρινοῦνται, τὸ μὲν βρέτας ἀγένητον οὐκ εἶναι λέγοντες· γενητὸν δὲ εἶναι ἀεὶ γενέσεως ἀρχὴν οὐκ ἔχον, ὅπως ἀνάρχως λέγοιτο κρατεῖν τοῦ τεχνάσματος ὁ τεχνίτης. οὐκοῦν, ὦ οὗτοι, λέξομεν αὐτοῖς, εἰ μὴ χρόνος μήτε αἰὼν εὑρίσκοιτο ἐπάνω, ὅτε οὐκ ἦν τέλειος ὁ ἀνδριάς, τί παρέχει αὐτῷ ὁ τεχνίτης, ἢ τί ἐνήργησεν εἰς αὐτόν, φατέ; εἰ γὰρ ὁ αὐτὸς ἀνενδεὴς ὤν, καὶ οὐκ ἔχων ἀρχὴν γενέσεως τυγχάνει, ταύτῃ μᾶλλον καθ' ὑμᾶς ὁ δημιουργὸς οὐδέποτε δημιουργήσας, οὔτε δημιουργῶν εὑρεθήσεται. καὶ πάλιν εἰς αὐτὸ ἔοικεν ὁ λόγος περιδεδραμηκέναι αὐτοματισμὸν ὁμολογεῖν. ἐὰν γὰρ κἂν * τὸ ἀργεῖν(?) τὸν ἀνδριάντα κινήσας ὁ δημιουργὸς λεχθῇ, ἀρχὴ ὑποπεσεῖται, καθ' ἣν πρότερον αὐτὸν ἄκοσμον καὶ ἀκίνητον ὄντα ἤρξατο κινεῖν καὶ κοσμεῖν. οὐκοῦν καὶ ἦν ... ἔσται διηνεκῶς ὁ αὐτὸς ἀεὶ κόσμος· ἀπεικάσειν γὰρ τῷ μὲν θεῷ τὸν τεχνίτην, τὸν δὲ ἀνδριάντα τῷ κόσμῳ. πῇ δὴ οὖν, ὦ ἠλίθιοι, οἴεσθε τὴν κτίσιν συναπέραντον οὖσαν τῷ δημιουργῷ μὴ δεῖσθαι τοῦ δημιουργοῦ; τὸ γὰρ συναπέραντον μηδαμῶς ἀρχὴν γενέσεως ἔχον, καὶ συναγένητον καὶ ἰσοδύναμον ἀνάγκη τυγχάνειν. τὸ δὲ ἀγένητον, αὐτοτελὲς καὶ ἄτρεπτον φανθέν, καὶ ἀπροσδεὲς καὶ ἄφθορον [ἂν] ἔσται. καὶ εἰ τοῦτο οὕτως ἔχει, οὐκέτι ὁ κόσμος τρεπτὸς καθ' ὑμᾶς.

Ὅτι ἐκκλησία παρὰ τὸ ἐκκεκληκέναι τὰς ἡδονὰς λέγεσθαι φησίν.

Ὅτι φησὶν ὁ ἅγιος, δύο δὲ δυνάμεις ἐν τοῖς προωμολογημένοις ἔφαμεν εἶναι * ποιητικάς, τὴν ἐξ οὐκ ὄντων γυμνῷ τῷ βουλήματι, χωρὶς μελισμοῦ, ἅμα τῷ θελῆσαι αὐτουργοῦσαν ὃ βούλεται ποιεῖν· τυγχάνει δὲ ὁ πατήρ· θατέραν δὲ κατακοσμοῦσαν καὶ ποικίλλουσαν κατὰ μίμησιν τῆς προτέρας τὰ ἤδη γεγονότα· ἔστι δὲ ὁ υἱός, ἡ παντοδύναμος καὶ κραταιὰ χεὶρ τοῦ πατρός, ἐν ᾗ μετὰ τὸ ποιῆσαι τὴν ὕλην ἐξ οὐκ ὄντων * κατακοσμεῖ. Ὅτι τὸ Ἰὼβ βιβλίον, Μωσέως εἶναι ὁ ἅγιος φησί.

* [illegible]
* al. φατέ.
* al. τόν.
* al. ποιητικῶν.
* [illegible]

nec hoc [dicent.] Omnino enim refugient contra seipsos hoc testari, ne dato quod materia habuerit principium secretionis & transformationis, cogantur fateri Deum cœpisse materiam prius indigestam seu informem verbo perfecte digerere & expolire. Age verò quoniam Deo iuuante dicendo ad hunc locum peruenimus.

Si cui statua basi sua collocata, elegánsque sit, cuius concinnam pulchritudinem spectatores mirentur, sed dissentientes inter se conentur euincere partim esse ∴ genitam: partim verò ∴ ingenitam; quæsierim ego ex vobis qua de caussa ingenitam dicatis, an propter artificem ∴ vt ne vnquam ab opere vacuus esse censeatur? an propter seipsam. Atqui si propter artificem, quomodo ingenita erit cum ab artifice efformetur. Nam si expers omnis penitus artis & rudis, effingatur ad quamcumque velit artifex formam seu figuram, quomodo erit ingenita, [manum] passa & tractata. Si rursum propter seipsam perfecta & ingenita, dicatur, secundum perniciosam vestram sententiam, arte non egere, necesse erit fateri statuā per se sponte [sine artifice] factam. At neque hanc admissuri orationē, mordacius respondebunt, simulacrum quidem ingenitum non esse dictitantes, genitum autem esse generationis principio semper carens, vt opifex opificio ab æterno maior dicatur. Agite vos, nonne illis dicemus; si neque tempus, neque æuum retro vllum reperiatur, quando statua perfecta non fuit, quid illi artifex præstitit? aut quid efformauit in illā? dicite. Nam si ipsa nullius indiga principium generationis nullum habet, ita secundum vos, potius creator nunquam creauit, neque creare dicetur. atque ita rursum ad idem reuoluta oratio, cogetur opus sua sponte factum fateri.

Quod si enim, quamuis rudissimam statuam molitus sit artifex, illa tamen [generationis] principium habebit, quo informem & rudem artifex cœpit tractare & expolire; Ergo nec erat nec erit perpetuo idem semper mundus. (comparandus est enim artifex Deo, & statua mundo) quomodo ergo, ô stupidissimi, existimatis creaturam creatori coæternam [adeóque] creatore [non] indigere? Coæternum enim, cum nullū generationis principium admittat, necesse est vt sit etiam ingenitum & eiusdem potentiæ. Quod autem ingenitum est, id manifestè etiam per se perfectum & immutabile, nulliusque egens & incorruptibile erit. Et si ita se res habet, ex vestra sententia mundus erit immutabilis.

Ecclesiam ab euocandis voluptatibus (hoc est extirpandis) dictam ait.

Porro Sanctus dicit: duas in supra dictis affirmabamus esse effectrices facultates; vnam quæ ex rebus non existentibus sola voluntate, sine partiū distinctione simul atque vult, quicquid vult efficit, Est autem hic pater; alteram, quę perficit, variatque & exornat, secūdū prioris potentiæ ideam, quod iam ante factum est. Et hic est Filius, omnipotens nempe & inuicta manus Patris, qua materiam ex nihilo prius creatam, postea perficit seu exornat.

Affirmat etiam S. librum Iob esse Mosis.

∴ Falsam.
∴ Non falsam.
∴ Causam hanc non bene assequor.
ἀνάρχως immutabili.
Delenda vox (non.)

METHOD. Gen. 1. Docet præterea super illis verbis: *In principio creauit DEVS cælum & terram*: cum qui principium ipsam dixerit esse sapientiam, non aberraturum. Dicitur enim apud quendam è cœtu sacro scriptorum sic de se ipsa loqui: Ex LXX. Prouerb. 8. *Dominus condidit me initium viarum suarum ad opera sua, ante sæculum fundauit me.* Erat enim consequens & decentius omnia quæ creata sunt, esse hac posteriora, cum per eam facta sint. Considera, an non & hoc Euangelistæ: Ioan. 1. *In principio erat Verbum, & Verbum erat apud Deum;* hæc consequatur? *Et Deus erat Verbum: hoc erat in principio apud Deum.* Principium enim, à quo germinauit verissimum Verbum, fatendum est esse patrem conditorem vniuersorum: in quo erat [Verbum.] Illud autem: *Hoc erat in principio apud Deum*: potentiam Verbi, quam habuit apud Patrem, antequam mundus crearetur, insinuare videtur, cum potentiam *principium* appellat. Ergo post proprium æternumque principium quod Pater est, Verbum quoque est aliorum principium per quod omnia creantur.

Origenes postquam multa fabulatus est de vniuersi æternitate, etiam hoc infert: Neque ergo ab Adam, vt quidam affirmant, cum prius non esset homo, tunc omnium primus formatus in mundum venit. Neque mundus rursum, ante sex dies, quam crearetur Adam, cœpit fieri. Quod si quis hæc cupiat dispicere, prius perpendat, an non secundum Mosen sit facilis numeratu vnus dies, iis qui ita Mosen exponunt? prophetica voce hic etiam acclamante: Psal. 89. 2. 4. *A sæculo & vsque in sæculum tu es, quoniam mille anni ante oculos tuos, tanquam dies hesterna quæ præteriit, & custodia in nocte.* mille annis in vnum diem conclusis, in oculis DEI.

Vsque ad requiem nostram i. vsq; ad creationem hominis postquam quieuit Deus. A condito mundo vsque ad requiem nostram, optimi calculandi magistri affirmant sex dies præteriisse. Annum verò sexies millesimum, ab Adamo ad nos vsque aiunt extendi. Ergo à nobis vsque ad principium in quo DEVS creauit cœlum & terram tredecim dies numerantur, (nam in septimo mundi millenario iudicium aiunt futurum.) quibus DEVS antiquior, vt vos ipsi secundum vestram insaniam dicitis, nihil quicquam [ante id tempus] egit aut creauit, & patris nomine ac creatoris priuatus est. Si autem tredecim dies sunt in oculis DEI à mundo condito, quomodo Sa- Eccl. 1. 2. pientia in Iesu Syrach dicit: *Arenam maris, & pluuiæ guttas, & dies sæculi quis dinumerauit.* Hæc serio disputans Origenes vide quomodo nugetur?

CCXXXVI. E LIBRO S. METHODII *De Libero arbitrio.*

LEGI eiusdem quædam ex libro de Libero arbitrio. paritérque (nactus ipse eiusmodi compendium) vnde sint mala, & quis eorum auctor. DEVS enim is non est; neque enim malis delectatur, quin etiam mala facientes abominatur. Quapropter ∴ censui ali- ∴ Hæc ex aliena sententia dicit. quid existere cum Deo, quod materiam nominant, ex qua vniuersa condidit, ex qua mala esse mihi videtur. Cum enim materia informis

Ὅτι περὶ τοῦ, ἐν ἀρχῇ ἐποίησεν τὸν οὐρανὸν καὶ τὴν γῆν, φησίν· ἀρχὴν δὲ αὐτὴν τὴν σοφίαν λέγων τις, οὐκ ἂν ἁμάρτοι. λέγεται γὰρ παρά τινι τῶν ἐκ τοῦ θείου χοροῦ λέγουσα περὶ αὐτῆς τὸν τρόπον τοῦτον· Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με. ἦν γὰρ ἀκόλουθον καὶ εὐπρεπέστερον, πάντα, ἃ εἰς γένεσιν ἦλθον, εἶναι ταύτης νεώτερα, ἐπεὶ καὶ δι' αὐτῆς γεγόνασιν. ἐπίσκεψαι γάρ, εἰ μὴ καὶ τό, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, κατὰ τὸν εὐαγγελιστήν, καὶ θεὸς ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν, εἰ μὴ τούτοις ἁρμόττει. τὴν μὲν γὰρ ἀρχήν, ἀφ' ἧς ἀνεβλάστησεν ὁ ὀρθότατος λόγος, τὸν πατέρα καὶ ποιητὴν τῶν ὅλων * φατέον, ἐν ᾧ ἦν. τὸ δέ, οὗτος [ἦν] ἐν ἀρχῇ πρὸς τὸν * forte. ; θεόν, τὸ ἐξουσιαστικὸν τοῦ λόγου, ὃ εἶχε παρὰ τῷ πατρὶ καὶ πρὸ τοῦ τὸν κόσμον εἰς γένεσιν παραχθῆναι, ἔοικε σημαίνειν, τὴν ἐξουσίαν ἀρχὴν εἰπών. οὐκοῦν ἀρχή, μετὰ τὴν ἰδίαν ἄναρχον ἀρχὴν τὸν πατέρα, αὐτὸς τῶν ἄλλων γίνεται. δι' ἧς ἅπαντα δημιουργοῦνται.

Ὅτι Ὠριγένης μετὰ τὸ πολλὰ μυθήσασθαι περὶ τῆς τοῦ παντὸς ἀϊδιότητος, ἐπάγει καὶ τοῦτο· Οὔτε οὖν ἀπὸ Ἀδάμ, ὥς φασί τινες, πρότερον οὐκ ὢν ὁ ἄνθρωπος, τότε πρῶτος πλασθεὶς εἰς κόσμον παρῆλθεν· οὔτε αὖ κόσμος πρὸ ἓξ ἡμερῶν τῆς τοῦ Ἀδὰμ γενέσεως ἤρξατο δημιουργεῖσθαι. εἰ δὲ φιλοφρονοῖτο διαφέρεσθαι πρὸς ταῦτά τις: πρότερον φρασάτω, εἰ μὴ εὐαρίθμητος ἀπὸ τῆς τοῦ κόσμου γενέσεως, κατὰ τὴν Μωσέως βίβλον, τοῖς οὕτως αὐτὴν ἐκλαμβανομένοις ὁ χρόνος * εἷς; τῆς προφητικῆς καὶ ἐνθάδε * al. ἐν. βοώσης φωνῆς, ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ: ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σοῦ, ὡς ἡμέρα ἡ χθές, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί. χιλίων γὰρ ἐτῶν περιορίζομένων εἰς μίαν ἡμέραν, ἐν ὀφθαλμοῖς θεοῦ. ἀπὸ τῆς τοῦ κόσμου γενέσεως μέχρι καταπαύσεως μέχρις ἡμῶν, ὥς οἱ περὶ τὴν ἀριθμητικὴν φάσκουσι δεινοί, ἓξ ἡμέραι συμπεραιοῦνται. ἑξακισχιλιοστὸν ἄρα ἔτος φασὶν ἀπὸ Ἀδὰμ εἰς δεῦρο συντείνειν: τῇ γὰρ ἑβδομάδι τῶν ἑπτακισχιλιοστῶν ἔτει κρίσιν ἀφίξεσθαί φασιν. οὐκοῦν αἱ πᾶσαι ἡμέραι δέκα καὶ τρεῖς ἀφ' ἡμῶν, ἕως εἰς τὴν ἐν ἀρχῇ, ἐν ᾗ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, μετροῦνται. ὧν ὁ θεὸς ἀνώτερον κατὰ τὴν σφῶν αὐτῶν ἄνοιαν οὐδὲν οὐδαμῶς δημιουργήσας, ἐγεγύμνωτο τοῦ πατὴρ καὶ παντοκράτωρ εἶναι. εἰ δὲ καὶ τρισκαίδεκά εἰσιν ἡμέραι ἐν ὀφθαλμοῖς θεοῦ ἀπὸ γενέσεως κόσμου: πῶς φησὶν ἡ ἐν τῷ Σειρὰχ σοφία, ἄμμον θαλασσῶν, καὶ σταγόνας ὑετοῦ, καὶ ἡμέρας αἰῶνος, τίς ἐξαριθμήσει; ταῦτα φησὶν ὁ Ὠριγένης σπουδάζων, καὶ ὅρα οἷα παίζει.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΟΥ αὐτεξουσίου.

ΑΝΕΓΝΩΣΘΗ τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ αὐ- σλϛʹ. τεξουσίου, ὡσαύτως [τῆς ἴσης καὶ αὐτὸς τυχὼν E Libro S. Methodii de libero arbitrio excerpta. συντομίας] πόθεν τὰ κακά, καὶ τίς ὁ τούτων ποιητής; ὁ μὲν γὰρ θεὸς οὐκ ἔστιν· ὅτι μηδὲ τούτοις ἥδεται, ἀλλὰ καὶ τοὺς δρῶντας αὐτὰ βδελύσσεται. διόπερ ἔδοξέ μοι συνυπάρχειν τι αὐτῷ, τοὔνομα ὕλη, ἐξ ἧς τὰ ὄντα ἐδημιούργησεν, ἐξ ἧς καὶ τὰ κακὰ εἶναι μοι δοκεῖ. ἀποίου τε γὰρ καὶ ἀσχηματίστου

οὔσης

ὕλης αὐτῆς, πρὸς δὴ τούτοις καὶ ἀτάκτως φερομένης, οὐ διὰ παντὸς κατέλιπεν αὐτὴν οὕτω φέρεσθαι· ἀλλὰ δημιουργεῖν ἤρξατο, καὶ ἀπὸ τῶν χειρίστων αὐτῆς τὰ κάλλιστα διακρίνειν ἤθελε. καὶ οὕτω γοῦν ἐδημιούργησεν ὅσα ἐξ αὐτῆς ἥρμοζε θεῷ δημιουργεῖν. τὰ δὲ ὅσα αὐτῆς, ὡς ἔπος εἰπεῖν, τρυγώδη ἐτύγχανε, ταῦτα ἀνάρμοστα ὄντα πρὸς δημιουργίαν, ὡς εἶχε κατέλιπεν· ἐξ ὧν δοκεῖ μοι νῦν ἀπορρεῖν τὰ κακά. Ταῦτα μὲν ἐκεῖνος. πρὸς αὐτὸν δέ φησιν. Ὅτι μὲν οὖν ἀδύνατον ἀγένητα δύο ἅμα, οὐδέ σε ἀγνοεῖν νομίζω. ἢ γὰρ ἡνωμένα, ἢ κεχωρισμένα αὐτὰ, λέγειν ἀνάγκη. εἰ μὲν οὖν ἡνωμένα λέξοι, ἓν τὸ ἀγένητον· ἕκαστον γὰρ τούτων μέρος [ἂν] ἔσται τοῦ πλησίον· ἀλλήλων δὲ μέρη * τυγχάνοντα ἀγένητον. ἀλλ' οὐκ ἀγέννητα [ἂν] ἔσται· οὐδὲ γὰρ τὸν ἄνθρωπον μέρη ἔχοντα κατακερματίζομεν εἰς πολλὰ γενητά. εἰ δὲ κεχωρίσθαι φήσει τις, ἀνάγκη εἶναί τι τὸ ἀνὰ μέσον ἀμφοτέρων, ὅπερ καὶ τὸν χωρισμὸν αὐτῶν δείκνυσι. τοῦτο δὲ ἤτοι ταυτὸν ὂν ἥνωται θατέρῳ τῶν δύο, καὶ ἀνάγκη πάλιν ἢ ἕνωσιν ἢ χωρισμὸν πρὸς τὸ ἕτερον ζητεῖν· ἕνωσιν μὲν ἀδύνατον ἰδεῖν, εἴπερ θατέρῳ ταυτὸν εἴη καὶ ἡνῶσθαι δέδωται· ἡνοῦτο γὰρ οὕτως ἂν καὶ τὸ ἐξ ἀρχῆς, ᾧ ταυτὸν εἶναι τοῦτο ἐδόθη. εἰ δὲ κεχωρίσθαι ἀπαιτεῖ ὁ λόγος· πάλιν τὸ χωρίζον ἀπαιτητέον, ἕως ἂν ἀπείρων ἡμῖν ἀγενήτων ἑσμὸς ἀναφανῇ. εἰ δ' ἄρα τις καὶ τρίτον ἕξει λόγον, τουτέστι τὸ μήτε κεχωρίσθαι τὸν θεὸν τῆς ὕλης, μηδ' αὖ πάλιν [ὡς] ἐν μέρει ἡνῶσθαι, εἶναι δὲ ὡς ἐν τόπῳ καθάπερ τῇ ὕλῃ τὸν θεὸν, καὶ τὴν ὕλην ἐν τῷ θεῷ· ἀκουέτω, ὅτι ἐὰν τόπον τοῦ θεοῦ τὴν ὕλην εἴπωμεν, ἐξ ἀνάγκης καὶ χωρητὸς * ἔσται, τῇ ὕλῃ περιγραφόμενος, καὶ τῇ ὕλῃ ὁμοίως ἀτάκτως φερόμενος· τοῦ γὰρ ἐν ᾧ ἐστι πλημμελῶς κινουμένου, ἀνάγκη καὶ τὸ ἐν αὐτῷ συγκινεῖσθαι. πότερον δὲ ἐπλήρου τὴν ὕλην ὁ θεὸς, ἢ ἐν μέρει αὐτῆς ἐτύγχανεν; εἰ μὲν γὰρ ἐν μέρει, μικρότερος αὐτῆς, ἅτε δὴ ἐν μέρει αὐτῆς χωρηθείς· εἰ δὲ ἐπλήρου, πῶς ταύτην ἐδημιούργησεν; ἀνάγκη γὰρ ἢ συστολήν τινα τοῦ θεοῦ λέγειν, ἧς γενομένης ἐδημιούργησεν ἐκεῖνο, ἀφ' οὗ ὑπεχώρησεν· ἢ καὶ αὐτὸν τῇ ὕλῃ συνδημιουργεῖν, οὐκ ἔχοντα * ὑποχωρήσεως τόπον. εἰ δὲ τὴν ὕλην ἐν τῷ θεῷ εἶναι λέγοι τις· ῥητέον, πότερον ὡς διϊσταμένου αὐτοῦ ἀφ' ἑαυτοῦ, καὶ ὥσπερ ἐν ἀέρι ζώων ὑπάρχει γένη, μεριζομένου αὐτοῦ εἰς ὑποδοχὴν τῶν γινομένων ἐν αὐτῷ· ἢ ὥσπερ ἐν γῇ ὕδωρ; εἰ μὲν γὰρ ὡς ἐν ἀέρι, μεριστὸν ἀνάγκη λέγειν τὸν θεόν· εἰ δὲ ὡς ὕδωρ ἐν τῇ γῇ, ἦν δὲ ἄτακτος καὶ ἄκοσμος ἡ ὕλη, πρὸς δὴ τούτοις ἔχουσα καὶ κακά· τὸν θεὸν λέγειν ἀνάγκη τῶν ἀκοσμήτων καὶ κακῶν τούτων αἴτιον. καὶ ὅρα γὰρ ὡς ὕλην ὑποτιθέμενος, ἵνα μὴ τῶν κακῶν ποιητὴν * εἰπεῖν τὸν θεὸν, δοχεῖον αὐτὸν τῶν κακῶν εἶναι * λέγεις. λέγε δὲ καὶ ὧδε· φῂς τοίνυν, ἄποιον ὕλην συνυπάρχειν τῷ θεῷ, ἐξ ἧς τὴν τοῦ κόσμου γένεσιν ἐδημιούργησεν; οὕτω μοι δοκεῖ. οὐκοῦν εἰ ἄποιος ἐτύγχανεν ἡ ὕλη, γέγονε δὲ κόσμος πρὸς τοῦ θεοῦ, ἐν δὲ τῷ κόσμῳ αἱ ποιότητες· τῶν ποιοτήτων γέγονε ποιητὴς ὁ θεός; οὕτως ἔχει.

* τυγχάνον. M. M.

* ἐν.

* al. ὑποχωρήσεως.

* ὑπὸ. * al. λέγεις.

METHOD.

esset & absque vlla figura, & insuper temerè inerraret, non passus est eam omnino ita casu circumferri, sed perficere cœpit, optimáque à pessimis secernere voluit. Itaque ergo molitus est ea quæ Deo ad creandum erant apta. Quæcumque verò, vt sic loquar, erant feculenta, illa, vt ad creationem inepta, vt erant reliquit, Vnde mihi nunc videntur profluxisse mala. Hæc quidem ille. contra quem disputat [Methodius.]

Inepta sententia & damnata.

Quod si fieri nullo modo possit, vt duo simul sint increata, nec te quidem ignorare puto; aut enim illa inter se vnita, aut separata esse necessario dicendum erat. Si quis vnita dixerit: erit vnum increatum, vnaquæque enim pars horum erit alteri similis, partes enim inter se .·. pares sunt vnum increatum, & non erunt increata, neque enim hominem ex multis partibus constantem in multa creata diuidimus; Si verò diuisa seu separata quis dixerit [illa increata duo] necesse est vt sit aliquod medium inter vtrumque, quod separationem illorum ostendat. Hoc autem si sit idem cum altero ex duobus, cum illo vnitum est, & rursum erit necesse quærere aut coniunctionem aut separationem alterius ab altero. Vnionem enim videre impossibile est si alterum sit idem cum eo, & vnitum esse concedatur. Sic enim vniretur etiam id quod à principio idem cum eo fuisse concessum est. Si autem separatum fuisse ratio docet, rursum quęrendum est per quod fuit separatum, donec infinitorum nobis copia increatorum occurrat. Quod si quis etiam tertiam sententiam habuerit, hoc est, neque separatum fuisse Deum à materia, neque rursum velut in parte] seu cum altera partium] vnitum, sed esse Deum in materia velut in loco, & materiam in Deo; is intelligat; quod si locum Dei, materiam esse dixerimus, necessario etiam materia circumscriptus, veluti loco includetur, vnaque cum materia temerè circumferetur. Etenim illo temerè moto in quo est, necessario etiam id vna mouetur quod est in illo. Totam ne materiam Deus occupabat, an partem illius tantum? Si partem tantum, ergo minor erat illâ, vtpote vna tantum illius parte totus circumscriptus; si totam, quomodo hanc creauit? Necesse est enim vt dicamus Deum fuisse aliquo modo in se retractum, vt contractione facta illam partem, à qua se retraxit, crearet; aut illum vna cum materia creasse, cum non haberet locum, quo se interim reciperet. Si verò quis asserat materiam in Deo fuisse, quærendum est, an Deus à seipso loco fuerit diuisus, & velut in aëre animalia sunt, illo diuiso locus sit factus iis rebus quę in eo fiunt: aut velut in terra aqua? Et siquidem vt in aëre, tunc Deum diuisum cogemur asserere: si autem vt aqua in terra; cum materia esset informis & indigesta, & mala præterea in se contineret, necesse erit dicere Deum rerum informium & malarum esse auctorem. Et aduerte, quemadmodum materiam supponendo ne malorum conditorem Deum affirmare cogaris, Deum facias receptaculum malorum. Quin & ita argumentare. Materiam ergo informem ais extitisse cum Deo, ex qua mundum creauit? Ita mihi videtur. Nónne igitur, si .·. informis erat materia, formatus est mundus à Deo: in mundo autem sunt qualitates; qualitatum conditor fuit Deus. Ita est.

.·. Quarum altera est alterius

.·. Sine qualitatibus.

METHOD. *& galeam salutis, & gladium spiritus, quod est verbum Dei, vt possitis stare aduersus insidias diaboli, consilia destruere, & omnem altitudinem extollentem se contra scientiam Christi. Quoniam non est nobis colluctatio aduersus carnem & sanguinem. Non enim quod volo, hoc ago; sed quod odi, hoc facio.* Si autem quod nolo, illud facio, contentio legi, quoniam bona est. *Nunc autem non amplius ego operor illud, sed quod habitat in me peccatum. Scio enim quia non habitat in me, hoc est, in carne mea bonum.* rectè dicens [D. Paulus.] Meministis enim, quemadmodum antea à nobis explicatum est, postquam accidit vt homo deceptus præceptum contemneret, ab illo tempore peccatum, propter inobedientiam, originem accepit in homine habitandi. In hunc enim statum res incidit. Ærumnis anxiis & cogitationibus importunis oppressi, Dei spiritu exuti sumus, & corporali concupiscentia impleti, quam callidus nobis serpens immisit. Hinc Deus mortem, qua deleret in nobis peccatum, excogitauit, vt ne in nobis, si immortales mansissemus, etiam concupiscentia semper repullulans immortalis esset. Vnde Apostolus: *Scio enim quod non habitet in me, hoc est, in carne mea, bonum*; quod cum dicit, vult declarare peccatum in nobis, post præuaricationem, per concupiscentiam nidificasse, cuius velut noua germina; cogitationes carnem titillantes in nobis semper excitantur. Duo enim cogitationum genera existunt, alterum à concupiscentia, se in corpus nostrum insinuante, natum, quod ex sensu, vt dixi, seu cogitatione, corporalis spiritus constat; alterum autem à lege diuini præcepti, [profectum] quam vti naturalem legem à Deo insitam accepimus, quæ mentem nostram ad virtutem excitat. Vnde condelectamur legi, in animo, hoc enim interior homo est. Legi vero diaboli [condelectamur] secundum inhabitantem in carne concupiscentiam. Diabolus enim, qui repugnat, & oppugnat legem Dei quasi impetum quendam mentis ad bonum; hic est qui sensus nostros corporales & vitiosos semper impellit ad impietatem. Tres enim Paulus, hic manifestè mihi leges explicare videtur: vnam secundum insitum in nobis bonum, quam apertè vocauit legem mentis: alteram, quæ fit ex diaboli impetu seu tentatione, cum sæpe ad improbas animam pertrahit imaginationes; quam ait repugnare legi mentis. Tertiam secundum peccatum ex concupiscentia inueterascentem in carne, quam legem peccati habitantem in membris appellauit, qua inductus [homo] sæpe ad peccatum, & improbas actiones pellicitur. Videtur enim quasi nobis ipsis nunc hoc melius, nunc illud deterius; & cum id, quod nobis videtur natura melius, deteriore illo potentius fuerit, animus toto impetu fertur in bonum; quando vero id quod deterius est, regnum insolenter affectarit, homo rursum contraria via in deteriores cogitationes & consilia præceps agitur. Ea propter Apostolus ab eo velut morte & exitio cupit liberari, quemadmodum & propheta: ab occultis meis mūda me inquit; ipsa ergo verba hoc declarāt Apostoli dicētis,

2. Cor. 10. Ephes. 6. 12. Rom. 7.

Rom. 7.

Rom. 7.

Psal. 7.

καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ, πρὸς τὸ δύνασθαι στῆναι πρὸς τὴν μεθοδείαν τοῦ διαβόλου, λογισμούς τε καθελεῖν, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Χριστοῦ. ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα. οὐ γὰρ ὃ θέλω πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ. εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι *καλός· νυνὶ δὲ οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τουτέστιν, ἐν τῇ σαρκί μου τὸ ἀγαθόν· ὀρθῶς λέγων. μέμνησθε γὰρ ὡς ἐν τοῖς ἔμπροσθεν διωριζόμεθα, ἀφ' οὗ τὸν ἄνθρωπον πλανηθέντα τὴν ἐντολὴν ἀθετῆσαι συνέβη· ἐντεῦθεν ἐκ τῆς παρακοῆς τὴν ἁμαρτίαν λαβοῦσαν γένεσιν εἰς αὐτὸν εἰσῳκηκέναι. οὕτω γὰρ στάσις ἐνέπεσε, σφαδασμῶν τε καὶ λογισμῶν ἀνοικείων ἐπληρώθημεν, κενωθέντες μὲν τοῦ ἐμφυσήματος τοῦ Θεοῦ, πληρωθέντες δὲ ἐπιθυμίας ὑλικῆς, ἣν ὁ πολύτροπος ἐνεφύσησεν εἰς ἡμᾶς ὄφις. διὸ καὶ τὸν θάνατον ὁ Θεὸς πρὸς ἀναίρεσιν τῆς ἁμαρτίας ὑπὲρ ἡμῶν ἀνεύρατο, ἵνα μὴ ἐν ἀθανάτοις ἡμῖν ἀνατέλλουσα, ὡς ἔφην, ἀθάνατος ᾖ. ὅθεν ὁ ἀπόστολος, οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τουτέστιν, ἐν τῇ σαρκί μου τὸ ἀγαθόν, λέγων: τὴν ἀπὸ τῆς παραβάσεως διὰ τῆς ἐπιθυμίας εἰσοικισθεῖσαν εἰς ἡμᾶς ἁμαρτίαν βούλεται μηνύειν, ἧς δὴ καθάπερ βλαστήματα νέα οἱ φιλήδονοι περὶ ἡμᾶς ἀεὶ λογισμοὶ συνίστανται. διττὰ γὰρ ἐν ἡμῖν λογισμῶν γένη: τὸ μὲν ἀπὸ τῆς ἐπιθυμίας τῆς ἐμφωλευούσης ἐν τῷ σώματι συνιστάμενον, ἥτις ἐξ ἐπινοίας (ὡς ἔφην) συνέστη τοῦ ὑλικοῦ πνεύματος· τὸ δὲ ἀπὸ τοῦ νόμου τοῦ κατὰ τὴν ἐντολήν, ὃν ἔμφυτον ἐλάβομεν ἔχειν καὶ φυσικὸν νόμον, πρὸς τὸ καλὸν ἡμῶν ἐξεγείροντα τὸν λογισμόν. ὅθεν τῇ μὲν νομοθεσίᾳ τοῦ Θεοῦ κατὰ τὸν νοῦν συνηδόμεθα, τοῦτο γάρ ὁ ἔσω ἄνθρωπος: τῇ δὲ νομοθεσίᾳ τοῦ διαβόλου κατὰ τὴν ἐνοικοῦσαν ἐπιθυμίαν ἐν τῇ σαρκί. ὁ γὰρ ἀντιστρατευόμενος καὶ ἀντιπράσσων τῷ νόμῳ τοῦ Θεοῦ, οἷον τῇ πρὸς τὸ ἀγαθὸν ὁρμῇ τοῦ νοός, αὐτός ἐστιν ὁ τὰς *ἐμπαθεῖς ἀναφύων ἀεὶ καὶ ὑλικὰς πρὸς ἀνομίαν παρασπασμούς. τρεῖς γὰρ νόμους ὑποτιθέμενος [ὁ] Παῦλος ἀναφανδὸν ἐνταῦθά μοι καταφαίνεται, ἕνα μὲν κατὰ τὸ ἔμφυτον ἐν ἡμῖν ἀγαθόν, ὃν καὶ νόμον σαφῶς ἐκάλεσε νοός: ἕνα δὲ τὸν ἐκ προσβολῆς συνιστάμενον νόμον τοῦ πονηροῦ, καὶ εἰς τὰς ἐμπαθεῖς ἐξέλκοντα πολλάκις φαντασίας τὴν ψυχήν, ὃν ἀντιστρατεύεσθαι τῷ νόμῳ τοῦ νοὸς ἔφη: καὶ τρίτον, τὸν κατὰ τὴν ἁμαρτίαν ἐκ τῆς ἐπιθυμίας *σωρεύσαντα ἐν τῇ σαρκί, ὃν ἁμαρτίας νόμον οἰκοῦντα ἐν τοῖς μέλεσιν ἐκάλεσεν. ᾧ ἐποχούμενος πολλάκις καθ' ἡμῶν ἐγκελεύεται πρὸς ἀδικίαν καὶ πράξεις συνελαύνων κακάς. φαίνεται γὰρ ὡς ἑαυτοῖς ἡμῖν τὸ μὲν βέλτιον, τὸ δὲ χεῖρον ὄν. καὶ ὅταν μέλλῃ τὸ βέλτιον φύσει τοῦ χείρονος ἐγκρατέστερον γενηθῆναι, φέρεται ὅλος πρὸς τὸ ἀγαθὸν ὁ νοῦς: ὅταν δὲ τὸ χεῖρον ἐπιβείσῃ πλεονάσαν, ἄγεται πάλιν ἀντιστρόφως πρὸς λογισμοὺς χείρονας ὁ ἄνθρωπος. οὗ δὴ καὶ χάριν ὁ ἀπόστολος εὔχεται ῥυσθῆναι, θάνατον αὐτὸ καὶ ὄλεθρον ἡγούμενος. ὥσπερ δὴ καὶ ὁ προφήτης, ἀπὸ τῶν κρυφίων μου καθάρισόν με, λέγων. αὐτὰ οὖν τὰ ῥήματα τοῦτο συνιστῶσι.

* νῦν.

* ἀναδίδει.

* συμφύροντα.

συνηδό-

συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω, λέγοντος, ἄνθρωπον: βλέπω δὲ ἕτερον νόμον ἀντιστρατευόμενον τοῖς μέλεσί μου τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας, τῷ ὄντι ἐν τοῖς μέλεσί μου. Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; οὐ τὸ σῶμα θάνατον ἀποφαινόμενος, ἀλλὰ τὸν νόμον τῆς ἁμαρτίας τὸν ἐν τοῖς μέλεσι διὰ τῆς παραβάσεως ἐν ἡμῖν ἐμφωλεύοντα, καὶ πρὸς θάνατον ἀεὶ τῆς ἀδικίας τὴν ψυχὴν ἐμφαντάζοντα. ἐπιφέρει γοῦν εὐθέως, ἀμέλει διαλυόμενος, ὁποίου θανάτου ἐζήτει ῥυσθῆναι, καὶ τίς αὐτὸν ὁ ῥυσάμενος ἦν; χάρις δὲ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ. προσεκτέον δὲ, εἰ τὸ σῶμα θάνατον τοῦτο, ὦ Ἀγλαοφῶν, ὡς ὑπειλήφατε, ἔλεγεν, οὐκ ἂν τὸν Χριστὸν, ὡς ῥυσάμενον αὐτὸν ὕστερον ἐκ τοῦ τοιούτου κακοῦ, παρελάμβανεν. ἐπεὶ τί παράδοξον ἀπὸ τοῦ Χριστοῦ τῆς παρουσίας ἐσχήκαμεν; τί δὲ καὶ ὁ ἀπόστολος ὅλως, ὡς διὰ τῆς παρουσίας τοῦ Χριστοῦ δυνάμενος τοῦ θανάτου ὑπὸ τοῦ Θεοῦ ἐλευθερωθῆναι, τοῦτο ἐφθέγγετο; ὁπότε πᾶσι καὶ πρὸ τοῦ τὸν Χριστὸν ἐλθεῖν εἰς τὸν κόσμον συνέβαινε θνήσκειν. ὥστε οὐ τὸ σῶμα τοῦτο, ὦ * Ἀλαόφρον, θάνατον, ἀλλὰ τὴν ἁμαρτίαν τὴν κατοικήσασαν διὰ τῆς ἐπιθυμίας ἐν τῷ σώματι, λέγει, ἧς ὁ Θεὸς αὐτὸν διὰ τῆς παρουσίας τοῦ Χριστοῦ ἐρρύσατο. ὁ γὰρ νόμος τῆς ζωῆς τοῦ πνεύματος ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσεν ἡμᾶς ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου: ὅπως ὁ ἐγείρας ἐκ νεκρῶν Ἰησοῦν διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ὑμῖν, ζωοποιήσῃ καὶ τὰ θνητὰ σώματα ἡμῶν, τῆς ἁμαρτίας τῆς ἐν τῷ σώματι κατακριθείσης * πρὸς ἀναίρεσιν· ἵνα τὸ δικαίωμα τοῦ κατὰ τὴν ἐντολὴν πρὸς τὸ ἀγαθὸν ἡμᾶς ἐφελκομένου φυσικοῦ νόμου φανερωθῇ ἐξαφθέν. τὸ γὰρ ἀδύνατον τοῦ ἐν ἡμῖν φυσικοῦ ἀγαθοῦ, ἐν ᾧ ἠσθένει ὑπὸ τῆς ἐπιθυμίας ἡττώμενον τῆς ἐνοικουμένης ἐν τῷ σώματι, ὁ Θεὸς * ἀνερρώσατο, πέμψας τὸν υἱὸν αὐτοῦ τὴν ὁμοίαν τῆς σαρκὸς τῆς ἁμαρτίας σάρκα ἀνειληφότα· ἵνα τῆς ἁμαρτίας κατακεκριμένης πρὸς ἀναίρεσιν, εἰς τὸ μηκέτι καρποφορῆσαι ἐν τῇ σαρκὶ, τὸ δικαίωμα τοῦ φυσικοῦ νόμου πληρωθῇ, πλεονάσαν τῇ ὑπακοῇ τοῖς μὴ κατὰ τὴν ἐπιθυμίαν [τῆς σαρκὸς περιπατοῦσιν, ἀλλὰ κατὰ τὴν ἐπιθυμίαν] τοῦ πνεύματος, καὶ τὴν τῆς ζωῆς ὑφήγησιν. ὁ γὰρ νόμος τοῦ πνεύματος ὃ δή ἐστι τὸ εὐαγγέλιον, ἕτερος ὢν τῶν προειρημένων νόμων, διὰ τοῦ κηρύγματος πρὸς ὑπακοὴν τεθεὶς καὶ ἄφεσιν ἁμαρτημάτων, ἠλευθέρωσεν ἡμᾶς ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας [καὶ τοῦ θανάτου, νικήσας ἐκ παντὸς τὴν ἁμαρτίαν βασιλεύουσαν, καὶ τῆς σαρκός.

Ὅτι φησὶν οὐκ ἐκ γῆς φύεσθαι ἢ αὐξάνειν ἀπὸ τῆς γῆς τὰ φυτά. λέγει γὰρ, διαπορήσαι δὲ ἄν τις, πῶς εἰς τὸν ὄγκον ἀναλαμβάνεσθαι δύναται τῶν δένδρων ἡ γῆ μεταλλοιουμένη; ἐχρῆν γὰρ, ἄπερ τῆς ὑποκειμένης γῆς ἀναρπαζομένης ἀεὶ διὰ τῶν ῥιζῶν εἰς ὅλην τὴν ἕξιν τοῦ ξύλου τὸν τόπον, καθ' ὃν τὸ δένδρον βεβλάστηκε, κοιλαίνεσθαι· ὥστε μάταιος αὐτῶν ὁ τοιοῦτος τῆς περὶ τὰ σώματα ῥύσεως ἀναλογισμός. πῶς γὰρ ὅλως ἡ γῆ διὰ τῶν ῥιζῶν εἰς τοὺς κορμοὺς τῶν φυτῶν εἰσδυομένη, καὶ διὰ τῶν πόρων εἰς πάντας αὐτῶν κατακερματιζομένη τοὺς κλάδους, εἰς φύλλα καὶ καρπὸν μεταβάλλει; δὲ μήκη μὲν ἂν δένδρα, κέδρος, ἢ πίτυς, ἢ ἐλάτη), καὶ πολλὴν * φέροντα κατ' ἔτος κόμην καὶ καρπόν.

Condelector enim legi secundum interiorem hominem, video autem legem in membris meis contradicentem legi mentis meæ, & captiuantem me in lege peccati, quæ est in membris meis. Infelix ego homo, quis me liberabit de corpore mortis huius. Non corpus mortem appellans, sed legem peccati in membris per præuaricationem in nobis latitantem, & semper ad mortem peccati animam trahentem. Statim ergo infert, (vtique liberatus, à quali morte liberari cupiebat: quis autem illum liberauit:) Gratia Dei per IESVM Christum. Itaque, ô Aglaophon, animaduertendum, si hoc corpus, vt existimatis, mortem appellauit; non Christum quasi liberatorem suum à tali postea malo nominasset. Quid deinde Christi aduentus, singulare nobis attulisset; quid omnino Apostolus, veluti per Christi aduentum confirmatus, vt à morte per Deum liberaretur, hoc prædicaret? quando omnibus, etiam antequam Christus in mundum veniret, mori datum est, vt non hoc corpus, ô Alaophron mortem appellet, sed peccatum quod per concupiscentiam habitat in corpore, à qua ipsum Deus per aduentum Christi liberauit. Lex enim vitæ spiritus in Christo IESV liberauit nos à lege peccati & mortis: vt is qui IESVM ex mortuis excitauit, propter spiritum eius inhabitantem in nobis, viuificet mortalia corpora nostra, peccato in corpore ad abolitionem damnato, vt iustificatio naturalis legis secundum præceptum nos ad bonum trahentis accensa appareat. Nam infirmam partem naturalis boni, quæ victa à concupiscentia in corpore degente ægrotabat, sanauit Deus, mittens filium suum, qui similem carnem carni peccati assumsit, vt peccato ad internecionem profligato, ne repullularet in carne, & proprietas naturalis legis .·. impleretur in ijs qui non secundùm concupiscentiam carnis, sed secundum desiderium & ductum spiritus ambulant. Lex enim spiritus vitæ, quod est Euangelium (quæ alia est ab ante dictis legibus, per prædicationem ad obedientiam & remissionem peccatorum posita) liberauit nos à lege peccati, & mortis, deuicto penitus peccato quod carni dominabatur. Plantas, ait [Methodius] nec à terra ali nec augeri. Dubitet, inquit, quispiam quomodo terra immutata in tantam arborum amplitudinem assumi [seu crescere] possit. Oportebat enim locum, in quo arbor excreuit, & circum iacente terrâ subductâ in ligni naturam excauari. Inanis ergo illorum talis de corporum fluxu consideratio. Quomodo enim vlla ratione terra per radices in truncos ingressa, & per venas in omnes earum ramos diffusa, in folia & fructus commutatur. Proceræ quidem arbores cedrus, vel pinus, vel abietes, & multas frondes & fructus quotannis ferunt.

METHOD. Rom. 7.

* Ἀγλαόφων.

* ἐκ.

* ἀνεμάσσετο.

Alaophron. Aglaophon.

.·. Obedientia excitans.

* al. φύειν

METHOD. Licet enim videre, vt nihil subiectæ terræ in vastitatem quercus absumant. Oportebat enim, si verum sit, terram per radices ascendentem in lignum mutari, omnémque circum circa locum terræ cauari: (Liquefacere.) quia quod aridum est non ita potest affluere vt humor semper affluit, cum proximus submouetur. Iam vero & ficus, similésq; stirpes in ædium recessibus frequentes satæ, nihil omnino ex ædificio in se vertisse ∴ videntur. Ergo si multorum annorum (∴ reformatur.) fructus ex illis & folia quis colligeret, ingentem in domorum penetralibus terræ copiam ex illis factam videret. Vnde absurdissimum est existimare terram in fructuum vbertatem mutari, & folia consumi. quamuis per hanc omnia fiant cum terræ sede, locoque vtuntur. Neque panis sine mola, loco, tempore & igne fit, & tamen nihil horum est aut fit panis, vti & in sexcentis idem est videre.

2. Cor. 5. Hoc Pauli; *Scimus enim, quoniam si terrestris domus nostra huius habitationis dissoluatur, &c.* Origenistæ ad tollendam corporum resurrectionem aiunt tabernaculum accipi pro corpore, & cœlestem domum nulla manu factam, quæ illi spiritualia indumenta vocant. Hinc dicit S. Methodius, per terrestrem domum, breuem hanc vitam abusiuè intelligendam, & non hoc habitaculum. Si enim per terrestrem domum dissoluendam corpus nostrum ab eo intelligi putatis; quid habitaculum sit docete, cuius domus sit dissoluenda. Aliud enim est habitaculum, aliud habitaculi domus, & aliud nos, quorum est habitaculum. Si enim, inquit, terrestris domus nostra habitationis dissoluitur; quasi figuratè nos esse animas ostenderet, habitationem verò corpus, domum autẽ habitationis vsuram carnis in præsenti vita. Si ergo hæc corporis vita instar domus dissoluatur, habebimus in cœlo non manufactã inquit, quod hęc vita differẽtię causa manufacta propterea dicatur, eo quod omnis cultus & studia vitæ huius manibus administrentur & gerantur: Corpus enim, cum sit opus Dei manufactum non dicitur, eo quod non sit arte hominũ effectum. Si autem corpus propterea manufactum dixerint, quod à Deo sit effectum, tunc etiam animæ, & angeli, & ipsa in cælis indumenta manufacta dicentur. Omnia quippe hęc Dei sunt opera. Quæ est ergo domus manufacta? Hæc inquam breuis vita, ope humana sustentata seu condita, (Gen. 3.) *In sudore inquit vultus tui vesceris pane tuo*: qua dissoluta illam immortalem non manufactam occupamus; quemadmodum Dominus ipse declarauit, cum dixit. (Luc. 16.) *Facite vobis amicos de mammona iniquitatis, vt cum defeceritis, recipiant vos in æterna tabernacula.* Quod enim ibi Dominus appellauit *tabernacula*; hic Apostolus vocat *indumenta*. Quod ibi *amicos iniquitatis*, hîc Apostolus *domus* dissoluẽdas diuersorij seu *habitationis*. Quemadmodum ergo, cum dies vitæ nostræ præsentis defecerint, bona opera, animas nostras ad cõpẽsanda benefacta, quæ in vita iniquitatis possedimus,

ἰδεῖν [γάρ] ἐστιν, ὡς οὐδὲν τῆς ὑποκειμένης γῆς εἰς τὸν αὐτῆς ὄγκον αἱ δρυάδες καταναλίσκουσιν. ἐχρῆν γὰρ, εἰ ἀληθὲς ἦν, διὰ τῶν ῥιζῶν ἀνερχομένην ἀποξυλοῦσθαι τὴν γῆν, ἅπαντα τὸν περὶ αὐτὰ τόπον τῆς γῆς κοιλαίνεσθαι, ὅτι μὴ ἐπιῤῥεῖν πέφυκε τὸ ξηρὸν, καθάπερ καὶ τὸ ὑγρὸν, ἀεὶ πρὸς τὸ κινούμενον. ἤδη δὲ καὶ συκαῖ, καὶ ἄλλα τοιαῦτα φυτὰ μυχιαίων ἐν οἰκοδομήμασι πολλάκις βλαστήσαντα, οὐδὲν εἰς ἑαυτὰ τῆς οἰκοδομῆς ὅλως ἰσορροῦνται καταναλωκέναι. εἰ γοῦν ἐκ πολλῶν συλλογίσασθαί τις τὸν καρπὸν αὐτῶν καὶ τὰ φύλλα βουληθείη, κατίδοι ἂν πολλαπλασίονα τῆς ἐπὶ τῶν μυχιαίων γῆς τὸν ὄγκον αὐτῶν γεγενημένον· ὅθεν ἀτοπώτατον ἡγεῖσθαι, τὴν γῆν εἰς καρπῶν φορὰν μεταβαλλομένην, καὶ φύλλα καταναλίσκεσθαι, κἂν δι' αὐτῆς ἅπαντα * γίνωνται, ἕδρᾳ (* al. γίνεται) αὐτῇ * χρώμενοι καὶ τόπῳ. (* ἴσ. χρώμενα) οὐδὲ γὰρ ἄρτος δίχα μύλου, καὶ τόπου, καὶ χρόνου, καὶ πυρὸς γίνεται· καὶ οὐδέν ἐστιν ἢ γίνεται τούτων ὁ ἄρτος. καὶ ἐπὶ ἄλλων μυρίων ὡσαύτως.

Ὅτι τὸ, οἴδαμεν γὰρ ὡς ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, καὶ ἑξῆς, οἱ Ὠριγενιασταὶ εἰς ἀναίρεσιν τῆς τῶν σωμάτων ἀνα- (* al. σκηνός.) στάσεως προβάλλονται, * σκῆνος τὸ σῶμα, καὶ ἀχειροποίητον ἐν οὐρανοῖς οἰκίαν τὰ παρ' αὐτῶν πνευματικὰ ἐνδύματα λέγοντες. διό φησιν ὁ ἅγιος Μεθόδιος, ἐπίγειον οἰκίαν τὴν ἐνταῦθα βραχύβιον ζωὴν καταχρηστικῶς ληπτέον, καὶ οὐ τὸ σκῆνος τοῦτο. εἰ γὰρ ἐπίγειον οἰκίαν ταύτην καταλυομένην τὸ σῶμα πάντως αὐτὸν νομίζετε: φράσατε τὸ σκῆνος τί ἐστιν, οὗ ἡ οἰκία καταλύεται· ἕτερον γὰρ τὸ σκῆνος, καὶ ἄλλο τοῦ σκήνους ἡ οἰκία· καὶ ἕτεροι ἡμεῖς, ὧν ἐστι τὸ σκῆνος. ἐὰν γὰρ ἡ ἐπίγειος ἡμῶν οἰκία, φησὶ, τοῦ σκήνους καταλυθῇ· οἷον ἡμᾶς μὲν, τὰς ψυχὰς ἂν δηλώσας· (2. Cor. 5.) σκῆνος δὲ, τὸ σῶμα· οἰκίαν δὲ τοῦ σκήνους, τὴν κατὰ τὴν παροῦσαν ζωὴν ἀπόλαυσιν τῆς σαρκὸς, τροπικῶς. ἐὰν οὖν ἡ νῦν δὴ αὕτη [ἡ] τοῦ σώματος ζωὴ δίκην οἰκίας καταλυθῇ: ἕξομεν τὴν ἐν τοῖς οὐρανοῖς ἀχειροποίητον. ἀχειροποίητον φησὶ, διὰ τὸ χειροποίητον ταύτην λέγεσθαι τὴν ζωὴν κατὰ ἀντιδιαστολὴν, * διὰ τὸ (* al. διὰ δὲ.) πάντα ἡμῶν τὰ κοσμήματα καὶ σπουδάσματα τοῦ βίου χερσὶ παλαμᾶσθαι ἀνθρώπων. τὸ γὰρ σῶμα, δημιούργημα ὑπάρχον θεοῦ, χειροποίητον οὐ λέγεται, ὅτι μὴ ἐπαλαμήθη τέχναις ἀνθρώπων. εἰ δὲ διότι ὑπὸ θεοῦ ἐδημιουργήθη, χειροποίητον αὐτὸ λέξουσι: χειροποίητοι ἄρα καὶ αἱ ψυχαὶ [καὶ] οἱ ἄγγελοι, καὶ τὰ ἐνδύματα αὐτῶν, τὰ ἐν τοῖς οὐρανοῖς. θεοῦ γὰρ αὐτουργήματα καὶ ταῦτα. τίς οὖν ἐστιν ἡ χειροποίητος οἰκία; ἡ βραχύβιος, ὡς ἔφην, αὕτη ζωὴ, ἡ ὑπ' ἀνθρωπίνων χειρῶν δραματουργουμένη. φάγῃ γάρ φησιν, ἐν (Genes. 3.) ἱδρῶτι τοῦ προσώπου σου τὸν ἄρτον σου: ἧς καταλυθείσης, ἐκείνην τὴν ἀχειροποίητον ζωὴν ἕξομεν. καθάπερ καὶ ὁ κύριος εἰπὼν, ἐδήλωσε. ποιήσατε φίλους ἐκ τῆς ἀδικίας τοῦ μαμμωνᾶ: ἵνα ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. ὃ γὰρ ἐκεῖ σκηνὰς ὁ κύριος ἐκάλεσε, τοῦτο ἐνταῦθα ὁ ἀπόστολος ἐνδύματα: ὃ δὲ ἐκεῖ φίλους ἐκ τῆς ἀδικίας, ἐνταῦθα καταλυομένας ὁ ἀπόστολος (Luca 16.) οἰκίας. καθάπερ γοῦν ἐὰν ἐκλείψωσιν αἱ τῆς παρούσης ζωῆς ἡμῶν ἡμέραι, τὰ πρὸς δίαιτας τὰς ψυχὰς ἡμῶν ὑποδέξονται εὐεργήματα, ἃ ἀπὸ τῆς ἐν τῇ ἀδικίᾳ ζωῆς ἐκτησάμεθα,

τοῦ

τοῦ τὸν κόσμον ἐν τῷ πονηρῷ κεῖσθαι: * ἔπειτα τῆς ζωῆς καταλυθείσης τῆς ὠχυμένης, τὴν πρὸ τῆς ἀναστάσεως ἕξομεν οἴκησιν [αἱ ψυχαὶ] παρὰ τῷ θεῷ, ἕως ἂν ἀνακαινοποιηθεῖσαν ἡμῖν ἄπτωτον ἀναλάβωμεν τὴν οἰκίαν. ὅθεν καὶ στενάζομεν, μὴ θέλοντες τὸ σῶμα ἀπεκδύσασθαι, ἀλλ᾽ ἐπ᾽ αὐτῷ τὴν λοιπὴν ἐπενδύσασθαι ζωήν. τὸ γὰρ οἰκητήριον τὸ ἐξ οὐρανοῦ, ὃ ἐπενδύσασθαι ἐπιθυμοῦμεν, ἡ ἀθανασία ἐστίν. ἣν ἐὰν ἐπενδυσώμεθα, καταποθήσεται πᾶν τὸ ἐν αὐτῇ ὁλοσχερῶς ἀσθενὲς ὑπὸ τῆς ἀχρόνου ζωῆς καταναλωθὲν, καὶ θνητόν. διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους. τουτέστι, διὰ πίστεως γὰρ ἐπιβαίνομεν ἔτι, ἀτρανωτάτῳ λογισμῷ τὰ ἐκεῖ πράγματα καθορῶντες, καὶ οὐ σαφῶς· ὥστε καὶ ὁρᾶν καὶ ἀπολαύειν καὶ ἐν αὐτοῖς εἶναι. τοῦτο δέ φημι, ἀδελφοὶ, ὅτι σὰρξ καὶ αἷμα κληρονομῆσαι βασιλείαν θεοῦ οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. σάρκα φησὶν οὐ τὴν σάρκα αὐτὴν ἐδήλωσεν, ἀλλὰ τὴν ἄλογον πρὸς τὰς μαχλώσας τῆς ψυχῆς ὁρμὴν ἡδονάς. εἰπὼν [οὖν] ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύνανται. ἐπαπεφήνατο, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. φθορὰ δὲ οὐκ αὐτό ἐστι τὸ φθειρόμενον, ἀλλὰ τὸ φθεῖρον. ἐπικρατήσαντος μὲν γὰρ τοῦ θανάτου, κλίνεται τὸ σῶμα εἰς φθοράν: ἐπιμένουσης δὲ ἔμπαλιν τῆς ζωῆς ἐν αὐτῷ, ἕστηκε μὴ καθαιρούμενον. διὸ ἐπειδὴ μεθόριον τῆς ἀφθαρσίας ἐγένετο καὶ τῆς φθορᾶς ἡ σάρξ, οὐκ οὖσα οὐδὲ φθορὰ οὐδὲ ἀφθαρσία· ἐκρατήθη τε διὰ τὴν ἡδονὴν ὑπὸ τῆς φθορᾶς ποίημα τῆς ἀφθαρσίας καὶ κτῆμα ὑπάρχουσα: διὰ τοῦτο γεγένηται εἰς φθοράν. καὶ ἐπεὶ συνεκρατήθη ὑπὸ τῆς φθορᾶς, καὶ θανάτῳ διὰ παιδείαν παρεδόθη: εἰς νῖκος αὐτὴν * τῇ φθορᾷ καθάπερ κληρονομίαν οὐ κατέλιπεν. ἀλλὰ πάλιν διὰ τῆς ἀναστάσεως νικήσας τὸν θάνατον, ἀπέδωκε τῇ ἀφθαρσίᾳ· ἵνα μὴ κληρονομήσῃ ἡ φθορὰ τὴν ἀφθαρσίαν, ἀλλ᾽ ἡ ἀφθαρσία τὸ φθαρτόν. ἐπαπορεῖται γοῦν, δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι τὴν ἀφθαρσίαν, καὶ τὸ θνητὸν τὴν ἀθανασίαν· φθαρτὸν δὲ καὶ θνητὸν ἐνδυόμενον, ἀθανασίαν καὶ ἀφθαρσίαν, τί ἂν ἕτερον εἴη παρὰ τὸ σπειρόμενον ἐν φθορᾷ, καὶ ἀνιστάμενον ἐν ἀφθαρσίᾳ; ἵνα, καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου. ἡ γὰρ εἰκὼν τοῦ χοϊκοῦ, ἣν ἐφορέσαμεν, τὸ γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, ἐστίν, ἡ δὲ εἰκὼν τοῦ ἐπουρανίου, ἡ ἐκ νεκρῶν ἀνάστασις καὶ ἡ ἀφθαρσία. Ἰουστῖνος δὲ ὁ Νεαπολίτης, ἀνὴρ οὔτε τοῖς χρόνοις πόρρω ὢν τῶν ἀποστόλων, οὔτε τῇ ἀρετῇ, κληρονομεῖσθαι μὲν τὸ ἀποθνῆσκον, κληρονομεῖν δὲ * τὸ ζῶν, λέγει. καὶ ἀποθνήσκειν μὲν σάρκα, ζῆν δὲ τὴν βασιλείαν τῶν οὐρανῶν. ὁπόταν δὴ σάρκα ὁ Παῦλος, καὶ αἷμα μὴ δύνασθαι τὴν βασιλείαν τοῦ θεοῦ κληρονομῆσαι, λέγῃ· οὐχ ὡς ἐκφαυλίζων φησὶ τῆς σαρκὸς τὴν παλιγγενεσίαν ἀποφαίνεται, ἀλλὰ διδάσκων, οὐ κληρονομεῖσθαι βασιλείαν θεοῦ αἰώνιον ὑπάρχουσαν ζωὴν ὑπὸ τοῦ σώματος, ἀλλὰ τὸ σῶμα ὑπὸ τῆς ζωῆς. εἰ γὰρ ἐκληρονομεῖτο ἡ βασιλεία τοῦ θεοῦ ὑπὸ τοῦ σώματος ζωὴ ὑπάρχουσα, συνέβαινεν ἂν τὴν ζωὴν ὑπὸ τῆς φθορᾶς καταπίνεσθαι. νῦν δὲ τὸ τεθνηκὸς ἡ ζωὴ κληρονομεῖ, ἵνα εἰς νῖκος καταποθῇ ὁ θάνατος ὑπὸ τῆς ζωῆς, καὶ τὸ φθαρτὸν τῆς ἀφθαρσίας κτῆμα ἀναφανῇ.

(eo quod mundus sit in maligno positus) recipienti, ita breui hac vita soluta, animæ ante resurrectionem habitationem habebunt apud Deum, donec instauratam & nunquam casurã recipiamus domum. Vnde & ingemiscimus, nolentes corpus hoc exuere, sed super ipsũ reliquam vitam induere. Illud enim domicilium cœleste, quod superinduere cupimus, est immortalitas; quam vbi induerimus, absorbebitur penitus à vita æterna consumtum, quicquid in illa infirmum & mortale. Per fidem enim ambulamus non per speciem, hoc est, per fidem adhuc progredimur, statum illic obscurissima consideratione contemplantes, & non aperte, vt videre, & frui, & esse in illo possimus. *Hoc autem dico fratres, quod caro & sanguis regnum Dei possidere non possint, neque corruptio incorruptionem hæreditabit.* Cum carnem vocat, non hanc carnem intellexit, sed irrationalem impetum contra lasciuas animæ voluptates. Cum ergo dicit, *quod caro & sanguis regnum Dei non possidebunt*, simul declarauit, quod neque corruptio hæreditabit incorruptionem. Corruptio autem non est id quod corrumpitur, sed quod corrumpit. Morte enim prædominante, corpus in corruptionem vergit. Vita autem in eo rursum manente, manet incorruptum. Quare cum inter confinia corruptionis & incorruptionis caro nata sit, nec sit corruptio nec incorruptio, victa est à corruptione, propter delectationem, incorruptionis opificium, quamuis esset in possessione [incorruptio.] Hinc [caro] nata est in corruptionem. Et postquam victa est à corruptione, & morti propter castigationem tradita, non reliquit illam corruptioni ad victoriam in hæreditatem, sed rursum victã per resurrectionem morte reddidit incorruptioni, vt ne corruptio incorruptionem in hæreditatem acciperet, sed potius incorruptio corruptibile [absorberet] Dicit enim: *Oportet enim corruptibile hoc induere incorruptionem, & mortale immortalitatem.* Corruptibile autem & mortale induere immortalitatem & corruptionem quid aliud sit, quam seminatum in corruptione, resurgens in incorruptione: *Vt sicut portauimus imaginem terreni, portemus & imaginem cœlestis.* Imago enim terreni, quam portauimus, illud est: *Terra es & in terram reuerteris.* Imago autem cœlestis est resurrectio ex mortuis, & incorruptio.

Iustinus vero Neapolitanus vir haud longè ab Apostolorum temporibus & virtutibus remotus, quod mortale est hæreditate accipi dicit, vitam verò hæreditatem accipere. Et carnem quidem mori, viuere vero regnum cœlorum. Quando verò Paulus, à sanguine regnum Dei possideri posse negat, nõ dicit hoc, vt carnis regenerationẽ videatur negare: sed vt doceat, non possideri regnum Dei, quod est vita æterna, à corpore, sed corpus à vita. Si enim regnũ Dei, quod est vita, à corpore possideretur, eueniret vt vita à corruptione absorberetur. nũc cõtra id quod mortuũ est, à vita possidetur, vt in victoria mors à vita absorbeatur, & corruptibile ab incorruptibili possideri videatur,

METHOD.

liberum tamen à morte & peccato factum; sed vt seruiat & ministret immortalitati, vt corpus sit incorruptionis, non incorruptio corporis. *Quod mortui in Christo resurgent primum, deinde nos qui viuimus.* De hoc ita censet S. Methodius. Hoc est: [inquit] Ipsa nostra hæc corpora. Nos enim qui viuimus, animæ sumus, qui excitata è terra corpora mortua accipimus, vt in occursum Domini simul cum ipsis rapti gloriosè celebremus illi festum Resurrectionis, pro quibus æterna nobis tabernacula non interitura aut soluenda accepimus.

1. Thess. 4.

Vidi, inquit, in Olympo monte Lyciæ ignem sponte sua in montis cacumine ex imo terræ enascentem, iuxta quem stirps, pyragnus [nomine] exsistit adeo florida; virens, & opaca, vt è fonte potius nata videatur. Quam igitur ob causam cum naturæ corruptibiles sint, & corpora ab igne consumantur, hæc sola stirps non solum non exuritur, sed magis etiam efflorescit, quamuis naturâ facile exuri possit, præsertim ad ipsius radices igne eructante? Ramos ergo ex circum iacentis siluæ arboribus, in ignem illic erumpentem conieci, qui subito flammis correpti in cinerem redacti sunt. Quid ergo sibi vult hoc miraculum? signum & indicium futuri diei Deus hoc exhibuit, vti sciamus, flāmis olim omnia absumpturis corpora quæ in puritate & iustitia vitam transegere, per ignem non secus ac frigidam aquam transitura. Vide, inquit, vtrum non B. Ioannes cum dicit, *Dedit mare mortuos suos, qui in eo erant: & mors & infernus dederunt mortuos suos, qui in ipsis erant*: partes ab elementis redditas ad vniuscuiusque reparationem, ostenderit? Mare quidem [constat] esse naturam humidam, infernum autem, aërem ab obscuritate, quod non videatur, quemadmodum Origenes explicat, mortem item esse terrā, eo quod mortuus in ea reponatur. Vnde & puluis est appellata mors in psalmis, Christo dicente *&* *in puluerem mortis deductum esse.*

Salicem terrenis vocit. Lou. 23. Iob. 40.

In igne consumtura.

Apoc. 20.

Psal. 21. 16.

Ait [Methodius.] Quicquid ex puro aëre & puro igne componitur, & angelicis naturis consubstantiale est, illud non potest habere terræ & aquæ qualitatem, quia necessario ipsum esset terrestre. Tale autem & ex hisce [aëre & igne] resurrecturum corpus fingit Origenes, quod spirituale appellauit.

Atqui, inquit, quæ species erit resurgentis, si forma hæc humana, velut inutilis ipsi, extinguatur, quæ ex omnibus in animalia cadentibus formis est amabilior, qua Numen ipsum vtitur, quemadmodum Sapientiss. Paulus explanat. *Vir quidem non debet velare caput suum, quoniam imago & gloria Dei est*, ad quod rationalia quoque angelorum corpora sunt exornata. Eritne ergo [.·. forma] circularis; aut angularis, aut cubica, aut pyramidalis? variæ enim sunt figurarum species: sed hoc est impossibile. Ecqua hæc sors esset; formam Deo similem (similem enim animam esse corpori ipse quoque fatetur) velut deteriorem abiici, & [corpus] sine pedibus manibúsque resurgere?

1. Cor. 11.

.·. Corporis resurgentis.

ἐλεύθερον μὲν θανάτου καὶ ἁμαρτίας γεγενημένον, δοῦλον δὲ καὶ ὑπήκοον ἀθανασίας· ὅπως τῆς ἀφθαρσίας τὸ σῶμα ᾖ, καὶ μὴ τοῦ σώματος ἡ ἀφθαρσία.

Ὅτι δὲ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα ἡμεῖς οἱ ζῶντες ὁ ἅγιος Μεθόδιος [ἤτοι] φησί· τουτέστιν, αὐτὰ ἡμῶν ταῦτα τὰ σώματα· ἡμεῖς γὰρ οἱ ζῶντες, αἱ ψυχαί ἐσμεν, οἱ ἀπολαμβάνοντες * ἐγερθέντας ἐκ τῆς γῆς τοὺς νεκρούς· ἵνα εἰς ἀπάντησιν ἅμα αὐτοῖς ἁρπαγέντες τοῦ κυρίου, ἐνδόξως ἑορτάσωμεν μὲν αὐτοῦ τὴν φαιδρὰν τῆς ἀναστάσεως ἑορτήν, ἀνθ' ὧν αἰωνίους ἡμῶν τὰς σκηνὰς οὐκέτι τεθνηξομένας ἢ λυθησομένας ἀπειλήφαμεν.

*al. ἐξεγερθέντας

Ὅτι φησὶν ἐθεασάμην ἐν ὀλύμπῳ ἐγὼ (ὄρος δέ ἐστιν ὁ Ὄλυμπος τῆς Λυκίας) πῦρ αὐτομάτως κατὰ τὴν ἀκρώρειαν τοῦ ὄρους κάτωθεν ἐκ τῆς γῆς ἀναδιδόμενον, περὶ ὃ πύραγνος φυτόν ἐστιν, οὕτω μὲν εὐθαλὲς καὶ χλοερόν, οὕτω δὲ σύσκιον, ὡς ὑπὸ πηγῆς μᾶλλον αὐτὸ βεβλαστηκέναι. διὰ ποίαν οὖν αἰτίαν, εἰ φύσεις εἰσὶ φθαρτῶν, καὶ ὑπὸ πυρὸς καταναλουμένων σωμάτων, οὐ μόνον οὐ καταφλέγεται τὸ φυτὸν τοῦτο, ἀλλὰ καὶ μᾶλλον ἀκμαιότερον ὑπάρχει, εἰ τῇ φύσει ἐστὶν εὔκαυστον, καὶ ταῦτα περὶ αὐτὰς αὐτοῦ τὰς ῥίζας [τοῦ πυρὸς] ἐκτυφωμένου; κλάδους γοῦν ἐγὼ δένδρων ἐκ τῆς παρακειμένης ὕλης ἐπέρριψα, καθ' ὃν ἀνεβλύζεται τὸ πῦρ τόπον, καὶ εὐθέως εἰς φλόγα ἀρθέντες, ἐτεφρώθησαν. τί οὖν βούλεται τὸ παράδοξον; δεῖγμα τοῦτο τῆς μελλούσης ὁ θεὸς ἡμέρας καὶ προοίμιον ἔθετο: ἵνα γινώσκωμεν, ὅτι πάντων πυρὶ κατομβρουμένων, τὰ ἐν ἁγνείᾳ σώματα διαζήσαντα καὶ δικαιοσύνῃ, καθάπερ ψυχρῷ ὕδατι τῷ πυρὶ ἐπιβήσονται.

Ὅτι φησίν, ἐπίστησον δὲ μή ποτε καὶ ὁ μακάριος Ἰωάννης, ἔδωκεν ἡ θάλασσα τοὺς νεκροὺς τοὺς ἐν αὐτῇ, λέγων. καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἔδωκαν τοὺς νεκροὺς τοὺς ἐν αὐτοῖς: τὰ ἀπὸ τῶν στοιχείων ἀναδιδόμενα πρὸς ἀποκατάστασιν ἑκάστου μέρη ἐδήλωσε: τὴν μὲν γὰρ θάλασσαν εἶναι τὴν ὑγρὰν οὐσίαν, ᾅδην δὲ τὸν ἀέρα, παρὰ τὸ ἀειδὲς διὰ τὸ μὴ ὁρᾶσθαι, καθάπερ ἐλέχθη καὶ Ὠριγένει· καὶ θάνατον τὴν γῆν, παρὰ τὸ ἐν αὐτῇ κλίνεσθαι τὸν θνήσκοντα· ὅθεν καὶ χοῦς ἐκλήθη * θανάτου ἐν ψαλμοῖς, εἰς χοῦν θανάτου κατῆχθαι εἰρηκότος Χριστοῦ. Ὅτι φησὶ πᾶν γὰρ τὸ ἐκ καθαροῦ ἀέρος καὶ καθαροῦ πυρὸς συνιστάμενον σύγκριμα, καὶ τοῖς ἀγγελικοῖς ὁμοούσιον ὑπάρχον, οὐ δύναται γῆς ἔχειν ποιότητα καὶ ὕδατος: ἐπεὶ συμβήσεται ἔσεσθαι αὐτὸ γεῶδες. τοιοῦτον καὶ ἐκ τούτων τὸ ἀναστῆναι μέλλον σῶμα ἀνθρώπου Ὠριγένης ἐφαντάζετο, ὃ πνευματικὸν ἔφησεν.

* Νεκρὸν.

Ὅτι, φησί, ποδαπὸν ἄρα * ἐστὶ καὶ σχῆμα τὸ ἀνιστάμενον, εἰ ὅλως τὸ ἀνθρωποειδὲς τοῦτο ὡς ἄχρηστον ὂν κατ' αὐτόν, ἐξαφανίζεται: ὃ πάντων ἐστὶ τῶν εἰς ζῶα συγκεκριμένων σχημάτων ἐρασμιώτερον· ᾧ καὶ τὸ θεῖον χρῆται εἰκόνι, καθάπερ καὶ ὁ σοφώτατος Παῦλος δηλοῖ· ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα θεοῦ ὑπάρχων, εἰς ὃ καὶ τὰ νοερὰ τῶν ἀγγέλων σώματα διεκοσμήθησαν· ἄρα κυκλοτερὲς ἢ πολυγώνιον ἢ κυβικὸν ἢ πυραμοειδές; πλεῖσται γὰρ τῶν σχημάτων αἱ παραλλαγαί. ἀλλὰ τοῦτο ἀμήχανον. οὐκοῦν τίς ἡ ἀποκλήρωσις, τὸ μὲν θεοείκελον σχῆμα (ὁμολογεῖ γὰρ καὶ αὐτὸς ὁμοειδῆ εἶναι τὴν ψυχὴν τῷ σώματι) ἀπογορεύεσθαι ὡς ἀκλεέστερον: ἄπουν δὲ καὶ ἄχειρον ἀνίστασθαι;

*al. σχῆμα.

Ὅτι

Ὅτι φησὶν ὁ μετασχηματισμὸς, ἡ εἰς τὸ ἀπαθὲς καὶ ἔνδοξόν ἐστιν ἀποκατάστασις· νῦν μὲν γὰρ [τὸ] σῶμα ἐπιθυμίας ἐστὶ καὶ ταπεινώσεως. διὸ καὶ Δανιὴλ, ἀνὴρ ἐπιθυμιῶν,* ἤκουε, τότε δὲ μετασχηματισθήσεται εἰς σῶμα ἀπαθές· οὐ τῇ ἐξαλλαγῇ τῆς διακοσμήσεως τῶν μελῶν, ἀλλὰ τῷ μὴ ἐπιθυμεῖν τῶν ὑλικῶν ἡδονῶν. Ὅτι φησὶν ἐξελέγχων τὸν Ὠριγένην· βούλεται τοίνυν ὁ Ὠριγένης τὴν μὲν αὐτὴν σάρκα μὴ ἀποκαθίστασθαι τῇ ψυχῇ, τὴν δὲ ποίαν ἑκάστου μορφὴν, κατὰ τὸ εἶδος τὸ τὴν σάρκα καὶ νῦν χαρακτηρίζον, ἐν ἑτέρῳ πνευματικῷ ἐκτετυπωμένην ἀναστήσεσθαι σώματι· ἵνα ἕκαστος πάλιν ὁ αὐτὸς φανῇ κατὰ τὴν μορφήν. καὶ τοῦτο εἶναι τὴν ἐπαγγελλομένην ἀνάστασιν. ῥευστοῦ γάρ φησιν ὑπάρχοντος τοῦ ὑλικοῦ σώματος, καὶ μηδέποτε μένοντος ἐφ' ἑαυτοῦ· ἀλλὰ ἀπογινομένου καὶ ἐπιγινομένου περὶ τὸ εἶδος τὸ χαρακτηρίζον τὴν μορφὴν, ὑφ' οὗ καὶ συγκρατεῖται τὸ σχῆμα: ἀνάγκη δὴ τὴν ἀνάστασιν ἐπὶ μόνου εἴδους ἔσεσθαι. εἶτα μετ' ὀλίγον φησὶν, Οὐκοῦν, ὦ Ὠριγένες, εἰ ἐπὶ τοῦ εἴδους μόνον προσδοκᾶσθαι διισχυρίζῃ τὴν ἀνάστασιν ἐν πνευματικῷ μεταβληθησομένου σώματι, ἀπόδειξίν τε δοκιμωτάτην τὴν κατὰ τὸν Ἠλίαν ἡμῖν ὀπτασίαν καὶ Μωσέα παρέχεις. ὥσπερ ἐκεῖνοι, φαμένος, μετὰ τὴν ἀπὸ τοῦ βίου ἔξοδον ὤφθησαν οὐχ ἕτερον, παρ' * ὃ εἶχον, εἶδος ἐξ ἀρχῆς διασώζοντες, κατὰ ταὐτὰ καὶ ἡ πάντων * ἔσται ἀνάστασις, ὁ Μωσῆς δὲ καὶ Ἠλίας πρὸ τοῦ τὸν Χριστὸν παθεῖν καὶ ἀναστῆναι, ἤδη τὸ εἶδος τοῦτο ὃ φὴς ἔχοντες ἀνέστησαν καὶ ὤφθησαν. πῶς δή ἔτι ὁ Χριστὸς πρωτότοκος εἶναι τῶν νεκρῶν ὑπὸ τῶν προφητῶν καὶ τῶν ἀποστόλων ᾄδεται; εἰ γὰρ πρωτότοκος τῶν νεκρῶν Χριστὸς εἶναι πεπίστευται, πρωτότοκος δέ ἐστι τῶν νεκρῶν ὁ πρὸ πάντων ἀναστάς· ὁ δὲ Μωσῆς ἤδη καὶ πρὸ τοῦ τὸν Χριστὸν παθεῖν, ἔχων τὸ εἶδος τοῦτο ἐφάνη τοῖς ἀποστόλοις, περὶ ὃ πληροῦσθαι φὴς αὐτὸς τὴν ἀνάστασιν: οὐκ ἄρα τοῦ εἴδους, χωρὶς τῆς σαρκός, ἐστιν ἡ ἀνάστασις. ἤτοι γὰρ τοῦ εἴδους ἐστὶν * ὥσπερ ἰσχυρίζῃ μόνου ἡ ἀνάστασις, καὶ οὐ δύναται ἔτι πρωτότοκος εἶναι ὁ Χριστὸς τῶν νεκρῶν, τῷ πρὸ αὐτοῦ ἐχούσας τοῦτο μετὰ τὴν τελευτὴν τὸ εἶδος πεφηνέναι ψυχάς: ἢ πρωτότοκος ἀληθῶς ὥσπερ ἐστὶ, καὶ ἀδύνατον ὅλως ἠξιῶσθαι πρὸ αὐτοῦ τινὰς τῆς εἰς τὸ μὴ αὖθις ἀποθανεῖν ἀναστάσεως. εἰ δὲ ἀνέστη οὐδεὶς πρὸ αὐτοῦ, οἱ δὲ ἀμφὶ τὸν Μωϋσέα καὶ τὸν Ἠλίαν σάρκας μὲν ἔχοντες τοῖς ἀποστόλοις οὐκ ὤφθησαν, μόνον δὲ τὸ εἶδος: ἡ ἄρα ἀνάστασις ἐπὶ τῆς σαρκὸς περιφανῶς δηλοῦται. καὶ γὰρ ἀτοπώτατον ἐπὶ μόνου τοῦ εἴδους τὴν ἀνάστασιν διορίζεσθαι, ὁπότε αἱ ψυχαὶ καὶ μετὰ τὴν σαρκῶν ἔξοδον οὐδέποτε φαίνονται τὸ εἶδος, ὅ φησιν, ἀνίστασθαι ἀποτιθέμεναι. εἰ δὲ συμπάρεσται αὐταῖς τοῦτο ἀναφαίρετον, καθάπερ καὶ ἐπὶ τῇ Μωσέως καὶ Ἠλιοῦ ψυχῇ, καὶ οὔτε φθείρεται, κατὰ σὲ, οὔτε ἀπόλλυται, σὺν αὐταῖς πανταχοῦ συμπαρόν: οὐκ ἄρα τὸ εἶδος ἀνίσταται, ὃ μηδέποτε πέπτωκεν. ἐὰν δή τις δυσχεράνας καὶ πῶς δὴ ἀποκριθῇ εἰ μηδεὶς ἀνέστη πρὸ τοῦ κατελθεῖν εἰς τὸν ᾅδην τὸν Χριστὸν, ἀναστάντες ἤδη τινὲς ἱστόρηνται πρὸ αὐτοῦ· ἐν οἷς τῆς Σαρεφθίνης χήρας ὁ υἱὸς, καὶ τῆς Σωμανίτιδος, καὶ ὁ Λάζαρος;

* al. ἀκούων.

* al. ἔ.
* al. ὅτι ἀνέστησαν.

* ὁ συγγυν.

METHOD.

Transformatio, inquit, est ad immortalitatem & gloriam transmutatio. Nunc enim corpus est in desiderio & hmilitate: Vnde Daniel *vir desideriorum* est appellatus. Tunc autem transfigurabitur in corpus impassibile, nõ mutato in deterius ornatu membrorum, sed extinctâ corporalium voluptatum concupiscentiâ. Coarguens dein Origenem ait; Origenes igitur vult non eandem carnem cum anima coniunctum iri; sed qualem nunc singulorum formam, secundum speciem corpus carni imprimit, [talem sed] in alio corpore spirituali impressam resurrecturam, vt vnusquisque rursum idem videatur secundum formam; & hanc esse promissam nobis resurrectionem. Cum enim, inquit, corpus materiale fluxum sit, & in seipso nequaquam persistat, sed deficiat & crescat secundum figuram, quæ formam exprimit, sub qua [specie] continetur & figura, necesse est, vt resurrectio in sola specie fiat. Deinde post pauca dicit: Si igitur ô Origenes, resurrectionem in sola specie in spirituale corpus mutatâ, expectandam contendis, & visionem Eliæ & Moysis nobis pro certissima demonstratione exhibes: quemadmodum illi, inquis, post mortem non aliâ, quam viuentes olim habebant, species apparuerunt: ita & nos omnes resurgemus: Moyses autem & Elias ante Christi passionem & resurrectionem, formam habẽ, quam ais, habentes resurrexerunt & apparuerunt. Quomodo ergo Christus [ô Origenes] primogenitus mortuorum à Prophetis & Apostolis celebratur; si enim primogenitus mortuorum Christus esse creditus est, primogenitus verò is est, qui ante omnes ex mortuis resurrexit: Moyses autem iam ante Christi passionem hanc habens formam Apostolis apparuit, secundum quam impleri ais resurrectionem; atqui non formæ sine carne est resurrectio: aut enim solius formæ est resurrectio, vt doces; & [hac ratione Christus] non potest esse amplius primogenitus mortuorum, eo quod animæ post mortem secundum formam ante Christum hoc habuerint vt apparerent: an reuera, primogenitus est; vt est; & impossibile est prorsus vt aliqui ante illum dignati fuerint ea resurrectione vt non amplius morerentur. Si autem nemo ante illum surrexit: Moyses autem & Elias non in corpore, sed tantum per formam Apostolis apparuerunt; profectò Resurrectio manifestè in carne [futura esse] declaratur. Absurdissimum enim est resurrectionem sola forma definire, quando animæ post exitum à corporibus nunquam apparent secundum formam, quod ad resurrectionem sint repositæ. Si autem aderit illis hoc quod ab illis nunquam auferetur, quemadmodum in Moysi & Eliæ anima adfuit; neque corrumpitur secundum te, neque perit, semper præsens cum illis, non forma profectò resurgit, quæ nunquam cecidit. Quod si quis indignatus dicat, si nemo resurrexit antequam Christus descenderet ad inferos, quomodo memorantur quidam ante illum surrexisse, inter quos viduæ Sareptanæ filius, & Sunamitidis filius, itémque Lazarus?

Dan. 9. 23.

Ὅτι τὸ παρὰ τοῦ προφήτου Ἰεζεκιὴλ περὶ τῆς ἀναστάσεως τῶν νεκρῶν ῥητὸν εἰρημένον τοῦ Ὠριγένους ἀλληγοροῦντος, καὶ εἰς τὴν τῶν εἰς Βαβυλῶνα αἰχμαλωτισθέντων Ἰσραηλιτῶν ἐπάνοδον ἐκβιαζομένου εἰρῆσθαι· ἐξελέγχων μετὰ πολλὰ ὁ ἅγιος, καὶ τοῦτό φησιν· οὐδὲ γὰρ οὐδὲ αὐτοὶ πρὸς ἐλευθερίας ἀπήλαυσαν καθαρᾶς, οὐδὲ τῶν ἐχθρῶν κατακρατήσαντες ἐξουσιαστικώτερον κατῴκισαν τὴν Ἱερουσαλήμ. εἴργοντο γοῦν * ὑπὸ τῶν ἀλλοεθνῶν πολλάκις οἰκοδομῆσαι θελήσαντες μᾶλλον· ὅθεν καὶ ἐν μ΄ αὐτὸν καὶ ἓξ ἔτεσι μόλις ἠδυνήθησαν δείμασθαι, τοῦ Σολομῶντος ἐν ἑπτὰ τοῖς χρόνοις ἐκ θεμελίων αὐτὸν συμπληρώσαντος. καὶ τί χρὴ λέγειν; ἀπὸ γὰρ δὴ Ναβουχοδονόσορ, καὶ τῶν μετ' αὐτὸν Βαβυλῶνος βασιλευσάντων, ἄχρι τῆς Περσῶν ἐπὶ τοὺς Ἀσσυρίους καθόδου, τῆς τε Ἀλεξάνδρου ἡγεμονίας, καὶ τοῦ Ῥωμαίων τοῦ πρὸς τοὺς Ἰουδαίους συρραγέντος πολέμου, ἑξάκις κατεστράφησαν ὑπὸ τῶν πολεμίων τὰ Ἱεροσόλυμα. καὶ τοῦτο * Ἰώσηππος ἱστορεῖ λέγων, ἔτει δευτέρῳ τῆς Οὐεσπασιανοῦ ἡγεμονίας, ἁλοῦσα δὲ καὶ πρότερον πεντάκις, τοῦτο δεύτερον ἠρημώθη. Ἀσωχαῖος μὲν γὰρ, ὁ τῶν Αἰγυπτίων βασιλεὺς, καὶ μετ' αὐτὸν Ἀντίοχος, ἔπειτα Πομπήϊος, καὶ ἐπὶ τούτοις σὺν Ἡρώδῃ Σόσσιος ἑλόντες ἐνέπρησαν τὴν πόλιν. πρὸ δὲ τούτων, ὁ τῶν Βαβυλωνίων βασιλεὺς κρατήσας ἠρήμωσεν αὐτήν.

Ὅτι Ὠριγένης τάδε φησί· περὶ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου ἀπορεῖσθαι δύναται· τῶν μὲν * ἁπλούστερον οἰομένων ταῦτα λελέχθαι, ὡς ἀμφοτέρων μετὰ τῶν σωμάτων λαμβανόντων τὰ ἄξια τῶν τῷ βίῳ πεπραγμένων, τῶν δὲ * ἀκριβέστερον· ἐπεὶ μετὰ τὴν ἀνάστασιν οὐδεὶς ἐν βίῳ καταλείπεται, οὐκ ἐν τῇ ἀναστάσει οἰομένων ταῦτα γεγονέναι. λέγει γὰρ ὁ πλούσιος, ὅτι πέντε ἀδελφοὺς ἔχω, καὶ ἵνα μὴ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου, πέμψον Λάζαρον ἀπαγγέλλοντα αὐτοῖς τὰ ἐνταῦθα. καὶ διὰ τοῦτο ζητοῦντες τὴν γλῶσσαν, καὶ τὸν δάκτυλον, καὶ τοὺς κόλπους Ἀβραὰμ, καὶ τὴν * ἀνάκλησιν, καὶ τάχα τὸ τῆς ψυχῆς ἅμα τῇ ἀπαλλαγῇ σχῆμα, ὁμοιοειδὲς ὂν τῷ παχεῖ καὶ γεώδει σώματι, δύναται οὕτως λαμβάνεσθαι. εἴ ποτε γοῦν ἱστόρηταί τις τῶν κεκοιμημένων φαινόμενος, * ὁμοίως ἑωρᾶσθαι τῷ ὅτε τὴν σάρκα εἶχε σχήματι. ἔτι, ἀλλὰ καὶ ὁ Σαμουὴλ φαινόμενος, ὡς δῆλόν ἐστιν ὁρατὸς ὢν, παρίστησιν ὅτι σῶμα περιέκειτο· μάλιστα ἐὰν ἀναγκαζώμεθα ὑπὸ τῶν ἀποδείξεων τὴν οὐσίαν τῆς ψυχῆς ἀσώματον εἶναι, καὶ ταύτην ἀποφήνασθαι. ἀλλὰ καὶ ὁ κολαζόμενος πλούσιος, καὶ ὁ ἐν κόλποις Ἀβραὰμ πένης ἀναπαυόμενος, πρὸ τῆς παρουσίας τοῦ σωτῆρος καὶ πρὸ τῆς συντελείας τοῦ αἰῶνος· καὶ διὰ τοῦτο * πρὸ τῆς ἀναστάσεως λεγόμενοι, ὁ μὲν ἐν ᾅδου κολάζεσθαι, ὁ δὲ ἐν κόλποις Ἀβραὰμ ἀναπαύεσθαι, διδάσκουσιν ὅτι καὶ νῦν τῇ ἀπαλλαγῇ σώματι χρῆται ἡ ψυχή. Πρὸς ταῦτα ὁ ἅγιος τάδε φησὶ, σχῆμα ἄλλο ὁμοειδὲς τῷ αἰσθητῷ τούτῳ μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν ἔχειν ἐκτιθέμενος τὴν ψυχὴν ἀσώματον ὑπό τι Πλατωνικῶς ἀποφαίνεται αὐτήν. τὸ γὰρ καὶ μετὰ τὴν ἀπὸ τοῦ κόσμου ἀποφοίτησιν ὀχήματος αὐτὴν δεῖσθαι καὶ περιβολῆς λέγειν, ὡς οὐ δυναμένην καθέχεσθαι γυμνὴν, πῶς οὐκ ἂν καθ' ἑαυτὴν * ἀσώματον εἴη;

Verbum quod dixit Propheta Ezechiel de mortuorum resurrectione Origenes Allegoricè interpretatus est, & ad Israëlitarum ex captiuitate Babylonica reditum quasi per vim detorsit, quem post multa S. Methodius coarguens hoc dicit: Neque Iudæi plenam sincerámque libertatem assecuti sunt, neque hostibus deuictis maiori cum potestate Hierosolymam incoluerunt. Immo sæpe cum instaurare vrbem conarentur, ab aliis populis sunt impediti. Vnde & intra quadraginta sex annos vix templum absoluerunt, cum illud Solomon septem annis ab ipsis fundamentis excitatum perfecisset. Et quid opus est verbis, à Nabuchodonosore, & successoribus eius in Babylone vsque ad Persarum in Assyrios expeditionem, & Alexandri imperium, & bellum iam cum Romanis incrudescens sexies ab hostibus Hierosolyma euersa sunt. Et hoc Iosepho teste qui dicit: Anno altero Vespasiani imperatoris, capta autem & ante iam quinquies fuerat, iterum excisa est Hierosolyma. Asochæus enim Ægypti Rex, & huius successor Antiochus: deinde Pompeius, deinde post hos Sosius cum Herode captam vrbem incenderunt. Ante hos verò Babylonis Rex expugnatam vastauit.

Origenes præterea hæc dicit: de Lazaro & diuite dubitari potest: Aliis quidem simplicius dictum putantibus, quasi ambo in corporibus suis assumptis digna factis in vita præmia receperint; aliis subtilius: quia cum post resurrectionem nemo in vita relinquatur, non existimant hæc in resurrectione contigisse. Dicit enim diues: habeo quinque fratres, ne & ipsi veniant in locum hunc tormentorú, mitte Lazarum, qui nunciet ipsis, quæ hic fiunt. Quærunt ergo per hæc linguam & digitum & sinus Abrahæ, & compellationis vocem, & fortasse figuram illam seu formam statim cum animæ excessu, similem corpori crasso & terreno. Res ita potest intelligi: Si quando quis ex mortuis narratur apparuisse, videtur in simili formá, quam in carne habuit. Deinde Samuel apparens, vt manifestum est, spectabilis probat se corpore indutum fuisse. Si maximè demonstrationibus vrgeamur fateri, animæ naturam incorpoream esse, hanc videri [demonstrationem.] Sed & diues punitus, & pauper in sinu Abraham requiescens ante Saluatoris aduentum, & ante consummationem sæculi, & propterea ante resurrectionem, dum dicuntur hic quidem apud inferos puniri, ille verò in sinu Abrahæ requiescere, docent, etiam nunc post excessum è vita animam corpore vti. Ad hæc vir Sanctus respondet, figuram aliam visu similem sensibili huic animam post emigrationem ex hac vitâ habere; animam incorpoream professus ad Platonicam ferè rationem definit. Dum enim dicit illam post excessum ex hac vita vehiculo egere & veste, eo quod nuda comprehendi tenerive non possit. Quomodo ergo per se non sit incorporea?

Marginal notes: METHOD. Ezech. 37. — Luc. 16. — * al. ἀπὸ — * al. Ἰώσηππος — * al. ἁπλούστερον — * al. ἀκριβέστερον — * al. ἀνάπαυσιν — * al. ὁμοίως — * al. διὰ — * ἀσώματον.

METHOD.

Cum autem incorporea sit, quomodo non expers erit [per se] passionum, seu dolorum. Comitatur enim ipsam, si incorporea sit, vti nec pati, nec teneri possit. Ergo si concupiscentiã irrationali nulla ratione fuit tacta, neque corporis dolentis patientisque sensu vllo fuit tacta, (nam incorporeum quomodo corporis sensu, aut corpus incorporei affectu tangatur?) Sequitur conuenienter prædictis vt incorporea esse videatur. Si autem cum corpore patiatur, quemadmodum ex iis qui apparuerunt comprobatur, incorporea esse non potest. Ergo solus Deus natura ingenita, nullius indigens, & indefessa nec fatigabilis prædicatur, qui cum incorporeus sit propterea est inuisibilis. Deum enim nemo vidit. Animæ verò à Patre vniuersorum corpora rationalia conditæ, in membra ratione percipienda exornatæ hanc figuram acceperunt: vnde apud inferos vt in Lazaro & diuite [est videre] linguam, & digitum & alia membra habere dicuntur, non quod alienum corpus cum illis existat informe, sed quod ipsæ animæ, ab omni tegumento nudatæ per se natura sua secundum substantiam tales sint. Addit in fine vir Sanctus, illud dictum: *In hoc Christus mortuus est vt viuorum & mortuorum dominetur.* de animabus & corporibus accipiendum esse .viuis scilicet animabus, vtpote immortalibus, mortuis verò corporibus. Quod si corpus humanum omnium animalium aliorum corporibus est nobilius, quia ipsius Dei manibus efformatum & rationalis animæ præstantius vehiculum: quomodo hoc tam breuis est æui, cum multa animalium irrationalium corpora sint hoc multo longioris vitæ? Manifestum ergo illius substantiam post resurrectionem longæuam [siue æternam] fore.

Error Methodij animas esse corporeas.

Rom. 14. 9. Si legas ὦ pro τι, vt videtur legendum propter sequens ὦ δῆλον, alius sensus est. Christus dicitur mortuorum siue corporum Dominus aut quia corpus hum. est aut quia manifestum est illius.

ἀσώματος δὲ οὖσα, πῶς οὐκ ἔσται καὶ ἀνεπίδεκτος παθῶν; ἀκολουθεῖ γὰρ τῷ ἀσώματον αὐτὴν ὑπάρχειν, καὶ τὸ ἀπαθῆ εἶναι καὶ ἀπερίληπτον. εἰ μὲν οὖν ὑπὸ ἀλόγου οὐ παρείλκετο ὅλως ἐπιθυμίας, οὐδὲ συμμετεβάλλετο ἀλγοῦντι καὶ πάσχοντι τῷ σώματι· ἀσώματον γὰρ σώματι ἢ σῶμα ἀσωμάτῳ οὐκ ἄν ποτε συμπάθοι, ἵνα ἂν ἀσώματον δόξαι αὐτὴν *ἀκολούθως τοῖς εἰρημένοις. εἰ δὲ συμπάσχοι τῷ σώματι, καθάπερ καὶ διὰ τῆς ἐπιμαρτυρήσεως τῶν φανέντων ἀποδείκνυται: ἀσώματος εἶναι οὐ δύναται. ἤγουν ἀγέννητος καὶ ἀνενδεὴς καὶ ἀκάματος φύσις ὁ θεὸς μόνος ἄδεται, ἀσώματος ὤν, διὸ καὶ ἀόρατος· θεὸν γὰρ οὐδεὶς ἑώρακεν. αἱ δὲ ψυχαὶ ὑπὸ τοῦ δημιουργοῦ καὶ πατρὸς τῶν ὅλων, σώματα νοερὰ ὑπάρχουσαι, εἰς λόγῳ θεωρητὰ μέλη διακεκοσμημέναι, ταύτην λαβοῦσαι τὴν διατύπωσιν. ὅθεν καὶ ἐν τῷ ᾅδῃ, καθάπερ καὶ ἐπὶ τοῦ Λαζάρου, καὶ τοῦ πλουσίου, καὶ γλῶσσαν καὶ δάκτυλον καὶ τὰ ἄλλα μέλη ἱστοροῦνται ἔχειν· οὐχ ὡς σώματός τινος ἑτέρου συνυπάρχοντος αὐταῖς ἀειδοῦς, ἀλλ᾽ ὅτι [καὶ] αὗται φύσει, αἱ ψυχαί, παντὸς ἀπογυμνωθεῖσαι περιβλήματος, τοιαῦται κατὰ τὴν οὐσίαν ὑπάρχουσιν· Ὅτι φησὶν ὁ ἅγιος ἐν τέλει, ὥστε τὸ διὰ τοῦτο Χριστὸς ἀπέθανε λεγόμενον, ἵνα ζώντων καὶ νεκρῶν κυριεύσῃ, ἐπὶ τῶν ψυχῶν καὶ ἐπὶ τῶν σωμάτων παραληπτέον: ζώντων μὲν τῶν ψυχῶν, καθὸ ἀθάνατοι, νεκρῶν δὲ τῶν σωμάτων. Ὅτι [εἰ] τιμιώτερον σῶμα ἀνθρώπου τῶν ἄλλων ζώων, ὅτι χερσί τε θεοῦ λέγεται πεπλάσθαι, καὶ ὅτι *τιμιώτερον τῆς λογικῆς ψυχῆς τετύχηκε *ὄχημα. πῶς τοῦτο μὲν ὀλιγοχρόνιον, ἀλόγων δὲ ἀπτώτων πολλὰ πολυχρονιώτερα; ἢ δῆλον ὡς ἡ τούτου πολυχρόνιος ὕπαρξις μετὰ τὴν ἀνάστασιν ἔσται.

* al. ἀσωμάτου.

* al. τιμιωτέρου ὀχήματος.

CCXXXV.

Ex Lib. S. Methodii de creatis excerpta.

Legi è sancto Methodio Episcopo martyre per compendium excerpta de genitis seu creatis. Illud Christi, *Nolite proiicere Sanctum canibus, neque margaritas vestras ante porcos*: dixit margaritas esse eos qui in Ecclesiã sanctiora diuinæ religionis mysteria capiunt: porcos verò, qui in omni genere impietatis & voluptatis veluti porci in cœno adhuc volutantur. His, inquit, à Christo dictum est, non esse ∴ cœlestia mysteria proiicienda, eo quod hæc capere non possint, veluti impietatis & festis fœdisve voluptatibus iam ante occupati. S. Methodius ait, si per margaritas intelligendæ sunt venerandæ sacræque literæ, per porcos autem homines impietati & voluptatibus dediti, quibus Apostolica dicta, ad pietatem & Christi fidem ducentia, non sunt ∴ accommodata, sed celata, vide ne dicas vllum Christianorum Apostolicis præconiis ex prioris vitæ impietate conuersum esse. Neque enim vlla ratione diuina Christi mysteria* proiecerint iis, qui propter infidelitatem similes sunt porcis.

Matth. 7. 6.

∴ Forte Origenes quem refutat.

∴ Sacras literas ξενὼν hoc loco pro Ecclesia accipiendum puto, quæ commune omnium hospitium, nisi forte locum intelligit vbi catechumeni simul & pagani docebantur religionem Christianã. ξενὼν aliquoi est idem quod venodochium vbi peregrini recipiuntur.

∴ Non proposuisse.

** παρέβαλον.*

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΩΝ ΓΕΝΗΤΩΝ ἐκλογὴ κατὰ σύνοψιν.

ΑΝΕΓΝΩΣΘΗ ἐκ τοῦ ἁγίου μάρτυρος καὶ ἐπισκόπου Μεθοδίου τοῦ περὶ τῶν γεννητῶν ἐκλογὴ κατὰ σύνοψιν. Ὅτι τὸ μὴ βάλητε τὸ ἅγιον τοῖς κυσί, μηδὲ τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων· μαργαρίτας μὲν τοῦ ξενῶνος τὰ μυστικώτερα τῆς θεοσδότου θρησκείας ἐκλαμβάνοντας μαθήματα: χοίρους δὲ, τοὺς ἔτι ἀσεβείᾳ καὶ ἡδοναῖς παντοίαις, δίκην χοίρων, ἐν βορβόρῳ καλινδουμένους, τούτοις γὰρ εἰρῆσθαι παρὰ Χριστοῦ, ἔλεγε, μὴ παραβαλεῖν τὰ θεῖα μαθήματα: διὰ τὸ μὴ δύνασθαι αὐτὰ φέρειν, ἅτε τῇ ἀσεβείᾳ καὶ ταῖς ἀγρίαις ἡδοναῖς προκατειλημμένους. Ὁ μέγας Μεθόδιος φησὶν, εἰ μαργαρίτας τὰ σεμνοπρεπῆ καὶ θεῖα μαθήματα δεῖ ἐξακούειν, χοίρους δὲ τοὺς ἀσεβείᾳ καὶ ἡδοναῖς συζῶντας, οἷς καὶ ἀπαράβλητα καὶ ἀπόκρυφα τὰ πρὸς εὐσέβειαν καὶ τὴν εἰς Χριστὸν πίστιν ἀποστολικὰ διηγέρσεντα κηρύγματα δεῖ εἶναι. ὅρα ὡς οὐδένα λέγῃς τῶν Χριστιανῶν τοῖς τῶν ἀποστόλων κηρύγμασιν ἐξ ἀσεβείας αὐτῶν τῆς προτέρας *ἐπιστρέψαι. οὐδὲ γὰρ ἂν πάντως παρέλαβον τὰ κατὰ τὸν Χριστὸν μυστήρια τοῖς δι᾽ ἀπιστίαν χοίροις ἐοικόσιν.

σλε΄.

E Lib. S. Methodij de creatis excerpta.

* al. ἀπεστράφη

ἢ οὐ

ἢ οὖν πᾶσι τοῖς Ἕλλησι καὶ τοῖς ἄλλοις ἀπίστοις ταῦτα παρεδόθη παρὰ τῶν τοῦ Χριστοῦ μαθητῶν καὶ ἐκηρύχθη, καὶ ἀπὸ τῆς ἀσεβείας μετέβαλεν αὐτοὺς εἰς τὴν εἰς Χριστὸν πίστιν. (ὥσπερ οὖν καὶ πιστεύοντες ὁμολογοῦμεν) καὶ οὐκέτι δύναται νοεῖσθαι τὸ μὴ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, ὡς ἐρρήθη· ἢ τοῦτο ὡς ἐλέχθη νοούμενον, ἀνάγκη ἡμᾶς λέγειν, ὡς οὐδενὶ τῶν ἀπίστων, οὓς χοίροις ἀπεικάζομεν, ἐκ τῶν ἀποστολικῶν διδαγμάτων, μαργαριτῶν δίκην τὰς ψυχὰς καταυγαζόντων, ἡ εἰς πίστιν καὶ ἡ τῆς ἀσεβείας ἐλευθερία γέγονεν. βλάσφημον δὲ τοῦτο. οὐκ ἄρα δεῖ μαργαρίτας μὲν τὰ μυστικώτερα τῶν μαθημάτων ἐκλαμβάνειν ἐνταῦθα· χοίρους δὲ, τοὺς ἀσεβεῖς. οὐδὲ τὸ, μὴ βάλλετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, εἰς τὸ μὴ παραβάλλειν τοῖς ἀσεβέσι καὶ ἀπίστοις τὰ μυστικὰ καὶ τελειοποιὰ τῆς εἰς Χριστὸν πίστεως διδάγματα παραλαμβάνειν· ἀλλὰ μαργαρίτας μὲν τὰς ἀρετὰς ἐκδέχεσθαι χρὴ, αἷς ὥσπερ πολυτίμοις μαργαρίταις ἡ ψυχὴ καθωραΐζεται. μὴ παραβαλεῖν δὲ αὐτοὺς τοῖς χοίροις, τουτέστι, μὴ παραβαλεῖν αὐτὰς τὰς ἀρετὰς, οἷον ἁγνείαν, καὶ σωφροσύνην, καὶ δικαιοσύνην καὶ ἀλήθειαν, ταύτας δὴ μὴ παραβαλεῖν ταῖς μαχλώσαις ἡδοναῖς, χοίροις γὰρ ἐοίκασιν αὗται· ἵνα μὴ τὰς ἀρετὰς αὗται καταφαγοῦσαι, χοιρώδη βίον καὶ πολυπαθῆ τὴν ψυχὴν βιοτεύειν παρασκευάσωσιν. Ὅτι ὁ Ὠριγένης, ὃν κένταυρον καλεῖ, ἔλεγε συναΐδιον εἶναι τῷ μόνῳ σοφῷ καὶ ἀπροσδεεῖ θεῷ τὸ πᾶν. ἔφασκε γὰρ, εἰ οὐκ ἔστι δημιουργὸς ἄνευ δημιουργημάτων, ἢ ποιητὴς ἄνευ ποιημάτων, οὐδὲ παντοκράτωρ ἄνευ τῶν κρατουμένων· τὸν γὰρ δημιουργὸν διὰ τὰ δημιουργήματα ἀνάγκη, καὶ τὸν ποιητὴν διὰ τὰ ποιήματα, καὶ τὸν παντοκράτορα διὰ τὰ κρατούμενα λέγεσθαι· ἀνάγκη ἐξ ἀρχῆς αὐτὰ ὑπὸ τοῦ θεοῦ γεγονέναι, καὶ μὴ εἶναι χρόνον, ὅτε οὐκ ἦν ταῦτα. εἰ γὰρ ἦν χρόνος, ὅτε οὐκ ἦν τὰ ποιήματα. ἐπεὶ τῶν ποιημάτων μὴ ὄντων, οὐδὲ ποιητής ἐστιν· ὁρᾷ οἷον ἀσεβὲς ἀκολουθεῖ· ἀλλὰ καὶ ἀλλοιοῦσθαι καὶ μεταβάλλειν τὸν ἄτρεπτον καὶ ἀναλλοίωτον συμβήσεται θεόν. εἰ γὰρ ὕστερον πεποίηκε τὸ πᾶν, δῆλον ὅτι ἀπὸ τοῦ μὴ ποιεῖν εἰς τὸ ποιεῖν μετέβαλε. τοῦτο δὲ ἄτοπον μετὰ τῶν προειρημένων. οὐκ ἄρα δυνατὸν λέγειν, μὴ εἶναι ἄναρχον καὶ συναΐδιον τῷ θεῷ τὸ πᾶν. πρὸς ὅν φησι δι' ἑτέρου προσώπου ὁ ἅγιος ἐρωτῶν, ἆρά γε σοφίας καὶ δόξης, καὶ συλλήβδην πάσης ἀρετῆς ἀρχὴν καὶ πηγὴν οὐσιωδῶς, ἀλλὰ μὴ ἐπικτήτως ἡγῇ τὸν θεόν; ὁ δὲ, ναί. τί δὲ πρὸς τοῦτο; οὐχὶ τέλειος αὐτὸς δι' ἑαυτοῦ καὶ ἀπροσδεής; ἀληθῆ. ἀμήχανον γὰρ τὸ ἀπροσδεὲς δι' ἕτερον εἶναί τι ἀπροσδεές, ἀμήχανον. πᾶν γὰρ τὸ δι' ἕτερον πλῆρες ὂν, καὶ ἀτελὲς λεκτέον ἀνάγκη. τὸ γὰρ αὐτὸ δι' ἑαυτὸ ἑαυτοῦ πλήρωμα ὂν, καὶ αὐτὸ ἐν ἑαυτῷ μένον, τέλειον εἶναι, τοῦτο μόνον δοξαστέον; ἀληθέστατα λέγεις. τὸ δὲ μήτε αὐτὸ δι' ἑαυτὸ, μήτε αὐτὸ ἑαυτοῦ πλήρωμα ἓν φαίης ἂν ἀπροσδεές; οὐδαμῶς. οὐκ ἄρα ὁ θεὸς τέλειος διά τι νομισθήσεται. ὃ γὰρ διά τι τέλειόν ἐστιν, αὐτὸ καθ' ἑαυτὸ ἀτελὲς ἀνάγκη τυγχάνειν; ἀνάγκη. οὐκοῦν καὶ ὁ θεὸς αὐτὸς δι' ἑαυτοῦ τέλειος, ἀλλ' οὐ δι' ἕτερον λογισθήσεται; ὀρθότατα.

METHOD. a Videtur hic redundare

Aut ergo omnibus Græcis & aliis infidelibus hæc mysteria à Christi discipulis sunt proposita & prædicata, illosq; ab impietate ad Christum conuerterunt, (vti & nos credentes confitemur) & illud dictum, Ne proiicite margaritas vestras ante porcos, non potest amplius ita accipi, vti dictum est: aut hoc ita, vt dictum est, accepto seu intellecto, dicendum erit nobis, nulli infidelium quos porcis comparamus, per Apostolica documenta quæ animas instar margaritarum illuminant, fidem in Christum & ab impietate libertatem partam esse. Sed hoc blasphemum est dicere. Ergo margaritæ hoc loco non sunt accipiendæ pro sanctioribus [Ecclesiæ] disciplinis, neque porci pro impiis. Neque illud dictum: nolite proiicere margaritas vestras ante porcos: ita explicandum est: ne proiicite impiis & infidelibus diuina & fidem in Christum perficientia præcepta: sed margaritæ pro virtutibus accipiendæ sunt, quibus veluti preciosis gemmis anima exornatur. Non abiiciendas autem eas porcis, hoc est, non proiiciendas virtutes, castitatem nempe, temperantiam, iustitiam, & veritatem, has inquam non obiiciendas esse impuris voluptatibus, hæ enim porcis comparantur, ne has depascentes, illos vitam porcis similem viuere cogant, & animam omni vitiorum genere compleant. Origenes, quem centaurum ∴ appellat, asserebat vniuersum hoc [quod creatum est,] soli, sapienti & nullius indigo Deo coæternum esse. Dicebat enim, sicut non est opifex sine opificio, poëta sine poëmatis, imperator sine subiectis, necesse est enim vt opifex ab opificio, poëta à poëmatis, & imperator à subiectis nominetur, [ita] necesse est creata à principio à Deo facta esse, nec tempus vllum esse, quo hæc non fuerint. Si enim fuit tempus quo non fuerunt opificia, ergo opificiis nullis existentibus, neque opifex est. Vide quæ sequatur [ex dictis] impietas; Quin alterari etiam & mutari sequetur immutabilem & inuariabilẽ Deum. Si enim non ab æterno omnia creauit, manifestum est, illum à non faciendo ad faciẽdum transiisse. Sed hoc vna cum antedictis absurdũ est, ergo dici non potest, non esse principij expers & Deo coæternum hoc vniuersum. Huic respondet alia quasi persona per interrogationem [sermocinationis siue Dialogi.] Nonne Deum existimas principium & fontem sapientiæ, gloriæ, & simul omnis virtutis substantialiter & non adscititiè? Sanè inquit, sed quid hoc ad rem? Nonne absolute per se ipsum perfectus est & nullius indigens? Ita est. Impossibile enim est, vt id quod nullius indiget, sit propter alterum aliquid, [quam etiam] nullius indigens. impossibile [inquam.] Quicquid enim propter alterum perfectum est, necesse est dicatur imperfectum. Hoc enim solũ quod propter seipsum sui ipsius perfectio est & in seipso manet, perfectum esse censendum est? verissimè censes. Quod autem neque ipsum, propter seipsum; neque ipsum suiipsius est perfectio, dices alieni non egentem? Nequaquam. Deus ergo non perfectus propter aliud existimabitur. Quod enim propter aliud perfectũ est, nonne est necesse vt id in seipso sit imperfectum? necesse. Nonne ergo Deus ipse propter seipsum & non propter aliud perfectus iudicabitur: rectissimè.

∴ Methodius Origenem centaurum appellauit. Bene.

METHOD.

Nonne aliud est Deus mundi, & aliud mundus Dei? Omnino. Non igitur Deus & creator & omnipotens, perfectus est dicendus propter mundum? Nequaquam, ne propter mundum, præsertim mutabilem, ac non propter se ipsum [potius] dicatur secundum se perfectus, merito conuenienter. Quamobrem dites, nonne propter diuitias diues appellandus est? rectè, & sapiens secundum participationem essentialis sapientiæ, qui non est ipsa sapientia, sapiens tamen dicendus est? sanè. An ergo & Deus, qui non est mundus, propter mundum tamen sic diues, benefactor, & creator nominandus est? nequaquam, apage. Nonne ipse in se ipso & propter seipsum diues ac potens esse videtur. Eratne etiam ante mundi molitionem, omnino nullis indigens, pater nempe & omnipotens, & creator, adeo vt propter seipsum & non propter aliud sit hæc omnia? necessarium est. Si enim propter mundum, & non propter seipsum alius à mundo existens, omnipotens esse intelligeretur, (pace tua Devs, cogor ita loqui) ipse secundum seipsum imperfectus esset, & indigens his, quorum caussa omnipotens & creator est supernaturalis. Reiiciendus ergo perniciosus error eorum, qui dicunt de Deo, Devm non propter seipsum, sed propter subiectas res & creatas, quæ mutabiles sunt, esse omnipotentem & creatorem.

Etiam ita ratiocinare: Si non ab æterno, inquis, mundus est conditus, & olim non fuit, necesse est Devm impatibilem & inalterabilem, mutari. Etenim necesse est illum prius nihil facientem à non faciendo ad faciendum transire & mutari: Dicebant enim: Requieuit ne Devs à mundo faciendo nec ne? requieuit, alioqui enim nondum esset perfectus. Ita est. Si ergo facere, à non faciendo, Deo alterationem adfert, nonne etiam non facere, à faciendo? ita prorsus. mutatum autem diceres eum hodie operantem, ab eo quod erat cum non operaretur? nequaquam. Neque ergo ideo illum mutari necesse erit, quod faciat mundum, ab eo quod erat, quando non faciebat. Atque [ita] non necessario dicendum erit hoc vniuersum existere cum illo, propter hoc ipsum illi coæternum, ne cogamur dicere illum esse mutatum. Atqui sic mecum disputant. Diceresne genitum, quod generationis principium non habet? Non equidem. Quod enim caret generationis principio, necessario est ingenitum. Si autem genitum est, concedis ab aliqua caussa esse genitum: prorsus enim impossibile est sine caussa generationem esse? impossibile. Nonne ergo & mundum, & quæcumque sunt in illo? Nonne vel ab aliquo, vel Deo creatore postea factum dicemus cum prius non esset? perspicuum est à Deo. Impossibile enim est, vt quod generationis principio circumscribitur id infinito esse coinfinitum? impossibile. Ergo iterum, centaure, ad principium disputationis reuertamur. Affirmatis ne ea quæ existunt, diuina scientia facta esse nec ne? Iterum dicent: minimè. Sed ab elementis, vel materia, aut firmamentis, aut quibus hæc verbis appellare vultis, nihil enim interest. His enim absque creatione præexistentibus, temereque oberrantibus, Devs [illa] secernens, omnia fabricatus est, velut præstans pictor ex multis coloribus vnam exprimit ideam seu imaginem,

ἕτερον ὄντα κόσμου lege. non κόσμου, vt & infra ἕτερος κόσμου.

ἢ delatur.

μὴ delatur.

ὦ Βάλη ὦ apage inquiunt. In margine πάλιν iterum. ἀγενήτους proprie sine generatione ... malim ... nisi idem valeant.

ἕτερον θεὸς κόσμου, καὶ ἕτερον κόσμος θεοῦ; παντελῶς. οὐκ ἄρα τέλειον φατέον, καὶ δημιουργὸν καὶ παντοκράτορα, διὰ κόσμον τὸν θεόν; οὔ. ὅπως [μὴ] δι' ἑαυτὸν, ἀλλὰ μὴ διὰ κόσμον, καὶ ταῦτα ἔτι ὂν, αὐτὸς καθ' ἑαυτὸν τέλειος εὑρίσκοιτο προσηκόντως. τί δὲ τὸν πλούσιον, διὰ τὸν πλοῦτον λεκτέον πλούσιον; ὀρθῶς. καὶ τὸν σοφὸν κατὰ μετοχὴν τῆς οὐσιώδους σοφίας, οὐκ αὐτὸν σοφίαν ὄντα σοφὸν προσαγορευτέον; ναί. τί δὲ καὶ τὸν θεὸν ἕτερον ὄντα κόσμου, διὰ κόσμον ταύτῃ πλούσιον καὶ εὐεργέτην καὶ δημιουργὸν κλητέον; οὐδαμῶς, ἄπαγε. οὐκοῦν αὐτὸς ἑαυτῷ πλοῦτος, καὶ δι' ἑαυτὸν πλούσιος καὶ δυνατὸς τυγχάνει; ἔοικεν. ἦν ἄρα καὶ πρὸ κόσμου πάντῃ ἀπροσδεὴς, ὢν καὶ πατὴρ καὶ παντοκράτωρ καὶ δημιουργὸς, ὅπως αὐτὸς δι' ἑαυτὸν, ἀλλὰ μὴ δι' ἕτερον ταῦτα ᾖ; ἀνάγκη. εἰ γὰρ διὰ κόσμον, καὶ οὐχὶ δι' ἑαυτὸν ἕτερος ὢν [καὶ] κόσμου παντοκράτωρ γνωρίζοιτο, (συγγνώμην ὁ θεὸς, ἀναγκάζομαι γὰρ τοῦτο εἰπεῖν:) αὐτὸς καθ' ἑαυτὸν ἀτελὴς [ἂν] ἔσται καὶ προσδεὴς τούτων, δι' ἃ παντοκράτωρ καὶ δημιουργός ἐστιν ὑπερφυῶς. οὐκ ἄρα ἀποδεκτέον ταύτην τὴν ὀλέθριον ἁμαρτίαν περὶ θεοῦ τῶν λεγόντων, παντοκράτορα καὶ δημιουργὸν διὰ τὰ κρατούμενα καὶ δημιουργούμενα τρεπτά: ἀλλ' οὐ δι' ἑαυτὸν εἶναι τὸν θεόν. ὅρα δὲ καὶ ὧδε· εἰ ὕστερον ἐρεῖς πεποίηται ὁ κόσμος, μὴ πρότερον ὢν: μεταβάλλειν ἀνάγκη τὸν ἀπαθῆ καὶ ἀναλλοίωτον θεόν. τὸν γὰρ ποιοῦντα πρότερον μηδὲν ὕστερον δὲ ἀπὸ τοῦ μὴ ποιεῖν εἰς τὸ ποιεῖν μεταβάλλειν καὶ ἀλλοιοῦσθαι ἀνάγκη. ἔλεγον γὰρ, πέπαυται δὲ τοῦ ποιεῖν ποτὲ τὸν κόσμον ὁ θεὸς, ἢ οὔ; πέπαυται, οὔπω γὰρ ἦν τετελειωμένος ἄν. ἀληθές. εἰ οὖν τὸ ποιεῖν ἐκ τοῦ μὴ ποιεῖν ἀλλοίωσιν τοῦ θεοῦ καταψηφίζεται, οὐχὶ καὶ τὸ μὴ ποιεῖν ἐκ τοῦ [μὴ] ποιεῖν; ἀνάγκη. ἠλλοιῶσθαι δὲ αὐτὸν φαίης μὴ ποιοῦντα σήμερον παρ' ὃ ἦν ὅτε ἐποίει; οὐδαμῶς. οὐδ' ἄρα ὅτε ποιεῖ τὸν κόσμον, ἠλλοιῶσθαι αὐτὸν ἀνάγκη, παρ' ὃ ἦν ὅτε οὐκ ἐποίει· καὶ οὕτως ἀνάγκη συνυπάρχειν αὐτῷ τὸ πᾶν δεῖ λέγειν, διὰ τὸ μὴ ἀναγκάζεσθαι λέγειν ἠλλοιῶσθαι, ὅτι συναΐδιον δι' αὐτὸ τοῦτο. καί μοι *φάθι καὶ ὧδε· γεννητὸν τὸ μὴ γενέσεως ἔχον ἀρχὴν φαίης ἄν; οὐ δῆτα. εἰ γὰρ μὴ ὑποπίπτει γενέσεως ἀρχῇ, ἐξ ἀνάγκης ἀγέννητόν ἐστιν: εἰ δὲ γέγονεν ὑπὸ αἰτίου τινὸς, δίδως αὐτὸ γεγονέναι· πάντῃ γὰρ ἀδύνατον χωρὶς αἰτίου γένεσιν ἔχειν; ἀδύνατον. κόσμον δὴ οὖν, καὶ ὅσα ἐν αὐτῷ, μὴ ἄλλου τινὸς ἢ θεοῦ δημιουργοῦντος φήσομεν γεγονέναι ὕστερον, *πρότερον οὐκ ὄντα, δῆλον ὅτι θεοῦ. ἀδύνατον γὰρ τὸ γενέσεως ἀρχῇ περιορισθὲν συναπείρανον [γὰρ τὸ γενέσεως] εἶναι τῷ ἀπεράντῳ; ἀδύνατον. πάλιν δὴ οὖν, ὦ κένταυρε, ἐξ ἀρχῆς διαλεγόμεθα· θείᾳ ἐπιστήμῃ τὰ ὄντα φατὲ γεγονέναι, ἢ οὔ; *ὦ βάλη λέξουσιν οὐδαμῶς, ἀλλὰ ἀπὸ τῶν *στοιχείων, ἢ ὕλης, ἢ στερεωμάτων, ἢ ὅπως αὐτοὶ ταῦτα βούλεσθε ὀνομάζειν: οὐδὲν γὰρ διαφέρει. τούτων ἀγενήτως προϋφεστηκότων καὶ πλημμελῶς φερομένων, ὁ θεὸς διακρίνας *ἐτεχνήσατο τὰ πάντα, ὥσπερ ἀγαθὸς ζωγράφος ἀπὸ πολλῶν χρωμάτων μίαν τεχνησάμενος ἰδέαν ἢ εἰδὴ

* al. φασί.

* al. πρότερον.

* al. πάλιν.

* al. τειχῶν.

* ἐνεχρήσατο.

οὐδὲ τοῦτο. πάντως γὰρ ἀποφεύξονται ὁμολογῆσαι καθ' ἑαυτῶν, ἵνα μὴ τῆς καταχεἰσεως καὶ τῆς μεταμορφώσεως τὴν ὕλην συγχωρῶσιν τῆς ἀρχὴν ἐσχηκέναι, ἀναγκασθῶσι τῷ λόγῳ κατὰ πάντα τὸν θεὸν ἤρχθαι τοῦ διοικεῖν λέγειν, καὶ κατακοσμεῖν τὴν πρότερον ἄμορφον οὖσαν ὕλην. φέρε γάρ, ἐπειδή, σὺν τῷ θεῷ φάναι, ἐνταῦθα τοῦ λόγου γεγόναμεν. εἴπω τις ἀνδριάς, ἑστὼς ἐπὶ βάσεως, καλός· οὗ θαυμάζοντες οἱ θεώμενοι τὴν * εὔρυθμον καλλονήν, διαφερέσθωσαν πρὸς ἀλλήλους, πῆ μὲν γεννητόν, πῆ δὲ καὶ ἀγέννητον λέγειν πειρώμενοι. ἐροίμην γὰρ σφᾶς, δι' ἣν αἰτίαν ἀγέννητον αὐτὸν * φατέ, πότερον διὰ τὸν τεχνίτην, ὅπως μηδαμῶς ἀργήσας τῆς δημιουργίας νομίζοιτο, ἢ δι' αὐτόν; εἰ μὲν γὰρ διὰ τὸν τεχνίτην, πῶς ἀγέννητος ὢν πρὸς τοῦ τεχνίτου δημιουργεῖται; εἰ γὰρ ὅλως ἐν ἐνδείᾳ τῆς τέχνης καθέστηκε χαλκουργούμενος πρὸς τὸ σχεῖν ὁποῖον ὁ δημιουργὸς ἐθέλοι χαρακτῆρα, ποίῳ τρόπῳ ἀγέννητος ἔσται πάσχων τε καὶ δρώμενος; εἰ δὲ αὖ δι' ἑαυτὸν τέλειος καὶ ἀγέννητος λέγοιτο μὴ δεῖσθαι τῆς τέχνης ὁ ἀνδριάς, κατὰ τὸ ὀλέθριον δόγμα· ἀνάγκη αὐτοματισμὸν ὁμολογεῖν. ἢ οὐδὲ τοῦτον ἴσως ἐθελήσαντες προσίεσθαι τὸν λόγον, πικρότερον ἀποκρινοῦνται, τὸ μὲν βρέτας ἀγέννητον οὐκ εἶναι λέγοντες; γεννητὸν δὲ εἶναι ἀεὶ γενέσεως ἀρχὴν οὐκ ἔχον, ὅπως ἀνάρχως λέγοιτο κρατεῖν τοῦ τεχνάσματος ὁ τεχνίτης. οὐκοῦν, ὦ οὗτοι, λέξομεν αὐτοῖς, εἰ μὴ χρόνος μήτε αἰὼν εὑρίσκοιτο ἐπάνω, ὅτε οὐκ ἦν τέλειος ὁ ἀνδριάς, τί παρέσχεν αὐτῷ ὁ τεχνίτης, ἢ τί ἐνήργησεν εἰς αὐτόν, φατέ; εἰ γὰρ ὁ αὐτὸς ἀνενδεὴς ὤν, καὶ οὐκ ἔχων ἀρχὴν γενέσεως τυγχάνει, ταύτῃ μᾶλλον καθ' ὑμᾶς ὁ δημιουργὸς οὐδέποτε δημιουργήσας, οὔτε δημιουργῶν εὑρεθήσεται. καὶ πάλιν εἰς αὐτὸ ἔοικεν ὁ λόγος περιδεδραμηκέναι αὐτοματισμὸν ὁμολογεῖν. ἐὰν γὰρ κἂν * τὸ ἀκρεαίτατον ἀνδριάντα κινήσας ὁ δημιουργὸς λεχθῇ, ἀρχὴ ὑποπεσεῖται, καθ' ἣν πρότερον αὐτὸν ἄκοσμον καὶ ἀκίνητον ὄντα ἤρξατο κινεῖν καὶ κοσμεῖν. οὐκοῦν καὶ ἦν καὶ ἔσται διηνεκῶς ὁ αὐτὸς ἀεὶ κόσμος· ἀπεικάσθω γὰρ τῷ μὲν θεῷ ὁ τεχνίτης, ὁ δὲ ἀνδριὰς τῷ κόσμῳ. πῆ δὴ οὖν, ὦ ἠλίθιοι, οἴεσθε τὴν κτίσιν συναπέραντον οὖσαν τῷ δημιουργῷ μὴ δεῖσθαι τοῦ δημιουργοῦ; τὸ γὰρ συναπέραντον μηδαμῶς ἀρχὴν γενέσεως ἔχον, καὶ συναγέννητον καὶ ἰσοδύναμον ἀνάγκη τυγχάνειν. τὸ δὲ ἀγέννητον, αὐτοτελὲς καὶ ἄτρεπτον φανθέν, καὶ ἀπροσδεὲς καὶ ἄφθαρτον [ἂν] ἔσται. καὶ εἰ τοῦτο οὕτως ἔχει, οὐκέτι ὁ κόσμος τρεπτὸς καθ' ὑμᾶς.

Ὅτι ἐκκλησία παρὰ τὸ ἐκκεκληκέναι τὰς ἡδονὰς λέγεσθαι φησίν.

Ὅτι φησὶν ὁ ἅγιος, δύο δὲ δυνάμεις ἐν τοῖς προωμολογημένοις ἔφαμεν εἶναι * ποιητικάς, τὴν ἐξ οὐκ ὄντων γυμνῷ τῷ βουλήματι, χωρὶς μελισμοῦ, ἅμα τῷ θελῆσαι αὐτουργοῦσαν ὃ βούλεται ποιεῖν· τυγχάνει δὲ ὁ πατήρ· θατέραν δὲ κατακοσμοῦσαν καὶ ποικίλλουσαν κατὰ μίμησιν τῆς προτέρας τὰ ἤδη γεγονότα· ἔστι δὲ ὁ υἱός, ἡ παντοδύναμος καὶ κραταιὰ χεὶρ τοῦ πατρός, ἐν ᾗ μετὰ τὸ ποιῆσαι τὴν ὕλην ἐξ οὐκ ὄντων * κατακοσμεῖ. Ὅτι τὸ Ἰὼβ βιβλίον, Μωσέως εἶναι ὁ ἅγιος φησί.

* ἴσ. εὔρυθμον.
* al. φατέ.
* al. τὸν.
* al. ποιοτικάς.
* μετακοσμεῖ.

METHOD.

nec hoc [dicent.] Omnino enim refugient contra seipsos hoc testari, ne dato quod materia habuerit principium secretionis & transformationis, cogantur fateri DEUM cœpisse materiam prius indigestam seu informem verbo perfectè digerere & expolire. Age verò quoniam DEO iuuante dicendo ad hunc locum peruenimus.

Si cui statua basi sua collocata, elegánsque sit, cuius concinnam pulchritudinem spectatores mirentur, sed dissentientes inter se conentur euincere partim esse ∴ genitam: partim verò ∴ ingenitam; quæsierim ego ex vobis qua de caussa ingenitam dicatis, an propter artificem ∴ vt ne vnquam ab opere vacuus esse censeatur? an propter seipsam. Atqui si propter artificem, quomodo ingenita erit cum ab artifice efformetur. Nam si expers omnis penitus artis & rudis, effingatur ad quamcumque velit artifex formam seu figuram, quomodo erit ingenita, [manum] passa & tractata. Si rursum propter seipsam perfecta & ingenita, dicatur, secundum perniciosam vestram sententiam, arte non egere, necesse erit fateri statuã per se sponte [sine artifice] factam. At neque hanc admissuri orationẽ, mordacius respondebunt, simulacrum quidem ingenitum non esse dictitantes, genitum autem esse generationis principio semper carens, vt opifex opificio ab æterno maior dicatur. Agite vos, nonne illis dicemus; si neque tempus, neque æuum retro vllum reperiatur, quando statua perfecta non fuit, quid illi artifex præstitit? aut quid efformauit in illã? dicite. Nam si ipsa nullius indiga principium generationis nullum habet, ita secundum vos, potius creator nunquam creauit, neque creare dicetur. atque ita rursum ad idem reuoluta oratio, cogetur opus sua sponte factum fateri.

Quod si enim, quamuis rudissimam statuam molitus sit artifex, illa tamen [generationis] principium habebit, quo informem & rudem artifex cœpit tractare & expolire; Ergo nec erat nec erit perpetuo idem semper mundus. (comparandus est enim artifex DEO, & statua mundo) quomodo ergo, ô stupidissimi, existimatis creaturam creatori coæternam [adeóque] creatore [non] indigere? Coæternum enim, cum nullũ generationis principium admittat, necesse est vt sit etiam ingenitum & eiusdem potentiæ. Quod autem ingenitum est, id manifestè etiam per se perfectum & immutabile, nulliúsque egens & incorruptibile erit. Et si ita se res habet, ex vestra sententia mundus erit immutabilis.

Ecclesiam ab euocandis voluptatibus (hoc est extirpandis) dictam ait.

Porro Sanctus dicit: duas in suprà dictis affirmabamus esse effectrices facultates; vnam quæ ex rebus non existentibus sola voluntate, sine partiũ distinctione simul atque vult, quicquid vult efficit, Est autem hic pater; alteram, quę perficit, variatque & exornat, secũdũ prioris potentiæ ideam, quod iam ante factum est. Et hic est Filius, omnipotens nempe & inuicta manus Patris, qua materiam ex nihilo prius creatam, postea perficit seu exornat.

Affirmat etiam S. librum Iob esse Mosis.

∴ Falsam.
∴ Non falsam.
∴ Causam hanc non bene assequor.
ἀκίνητον immotam intellige.
Delenda vox (non.)

METHOD. Gen. 1.

Docet præterea super illis verbis: *In principio creauit DEVS cælum & terram*: cum qui principium ipsam dixerit esse sapientiam, non aberraturum. Dicitur enim apud quendam è cœtu sacro scriptorum sic de se ipsa loqui: *Dominus condidit me initium viarum suarum ad opera sua, ante sæculum fundauit me.* (Ex LXX. Prouerb. 8.) Erat enim consequens & decentius omnia quæ creata sunt, esse hac posteriora, cum per eam facta sint. Considera, an non & hoc Euangelistæ: *In principio erat Verbum, & Verbum erat apud Deum;* (Ioan. 1.) hæc consequatur? *Et Deus erat Verbum: hoc erat in principio apud Deum.* Principium enim, à quo germinauit verissimum Verbum, fatendum est esse patrem conditorem vniuersorum: in quo erat [Verbum.] Illud autem: *Hoc erat in principio apud Deum*: potentiam Verbi, quam habuit apud Patrem, antequam mundus crearetur, insinuare videtur, cum potentiam *principium* appellat. Ergo post proprium æternumque principium quod Pater est, Verbum quoque est aliorum principium per quod omnia creantur.

Origenes postquam multa fabulatus est de vniuersi æternitate, etiam hoc infert: Neque ergo ab Adam, vt quidam affirmant, cum prius non esset homo, tunc omnium primus formatus in mundum venit. Neque mundus rursum, ante sex dies, quam crearetur Adam, cœpit fieri. Quod si quis hæc cupiat dispicere, prius perpendat, an non secundum Mosen sit facilis numeratu vnus dies, iis qui ita Mosen exponunt? prophetica voce hic etiam acclamante: *A sæculo & vsque in sæculum tu es, quoniam mille anni ante oculos tuos, tanquam dies hesterna quæ præteriit, & custodia in nocte.* (Psal. 89. 2. 4.) mille annis in vnum diem conclusis, in oculis DEI.

(Vsque ad requiem nostram. i. vsq; ad creationem hominis postquam quieuit Deus.) A condito mundo vsque ad requiem nostram, optimi calculandi magistri affirmant sex dies præteriisse. Annum verò sexies millesimum, ab Adamo ad nos vsque aiunt extendi. Ergo à nobis vsque ad principium in quo DEVS creauit cœlum & terram tredecim dies numerantur, (nam in septimo mundi millenario iudicium aiunt futurum.) quibus DEVS antiquior, vt vos ipsi secundum vestram insaniam dicitis, nihil quicquam [ante id tempus] egit aut creauit, & patris nomine ac creatoris priuatus est. Si autem tredecim dies sunt in oculis DEI à mundo condito, quomodo Sapientia in Iesu Syrach dicit: *Arenam maris, & pluuiæ guttas, & dies sæculi quis dinumerauit.* (Eccl. 1. 2.) Hæc serio disputans Origenes vide quomodo nugetur?

CCXXXVI. E LIBRO S. METHODII *De Libero arbitrio.*

LEGI eiusdem quædam ex libro de Libero arbitrio. pariterque (nactus ipse eiusmodi compendium) vnde sint mala, & quis eorum auctor. DEVS enim is non est; neque enim malis delectatur, quin etiam mala facientes abominatur. Quapropter ∴ censui aliquid existere cum Deo, quod materiam nominant, ex qua vniuersa condidit, ex qua mala esse mihi videtur. Cum enim materia informis

(∴ Hæc ex alicna sententia dixit.)

Ὅτι περὶ τοῦ, ἐν ἀρχῇ ἐποίησεν τὸν οὐρανὸν καὶ τὴν γῆν, φησίν· ἀρχὴν δὲ αὐτὴν τὴν σοφίαν λέγων τις, οὐκ ἂν ἁμάρτοι. λέγεται γὰρ παρά τινι τῶν ἐκ τοῦ θείου χοροῦ λέγουσα περὶ αὐτῆς τὸν τρόπον τοῦτον· Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με. ἦν γὰρ ἀκόλουθον καὶ πρεπωδέστερον, πάντα, ἃ εἰς γένεσιν ἦλθον, εἶναι ταύτης νεώτερα, ἐπεὶ καὶ δι' αὐτῆς γεγόνασιν. ἐπίσκοπον γάρ, εἰ μὴ καὶ τό, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, κατὰ τὸν εὐαγγελιστήν, καὶ θεὸς ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν, εἰ μὴ τούτοις ἁμαρτεῖ. τὴν μὲν γὰρ ἀρχήν, ἀφ' ἧς ἀνεβλάστησεν ὁ ὀρθότατος λόγος, τὸν πατέρα καὶ ποιητὴν τῶν ὅλων * φατέον, ἐν ᾧ ἦν. τὸ δέ, οὗτος [ἦν] ἐν ἀρχῇ πρὸς τὸν θεόν, τὸ ἐξουσιαστικὸν τοῦ λόγου, ὃ εἶχε παρὰ τῷ πατρὶ καὶ πρὸ τοῦ τὸν κόσμον εἰς γένεσιν παρῆχθαι, ἔοικε σημαίνειν, τὴν ἐξουσίαν ἀρχὴν εἰπών. οὐκοῦν ἀρχή, μετὰ τὴν ἰδίαν ἄναρχον ἀρχὴν τὸν πατέρα, αὐτὸς τῶν ἄλλων γίνεται. δι' ἧς ἅπαντα δημιουργοῦνται.

(* φατ. ;)

Ὅτι Ὠριγένης μετὰ τὸ πολλὰ μυθήσασθαι περὶ τῆς τοῦ παντὸς ἀϊδιότητος, ἐπάγει καὶ τοῦτο· Οὔτε οὖν ἀπὸ Ἀδάμ, ὥς φασί τινες, πρότερον οὐκ ὢν ὁ ἄνθρωπος, τότε πρῶτος πλασθεὶς εἰς κόσμον παρῆλθεν: οὔτε αὖ κόσμος πρὸ ἓξ ἡμερῶν τῆς τοῦ Ἀδὰμ γενέσεως ἤρξατο δημιουργεῖσθαι. εἰ δὲ φιλοφρονοῖτο διαφέρεσθαι πρὸς ταῦτά τις: πρότερον φρασάτω, εἰ μὴ διαρίθμητος ἀπὸ τῆς τοῦ κόσμου γενέσεως, κατὰ τὴν Μωσέως βίβλον, τοῖς οὕτως αὐτὴν ἐκλαμβανομένοις ὁ χρόνος * εἷς; τῆς προφητικῆς καὶ ἐνθάδε βοώσης φωνῆς, ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ: ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, ὡς ἡμέρα ἡ χθές, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί. χιλίων γὰρ ἐτῶν περιοριζομένων εἰς μίαν ἡμέραν, ἐν ὀφθαλμοῖς θεοῦ. ἀπὸ τῆς τοῦ κόσμου γενέσεως μέχρι καταπαύσεως μέχρις ἡμῶν, ὡς οἱ περὶ τὴν ἀριθμητικὴν φάσκουσι δεινοί, ἓξ ἡμέραι συμπεραιοῦνται. ἑξακισχιλιοστὸν ἄρα ἔτος φασὶν ἀπὸ Ἀδὰμ εἰς δεῦρο συντείνειν: τῇ γὰρ ἑβδομάδι τῷ ἑπτακισχιλιοστῷ ἔτει κρίσιν ἀφίξεσθαί φασιν. οὐκοῦν αἱ πᾶσαι ἡμέραι δέκα καὶ τρεῖς ἀφ' ἡμῶν, ἕως εἰς τὴν ἐν ἀρχῇ, ἐν ᾗ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, μετροῦνται. ὧν ὁ θεὸς ἀνώτερον κατὰ τὴν σφῶν αὐτῶν ἄνοιαν οὐδὲν οὐδαμῶς δημιουργήσας, ἐγεγύμνωτο τοῦ πατὴρ καὶ παντοκράτωρ εἶναι. εἰ δὲ καὶ τρεισκαίδεκά εἰσιν ἡμέραι ἐν ὀφθαλμοῖς θεοῦ ἀπὸ γενέσεως κόσμου: πῶς φησὶν ἡ ἐν τῷ Σειρὰχ σοφία, ἄμμον θαλασσῶν, καὶ σταγόνας ὑετοῦ, καὶ ἡμέρας αἰῶνος, τίς ἐξαριθμήσει; ταῦτα φησὶν ὁ Ὠριγένης σπουδάζων, καὶ ὅρα οἷα παίζει.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΤΟΥ αὐτεξουσίου.

σλϛʹ. (E Libro S. Methodij de libero arbitrio excerpta.)

ΑΝΕΓΝΩΣΘΗ τοῦ αὐτοῦ, ἐκ τῶν περὶ αὐτεξουσίου, ὡσαύτως [τῆς ἴσης καὶ αὐτὸς τυχὼν συντομίας] πόθεν τὰ κακά, καὶ τίς ὁ τούτων ποιητής; ὁ μὲν γὰρ θεὸς οὐκ ἔστιν: ὅτι μηδὲ τούτοις ἥδεται, ἀλλὰ καὶ τοὺς δρῶντας αὐτὰ βδελύσσεται. διόπερ ἔδοξέ μοι συνυπάρχειν τι αὐτῷ, τοὔνομα ὕλη, ἐξ ἧς τὰ ὄντα ἐδημιούργησεν, ἐξ ἧς καὶ τὰ κακὰ εἶναί μοι δοκεῖ. ἀποίου τι γὰρ καὶ ἀσχηματίστου

οὔσης

ὕλης αὐτῆς, πρὸς δὴ τούτοις καὶ ἀτάκτως φερομένης, οὐ διὰ παντὸς κατέλιπεν αὐτὴν οὕτω φέρεσθαι: ἀλλὰ δημιουργεῖν ἤρξατο, καὶ ἀπὸ τῶν χειρίστων αὐτῆς τὰ κάλλιστα διακρίνειν ἤθελε. καὶ οὕτω γοῦν ἐδημιούργησεν ὅσα ἐξ αὐτῆς ἥρμοζε θεῷ δημιουργεῖν. τὰ δὲ ὅσα αὐτῆς, ὡς ἔπος εἰπεῖν, τρυγώδη ἐτύγχανε, ταῦτα ἀνάρμοστα ὄντα πρὸς δημιουργίαν, ὡς εἶχε κατέλιπεν· ἐξ ὧν δοκεῖ μοι νῦν ἐπιῤῥεῖν τὰ κακά. Ταῦτα μὲν ἐκεῖνος. πρὸς αὐτὸν δέ φησιν. Ὅτι μὲν οὖν ἀδύνατον ἀγένητα δύο ἅμα, οὐδέ σε ἀγνοεῖν νομίζω. ἢ γὰρ ἡνῶσθαι, ἢ κεχωρίσθαι αὐτά, λέγειν ἀνάγκη. εἰ μὲν οὖν ἡνῶσθαι λέξοι, ἓν τὸ ἀγένητον· ἕκαστον γὰρ τούτων μέρος [ἂν] ἔσται τοῦ πλησίον· ἀλλήλων δὲ μέρη* τυγχάνοντα ἀγένητον. ἀλλ' οὐκ ἀγέννητα [ἂν] ἔσται: οὐδὲ γὰρ τὸν ἄνθρωπον μέρη ἔχοντα κατακερματίζομεν εἰς πολλὰ γενητά. εἰ δὲ κεχωρίσθαι φήσει τις, ἀνάγκη εἶναί τι τὸ ἀνὰ μέσον ἀμφοτέρων, ὅπερ καὶ τὸν χωρισμὸν αὐτῶν δείκνυσι. τοῦτο δὲ ἤτοι ταυτὸν ὂν ἥνωται θατέρῳ τῶν δύο, καὶ ἀνάγκη πάλιν ἢ ἕνωσιν ἢ χωρισμὸν πρὸς τὸ ἕτερον ζητεῖν· ἕνωσιν μὲν ἀδύνατον ἰδεῖν, εἴπερ θατέρῳ ταυτὸν εἴη καὶ ἡνῶσθαι δέδωται: ἡνοῦτο γὰρ οὕτως αὖ καὶ τὸ ἐξ ἀρχῆς, ᾧ ταυτὸν εἴη τοῦτο ἐδόθη. εἰ δὲ κεχωρίσθαι ἀπαιτεῖ ὁ λόγος: πάλιν τὸ χωρίζον ἀπαιτητέον, ἕως ἂν ἀπείρων ἡμῖν ἀγενήτων ἑσμὸς ἀναφανῇ. ἂν δ' ἄρα τις καὶ τρίτον ἕξει λόγον, τουτέστι τὸ μήτε κεχωρίσθαι τὸν θεὸν τῆς ὕλης, μηδ' αὖ πάλιν [ὡς] ἐν μέρει ἡνῶσθαι, εἶναι δὲ ὡς ἐν τόπῳ καθάπερ τῇ ὕλῃ τὸν θεόν, καὶ τὴν ὕλην ἐν τῷ θεῷ: ἀκουέτω, ὅτι ἐὰν τόπον τοῦ θεοῦ τὴν ὕλην εἴπωμεν, ἐξ ἀνάγκης καὶ χωρητὸς* ἔσται, τῇ ὕλῃ περιγραφόμενος, καὶ τῇ ὕλῃ ὁμοίως ἀτάκτως φερόμενος· τοῦ γὰρ ἐν ᾧ ἐστὶ πλημμελῶς κινουμένου, ἀνάγκη καὶ τὸ ἐν αὐτῷ συγκινεῖσθαι. πότερον δὲ ἐπλήρου τὴν ὕλην ὁ θεός, ἢ ἐν μέρει αὐτῆς ἐτύγχανεν; εἰ μὲν γὰρ ἐν μέρει, μικρότερος αὐτῆς, ἅτε δὴ ἐν μέρει αὐτῆς χωρηθείς: εἰ δὲ ἐπλήρου, πῶς ταύτην ἐδημιούργησεν; ἀνάγκη γὰρ ἢ συστολήν τινα τοῦ θεοῦ λέγειν, ἧς γινομένης ἐδημιούργησεν ἐκεῖνο, ἀφ' οὗ ὑπεχώρησεν: ἢ καὶ αὐτὸν τῇ ὕλῃ συνδημιουργεῖν, οὐκ ἔχοντα* ὑποχωρήσεως τόπον. εἰ δὲ τὴν ὕλην ἐν τῷ θεῷ εἶναι λέγοι τις: ῥητέον, πότερον ὡς διϊσταμένου αὐτοῦ ἀφ' ἑαυτοῦ, καὶ ὥσπερ ἐν ἀέρι ζώων ὑπάρχειν γένη, μεριζομένου αὐτοῦ εἰς ὑποδοχὴν τῶν γινομένων ἐν αὐτῷ: ἢ ὥσπερ ἐν γῇ ὕδωρ; εἰ μὲν γὰρ ὡς ἐν ἀέρι, μεριστὸν ἀνάγκη λέγειν τὸν θεόν: εἰ δὲ ὡς ὕδωρ ἐν τῇ γῇ, ἦν δὲ ἄτακτος καὶ ἄκοσμος ἡ ὕλη, πρὸς δὴ τούτοις ἔχουσα καὶ κακά· τὸ θεὸν λέγειν ἀνάγκη τῶν ἀκοσμήτων καὶ κακῶν τούτων αἴτιον. καὶ ὅρα γὰρ ὡς ὕλην ὑποτιθέμενος, ἵνα μὴ τῶν κακῶν ποιητὴν* εἴπῃς τὸν θεόν, δοχεῖον αὐτὸν τῶν κακῶν εἶναι* λέγεις. λέγε δὲ καὶ ὧδε· φὴς τοίνυν, ἄποιον ὕλην συνυπάρχειν τῷ θεῷ, ἐξ ἧς τὴν τοῦ κόσμου γένεσιν ἐδημιούργησεν; οὕτω μοι δοκεῖ. οὐκοῦν εἰ ἄποιος ἐτύγχανεν ἡ ὕλη, γέγονε δὲ κόσμος πρὸς τοῦ θεοῦ, ἐν δὲ τῷ κόσμῳ αἱ ποιότητες: τῶν ποιοτήτων γέγονε ποιητὴς ὁ θεός; οὕτως ἔχει.

esset & absque vlla figura, & insuper temerè inerraret, non passus est eam omnino ita casu circumferri, sed perficere cœpit, optimáque à pessimis secernere voluit. Itáque ergo molitus est ea quæ Deo ad creandum erant apta. Quæcumque verò, vt sic loquar, erant feculenta, illa, vt ad creationem inepta, vt erant reliquit. Vnde mihi nunc videntur profluxisse mala. Hæc quidem ille. contra quem disputat [Methodius.]

Quod si fieri nullo modo possit, vt duo simul sint increata, nec te quidem ignorare puto; aut enim illa inter se vnita, aut separata esse necessario dicendum erat. Si quis vnita dixerit: erit vnum increatum, vnaquæque enim pars horum erit alteri similis, partes enim inter se .·. pares sunt vnum increatum, & non erunt increata, neque enim hominem ex multis partibus constantem in multa creata diuidimus; Si verò diuisa seu separata quis dixerit [illa increata duo] necesse est vt sit aliquod medium inter vtrumque, quod separationem illorum ostendat. Hoc autem si sit idem cum altero ex duobus, cum illo vnitum est, & rursum erit necesse quærere aut coniunctionem aut separationem alterius ab altero. Vnionem enim videre impossibile est si alterum sit idem cum eo, & vnitum esse concedatur. Sic enim vniretur etiam id quod à principio idem cum eo fuisse concessum est. Si autem separatum fuisse ratio docet, rursum quærendum est per quod fuit separatum, donec infinitorum nobis copia increatorum occurrat. Quod si quis etiam tertiam sententiam habuerit, hoc est, neque separatum fuisse Deum à materia, neque rursum velut in parte] seu cum altera partium] vnitum; sed esse Deum in materia velut in loco, & materiam in Deo; is intelligat; quod si locum Dei, materiam esse dixerimus, necessario etiam materia circumscriptus, veluti loco includetur, vnáque cum materia temerè circumferetur. Etenim illo temerè moto in quo est, necessario etiam id vna mouetur quod est in illo. Totam ne materiam Deus occupabat, an partem illius tantum? Si partem tantum, ergo minor erat illà, vtpote vna tantum illius parte totus circumscriptus; si totam, quomodo hanc creauit? Necesse est enim vt dicamus Deum fuisse aliquo modo in se retractum, vt contractione facta illam partem, à qua se retraxit, crearet; aut illum vna cum materia creasse, cum non haberet locum, quo se interim reciperet. Si verò quis asserat materiam in Deo fuisse, quærendum est, an Deus à seipso loco fuerit diuisus, & velut in aëre animalia sunt, illo diuiso locus sit factus iis rebus quę in eo fiunt? aut velut in terra aqua? Et siquidem vt in aëre, tunc Deum diuisum cogemur asserere: si autem vt aqua in terra; cum materia esset informis & indigesta, & mala præterea in se contineret, necesse erit dicere Deum rerum informium & malarum esse auctorem. Et aduerte, quemadmodum materiam supponendo ne malorum conditorem Deum affirmare cogaris, Deum facias receptaculum malorum. Quin & ita argumentare. Materiam ergo informem ais extitisse cum Deo, ex qua mundum creauit? Ita mihi videtur. Nónne igitur, si .·. informis erat materia, formatus est mundus à Deo: in mundo autem sunt qualitates; qualitatum conditor fuit Deus. Ita est.

Marginalia: * τυγχάνοντα. M. M. — * ἐν. — * al. ὑποχωρήσεως. — * ὑπό. * ἐν. λογοις. — METHOD. — Inepta secreta & damnata. — .·. Quarum altera est alterius. — .·. Sine qualitatibus.

ἀλλ' εἰ ἐξ ὧν ἐνεργεῖ ἕκαστος, ὑπάρχει κακός· ἃ δὲ ἐνεργεῖ, ἀρχὴν τοῦ εἶναι λαμβάνει. ἤρξατο κακεῖνος εἶναι κακός· ἤρξατο δὲ καὶ ταῦτα τὰ κακά. εἰ δ' οὕτως ἔχει, οὐκ ἔστιν ἀνάρχως τις κακός, οὐδὲ ἀγέννητα τὰ κακά. ἀλλὰ τὸν μὲν πρὸς τὸν ἕτερον λόγον ἱκανῶς, ὦ φίλε, πεποιηκέναι μοι δοκεῖς. ἐξ ὧν γὰρ προλαβὼν ἔθηκας τοῦ λόγου, ἐκ τούτων συνάγειν ἔδοξας καλῶς. ὡς ἀληθῶς γάρ, εἰ ἄποιος ἐτύγχανεν ἡ ὕλη, τῶν δὲ ποιοτήτων δημιουργὸς ὁ θεός· ποιότητες δὲ τὰ κακά· τῶν κακῶν ἔσται ποιητὴς ὁ θεός. ἐμοὶ δὲ ψεῦδος δοκεῖ, τὴν ὕλην ἄποιον λέγειν· οὐδὲ γὰρ ἔνεστιν εἰπεῖν περὶ τῆς τινος οὐσίας ὡς ἔστιν ἄποιος. ἀλλὰ μὴν καὶ ἐν ᾧ ἄποιον εἶναι λέγει, τὴν ποιότητα αὐτῆς μηνύει, ὁποία ἐστὶν ἡ ὕλη διαγραφόμενος· ὅπερ ἐστὶ ποιότητος εἶδος. ὅθεν, εἴ σοι φίλον ἐστίν, ἄνωθεν *ἄρχου τοῦ λόγου· ἐμοὶ γὰρ ἡ ὕλη ποιότητας ἀνάρχως ἔχειν δοκεῖ· οὕτω γὰρ καὶ τὰ κακὰ ἐκ τῆς ἀπορροίας αὐτῆς εἶναι λέγω, ὦ φίλε. εἰ ἔμποιος ἦν ἀνάρχως ἡ ὕλη, τίνος [ἄρα] ἔσται ποιητὴς ὁ θεός; εἴτε γὰρ οὐσίας ἐροῦμεν, προεῖναι φαμέν· εἴτε αὖ ποιότητας, καὶ *ταύτας ὑπάρχειν λέγομεν. οὐκοῦν οὐσίας τε οὔσης, καὶ ποιοτήτων, περιττὸν εἶναί μοι δοκεῖ δημιουργὸν λέγειν τὸν θεόν. ἀλλ' ἀπόκριναι ἐρωτώμενος, τίνι τρόπῳ δημιουργὸν εἶναι φῂς τὸν θεόν; πότερον, ὅτι τὰς οὐσίας ἔτρεψεν ἐκείνας εἰς τὸ μηκέτι ὑπάρχειν, αἵπερ ἦσάν ποτε; ἢ ὅτι τὰς μὲν οὐσίας ἐφύλαξε, τὰς δὲ ποιότητας αὐτῶν ἔτρεψεν; οὔτι μοι δοκεῖ ἀλλαγὴν οὐσιῶν γεγονέναι, ἀλλὰ μόνον ποιοτήτων· καθ' ἃς δημιουργὸν εἶναι λέγομεν τὸν θεόν. *καὶ ὥσπερ εἰ τύχοι λέγειν ἐκ λίθων οἰκίαν γεγονέναι, ἀφ' ὧν οὐκ ἔνεστιν εἰπεῖν, ὡς οὐκέτι λίθοι μένουσι τῇ οὐσίᾳ, οἰκία λεγόμενοι οἱ λίθοι. τῇ γὰρ ποιότητι τῆς συνθέσεως τὴν οἰκίαν γεγονέναι φημί· οὕτω μοι δοκεῖ, καὶ τὸν θεόν, ὑπομενούσης τῆς οὐσίας, τροπήν τινα τῶν ποιοτήτων αὐτῆς πεποιηκέναι, καθ' ἣν τὴν τοῦδε τοῦ κόσμου γένεσιν πρὸς τοῦ θεοῦ γεγονέναι φημί. πότερον καὶ σοὶ δοκεῖ τὰ κακὰ ποιότητες οὐσιῶν εἶναι; δοκεῖ. ἄνωθεν δὲ ἦσαν αἱ ποιότητες αὗται ἐν τῇ ὕλῃ, ἢ ἀρχὴν ἔσχον τοῦ εἶναι; συνεῖναί φημι ἀγεννήτως τῇ ὕλῃ ταύτας [δὴ] τὰς ποιότητας. οὐχὶ δὲ τὸν θεὸν φῂς τροπήν τινα τῶν ποιοτήτων πεποιηκέναι; τοῦτό φημι. εἰς τὸ κρεῖττον; ἐμοὶ δοκεῖ. οὐκοῦν εἰ ποιότητες ὕλης τὰ κακά, τὰς δὲ ποιότητας αὐτῆς εἰς τὸ κρεῖττον ἔτρεψεν ὁ θεός· πόθεν τὰ κακὰ ζητεῖν ἀνάγκη. ἢ γὰρ πᾶσαι κακαὶ οὖσαι, ἐπὶ τὸ κρεῖττον ἐτράπησαν· ἢ αἱ μὲν οὖσαι κακαί, αἱ δὲ μή. αἱ μὲν κακαί, οὐκ ἐτράπησαν ἐπὶ τὸ κρεῖττον· αἱ δὲ λοιπαί, ὅσαι διάφοροι ἐτύγχανον, τῆς διακοσμήσεως ἕνεκα, πρὸς θεοῦ ἐτράπησαν. οὕτως ἄνωθεν εἶχον ἐγώ. πῶς τοίνυν τὰς τῶν φαύλων ποιότητας, ὡς εἶχον, καταλελοιπέναι λέγεις, πότερον δυνάμενον μὲν ἐκείνας ἀνελεῖν· ἢ βουληθέντα μέν, μὴ δυνάμενον δέ; εἰ μὲν γὰρ δυνάμενον λέγεις, μὴ βουληθέντα δέ· *αὐτὸν αἴτιον τούτων. ὅτι δυνάμενος ποιῆσαι μὴ εἶναι κακά, συνεχώρησεν αὐτὰ μένειν ὡς ἦν· καὶ μάλιστα ὅτι δημιουργεῖν τὴν ὕλην ἤρξατο. εἰ γὰρ μηδὲ ὅλως ἔμελλεν αὐτῷ τῆς ὕλης, οὐκ ἂν αἴτιος ἦν ὧν συνεχώρησε μένειν.

* ἐνάρχου.
* al. αὐτάς.
* ὡς δὲ.
* al. ἐφ' ὧν.
* al. αὐτὸν τούτων αἴτιον ἀνάγκη

METHOD.

Atqui si ob ea quæ quisque facit, malus est; quæ autem facit principium habent, ergo cœpit & ille esse malus, & cœperunt esse, ipsa quoque mala. Quod si verum est, ergo nemo ab æterno malus, neque æterna siue ingenita sunt mala. Enimuero, amice, præsentem quidem disputationem mihi contra alium opportunius videris instituisse. Vnde enim ille visus est orationis fundamenta sumere, inde tu bene visus es concludere. Verè enim disputasti; si materia informis seu sine qualitatibus fuit, qualitatum autem auctor Deus est; mala verò, qualitates sint, malorum ergo conditor Deus erit. At mihi falsum videtur, materiam informem seu sine qualitatibus esse. De nulla enim substantia possis affirmare illam informem esse. Quin hoc ipso quod informem appellat, qualitatem eius declarat, & qualis materia sit describit, quod est species qualitatis. Quare, si tibi placet, altius ordire disputationem. Mihi enim materia qualitates ab æterno habere videtur; Ita quippe, ô amice, & mala ex eodem fonte promanare assero. Si materia suis affecta qualitatibus ab æterno fuit, cuius erit creator Deus? siue enim substantias dixerimus creatas, affirmamus illas iã ante fuisse; siue rursus qualitates, & illas extitisse asserimus. Ergo & substantiæ & qualitatũ conditorem asserere Deum superuacaneum mihi videtur.

Sed interrogatus responde: qua ratione Deũ creatorem esse dicis, an quod substantias, quæ aliquando fuerunt, in nihilum redegerit? an quod substantias quidem conseruarit, sed qualitates earum mutarit? Nulla mihi videtur substantiarum mutatio facta, sed tantum qualitatum, quarum caussa creationem esse Deum asseueramus. Et quemadmodum si quis dicat, ex lapidibus factam esse domum, de quibus non solet dici, quod adhuc substantiã maneant lapides, sed lapides domus dicuntur: Nã ex qualitatum compositione domum factam dico; Ita censeo Deum, manente substantia, mutationẽ quandam qualitatum fecisse, cuius caussa mundum hunc a Deo procreatum esse affirmo. Videntúrne tibi quoque mala, substantiarum esse qualitates? videntur.

Fuerunt ne hæ qualitates ab æterno, in materiã, an principium existendi habuerunt? Fuisse has qualitates ab æterno cum materia existimo. Non arbitraris mutationem aliquam qualitatum esse à DEO factam? arbitror factam. In melius? mihi videtur. Ergo si qualitates materiæ inter mala sunt numeratæ, Deus autem materiæ qualitates in melius aliquid cõuertit, necessariò quærendum est vnde mala sint. Aut enim omnes, cum malæ essent, in melius sunt conuersæ: aut aliæ quidem erant malæ, aliæ verò non. Et malæ quidem mutatæ non sunt in melius: Reliquæ vero, quæcumque erant commoda, ornatus caussâ à DEO mutatæ sunt. Ita, ego censeo, ab æterno qualitates fuerunt constitutæ. Quomodo ergo malas qualitates, vt à principio fuerunt, relictas dicis: an potuisse illas [à DEO] tolli? aut DEVM quidem voluisse; non potuisse tamen eas tollere? si potuisse ais, & noluisse, facis illum auctorem horum malorum: quod potuerit efficere vt non essent mala, & tamẽ illa, vt erãt, esse permiserit.

METHOD.

Quoniam cum partem aliquam materiæ perficeret, partem autem illius negligeret, cum & illam in melius posset mutare, mihi videtur causa malorum, quod partem materiæ reliquerit malam: Ergo in exitium partis [partem DEVS] condidit. Immo illius causa hæc pars summa iniuria affecta mihi videtur, quam materiæ partem à malis secretam exornauit. Antequam enim † perpoliretur, nullus illi sensus malorum aderat: nunc vero singulæ illius partes sensum capiunt malorum. Accipe ab homine exemplum: priusquam animal fiat, mala non sentit. At vbi à DEO formatus homo fit, tunc simul & mali incumbentis sensum accipit. Ita hoc, quod à DEO beneficij causa materiæ collatum dicis, potius in exitium illius procreatum deprehenditur. Si vero dicas à DEO mala tolli non potuisse; hæc impossibilitas aut arguit illum naturá esse imbecillum, aut timore à fortiore aliquo victum: vide vtrum horum omnipotenti & bono DEO velis assignare? Sed iterum de materia responde. Estne simplex aliqua materia an composita: si enim simplex & vniformis materia fuit, quomodo verò compositus est mundus, & ex diuersis substantiis constat? fieri non potest vt dicatur hoc compositum ex materia factum, eo quod composita non possint ex vno informi componi [subsistere've:] compositum enim simplicium aliquorum mixtionem indicat. Quod si iterum, materiam dicas esse quid compositum; omnino debuit ex simplicibus componi, & erant olim separata simplicia, quibus compositis facta est materia, composita autem ex simplicibus constant & subsistunt. Erat aliquando cum materia non esset, hoc est, antequam simplicia componerentur. Si vero fuit aliquando tempus, quo materia non fuit: non fuit autem vnquam tempus, quo ingenitum non erat. non erit ergo ingenita [ab æterno] materia. Hoc autem hinc sequetur multa fore ingenita: si enim DEVS ingenitus: & erant simplicia ingenita, ex quibus materia composita est, non erunt amplius duo & sola ingenita. Vt prætermittam quærere quid fuerint illa simplicia, materia an forma? multa enim & hinc absurda sequentur. Videtúrne tibi nihil eorum quæ existunt, ipsum sibi ipsi cótrarium; videtur: At igni contraria est aqua; & luci tenebræ; & frigido calidum; & arido humidum? Mihi ita videtur. Ergo si nihil eorum quæ existunt ipsum sibi contrarium est, hæc autem sibi repugnant; ergo non erunt vna materia, neque ex vna materia composita. Rursum velim audire. Videntúrne tibi partes sibi mutuo nocere: videntur. materiæ partem agnoscis vná ignem, alteram aquam, & ita reliquas? Ita censeo. Quid verò, non videtur tibi aqua nocere igni, lux tenebris [aduersari] & alia quæcunque sunt his similia: videtur. Nóne ergo, si partes inter se sibi mutuo non nocent, hæ autem se mutuo perimunt, non erunt inter se partes: si autem non erunt mutuæ inter se partes, non erunt vnius materiæ: immo nec erũt materia, eo quod nihil sibi ipsi sit contrarium seu noxiũ. Cum ergo se ita habeát opposita, patet inde ea non esse materia. Atque de materia satis dictũ.

† Malim id in ora fecerunt, et ... tus.

Lege μεῖ non μὴ.

ἐπεὶ δὲ μέρος μέν τι αὐτῆς δημιουργεῖ, μέρος δέ τι αὐτῆς ἐᾷ, δυνάμενος κἀκεῖνο τρέπειν εἰς τὸ κρεῖττον: αἴτιός μοι τῶν κακῶν [δοκεῖ,] καταλιπὼν μέρος ὕλης πονηρόν. ἐπ' ὀλέθρῳ οὖν ἐδημιούργησε μέρους. ἀλλὰ μὴν καὶ τὰ μέγιστα, κατὰ τοῦτο, τοῦτο τὸ μέρος ἠδικῆσθαί μοι δοκεῖ, ὅπερ κατεκόσμησε τῆς ὕλης μέρος ἀντιλαμβανόμενον τὰ ἐκ τῶν κακῶν. πρὶν γὰρ αὐτὴν * διακοσμηθῆναι, τὸ μηδὲ αἰσθάνεσθαι τῶν κακῶν, παρῆν αὐτῇ: νῦν δὲ ἕκαστον τῶν μερῶν αὐτῆς, αἴσθησιν λαμβάνει τῶν κακῶν. καί μοι ἐπ' ἀνθρώπου λάβε τὸ παράδειγμα. πρὶν [γὰρ] ζῶον γένηται, ἀναίσθητον ἦν τῶν κακῶν· ἀφ' οὗ δὲ εἰκονισθεὶς ἄνθρωπος πρὸς θεοῦ γίνεται, τότε καὶ τὴν αἴσθησιν τοῦ προσπελάζοντος κακοῦ προσλαμβάνει. καὶ τοῦτο, ὅπερ ἐπὶ εὐεργεσίᾳ τῆς ὕλης πρὸς θεοῦ γεγονέναι λέγεις, εὑρίσκεται μᾶλλον ἐπὶ τῷ χείρονι προσγενόμενον αὐτῇ. εἰ δὲ μὴ δυνάμενος παῦσαι τὰ κακὰ τὸν θεὸν φῄς, τὸ δὲ ἀδύνατον ἤτοι τῇ φύσει ἀσθενῆ ὑπάρχειν ἐστὶν, ἢ τῷ νικᾶσθαι τῷ φόβῳ δεδουλωμένον πρός τινος κρείττονος: ὅρα ὁποῖον τούτων προσάπτειν ἐθέλοις τῷ παντοκράτορι καὶ ἀγαθῷ θεῷ; ἀλλὰ πάλιν περὶ τῆς ὕλης ἀπόκριναι, πότερον ἁπλῆ τίς ἐστιν ἡ ὕλη, ἢ σύνθετος; εἰ γὰρ ἁπλῆ τις ἐτύγχανεν ὕλη καὶ μονοειδὴς, σύνθετος δὲ ὁ κόσμος, καὶ ἐκ διαφόρων οὐσιῶν συνεστώς ἐστιν; ἀδύνατον τοῦτο ἐξ ὕλης γεγονέναι λέγειν, τῷ τὰ σύνθετα μὴ οἷόν τε ἐξ ἑνὸς ἁπλοῦ τὴν σύστασιν ἔχειν· τὸ γὰρ σύνθετον ἁπλῶν τινῶν μίξιν μηνύει. εἰ δ' αὖ πάλιν σύνθετον λέγεις τὴν ὕλην, πάντως ἐξ ἁπλῶν συνετέθη, καὶ ἦν ποτε καθ' ἑαυτὰ ἁπλᾶ, ὧν συντεθέντων γέγονεν ἡ ὕλη· τὰ δὲ σύνθετα ἐξ ἁπλῶν τὴν σύστασιν ἔχει. ἦν ποτε καιρὸς, ὅτε ὕλη οὐκ ἦν, τουτέστι πρὶν τὰ ἁπλᾶ συντεθῆναι. εἰ δὲ ἦν ποτὲ καιρὸς, ὅτε ἡ ὕλη οὐκ ἦν· οὐκ ἦν δέποτε καιρὸς, ὅτε * ἀγένητον οὐκ ἦν: οὐκ [ἄρα ἔσται] ἀγένητος ἡ ὕλη· τὸ δ' ἐντεῦθεν [ἄρα ἔσται] πολλὰ τὰ ἀγένητα. εἰ γὰρ ἦν ἀγένητος ὁ θεὸς, ἦν δὲ ἀγένητα καὶ τὰ ἁπλᾶ, ἐξ ὧν ἡ ὕλη συνετέθη: οὐκ ἄρα [ἔσται] δύο καὶ μόνα τὰ ἀγένητα. ἵνα * παρήσω τὸ ἐπιζητῆσαι, τί ὄντα ἐστὶν ἁπλᾶ ὕλη ἢ εἶδος; πολλὰ γὰρ καὶ οὕτως ἄτοπα ἀκολουθήσειαν. δοκεῖ δέ σοι μηδὲν τῶν ὄντων αὐτὸ ἑαυτῷ ἀντικεῖσθαι; δοκεῖ. ἀντίκειται δὲ τῷ πυρὶ τὸ ὕδωρ, καὶ τῷ φωτὶ τὸ σκότος, καὶ τῷ ψυχρῷ τὸ θερμὸν, καὶ τῷ ξηρῷ τὸ ὑγρόν; οὕτως ἔχειν μοι δοκεῖ. οὐκοῦν εἰ μηδὲν τῶν ὄντων αὐτὸ ἑαυτῷ ἀντίκειται, ἀλλήλοις δὲ ταῦτα ἀντίκειται: οὐκ ἔσονται ὕλη μία, οὐδὲ μὴν ἐξ ὕλης μιᾶς. πάλιν δὲ πυθέσθαι βούλομαι· δοκεῖ σοι τὰ μέρη μὴ ἀναιρετικὰ ἀλλήλων εἶναι; δοκεῖ. εἶναι δὲ τῆς ὕλης μέρος τό, τε πῦρ καὶ τὸ ὕδωρ, ὡσαύτως δὲ καὶ τὰ λοιπά; οὕτως ἔχει. τί δὲ, οὐ δοκεῖ σοι ἀναιρετικὸν μὲν εἶναι τοῦ πυρὸς τὸ ὕδωρ, τοῦ δὲ σκότους τὸ φῶς, καὶ τἄλλα, ὅσα τούτοις παραπλήσια; δοκεῖ. οὐκοῦν εἰ τὰ μέρη οὐκ ἔστιν ἀλλήλων ἀναιρετικὰ, ταῦτα δὲ * ἀναιρετικὰ τυγχάνει: οὐκ [ἄρα] ἔσται ἀλλήλων μέρη· εἰ δ' οὐκ ἔσται ἀλλήλων μέρη, οὐκ ἔσονται ὕλης μιᾶς. ἀλλὰ μὴν οὐδ' αὖ ἔσονται ὕλη, τῷ μηδέν τι τῶν ὄντων αὐτὸ ἑαυτοῦ ἀναιρετικὸν εἶναι. οὕτως οὖν τῶν ἀντικειμένων ἐχόντων, τὸ μὴ εἶναι τὴν ὕλην δείκνυται. περὶ μὲν τῆς ὕλης, αὐτάρκως ἔχει.

* al. διακριθῆναι.

* ἀγέννητον.

* al. παρῶ ...

* al. συναιρετικά.

ἐπὶ δὲ.

ἐπὶ δὲ τὴν τῶν κακῶν ἐξέτασιν ἔρχεσθαι δεῖ, καὶ ἀναγκαίως ἀναζητεῖν τὰ παρὰ ἀνθρώποις. τὰ παρὰ ἀνθρώποις κακὰ πότερον εἴδη τυγχάνει κακοῦ, ἢ μέρη; εἰ γὰρ εἴδη· οὐκ [ἄρα] ἔσται ἕτερον παρὰ ταῦτα τὸ κακὸν καθ᾽ ἑαυτό· τῷ τὰ γένη ἐν τοῖς εἴδεσιν ἐξετάζεσθαι, καὶ ὑφεστάναι. εἰ δὲ τοῦτο, γεννητὸν [ἄρα] ἔσται τὸ κακόν· τὰ γὰρ εἴδη γεννητὰ ὄντα δείκνυται, οἷον φόνος, καὶ μοιχεία, καὶ τὰ τούτοις παραπλήσια. εἰ δὲ μέρη τινὸς κακοῦ ταῦτα εἶναι ἐθέλοις, ἔστι δὲ ταῦτα γεννητά: ἀνάγκη κἀκεῖνο γεννητὸν ὑπάρχειν· ὧν γὰρ τὰ μέρη γεννητά, ταῦτα ὁμοίως ἐξ ἀνάγκης ἐστὶ γεννητά· τὸ γὰρ ὅλον ἐκ μερῶν συνέστηκε. καὶ τὸ μὲν ὅλον οὐκ ἔσται, μὴ ὄντων μερῶν. *ἔσται δέ τινα τῶν μερῶν, κἂν μὴ τὸ ὅλον παρῇ. οὐδενὸς δὲ τῶν ὄντων μέρος μὲν ἐστὶ γεννητόν, μέρος δὲ ἀγέννητον. εἰ δὲ καὶ τοῦτο συγχωρήσαιμι τῷ λόγῳ, ἦν ποτε τὸ κακόν, ὅτε ὁλόκληρον οὐκ ἦν, τουτέστι πρὶν δημιουργῆσαι τὴν ὕλην τὸν θεόν: τότε δὲ ὁλόκληρον γίνεται, ὅτε παρὰ θεοῦ γέγονεν ἄνθρωπος· τῶν γὰρ μερῶν τοῦ κακοῦ ἄνθρωπος ὑπάρχει ποιητής. καὶ τὸ ἐντεῦθεν ὁλόκληρον εἶναι τὸ κακόν, αἴτιος *ἔσται δημιουργήσας ὁ θεός, ὅπερ ἀσεβές. εἰ δὲ οὐδὲ ὁπότερον τούτων λέγοις τὸ κακόν, πρᾶξιν δέ τινος *κακοῦ εἶναι λέγοις, γεννητὸν αὐτὸ ὑπάρχειν μηνύεις· ἡ γὰρ τοῦ τινος πρᾶξις, ἀρχὴν τοῦ εἶναι λαμβάνει. πρὸς δὲ τούτοις οὐδὲν ἕτερον παρὰ ταῦτα τὸ κακὸν εἰπεῖν ἔχεις. ποίαν γὰρ πρᾶξιν κακὴν ἑτέραν παρὰ *τὸ ἐν ἀνθρώποις δεικνύειν ἔχεις. ὅτι γὰρ ὁ ἐνεργῶν, οὐ κατὰ τὸν τῆς οὐσίας λόγον ὑπάρχει κακία, ἀλλὰ κατ᾽ αὐτὸ τὸ ἐνεργεῖν τὸ κακόν: ἤδη δέδεικται. Ὅτι τῇ φύσει κακὸν οὐδέν ἐστιν, ἀλλὰ τῇ χρήσει γίνεται κακὰ τὰ κακά. Ὅτι αὐτεξούσιον φησὶ γεγονέναι φημὶ τὸν ἄνθρωπον, οὐχ ὡς προϋποκειμένου τινὸς ἤδη κακοῦ, οὗ τὴν ἐξουσίαν, εἰ βούλοιτο, τοῦ ἑλέσθαι ἄνθρωπος ἐλάμβανεν: ἀλλὰ τὴν τοῦ ὑπακούειν [τῷ θεῷ, καὶ μὴ ὑπακούειν] αἴτιον μόνον ἦν. τοῦτο γὰρ τὸ αὐτεξούσιον ἐβούλετο τότε· καὶ γενόμενος ὁ ἄνθρωπος ἐντολὴν λαμβάνει παρὰ τοῦ θεοῦ, καὶ ἐντεῦθεν ἤδη τὸ κακὸν ἄρχεται· οὐ γὰρ πείθεται τῷ θείῳ προστάγματι. καὶ τοῦτο καὶ μόνον ἦν τὸ κακόν, ἡ παρακοή, ἥτις *τοῦ εἶναι ἤρξατο.

*al. ἔσται δέ. *al. ἄρα. *al. κακόν. *al. τῶν. *al. αὐτοῦ.

Veniendum autem est ad malorum disquisitionem, & necessario excutienda hominum mala. Mala hominum suntne species mali, an partes: si species; non erit aliud malum, præter has species, secundum seipsum eò quod genera in speciebus inquirantur, & subsistant. Si autem hoc [genus est] malum erit genitum: nam species genitæ probantur: vt est cædes, adulterium, & hoc genus similia. Si autem partes alicuius mali species has esse velis, sunt autem hæ genitæ: necesse erit vt & totum illud genitum sit. quorum enim partes genitæ sunt, necessario & hæc tota similiter sunt genita, totum enim ex partibus constat. Ac totum quidem non erit, partibus non existentibus; partes verò aliquæ erunt, quamuis totum non adsit. Nullius autem rei existentis pars altera est genita, altera ingenita: Si autem & hoc orationi concedam. Malum fuit olim, cum totum integrum non esset, hoc est, antequam Deus materiam crearet. Tunc autem totum integrum extitit, quando à Deo homo conditus est. Partium enim mali auctor est homo. hinc vt totum integrum mali existeret, auctor erit, qui condidit [illum] Devs. quod impium est. Si vero neutrum horum dixeris esse malum, sed mali alicuius opus esse affirmas, tum genitum esse ipsum doces. opus enim cuiuscumque, principium existendi habet. Adhæc, præter hæc nullum aliud malū assignare potes. quod enim opus aliud malum, præter id quod inter homines est, potes exhibere. Nam quod is qui operatur, non sit secundum rationem substantiæ, malitia, sed secundum ipsam operationem mali, iam ostensum est. [Dicit] Methodius natura nihil esse malum, sed vsu mala, fieri mala. Libero cum arbitrio inquit Methodius, factum esse dico hominē, non tanquam malo aliquo iam ante existēte, cuius eligendi, si vellet, potestatem haberet: sed sola causa erat, obediendi Deo vel non obediendi. Hoc enim tunc erat in ipsius arbitrio. Et homo conditus, à Deo præceptum accipit, & hinc iam malum incipit. non enim paret diuino mandato. & hoc, & solum erat malum, inobedientia, quæ ibi cœpit existere.

METHOD.

Totum integrū intelligit positis omnibus partibus: sublata vna parte, tollitur totum.

Hoc enim tunc sibi voluit liberum arbitrium.

ΤΟΥ ΑΥΤΟΥ ΠΕΡΙ ΑΓΝΕΙΑΣ.

σλζ.

Excerpta e libro Methodij de Castitate.

ΑΝΕΓΝΩΣΘΗ τοῦ αὐτοῦ ἐκ τοῦ περὶ ἁγνείας [ὡς καὶ ἐν ὁμοίῳ συνόψεως ἐξεδόθη τύπῳ] ὡσαύτως. Ὅτι φησὶν ὁ μὲν Ἀβραὰμ πρῶτος ἐν διαθήκῃ τὴν περιτομὴν λαβών, οὐδὲν ἕτερον αἰνίττεσθαι δοκεῖ, τὸ οἰκεῖον ἀποτεμνόμενος τῆς σαρκὸς αὐτοῦ μέλος, ἢ τοῦτο, τὸ μηκέτι εἰς τὴν ἐκ τοῦ αὐτοῦ αἵματος σάρκα δημιουργηθεῖσαν παιδοποιΐαν ἐπιτελεῖν, ἀπὸ τῆς ἰδίας ἕκαστον διδάσκων ἀδελφῆς οἷα σαρκὸς ἀποτέμνειν τὴν κατὰ συνουσίαν ἡδονήν. Ὅτι φησίν, ἐγὼ γὰρ καθεωρακέναι μοι δοκῶ σαφῶς ἀπὸ τῶν γραφῶν, ὅτι παρθενίας ἐλθούσης, ὁ λόγος οὐκ ἀνεῖλε πάντη τεκνογονίαν. οὐ γὰρ ἐπειδὴ τῶν ἀστέρων ἡ σελήνη μείζων ἐστί, παρὰ τοῦτο τῶν ἄλλων ἀστέρων τὸ φῶς ἀναιρεῖται· ἢ ἐπειδὴ τῶν ἄλλων ἐστὶ γλυκύτερον τὸ μέλι, καὶ ἥδιον, τὰ λοιπὰ πικρὰ καὶ ἀηδῆ νομίζεται.

EXCERPTA E LIBRO S. METHODII de Castitate. CCXXXVII.

Legi similiter eiusdem quædam ex libro de Castitate, vt in simili compendio sunt edita. Primus, inquit, Abraham cum in testamento circumcisionis legem acciperet, nihil aliud insinuare videtur, suæ ipsius carnis membrum circumcidendo; quàm hoc, non amplius esse liberorum procreationem, in creatâ ex eodem sanguine carne instituendam: singulos suæ sororis exemplo docens quemadmodum carnis voluptas in congressu sit resecanda.

Ego, inquit præterea, mihi clarè videor ex scripturis sacris animaduertisse, per virginitatis institutionem à Verbo non esse omnino sublatam liberorum generationem.

Matth. 19. 1. Cor. 7.

Neque enim, quia stellis ∴, maior est luna; propterea aliorum siderum lumen extinguit: aut quia aliis cibis dulcius est mel & suauius, propterea alia sūt acerba & amara existimāda.

∴ Secundum aspectum non secundum rep.

METHOD. Illud: Filij adulterorum imperfecti, de veritatem adulterantibus ait esse dictum, quo falso sibi arrogant sapientiam, & scripturas deprauant, immaturamque producunt sapientiam, quique per speciem pietatis docent errores. Aliter [hoc dictum] non est intelligendum. neque enim de liberis ex adulterio non pariendis, & in lucem hanc sensibilem edendis potest accipi; qui non solum multi nati sunt; sed etiam nati ex adulterio alios pepererunt.

Prouerb.

Neque de spirituali & diuina perfectione potest explicari, multorum enim adulterorum filij pleni fuerût Spiritu sancto. Dubitat etiam: si, inquit, animæ à DEO, & non à patre [naturali] nasciturís dantur, quomodo dat etiam ex adulterio procreatis? videtur enim adulteris cooperari. Si enim non crearet animam, non nascerentur. Soluit quæstionem multis & perspicuis exemplis.

Gen. 2. 23. Illa ex Genesi prolata, quale est: *Hoc nunc os ex ossibus meis, & caro ex carne mea; hæc vocabitur* ∴ *virago, quoniam de viro suo sumpta est. Quam obrem relinquet homo patrem suum & matrem suam, & adhærebit vxori suæ, & erunt duo in carne vna.* Hæc negat secundum literam explicanda, sed spiritualiter de CHRISTO & eius Ecclesia. Diuum quoque Paulum ait, post dictorum verborum expositionem dicere: *Hoc mysterium magnum est, dico autem ego, in Christo & Ecclesia.* Quin & hoc: *crescite & multiplicamini.* non de hominibus ex seminis commixtione procreatis, & alimento crescentibus solum esse dictum; sed de natis & perfectis secundum spiritum; quemadmodum Paulus clamat: cum filios appellat illos quos ita [per spiritum] genuerat, *Filioli* inquit, *quos iterum parturio, donec Christus in vobis formetur.* Et iterum. *In Christo Iesu enim per Euangelium ego vos genui.*

∴ Mulier.
Eph. 6. v. 32.
Gen. 1. v. 28.
Gal. 4.
1. Cor. 4.

Luca 15. Illud etiam in Euangelio per parabolam dictum. *Quis est ex vobis homo, qui habet centum oues, & vnum perdidit ex illis,* & quæ sequuntur: Per nonaginta nouem oues intelligendæ sunt cœlestes potestates siue angeli; vna autem perdita hominem significat, siue naturam humanam, propter quam ait Verbum patris è cœlo descendisse.

Psalm. 136. Illud: *super flumina Babylonis,* &c. ab animabus dictum existimat: organa enim habitacula sua appellant, quæ suspenderunt à funibus castitatis, vt laquearia tangerent, ne rursum detractæ intemperantiæ lacu volutarentur.

Babylon autem perturbatio & confusio explicatur, & vitam hanc in fluentibus sitam ostendit, in cuius medio sedentes iniquitatis fluminibus irruentibus conclusi inundamur. Quare cum lacrymis & gemitu clamamus ad DEVM, ne organa nostra à stirpe castitatis per fluctus voluptatum auulsa pereant. per salicem enim scripturæ vbique adumbrant figuram virginitatis. Quia flos salicum si in aqua decoctus sumatur, quidquid ad coitum excitat & libidinem, extinguit, donec genitalem sementem penitus sterilem reddat. quemadmodum & Homerus declarauit, qui salices propterea frugiperdas nominauit.

Ὅτι τὸ, τέκνα δὲ * μοιχῶν ἀτελεσφόρητα, περὶ τῶν τὴν ἀλήθειαν μοιχευομένων φησὶν εἰρῆσθαι, οἵ τινες κλεψίσοφοι, νοθεύοντες τὰς γραφὰς, ἀτελεσφόρητον γεννῶσι σοφίαν, τῇ θεοσεβείᾳ συγκρίνοντες τὴν πλάνην. ἄλλως γὰρ νοηθῆναι οὐκ ἐγχωρεῖ. οὔτε γὰρ ἐπὶ τοῦ μὴ τίκτεσθαι τὰ ἐκ μοιχείας τέκνα, καὶ εἰς φῶς αἰσθητὸν ἄγεσθαι, νοεῖσθαι δύναται· ὅτι πολλοὶ οὐ μόνον ἐτέχθησαν, ἀλλὰ καὶ τετόκασιν ἐκ μοιχείας τεχθέντες: οὔτε ἐπὶ τοῦ πνευματικῶς καὶ θείως τελεσφορηθῆναι· πολλῶν γὰρ μοιχῶν τέκνα πλήρη ἐγένετο ἁγίου πνεύματος. Ὅτι ἀπορεῖ λέγων, εἰ παρὰ θεοῦ δίδονται αἱ ψυχαὶ, ἀλλ᾽ οὐ παρὰ τοῦ * πατρὸς τοῖς τικτομένοις, πῶς δίδωσι καὶ τοῖς ἐκ μοιχείας τικτομένοις; εἰ γὰρ δίδωσι, συνεργεῖν ἂν * δόξῃ τοῖς μοιχευομένοις. εἰ γὰρ μὴ * ἔδωκε τὴν ψυχὴν, οὐκ ἂν ἐτίκτοντο. λύει δὲ τὴν ἀπορίαν διὰ πλειόνων καὶ σαφῶν παραδειγμάτων. Ὅτι τὰ ἐν τῇ Γενέσει φερόμενα, οἷον τό· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου, αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. ταῦτα οὖν οὐ κατὰ τὸ γράμμα φησὶ δεῖ μόνον νοεῖσθαι, ἀλλὰ καὶ πνευματικῶς εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. καί φησιν· ὅτι καὶ ὁ θεῖος Παῦλος μετὰ τὴν τῶν ῥητῶν τούτων ἔκθεσιν λέγει, τὸ μυστήριον τοῦτο μέγα ἐστί· λέγω δὲ ἐγὼ εἰς Χριστὸν, καὶ εἰς τὴν ἐκκλησίαν. ἀλλὰ καὶ τὸ αὐξάνεσθε καὶ πληθύνεσθε, οὐκ ἐπὶ τῶν ἐκ σπέρματος καὶ μίξεως γεννωμένων ἀνθρώπων, καὶ σιτίοις αὐξανομένων φησὶν εἰρῆσθαι μόνον: ἀλλὰ καὶ περὶ τῶν κατὰ πνεῦμα τελειουμένων καὶ γεννωμένων, καθὼς καὶ Παῦλος βοᾷ, τέκνα λέγων τοὺς οὕτω δι᾽ αὐτοῦ γεννηθέντας. τέκνα γάρ φησιν, οὓς πάλιν ὠδίνω, ἕως οὗ Χριστὸς ἐν ὑμῖν μορφωθῇ. καὶ πάλιν, ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Ὅτι τὸ ἐν τοῖς εὐαγγελίοις εἰρημένον παραβολικῶς, τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃς ἔχει ἑκατὸν πρόβατα, καὶ ἀπώλεσεν ἓν ἐξ αὐτῶν, καὶ ἑξῆς· ἐννενήκοντα ἐννέα μὲν πρόβατα τὰς οὐρανίους δυνάμεις φησὶν ἐκδέχεσθαι χρὴ, ἓν δὲ τὸ ἀπολωλὸς, τὸν ἄνθρωπον, ἤγουν τὴν ἀνθρωπείαν φύσιν, δι᾽ ἣν [καὶ] κατεληλυθέναι τὸν λόγον τοῦ πατρὸς ἐκ τῶν οὐρανῶν. Ὅτι τὸ ἐπὶ τῶν ποταμῶν βαβυλῶνος, καὶ τὰ ἑξῆς, αἱ ψυχαί φησι λέγουσιν. * ὄργανον γὰρ ἀνακαλοῦσαι τὰ σκηνώματα ἑαυτῶν, ἃ ἐκρέμασαν ἀπὸ τῶν πεισμάτων τῆς ἁγνείας ἐξάψασαι τοῦ ξύλου, ἵνα μὴ δινηθῶσιν ἐξαρπασθεῖσαι πάλιν παρασυρῆναι τῷ ῥεύματι τῆς ἀκρασίας· βαβυλὼν γὰρ, ταραχὸς ἢ σύγχυσις, ἑρμηνευομένη, τὸν περιρρυτον βίον δείκνυσι τοῦτον, οὗ ἐν μέσῳ * καθισθέντες, περικλυζόμεθα, τῶν ποταμῶν τῆς κακίας ἐφορμώντων. διὸ καὶ βοῶμεν μετὰ κλαυθμοῦ πρὸς τὸν θεὸν, ἵνα μὴ καταλισθήσωσιν ἡμῶν * ἀπορρηχθέντα τοῖς κύμασι τῆς ἡδονῆς [ἀπὸ] τοῦ φυτοῦ τῆς ἁγνείας τὰ ὄργανα. ἐν τύπῳ γὰρ τῆς παρθενίας τὴν ἰτέαν πανταχοῦ παραλαμβάνουσι αἱ γραφαί. ἐπειδήπερ τὸ ἄνθος αὐτῶν εἰς ὕδωρ ἀποζεσθὲν ἂν ποθῇ, πᾶν ὅσον εἰς ὀχείας ἀνάζῃ, καὶ ἐρεθισμοὺς, ἀποσβέννυσιν, ἕως τ᾽ ἂν εἰς ἄρδην ἀποστειρώσῃ τὴν ἐπὶ παιδοποιΐαν φοράν· ὥσπερ δὴ καὶ ὁ Ὅμηρος ἐμήνυσε, διὰ * τοῦτο καλέσας ὠλεσικάρπους τὰς ἰτέας.

* μοιχευομένων.
* al. πνεύματος.
* al. δόξειεν
* al. δίδωσι.
Genes. 2.
Ephes. 5. v. 32.
Genes. 1.
Galat. 4.
1. Cor. 4. v. 15.
Luca 15.
Psal. 136.
* al. ὄργανα.
* al. καθισθέντες.
* al. ἀπορριφθέντα
Odyss. κ.
* al. τὸ καλέσαι

Ὅτι

METHOD.

Ὅτι φησὶν ἐκέλευε τὸ μὴ ἐπιλαθέσθαι νύμφην τὸν κόσμον, μηδὲ παρθένον τὴν στηθοδεσμίδα λεγόμενον ἐν Ἱερεμίᾳ, τὸ μὴ ἐνδοῦναι καὶ * χαλάσαι τὸν δεσμὸν τῆς σωφροσύνης ἀπάταις δηλοῖ. στήθη γὰρ αἱ φρένες, εἰκότι λόγῳ, καὶ ὁ νοῦς ἡμῶν εἶναι νομίζεται. ἡ δὲ στηθοδεσμὶς, ἡ συνδοῦσα ζώνη τὴν πρόθεσιν τῆς ψυχῆς εἰς ἁγνείαν, ἐστὶν ἡ πρὸς Χριστὸν ἀγάπη. Ὅτι τὸ, λάβε μοι δάμαλιν τριετίζουσαν, καὶ κριὸν τριετίζοντα, καὶ τρυγόνα καὶ περιστερὰν, αἰνίττεσθαί φησιν· ὅτι προσένεγκέ μοι * ἄζυγα, καὶ ἀκακώτατόν σου τὴν ψυχὴν, δαμάλεως δίκην, καὶ τὴν σάρκα καὶ τὸν λογισμόν: τὴν μὲν ὡς αἶγα, ἐπειδὴ τὰ μετέωρα καὶ κρημνώδη περιπολεῖ. * τὸν δὲ ὡς κριὸν, ἵνα μηδαμῶς ἀποσκιρτήσας, ἐξολισθήσῃ τῆς ἀληθείας. οὕτω γὰρ ἀνεπίληπτος ἔσῃ, ὡς ὁ Ἀβραὰμ, εἰ ἀπαθῆς ἐμοὶ καὶ τὴν ψυχὴν καὶ τὴν αἴσθησιν, καὶ τὸν νοῦν: ἃ συμβολικῶς δάμαλιν ἔφη, καὶ αἶγα, καὶ κριὸν τριετίζοντα· οἱονεὶ τὴν γνῶσιν ἀπαρέμφατον τῆς τριάδος * ἐναπηρημένα. τάχα δὲ καὶ τὴν πρώτην καὶ τὴν μέσην καὶ τὴν τελευταίαν τοῦ βίου τῆς ἡλικίας ἡμῶν αἰνίσσεται τρίβον. βουλόμενος, ὡς * ὅτι μάλιστα καὶ τὸν τῶν παίδων, καὶ τὸν τῶν ἀνδρῶν, καὶ τὸν τῶν γεραιτέρων χρόνον συμφερόντως βιώσαντες αὐτῷ προσενέγκασθαι· καθ' ὃν τρόπον καὶ ἐν Εὐαγγελίοις ὁ κύριος νομοθετεῖ. διὰ τοῦτο καὶ ὑμεῖς ὅμοιοι γίνεσθε ἀνθρώποις προσδεχομένοις τὸν κύριον αὐτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα ἐλθόντι καὶ κρούσαντι αὐτῷ εὐθέως ἀνοίξωσι. μακάριοί ἐστε, ὅτι ἀνακλίνει ὑμᾶς, καὶ παρελθὼν διακονήσει. κἂν τῇ δευτέρᾳ καὶ τῇ τρίτῃ, μακάριοι ἐστέ. ἐπισκέψασθε γὰρ, ὅτι τρεῖς * ἐπιθέμενος φυλακὰς νυκτὸς, ἑσπερινὴν καὶ δευτέραν, καὶ τρίτην, καὶ τρεῖς ἡμῶν τῆς ἡλικίας ἠνίξατο μεταβολὰς, τὴν μειρακιώδη, καὶ τὴν πρόσηβον, καὶ τὴν πρεσβυτικήν. βουλόμενος, ἵνα καὶ παῖδας ὄντας ἐὰν ἔλθῃ παραληψόμενος τὸν κόσμον, ἑτοίμους καταλάβοι καὶ καθαροὺς, καὶ τὴν δευτέραν ὁμοίως, καὶ τὴν τρίτην. ἑσπερινὴ γὰρ φυλακὴ, ὁ καιρός ἐστι τῆς ἀκμῆς τοῦ ἀνθρώπου, καθ' ἣν ἄρχεται ταράττεσθαι τὸ ἡγεμονικὸν, ἐπιθολούμενον τοῖς πάθεσι. δευτέρα δὲ, ὁπηνίκα λοιπὸν εἰς ἄνδρα τέλειον ἐλάσας, ἄρχεται βεβαιότητα τῶν θορύβων ὁ νοῦς προσλαμβάνειν. τρίτη δὲ, ὅτε αἱ πλεῖσται φαντασίαι τῶν ἐπιθυμιῶν φθίνουσιν, ἀπομαραινομένης ἤδη τῆς σαρκὸς, καὶ εἰς γῆρας προκοπτούσης. διὸ προσῆκεν ἄσβεστον ἐν τῇ καρδίᾳ τῆς πίστεως ἐξάψαντας τὸν λύχνον, καὶ τὴν ὀσφὺν ἀναζωσαμένους τῇ σωφροσύνῃ, ἐγρηγορέναι, καὶ προσδοκᾶν ἀεὶ τὸν κύριον. Ὅτι σίκερά φησι πᾶν τὸ μέθην φέρον μετὰ τὸν οἶνον, τὸν ἐξ ἀμπέλων. Ὅτι δύο εἴδη ἀμπέλων παρὰ τῇ γραφῇ, λίαν ἀγαθὴ, καὶ λίαν κακή. καὶ γὰρ, φησὶν ὁ κύριος, ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, ὑμεῖς τὰ κλήματα: ἡ δὲ κακὴ καὶ ἀγρία, ἐστὶν ὁ διάβολος, λύσσαν ἀποστάζων. ὡς καὶ Μωσῆς διαγράφων περὶ αὐτοῦ φησιν· ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας, καὶ ἑξῆς. Ὅτι ὁ χρυσὸς, ἰὸν οὐ παραδέχεται. Ὅτι φησὶ, τὸ γὰρ λεγόμενον ὁμοιῶσθαι τὴν βασιλείαν τῶν οὐρανῶν δέκα παρθένοις, σημαίνειν βούλεται, τὴν αὐτὴν ὁδὸν τοῦ ἐπιτηδεύματος πάσας ἐνηρημένας διὰ τὴν ἔμφασιν τοῦ ἰῶτα στοιχείου.

* al. χαλᾶσαι * al. ἄζυγον. * al. τὴν δὲ. * al. ἐναπερριμμένα. * al. ἵνα. * al. ἐπιθέμενος. Matt. 25.

Illud Hieremiæ: *sponsam sollicitam esse, ne obliuiscatur ornamenti sui, & virginem ne pectoralis sui*: docet non committenda nec laxanda esse fraudibus fræna seu vincula temperantiæ. Per pectora enim sensus animi, sanè conuenienti ratione, & mens nostra intelligitur. Pectorale autem, propositum animi ad castitatem colligans, est charitas in Christum. Odyss. 310. Hierem. 2. 32.

Illud: *sume mihi vitulam triennem, & arietem triennem, & turturem, & columbam* ait significare[hoc;] affer mihi iugi expertem animam, instar vitulæ, & omni malitia carentem; corpus item & rationem: corpus quidem veluti capram, quia per altas rupes & præcipitia incedit; rationem verò vt arietem, ne exultans excidat à veritate. Sic enim inculpabilis eris, quemadmodum Abraham, si mihi animam & sensus mentemque consectaris, quæ figuratè dicit vitulam & capram, & arietem triennem, quasi optimam Trinitatis cognitionem * tollentia. Forte etiam & primam & mediam, & vltimam vitæ ætatem [Deo consecrandam] insinuant, vt qui maximè velit nos & annos pueritiæ, & virilis ætatis, & senectutis pari pietate traductos sibi offerre: ad quem modum etiam in Euangeliis Dominus nobis præcipit: *Quapropter & vos similes este hominibus qui expectant Dominum suum quando reuertatur à nuptiis, vt cum venerit, & pulsauerit, confestim aperiant ei: beati estis, quia faciet vos discumbere, & transiens ministrabit vobis. Et si in secunda, & tertia, beati estis.* Gen. 15. 9. * Præ se ferentia significationem. Luc. 12. 36. 38.

Considerate enim quod tres vigilias ponendo vespertinam, alteram, & tertiam, tres quoq; ætatis mutationes significarit: adolescentiam, virilem ætatem, & senectutem, quod velit nos, cum venerit mundum[in iudicio]assumpturus paratos esse ac puros quamuis adhuc in pueritia versantes; similiter secundam & tertiam vigiliam indicat. Vespertina enim vigilia est florentis ætatis humanæ status, quo incipit rationis imperium passionibus agitatum turbari; altera verò, quādo deinceps in perfectum virum euadens incipit mens perpetuis negotiorum tumultibus occupari. tertia verò, quando infinitæ cupiditatum imagines corpore iam marcescente & in senium vergente sensim deficiunt. Quapropter æterna fidei lampas in corde fouenda est, lumbique temperantiâ accingendi, vigilandum, & Dominus noster semper expectandus.

Sicera, inquit, est quicquid, extra vinum è vite expressum, inebriat.

Duo vitis genera ait in scriptura poni: alterum optimum, alterum pessimum. Etenim *ego* inquit Dominus *sum vitis vera, vos palmites.* Mala autem & aggrestis est Diabolus furorem distillans, quemadmodum Moses de eo scribens ait: *De vinea Sodomorum vinea eorum, & vitis eorum vua fellis*; & quæ sequuntur. Io. 15. Deut. 32.

Aurum ærugini non esse obnoxium docet.

Illa: *assimulatum esse regnum cœlorum decem virginibus*; vult significare, omnes idem vitæ genus seu studiū arripuisse, propter significationē & vim elementaris literæ IOTA [quæ decē valet.] Matth. 25.

METHOD.

Significat forte apud Graecos decem & maiori figura I. vnum, hîc idcirco primatus, vnus.

Ornarunt enim seipsas simili cultu, vt idem vitæ genus omnes profiterentur, sed non eodem omnes modo exierunt vt occurrerēt sponso. Hæ enim alimenta copiosa præbuerunt lampadibus oleo fouendis: illæ vero cessarunt per ignauiam. Hinc in quinque pari numero diuisæ sunt. Quia quinque sensus sunt, quos illæ quidem puros custodierunt, quos plurimi vocarunt portas sapientiæ; hæ verò per malitiam deformarūt. Nam dum colunt temperantiam & sanctificantur, ∴ magis abundarint vitiis quam iustitia seu virtutibus. vnde etiam euenit vt damnarentur: Siue enim rectè agamus siue peccemus, per hos [sensus] vtraque & preclarè facta & improbè fiunt. & virtus generosa, & male facta vincunt. Et quemadmodum virgo ait, continentiam esse oculorum, & aurium, & linguæ, & reliquorum deinceps sensuum; ita quæ hic fidem imprædabilem quinque viarum virtutis, visus[inquam,]olfactus, gustatus & auditus custodiunt, illæ, quinque virgines, appellantur, eo quod quinque sensuum specula siue imagines CHRISTO puras (ab vnaquaque [sensuum imagine] sanctitatem veluti lampadem clarè refulgentem) sistant. Nam quinque lychnis lampas verè nostrum corpus est, quod anima instar facis circumfert, Christóque sponso repræsentat, ad diem Resurrectionis apparens, perque omnes sensus clarissimos fidei radios diffundens, quemadmodum ipse CHRISTVS docuit cum dixit: *Ignem veni mittere in terram, & quid volo nisi vt iam ∴ ardeat.* terram nostra tabernacula corpora dicit, in quibus voluit vim seu operationem doctrinæ suæ feruentem & celeriter ∴ mobilem accendi. oleum autem iustitiæ & sapientiæ comparandum: per moram illud temporis interuallum dixit, quod vsque ad CHRISTI ∴ aduentum porrigitur, dormitionem vero & soporem virginis, exitum ex hac vita. Mediam noctem verò Antichristi regnum, qua nocte angelus perditor domos peruadet. Clamorem autem qui dicit: Ecce sponsus venit, exite obuiam ei: vocemè cœlo & tubam quando omnes resurgentibus propriis corporibus, nubibus vecti obuiam rapientur Domino.

∴ In corpore τῷ φέρειν, M. S. magis abundarunt vitiis quam virtutibus seu iustitiæ. Locus hic planè, videtur corruptus, aliquid enim deest. Idem animaduertit D. Hæschelius.

Luc. 12. 49.

∴ Accendatur.

∴ Subtilem.

∴ Iudicium.

ἔξιτε δὲ lege.

Cum de virginibus & castis animis plurima dixisset, & hoc infert. Has igitur solas animas, electam sponsam suam, Verbum vocat. Reliquas verò concubinas, adolescentulas & filias appellans hunc in modum: *Sexaginta sunt reginæ, & octoginta concubinæ, & adolescentularum non est numerus: Vna est columba mea, perfecta mea: vna est matri suæ electa genitrici suæ. Viderunt eam filiæ, & beatam prædicauerunt eam reginæ, & concubinæ laudabunt eam.* Cum enim multæ sint filiæ, vt patet, Ecclesiæ vna tamen est electa & preciosa in oculis eius præ omnibus, status nempe virginum. Et reginas videtur prophetia velle insinuare, [quia non ad vnum regem reginæ hæ adducebantur, sed vnaquæq; velut Domina per se & regina erat, aliarúmq; post hac auctrices & principes. [illas regias, quæ ante diluuium vixerunt, animas DEO placentes, hoc est, Abelis, Sethi, Enochi,

1. Thess. 4. 17.

Cant. 6.

ἐστείλαντο μὲν γὰρ παραπλησίως ἑαυτὰς εἰς τὸ * καθομολογήσασθαι, καὶ πάντη κεκλῆσθαι δίκαια. οὐκ * ἔτι δὲ ὁμοίως ἐξῆλθον ὑπαντήσουσαι τῷ νυμφίῳ. αἱ μὲν γὰρ ἐφόδιον * ἄφθονον ἐποιήσαντο ταῖς ἐλαιοθρέπτοις λαμπάσιν: αἱ δὲ κατερραθύμησαν. διὸ δὴ καὶ ἰσάριθμοι πρὸς ε διαιροῦνται: ἐπειδήπερ τὰς ε αἰσθήσεις, αἱ μὲν αὐτῶν ἐφυλάξαντο καθαράς, ἃς οἱ πλεῖστοι σοφίας πύλας προσηγόρευσαν· αἱ δὲ τοὐναντίον κατελωβήσαντο κακίᾳ. ἐγκρατευσάμεναι γὰρ καὶ ἁγνεύσασαι, δικαιοσύνης μᾶλλον ἐφόρεσαν παραπτώμασιν· ἐξ οὗ καὶ συνέβη αὐτὰς ἀπαγορευθῆναι. εἴτε γὰρ κατορθοῦμεν, εἴτε πλημμελοῦμεν, διὰ τούτων ἑκάτερα καὶ τὰ ἀνδραγαθήματα κρατεῖν), καὶ τὰ κακὰ πράγματα. καὶ ὥσπερ ἡ θάλλουσα καὶ ὀφθαλμῶν ἁγνείαν ἔφη καὶ ὤτων εἶναι καὶ γλώσσης καὶ τῶν λοιπῶν καθεξῆς αἰσθητηρίων: οὕτω δὴ καὶ τὰ ἐνταῦθα τὴν πίστιν ἄσυλον ἡ φυλαξαμένη τῶν ε διόδων τῆς ἀρετῆς ὁράσεως, [ὀσφρήσεως] γεύσεως, ἀφῆς τε καὶ ἀκοῆς, πέντε * προσαγορεύεται παρθένοι. διὰ τὸ τὰς πέντε τῆς αἰσθήσεως ἁγνὰς ἀποκαταστῆσαι τῷ Χριστῷ φαντασίας, ἀφ' ἑκάστης αὐτῆς οἷα λαμπάδα τὴν ὁσιότητα λάμπουσαν τρανῶς. ἡ γὰρ πεντάφωτος ἡμῶν ἀληθῶς λαμπὰς ἡ σάρξ ἐστιν, ἣν ἡ ψυχὴ βαστάζουσα δᾳδὸς δίκην, τῷ νυμφίῳ παρίσταται Χριστῷ, τῇ ἡμέρᾳ τῆς ἀναστάσεως παραφαίνουσα, διὰ πασῶν τῶν αἰσθήσεων διεκθρώσκουσαν λαμπρὰν τὴν πίστιν, καθὼς αὐτὸς ἐδίδαξεν εἰπών· πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ * ἤθελον εἰ εἴδη ἀνήφθη. γῆν ἡμῶν τὰ σκηνώματα φράσας, εἰς ἃ ἐβούλετο ταχέως ἀναφθῆναι τὴν ὀξυκίνητον τῆς διδασκαλίας αὐτοῦ καὶ διάπυρον πρᾶξιν· τὸ γὰρ ἔλαιον τῇ δικαιοσύνῃ καὶ τῇ σοφίᾳ παραβλητέον· χρονισμὸν δὲ, τὸ περὶ τῆς παρουσίας διάστημα τοῦ Χριστοῦ· νυσταγμὸν δὲ καὶ κοίμησιν τῆς παρθένου, τὴν ἔξοδον τὴν ἀπὸ τοῦ βίου· μεσονύκτιον δὲ, τὴν βασιλείαν τοῦ ἀντιχρίστου, καθ' ἣν ὁ ὀλοθρευτὴς ἄγγελος ἐπιπορεύεται τὰς οἰκίας· κραυγὴν δὲ, λέγουσαν· ἰδοὺ ὁ νυμφίος ἔρχεται εἰς ἀπάντησιν, τὴν ἀπὸ τῶν οὐρανῶν φωνὴν καὶ σάλπιγγα, ὁπότε πάντες, ἐξαναστάντων αὐτοῖς τῶν σωμάτων, ἐπὶ νεφελῶν ὀχήσονται, εἰς τὴν ἀπάντησιν ἁρπαχθέντες τοῦ κυρίου. Ὅτι περὶ τῶν παρθένων καὶ ἁγνῶν ψυχῶν πλεῖστα εἰπών, ἐπιφέρει καὶ τοῦτο· ἀμέλει ταύτας μόνον ἐκλεκτὴν νύμφην τὰς ψυχὰς ὁ λόγος ἑαυτοῦ καλεῖ: τὰς λοιπὰς δὲ παλλακὰς καὶ νεάνιδας καὶ θυγατέρας, λέγων ὧδε. ἑξήκοντα εἰσὶ βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαὶ [καὶ νεάνιδες, ὧν οὐκ ἔστιν ἀριθμός. μία ἐστὶ περιστερά μου τελεία μου, μία ἐστὶ τῇ μητρὶ αὐτῆς, ἐκλεκτή ἐστι τῇ τεκούσῃ αὐτήν. εἴδοσαν αὐτὴν θυγατέρες, καὶ μακαριοῦσιν αὐτήν, βασίλισσαι καί γε παλλακαὶ] αἰνέσουσιν αὐτήν. πολλῶν γὰρ οὐσῶν δηλονότι τῆς ἐκκλησίας τῶν θυγατέρων, μία ἐστὶ μόνη ἡ ἐκλεκτὴ καὶ τιμιωτάτη ἐν ὀφθαλμοῖς αὐτῆς ὑπὲρ πάσας τὸ τάγμα τῶν παρθένων. καὶ βασιλίσσας δὲ αἰνίττεται ἡ προφητεία βούλεσθαι). [ὅτι οὐχ ὑφ' ἕνα ἤγοντο βασιλέα βασιλευόμεναι, ἀλλ' ἑκάστη ὥσπερ αὐτοδέσποτος καὶ βασίλισσα ἦν· καὶ ὅτι τῶν μετὰ ταύτας ἀρχαὶ καὶ πρόεδροι) ἦσαν] τὰς βασιλικὰς ἐκείνας, τὰς πρὸ τοῦ κατακλυσμοῦ ψυχὰς εὐαρέστους τῷ θεῷ γεγενημένας. τουτέστι, τὰς ἀμφὶ τὸν Ἄβελ, καὶ τὸν Σὴθ, καὶ τὸν Ἐνώχ·

** καθομολογῆσαι.*

** ἔτι.*

** ἄφθορον.*

** προσαγορεύονται.*

Luc. 12. v. 49.

** al. τί θέλω.*

Cantic. 6.

παλλακὰς δὲ τὰς μετὰ τὸν κατακλυσμὸν τῶν προφητῶν, ὡς πρὸ τοῦ τὴν ἐκκλησίαν ἁρμοσθῆναι τῷ κυρίῳ, παλλακίδων δίκην συγγενόμενος ἀληθεῖς ὑπέσπειρε λόγους ἐν ἀφθόνῳ καὶ καθαρᾷ φιλοσοφίᾳ, ἵνα γεννήσωσιν αὐτῷ συλλαβοῦσαι πίστιν σωτηρίας. παλλακὰς δὲ προσηγόρευσε τὰς προφητικὰς ψυχὰς ὁ λόγος, ὅτι μὴ φανερῶς αὐτὰς, ὥσπερ δὴ καὶ τὴν ἐκκλησίαν, ἐπηγάγετο, θύσας δὲ αὐτῇ μόσχον τὸν σιτευτόν. ἑξήκοντα δὲ βασιλίσσας ἐντεῦθεν, ὡς οἶμαι δὴ, τὰς ἀπὸ τοῦ πρωτοπλάστου μέχρι Νῶε κατὰ διαδοχὴν εὐαρεστησάσας ἐκάλεσε τῷ θεῷ· ἐπειδήπερ ἑτέρων οὗτοι παραγγελμάτων εἰς τὸ σωθήσεσθαι χρείαν οὐκ ἐσχήκασιν. ἔτι [δὲ] προσφάτου τῆς κατὰ τὴν ἑξαήμερον οὔσης αὐτοῖς τοῦ κόσμου συστάσεως· ἐμέμνηντο γὰρ, ὅτι ἐν ἓξ ἡμέραις ὁ θεὸς ἐτεκτήνατο τὴν κτίσιν, τά, τε ἐν τῷ παραδείσῳ γεγονότα. ἐντεῦθεν οὖν δὴ τὰς ἀπὸ τῆς συστάσεως εὐθέως τοῦ κόσμου κατὰ διαδοχὴν τὸν θεὸν ἑλομένας ποθεῖν ψυχὰς, καὶ σχεδὸν (εἰ χρὴ φάναι) τὰς τοῦ πρώτου αἰῶνος οὔσας ἔγγονα, καὶ γείτονας τῆς μεγάλης ἑξαημέρου, ἑξήκοντα βασιλίσσας ἔφη συμβολικῶς, διὰ τὸ μετὰ τὴν ἑξαήμερον ταύτας, ὡς ἔφην, γεγονέναι· μεγάλην γὰρ οὗτοι τιμὴν ἐσχήκασιν ἀγγέλοις ὁμιλήσαντες, καὶ τὸν θεὸν ὕπαρ οὐκ ὄναρ θεασάμενοι. ἐπισκέψασθε γὰρ ὅσην εἶχε παρρησίαν ὁ Σὴθ πρὸς τὸν θεὸν, ὅσην ὁ Ἄβελ, ὅσην ὁ Ἐνὼχ, ὅσην ὁ Μαθουσάλα, ὅσην ὁ Νῶε πρῶτοι δικαιοσύνης ὄντες ἐρασταί; καὶ περὶ τούτων μὲν αὐτάρκως. περὶ δὲ τῶν παλλακῶν πάλιν λεκτέον. τοῖς μετὰ τὸν κατακλυσμὸν ἀπωτέρω λοιπὸν ἡ γνῶσις ἦν τοῦ θεοῦ, καὶ ἐχρῆζον ἑτέρας διδαχῆς, ἑρπούσης ἤδη τῆς εἰδωλολατρείας. ὁ οὖν θεὸς ἵνα μὴ πάντη τὸ γένος τῶν ἀνθρώπων αἰστωθῇ, λήθῃ τῶν καλῶν, τὸν ἴδιον παῖδα τοῖς προφήταις ἐκέλευσεν *ὑφηγήσασθαι τὴν ἐσομένην αὐτοῦ παρουσίαν διὰ σαρκὸς εἰς τὸν κόσμον· καθ' ἣν ἡ τῆς πνευματικῆς ὀγδοάδος χαρὰ καὶ γνῶσις κηρυχθήσεται, ἀφέσεως ἁμαρτημάτων οὖσα καὶ ἀναστάσεως παρεκτική, *περιτμηθήσεσθαι γὰρ δι' αὐτῆς τὸν ἄνθρωπον, τὰ πάθη καὶ τὴν φθοράν· καὶ διὰ τοῦτο τὸν κατάλογον τῶν ἀπὸ τοῦ Ἀβραὰμ προφητῶν, διὰ τὴν τῆς περιτομῆς πρεσβείαν, τὸν ὀκτὼ περιεχούσης ἀριθμὸν, ἧς ἐξήρτηται καὶ ὁ νόμος, παλλακὰς ἐκάλεσεν· ὅτι πρὸ τοῦ τὴν νύμφην τὴν ἐκκλησίαν καθεγγυηθῆναι τῷ λόγῳ, τὰ θεῖα *συλλαβόντες σπέρματα, τὴν νοητῆς προεξήγγελλον ὀγδοάδος τὴν περιτομήν. νεανίδας δὲ πάλιν εἰς ἀναρίθμητον συντελούσας ὅμιλον, τὰ ὑπὸ τοῖς κρείττοσι δικαιοπραγήσαντα πλήθη, καὶ νεανικῶς καὶ γενναίως διαθλήσαντα, πρὸς τὴν ἁμαρτίαν καλεῖ. ἀλλὰ τούτων οὔθ' αἱ βασίλισσαι, οὔθ' αἱ παλλακαὶ συγκρίνονται τῇ ἐκκλησίᾳ. ἡ γὰρ τελεία καὶ ἐκλεκτὴ παρὰ πάσας ὀνομαζομένη, ἡ ἐκ πάντων συνεστῶσά τε καὶ συνηρμοσμένη, τῶν ἀποστόλων ἐστὶν, ἡ ὑπερβάλλουσα νύμφη τῷ κάλλει τῆς ἀκμῆς καὶ τῆς παρθενίας πάσας. διὸ καὶ μακαρίζεται πρὸς τῶν ἄλλων, ὅτι αὕτη εἶδε καὶ ἤκουσεν ἀφθόνως, ἃ ἐκεῖναι ἐπεπόθησαν ἰδεῖν καὶ ἀκοῦσαι, καὶ οὐκ εἶδον, οὐδ' ἤκουσαν. μακάριοι γὰρ οἱ ὀφθαλμοί φησιν [ὑμῶν] ὁ κύριος τοῖς μαθηταῖς, οἱ βλέποντες ἃ βλέπετε. λέγω γὰρ ὑμῖν, ὅτι πολλοὶ προφῆται ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν,

** al. ἐρχήσεται.* — ** al. περιτμηθήσεται.* — ** al. συλλαβ.* — *Luca 10. v. 24.*

Concubinas autem, quæ post diluuium fuerũt animas prophetarum, quæ priusquam Ecclesia Deo desponsaretur, qui velut cum concubinis versatus in copiosa & sincera sapientiæ doctrinâ vera submisit oracula, vt caperent illi fidem salutis. Concubinas autem nominauit Verbum prophetarum animas, quia non apertè vt Ecclesiam sibi eas copulauit, sacrificans illam in figura vituli saginati. Sexaginta autem reginas inde, vt reor ab Adamo protoplasto vsque ad Noe per successionem viros Deo placentes vocauit, quia isti .·. aliis præceptis ad salutem acquirendam non indiguerunt, eo quod adhuc recens esset illis mundi sex diebus conditi molitio. Meminerunt enim mundum à Deo sex diebus perfectum esse, quæque in paradiso acciderunt. Hinc ergo animas hasce, quæ Deo à condito mundo per successionem placere desiderarunt, & quasi, (si fas ita loqui) primi sæculi neptes, & vicinas illi ingenti sex dierũ operi, sexaginta reginas figuratè appellauit, eo quod, vt dixi, hæ post sex dierum opera, vixerint. Magno enim illi [sancti] honore sunt affecti, cum dignati colloquio angelorum Devm non per somnium sed apertam visionem spectarunt. Perpendite enim quantam fiduciam habuerit Seth ad Devm, quantam Abel, quantam Enoch, quantam Mathusala, quantam Noe primi iustitiæ cultores? Sed de his satis. De concubinis iterum dicendum.

.·. Aliorum.

Ab iis qui post diluuium vixerunt, Dei cognitio paulo longius recessit, aliáque ratione docti sunt, serpente iam passim idololatria. Devs ergo ne genus humanum obliuione honestatis penitus aboleretur, suum filium per prophetas iussit dictare, aduentum eius in mundum carne assumpta futurum, quo spiritualis octonarij gaudium & cognitio prædicaretur ad exhibendam remissionem peccatorum, & resurrectionem, per illum enim circumcisum iri hominem, vitia [inquam] & corruptionem. Hinc catalogum prophetarum ab Abrahamo cœptum, propter circumcisionis, quæ octonarium continet numerum, .·. antiquitatem, à qua lex pendet, concubinas appellauit. Nam antequam sponsa Ecclesia Verbo desponderetur, concipientes diuinam sementem spiritualis octonarij, circumcisionem prænunciarunt. Ad multitudinem vero rursum innumerabilem [hominum,] quæ pro maiorum imperio iustè viuit, & viriliter & generosè contra vitia decertat, adolescentulas appellat. Sed ex iis neque reginæ, neque concubinæ, cum Ecclesia comparantur. Hæc enim perfecta & electa præ omnibus nominata, quæ ex omnibus constat & concinnata est; est Apostolorum, quæ sponsa flore pulchritudinis & castitatis superat omnes. Quapropter beata ab aliis prædicatur, quia hæc apertè vidit & audiuit, quæ illæ videre & audire desiderauerunt. *Beati oculi*, inquit Dominus discipulis, *qui vident, quæ vos videtis. Dico enim vobis, quod multi prophetæ desiderauerunt videre quæ videtis, & non viderunt; & audire quæ auditis, & non audierunt.*

.·. πρέσβειαν antiquitatem. M.S. πρεσβεῖον venerationem. — *Luc. 10. 24.*

METHOD.

Nonne propterea Beatam prædicant ipsam prophetæ, quod quibus ipsi non potuerunt, his Ecclesia potita sit, & dignata? Possit quis Sponsam etiam aliter explicare, & dicere carnem esse intemeratam Domini, cuius causa patrem deseruit & in terram huc descendit, illique per incarnationem copulatus est. Hinc figuratè illam columbam appellauit, quòd animal sit cicur & sub tectis degens, conuictuque hominú delectetur. Et in quadragesimoquarto Psalmo. *Stans regina à dextris* (DEO sibi sinistras suméte) aureo virtutis cultu exornata; cuius pulchritudinem concupiuit Rex, caro est, vt dixi, illa illibata & beata, quam secum in cœlum deportauit Verbum, atque in dextra patris collocauit, vestitu deaurato exornatam, quod mysticè est studiis innocentiæ seu incorruptionis [Dicit] quod παρθενία dicatur à παρὰ θεὸν mutatione vnius literæ quasi quæ sola illum, qui virginitatis intemerata côtineat mysteria, DEO comparet, quo bonum nullum inueniri maius potest. Virtutem, ait, siue propter seipsam, siue quod animas sublimet & in cœlum tollat hanc nominis appellationem accepisse. Cum dictis hactenus etiam hoc ait videri facere. Oraculũ cœlitus à patre CHRISTO in Iordane datum: *Filius meus es tu, ego hodie genui te.* Obseruandũ hic, illud: filium suum esse, indefinitè & sine tépore dictum. Es enim filius ipsi dixit, & non [dixit] factus es; declarans neque nouum seu recentem ipsum adeptum esse filiationem, neque finem habuisse eum qui prius extiterit, sed eundem semper esse. Illud vero: *Ego hodie genui te*: volui inquit eum qui prius iam inde ante sęcula in cælis fuerat etiam mundo generare, hoc est, prius ignotum, notum, reddere.

ὑπωρόφιον.

παρθενία inter ν & ι pone ν & α præpositionis vltimum abiice. Ita est vnius literæ permutatio ν pro α. Etymologus hoc non facit qui dicit dictum ὅτι παρὰ θεῷ ἱδρῦσθαι Psal. 2.

Legendum οὐ γὰρ υἱός.

Nimirum, iis qui multimodam DEI sapientiam nondum intelligunt nunquam adhuc natus est Christus, hoc est, nunquam cognitus & releuatus. Plurima ex Apocalypsi S. Ioannis dicta ad Ecclesiam & virginales animas refert. Quin imo omnia ferè dicta aliunde interpretatur, nec ad literam, sed allegoricè in hoc dialogo exponit. Refellit eos qui fatum ponunt, his verbis: Si astra mortalibus calamitates & malam mentem conciliant, circa luxuriam & vitæ inconstantiam occupata, ipsis hominibus infeliciora sunt, quod non ipsa [astra] ament mala; sed homines etiam vt ea designent, cogant. Præterea si nulla actio sine desiderio fit, & omne desiderium careat desiderato, DEVS autem nullius sit indigens, ergò nec malitiam meditatur. Astrorum natura propior est Deo, adeoque melior bonorum hominum virtute; ergo astra mali sunt expertia, nec vllius indigent.

Adhæc, ad refellendum, quod genesis quædam operetur, [dicit: Hoc lex] prohibet, impostores punit, minisque genethliacorum doctrinam proscribit: ergo lex contraria est genesi. Quæcunque enim lex prohibet, genesis definit; quæcunque autem cogit genesis facere, ea lex interdicit; ergo lex inimica genesi est; si autem inimica; ergo legislatores non sunt legislatores secundum genesin. (hoc est, non sunt genesi necessario per fatum subiecti.)

Lege τὰ τῆς γενέσεως.

ἐκείνου διὰ ταῦτα μακαρίζουσιν αὐτὴν οἱ προφῆται, ὅτι ὧν αὐτοὶ μὴ ἐπέτυχον, ἡ ἐκκλησία μετείληφε, καὶ ἠξιώθη. δύναται δέ τις καὶ ἑτέρως τὴν νύμφην φάναι, τὴν σάρκα τὴν ἀμόλυντον εἶναι τοῦ κυρίου. ἧς χάριν καταλείψας τὸν πατέρα, κατῆλθεν ἐνταῦθα, καὶ προσεκολλήθη αὐτῇ, ἐνανθρωπήσας. διὸ δὴ καὶ περιστερὰν αὐτὴν τροπικῶς ἔφη ἐπειδὴ τιθασσὸν τὸ ζῶον καὶ ὑπωρόφιον, καὶ διαίτῃ τῇ τῶν ἀνθρώπων ἀσμενίζον. καὶ ἐν τῷ μ' καὶ δ' ψαλμῷ, ἐκ δεξιῶν παρισταμένη [λαιῶν καὶ τοῦ θεοῦ μερῶν] βασίλισσα ἡ τῷ διαχρύσῳ τῆς ἀρετῆς κόσμῳ κατεστολισμένη, ἧς ἐπεθύμησε τοῦ κάλλους ὁ βασιλεὺς, ἡ σάρξ ἐστιν (ὡς ἔφην) ἡ ἄχραντος ἐκείνη καὶ μακαρία, ἣν αὐτὸς *ἀνακομίσας ὁ λόγος εἰς οὐρανοὺς, ἐκ δεξιῶν παρέστησε τοῦ πατρὸς, ἐν ἱματισμῷ διαχρύσῳ κεκοσμημένην· ὃ δή ἐστι συμβολικῶς τοῖς ἐπιτηδεύμασι τῆς ἀφθαρσίας. Ὅτι *παρθενία ἡ παρθενία κατὰ μίαν ἀπαλλαγὴν καλεῖται στοιχείου, ὡς δὴ μόνη τὸν ἔχοντα αὐτῆς τὰς ἀφθόρους τελετὰς θεῷ ἀπεικάζουσα, οὗ μεῖζον ἀγαθὸν, ἀδυνάτον εὑρεῖν. Ὅτι φησὶν ἡ ἀρετὴ, ἤτοι δι' ἑαυτὴν *εἴτε διὰ τὸ αἴρειν καὶ μετεωρίζειν πρὸς οὐρανὸν τὰς ψυχὰς, ταύτην ἔσχηκε τὴν ἐπωνυμίαν. Ὅτι φησὶν, ἔοικε δὲ τοῖς εἰρημένοις καὶ τοῦτο μάλιστα συμφωνεῖν· τὸ χρησμῳδούμενον ἄνωθεν ἐξ αὐτοῦ τοῦ πατρὸς τῷ Χριστῷ ἐν τῷ Ἰορδάνῃ· υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. παρατηρητέον γὰρ, ὅτι τὸ μὲν υἱὸν *αὐτοῦ εἶναι, ἀορίστως ἀπεφήνατο, καὶ ἀχρόνως. εἶ γὰρ *υἱὸς αὐτοῦ ἔφη [καὶ οὐ γέγονας] ἐμφαίνων μήτε πρόσφατον αὐτὸν τετυχηκέναι τῆς υἱοθεσίας, μήτε αὖ προϋπάρξαντα τέλος ἐσχηκέναι· ἀλλὰ εἶναι ἀεὶ τὸν αὐτόν. τὸ δὲ, ἐγὼ σήμερον γεγέννηκά σε, ὅτι προόντα ἤδη πρὸ τῶν αἰώνων [λέγει] ἐν τοῖς οὐρανοῖς, ἐβουλήθην καὶ τῷ κόσμῳ γεννῆσαι, ὃ δή ἐστι, πρόσθεν ἀγνοούμενον γνωρίσαι. ἀμέλει τοῖς μηδέπω τῶν ἀνθρώπων συνῃσθημένοις τὴν πολυποίκιλον τοῦ θεοῦ σοφίαν, ὁ Χριστὸς οὐδέπω γεγέννηται· ὅπερ ἐστὶν, οὐδέπω ἐγνώσθη, οὐδέπω πεφανέρωται. Ὅτι τὰ πλεῖστα τῆς τοῦ ἁγίου Ἰωάννου ἀποκαλύψεως ῥητὰ εἰς τὴν ἐκκλησίαν καὶ τὰς παρθενευούσας ψυχὰς ἀνάγει· ἀλλὰ σχεδὸν καὶ ὅσα ἂν ῥητὰ καὶ ἄλλοθεν ἔλαβεν, ἀλληγορικῶς αὐτὰ καὶ οὐ κατὰ τὸ γράμμα. διηγεῖται ἐν τῷ δὲ τῷ διαλόγῳ. Ὅτι ἀναιρῶν τοὺς εἱμαρμένην δοξάζοντας, φησίν· εἰ τὰς τῶν θνητῶν συμφορὰς δὲ κακοφροσύνας τὰ ἄστρα τεκταίνεται, περὶ τὰς ἀσελγείας καὶ τροπὰς τοῦ βίου ἀσχολούμενα, ἄρα ἀθλιώτερα τῶν ἀνθρώπων ἐστίν· ὅτι οὐ μόνον αὐτὰ τῶν κακῶν ἐρῶσιν, ἀλλὰ καὶ τοὺς ἀνθρώπους ἀναγκάζουσι ταῦτα πράττειν. ἔτι εἰ πᾶσα πρᾶξις χωρὶς ἐπιθυμίας οὐ γίνεται, οὐδὲ μὴν ἐπιθυμία χωρὶς ἐνδείας· ἀνενδεὲς δὲ τὸ θεῖον· ἀνεννόητον ἄρα πονηρίας. ἡ δὲ τῶν ἄστρων φύσις ἐγγυτέρω τέτακται θεοῦ, κρείσσων οὖσα τῆς τῶν κρεισσόνων ἀνθρώπων ἀρετῆς· ἀνεννόητα κακίας ἄρα, καὶ ἀνενδεῆ ἐστὶ τὰ ἄστρα. ἔτι εἰς τὸ ἀνελεῖν τινα γένεσις ἐργάζεται· τοῦτο δὲ νόμος κωλύει, κολάζων τοὺς ἀλάστορας, καὶ διὰ ἀπειλῆς ἀπείργων τὰ τῆς γενέσεως δόγματα· ἐναντίος ἄρα νόμος γενέσει. ὅσα μὲν γὰρ νόμος κωλύει, ταῦτα γένεσις ὁρίζει· ὅσα δὲ γένεσις ποιεῖν βιάζεται, ταῦτα νόμος κωλύει, πολέμιος ἄρα γενέσει νόμος· εἰ δὲ πολέμιος, οὐκ ἄρα κατὰ γένεσιν οἱ νομοθέται νομοθέται τὰ γὰρ

* al. ἀνακομίσαι,

* al. παρά.

* αἴρειν.

* al. αὐτόν.

* al. υἱέ.

τὰ γὰρ ἐναντία δογματίζοντες γενέσει, γένεσιν λύουσιν. ἤτοι οὖν γένεσίς ἐστι, καὶ οὐ χρὴ εἶναι νόμους, ἢ εἰσὶ νόμοι, καὶ οὐκ εἰσὶ κατὰ γένεσιν. ἀλλὰ ἀμήχανον χωρὶς γενέσεως *φῦναί τινί τινα καὶ διαπράξασθαί τι. οὐδὲ γὰρ τὸν δάκτυλον ἐξεῖναί φασι χωρὶς εἱμαρμένης κινῆσαι: κατὰ γένεσιν ἄρα καὶ Μίνως καὶ Ῥαδάμανθυς καὶ Δράκων, καὶ Λυκοῦργος, καὶ Σόλων καὶ Σέλευκος νομοθέται φύντες διετάξαντο τοὺς νόμους, ἀπαγορεύοντας κλοπάς, φόνους, καὶ τὰ ὅμοια, ἃ κατὰ γένεσιν ἐπισυμβαίνειν δογματίζουσιν, ὅπερ ἀδύνατον. αὐτὴ γὰρ ἂν ὑφ' ἑαυτῆς ἀνῃρεῖτο γένεσις, αὐτὴ ἑαυτὴν ἀκυροῦσα· καὶ ἐνταῦθα μὲν ἀπαγορευτικοὺς μοιχείας καὶ τῶν ἄλλων νόμους τιθεμένη, [ἐνταῦθα δὲ τοὺς *νόμους καὶ τὰς μοιχείας ἐργαζομένη] οὐδὲν γὰρ ἀλλόκοτον [αὖ] αὐτὸ ἑαυτῷ μαχόμενον, καὶ αὐτὸ ἑαυτὸ καταλύειν σπεῦδον: οὐκ ἄρα γένεσις. Ὅτι φησὶν ἡ κατὰ σωφροσύνην ἀρετὴ κρείσσων ἐστὶ τῆς κατὰ ἀκρασίαν κακίας, μαθεῖν ἐστι καὶ ἀπὸ βασιλέων, ἀπὸ ἀρχόντων, ἀπὸ στρατηγῶν, ἀπὸ τέκνων, ἀπὸ πολιτῶν, ἀπὸ οἰκετῶν, ἀπὸ παιδαγωγῶν. ἕκαστος γὰρ τούτων ἑαυτῷ, καὶ τῷ κοινῷ ὠφέλιμος γίνεται σωφρονῶν· ἀκολασταίνων δὲ ἑαυτῷ καὶ τῷ κοινῷ βλαβερός. Ὅτι φησὶν ὁ μὲν νόμος, τύπος ἐστὶ καὶ σκιὰ τῆς εἰκόνος, τουτέστι, τοῦ εὐαγγελίου. ἡ δὲ εἰκὼν τὸ εὐαγγέλιον αὐτῆς τῆς ἀληθείας, τῆς ἐσομένης ἐν τῇ δευτέρᾳ τοῦ κυρίου παρουσίᾳ. [Ὅτι ἐν τῷ λευιτικῷ περὶ τῆς σκηνοπηγίας λεγόμενον εἰς τὴν ἐν τῇ β' τοῦ κυρίου παρουσίᾳ] ἐσομένην τῶν ἀνθρώπων ἀνάστασιν ἐκδέχεται, σκηνὴν ἑκάστου τὸ οἰκεῖον *τιθεὶς σῶμα, τὰς δὲ ἑπτὰ ἡμέρας εἰς τύπον τῶν ἑπτὰ αἰώνων, καὶ τἆλλα ἀναλόγως. Ὅτι *ἀναγωγικῶς ἐκδέχεται τὸ εἰς τοὺς κριτὰς εἰρημένον, πορευόμενα ἐπορεύοντο τὰ ξύλα τοῦ χρῖσαι ἐφ' ἑαυτῶν βασιλέα, καὶ *εἶπον τῇ ἐλαίᾳ, βασίλευσον ἐφ' ἡμῶν· καὶ εἶπεν αὐτοῖς ἡ ἐλαία, ἀφεῖσα τὴν πιότητά μου, ἣν ἐδόξασεν ὁ θεὸς καὶ οἱ ἄνθρωποι, πορευθῶ ἄρχειν τῶν ξύλων; καὶ εἶπον τὰ ξύλα τῇ συκῇ, δεῦρο σὺ βασίλευσον ἐφ' ἡμῶν· καὶ εἶπεν αὐτοῖς ἡ συκῆ, ἀφεῖσα τὴν γλυκύτητά μου, καὶ τὸ γέννημά μου τὸ ἀγαθόν, πορευθῶ ἄρχειν τῶν ξύλων; καὶ εἶπαν τὰ ξύλα τῇ ἀμπέλῳ, καὶ ἕως οὗ καὶ εἶπον τῇ ῥάμνῳ, καὶ ἑξῆς. φησὶ γὰρ, ταῦτα δὲ ὅτι μὴ περὶ ξύλων ἐλέχθη, σαφές ἐστιν· ἀλλὰ περὶ ψυχῶν ἱστορεῖται ταῦτα, αἱ πρὸ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ καθυλομανήσασαι τοῖς παραπτώμασι, προσίασιν, οἶκτον αὐτῶν *ἀξιοῦσαι λαβεῖν τὸν θεόν, καὶ βασιλεῦσαι τὸν ἔλεον ἐπ' αὐτὰς ἤδη, καὶ τὴν εὐσπλαγχνίαν, ἣν ἐλαίας τύπῳ παρέλαβεν ἡ γραφή, καὶ ἐπισκέψασθε, μήποτε τὰς ἐπὶ τοῦ πρωτοπλάστου μέχρι τοῦ Χριστοῦ καθεξῆς ἡ γραφὴ νομοθεσίας δηλοῖ, ὧν ὁ διάβολος ἀντιμίμοις ἐξηπάτησε πλάσμασι τὸ ἀνθρώπειον γένος. τὴν μὲν συκῆν ἀπεικάζουσα τῇ κατὰ τὸν παράδεισον δοθείσῃ τῷ ἀνθρώπῳ ἐντολῇ, ἐπειδὴ τὴν γύμνωσιν ἀπατηθεὶς τοῖς πετάλοις ἐπεκάλυψε συκῆς· τὴν δὲ ἄμπελον, τῇ ἐπὶ τοῦ κατακλυσμοῦ *τῷ Νῶε, διὰ τὸ οἴνῳ χλευασθέντα κοιμηθῆναι· τὴν δὲ ἐλαίαν, τῇ κατὰ τὴν ἔρημον τῷ Μωυσῇ, ἐπειδὴ τὸ χάρισμα τὸ προφητικόν, τὸ ἔλαιον τὸ ἅγιον, ἀνομησάντων αὐτῶν, ἐκλελοίπει τῆς κληρονομίας· τὴν δὲ ῥάμνον, τῇ ἐπὶ *τῇ συντελείᾳ τοῦ κόσμου τοῖς ἀποστόλοις, ἐπειδήπερ δι' αὐτῶν ἐδιδάχθημεν ἁγνείαν, ἧς ἀπατηλὸν μόνης εἴδωλον ὁ διάβολος οὐκ ἴσχυσε σκευάσαι.

METHOD.

Nam dum contraria genesi decernunt, genesim destruunt. Ergo aut genesis est, & tolluntur leges: aut leges sunt, & non sunt quæ genesi respondent. Sed, non est possibile, inquiunt, quisquam vt nascatur vt quicquam à quoquam fiet sine genesi, neque digitum sine fato posse moueri aiunt: An ergo secundum genesim nati Minos, Rhadamantus, Dracon, Lycurgus, Solon, Seleucus legislatores, leges condiderunt quæ damnarunt furta, cædes, & hoc genus alia, quæ futo fieri non potest, nam genesis à seipsa euerteretur, dum ipsa seipsam exauctorat.

Hinc enim ponat genesis leges quæ adulteria & alia crimina damnant, illinc verò [eadem genesis] cædes & adulteria operetur: nihil enim idem à seipso diuersum, secum pugnat, idémque ad sui ipsius exitium vergit. Ergo genesis nulla est. Temperantiæ virtutem ait vtiliorem esse vitio intemperantiæ, idque patere ex regibus, magistratibus, belli ducibus, filiis, ciuibus, seruis, pædagogis; singuli enim horum, cum temperanter viuunt, prosunt sibi & Reipu. cum intemperanter, sibi & Reip. nocent. *Lex*, inquit, *figura & vmbra est imaginis*, hoc est Euangelij: Euangelium verò imago futuræ in secundo Domini aduentu, veritatis. Dictum in Leuitico de scenopegiis seu tabernaculis refert ad resurrectionem hominum in secundo Domini aduentu futurã: tabernaculum enim vniuscuiusque corpus interpretatur; septem autem dies figuram ait septem seculorum aliáque id genus analogicè exponit. Anagogicè illud [in iudicum libris] in iudices dictum accipit: *Euntia ierunt ligna vt vngerent super se regem, & dixerunt oliuæ, regna super nos: & dixit eis oliua: Deserens pinguedinem meam, quam in me glorificauit Deus & homines, abibo vt dominer inter ligna? Et dixerunt ligna ficui: Veni regna super nos. Et ait eis ficus: Deserens dulcedinem meam, & fructum meum bonum, abibo vt imperem lignis? Et dixerunt legna viti*: vsque ad illud: *Et dixerunt rhamno.* & quæ sequuntur. Hæc, inquit, constat non esse de lignis dicta. Sed de animabus hæc narrantur, quæ ante CHRISTI incarnationem luxuriæ vitiis inquinatæ, accedunt rogantes vt misericordiam à DEO impetrent, & vt iam miseratio super eas regnet & viscera misericordiæ, quam oleæ figura expressit scriptura. Et aduertite vtrum non à protoplasto vsque ad CHRISTVM deinceps scriptura præcepta significet, quibus sua diabolus opponendo adumbrata figmenta, genus humanum decepit. Ficum quippe cum præcepto homini in paradiso dato comparauit, quia deceptus homo foliis fici nuditatem suam velauit; vitem vero legi post diluuium Noe datæ, eo quod vino sopitus fuerit irrisus; Oleam verò legi Mosis in deserto, quia oleum sanctum siue gratia prophetica, præuaricantibus illis defecerat ab hæreditate. Rhamnum comparat datæ legi ad salutem mundi Apostolis, quia per illorum doctrinam castitatem didicimus, cui soli similem nullã potuit speciem diabolus inuenire.

Margin notes: * al. φῦσαι. — * in. φόνους. — * al. τιθέασι. — * al. ἀναλόγως. — * al. ἔπον. Iudic. 9. — * al. ἢ ἔοικεν. — * al. τῷ. — * τῇ συντελείᾳ. — ὁ δὲ εἰκών. Analogia comparatio est rei ad rem. (septem annis seculis ...) — Iud. 9. et sept. — τῷ ἐντολῷ nempe.

METHOD.

·. Incarnationem.

Hinc quatuor Euangelia edita sunt, Deo quater ·. humanitatem annunciante, & quaternis legibus docente, quatuor tempora apertè per fructuum discrimina intelliguntur. Ficus enim propter dulcedinem & nutritionem, legem ante præuaricationem latam declarat: Nonnunquam enim ficus in scriptura in meliorem partem accipitur. Vitis verò ob vini iucunditatem & lætitiam, eorum qui ex ira Dei & diluuio seruati sunt, timorem & solicitudinem in gaudium versa insinuat. Olea vero, propter olei fructum, intimam Dei misericordiam significat; Deo rursum homines ad impietatem post diluuium prolapsos tolerante, & dignante quibusdam legem dare & apparere. Rhamnus autem virginitatem denotat. Rhamnus enim arbor casta est, & fortasse ex simili quadã cum virgine natura stirps hæc ῥάμνος, καὶ ἄγνος appellatur; rhamnus quidem propter robur & fortitudinem contra voluptates, ἄγνος verò, quod omni ex parte casta & pura sit. Vnde & Heliam ferunt à facie Iezabelis mulieris fugientem ad rhamnum primum venisse, atque exauditum fuisse, cibumque accepisse, quia fugientibus stimulum carnis, & fœminam, & voluptatem, perfugium & tegumentum, castitatis lignum germinauit, quod ·. ab aduentu principis Virginum Christi, regnum in homines obtinuit: Hoc enim vnicum castitatis regnum, cuius ipsos nunquam pœniteret, post Christi aduentum arripuerunt homines, cum singulorum aliorum, quibus datæ fuerant leges ante Christi aduentum, regnorum habenas à seipsis celeriter excussissent, & contrario falsóq; parere & se subiicere maluissent. Quanquam sæpe pœnitentes quæsiuerint iterum regale Dei legis imperium rectéq; factorum animi vitiis corruptorum renouationem. Nam hostium manibus, & ignominiæ passionibus tradiri, rursum imperio præceptisque Dei regi voluerunt, vt ex infinitis ærumnis malisque eriperentur. Sed hæc legum regna propter fœtentia & immedicabilia vulnera animarum, noluerunt illis imperare, donec Devs quartum miseratus hominem, misit Castitatem, à scriptura rhamnum congruenter appellatam, quæ illi imperaret, quæ voluptatibus superatis, etiam in reliquum tempus illis interminata est, quod, nisi sibi parerent omnes, & sincerè ad se accederent, futurum vt omnes flammis absumerentur; nullam enim post hanc aliam legem aut doctrinam secuturam, sed iudicium & ignem. Hinc deinceps homo cœpit iustitiam colere, Deóque constanter per fidem adhærere, & se à diabolo seiungere.

Ἄγνος castus purus.

·. Quod ab auctore virginitatis Christo plantatum est iis qui virginitatē complectuntur. Vide notas Hæscheliij.

Obseruandum dialogum hunc qui, Symposium, inscribitur, siue de castitate, magnam partem adulteratum esse: offendes enim in illo adiectas & Arianas vanásque opinationes, aliásque male sentientium fabulas.

Notandum. Quid sit cur solus homo ex omnibus à Deo creatis rebus dicatur factus secundum imaginem Dei: nihil enim

καὶ διὰ τοῦτο καὶ εὐαγγέλια τέσσαρα παραδίδοται, τετράκις εὐαγγελισαμένου τοῦ θεοῦ τὴν ἀνθρωπότητα, καὶ παιδαγωγήσαντος τοῖς τέτρασι νόμοις, ὧν οἱ καιροὶ σαφῶς ἀπὸ τῆς διαφορότητος δηλοῦνται τῶν καρπῶν. ἡ μὲν γὰρ συκῆ, διὰ τὴν γλυκασίαν καὶ τὴν τροφὴν, τὴν πρὸ τῆς παραβάσεως τοῦ ἀνθρώπου παρίστησι γεγενημένην. ἔστι γὰρ ὅτε τῆς συκῆς ὁ καρπὸς τῇ γραφῇ ἐπὶ τὸ κρεῖττον ἐκλαμβάνεται. ἡ δὲ ἄμπελος, διὰ τὴν ἱλαρότητα τὴν ἐκ τοῦ οἴνου, καὶ τὴν εὐφροσύνην, τῶν περισωθέντων τῆς ὀργῆς καὶ τοῦ κατακλυσμοῦ, τὴν ἀπὸ τοῦ φόβου καὶ τῆς φροντίδος τὴν εἰς χαρὰν αὐτῶν μεταβολὴν αἰνίσσεται. ἡ δὲ ἐλαία, διὰ τὸν καρπὸν τοῦ ἐλαίου τὴν εὐσπλαγχνίαν τοῦ θεοῦ μηνύει, πάλιν ἀνεξικακήσαντος τοῦ θεοῦ μετὰ τὸν κατακλυσμὸν, τῶν ἀνθρώπων ἐκτραπέντων εἰς ἀθεότητα, δεῖξαι νόμον καὶ ἐμφανισθῆναί τισιν. ἡ δὲ ῥάμνος, τὴν ἁγνείαν συνίστησι: τὸ γὰρ αὐτὸ δένδρον ῥάμνος καὶ ἄγνος ἐστὶ, καὶ τάχα διὰ τὸ συγγενὲς τὸ φυτὸν τοῦτο τῇ παρθένῳ ταύτῃ ῥάμνος καὶ ἄγνος προσηγορεύθη: ῥάμνος μὲν παρὰ τὸ στερέμνιον καὶ καρτερὸν πρὸς τὰς ἡδονάς· ἄγνος δὲ, παρὰ τὸ διὰ παντὸς ἁγνεύειν. ὅθεν καὶ τὸν Ἠλίαν ἐκ προσώπου τῆς Ἰεζάβελ (τῆς) γυναικὸς φεύγοντα, λόγος ὑπὸ ῥάμνον ἐλθεῖν πρῶτον, καὶ εἰσακουσθῆναι, καὶ λαβεῖν τροφήν. Ὅτι τῶν φευγόντων τὸν οἶστρον καὶ τὴν γυναῖκα (καὶ) τὴν ἡδονὴν, τὸ καταφύγιον, καὶ ἡ σκέπη, τὸ τῆς ἁγνείας ἐβλάστησε ξύλον, ἀπὸ τῆς παρουσίας τοῦ ἀρχιπαρθένου Χριστοῦ βασιλεῦσαν τῶν ἀνθρώπων. ταύτην γὰρ μόνην τὴν τῆς ἁγνείας βασιλείαν ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας ἀμεταμελητὶ προσήκαντο οἱ ἄνθρωποι, ἑκάστης τῶν προδεδομένων αὐτοῖς ἐντολῶν πρὸ τῆς Χριστοῦ παρουσίας κατὰ τάχος βασιλείας ἑαυτοὺς ἀφηνιάζοντες, καὶ τῇ ἀντιμίμῳ μᾶλλον πειθαρχεῖν καὶ ὑπ' αὐτῆς βασιλεύεσθαι προαιρούμενοι· εἰ καὶ * μεταμελούμενοι πολλάκις, ἐπεζήτουν πάλιν τὴν πρὸς θεοῦ * δεδομένην αὐτοῖς βασιλικωτάτην ἐντολὴν καὶ ἀνακαινισμὸν τῶν διαφθαρέντων αὐτῶν ἐκ κακίας ψυχικῶν κατορθωμάτων. παραδιδόμενοι γὰρ εἰς χεῖρας ἐχθρῶν, καὶ πάθη ἀτιμίας, ἐπεζήτουν βασιλεύεσθαι τῇ ἐντολῇ καὶ τοῖς προστάγμασι τοῦ θεοῦ: ἵνα γένηται αὐτοῖς λύσις τῶν πολυπλόκων συμφορῶν, καὶ ἀπαλλαγὴ τῶν κακῶν. αἱ δὲ διὰ τὸ προσόζειν αὐτῶν, καὶ ἀνιάτους ἔχειν τοὺς τῆς ψυχῆς μώλωπας, οὐκ ἐβούλοντο βασιλεύειν αὐτῶν, μέχρις ὁ θεὸς τέταρτον κατελεήσας τὸν ἄνθρωπον, τὴν ἁγνείαν ἀπέστειλε βασιλεῦσαι, ἣν ῥάμνον ἀκολούθως ἐκάλεσεν ἡ γραφή· ἥτις καταπαλαίσασα τὰς ἡδονὰς, καὶ ἀπειλήσασα λοιπὸν, εἰ μὴ αὐτῇ πείθοιντο πάντες, καὶ ἐν ἀληθείᾳ προσέρχοιντο, πυρὶ καταδαπανήσαι πάντας· οὐκ ἔτι γὰρ μετὰ ταύτην ἐπελθεῖν νόμον ἢ διδασκαλίαν ἑτέραν, ἀλλὰ καὶ κρίσιν, καὶ πῦρ· καὶ διὰ τοῦτο λοιπὸν ἀπ' ἐντεῦθεν δικαιοπραγεῖν ὁ ἄνθρωπος ἤρξατο, καὶ πιστεύειν βεβαίως τῷ θεῷ, καὶ ἀποχωρίζεσθαι τοῦ διαβόλου. Ὅτι σημειωτέον, ὡς οὗτος ὁ διάλογος, ᾧ ἐπιγραφὴ Συμπόσιον ἢ περὶ ἁγνείας, παραπολὺ (γὰρ) νενοθευμένος ἐστίν· εὑρήσεις γὰρ ἐν αὐτῷ παραβεβλημένας καὶ ἀρειανικὰς δοξοκοπίας, καὶ ἑτέρων τινῶν κακοδοξούντων μυθολογήματα. Ὅτι σημειωτέον, τί ποτέ ἐστι τὸ κατ' εἰκόνα, ὃ μόνος ἐσχηκέναι λέγεται ἄνθρωπος τῶν ὑπὸ θεοῦ γεγενημένων. οὐδὲ γὰρ

1. Reg. 19.

* al. μεταμελόμενοι.

* al. θεοῦ ἐκδιδομένην.

αἱ διέρι

εἰ εὕροι τις ἐπ' ἀνθρώπου τι τῶν τιμίων, οὗ μὴ κἀγγέλων μετέχει φύσις. οὔτε γὰρ τὸ ἀθάνατον, καὶ γὰρ καὶ * ἄγγελος, οὔτε τὸ αὐτεξούσιον. εἰ γὰρ ὅτι ἀγγέλοις, κατὰ τὸν θεολόγον, ἐπὶ τὸ ἀγαθὸν μᾶλλον ἡ ῥοπὴ, κατὰ τοῦτο ὅρα, ὅτι μηδ' ὅλως δυνατὸν τὸ κατ' εἰκόνα τοῦτο ἐννοεῖν. εἰ δὲ τὸ ἀρχικὸν λέγεις· ἀρχειν γὰρ τῶν ἰχθύων καὶ τῶν ἄλλων ὁ ἄνθρωπος πρὸς θεοῦ ἠξίωται ἐν τῇ τῆς κοσμογονίας συγγραφῇ: οὐδ' οὕτως ἀλλοτριώσεις τῶν ἀγγέλων. ἄρχειν γὰρ τῶν ἀγγέλων τοὺς πλείους, ἔθνους καὶ φυλῆς, παρὰ τῆς γραφῆς ἰδίως δεδιδάγμεθα. εἰ δ' * ὅτι μὴ χειροήθεις αὐτοῖς τοὺς ἀρχομένους τελοῦσι τὴν διαφορὰν εἰσάγεις, καθάπερ ἐκεῖνοι τὰ πολλὰ τῶν ζώων: οὐδὲν πρὸς τῷ γέλωτι κομπάζεις. οὐδὲ γὰρ οὐ εἰκόνα φέρειν ὁ ἄνθρωπος λέγεται, χειροήθεις τοὺς ἀρχομένους (ἄπαγε) δεικνύει. τί οὖν ἐστὶ τὸ κατ' εἰκόνα; ὅσοι γὰρ τὴν τοῦ σωματικοῦ σχήματος εὐπρέπειαν ἐρραψῴδησαν, πρὸς τοῖς μυρίοις ἐλέγχοις, οὐδὲ τῆς πρὸς τὸν ἄγγελον κοινωνίας κατὰ τοῦτο, ὅπερ ἐστὶ τὸ ζητούμενον, τὸν ἄνθρωπον ἠλευθέρωσαν. ἀνθρωπόμορφον γὰρ αἱ θεῖαι γραφαὶ τοὺς ἀγγέλους ἡμῖν ἐνδεδυκότας σχῆμα * ἐπετύπωσαν. εἰ δὲ τὸ δημιουργικὸν καὶ πρακτικὸν εἰς ὕπαρξιν τὸ κατ' εἰκόνα φυλάσσειν ἔχεις ἐπ' ἀνθρώπου· δημιουργεῖ γὰρ ὁ θεὸς τὸ πᾶν, ἀφράστως καὶ ἀνεπινοήτως παράγων τὰ μὴ ὄντα· ἀλλὰ καὶ ἄνθρωπος ἐνίοτε μὲν ἐκ τῆς ἰδίας οὐσίας καὶ φύσεως, σπορᾶς καταβολῇ, ὅμοιον ἄνθρωπον γεωργῶν, ἐνίοτε δὲ τέχνῃ πολλὰ τῶν τεχνητῶν δημιουργῶν, εἰ καὶ μὴ ἐκ τοῦ μηδαμῶς ὄντος. ἀλλὰ καὶ τοῦτο * πιθανὸν * ἔχον ῥᾳδίως ἐλέγχεται. * οἵ τε γὰρ μονάζοντες, καὶ διὰ τὸ δοκεῖν φυλάσσειν τὸ κατ' εἰκόνα, παντὸς ἀνθρωπίνου τεχνήματος ἢ τεχνάσματος ἀνωτέρω ἑαυτοὺς ἐργασάμενοι, ἄθλιοι ἂν φανεῖεν, τὸ κατ' εἰκόνα δι' αὐτὸ τοῦτο ἀπολέσαντες. τί οὖν τὸ κατ' εἰκόνα; ἡ τῶν ἀρετῶν δι' ἐπιμελείας κτῆσις. ἄγγελοι μὲν γὰρ ἔχειν ἀρετὴν, ἀλλ' οὐ τὴν δι' ἐπιμελείας καὶ κόπου, ὅτι μὴ μεθέλκονται ὑπὸ κακίας, δοξάζονται. ἀλλ' εἰ καὶ τοῦτο συγχωρηθείη, ἄκοπον ἀρετῶν κτῆσιν τοῖς ἀγγέλοις ἀποκεκληρῶσθαι: ἢ καὶ οὗτοι τὸ κατ' εἰκόνα τῷ ἀκόπως ἔχειν θεῷ μᾶλλον πλησιάζοντες ἕξουσιν· ἢ εἰ μὴ οὗτοι, πολλῷ μᾶλλον οὐδὲ ὁ ἄνθρωπος, ὅτι μετὰ ταύτης ἢ πρὸ ταύτης τὴν κτῆσιν πολλῶν ταραχῶν καὶ πόνων ἐμπιπλάμενος ταύτην ἐνδέχεται.

*al. ἀγγέλων.
*al. ὅτι.
*al. τοῦ.
*al. ἐπιτυπώσαντες.
*al. τὸ ἔχον
*al. ὅτι.

in homine reperiat quis nobile, quo careat angelica natura; non immortalitas; nam & angelus immortalis, non liberum arbitrium: nam si angeli vt sentit Theologus, magis [quam homines] propendent in bonum, secundum hoc intellige nullo modo posse accipi illud secundum similitudinem. Si imperium dicas, (dignatus est enim homo à DEO imperio piscium & aliorum in ipsa mundi fabricati descriptione) ne sic quidem angelos ostendes esse diuersos. Dominari enim plures angelorum gentibus, & nationibus singulatim è scriptura didicimus. Si autem, quod subiectos non tractabiles sibi reddant, quemadmodum illi multa animalia, differentiam constituas, nihil nisi risum iactas, neque enim homo cuius imaginem ferre dicitur, (apage dictum) subiectos reddit siue ostendit mansuetos. Quid igitur est illud, secundum imaginem? Nam quicumque corporeæ figuræ elegantiam commenti sunt, omnibus suis argumentis hominem neque ab angelorum quidem formæ communione pro ratione quæstionis liberarunt. Ab angelis enim humanam indutam esse formam, nobis diuinæ literæ prodiderunt. Si autem opificis & effectoris substantiæ humanæ effigiem in homine dicis manere, (creat enim DEVS, vniuersa inexplicabili & incomprehenso modo producendo ea quæ non sunt) etiam homo quandoque ex sua substantia & natura, satu seminis similem sibi hominem creat, quandoque vero artificio multa opificum artificia quamuis ex nulla re prius existente, fingit; Enimuero & hoc si quid probabile habet, facilè refellitur. Nam & qui solitariam vitam degunt, & propterea quod videantur illud, ad imaginem, seruare, posteaquam seipsos supra omne artificium humanum & artem perfecerunt, miseri viderentur, quod hoc ipso illud, secundum similitudinem, perdidissent.

Quid ergo est hoc, secundum similitudinem? virtutum industria partarum thesaurus est. Angeli enim quamuis virtutem habeant, non dicuntur tamen per laborem & industriam partam habere quia non solicitantur à peccato. Sed quamuis hoc concederetur ab angelis virtutem sine labore possessam, aut hi quoque illud, ad imaginem, sine labore habēdo magis DEO similes habebunt hant: aut, si hi non, multo minus homo, quia cum illius, aut ante illius imaginis possessionem, multis ærumnis & laboribus exantlatis hanc assequitur.

METHOD.
Nazianzenus.
Dan. 10.
πρὸς τῷ γέλωτι i. vous corruptum fortè ἀνωτέρω.
Quæ erat. quæ ratione similis esset Deo.
Effigiem custodire penes hominem putas.

ΙΩΣΗΠΟΥ ΤΗΣ ΑΡΧΑΙΟΛΟγίας ἡ ἐκλογή.

ΑΝΕΓΝΩΣΘΗ Ἰωσήπου [ἡ ἀρχαιολογία· ἧς ἡ ἐκλογὴ, ὅσα τε ἱστορεῖ περὶ Ἡρώδου, καταλέγει τήν τε ἀνοικοδομὴν τοῦ ναοῦ· ὅπως τε τὴν ἰουδαϊκὴν ὑπεισῆλθε βασιλείαν, καὶ ὅπως αὐτὴν τὴν ἀρχὴν οἱ ἐκγόνοι διεδέξαντο· ὅπως τε αὕτη εἰς ἀριστοκρατίαν κατελέλυται, τὴν προστασίαν τοῦ ἔθνους τῶν ἀρχιερέων ἀναδεξαμένων· καὶ ὅσα ἄλλα τούτοις συνδιαπλέκεται. Ὅτι Ἰώσηπος] πρὸς τῷ τέλει τῆς ιε' κατὰ τὴν ἀρχαιολογίαν ἱστορίας, ὀκτωκαιδέκατον ἔτος τῆς βασιλείας

σλη'.
Fl. Iosephi antiquitatum Iudaicarum libri.

FLAVII IOSEPHI ANTIQVITATVM Iudaicarum Libri. CCXXXVIII

LEGI Iosephi, [Antiquitates, quarum Excerpta, quæ de Herode narrant, describunt instaurationem templi, vt Iudæorum occupauerit dominum, vtque eius stirps imperium adepta sit, vt denique in optimatium regnum verterit, principatum summis Pontificibus inuadentibus, & alia quæ his adiunguntur. Iosephus [ad finem libri quinti decimi Antiquitatum tradit. Octauo decimo regni

Cap. 14.

IOSEPHVS. Herodis anno perfectum templum Hierosolymis: quod Salomon Rex exædificauit, quod euersum iterum captiui è Babylone reducti Persarum Rege Dario coadiuuante erexerunt sex & quadraginta annis. Hunc Herodem refert, auferentem fundamenta antiqua, alia vero contra illa iacientem duplò priore maius fecisse.

Superauit enim altitudine templum quod captiui erexerunt templum Salomonis mensuris quibusdam. Continebat templum Herodis centum cubitos longitudine: altitudo amplius viginti, quos etiam transcendit, tempore fundamentis subsidentibus, quam etiam Neronis imperio Iudæi attollere cogitarunt. Ædificatum vero templum ab Herode vno anno & sex mensibus Iosephus refert, & domus, & monumenta quæ circum erant octo integris annis.

Lapides quibus templum ædificatum candidos ac firmos, singulos fuisse longitudine cubitorum viginti quinque, altitudine octo, latitudine duodecim; finitum vero hac industria. eo in opere magna Herodis enituit diligentia: aduexit prius omnem materiam, erantque illi plaustra, mille lapides vehere consueta, decem millia opificum, sacerdotum, qui in adytis seruirent mille. His enim ædificare lignáque cedere instituit, sacras illis omnibus vestes coëmens, & apparatus, voluntatem, opinione citius ad exitum perduxit, & magnam gratiam apud populum conciliauit sibi. Sacrificat autem Herodes absoluto templo trecentas vaccas; quantum vero alij Iudæi sacrificarint, dici non potest. Hic vero Herodes filius fuit Antipatri Idumæi, & Arabissæ cui nomen Cypris, quo regnante CHRISTVS è Virgine ad redimendum genus humanum natus est. In quem sæuiens peccauit, & contrucidatis tot infantibus; qua crudelitate ac cæde omnes retro tyrannos superasse fertur. Eius vxoris Mariammes (quæ Alexandræ Pontificis Hyrcani filiæ filia fuit) venustas corporis tanta fuit vt nulla vnquam illi par fuisse videretur. Ex hac igitur duo nati filij Aristobulus, & Alexander, qui pulchritudine, orationisque gratia, manuúmque promptitudine, nihil non regium habere, omnium ore ferebantur. Contra hos omnes calumniis Antipatri effeeatus est. Primo quidem in vxorem, deinde filios, & demũ Antipatrum è priore natum vxore. Acerbo morbo vexatus (vexabatur enim intestinorum exulceratione) non nisi erectus anhelabat, pedes tumebant phlegmate humido, & graues coli passiones, verenda putrefacta scatebant vermibus: & alia multa. Et quinto post cædem Antipatri filij die etiam vitam finiit. Viuẽs annos omnes*, imperans ex illis sex & triginta. Regnat vero illegitime, & præter spẽ suam, studio Antonij ducis Romanorũ pecunia corrupti, & Augusti cõmẽdatione,

* Septuaginta.

* Ἡρῴδου ἀνύοντα τὸν ἐν Ἱεροσολύμοις νεών, ὃν ἔκτισε Σολομὼν ὁ βασιλεύς, καταστραφέντα δὲ πάλιν οἱ ἐκ Βαβυλῶνος ἀναχθέντες, αἰχμάλωτοι Δαρείου τοῦ Περσῶν βασιλέως συναραμένου αὐτοῖς, ἀνέστησαν ἐν ἓξ ἔτεσι καὶ μ´. τοῦτόν φησι τὸν περιώνυμον ναὸν μετὰ ἔτη ἑξακόσια, ἀνελόντα μὲν τοὺς ἀρχαίους θεμελίους, ἑτέρους δὲ καταβαλόντα ἐπ´ *αὐτὸν τὸν Ἡρῴδην διπλάσιον τοῦ προτέρου ἀναστῆσαι· λείπεσθαι γὰρ τὸν ὑπὸ τῶν αἰχμαλώτων τοῦ Σολομοντείου μέτροις κατὰ τὸ ὕψος πισίν. εἶχε δὲ ὁ Ἡρῴδου νεώς, μῆκος μὲν πήχεις ἑκατόν, ὕψος δὲ εἴκοσι περιττοῖς. *οὓς καὶ ὑπέβη, τῷ χρόνῳ τῶν θεμελίων συνιζησάντων, ὃ καὶ κατὰ τοὺς Νέρωνος καιροὺς Ἰουδαῖοι ἐγνώκεισαν ἐπεγείρειν. οἰκοδομηθῆναι δὲ Ἡρῴδῃ τὸν ναὸν Ἰώσηπός φησιν ἐνιαυτῷ ἑνί, καὶ μησὶ ἕξ: *τὴν δὲ περὶ τὸν νεὼν οἴκων καὶ περιβόλων ἐτεσιν ὅλοις ὀκτώ. λίθους δέ, ἐξ ὧν ἠγείρετο ὁ νεώς, λευκοὺς μὲν εἶναι καὶ κραταιούς, ἔχειν δὲ ἕκαστον αὐτῶν μῆκος μὲν πήχεις εἰκοσιπέντε, ὕψους δὲ ὀκτώ, καὶ εὖρος περὶ δυοκαίδεκα. τελεσθῆναι δὲ τὸ ἔργον φησὶν ἐπινοίᾳ τοιαύτῃ. Ἡρῴδῃ πολλή τις ἐγένετο ἡ περὶ τὸ ἔργον φιλοτιμία. ἀγείρει οὖν πρότερον ἅπασαν ὕλην, καὶ χίλιαι αὐτῷ ἅμαξαι λίθους ἄγειν διαρκεῖς ἦσαν. ἐργάται δὲ ἄλλοι μὲν μυρίοι, τῶν δὲ ἱερέων, οἳ τῶν ἀδύτων ἔργων ἔμελλον ἅπτεσθαι, χίλιοι. τοσούτων γὰρ οἰκοδομεῖν καὶ ξυλουργεῖν ἐξεπαίδευσεν ἱερατικὰς αὐτοῖς ἅπασιν ὠνησάμενος στολάς. καὶ ἤδη ἡ παρασκευὴ θᾶττον μὲν ἐλπίδος, εἰς πέρας τὸ βούλημα ἤγαγε. μεγάλας δὲ καὶ πολλὰς ἀπὸ τοῦ πλήθους τὰς εὐχαριστίας ἐν τοῖς ἄλλοις ἅπασιν ἀχθομένου Ἡρῴδου προὐξένησε. θύει δὲ Ἡρῴδης ἅμα τῷ συντελέσαι τὸν νεὼν βοῦς τριακοσίας· τῶν δὲ ἄλλων Ἰουδαίων ὅσα θῦσαι, οὐδὲ ἐγένετο λαβεῖν ἀριθμόν. οὗτος Ἡρῴδης ἐστὶν [ὁ] Ἀντιπάτρου τοῦ Ἰδουμαίου καὶ τῆς Ἀραβίσσης (Κύπρις δὲ ὄνομα αὐτῇ) παῖς, ἐφ´ οὗ καὶ Χριστὸς ὁ θεὸς ἡμῶν ἐπὶ σωτηρίᾳ τοῦ ἡμετέρου γένους παρθενικῆς ἀποτεκεῖν μήτρας. καθ´ οὗ καὶ μανεὶς Ἡρῴδης, τοῦ μὲν δεσπότου διήμαρτε, φονεὺς δὲ πολλῶν νηπίων γίνεται· εἰς ὠμότητα δὲ καὶ μιαιφονίαν πάντας ὅσοι τύραννοι ὑπερβαλέσθαι ἱστόρηται. καὶ γυναικὸς δὲ τῆς Μαριάμμης (θυγάτηρ δὲ ἦν αὕτη Ἀλεξάνδρας τῆς Ὑρκανοῦ τοῦ ἀρχιερέως παιδὸς) ὥρᾳ σώματος οὐδενὶ χρόνῳ λείπουσα δόξαι ταύτης ἐφάμιλλον, ταύτης οὖν καὶ δύο τῶν ἐξ αὐτῆς αὐτῷ γεννηθέντων παίδων, Ἀριστοβούλου καὶ Ἀλεξάνδρου, οἳ κάλλει τε καὶ λόγων ἀσκήσει, καὶ χειρῶν ἔργοις, οὐδὲν ἧττον ἢ ὅτι βασιλέως ἦσαν παῖδες, ἀνὰ πάντων ἐφέροντο στόμασι. τούτων [οὖν] συμπάντων διαβολαῖς Ἀντιπάτρου μανεὶς δήμιος γίνεται. πρῶτον μὲν τῆς γαμετῆς, εἶτα καὶ τῶν παίδων, καὶ τελευταῖον Ἀντιπάτρου, καὶ αὐτοῦ παιδὸς ἐκ προτέρας γυναικός. νόσῳ δὲ πικρᾷ παραδοθείς, ἕλκωσις γὰρ ἐντέρων εἶχε τὸν δύστηνον, ὀρθιόν τε ἆσθμα, καὶ ποδῶν λευκοῦ* φλέγματος οἴδημα, δειναί τε τοῦ κώλου ἀλγηδόνες, καὶ αἰδοίου σῆψις σκώληκας ἐμποιοῦσα, καὶ μυρία ἄλλα. κατὰ πέμπτην δὲ ἡμέραν τῆς Ἀντιπάτρου σφαγῆς τοῦ παιδός, καὶ αὐτὸς τὸν βίον κατέστρεψε. διαβιοὺς μὲν ἔτη σύμπαντα *βασιλεύσας δὲ ἐξ αὐτῶν, ἑπτὰ καὶ τριάκοντα. βασιλεύει δὲ οὗτος παρανόμως τε, καὶ παρ´ ἐλπίδας αὐτοῦ ἐκείνου, σπουδῇ μὲν Ἀντωνίου τοῦ στρατηγοῦ Ῥωμαίων χρήμασιν ὑπηρετουμένου, καὶ Αὐγούστου καταπείσει.

* al. Ἡρώδην.
* al. αὐτῶν
* al. ἔτε
* οἳ τῶν ἀδύτων ἔμελλον ἅπτεσθαι.
* al. φθίνοντα
* λείπει ἴσως. ο´.

ψηφω

ψήφῳ δὲ πρὸς ἀφοσίωσιν καὶ τῆς βουλῆς ῥωμαίων.

Ὅτι Ἡρώδου τοῦδε, τοῦ πρώτου ἐξ ἀλλοφύλων παρὰ τοὺς νόμους βασιλεύσαντος ἰουδαίων, τούτου πατὴρ ἦν Ἰδουμαῖος γένος ἐξ ἀσκάλωνος πόλεως, παῖς Ἀντίπα, Ἀντίπας καὶ αὐτὸς ἐπικαλούμενος πρότερον, Ἀντίπατρος δ' ἔπειτα. οὗτος πολλῶν μὲν χρημάτων εὐπορῶν, δραστήριος δὲ τὴν φύσιν, καὶ στασιαστὴς, Ὑρκανῷ τῷ ἰουδαίων ἀρχιερεῖ δι' εὐνοίας Ἀριστοβούλῳ * τῷ ἀδελφῷ Ὑρκανοῦ, διάφορος· * διὸ πείθει Ὑρκανὸν, πολλάκις ἐνοχλήσας, τὴν βασιλείαν πάλιν ἀναζητεῖν ἅπασι τρόποις, ἣν ἐκείνου συγχωρήσαντος ἀφελόμενος Ἀριστόβουλος εἶχεν ὁ ἀδελφός. αὕτη τῶν ἀδελφῶν ἡ στάσις μεγάλη κακῶν αἰτία αὐτοῖς τε καὶ γένει καὶ τῷ ἰουδαίων ἔθνει κατέστη, καὶ τῆς εἰς ἀλλοφύλους τῆς βασιλείας μεταπτώσεως. ἐν τῇ στάσει * ταύτῃ πολλὰ φαίνεται Ἀντίπατρος ὑπὲρ Ὑρκανοῦ κατ' Ἀριστοβούλου πράξας. τέλος Ἀριστόβουλος μὲν εἰς ῥώμην ἅμα παισὶν αἰχμάλωτος ἄγεται. ἐκεῖθεν δὲ φυγὼν, πάλιν εἰς τὰ περὶ τὴν ἰουδαίαν παραγίνεται· πάλιν τε πολιορκηθεὶς ὑπὸ ῥωμαίων, ἅμα τῷ παιδὶ Ἀντιγόνῳ (οὗτος γὰρ ἔτυχεν ἐκ ῥώμης τῷ πατρὶ συμφυγὼν) ἁλίσκεται, καὶ εἰς ῥώμην ἀναπέμπεται, καὶ δεθεὶς κατείχετο, βασιλεύσας μὲν καὶ ἀρχιερατεύσας ἔτη γ', μῆνας ἕξ: λαμπρὸς δὲ καὶ μεγαλόψυχος ἐν τῇ ἀρχῇ γεγονώς. Ὑρκανῷ δ' ἡ μὲν ἀρχιερωσύνη δίδοται, οὐκ ἔτι δ' ἡ βασιλεία: ἀλλ' ἦν τὸ ἔθνος αὐτονομούμενον· ἐθνάρχης δ' ὅμως ἀντὶ βασιλέως τῆς διδομένης αὐτῷ ἐξουσίας εἶχεν ὄνομα. Ἀντιπάτρῳ δὲ Ὑρκανοῦ ἀρχιερατεύοντος, ἐπὶ πλεῖστον τὰ τῆς δυναστείας ηὔξετο. ῥωμαίων τε γὰρ τοῖς στρατηγοῖς κατὰ τῶν ἀνθισταμένων συνεμάχει, καὶ τὰ ἰουδαίων διὰ χειρὸς, τῇ ἀπραγμοσύνῃ, καὶ τῷ συγκεχωρηκότι Ὑρκανοῦ, αὐτὸς εἶχε πράγματα. Ἀριστόβουλον δὲ Ἰούλιος ὁ καῖσαρ, λύσας τῶν δεσμῶν, εἰς συρίαν κατὰ τῶν Πομπηΐου πέμπειν ἐγνώκει. ἀλλ' αὐτὸν φθάσαντες οἱ τὰ Πομπηΐου φρονοῦντες, φαρμάκῳ φθείρουσι. καὶ Σκιπίων δὲ, ἐπιστείλαντος αὐτῷ Πομπηΐου τὸν * Ἀριστοβούλου παῖδα Ἀλέξανδρον ἐπικαλοῦντος ἃ πρότερον εἰς ῥωμαίους ἥμαρτοι, πελέκει διεχρήσατο. ἀποδείκνυται δὲ ὑπὸ Ἰουλίου καίσαρος Ἀντίπατρος μετὰ τὴν κατὰ Πομπηΐου νίκην καὶ ἐπίτροπος ἰουδαίας. ὃς * ἐπ' αὐτὴν παραγεγονὼς, Φασαήλῳ μὲν τῷ παιδὶ ἱεροσολύμων καὶ τῶν περὶ τὴν στρατηγίδα ἄρχειν δίδωσι· τὸν δὲ μετ' αὐτὸν Ἡρώδην νέον ὄντα κομιδῇ, πεντεκαίδεκα γὰρ αὐτῷ ἀπὸ γενέσεως ἔτη ἦν, τῆς γαλιλαίας ἀποφαίνει ἐπίτροπον, οὐδὲν ὑπὸ τῆς νεότητος * τοῦ μὴ ἔχειν τὸ δεινὸν αὐτοῦ καὶ γενναῖον ἐκφῆναι κωλυόμενον. καὶ ταῦτα πράττων Ἀντίπατρος, καὶ θαυμαζόμενος οὐδὲν ἧττον ὑπὸ τοῦ ἔθνους ἢ καὶ βασιλέως: ὅμως τῆς πρὸς Ὑρκανὸν τὸν ἀρχιερέα εὐνοίας καὶ πίστεως οὐδὲν ὅλως ἠλλοίωσεν. ἀναιρεῖται δὲ Ἀντίπατρος, εὐκλεῆ καὶ λαμπρὸν διὰ παντὸς ἀναφαίνων βίον, ἐξ ἐπιβουλῆς φαρμάκῳ Μαλίχου τὸν * οἰνοχόον χρήμασι πείσαντος, στάξαι τῷ πόματι τοῦ φαρμάκου. * Μάλιχος δὲ οὗτος ἰουδαῖος μὲν ἦν, δεινὸς δὲ δολοῤῥαφεῖν, καὶ δοθείσης ὑπονοίας, ὅρκοις τὴν ὑπόνοιαν θεραπεῦσαι, καὶ ὑποκρίσει φιλίας. ἀλλ' οὐδὲν ἧττον, ὡς ἐῴκει, Ἡρώδῃ τοιαῦτα μηχανᾶσθαι φύσιν λαχόντι, ἢ καὶ δριμυτέρῳ περιτυχόντι

* al. ταύτῃ · * al. Ἀριστοβούλου · * al. τῶ. · * al. οἰνοχόον · * al. μάλιχος

IOSEPHVS.

decreto ad confirmationem Senatus Rom. Herodis huius, qui primus externorum Iudæis imperauit, pater fuit Idumæus natione ex Ascalone filius Antipæ, etiam Antipas prius vocatus, deinde Antipater. Hic multis pecunijs abundans, factiosus ingenio, & seditiosus cum Hyrcano Iudæorum Pontifice, eo quod faueret Aristobulo fratri Hyrcani inimicitias gessit. Quare cum multas sæpe conciret turbas, eo permouet Hyrcanum vt regnum iterum requirat omnibus modis, quod illo donāte habuerat Aristobulus frater interfectus. Hæc fratrum discordia magna malorum causa ipsis, & cognationi, gentique Iudæorum fuit, & cur regnum ad externos delaberetur. In hac discordia multa Antipater pro Hyrcano contra Aristobulum visus est fecisse. Tandem Aristobulus vna cum liberis captiuus ducitur. Inde fuga ereptus, ad rem Iudæorum iterum se conuertit, iterúmque obsessus à Romanis cum filio Antigono (hic enim cum patre vna captiuus fuit) capitur, Romamque mittitur, & ligatus comprehensus est, cum regalem & pontificalem dignitatem annos tres & sex menses gessisset: Illustris & magnanimus in regno factus. Hyrcano quidem Pontificatus tributus est, nondum vero regnum: sed populus proprijs legibus viuebat, populi Præfectus pro rege data sibi potestate dictus est. Antipater autem, pontificatum gerente Hyrcano, ad magnam potentiam peruenerat. Nam cum Rom. ducibus contra rebellantes auxiliando pugnabat, regnumque Iudæorum propter robur iniustè, & concedente Hyrcano adeptus est. Iulius vero Cæsar Aristobulum carcere soluens in Syriam contra Pompeianos mittere decreuit. Sed illum præueniētes Pompeiani veneno corrumpunt. Et Scipio, mittente Pompeio illo Aristobuli puerum Alexandrum accusante, quæ prius in Romanos peccauerat, securi percussit.

Declaratur vero à Iulio Cæsare Antipater post victoriam contra Pompeium Præfectus Iudææ: qui in Iudæam veniens Phasaëlo filio Hierosolymorum vicinorúmque imperium dedit. Post se vero Herodem admodum iuuenem, decimo quinto ætatis anno Galilææ principem declarat, nihil à iuuentute prohibitum magnum quid & virile præstare. Hæcque faciens Antipater, & nihilo minus à populo cultus, quàm si Rex esset. Nihil tamen prorsus à fide & beneuolentia erga Hyrcanum Pontificem Max. alienatus est. Finit Antipater splendidam, & claram omnino vitam, occultè veneno, Malcho pincernam pecunia corrumpente, vt veneno potum inficeret. Malchus hic quidam Iudæus erat, nectendorum dolorū peritus, & data suspicione, iuramento suspicionē lenit, & fictione amicitiæ. Sed nihil minus, vt videbatur, in Herodem hæc ingenio machinātem facere, aut etiam vehementiorem incidēs,

IOSEPHVS.

pœnam postulantem paternæ cædis, pugionibus confossus interficitur. Antigonus vero filius Aristobuli, Fabio pecunijs corrupto, & Ptolemæo Hymenæi F. propter matrimonium (soror enim eius nupserat illi) & alijs nonnullis, aggressus est descendere in Iudæam. Sed Herodes pugna congressus vicit, & è Iudæa expellit, & ab Hierosolymis, & ipso Hyrcano honorifice, parta victoria, susceptus est. Antonius vero dux Romanorum, pecunijs excæcatus Herodi & fratri Phaselo Iudæorum tetrachias dedit, Hyrcano contra hæc non indignante, populum vero accusantibus Herodianis, nihil amplius erat quam vt supplicium subirent, loco pœnæ sumendæ, ob quæ accusauerant: quia Antonius corruptus fuerat auro, & Hyrcanus cum Herodianis sentiret. Iam enim filiæ filiam Mariamnem Herodes desponsam habebat. Ptolemæo vero Hymenæo vita defuncto Lysanias filius accipit imperium, & Pacorus regis filius, & Basapharmanes Satrapa Parthus, occuparunt Syriam. Lysanias vero habens secum satrapam, init amicitiam cum Antigono Aristobuli filio, & Antigonus promittit Parthis mille talenta se daturum, & quingentas mulieres, si paternum imperium darent, interfecto Hyrcano, & Herodianis. Propterea Pacorus & Basapharmanes adducunt Antigonum, & illato ab Herodianis bello, multi vtrinque cæduntur, multum Herode laboribus celebrato. Tandem Herodes, & Phasaëlus dolo capiuntur à Parthis, & Phasaëlus hostium cædem præuertens, illiso ad petram capite finiuit vitam: captiuus vero tenebatur Hyrcanus. Et denique Parthi Hierosolyma occupantes, vix illos Herode, animi præstantia & celeritate consilij, manuúmque robore cum familia fugiente, pecunias Hierosolymitanorum rapuerunt, præter eas quæ erant Hyrcani; octoginta verò erant talenta, & sic in patrium regnum Antigonum constituerunt. Antigonus vero Hyrcano, ne amplius sacerdotium gereret, (nam qui aliqua parte corporis mutili sunt, non sunt apti ad sacerdotia apud Iudæos) aures incidit, & Parthis secum vt ducant committit. Herodes nequaquam quiescebat; sed primam quidem ad Malichum Arabum Regem vadit, auxilium iuxta paternam amicitiam inuenturum se sperans: frustratus vero Brundisium ad Antonium ducem Roman. inde cum illo Romam contendit, deplorans ea quæ acciderant, fratrisque mortem. Cogitauerat vero fratri vxoris filio filiæ Hyrcani, si quomodo posset regnum tradere; diffidebat enim omnibus modis sibi externo id posse cõtingere. Sed Augustus & Antonius eodem vsi consilio regem Iudæorum creant, & contra Antigonum sæpe cum illo pugnãtes post multas clades & bella, Antigonum captiuum ducunt, Sosio Rom. duce finem huic bello imponente. Illum vero magis in imperio confirmãt. Antonius dux accipiens captiuum Antigonũ,

δίκην εἰς πρατlομένῳ τοῦ πατρῴου φόνου, ξιφιδίοις κατακεντούμενος, κτείνεται. Ἀντίγονος δὲ ὁ Ἀριστοβούλου παῖς, Φαβίου χρήμασι θεραπευθέντος, καὶ Πτολεμαίου τοῦ Υμεναίου, διὰ τὸ κῆδευμα (ἀδελφὴ γὰρ αὐτοῦ ἐγεγάμητο συλλαμβανομένου) καὶ ἑτέρων τινῶν, ἐπεχείρησε κατελθεῖν ἐπὶ ἰουδαίαν. ἀλλ' Ἡρώδης μάχῃ συμπλακεὶς, νικᾷ, καὶ τῆς ἰουδαίων γῆς ἀπελαύνει, καὶ ὑπὸ ἱεροσολύμων, καὶ αὐτοῦ Ὑρκανοῦ, λαμπρῶς ἐπὶ τῇ νίκῃ ἐδέχθη. παραγγοντες δὲ Ἀντώνιος χρήμασιν, ὁ ῥωμαίων στρατηγὸς, Ἡρώδῃ δὲ τῷ ἀδελφῷ Φασαήλῳ τὰς τῶν ἰουδαίων τετραρχίας δίδωσιν, οὐδὲν πρὸς ταῦτα δυσχεραίνοντος Ὑρκανοῦ. τοῦ δὲ πλήθους τῶν περὶ Ἡρώδην κατηγορούντων, οὐδὲν πλέον πλὴν τοῦ τιμωρίαν ὑπέχειν αὐτὶ τοῦ λαβεῖν ὧν ἐπεκάλουν ἐγίνετο· διὰ τὸ χρήμασιν Ἀντώνιον διεφθάρθαι, καὶ Ὑρκανὸν τοῖς περὶ Ἡρώδην τίθεσθαι· ἤδη γὰρ καὶ τῆς θυγατρὸς αὐτοῦ παῖδα Μαριάμμην Ἡρώδης ἐγγεγύητο. Πτολεμαίου δὲ τοῦ Υμεναίου τὸν βίον λιπόντος, ὁ παῖς λαμβάνει τὴν ἀρχὴν Λυσανίας. καὶ Πάκορος δὲ ὁ βασιλέως παῖς, καὶ Βαζαφαρμάνης σατράπης πάρθος, κατέσχον τὴν συρίαν. Λυσανίας δὲ τὸν σατράπην ἔχων σὺν αὐτῷ, ποιεῖται πρὸς Ἀντίγονον τὸν Ἀριστοβούλου φιλίαν. καὶ Ἀντίγονος ὑπισχνεῖται πάρθοις χίλια τάλαντα δώσειν, καὶ πεντακοσίας γυναῖκας, εἰ τὴν πατρῴαν ἀρχὴν ἀποδώσουσιν Ὑρκανὸν ἀφελόμενοι, καὶ τοὺς περὶ Ἡρώδην ἀνέλοιεν. διὸ Πάκορος καὶ Βαζαφαρμάνης κατάγουσιν Ἀντίγονον. καὶ πολέμου αὐτοῖς ὑπὸ τῶν περὶ Ἡρώδην συσταντος, πολλοὶ ἀφ' ἑκατέρων κτείνονται, εὐδοκιμοῦντος μάλιστα τοῖς πόνοις Ἡρώδου. τέλος Ὑρκανὸς καὶ Φασάηλος δόλῳ συλλαμβάνονται ὑπὸ πάρθων. καὶ ὁ μὲν Φασάηλος τὴν ἐχθρῶν προφθάσας τὴν σφαγὴν, πέτρᾳ τὴν κεφαλὴν προσαράξας, ἔξεισι τοῦ βίου· Ὑρκανὸς δὲ δέσμιος εἴχετο. καὶ οἱ πάρθοι λοιπὸν τὰ ἱεροσόλυμα λαβόντες, μόλις αὐτοὺς Ἡρώδου, δεινότητι γνώμης, καὶ τάχει τοῦ προμηθοῦς, καὶ χειρῶν ἀρετῇ, σὺν τῇ γυναικὶ διαφυγόντος, τὰ τῶν ἱεροσολυμιτῶν διήρπαζον χρήματα, πλὴν τῶν Ὑρκανοῦ· ὀγδοήκοντα δ' ἦν τάλαντα· καὶ οὕτως εἰς τὴν πατρῴαν ἀρχὴν Ἀντίγονον ἐγκαθιστῶσιν. Ἀντίγονος δ' Ὑρκανοῦ τοῦ θείου ὑπὲρ τοῦ μὴ πάλιν ἀναλαβεῖν τὴν ἱερωσύνην (τὸ γὰρ σεσινωμένον κατά τι τοῦ σώματος μέρος ἀπείρηται ἰουδαίοις ἱερᾶσθαι) περιτέμνει τὰ ὦτα, καὶ πάρθοις ἄγειν σὺν αὐτοῖς δίδωσιν. Ἡρώδης δ' οὐδαμῶς ἠρέμει. ἀλλὰ πρῶτον μὲν εἰς Μάλιχον τὸν Ἀράβων ἄπεισι βασιλέα, ἐπικουρίαν κατὰ πατρῴαν φιλίαν ἐλπίδας ἔχων εὑρεῖν· ἀποτυχὼν δὲ, ἐπὶ Βρεντήσιον πρὸς Ἀντώνιον τὸν ῥωμαίων στρατηγὸν, κἀκεῖθεν εἰς ῥώμην σὺν αὐτῷ ἀνάγεται, ἀπολοφυρόμενος τὰ συνενεχθέντα, καὶ τὸν τἀδελφοῦ θάνατον. ἐποιεῖτο δὲ γνώμην, τῷ τῆς γαμετῆς ἀδελφῷ, Ὑρκανοῦ δὲ θυγατρὸς παιδὶ, εἴ πως δυνηθείη τὴν βασιλείαν καταπράξασθαι· αὐτῷ γὰρ ἀνέλπιστον ἦν παντάπασι ταύτην περιελθεῖν ἀλλοφύλῳ ὄντι. ἀλλ' Ἀντώνιος καὶ Αὔγουστος σύμψηφον λαβόντες τὴν βουλὴν, καὶ βασιλέα ἰουδαίων ἀποφαίνουσι, καὶ κατὰ Ἀντιγόνου πολλάκις αὐτῷ συμμαχήσαντες μετὰ πολλὰς σφαγὰς καὶ πολέμους, Ἀντίγονον μὲν αἰχμάλωτον ἄγουσι, * Σοσίου στρατηγοῦ ῥωμαίων τέλος τοῦτο τοῖς πολέμοις ἐπιθεμένου· αὐτῷ δὲ τὰ τῆς ἀρχῆς ἐπὶ μᾶλλον κρατύνουσιν. Ἀντώνιος δὲ ὁ στρατηγὸς λαβὼν αἰχμάλωτον τὸν Ἀντίγονον, δέσμιον

* al. Σωσίου

δέσμιον ἔγνω μέχρι τοῦ θριάμβου φυλάττειν. μαθὼν δὲ νεωτερίζειν τὸ Ἰουδαίων ἔθνος ἐκ τοῦ πρὸς Ἡρώδην μίσους, τοῦτον ἐν Ἀντιοχείᾳ ἐπελέκισεν. Ὑρκανὸς δ', ἐπεὶ Ἡρώδην βασιλεύειν ἤκουσεν, ἐδεήθη *Φραάτου βασιλέως· καὶ συνδεηθέντος Ἡρώδου, ἀφίεται εἰς τὴν πατρίδα, πολλῶν ἐλπίσας παρ' Ἡρώδῃ τυχεῖν. Ἡρώδης δὲ σχήματα μὲν εὐνοίας καὶ τιμῆς τῆς προσηκούσης πολλὰ εἰς αὐτὸν ἐδείκνυ· ἐν ὑστέρῳ δὲ διαβολὰς ἐπενεγκὼν δωροδοκίας καὶ τῆς πρὸς Ἄραβας προδοσίας, ἀνεῖλεν ἄνδρα, ὑπὲρ τὰ ὀγδοήκοντα ἔτη ἐνιαυτῷ ἑνί, μετὰ πολλῆς καὶ ἀφάτου τῆς ἐπιεικείας καὶ ἀπραγμοσύνης βεβιωκότα. καὶ Ἀριστόβουλον δὲ τὸν υἱὸν μὲν Ὑρκανοῦ, Μαριάμμης δὲ τῆς γαμετῆς ἀδελφόν, ἐνοχλησάσης Ἀλεξάνδρας τῆς τῶν παίδων μητρός, καὶ *αὐτῆς Μαριάμμης, ἀρχιερέα μὲν καθίστησιν ἑπτακαιδέκατον ἔτος ἄγοντα· καὶ μετ' ὀλίγον ἐν Ἱεριχοῦντι ταῖς ἐκεῖσε κολυμβήθραις ἐναποπνιγῆναι [καὶ] κατεπράξατο. ἀλλ' Ἡρώδης μὲν τοιοῦτος, καὶ οἷος καὶ προείρηται.

* al. Ἀφραάτου.
* al. αὐτῆς.

Ὅτι τελευτῶν Ἡρώδης Ἀρχέλαον τὸν υἱὸν διατίθεται, Καίσαρος διδόντος, τῆς βασιλείας γενέσθαι διάδοχον. Καῖσαρ δέ, ὁ Αὔγουστος δίχα, τῆς ἡμισείας Ἀρχέλαον ἀποφήνας κύριον, καὶ βασιλείᾳ τιμήσειν εἶπεν, [εἰ] ἐπιεικῶς καὶ δικαίως τὴν ἀρχὴν μάθοι χειρίζοντα· τὴν δ' ἄλλην μοῖραν διελών, τετράρχας Φίλιππον καὶ Ἀντίπατρον, καὶ αὐτοὺς Ἡρώδου παῖδας ὄντας, καθίστησιν. ἀλλ' Ἀρχέλαος ἐπεὶ ὠμῶς [καὶ] κατὰ τὸν πατέρα Ἰουδαίων ἦρχε, Καίσαρος δεηθέντων τῶν τυραννουμένων, δεκάτῳ ἔτει τῆς βασιλείας ἐκπέπτωκε, καὶ Βίενναν οἰκεῖν τῆς Γαλλίας καταδικάζεται, καὶ μεταπίπτει ἐντεῦθεν ἡ Ἰουδαία ἐκ βασιλείας εἰς ἐπαρχίαν.

Ὅτι Ἡρώδης ὁ τετράρχης Γαλιλαίας καὶ Περαίας, παῖς Ἡρώδου τοῦ μεγάλου, ἠράσθη, (ὡς) Ἰώσηπός φησιν, ἀδελφοῦ Ἡρώδου γυναῖκα ὄνομα Ἡρωδιάδα· ἀπόγονος δ' ἦν αὕτη τοῦ μεγάλου Ἡρώδου, Ἀριστοβούλῳ τῷ παιδί, ὃν ἐκεῖνος ἀνεῖλε, γεγεννημένη· ἦν δ' αὐτῇ καὶ ὁ ἀδελφὸς Ἀγρίππας. ταύτην Ἡρώδης τἀνδρὸς διαστήσας ἠγάγετο γυναῖκα. οὗτός ἐστιν ὁ τὸν μέγαν ἀνελὼν Ἰωάννην τὸν πρόδρομον, δεδιώς (Ἰώσηπός φησι) μὴ τὸ ἔθνος αὐτοῦ διαστήσῃ, πάντες γάρ, δι' ὑπερβολὴν ἀρετῆς Ἰωάννου λόγοις εἵποντο. κατὰ τοῦτον καὶ τὸ σωτήριον ἐγεγόνει πάθος.

Ὅτι Ἀγρίππας ὁ Ἡρώδου μὲν ἀπόγονος τοῦ πρώτου, Ἀριστοβούλου δὲ τοῦ ἀνῃρημένου παῖς, ἀδελφὸς δὲ Ἡρωδιάδος, μυρίαις τύχαις καὶ μεταβολαῖς περιπεσών, ὅμως ἐκ φυλακῆς καὶ δεσμῶν, οἷς αὐτὸν κατεχόμενον Τιβέριος Καῖσαρ τελευτῶν ἀπολέλοιπε, ἐκ τούτων ἀπαλλαγείς, Γαΐου Καίσαρος προνοίᾳ, καὶ βασιλεὺς χειροτονεῖται τετραρχίας Φιλίππου· Ἡρώδου δ' ἦν οὗτος ἀδελφὸς τοῦ πρώτου· προσλαμβάνει δὲ καὶ τὴν Λυσανίου τετραρχίαν· καὶ ἀποπλεῖ πρὸς τὴν Ἰουδαίαν, πάντων ἐν ἐκπλήξει καὶ θαύματι τὸ τῆς μεταβολῆς ἀθρόον ποιουμένων. μεθ' ὧν καὶ Ἡρωδιὰς ἐκπεπληγμένη, καιρίαν δέχεται πληγὴν ἐκ φθόνου, καὶ οὐκ ἀνίει διενοχλοῦσα τὸν ἄνδρα, ἕως κατειργάσατο ἀνελθεῖν εἰς Ῥώμην, καὶ βασιλείαν ἑαυτῷ σπουδὴν ποιεῖσθαι καταπράξασθαι. ἀλλ' ὁ μὲν ἀνίει σὺν αὐτῇ· εἵπετο δ' Ἀγρίππας, καὶ *καταλαμβάνει ἄρτι καταίροντας. κατηγορήσας δ' Ἡρώδην παρὰ Γαΐῳ Καίσαρι, ὡς δύσνους εἴη εἰς Ῥωμαίους ἀεὶ

* κατελάμβανε.

IOSEPHVS.

vinctum triumpho seruare decreuit. Cognito autem, Iudæorum populum odio in Herodem noua moliri, illum Antiochiæ securi percussit. Hyrcanus autem, cum Herodem regnare intellexit, implorauit Phraatem regem: & simul postulante Herode in patriam mittitur, multa se sperans ab Herode consecuturum. Herodes vero speciem beneuolentiæ, & primi honoris in eum magnam ostendit: deinde vero ei corruptionem largitionum obiiciens, & proditionem apud Arabes: hominem interfecit annum octogesimum primum agentem, cum magna & ineffabili clementia & incuriositate.

Lib. 15. cap. 9.

Quin & Aristobulum Hyrcani filium Mariamnæ vxoris fratrem, adnitente Alexandra puerorum matre, & Mariamna, summum Pontificem decimo septimo ætatis anno creat. Et deinde in Hiericho in piscina illic suffocari iussit. Sed Herodes quidem talis, qualis esse iam dictum est.

Moriens Herodes Archelaum filium Cæsare permittente successorem regni constituit. Cæsar vero Augustus dimidiæ regni partis Archelaum creans dominum, & regis titulo ornaturum se dixit, si clementer & iuste regnum administraturum cognouisset. Alteram vero partem diuidens Philippum & Antipatrum tetrarchas, Herodis & ipsos filios constituit. Sed Archelaus cum violenter more paterno Iudæos regeret, Cæsari supplicante populo, tyrannide oppresso, decimo anno regno excidit, & condemnatur vt habitaret Viennam Galliæ vrbem, & inde recidit Iudæa è regno in præfecturam.

Lib. 17. cap. 1

Herodes tetratcha Galilææ, & Peræa, filius magni Herodis, amauit vt scribit Iosephus, fratris sui Herodis vxorem Herodiadem; quæ & ipsa è magno Herode oriunda, nata è filio Aristobulo, quem ipse interfecit. Erat huic frater Agrippa: hanc Herodes à viro disiungens, vxorem duxit. Hic est qui magnum Ioannem Præcursorem interfecit, vt ait Iosephus, ne populum ad seditionem concitaret. Omnes enim ob excellentiam virtutibus, Ioannis vocem sequebantur. Sub illo & Saluator est passus.

Lib. 18. 7.

Ioan. Baptista
Matth. 14.
Marc. 6.
Luc. 3.

Agrippa primi Herodis nepos, Aristobuli eius, qui interemptus est filius, frater Herodiadis, sexcentis casibus & mutationibus obnoxius, tamen è custodia & vinculis, quibus illum comprehensum Tiberius moriens reliquerat, C. Cæsaris prouidentia, Rex tetrarchiæ Philippi renũciatur: Hic erat prioris Herodis frater: adeptus est & Lysaniæ tetrarchiã; & in Iudæam nauigat, omnibus obstupescentibus, & tam subitam mutationẽ admirantibus. Cum quibus & Herodias perculsa letale vulnus accipit inuidiâ: nec desiit virum turbare, donec Romam ire coëgit, & in regnum sibi adiungere studere. Sed ille eam comitatus est, secutusque Agrippa, & assecutus est iam soluentes. Accusans Herodem apud C. Cæsarem, quod Romanis semper infestus fuerit,

IOSEPHVS. *Lib. 18. 9.* Tiberio enim adhuc superstite, cum Seiano aduersario Romanorum amicitiam iniisse, & nunc apud Artabanem regem Parthorum eadem contra Romanos moliri: obtinet vt loco regni, quod somniauerat, propria tetrarchia excidat, & Lugdunum turpi exsilio multatus abeat. Herodias vero lubens cum marito in exsilium vadit. Tetrarchiam ipsius *Caius Agrippæ tradit.* Hunc Agrippam ad discrimen filij, etiam magnum Agrippam vocant, & gratiosum hunc Iosephus ait Iudæis imperasse. Hic *Act. 12.* Iudæis, vt videbatur, gratum faciens, Iacobum Ioannis fratrem gladio percussit, & Apostolorum caput Petrum voluit, licet aberrauerit, occidere. Hic ex argento contextam vestem indutus, & plebem allocutus, cum voces * eius (postquam assentationis modum excessisset & ad summam impietatem peruenisset) audiens, non increpans statim pœnas dedit. Ingenti enim circa ventrem dolore nato, post quinque dies absumptus est: ætatis annum agens quinquagesimum quartum, regni septimum. Quorum quatuor Caio Romæ imperante, regnauit; tribus cæteris Philippi tenuit tetrarchiã, quarto anno & accipiens Herodis tetrarchiam. Reliquos tres sub Claudio, quibus Iudæam, Samariam, Cæsaream permittente Cæsare, possedit. Sic obiit Agrippa, bubone (auis genus sic apud Romanos vocatum est) quinque ante mortem diebus super capite apparente, cui & regnum prænunciasse putat Iosephus. Moritur quatuor relictis liberis, filio Agrippa decimum septimum ætatis annum agente; tribus verò filiabus Berenice, Mariamne, & Drusilla: quarum illa sexto decimo ætatis anno Herodi patris fratri nupsit. Mariamne decimum, Drusilla septimum annum absoluerat. Quas Sebasteni, nulla de causa nisi ob suam dementiam violenter rapientes, & in Lupanaribus collocantes, omnem in illas iniuriam fandam atque infandam ostenderunt. Quibus infensus Claudius, nihil tamen dignum hac insolentia effecit.

* *fr. plebis dicentis Dei vocem se audire non hominis.*

Agrippa Agrippæ filius, mortuo patre Romam nauigat. Claudius vero illi paternum imperium dare statuerat, sed retentus nonnullorum sententiis, qui ætatem iuuenilem Agrippæ causarentur: Fadum Iudææ Prætorem mittit, Agrippam vero Chalcidis, cui ante Herodes mortuus præfuerat, regem creat. Quarto post anno donat & illi Philippi tetrarchiam, & Batanæam, adiungens & Trachonitin, quæ antea Lysaniæ fuit, & illa dando ademit illi Chalcidem. Agrippa sororem Drusillam Azizo Emesæ regi circumciso in vxorem dedit. Epiphanes enim Antiochi quanquam pollicitus circumcisionem non accepit. Inde sponsalia soluta sunt. Soluitur & Drusilla ab Azizo, & Felici Iudææ Præfecto cum multa ob pulchritudinem eius moliretur, nubit. Mariamnem vero dat Archilao filio Helciæ, cui & viuens pater eam destinauerat,

Τιβερίου μὲν γὰρ ἔτι περιόντος πρὸς Ιανὸν, ἐχθρὸν ὄντα ῥωμαίων, θέσθαι φιλίαν· καὶ νῦν δὲ πρὸς Αρτάβανον τὸν πάρθων βασιλέα τὰ αὐτὰ φρονεῖν κατὰ ῥωμαίων: παρασκευάζει αἰτὶ τῆς ὀνειροπολήθείσης βασιλείας, τῆς τε οἰκείας ἐκπεσεῖν τετραρχίας, καὶ εἰς * λουγδουνίων ἀΐδια φυγῇ ζημιωθέντα ἐλαθῆναι. καὶ Ηρωδιὰς δὲ ἑκοῦσα, τῷ ἀνδρὶ συμφυγαδεύεται· τὴν δὲ τετραρχίαν αὐτοῦ Γάϊος Αγρίππα προστίθησι. τοῦτον τὸν Αγρίππαν πρὸς αὐτιδιαστολὴν τοῦ υἱοῦ, καὶ μέγαν Αγρίππαν καλοῦσι, καὶ εἰς τὸ μάλιστα κεχαρισμένον Ιώσηπός φησιν ἰουδαίων ἄρξαι. ὅστις ἐκείνοις, ὡς ἔοικε, χαριζόμενος, καὶ Ιάκωβον τὸν ἀδελφὸν Ιωάννου μαχαίρᾳ ἀνεῖλε, καὶ τὸν κορυφαῖον τῶν μαθητῶν Πέτρον ἐπεχείρησεν, εἰ καὶ διήμαρτεν, ἀνελεῖν. οὗτος ἐσθῆτα ἀργύρου πεποιημένην περιθέμενος, καὶ τῷ πλήθει δημηγορήσας, ἐπεὶ φωνὰς παρ᾽ αὐτῶν (μετὰ τὸ ὑπερβολὴν κολακείας ἔχειν, καὶ ἀσεβείας εἰς ἔσχατον ἥκειν) ἀκούων, οὐκ ἐπετίμησε: παραυτίκα δίκην δίδωσιν. ἀλγήματος γὰρ αὐτῷ κατὰ γαστέρα σφοδροῦ γεγονότος, δι᾽ ἡμερῶν πέντε τὸν βίον κατέστρεψεν· ἄγων ἀπὸ γενέσεως ἔτος. τέταρτον καὶ πεντηκοστὸν, τῆς δὲ βασιλείας ἕβδομον: ὧν τέσσαρα, Γαΐου βασιλεύοντος, ἦρξε τὰ μὲν τρία τὴν Φιλίππου ἔχων τετραρχίαν, τῷ τετάρτῳ δὲ προσλαβὼν καὶ τὴν Ηρώδου· τὰ δὲ λοιπὰ τρία, ἐπὶ Κλαυδίου, ἐν οἷς ἰουδαίαν τε καὶ σαμάρειαν καὶ καισάρειαν, καίσαρος δόντος, προσεκτήσατο. οὕτως Αγρίππας τελευτᾷ, τοῦ βουβῶνος (τοῦ πτηνοῦ δὲ * γένος παρὰ ῥωμαίοις ἐστὶν οὕτω καλούμενον ζῶον) πρὸ πέντε τῆς τελευτῆς ἡμερῶν ὑπὲρ κεφαλῆς φανέντος, ᾧ καὶ τὴν βασιλείαν προσημαῖναι νομίζει Ιώσηπος. τελευτᾷ δὲ οὖν παῖδας λιπὼν τέσσαρας, ἄρρενα μὲν Αγρίππαν, ἑπτὰ καὶ δέκατον ἔτος ἄγοντα· θηλείας δὲ τρεῖς, Βερενίκην, Μαριάμμην, καὶ Δρουσίλλαν. ὧν ἡ μὲν ἔτος ἄγουσα ἑκκαιδέκατον, Ηρώδῃ πατρὸς ἀδελφῷ ἐγεγάμητο: Μαριάμμη δὲ ἤνυετο δέκατον, καὶ Δρουσίλλα ἕκτον. ἃς οἱ σεβαστηνοὶ, κατ᾽ οὐδεμίαν ἄλλην πρόφασιν, πλὴν τῆς μανίας, ἁρπάσαντες ἀθρόον, καὶ πορνείοις ἐγκαταστήσαντες, πᾶσαν αὐταῖς ὕβριν ῥητήν καὶ ἄρρητον ἐπεδείξαντο. οἷς χαλεπήνας Κλαύδιος, ὅμως οὐδὲν ἄξιον τῆς παρανομίας εἰσεπράξατο.

Lege nam. & gratiar. [marginal note, partly illegible: *al. λουγδούνων*]

Act. 12.

* *al. γένος.*

Οτι Αγρίππας ὁ τοῦ Αγρίππου παῖς, τελευτήσαντος αὐτῷ τοῦ πατρὸς, εἰς ῥώμην ἀπῆρε: Κλαύδιος δὲ αὐτῷ τὴν πατρῴαν ἀρχὴν ἐγνώκει * χαρίζειν. ἀνακοπεὶς δὲ ἐνίων βουλαῖς, τὸ νέον τῆς ἡλικίας Αγρίππα αἰτιασαμένων: Φάδον μὲν ἐπίτροπον ἐκπέμπει τῆς ἰουδαίας, Αγρίππαν δὲ χαλκίδος, Ηρώδου τελευτήσαντος τοῦ ταύτης ἔχοντος τὴν βασιλείαν, εἰς βασιλέα καθίστησι. μετὰ δὲ τέταρτον ἔτος δωρεῖται αὐτὸν τῇ τε Φιλίππου τετραρχίᾳ καὶ βαταναίᾳ, προσθεὶς αὐτῷ καὶ τὴν τραχωνῖτιν· Λυσανίου δὲ αὕτη τετραρχία ἐγεγόνει. καὶ ταῦτα δοὺς, ἀφαιρεῖται τὴν χαλκίδα. Αγρίππας δὲ Δρουσίλλαν τὴν ἀδελφὴν Αζίζῳ, τῷ ἐμέσων βασιλεῖ, περιτμηθέντι δίδωσι γυναῖκα. Επιφανὴς γὰρ Αντιόχου, καί τοι ὑποσχόμενος, οὐκ ἐδέξατο τὴν περιτομήν· ἐξ οὗ καὶ ἡ τῆς ἐγγυήσεως διάλυσις ἠκολούθει. Δρουσίλλα δὲ καὶ Αζίζου διαλύεται καὶ * Φίλικι τῷ τῆς ἰουδαίας ἐπιτρόπῳ, πολλὰ σπουδάσαντος ἐκείνου διὰ τὸ κάλλος, γαμεῖται· καὶ Μαριάμμην δὲ δίδωσιν Αρχελάῳ παιδὶ τοῦ Ελκιοῦ, ᾧ καὶ ζῶν ὁ πατὴρ ἡρμόσατο.

* *χαρίζειν. & χωρίζειν.*

* *Φίλικι.*

ἐξ ὧν

ἐξ ὧν τίκτεται [καὶ] Βερενίκη. Κλαυδίου δὲ τελευτήσαντος, Νέρων κατασταὶς διάδοχος, δωρεῖται Αγρίππαν μοίρᾳ τινὶ τῆς γαλιλαίας, Τιβεριάδα καὶ Ταριχαίαν, κελεύσας αὐτῷ ὑπακούειν. προστίθησι δὲ καὶ Ιουλιάδα πόλιν τῆς περαίας, καὶ κώμας τὰς περὶ αὐτὴν δέκα. οὗτός ἐστιν Αγρίππας, ἐφ' οὗ θεῖος Παῦλος, Φήστου συνεδριάζοντος, ἐδημηγόρησεν.

Ὅτι μετὰ Φάδον ἐπίτροπον ἰουδαίοις, Κουμανὸς πέμπεται μεθ' ὃν εἰς ῥώμην ἀναχθέντα ἐπ' αἰτίαις Φῆλιξ πέμπεται· μεθ' ὃν, Φῆστος. εἶτα Αλβῖνος, λοιπὸς Φλῶρος. οὗ δευτέρῳ ἔτει, διὰ τὴν ὑπερβολὴν τῶν παρ' αὐτοῦ κακῶν ὁ πρὸς ῥωμαίους ἰουδαίων πόλεμος ἀρχὴν δέχεται, Νέρωνος ἔτος δωδέκατον ἐν τῇ ἀρχῇ διανύοντος.

Ὅτι Ανανος ὁ Ανανου παῖς τὴν ἀρχιερωσύνην παραλαβὼν, ἀφαιρεθέντος αὐτὴν Ιωσήπου, θρασὺς ἦν, καὶ τολμητὴς διαφερόντως· αἵρεσιν γὰρ τὴν σαδδουκαίων μετῄει. οὗτοι γὰρ ὠμοί τε περὶ τὰς κρίσεις, καὶ πρὸς πᾶσαν αὐθάδειαν ἕτοιμοι. οὗτος οὖν ὁ Ανανος, Φήστου μὲν ἐν ἰουδαίᾳ τελευτήσαντος, Αλβίνου δὲ οὔπω καταλαβόντος, αὐθεντήσας καθίζει συνέδριον, καὶ Ιάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου, σὺν ἑτέροις, παρανομίαν αἰτιασάμενος, λίθοις ἀναιρεθῆναι παρασκευάζει. ἐφ' ᾧ τῶν ἰουδαίων ὑπεραλγήσαντες ἐπιεικέστεροι, καὶ αὐτὸς Αγρίππας ὁ βασιλεὺς, ἐκβάλλουσιν ἄρξαντα μῆνας γ'. Ιησοῦν δὲ ἀντ' αὐτοῦ τὸν Δάμνεον ἐγκατέστησαν.

Ὅτι Ααρὼν τελευτήσαντος, Μωϋσέως ἀδελφοῦ, οἱ παῖδες ἐκδέχονται τὴν ἀρχιερωσύνην, εἶτα ἑξῆς οἱ τούτων ἔκγονοι. νόμος γὰρ, μηδένα ἢ τὸν ἐξ αἵματος Ααρὼν τὴν ἀρχιερωσύνην εἰσδέχεσθαι, πάτριος ἐκράτει. ἐγένοντο οὖν ἀπὸ Ααρῶνος μέχρι Φανάσου, τοῦ κατὰ τὸν πόλεμον ὑπὸ τῶν στασιαστῶν ἀναδειχθέντος ἀρχιερέως, ὀγδοήκοντα τρία ἔτη. ἐκ τούτων ἀπὸ τῆς ἐν τῇ ἐρήμῳ διαγωγῆς, ἐν ᾗ καὶ ἡ σκηνὴ ἐπήγνυτο, μέχρι τοῦ νεὼ, ὃν ἤγειρεν ὁ βασιλεὺς Σολομὼν, ἀρχιεράτευσαν δεκατρεῖς, τὴν ἀρχιερωσύνην διὰ βίου κατασχόντες ἕκαστος. ἐγένετο δὲ αὐτοῖς ἀριστοκρατικὴ μὲν ἡ πρώτη πολιτεία, εἶτα μοναρχία, εἶτα βασιλεία ἡ τρίτη. ἀπὸ γοῦν τῆς ἀπ' αἰγύπτου ἐξόδου, ἕως τοῦ ἐν ἱεροσολύμοις νεὼ τῆς οἰκοδομῆς, ἔτη γίνεται ιβ' καὶ χ'. μετὰ δὲ τοὺς ιγ' ἀρχιερεῖς, καὶ μετὰ τὴν οἰκοδομὴν τοῦ νεὼ, δέκα καὶ ὀκτὼ τὴν ἀρχιερωσύνην ἔσχον, ἀπὸ Σολομῶνος βασιλείας ἐν τῷ ναῷ ἱερούμενοι. ἕως Ναβουχοδονόσορ ὁ βαβυλωνίων βασιλεὺς τὸν νεὼν ἐμπρήσας, αἰχμαλώτους τὸ ἰουδαίων ἔθνος, εἰς βαβυλῶνα μετήνεγκεν *Αμαίη ἐκ τῆς ἀρχιερέως. τούτων χρόνος ἐστὶ τῆς ἀρχιερωσύνης τξς', μῆνες ἕξ, ἡμέραι δέκα. μετὰ δὲ τὴν ἅλωσιν, ἐτῶν ἑβδομήκοντα διελθόντων, Κῦρος ὁ περσῶν βασιλεὺς τοὺς αἰχμαλώτους ἀπέλυσεν εἰς τὴν ἰδίαν ἐλθεῖν πατρίδα. εἷς οὖν τῶν ἀναχθέντων αἰχμαλώτων λαμβάνει τὴν ἀρχιερωσύνην, καὶ ἐκεῖθεν οἱ ἐξ αὐτοῦ ἔκγονοι πεντεκαίδεκα, μέχρις Αντιόχου τοῦ Εὐπάτορος, πολιτείας οὔσης ἐν αὐτοῖς δημοκρατορικῆς. καὶ τούτων δὲ χρόνος ἔτη υιδ'. πρῶτος δὲ οὕτως Αντίοχος καὶ ὁ στρατηγὸς αὐτοῦ Λυσίας, τὸν Ονίαν, ᾧ Μενέλαος ἐπίκλην, παύουσι τῆς ἀρχιερωσύνης, ἀνελόντες αὐτὸν ἐν βεροίᾳ, καὶ ἀντικαθιστῶσιν Ιάκιμον, γένους μὲν τοῦ Ααρῶνος, οὐ τῆς αὐτῆς δὲ οἰκίας,

*al. Ἀμαὶ & Ἀμαίου.

& ex illis nascitur Berenice. Claudio defuncto succedens Nero, donat Agrippæ fato quodam Galilææ Tiberiadem, & Tarichæam, imperans vt ipsi obediret. Addit & Iuliadem vrbem Peraææ, & decem circum oppida. Hic est Agrippa, apud quem D. Paulus, præsidente Festo, perorauit. IOSEPHVS. Act. 25.

Post Fadum Iudææ Prætorem mittitur Cumanus, post quem Romam ob crimina euocatum Felix mittitur; post quem Festus deinde Albinus, prostremo Florus. Cuius secundo anno propter mala quæ ab illo supra modum fiebant, Iudaicum bellum contra Romanos duxit initium, duodecimo anno impij Neronis.

Ananus Anani filius Pontificatum adeptus, quo priuatur Iosephus, audax fuit, & supra modum temerarius. Erat enim sectæ Sadducæorũ, qui crudeles sunt in iudiciis, & ad omnem arrogantiam inclinantes. Hic igitur Ananus Festo in Iudæa defuncto, & Albino nondum obtinente officium, auctoritate sua Præses fuit, & Iacobum fratrem Domini cum aliis condẽnans vt legis violatores lapidibus occidi iussit vnde Iudæorum mitissimi indignati, & ipse Agrippa Rex, eiiciunt, cum tribus mensibus imperasset, & loco illius Iesum Damneum collocarunt.

Mortuo Aarone fratre Mosis, filij eius in sacerdotium succedunt, & deinceps omnes ex eius stirpe. Inualuerat enim Lex patria, ne quis nisi è sanguine Aaron sacerdotium gereret. Fuerunt igitur ab Aarone vsque ad Phanasum, qui tempore belli à tumultuantibus Pontificatum accepit, anni octoginta tres. Inde à deductione è deserto, vbi & tabernaculum fabricatum est, vsque ad templum quod Salomon exstruxit, tredecim Pontificatum gesserunt, qui singuli cum per totam vitam obtinuerunt. Fuit illorum dominatio prima Aristocratica siue optimatum: deinde ad vnum redacta est, ad reges tertio. Igitur ab exitu ex Ægypto, vsque ad ædificationem templi Hierosolymitani, anni sunt sexcenti & duodecim.

Post hos vero tredecim Pontifices, & post ædificationem templi octodecim Pontificatum gesserunt à Salomone rege, in templo sacrati. Donec Nabuchodonosor Babyloniæ Rex templo incenso Iudæos captiuos in Babyloniam auexit Amæa Pontifice. Horum tẽpus pontificatus sunt anni trecenti sexaginta sex, menses sex, decem dies. Post captiuitatem vero septuaginta elapsis annis Cyrus Persarum Rex captiuos in patriam suam abire permisit. Vnus igitur è reductis captiuis Pontificatum accipit, & inde quindecim eius posteri vsque ad Antiochum Eupatoris F. populo imperante, & horum tempus anni quadringenti, & quatuordecim. Primus hic Antiochus & dux eius Lysias, Onian, Menelaus cognomento, Pontificatu abdicant, interficientes illum in Berœa, & contra substituunt Iacimum, è stirpe quidem Aaronis, sed non è recta linea,

JOSEPHVS. Ideo & Ananias mortui Oniæ patruelis in Ægyptum profectus, in Ptolemæi Philometoris, & Cleopatræ vxoris amicitiam veniens, persuadet illis, condens in Heliopoli templum DEO simile ei quod est in Hierusalem, vt se Pontificem crearent. Iacimus annos tres sacerdotium cum rexisset moritur: cui intra septem annos nemo succedit. Rursum vero posteri filiorum Asamonæi imperium populi nacti, & cum Macedonibus pugnantes Ioannem Pontificem creant, qui cum septem annis præfuisset moritur, Tryphone illi necem moliente, cui succedit Simon frater: Verùm & hunc dolo in conuiuio interfectum à genero sequitur filius nomine Hyrcanus. Hic moriens, Iudæ qui & Aristobulus nominabatur relinquit regnum.

Sequitur hunc frater Alexander, morbo quidem extinctum, sed sacerdotium cum regno obtinentem, nam & diadema habuit primus Iudas vno anno. Regnans vero Alexander & Pontificatum gerens, annos XXVII. vitam finit. Alexandræ vxori permittens constituere pontificatum gerentem. Ibi illa pontificatum Hyrcano dat filio natu maiori, ipsa regnum nouem annos cum gubernasset moritur: totidem annis sacerdotium gerit Hyrcanus. Post huius mortem iunior filius contra fratrem bellum gerens, nomine Aristobulus, & auferens pontificatum, tam hoc, quam matris regno potitur. Tertio anno imperij, & mensibus totidem Pompeius veniens, & vrbem vi capiens, ipsum Romam cum filiis captiuum misit. Hyrcanum vero Pontificem designans populi imperium ei permisit, sed coronam eum ferre noluit. Imperauit vero præter nouem primos, annis quatuor & viginti. Basapharmanes & Pacorus Dynastæ Parthorum, cum Hyrcano bellum gerentes, eum viuum ceperunt: Antigonum verò Aristobuli filium regem constituerunt. Tres vero annos, & tres menses illum imperantem Sosius & Herodes expugnarunt. Antonius vero captum Antiochiæ securi percussit. Regnum autem Herodes à Romanis adeptus, non amplius è genere Asamonæo Pontifices constituit: obscuros vero aliquos, & solum è sacerdotibus oriundos, præter vnum Aristobulum, nepotem è filia Hyrcani à Parthis capti, cuius soror cum Mariamne vixit. Hunc Aristobulum metuens tanquam nobilem, & per se conspicuum, ne populus ad eum inclinaret, Hierichunte in piscina suffocari iussit. De sacerdotum constitutione similia molitus filius eius Archelaus, & post illum Romani, qui imperium inuaserunt. Sunt igitur ab Herodis temporibus qui Pontificatum gesserunt, vsque ad diem quo templum & vrbem capiendo vastauit flammis viginti octo. Tempus illorum, anni ad centum & septem. Et aliqui scilicet administrarunt sub Herodis & Archelai imperio. Post hæc ad optimates deuoluta est administratio, populi verò curam sacerdotes summi gerebant.

διὰ τοῦτο καὶ Ἀνανίας, ὁ τοῦ τελευτήσαντος Ονίου ἐξάδελφος, εἰς Αἴγυπτον ἀφικόμενος, καὶ Πτολεμαίῳ τῷ Φιλομήτορι καὶ Κλεοπάτρᾳ τῇ γυναικὶ διὰ φιλίας ἐλθὼν, πείθει τούτους κατὰ τὸν Ἡλιουπολίτην νομὸν δειμάμενος τῷ θεῷ παραπλήσιον τῷ ἐν Ἱεροσολύμοις αὐτὸν ἀρχιερέα καταστῆσαι. ὁ μέντοι Ἰάκιμος ἔτη γ' * ἀρχιερατεύσας τελευτᾷ. οὐ διάδοχος οὐδεὶς καθίστη ἐπὶ ἔτεσιν ἑπτά. πάλιν δὲ οἱ τῶν Ἀσαμωναίου παίδων ἔκγονοι τὴν προστασίαν τοῦ ἔθνους πιστευθέντες, καὶ Μακεδόσι πολεμήσαντες, Ἰωάννην ἀρχιερέα καθιστῶσιν, ὃς ἄρξας ἐνιαυτοὺς ἑπτὰ, τελευτᾷ, Τρύφωνος ἐπιβουλαῖς διαμηχανηθείσης αὐτῷ τῆς τελευτῆς. οὗ διάδοχος Σίμων καθίσταται, ὁ ἀδελφός. καὶ τοῦτον δὲ δόλῳ * παρὰ τὸ συμπόσιον διαφθαρέντα ὑπὸ τοῦ γαμβροῦ, διαδέχεται παῖς Ὑρκανὸς ὄνομα· ὃς τελευτῶν, Ἰούδᾳ τῷ καὶ Ἀριστοβούλῳ κληθέντι καταλείπει τὴν ἀρχήν. κληρονομεῖ δὲ καὶ τοῦτον ἀδελφὸς Ἀλέξανδρος, ὑπὸ νόσου μὲν τελευτήσαντα, τὴν ἱερωσύνην καὶ κατασχόντα μετὰ τῆς βασιλείας: καὶ γὰρ διάδημα περιέθετο πρῶτος Ἰούδας ἐνιαυτὸν ἕνα. βασιλεύσας δὲ ὁ Ἀλέξανδρος, καὶ ἱερατεύσας, ἔτη κζ, καταστρέφει τὸν βίον. Ἀλεξάνδρᾳ δὲ τῇ γυναικὶ καταστῆσαι τὸν ἀρχιερατευσόμενον * ἐπιτρέψας. αὕτη δὲ τὴν μὲν ἀρχιερωσύνην Ὑρκανῷ δίδωσι τῶν υἱῶν τῷ πρεσβυτέρῳ· αὐτὴ δὲ βασιλείαν ἔτη θ' κατασχοῦσα τελευτᾷ· τὸν ἴσον δὲ χρόνον ἀρχιεράτευσε καὶ Ὑρκανός. μετὰ γὰρ τὸν ἐκείνης θάνατον ὁ νεώτερος παῖς πρὸς τὸν ἀδελφὸν πολεμήσας, Ἀριστόβουλος αὐτῷ ὄνομα, καὶ ἀφελὼν τὴν ἀρχιερωσύνην: ταύτην τε, καὶ τὴν τῆς μητρὸς βασιλείαν, αὐτὸς περιβάλλεται. ἔτει δὲ τῆς ἀρχῆς τρίτῳ, καὶ πρὸς μησὶ τοῖς ἴσοις Πομπήϊος ἐλθὼν, καὶ τὴν πόλιν κατ' ἄκρας ἑλὼν, αὐτὸν μὲν εἰς Ῥώμην, μετὰ τῶν τέκνων, δήσας ἔπεμψε: τῷ δ' Ὑρκανῷ τὴν ἀρχιερωσύνην ἀποδοὺς, τὴν μὲν τοῦ ἔθνους προστασίαν ἐπέτρεψε· διάδημα δὲ φορεῖν ἐκώλυσεν. ἦρξε δὲ πρὸς τοῖς θ' πρώτοις, ἔτη τέσσαρα καὶ εἴκοσι. Βαζαφαρμάνης δὲ καὶ Πάκορος, οἱ τῆς Παρθυαίων δυνάσται, πολεμήσαντες Ὑρκανῷ, αὐτὸν μὲν ζωγρίαν ἔλαβον: Ἀντίγονον δὲ τὸν Ἀριστοβούλου υἱὸν βασιλέα κατέστησαν. τρία δὲ ἔτη καὶ μῆνας τρεῖς ἄρξαντα τοῦτον, Σόσσιος καὶ Ἡρώδης ἐξεπολιόρκησαν. Ἀντώνιος δὲ ἀναχθέντα ἐν Ἀντιοχείᾳ ἐπελέκισεν. τὴν δὲ βασιλείαν Ἡρώδης παρὰ Ῥωμαίων ἐγχειρισθεὶς, οὐκ ἔτι ἐκ τοῦ Ἀσαμωναίου γένους καθίστησιν ἀρχιερεῖς, ἀσήμους δέ τινας καὶ μόνον ἐξ ἱερέων ὄντας, πλὴν ἑνός: Ἀριστόβουλος δ' ἦν οὗτος, υἱωνὸς δ' ἦν οὗτος ἐκ θυγατρὸς Ὑρκανοῦ τοῦ ὑπὸ Πάρθων ληφθέντος, οὗ καὶ ἡ ἀδελφὴ συνῴκει Μαριάμμῃ. τοῦτον δὲ τὸν Ἀριστόβουλον δεδιὼς, ἅτε γένους ὄντα λαμπροῦ, καὶ αὐτὸν καθ' ἑαυτὸν περίβλεπτον, μὴ τὸ πλῆθος νεύσῃ πρὸς αὐτὸν, ἐν Ἱεριχοῖ κολυμβῶντα πνιγῆναι διεμηχανήσατο. περὶ δὲ τῆς τῶν ἱερέων καταστάσεως, ὅμοια διεπράξατο Ἀρχέλαός τε, ὁ παῖς αὐτοῦ, καὶ μετ' αὐτὸν οἱ τὴν ἀρχὴν * παραλαβόντες Ῥωμαῖοι. εἰσὶν οὖν ἀπὸ τῶν Ἡρώδου χρόνων ἀρχιερατεύσαντες, μέχρι τῆς ἡμέρας, ἧς τὸν ναὸν καὶ τὴν πόλιν ἑλὼν ἐνεπρήσατο, εἴκοσι καὶ ὀκτώ. χρόνος δ' αὐτῶν ἔτη πρὸς τοῖς ρζ'. καὶ τινὲς μὲν ἐπολιτεύσαντο ἐπὶ τῇ Ἡρώδου δηλονότι καὶ Ἀρχελάου βασιλείᾳ· μετὰ δὲ τοῦτο ἀριστοκρατία μὲν ἦν ἡ πολιτεία, τὴν δὲ προστασίαν τοῦ ἔθνους οἱ ἀρχιερεῖς ἐπιστεύοντο.

* al. ἀρχιερατεύσας
* al. διά
* al. ἐπιτρέψας
* al. λαβόντες

ΠΡΟΚΛΟΥ

ΠΡΟΚΛΟΥ ΧΡΗΣΤΟΜΑΘΙΑΣ ἐκλογαί.

σλθ. *Excerpta è Procli Chrestomathia.*

Ἀνεγνώσθησαν ἐκ τῆς Πρόκλου χρηστομαθείας γραμματικῆς ἐκλογαί. Τὸ παρὸν βιβλίον διαιρεῖται εἰς δʹ. καὶ ἐν μὲν τῷ πρώτῳ λέγει ὡς * αὗται εἰσὶν ἀρεταὶ [τοῦ] λόγου καὶ ποιήματος, παραλλάσσουσι δὲ ἐν τῷ μᾶλλον καὶ ἧττον. καὶ ὅτι τοῦ πλάσματος, τὸ μὲν ἐστὶν ἰσχνὸν· τὸ δὲ, ἁδρόν· τὸ δὲ, μέσον. καὶ τὸ μὲν ἁδρὸν, ἐκπληκτικώτατόν ἐστι, καὶ κατεσκευασμένον μάλιστα, καὶ ποιητικὸν * ἐμφαῖνον κάλλος· τὸ δὲ ἰσχνὸν, τὴν τροπικὴν μὲν καὶ φιλοκατάσκευον συνθήκην μεταδιώκει ἐξ ἀνειμένων δὲ μᾶλλον * συνήρτηται. ὅθεν ὡς ἐπίπαν θρήνοις ἄριστά πως * ἐναρμόζει. τὸ δὲ μέσον, καὶ τοὔνομα μὲν δηλοῖ, ὅτι μέσον ἐστὶν ἀμφοῖν· αὐθεντὸν δὲ κατ' ἰδίαν οὐκ ἔστι πλάσμα, ἀλλὰ συνεκφέρεται [καὶ συμμέμικται] τοῖς εἰρημένοις· ἁρμόζει δὲ ὑπογραφαῖς καὶ λειμώνων * καὶ ἀλσῶν ἐκφράσεσιν. οἱ δὲ τῶν εἰρημένων ἀποσφαλέντες * εἰδῶν, ἀπὸ μὲν τοῦ ἁδροῦ εἰς τὸ σκληρὸν καὶ ἐπηρμένον ἐξέπεσαν· ἀπὸ δὲ τοῦ ἰσχνοῦ, εἰς τὸ ταπεινόν· ἀπὸ δὲ τοῦ μέσου, εἰς τὸ ἀργὸν καὶ ἐκλελυμένον. διαλαμβάνει δὲ [καὶ περὶ κρίσεως ποιήματος] ἐν ᾧ παραδίδωσιν * ἤθεσι καὶ πάθεσι διαφορῶν. καὶ ὅτι τῆς ποιητικῆς, τὸ μὲν ἐστι διηγηματικὸν, τὸ δὲ, μιμητικόν. καὶ τὸ μὲν διηγηματικὸν ἐκφέρεται δι' ἔπους, ἰάμβου τε καὶ * ἐλεγείας, καὶ μέλους· τὸ δὲ μιμητικὸν, διὰ τραγῳδίας, σατύρων τε, καὶ κωμῳδίας. καὶ ὅτι τὸ * μέλος πρῶτον μὲν ἐφεῦρε Φημονόη ἡ Ἀπόλλωνος προφῆτις, ἑξαμέτροις χρησμοῖς χρησαμένη. * καὶ ἐπειδὴ τοῖς χρησμοῖς τὰ πράγματα εἵπετο καὶ σύμφωνα ἦν, ἔπος τὸ ἐκ τῶν μέτρων κληθῆναι. οἱ δέ φασιν, ὅτι διὰ τὴν κατασκευὴν καὶ τὴν ἄγαν ὑπεροχὴν, τὴν ἐν τοῖς ἑξαμέτροις θεωρουμένην, τὸ κοινὸν ὄνομα παντὸς τοῦ λόγου, τὸ ἑξάμετρον ἰδιώσατο, καὶ ἐκλήθη ἔπος· καθάπερ καὶ ὁ Ὅμηρος ποιητὴν, καὶ ὁ Δημοσθένης τὸν ῥήτορα ᾠκειώσατο· ἐπεὶ καὶ [τὰ] τρίμετρα ἔπη προσηγόρευον. γεγόνασι δὲ τοῦ ἔπους ποιηταὶ, * κράτιστος μὲν Ὅμηρος, Ἡσίοδος, [Πίσανδρος,] Πανύασις, Ἀντίμαχος. διέρχεται δὲ τούτων, ὡς οἷόν τε ἐστι, γένος τε [καὶ πατρίδας, καὶ τινας * ἐπὶ μέρους πράξεις. διαλαμβάνει δὲ καὶ περὶ τοῦ λεγομένου ἐπικοῦ κύκλου, * ὃς ἄρχεται μὲν ἐκ τῆς οὐρανοῦ καὶ γῆς μυθολογουμένης μίξεως, ἐξ ἧς αὐτῷ καὶ τρεῖς παῖδας γεννῶσιν ἑκατοντάχειρας, καὶ τρεῖς ἑτέρους ἀποτίκτουσι κύκλωπας. διεξέρχεται δὲ περὶ θεῶν, τά τε ἄλλα τοῖς Ἕλλησι μυθολογούμενα, καὶ εἴ που τι καὶ πρὸς ἱστορίαν ἐξαληθίζεται. καὶ περατοῦται ὁ ἐπικὸς * λόγος συμπληρούμενος ἐκ διαφόρων ποιητῶν, μέχρι τῆς εἰς Ἰθάκην ἀποβάσεως Ὀδυσσέως· ἐν ᾗ καὶ ὑπὸ τοῦ παιδὸς * Τηλέγονος ἀγνοούμενος ὡς πατὴρ εἴη, κτείνεται. λέγει δὲ ὡς (ἐκ) τοῦ ἐπικοῦ κύκλου τὰ ποιήματα διασώζεται, καὶ σπουδάζεται τοῖς πολλοῖς, οὐχ οὕτω * διὰ τὴν ἀρετὴν, ὡς διὰ τὴν ἀκολουθίαν τῶν ἐν αὐτῷ πραγμάτων. (λέγει καὶ τὰ ὀνόματα καὶ τὰς πατρίδας τῶν πραγματευσαμένων τὸν ἐπικὸν κύκλον. λέγει δὲ καὶ περὶ τινων Κυπρίων ποιημάτων·) καὶ ὡς οἱ μὲν ταῦτα εἰς Στασῖνον ἀναφέρουσι Κύπριον,

Marginal notes (Greek column): * al. αὗται. Fr. Sylb. — * al. ἐπιφαίνει. — * al. συνείρεται — * ἐναρμόττει. — * al. καὶ — * ἰδεῶν. — * al. τῶν ἠθῶν καὶ παθῶν διαφοράν. — * ἐλεγείου μέλους. S. — * ἔπος F. S. — * ἐπεὶ δὲ S. — * κράτιστοι F. S. — * al. ἐπὶ μέτρου — * al. δς. — * κύκλος. F. S. — * al. Τηλεγόνου ἀγνοοῦντος κτ. — * al. διὰ ἀρετὴν.

PROCLI

Chrestomathia seu laudabilia de re poëtica.

PROCLVS.

Lecta sunt † laudabilia, quæ Proclus è Grammaticis excerpserat.

Liber hic in * quatuor diuiditur: ac primo quidem has [a] esse orationis, & poëmatis virtutes: differre vero in eo, quod plus, minúsve est. Et plasmatis, hoc quidem tenue, illud vero plenum, atque grande, tertium verò medium. Ac plenum quidem maximè ad summam admirationem concitandam aptum, mirificéque instructum, & poëticam venustatem ostendens. Tenue verò tropis ornatam quandam, & familiarem compositionem sequitur. Verùm ex attenuatis magis coagmentatum est: vnde [b] luctuosis plurimum rebus, ac tristibus optimè accommodatur. Medium, vel nomen ipsum significarit, inter vtrumque esse interiectum. Florida verò per se non est dicendi figura, sed antedictis mista cum eis simul effertur: conuenit autem locorum, pratorum lucorúmque descriptionibus: qui verò à memoratis dicendi figuris aberrarunt, à grandi ad duram elatámque, à tenui ad humilem, à media ad otiosam & solutam deflexerunt. Præcipit [c] autem & de poëmatis diiudicatione; vbi ἤθεσι & πάθεσι tradit differentiam, poëticésque aliud narratiuum esse, aliud imitatiuum. Narratiuum porrò diuiditur in Epos, Elegiam, Iambum, & Melos. Imitatiuum verò in Tragœdiam, Satyros, & Comœdiam.

Melos [d] primò reperit Phemonoë [e] Apollinis sacerdos. Hexametris oracula reddere solita. Et quoniam oracula res ipsæ sequebantur, consonæque erant, hinc, quod hexametris constat, id omne Epos dictum. Alij verò, propter accuratione, & valde insignem excellentiam, quæ in hexametris elucet, putant commune nomen totius sermonis hexametrum sibi vindicasse, vocatúmque Epos: quemadmodum & Homerus poëtæ nomen sibi, & Demosthenes oratoris vsurpauit. Quando & Trimetra ἔπη vocauerunt. Inter Epicos verò poëtas excellit Homerus, Hesiodus, Pisander, Panyasis, & Antimachus. Recenset horum, quantum fieri potest, genus, patriam, & quædam opera, quæ carminibus composuerunt.

Differit verò & de Epico, quem vocant Cyclo, qui ex Cœli & Terræ, quam poëtæ fabulantur, commistione originem duxit: deinceps ex ipsa Cœlo tres filios centimanos agnoscunt genitos, totidémque alios producunt Cyclopas. Disputat de Diis breuiter, aliisque rebus, quæ Græcorum fabulis proditæ: & quidquid etiam ad historiæ veritatem pertinet. Terminatur Epicus Cyclus, ex variis poëtis perfectus, ad exscensionem vsque Vlyssis in Ithacam, in qua & à filio Telegono, ignaro quod pater esset, interficitur. Epici verò Cycli poëmata hodiéque seruari ait, studioséque à multis frequentari, non tam virtutis caussa, quàm propter aptum ordinem & cohærentem earum rerum, quæ in ipsis continentur. Memorat etiam nomina & patriam eorum, qui Epicum Cyclum fecerunt. Quin etiam de Cypriis poëmatis narrat. Et hos quidem ad Stasinum Cyprium hæc referre;

Marginal notes (Latin column): a Fort. αἱ αὐταὶ eaedem esse. — b γοεροῖς. — c Legen. fort. Διαλαμβάνει καὶ περὶ κρίσεως ποιήματος. De iudicio poematis. — d Fort. Ἔπος legen. — e Φημονόην lege, ex Pausania in Phocicis & aliis.

PROCLVS.

illos verò ad [a] Hegesiam Salaminium: quosdam etiam Homero tribuere, data verò pro filia Stasino, à cuius patria Cypria hoc opus appellatum: sed huic rationi auctor [b] non assentitur: neque enim Κύπρια accentu [vt loquitur] in antepenultima inscribi hæc poëmata.

Elegiam verò heroico & pentametro versu constare, aptari vero iis qui obierint, vnde & nomen accepit: luctum enim ἔλεγον veteres appellarunt, eósque qui vita functi essent, his celebrarunt. Posteriores verò Elegiis ad res varias abusi sunt. Hoc metro excelluisse refert Gallinum Ephesium, & Mimnermum [c] Colophonium, sed & Philetam Coum Telephi F. & Callimachum Batti F. Cyrenæum.

Iambum similiter ad conuitiandum olim, ait, comparatum. Ἰαμβίζειν enim linguæ quadam proprietate, contumeliam dicere, significabat: alij ex Iambe ancilla, genere Thressa, deriuant. Hanc ferunt, Cerere ob raptam filiam tristitia affecta, Eleusinem venisse, & lapidi, qui hodieque ἀγέλαστος, quasi risus expers, & tristis, vocatur, insidentem, ludicris quibusdam dicteriis [d] risum Deæ concitasse. Apparet autem Iambum olim tam in vituperationem, quàm laudationem [e] ex æquo conscribi solitum, quando in conuitiis, contumeliisque, quidam metro insolentius vsi sunt, inde ἰαμβίζειν ad conuitia consuetudine quadam recidisse, quemadmodum à Comicis Comœdiari dictum. Iambicorum poëtarum Archilochus Parius facile princeps, & Simonides * Amorginus: vel, vt quidam volunt, Samius, & Hipponax Ephesius: quorum primus quidem tempore Gygis, alter verò Ananiæ Macedonis: Hipponax verò Darij temporibus floruerunt.

Melici autem carminis varia genera faciũt, in multásque partes diuidunt; Quædam enim ad Deos pertinent, alia ad homines, alia denique ad fortuitas calamitates.

Ad Deos quidem referuntur, Hymnus, Prosodion, Pæan, Dithyrambus, Nomos, Adonidia, Iobacchus, Hyporchemata. Ad mortales verò pertinent Encomia, Epinicij, Scolia, Amatoria, Epithalamia, Hymenæi, Silli, Lamentationes, & Epicedia. Ad Deos simul & homines, Parthenia, Daphnephorica, Oschophorica & Precatoria. Hæc enim in Deorum laudem ita composita, vt & hominum prædicationes complexa sint. Fortuitæ verò calamitates Melici carminis speciem minimè constituunt, quam tamen Poëtæ tentauerunt: puta Pragmatica, Emporica, Apostolica, Gnomologica, Georgica, & Epistaltica.

Hymnum sic dictum aiunt, quasi ὑπόμνησις id est, commemoratio quædam sit, & quasi in memoriam reuocet res gestas eorum, qui hymnis celebrantur: vel ἀπὸ τοῦ ὑμνεῖν αὐτάς, quod valet, prædicare ipsas. Vocabant autem in vniuersum omnia, quæ in gratiam sacrorum [f] ministrorum scripta erant, hymnos: propterea Prosodion, aliáque supra enumerata, Hymno distinctè subiici videantur, vt species generi. Quare audire licet qui scribant, Hymnos Prosodios, Hymnos Encomios, Hymnos Pæanos, & de cæteris eadem ratione.

οἱ δὲ * Ἡγήσιον τὸν Σαλαμίνιον αὐτοῖς ἐπιγράφουσιν. οἱ δὲ Ὅμηρον. δοῦναι δὲ ὑπὲρ τῆς θυγατρὸς Στασίνῳ· καὶ διὰ τὴν αὐτοῦ πατρίδα, * Κύπρια τὸν πόνον ἐπικληθῆναι· ἀλλ' οὐ τίθεται [ὁ συγγραφεὺς] τῇ αἰτίᾳ ταύτῃ. μηδὲ γὰρ Κύπρια προπαροξυτόνως ἐπιγράφεσθαι τὰ ποιήματα. τὴν δὲ ἐλεγείαν συγκεῖσθαι μὲν ἐξ ἡρῴου καὶ πενταμέτρου στίχου: ἁρμόζειν δὲ τοῖς κατοιχομένοις· ὅθεν καὶ τοῦ ὀνόματος ἔτυχε. τὸ γὰρ θρῆνος * ἔλεγον ἐκάλουν οἱ παλαιοί· καὶ τοὺς τελευτηκότας δι' αὐτοῦ εὐλόγουν. οἱ μέν τοι μεταγενέστεροι * τοῖς ἐλεγείοις πρὸς διαφόρους ὑποθέσεις ἀπεχρήσαντο. λέγει δὲ καὶ ἀριστεῦσαι τῷ μέτρῳ Καλλῖνόν τε τὸν Ἐφέσιον, καὶ Μίμνερμον τὸν Κολοφώνιον· ἀλλὰ καὶ τὸν [τοῦ] Τηλέφου * Φιλητᾶν τὸν Κῷον, καὶ Καλλίμαχον τὸν * Βάττου, Κυρηναῖον δ' ὄντα. ἀλλὰ γὰρ καὶ τὸν ἴαμβον τάττεσθαι μὲν ἐπὶ λοιδορείας τὸ παλαιόν· καὶ γὰρ καὶ τὸ ἰαμβίζειν κατά τινα γλῶσσαν, λοιδορεῖν ἔλεγον. οἱ δὲ ἀπό τινος * Ἰάμβης θεραπαινίδος Θρᾴττης τὸ γένος. ταύτην φασὶ, τῆς Δήμητρος αἰωρουμένης ἐπὶ [τῇ] τῆς θυγατρὸς ἁρπαγῇ, προσελθεῖν * ἐπὶ τὸν Ἐλευσῖνα ἐπὶ τῇ νῦν Ἀγελάστῳ καλουμένῃ πέτρᾳ καθημένην· καὶ διά τινων χλευασμάτων εἰς γέλωτα προσαγαγέσθαι τὴν θεόν. ἔοικε δὲ ὁ ἴαμβος τὸ μὲν παλαιὸν ἐπὶ τὸν εἰς ψόγον καὶ ἔπαινον γραφόμενον ὁμοίως λέγεσθαι. * ἐπειδή τινες ἐπλεόνασαν ἐν ταῖς κακολογίαις τὸ μέτρον, ἐκεῖθεν τὸ ἰαμβίζειν εἰς τὸ ὑβρίζειν ὑπὸ τῆς συνηθείας ἐκπεσεῖν: ὥσπερ ἀπὸ τῶν κωμικῶν, τὸ κωμῳδεῖσθαι. Ἰάμβων δὲ ποιηταὶ, Ἀρχίλοχός τε ὁ Πάριος ἄριστος, καὶ Σιμωνίδης ὁ Ἀμόργιος, ἢ, ὡς ἔνιοι, Σάμιος. καὶ Ἱππῶναξ ὁ Ἐφέσιος· ὧν ὁ μὲν πρῶτος, ἐπὶ Γύγου. ὁ δὲ, ἐπ' Ἀνανίου τοῦ Μακεδόνος. ὁ δ' Ἱππῶναξ, κατὰ Δαρεῖον ἤκμαζεν. περὶ δὲ μελικῆς ποιήσεως * φασὶν, ὡς πολυμερεστάτη τε, καὶ διαφόρους ἔχει τομάς. ἃ μὲν γὰρ αὐτῆς μεμέρισται θεοῖς· ἃ δὲ, ἀνθρώποις· ἃ δὲ, εἰς τὰς προσπιπτούσας περιστάσεις. καὶ ὡς θεοὺς μὲν ἀναφέρεσθαι ὕμνον, προσῴδιον, παιᾶνα, διθύραμβον, νόμον, ἀδωνίδια, ἰόβακχον, ὑπορχήματα· εἰς δὲ ἀνθρώπους, ἐγκώμια * ἐπινίκιοι, σκολιὰ, ἐρωτικὰ, ἐπιθαλάμια, ὑμεναίους, σίλλους, θρήνους, ἐπικήδεια· εἰς θεοὺς δὲ καὶ ἀνθρώπους, παρθένια, δαφνηφορικὰ, ὀσχοφορικὰ, εὐκτικά. ταῦτα γὰρ, εἰς θεοὺς γραφόμενα, καὶ ἀνθρώπων περιείληφεν ἐπαίνους. τὰ δὲ εἰς τὰς προσπιπτούσας περιστάσεις, οὐκ ἔστι (μὲν) εἴδη τῆς μελικῆς, ὑπ' αὐτῶν δὲ τῶν ποιητῶν ἐπικεχείρηται. τούτων δέ ἐστι πραγματικὰ, ἐμπορικὰ, ἀποστολικὰ, γνωμολογικὰ, γεωργικὰ, ἐπισταλτικά. καί φασι τὸν ὕμνον ὀνομάζεσθαι ἀπὸ τοῦ ὑπόμνησίν τινα εἶναι, καὶ οἱονεὶ εἰς μνήμην τινὰ καὶ ὑπόμνησιν ἄγειν τὰς πράξεις τῶν * ὑμνουμένων· ἢ ἀπὸ τοῦ ὑμνεῖν αὐτάς, ὅπερ ἐστὶ λέγειν. ἐκάλουν δὲ καθόλου πάντα τὰ εἰς τοὺς ὑπηρέτας γραφόμενα, ὕμνους· διὸ καὶ τὸ προσῴδιον, καὶ τὰ ἄλλα τὰ προειρημένα, φαίνονται ἀντιδιαστέλλοντες τῷ ὕμνῳ, ὡς εἴδη πρὸς γένος. καὶ γάρ ἐστιν αὐτῶν ἀκούειν γραφόντων ὕμνους προσῳδίους, καὶ ὕμνους * ἐγκωμίους, καὶ ὕμνους παιᾶνος, καὶ τὰ ὅμοια.

[a] Ἡγησίαν legit ex Athenæo lib. 15. διπνοσοφ.
[b] fort. ἀλλ' οὐ συντίθεται ὁ γραφεύς.
[c] Κολοφώνιον.
Apollodorus lib. 1. Biblioth.
[d] fort. προσαγαγέσθαι.
[e] ὁμοίως γραφόμενον, leg.
* ὁ Ἀμόργιος fort. ὁ Ἀμοργῖνος, Ex Stephano.
[f] ὑπηρέτας. fort. καθιερωμένων, quæ in eos, qui à poetis celebrantur. vel ὑπηρέτας in virtute prædicatas.

* Ἡγησίαν Stylo, ex Athenæo lib. 15.
* al. Κύπρια
* al. ἔλεγος.
* τῷ ἐλεγείῳ.
* al. φοίνικα & φοινικᾶν.
* Βάττου.
* Ἰάμβης.
* ἐπί
* ἐπεὶ δ' H.St.
* φασὶν F. S.
* ἐπίνικοι
* ἰόβακχον. S.
* al. ὑμνουμένων.
* ἐγκωμίους.

non ſecus queritur, quam ſi loto priuaretur. In montis autem præruptis arbores, è quibus thus diſtillat, proceræ naſcuntur, & aromatum aliæ ſpecies multæ, inter quas & piperis arbores ſunt, quod piper, tanquam agricolæ, genus quoddam ſimiorum colit. Piperis arbor illi ſimilis eſſe traditur, quam Græci ἄγνον (id eſt, *caſtam*) appellant, tum partibus aliis, tum maximè fructuum racemis. Naſcitur autem in extremis præruptiſque locis, generi hominum inacceſſis: vbi ſimiorum, quas diximus, populus montis cauernas, & omnia foramina incolit. Simios autem magni faciunt Indi, quoniam piperis, vt ſic dicam, vindemiatores ſunt: quapropter & armis & canibus leones, & cæteras feras ab ipſis arcent. Irruit autem in ſimium leo ægrotus, medicinæ quidem gratia, namque huiuſmodi ſimiorum carnes leonum morbis medentur, ſeneſcens vero, paſtus cibique cauſa. Nam vbi propter ſenium ceruos aut apros venari leones nequeunt, ſimias deuorant, quod ſupereſt virium in illas exercentes. Quæ de pipere, hæc ſunt. Accedentes Indi ad arbores, quæ in parte montis infima naſcuntur, fructuſque ab illis decerpentes, paruas quaſdam propter arbores areolas faciunt, quo piper congerunt, ipſum proiicientes, ceu rem neglectam & minimi ab hominibus exiſtimatam. Simiæ verò in auiis abditæ deſuper aſpicientes, vbi nox aduenit, Indorum opus imitatæ, auulſos arborum ramuſculos in areas, quas diximus, conferunt. Inde vero nullo labore colligunt. Superato monte ſubiectam planiciem conſpicatus Apollonius cum ſuis, foſſis aqua redundantibus interſectam animaduerterunt. Erant autem foſſarum aliæ rectæ, aliæ obliquæ, aquam à Gange deriuantes. Has autem foſſas partim terminis deſignādis, partim irrigandis agris, cum ſitiſſent, ſeruire dicebant. Sunt autem agri omnium qui apud Indos coluntur feraciſſimi, & ibi hæreditas omnium maximè opima. Protenditur enim in longitudinem dierum quindecim ſecus Gangem ambulantibus, decem autem & octo è mari ad montem vſque ſimiarum patet. cui planicies æqua extenditur. Terra autem colore nigra eſt, & frugum omnium ferax, vbi ſpicas, arundinum inſtar, conſpici dicunt. Fabas autem triplo maiores iis quæ in Aegypto naſcuntur. Seſamum quoque proferre, & milium eximiæ magnitudinis. Præterea nuces iiſdem in locis naſci perhibent. Vites autem paruæ admodum, quantæ apud Mæones Lydoſque ibi naſcuntur. Vinum tamen ex illis expreſſum, guſtatu & odore iucundiſſimum eſſe aiunt. Aliam præterea arborem illic inueniri ait Lauro ſimilem: quæ folliculum mali Punici magnitudine profert. Folliculo autem pomum ineſt colore cæruleum, ac veluti pulcherrimus hyacinthus: ſuauiſſimum vero omnium, quæ toto anno naſcantur. Cum autem è monte deſcenderent, inuenerunt draconum venationem. Omnis enim Indiæ regio draconibus abundat, & multitudine & magnitudine mirandis. Itaque paludes plenæ, pleni montes, neque tumulus iis vacuus reperitur. Verum paluſtres pigri tardique, ſuntque longitudine cubitorum triginta, & vix caput attollentes: ſunt vero draconibus fœminis ſimiles, & terga habentes ſubnigra, & cæteris minus ſquamoſa. Campeſtres paluſtribus per omnia ſuperiores. Nam & in maiorem porrecti ſunt longitudinem,

PHILOSTR.

Thus.

Piper.

Simiæ.

Horapollo lib. 2. cap. 76.

Dracones Indici.

PHILOSTR. & velocius fluminibus, quamuis rapacibus, feruntur, ita vt illos euadere nihil possit. His autem crista nascitur, iuuenibus mediocriter prominens, prouectis vero ætate grandior, & valdè assurgens, estque ignita & serrata. Hi vero iubas & ceruicem altius attollunt, & eorum squamæ instar argenti fulgent. Oculorum autem pupillæ lapides sunt tanquam ignis fulgentes. Horum serpentum vim maximam esse ferunt ad morbos periculosissimos tollendos. A venantibus reperiuntur campestres dracones (cum enim elephantem aliquem conuulserunt, vtraque bellua interit), & eos capientibus lucro sunt oculi, pelles, dentes. Sunt autem membris apris ingentibus pares, sed corpore graciliores, & in quamcunque partem versatiles, rostro autem validissimo tanquam ingentes pisces. Montani vero dracones squamas habent coloris fului, longitudine autem excedunt campestres, barbáq; illis est cincinnata, & ipsa coloris aurei, & supercilia maiora habent quam campestres, oculi autem superciliis subsunt, toruè, grauitérque aspicientes, qui dracones perinde ac si essent ænei sibilant, quandocunque per terram serpunt. E cristis vero quæ rubræ sunt, velut ignis scintillare videtur; & isti quoque elephantos capiunt. Ipsi vero ab Indis hoc modo capiuntur: Pallium coccineum litteris aureis super intextum, ante cubicula extendunt; Scripta autem incantatoria verba somnum videntur inducere, his draconum oculi, quamquam durissimi, superantur. Ipsi quoque plurima verba ex arcana sapientia superincantantes, eo draconem perducunt, vt caput latebris exerat, & litteris pallio intextis superindormiat, dormienti autem instantes Indi, securi ceruicem feriunt, scissóque capite lapillos intus exstantes auferunt. Traduntur enim montanorum draconum capitibus inesse lapilli, specie & aspectu iucundi, & splendorem quemdam coloribus inducentes: viribus autem potentiáque mirabiles, sicut annulus, quem habuisse Gygem, vulgatum est. Euenit autem interdum, vt draco Indum cum securi & arte, intra cubile trahens deuoret, etiam ipsum pene montem concutiens. Tales autem dracones montes, qui ad rubrum mare pertinent, dicuntur incolere. De longitudine autem vitæ huiusmodi belluarum, & cognoscere difficillimum, &, si dicatur, incredibile. Fistulæ sonitum audire visi sunt, quasi pastoris gregem colligentis, qui ceruas albas pascebat. Mulgent autem ipsas Indi, quod lac earum maximum nutrimentum putant. Inde quatuor dierum iter progressi, per felicem & bene cultam regionem ad oppidum, id quo sapientes habitant, qui vulgo *Brachmanæ* vocantur, peruenerunt, & cum iis satis diu versati sunt: de quibus se dicunt vidisse, & audisse, quæ nemo sanus crederet. Impium dogma de transmigratione animarum per Ægyptios ad Pythagoram hinc credunt emanasse. Comas autem nutriunt, sicut quondam Lacedæmonij, & Thurij: vittam quoque albam circundabant, & nudis pedibus ambulabant. Vestis autem eorum in superhumeralis formam composita est. Ipsius materia lanugo est, quę sponte sua in illis locis crescit, alba quidem, veluti quæ in Pamphylia nascitur. Ex ea sacrá vestem conficiunt, quia mollior est,

Ceruæ.

καὶ ταχύτεροι τῶν ὀξυτάτων ποταμῶν φέρονται, καὶ διαφεύγει αὐτοὺς οὐδέν. τούτοις καὶ λόφια φύεται, νέοις μὲν ὑπανίσχουσα τὸ μέτριον, συναυξομένη δὲ τελειουμένοις, καὶ *ἀνιοῦσα ἐπὶ πολὺ ὅτε δὴ πυρσοῦται καὶ πριονωτὸς γίνεται. οὗτοι καὶ γενειάσκουσι, καὶ τὸν αὐχένα ὑψοῦ *αἴρουσι, καὶ τὴν φολίδα στίλβουσι δίκην ἀργύρου. αἱ δὲ τῶν ὀφθαλμῶν κόραι λίθος ἐστὶ διάπυρος. ἰσχὺν δὲ αὐτῶν ἀμήχανον εἶναι *φασὶν ἐς πολλὰ τῶν ἀποθέτων. γίνεται δὲ τοῖς θηρῶσιν ὁ πεδινὸς *εὕρημα, ἐπειδὰν τῶν ἐλεφάντων τινὰ ἐπισπάσηται· τουτὶ γὰρ ἀπόλλυσιν ἄμφω τὰ θηρία, καὶ κέρδος τοῖς ἑλοῦσι δράκοντας, ὀφθαλμοὶ, καὶ δορὰ, καὶ ὀδόντες. εἰσὶ δὲ τὰ μὲν ἄλλα ὅμοιοι τοῖς τῶν μεγίστων συῶν, λεπτότεροι δὲ καὶ διάστροφοι, καὶ τὴν αἰχμὴν *ἄτρεπτοι, καθάπερ οἱ τῶν μεγίστων ἰχθύων. οἱ δὲ ὄρειοι δράκοντες, τὴν μὲν φολίδα χρυσοῖ φαίνονται, τὸ δὲ μῆκος ὑπὲρ τοὺς πεδινούς· γένεια δὲ αὐτοῖς βοστρυχώδη, χρυσᾶ κἀκεῖνα, καὶ κατωφρύωνται μᾶλλον ἢ οἱ πεδινοί, ὄμματά τε ὑποκάθηνται τῇ ὀφρύϊ δεινὸν καὶ ἀναιδὲς δεδορκότα· ὑπόχαλκόν τε *ἠχὼ φέρουσιν, ἐπειδὰν τῇ γῇ ὑποκυμαίνουσιν. ἀπὸ δὲ τῶν λόφων πυρσῶν ὄντων, πῦρ αὐτοῖς ἄττει λαμπάδος πλέον. οὗτοι καὶ τοὺς ἐλέφαντας αἱροῦσιν. αὐτοὶ δὲ ὑπὸ τῶν ἰνδῶν οὕτως ἁλίσκονται· κοκκοβαφεῖ πέπλῳ χρυσᾶ ἐνυφάναντες γράμματα, τιθέασι πρὸ τῆς χειᾶς, ὕπνον ἐγγοητεύσαντες τοῖς γράμμασιν, ὑφ' οὗ νικᾶται τοὺς ὀφθαλμοὺς ἀτρέπτους ὄντας ὁ δράκων. καὶ πολλὰ τῆς ἀπορρήτου σοφίας ἐπ' αὐτὸν ᾄδουσιν, οἷς ἄγεταί τε καὶ τὸν αὐχένα ὑπερβαλὼν τῆς χειᾶς, ἐπικαθεύδει τοῖς γράμμασι. προσπεσόντες οὖν οἱ ἰνδοὶ κειμένῳ, πελέκεις ἐναράττουσι, καὶ τὴν κεφαλὴν ἀποτεμόντες, λῄζονται τὰς ἐν αὐτῇ λίθους. λίθοι δὲ τούτοις ἀποκεῖνται, τὸ μὲν εἶδος αἰθέριοι, καὶ πάντα ἀπαυγάζουσαι χρώματα· τὴν δὲ ἰσχὺν ἄρρητοι κατὰ τὸν δακτύλιον, ὅν γενέσθαι φασὶ τοῦ Γύγου. πολλάκις δὲ τὸν ἰνδὸν αὐτῷ πελέκει, καὶ αὐτῇ τέχνῃ συλλαβὼν ἐς τὴν αὐτοῦ χειὰν φέρων ᾤχετο, μονονοὺ σείων τὸ ὄρος. οὗτοι καὶ τὰ ὄρη τὰ περὶ τὴν ἐρυθρὰν οἰκεῖν λέγονται. τὰ δὲ ἔτη τῶν θηρίων τούτων γνῶναί τε ἄπορον, καὶ εἰπεῖν ἄπιστον. προϊόντες δέ *φασιν αὐλοῦ μὲν ἀκοῦσαι δόξαι, νομέως δή τινος ἀγέλην τάττοντος· ἐλάφους δὲ ἄρα βουκολεῖ λευκάς. ἀμέλγουσι δὲ ἰνδοὶ ταύτας, εὐτραφὲς ἡγούμενοι τὸ ἀπ' αὐτῶν γάλα. ἐντεῦθεν ἡμερῶν τεττάρων πορευόμενοι δι' εὐδαίμονος καὶ ἐνεργοῦ τῆς χώρας, προσελθεῖν *φασὶ τῇ τῶν σοφῶν, ἤτοι τῶν λεγομένων Βραχμάνων πόλει, καὶ συγγενέσθαι αὐτοῖς ἐφ' ἱκανόν· περὶ οὓς αὐτὸς *φησὶν εἰρηκέναι τι καὶ ἰδεῖν καὶ ἀκοῦσαι, ἃ οὐδεὶς τῶν νοῦν ἐχόντων πιστεύσει. τὸ δὲ τῆς μετεμψυχώσεως βδελυκτὸν δόγμα ἐκεῖθεν δι' αἰγυπτίων ἔφασαν καὶ Πυθαγόρᾳ *ἐνσκῆψαι· κομῶσι δὲ οὗτοι οἱ ἰνδοὶ, ὥσπερ Λακεδαιμόνιοι πάλαι καὶ Θούριοι· μίτραν τε ἀναδοῦνται λευκήν· καὶ γυμνὸν αὐτοῖς βάδισμα· καὶ τὴν ἐσθῆτα ἐσχημάτιζον παραπλησίως ταῖς ἐξωμίσιν. ἡ δὲ ὕλη τῆς ἐσθῆτος, ἔριον αὐτοφυὲς ἐν γῇ φύεται· *λευκὸν μὲν ὥσπερ τὸ παμφύλων, μαλακώτερον δὲ, τούτου ἱερὰν ἐσθῆτα ποιοῦνται· καὶ μόνοις

* ἀνίσχουσα. * πυρσοῦται ἢ πριονωτὸς γίνεται. * φέρουσι. * φασίν. * ἕρμαιον. * ἀτρέπτουσι. * ἠχῶ. * φασίν. * φασί. * φησί. * al. ἐνσκῆψαι. * al. νάκος.

καὶ μόνοις αὐτοῖς ἐπαναστῆναι τῆς γῆς· φοροῦσι δὲ καὶ δακτύλιον καὶ ῥάβδον. Ὅτι λίθον *φασὶ, παντάρβην ὄνομα, γίνεσθαι τὴν μεγίστην κατὰ ὄνυχα δακτύλου ἀντίχειρος· κυΐσκεσθαι δὲ αὐτὴν ἐν τῇ κοίλῃ βάθος ὀργυιαὶ τέσσαρες. τοσοῦτον δὲ αὐτῇ περιεῖναι τοῦ πνεύματος, ὡς ὑποιδεῖν τὴν γῆν, καὶ κατὰ πολλὰ ῥήγνυσθαι, κυϊσκομένης ἐν αὐτῇ τῆς λίθου. οὐ πᾶσι δὲ ἀνασπᾶσθαι, ἀλλὰ τοῖς τὰς ἱερὰς αὐτῇ τελετὰς ἐπισταμένοις. αὕτη νύκτωρ μὲν ἡμέραν ἀναφαίνει, καθάπερ τὸ πῦρ· ἔστι γὰρ πυρσὴ καὶ ἀκτινώδης. εἰ δὲ μεθ' ἡμέραν ὁρῷτο, βάλλει τοὺς ὀφθαλμοὺς μαρμαρυγαῖς μυρίαις· τὸ δὲ ἐν αὐτῇ φῶς πνεῦμά ἐστιν ἀπορρήτου ἰσχύος. λίθους γὰρ ὁπόσας *βούλει καὶ σποράδην ἐς θάλασσαν διαρρίψας, καὶ ταύτην αὐταῖς καθιμήσας ξυλλέγει *αἲ πάσας τῇ τοῦ πνεύματος διαδόσει. ὑποκάθηνται [καὶ] γὰρ αὐτῇ βοτρυδὸν αἱ λίθοι, καθάπερ σμῆνος. καί φησιν ὁ μυθογράφος οὗτος Φιλόστρατος, ὡς ταῦτα εἰπὼν Ἰάρχας πρὸς Ἀπολλώνιον, ἔδειξε τὴν λίθον αὐτὴν, καὶ ὁπόσα ἐργάζεται. τοὺς δὲ πυγμαίους φησὶν οἰκεῖν μὲν ὑπογείους, κεῖσθαι δὲ ὑπὲρ τὸν Γάγγην, ζῶντας τρόπον, ὃς πᾶσιν εἴρηται. σκιάποδας δὲ ἀνθρώπους, ἢ μακροκεφάλους, ἢ ὁπόσα Σκύλακος ξυγγραφαὶ περὶ τούτων ᾄδουσιν, οὔτε *ἄλλοσέ ποι βιοτεύειν τῆς γῆς, οὔτε ἐν Ἰνδοῖς. Ὅτι φησὶν, ὃν ὀρύττουσι χρυσὸν οἱ γρῦπες, πέτραι εἰσὶν οἱονεὶ σπινθῆρσιν ἐστιγμέναι ταῖς τοῦ χρυσοῦ ῥανίσιν, ἃς λιθοτομεῖ τὸ θηρίον τοῦτο τῇ τοῦ ῥάμφους ἰσχύϊ. τὰ γὰρ θηρία ταῦτα εἶναί τε ἐν Ἰνδοῖς, καὶ μέγεθος καὶ ἀλκὴν εἰκάσθαι αὐτοὺς τοῖς λέουσιν, ὑπὸ δὲ πλεονεξίας τῶν πτερῶν αὐτοῖς τε ἐκείνοις ἐπιτίθεσθαι, καὶ τῶν ἐλεφάντων καὶ δρακόντων ὑπερτέρους εἶναι. πέτονται δὲ οὔπω μέγα· ἀλλ' ὅσον οἱ *βραχύποροι ὄρνιθες. μὴ γὰρ ἐπτιλῶσθαι σφᾶς [ὡς] ὄρνισι πάτριον, ἀλλ' ὑμέσι τοὺς ταρσοὺς ὑφαίνεσθαι πυρσοῖς. τὴν τίγριν δὲ αὐτοῖς ἀνάλωτον εἶναι μόνην, ἐπειδὴ τὸ τάχος αὐτὴν ἰσοποιεῖ τοῖς ἀνέμοις. Ὅτι περὶ τοῦ φοίνικος τῆς ὄρνιθος τὰ αὐτὰ καὶ οὗτος τοῖς ἄλλοις ἅπασιν ἀναγράφει. Ὅτι δ' μῆνας τοῖς Ἰνδοῖς τὸν Ἀπολλώνιον συνδιατρῖψαι φησίν· ἐξ ἐκείνου δὲ ἐν δεξιᾷ μὲν τὸν Γάγγην ἔχοντα, ἐν ἀριστερᾷ δὲ τὸν Ὕφασιν κατιέναι ἐπὶ τὴν θάλατταν, ἡμερῶν δέκα ὁδὸν, ἀπὸ τοῦ ἱεροῦ ὄχθου. κατιοῦσι δὲ αὐτοῖς πολλὰ μὲν καὶ ἄλλα φανῆναι, ἀτὰρ καὶ πιθήκων γένος ἕτερον *παρὰ τοὺς ἐν τοῖς πεπερίσι· μέλανές τε γὰρ καὶ λάσιοι ἦσαν, καὶ τὰ εἴδη κυνώδεις, καὶ μικροῖς ἀνθρώποις ἴσοι. ἀφίκοντο δὲ ἐπὶ τὴν θάλασσαν τὴν ἐρυθράν· ταύτην δ' εἶναι *φασὶν ὑπερκυανωτάτην, λαχεῖν δὲ τὴν ἐπωνυμίαν ἀπὸ Ἐρύθρα βασιλέως. ἐντεῦθεν ἐπιβάντες νεὼς, ἐκομίζοντο λείῳ καὶ εὐφόρῳ πνεύματι, θαυμάζοντες τὸ στόμα τοῦ Ὑφάσιδος, ὡς φοβερῶς δι' αὐτοῦ ἐκχεῖται. τελευτῶν γὰρ εἰς χωρία πετρώδη καὶ στενὰ καὶ κρημνοὺς ἐκπίπτει, δι' ὧν καταρρηγνὺς ἐς τὴν θάλατταν ἑνὶ στόματι, χαλεπὸς δοκεῖ τοῖς ἄγαν τῇ γῇ προσκειμένοις. καὶ μὴν τὸ τοῦ Ἰνδοῦ στόμα ἰδεῖν φασί· πόλιν δὲ ἐπ' αὐτῷ κεῖσθαι Πάταλα περίρρυτον τῷ Ἰνδῷ, εἰς ἣν τὸ ναυτικὸν τοῦ Ἀλεξάνδρου συνελθεῖν, οὗ Νέαρχος ἐπεστάτει. ἃ δὲ Ὀρθαγόρᾳ περὶ τῆς ἐρυθρᾶς εἴρηται,

*φησί. *al. βάλλει. *al. ἐς πάσας. *Σκύλαξ Καρυανδεύς. *βραχύπτεροι. *al. φη. *ὑπὲρ τι.

à solis ipsis è terra vellitur. Gestant annulum & baculum. Dicunt lapidem Pantarbem nomine nasci, magnitudine vnguis qui in pollice. Gignitur verò in concauis terræ, profunditate iugerum quatuor. Tantum verò ipsi spiritus inest, vt intumescat, & plerumque scindatur terra, vbi eiusmodi lapis concipitur. Euellere autem ipsum nemini licet, nisi qui eius sit sacris initiatus: qui noctu diem velut ignis ostendit, quoniam igneus est ac radiosus: sin vero post diem aspiciatur, innumeris rutilationibus oculos ferit. Id autem quod in ipso lumen fulget, spiritus est potentiæ occultæ. Lapides enim si quis sparsim iactat & in mare condit: postmodum hic lapis ad eos dimissus, omnes distributione sui spiritus colliget ita vt coaceruati lapides tanquam examen apū illi subiaceant. Quin etiam addit ille nugator Philostratus, hæc Iarcham Apollonio dixisse, & lapidem illi ostendisse, & omnes eius potentias.

PHILOSTR.

Pygmæos autem sub terra degentes ait supra Gangem posita loca incolere, & sicut fama de ipsis prædicat viuere. Sciapodes verò [id est, *qui sibi vmbram pedibus parant*] & macrocephalos, & huiusmodi monstra quotcunque *Scylacis historiæ decantant, nec apud Indos, nec alibi terrarum vsquam viuere censeo. Aurum vero quod gryphes effodere dicuntur, petræ sunt aureis guttis minutissimis conspersæ, quas hæc fera rostro discindit. Sunt enim huiusmodi aues in India, magnitudine autem & viribus leonibus pares, & alarum præsidio in leones, elephantos, & dracones inuolant, superioresque euadunt. Volant autem non multum, sed quantum paruulæ aues. Non enim pennatæ sunt, sed rubra pellicula alarum costæ connectuntur. Solam vero Tigrim insuperabilem illis esse dicunt, quoniam fugiendi celeritate ventos æquare dicitur. Hic de Phœnice aue eadem cum aliis scribit. Quatuor menses apud Indos Apollonium fuisse tradit, Inde dextra quidem Gangem, sinistra vero Hyphasin fluuios habens ad mare descendit, itinere decem dierum à sacro monte confecto: descendentes autem multa alia viderunt: simiarum genus longe diuersum ab iis, quas apud piperis arbores inuenerant. Sunt enim hæ nigræ, villosæque & paruis hominibus similes. Peruenerunt vero ad mare rubrum. Rubrum autem mare vehementer cæruleum esse tradunt, denominatum autem rubrum à rege Erythra. Post hęc autem nauem conscendentes, leni vento deferebantur, admirantes Hyphasidis ostium, qui præceps terribilisque effunditur. Decurrit enim per loca petrosa, angusta, atque prærupta, vbique refractus vno ostio mare ingreditur pernicioso admodum iis, qui nauigando littori nimium adhæserint. Indi quoque fluminis ostia se vidisse perhibent, vbi ciuitas posita est nomine Patala, fluenti Indo adiacens, eo quoque conuenisse quondam tradunt Alexandri classem, eiusque gubernatorem ducemque Nearchum. Quæ verò ab Orthagora de rubro mari narrantur,

Pygmæi. Sciapodes. *Scylax Caryadensis, quæ vrbs in Caria est ad Halicarnassum, historicus & Mathematicus. Quæ scripserit indicat Suidas, extatque Geographica cum Marciani Heracleota, aliorumque, edente D. Hœschelio Augustæ anno 1600. Simiæ. Mare rubrum.

PHILOSTR. quod ibi scilicet visa non conspicitur, neque meridiem signare nauigantes possunt, quamquam apparentia illi astra ordinem permutãt suum, hæc & illis visa sunt. Meminerunt etiam paruæ insulæ, quam Byblon appellant, vbi maxima conchylia, muricésque & ostrea eximiæ magnitudinis nasci perhibentur. Ostrea quoque petris adnascuntur decuplo maiora iis quę apud Græcos inueniuntur. Ibi etiam in alba testa lapis margarita capitur, quæ in Ostreis locum cordis dicuntur obtinere. Attigisse quoque ferunt * Eupegadem Oritarum regionem: apud quos æneæ sunt petræ, æneáque arena, æris etiam frusta deferre fluuios asserũt, & auream terram ducunt, propter pretium æris. Dicunt & se Ichthyophagis locutos esse, qui vrbem incolunt nomine Stobera, vbi ex magnorum piscium membranis vestes intexunt; ibique pecudes etiam sapore esse piscibus similes, quod pisces comedant, quæque minimè naturæ suæ conueniant. Indi vero Carmani cognominati, genus plane mansuetum, adeo piscosum mare accolunt, vt nunquam seruandi causa pisces reponant, neque ipsos sale condiant: sunt enim ipsis captu semper faciles quotquot volunt. Valara quoque ferunt applicuisse. Sunt autem Valara Emporium myrtis palmisque abundans: Laurus quoque nonnullas, & hortos plurimos ibi videri tradunt omnibus abundantes. Opposita est autem regioni illi sacra insula, quam Selira vocant. Qua parte insula pelagus respicit, immensa est maris altitudo. Fert autem Ostrea testa alba pinguedine refecta, lapidem nullum producunt. Inde maris tranquillitatem obseruantes, mare oleo infuso leniunt, & tunc Indi ad Ostrea capienda vrinando se demergunt, ita instructi paratique sunt, sicut ij qui spongias carpunt. Est autem iis ferreus later, & alabastrum vnguenti, atque ita prope Ostrea considentes Indi vnguento, quasi esca ad fallendum vtuntur, tunc aperiuntur Ostrea & vnguento inebriantur: dein ferreo stylo perforata saniem quãdam emittunt, hanc venator ferreo latere excipit, qui in varias multiplicésque formas concauatus est: ea vero post modum sanies lapidescit in modum naturalis margaritæ, quæ albus est sanguis ex rubro mari. Reliqua maris huius pars fera est, impacata tota. Cete etiam illic aggregari feruntur. Quapropter naues tutelæ causa tintinabula quædã tam à prora, quam à puppi deferunt, quorum sonitu terrefactæ beluę nauibus non appropinquãt. Post hæc ingressi ostia Euphratis, aiunt inde Babylonem adnauigasse. Quarto libro nihil aliud quam fabulas mendaciaque ad Apollonio gratificandum, eumq; laudandum confinxit [Philostratus.] Europæ, Africæque promontoria stadiorum sexaginta sinum continentia, Oceanum ad externa maria immittunt, & Africæ quidem promontorium nomine Abyla, leones continet, in superciliis montium habitantes. Eius montis interior pars ad Getulos Tingásque pertinet, gentes efferas, atque Libycas. Per Oceanum vero nauigantibus stadia nongenta protenditur vsque ad Salecis fluminis ostia. illinc autem quantum vlterius protendatur, non facile coniectare quis posset. Nam post eum fluuium deserta Africa est,

Margin: * al. Padegem. — Ichthyophagi. — Ostrea. — Ceta. — Lib. IV. Lib. V. — Africa — Abyla.

καὶ ὅτι μήτε ἡ ἄρκτος ἐν αὐτῇ φαίνοιτο, μήτε σημαίνοιντο τὴν μεσημβρίαν οἱ πλέοντες· εἴ τι ἐπιδηλοῖ τῶν ἀστέρων ἐξαλλάττειν τῆς ἑαυτῶν τάξεως: ταῦτα δοκεῖ καὶ τούτοις. Ὅτι νῆσόν φασιν εἶναι μικρὰν, ὄνομα βίβλον· ἐν ᾗ τό τε κογχυλίου μέγεθος, καὶ οἱ μύες, ὄστρεά τε, καὶ τὰ τοιαῦτα, δεκαπλάσια τῶν ἑλληνικῶν τὸ μέγεθος, ταῖς πέτραις προσπέφυκεν. ἁλίσκεται δὲ [ἐκεῖ] καὶ λίθος μαργαρὶς ἐν ὀστράκῳ λευκῷ, καρδίας τρόπον ἔχουσα τοῦ ὀστρέου. κατασχεῖν δέ φασι καὶ εἰς πηγάδας τῶν ὠρειτῶν χώρας. οἱ δὲ ὠρεῖται, χαλκαῖ μὲν αὐτοῖς αἱ πέτραι, χαλκῆ δὲ ἡ ψάμμος, χαλκοῦ δὲ ψῆγμα οἱ ποταμοὶ ἄγουσι· χρυσίτην δὲ ἡγοῦνται τὴν γῆν, διὰ τὴν εὐγένειαν τοῦ χαλκοῦ. φασὶ δὲ καὶ τοῖς ἰχθυοφάγοις ἐντυχεῖν, οἷς πόλιν εἶναι Στόβηρα· διφθέρας δὲ τούτοις ἐνῆφθαι μεγίστων ἰχθύων. καὶ τὰ πρόβατα ἐκεῖ ἰχθυώδη εἶναι· ἐξ αὐτῶν γὰρ τρέφεται· καὶ φαγεῖν ἄτοπα. Καρμανοὶ δὲ ἰνδοὶ γένος ἥμερον οὕτω ἰχθυώδη ἐπινέμονται θάλατταν, ὡς μηδὲ ἀποθέτους ποιεῖσθαι τοὺς ἰχθῦς, [μηδὲ ταριχεύειν· εἶναι γὰρ αὐτοῖς * ἐπιχύσεις τοὺς ἰχθῦς] διὰ παντὸς, ὅσους βούλονται. Ὅτι προσπλεῦσαί φασιν αὐτοὺς καὶ βαλάροις· ἐμπόριον δὲ τοῦτο εἶναι μεστὸν μυρρινῶν, καὶ φοινίκων, καὶ δαφνῶν, καὶ κήπων παντοδαπὰ φερόντων. προκεῖσθαι δὲ τοῦ χωρίου τούτου νῆσον ἱερὰν, καὶ καλεῖσθαι * Σελήρα. ταύτης τῆς νήσου τὸ τετραμμένον πρὸς τὸ πέλαγος, ὅτι μὲν ἄπειρος πυθμὴν θαλάσσης, φέρει δὲ ὄστρεον ἐν ἐλύτρῳ λευκῷ μεστὸν πιμελῆς· οὐδὲ γὰρ λίθον φύει οὐδένα, γαλήνην δὲ ἐπιφυλάξαντες, καὶ τὴν θάλατταν αὐτὴν τῇ ἐπιρροῇ τοῦ ἐλαίου λεάναντες, καταδύεταί τις ἐπὶ τὴν θήραν τοῦ ὀστρέου, τὰ μὲν ἄλλα κατεσκευασμένος, ὥσπερ οἱ τὰς σπογγιὰς κείροντες. ἔστι δὲ αὐτῷ καὶ πλινθὶς σιδηρᾶ, καὶ ἀλάβαστρος μύρου. παριζήσας οὖν ὁ ἰνδὸς τοῖς ὀστρέοις δέλεαρ αὐτοῖς τὸ μύρον ποιεῖται· τὸ δὲ ἀνοίγνυταί τε, καὶ μεθύει ὑπ᾽ αὐτοῦ· κέντρῳ * δὲ δελεασθὲν ἀποπτύει τὸν ἰχῶρα. ὁ δὲ ἐκδέχεται αὐτὸν τῇ πλινθίδι * τύποις ὀρωρυγμένῃ. λιθοῦται δὲ τὸ ἐντεῦθεν, καὶ ῥυθμίζεται καθάπερ ἡ φύσει μαργαρίς. καὶ ἔστιν ἡ μαργαρὶς αἷμα λευκὸν ἐξ ἐρυθρᾶς τῆς θαλάσσης. τὸ δὲ ἐντεῦθεν, θηριώδη μὲν τὴν θάλασσαν εἶναι πᾶσαν, ἀγελάζεσθαι δὲ ἐν αὐτῇ τὰ κήτη. τὰς δὲ ναῦς ἔρυμα τούτου κωδωνοφορεῖν κατά πρύμναν τε καὶ πρῷραν· τὴν δὲ ἠχὼ ἐκπλήττειν τὰ θηρία. καταπλεύσαντες δὲ εἰς τὰς ἐκβολὰς τοῦ Εὐφράτου, φασὶν εἰς βαβυλῶνα δι᾽ αὐτοῦ ἀναπλεῦσαι.

Ὅτι ὁ δὲ λόγος οὐδὲν ἄλλο, ἢ μῦθοι καὶ πλάσματα εἰς τὸ Ἀπολλωνίῳ κεχαρισμένον, καὶ σὺν ἐπαίνῳ θαυμαζόμενον τῷ Φιλοστράτῳ συγγέγραπται. Ὅτι Εὐρώπης καὶ Λιβύης ἄκραι σταδίων ξ΄ πορθμὸν ἔχουσαι, τὸν ὠκεανὸν εἰς τὰ ἔξω πελάγη φέρουσι· καὶ τὴν τῆς Λιβύης ἄκραν (ὄνομα δὲ αὐτῇ ἄβιννα) λέοντες ἐπινέμονται περὶ τὰς ὀφρῦς τῶν ὀρῶν, ἃ εἴσω ἐμφαίνεται * συνάπτουσαν πρὸς γαιτούλοις τε καὶ τίγγας, ἄμφω θηριώδη καὶ λιβυκὰ ἔθνη. παρατείνει δὲ ἐσπλέοντι τὸν ὠκεανὸν μέχρι μὲν τῶν ἐκβολῶν τοῦ σάληκος ἐνενηκόσια στάδια: τὸ δὲ ἐντεῦθεν οὐκ ἂν συμβάλοι τις ὁπόσα. μετὰ γὰρ τὸν ποταμὸν τοῦτον ἄβιος ἡ λιβύη καὶ οὐκ

Margin: * ἐπὶ μαργαρι. — * ἴσ. ἐπιχεῖν. — * Σέιρα. — * al. τὲ. — * al. τόποις. — * συνήθεισαν γειτνιῶσι.

PHILOSTR.

καὶ οὐκ ἔτι ἄνθρωποι. τὸ δὲ τῆς Εὐρώπης ἀκρωτήριον, ὃ καλεῖται Κάλπης, δεξιὰ μὲν ἐπέχει τοῦ * ἔσπλου σταδίων ἑξακοσίων μῆκος, λήγει δὲ ἐς τὰ ἀρχαῖα Γάδειρα. τὰς δὲ τοῦ ὠκεανοῦ τροπὰς, καὶ αὐτὸς μὲν περὶ κελτοὺς φησὶν εἶδον ὁποῖαι λέγονται· τὴν δὲ αἰτίαν ἐπὶ πολλὰ εἰκάζων δι᾽ ἣν ἄπειρον οὕτω πέλαγος ἐπιχωρεῖ τε καὶ ἀναστρέφεται, δοκῶ μοι τὸν Ἀπολλώνιον ἐνεσκέφθαι τὸ ὄν. ἐν μιᾷ γὰρ τῶν πρὸς ἰνδοὺς ἐπιστολῶν τὸν ὠκεανόν φησιν ὑφύδροις ἐλαυνόμενον πνεύμασιν ἐκ πολλῶν χασμάτων, ἃ ὑπ᾽ αὐτῷ τε καὶ περὶ αὐτὸν ἡ γῆ παρέχεται χωρεῖν ἐς τὸ ἔξω, καὶ ἀναχωρεῖν πάλιν, ἐπειδὰν ὥσπερ ἆσθμα ὑποστῇ τὸ πνεῦμα. πιστοῦται δὲ αὐτὸ κἀκ τῶν νοσούντων * ἐπὶ γάδειρα. τὸν γὰρ χρόνον, ὃν πλημμυρεῖ τὸ ὕδωρ, οὐκ ἀπολείπουσιν αἱ ψυχαὶ τοὺς ἀποθνήσκοντας· ὅπερ οὐκ ἂν συμβαίνειν, εἰ μὴ πνεῦμα τῇ γῇ ἐπεχώρει. ἃ δὲ περὶ τὴν σελήνην φασὶ φαίνεσθαι τικτομένην τε καὶ πληρουμένην καὶ φθίνουσαν, ταῦτα περὶ τὸν ὠκεανὸν οἶδα. τὰ γὰρ ἐκείνης ἀνεισι μέτρα, ξυμμινύθων αὐτῇ καὶ ξυμπληρούμενος. ἡμέρα δ᾽ ἐκδέχεται νύκτα, καὶ νὺξ τὴν ἡμέραν· περὶ κελτοὺς μὲν κατ᾽ ὀλίγον ὑπαπιόντος τοῦ σκότους ἢ τοῦ φωτὸς, ὥσπερ ἐνταῦθα. περὶ γάδειρα δὲ καὶ στήλας ἀθρόας λέγονται τοῖς ὀφθαλμοῖς ἐμπίπτειν, ὥσπερ αἱ ἀστραπαί. φασὶ καὶ τὰς μακάρων νήσους ὁρίζεσθαι τῷ λιβυκῷ τέρματι, πρὸς τὸ ἀοίκητον ἀνεχούσας ἀκρωτήριον. τὰ δὲ γάδειρα κεῖται μὲν κατὰ τὸ τῆς Εὐρώπης τέρμα.

Περιττοὶ δέ εἰσι τὰ θεῖα. γῆρας * καὶ βωμὸν ἵδρυνται, καὶ τὸν θάνατον μόνοι ἀνθρώπων παιωνίζονται. βωμοὶ δὲ ἐκεῖ καὶ πενίας καὶ τέχνης, καὶ Ἡρακλέους δὲ αἰγυπτίου καὶ ἑτέρου θηβαίου. καὶ τὸν μὲν γὰρ ἐπὶ τὴν ἐγγὺς ἐρύθειαν ἐλάσαι φασίν. ὅτι δὴ τὸν μὲν Γηρυόνην τε καὶ τὰς βοῦς ἑλεῖν· τὸν δὲ σοφίᾳ δόντα, γῆν τε ἀναμετρήσασθαι πᾶσαν ἐς τέρμα. καὶ μὴν καὶ ἑλληνικοὺς εἶναί φασι τὰ γάδειρα, καὶ παιδεύεσθαι τὸν ἡμεδαπὸν τρόπον. καὶ δένδρα δέ φασιν ἐνταῦθα, οἷα οὐχ ἑτέρωθι τῆς γῆς. γηρυόνεια μὲν γὰρ καλεῖσθαι αὐτά· δύο δὲ εἶναι· φῦναι δὲ τοῦ σήματος, ὃ ἐπὶ τῷ Γηρυόνῃ ἕστηκε. παραλλάττοντα δὲ ἐκ πίτυός τε καὶ πεύκης, ἐς εἶδος ἕτερον. λείβεσθαι δὲ αἵματι καθάπερ τῷ χρυσῷ τὴν ἡλιάδα αἴγειρον. ἡ δὲ νῆσος ἐν ᾗ τὸ ἱερὸν, ἔστι μὲν ὁπόση ὁ νεώς, πετρώδης δὲ αὐτῆς οὐδὲν, ἀλλὰ βαλβῖδι ξεστῇ εἴκασται. ἐν δὲ τῷ ἱερῷ τιμᾶσθαι μὲν ἄμφω τὼ Ἡρακλέε φασίν: ἀγάλματα δὲ αὐτοῖν οὐκ εἶναι. βωμοὺς δὲ τοῦ μὲν αἰγυπτίου δύο, χαλκοῦς καὶ ἀσήμους· ἕνα δὲ τοῦ θηβαίου. τὰς δὲ ὕδρας τε καὶ τὰς Διομήδους ἵππους, καὶ τὰ δώδεκα Ἡρακλέους ἔργα ἐκτετυπῶσθαι φασὶ λίθου ὄντα. ἡ Πυγμαλίωνος δὲ ἐλαία ἡ χρυσῆ (ἀνάκειται δὲ κἀκείνη ἐς τὸ Ἡράκλειον) ἀξία μὲν, ὥς φασι, καὶ τοῦ θαλλοῦ θαυμάζειν, ᾧ εἴκασται· θαυμάζεσθαι δ᾽ ἂν ἐπὶ τῷ καρπῷ μᾶλλον· βρύει γὰρ αὐτὸν σμαράγδου λίθου. καὶ Τεύκρου τοῦ Τελαμωνίου ζωστῆρα χρυσοῦν φασὶ δείκνυσθαι. πῶς δὲ ἐς τὸν ὠκεανὸν πλεύσαντος, ἢ ἐφ᾽ ὅ, τι, οὐ φασιν εἰδέναι. τὰς δὲ ἐν τῷ ἱερῷ στήλας χρυσοῦ μὲν πεποιῆσθαι καὶ ἀργύρου, συντετηκότοιν ἐς ἓν χρῶμα·

* al. [illegible]
* al. ἐπὶ
* al. οἱ βωμοί

nec homines vltra reperiuntur vlli. Europæ promontorium Calpis dictum, dextera nauigationem continet stadiorum sexcentorum, terminatúrque ad antiquas Gades. Oceani conuersiones ipse quoque apud Celtas tales aspexi, quales etiam fama feruntur. Causam vero sæpenumero coniectans, ob quam tam vastum pelagus accedat recedátque inuenisse Apollonium censeo, qui in earum vna, quas ad Indos scripsit, epistola ait, Oceanum à ventis sub aqua existentibus impulsum, ex multis hiatibus quos ventos partim sub ipso, partim in terra circa ipsum ad exteriora diffundi, ac rursus retrocedere, postquam tanquam anhelitus, ventus resedit. Huic opinioni fidem facit, quod apud Gades ægrotantibus accidit. Nam quo tēpore crescens aqua regionem inundat, animæ moribundos non deserunt, quod profectò nō eueniret, nisi spiritus ipse in terram secederet. Quæ autem circa lunam apparere dicunt, nascentem, plenam & decrescentem, eadem omnia circa Oceanum fieri animaduerti. Eius enim mensuras sequitur simul cum ipsa decrescens augescénsque; & nox dein, rursúsq; dies noctem excipit, apud Celtas quidem paulatim discedentibus aut lumine, aut tenebris sicut apud nos etiam accidit: Circa Gades autem & columnæ confertim tanquam fulgura ante oculos cadere dicuntur. Perhibent quoq; beatorum insulas Africæ finibus definiri, ad inhabitabilem promontorij partem vergentes. Gades autem in Europæ lateribus positæ sunt. Superstitiosi sunt illic circa sacrificia. Senectę nāque aram dicarunt: solique hominum festis cātibus Mortem collaudant. Sunt apud ipsos Arti & Paupertati aræ positæ, sicut Ægyptio, & alteri Thebano Herculi. Alterum namque finitimam vsque ad Erythiam penetrasse ferunt cum Geryone, eiusque boues sustulisse. Alterum vero sapientia excellentem, totum terræ ambitum dimensum esse. Præterea qui Gades incolunt Græci esse perhibentur, nostróque more eruditi. Arbores illic etiam esse tradunt, quæ nusquam alibi terrarum inueniuntur, appellatas autem Geryonias, & duas tantum esse. Ortæ sunt autem iuxta sepulcrum, quod illi Geryoni statuerunt, speciem ex pinu piceáque commistam habentes. Sanguinem vero stillare, sicut Heliadem populum auro manare, dicunt. Insula vero in qua templum situm æqualis est magnitudine ipsi templo; nulla autem eius pars est petrosa, sed politis cæteris similis. Colunt in eodem templo ambos Hercules. Simulacra illis nulla sunt: sed Ægyptio quidem aræ sunt duæ æneæ, absque simulacro, Thebano autem vna tantum: Hydræ insuper & Diomedis equi & duodecim Herculis labores in lapidem incisa conspiciuntur. Pygmalionis insuper aurea oliua in ipso Herculis templo dedicata: Digna quidem, vt volunt admiratione ob ramum cui similis est, admirabilior vero fructu, quo abundat è smaragdo ficto. Et Teucri etiam Telamonij balteus aureus eodem in loco, monstratur. Quomodo autem, aut qua de causa ad Oceanum peruenerit, se nescire dicunt. Quæ autem in templo sunt columnæ, ex auro argentóque simul sucto, & in vnum colorem redacto factas esse narrat.

Calpe.
Maris æstus.
Insulæ Beatorum.
Hercules duo Ægyptius & Thebanus.
Gades.
Templum Herculis.

PHILOSTR. Esse autem quadrangulares velut incudes, & eorum capita litteris inscripta sunt non Ægyptiis, neque Indicis, neque ab aliquo penitus cognitis. Apollonius autem, cùm de hac re sacerdotes nihil dicerent, non permittit me, ait, Ægyptius Hercules tacere quæ sciam. Hæ columnæ terrarum Oceanique vinculum sunt: ipse verò Hercules in domo Parcarum inscripsit: ne qua elementis contentio accideret, neque amicitiam disiungant, qua inuicem tenentur. Nauigarunt quoque fluuium Bætim, qui maximè naturam fluxus & refluxus Oceani declarat. Excrescente enim pelago fontes repetit, spiritu quodam ipsum à mari depellente. Regionem verò ab eo flumine Bæticam cognominatam optimam vberrimamque esse tradunt, ciuitatibusque & pascuis bene instructam. Deriuatur autem per omnes vrbes; agri verò egregiè culti affatim omnia ferunt: cœli temperies talis est, qualis autumni tempore in Attica mysteriorum diebus esse solet. Omnia quæ de Ætna poëtæ dicunt, ait Apollonium, vt fabulas repudiasse, sic loquendo. Fabula enim quam reprehendimus, non est Æsopi apologis similis, sed iis qui fingere norunt, & poëtarum, qui Typhœum quemdam vel Enceladum sub monte ligatum dicunt, mortique obluctantem, hunc ignem anhelando euomere. Ego autem gigantes fuisse dico, multisque locis direptis tumulis eiusmodi corpora ostendi; quos vt fertur, cum Diis pugnasse non credo, sed forsan Deorum ædes ac templa violasse. quod autem cœlum aggressi fuerint, nec illic Deos consistere permiserint, dicere, insania quædam est, insanius etiam credere. Neque verò oratio hæc, quamuis sit vulgatior, à nobis probatur. Vulcanum in Ætna fabrilem artem exercere, ibique incudem resonare: multi namque alij montes diuersis terrarum locis igniti sunt; nec tamen gigantes ibi aut Vulcanum esse quisquam dicit. vt igitur montes ardeant, causa quænam huiusmodi esse dicitur? Terra bituminis sulfurisque commista, natura sua turgescit, & nondum ignem reddit. Quòd si cauernosam terram esse contigerit, vt sub ipsam spiritus aliquis ingrediatur, tunc flammam attollit, quæ magis magisque aucta, velut aqua è montibus defluens in campos effunditur: quandoque etiam ad mare delata, quasi fluminis cuiusdam impetum facit.

Bætis fl. — *Bætica.* — *Ætna mons.* — *Gigantes.*

ὁ lib. 6. Æthiopia totius terræ, quæ sub sole est, occidentale cornu occupat, sicut Indi id quod spectat ad Orientem; estque illa secus Meroëm Ægypto coniuncta, & ad desertam Libyæ partem porrecta, mari terminatur, quod Oceanum poëtæ vocant, vno eodémque nomine totum quod terram ambit, mare nuncupantes. Fluuium autem Nilum Ægypto tribuunt. Qui ex Catadupis initium sumens Ægyptum, quam vniuersam inundat, in Æthiopiam ducit. Magnitudine quidem Indiæ non conferenda est Æthiopia, neq; vlla alia continentis pars, quæ hominibus nota sit. Quòd si totam Ægyptum Æthiopiæ adiiciamus (id enim facere fluuium arbitramur) non tamen ambæ coniunctæ magnitudinem Indiæ adæquabunt. In vtraque verò fluuij sunt inter se similes Indus & Nilus.

Nilus flu. Ægypti. — *Indus & Ægyptus.*

εἶναι δὲ αὐτὰς ὑπὲρ πῆχυν τετραγώνου σχήματος, ὥσπερ αἱ ἄκμονες. ἐπιγεγράφθαι δὲ τὰς κεφαλὰς οὔτε αἰγυπτίοις οὔτε ἰνδικοῖς γράμμασιν, οὔτε οἷς ξυμβαλεῖν. ὁ δὲ Ἀπολλώνιος ὡς οὐδὲν οἱ ἱερεῖς ἔφραζον, οὐ συγχωρεῖ μοι ἔφη ὁ Ἡρακλῆς ὁ αἰγύπτιος, μὴ οὐ λέγειν ὁπόσα οἶδα. γῆς καὶ ὠκεανοῦ ξυνδέσμα αἵδε αἱ στῆλαι εἰσίν. ἐγράψατο δὲ αὐτὰς ἐκεῖνος ἐν μοιρῶν οἴκῳ, ὡς μήτε νεῖκος τοῖς στοιχείοις ἐγγένοιτο, μήτε ἀτιμάσειαν τὴν φιλότητα, ἣν ἀλλήλων ἴσχουσιν. Ὅτι τὸν * Βαῖτιν τὸν ποταμὸν ἀναπλεῦσαί φασιν, ὃς δηλοῖ μάλιστα τὴν τοῦ ὠκεανοῦ φύσιν. * ἐπειδὰν γὰρ πλημμυρῇ τὸ πέλαγος, ἐπὶ τὰς πηγὰς ὁ ποταμὸς παλίρρους ἵεται, πνεύματός δή που ἀπωθοῦντος αὐτὸν τῆς θαλάττης. τὴν δὲ ἤπειρον τὴν Βαιτικήν, ἧς ὁ ποταμὸς οὗτος * ὁμώνυμος, ἀρίστην ἤπειρον φασί· πόλεών τε γὰρ εὖ ἔχειν καὶ νομῶν· καὶ διῆχθαι τὸν ποταμὸν ἐς τὰ ἄστη πάντα, γεωργίας τε ξυμπάσης μεστὴν εἶναι, καὶ ὡρῶν τῆς ἀττικῆς αἱ μετόπωροι καὶ μυστηριώδεις. Ὅτι τοὺς περὶ τῆς Αἴτνης λόγους τῶν ποιητῶν ὡς μύθους παραιτεῖσθαί φησι τὸν Ἀπολλώνιον, ὧδε λέγοντα. ὁ γὰρ μῦθος, ὃν παραιτούμεθα, οὐ τῶν Αἰσώπου λόγων ἐστὶν, ἀλλὰ τῶν δραματικωτέρων, οὓς οἱ ποιηταὶ θρυλλοῦσιν. ἐκεῖνοι μὲν γὰρ Τυφῶ τινα ἢ Ἐγκέλαδον δεδέσθαι φασὶν ὑπὸ τῷ ὄρει, καὶ δυσθανατοῦντα ἀσθμαίνειν τὸ πῦρ τοῦτο. ἐγὼ δὲ γίγαντας μὲν γενέσθαι φημί· καὶ πολλαχοῦ τῆς γῆς ἀναδείκνυσθαι τοιαῦτα σώματα· ῥαγέντων τάφων· οὐ μὴν εἰς ἀγῶνα ἐλθεῖν τοῖς θεοῖς· ἀλλ᾽ ὑβρίσαι μὲν τάχα ἐς τοὺς νεὼς αὐτῶν, καὶ τὰ ἕδη· οὐρανῷ δὲ ἐπιπηδῆσαι, καὶ μὴ συγχωρεῖν τοὺς θεοὺς ἐπ᾽ αὐτοῦ εἶναι· μανία μὲν λέγειν, μανία δὲ οἴεσθαι. καὶ μηδὲ ἐκεῖνος ὁ λόγος, καί τοι δοκῶν εὐφημότερος εἶναι, τιμάσθω· ὡς Ἡφαίστῳ μέλει τοῦ χαλκεύειν ἐν τῇ Αἴτνῃ, καὶ κτυπεῖταί τις ἐνταῦθα ὑπ᾽ αὐτοῦ ἄκμων. πολλὰ γὰρ καὶ ἄλλα ὄρη πολλαχοῦ τῆς γῆς ἔμπυρα, καὶ οὐκ ἂν φθάνοιμεν ἐπιφημίζοντες αὐτοῖς γίγαντας καὶ Ἡφαίστους. τίς οὖν ἡ τῶν * τοιούτων ὀρῶν αἰτία; γῆ, κρᾶσιν ἀσφάλτου καὶ θείου παρεχομένη, τύφεται μὲν καὶ παρ᾽ ἑαυτῆς φύσει, πῦρ δὲ οὔπω ἐκδίδωσιν· εἰ δὲ καὶ σηραγγώδης τύχοι, καὶ ὑποδράμοι αὐτὴν πνεῦμα, φρυκτὸν ἤδη αἴρει· πλεονεκτήσασα δὲ ἡ φλὸξ, ὥσπερ τὸ ὕδωρ, ἀπορρεῖ τῶν ὀρῶν, καὶ ἐς τὰ πεδία συγχεῖται· χωρεῖ τε ἐπὶ θάλασσαν πῦρ ἀθρόον, ἐκβολὰς ποιούμενον, οἷαι τῶν ποταμῶν εἰσιν.

al. Βαῖτιν. — *al. ἐπειδὰν.* — *al. ὁμώνυμος.* — *τοιούτων.*

Αἰθιοπία τῆς μὲν ὑπὸ ἡλίῳ πάσης ἐπέχει τὸ ἑσπέριον κέρας, ὥσπερ * ἰνδοὶ τὸ πρὸς ἕω· κατὰ Μερόην δὲ αἰγύπτῳ ξυνάπτουσα· καί τι καὶ τῆς ἀμαρτύρου λιβύης ἐπελθοῦσα, τελευτᾷ εἰς θάλασσαν, ἣν ὠκεανὸν οἱ ποιηταὶ καλοῦσι, τὸ περὶ γῆν ἅπαν ὧδε ἐπονομάζοντες. ποταμὸν δὲ Νεῖλον αἰγύπτῳ δίδωσιν, ὃς ἐκ καταδούπων ἀρχόμενος, ἣν ἐπικλύζει πᾶσαν Αἴγυπτον, * ἀπ᾽ αἰθιόπων ἄγει. μέγεθος μὲν οὖν οὐκ ἀξία παραβεβλῆσθαι πρὸς ἰνδοὺς ἥδε ἡ χώρα, ὅτι μηδὲ ἄλλη μηδεμία, ὁπόση κατὰ ἀνθρώπους ὀνομαστὴ ἤπειρος. εἰ δὲ καὶ πᾶσαν Αἴγυπτον Αἰθιοπίᾳ ξυμβαλοίμεθα, τουτὶ δὲ ἡγώμεθα καὶ τὸν ποταμὸν πράττειν, οὔπω ξύμμετρον πρὸς τὸ ἰνδῶν ἄμφω τοσαύτῃ ξυντεθεῖσαι. ποταμοὶ δὲ ἀμφοῖν ὅμοιοι λογιζομένῳ τὰ Ἰνδοῦ τε καὶ Νείλου·

ἰνδοί. — *al. ἐν.*

πηγαί.

περαίνουσί τε γὰρ τὰς ἠπείρους ἐν ὥρᾳ ἔτους, ὁπότε ἡ γῆ ἐρᾷ τούτου· ποταμοὺς δὲ παρέχονται μόνοι τὸν κροκόδειλον, καὶ τὸν ἵππον· τὴν δὲ ὁμοιότητα τῶν ἠπείρων πιστοῦται μὲν καὶ τὰ ἐν αὐταῖς ἀρώματα, * πιστούσθωσαν δὲ καὶ οἱ λέοντες, καὶ ὁ ἐλέφας, ἐν ἑκατέρᾳ ἁλισκόμενός τε καὶ δουλεύων. βόσκουσι δὲ καὶ θηρία, οἷα οὐχ ἑτέρωθι, καὶ ἀνθρώπους μέλανας, ὃ μὴ ἄλλαι ἤπειροι. πυγμαίων τε ἐν αὐταῖς ἔθνη· γρῦπες δὲ Ἰνδῶν, καὶ μύρμηκες αἰθιόπων, εἰ καὶ ἀνόμοιοι τὴν ἰδέαν εἰσίν, ἀλλ' ὅμοιά γε, ὥς φασι, βούλονται. χρυσοῦ γὰρ φύλακες ἐν ἑκατέρᾳ ᾄδονται, τὸ * χρυσόγεων τῶν ἠπείρων ἀσπαζόμενοι· αἰθιόπων δὲ καὶ αἰγυπτίων ὅρια, τὸ καλούμενον Συκάμινον· οὗ παραγεγονότα τὸν Ἀπολλώνιον, χρυσῷ τε ἀσήμῳ φησὶν ἐντυχεῖν, καὶ λίνῳ, καὶ ἐλέφαντι, καὶ ῥίζαις, καὶ μύρῳ, καὶ ἀρώμασι. κεῖσθαι δὲ πάντα ἀφύλακτα ἐν ὁδῷ σχιστῇ· ἡ δὲ αἰτία αὕτη· ἀγορὰν αἰθίοπες ἀπάγουσιν, ὧν αἰθιοπία δίδωσιν. οἱ δὲ ἀνελόμενοι πᾶσαν, ξυμφέρουσιν εἰς τὸν * αὐτὸν χῶρον ἀγορὰν αἰγυπτίαν ἴσου ἀξίαν, ὠνούμενοι τῶν αὐτοῖς ὄντων τὰ οὐκ ὄντα. οἱ δὲ τὰ ὅρια τῶν ἠπείρων οἰκοῦντες οὔπω μέλανες, ἀλλ' ὁμόφυλοι τὸ χρῶμα. μελαίνονται γὰρ οἱ μὲν ἧττον αἰθιόπων, οἱ δὲ μᾶλλον αἰγυπτίων. ἐντεῦθεν φησὶ τὸν Ἀπολλώνιον χωρεῖν ἐπὶ Μέμνονος· ἡγεῖσθαι δὲ αὐτοῖς μειράκιον αἰγύπτιον Τιμάσιον ὄνομα. κακῶς δέ φησι πεπραχέναι Ἀπολλώνιον, ἀφικόμενον ἐς τοὺς τῶν αἰθιόπων γυμνούς, καὶ οὐχ ὅμοια ὧν ἐξενίσθη * παρὰ τοῖς τῶν ἰνδῶν βραχμᾶσι. τὸ δὲ αἴτιον, φησίν, ὅτι Εὐφράτης τις φιλοσοφεῖν ἐπιτηδεύων, καὶ εἰς διαφορὰν ἐλθὼν Ἀπολλωνίῳ, τὰς ἀκοὰς τῶν γυμνῶν ταῖς κατὰ Ἀπολλωνίου προκαταλαβὼν διαβολαῖς, κακῶς αὐτοὺς πρὸς αὐτὸν διακεῖσθαι παρεσκεύασε. πολλῷ δὲ κρείττους ἐπὶ σοφίᾳ τε καὶ τοῖς ἄλλοις τοὺς παρὰ ἰνδοῖς βραχμᾶνας * τῶν παρὰ αἰθίοψι γυμνῶν ἀποφαίνεται. οἰκεῖν δὲ τοὺς γυμνοὺς ὑπαιθρίους φασί, καὶ ὑπὸ τῷ οὐρανῷ αὐτῷ, ἐπί τινος δὲ γηλόφου ξυμμέτρου, μικρὸν ἀπὸ τῆς ὄχθης τοῦ Νείλου. ἐποιήσατο δὲ τὴν πρὸς αὐτοὺς ὁδὸν ὁ Ἀπολλώνιος, ἀπὸ θαλάσσης καὶ διὰ τοῦ Νείλου. συνδιατρίψας δὲ ἐπ' ὀλίγον χρόνον τοῖς γυμνοῖς, καὶ προσειπών, ἅμα τοῖς σὺν αὐτῷ, ἐπορεύοντο τὴν ἐς τὰ ὄρη τείνουσαν ἀριστερὰ τοῦ Νείλου. τὰ δὲ ὁρῶντες λόγου ἄξια, οἱ κατάδουποι, γεώδη ὄρη, παραπλήσια τῷ Λυδῶν Τμώλῳ. καταῤῥοῦς δὲ ἀπ' αὐτῶν φέρεται Νεῖλος, ἣν ἐπισπᾶται γῆν ποιῶν αἴγυπτον. ἡ δὲ ἠχὼ τοῦ ῥεύματος, καταῤῥηγνυμένου τῶν ὀρῶν, καὶ ψόφῳ ἅμα ἐς τὸν Νεῖλον * ἐκπίπτοντος, χαλεπὴ δοκεῖ, καὶ οὐκ ἀνεκτὴ ἀκοῦσαι· καὶ πολλοὶ τῶν προσωτέρω τοῦ μετρίου προσελθόντες ἀνέζευξαν, ἀποβαλόντες τὸ ἀκούειν. προϊόντι δὲ τῷ Ἀπολλωνίῳ καὶ τοῖς ἀμφ' αὐτόν, μαστοὶ ὀρῶν ἐφαίνοντο παρεχόμενοι δένδρα, ὧν αἰθίοπες τὰ φύλλα, καὶ τὸ φλοιόν, καὶ τὸ δάκρυον, καρπὸν ἡγοῦνται. ἑώρων δὲ καὶ λέοντας ἀγχοῦ τῆς ὁδοῦ, καὶ παρδάλεις, καὶ τοιαῦτα θηρία ἕτερα. ἐπῄει δὲ οὐδὲν αὐτοῖς, ἀλλ' ἀπεπήδα σφῶν, ὥσπερ ἐκπεπληγμένα τοὺς ἀνθρώπους. ἔλαφοι δὲ καὶ δορκάδες καὶ στρουθοὶ καὶ ὄνοι, πολλὰ μὲν καὶ ταῦτα ἑωρᾶτο· πλεῖστα δὲ οἱ βόαγροί τε καὶ οἱ βούτραγοι

* al. πιστεύουσι.
* χρυσώρυχον.
* al. αὐτῶν.
* al. καὶ.
* al. ἐκπίπτον.

Ambo continentem [a] oblimant æstatis tempore, cùm maximè id terra expetit, solique fluuiorũ Crocodilos educant & Hippopotamos. Terrarum verò similitudinem testantur aromata vtrobique nascentia, Leones præterea & Elephanti, qui in vtraque capti seruire coguntur. Præbet insuper vtraque feras, quæ alibi nusquam reperiuntur, & homines nigros aliæ nullæ continentis partes ferunt, & in iis Pygmæorum natio. Indorum verò Gryphes & Æthiopum formicæ, quamquam sint forma dissimiles, eadem tamen agere student. Nam aurum vtrobique custodire perhibentur, & terram auriferam amare. Cùm eò venisset Apollonius vbi Ægyptus Æthiopiáque terminatur (Sycaminum autem illa vocant) aurum non signatum inuenit. Linum præterea atque ebur, & radices varias: vnguentum insuper, & diuersorum generum aromata. Omnia autem in via secta sine custode passim iacebant. Hæc verò causa est: [b] Merces inuehunt Æthiopes, quæ in Æthiopia proueniunt; Ægyptij verò eas omnes cùm sustulerint, eodem comportant mercem Ægyptiam, æqualis pretij: rebus suis ea redimentes, quibus careant. Qui verò continenti viciniores habitant, nondum planè nigri, colore verò inuicem conueniunt, ab aliis diuersi. Nigrescunt enim minus quàm Æthiopes, paulò autem magis quàm Ægyptij. Deinde refert Apollonium in Memnonis regiam peruenisse. Ducebat eos adolescens Ægyptius nomine Timasij. Malè acceptum dicit Apollonium euntem ad Gymnosophistas Æthiopum, & non simili honore quo ab Indorum Brachmanis affectus fuerat; & hac quidem de causa. Euphrates quidam philosophus, inimicitias cum Apollonio gerens, famam Apollonij apud Gymnosophistas calumniis in eum iactis minuens, illos in Apollonium excitauit. Multò sapientiores esse Indos Brachmanas Gymnosophistis Æthiopiæ dixit. Viuere ait nudos illos sub dio, incolere montem egregiè à natura formatum, parum à Nili ripis distantem. Mari & Nilo nauigans ad eos Apollonius accessit. Paruo igitur tempore cum Gymnosophistis versatus & disputans cum sociis, profectus est ad montes via sinistra Nili. Quæ autem ibi viderunt memoratu digna sunt hæc: [c] Catadupa montes sunt terrei, similes Tmolo, qui in Lydia est, ab ipsis autem Nilus defluens ex ea quam auellit terra Ægyptum [d] impinguat. Sonitus autem fluctuum è montibus erumpentium & cum strepitu in Nilum cadentium horrenda quædam res, & auditu intolerabilis apparet, multíque propè accedentes [e] auditum amiserunt. Procedenti autem Apollonio eiúsque comitibus tumuli apparuerunt arbores ferentes: quarum folia, corticémque & lachrymas inter fructus Æthiopum numerant. Viderunt etiam secus viam [f] leones, pantheras, & alias huiusmodi feras: quarum nulla in eos impetum facere tentauit; sed tanquam hominum conspectum stupentes præteribant: ceruos insuper & capreas, struthionésque & asinos syluestres complures: & animalium varia genera; inter quæ fuere syluestres boues & hircoboues.

PHILOSTR.
a περαίνουσι, malim πιαίνουσι.
b Mercium permutatio.
c Catadupa Nili.
d ποιῶν, repone πιαίνων.
e De Catadupis Cicero in Somnio Scipionis libro 6. de Republ.
f Animalia

PHILOSTR. Sunt autem huiusmodi belluarum aliæ ex cervo hircóque compositæ, quæ ex diuersis denominationem capiunt animalibus. Ossa insuper huiusmodi ferarum & semesa eatumdem cadauera inuenerunt. Leones enim calida præda semel saturati, reliquias amplius attingere dedignantur, confidentes, vt opinor, nouam rursus se prædam posse venari. Illic Æthiopes habitant Nomades appellati, qui ciuitates in curribus positas habent. *Nomades.* Proximi autem illis sunt, qui elephantes venantur, illósque in frusta diuisos vendunt, vnde cognomen adepti Elephantophagi vocantur. Nasamones & Anthropophagi, Pygmæi quoque & Sciapodes, hi, inquam, omnes Æthiopiæ gentes sunt, perueniunt autem ad Oceanum Æthiopiæ, quo solum vi tempestatis delati inuiti traiiciunt. Cum illi de feris quas viderant loquerentur, & naturam admirarentur, quæ tam varia, diuersaque animalium genera pascit, sonitus quidam eorum aures percussit, tanquam tonitrus nondum inualescentis, sed adhuc intra nubis concauitatem inclusi. Tum Timasion, Prope est, inquit, ó viri, cataracta, quę ascendentibus prima, descendentibus vltima occurrit, quatuor enim sunt. *Cataracta Ægypti.* Deinde stadia ferme decem progressi, viderunt fluuium ex monte defluentem, nihilo maiorem quam Marsya sit, atque Mæander, vbi primum in vnum confluunt, vlterius vero processerunt, nec vllas amplius feras videbant. Nam cum sint natura pauidæ, iuxta quietas aquas habitant potius, quam iuxta cōfragosas, & obstrepentes. Inde post stadia ferme quindecim aliam audierunt cataractam difficilem sane & intolerabilem auditu, & quæ priorem duplo fermè superaret. quam cúm ex loco longè quam prior altiore præcipitari vidisset Damis, comites aliquos, tum etiam seipsum, ita stupefactos auribus refert, vt se ab Apollonio semouerent, rogaréntque ne vlterius progrederetur. Verum ille constanter Nilo quodam nomine dumtaxat, Timasionéque comitantibus, cataractæ tertiæ propinquauit, inde ad socios reuersus, nuntiauit suspensos illic esse vertices Nili, altitudine fermè stadiorum octo: ripam verò, quæ montibus opponitur, supercilium habere lapicidinæ inenarrabilis, fontes verò ex montibus pendentes decidere in petrosam ripam, inde in Nilum refundi aquam spumantem & æstuantem. Accidentia verò, quæ inde oriantur multiplicia sunt, magisque varia quàm quæ in aliis cataractis eueniunt, & qui illic è montibus resonat fragor asperrimus est, & inenarrabilem Nili ortum reddit. Iter vero quod ad primos fontes ducit, perarduum est, & non solum accessu, sed cogitatu etiam difficile. Multa etiam de dæmonibus illic existentibus prædicant, qualia sapienter in suis hymnis Pindarus de dæmone cecinit, quem huiusmodi fontibus præesse dixit, vt Nilum moderaretur. *Pindarus.* Ait Domitianum Imper. vetuisse, ne quis castraretur, ne vites plantentur, sed quæ iam plantatæ essent etiam exscinderentur, & Apollonium ad hæc dixisse, quia ego forsitan nec pudendis, neque vino indigeo. *Domitianus Imperator.* Ignorauit vero vir admirandus, hominibus se parcere, & terram castrare.

σύγκειται δὲ τὰ θηρία ταῦτα, τὸ μὲν ἐλάφου τε καὶ τράγου, τὸ δὲ ἀφ᾽ οὗπερ τὴν ἐπωνυμίαν εἴρηκε. καὶ ὀστοῖς δὲ τούτων ἐνετύγχανον, καὶ ἡμιβεβρώτοις σώμασιν· οἱ γὰρ λέοντες, ἐπειδὰν θερμῆς τῆς θήρας ἐμφορηθῶσιν, ἀτιμάζουσιν αὐτῆς τὰ περιττά· πιστεύοντες οἶμαι τὸ καὶ αὖθις * θηρᾶσθαι. ἐνταῦθα νομάδες οἰκοῦσιν αἰθίοπες, ἐπ᾽ ἁμαξῶν πεπολισμένοι· καὶ πλησίον τούτων οἱ τοὺς ἐλέφαντας θηρῶντες. κατακόπτοντες δὲ αὐτοὺς, ποιοῦνται ἀγορὰν, ὅθεν ἐπώνυμοί εἰσι τῆς τῶν ἐλεφάντων βρώσεως. Νασαμῶνες δὲ, καὶ ἀνδροφάγοι, καὶ πυγμαῖοι, καὶ σκιάποδες, ἔθνη μὲν αἰθιόπων καὶ οὗτοι· καθήκουσι δὲ εἰς τὸν αἰθίοπα ὠκεανὸν, ὃν μόνον εἰσπλέουσιν ἀπενεχθέντες ἄκοντες· διαλεγομένοις δὲ ὑπὲρ τῶν θηρίων τοῖς ἀνδράσι, καὶ φιλοσοφοῦσιν ὑπὲρ τῆς φύσεως, ἄλλο ἄλλως βοσκούσης: ἠχὼ προσέβαλλεν, οἷον βροντῆς οὔπω σκληρᾶς, ἀλλὰ κοίλης ἔτι, καὶ ἐν τῷ νέφει. καὶ ὁ Τιμασίων ἐγγὺς ἔφη, ὁ καταῤῥάκτης ὁ πρῶτος μὲν ἀνιόντων, ὕστατος δὲ κατιόντων. τέσσαρες δ᾽ ἄρα οἱ καταῤῥάκται. στάδια δὲ ἴσως προσελθόντες δέκα, ἰδεῖν φασὶ ποταμὸν ἐκδιδόμενον τοῦ ὄρους, μεῖον οὐδὲν ἢ ἐν πρώταις συμβολαῖς ὁ Μαρσύας καὶ ὁ Μαίανδρος. χωρήσαντας δὲ πρόσω, θηρία μὲν οὐκέτι ὁρᾶν· ψοφοδεᾶ γὰρ φύσει ὄντα, προσοικεῖν τοῖς γαληνοῖς ὕδασι μᾶλλον, ἢ τοῖς ῥαγδαίοις [τε] καὶ ἐνήχοις. ἑτέρου δὲ καταῤῥάκτου ἀκοῦσαι, μετὰ πέντε καὶ δεκάπου στάδια, χαλεποῦ ἤδη, καὶ οὐκ ἀνεκτοῦ * ἀκοῦσαι· διπλάσιον μὲν γὰρ εἶναι αὐτὸν τοῦ προτέρου, ὀρῶν δὲ ὑψηλοτέρων ἐκπίπτειν. ἑαυτὸν μὲν οὖν, καί τινας τῶν * ἑτέρων, οὕτω τι ἐγκτυπηθῆναι τὰ ὦτα, φησὶν ὁ Δάμις, ὡς αὐτός γε ἀναζεῦξαι, τοῦ τε Ἀπολλωνίου δεῖσθαι, μὴ πρόσω χωρεῖν. τὸν δὲ * ἐῤῥωμένως ξὺν τε τῷ Τιμασίωνι, καὶ ἑτέρῳ τινὶ τοὔνομα Νείλῳ, τοῦ τρίτου καταῤῥάκτου ἐγγὺς. περὶ οὗ τάδε ἀπαγγεῖλαι ἥκοντα. ἐπικρέμασθαι μὲν τῷ Νείλῳ κορυφὰς ἐκεῖ, σταδίων μάλιστα ὀκτὼ ὕψος, τὴν δὲ ὄχθην τὴν ἀντικειμένην τοῖς ὄρεσι, ὀφρὺν εἶναι λιθοτομίας ἀῤῥήτου, τὰς δὲ πηγὰς ἀποκρεμαννυμένας τῶν ὀρῶν ὑπερπίπτειν εἰς τὴν πετρώδη ὄχθην· ἀναχεῖσθαι δὲ ἐκεῖθεν [ἐς] τὸν Νεῖλον κυμαινούσας τε καὶ λευκάς· τὰ δὲ πάθη, τὰ περὶ αὐτὰς ξυμβαίνοντα, πολλαπλασίας ἢ αἱ πρότεραι οὔσας· καὶ τὴν πηδῶσαν ἐκ τούτων ἠχὼ ἐς τὰ ὄρη, δυσήκοον ἐργάζεσθαι τὴν ἱστορίαν τοῦ ῥεύματος. τὴν δὲ πρόσω ὁδὸν τὴν ἐπὶ τὰς πρώτας πηγὰς ἄγουσαν, ἄπορον μὲν ἐλθεῖν φασὶν, ἄπορον δὲ ἐνθυμηθῆναι. πολλὰ γὰρ καὶ περὶ δαιμόνων ᾄδουσιν, οἷα καὶ Πινδάρῳ κατὰ σοφίαν ὕμνηται περὶ τοῦ δαίμονος, ὃν ταῖς πηγαῖς ταύταις * ἐφίστησιν ὑπὲρ ξυμμετρίας τοῦ Νείλου. Ὅτι Δομετιανόν φησι τὸν βασιλέα νομοθετῆσαι, εὐνούχους τε μὴ ποιεῖν, καὶ ἀμπέλους μὴ φυτεύειν, ἀλλὰ καὶ τὰς οὔσας ἐκτέμνειν. εἰπεῖν δὲ πρὸς ταῦτα τὸν Ἀπολλώνιον, ὡς ἐγὼ μὲν ἴσως οὔτε αἰδοίων δέομαι, οὔτε οἴνου· λέληθε δὲ ὁ θαυμασιώτατος, τῶν μὲν ἀνθρώπων φειδόμενος, τὴν δὲ γῆν εὐνουχίζων.

* al. θηρᾶσθαι. * ἀκοῦσαι. * ἑταίρων. * al. ὁ δὲ. * al. ἐφίστησιν.

Ὅτι ἐν τῷ ἑβδόμῳ καὶ ὀγδόῳ λόγῳ ὁ Φιλόστρατος τὴν πρὸς [τοὺς] τυράννους, καὶ μάλιστα πρὸς Δομετιανὸν, τοῦ Ἀπολλωνίου παῤῥησίαν διεξυμνήσας, καὶ εἰπὼν ὅπως τε ἐγράφη, καὶ ὅπως αὐτόκλητος πρὸς τὴν δίκην ἧκεν· ὅπως τε γέγονεν ἐν ἀδέσμῳ φρουρᾷ, καὶ ὅπως ὕστερον ἐδέθη, καὶ ἐλύθη, καὶ ἀπελογήσατο, καὶ τοῦ δικαστηρίου ἀπέστη. ταῦτα εἰπὼν, καὶ μαγικῆς* οὐδ' ὅπως τι αὐτὸν μεταχεῖν. ἀλλὰ καὶ, εἴ τις ἄλλος, μυσάττεσθαι ταύτην ἀποχειρισάμενος (καίτοι πολλὰ τερατώδη γράφων περὶ αὐτοῦ) τὸν θάνατον ἄδηλον καὶ βίον πολύφημον *ἔφη γενέσθαι, αὐτοῦ* ἐκείνου τούτου καὶ ζῶντος ἐν μελέτῃ ποιουμένου. φησὶ γὰρ, αὐτὸν λέγειν ἀεὶ, λάθε βιώσας: εἰ δὲ μὴ, λάθε ἀποθανών. Ἀρεταῖς λέγει συνεζηκέναι τὸν ἄνδρα· καὶ τὴν Πυθαγόρου διὰ βίου σοφίαν ἐζηλωκέναι.

*

Οὗτος δ' ὁ Φιλόστρατος ἀπαγγελίᾳ μὲν κέχρηται γλυκείᾳ, καὶ ποικιλωτάτῃ, καὶ λέξεσιν ἐμπρεπούσαις φράσει τοιαύτῃ. συντάξεσι μέντοιγε τοιαύταις, οἵαις οὐκ ἄν τις ἄλλος ἐς τὸ συγγράφειν τεταγμένος. δοκοῦσι γάρ πως ἀσυνταξίαις μᾶλλον ἐοικέναι, ἢ συντάξεως ὃ, ποιοῦ μετέχειν. ἔστι δ' ἴσμεν ὁ ἀνὴρ ὡς πολυμαθέστατος ὢν, οὐχ ἂν διαμαρτίᾳ τοῦ ὀρθοῦ εἰς ταύτην ἐξωσθῆναι τὴν ἰδιότροπον τῶν συντάξεων καινοτομίαν, *ἀλλά τι τῶν ἀρχαιοτέρων σπανιάκις ἴσως εἰρηται, τούτοις ἐστὶν εἰς κόρον ἀπεχρήσατο, τὸ παῤῥησιασμένον αὐτῶν τὴν χρῆσιν ἐπιδεικνύμενος· καὶ οὐδ' εἰς μάτην, ἀλλὰ τοῦ ἡδέος χάριν. ἔχουσι γὰρ καὶ τὰ τοιαῦτα τῶν λόγων, τὸ ἐπαγωγὸν καὶ ἐπαφρόδιτον.

Ἐκ τοῦ αὐτοῦ βίου ὅσα παρεῖται, κάλλει ῥημάτων καὶ συνθήκης διαλάμποντα.

Καὶ Πυθαγόρας αὐτὸς καὶ Δημόκριτος ὁμιλήσαντες μάγοις, καὶ πολλὰ δαιμόνια εἰπόντες, οὔπω ὑπήχθησαν τῇ τέχνῃ. καὶ τίς οὐκ οἶδε, τὸν Ἀναξαγόραν Ὀλυμπίασι μὲν, ὁπότε ἥκιστα ὗοι, παρελθόντα ὑπὸ κωδίῳ εἰς τὸ στάδιον ἐπὶ προῤῥήσει ὄμβρου, *ὑφ' ὧν ἔφαυσε τοῦ θεῖός τε καὶ δαιμόνιος εἶναι), τῇ μάγων τέχνῃ. μετέχοντι δέ μοι τοῦ περὶ αὐτὴν κύκλου, καὶ γὰρ τοὺς ῥητορικοὺς πάντας λόγους ἐπῄνει καὶ ἠσπάζετο, παρ' ὧν ὑπάρχει μαθεῖν, ὡς ὑποθειάζων τὴν φιλοσοφίαν ἐγένετο. Κύκνοι τοίνυν, οὓς ὁ λειμὼν ἔβοσκε, χορὸν στήσαντες περὶ τὴν Ἀπολλωνίου μητέρα καθεύδουσαν, καὶ τὰς πτέρυγας (ὥσπερ εἰώθασιν) ἀράντες, ἀθρόον ἤχησαν· καὶ γάρ τι καὶ ζεφύρου ἦν ἐν τῷ λειμῶνι. ἡ δὲ ἐξέθορέ τε ὑπὸ τῆς ᾠδῆς, καὶ ἀπέτεκεν. ἱκανὴ δὲ πᾶσα ἔκπληξις, μαιεύσασθαι καὶ πρὸ τῆς ὥρας. ὀφθαλμοὶ δὲ πάντες ἐς αὐτὸν ἐφέροντο. σκωπτόλαι τε καὶ ὑβρισταὶ πάντες· καὶ δεδώκασι τῇ ὀθόνῃ [μᾶλλον] πάντες, ἢ σοφίᾳ Ἀθηναῖοι, προάστειον, ἐν ᾧ κῆποι ἁπαλοὶ ἦσαν. Ὅτι κιλίκιος λόγος, ποῖ τρέχεις, ἐπὶ τὸν ἔφηβον; [ἢ] ἐπὶ Ἀπολλωνίῳ τε ἐγένετο, καὶ παροιμιώδη τιμὴν εἶχε. τὴν δὲ οὐσίαν λαμπρὰν οὖσαν διέλαχε πρὸς τὸν ἀδελφόν: φιλοσοφίας γὰρ πάσης ἠχὼ ἐν αὐτῷ ἦν. Ὅτι ἐρομένου τὸν Ἀπολλώνιον τοῦ Εὐξένου, τί δῆτα οὐ ξυγγράφοι, καί τοι ἀπαγγελίᾳ χρώμενος δοκίμῳ τε καὶ διηγερμένῃ; ὅτι οὔπω ἔφη *ἐσιώπα. Καὶ λιμὸς ἦν. ὄροβοι δὲ ὤνιοι, καὶ τὰ ἐς βρῶσιν ἀναγκαῖα ἐδίδοσαν αὐτοῖς. κελαρύζει τῶν πηγῶν οὐδεμία. κυπαρίττου τι ἔρνος ἡ γῆ ἀνέδωκεν,

Philostratus libro septimo & octauo libertatem dicendi Apollonij erga tyrannos,& maximè Domitianum describit, & quomodo accusatus fuerit, & vltrò in iudicium venerit. Quomodo in carcere seruatus, & quomodo liberatus, solutus & defensus, ex iudicio decesserit. Hæc asserit, & magum non fuisse, verùm etiam, si quem alium, magiam abominatum esse fortiter probat, etsi multa portentosa de illo scribat. Dicit etiam obscuram fuisse ipsius mortem, & vitam celebrem: & eam ipsum,dum viueret,mente agitasse. Dicere enim solitum: *viuens late*: sin minus, *moriens late*: virtutibus hunc refert studuisse, & Pythagoram maximè imitatum fuisse.

Dulci & varia narrandi ratione vsus est Philostratus, & verbis huic rei conuenientibus, & simili constructione, qualem nemo scribendo inseruit. Videntur enim nonnulli incompositè magis dicere quàm compositè. Hunc verò scimus doctissimum fuisse,& à recto non aberrantem, propriam constructionis nouitatem adhibuisse: sed quæ antiqui dixerunt ratius, iis liberius vsque ad satietatem vsum esse: licitum esse eorum vsum demōstrans,nec id frustra, sed dulcedinis gratia. Huiusmodi enim oratio conciliandi vim habet & venustatem quandam.

Ex eadem vita excerpta quæ prætermissa sunt, ac pulchritudine verborum & compositione excellunt.

Asclepiodotus non omnino ingeniosus, vt multis hominibus visum est, sed in dubitationibus acutissimus, ad intelligendum non adeo solers, neque ipse sui similis, alioquin & res diuinas, obscuras, & sub intelligentiam cadentes, & eximios illos sensus Platonis intelligebat. ad Orphicam, Chaldaicamque altiorem cognitionem, quæ communem Philosophorum captum excederet, longe erat inferior. In Physicis omnium sui sæculi erat doctissimus: similiter & in Mathesi, vnde & præter alia magnam ingenij gloriam consecutus est. In Morali Philosophia, & quæ de virtutibus est, semper nouum quid inuenire, & contemplationem ad inferiora, visibiliáque trahere conabatur: nihil quidem, vt ita loquar, ex antiquis intelligentiis seruans, omnia condensans & colligens in naturam mundi. Natus ad musicam Asclepiodotus, deperditum tamen Enarmonicum non potuit reuocare, quamquam alia duo cantus genera rescinderet & reprimeret, alterum Chromaticum appellatum, alterum Diatonicum; harmoniam tamen non inuenit, quamuis magades, vt dixit, mutarit, & transposuerit, non minus quam viginti & duas

οἷα πανσέληνον ἦσαν. καίτοι οὐκ ἦν τῷ διαμετροῦντι ζῳδίῳ τὸν ἥλιον. ἀλλὰ δὴ καὶ τοῦτο τὸ ἄγαλμα καθεῖλεν ἡ πάντα ἀρχαῖα καθελοῦσα ἀνάγκη. Ἀλεξανδρεὺς ἦν τὸ γένος οὐκ ἐπιφανῶν γονέων τὰ ἀπὸ τῆς τύχης, ἐπιεικῶν δὲ ἄλλως, καὶ ἱερῶν.

Iacobus Medicus.

Ὅτι περὶ Ἰακώβου, τοῦ ἰατροῦ, ὅσον ἐγγὺς μὲν τὸ γένος, Ἀλεξανδρεὺς ἦν, πορρώτερον δὲ ἐκ Δαμασκοῦ, υἱὸς δὲ ἰατροῦ, μ΄ ἔτη τῇ πείρᾳ σχολάσαντος, καὶ μικροῦ τὴν οἰκουμένην ἐπὶ γυμνασίᾳ καὶ κρίσει τῆς τέχνης ἐπελθόντος, ὃς καὶ τὸν Ἰάκωβον * τῆς ἰατρικῆς τὸν παῖδα ἐπὶ ἔτη τὰ ἴσα ἐδιδάξατο τὴν τέχνην. περὶ τοίνυν τοῦδε τοῦ Ἰακώβου, ὥσπερ καὶ ἄλλοι, παράδοξα λέγει, καὶ ὡς ἀκούσας γυναῖκα * πταροῦσαν ἀθροώτερον πάντας ἀποβαλεῖν τοὺς ὀδόντας. ἐκ τούτου μόνου τοῦ συμβεβηκότος μαντεύειν τὰ περὶ τῆς γυναικὸς ἅπαντα· εἶδός τε, καὶ χρῶμα σώματος, καὶ μέγεθος· καὶ τῆς ψυχῆς, ὅσα φυσικώτερα τῶν ἠθῶν. Ὅτι ὁ τοῦ Ἰακώβου πατὴρ μετὰ τὴν πολλὴν τῆς οἰκουμένης πλάνην, ἦλθε καὶ εἰς τὸ Βυζάντιον, φησι, καὶ τοὺς ἐνταῦθα κατέλαβεν ἰατροὺς, οὐδὲν ἄρα τῆς τέχνης ἐπισταμένους ἀκριβὲς, οὐδὲ αὐτόπειρον. ἀλλὰ ἀπὸ τῶν ἀλλοτρίων δοξασμάτων: οὐ θεραπεύοντας, ἀλλὰ φλυαροῦντας. ἄμφω δὲ, καὶ ὁ παῖς καὶ ὁ πατὴρ, ἀσεβεῖς ἤστην. Ὅτι ἐχρῶντο κατὰ τῶν νόσων οὗτοι καθαρσίοις πολλοῖς καὶ βαλανείοις. χειρουργεῖν δὲ σιδήρῳ καὶ πυρὶ, οὐ λίαν ἦσαν ἕτοιμοι. ἀλλὰ καὶ τὰ μοχθηρότερα τῶν ἑλκῶν διαίτῃ κατηγωνίζοντο. φλεβοτομίαν δὲ οὐ * προσίετο. ἐπαίδευεν ὁ Ἰάκωβος τοὺς πλουσίους ἰατρεύων βοηθεῖν τῇ νοσούσῃ πενίᾳ, καὶ αὐτὸς προῖκα ἰᾶτο, τῷ δημοσίῳ μόνῳ ἀρκούμενος σιτηρεσίῳ.

Iacobus Medicus.

Ὅτι, φησὶν ὁ συγγραφεὺς, εἶδον εἰκόνα τοῦ Ἰακώβου Ἀθήνησι, καί μοι ἔδοξεν ὁ ἀνὴρ εὐφυὴς μὲν οὐ πάνυ εἶναι, σεμνὸς δὲ καὶ ἐμβριθής. οὗτος [δὲ] ὁ Ἰάκωβος Πρόκλῳ νοσοῦντι, ἐν Ἀθηναίοις διατρίβων, καὶ θαυμαζόμενος, προσέταξεν ἀπέχεσθαι μὲν κράμβης, ἐμφορεῖσθαι δὲ τῶν * λαχάνων, ὁ δὲ κατὰ τὸν Πυθαγόρειον νόμον, οὐκ ἠνείχετο * μαλάχην ἐσθίειν.

Asclepiodotus.

Ἦν δὲ ὁ Ἀσκληπιόδοτος οὐχ ὁλόκληρος τὴν εὐφυΐαν, ὡς τοῖς πλείστοις ἔδοξε τῶν ἀνθρώπων, ἀλλ' ἀπορεῖν μὲν ὀξύτατος, συνεῖναι δὲ οὐ λίαν ἀγχίνους· οὐδὲ αὐτὸς ἑαυτῷ ὅμοιος, ἄλλως τε καὶ τὰ θειότερα τῶν πραγμάτων [ὅσα] ἀφανῆ, καὶ νοητὰ, καὶ τῆς Πλάτωνος ἐξαίρετα διανοίας. πρὸς δὲ τὴν ὀρφικήν τε καὶ χαλδαϊκὴν ὑψηλοτέραν σοφίαν, καὶ τὸν κοινὸν φιλοσοφίας νοῦν ὑπεραίρουσαν, ἔτι μᾶλλον ἐλείπετο. πρὸς δὲ φυσιολογίαν, τῶν καθ' ἑαυτὸν πάντων ἦν ἐρρωμενέστατος· ὡσαύτως καὶ ἐν τοῖς μαθήμασιν, ἀφ' ὧν καὶ ἐπὶ τὰ ἄλλα τὸ μέγα τῆς φύσεως ἀπηνέγκατο κλέος. ἐν τοῖς περὶ ἠθῶν δὲ καὶ ἀρετῶν αἰεί τι καινουργεῖν ἐπεχείρει, καὶ πρὸς τὰ κάτω καὶ τὰ φαινόμενα συνέλκειν τὴν θεωρίαν· οὐδὲν μὲν (ὡς ἔπος εἰπεῖν) τῶν ἀρχαίων νοημάτων ἀποικονομούμενος, πάντα δὲ συνωθῶν καὶ κατάγων εἰς τὴν ὧδε τὴν φύσιν τὴν περικόσμιον. Ὅτι εὐφυέστατος ὁ Ἀσκληπιόδοτος περὶ μουσικὴν γεγονὼς, τὸ ἐναρμόνιον γένος ἀπολωλὸς, οὐχ οἷός τε ἐγένετο ἀναστήσασθαι, καίτοι τὰ ἄλλα δύο γένη κατατεμὼν καὶ ἀνακερασάμενος, τό, τε χρωματικὸν ὀνομαζόμενον, καὶ τὸ διατονικόν: τὸ δὲ * ἐναρμόνιον οὐχ εὗρε, καίτοι μαγάδας, ὡς ἔλεγε, ἀπαλλάξας καὶ μεταθεὶς, οὐκ ἐλάττους εἴκοσι καὶ διακοσίων.

* al. ἰατρικῆς
* al. πταροῦσαν
* lo. προσίετο
* μαλάχην
* al. ἐναρμόνιον

αἴτιον

αἴτιον δὲ τῆς μὴ εὑρέσεως, τὸ ἐλάχιστον μέρος τῶν ἐναρμονίων διαστημάτων, ὅπερ δίεσιν ὀνομάζουσι. τοῦτο δὴ ἀπολωλὸς ἐκ τῆς ἡμετέρας αἰσθήσεως, καὶ τὸ ἄλλο γένος τὸ ἐναρμόνιον *προσαπώλεσεν. Ὅτι Ἰακώβῳ τὰ κατὰ τὴν ἰατρικὴν μαθητευθεὶς ὁ Ἀσκληπιόδοτος, καὶ κατ' ἴχνη βαίνων ἐκείνου, ἔστιν οἷς καὶ ὑπερεβάλλετο. καὶ γὰρ καὶ τοῦ λευκοῦ *ἐλλεβόρου πάλαι τὴν χρῆσιν ἀπολωλυῖαν, καὶ μηδ' Ἰακώβῳ ἀνασωθεῖσαν, αὐτὸς ἀνεκαίνισε, καὶ δι' αὐτοῦ ἀνιάτους νόσους παραδόξως *ἰάσατο. Ὅτι ὁ Ἀσκληπιόδοτος, τῶν μὲν νεωτέρων ἰατρῶν τὸν Ἰάκωβον μόνον ἀπεδέχετο, τῶν δὲ πρεσβυτέρων μετὰ τὸν Ἱπποκράτην, Σωρανὸν τὸν Κίλικα τὸν Μαλλεώτην. τοιγάρτοι καὶ ἀπετέλεσεν ὁ Ἀσκληπιόδοτος τὴν Δαμιανὴν αἰδημονεστάτην καὶ παράλογον οὖσαν, τὴν ἑαυτοῦ γαμετὴν, ὑψηλόφρονα καὶ ἀνδρόβουλον εἰς οἰκονομίαν, ὥσπερ σώφρονα καὶ ἄθρυπτον εἰς συμβίωσιν. Ὅτι ἐν Ἱεραπόλει τῆς Φρυγίας ἱερὸν ἦν Ἀπόλλωνος, ὑπὸ δὲ τὸν ναὸν καταβάσιον ὑπέκειτο θανασίμους ἀναπνοὰς παρεχόμενον· τοῦτο τὸ βάραθρον οὐδ' ἄνωθεν ἔστιν ἀκίνδυνον οὐδὲ τοῖς πτηνοῖς τῶν ζώων διελθεῖν· ἀλλ' ὅσα κατ' αὐτὸ γίνεται, ἀπόλλυται. τοῖς δὲ τετελεσμένοις, φησὶ, δυνατὸν ἦν κατιόντας καὶ εἰς αὐτὸν τὸν μυχὸν ἀβλαβῶς διάγειν. λέγει δὲ ὁ συγγραφεὺς, ὡς αὐτός τε, καὶ Δῶρος ὁ φιλόσοφος, ὑπὸ προθυμίας ἐκνικηθέντες, κατέβησάν τε, καὶ ἀπαθεῖς κακῶν ἀνέβησαν. λέγει δὲ ὁ συγγραφεὺς, ὅτι τότε τῇ Ἱεραπόλει ἐγκαθευδήσας, ἐδόκουν ὄναρ ὁ Ἄττης γενέσθαι, καί μοι ἐπιτελεῖσθαι παρὰ τῆς μητρὸς τῶν θεῶν [τὴν] τῶν Ἱλαρείων καλουμένων ἑορτήν· ὅπερ ἐδήλου τὴν ἐξ ᾅδου *γεγονυῖαν ἡμῶν σωτηρίαν· διηγησάμην δὲ τῷ Ἀσκληπιοδότῳ, ἐπανελθὼν εἰς Ἀφροδισιάδα, τὴν τοῦ ὀνείρου ὄψιν. ὁ δὲ ἐθαύμασέ τε τὸ συμβεβηκὸς, καὶ διηγήσατο οὐκ ὄναρ ἀντὶ ὀνείρατος, ἀλλὰ θαῦμα μεῖζον, ἀντὶ ἐλάττονος. νεώτερος γὰρ ἔλεγεν εἰς τὸ χωρίον ἐλθεῖν τοῦτο, καὶ ἀποπειραθῆναι αὐτοῦ τῆς φύσεως· δὶς οὖν καὶ τρὶς ἐπιπτύξας τὸ ἱμάτιον περὶ τὰς ῥῖνας, ἵνα, κἂν ἀναπνέῃ πολλάκις, μὴ τὸν διεφθαρμένον καὶ λυμαντικὸν ἀέρα ἀναπνῇ, ἀλλὰ τὸν ἀπαθῆ καὶ σωτήριον, ὃν ἔξωθεν εἰσήγαγε περιλαβὼν ἐν τῷ ἱματίῳ: οὕτω προάξας, εἰσῄει τε ἐν τῇ καταδύσει τῇ ἐκροῇ τῶν θερμῶν ὑδάτων, ἐπακολουθῶν ἐπὶ πλεῖστον τοῦ ἀβάτου μυχοῦ, *οὐ μὴν εἰς τέλος ἀφίκετο τῆς καταβάσεως. ἡ γὰρ εἴσοδος ἀπερρώγει πρὸς τὸ βάθος. ἤδη πολὺ τῶν ὑδάτων καὶ ἀνθρώπῳ γε οὐ διαβατὸν ἦν· ἀλλ' ὁ καταβάτης ἐνθουσιῶν, ἐφέρετο μέχρι τοῦ πέρατος. ὁ μέντοι Ἀσκληπιόδοτος ἐκεῖθεν ἀνῆλθε, σοφίᾳ τῇ αὐτοῦ κακῶν ἀπαθής· ἀλλὰ καὶ πνοὴν παραπλησίαν *ὕστερον τῇ θανασίμῳ ἐκ διαφόρων εἰδῶν κατασκευασάμενος ἐμηχανήσατο, χωρὶς τὰ φιλοσόφων καὶ τὰ τῶν ἱερέων ὁρίσματα, οὐδὲν ἧττον ἢ τὰ λεγόμενα Μυσῶν καὶ Φρυγῶν. ἀλλ' ὅμως ὁ πατρίκιος ἐτόλμησε, παρὰ νόμον τὸν φιλοσοφίας, ἐπὶ ταῦτα ῥυείς. ἡ δὲ ἔφη, ἐγὼ χωρῖτις εἰμὶ καὶ ἄγροικος. ἀλλὰ διαναστὰς ἀπὸ τοῦ ὕπνου καὶ διαγκωνισάμενος ἐπὶ τοῦ σκίμποδος, ἔφη, ἀστεῖός τε ἦν καὶ εὐόμιλος, οὐ μόνον πρὸς τὴν σπουδάζουσαν, ἀλλὰ καὶ πρὸς τὴν παίζουσαν ἐνίοτε συνουσίαν, ὥστε καὶ ἥδιστος εἶναι τοῖς πλησιάζουσι πρὸς τῷ ὠφελίμῳ. τὸν θεὸν προὐκαλεῖτο ἐπὶ πάθει περιωδύνῳ, τοὺς τῶν ὀπαδίων ὀχετῶν ἀφίστασθαι

* al. ἀπέβαλεν.
* ἰᾶσθαι.
Doru philosophus.
* Reuocabilem. M. M.
* ἢ μὴ.
* al. ὑστέρω.

DAMASCIVS.

Causa cur non inueniret, hæc est: minimam moderationem harmonicarum dimensionum, quam diesin, (hoc est, primum sonum, qui in cantibus percipitur) vocant, è nostro sensu perdidit, & etiam aliud genus Enarmonicum simul corrupit. Asclepiodotus à Iacobo medicinam discens ad vestigium illum sequitur, in multis etiam superat.

Elleborus

Nam amissum olim vsum albi Ellebori, nec etiam à Iacobo obseruatum, ipse renouauit, & illo insanabiles morbos insitato modo sanauit. Asclepiodotus nullum è nouis medicis, præter Iacobum, probauit, ex antiquis post Hippocratem, Soranum Cilicem, Maleoten. Quocirca vxorem suam Damianen Asclepiodotus pudicissimam, & quod rarum est, magnanimam, virilisque mentis in administratione familiæ, quemadmodum in consuetudine castam nec voluptuariam reddidit. Hierapoli in Phrygia templum erat Apollinis; subtus spiraculum erat letiferi spiritus. Spelunca hæc superne nec auibus præteruolantibus sine periculo est, sed quæcunque illac volante moriuntur. At iis, qui sacrificiis sunt initiati, facile fuit ingredi, & in illa spelunca sine vlla noxa degere. Refert auctor se & Dorum Philosophum, cupiditate captos intrasse, & illæsos egressos esse. Dicit scriptor cum tunc Hierapoli dormiret in somnis sibi visum esse Attin, sibique à matre Deorum festum, quod dicitur Hilariorum, mandatum, quod indicabat nostram conseruationem ab inferis. Reuersus itaque in Veneris vrbem narraui Asclepiodoro visionem: Ille rei miraculo obstupuit, & mihi pro hoc somnio non somnium narrauit; & minoris rei narrationem rependit maiore. Dixit se etiamnum iuuenem in hanc regionem venisse, se naturam eius expertum. Bis itaque & ter vestem naribus applicans, ne, licet respiraret sæpius, corruptum noxiúmque aërem attraheret, sed aërem bonum & salutarem, quem aliunde adduxerat in veste concludens, ingressus est in speluncam scatentem calidis aquis, sequens semper inuiam voraginem, & ad finem descensus peruenit. Via enim circa profunditatem abrupta est: at tunc ob multitudinem aquarum etiam homini inuia erat. Sed descensor fatidico furore correptus ad finem accessit. Asclepiodotus igitur sapientia sua incolumis hinc euasit, sed & postea spiritum letali similem è variis speciebus miscendum excogitauit, negligens & philosophorum, sacerdotúmque rationes, nihil secus atque * Mysorum, Phrygúmque dicta: sed tamen Patricius ausus fuit eodem contra Philosophorum decreta pergere. Quædam dixit: ego agrestis, & rustica sum. Sed surgens è somno, & innitens, inquit, scabello, ciuilis & comis fuit, non solum in serio, sed etiam in puerili aliquando colloquio, vt & iucundissimus cum quibus versaretur, cum vtilitate esset. Deum inuocauit in graui periculo, vt cataractas aquarum quæ adhuc restarent, amoueret:

Apollinis fanum Hierapoli.
* Strabo Procesium.

DAMASCIVS.

Vxorem vicinam partui vna adduxit. Adhuc in sponda iacenti contigit illi è vestigio Dicen videre, egregiam puellam, expeditam, tunica sine manicis, lutei coloris, & purpureis clauis exstantibus decoratam: caput vitta ligatum, sine amiculo, vultu nonnihil seuero & fronte contracta. Non aliquid ad illum, sed & ad introitum. Asclepiodotus Procli discipulus, in summis tenebris sine lumine legit, astantésque homines dignouit. Aliquando itaque in Caria ait se caput draconis in agrum Pytheæ Caris cadens, & allatum à Pythea ipso, magnitudine maximi taurini capitis vidisse. Refert etiam Asclepiodotum vidisse & viuum draconem sublimem in aëre concretum, à vento conceptum, nubibus condensatis immobilem stare, & instar magni conti extensum. Hunc itaque & vidisse, astantibúsque monstrasse, cumque nubes magis magisque constiparentur, ferum euanuisse. [a] Marinus, inquit, Procli successor, genus ducebat Neapoli in Palæstina, iuxta montem, cui nomen [b] Hargarizus. Deinde blasphemans, impius inquit ille scriptor addit: In quo monte Iouis summi sacratissimum templum est, ibi & [c] Abraham primus antiquorum Iudæorum sacratus fuit, vt idem dixit Marinus. Samaritanus initio factus cum esset Marinus, eorum opinionem repudiauit, quasi ab Abrahami sacrificiis tecens in nouam degenerasset opinionem: & ad gentilismum se conuertit. Veruntamen labori, & assiduis curis incumbens, multorum etiam ingeniosissimorum, & antiquissimorum gloriam suo nomine Marinus obscurauit. Noluit vero illum Isidorus interrogare infirmitate corporis laborantem, metuens, ne homo turbaretur. E dictis tamen & scriptis eius (quæ non admodum multa sunt) facile erat colligere Marinum non fœcundum & probè subactum Noëmatum agrum fuisse, qui segetem sapientis rerum naturalium contemplationis proferret.

[d] [Ptolemæus astronomicæ scientiæ princeps templis, vt loquitur Plato, placita interpretum ad senectutis obliuionem, relinquens sibi, & condens monumenta] Proclus videns istum defluxum corporis, adolescenti metuit. Hic igitur mortuus, tunc beatus, anima, inquam, animæque imago apertè mihi in hoc scabello sedenti astitit: credere autem oportet sermoni, quem visio philosophi principis confirmat, & recens alterius fama verè secundi post illum, & insuper tertius suggestus, & qui hæc scripsit propter eorum quæ nunciauimus, pompam veritatis studiosam. [e] Proclus ea spe, quam de se concitarat, nec Platonis dignitatem aspernari, nec Iamblichi, nec Plutarchi iudicium oppugnare, nec supra communiter vtile consilium sapere potuit: sed quantum crescebat instituti magnitudo in dicendo, tanto minus persuadere sibi patiebatur Isidorus, quod maius esset onus, quam ferre posset.

a Marinus Procli successor: cuius exst. de vita Procli illius aureolus libellus.

b Mons in sacris litteris Garizin. Deut. 11. 29. Iudic. 9. 7. & 2. Machab. 6. 2.

c Abrahamus Patriarcha.

Ex Æschylo.

d Ptolemæus Astrologus. Tres hos versus aliunde inculcatos docti obseruarunt, & lacera multa, ac detruncata in hac ipsa vita

e Proclus.

* ἐπίδεκα οὖσαν τὴν γαμετὴν συνεπήγετο. ἐπὶ τῆς κλίνης ἀνακειμένῳ ἐξαπίνης τὴν Δίκην ἰδεῖν συνέβη, λαμπρὰν κόρην, εὔζωνον, κολοβὸν χιτῶνα * μιλινόχροα, ἀνεζωσμένην πορφυροῖς πλατέσι σημαδίοις κεκοσμημένον, ἀναδεδεμένην * μὲν τὴν κεφαλὴν ἀναδέσμῃ, γυμνὴν δὲ περιβολαίου, βλοσυρόν τι ὁρῶσαν, καὶ συνωφρυωμένον· οὔτι γε πρὸς αὐτὸν, * ἀλλὰ καὶ τὴν εἴσοδον. Ὅτι Ἀσκληπιόδοτος ὁ φιλόσοφος, ὁ Πρόκλου μαθητὴς, ἐν σκότῳ βαθεῖ γράμματά τε ἀνεγίνωσκεν ἄνευ φωτὸς, καὶ τοὺς παρόντας τῶν ἀνθρώπων διεγίνωσκε. κεφαλὴν * γοῦν ποτὲ δράκοντος ἐν Καρίᾳ εἰς ἀγρὸν πεσοῦσαν Πυθέου τοῦ Καρὸς, ἐνεχθεῖσαν δὲ αὐτῷ παρὰ Πυθέα, καὶ αὐτὸς ἔφη θεάσασθαι μέγεθος οὖσαν ταύρου μεγίστου κατὰ κεφαλήν. ἰδεῖν δὲ τὸν Ἀσκληπιόδοτον καὶ ζῶντα δράκοντα μετέωρον ἐν ἀέρι συνεστῶτα πεπηγότα, καὶ συνειλημμένον ὑπὸ τοῦ ἀνέμου, ἐν τῇ πυκνότητι τῶν νεφῶν ἀκίνητον ἑστῶτα, ὅσον δὴ κοντόν τινα μέγαν ἀποτεταμένον, ἰδεῖν τε τοῦτον, καὶ ἐπιδεῖξαι τοῖς παροῦσι, πυκνωθέντων δὲ ἐπὶ μᾶλλον τῶν νεφῶν, ἀφανισθῆναι τὸ θηρίον. Ὅτι ὁ διάδοχος Πρόκλου, φησὶν, ὁ Μαρῖνος, γένος ἦν ἀπὸ τῆς ἐν Παλαιστίνῃ νέας πόλεως πρὸς ὄρει κατῳκισμένης, τῷ Ἀργαρίζῳ καλουμένῳ. εἶτα βλασφημῶν ὁ δυσσεβὴς φησιν ὁ συγγραφεὺς, ἐν ᾧ Διὸς ὑψίστου ἁγιώτατον ἱερὸν, ᾧ καθιέρωτο Ἀβραὰμ ὁ τῶν πάλαι Ἑβραίων πρόγονος: ὡς αὐτὸς ἔλεγεν ὁ Μαρῖνος· Σαμαρείτης οὖν τὸ ἀπαρχῆς ὁ Μαρῖνος γεγονὼς, ἀποτάξατο μὲν πρὸς τὴν ἐκείνων δόξαν, ἅτε εἰς καινοτομίαν ἀπὸ τῆς Ἀβραάμου θυσίας ἀπορρυεῖσαν: τὰ δὲ Ἑλλήνων ἠγάπησεν. ὅμως φιλοπονίᾳ τε καὶ ἀξύτοις πόνοις ἐγκείμενος, εὐφυεστέρων ἤδη πολλῶν καὶ τῶν πρεσβυτέρων κατέχωσε δόξας τῷ ἑαυτοῦ ὀνόματι ὁ Μαρῖνος. οὐκ εἴα δὲ αὐτὸν ἐρωτᾶν ὁ Ισίδωρος ἀσθενείᾳ σώματος ἐνοχλούμενον, εὐλαβείᾳ τοῦ ὀχλώδους. πλὴν ὁ Μαρῖνος ἐξ ὧν διηγεῖτο, καὶ ἐξ ὧν ἔγραφεν (ὀλίγα δὲ ταῦτά ἐστι) δῆλος ἦν * οὐ βαθεῖαν αὔλακα τῶν νοημάτων παρτεμόμενος, ἐξ ὧν τὰ σοφὰ βλαστάνει θεάματα τῆς τῶν ὄντων φύσεως.

Ὁ ἄριστος ἡγεμὼν Πτολεμαῖος τῆς ἀστροθεάμονος ἐπιστήμης, τὰ ἀρέσκοντα τοῖς ἐξηγηταῖς ἀπεγράφετο εἰς τὸ τῆς * λήθης γῆρας, ὡς ἔφη Πλάτων, ὑπομνήματα καταλιπὼν ἑαυτῷ καὶ ἀποθησαυριζόμενος. καὶ τὴν τοῦ σώματος ἀπόρροιαν βλέπων ὁ Πρόκλος, ἐδεδίει περὶ τῷ νεανίσκῳ. ὁ τοίνυν τεθνηκὼς, ὁ εὐτυχὴς τότε γοῦν, ἡ ψυχή φημι, καὶ τὸ τῆς ψυχῆς εἴδωλον, παρέστη μοι ἀναφανδὸν ἐπὶ τοῦδε τοῦ σκίμποδος ἀνακειμένῳ· ἀπιστεῖν δὲ οὐ δίκαιον τῷ λόγῳ βεβαιουμένῳ διά τε ἐναργεῖ τοῦ κορυφαίου σοφοῦ, καὶ ἀκοῇ προσφάτῳ τοῦ δευτέρου πρὸς ἀλήθειαν μετ᾽ ἐκεῖνον, καὶ ἔτι τῷ τρίτῳ βήματι, καὶ εἰς ταύτην καταβεβηκότι τὴν συγγραφὴν ὑπὸ τῇ φιλαλήθει πομπῇ τῆς ἐμῆς ἀγγελίας. καὶ ὁ Πρόκλος ἐπεδίδου ταῖς εἰς αὐτὸν ὁρμώσαις ἐλπίσι μηδὲ τὸ τοῦ Πλάτωνος ἀτιμάζειν ἀξίωμα· μηδὲ τὴν Ιαμβλίχου κρίσιν· μηδὲ τὴν Πλουτάρχου καταναυτίζεσθαι. μηδὲ αὖ μεῖζον φρονεῖν τῆς κοινωφελοῦς προαιρέσεως :: ἀλλ᾽ ὅσῳ ηὔξετο τῆς * διαγωγῆς μέγεθος ἐν τῷ λέγω, τοσούτῳ μᾶλλον ὁ Ισίδωρος πρὸς τὴν πειθὼ συνεστέλλετο, μεῖζον γὰρ ἢ καθ᾽ ἑαυτὸν ἀράμενος φορτίον δεδιὼς

* ir. ἐπιτεγ. al. ἐπὶ τὰ ...

* μιλινόχροα

* al. δὲ

* ἢ πρὸς

Marinus.

* al. ἐν

Ptolemæus Astronomorum princeps.

* al. ἀληθείας

* διαδοχῇ τῷ.

δεδιὼς δ' ὁ Πρόκλος περὶ τῇ Πλάτωνος χρυσῇ τῷ ὄντι σειρᾷ, μὴ ἡμῖν ἀπολίπῃ τὴν πόλιν τὰς ἀθήνας· δεδιὼς δὲ ἐπὶ τῷ Μαρίνῳ, διὰ τὴν τοῦ σώματος ἀσθένειαν. ἀληθινὸς ἔρως ἐμφυτεύεται φιλοσοφίας· καὶ πάντα γήϊνα δεσμὰ ἀπορρήξας, ἐλπίδας τε πάσας ὁμοῦ τιμῶν τε καὶ χρημάτων καταπατήσας, ἀφικνεῖται ἀθήναζε. ἀλλά γε τοιοῦτος καὶ ὁ φιλόσοφος *ἱστορεῖται Ζηνόδοτος, παιδικὰ τοῦ Πρόκλου καλεῖσθαι μόνος ἀξιωθείς, ἐφ' ᾧ δὴ καὶ τὰς μάλιστα ἐπεῖχεν ἐλπίδας. καὶ οὐκ ἦν τις ἄρα πρὸς αὐτὸν ἀλαζών, οὐδὲ σκαιός, οὐδὲ σοβαρὸς τὴν ἔντευξιν, τῇ τε ἐξ ἀρχῆς εὐγενείᾳ, καὶ τῇ μεγαλοπρεπείᾳ τῶν τρόπων, καὶ τῇ περὶ λόγους διαφανεῖ σπουδῇ τε καὶ ἐπιμελείᾳ. πρὸς γάρ τοι τοὺς ἄλλους, τοὺς εἰς βουλὴν τὴν μεγάλην συγκαλουμένους, οὐ μόνον τὰ ἄλλα διαφέρων ἄνθρωπος ἦν ὁ Θεαγένης, ἀλλ' ἤδη τις καὶ φιλόσοφος. ἡ τῶν διαδοχῶν οὐσία, οὐχ ὡς οἱ πολλοὶ νομίζουσι, Πλάτωνος ἦν τὸ ἀνέκαθεν· πένης γὰρ ἦν ὁ Πλάτων, καὶ μόνον τὸν ἐν ἀκαδημίᾳ ἐκέκτητο κῆπον, οὗ ἡ πρόσοδος νομισμάτων τριῶν· ἡ δὲ τῆς οὐσίας ὅλης χιλίων ἢ καὶ πλειόνων ὑπῆρχεν ἐπὶ Πρόκλου, πολλῶν τῶν ἀποθνησκόντων *κτήματα τῇ σχολῇ καταλιμπανόντων. ἤδη τοίνυν κρουόμεθα πρύμναν ἐπὶ τὸν λόγον ὃν ἀπελίπομεν. ὁ μὲν Ἀσκληπιόδοτος ἐκοσμεῖτο πᾶσι τοῖς τοῦ βίου λαμπροῖς: οἱ δὲ οὐδενὶ τούτων οἱ προβεβλημένοι τὴν γαμικὴν προβολήν. ἀλλὰ μόνοι ἦσαν τῷ ὄντι φιλόσοφοι ἐπ' ἄκρον ἑκάτερος ἥκων. ὁ μὲν εὐθυβόλου φύσεως ὁ ἐπὶ θυγατρὶ γαμβρὸς τοῦ μεγάλου Ἀσκληπιοδότου Ἀσκληπιόδοτος. ὃν δ' ἤδη ἐμνήστευεν ἐπιμελοῦς ἀκριβείας ὁ Ἰσίδωρος, πηγὴ ἀναδιδοῦσα ὕδωρ ἱερόν τε καὶ εὔποτον, ὥστε ποιητικὸς ἀνὴρ ἔφη ἂν τὸ στόμα αὐτοῦ, καὶ τὸ ἄλλο πρόσωπον, οἰκητήριον εἶναι αὐτῶν τῶν χαρίτων. εἴ ποτε γὰρ καὶ αὐτοί τινος ἠπορήθησαν, ἦσαν αὐτίκα παρ' αὐτὸν φίλοι παρὰ φίλον. ὁ Ἰσίδωρος πολὺ διαφέρων ἦν τῆς ὑπατίας, οὐ μόνον οἷα γυναικὸς ἀνήρ, ἀλλὰ καὶ οἷα γεωμετρικῆς τῷ ὄντι φιλόσοφος. στερρὸς δὲ τὸ ἦθος ὁ Σευηριανὸς ὤν, καὶ ἅπερ ἂν διανοηθείη, ταῦτα πράττειν ἐσπουδακώς, ἔφθανε τῷ πρακτικῷ τὸ *βουλευτικόν, καὶ διὰ τοῦτο ὁ βίος αὐτοῦ πολλαχῇ διεσφάλη. οὐ γὰρ ἐπιδιδόναι ῥᾳδίως, οὐδὲ ἦν αὐξηθῆναι κατὰ πῆχυν, ὥσπερ Θεόδωρος ὁ ἀσιναῖος ηὐξήθη ὑπὸ τοῦ Πορφυρίου, ὥστε εὐθὺς ἐξ ἀρχῆς τὰ ἀναγκαῖα μόνα προσφέρειν τῷ σώματι, ἀφροδισίων δὲ ἁγνεύειν εἶναι διὰ βίου παντός. ὁ Παμπρέπιος ἐν ὀλίγῳ χρόνῳ λογιώτατος εἶναι ἔδοξε καὶ πολυμαθέστατος, οὕτως διεπονεῖτο περὶ τὴν ἄλλην προπαιδείαν, ὅσην ποιητική τε καὶ γραμματικὴ σοφίζει παιδεύουσα. αἰγύπτιος δ' ἦν, καὶ τὴν ποιητικὴν ἐν τῇ πατρίδι ἀσκήσας· εἶτα ἀθήναζε παρεγένετο. οἱ δὲ ἀθηναῖοι γραμματικὸν αὐτὸν ἐποιήσαντο, καὶ ἐπὶ νέοις διδάσκαλον ἔστησαν. δειλὸς δὲ *ὢν ὁ Ζήνων φύσει καὶ τὸν Ἰλλοῦν ὁρῶν ἐν δίκῃ ἀγαπώμενον, καὶ μέγα ἤδη δυνάμενον: εὐλαβεῖτο περὶ αὐτόν, καὶ δι' ἀπιστίαν οὐχ οἷός τε ἦν ἠρεμεῖν, ἀλλὰ πάσας ὁδοὺς διεξῄει, καὶ πάσας ἔπλεκε μηχανάς, ὅπως ἂν ἐκποδὼν ποιήσοιτο τὸν Ἰλλοῦν ὁ Ζήνων. ὁ δὲ τῶν κρατούντων τῆς πολιτείας ἡγεμὼν τὴν δόξαν ἐπισκοπεῖν εἰληχώς, ὄνομα Πέτρος, ἀνὴρ ἰταμὸς ὢν καὶ περιπόνηρος· ἀλλ' ἴσως καὶ ἐνταῦθα ἐκράτουν

*ἱσ. ἱστορεῖται. Zenodotus. — Theogenes. — * χρήματα M. M. — Asclepiodotus. — Seuerianus. — * βουλευμάτων. — Theodorus Asinaeus. — Pamprepius. — * ἦν M. M.

Sollicitus vero erat Proclus de [a] aurea reuera Platonis catena, ne nobis vrbem Athenienſem relinqueret. Sollicitus etiam de Marino propter corporis infirmitatem. Verus Philoſophiæ amor inſeritur, & omni terreno vinculo diſrupto, Athenas odio omnium bonorum, diuitiarúmque contemptu venit. Talis etiam Philoſophus [b] Zenodotus fuiſſe dicitur, qui ſolus dignus fuit deliciæ Procli vocari, de quo maximam etiam ſpem conceperat, nec erga illum ſuperbe ſe gerebat, neque ſiniſter erat, nec colloquio tumidus, licet præditus eſſet nobilitate imperio parta, & generoſitate morum, apertóque ſtudio, curáque verborum. Alios ad graue conſilium conuocatos, non modo ſuperabat Theogenes, ſed iam etiam aliquis erat Philoſophus. Diuitiæ [c] ſucceſſionum [in ludo] non, vt nonnulli putãt, tẽporibus Platonis fuere.[d] Plato enim pauper fuit, & vnum hortum in Academia habuit, cuius prouentus trium erat nummorum. Prouentus vero omnium diuitiarum ſub Proclo mille nummûm, aut etiam plurimũ fuit, quod multi morientes opes ſuæ ſcholæ relinquerẽt. Iam enim ad extremum ſermonis, quem reliquimus, deuenimus, [e] Aſclepiodotus omnibus vitæ ſplendoribus ornatus fuit. Nulli eorum connubium obiiciunt, ſed ſoli re ipſa philoſophi ad ſummum peruenerunt. Aſclepiodotus ingenij dextri, gener magni Aſclepiodoti per filiam, ſponſus iam erat, vir magnæ diligentiæ. Fons erat aquam ſacram & potabilem effundens, vt quod poëtarum more dixit auctor, os eius & reliqua facies domicilium ſit Gratiarum. Si quando enim & illi re aliqua indiguiſſent, omnes ad illũ tanquam amici ad amicum acceſſerunt. [f] Iſidorus multum præſtabat Hypatiæ, non ſolum vt vir mulieri, ſed vt geometriæ deditæ re ipſa Philoſophus.

Seuerianus conſtanti animo fuit, & quæ cum animo cogitaſſet: re exequi paratus, agendo conſilium anteuertebat. Itaque ſæpe vita eius impegit: non enim facile erat creſcere, & ad amuſſim proficere, vt [g] Theodorus Aſinæus profecit ſub Porphyrio, qui ſtatim initio ſola neceſſaria corpori conferrent, & omnem vitam caſtè traducere. [h] Pamprepius breuiſſimo tempore eloquentiſſimus, & doctiſſimus fuiſſe viſus eſt, ſic incubuit primis doctrinæ rudimentis, quas Grammatica & Poëtica docent. Erat natione Ægyptius, & poëticam in patria cum didiciſſet, Athenas profectus eſt: ſed Athenienſes Grammaticum eum fecerunt, puerorúmque ſcholæ eum præeſſe voluerunt. Zeno natura timidus erat, & videns Illum iudicibus charum, & maximæ auctoritatis, ſibi de eo cauit, & quod illi minus fideret, quieſcere non poterat, ſed omnibus modis tentauit, omnéſque machinas adhibuit Zeno, vt Illum amoueret. Sed princeps inter eos qui rerum potiebatur Petrus nomine, vir impudens & improbus: cuius erat forte opinionem examinare, ſed forſitan & hic euicerunt

DAMASC. — a Prouerb. & Homer. — b Zenodotus. — c Retine διαδοχῶν. — d Plato Suid. & Laert. — e Asclepiodotus. — f Hypatia Isidori vxor. — g Theodorus Asinaeus. — h Pamprepius.

DAMASC.

Pamprepij lenta semper responsa & longius bellum protrahentia. Pamprepius in Ægypto agens, Isidoro verbis significauit, quod non faueret Illo; sed iam proditionem molienti similis esset, & Romano imperio inhiaret. Hæc rupes superius in latitudinem extensa, inferius angustior quidem, sed quæ suffulciat suspensam latitudinem valde sublimem, superantem ei subiectam, & sustinentem montis crepidinem, Similem dixeris illam magno collo sustinenti caput ingens, dignúmque visu. Rursum ad Isidorum orationem reuocemus. Non inflatus erat Isidorus, nec in colloquio difficilis, nec Stoicam * affectationem ignorauit: nuncque videbatur hilaris, & lætus, & corpore venusto, & animo sursum erecto, adhæc alienus à mortis cura. Improbum hominem, & vita infami, contra Athanasium sectantem fortiorem sententiam. Hæc Iuliani vasculis immiserunt. Isidorus arculam, aliáq; vascula disposuit vt parata, & in promptu essent, tanquam in mercatum missurus, turbam hominum collectam ad profectionem. Imperauit etiam seruis, vt iam strigiles pararent, & philosophos in carcerem denuo coniecit, eo quod secundo conuicti essent. Iulianus silentio excepit, tulitque in tergo multas plagas tympanis illatas. Nam multis fustibus cæsus est, nihil omnino locutus, videns supellectilia ad nauigationem parata: cur hoc, inquit, facis? custodes portuum te capient: decessit igitur non multo post, & domi meæ diuersabatur. Iuit igitur Athenas, Proclo sepulcralia cum thure allaturus. Extrema malitia, & incurabilis, meretur statim supplicium, quæ vero paulatim deflexerit, venia statim digna est. Plurimis vero media peccata admittentibus, iustitia differt malorum remedia: sine quod subsidium habeat à virtute, si forte effugerint magis sectiones, & vstiones: siue quod ob facinoris magnitudiné festinato sint remedio indigni: siue quod quibusdam antequam peccata puniantur, pro bonis gratia debeatur. Philosophorum fastus in monendo potest etiam virum barbarú exasperare: etsi philosophi putant tolerare oportere, & casum æquo animo ferre. In mulieré sacrá, incidit, cui miro modo diuinæ auræ particula insita erat. Aquam enim puram cum infudisset vitreo poculo, videbat in aqua poculi rerum futurarum species, & illa prædicebat ex visione, quæ omnino futura essent: huius experimentum nos quoque cepimus. Anatolius Ioannem flagris cæsum bonis cum exuisset, statim vitam finiit. Conueni necessario Emesionem. Non enim æquo animo tulissem eius stultitiam, sed legatio adire me compulit. Arabiæ aqua stygia subterlabés exonerat se in * Bostra Arabiæ, quæ sub Seuero Imperatore in ciuitatem redacta est, cum olim præsidium fuisset, in gratiam vicinorum Dionysiorum à Regibus Arabicis muris cinctum. Cum intellexisset Io

* συμπεριφορᾶς.

Aqua Stygia.

* Bostra ciuitas

οἱ Παμπρεπίου χρησμοὶ· βασιλεύοντες ἀεὶ καὶ ἀναβάλλοντες εἰς χρόνους τὸν πόλεμον. ὁ δὲ Παμπρέπιος κατὰ τὴν Αἴγυπτον διαγενόμενος, Ἰσιδώρῳ παρεῖχεν ἐκ τῶν λόγων αἴσθησιν, ὡς οὐχ ὑγιαίνοι πρὸς Ἴλλουν· ἀλλ' ἤδη προδοσείοντι ἐοίκει, καὶ μὴν ἔτι καὶ σφετεριζομένῳ τὴν Ῥωμαίων βασιλείαν. ἡ πέτρα αὕτη τὰ μὲν ἄνωθεν ἐκπεπετασμένη εἰς εὖρος, τὰ δὲ κάτωθεν ἀπεστενωμένη ταύτῃ, ὅσον ὑπερείδειν τὴν ἐπικρεμαμένην ἵδρυσιν, μετέωρον πολλαχῆ, ὑπερέχουσαν τῆς ὑποκειμένης καὶ ἀνεχούσης κρηπῖδος ὀρείας· εἰκάσαις ἂν αὐτὴν αὐχένι μεγάλῳ, φέροντι κεφαλὴν ὑπερμεγέθη τινὰ καὶ ἀξιοθέατον. πάλιν δ' ἐπὶ τὸν Ἰσίδωρον ἀνακαλεσόμεθα τὴν συγγραφήν. οὔτε τετυφωμένος ἦν ὁ Ἰσίδωρος, οὔτε δυσόμιλος, οὐδὲ ἠγνόει τὴν στωϊκὴν συμπεριφορὰν λεγομένην· καὶ ἦν τότε αὐτὸν θεάσασθαι φαιδρόν τε καὶ γεγηθότα, τό, τε σῶμα αἰθριῶντα, καὶ τὴν ψυχὴν ὑψοῦ διεγηγερμένον ἔτι· καὶ ταῦτα τὴν περὶ θάνατον φροντίδων * ὑπολειπόμενον. πονηρὸν δὲ ἄνθρωπον καὶ τὸν βίον ἐπίρρητον. Πρὸς τὸν ἐπισκοποῦντα τὸ τηνικαῦτα τὴν κρατοῦσαν δόξαν Ἀθανασίου. ἐνέβαλλον αὐτὰ τοῖς Ἰουλιανοῦ σκευαρίοις. ὁ δὲ Ἰσίδωρος τό [τε] κιβώτιον, καὶ τὰ ἄλλα σκευάρια διέθηκεν ἕτοιμα εἶναι καὶ πρόχειρα, ὡς ἐπιπέμψων εἰς τὸ ἐμπόριον, στῖφος ἀνδρῶν συγκεκροτημένον εἰς ἔφοδον. ὁ δὲ καὶ ξύστρας ἤδη ἀπειλῶν διεκελεύετο τοὺς ὑπηρέτας, καὶ τοὺς φιλοσόφους εἰς τὸ δεσμωτήριον πάλιν * ἔβαλλεν ἐπὶ ψήφῳ δευτέρῳ ἐλέγχων. ὁ δὲ Ἰουλιανὸς σιωπῇ ἐδέξατο, καρτερῶν τὰς πολλὰς ἐπὶ τοῦ νώτου διὰ τῶν τυμπάνων πληγάς· καὶ γὰρ πολλαῖς ἐπαίετο βακτηρίαις, μηδὲν ὅλως φθεγξάμενος, ἰδὼν τὰ σκευάρια συνδούμενα πρὸς τὸν ἀπόπλουν. τί τοῦτο, ἔφη, ποιεῖς ἄνθρωπε, ἁλώσῃ δὲ ὑπὸ τῶν λιμενιτῶν φυλακτήρων. ἀφίκετο τοίνυν οὐ πολλῷ ὕστερον, καὶ ἐν ἐμοῦ τῷ οἴκῳ διητᾶτο. ἀφίκετο μὲν Ἀθήναζε τότε τῷ Πρόκλῳ * ἐπιταφήσων, θυμιάματα φέρων. Ἡ μὲν ἐσχάτη κακία καὶ ἀβοήθητος, ἀξία τῆς παραυτίκα κολάσεως, ἡ δὲ ἐπ' ὀλίγον παρατετραμμένη, ἀξία καὶ αὐτὴ τῆς ταχίστης * ἐπιστροφῆς. πλείστοις δὲ τὴν μέσην ἀναβάλλεται ἡ δίκη τὰ τῶν παθῶν ἰατρεύματα, ἤτοι ὡς βοήθειαν ἔχουσιν ἀπὸ τῆς ἀρετῆς, εἴ πως ἐκφύγοιεν μᾶλλον τὰς τομὰς καὶ τὰς καύσεις, ἢ ὡς ἀναξίοις τοῦ παραυτίκα φαρμάκου διὰ κακίας μέγεθος, ἢ ὀφείλεται ἐνίοις πρὸ τῆς τῶν κακῶν ἡ ἀμοιβὴ τῶν ἀγαθῶν. ἡ τῶν φιλοσόφων ὑπεροψία τῆς παρακλήσεως ἱκανὴ ἐκτραχῦναι ἄνδρα βάρβαρον· ἀλλ' ὅμως οἱ φιλόσοφοι καρτερεῖν οἴονται δεῖν, καὶ τὰ συμβαίνοντα φέρειν εὐκόλως. καὶ γυναικὶ ἐνέτυχεν ἱερᾷ θεόμοιρον ἐχούσῃ φύσιν παραλογωτάτην. ὕδωρ γὰρ ἀκραιφνὲς ἐγχέασα ποτηρίῳ τινὶ τῶν ὑαλίνων, ἑώρα κατὰ τοῦ ὕδατος εἴσω τοῦ ποτηρίου τὰ φάσματα τῶν ἐσομένων πραγμάτων, καὶ προὔλεγεν ἀπὸ τῆς ὄψεως αὐτά, ἅπερ ἔμελλεν ἔσεσθαι πάντως. ἡ δὲ πεῖρα τοῦ πράγματος οὐδὲ ἡμᾶς παρελήλυθεν. τὸν δὲ Ἰωάννην ὁ Ἀνατόλιος αἰκισάμενός τε, καὶ τῶν ὑπαρχόντων γυμνώσας, αὐτίκα μέντοι καὶ αὐτὸς ἀπέρρηξε τὸν βίον. ἐνέτυχον ἐξ ἀνάγκης τῷ Ἐμεσίωνι. οὐ γὰρ ἄν ποτε ἑκὼν ἀνεσχόμην τῆς αὐτοῦ ὑλακείας, ἀλλ' ἡ πρεσβεία με ἠνάγκασε.

Τῆς Ἀραβίας [καὶ] τὸ Στυγαῖον ὕδωρ κατειβόμενον ἀπεδήμησεν εἰς τὰ Βόστρα τῆς Ἀραβίας, πόλιν μὲν οὐκ ἀρχαίαν (ὑπὸ γὰρ Σεβήρου τοῦ βασιλέως πολίζεται) φρούριον δὲ παλαιόν, ἀποτετειχισμένον τοῖς * πέλας Διονυσιεῦσιν ὑπὸ τῶν Ἀραβικῶν βασιλέων, ἀκούσας τὸν Ἰωθρύλλου-

* βασιλεύοντες.

* al. ἔβαλεν ἐπ' ἐμβάλλει.

* al. ἐπὶ τὰ φῶς ὄντι.

* al. ἐπιφορᾶς.

ἐπὶ γυναικὸς μαντευομένης.

Anatolius.

θρυλλουμένην, καὶ τὸ ὄνομα τῆς πόλεως εἰς τὸν οἶστρον τῆς βοὸς ἀναλυόμενον, ἠγάπησε τὴν συνέχειαν τῆς περὶ τὴν Ἰὼ πλάνης μυθολογουμένης. ἔγνω δὲ ἐνταῦθα τὸν Θεανδρίτην, ἀρρενωπὸν ὄντα θεὸν, καὶ τὸν ἄθηλυν βίον ἐμπνέοντα ταῖς ψυχαῖς. λέγεται δὲ καὶ τοῦτο τὸ ὕδωρ εἶναι στύγιον· τὸ δὲ χωρίον, ἐν ᾧ ἐστι πεδίον τῆς Ἀραβίας, ἀνηπλωμένον ἀπὸ τῆς ἕω, μέχρι Δίας τῆς ἐρήμου πόλεως. εἶτα ἐξαίφνης ἀναρρήγνυται χάσμα εἰς ἄβυσσον πέτραις πανταχόθεν συνηρεφές· καί τισιν ἀγρίοις φυτοῖς ἀνημέροις καὶ ἀτάκτοις δασύνεται τῶν πετρῶν ἀποφυομένοις· κάθοδος ἐξ ἀριστερᾶς καιόντι στενὴ καὶ τραχεῖα, μακρὰ δὲ ὅσον ἐπὶ * σταδίοις πεντεκαίδεκα· πλὴν καταβαίνουσιν αὐτὴν οὐ μόνον ἄνδρες, ἀλλὰ καὶ γυναῖκες αἱ εὐζωνότεραι· κατελθόντι δὲ, κῆποι καὶ γεωργίαι πολλαὶ ἐν τῷ διαδεχομένῳ αὐλῶνι εἰσί. τὸ δὲ ὗν ἄκρον αὐτοῦ καὶ στενότατον ὑποδοχὴν ἔχει τῶν κατειβομένων ἐν κύκλῳ στυγίων ὑδάτων, καὶ διὰ τὸ ἀπὸ πολλοῦ ὕψους φορὰν εἰς ἀέρα σκεδαννυμένων, εἶτα αὖ πάλιν εἰς τὸ κάτω συμπηγνυμένων. θέαμα τοῦτο καὶ φύσεως ἔργον σεμνὸν καὶ φρικῶδες· οὐκ ἔστιν οὐδεὶς ἀνὴρ ὃς ἰδὼν οὐκ ἂν πληρωθείη σεβασμίου φόβου. τῶν δὲ ῥιπτουμένων τῷ ὕδατι ἀναθημάτων, τὰ μὲν καταδύεται εἰς ἄβυσσον, κἂν ἐλαφρὰ ᾖ, οἷς εὐμενῶς ἔχει τὸ θεῖον· οἷς δὲ μὴ, ταῦτα δὲ ἄρα κἂν βαρύτατα ᾖ ἐπιπολάζει, καὶ εἰς τὸ ἐκτὸς ἀποπτύεται, θαυμαστόν τινα τρόπον. τὸ δὲ ὅρκιον τοῦ τε χωρίου καὶ τῶν ὑδάτων πεφρίκασι διὰ πείρας οἱ ἐπιχώριοι, διὸ καὶ ἥκιστα ὀμνύουσιν. εἰ δέ ποτέ τις ἐπιορκήσῃ, * εἴσω ἐνιαυτοῦ ἀπόλλυται φασὶ φυσηθεὶς ὑδέρῳ τὸ σῶμα, καὶ οὐδεὶς τὴν δίκην διέφυγεν.

Ὅτι Διόνυσός φασι Λυκοῦργον καὶ τοὺς ἑπομένους αὐτῷ Ἄραβας κατηγωνίσατο οἴνῳ, ἀπ' ἀσκοῦ καταβρέξας τὴν πολεμίαν στρατιὰν, ἐξ οὗ καὶ τὴν πόλιν ἐκάλεσε Δαμασκόν. οἱ δὲ τὴν ἐπωνυμίαν διδόασι τῇ πόλει ἀπὸ γίγαντος, [τινὸς] ᾧ ὄνομα Ἀσκὸς, ὃν ὁ Ζεὺς ἐδάμασεν ἐνταῦθα. ἄλλοι δὲ καὶ ἄλλας λέγουσι τῆς ἐπωνυμίας αἰτίας. ὁ δὲ συγγραφεὺς ἐκ ταύτης ὁρμᾶται τῆς πόλεως. ὡς ἡ ἀσχολία τοῦ ῥητορεύειν δεινὴ, στρέφουσα μὲν περὶ στόμα καὶ γλῶτταν τὴν ὅλην [μὲν] σπουδὴν, ἀποστρέφουσα δὲ τῆς ψυχῆς, καὶ τῶν ἀποκαθαιρόντων αὐτὴν μακαρίων τε καὶ θεοτελῶν ἀκουσμάτων. ταῦτα δὲ ἐννοῶν, φησὶν ὁ συγγραφεὺς, ἐνίοτε διεκοπτόμην τῶν ῥητορικῶν ἐξηγήσεων, ἔνατον ἔτος οὕτω μοι διεληλύθει, συνδιήγομεν ἀλλήλοις, ὅσαι τε ἡμέραι καὶ ὅσαι νύκτες, ἐπὶ μῆνας η. εἶδόν φησι τὸν βαίτυλον διὰ τοῦ ἀέρος κινούμενον, ποτὲ δὲ ἐν τοῖς ἱματίοις κρυπτόμενον, ἤδη δέ ποτε καὶ ἐν χερσὶ βασταζόμενον τοῦ θεραπεύοντος· ὄνομα δὲ ἦν τῷ * θεράποντι τὸν Βαίτυλον Εὐσέβιος, ὃς καὶ ἔλεγεν ἐπελθεῖν αὐτῷ ποτε ἀδόκητον ἐξαίφνης προθυμίαν ἀποπλανηθῆναι τοῦ ἄστεος * ἡμίσεος ἐν νυκτὶ μεσούσῃ σχεδὸν ὡς πορρωτάτω πρὸς τὸ ὄρος αὐτὸ, ἐν ᾧ τῆς Ἀθηνᾶς ἵδρυται ναὸς ἀρχαιοπρεπής. ἀφικέσθαι δὲ τὴν ταχίστην εἰς τὴν ὑπώρειαν τοῦ ὄρους, καὶ αὐτόθι καθίσαντα, ἀναπαύεσθαι ὥσπερ ἐξ ὁδοῦ· σφαῖραν δὲ πυρὸς ὑψόθεν καταθρώσκουσαν ἐξαίφνης ἰδεῖν, καὶ λέοντα μέγαν τῇ σφαίρᾳ παριστάμενον. τὸν μὲν δὴ παραχρῆμα ἀφανῆ γενέσθαι, αὐτὸν δὲ ἐπὶ τὴν σφαῖραν δραμεῖν ἤδη τοῦ πυρὸς ἀποσβεννυμένου, καὶ καταλαβεῖν αὐτὴν οὖσαν τὸν Βαίτυλον, καὶ ἀναλαβεῖν αὐτὸν

toties decantatam, & nomen ciuitati ab œstro bouis inditum esse, amauit illam propter originem fabulosam quæ est * de Io vagante. Hic vero cognouit esse Theandritem Deum specie virili animísque vitam castam inspirare. Dicitur in eo loco aqua Stygia esse, in quo Arabiæ campus est, qui ab ortu Solis Diam vsque desertam vrbem extenditur. Deinde repente hiatus aperitur in immensam voraginem, saxis vndique impendentibus, & aliquibus plantis siluestribus, horridis, & incultis è petris nascentibus opacatur. Descensus à sinistris ingredienti angustus & scabrosus, longus stadiis quindecim, nisi quod non solum viri, sed etiam feminæ valde expedite illam ingrediantur. Descendenti horti & agri plurimi in sequenti valle occurrunt. Summa pars & angustissima, habet receptaculum, quo omnis vndiq; aqua stygia influit, quæ quod ab altissimo loco fertur, in aëre spargitur, deinde iterum inferius concurrit. Spectaculum hoc, & naturæ opus religione plenum, & terribile est. Nemo est, qui viderit, quin timore sancto repleatur. Quædam è donariis quæ aquæ iniiciũtur, deferuntur in profundum, tametsi leuia, quibus ipse Deus propitius est: quibus vero minus, ea licet grauissima, supernatant, & expuitur foras admirando quodam modo. * Iurare per campum illum & aquas incolæ experimento edocti horrent, quare minimum iurant. Si quis aliquando peierauerit, intra annum corpore hydrope tumefacto moritur, nemóque vnquam pœnam euasit.

Fertur & Bacchus Lycurgum & cæteros Arabes comites eius vino domuisse, cum ex vtre exercitum irrorasset hostilem, vnde & vrbem Damascum appellauit. Quidam vrbi nomen à quodam gigante tribuunt, cui nomen Ascus, quem Iupiter illic domuit; alij alias huius nominis rationes reddunt. Auctor ex hac vrbe originem duxit. Vt studium aptum ad Rhetoricam, omnémque curam ad os, & linguam conuertere, ab anima autem rerum sanctarum, ac diuinarum cogitationem auertere. Hæc, inquit auctor, intelligens, aliquando oratorias exercitationes reliqui, & sic nouem anni elapsi sunt, viximus simul omnibus & noctibus & diebus, menses octo. Videram, inquit, Bætulum in aëre motum, vestibus interdum tectum, aliquando vero etiam manibus medici portatum. Nomen medici, qui Bætulum gestabat, erat Eusebius, qui etiam dixit accidisse sibi aliquando nec opinanti subitum impetum errandi ab Emesa vrbe, pene media nocte, quam longissimè ad montem illum, in quo Palladis templum veteri magnificentia conditum est, & iuisse sese celerrimè ad cacumen montis, & ibidem tanquam è via fessum desedisse, & vidisse globum ignis celeriter decidentem, & Leonem ingentem in globo constitutum, & illum statim euanuisse: seque, igne iam exstincto, ad globum cucurrisse, & illum tanquã Batulum accepisse,

DAMASC. Ad Homeri locum respexit Il. β. ver. 37. & ibid. Eustath. & Mela de Alpheo.

* Ouid. Metam. Horat. Lamb. & Gisald.

* al. σταδίοις.

* Virgilius VI. Æneid. v. 323. Cocyti stagna alta vides, Stygiámque Paludem, Dij cuius iurare timent, & fallere numen. At Iuppiter lege velati solus iurat. Stygij per flumina fratris, Per pice torrentes, atraque voragine ripas lib. 9. & 10. & 12. Æneid.

* al. ἐγω.

Damascus vrbs.

Emesa vrbs.

* θεραπεύοντι. * al. ἡμίσεως.

DAMASC.

& rogasse cuius Dei esset, & respondisse illum esse Gennæi. Gennæum Heliopolitæ colunt, erecta quadam Leonis forma in templo Iouis. Iuisse eadem nocte via non minus quam decem & ducentorum stadiorum, vt aiebat, continuo. Eusebius non erat dominus * Bætuli motuum, vt alij aliorum, sed hic petebat, & orabat: ille vero locum dabat oraculis. Hæc, & multa similia nugatur dignus profecto Bætuliis lapidibus: quin etiam formam eius describit: Globus quidem, inquit, egregius, colore subcandido, diametro longus palmo, sed interdum maior apparebat, interdum minor, interdum purpureus, & litteras ostendit nobis in lapide descriptas, idque, colore Tingabarino, vt vocant, & in muro fixit. Vnde sciscitanti oraculum dedit, & vocem emisit è tenui fistula, quam interpretatus est Eusebius. Vanæ mentis ille alia multa miranda de Bætulo narrat. Equidem putaram diuinius esse oraculum Bætuli, Isidorus dæmonium potius esse dixit. Esse enim aliquem dæmonem mouentem illum, non vnum ex admodum malis, non omnino immateriatis, nec omnino puris: Bætulorum alium alij incumbere, vt ille criminans dicit, Deo, Saturno, Ioui, Soli, & aliis.

* Hesych. Oy- tala.

Maximinus, inquit, religione erat gentilis, oculis adeo terribilibus, vt intuentium auersaretur oculos. Cuius sibi conscius, vt plurimum terram, non ipsos homines obuios respiciebat, & etiam multa vidit visa, quæ alij non videbant. Poterat & dæmones noxios immittere, & aliúde immissos coërcere. Cum impiè quid ageret Byzantij, gladij pœna affectus est, nec philosophicam vitam intelligens, si quis è multitudine iniuriam ei inferret, ignorabat ciuilia, & grauia negotia. Cúctatio longior ei fuit, quã spes festinandi in Cariam vel Athenas ferret. Venio ad precationes, quas ad Deum habuit, & Cyllenio tardante, & negotia differente, nihil Isidorus perfecit, parcens preciosissimæ rei, * iuxta sententiam sapientis, tempori. Videns meipsum diuino lumine illustratum, quantam putas animi contentionem fecisse? Insanus factus cum esset, arrepta securi, sibi virilia amputat. Et ego hæc Isidoro nunciaui, qui semper sapienter, & diuinitus sacris sermonibus attendit, cum putaret se de corpore periclitari. Hoc vero exemplum propriæ voluntatis est, hæc grati animi ergo, pauca pro multis reddenti. Nauigabamus Samum, corpus vero tumebat à pedibus infra incipiens, vsque ad inguina & verenda: consopitus sum in naui: deinde in somnis polluor, vittam, sacram vestem, stolam, faciei simulacrum, fasciá. Tantum Philosophiam audimus contemni nunquam Athenis, quãtum vidimus vituperari ab Hegia.

Maximinus, an hic Imperator? Vide exitum.

* Vide Menosi. & Stobæum, πολυτελέστατον ἀνάλωμα χρόνος.

καὶ διερωτῶσαι, ὅτου θεῶν ἂν εἴη; φάναι δ' ἐκεῖνον εἶναι τοῦ Γενναίου· τὸν δὲ Γενναῖον Ἡλιουπολῖται τιμῶσιν, ἐν Διὸς ἱδρυσάμενοι μορφήν τινα λέοντος· ἀπαγαγεῖν τε οἴκαδε τῆς αὐτῆς νυκτὸς οὐκ ἐλάττω σταδίων δέκα καὶ διακοσίων, ὡς ἔφη, διηνεκῶς. οὐκ ἦν δὲ κύριος ὁ Εὐσέβιος τῆς Βαιτύλου κινήσεως, ὥσπερ ἄλλοι ἄλλων: ἀλλ' ὁ μὲν ἐδεῖτο καὶ ηὔχετο: ὁ δὲ * ὑπήκουσε πρὸς τὰς χρησμῳδίας. Ταῦτα ληρήσας, καὶ πολλὰ τοιαῦτα, ὁ [τῶν] Βαιτυλίων ὡς ἀληθῶς ἄξιος τῶν λίθων, διαγράφει καὶ τὸ εἶδος αὐτοῦ. σφαῖρα μὲν γάρ φησιν ἀκριβὴς ἐτύγχανεν ὤν, ὑπόλευκος δὲ τὸ χρῶμα, σπιθαμιαία δὲ τὴν διάμετρον κατὰ μέγεθος. ἀλλ' ἐνίοτε μείζων ἐγίνετο καὶ ἐλάττων, καὶ πορφυροειδὴς ἄλλοτε. καὶ γράμματα ἐπέδειξεν ἡμῖν ἐν τῷ λίθῳ γεγραμμένα, χρώματι τῷ * καλουμένῳ * τιγγαβαρίνῳ κατακεχρωσμένα, καὶ ἐν * τοίχῳ δ' ἐγκρούσας· δι' ὧν ἀπεδίδου τὸν ζητούμενον τῷ πυνθανομένῳ χρησμόν, καὶ φωνὴν ἀφίει λεπτοῦ * συρίσματος, ἣν ἡρμήνευσεν ὁ Εὐσέβιος. τερατολογήσας οὖν τὰ εἰρημένα ὁ κενόφρων οὗτος, καὶ μυρία ἄλλα παραλογώτερα περὶ τοῦ Βαιτύλου ἐπάγει· ἐγὼ μὲν ᾤμην θειότερον εἶναι τὸ χρῆσμα τοῦ Βαιτύλου, ὁ δὲ Ἰσίδωρος δαιμόνιον μᾶλλον ἔλεγεν. εἶναι γάρ τινα δαίμονα, τὸν κινοῦντα αὐτόν, οὔτε τῶν βλαβερῶν, οὔτε τῶν ἄγαν προσύλων, οὐ μέντοι τῶν * ἀνηγμένων εἰς τὸ ἄυλον εἶδος· οὐδὲ τῶν καθαρῶν παντάπασι· τῶν δὲ Βαιτύλων ἄλλον ἄλλῳ ἀνακεῖσθαι, ὡς ἐκεῖνος δυσφημῶν λέγει, θεῷ, Κρόνῳ, Διΐ, ἡλίῳ, καὶ τοῖς ἄλλοις.

* ὑπήκουσεν.

* al. κιγκαβαρίνῳ. * τιγγαβαρίνῳ.

* συρίγματος.

* ἀνηγμένων.

Ὅτι Μαξιμῖνος, φησίν, ἕλλην δ' οὗτος ἦν τὸ σέβας, τὰς βολὰς τῶν ὀμμάτων [ἀφιεὶς] οὕτω φοβερόν τι καὶ βλαβερὸν ἀνέβλεπεν, ὥστε τῶν εἰσορώντων ἀποστρέφειν τὰς ὄψεις· καὶ τοῦτο (φασὶν) ἐκεῖνος συνειδὼς ἑαυτῷ, τὰ πολλὰ κάτω καὶ οὐ πρὸς τοὺς ἐντυγχάνοντας ἔβλεπεν. ἀλλὰ καὶ πολλῶν οὗτος φασμάτων ἐγίνετο θεατής, ἄλλοις οὐχ ὁρωμένων. ἱκανὸς δ' ἦν καὶ δαίμονας ἐπιπέμπειν φθοροεργούς, καὶ * ἄλλοθεν ἐπιπεμπομένους * ἀνατέλλει. πλὴν * δυσσεβῶν ἁλοὺς κατὰ τὸ Βυζάντιον, τὴν διὰ ξίφους οὐκ ἐξέφυγε δίκην· οὔτε φιλόσοφον βίον ἐννοήσας εἴ τις [ἦν] τῶν πολλῶν [ὑβρίζει] ὕβρεις τὰς ἐξ ἀνθρώπων, ἄπειρος ὢν τῶν πολιτικῶν ζυγῶν καὶ ἀνιάτων πραγμάτων. ἡ ἀναβολὴ μακροτέρα αὐτῷ γέγονε τῶν * τότε εἰς Καρίαν, καὶ τῶν Ἀθήναζε σπευδουσῶν ἐλπίδων. καὶ πρὸς θεοῦ λιταρήσεις ἔρχομαι. καὶ τοῦ Κυλληνίου βλακεύοντος, καὶ τὰ πράγματα ἀναβάλλοντος, οὐδὲν ἤνυσεν ὁ Ἰσίδωρος, φεισάμενος τοῦ πολυτελεστάτου τῷ ὄντι δαπανήματος, τοῦ χρόνου, κατὰ τὸν εἰπόντα σοφόν. ὁρῶν δὲ ἐμαυτὸν τῷ θείῳ φωτὶ περιρρεόμενον, πῶς οἴει σφόδρα τὴν ψυχὴν ἐτανυσκόμην;

Maximinus.

* ἐν ἄλλῳ M. M. * ἴσ. ἀνατέλλειν. * δυσσεβῶν.

* al. τὸ ἐκεῖ

ἐμμανὴς γενόμενος, ἀνελὼν τὸν πέλεκυν, ἀποτέμνει τὴν αὐτὸς ἑαυτοῦ παιδοσπόρον φύσιν. καὶ ἐγὼ ταῦτα ἀπήγγελλα τῷ Ἰσιδώρῳ σοφῷ τε καὶ ἔνθεον ἀεὶ προτείνοντι πρὸς τοὺς μύθους τοὺς ἱεροὺς ἀκοήν. οἰηθέντα περὶ τὸ σῶμα κινδυνεύσειν. ἀλλὰ τοῦτο μὲν τῆς ἰδιώτιδος παράδειγμα προαιρέσεως, ὀλίγα ἀντὶ πολλῶν ἀποδιδόντι χαρίσια· ἐναυστολούμεθα πρὸς τὴν Σάμιον. τὸ σῶμα δ' ἐφυσᾶτο, κάτωθεν ἀρξάμενον ἀπὸ τῶν ποδῶν, ἕως ἤδη τῶν βουβώνων καὶ τῆς αἰδοῦς. κατεκοιμήθην ἐπὶ τῆς νεώς, καί πως ἀφροδισιάζομαι τοῖς ὀνείρασι, κρήδεμνον, φωστώνιον, ὀθέριον, τοῦ προσώπου ἐκμαγεῖον, * ἡμιτύβιον. εἰς τοσοῦτον γὰρ ἀκηκόαμεν φιλοσοφίαν καταφρονηθεῖσαν οὐδὲ πώποτε Ἀθήνησιν, ὅσον ἑωράκαμεν ἀτιμαζομένην ἐπὶ Ἡγίου.

* ἀλλ' ἢ τύμβιον.

DAMASC.

Ἀρχιάδας. ὁ δὲ * Ἀρχιάδας, τὸ μὲν ὅλον τοῦ πατρὸς οὐκ ὀλίγῳ λείπεσθαι διαφέρων, καὶ πολλῶν ἄλλων, εἰς ἀρετὴν· τὰ δὲ εἰς φιλοσοφίαν ἄγοντα παρειμένος, ἅτε πρὸς ταῦτα ἀνάγωγος ὤν, διὰ τὴν οὐκ ἀκολάκευτον παρ' ἡμῖν οὐσίαν, ἱερὰν δὲ ζωὴν προβεβλημένος, εἴπερ τις ἕτερος. ὁ μὲν οὖν Εὐπείθιος εὐφυέστερος μὲν ἐγένετο· τὰ δὲ ἤθη ἐπιτετριμμένος εἰς ἰδιωτισμόν· ἴδη δὲ καὶ ἁπλούστερον ἔχων, ἢ κατ' ἰδιώτην, ἀσθενῶν αὐτὸς τὸ σῶμα καὶ οὐ πόρρω τοίνυν θανάτου. ὁ δὲ πρὸς μὲν τὸ παραχρῆμα δυσχερῶς ἤκουσε τῆς ἀπολογίας, ἅτε [δὴ] μὴ κατ' ἐλπίδας αὐτοῦ προχωρούσης τῆς ἀγαθοειδοῦς προαιρέσεως. τοιαῦτα πολλὰ λέγων τε καὶ ἐπᾴδων, ἔπεισε τὸν Ἰσίδωρον ὁ Μαρῖνος δέξασθαι τὸ ψήφισμα τῆς διαδοχῆς· καὶ ἐψηφίσθη διάδοχος, ἐπ' ἀξιώματι μᾶλλον ἢ πράγματι τῆς πλατωνικῆς ἐξηγήσεως. εἰ δὲ θειότερον χρῆμα, ὡς σὺ φῂς, ὦ Ἡγία, ἔλεγε πρὸς αὐτὸν ὁ Ἰσίδωρος, ἡ ἱερατικὴ πραγματεία· φημὶ μὲν τοῦτο κἀγώ· ἀλλὰ πρότερον ἀνθρώποις γενέσθαι τοὺς ἐσομένους θεοὺς δεῖ· διὰ τοῦτο καὶ ὁ Πλάτων ἔφη μὴ ἐλθεῖν εἰς ἀνθρώπους μεῖζον ἀγαθὸν φιλοσοφίας. ἀλλὰ τοῦτο συμβέβηκε νῦν ἐπὶ ξυροῦ ἑστάναι οὐ τῆς ἀκμῆς, τοῦ δὲ ἐσχάτου γήρως ὡς ἀληθῶς. ἐλάνθανε δὲ ἑαυτὸν * ἀνίατα πράγματα καὶ πόρρω μοχθηρίας προβεβηκότα διορθοῦσθαι ἐπιχειρῶν· ἤνυε δὲ οὐδὲν πλέον. ἦρα δὲ ἀρχομένου τοῦ Μαρίνου τὸ σῶμα ἀπολιπόντος, ἐβουλεύετο τὰς Ἀθήνας ἀπολιπεῖν ὁ Ἰσίδωρος· παρῄνει δὲ Συριανὸν καὶ Ἡγίαν ὁ Ἰσίδωρος, ὡς χρεὼν εἴη, φιλοσοφίαν ὑπορρέουσαν ἀναστῆσαι,

Dorsal margin notes: * a. Archiadas Hegia. vide Suidam. — * Marini successor Isidorus. — † Vide ap. Platon. & praeter- — * al. ἄνευ τά.

[... reading of small interlinear line:] ὅσα παρεῖται χρεὼν ταῖς ἐκλογαῖς συμπλέκεσθαι καλλωπίζει ἔχοντα

Διὰ μηχανῆς τινὸς ἀπόρου καὶ ἀνθρωπίνης ἐλπίδος ἔξω καθεστηκυίας ἐν ἀπορρήτοις τὰ ἀπόρρητα διαμηχανωμένοις ὑπὲρ τῆς σφῶν αὐτῶν τῆς θεουργίας ἐλπίδος, καὶ ὑπὲρ τῶν ἄλλων αἰγυπτίων τῆς ὅλης εὐθημοσύνης. ἀλλ' ἐντεῦθεν ποθὲν ἀπὸ τῆς τρίτης καὶ περικοσμίου γενέσεως ἀναδήσασθαι τὰ πείσματα τῆς ἀναγώγου σωτηρίας. καὶ δὴ Σεβῆρος, ἀνὴρ τῆς ῥώμης πατρίκιος, ἄλλα τε διηγεῖτο ἐν Ἀλεξανδρείᾳ συνδιατρίβων, καὶ ὅτι λίθον ἐθεάσατο, ἐν ᾧ Σελήνης ἐγίνετο σχήματα μεταμορφουμένης παντοῖα μὲν, ἄλλοτε δ' ἄλλα πρὸς ἥλιον αὐξομένης καὶ μειουμένης ἐνόντα τῷ λίθῳ [καὶ] αὐτὸν τὸν Ἥλιον. ὅθεν ἡ φήμη τοὺς τοιούτους λίθους καλεῖ συνοδίτας. καὶ ἡλίτην δὲ λίθον ἔλεγεν ἑωρακέναι, οὐχ οἷον οἱ πολλοὶ ἑωράκαμεν, ἀκτῖνας διαφαίνοντα ἀπὸ τοῦ βάθους χρυσίτιδας, ἀλλὰ δίσκον ἡλιοειδῆ κείμενον μέσον τοῦ λίθου, σφαῖραν αὐτόθεν πυρὸς ὡς ἰδεῖν. ἀπ' αὐτῆς δὲ τὰς ἀκτῖνας ἐκθρῴσκειν, ἕως ἐπὶ τὴν ἴτυν· εἶναι γὰρ σφαιροειδῆ καὶ ὅλον τὸν λίθον. ἰδεῖν δὲ καὶ σεληνίτην, οὐ τὸν ὕδατι τεγγόμενον, εἶτα ἐκφαίνοντα τὸν μηνίσκον, καὶ διὰ τοῦτο ὑδροσεληνίτην καλούμενον· ἀλλὰ κατὰ φύσιν τὴν ἑαυτοῦ τρεπόμενον, ὅτε καὶ ἅπας ἡ σελήνη τρέποιτο· θαυμάσιον [χρῆμα] τοῦτό γε φύσεως, τυφλῆς δὲ καὶ ἀσαφοῦς τῆς φήμης ἀναπλασσομένης. ὁ μὲν ἦν πλεῖστος λόγος, ἀπολωλέναι τὸν αἰγύπτιον. διεφέρετο δὲ ὅμως καὶ σωτηρίας τις ἄγγελος φήμη, καὶ τάχα ἂν ἤδη ἡ πάθη ἀπροαίρετος ἂν εἴη, καὶ διὰ τοῦτο συμβαίνοι ἀνίσως καὶ τοῖς ἀθανάτοις. τὰ βέλτιστα παραινῶν, καὶ παροξύνων τῷ λόγῳ τοὺς ἐν τῷ ἔργῳ βλακεύοντας.

Ὅτι τριῶν ὄντων εἰδῶν τῆς ψυχῆς, τριττὴ καὶ ἡ πολιτεία. καὶ ἔχει μὲν ἑκάστη τὰς τρεῖς

* Archiadas patrem & alios multos superabat non parum virtute. Philosophica minus curabat, tanquam adeo ineptus, propter patrimonium blandiens, vita pius si quis alius. Eupithius ingeniosior erat, moribus tamen idiota: imo etiam idiota & simplicior: imbecillum illius erat corpus, & non multum à morte seiunctum. Hic quidem statim ægrè audiuit defensionem, quasi spei illius consilium speciosum non satisfaceret. Talia multa dicens & occinens, persuasit * Marinus Isidoro, vt reciperet decretum de successione, & successor creatus est, nomine magis quam re ipsa, Platonicæ doctrinæ. Quod si diuinior res est, vt tu ais, Hegia, (dicebat illi Isidorus) sacerdotalis administratio, idem ego affirmo: sed primũ homines esse Deos futuros necesse est. Ideoque & Plato dixit, maius bonum homini accidere non posse, quam philosophiam. Sed hoc contigit nunc † stare in acie, non nouacula, sed vltimæ reuera senectutis. Ignorabat se aggredi ad corrigendas res incurabiles & nequissimas, nihil amplius vero profecit. Vere ineunte, mortuo Marino, voluit Isidorus Athenas deserere: monebat autem Syrianum & Hegiam Isidorus, quam necessarium sit, Philosophiam labentem restituere.

[*Quæ verbis ornata prætermissa sunt, ea necesse est cum excerptis coniungi.*]

Per artem quandam dubiam, & extra humanam spem constitutam, in secretis arcana pro se ipsis diuinæ spei quærentes, & pro aliis Ægyptiis, totius ordinis. Sed hinc alicunde à tertio ortu, qui circa mundum est ligare funem reuocatæ seruationis. Seuerus Patricius Rom. & alia narrabat multa Alexandriæ agens, & lapidem se vidisse, in quo Lunæ erant mutantes variè formam secundum Solem, quandoque crescentes, interdum decrescentes; lapidi ipse etiam Sol inerat. Vnde dicuntur hi lapides Synoditæ vocari. & dixit se etiam Solarem lapidem vidisse, non qualem multi vidimus, radios ex sese aureos effundentem, sed discum Solis forma in medio lapide esse, & inde ignis globum videri, ab illo vero radios exilire, vsque ad circumferentiam: esse enim globosum, & integrum lapidem. Vidisse & Lunarem non aqua maceratum, qui deinde exhibet Lunulam, & ideo aquilunarem vocatum: sed natura se vertentem secundum motus Lunæ. Mirabile est hoc opus naturæ, sed multa obscura & non intelligibilia de eo narrantur. Multi dicunt periisse Ægyptium. fama tamen salutis nuncia vulgabatur, & forsitan res inuoluntaria sit, & idem fortasse etiam rebus immortalibus accidat: optima monens, & oratione hortans eos, qui in opere torpescerent.

Cum tres sint animæ species, triplex etiam politicæ ratio, quarũ quælibet tres illas habet,

Margin notes: Seuerus Rom. — Animi species tres. Plato Velsius in Cebetis tabulam.

DAMASC.

sed vna præcipua forma est, à qua appellatur, ac prima quidem rationem secuta est ducem, cuiusmodi vita & Resp. sub Saturno fuit, quæ aurea ætas dicitur, vel genus proximum Diis, (Aurea secula.) vt fabulæ modo poëtæ in tripode Musæ sedentes tradunt. Alia quæ iracundia inflammata, in bella & pugnas ruit, & vt summatim dicam, principatus & gloriæ cupiditate æstuans: cuiusmodi fuisse audiuimus eam, de qua crebræ narrationes historiarum. Alia, quæ appetitu regitur, luxu & deliciis diffluens, corrupta, abiecto & muliebri animo ignauiæ dedita, incerta sorte iactata, auara, vilis, seruilis, qualis nunc est hominum vita. Propendebat in peregrinationem non vanam, aut delitiosam, inhiantem hominum substructionibus spectandis, aut vrbibus magnis ac pulcris: sed sicubi quid mirandum audiret, vel augustum, siue occultum, siue apertum, ipsismet oculis videre volebat. Ipsam animam in sacris precibus totum diuinitatis oceanum esse dixit, primo à corpore in se collectam: deinde à suis moribus recedentem, & à rationalibus notionibus deflectentem ad res, quæ menti cognatæ sunt. tertiò diuinitus afflatam & mutatam in insolitam serenitatem, non humanam, sed Deo conuenientem. Hunc laudans Isidorus in ore habuit. Commodior enim persuasio, præceptióq;, præ aliis materiis, vulgo ab historia, & maxime à recentiore potius, quam antiquiore, & audientibus aliquid notius afferens. At illi in disciplinis etiam Ægyptiis Isidorum sociū, sodalémq; assumpserunt inuestigandi veritatem sacrā, quæ in profundo lateret, & illis sæpe in quæstionibus antiquæ sapientiæ lumen accendit. Omnis illi solertia non à libris & disciplinis alienis per memoriam suppetebat, sed habitum quendam firmum, & fœcundissimum, qui omnia comprehenderet huius veritatis, ab initio habuit. Et occidet hominibus, vt qui diuinum eius ortum ferre nequeant. coactus est curam filiorum gerere, vt bene instituerentur. Verborum in explicando parcior fuit, quam vt satis sensa animi explicaret: neque enim natura, exercitatióque eum hic destituebat, sed studium ipse ad perspicuitatem conuertebat. Nominum concinnitatem & ostentationem aliis relinquens, rem sectatus est: non plura verba loquutus, quā sensa mentis essent, neque plura sensa, quam rerum natura pateretur, Iustitiam, quæ Deum veneratur, in lucem ferens. Gaudebat Isidorus viso Proclo, ratus in eo se venerādū, & grauem Philosophiæ vultum verè videre. Cū etiā Proclus Isidori faciem ut diuinam fuerit miratus, plenáque intus Philosophiæ vitæ. Salustius non amplius forensi: sed oratoriæ arti intendit animum. Publicatas etiam Demosthenis orationes memoriæ mandauit omnes. Adhæc satis erat disertus, non recentiores sophistas imitās, sed cum vetere scriptionis splendore certans, orationésque scripsit nō multo illis inferiores.

ἀλλ' ἑνὶ διαμορφοῦται καὶ ὀνομάζεται τῷ ἐπικρατοῦντι. καὶ λέγω μὲν ἰθύνεσθαι, ὡς ὁ ἐπὶ Κρόνου βίος ὁ λεγόμενος χρυσῆ γενεά, ἢ τὸ θεῶν ἀγχίσπορον γένος, οἷα ἐν σχήματι μύθου σεμνύνουσιν οἱ ἐν τῷ τρίποδι τῆς μούσης καθήμενοι ποιηταί. θυμῷ δὲ διανιστάμενον πολιτείαν τὴν ἐπὶ πολέμους καὶ μάχας, καὶ ὡς ἐπίπαν φάναι, τὴν περὶ προστασίαν καὶ δόξης ἀγωνιζομένην, * οἵαν γενέσθαι τὴν ἐπὶ τῆς ἱστορίας ἑκάστοτε θρυλλουμένην ἀκούομεν. ἐπιθυμίᾳ δὲ, τὴν πανταχῆ διαῤῥέουσαν, καὶ ὑπὸ τρυφῆς ἀκολάστου διεφθαρμένην, ταπεινὰ καὶ γυναικεῖα φρονοῦσαν, δειλίᾳ σύνοικον καὶ ἐν πάσῃ * κυβείᾳ καλινδουμένην, φιλοχρήματα, μικροπρεπῆ, δουλεύειν ἀσφαλῶς θέλουσαν, οἵα τῶν ἐν τῇ νῦν γενεᾷ πολιτευομένων ἡ ζωή. προεθυμεῖτο εἰς ἀποδημίαν οὐ τὴν μάταιον καὶ τρυφῶσαν, εἰς ἀνθρώπινα οἰκοδομήματα, καὶ μεγέθη καὶ κάλλη πόλεων διαχαίνουσαν· ἀλλ' εἴ που τι θαυμαστὸν ἀκήκοεν, ἢ ἱεροπρεπὲς, ἀφανὲς ἢ φανερὸν, αὐτόπτης ἐβούλετο γενέσθαι τοῦ θαύματος. αὐτὴν δὲ τὴν ψυχὴν ἐν ταῖς ἱεραῖς εὐχαῖς πρὸς ὅλον τὸ θεῖον πέλαγος ἔλεγε· τὰ μὲν πρῶτα, συναγειρομένην ἀπὸ τοῦ σώματος * εἰς ἑαυτήν· αὖθις δὲ ἐξισταμένην τῶν ἰδίων ἠθῶν, καὶ ἀναχωροῦσαν ἀπὸ τῶν λογικῶν ἐννοιῶν, ἐπὶ τὰς τῷ νῷ συγγενεῖς. ἐκ δ' αὖ τρίτων ἐνθουσιῶσαν καὶ ἀλλαττομένην εἰς ἀήθη τινὰ γαλήνην θεοπρεπῆ καὶ οὐκ ἀνθρωπίνην. τοῦτον ἐπαινῶν Ἰσίδωρος ὁ φιλόσοφος κατὰ στόμα εἶχε. μετριωτέρα γὰρ πειθὼ καὶ προαίρεσις τοῖς ἀπὸ τῶν ἄλλων λόγων τοῖς πολλοῖς, ἢ ἀπὸ τῆς ἱστορίας, καὶ μᾶλλον τῆς παλαιοτέρας ἢ ἀπὸ τῆς νεωτέρας, καὶ τοῖς ἀκροωμένοις φέρουσά τι γνωριμώτερον. οἱ δὲ καὶ ἐν τοῖς αἰγυπτίοις φιλοσοφήμασι [τὸν Ἰσίδωρον] συνεργὸν καὶ συγκυνηγέτην παρελάμβανον τῆς ἐν βυθῷ κεκρυμμένης ὡς ἀληθῶς ἱερᾶς ἀληθείας· καὶ πολλαχοῦ φῶς ἀνῆπτεν αὐτοῖς ἐν ταῖς ζητήσεσι τῆς ἀρχαιοτέρας σοφίας. τὸ δὲ σύμπαν αὐτοῦ τῆς εὐπορίας, οὐκ ἀπὸ βιβλίων καὶ δογμάτων ἐπορίζετο ἀλλοτρίων διὰ μνήμης, ἀλλ' ἕξιν τινὰ βεβαίαν καὶ πάμφορον ἀληθείας τῆς γε τοιαύτης ἀπαρχῆς ἐκτήσατο. καὶ δύεται τοῖς ἀνθρώποις, ἅτε οὐ δυναμένοις αὐτοῦ φέρειν τὴν θείαν ἀνατολήν. * ἠναγκάζετο ἐπιμελεῖσθαι τῆς τῶν παίδων ἀγωγίας. καὶ μὴν καὶ ἐν ταῖς ἐξηγήσεσιν ἐνδεέστερος τοῦ λόγου, [ἢ] ὥστε ἑρμηνεύειν τὰ διανοούμενα ἀποχρώντως. οὐ μὴν οὐδ' ἐνταῦθα ἀβοήθητος ἦν ὑπὸ τῆς φύσεως καὶ τῆς ἄλλης μελέτης. ἀλλὰ κατεβάλλετο μὲν σπουδὴν πρὸς τὴν σαφήνειαν· τὴν δὲ τῶν ὀνομάτων εὐρυθμίαν ἀφιεὶς ἑτέροις πρὸς ἐπίδειξιν, εἴχετο τῶν πραγμάτων· οὐ λόγους τὸ πλέον, ἢ νοήσεις φθεγγόμενος· οὐδὲ νοήσεις μᾶλλον, ἢ τὰς οὐσίας αὐτὰς τῶν πραγμάτων ἄγων εἰς φῶς, τὴν περὶ τὸ θεῖον ἁγιστεύουσαν θέμιν. εὐφραίνετο δὲ ὁρῶν τὸν Πρόκλον ὁ Ἰσίδωρος, αἰδοῖόν τε ἅμα καὶ δεινὸν ἰδεῖν αὐτὸ δοκῶν ἐκεῖ ὁρᾶν τὸ φιλοσοφίας τῷ ὄντι πρόσωπον. ἐπεὶ καὶ ὁ Πρόκλος ἐθαύμαζε τοῦ Ἰσιδώρου τὸ εἶδος, ὡς ἔνθεον, καὶ * πλήρης εἴσω φιλοσόφου ζωῆς. ὁ δὲ Σαλούστιος οὐκέτι τῷ δικανικῷ, ἀλλ' ἤδη τῷ σοφιστικῷ βίῳ προσεῖχε τὸν νοῦν. ἐξέμαθε δὲ καὶ τοὺς δημοσίους ἅπαντας τοῦ Δημοσθένους λόγους. καὶ δὴ λέγειν ἦν ἱκανὸς, οὐ τοὺς νέους μιμούμενος σοφιστὰς, ἀλλὰ πρὸς τὸν ἀρχαῖον * πόνον τῆς λογογραφίας ἁμιλλώμενος. ἀμέλει καὶ ἔγραψε λόγους οὐ πολύ τι ἐκείνων λειπομένους· ἀνυπό-

* al. ἱστ...
* ἱππεία
* al. πρὸς
* al. εἶναι ...
* al. τόνον

ἀνυπόδητος περιῄει τὴν οἰκουμένην, ὥς φασιν λόγοι, ἅπασαν. Ὅτι τὰ ἕδη καὶ διὰ αὐτῶν λαμβάνεις τῶν τεμενῶν. τάττεται δὲ καὶ ἐπὶ τῶν ἀγαλμάτων. λέγεται δὲ ἕδος, καὶ τὸ ἔδαφος τοῦ νεώ. Ὄναρ μὲν μυριάκις ταρὼν ὥς φασι τὸ ἔπος· ἅπαξ δὲ καὶ ὕπαρ φαίνει τὸ φάσμα περισκοπούμενον τὸν ἄνθρωπον. ἀντὶ τοῦ ἐμβλέπον ἀκριβῶς διεσκόπουν, ἐναντίως τῆς τῶν πολλῶν χρήσεως. ἀκώλυτοι διέμενον ὑπὸ τῶν εἰωθότων κατὰ τὸ ἀνθρώπινον καλυμμάτων. οὐδείς ἐστιν οὕτω τὸ θεῖον ἐκκεκωφημένος, ὃς οὐκ αἰσθάνεται αὐτοῦ τῆς ἐνεργείας πάσης μὲν, οὐχ ἥκιστα δὲ τῆς κολαζούσης τοὺς ἁμαρτάνοντας· οὐκ ἂν ἁμάρτοι μούσης ἀληθοῦς, ἢ οὐκ ἂν ἁμάρτοι ἀληθείας ἱερᾶς. οἱ τῆς ἀλλοφύλου δόξης ἑταῖροι καὶ συστασιῶται καὶ πρὸς φιλοσοφίαν ἔρρωντο, καίτοι ἀρχὴν ἀτυχοῦντες εὐαγωγίας φιλοσόφου. καὶ τῇ τύχῃ χρησάμενος εἰς τὴν συνήθη καὶ ἀνθρωπίνην αἴσθησιν ἀπὸ τῶν ἀλλοκότων ὄψεων ἐπανῆλθε, καὶ διεξέδωκεν ἱκανουμένῳ τῷ τοῦ γάμου καιρῷ. ἀλλὰ καὶ τρίβωνα φιλοσοφίας περιβαλὼν, ὡς φιλόσοφον τὴν νύμφην, τὰ περὶ τὰ θεῖα διὰ ξενιζούσης θρησκείας, ὅσα τε ῥητὰ καὶ ὅσα ἀπόρρητα. ὁ δὲ εἰς Ἀφροδισιάδα μετεχώρησε Ἀσκληπιόδοτος ἄπαιδα βίον τῇ γυναικὶ συμβεβίωκεν. ὁ δὲ Ἱλάριος φιλοσοφῶν μὲν, ἐκδεδιῃτημένος δὲ τὰς ὑπογαστρίους ἡδονὰς, οὐκ ἔτυχε Πρόκλου διδασκάλου. τοιγαροῦν ἔλεγε πολυχρονιώτερον οἱ γενέσθαι τὸν μετὰ τοῦ σώματος βίον, διὰ τὴν δεξιότητα τῆς γυναικός. καὶ ταῦτα ἔλεγεν, οὐ χάριν ὁμολογῶν ὥς ἄν τῳ δόξειεν: ἀλλὰ δυσχεραίνων πρὸς τὴν ἐν σώματι διατριβὴν, καὶ εἰς ἐκείνην ἀναφέρων, ὅσα γε εἰς ἄνθρωπον, τὴν τοῦ θανάτου ἀναβολήν. καὶ τῆς γυναικὸς ἐπῄνει τὴν εὐαγωγίαν, καὶ συνήδετο. κατελεήσας τοῦ γάμου τὰς πρώτας ἐλπίδας ὁ θεὸς, ἐδίδου σύμβολον τῆς ἐσομένης γονῆς· καὶ τὴν γαμετὴν λοιπὸν ἑώρα ἐπίτοκα οὖσαν ὁ ἀνήρ. καὶ οὐδὲν ἐμποδὼν πρὸς τὴν ἀνάγνωσιν τῷ Ἀσκληπιοδότῳ ὁ σκότος ἐγένετο. διηγεῖτο δὲ ἄλλα τε ὧν ἀκήκοε, καὶ δὴ καὶ τῆς αὐτοῦ ὄψεως οὐκ ὀλίγα θαύματος ἄξια. ἡ δὲ ἄγνωστος φωνὴ ὅτου εἴη τὴν ναῦν ἀνακωχάζειν ἐκέλευε· τοῦ ὁμακόου τῆς αὐτοψίας καὶ ἀκοῆς ἅμα. καὶ διετέλεσεν ἄχρι θανάτου ἀμιγὴς παντὸς σώματος. οὐδ' ἔστιν ὅστις ἐσυκοφάντησεν αὐτὸν ἐπὶ τοιαύταις διαβολαῖς, οὐδὲ τῶν ἐχθίστων. ὁ δὲ Μαρῖνος τῷ ἀτόνῳ τῆς φύσεως, οὐδὲ τοῦ Παρμενίδου τὴν ὑπεραίρουσαν ἐξήγησιν τοῦ διδασκάλου ἤνεγκεν· ἐπὶ τὰ εἴδη δὲ τῆς θεωρίας κατήγαγεν, ἀπὸ τῶν ὑπερουσίων ἑνάδων, ταῖς Φιρμοῦ καὶ Γαληνοῦ τὸ πλέον ἐννοίαις ἐπισπώμενος, ἢ ταῖς ἀκηράτοις ἐπιβολαῖς τῶν μακαρίων ἀνδρῶν. ἐθεράπευε τὰ δίκαια, καὶ φιλοσοφίᾳ πρέποντα, ἀλλ' οὐ τὸν θῶπα τρόπον καὶ βάναυσον. διὰ τὴν στάσιν ὁ Μαρῖνος ἐξ Ἀθηνῶν εἰς Ἐπίδαυρον ἀνεχώρησε τὰς ἄχρι τοῦ σώματος ἐκβαινούσας ἐπιβουλὰς ὑφορώμενος. ὁ δὲ Μαρῖνος, καὶ αὐτὸς ὁ Πρόκλος, οὐ τῇ ἑτέρᾳ μόνον ἀλλὰ ἀμφοῖν ταῖν χεροῖν τοῦ Ἰσιδώρου περιείχοντο· ὁ δὲ Πρόκλος ὁρῶν αὐτοῦ τὴν προθυμίαν ἄξυλον οὖσαν, καὶ τὴν φιλομάθειαν ἀκόρεστον· πηγὰς λόγων εἰς τὴν ἐκείνου ψυχὴν ἀφιεὶς ἱερῶν τε καὶ φιλοσόφων, γαννύμενος αὐτοῦ διετέλει, πλατείας ὑπέχοντι καὶ ἀρίηκοον τῆς τῆς διανοίας ὑποδοχήν. εἶξε δεδιὼς τὴν ἑκατέρου ἐπιτίμησιν, καὶ ἅμα λύπην ἀγανακτοῦσαν. ἔσχεν ἀπρεπῆ τινὰ σφοδρὸν, καὶ οὐ φύσεως ἔκγονον. ἦν ἄρα τις Ἀττικὴ γυνὴ, πολλὰς εἰδυῖα μηχανὰς εἰς

Nudis pedibus orbem terrarum, vt fertur, ambiit. ἕδη, capit pro ipsis delubris. Ponitur eadem vox & pro statuis: item pro templi pauimento. Millies insomnia vidit, vt vno verbo dicam. Semel vero etiam verum visum apparuit hominem circumspiciens, pro accurate contemplans, præter consuetum morem loquendi. Liberi erant ab humanis impedimentis, quæ plerunque sunt. Nemo in diuinis rebus adeo hebes est, quin sentiat omnem Dei vim maximè autem in puniendis improbis. Non aberraret à vera Musa, vel à sacra veritate. Socij alius opinionis, & sectatores, & ad Philosophiam roborabantur, quanquam initio philosophãdi dexteritatem non allequerentur. Voto visus, ad familiarem humanumque sensum à portentosis spectris rediit, & elocauit ad tempus matrimonio aptum. Sed etiam Philosophię induto pallio, tanquã sponsa philosophica in diuinis rebus exercente religione, & quæcunque efferri, & quęcũque nõ efferri possunt. Ille Aphrodisiadem secessit, & cum vxore sine liberis vixit. Hilarius philosophus, amans voluptates venereas, Proclo non est visus magistro. Dixit persuasum longiorem sibi fore in corpore vitam, ob dexteritatem vxoris: & hæc dixit, non gratum sibi esse confitens, vt alicui videri possit, sed ægrè ferens moram in corpore, & ad vxorem referens, quantum homini licet, mortis dilationem, vxorisque laudauit facilitatem, & collætatus est. Deus primam matrimonij spem miseratus, dedit illi signum futuræ stirpis, & tandem vxorem suam maritus grauidam vidit. Asclepiodoto tenebræ, quo minus legeret, impedimento non erant. Narrauit & alia, quæ audiisset, & de eius visu multa digna admiratione. Vox cuiusnam esset incertum, nauem sistere iussit, & de ὁμακόου est, quod ipsi videmus & audimus. Et vsque ad mortẽ castus vixit, nec quisquã est, etiam inter inimicos, qui eum reprehenderit. Marinus inepto ingenio, nec excellentem Parmenidis expositionem præceptoris sui tulit, ad ideas verò contemplationem demisit, à supernaturalibus vnitatibus: Firmi & Galeni notionibus vt plurimum motus, aut incorruptis conceptibus mentis beatorum virorum. Iustitiam coluit, & quæ Philosophum decent, non adulatorios mores, aut sordidos. Marinus propter seditionem Athenis Epidaurum secessit, subodoratus, insidias vitæ comparatas. Marinus & ipse Proclus non vna solum, sed ambabus manibus Isidorum amplexi sunt. Proclus videns illius animi indefessam alacritatem, discendi ardorem insatiabilẽ, multas in illius animum deriuare doctrinas & sacras & philosophicas gaudens perrexit, sinus mentis illi pandentis, & audiendi cupidinem adferentis. Cessit metuens vtriusque reprehensionem, querelam, & indignationem. Concitauit incredibilem quendam motum, cumque non à natura profectum. Fuit sanè Attica mulier, quæ multas norat artes persuadendi,

Marginalia (left): ὕπαρ ἐφάνη. — al. ἐμβλέπων. — ἱερᾶς. — al. χρησάμενος. — Hilarius philosophus. — ἐπίτοκα. — al. ὁμακόου. — vel. M. H.

Marginalia (right): Hilarius, vide Suidam. — De Asclepiodoto sup. — Marinus. — Proclus.

DAMASC.

vt ipse docuerat, non vna manu, vt loquimur, sed ambabus largiens. Talis fuit corpore & animo, vt ij, cum quibus colloqueretur, quando tempus erat, seueritate & constantia morum verborumque obstupuerint. Gratiosus erat apud gratiosos. Loco philosophiæ, otiique felicis, ad rempub. seipsum, & ad magistratus contulit. Natura contentiosus erat, & insuperabilis in quauis re, cui animum applicuisset. Gloriæ amans si quis alius, obiurgatoriis verbis, operibusque vsus, & quæ virtutem animi foras producerent. Cum superioribus semper contendit. Solus voluit in pretio haberi, cùm deesset illi comitas, qua superiorem reuereretur: plurimi verò respiciendo ad antiqua sperabant.

Pamprepius. Pamprepius instrumentum idoneum fuit necessitatis restantis honestati. Procedente tempore dixit, pro eo quod instat.

Damascius. Damascius enumerans eos qui sacram & indissolubilem fidem nostram insanè oppugnarunt, etiam vt apparet, inuitus & ex actus veritatis vi hæc scribit. *Iulianus Imp.* Conatus est Iulianus Imp. sed vltra quatuor annos non progressus est. Cogitauit & idem postea Lucius dux militiæ Byzantij sub Theodosio, *Theodosius Imp.* qui conatus Imperatorē interficere, in palatium venit, & ter tentans gladium educere, perterritus decessit. Vidit enim repentè mulierē insitatæ magnitudinis, & terribilem, à tergo Theodosium amplexantem. *Zeno.* Post hæc magnus orientis ductor Zeno id conatus est, sed violenta morte præpeditus fuit. Nam cadens ex equo crus constringēs exspirauit. Deinde Seuerianus noster ciuis nostro tēpore, cum aliis nonnullis compluribus, parum abfuit quin multaretur morte propter conscio rum perfidiam, & aliorum fortasse, & Armorichi filij Asperis, qui cōiurationem Zenoni detexit. Præter hos & Marsus & Illus, quorum Marsus in ipsa rebellione, morbo extinctus est. Caput in hostium exercitum iaculatur, supernè è rupe præcipitatur. *Ammonius.* Ammonius amans turpis lucri, & omnia ad quamcumque vtilitatem referens, paciscitur cum eo, qui tunc inspecturus venerat, quænam esset præualitura opinio. Supellectilia erant omnis generis librorū, cum liberis operam dabat gratia reipub. Verbis primum, inquit auctor, specimen edidi, Rhetoricæ pallium induens: quare erat pallium etiam oratorium, vt philosophicum. Natura homines otiosæ vitæ virtutem tribuunt, quum meo quidem iudicio sic se non habeat. Virtus enim in media repub. in ciuilibus officiis & sermonibus versans, animum ad fortitudinem exercet, & experientia magis confirmatur quid sanum sit & integrum: quidque fictum & adulterinum latitet in hominum vita. Hoc omne reprehenditur, & citius emendatur: Boni vero & vtilitatis quantùm est in rebus publicis, quantum & confidentiæ, & fortitudinis. Quare orationes priuatim habentes,

πρᾳθεὶς, ὡς διεδίδαξεν οὐ μιᾷ χειρὶ δωρούμενος, ἀλλ' ἀμφοῖν, κατὰ τὴν παροιμίαν. τοιοῦτος ἦν σῶμα καὶ τὴν ψυχὴν, ὥστε καταπλαγῆναι τῇ συννοίᾳ τοὺς ἐντυγχάνοντας ἡνίκα καιρὸς ἦν σεμνότητος καὶ ἐμβριθεστέρου ἠθῶν τε καὶ λόγων· χαρίεις δ' ἦν πρὸς τοὺς χαρίεντας· ἀντὶ γὰρ φιλοσοφίας καὶ ἀπραγμοσύνης εὐδαίμονος, εἰς πολιτείαν ἑαυτὸν καὶ εἰς ἀρχὰς ἐξίωσε φέρων. φύσει δ' ὢν φιλόνεικος, καὶ ἀήττητος, ἐφ' ὅ,τι ἂν ὁρμήσειε· καὶ φιλόδοξος, ὡς οὐκ οἶδ' εἴπερ, ἐπιτιμίοις ἔργοις τε καὶ λόγοις, καὶ τὴν ἀρετὴν εἰς τὸ ἔξω προάγουσι τῆς ψυχῆς. προσκρουστικὸς ἀεὶ καὶ ἁμιλλητικὸς πρὸς τοὺς ὑπερέχοντας ἦν. ἠθέλησε δὲ μόνον ἀξιωθῆναι ὁ δεόμενος τοῦ τὸν ἄρχοντα προσκυνήσεως ἐνδείξεως: οἱ δὲ πλεῖστοι ὠρθοῦντο πρὸς τὰ ἀρχαῖα ταῖς ἐλπίσιν.

Ὄργανον ὁ Παμπρέπιος ἐπιτήδειον τοῦ πρὸς τὸ κάλλιον ἀντιπνεούσης ἀνάγκης ἦν. κατὰ τὸ ἐνεστηκὸς χρόνον, ἀντὶ τοῦ κατὰ τὴν ἐπιοῦσαν.

Ὅτι τοὺς κατὰ τῆς ἱερᾶς ἡμῶν καὶ ἀκαταλύτου πίστεως ἐπιλυττήσαντας ὁ Δαμάσκιος ἀριθμούμενος, καὶ ἄκων (ὡς ἔοικε) καὶ ὑπὸ τῆς κατὰ τὴν * ἐνεργείας ἀληθείας βιαζόμενος, τάδε ἀναγράφει. ἐπεχείρησε μὲν γὰρ καὶ Ἰουλιανὸς ὁ βασιλεὺς, ἀλλ' * ἐτῶν οὐκ ἐπέβη τεσσάρων. ἐπεχείρησε δὲ χρόνοις ὕστερον καὶ Λούκιος, ἀνὴρ ἐν Βυζαντίῳ τὴν στρατηγίδα ἀρχὴν ὑπὸ βασιλεῖ Θεοδοσίῳ κοσμῶν, ὃς πειραθεὶς τὸν βασιλέα ἀνελεῖν, εἴσω τῶν βασιλείων παρῆλθε, καὶ τρὶς θελήσας ἐξελκύσαι τοῦ κουλεοῦ τὸ ξίφος, ἀπέστη καταπεπληγμένος· ἑώρα γὰρ ἐξαίφνης γυναῖκα μεγάλην καὶ βλοσυρὰν περιπτυσσομένην κατὰ νώτου τὸν Θεοδόσιον. μετὰ ταῦτα ὁ μέγας τῆς ἕω στρατηλάτης ἐπεχείρησεν: ἀλλ' ἐπεσχέθη, βίαιον δραμὼν θάνατον. ἀπὸ γὰρ τοῦ ἵππου πεσὼν, καὶ τὸ σκέλος κακῶς διατεθεὶς, ἐτελεύτησε τὸν βίον. εἶτα Σευηριανὸς, φησὶν, ὁ πολίτης ἡμῶν ἐν τοῖς καθ' ἡμᾶς χρόνοις, μετὰ καὶ ἄλλων [τινῶν] συχνῶν· ἀλλ' ὀλίγου δεῖν θανάτῳ ἐζημιώθη, διὰ ἀπιστίαν τῶν συνειδότων, ἄλλων τε ἴσως, καὶ * Ἀρμερίχου τοῦ Ἄσπερος παιδὸς, ἐξειπόντος τὴν συνωμοσίαν τῷ Ζήνωνι. πρὸς οἷς Μάρσος καὶ Ἰλλοῦς. ὧν ὁ μὲν Μάρσος ἐν αὐτῇ τῇ ἐπαναστάσει νόσῳ τέθνηκεν· ὁ δὲ Ἰλλοῦς συλληφθεὶς, ξίφει τὸν βίον κατέστρεψεν. ἀκοντίζει τὴν κεφαλὴν εἰς τὸ τῶν πολεμίων στρατόπεδον, ἄνωθεν ἀπὸ τῆς πέτρας ἀποδισκεύσας. ὁ δὲ Ἀμμώνιος αἰσχροκερδὴς ὢν, καὶ πάντα ὁρῶν εἰς χρηματισμὸν ὁντιναοῦν, ὁμολογίας * τίθεται πρὸς τὸν ἐπισκοποῦντα τὸ τηνικαῦτα τὴν κρατοῦσαν δόξαν. χρήματα ἔκειτο παντοδαπῶν βιβλίων, ὅταν ἀφειδῶς ἐσπούδαζε ἐπὶ παιδοποιΐα πολιτικῇ. λόγοις, φησὶν ὁ συγγραφεὺς, ἐπεδεικνύμην πρότερον τὸν ἐπὶ ῥητορικῇ τρίβωνα περιθέμενος: ὥστε ἦν καὶ τρίβων ῥητορικὸς, ὡς καὶ φιλόσοφος. πεφύκασι δὲ ἄνθρωποι τῇ μισοπράγμονι ζωῇ τὴν ἀρετὴν ἐπιφημίζειν, * οὐχ οὕτως ἔχον κατά γε τὴν ἐμὴν κρίσιν. ἡ γὰρ ἐν μέσῃ τῇ πολιτείᾳ διὰ τῶν πολιτικῶν ἔργων τε καὶ λόγων ἀναστρεφομένη ἀρετὴ γυμνάζει τε τὴν ψυχὴν πρὸς τὸ ἐρρωμενέστερον, καὶ βεβαιοῦται μᾶλλον ἐπὶ τῆς πείρας, ὅσον αὐτῆς ὑγιές τε καὶ ὁλόκληρον· ὅσον δὲ κίβδηλον καὶ ἐπίπλαστον ἐμφωλεύει ταῖς ἀνθρωπίναις ζωαῖς, τοῦτο πᾶν διελέγχεται, καὶ ἑτοιμότερον καθίσταται πρὸς διόρθωσιν· τὸ δὲ ἀγαθοεργόν τε καὶ ὠφελητικὸν, ὅσον ἐστὶν ἐν τοῖς πολιτεύμασι. τὸ δὲ θαρραλέον καὶ βέβαιον ἡλίκον. τοιγαροῦν οἱ ἐν γωνίᾳ καθήμενοι λόγοι, καὶ πολλὰ

Damascius. *al. ἐνάργειαν.* *Iulianus apostata.* *al. ἐτῶν.* *Lucius.* *Zeno.* *Seuerianus.* *Ἀρμερίχου.* *Marsus Illus.* *τίθεσι M. M.* *οὐκ' οὕτως ἔχον M. M.*

καὶ πολλὰ φιλοσοφοῦντες δὲ μάλα σεμνῶς περὶ δικαίου καὶ σωφροσύνης, ἐκβαίνειν ἐπὶ τὰς πράξεις ἀναγκαζόμενοι, δεινὰ ἀσχημονοῦσιν, εἰς Ἀθήνας καὶ Πρόκλον * ἀπαίρειν ἔτι διαγκαζόμενον ἐν τῷ σώματι.

ἐν ἀπαίρειν.

Agapius. σεμνὸς ὢν ἅμα καὶ εὐόμιλος ὁ Ἀγάπιος, τήν τε ἀρχαίαν γλῶτταν ὑπὲρ τὴν ἰδιῶτιν μελετήσας, ἐπέστρεψεν εἰς ἑαυτὸν τοὺς ἐν Βυζαντίῳ ἀνθρώπους. θαῦμα δὲ ἑαυτοῦ παρείχετο καὶ ἐν Ἀλεξανδρείᾳ τοῖς λογιωτέροις· ὥρμητο γὰρ ἀπὸ πάσης τῆς παιδείας. ζητητικός τε καὶ κριτικὸς ἐβούλετο εἶναι γραμματικῶν τε καὶ ῥητορικῶν· καὶ συλλήβδην εἰπεῖν, ἐδόκει τετράγωνος εἶναι καὶ ἦν τὴν σοφίαν.

Gesius. καὶ εἰς κλέος ὁ Γέσιος μέγα ἀνέβη, οὐ μόνον ἰατρικῆς ἕνεκα παρασκευῆς, τῆς τε διδασκαλικῆς καὶ τῆς ἐργατικῆς· ἀλλὰ καὶ τῆς ἄλλης πάσης παιδείας: διαλεκτικαῖς συνουσίαις ἀρδόμενος τὴν ψυχήν.

Ὅτι ἀγαγομένῳ Ἰσιδώρῳ Δόμναν γυναῖκα, τίκτεται αὐτῷ παῖς ἐξ αὐτῆς, Πρόκλον τὸ παιδίον * ἐπονόμασαν· καὶ ἡ Δόμνα ἐπί γε τόκῳ πέμπτῃ ὕστερον ἡμέρᾳ ἀποθνήσκει, κακοῦ θηρίου, καὶ πικροῦ συνοικεσίου ἐλευθερώσασα τὸν φιλόσοφον ἑαυτῆς.

* *ἐπονόμασε.*

Æsculapius. Ὅτι ὁ ἐν Βηρυτῷ, φησὶν, Ἀσκληπιὸς οὐκ ἔστιν Ἕλλην, οὐδὲ Αἰγύπτιος, ἀλλά τις ἐπιχώριος Φοίνιξ. Σαδύκῳ γὰρ ἐγένοντο παῖδες, οὓς Διοσκούρους ἑρμηνεύουσι καὶ Καβείρους. ὄγδοος δὲ ἐγένετο ἐπὶ τούτοις ὁ Ἔσμουνος, ὃν Ἀσκληπιὸν ἑρμηνεύουσιν. οὗτος κάλλιστος ὢν θέαν, καὶ νεανίας ἰδεῖν ἀξιάγαστος, ἐρώμενος γέγονεν, ὥς φησιν ὁ μῦθος, Ἀστρονόης θεοῦ Φοινίσσης, μητρὸς θεῶν· εἰωθώς τε κυνηγετεῖν ἐν ταῖσδε ταῖς νάπαις, ἐπειδὴ ἐθεάσατο τὴν θεὸν αὐτὸν ἐκκυνηγετοῦσαν, καὶ φεύγοντα ἐπιδιώκουσαν, καὶ ἤδη καταληψομένην· ἀποτέμνει πελέκει τὴν αὐτὸς αὑτοῦ παιδοσπόρον φύσιν: ἡ δὲ τῷ πάθει περιαλγήσασα, καὶ Παιᾶνα καλέσασα τὸν νεανίσκον, τῇ τε ζωογόνῳ θέρμῃ ἀναζωπυρήσασα· θεὸν ἐποίησεν, Ἔσμουνον ὑπὸ Φοινίκων ὀνομασμένον ἐπὶ τῇ θέρμῃ τῆς ζωῆς· οἱ δὲ τὸν Ἔσμουνον ὄγδοον ἀξιοῦσιν ἑρμηνεύειν.

Astronoe.

Paean.

Ὅτι ὄγδοος ἦν τοῦ * Σαδύκου παῖς, ἐν σκότῳ διαλυγίῳ πολὺ φῶς ἀνάψας. τοῦτον ἀπεδέξαντο τοῦ νεανίσκου τὸν λόγον, καὶ ἠγάσθησαν οἱ ἀμφὶ τὸν Μαρῖνον, πῶς οἴει σφόδρα; οὔπω διερρώγει τὰ δύσκολα τῆς ὑποθέσεως· ἐμὲ δὲ ἐπεσπάσατο ἡ ῥώμη τοῦ λόγου πρὸς τὰ μετ᾽ ταῦτα ἐμβεβηκότα πεπαῦσθαι τὴν ἐκβολὴν, ἐπακολουθήσαντα παρεόντι τῷ βίῳ τὴν διαδοχὴν, οἷς εἵλετο Πρόκλος. ὃ δὲ καὶ παράδοξον ἀκοῦσαι, μετὰ σεμνότητος ἐνδόξου καὶ βεβαίας ἐφαίνετο τοῖς παροῦσι χαρίεις· τὰ μὲν πολλὰ σπουδάζων εἰς τὸ κοινὸν τοῖς ἀκούουσιν ὄφελος, ἀνιεὶς δὲ ἐνίοτε τῷ παίζοντι τὴν σπουδὴν, καὶ σκώπτων εὐφυῶς τοὺς ἁμαρτάνοντας, ὥστε ἐπικαλύπτειν τῷ γελοίῳ τὸν ἔλεγχον. εἰς ὕψος καὶ μῆκος, οἷον θαυμάσιον· ὥστε τὰ ἀρχαῖα, καὶ πρὸς τὸ μυθῶδες ἐκνενικηκότα, μηκέτι ἄπιστα εἶναι· καὶ ᾔτει παρ᾽ ἐμοὶ ὑποδοχὴν λανθάνουσαν.

* *al. Σαδύκῳ.*

ὁ δὲ Θεοσέβιος τὸν τῆς σωφροσύνης δακτύλιον, ὃν ὁ χυδαῖος εἰσιὼν παραδίδωσι, τοῦτον αὐτὸς κατασκευασάμενος, προσελθὼν, τῇ γυναικὶ ἔφη· πάλαι μέν σοι ἐπιδέδωκα δακτύλιον ἁρμοστὴν παιδουργοῦ συμβιώσεως: νυνὶ δὲ τοῦτον ἐπιδίδωμί σοι σωφρονιστὴν, ἐπίκουρόν σοι παρεσόμενον

& multa optimè & grauiter de iustitia & temperantia philosophantes, ad res coacti descendere, valde inepte se gerunt. Proclum Athenas ire adhuc in corpore existentem. *DAMASC.* *Proclus.*

Agapius grauis simul & facilis, antiquam linguam supra vulgarem imitatus, omnes in se Byzantinos conuertit. Admirationi fuit Alexandriæ disertis hominibus: omnibus enim artibus instructus erat. Volebat Grammaticos, & Rhetores examinare & iudicare, &, vt paucis dicam, in sapientia quadrangulus esse videbatur, & etiam erat. *Agapius instar cubi, vide proverbium.*

Magnum honorem Gesius consecutus est, non solùm quod arte medica valeret, & docendo & operando: sed etiam ob omnem aliam eruditionem, Dialecticis sese instruens. *Gesius.*

Isidoro Domnam vxorem ducente, natus est filius, quem Proclum non inauit. Domna quinto post partum die mortua: maritum philosophum mala fera, amaróque coniugio liberauit. *Domna Isidori vxor.*

Æsculapius Beryti non est Græcus, neque Ægyptius, sed aliquis Phœnix indigena. Nam Saduco nati sunt filij, quos Dioscuros Cabiros interpretantur. octauus natus est Esmunus, quem Æsculapium interpretantur. Hic visu pulcerrimus, & iuuenis, qui visus admiratione excitaret, quem, vt ait fabula, Astronoë Dea Phœnissa mater Deûm adamauit. Solitúsque in saltibus venari, vt vidit Deam sibi insidiantem, & se dum fugeret insequentem, & iamiam comprehensuram, pudenda securi sibi amputat. Ipsa hoc casu dolens, & Pæana vocans iuuenem, recreatum vitali calore in Deos retulit; à Phœnicibus Esmunum vocatum ob calorem vitę. Alij dignantur Esmunum octauum interpretari. *Æsculapius.*

Octauus filius Saduco erat, qui in densis tenebris magnam lucem accendit. Hanc iuuenis orationem exceperunt, & valde admirati sunt Mariniani. Nondum tamen difficultate argumenti rupta: me orationis vis attraxit, vt ad sequentia me ab illa reuocarem, & instante vita, eos successores imitarer, quos Proclus elegerat. Quodque nouum auditu, cum generosa, solidáque grauitate videbatur præsentibus gratus. Plurima conatus ad communem auditoribus vtilitatem, interdum verò iocando de illa grauitate remittens, & peccantes ingeniosè carpens, vt risu increpationem tegeret. Altitudine & longitudine egregius, vt antiqua & fabulosa iam vera sint, & à me petebat occultam admissionem.

Theosebius castitatis annulum, quem accedens vilis quispiam dedit, adornans vxori dedit, dicens: Olim tibi annulum dedi coniunctionis filiorum procreandorum, nunc tibi do temperantiæ, qui tibi ad castam domus *Theosebius bonaestus sapo.* *Exemplum continentiæ in coniugibus.*

DAMASC. custodiam adiumento futurus est. Illa verò libenter accepit, & reliquo tempore cum viro castè vixit. Hoc munimento non in vxore solùm, sed etiam in se magnitudinem animi testari solebat. Etenim iuuenis cùm esset, testatus est etiam ipse, eruditionis certamen subiisse se cum hostibus, qui generationem procurarent, tam extrinsecus imminentes, quam intus proditionem molientes. reclamans autem omnibus sensibus, maximè tactui reclamabat. Hunc enim esse reuera terrestrem, rebellem, trahentem animam ad perennem fontem generationis.

CCXLIII Himerii Sophistæ *Declamationes.*

Legi quasdam Declamationes Himerij Sophistæ.

Ex oratione Hyperidis pro Demosthene.

Ex Theoria.

Suspecta & periculosa omnibus hæc deliberatio est, magnámque habet difficultatem, antequam auditori persuadeat. Ad populum hæ duæ habitæ, & quàm optimè elaboratæ: siquidem non simplicibus, & nudis nominibus vtuntur, sed iis, quæ emphasi quadam cõsilium clarius exhibent.

Huius Declamationis hoc proœmium.

Philippus, Athenienses, non Demosthenem solum hoc vno edicto, sed & reliquos vestros Oratores, qui cum illo se totos reipub. dederant, existimauit se ablaturum. Hactenus quidem Philippum Attica prohibuimus, vbique ad hæc vsq; tempora libertatem integram conseruauimus. Nunc enim sponte calamitatibus premi velle videbimur, nec Philippi imperium detrectare, qui ad barbaros primùm conuersus, & totam illic regionẽ depopulãs, deinde ad vicina vrbi nostræ, totique Græciæ loca vndecunque nos infestans descẽdit, venatores hac in re callidos imitatus, qui eo tempore tãtùm feris parcunt, quo se ad venandum magis comparant. Nihil tamẽ nobis vt victis eripuit, nec Peloponesus perfossa, neque ruina Phocẽsium, neque Eubœa cum Medorum trophæis tyrannide oppressa, nec Arcadia in seruitutem redacta, nec Elea Fortuna, nec nostrum imperium coegit immutare. Quin & tẽtatam Chersonesum cognoscimus, & Hellespontum inimicum habebimus. Quænam obsecro, pestis, aut terræ-motus tot ciuitates exinaniuit, tot nationes euertit, ac perdidit, quot ipse Philippus, eiúsque tempora? Probè enim sciuit fore, si quis Demostheni auscultauerit, nihil se vnquam hoc impediente consequi, nec eorum, quæ habet, quidquam occupare posse. Nec dona solùm dat ad vrbes corrumpendas, proditorum consiliis excitatus, neque solùm præmia pro patria nostra proponit, neque modò in populum improbos inducit, sed in oratores ac rhetores dolos machinatus est, quam rem omnes festi loco, ac veluti Panegyrin duxerunt, tum ille non verbis, sed more suo tacitè cœpit nocere. Imponebat etenim mari terram, superque medios montes nauigabat, terræque vice mari, marisque loco terra vtebatur, & vrbs in triremes pro Attica demigrans,

Fort. de Xerxe.

τῆς σώφρονος οἰκουρίας. ἡ δὲ ἀσμένως ἐδέξατο, καὶ συνέζησε τῷ ἀνδρὶ τὸν λοιπὸν χρόνον ἀδιάστροφον σωματικῆς κοινωνίας. τῷ δὲ φυλακτηρίῳ τούτῳ τὸ δραστήριον οὐκ ἐπὶ γαμετῇ μόνον, ἀλλὰ καὶ ἐφ' ἑαυτῷ πάλαι εἰώθει μαρτυρεῖν. καὶ γὰρ ὅτι νεώτερος ἦν, ὁμολόγει καὶ αὐτὸς ἀγωνίσασθαι τὸν παιδείας ἀγῶνα πρὸς τοὺς γενεσιουργοὺς πολεμίους, τούς τε ἔξωθεν ἐπιτιθεμένους, καὶ τοὺς * ἔνδον προδιδόντας. καταβοῶν δὲ τῶν αἰσθήσεων πασῶν, μᾶλλον τῶν ἄλλων τῆς ἁπτικῆς κατεβόα· εἶναι γὰρ αὐτὴν τῷ ὄντι χθονίαν, καὶ ἀντίτυπον, καὶ κατασπῶσαν τὴν ψυχὴν εἰς τὸν τῆς γενέσεως ἀέναον ὀχετόν. *ἔνδοθεν.

ΕΚ ΤΟΥ ΙΜΕΡΙΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ διαφόρων μελετῶν.

σμγ'. *Himerij sophistæ Declamationes.*

Ἀνεγνώσθη ἐκ τῶν Ἱμερίου τοῦ σοφιστοῦ * μελετῶν.

ἐκ τοῦ ὑπὲρ Δημοσθένους, Ὑπερίδου.

ἐκ τῆς θεωρίας.

Ὕποπτος μὲν καὶ σφαλερὰ παντὶ δήμῳ τοιαύτη συμβουλὴ, καὶ οὐ μικρὰ λιποῦσα πρὸς πειθὼ τὸν ἀκούοντα. ἀμφότεροι γὰρ δημοτικοὶ καὶ πρὸς τὸ βέλτιον ὑπειλημμένοι τυγχάνουσιν. οὐδὲ τοῖς γυμνοῖς χρῆσθαι τῶν ὀνομάτων, ἀλλὰ τοῖς δι' ἐμφάσεως τὸ βούλημα σημαίνουσιν.

* διάφοροι μελέται τυ. ὁ φασιφέρετοι δὲ τῶν α. τῶν λόγων ὁ ἐκλογὴ δηλ. ποιῶν, τὰ τό γε ἔκδοσιν ἀποδεχομένῳ.

ἐκ τῆς μελέτης αὐτὸ τὸ προοίμιον.

Οἰόμεθα μὲν, ὦ ἀθηναῖοι· Φίλιππος δι' ἑνὸς τούτου κηρύγματος οὐ Δημοσθένη μόνον, ἀλλὰ καὶ πάντας ὑμῶν ἀφαιρήσεσθαι τοὺς δημαγωγοὺς, ὅσοι μετ' ἐκείνου δέντες ἑαυτοὺς τῇ πολιτείᾳ, Φιλίππῳ μὲν ἄβατον τὴν ἀττικὴν, τῇ πόλει δὲ τὴν ἐλευθερίαν ἀκέραιον μέχρι νῦν διετηρήσαμεν. δόξομεν γὰρ ἑκόντες ἤδη καὶ οὐκ ἄκοντες δυστυχεῖν τε καὶ ὑποβεβλῆσθαι Φιλίππῳ. ὁ δὲ ἐπὶ τοὺς βαρβάρους ἐτράπετο πρότερον, καὶ τὴν ἐκεῖ κενώσας ἤπειρον, ἐπὶ τὰ καίρια μέρη λοιπὸν τῆς πόλεως καὶ τῶν ἑλλήνων ἐφέρετο, πανταχόθεν ἡμᾶς περιστοιχιζόμενος, κατὰ τοὺς δεινοὺς τῶν θηρατῶν, οἳ τοσοῦτον φείδονται τῶν θηρίων χρόνον, ὅσον ἔτι παρασκευάζονται. ἐκίνησε δὲ ἡμᾶς οὐδὲν, οὐδὲ * ἀντιλαβέσθαι τῶν πραγμάτων ἠνάγκασεν, οὐ διορυττομένη πελοπόννησος, οὐ τὸ πτῶμα τὸ φωκικὸν, οὐκ εὔβοια μετὰ τῶν τροπαίων τῶν μηδικῶν τυραννουμένη, οὐκ ἀρκαδία δουλεύουσα, οὐ τὰ * ἠλεῖα * ἀτυχήματα· ἀλλὰ καὶ χερρόνησον πειραζομένην ἐπείδομεν, καὶ τὸν ἑλλήσποντον ἀλλοτριούμενον ὁρῶντες, ἐμέλλομεν. τίς γὰρ λοιμὸς ἢ σεισμὸς τοσαύτας πόλεις ἐκένωσεν, ἢ τοσαῦτα γένη ἀνθρώπων ἠφάνισε καὶ κατέδυσεν· ὅσα Φίλιππος καὶ ὁ Φιλίππου χρόνος· οἶδε γὰρ ἀκριβῶς, ὧν τε * μηδέπω τυγχάνει διὰ * τοῦτον ἀποστερούμενος, καὶ ὧν ἔχει μηδὲν * ἂν λαβὼν· εἰ συμβουλεύοντι Δημοσθένει τις ἐπείθετο. οὐδὲ κατὰ τῶν πόλεων μόνον δωροδοκεῖ, ταῖς τῶν προδοτῶν ἐπηρμένος γνώμαις ὁ Φίλιππος· οὐδὲ ἆθλα τῶν πατρίδων προτίθησιν· οὐδὲ κατὰ τῶν δήμων ὁπλίζει τοὺς ἀλάστορας· ἀλλ' ἐπὶ τοὺς ῥήτορας * ἐπὶ τοὺς δημαγωγοὺς μετενήνοχε τὸ μηχάνημα, ἀλλὰ καὶ τοὐναντίον ἑορτὴν εἶναι καὶ πανήγυριν ἐκείνην τὴν πρᾶξιν ἅπαντες ἐνομοθέτησαν: τότε ἐκεῖνος παρανομεῖν οὐκ ἀπὸ ῥημάτων, ἀλλ' ἀπὸ τῆς φύσεως ἤρχετο. * ἐπεπήδει γὰρ θαλάττῃ μὲν ἤπειρον, δι' ὀρῶν δὲ μέσων ἐναυτίλλετο· θαλάττῃ μὲν, ὅσα γῆ, γῇ δὲ ὅσα θαλάττῃ χρώμενος· καὶ τὰς τριήρεις ἀντὶ τῆς ἀττικῆς μετοικίσασα καὶ πάντα

* ἀντιλαμβάνεσθαι * ἠλεῖα. * δυστυχήματα M. M. * al. τὸ τοιοῦτον. * al. ἀναλαβὼν * ἢ τῶν. M. M. * al. ἐπετίθετο

καὶ πάντα ὅσα ἐν ἀνακτόροις, ἐπὶ τῆς θαλάσσης ἡ πόλις ἐστράτευεν. οἱ Μακεδόνες ἐπιπολάζουσι τοῖς πράγμασιν, οἱ πρόσθεν ἀγαπητῶς μετὰ τῶν φόρων σωζόμενοι. παρελόμενοι δὲ τῆς *ἀρχῆς τὴν ἡμετέραν πόλιν, αὐτοὶ παρέδυσαν εἰς τὴν τάξιν ἐκείνην, ἐφ' ἣν ἡμᾶς οἱ πρόγονοι κατέλιπον. τίς *νόμων κατήγαγεν ἐπὶ θάλατταν Φίλιππον· καὶ στοιχείου μηδὲν αὐτῷ διαφέροντος προσάψασθαι κατηνάγκασεν; ὅταν μὲν γὰρ τὰ αὐτὰ κελεύωσιν ὅ, τε νόμος καὶ ὁ τῶν πραγμάτων καιρὸς, ἀμφοτέροις διὰ τὸ συμφέρον πείθομαι· ὅταν ἕτερα μὲν ἡ χρεία, ἕτερα δὲ οἱ νόμοι φράζουσι· παρεὶς ἀκούειν τῶν συλλαβῶν, ἀκολουθῶ τῷ συμφέροντι. καὶ τίς οὐκ οἶδεν, ὡς ἐκεῖνοι πάλαι τοῖς παρ' ἡμῖν νομοθέταις ἐρρῶσθαι φράσαντες, καὶ πολλὰ μὲν χαίρειν Σόλωνι καὶ Δράκοντι καὶ τοῖς ἄλλοις εἰπόντες ἅπασι, τὸ μακεδονικὸν καὶ τὴν Φιλίππου φιλίαν, νόμους καὶ πατρίδα, καὶ πάντα τὰ τιμιώτατα νομίζουσι· στήλην *παρὰ τοῦ θεοῦ γενόμενον αὐτὸ τοῦ ἐν στήλῃ θριαμβευόμενος ὧν ἐτόλμησεν. ὑφορῶμαι Αἰσχίνην· ταράττει γάρ με τὸ δρᾶμα τὸ φωκικὸν, ὅπερ οὐκ ἐπὶ σκηνῆς ἡμῖν, ἀλλ' ἐπὶ τῆς ἀληθείας αὐτῆς ὁ θαυμαστὸς οὗτος τριταγωνιστὴς ἐπεδείξατο. ἀλλ' ὅμως καὶ τούτων οὕτως ἐχόντων, εἰρωνεύονται τὸν ἄνθρωπον, καὶ τὸν Πεισίστρατον πολλάκις περιφέρουσι· καὶ οὐκ αἰσχύνονται νῦν μὲν εἰς δειλίαν καὶ μαλακίαν σκώπτοντες, νῦν δὲ μὴ τυραννήσῃ τῆς πόλεως δεδιότες· ἃ πλεῖστον ἀλλήλων κεχώρισται. ὁ στόλοις ὅλοις ἐκ τοῦ Πειραιῶς ἐπὶ τοὺς τυράννους ἀναγόμενος· φθείρουσι μὲν τὰ περὶ αὐτὴν τὴν πόλιν, Φιλίππῳ δὲ ὁδοποιοῦσι τὰ πράγματα.

* al. τύχης. * al. νόμον. * al. στήλην.

Ex oratione in qua Demosthenem inducit de reuocando Aeschine consultantem: vulgato rumore Alexandrum exsules reuocaturum.

Ἐκ τῆς μελέτης, ἧς Δημοσθένην εἰσάγει συμβουλεύοντα κατάγειν Αἰσχίνην, φήμης ῥυείσης, ὅτι Ἀλέξανδρος τοὺς φυγάδας κατάξει.

Ὄντος γὰρ ἑκατέρου δεινοῦ, καὶ τοῦ λύειν ψῆφον ἑκόντας, καὶ τοῦ ταῦτα ὑπομεῖναι παρὰ γνώμην ἐξ ἐπιτάγματος, ἧττον ἑκόντας κακὸν τοῦ λύειν ἄκοντας ὑπείληφα. τὸ μὲν γὰρ ἐνδέχεται ποτὲ καὶ φιλανθρωπίας δόξαν λαβεῖν· οἱ δὲ ἑτέροις ὑπακούοντες, τὴν μὲν αἰσχύνην ἑαυτῶν ποιοῦσι, τῶν δὲ προσταξάντων τὴν εὔκλειαν. κοινολογεῖται καὶ μετὰ βῆμα βασιλεῦσιν Αἰσχίνης, καὶ μετὰ Κτησιφῶντα, καὶ τὴν φυγὴν, τυράννους ἔτι περιεργάζεται. ἄνθρωπος τὴν Ἀσίαν ὅλην ὑπερπηδήσας τοῖς ὅπλοις, καὶ τῇ φύσει φιλονεικῶν λοιπὸν ὅτι πολεμίους μὴ κέκτημαι· δι' οὓς ἤρθη τοσοῦτος Φίλιππος, δι' οὓς ἔπεσε τὰ τῶν ἑλλήνων φρονήματα· παρ' ὧν σύμμαχοι, τόποι, καιροὶ, πᾶσα τῶν μεγάλων κατορθωμάτων ἡ πρόφασις. ἀλλὰ τὸ μὲν Θηβαίων πάθος ὑπερφωνεῖ τοὺς ἕλληνας· Ἀλέξανδρος δὲ τὴν πόλιν καὶ μετὰ Θήβας ᾐσχύνετο· καί τοι γε εἶχέ τι τότε τῇ πόλει καὶ μέμψασθαι. ἡμεῖς γὰρ Θηβαίων πεσόντων τὴν τελετὴν ἀπεκλείσαμεν· ἵνα μὴ τοῖς Θηβαίων θρήνοις ἀντιβοῶμεν τὸν Ἴακχον. ὥσπερ γὰρ ἀγαθοῦ φανέντος τοῦ κομιζομένου τὴν χάριν, μεθέξειν ἡ πόλις τὸ μέρος τῆς δόξης ἤμελλεν: οὕτω τῆς αἰσχύνης οἱ *πονηροῦ ἐξηλέγχετο· οὔτ' ἂν ἑτέρου γράφοντος καὶ παρανομοῦντος ἐσίγησα· ἀλλὰ πρὸς δραμὼν ἐπὶ

* al. πονηρῶν.

omnia quæcunque in palatiis solent, super aquâ exhibuit. Non Macedones finibus insistunt suis, prius scilicet clementer exactis tributis à nobis conseruati, sed exacta ciuitate nostra ex imperio, irrepserunt in eum locum, quem nobis maiores nostri reliquerunt. (HIMERIVS.)

Quænam Philippum lex ad mare duxit, & illud elementum contingere coëgit, cui non multum dissimilis est?

Quando quidem enim lex, & rerum occasio idem postulant, vtilitate incitatus vtrique morem geram, quando aliud vsus seu occasio, aliud leges suadent, Omittens legis verba, vtilitatem sequor.

Et quis vestrum ignorat, quomodo illi olim nostris legislatoribus valere iussis, & Solone, Dracone, aliisq; omnibus neglectis, Macedonum Philippique amicitiam, legis loco, & patriæ, reique preciosæ duxerint.

Infamia notatum à Deo [pro in columna triumphantem] ob ea quæ ausus fuit. Suspectum habeo Æschinem. Turbat enim me comœdia Phocensis, quam nobis non in scena adumbrate, sed re ipsa egregius ille histrio, tertias partes sortitus, exhibuit.

Veruntamen cùm hæc ita se habent, hominē risu excipiunt, & Pisistratum sæpenumero appellant, neque erubescunt, vt ignauum, & mollem scommatibus petere, nunc etiam metuentes ne tandem etiam vrbem tyrannide opprimat, quæ maximè à se mutuò differunt.

Qui integris classibus ad reges è Pyræeo delatus est.

Hæc corrumpunt rempub. Philippo verò viam sternunt.

Ex oratione in qua Demosthenem inducit de reuocando Aeschine consultantem: vulgato rumore Alexandrum exsules reuocaturum.

Cvm vtrumq; acerbum sit, & edictum spōte soluere, & hæc sustinere præter voluntatem ex mandato, minus malum existimaui sponte soluere, quàm inuitè tolerare. Nam fieri quidem potest, vt hoc aliquando humanitatis gloriam consequatur, qui verò aliis obediunt, sibi ipsis infamiam, imperantibus verò honorem conciliant. (Æschines.)

Æschines confert cum regibus sermones pro suggestu, & post exsilium propter Ctesiphontem amplius sollicitat reges.

Homo vniuersam Asiam armis peragrans, & ingenio id demum adnitens, ut habeam cum quibus contendam.

Per eos tantùm elatus est Philippus, per quos Græcorum animi deciderunt: à quibus commilitones, loci opportunitates, omnis fortiter gerendarum rerum occasio data erat.

Thebanorum quidem calamitas aduocabat Græcos: Alexander verò hanc vrbem post Thebas reuerebatur, quanquam & tunc aliquid habuerit, quod vrbi huic obiiceret. Non enim Thebanorum victorum sacra exclusimus, ne ad eorum lamenta Bacchum hymno inuocaremus. Quemadmodum enim vrbs, si vir sincerus compareat, qui gratiam queat referre, gloriæ particeps futura est, sic & malo referente gratiam, infamia notatur. (Thebæ.)

Neque alió scribente, & contra leges agente, ego obmutuerim, sed conscensis

HIMERIVS. rostris Solonem inuocans, & rempub. compellans, dixerim: Leges non abrogo, neque exsules recipio ex mandato, ac ne iubente quidem Phocensium percussore, neque fœdus ineo, sed quamdiu portus habuero, quamdiu robustam ætatem, quamdiu trophæa numerauero, quamdiu adhuc vna è Pyræeo triremis adducetur, non deseram leges, neque rempu . relicturus sim, nec patiar huius ciuitatis gloriam diripi, nec veritus Fortunæ casus, ego ipse mihi manus inferam, ante quam seruitutem videam. Redeat igitur Demosthene , non Alexandro iubente, Æschines, præter legem gente oratore, non imperante rege, redeat quasi exsul misericordiam consecutus, non tanquam ex præcepto nobis metuendus. Hæ Atheniensium voces è quibus vrbem agnosco. Vos enim estis, qui pro institutis maiorum, & pro libertate, terra mariq; trophæa fixistis. Tanto exercitu aduenit Xerxes, terram & mare permutans, vt petentes glebam & cyathum loco concionis in barathrum coniecerit. At ipsa ciuitas elementis his fortior permansit. Quoniã licet aliis, vt sic dixerim, singula eorum, quæ gesta sunt, eadem natura esse videantur, specie tamen distinguuntur: verbi gratia aliquis proximum percutit: in certamine si vicerit, coronam habebit, extra certamen pœnas dabit.

Atheniensium laudatio.

Deplorauimus vrbem hanc olim à tyrannis euersam, tamen vltrò quàm defendere debuimus, eam Medis incendendam tradidimus. Ille cum Philippo, etiam post calamitatem Cheronensem, societatem non iniit.

Fuit nobis aliquando illa consuetudo, vt Græciæ præessemus, & pro libertate contra tyrannos depugnaremus.

Ortum à Miltiade hæc lex habuit, floruit sub Themistocle, peruenit vsque Cimonem, seruata est sub Pericle, culta sub Alcibiade, & ego eam seruatam voluissem, sed libidine assentationéque proditorum abrogata est. Imperio alios exuimus, non contradixisti, à patrio more discessimus: non conquestus es.

Non cessit vrbs nostra Lacedæmoniorum vrbi ad Siciliam. Verùm tota insula vnam ætatem extra patriam transegit: vrbs verò hæc etiam ad Occidentem prudentia inexpugnabilis permansit.

Fac, si libet, improbum esse Æschinem, perniciem Phocensiũ, proditorem Thraciæ interitũ * Cersoclepti, & si quibus aliis nominibus iniuriosè populum tractans, appellatus est. Athenis enim semper vna cũ fertilitate contra Græcos, ô Athenienses, succreuit & vitium. Multos quidem degeneres sæpenumero vrbs cõseruauit, non eorum factionem probans, sed calamitatem miserata. Nemini vnquam contra leges, quamdiu prudentiam retinuit, subiecta fuit. Quid igitur non iam ante denuncio, quin vita priùs decedo, quàm videam hanc vrbem seruitute oppressam. Ego idem ipse sanè non talem esse rumorem existimo, qualem nonnulli fingunt, primùm Alexandri mores considerans, & quisnam ille sit, qui simul & aggreditur & perficit: imò verò rebus, quas aggreditur, famam, & eos qui nuntiant, anteuertit.

** κερσοβλέπτου.*

Alexandri magni mores.

τῷ βήματι, τὸν Σόλωνα κεκραγὼς, τὴν πολιτείαν ἐπιβοώμενος, οὐ λύσω τοὺς νόμους, αὐτὸς ἔφην, οὐδὲ δέχομαι φυγάδας ἐξ ἐπιτάγματος, οὐδὲ τοῦ φωκέων αὐθέντη κελεύοντος. ἀλλ' οὐ σπένδομαι· ἀλλ' ἕως ἂν ἔχω λιμένας, ἕως ἡλικίαν ἀκμάζουσαν, ἕως ἀριθμῶ τὰ τρόπαια, ἕως γοῦν μία ἐκ πειραιῶς ἔτι τριήρης ἀνάγεται· οὐ προΐεμαι τοὺς νόμους, οὐδὲ τῆς πολιτείας ἀφίσταμαι, οὐδὲ ποιῶ τὴν φήμην αὐτῆς τῆς πόλεως πόρθησιν· οὐδ' ὑποπτεύων τὰ παρὰ τῆς τύχης ἀμφίβολα, φθάνω τὴν δουλείαν αὐτὸς ●κουσίως αἱρούμενος. κατίτω τοίνυν Αἰσχίνης Δημοσθένους, ἀλλὰ μὴ Ἀλεξάνδρου κελεύοντος· παρανομηθέντος ῥήτορος, ἀλλὰ μὴ βασιλέως προστάττοντος· ὡς φυγὰς ἐλεούμενος, μὴ φοβερὸς ἡμῖν ὡς ἐκ προστάγματος. ἀθηναίων οἱ λόγοι· καὶ γνωρίζω τὴν πόλιν ἀπὸ τοῦ ῥήματος. * ὑμεῖς γάρ ἐστε οἱ πᾶσαν μὲν γῆν, πᾶσαν δὲ θάλασσαν τροπαίων ὑπὲρ τῶν νόμων καὶ τ : ἐλευθερίας πληρώσαντες. ἐπολέμει Ξέρξης, ν μεταποιῶν καὶ θάλατταν, ὅτι τὴν τ βῶλον κ ν κύαθον αἰτήσαντας, τὸ βάραθρον αὐτὶ τῆς ησίας ἐδέχετο. ἀλλ' ἡ πόλις ἔμεινε τῶν στοιχε τέον ἀκίνητος· ἐπεὶ κἂν τοῖς ἄλλοις, ὡς εἰπεῖν, τῶν πραττομένων ἕκαστον κἂν ταὐτ τῇ φύσει δοκῇ, ἀλλὰ τῇ προφάσει μερίζεται ύπτει τις τὸν πλησίον, ἂν μὲν ἐν ἄθλοις, τ τας τὸν στέφανον· ἂν δὲ τῆς ἀγωνίας ἐκτὸς, ὑ τίμημα. ἐθρηνοῦμεν ποτε πορθουμένης ὑπὸ τῶν τυράννων τῆς πόλεως· ἀλλ' ἑκόντες αὐτὴν ὑπὲρ ἀνδραγαθίας τῷ πυρὶ τῶν μήδων ἐδώκαμεν. ὁ μὴ Φιλίππῳ σπεισάμενος, μηδὲ μετὰ τὴν μάχην τῆς * πονηρᾶς τύχης χαιρωνείας. ἦν ἡμῖν ποτε πάτριον, ἡγεῖσθαι τῆς ἑλλάδος, καὶ τοῖς τυράννοις ὑπὲρ τῆς ἐλευθερίας ἀνταγωνίζεσθαι. οὗτος ὁ νόμος ἤρξατο μὲν ἀπὸ Μιλτιάδου πρότερον, ἤκμασε δὲ ἐπὶ Θεμιστοκλέους, κατέβη δὲ εἰς Κίμωνα, ἐφυλάχθη δὲ ὑπὸ Περικλέους, ἐθαυμάσθη δὲ ὑπὸ Ἀλκιβιάδου· ἐπ' ἐμοῦ δὲ τῇ γνώμῃ μὲν ἐτηρήθη, τῇ ψυχῇ δὲ καὶ τῇ κολακείᾳ τῶν προδιδόντων διέφθαρται. ἀπέστημεν ἑτέροις τῆς ἡγεμονίας, οὐκ * ἀντεῖπες· [ὅτι] παρεχωρήσαμεν τοῦ πατρίου σχήματος, οὐκ ἠγανάκτησας. οὐκ εἶξε μετὰ σικελίαν λακεδαιμονίοις ἡ πόλις· ἀλλ' ἡ μὲν νῆσος τὴν ἡλικίαν ὅλην ἐχώρησεν, ἡ πόλις δὲ ἔμεινε τῷ φρονήματι καὶ μετὰ τὴν ἑσπέραν ἀνάλωτος. ἀλλὰ πονηρὸς * Αἰσχίνης, προδότης εἰ βούλει, καὶ φωκέων ὄλεθρος, καὶ προδοσίαν θρᾴκης, καὶ ἀναίρεσιν κερσοκλέπτου, καὶ πάνθ' ὅσα πολλάκις Αἰσχίνης ἀδικῶν τὸ δῆμον ἐγκέκληται. νόσημα γὰρ, ὦ ἀθηναῖοι, μετὰ τῶν ἑλλήνων τῇ φορᾷ τῶν ἀθηναίων συνήκμασε. πονηροὺς μὲν γὰρ ἡ πόλις * πυ ἤδη πολλάκις ἔσωσεν, οὐκ ἐπαινοῦσα τὴν γνώμην, ἀλλὰ τὴν τύχην οἰκτείρουσα· ὑπήκουσε δὲ οὐδενὶ παρὰ τῶν νόμων, ἕως ἐτήρει τὸ φρόνημα. τί οὖν οὐκ ἤδη προαγγέλλω, τί δὲ οὐκ ἔξειμι τοῦ βίου, πρὶν ἰδεῖν τὴν πόλιν δουλεύουσαν; ἐγὼ γοῦν καὶ αὐτὸς ἡγοῦμαι τὴν φήμην ἔχειν, οὐχ οὕτως [δ'] ἔχειν, ὡς πλάττουσί τινες· σκοπῶν πρῶτον μὲν, ὦ ἀθηναῖοι, τὸν Ἀλεξάνδρου τρόπον, τίς δὲ οὗτός ἐστιν, ὁμοῦ τε ἐγχειρεῖ, καὶ πέπρακται· μᾶλλον δὲ φθάνει τοὺς μὲν λογισμοὺς ταῖς πράξεσιν, οἷς δὲ ἐγχειρεῖ, τοὺς διαγγέλλοντας·

** al. ὑμῶν.*

** al. γενναίας χαιρωνείας.*

** ἀντεῖπας. M. M.*

** al. αἰσχύνας*

** al. ἔλαττον*

ἐπεὶ

ἐπεὶ καὶ τὰ πολλὰ δὴ ταῦτα καὶ μεγάλα τῶν ἔργων, * ἃ λογοποιοῦσιν οἱ κόλακες, τάχει μᾶλλον ἢ τῇ ῥώμῃ κρατῶν, τούτοις οἷς ἐπῄει κατώρθωσε· πρὶν ἀγγελθῆναι παρὼν, πρὶν ἀκουσθῆναι φαινόμενος· κατὰ τοὺς σκηπτοὺς, ἢ τὰς βροντὰς, αἳ πολλάκις φθάνουσι * τῆς προσδοκίας ἡγήσασθαι. οὕτω Σάρδεις εἷλεν, οὕτω Καρίαν ἐπόρθησεν, οὕτω Λυκίαν παρέσυρεν, οὕτω Παμφυλίαν ἐπέδραμεν, οὕτως ὤφθη Κίλιξιν. οὕτως ἐπέστη Πέρσαις, οὕτω Δαρεῖον ἐξέπληξεν· οἴμοι τῶν ἐγγὺς κακῶν. οὕτω καὶ Θήβας ἀνήρπασεν· ἔπεσε πόλις ἐπὶ τῆς Ἑλλάδος μέσης, φθάσαντος τὴν φήμην τοῦ πτώματος. κἀγὼ μὲν ἠγνόουν τὴν συμφορὰν, τὴν δὲ πόλιν εἶχε τὸ πολυάνδριον. τοῦτο μὲν δὴ προσωτέρω οὐκ ἐᾷ με προσέχειν. δεύτερον δὲ ὅτι οἶδεν Ἀλέξανδρος κἂν εἰς σφόδρα τις αὐτὸν μεθύειν ὑπὸ τῆς εὐτυχίας ὑπείληφε, καὶ ἑξῆς. τί οὖν οὐ καθαιρῶ τὰ τρόπαια; τί δὲ οὐκ ἀναστρέφω τὰς στήλας; τί δὲ οὐκ ἐξαλείφω τὰ ἐπιγράμματα; πάντα γὰρ * οἶμαι τὰ τῆς ἀρετῆς ὑπομνήματα, ὥσπερ τοῖς ἀγαθοῖς κόσμος ἐστίν· οὕτως ἔλεγχος τοῖς καταισχύνουσι. καλῶς ἐθαύμαζον τὴν ποικίλην οἱ Σαλαμίνιοι κινδυνεύσαντες. ἐδαπάνων γὰρ ἐπὶ τῆς θαλάττης τὸ τῆς ἠπείρου λείψανον. Παρνασσὸς δὲ εἰς τὴν θάλασσαν ἐσφενδόνα [τὰς] κορυφὰς, καὶ τοῖς ἑαυτοῦ μέρεσιν ἀντὶ βελῶν ὑπὲρ τοῦ γένους ὡπλίζετο. μερίζονται δὲ τὰς μάχας Ἕλληνες, καὶ νέμονται πρὸς ἀλλήλους μετὰ στοιχείων τὰ κατορθώματα, Λακεδαιμόνιοι τὴν ἤπειρον, ἡμεῖς τὴν θάλατταν· ἐκεῖνοι τριακοσίοις τὰς Πύλας σώμασιν, ἡμεῖς τοσαύταις τριήρεσι τὰς τῆς Ἑλλάδος παρόδους κλειόμενοι. νεανίσκου δὲ Μακεδόνος καθ' ὅλης τῆς ὑφ' ἡλίῳ κωμάζοντος, καὶ λυποῦντος μικροῦ καὶ αὐτὴν τὴν τύχην οἷς ἐνυβρίζει τοῖς ἀτυχήμασιν, οὐκ ἔστιν ὃς ἀνθίσταται. ὅτι βασιλεῖ τὰς ὑποσχέσεις * διακονούμενος, οὐ πείσας ἀπῆλθεν· ἀλλὰ κερδάνας, ὅτι μὴ πείσας ἐσώζετο. ὑμεῖς δὲ χειροήθεις ἀεὶ τοῖς * τυράννοις παρασκευάζουσιν, ἵνα αὐτοῖς μὲν ὑπάρχῃ πλουτεῖν, τῇ πόλει δὲ τὸ τῶν οἰκείων στέρεσθαι. ἀναγκαῖος μὲν ὁ φόβος, ὀψὲ δὲ καὶ λίαν βραδέως αὐτὸ τὸν τρόπον τὸν Αἰσχίνου φυλάττεσθαι, τὰς τριήρεις ἐμπρήσει τῆς πόλεως· οὐκέτι δι' Ἀντιφῶντος, οὐδὲ δι' ἀπορρήτων, ὡς πρότερον· ἀλλ' αὐτοπροσώπως τῆς ἀδικίας ὑποκρινόμενος· ὁ δῆμος ὁ τῶν Ἀθηναίων Αἰσχίνην γράφει [τὴν] κάθοδον, ὁ τὰς ἀπ' Ἰνδῶν φήμας ὡς ὅπλα καὶ μάχας φοβούμενος. οὐκ ἦν Ἀριστείδην κατάγειν, καὶ ταῦτα οὐ κακίαν, ἀλλ' ἀρετὴν τῆς φυγῆς ἔχοντα πρόφασιν. ἵνα γὰρ * πειθῶσι τῷ Σόλωνι, οὐδ' αὐτὸν ἔφευγον ἀδικεῖν δόξαι τὸ δίκαιον. κεῖται Βαβυλὼν, Δαρεῖος οἴχεται, Ἰνδοὺς ἀνήρηκε, Πέρσαι δουλεύουσι, μόναι λείπουσιν αἱ Ἀθῆναι τοῖς κατορθώμασιν· ὧν Πέρσαι τοσαυτάκις ᾔσθοντο τῆς ἀρετῆς, ὁσάκις ἔδει μάχεσθαι.

Ἐκ τῆς μελέτης. [ἧς] ἡ ἐπιγραφὴ, Ἐπίκουρος, πρόνοιαν οὐκ εἶναι λέγων, ἀσεβείας φεύγει γραφήν. ἐκ τῆς θεωρίας.

Cùm alia multa, magnáque opera sua, quæ adulatores confingunt, celeritate potius, quàm virtute eos, quos adoritur, antequam adesse diceretur, & visus fuisse audiret, superans, confecerit instar fulminis, & tonitrui, quod sæpe antequam exspectetur, præcedit. Sic Sardes occupauit, sic Cariam euertit, sic Lyciam distraxit, sic Pamphyliam inuasit, sic viderunt eum Cilices. sic incubuit Persis, sic Darium perterruit. Et, proh dolor, quàm vicina etiam calamitas! Sic & Thebas diripuit. Sic cecidit vrbs illa in vmbilico Græciæ, antequam audiissem, cúmque ego adhuc calamitatem eius ignorarem, sepulchrum suorum facta est. Hoc autem impedit, quo minus primum prosequar. Secundò verò sciuit Alexander, quamuis eum quis admodum rebus sec... dis ebrium putarit &c. Cur ergo * non ... o trophæa? cur columnas non euerto? cur inscriptiones non expungo? Nam hæc omnia virtutis memoriam existimo continere, vt iustis in honorem, deterioribus in opprobrium cedant.

Meritò Salaminij Variam post pericula porticum admirabantur. Nam quæ in terra superfuerant reliquiæ, eas in mari pro hac consumpserunt. Parnassus contorsit in mare montis vertices, & partibus suis loco telorum pro hac gente pugnauit. Diuiserunt Græci inter se pugnas, & distribuerunt cum elementis & officia, Lacedæmonij terra, nos mari pugnaturi, illi trecentis hominibus Thermopylas, nos totidem triremibus omnes Græciæ aditus occlusimus, Nemo verò erat, qui posset resistere adolescenti illi Macedonio, totum qua patet orbem peruadenti, & penè constristanti ipsam fortunam iisdem rebus secundis quibus ille nos infestat.

Hic regi promissiones explens, re infecta rediit, sed id commodi accepit, vt seruaretur.

Semper quidem vos faciles tyrannis præbuistis, vt illi quidem ditescant: ciuitas verò bonis spolietur. Necessarius quidem metus, tandem serò, lentéque admodum Æschinis consuetudinem retinere, vrbis triremes incendent, non per Antiphontem, aut alios occultos, vt prius, sed per se ficta improbitate. Populus Atheniensis licet famam Indorum vt arma & bella metuat, Æschinem reuocat. Negligit reuocare Aristidem, qui non propter delictum, sed virtutis nomine exsulauit. Si enim Solonis legibus parerent, iustum certè non proscriberent.

Iacet Babylon, cæsus est Darius, Indos euertit, Persas subegit, soli Athenienses virtute sua reliqui sunt, quorum robur toties Persæ experti sunt, quoties pugna contenderunt.

Ex Declamatione cui titulus est: Epicurus prouidentiam negans, impietatis accusatur.

EX THEORIA.

Scivit Rhetorica sibi philosophiam materiam dicendi parare: sublimior enim dicendi vis, instar tyranni est.

Οἶδε ῥητορικὴ καὶ * φιλοσοφίαν ἑαυτῆς ὕλην ποιήσασθαι, τύραννος γὰρ ἡ τοῦ λέγειν ἄνωθεν δύναμις.

Margin notes: HIMERIVS. — Theba. — † καθαιρῶ emendo. — Poecile porticus Athenis. Vide Æmilium Probum. Vide inf. in orat. proximam. — Seneca rhetor in Suasoriis. — Plutarchus in dictis Græcia oratoribus. Vide Plutar. & Corn. Nepotem seu Probum.

HIMERIVS.

Exordium orationis.

DISCET nunc aperte Epicurus, si antea ignorabat, non doctus, sed conuictus, prouidentia regi vniuersum. Quod enim mali condemnentur, puniantur, & pœnas luant, manifestum est indicium non naturæ temerè ac frustra ruentis, sed legis atque instituti, & rationis administrandi, & hoc amplius, ipsius prouidentiæ est argumentum. Iam itaque aliquid, Athenienses, commemoratione dignum accidit. Venit in iudicium Epicurus vultu subtristi, & suam, quam de voluptate habet, opinionem tetrico vultu corrupit. Duplici de causa odio dignissimus, cum quod aliter doceat priuatim, tum quod aliter publice exhibeat. Ibi enim voluptatem quidem iactat, vt iucunditatem ex omnibus rebus colligat: hic verò grauitatem mentitur, vt iudices conciliando surripiat. Nouum sanè iudicium, homo propter naturam mundi iudicatur, & peruersus sophista, propter prouidentiam pœnam subit. Perit omnis virtus per doctrinam Epicuri, & sermones. Pereunt concilia, & iudicia, honestatis præmia, improbitatis supplicium, quin & supra cœlum euadit impietas, nullúsque est locus qui impudentiæ & audaciæ Epicuri sit expers. Et hac de causa, antiquis philosophiæ vestigiis insistere erubuit, & eandem quam priores * ire viam neglexit. Eorum porrò animi angustiam potissimum incusat, qui à nobis propter doctrinas impias puniti sunt, quare omnes adhuc impietate longo interuallo superare parat. Cur non accusetur, qui tale ac tantum nomen ausus est sibi affingere? at vbi hæc profitetur? Vbinam conuenit & commisceatur voluptas laboribus, fortitudo deliciis? Academia lupanaribus, philosophia potationibus, temperantium vita cum impudicis adolescentibus? & quid prædixit, quid ausus est? bellum & arma vniuersæ naturæ legibus indicit, contra omnem ætatem dementiam effundit, & de impiis sectatoribus eos plurimum colit, qui voluptatem ante alios demirantur.

* Sic Lucretius & ipse Epicurus: Auia Pieridum peragro loca, nullius ante Trita solo.

Prius verò defensionem eius consideremus, an doctrinæ eius pœnam exigis? minimè, sed impietatis. Licet enim docere quod libet, impio esse non licet. Si probare potes non esse eos impios in verbis, verba non damno: at si verbis inest impietas, non propter illa pœnam dabis, sed eo magis puniere, quia ad impietatem confirmandam his verbis vsus es. Non enim pœnam in iudicio dabit, si quis, etsi liceat vti ad ea quæ oportet, ad rem non conuenientem verbis vti velit: contra verò, si rem honestam inhonestis verbis inquinarit, ob verba pœnam luet. Vocamus hunc in iudicium oratores, & si quis lentus accesserit, frequenter communi ciuitatis suffragio vel inuitus ad dicendum cogitur. Venit aliquis iuuenis vel iuuencula (nam ob hanc ætatem præclarus ille conuentus ordinatus est) in venerandam Epicuri scholam, audacia superat ille Ixionem, ferocia Salmoneum, temeritate Tantalum: sed hæc in fabulis, & per vmbram vix credimus.

ἐξ αὐτῆς μελέτης τὸ προοίμιον.

Νῦν μὲν εἰ καὶ μὴ πρότερον εἴσεται σαφῶς Ἐπίκουρος, ὅτι πρόνοια διοικεῖ τὴν τῶν ὅλων φύσιν, οὐ δογματίζων, ἀλλὰ κρινόμενος. τὸ γὰρ τοὺς πονηροὺς κρίνεσθαι καὶ κολάζεσθαι, καὶ διδόναι δίκην οὐκ εἰκῆ φερομένης καὶ μάτην φύσεως, ἀλλὰ θεσμοῦ, καὶ νόμου, καὶ πολιτείας, καὶ (τὸ μέγιστον) αὐτῆς τῆς προνοίας λαμπρὸν ὑπάρχει τεκμήριον. ἤδη μὲν οὖν πάρεργόν τι τῆς γραφῆς, ἄνδρες Ἀθηναῖοι, γεγένηται. συγνάζων ἥκει ἐπὶ τὴν κρίσιν Ἐπίκουρος, καὶ τὸ τῆς ἡδονῆς δόγμα τῇ κατηφείᾳ διέφθαρκε. δι' ἀμφότερα δὲ μισεῖσθαι δίκαιος, καὶ ὧν ἰδίᾳ παιδεύει, καὶ ὧν δημοσίᾳ πλάττεται. ἐκεῖ μὲν γὰρ τὴν ἡδονὴν θρυλλεῖ, ἵνα τὴν ὥραν τὴν τῶν χρωμένων καρπώσηται· ἐνταῦθα δὲ τὴν σεμνότητα καθυποκρίνεται, ἵνα ὑφαρπάσῃ τὸ δικαστήριον. ὁ μὲν * φύσις παράδοξος ἀνὴρ πρὸς τὴν φύσιν τῶν * ὄντων κρίνεται, καὶ πονηρὸς σοφιστὴς πρὸς τὴν πρόνοιαν δικάζεται. οἴχεται μὲν ἀρετὴ πᾶσα τοῖς Ἐπικούρου λόγοις καὶ δόγμασιν· οἴχεται δὲ δικαστήρια καὶ κρίσεις, καὶ τῶν μὲν ἀγαθῶν αἱ τιμαί, τῶν δὲ ἐναντίων τὸ ἐπιτίμημα. ἀναβαίνει δὲ καὶ εἰς οὐρανὸν ἄνω τοῖς ἀδικήμασι, καὶ τόπος οὐδεὶς τῆς θρασύτητος Ἐπικούρου καὶ τῶν τολμημάτων ἐξαίρετος. τὸ δ' αἴτιον, ᾐσχύνθη τοῖς ἀρχαίοις ἐμμεῖναι φιλοσοφίας ὅροις Ἐπίκουρος, καὶ τὴν αὐτὴν ὁδὸν ἐλθεῖν τοῖς πρότερον φιλοσοφήσασιν ὤκνησε. μᾶλλον δὲ μικροψυχίαν καταγνοὺς τῶν ὅσοι παρ' ἡμῶν ἐπὶ πονηροῖς δόγμασι πλημμελοῦντες ἐκολάσθησαν, ἔγνω πάντας ἀθρόως ὑπερβαλέσθαι τοῖς ἀδικήμασιν. ἢ πῶς οὐκ ἄξιος μέμψεως, τοσαύτης καὶ τηλικαύτης ἐπωνυμίας ἐπιχειρῶν καταψεύδεσθαι; ποῦ γὰρ * ὁμολογεῖται ταῦτα; πῶς δὲ συμβαίνει καὶ μίγνυται ἡδονὴ πόνοις; καρτερία τρυφῇ; ἀκαδημία καὶ πόρναι; φιλοσοφία καὶ πότος; σωφρονούντων βίος, καὶ ἀκόλαστα μειράκια; ὁ δὲ τί * προείρηκε, καὶ τί τετόλμηκε; πόλεμον ἀπειλεῖ καὶ μάχην τοῖς νόμοις ὅλης τῆς φύσεως· ἐμάνη μανίαν καθ' * ἡλικίας ἁπάσης Ἐπίκουρος, καὶ δυσσεβεῖς ἔρωτας ἠράσθη πάντων ὅσοι τὴν ὥραν ὑπὲρ τοὺς ἄλλους θαυμάζονται. πρότερον δὲ αὐτοῦ τὴν ἀπολογίαν σκεψώμεθα. δόγματος οὖν ἀπαιτεῖς δίκας; οὐκ, ἀλλ' ἀσεβείας. δογματίζειν μὲν γὰρ ἐξὸν, ἀσεβεῖν δὲ οὐκ ἐπιτέτραπται. εἰ μὲν οὖν * ἔχεις εἰπεῖν, ὡς οὐκ ἀσεβεῖς οἷς εἴρηκας, οὐ κρίνω τοὺς λόγους: εἰ δ' ἀσέβεια τοῖς λόγοις πρόσεστιν, οὐ διὰ τοὺς λόγους κερδανεῖς τὴν δίκην, ἀλλὰ κολασθήσῃ πλέον οἷς ἐπὶ τὸ ἀδικεῖν τοῖς λόγοις κέχρησαι. οὐ γὰρ εἴ τις, ἐξὸν χρῆσθαι πρὸς ἃ δεῖ, κἂν πρὸς ἃ μὴ δεῖ θέλῃ, δίκην οὐ δώσει κρινόμενος· τοὐναντίον ὑφέξει λόγον, ὅτι καλὸν πρᾶγμα πονηρᾷ γνώμῃ διέφθειρε. καλοῦμεν ἐπὶ τὸ βῆμα τοὺς ῥήτορας· κἂν ὀκνῇ τις, πολλάκις ἡ κοινὴ φωνὴ τῆς πόλεως ἐπὶ τὸ λέγειν ἐγείρει καὶ τὸν οὐ λέγειν βουλόμενον. παρέρχεταί τις εἰς τὸ σεμνὸν Ἐπικούρου φροντιστήριον νέος, ἢ νέα; εἰς γὰρ ταύτην τὴν ἡλικίαν τὸ λαμπρὸν τοῦτο συνέδριον. ὑπὲρ τὸν Ἰξίονα τὸ θράσος ἄνθρωπος, ὑπὲρ τὸν Σαλμωνέα τὴν ὕβριν, τὴν τόλμαν ὑπὲρ τὸν Τάνταλον. ἀλλ' ἐκεῖνα μὲν μῦθοι· καὶ τῇ σκιᾷ μόλις τά γε τοιαῦτα πιστεύομεν.

* al. γένιν * al. ὅλων * ὁμολογεῖν * προεῖπε * ἡλικίαι * al. ἴχνος

HIMERIVS.

Ἐπίκουρος δὲ οὐκ ἐν μύθοις, ἀλλ' ἐν δόγμασι καὶ πράξεσι νικῶν ἐκείνους ἐλέγχεται. κἀκεῖνοι μὲν ἑτέρωθί που ταῦτα τολμῆσαι λέγονται· οἱ μὲν ἐν ὄρεσιν, οἱ δὲ ἐν νάπαις, οἱ δὲ ἐν βαρβάροις τισὶ καὶ ἀπερριμμένοις χωρίοις (δίδωσι δὲ * ποτε συγγνώμην καὶ τόπου φύσις ἐγκλήμασιν.) Ἐπίκουρος δὲ Ἀθήνησι ταῦτα φιλοσοφεῖ· Ἀθήνησι δὲ ὅταν εἴπω, τὸ μέγιστον εἶπον τῆς εὐσεβείας κεφάλαιον· οὐδὲν ὁ Σωκράτης σοι δοκεῖ πρὸς μίμησιν; καὶ τί, φησὶ, τῶν ὑπευθύνων ἠσέβησα; αὐτό μοι λέγεις, Ἐπίκουρε, τὸ μεῖζον ἔγκλημα, ὅτι μὴ δυσσεβεῖς μόνον, ἀλλ' ὅτι καὶ καινά. ὅθεν διχόθεν ὑπεύθυνος. βωμοὺς οὐκ ἀνέτρεψας; ἀλλὰ μάτην ἑστῶτας ἔδειξας, πρόνοιαν ἀνελὼν, δι' ἣν βωμοὺς ἱδρυσάμεθα· θυσίαν καινὴν * οὐκ ἔθυσας, ἀλλὰ πάσας ἀνῄρηκας. * μηδὲ ῥυέσθω τῆς τιμωρίας Ἐπίκουρος, ὅτι μὴ κατὰ τοὺς πρότερον κατὰ θεῶν ἐθρασύνατο. πάντας μὲν γὰρ ἀσεβῆσαι τρόπους, ἑνὶ τῶν κατὰ τὴν πόλιν ἀδύνατον. εἰ δὲ ἕκαστος ἀνθ' ὧν ἔδρασε προβαλλόμενος ἃ μὴ πεποίηκε, τὴν τιμωρίαν [οὐκ] ἐκφεύξεται: τίς ὑφέξει τῶν ἀσεβῶν δίκην, οὐ πάντας ἐγχωροῦντος * ἑκάστῳ ἀσεβεῖν· καὶ τοῖς κρινομένοις ἐξὸν ἀντὶ τῶν πεπραγμένων τὰ μὴ πεπραγμένα προτείνεσθαι. οὐ δεῖ ταῦτά γε νοῦν ἐχόντων τὰς διαδύσεις προΐεσθαι. οὐ γὰρ ὑπὲρ ὧν τις οὐκ εὐθύνεται, τὴν ἀπολογίαν προσήκει ποιεῖσθαι: ἀλλ' ἐφ' οἷς οἵ τε κρίνοντες κατηγοροῦσιν, οἵ τε δικάζοντες κάθηνται. οἱ δὲ ἀφέντες τὸ δικαιότατον, ἐπὶ τὸ ῥᾷστον βαδίζουσι. τὸ μὲν γὰρ δικαιότατον, λύειν τὸ ἔγκλημα, διότι κρίνεται: τὸ ῥᾷστον δὲ, ἀπολογεῖσθαι περὶ τούτων, ἐφ' οἷς οὐ φεύγει τις δίκας· εἰ μὲν οὖν ὅτι μή πω δέδωκας δίκην, οὐκ εἶναι νομίζεις πρόνοιαν· ὀρθῶς βεβούλευσαι: εἰ δὲ διὰ τὴν φύσιν τῶν ὅλων, ὁ λόγος μάταιος. ἀλλὰ πόθεν, πρὸς τῶν ἀτόμων καὶ τοῦ * χάους τοῦ πολυθρυλλήτου, ταύτην τὴν δόξαν ἐξεύρηκας; ἄτακτός τις ἐνοχλεῖ τὴν τῶν ὅλων φύσιν φορὰ καὶ κίνησις· ἀλλ' ἀρχαῖον τὸ χάος, καὶ τῶν σῶν λόγων πρεσβύτερον. ἀλλ' οὐδὲ πείθεται τοῖς ὡρισμένοις νόμοις τῆς φύσεως· καὶ μὴν ἅπαντα καὶ τάξει χωρεῖ· καὶ τῆς προνοίας ταύτης μέγιστον οἶμαι τεκμήριον, τὸ πάντα σώζεσθαι: ἀταξία μὲν γὰρ φθορὰν, τάξις δὲ σωτηρίαν ἐργάζεται. Τί συλᾷς ἐκ Δελφῶν, ὡς ἐξ οὐρανοῦ, τὴν πρόνοιαν; ἀλλ' ὅμως ἐκινεῖτο μὲν Παρνασσὸς, καὶ κατὰ Περσῶν ἐκραδαίνετο· κορυφαὶ δὲ ὀρῶν ἀντὶ βελῶν ἐξεβάλλοντο· Πέρσαι δὲ ἔπιπτον, τάφοις ταῖς πέτραις χρησάμενοι. Ἐπικούρου δὲ ταῦτα λέγοντος κατὰ * τοῦ θεοῦ τολμήσαντος, οὐχ ὄρη σείεται, οὐχ Ὑμηττὸς συγκραδαίνεται; οὐ πρηστῆρες, οὐδὲ σκηπτοὶ αὐτῇ τοῦτον Ἀκαδημίᾳ συναφανίζουσι; συνίημι τὸ στρατήγημα τῶν θεῶν, ὑμετέραις ψήφοις τοῦτον ἐτήρησαν, ἵνα Ἀττικὸν δικαστήριον ἴσα Πυθίῳ βουλεύσηται. εἰ μὲν οὖν γράψαι τοσοῦτον μόνον ἐτόλμησεν, ὅσον * καθαιρεῖν τὰ τῆς προνοίας ἀγάλματα, ἔδει διδόναι δίκην ὡς ἀσεβήσαντα· εἰ δὲ εἰς αὐτὴν ἐκείνην ἀσεβεῖ, ἧς οὐρανὸς καὶ γῆ, καὶ στοιχείων φύσις, ἀγάλματα: ὡς μικρόν τι δράσαντι διαγνωσθέντος φεισόμεθα; δυστυχοῦσι γὰρ, φησὶν, οἱ κακοί· καὶ τί κακίας μεῖζον δυστύχημα; δυστυχοῦσι γὰρ οἱ σοφοί.

Margin notes: * al. ποτε. — Athenas. — Socrates. — * ἐθύσας. — * al. μὴ δὲ. — * ἐγχωροῦντος. — Prouidentiae argumentum. — * al. τῶν. — * [illegible]

Sed non in fabulis Epicurus, verùm in doctrinis actionibúsque hos superare conuincitur. Quibus in locis hæc illi ausi sunt? alius in montibus, alter in saltibus, ille in barbaris quibusdam & abiectis regionibus, vt etiam locus veniam peccatis dare videatur. Verùm Epicurus hæc docet Athenis, Athenas cum dico, pietatis caput intelligo. Num tibi videtur Socrates, quem imiteris, dignus? Et quid dignum, inquit, cur reus sim commisi? Hoccine mihi ais, Epicure? maius iam crimen est, non impietatis modo, sed quia nunc etiam nouum adiungis. Vnde iam duplici de causa reus factus es. Aras non euertisti? at eas frustra esse ostendisti, cùm prouidentiam è rerum natura tollis, ob quam aras exstruximus, sacrificia noua non introduxisti? at omnia sustulisti. Non absoluatur Epicurus, quia non eadem quæ priores de Diis sensit. Fieri enim non potest, vt vnus in vrbe ciuis omnibus modis sit impius, si verò vnusquisque pro his quæ fecit adducens ea quæ non fecit, supplicium euadet, quis impietatis pœnas dabit? Cùm nulli sint omnino impij, & liceat reis pro malefactis benefacta proferre. Non sunt à sapientibus hæ frustrationes † admittendæ. Non enim adhibenda defensio est eorum, de quibus quis non accusatur, verùm de quibus coram iudicibus accusatur, & ob quæ disceptatores sedent. Illi verò, æquissimis omissis, ad facillima dilabuntur. Æquissimum enim est obiectum diluere: facillimum ea defendere, de quibus non accusatur. Si igitur quia pœnas nondum dedisti, ideò prouidentiam negas? rectè iudicasti: sin propter naturam vniuersi, stultè. Sed vnde hanc de atomis & Chao adeò trito opinionem inuenisti? inordinata quædam volutio, & motus hoc vniuersum turbat, & antiquum chaos est, & tuis verbis antiquius, neque definitis naturæ legibus obtemperat. Porrò autem omnia ordine procedunt, quod maximum prouidentiæ argumentum puto, omnia scilicet conseruari: nam inordinatio corruptionem: ordo verò conseruationem inducit.

Quid adimis Delphis, sicut & cœlo, prouidentiam? veruntamen mouebatur Parnassus, & contra Persas iaciebatur: montium verò vertices pro telis torquebantur. Ceciderunt autem Persæ, in petris sepulti. Verùm cùm Epicurus hæc in Deos dicere audeat, montes non concutiuntur, non Hymettus cribratur? non fulmina, non tonitrua hunc vnà cum Academia hominum oculis eripiunt. Callidum Deorum inuentum intelligo, hunc vestris iudiciis reseruarunt, vt Atheniensis Senatus eadem quæ Pythius vates Apollo decernat. Si vel tantummodò scribere ausus fuisset, quantum satis esset ad tollenda prouidentiæ signa, puniendus fuisset vt impius. Si autem in eam ipsam prouidentiam impius sit, cuius simulacra sunt cœlum, terra, elementorúmque naturæ: an parcemus tanquam modicum facinus patrarit? Bene enim est, inquit, improbis: at quænam tamen maior improbitate infelicitas? malè verò est sapientibus.

Margin note: † σοφίσματα. H. Steph.

HIMERIUS. An aliam felicitatem putas virtute meliorem? ita: non vna est cuiusque hominis vitæ ratio à natura & voluntate: sed diuiduntur quidem hominum intentiones: tribuunt verò vnicuique proprium sibi finem. Nullus imperium omnium ambit sapiens, cuius possessores plurimi beatos prædicant, nec, si minus consequatur, damnum putat. Quid ergo spectat, quid intendit, cur laborat, cur noctu vigilat, & interdiu studet? Vt virtutem consequatur. Hanc quomodo obtinebit? & qua ratione diuinæ illius prædæ compos fiet? Opibus & diuitiis non acquiritur virtus, neque corporis robore. Omnem enim oleagineam coronam excedit. Virtute bellica? Et quænam trophæa chariora quàm de vitio statuuntur? Non igitur sapienti pauperi paupertatem obiicias: non enim spectat diuitias. Neque ægrotanti inualetudinem exprobres, siquidem melior pars illius salua sit, neque improbres, si à ciuitati imperantibus vincatur, quandoquidem etiam fortioribus superior est. Tantum enim abest; vt vir sapiens horum possessionem sectetur, vel se infelicem, si careat, existimet, vt etiam aliqui maximè eorum, qui sapientia & virtute claruerunt, iis se sponte priuarint, quo liberi ab omni externo impedimento, immortalis virtutis diuitias emerent. Anaxagoras omnia patriæ pascua dimisit, reipsa declarans quænam agricultura sapientibus conueniat. Vltrò Democritus morbum cōciuit, vt pars melior sana esset. Quid ergo prouidentiam incusas, tanquam non rectè quid sit iustum distribuentem? Si enim omnia externa bona despiciunt, quomodo non habentes molestè ferant? vel vt assequantur laborent? Quis enim diues non existimet opes maximo impedimento esse. Diuinarum autem & humanarum rerum cognitio, & talis ac tantæ sapientiæ magnitudo, tibi ne videatur superuacaneum quid mercaturam facienti, & sarcinam sollicitè gerenti, & onus ei, qui honores ac magistratus in ciuitate sectatur? Non ergo eos infelices appellato, qui omnium sunt felicissimi, neq; infortunatos, qui ditissimi sunt, neque pauperes quorum thesaurus immortalis est: neque ignobiles & abiectos, quos pro Diis habemus. Sæpe enim multi improbi sunt voluntate, ab aliquibus tamen vtilitati potius quàm veritati seruientibus laudantur. Libenter sanè eos interrogarem, qui sapientibus infelicitatem exprobrare student, an tales fuerint antequam sapientes fierent, an verò postea felicitatem amiserint. Si prius non est, non est virtutis culpa: sin vero ex quo sapientiam acquisierint, non ea quę desiderabant, sed ea quę non desiderabant, amiserunt. Hic verò calamitatem illam deridet, & in iudicio hanc consuetudinem exsibilat. Nam quibus nihil eorum, vt puto, quæ antea solitus erat, obiecit, his quia neque imperium obiecerat, sperarat fore, vt idcirco non maiori pœna & supplicio dignus exsisteret, quoniam tanta, & talia fecisset, quorum exempla non possunt reperiri.

Orig. lib. 2. contra Celsum. Lactan. lib. 3. de falsa sap. c. 23. Plut. in vita Periclis.

εἶτα δυστυχίαν ἄλλην ἀρετῆς ἡγῇ βελτίω; ναί. οὐχ εἷς βίος ἀνθρώπου γνώμης ὑπάρχει καὶ φύσεως· ἀλλὰ σχίζονται μὲν οἱ τῶν βιούντων σκοποὶ, συμμερίζονται δὲ πέρας ἕκαστοι τὸ πρέπον. οὐκ ἐρᾷ σοφὸς τὴν ἀρχὴν οὐδενὸς τῶν πάντων, ἐφ᾽ οἷς οἱ πλεῖστοι τοὺς κεκτημένους * εὐδαιμονίζουσιν, οὔκουν οὐδὲ ζημίαν τὸ μὴ τυγχάνειν ὑπείληφε. τί οὖν ἐκείνῳ τέλος; καὶ πρὸς τί * βλέπων, καὶ πόνοις πονεῖ, καὶ νύκτωρ ἀγρυπνεῖ, καὶ μεθ᾽ ἡμέρας ἐσπούδακεν; ἀρετῆς κτῆσις οὖν. τὸ αὐ. ταύτην δὲ πῶς * αἱρεῖ; κατὰ τίνα τρόπον τῆς θείας ἐκείνης θήρας ἐγκρατὴς γίνεται; πλούτῳ καὶ χρήμασιν οὐκ ἔστιν * αἱρετή. οὔτε ῥώμη * τοῦ σώματος. [αἱρετὴ] ὑπὲρ ἅπαντα κότινον ὁ ταύτης στέφανος. δυνάμει τῇ κατὰ τὸν πόλεμον; καὶ τίνα τρόπαια τῶν * ἀπὸ κακίας μείζονα; μήτ᾽ οὖν πενομένῳ τῷ σοφῷ πενίαν προσφέρε· οὐ γὰρ ἦν σκοπὸς τὰ χρήματα. μήτε νοσοῦντι τὴν ἀρρωστίαν ὀνείδιζε, εἴπερ ὑγιαίνει τὰ κρείττονα. μήτε τῷ ἡττωμένῳ τῶν δυναστευόντων ἐν πόλεσιν, εἴπερ κρατεῖ τοῖς ἀμείνοσι. τοσοῦτο γὰρ ἂν δέοι σπουδαῖος ἀνὴρ μεταδιώκειν τὴν τῶν τοιούτων κτῆσιν, ἢ δυστυχεῖν ὑπολαμβάνειν τὸ στέρεσθαι· ὥστε ἤδη τινὲς καὶ μάλα τῶν ὀνομαστῶν ἐπὶ σοφίᾳ καὶ ἀρετῇ, οἱ τούτων ἑκόντες ἀπέστησαν, ἵνα πάσης ἑαυτοὺς τῆς ἔξωθεν ἀσχολίας ἐλευθερώσαντες, τὸν ἀθάνατον τῆς ἀρετῆς πλοῦτον ἀλλάξωνται. Ἀναξαγόρας γῆν ἀνῆκε τὴν ἑαυτοῦ πᾶσαν μηλόβοτον, ἔργῳ νομοθετῶν τίς γεωργία τοῖς σοφωτέροις ἁρμόττουσα. ἑκὼν δὲ ἐνόσει σῶμα Δημόκριτος, ἵνα ὑγιαίνῃ τὰ κρείττονα. τί οὖν ἐγκαλεῖς προνοίᾳ, ὡς μὴ μερίζουσῃ κατ᾽ ἀξίαν τὸ δίκαιον; εἰ γὰρ καὶ παρόντων ὑπερορῶσι τῶν ἐκτὸς ἁπάντων, πῶς ἢ ἄχθονται μὴ παρόντων, ἢ ὅπως ὑπάρχῃ σπουδάζουσι; τίς γὰρ πλουτῶν οὐκ ἀσχολίαν ἄγει μεγίστην αὐτὰ τὰ χρήματα; θείων δὲ γνῶσις καὶ ἀνθρωπίνων πραγμάτων, καὶ τοσαύτης καὶ τηλικαύτης σοφίας μέγεθος, ἆρά σοι δοκεῖ πάρεργον μὲν εἶναι τοῦ χρηματιστοῦ, τῷ δὲ παρεργουμένῳ ἐφόλκιον, τοῦ δὲ τὰς ἐν πόλει τιμὰς * διώκοντος ἐπακολούθημα; μὴ τοίνυν κακοδαίμονας κάλει τοὺς τὴν μεγίστην εὐδαιμονίαν εὐδαιμονήσαντας· μηδὲ δυστυχεῖς, τοὺς ὁμοιουμένους τοῖς κρείττοσι· μηδὲ πένητας, ὧν θησαυρὸς * ὁ θάνατος· μηδὲ ἀτίμους, οὓς ἴσα θεοῖς θαυμάζομεν. πολλοὶ γὰρ πολλάκις κακοὶ μὲν γνώμην τυγχάνουσιν, ἐπαινοῦνται δὲ πολλάκις παρ᾽ ἐνίων, τῆς χρείας ποιούσης ἀντὶ τῆς ἀληθείας τὸν ἔπαινον. καίτοιγε ἡδέως ἂν ἐροίμην τοὺς ὀνειδίζειν τοῖς σοφοῖς τὴν δυστυχίαν ἐθέλοντας, πότερον ἦσαν τοιοῦτοι πρὶν γενέσθαι σοφοὶ ἢ μετὰ ταῦτα τῶν λεγομένων ἀτυχημάτων ἀφῄρηνται; εἰ μὲν πρότερον, οὐ τῆς ἀρετῆς τὸ ἔγκλημα: εἰ δὲ ἐξ οὗ ταύτην εἰλήφασιν; οὐχ ὧν ἐπόθουν, ἀλλ᾽ ὧν οὐκ ἐπόθουν ἐστέρηνται. ὁ δὲ [καὶ] καταιρωνεύεται * τὰς συμφορὰς, καὶ παραγελᾶται τὸν τρόπον ἤδη τῆς κρίσεως. οἷς γὰρ οὐδὲ ὁ, νῦν (οἶμαι) τῶν εἰωθότων ἠδίκηκε, τούτοις ὅτι μηδὲ τὴν ἀρχὴν ἠδίκηκε, δόξειν ὑπείληφεν, ὥσπερ οὐ διὰ τοῦτο μείζονος ὀργῆς καὶ κατηγορίας ὑπάρχων ἄξιος, ὅτι τοιαῦτα καὶ τηλικαῦτα πεποίηκεν, ὧν οὐκ ἔστιν εὑρεῖν παραδείγματα.

* al. εὐδαίμονα. * al. κλέπτων. * ἴσ. δεῖ λέ. * al. τοῦ σώματος. * al. ἀρετή. * al. τῶν. Anaxagoras. Democritus. * al. διώκοντι. * al. θάνατος. * τὰς συμφοράς.

εἰ δ' οἱ τὰ μείζω τολμήσαντες, ὅτι τὰ μείζω δεδράκασι, τὴν τιμωρίαν οὐ διδόασι· τίς ἔτι λόγος κολάζειν ἐθέλει τοὺς τὰ μικρότερα; τί δέ, εἰ * τοὺς μὴ τὰ συνήθη παρανομοῦντας ἀφήσομεν, πῶς οὐκ ἐξουσία πᾶσι γενήσεται τοῖς ἐθέλουσι πλημμελεῖν ἃ μὴ συνήθισται, ὅταν οἱ πρῶτοι ταῦτα τολμήσαντες ὡς οὐκ ἀδικοῦντες ἐκφύγωσι; χρὴ δὲ οὐκ ἀφέσεις τῶν κρείττων τὰς ὑπερβολὰς τῶν ἀδικημάτων μᾶλλον, ἢ τοὐναντίον αἰτίας γίνεσθαι, ὅσῳ μετὰ τῶν ἔργων καὶ τὸ τῆς γνώμης μεμίσηται. τὸ γὰρ οἷς ἀδικεῖ τις καὶ φύσιν ἀδικημάτων καινὴν προσαγαγεῖν βούλεσθαι, διχόθεν ἂν εἴη τὴν μοχθηρίαν ἐλεγχόμενος· καὶ τῷ πλημμελεῖν ἃ μὴ δεῖ, καὶ τῷ ποιεῖν ἐθέλειν ἃ μή τις πρότερον δράσειεν. οὐδέν σοι, φῄς, τῶν εἰωθότων τετόλμηται. αὐτήν μοι λέγεις * τὴν ὑπερβολὴν ὧν ἠτυχήκαμεν· οἱ μὲν γὰρ ἠδικημένοι ταῦθ' ἅπερ καὶ ἑτέρους ἠδικημένους ἐπίστανται, φέρουσι ῥᾷον τὰς συμφοράς· παραμυθίαν ὧν πεπόνθασι τὴν * τῶν πέλας * δυστυχίαν νομίζοντες· οἱ δὲ νεωτέρων ἀδικημάτων οὐκ ἔχοντες παραδείγματα, ἀφόρητον ἡγοῦνται τὴν συμφοράν, τῷ μὴ τῶν ὁμοίων εὐπορεῖν ἔχειν ἐφ' οἷς ἠτύχησαν.

* al. τὰς
* ἡ ὑπερβολὴ M. M.
* τῶν δ' τυχεῖν ... τύχην

Ἠδίκηταί τις εἰς παῖδα * οὐχὶ καὶ γυνὴ προσηδίκηται; δι' ἀμφοῖν ἡ βλάβη κεχώρηκεν· οὐ * προσῆπται φόνος τοῖς ἀδικήμασι; σφαγῆς τις αἴτιος γέγονε; τὸ λαθεῖν θεραπεύει τὴν συμφοράν. μοιχείαν τολμᾷ, καὶ λαθραίοις μηχανήμασιν οἶκον διαλύει σώφρονα. * οὐ μὴν τοσοῦτον κακὸν κακῷ μείζονι κατασκευάζει δεινότερον, παῖδα ἐπιβάλλων μητρί, καὶ τοῖς τῶν μοιχευόντων σώμασι κοῦφον ποιῶν καὶ αὐτὸ τὸ τῆς μοιχείας δοκοῦν ἀδίκημα εἶναι. ἀδιάφθορον τὴν τύχην ἔλαχεν· ἀλλ' οὐχὶ καὶ τὴν οἰκίαν ἕξει δι' ἡμᾶς ἀδιάφθορον. οὐκ ἐψεύσω τοῖς ἔργοις τὰς ἀπειλάς, ὦ πολῖται· ἑαλώκαμεν, νενικήμεθα, σιωπῶμεν, τῆς πολιτείας ἐπιλανθανόμεθα. ἀπέτεμες ἡμῶν τὴν φωνὴν τοῖς φόνοις, καὶ τὸ στόμα τὸ λάλον ἀπέφραξας τοῖς τραγικοῖς τούτοις γνωρίσμασι. μόλις τἀναγκαῖα λέγω καὶ φθέγγομαι· ῥήτωρ εἰμὶ λοιπὸν οὐκέτι τῆς πόλεως, ἀλλ' ἤδη μόνης τῆς συμφορᾶς. τίνος τὰ τηλικαῦτα μιάσματα; οὐ σὰ πάντα, οὐ τῇ μὲν δεξιᾷ τῇ ἐμῇ, τῇ σῇ δὲ γνώμῃ πάντες ἀπόλωνται; οὔπω τὸ κεφάλαιον τῶν ἀδικημάτων εἶπον, τῆς λαμπρᾶς σου σκηνῆς τὰ κατὰ καιρὸν ἀναφανέντα γνωρίσματα. ὦ κωμικὸν πέρας τραγικαῖς τύχαις * ἐπαναγαγών, καὶ τούτοις αὐξήσας τὴν συμφοράν, οἷς ἐν κωμῳδίαις πάθη λύεται. οὕτω τοίνυν πάντα τὰ καθ' ἡμῶν διαπραγματευόμενος προφέρει λέγων· τί δ' ἂν εἴποις περὶ τῆς πενίας; ὅτι μηδεὶς * κωλύει νόμος κατηγορεῖν, θέλει δὲ γράφεσθαι; εἶτα [με] ἐρωτᾷ, εἰ οὐκ * ἔξεστιν ἀνελεῖν παιδίον, οὐκ * ἔξεστιν μηδὲν ἀδικεῖν παραβαίνοντα; εἰ δ' ἑκάτερον τοῦ νόμου δίδωσι, καὶ τὸ ἐξὸν εἷλες, καὶ τὸ μὴ ἐξὸν προσέθηκας, οὐ δι' ἀμφοτέρων αἰτιαθήσῃ μᾶλλον, ἢ δίκην ὑφέξεις ὧν τούτοις προσάγεις καὶ ἃ μὴ ἔξεστιν. ἔξεστί μοι, φησί. πλούτου λόγοι, τυραννικῆς ὑπερηφανίας ἀποκρίσεις. ἐγὼ δέ σοι πρᾴως οὕτω καὶ φιλανθρώπως ἀποκρίνομαι· δώσεις γὰρ δίκας τέως ἂν οὗτοι δικάζουσιν. ἔγνωκας τί ποιεῖ ἀθῷον; * ἔχειν τὴν ἐξουσίαν. εἰ δὲ τὴν ἐξουσίαν εἰς παρανομίαν μετήνεγκας, κολάζω ταύτην.

* al. προσῆπται
* al. οὐ μὴν
* ἐπαναγαγὼν
* al. κωλύειν
* al. ἔστιν
* al. ἐκεῖνο

HIMERIVS.

Sin hi qui maiora ausi sunt, quia maiora commiserunt, pœnam non luent, quænam ratio est eum puniri qui minora commisit? Quid autem? Si eos dimittamus, qui præter solitum nihil fecerunt, nonne fiet omnibus potestas volentibus committere quæ non consueuerunt, quandoquidem & primo eadem ausis impunè cessit. Non enim oportet magis criminum exsuperantias iudicia tollere, quin potius eorum causas exsistere æquum est: quod opera simul & voluntas odio habeantur. Velle enim nouum flagitij genus addere iis quæ commisit duplici nomine reprehendendus sit, cum quod nefas patrallet, tum quod ea committere, quæ antea nemo ausus sit: at nihil te eorum quæ antea commiseris, fecisse inquies. * Ipsum acceptorum infortuniorum excessum narras. Qui verò in recentioribus malis non habent quos imitentur, intolerabilem miseriam suam existimant, eo quod socijs iis in rebus, quæ illis aduersæ fuerunt, prosperè cesserit.

* Al. Aduersam mihi fortunam obiicis.

Ex Declamatione, in causa patris percussoris filij.

De patre diuite adoptatum filium pauperis, mœchantem cum matre deprehensum, occidente.

ALIQVIS NE iniuriam à filio accepit? non & mulier violata est: an ab vtroque damnum illatum est? nunquid & stupri causa cædes facta? quis necis auctor exstitit? mitigatur dolor quia ignoro. Audet adulterium committere; & occultis dolis honestam familiam euertit. Non tamen tantum malum maiori quodam malo grauius reddit, filium adiiciens matri, & illis mœchantium corporibus leue reddens adulterij crimen. Fortunæ bona sortitus est: at non & intactam eius domum relinquemus. Non ego frustra minatus sum, ô ciues. Capti, prostrati sumus, obmutescimus, & Resp. memoria excidit. Cædibus nobis vocem eripuisti, & tragicis illis actionibus facundum hoc os obturasti. Vix quæ dicenda sunt profero: in posterum non amplius ciuitatis orator futurus, sed meæ solius calamitatis. Cuius sunt hæc facinora? nõne omnia tua? nonne mea illa quidem dextera, sed tuo consilio omnes perierunt? Nondum id, quod caput est malorum, commemoraui: spectacula, inquam, claræ illæ tuæ scenæ, quæ suo tempore acta sunt. Quam lætum finem tragicis addis infortuniis, & iis calamitatẽ auges, quibus in comœdiis luctus leniri solet. Sic igitur omnia quæ contra nos adornauit vndique colligens proterens profert. Quid de paupertate diceres? an, quod nullus prohibet, lex accuset, ac condemnet? Dein me interrogat, num liceat puerum necare, num liceat proli, quam suscepisti, iniuriam facere? Si autem vtrumque lex permittat, & quod licitum est, assumpsisti, & quod non licet coniunxisti, non per vtrumque absolueris potius, quam pœnam subibis eorum, quæ huic adiungis, & quæ non licent. licet mihi, inquit. Diuitis hæc verba, & tyrannicæ superbiæ responsum. Ego verò tibi benignè atque humaniter respondeo. Dabis enim pœnas dum hi iudices sedebunt. Nosti quid hominem absoluat? facere licuisse. At si licentia abusus es, hanc punio,

HIMERIUS. quod hac occasione omnem licentiæ naturam exuerit. Pulchrum est commisceri, sed tum demum, cum id suspicione vacat. Sin autem domum quis perfodiat, insidietur vxori, cognationem violet, familiam corrumpat, fictam humanitatem simulet omni odio plenam, quæ adiunctam interim iustitiam non habentia, permissu quodam fiunt. Hæc quod eam assumpserint quo videntur minus reprehendenda, eo sunt iniustiora. Sed adoptandi forte gratia quærebas filium, cur non ante partum voluntatem tuam indicasti? aut cur adhuc puerum post partum non postulasti? an fortasse neutrum horum volebas? Sed defectu hæredis apprehensum non indicasti? nonne secundùm leges adoptionem fecisti? Hæc nobis quis respondebit, contra leges factam non esse? Impudens meretrix per fraudem ausa est, & infelix puer in miseram matrem execrabili amoris scypho miserè inebriatus est, & patris dextra malis artibus in carissimorum suorum cædem conuersa est. Lugeo igitur eos quos non vt hostes necaui, & lacrymans victimis assideo, quas legitimè factas putabam, quémque ante cædem adulterum existimaui, hunc post cædem filium agnoui. Nunc omnino vulneratus es, nunc & fascias sepulcrales accipis, fili. Extremum te inuocabo non nominibus, quæ per adulterum sortitus es, sed quæ per generationem nostram. Non enim tu meorum calamitatum causa, sed alius. Libenter autem hoc primum quæsierim à diuite, bonísque moribus, an contra improbus iuuenis fuisse ei videatur? Si enim bonus, non obscurum est, cuius hæ sint factiones: sin improbus erat, patri reddi oportebat. Deinde non sciuisti hæc eum patrare solitum? an sciens prudens non prohibuisti? Si enim ignorabas, ad patrem custodiã pertinere dicis: si verò sciebas, vt verisimile est, futura adhuc nec facta prohibere debebas. Hoc enim curæ, illud nequitię indicium est: hoc beneuolentiam, illud simulationem declarat. Adolescens est, omnem culpam sustinet. Si enim emittere vocem voluisset, si aliquis Deus (qualia multa apud poëtas audimus) illum tam diu reliquisset, dum iudicio sisteretur, nóne in mediis vulneribus & plagis clamaret, ego adulter, ego præuaricator improbe diues. Serò enim me appellationes eas, quæ tibi conueniant, docuisti, sed miseretum, inquit, te cladis satis indicasti, cupiens à te adolescentem paternis sepulturis dignum reddi, opportunè sanè. Non enim fœdus seruasti, & tunc in mentem tibi venit coniungere cognatos, quando implacabile bellum in gladio & adulterio collocasti. Sic dicat, & scribat, & vitæ paternæ seriem inueniat, plura signa non petam è vestigiis totam naturam deprehensam. Fac morbo & peste exstinctum efferri, plorabo vel tunc agnitum, cum mihi nomen patris solo sepulcro seruaueris. Erit mihi solatio filium morbo extinctum non in tragœdia ad Manes mittere. Nunc verò, ô tragicam, ô immaturam & crudelem signorum declamationem!

ὅτι τῇ περιφράσει τὴν φύσιν τοῦ μηκέτι ἐξεῖναι μετείληφε. τὸ * κοινωνεῖν καλὸν, ἀλλ' ὅταν ἡ χάρις ἀνύποπτος. ἂν δὲ διορύττῃ μὲν οἰκίας τις, ἐπιβουλεύῃ δὲ γάμοις, λυμαίνηται δὲ γένη, διαφθείρῃ δὲ ἑστίας, ὑποκρίνηται δὲ φιλανθρωπίαν ἀπανθρωπίας ἁπάσης γέμουσαν, ἃ τὴν προσθήκην οὐκ ἔχοντα τέως τὴν * ἄδικον, μετ' ἐξουσίας ἐπράττετο· ταῦτα ὅτι ταύτην προσείληφε τοῦ δοκεῖν ἀνεύθυνα φαίνεσθαι, προσθήκην τῶν ἀδικημάτων γίνεται. ἀλλ' εἰς θέσιν ἴσως ἐζήτεις παιδίον. τί δὲ οὐ πρὸ τοῦ τόκου τὴν γνώμην σου κατεμήνυες; ἢ τὸ παιδίον μετὰ τὰς ὠδῖνας οὐκ ᾔτησας; ἢ τυχὸν οὐδέτερον τούτων ἤθελες. ἀλλ' οὐδ' ἐκ τῆς ἐρημίας αὐτὸν εὐθὺς οὐκ ἐκοινολογήσω περὶ τοῦ πράγματος; οὐ κατὰ νόμους τὴν θέσιν ἐπράττετο; ταῦτα ἀφαιρήσεταί τις ἡμᾶς, ὡς παρὰ τοὺς νόμους οὐ πέπρακται ἐναγὴς μοιχεία. διὰ σοφισμάτων τετόλμηται, καὶ παῖς δυστυχὴς κατὰ μητρὸς * ἀθλίας ξεναγοῦ κρατῆρος ἐμεθύσθη κακῶς, καὶ δεξιὰ πατρὸς ἐπὶ φόνοις τῶν φιλτάτων ὑπὸ κακοήθους * τύχης ἐξωπλίσατο. θρηνῶ νῦν οὓς ὡς πολεμίους ἐφόνευσα, καὶ σφαγαῖς παρακάθημαι δακρύων, ἃς ᾤμην μετὰ τῶν νόμων ἐργάζεσθαι· καὶ ὃν πρὸ τῶν φόνων μοιχὸν ἐνόμιζον, τοῦτον παῖδα μετὰ τὴν σφαγὴν ἐγνώρισα. νῦν ὄντως τέτρωσαι, νῦν τὴν κηδείαν λαμβάνεις παιδίον. καλέσω γάρ σε λοιπὸν οὐ τοῖς τῶν ἀδικημάτων, ἀλλὰ τοῖς τοῦ γένους ὀνόμασιν· οὐ γὰρ σύ μοι τῶν ἀτυχημάτων, ἀλλ' ἕτερος αἴτιος. ἡδέως δ' ἂν ἐρόμην ἐκεῖνο δή που πρῶτον τὸν πλούσιον, χρηστὸς αὐτῷ τὸν τρόπον ὁ νεανίσκος ἐφαίνετο, ἢ τοὐναντίον παράνομος; εἰ μὲν γὰρ χρηστὸς, * τίνος αἱ πράξεις, οὐκ ἄδηλον; εἰ δὲ πονηρὸς, ἐχρῆν ἀποδιδόναι τῷ φύσαντι. πρὸς δὲ τούτοις * πότερον ἐλάνθανέ σε ταῦτα ποιῶν, ἢ προειδὼς οὐκ ἐκώλυες; εἰ μὲν γὰρ ἠγνόεις, πατρός γε ὄντως φυλακὴν λέγεις· εἰ δ' οὐκ ἠγνόεις, ὥσπερ εἰκὸς, μέλλοντα κωλύειν οὐ πεποιηκότα * ἐχρῆν. τὸ μὲν γὰρ προνοίας, τὸ δὲ ἀδικίας τεκμήριον· καὶ τὸ μὲν τὴν εὔνοιαν, τὸ δὲ τὴν προσποιούμενον δείκνυσιν. ὁ νεανίσκος, ὁ * πάντων αἴτιος. εἰ γὰρ οἷός τε ἦν ἀφεῖναι φωνήν· εἰ γάρ τις ἑαυτὸν θεῶν (οἷα πολλὰ πολλάκις * παρὰ τῶν ποιητῶν ἀκούομεν) * ὡς μικρὸν ἀνῆκεν, ὅσον παραγενέσθαι τῇ κρίσει: οὐκ ἂν ἐκ μέσων τῶν πληγῶν καὶ τῶν τραυμάτων ἀνέκραγεν, ἔγωγε μοιχὸς, ἐγὼ παράνομος, ἐχθρὲ καὶ πλούσιε. ὀψὲ γάρ με τὰς σεαυτῷ πρεπούσας ἐπωνυμίας ἐδίδαξας. ἀλλ' οἰκτείρας (φησὶ) τὸ πάθος, * ἐπέδειξας τὰ γνωρίσματα, τάφων πατρῴων ἀξιωθῆναι παρὰ σοῦ τὸν νεανίσκον βουλόμενος. εἰς καιρόν γε· οὐ γὰρ τὰς διαλλαγὰς ἐτήρησας, καὶ τότε ἀνεμνήσθης συνάψαι τὸ γένος, ὅτε τὸν πόλεμον ἄσπονδον ἐν ξίφει καὶ μοιχείᾳ πεποίηκας. εἰ λέγει καὶ γράφει καὶ τὴν πατρικὴν τοῦ βίου τάξιν διέξεισι, οὐ δεήσομαι γνωρισμάτων πλειόνων, γνωρίζω τὴν φύσιν ἀπὸ τοῦ βήματος. δός μοι νόσῳ καὶ λοιμῷ δαπανηθέντα κομίσασθαι, θρηνήσω μὲν καὶ τότε τῆς συντυχίας τῆς γνώσεως· ὅτι μου τὴν ἐπωνυμίαν τὴν τοῦ πατρὸς μόνῳ τῷ τάφῳ τετήρηκας· παραμυθήσεται δέ με τὸ πέμψαι τὸν παῖδα τοῖς κάτω θεοῖς νόσῳ λυθέντα, μὴ δράμασι. νῦν δὲ, ὢ τῆς τραγικῆς ὄντως, ὢ τῆς ἀώρου καὶ ἀπηνοῦς τῶν γνωρισμάτων * καταμηνύσεως!

* κοινῇ [illegible]
* ἀδικίαν
* ἀθρόας ξεναγ.
* al. τέχναις.
* al. τίνος.
* al. πρότερον
* al. οὐδ'.
* ἐχρῆν.
* al. ἀκόντων
* al. περὶ τὸ ... σῶμα
* al. ἐπέδειξα.
* al. καταμηνύσεως.

νῦν ἡ τάγ-

HIMERIUS.

νῦν ἠνάγκασμαι γνωρίζειν τὸν παῖδα, ὅτε ἀγνοεῖν συμφέρει· καὶ τότε πατὴρ ἀναγορεύομαι, * ὅτε καὶ παιδοκτόνος ἀλίσκομαι. ἔα με μόνην τὴν μοιχείαν θρηνεῖν, ἑνί μου παραχώρησον τὰ δυστυχήματα δράματι. τί δέ με μερίζεις τοῖς ποιηταῖς; τί δὲ καθ' ἕκαστον τῶν ἐμῶν ἀτυχημάτων σκηνὴν ἐγείρεις καὶ θέατρα; νυνὶ δὲ παρηκολούθηκας ἀριθμῷ μου τὰ δυστυχήματα· καὶ τότε μου πληρῶσαι τὸν τάφον θέλεις, ὅτε τὸν οἶκον ἐκένωσας. θάψαι μου βούλει τὸν παῖδα; καλῶς γε. οὐ γάρ μοι * φιλοτιμίας παρεχώρησας. ἐμὲ δὲ ἄφες στένειν τὰς συμφοράς· σὺ καὶ θάψον, εἰ θέλεις, τὸν ἀνῃρημένον, καὶ δὸς αὐτῷ φέρειν ἀντὶ τῶν ἐνταφίων τὰ σπάργανα. αἱ σαὶ χεῖρές εἰσι τοιαύτης ταφῆς ἐπάξιαι. πόθεν * δὲ καὶ τὴν ἐκφορὰν ποιήσομαι; ἀπὸ τῆς ἑστίας; καὶ ποῖον ὄρυγμα τῆς δυστυχοῦς ἐκείνης στυγνότερον; * ὑπὲρ ἐκείνην δυστυχῆ σώματα, καὶ φοβερὸν αἷμα κατὰ πᾶν μέρος ἐκκέχυται, καὶ πολὺς φόνος ἐν μέσῳ κατηφὲς θέαμα πρόκειται· περιεκάθηνται ταύτην ποινῶν καὶ δαιμόνων καὶ ἀλαστόρων στρατόπεδον. νυνὶ δὲ (ὢ τῆς ὑπερβολῆς, ὢ τῆς ὑπερηφανίας τῶν κακῶν) πατὴρ ὡπλίσθη κατὰ παιδός, μήτηρ εἰς μίξιν ἀθέμιτον παιδὸς βεβίασται· ἀλλ' ὦ πολέμου καὶ λοιμοῦ καὶ τυραννίδος ἐχθρὲ βαρύτερε, ἀλλ' ὦ τῆς πατρίδος πλέον ἢ τῆς πολιτείας τῆς ἡμετέρας πολέμιε, οἵας ἀνθ' οἵων ἐκτίνεις τῇ πόλει * ταύτας τὰς χάριτας; ἀντὶ προεδρίας, ἀντὶ τιμῶν, ἀνθ' ὧν ἀνάξιον ὄντα σε τοσούτων πολλάκις καὶ τηλικούτων ἠξίωσεν, ἐκδέδωκας αὐτὴν τῇ σκηνῇ, καὶ τραγῳδῶν πεποίηκας τὴν πόλιν ἡμῶν ἀγώνισμα. καὶ * ἡ μὲν συμφορὰ τῷ βίῳ τῷ ἐμῷ περιγραφήσεται, τὸ μίασμα δὲ καὶ ὁ σὸς τρόπος τῷ τῆς πόλεως βίῳ συνεκταθήσεται· σὺ δὲ καὶ λέγε, καὶ γράφε, καὶ νομοθέτει, καὶ πρέσβευε. καὶ πρῶτον, εἰ θέλεις, τοῦτον τὸν νόμον εἰσένεγκε· Μὴ λεγέτω ἔτι τοῦ λοιποῦ πένης. τολμήσαντι δὲ τίμημα ἐπικείσθω, τοῖς ἰδίοις γινέσθω δήμιος. μᾶλλον δὲ (τί γάρ σοι δεῖ ῥημάτων ἔτι καὶ συλλαβῶν;) ἐναργέστερός σοι διὰ τῆς ἐμῆς συμφορᾶς ὁ νόμος γέγραπται· ἀποτετείχισταί σοι λαμπρὸν τὸ βῆμα, καὶ πᾶσα πένητος ἐκκέκοπται γλῶσσα τῷ παραδείγματι· λέγε μόνος, * πολιτεύου μόνος· ἀντερεῖ δ' οὐδείς. τυχὸν δὲ ἴσως οὐδὲ μικρολογήσεις λοιπόν, οὐδὲ ὁριεῖς τὴν δυναστείαν ἄχρι τοῦ βήματος. σκηνῆς ὑψηλοτέρας τῶν ἐνταῦθα * δεήσει σοι τάχα, καὶ δραμάτων ἀνεχόντων τὴν τραγῳδίαν ἀπόρρητον. ἵνα δὲ πλέον φοβήσῃς ἅπαντας, μίμησαι καὶ γράφε τὸ πάθος, καὶ δὸς ἐν εἰκόνι τὴν συμφοράν. χαλεπὸν δὲ εὑρεῖν τέχνην οἵαν τε οὖσαν ὑποκρίνασθαι πράγματος φύσιν οὕτως ἀλλόκοτον. πλὴν ἀλλὰ τῷ πλουσίῳ τῶν πάντων οὐδὲν ἀτόλμητον. * ἔστω μὲν ἔκ τινος ποίμνης * λοιμωδῶν καὶ ἐριννύων τὰ φάρμακα· ὑποκείσθω δὲ ὁ πίναξ τῇ γραφῇ, ἐξ ἱεροῦ του ποθὲν καὶ ἐναγοῦς ὕλης γινόμενος. πῦρ δὲ ὑπηρετείσθω τῇ γραφῇ, οἷον ἀνάπτειν πεφύκασι τιμωροὶ τοιούτων θανάτων δαίμονες. ζήτησον δὲ καὶ ζωγράφον τραγικὸν μὲν τὴν * χεῖρα, τὴν δὲ ψυχὴν τραγικώτερον· κέλευε δὲ αὐτὸν τῶν ἐμῶν ἀτυχημάτων τάξιν ποιεῖσθαι καὶ τῆς γραφῆς. μηδὲν δὲ γράφειν πρὸ τῆς ἐκθέσεως, μὴ λέγοντα, μὴ δημηγοροῦντα.

Margin notes: * ἴσα. * φιλοτιμίας. * al. δὲ. * καὶ ἐκείνην δυστυχῆ. * ταύτας. M. M. * al. ἡ μὲν συμφορά. * πολιτευόμενος * al. δεήσει. * al. ἐν ἀδ. * al. ποιμνῶν * χεῖρα H. St.

Iam agnoscere filium coactus sum, quando ignorare præstitisset: & tum demum patris nomen ascisco, cùm filij percussor deprehendar. Sine me solum adulterium deplorare, des in vno dramate infortuniis meis locum. Quid autem me diuersis poëtis tradis? Quid ad singulas meas calamitates scenam, & spectacula adornas? nunc verò numerum calamitatis meæ vidisti, & tum adimplere sepulcrum meum cupis, cùm familiam exhauseris. Sepelire meum vis filium? Honestè quidem: non enim mihi contentione cessisti. Permitte me fortunam meam deplorare: at tu interfectum, si lubet terræ manda, atque illi pro sepultura da fascias. Tuæ enim manus hoc sepulcro dignæ sunt. Vnde autem funus efferam? E domo? Et quodnam sepulcrum hac infelici domo dirius? Hic infelicia corpora, & sacer sanguinis ab omni parte effusus est, multaque cædes (triste spectaculum) in medio iacet: hanc domum dirarum, dæmonum, ac furiarum ambit cohors. Nunc verò (proh malorum ingentem cumulum) in filium armatus est pater, mater in nefario cum filio congressu per vim occisa. Sed, ô hostem, bello, peste, tyrannide grauiorem, & magis patriæ, quam familiæ nostræ proditorem, quam pro quibus meritis ciuitati gratiam refers? pro imperio, pro honoribus, pro his quibus te talibus ac tantis indignum sæpissimè dignum existimauit, illam in theatrum produxisti, & ciuitatem fecisti tanquam tragœdorum argumentum. Calamitas quidem mea vitæ meæ terminis definietur: at tua flagitia: tuique mores cum ciuitatis vita interibunt. Tu verò dic, & scribe, decerne, & constitue: & hanc primo, si lubet, legem ferto. In posterum in iudicio pauper non loquatur, loquenti pœna irrogetur, inter plebeios referatur. A te vero (quid enim tibi amplius verbis & syllabis opus est?) manifestior ob eam calamitatem lex scripta est, splendidè tibi exstructus est suggestus, hoc exemplo omnis pauperibus præcisa est lingua. Tu dic solus, impera solus, nemo contradicet, forsitan neque humilia deinceps tractabis, neque vno tribunali tuam potentiam definies. Sed statim sublimiore quàm his tibi opus fuerit scena, & dramatibus infandam tragœdiam repræsentantibus. Vt verò magis omnes terreas finge, & pinge iniuriam meam, & imagine meam calamitatem exhibe. Difficile est artem, quæ rei naturam adeò atrocem effingat, reperire: nihil tamen horum malorum non audet [a] diues. Adeste quidem ex prato aliquo pestilentium Furiarum pigmenta atque colores; supponatur autem tabula dira & nefanda composita materia: seruiat picturæ ignis, qualem vltores huiusmodi cædium dæmones solent excitare: quære pictorem tragicum quidem arte, & [b] manu, animo vero magis tragicum. Iube vero seriem fortunarum mearum in tabula depingat, nihil ante narrationem pingat, neque dicentem, neque concionantem

Margin notes: a H. ἔτι πλουσίῳ. b χεῖρα H. St. c Vetusta tabula pictura.

HIMERIVS.

neque coronatum, nec quidquam eorum quæ fortunatis solent accidere. Plena sit tota meis calamitatibus tabula. Primo pingatur infelix pater, suis manibus infantem in solitudinem ferens, deplorans, lugens infortunium, exiens, rediens, deponens, attollens, cedens naturæ, & rursum necessitate victus; imitetur pictor, quoad eius fieri potest, sermonem gemebundo vultu, vt omnes per picturam verba intelligant. Dein pinge insignes illos amores: potissimum vero nihil in depingendo filio temere fingas, fac illum tardum, mox rem aggredientem, respuentem, animo perturbatum, metu autem coactum, refugientem adulterium, nondum intelligentem, quia à matre cogitur. Stet & alibi infelix anus, & eam, si lubet, amore correptam describe iam rugosam, & crinibus canam, vt rei nouitatem magis obstupescas. Venias demum ad picturæ caput, arma infelicem pauperem in carissimos, & talia excogita, quæ licet ficta, crudelitatem tuam valeant explere. Impone denique dramati finem, teipsum scilicet in cæde signis quibusdam eminentem, ridentem, hilarem, & quasi re bene gesta exultantem. Serua & mihi per Deos aliquam partem tabulæ, ne quis quæsierit vbi infelix pauper? quomodo vixit, qua ratione post tot casus vitam egerit. Verum non hæc tibi perpetua fuerit felicitas, ô diues, & te oportet dramatis partem esse. *Nemo vnquam insignem aliquam spectauit tragœdiam, in qua * Tyranni non e pristina fortuna exciderint.*

* Iuuenalis Sat. x. v. 112. *Ad generum Cereris sine cæde & vulnere pauci. Descendunt reges, & sicca morte Tyranni.*

Ex Declamatione cuius hæc inscriptio: Athenienses post Medicum bellum, contra Barbaros bellum decreuere. Quo cognito, Rex accepta damna, si bello abstineant, resarturum sese promisit. Assentientibus Atheniensibus contradicit Themistocles.

PROOEMIVM.

NVnquam adducar, vt credam, Athenienses, regem in nobis tentandis finem facturum, etsi inuenerit ciues nostros arte militari superiores. Equidem nihil admirandum puto, si Rex eadem rursus attentet. Qui enim in timore ac * paupertate versantur, quid mirum si ad artes confugiant, quo suæ medeantur calamitati? Quare nõ hoc omnino absurdũ est. Iustius vero quis Oratores nostros admiretur, si nos prodẽdi occasionem sibi adhuc esse putarent, quãdo ne Rex quidem ipse potentia sua nos fortiores esse negat. Decet autem nihilo nos inferiores existimare illius de nobis viri existimatione. Absurdum enim est nos Barbaros armis superare, consilio autem iisdem inferiores esse. Quin & has de nobis omnibus voces Diis significauit, & Pythium Apollinem de triremibus cõsuluit. Quid freta propter me turbas? Quid mõtes secas, vt instar maris seruiãt? Quid terra tegis vndas? sine stet Athos, nec mõtibus, sed mari innatet classis. Quod licet horũ exiguam habuisti rationem, minimeque curasti, cœlestia vero & superna caue ne attingas.

* Persius, Magister artis ingenique largitor venter.

μὴ στεφανούμενον, μή τι τῶν εὐτυχεστέρων ἕτερον. ὅλη γεμέτω μεστὴ τῆς κακοδαιμονεστέρας τύχης ἡ γραφή. ὁ δυστυχὴς πρῶτος. * ἔστω πατὴρ φέρων εἰς τὴν ἐρημίαν ταῖς ἑαυτοῦ χερσὶ τὸ βρέφος, ὀδυρόμενος τὴν τύχην, θρηνῶν τὴν συμφοράν, ἐξιών, ἀναστρέφων πάλιν, ἀναχωρούμενος· εἴκων τῇ φύσει, τῆς ἀνάγκης πάλιν ἡττώμενος. μιμησάσθω καὶ λόγους (εἰ δυνατὸν) ἡ γραφὴ διὰ προσώπου στενάζοντος, καὶ πᾶς τις τῶν ῥημάτων ἀκουσάτω διὰ τοῦ σχήματος. γράφε μετὰ τοῦτο τοὺς καλοὺς ἔρωτας· μάλιστα δὲ μηδὲ καταψεύσῃ μηδὲν τῇ γραφῇ τοῦ παιδός· ποίησον ὀκνοῦντα, μέλλοντα, χωροῦντα πρὸς τὴν πρᾶξιν, ἀναδυόμενον· ἰλιγγιῶντα μὲν τῇ ψυχῇ, τῷ φόβῳ δὲ βιαζόμενον· δεδιότα μὲν τὴν μοιχείαν, οὔπω δὲ συνιέντα, ὅτι καὶ μετὰ μητρὸς ἀναγκάζεται. ἔστω που καὶ δυστυχὴς πρεσβῦτις, εἰ θέλεις, γράψον αὐτὴν ἐρῶσαν, ἀλλὰ μετὰ τῆς ῥυτίδος, ἀλλὰ μετὰ τῆς κόμης τῆς πολιᾶς· ἵνα μᾶλλον ἐκπλήξῃς τῷ παραλόγῳ τοῦ δράματος. ἐλθὲ λοιπὸν ἐπὶ τὸ κεφάλαιον τῆς γραφῆς· ὅπλισον τὸν δυστυχῆ πένητα κατὰ τῶν φιλτάτων· καὶ τοσαῦτα μίμησαι πράγματα, ὁπόσα ἐμπλήσει σὴν ἀπανθρωπίαν πλαττόμενα. πρόσθες ἤδη λοιπὸν τὸν κολοφῶνα τοῦ δράματος, σαυτὸν τοῖς φόνοις μετὰ τῶν γνωρισμάτων ἐπιφαινόμενον, μειδιῶντα, φαιδρόν, τοῖς κατορθουμένοις γαννύμενον. τήρησον πρὸς θεῶν κἀμοί τι μέρος τοῦ πίνακος, ἵνα μή τις ἐπιζητήσῃ, ποῦ δὲ ὁ δυστυχὴς πένης; πῶς ἔζη; πῶς ἐβίω μετὰ τοσαύτας συμφοράς; ἀλλ' οὐ πάντα χαρίσῃ πλούσιε. δεῖ γενέσθαι καί σε μέρος τοῦ δράματος. οὐδεὶς οἶδεν ὑψηλὴν τραγῳδίαν, ὅπου μὴ πίπτουσι τύραννοι.

* al. ἔστι.

Ἐκ τῆς ἐπιγραφομένης μελέτης, Μετὰ τὰ Μηδικὰ ἐψηφίσαντο πρὸς τοὺς βαρβάρους Ἀθηναῖοι πόλεμον. πυθόμενος ὁ βασιλεύς, ὑπέσχετο τὰ * λῃστευόμενα ἐπανορθώσασθαι, εἰ τὸν πόλεμον καταλύσαιεν. βουλομένων αὐτῶν, Θεμιστοκλῆς ἀντιλέγει. αὐτὸ τὸ προοίμιον.

* λειπόμενα H. St.

Οὔπω τῆς πείρας, ὡς ἔοικεν, ὦ Ἀθηναῖοι, ὁ καθ' ἡμῶν βασιλεὺς παύεται, κἂν ἀεὶ κρείττω τῆς ἑαυτοῦ τύχης τὸν τρόπον εὑρίσκῃ τῆς πόλεως. ἐγὼ δὲ οὐδὲν βασιλέα * τῷ ἑαυτοῦ αὖθις ἐπιχειρεῖν θαυμαστὸν οἴομαι. τοὺς γὰρ ἐν ἀπορίᾳ καθεστηκότας καὶ φόβοις, οὐδὲν θαυμαστόν, μηδὲ ἀφ' ὧν διορθώσονται τὰς συμφοράς, εὑρίσκειν δύνασθαι. * ὥστε τοῦτο μὲν οὐδαμῶς ἄτοπον. τοὺς δὲ ῥήτορας ἄν τις δικαίως μᾶλλον τοὺς παρ' ἡμῖν θαυμάσειεν, εἰ καιρὸν αὐτοῖς ἔτι τῆς παρ' ἡμῖν προδοσίας νομίζουσιν, ὅτε μηδὲ βασιλεὺς ἀρνεῖσθαι τὸ κρείττους εἶναι τῆς ἑαυτοῦ δυναστείας διέγνωκε. προσήκει δὲ καὶ ἡμᾶς μὴ χείρους ἐν κοινῷ τῆς ἑνὸς ἀνδρὸς γνώμης ἐλέγχεσθαι. ὡς ἔστιν ἄτοπον, φιλοτιμεῖσθαι μὲν ἐπὶ τῷ τοὺς βαρβάρους τοῖς ὅπλοις νικᾶν· ἁλίσκεσθαι δὲ ἐλάττους ἐν τῷ * βουλεύσασθαι. ἤδη δὲ καὶ τὰς αὐτὰς ἠφίει φωνὰς ὑπὲρ τῶν ὅλων τοῖς θεοῖς, καὶ τὰ αὐτὰ τῷ Πυθίῳ περὶ τῶν τριήρων * ἐδόξαζεν. τί πορθμεῖς ἐνοχλεῖς δι' ἐμέ; τί δὲ ὄρη τέμνεις εἰς θαλάσσας; τί καλύπτεις ἠπείρῳ τὸ ῥόθιον; ἔασον ἑστάναι τὸν Ἄθων, * μὴ πέμπε μοι διὰ τῶν ὀρῶν, ἀλλὰ διὰ τοῦ ῥοθίου, τὸν στόλον. ἀλλ' εἰ καὶ τούτων ὀλίγον τινὰ ἐποιήσω λόγον, τῶν οὐρανίων ἀπέχου μοι, καὶ φεῖσαι τῆς ἄνω λήξεως,

μή μοι

* τοῖς ἐντὸς & M. N. τοῦ ἑαυτοῦ.

* al. ὡς.

* βούλεσθαι.

* al. ἐδόξαζε.

* al. πέμπε μοι διά.

HIMERIVS.

μή μοι νύκτα ποίει τὴν ἡμέραν τοῖς βέλεσι, μηδὲ ὑποβρεχέτω τὸν ἥλιον νέφος ἐκ τῶν βελῶν τῆς σῆς στρατιᾶς συγκείμενον. ἀλλ' οὐδὲν ἐᾷς ἀκίνητον, ἵνα ἓν γένηται τῶν μηδικῶν διηγημάτων ἡ πόλις [ἡ] Ἀθηναίων. φοβερώτερος δὲ τῆς φήμης ἐπὶ τῆς πείρας φαινόμενος, νῦν μὲν ἐπὶ τῆς ἠπείρου τὰ θαύματα, νῦν δὲ μεταφέρων τὴν μεγαλουργίαν ἐπὶ τὴν θάλατταν· καὶ νῦν μὲν ἐπαφιεὶς τοῖς ποταμοῖς τὸ στράτευμα, νῦν δὲ ἡλίῳ τὰ βέλη, νῦν δὲ τῷ ῥοθίῳ τὰς μάστιγας. ὄρος ἐπλεῖτο χειμαζόμενον, καὶ πορθμὸς ὅλος γεφυρωθεὶς ἐπεζεύετο. Ἄθω διὰ μέσου τριήρεις ἔπεμπε, καὶ τὴν ἵππον ὑπὲρ τοῦ ῥοθίου θέουσαν τὴν μηδικὴν Ἑλλήσποντος. εἰς τριακοσίους ἦν ὁπλίτας τὸ παρὰ Λακεδαιμονίοις ὄφελος, οἱ δὲ λοιποὶ τύχῃ τὸ γένος ἐμέριζον. οὐ λέληθας ἡμᾶς, ἄλλον δεινότερον ἐπάγων τοῦ προτέρου πόλεμον· οὐκ ἔτι χιλίας καὶ τριακοσίας τριήρεις πληροῖς κατὰ τῆς πόλεως, οὐδὲ ἀποκρύπτεις ἠπείρῳ τὸ ῥόθιον, οὐδὲ στενοχωρεῖς στρατιώταις τὴν ἤπειρον, οὐδὲ τὰ στοιχεῖα πρὸς τὴν σαυτοῦ χρείαν καταναγκάζεις μετασκευάζεσθαι. οἶδας γὰρ ὡς πάντων ὁμοῦ τῶν κρείττων ἐγενόμην μαχόμενος. ἀπὸ Βαβυλῶνος προσβάλλεις τῇ πόλει, καὶ διὰ τῶν κηρύκων ἡμῖν ἐφιστᾷς μηχανήματα, καὶ ταῖς πρεσβείαις διορύττεις τὴν ἐπὶ τῶν καλλίστων φιλοτιμίαν * τῇ πόλει, καὶ ταῦτα δωρεὰς ὀνομάζεις καὶ χάριτας. μὴ πρὸς τρόπαιον διὰ γῆς καὶ θαλάττης ἐγηγερμένων. * ἐπεὶ μὲν οὖν οἴεσθε δεῖν γράφειν μὲν ἃ χρὴ ποιεῖν, ἃ δ' ἂν γράφητε μὴ ποιεῖν· καὶ λαμπροὶ μὲν ἐπὶ τῶν ψηφισμάτων * φαίνεσθε, διὰ δὲ τῶν ἔργων οὐχ ὅμοιοι: καλῶς ἔχει. ὁ μὲν γὰρ ἐν τῷ βουλεύεσθαί τι λαμπρός, τῷ μή πω δῆλος ὅτι καὶ * πράξειεν, οὔπω καθαρὰν τὴν εὐφημίαν κομίζεται, ἀλλ' ἔτι πρὸς τοὺς ἐπαίνους ἀμφίβολος· (περιμένουσι γὰρ τὸ τέλος ἅπαντες, ἵνα τὴν γνώμην θαυμάσωσιν) ὁ δ' ἐξ ὧν ἔγνω καλῶς, καὶ τὴν ἀπὸ τῶν ἔργων πεῖραν ἑλόμενος, ἐπ' ἀμφοτέροις θαυμάζεται· τὴν μὲν γνώμην, οἷς ἔκρινε· τὴν δὲ * τάξιν, οἷς οὐκ ἤλεγξε τὰ ψηφισθέντα τοῖς πράγμασιν. ἡδέως δ' ἂν ἐροίμην τοὺς ἀντιλέγοντας, πότερον ἀντεῖπον, ἡνίκα ἐκυροῦμεν τὸν πόλεμον ἢ, τὴν ἡσυχίαν ἄγοντες, * εἴκειν ἠξίουν τοῖς συμβουλεύουσιν; εἰ μὲν γὰρ οὐκ ἀντεῖπον: οὐχ ἡμῖν μόνον, ἀλλὰ καὶ σφίσιν αὐτοῖς τἀναντία διαπράττοντες φαίνονται· τούτοις ἐγκαλεῖν σπουδάζοντες, οἷς ὡς κάλλιστα ἔχουσι σιωπὴν * ἐπεφήμιζον. οὐ γάρ που * δυσνοίας γε φήσουσι τὸ συμφέρον ἑκόντες ἀποκρύψασθαι. ἀλλὰ μὴν εἴγε ἀντειπόντες ἡττήθησαν, πῶς οὐκ ἂν δειλίας ὑπεύθυνοι, τὰ αὐτὰ λέγειν ἐπιχειροῦντες δεύτερον, ἃ πρόσθεν οἱ νῦν τολμήσαντες, ἥττους εἶναι τῶν ἀντιλεγόντων ἠλέγχθησαν; καὶ μὴν εἴγε λύσομεν ἃ κεκυρώκαμεν, οὐκ ἄδηλον δήπουθεν ὡς εὐχερείας τε ὁμοῦ καὶ ἀβουλίας ὄνειδος ἕξομεν: ἀβουλίας μὲν, ὡς ἐν ἀρχῇ δέον εὑρεῖν τὸ συμφέρον, ἀδυνατήσαντες· εὐχερείας δὲ, ὡς ἀφ' ὧν ἐκρίναμεν, ταχέως αὖθις μεταβαλλόμενοι· καὶ οὔπω λέγω τὸ μεῖζον ἔγκλημα, ὅτι καὶ χρείας ἡττημένοι δόξομεν ἐθέλειν ἡμῶν αὐτῶν καταψηφίζεσθαι· ὅπερ (οἶμαι) καὶ ἀπαραίτητον ποιεῖ τὸ ἔγκλημα. εἰ γὰρ καὶ χωρὶς τοιαύτης αἰτίας οὐκ ἀνεκτὸν ἡμαρτηκότας ἐλέγχεσθαι, πῶς οὐχ ἅπαξ ἀσύγγνωστον, ὅταν καὶ λῆμμα τὸ

* ἐπὶ πίνων.
* al. οἱ μὲν ἐν δίδοσθαι.
* al. φαίνεσθε
* al. πράξειν
* πρᾶξιν.
* al. ἥκειν
* al. ἐπεψηφίζοντο ἐν ἐκ.

Non iaculis mihi pro die noctem inducas, neque è sagittis exercitus tui nubes densa Solem cooperiat. Sed nihil intentatum relinquis, vt nimirum Athenarum ciuitas Medorum historiæ partem aliquam obtineat. Visus es fama ipsa terribilior, quod experienta didicimus; nunc in continentem terram miranda illa facinora, nunc in mare grandium rerum conatus tuos transferens; & nunc quidem in flumina copias, nunc in Solem iacula, in fluctus flagra mittis. Mons procellis agitatus nauigatur, fretum integrum ponte commisso pedibus traiicitur. Per medium Athon nauigant triremes, in fluctibus currentem Medorum vidit equitatum Hellespontus. Trecenti Spartani erant milites, auxiliares copiæ, reliqui vero diuersarum erant gentium. Sciuimus bellum periculosius priori te conflasse, non mille & trecentas ad vrbem triremes adducis, nec fluctus terra tegis continente, neque terram militibus angustam tuis reddis, & elementa tuo vsui loco moueri cogis. Nouisti enim me his omnibus fortiorem exstitisse. Babylone copias adducens vrbem oppugnas, & per præcones nos machinis tuis adoriris, & gloriam, præcipuum Reip. nostræ ornamentum legationibus perstringis; non autem trophæis terra marique erectis, hæcque beneficij & gratiæ nomine appellas. Si illa scribenda existimetis, quæ manibus facienda sunt, at quæ scripta sunt non facienda, vt illustres vestris appareatis decretis, factis autem dissimiles: Bene habet. Hic consilio egregius, gestis non ita excellens, nunquã perfectam laudem reportauit, sed semper cum exceptione laudatus est. Nam finem omnes, vt consilium admirentur, exspectant. Hic autem à rebus experimentum capiens ob hæc vtraque, quæ optimè tenet, suspicitur: ob sententiam cum iudicauit: dein ob factum cum decreta factis non coarguit. Libenter autem eos, qui contradicunt, interrogarem, vtrum, cum bellum confirmaueramus, contradixerint: an quietem amantes consentire cum consultantibus dignati sint. Si non contradixerint; non modo nobis, verum etiam sibi ipsis repugnantia facere videntur, his eos accusare nitentes, quos in iudicium vocare statuentes; dum res prosperæ essent, silentium induxerunt. Neque enim è prauo ingenio libentes se vtilitatem occultasse dicent. Verum si contradicentes causa ceciderint, quomodo non ignauię rei, hæc iterũ aggrediẽtes dicere, quæ prius qui ausi sunt, minores esse contradicẽtibus conuicti sunt? Si vero dissoluimus, quæ decreuimus, non erit vtique obscurũ, nos & nimiæ facilitatis simul & temeritatis crimẽ subituros: temeritatis quidem, quod initio cum oporteret inuestigare vtile nunc nõ potuimus: nimiæ facilitatis cum ea quę decreuimus statim, & ex tempore commutauimus. Nondum maximum crimen dico, quia videbimur necessitate victi nobis ipsis velle aduersari, quod sane inexcusabiles nos reddit. Cum igitur non sit ferendũ eis qui peccarunt, etiã sublato tali crimine, quomodo non simul venia indigni videamur; turpitudinem

HIMERIVS.

mutate lucro. Si quis vero commilitonũ huius vrbis donis à rege acceptis, ciuitatis decretum soluere aggrederetur, vel societatem frangere auderet, nuquid irasceremini, & pœnam à soluere volentibus quæ decreuistis sumeretis? Equidem omnino sentio. An vero cum aliis vestra decreta frangere non permisistis, hoc vos fecisse videbimini? Et in quibus alio faciente supplicium non omitteretis, in iis vos vltro delinquere cognoscemini? Porro autem cauendum est, ne omnia, & reuera mala, & quæ mala putantur agamus, ea autem cauenda sunt magis de quibus alium antea accusauit. Nam de quibus quis semel vt malis cõquestus fuisse deprehenditur, & iterum eadem facere conuincitur, & inimicus, & sceleratus est: sceleratus quidem ea faciendo, quæ facere non oportebat: inimicus vero, cum iis illos prohibere nititur, quę, licet verbo odisse appareat, operibus tamẽ diligere videatur. Dic, si lubet, legislatorum verba, numera deinde, si cupias, ciuitatis trophæa. Nam omnia ciuitatis facinora bene gesta militares leges appello. Quid iam omnibus his effectum est? non pacisci scilicet cum Barbaris, gentem alienam execrari, implacabile bellum cum hostibus existimarę: & sane merito. Quos enim naturales hostes arbitrabantur, ab his aliquid detrimenti semper exspectantes, lege cohibuerunt, ne quid mali paterentur, maximum vrbis præsidium eorum infidelitatem existimantes. Solent enim scelerati homines, & lucro dediti specie amicitiæ lucrari plura, quam tũc cum aperte bellum denunciant. Atheniensium statuta Pythia oracula nuncupo. Persa non vno tempore aut vno momento, neque hoc modo belli tempore hostis noster, sed omni vrbis nostræ vita, non Platæas modo diruit, & populum vltro ad bellum pro libertate susceptum exterminauit. Non enim hæc animo voluente, quæ Rex aduersa habuit, illum crimine liberare debemus, sed ea reputantes, quæ victor fecisset, eandem illi pœnam irrogare oportet. Neque iustum est eadem nos victores perpeti, quæ ab iisdem victi subiissemus. Hic vero statim antequam hostes induceret, à quibus circumuenti erant, irrumpens, & vindictam exigens, neque tempus defendendi sui illis dedit, & magnam sibi, ne quid pateretur, securitatem attulit, & quibus semel irrupit, his in posterum à victis omnem accessionem circumscripsit. Dona, inquiunt, populo misit Rex. Cyrsili mihi verba dicis, & mali nuncij successor es. Et hæc ausus es Athenis dicere, vbi & alterum id prius dicentem sepeliuimus. Cum vero ignoremus quo modo naualis pugna iudicanda sit, non sane honestum est, ob quæ studia laudati videmur, & in quibus nati sumus, iam ea hoc consilio obliterare. Nam quibus initio exigua virtutis cura est, non magna his percuntibus iactura fit: quibus vero virtutis tanta ac talia statuta sunt exempla, si priorem gloriam posterioribus actionibus repudiasse arguantur.

ἀλλάττεσθαι τὴν ἀδοξίαν φαινώμεθα: εἰ δέ τις τῶν συμμάχων τῆς πόλεως δωρεὰν παρὰ βασιλέως δεξάμενος, λύειν ἐπιχείρει τὸ δόγμα τῆς πόλεως, ἢ καταλύειν τὴν συμμαχίαν ἐτόλμησεν· ἆρ' οὐκ ἂν ὠργίσθητε, καὶ δίκην ἀπῃτήσατε παρὰ τῶν ἀναιρεῖν ἐπιχειρούντων ἃ κεκυρώκατε; ἐγὼ μὲν ἀκριβῶς οἶμαι. εἶθ' ἑτέροις ἂν τι λῦσαι τῶν ὑμετέρων οὐ συγχωρήσαντες, αὐτοὶ τοῦτο ποιοῦντες ὀφθήσεσθε; καὶ ἐφ' οἷς ἄλλου πράξαντος οὐκ* ἀνείχεσθε τὸ μὴ καὶ δίκας εἰσπράξασθαι· ταῦτα ἑκόντες αὐτοὶ πλημμελεῖν δόξετε; καὶ μὴν ἅπαντα μὲν εὐλαβητέον ἐργάζεσθαι τὰ καὶ ὄντα πονηρὰ καὶ νομιζόμενα· ἐκεῖνα δὲ πλεῖον, ὧν αὐτός τις φθάσας κατέγνωκεν. * ἂν ἠνείχεσθε

ἐφ' οἷς γάρ τις ἀγανακτῶν ὡς φαύλοις ἐπιδείκνυται, εἶτα αὐτὰ πράττων ἁλίσκοιτο, φιλαπεχθήμων ὁμοῦ καὶ πονηρός. πονηρὸς μὲν, οἷς ἃ μὴ χρὴ πράττων ἐλέγχεται· φιλαπεχθήμων δὲ, ὅτι τούτων τὸν πλησίον *εἴργειν ζητεῖ, ἃ τῷ λόγῳ μισεῖν προσποιούμενος, ἔργοις μεταδιώκων ἁλίσκεται. λέγε μοι τὰ τῶν νομοθετῶν, εἰ βούλει, ῥήματα· ἀρίθμει μοι μετὰ τούτων, εἰ θέλεις, καὶ τὰ τῆς πόλεως τρόπαια. νόμους γὰρ ἐγὼ πολεμικοὺς ὀνομάζω τὰ τῆς πόλεως κατορθώματα. τί νῦν ἐν ἅπασι τούτοις διεσπούδασται; μὴ σπένδεσθαι βαρβάροις, μισεῖν τὸ γένος ὡς ἀλιτήριον, ἀδιάλλακτον ἡγεῖσθαι [τὸν] πρὸς ἀλλήλους πόλεμον καὶ μάλ' εἰκότως. οὓς γὰρ τῇ φύσει πολεμίους ἐνόμιζον, παρὰ τούτων ἀεί τι κακὸν προσδοκήσαντες, νόμῳ τὸ μὴ παθεῖν ἐφυλάξαντο· μέγιστον εἶναι τῆς πόλεως φυλακτήριον τὴν ἀπιστίαν τὴν πρὸς αὐτοὺς ἡγησάμενοι. εἰώθασι γὰρ οἱ πονηροὶ τῶν ἀνθρώπων, καὶ πρὸς πλεονεξίαν τὰ πάντα βλέποντες, πλείονα κερδαίνειν ἐπὶ φιλίας προσχήματι τῶν ὅτε φανερῶς ὁμολογοῦσι τὸν πόλεμον. ψηφίσματα γὰρ Ἀθηναίων ἐγὼ καλῶ τὰ τοῦ θείου Πυθίου μαντεύματα. πολέμιος ὁ Πέρσης οὐ καθ' ἕνα καιρὸν, οὐδὲ χρόνον, οὐδὲ παρ' αὐτὴν μόνην τὴν τοῦ πολέμου καταβολήν· ἀλλ' εἰς πάντα τὸν βίον τῆς πόλεως. οὐ γὰρ Πλαταιὰς μόνας κατέσκαψε, καὶ δῆμον εἰς τοὺς ὑπὲρ τῆς ἐλευθερίας πολέμους αὐτόκλητον ἐποίησεν ἄπολιν. οὐ γὰρ ἃ πέπονθε βασιλεὺς, ταῦτα *διαλογιζομένοις, ἐκεῖνον ἀπαλλάττειν τῆς μέμψεως *χρή· ἀλλ' ἅπερ ἂν κρατήσας ἔδρασεν, ἐν τῷ λαβόντας, πᾶσαν ἴσως νομίζειν δίκην τῆς ἀξίας κομίζεσθαι. οὐδὲ δίκαιον *τὰ αὐτὰ μὴ δράσαι κρατήσαντας, ἅπερ ἡττηθέντες ὑπὸ τῶν κεκρατηκότων ἂν ἐπάθομεν. ὁ γὰρ, πρὶν ἀνενεγκεῖν αὖθις *τοὺς ἐναντίους, ἀφ' ὧν ἐσφάλησαν, ἐπεξιὼν καὶ τιμωρούμενος, οὐδὲ ἐκείνοις καιρὸν ἐπὶ τὴν ἀμύνης ἐνδίδωσι, καὶ πᾶσαν ἑαυτῷ προξενεῖ τοῦ μή τι παθεῖν ἀσφάλειαν, οἷς καὶ καιρὸν ἐπέξεισι, τούτοις περιγράφων ἅπασαν τὴν ἐκ ὑστέρου παρὰ τῶν πεπονθότων ἐπίδοσιν. καί φασι, δωρεὰς τῷ δήμῳ [βασιλεὺς] πέπομφε. *Κυρσίλου μοι λέγεις ῥήματα, καὶ πονηρᾶς εἶ δημηγορίας διάδοχος. καὶ ταῦτα λέγειν ἐν Ἀθήναις ἐπικεχείρηκας, ἐφ' οἷς τῷ προειπόντι τάφον ἐποιήσαμεν τὸν τόπον, ἐφ' ὅπερ εἰστήκει φθεγγόμενος. ἀδήλου δὲ ὄντος τίνα τρόπον ἡ ναυμαχία κριθήσεται, οὐ δὴ καλὸν, ἀφ' ὧν εὐδοκιμοῦντες φαινόμεθα, καὶ μεθ' ὧν ἐπιτηδευμάτων διαγεγόναμεν, ἄκυρα ποιεῖν ἐπὶ τῆς παρούσης βουλεύεσθαι. οἷς μὲν γὰρ ἐξ ἀρχῆς ὀλίγος τῆς ἀρετῆς ὁ λόγος, οὐ μεγάλας τούτοις οὐδὲ σφαλεῖσιν ὁ κίνδυνος· οἷς δὲ τοσαῦτα καὶ τηλικαῦτα παραδείγματα τῆς ἀρετῆς ἔγκειται, τίς συγγνώμη παρὰ τοῖς ἔξωθεν, εἰ τοῖς τελευταίοις ἀφανίζοντες, τὴν ἔμπροσθεν δόξαν ἐλέγχοιντο;

* ἐξείργειν. H. St.

* διαλογιζόμενοι.

* al. δεῖ.

* ταυτά.

* τοὺς ἐναντίους

* Κυρσίλου M. M.

πῶς

πῶς γὰρ ἐμοὶ Ξέρξου πρὸς δωρεὰν καὶ χάριν ἐγγύτερος. ἔτι τοίνυν, εἰ μὲν προῖκα παρεῖχε τὴν ἔμπροσθεν δωρεάν, ἦν ἄν τις λόγος ἴσως τοῖς βασιλεῖ * συνηγοροῦσι, καίτοι γε οὐδὲ τοῦτο τῶν Ἀθηναίων ἄξιον. εἰ δ' ἀνταιτεῖ χάριν παρὰ τῆς πόλεως, οὐ δῆλον δήπουθεν ὡς οἷς παρ' ἡμῶν ἀντ' ἐκείνων τυχεῖν ἐσπούδασε, τούτοις ἐπιδείκνυσι μηδὲν αὐτὸς χαριζόμενος. εἰ δὲ ἁπλῶς δίδοιτο, λαβεῖν οὐκ ἄλογον. πῶς οὖν πλέον, ὅτι μηδὲ προῖκα τὴν δωρεάν, ἀλλ' ἐπ' ἀντιδόσει τοσαύτῃ καὶ αὐτὸς δῆλός ἐστιν ἃ δίδωσιν ὁμολογῶν ἀνταλλάξασθαι; φέρε δὴ καὶ αὐτὰς τὰς ὑποσχέσεις σκεψώμεθα. ἀντικαταστήσω (φησὶν) οἷς ἐλυμηνάμην κατὰ τὸν πόλεμον. αὐτήν μοι λέγεις τοῦ πολέμου τὴν πρόφασιν, καὶ μάχης μᾶλλον ἢ διαλλαγῆς * ἀναγινώσκεις συνθήματα· καὶ λανθάνεις οἷς διαλλάξαι βασιλεῖ τὴν πόλιν ἐσπούδακας, τούτοις ἡμᾶς ἐγείρων πλέον ἐπὶ τὸν πόλεμον. ὢ τῶν ἀνομοίων ῥημάτων! λυμεῶνά μοι τὸν αὐτὸν προσαγορεύεις καὶ φίλον, αὐτόχειρα καὶ πάλιν ἔνσπονδον. τὴν αὐτὴν * ἀναγινώσκεις ἐπιστολὴν μεστὴν ἀδικημάτων καὶ δωρεῶν, μιγνὺς καὶ τὰ ἄμικτα πάθη, δωρεάς, χάριτας, συμφοράς, βαρβάρους, Ἕλληνας· καὶ τῷ μὲν δοκεῖν, σπουδάζεις ὑπὲρ τῆς πόλεως· τὸ δὲ ἀληθές, βασιλεῖ ποιεῖς φιλοτιμίας ὑπόθεσιν τὸ πτῶμα τῆς πόλεως. τί οὖν οὐκ ἐπὶ τὰς τριήρεις * εἶμεν, ἀλλ' ἀνεχόμεθα προσφέροντος ἡμῖν βασιλέως τὴν πόρθησιν; ἐπολυπραγμόνησέ μου Ξέρξης τὰ διηγήματα, ὥσπερ καὶ τοῖς ἐγκωμίοις * πολεμῆσαι θέλων τῆς πόλεως. εἰ μὲν οὖν παρ' ἑτέρου μὲν τὸ ἀδίκημα, παρ' ἑτέρου δὲ ἡ χάρις· τῷ μὲν ἐχρῆν ὡς πολεμίῳ χρῆσθαι, τὸν δὲ ὡς εὐεργέτην ἀμείβεσθαι. εἰ δὲ ὁ αὐτὸς ἀμφότερα· τί μᾶλλον εἰδέναι χάριν ἀνθ' ὧν ὑπισχνεῖται προσῆκεν, ἢ τιμωρίαν ἀπαιτεῖν ἐφ' οἷς ἀδικῶν ἐλέγχεται; τίνα δὲ καὶ τὰ * λελυμασμένα καλεῖ; ἀφοσιοῦται γὰρ καὶ διὰ τῶν γραμμάτων τὴν χάριν. τὰς Ἀθήνας πάντως ἀνοικιεῖν ἐπαγγέλλεται· τοῦτο γὰρ ὑπαινίττεται δήπου, κἂν μὴ τολμᾷ φανερῶς ὀνομάζειν τῷ ῥήματι. Ἀθήνας ἀνοικιῶ, φησί. σὺ τὴν τῆς Ἀθηνᾶς πόλιν; σὺ τὴν Θησέως καὶ Κέκροπος; εἶτα οἰκισθήσονται Ἐριχθόνιοι καὶ Κέκροπες, ἔτι δὲ Θησεῖς καὶ Κόδροι; πάντα [δὲ] * ἔσται Ξέρξης τῇ πόλει; οἰκιστής, ἀρχηγέτης τῶν ἐπαίνων, τῶν ἐγκωμίων ὑπόθεσις; οἴμοι τῶν κακῶν! ἡττημένος μου Ξέρξης, λαμβάνει τὴν πόλιν. τί δ' ἂν καὶ ἡμᾶς αὐτοὺς κατὰ τῶν Ἑλλήνων συστρατεύεσθαι κελεύῃ; οὐ γάρ ἐστι δίκαιον τῷ τοσαύτην ἐνδεικνυμένῳ περὶ τὴν πόλιν μεγαλοψυχίαν, [καὶ] μὴ πάντα τρόπον συναγωνίζεσθαι * καλῶς γε. οὐ γὰρ τότε καὶ τῶν τροπαίων ἀξίας τῶν ἐγηγερμένων τὰς παρατάξεις παραταξόμεθα. ὑπὸ Ξέρξῃ στρατηγῷ τοῖς κατὰ τῶν ὁμοφύλων πολέμους ἐκφέρουσι, δι' οὓς ὤφθη Πέρσαις ἀντὶ νικηφόρου σχῆμα δραπέτου καὶ φυγάδος περικείμενος, τούτοις πόλιν οἰκίζειν, τούτοις εὐεργετεῖν ἀνέχεται; εἰ μὲν γὰρ ᾤετο * ἀναμάχεσθαι τοῖς ὅπλοις τὴν ἧτταν ἐπίστευεν, ἐστράτευσεν ἄν, οὐκ ἐπρεσβεύετο· ἐπεὶ δὲ ἀπογινώσκει τῶν δυνάμεων, τὴν ἀπάτην τέως ἀντὶ τῶν ὅπλων προβέβληται. ἔτι τοίνυν καὶ διαβάλλειν τοὺς Ἕλληνας πρὸς τὴν πόλιν ἐσπούδασεν, ἵνα ἐρήμους τῆς παρ' ἐκείνων συμμαχίας ἐργασάμενος, πρὸς μόνους ἡμᾶς ὕστερον ἐξενέγκῃ τὸν πόλεμον· καὶ μὴν ἐξ αὐτῶν ῥημάτων δῆλός ἐστι πρὸς τὴν δωρεὰν ἀφοσιούμενος.

* προκατορθοῦσι. * μὴ λέγεις συνθ. * al. ἀναγινώσκεις. * ἴωμεν. * πολεμῶσαι. * λελυμασμένα. M. M. * al. ἔ. * al. καλῶς γε. * ἀναμαχέσασθαι.

HIMERIVS.

Omnes enim mihi Xerxi propinquiores ob munera & beneficia. Atque etiam si gratis donum dedisset, esset forsitan iusta quædam causa iis qui Regi patrocinantur, quanquam hoc neque Atheniensibus dignum sit. Si remunerationem ab vrbe petat, manifestum sane est nihil vtique gratis dedisse, quando pro iis rependi sibi mutuum cupiat. Si vero ab eo simpliciter donante non est æquum accipere; quãto minus par est, quando non gratuito donat, sed remunerationis eiusmodi gratia, qua satis restatur, suum velle pensari beneficium. Agedum promissa hæc videamus. Ea, inquit, reponam, quæ bello deieci. Hunccine mihi bellandi prætextum dicis, & pugnæ potius, quam fœderis tesseram profers, nec vides iis verbis, quibus regi vrbem conciliare niteris, nos ad bellum magis excitari? O quam diuersa sunt hæc verba? perditorem eundem vocas & amicum, interfectorem & socium, eandem legis epistolam plenam iniuriis, & donis, permiscẽs mere mala & dona, beneficia, & damna, Barbaros, & Græcos. Hoc studes vrbis commodum videri quærere, sed verius illud, cum vrbis nostræ ruinam regi honoris initium facias. Quid ergo ad triremes non vadimus, sed sustinemus regem patriæ ruinam afferentem? Sed & historiam nostram curiose Xerxes quæsiuit, quasi & cum vrbis præconiis bellũ suscepturus. Quare si ab altero iniuria, ab altero beneficium accepimus, illum quidem vt hostẽ tractare, hũc verò vt beneficum remunerari oportuit. Quod si vtrumque idem præstitit, vtrum decet beneficium attendere pro iis quæ promittit, vel exigere, cuius accusatur iniuriæ? Quænam sunt, quæ ille læsa dicit? per has literas beneficium dicis gratia pollicetur, Athenas omnino restauraturum se significat; hoc scilicet obscurè dicitur, licet apertè verbo nominare non audeat: *Athenas*, inquit, *restaurabo*. Tu vrbem Palladis? Tu ciuitatẽ Thesei, & Cecropis? dein de Erichthonij & Cecropes, & Thesei, & Codri obscurabuntur? Hæc omnia ciuitati Xerxis debebunt? cõditor, dux laudũ, præconiorũ materia? Hei mihi his malis! Victus à me Xerxes capit vrbem. Quid verò & nosmet cõtra Græcos iubet pugnare? Non enim æquum nos illi, qui circum hanc vrbem mira edit facinora, non venire auxilio: & merito. Non enim tum aciem dignam erectis trophæis instruemus, Xerxe duce vicinis nostris bellum inferentes, propter quos visus est Persis non victor, sed tanquam exsul & fugitiuus, his vrbem condere, & his benefacere cupiet? Quod si putaret acceptam cladem armis instaurare posse, exercitum adduceret, non autem legatos mitteret. At cum viribus diffidat suis, fraudẽ pro armis adhibet. Cum autem copias recensuisset, tum demum fraudem armorum loco produxit. Quin etiam vrbem hanc apud cæteros Græcos infamẽ reddere contẽdit, vt nos eorũ auxilio desertos redderet, & nobis solis bellum postea inferret. Et ex his verbis patet donum dicis gratia offerre.

Athenarum vrbs.

HIMERIVS. Illius erat manifeste litteris inscribere hanc velle se vrbem instaurare. Hoc autem non declarans, simpliciter se damna bello illata resarturum dicit, aduerbij amphibolia, quæ mala cogitauit, epistola significauit. Quod autem erat vrbis nostræ insigne? magnificentia ædificiorum, antiquæ vbicunque virtutis testimonia, naturæ ornatus, qui maius vrbi addit ornamentum quam artificium. Qualis cernitur hic † arx, vbi tale, cœlo excepto, hospitium est Deorum? Quale templum Poliadis Mineruæ? & huic vicinum delubrum Neptuni. Coniunximus enim post contentionem Deos per reges in templis cum aliis. Non recipio * formulam sacrorum ab homine, qualem per præconem arcere solemus. Quis reparabit homines quos bello perdidit? Quis reddet mortuorum corpora, quæ bello abstulit? Viri enim, vt aiunt, vrbes sunt, non domus ipsæ; si damna se instauraturum pollicetur, ex his quædam non integre restituere potest, quædam non paria prioribus reddere potest. quomodo illius in his promisso vt impossibilis non redarguatur ab omnibus? Illi Lacedæmonios trecentos ad Pylas non sustinuerũt, sed in oculis regis tot myriades ceciderunt aduersus vnum agmen, quasi flagris ordinatæ: Ipse Rex in Asiam nos vocat, ostendens demptis pugnis tutum secum bellum fore. Vna acies contra totam Asiam instructa & trecenti Spartani prius armis Thermopylas, deinde morte occludentes, honorabilius sepulcrum, quam sint tropæa excitarunt. Ego quoque de Thebanis supplicium sumendum putaui. Accusati sunt Græci à Persis proditionis gentis suæ, & vrbs mea Persicum contra Græcos assumpsit exercitum. Cum Persæ victi sunt, non modo Athenienses, sed & omnes Græci lucrum reportarunt. Vtinam etiam ad Pylas occurissemus, Lacedæmonij pro sepultura trophæum ostendant. In Xerxem hæc dico, in Xerxem, inquam, ô Apollo, qui vsque * ad aras tuas bellum gessit, & ignem sacro tripodi tuo subiicere conatus est, per quem edis oracula. Volo regionibus de meis rectè factis nomen imponi, & maria, ac flumina potius à meis tropæis, quam antiquis nominibus denominari. Obiiciet aliquis, quando vrbem vel vnde reficiemus? Quam amplius vrbem quæris, cum habeas triremes pro noua vrbe, & ductorem Apollinem: Obiicit autem pro mœnibus mare, & pro turribus insulas, & pro ornatu tropæa. Si & terminos studes cognoscere, obiuit tamen totum terrarum orbem, terram quà itur, mare quà nauigatur. Hos Athenienses duce Themistocle consecuti sunt terminos. Postulabo à Xerxe non oleaginum ramum Palladis, sed platanum; vt duo Palladis tropæa iuxta arcem videantur, contra Neptunum olea, contra Barbaros platanus.

† Virg. Pallas quas condidit arces ipsa colat.

* τύπον al. τύπον legendum sacrorum.

* μεχρὶ ἀδύτων legendum puto.

τῶν μὲν γὰρ ἀνοικίσαι τὴν πόλιν τὴν ἡμετέραν θέλοντος, ἔργον ἦν αὐτὸ τοῦτο σαφῶς ἐγγράψαι τοῖς γράμμασιν. ὁ δὲ τοῦτο μὲν οὐκ εἰπὼν ἁπλῶς δὲ ἀντικαταστῆσαι φήσας οἷς ἐλυμήνατο κατὰ τὸν πόλεμον, τῇ τοῦ προειρημένου ἀμφιβολίᾳ * κακῶς ὃ κακουργεῖ διὰ τῶν γραμμάτων δεδήλωκε. τί δὲ ἦν τῆς πόλεως τῆς ἡμετέρας τὸ ἐπίσημον; σεμνότης οἰκοδομημάτων, πανταχοῦ τῆς ἀρχαίας ἀρετῆς ὑπομνήματα, ὁ παρὰ τῆς φύσεως κόσμος, μεῖζον τοῦ παρὰ τῆς τέχνης προστεθεὶς τῇ πόλει τὸ κάλλος. οἷα μὲν ἰδεῖν ἀκρόπολις, οἷον ἄλλο (θεῶν) μετ' οὐρανὸν ἐνδιαίτημα; οἷος δὲ ὁ τῆς πολιάδος νεὼς, καὶ τὸ πλησίον * τοῦ Ποσειδῶνος τέμενος; συνήψαμεν γὰρ διὰ τῶν ἀνακτόρων τοὺς θεοὺς ἀλλήλοις μετὰ τὴν ἅμιλλαν. οὐ λαμβάνω παρὰ ἀνδρὸς τὸν τελετῆς * τύπον, ὃν εἴργει τῆς τελετῆς τῆς ἡμετέρας τὸ κήρυγμα. τίς ἀναστήσει τοὺς ἄνδρας, οὓς ἀπολώλεκε; τίς τὰ σώματα τῶν πεσόντων, οἷς * ὅδε κατὰ τοὺς πολέμους λελυμάνται; ἄνδρες γὰρ (φασὶν) αἱ πόλεις, οὐκ οἰκοδομήματα. εἰ δὲ τὰ * λελυμασμένα ἡμῖν ἀποδώσειν ἐπαγγέλλεται, τούτων δὲ τὰ μὲν οὐδ' ὅλως ἐγχωρεῖ λαβεῖν, τὰ δὲ τοῖς διεφθαρμένοις οὐχ ὅμοια: πῶς οὐκ ἀδύνατος ἐλέγχεται τοῖς πᾶσιν ἡ περὶ τούτων ὑπόσχεσις; οὐκ ἤνεγκαν οὐδὲ τριακοσίους ἐκεῖνοι * λακεδαιμονίους ἐν Πύλαις, ἀλλ' ἐν ὀφθαλμοῖς βασιλέως ἔπιπτον αἱ τοσαῦται μυριάδες, πρὸς ἕνα λόχον, ὑπὸ μαστίγων * παραταττόμεναι. αὐτὸς ἡμᾶς ἐπὶ τὴν ἀσίαν καλεῖ βασιλεύς, οἷς παραιτεῖται τὰς μάχας, τούτοις ἀκίνδυνον εἶναι τὸν πρὸς αὐτὸν δεικνύων πόλεμον. λόχος εἷς πρὸς ὅλην τὴν ἀσίαν παραταττόμενος. καὶ τριακόσιοι ἀναρπάται κλείοντες πρότερον μὲν τοῖς ὅπλοις, ὕστερον δὲ τῷ θανάτῳ τὰς Πύλας, σεμνότερον ἠγείραντο τροπαίου τὸ πολυάνδριον. ἐγὼ καὶ ὑπὲρ Θηβαίων * ἀπαιτῆσαι δίκας ἐσπούδακα. δῆμος ἕλλην διὰ πέρσας τοῦ κοινοῦ γένους προδοσίαν κατέγνωσται, καὶ πόλις ἐμὴ περσικὸν ἐδέξατο κατὰ τῶν ἑλλήνων στρατόπεδον. κέρδος οὐκ ἀθηναίων μόνον, ἀλλὰ καὶ κοινὸν τῶν ἑλλήνων ἁπάντων, πέρσαι νικώμενοι. εἴθε καὶ εἰς Πύλας ἀπηντήσαμεν· τρόπαιον ἀνεδείκνυσαν νῦν ἀντὶ τοῦ τάφου λακεδαιμόνιοι. ἐπὶ Ξέρξην καλῶ, ἐπὶ Ξέρξην, Ἄπολλον, τὸν μέχρι τῶν ἀδύτων στρατεύσαντα, τὸν τοῖς ἱεροῖς σου τρίποσι τὸ πῦρ προσάγειν φιλονεικήσαντα, δι' ὃν ἐκίνησας φάσματα. δοῦναι θέλω καὶ τοῖς χωρίοις ἀπὸ τῶν ἐμῶν κατορθωμάτων ὀνόματα, καὶ τὰ πελάγη καὶ τοὺς ποταμοὺς ἀπὸ τῶν ἐμῶν τροπαίων μᾶλλον, ἢ τῶν ἀρχαίων ὀνομάτων προσαγορεύεσθαι. πότε οὖν ἢ πόθεν ἀνοικιοῦμεν τὴν πόλιν; ὑπέκρουσέ τις. ποίαν γὰρ ἐπιζητεῖς ἔτι πόλιν, τὰς τριήρεις ἔχων τῆς νέας πόλεως; οἰκιστὴν ἔχων τὸν πύθιον; προβάλλεται δὲ αὐτῆς ἀντὶ μὲν τειχῶν τὴν θάλασσαν, ἀντὶ δὲ πύργων τὰς νήσους, ἀντὶ δὲ κόσμου τὰ τρόπαια. εἰ δὲ καὶ τοὺς ὅρους αὐτῆς ἐπιζητεῖς μαθεῖν, περίελθε κύκλῳ τῷ λογισμῷ τὴν οἰκουμένην ἅπασαν, καὶ γῆν ὅση βατὴ, καὶ θάλατταν ὁπόση πλώϊμος· οὗτοι τῶν ἀθηναίων τῶν ἐπὶ Θεμιστοκλέους οἱ ὅροι. ἀπαιτήσω Ξέρξην ἀντὶ τοῦ θαλλοῦ τῆς ἀθηνᾶς τὴν πλάτανον· ἵνα δύο βλέπηται τῆς θεοῦ κατὰ τὴν ἀκρόπολιν τρόπαια· κατὰ μὲν Ποσειδῶνος, ὁ θαλλὸς, κατὰ δὲ τῶν βαρβάρων, ἡ πλάτανος.

* κακῶς ἦν

* τὸ Ποσειδώνιον.

* τύπον.

* ἐν τῷ κατά.

* λελυμασμένα.

* λακεδαιμονίων.

* παραταττόμενοι.

* ἀπαιτήσω

Ἐκ τοῦ πολεμαρχικοῦ. Τὸ Προοίμιον.

Ex Oratione militari.

PROOEMIVM.

* λέγουσι. H. St.

ΟΥ τοῖς * ψέγουσι τὸν νόμον τῶν διὰ τοῦ μνήματος εἰωθότων λέγειν, ἀλλὰ τοῖς ἐπαινοῦσι συνθήσομαι. καὶ γὰρ ἄτοπον, τὴν τοῦ λέγειν ἐξουσίαν παρ' αὐτοῦ λαβόντας, κατ' * αὐτοῦ τῇ παρὰ τοῦ λέγειν ἐξουσίᾳ χρῆσθαι. τὸν γὰρ ἐκ τοῦ θανάτου φόβον ὁ νομοθέτης τῇ παρὰ τοῦ λόγου τιμῇ παραμυθούμενος, ἄοκνον πᾶσι τὴν τόλμαν τὴν ὑπὲρ τῶν κινδύνων * καθίστησιν. ἡ δὲ τῶν ἐγκωμίων ἀρχὴ, τῷ μὲν δοκεῖν, κοινὴ πρὸς ἅπαντας. τὸ δ' ἀληθὲς, τῶν ἀνδρῶν τούτων ἐξαίρετος. οἱ μὲν γὰρ τοὺς ἄλλους ἐπαινεῖν σπουδάζοντες, ἵνα τὸ γένος ὑμνήσωσιν, εἰς προγόνων τινὰς εὐφημίας τὴν τοῦ λέγειν φύσιν ἀναβιβάζουσιν, ἢ τὴν γῆν ὅθεν οἱ πρόγονοι τῶν ἐπαινουμένων ἐγένοντο. πάντες γὰρ ἐπιεικῶς οἱ πρόγονοι τῶν πανταχοῦ θαυμαζομένων, ἐπήλυδες. ἡ μὲν καὶ κατὰ τούτων ὁ νόμος οὐδὲν νενίκηκεν. ἀλλ' ὅμως τὰ ἀθηναίοις εἴρηκας, καὶ μετὰ τῆς ἐπωνυμίας δηλοῖς τοὺς αὐτόχθονας. ἄοπλος ἦν ὁ βίος. ὅπλα τῶν κινδυνευόντων * προὐβάλετο. ἵππων χρῆσιν οὐκ ἠπίσταντο· * μείζει πρέπει πρὸς ἄθλους καὶ πολέμου χρείας τὴν ἵππων γένεσιν. κεκλ[ηθείσης] δὲ τῆς ἁμίλλης θαλλῷ τε [ἐλαίας] καὶ κύματι, τῷ θαλλῷ * τὴν ψῆφον, τίθεντο. τῷ θαλλῷ δ' ὅταν εἴπω, * τὴν θεὸν λέγω. ἀθηνᾶς γὰρ (οἶμαι) τὸ γνώρισμα. ἀλλὰ γὰρ οὐχ ὅ, τι τις * τοιοῦτον εἴπῃ χαλεπὸν εὑρεῖν. ἀλλ' [οὖν] ὅπως μὴ τούτοις ἑπόμενος, πόῤῥω τῶν πράξεων γένωνται, ἃ τοῦτο μὲν ὑπὲρ τῆς πόλεως οἱ τῶν τῆδε κειμένων πρόγονοι, τοῦτο δὲ ὑπὲρ τῆς [ὅλης] ἑλλάδος ἤρξαντο παῖδες * πατέρας μιμούμενοι, καὶ διὰ πάσης ἡλικίας τε ὁμοῦ καὶ διαδοχῆς τοῦ γένους τὴν εὐψυχίαν καταβιβάζοντες. ἡρακλείδας δὲ ὑποδεξάμενοι, τὸν μὲν ὑβρίζοντα τῆς παρανομίας ἔπαυσαν· αὐτοῖς δὲ τὴν τύχην ἀμείψαντες, βασιλέας πελοποννήσου πάσης ἀντὶ φυγάδων εἰργάσαντο. ἐκίνησε φθόνος ποτὲ κατὰ τῆς πόλεως δωρικὸν ὁμοῦ καὶ βοιώτιον καὶ προσέτι χαλκιδέων τῶν ἀπ' εὐβοίας ἐκ * τρίτου πόλεμον. πῶς οὖν ἅπασι τούτοις ἡ πόλις * ἀντέστη; ἔπεσον βοιωτοὶ, δωριεῖς ἠγάπων σωζόμενοι, χαλκιδεῖς ἅπαντες ἤγοντο. τρία δὲ εἰστήκει τρόπαια· τῶν δὲ τροπαίων τὸ τάχος ἐστὶ λαμπρότερον. τὸ γὰρ κατ' * εὐβοίας καὶ βοιωτῶν, μιᾶς ἦν ἡμέρας τὸ συναμφότερον. ἀλλὰ γὰρ ἔοικα, πᾶσι τὸ μέρος ἀποδιδόναι τῆς εὐφημίας βουλόμενος, τοῖς ἄνω χρόνοις, ὑπὲρ τῆς πατρίδος καὶ παντὸς τοῦ γένους κατὰ τὰς μάχας προφθάσασιν, οὔτε τούτοις τὴν ἀξίαν τηρεῖν, τῷ τὸ μέγεθος τῶν πράξεων ἐν τῷ τῶν λόγων τάχει συγκρύπτεσθαι, καὶ μή πω τούτων προσάπτεσθαι, ὧν ἡ τῶν ἀκροωμένων προσδοκία ζητοῦσα πάλαι τὸν ἔπαινον, ἀγανακτεῖν ἔοικεν, ὅτι μή πω τὴν ἐπιθυμίας ἐμπίπλα. οὐκοῦν ἐπὶ ταῦτα ἤδη ἴτεον τῷ λόγῳ. τὸ δὲ ἐξ ἀνάγκης ἀπολείπεσθαι μέλλειν τῶν πράξεων, ὅτι κοινὸν ἁπάντων, ὑμῶν ἑνὸς οὐκ εἴη δίκαιον ἔγκλημα. πέρσαι κλῆρον ἕνα τὴν ὑφ' ἡλίῳ πᾶσαν δέξασθαι τοῖς ὅπλοις βουλόμενοι, μικρῷ μέρει τῷ πρὸς ἑσπέραν πληρῶσαι, τὴν ἐπιθυμίαν ἀπείργοντο. ὡς δ' ἀφεὶς ἐπ' ἰωνίας ὁ στόλος, καὶ πάλιν ἀποκρύψας πλήθει νεῶν τὸ φαινόμενον περὶ τὰς νήσους τὰς κατ' αἰγαῖον ἐσχίζετο:

* καθ' ἑαυτοῦ.

* παρέσχον.

* προὐβάλλετο.

* μείζων.

* τῇ ψήφῳ.

* τοῦ θεοῦ.

* τοιοῦτον.

* πατέρα.

* τρίτον

* ἀντέσχεν.

* Εὐβοίας.

NON astipulor iis, qui eorum, qui memoriter solent dicere, legem reprehendunt, verum laudatoribus assentiar. Absurdum enim est cùm à memoria dicendi subsidium petant Oratores, contra eandem dicere. Legislator enim metum mortis orationis dignitate eximens, audaciam strenuam in periculis, omnibus iniecit. Laudis causam, mea quidem sententia, omnes communem habent: at horum virorum præ cæteris eximia est. Quidam enim dum alios laudare conantur, vt genus ac stirpem prædicent, ad maiorum encomia orationem conuertunt, aut patriam vnde maiores exstiterunt. Omnes enim qui laudantur, exteri fere fuerunt. Sed aduersus hos hæc lex non vicit, sed simul Athenienses nominauerat, & hac appellatione ostendis * indigenas esse. Viuebant sine armis, tela non producebant, equis vti non didicerant. Vsui tamen esse docuit equos in certaminibus, ac prælijs. In certaminibus ramo & germine oleagino victoriam denunciabant. Cum ramo oleæ dico, deam indico. Hoc enim Palladis insigne existimo. Nec vero id quod huiusmodi quis dixerit, difficile est ad inueniendum: saltem vt hæc non imitans procul ab iis rebus sit, quas quidem partim pro ciuitate maiores illic iacentium, partim vero pro vniuersa Græcia filij parentes suos imitati, per omnem ætatem & successionem gentis fortitudinem proferentes susceperunt: Heraclidarum vero potentiam admittentes, alterius quidem iniurias compescuerunt, sibi vero fortunam mutantes, totius Peloponnesi reges pro exsulibus fecerunt. Inuidia autem tunc temporis in hanc vrbem tria bella Doricum simul, & Bœoticum & insuper Chalcidense concitarunt. Qua igitur ratione his omnibus vrbs restitit, Ceciderunt Bœoti, Dores seruati quieuerunt: Chalcidenses omnes abducti sunt. Tria vero tunc fixit trophæa, sed illustrior est quam victoria celeritas. Vno die Eubœis & Bœotis trophæa erecta sunt. Etenim cum cupiam omnibus gloriæ aliquam partem iis tribuere, qui superioribus illis temporibus pro patria, omnique populo, pugnando primas ferebant, visus sum ne his quidem satis dignam contulisse, rerum gestarum magnitudinem verborum exilitate deterendo, neque attingendo ea quorum laudem auditores pridem exspectantes indignari videntur, quod eorum fiat minime desiderio satis. Hæc igitur iam oratione tractanda. Necessitate vero parem dicendo non esse, non vnis proprium crimen, sed commune omnium fuerit. Persæ totum terrarum orbem vno regno volẽtes includere, spe sua frustrati sunt, cum vna parte Occidentalis regni cupiditatem implere non potuerint. Classis enim ex Ionia soluens, iterumque multitudine nauium æquor tegens, insulásque Ægæi maris, dissipata est.

* αὐτόχθονας Strabo lib. 9.

HIMERIVS.

Naxiorum quidem ciuitatem ad mare statim inuadit, vbi eam vrbem funditus vna cum nomine diruerunt, & gentem in triremes imposuerunt. Operæ-pretium non duxerunt cum Eretriensibus armis decertare, quod eorum fortunam Persico bello inferiorem putarent, inter se manibus consertis ira inuaserunt Eretrienses, ac si in sagena concluderent. Cum Marathonem attigissent, spes labefactata est. Probe enim experimento docti didicerant, quantum inter nos, & Eretrienses interesset. Tum naualis quidam miles aduersus integram triremem ausus est depugnare. Vrgens fugientes ad mare Phœniciæ, naui manus iniecit, fortiorem existimans tota naui dextrã. Veriti autem Barbari, ne nauis eorum Atticæ dextræ in prædam cederet, securi manum amputant: Ipse vero saucius sine manu iacebat, triremem tamen mordicus tenens. O vos primi, qui Persarum fortunam illusistis! O vos qui maiora vincitis quam natura humana permittat! O qui occumbitis cum ea rerum gestarum historia, quam neque ante vos, nec post tempus tulit! O qui illustriorem nacti estis tropæo sepulturam, qui nomen Marathonis Solis cursibus extenditis! Marathon tenet vestra corpora, animas ipsi dij, qui vobiscum pugnarunt, gloriam terra continet ac mare. Xerxes autem huic vrbi infestus nihil intactũ reliquit, sed omnia mouebat & concutiebat, quasi Neptunus terram & simul mare concuteret. terra & mare suam inuicem naturam permutabant, Imposuit terram fretis, & Phœnicum naues per continentem misit. Tunc omni spe maiora miracula vidimus, per Hellespontum equitatus Medorum, per Athonem triremium classis iter fecit. Quin & ad cœlum vsque audaciam suam Xerxes extendit, & suis prodigiosis factis transiluit à mari in terram, à terra in cœlum, inde in solem. Nam iaculans Solis lumen obtexit, nauigans maris naturam mutauit, iter faciens cum exercitu terræ angustiam incusauit. Prætereo maria triremibus cooperta: taceo exercitum naturæ numerum excedentem: omitto gentes alimentis præbendis impares, & regem vbique metum incutientem, vbinam vero esset propter copiam exercitus, ignoratum. Huiusmodi itaque tumultu, ac tanto terrore terra vniuersa frementе, & omnibus Græciæ interitum augurantibus, hi quidem tantum commodi in calamitatibus sperabant, quantum ab ipsorum ciuitatibus Persæ abessent: ciuitas vero nostra regi omnia turbanti non cessit, nec metu rumoris, turpe quid antequam sentisceret decreuit, sed statim post primam legationem rege superior fuit. Ipse quidem seruitutis poposcit conditiones: illi libertatis remiserunt. Capitale erat si quis legatis munera daret. Nihil vero omnino illos terrebat, nihil, cur virtutis obliuiscerentur, efficiebat. Non Lacedæmonij iam victi, qui Græcis adeo profuerunt, vt fortiter dimicando occubuerint, non verberati fluctus, non puniti venti, & mollis contra naturam Barbarus terrebant. O maiora ausos Xerxe [cõtra naturã.] O animos elementis fortiores ostẽdẽtes.

Marathonia pugna.

τὴν μὲν ναξίων πόλιν πρὸς τὴν θάλατταν εὐθὺς μαρίζεται, τῇ μὲν ἀφεῖσα μετὰ τῆς ἐπωνυμίας τὸ ἔδαφος, αὐτοὺς δὲ τὸ γένος εἰς τὰς τριήρεις ἐνθέμενος. τὸν δὲ ἐρετριέων δῆμον ὅπλων μὲν οὐκ * ἠξίωσαν, ἐλάττω τὰ περσικοῦ πολέμου τὴν τύχην αὐτῶν νομίσαντες, χειρὶ δὲ χεῖρα πάντες ἀλλήλων συνέχοντες, σαγηνείας εἰκόνα τὴν ἐρετριέων ἔδειξαν πόρθησιν. ἐπεὶ δὲ καὶ μαραθῶνος ἥψαντο, τὰ μὲν τῶν ἐλπίδων ἠφάνιστο, ἐγνώρισαν δὲ καλῶς διὰ τῆς πείρας μαθόντες, ὅσον τὸ μέσον ἐρετριέων καὶ τῆς ἡμετέρας πόλεως. τότε τις καὶ κατὰ τριήρους ὅλης ναυτικὸς στρατιώτης ἐτόλμησεν· ἐπιδραμὼν γὰρ τοῖς φεύγουσιν εἰς τὴν θάλασσαν, φοινίσσης νεὼς λαμβάνεται, κρείττονα δεξιὰν ἔχειν τριήρους ὅλης οἰόμενος. δείσαντες δὲ ὑπὲρ τῆς τριήρους οἱ βάρβαροι, μὴ δεξιᾶς ἀττικῆς γένηται λάφυρον, πελέκει τὴν χεῖρα μερίζουσιν. ὁ δὲ πληγεὶς, ἔκειτο τῆς μὲν χειρὸς ἀφαιρεθεὶς, τῆς δὲ τριήρους ἐχόμενος. ὦ πρῶτοι τὴν περσῶν τύχην ἐλέγξαντες. ὦ κρείττους τῆς ἀνθρωπίνης φύσεως νίκας νικήσαντες. ὦ μετὰ διηγημάτων πεσόντες, * ἃ μήτε πρὸ ὑμῶν μήτε μεθ' ὑμᾶς ὁ χρόνος ἐνήγκαν. ὦ σεμνότερον τροπαίου τάφον κτησάμενοι. ὦ τὸ μαραθῶνος ὄνομα τοῖς ἡλίου δρόμοις συναποτείνοντες. μαραθὼν μὲν ἔχει τὰ σώματα, τὰς δὲ ψυχὰς οἱ συστρατιῶται θεοὶ, γῆ δὲ τὸ κλέος καὶ θάλαττα. θυμουμένου δὲ τοῦ Ξέρξου κατὰ τῆς πόλεως, οὐδὲν τῶν πάντων ἡσύχαζεν, ἀλλὰ πᾶν αὐτῷ συνεκινεῖτο καὶ συνεσείετο, καθάπερ Ποσειδῶνος αὐτοῦ τινάσσοντος [τὴν] γῆν ὁμοῦ πᾶσαν καὶ θάλατταν. γῆ δὲ καὶ θάλαττα τὴν ἀλλήλων φύσιν ἠλλάττοντο. τοῖς μὲν πορθμοῖς ἐπετίθει τὴν ἤπειρον, τὰς δὲ φοινίσσας [διὰ] τῶν ἰσθμῶν ἔπεμπεν. ὤφθη τότε πάσης ἐλπίδος κρείττονα θαύματα ἵππος καθ' * ἑλλήσποντον μηδικὴ, καὶ δι' ἄθω μέσου στόλος τριήρων πεμπόμενος. ἀπείχετο δ' ὁ Ξέρξης οὐδὲ οὐρανοῦ τοῖς * τολμήμασιν, ἀλλὰ μετῄει καὶ μετεπήδα τοῖς θαύμασιν, ἀπὸ θαλάσσης ἐπ' ἤπειρον, ἀπὸ γῆς ἐπ' οὐρανόν· ἐπειδὴ καὶ ἥλιον. τοῦ μὲν γὰρ τοξεύων τὸ φῶς ἀπέκρυπτεν, τῆς δὲ πλέων τὴν φύσιν ἠμείβεν, τῆς δὲ πεζεύων τὴν χρείαν ἤλεγχεν. καὶ σιωπῶ πελάγη μὲν ὑπὸ τριήρων κρυπτόμενα, στρατόπεδα τὸν ἀριθμὸν φύσεως κρείττονα, ἔθνη δὲ δείπνων δαπάνης ἥττονα βασιλέα δὲ πανταχοῦ μὲν ὄντα τῷ φόβῳ, οὐ δὲ γῆς * ἦ, διὰ τὸ πλῆθος λανθάνοντα. τοσούτου τοίνυν θορύβου γῆς ἁπάσης ἠχήσαντος, καὶ κρινομένων ἐπὶ τῆς ἑλλάδος τῶν ὅλων, οἱ μὲν ἄλλοι σύμπαντες τοσοῦτον * ἐν τοῖς δεινοῖς κερδαίνειν ᾤοντο, ὅσον ἀπεῖναι πέρσαις τῶν πόλεων· οὐ μὴν καὶ ἡ πόλις εἶξε βασιλεῖ τὰ πάντα σείοντι, οὐδὲ φόβῳ τῆς φήμης αἰσχρόν τι καὶ πρὸ τῆς πείρας ἐβουλεύσατο, ἀλλ' ἀπὸ τῆς πρεσβείας * πρώτης κρείττων βασιλέως ἐγίγνετο. ὁ μὲν τὰ τῆς δουλείας ἀπῄτει σύμβολα, οἱ δὲ τὰ τῆς ἐλευθερίας ἀντέπεμπον. ἦν γὰρ θάνατος ἡ τῆς πρεσβείας ἀντίδοσις. ἐφόβει δὲ * αὐτοὺς οὐδὲν τῶν ἁπάντων, * οὐδὲν ἐποίει τῆς ἀρετῆς ἐπιλαθέσθαι· οὐ λακεδαιμόνιοι πίπτοντες, καὶ τοσοῦτον συντελοῦντες τοῖς ἕλλησιν, ὅσον ἀνδρείως ὑπὲρ θανάτου βουλεύσασθαι. οὐ μαστιζόμενα κύματα, καὶ κολαζόμενα πνεύματα, καὶ τυφῶν βάρβαρος κατὰ τῆς φύσεως. ὦ μείζονα Ξέρξου τολμήσαντες [κατὰ τῆς φύσεως] ὦ ψυχὰς στοιχείων βεβαιοτέρας ἐπιδειξάμενοι. ὦ τοῖς

* ἠξίωσε. * al. ἃ. * ἑλλήσποντον. * τολμήμασι. * ἐν. * ἐπὶ τὰ δεινά. * αὐτοῦ. * αὐτοὺς. * οὐδ.

ὦ τοῖς περσῶν τοξεύμασιν οὐ καμφθέντες τὸ φρόνημα. ὦ δύο τροπαίοις δεκαστῆ στόλον ἐλέγξαντες. ὑμεῖς τὸν ἐπὶ πᾶσαν ἰόντα γῆν καὶ θάλατταν, ἀγαπητῶς κλέψαι τὴν σωτηρίαν κατηναγκάσατε. ὦ μόνοι δείξαντες [ἀνθρώποις] ἅπασιν ὅτι πᾶσα χεὶρ ὑπ' ἀρετῆς ἐλέγχεται. ἀλλὰ κἂν ταῦτα σιγῇ παρέλθωμεν, κἂν τῆς εἰρήνης πρὸς βασιλέα γεγενημένης μνημονεύσωμεν, ἢ παντὸς τροπαίου σεμνοτέραν ἔτι τὴν πόλιν ἐργάζεται· καὶ μάλα εἰκότως. αἱ μὲν γὰρ καὶ τύχης ἔργον πολλάκις. τὸ δὲ ἑκόντα * συγχωρῆσαι βασιλέα τῇ πόλει, ἵππου μὲν δρόμον ἡμέρας, θαλάττης ἀφέξεσθαι ἄνω, εἴσω δὲ χελιδονέων καὶ κυανέων μὴ πέμψειν ὁλκάδα, πῶς οὐ καθαρὰν πανταχόθεν τῇ πόλει προξενεῖ τὴν δόξαν; ἀλλὰ γὰρ ἀθηναίων τὰ μυρία τρόπαια καὶ ναυμαχίας καὶ πεζομαχίας, καὶ ὡς πρὸς ἅπασαν μὲν τυραννίδα, πρὸς ἅπασαν δὲ δυναστείαν ἀντέστησαν, ἄλλοτε κατ' ἄλλους χρόνους ὑπὲρ τοῦ γένους μυρίους ἀγῶνας ἀναδεξάμενοι· οὔτε ἐμοὶ διεξελθεῖν ῥᾴδιον· οὔτε εἴ τις πρότερον ἐπικεχείρηκε. διόπερ οἶμαι * δεῖν ὡς οἱ τοὺς ἐν τοῖς σταδίοις νικηφόρους ἀνακηρύττοντες, ἓν καὶ ταὐτὸν συνθεῖναι γνώρισμα, εἶθ' οὕτω ταύτῃ καὶ πρὸς τὸν νόμον ἀφοσιώσασθαι. ὦ πᾶσαν γῆν καὶ θάλασσαν, ὅση μὲν βατὴ [νίκης καὶ] τροπαίων· ὅση δὲ ἄβατος, δόξης καὶ κλέους πληρώσαντες· ὦ μόνοι ταῖς μεγάλαις πράξεσι χρόνον καὶ φθόνον νικήσαντες. ὦ τὴν οἰκουμένην ἅπασαν οὐ στήλαις ἀλλὰ τροπαίοις μετρήσαντες. εἴρηται κἀμοὶ τῆς μὲν ὑποθέσεως ἴσως ἔλαττον· τῶν δὲ πολλῶν οὐκ ἐλάττονα. λείπεται δὲ εὐφήμῳ βοῇ * προσπηδήσαντας πανδημεὶ πάντας τῷ μνήματι, οὕτω τῆς τιμῆς ἀπαλλάττεσθαι.

* ἐγχωρῆσαι. * al. δεῖν. * συγχωρήσαντα.

O Persarum telis animo concidentes. O duobus trophæis classem decem annorum illudentes. Vos eum qui per totum orbem & mare iuit, coëgistis furtim & clementer salutem suá quærere: qui soli ostendistis omnibus hominibus omnes copias virtute posse coërceri. Sed hæc etiam silentio prætereamus, & factæ cum rege pacis recordemur, quæ hanc vrbem omni trophæo illustriorem reddit, & merito. Hoc sæpe fortuna fit, sed illud, regem libenter vrbi cedere spatio itineris equi vnius diei, superiori mari abstinere, intra Chelidoneas, & Cyaneas naues non mittere, quomodo non sinceram vndecumque vrbi gloriam parat? Etenim Atheniensium varia trophæa, & nauales & pedestres pugnas, & qua ratione tyrannidi omnique potentiæ restiterint, alias diuersis temporibus pro hac gente varia certamina recipientes, nec mihi facile est recensere, nec si quis id prius aggressus sit. Quare existimo vnum & idem monumentum coniungi oportere, quemadmodum qui renunciant in stadio victores, sic & huic vrbi secundum legem consecrandum esse. O qui omnem terram & mare quà iter est [victoria &] trophæis, & quà iter non est, gloria & splendore compleuistis, qui soli maximis rebus gestis têpus & inuidiam superastis, qui omnem terram non columnis, sed trophæis dimensi estis. Dixi fortitan minus quam causa exigebat, non tamen minus quam alij plurimi. Reliquum est, vt postquam omnes acclamarint memoriæ, sic omnes discedant.

HIMERIVS.

Ἐκ τοῦ ἀρεοπαγιτικοῦ ἢ ἐλευθερωτικοῦ τοῦ ἐπὶ υἱῷ τῷ Ῥουφίνῳ.

Τὸ Προοίμιον.

ΑΝΔΡΕΣ * οἱ καὶ θεοῖς ὑπὲρ νίκης πάλαι, καὶ νῦν * ἀθηναίοις ὑπὲρ ἐλευθερίας, δικάζοντες. οὐκοῦν τῷ νόμῳ πειθόμενος, τὰ τῆς χρείας μόνης φθέγξομαι ῥήματα. ἐγὼ καὶ σοφιστὴς ἐγενόμην παρ' ὑμῖν καὶ πατήρ. εἰ σοφιστὴς δεξιὸς, ὑμεῖς ἐπίστασθε· (λέγω γὰρ ἀεὶ, καὶ τὴν ἐμὴν πολιτείαν ἔχει τὰ θέατρα) εἰ πατὴρ ἀττικὸς, ἡ παροῦσα δείκνυσι φράσις. οὐ γὰρ ἀνέχομαι τὸν ἀθηναῖον παῖδα μὴ προσαγορεύειν ἐλεύθερον. πιστεύω καὶ πρὸ ἥβης τὴν ἐλευθερίαν τῷ παιδί, ἐμός ἐστιν, ἀθηναῖός ἐστι πόλεως [καὶ] πλέον τιμώσης τὸ κοινὸν γῆρας ἢ * τὸ τῶν πατέρων ἕτερον. οὗτός ἐστιν ἐκ Πλουτάρχου, δι' ὃν πάντας ὑμεῖς παιδεύετε. οὗτος ἐκ Μινουκιανοῦ, τοῦ διὰ τῆς ἑαυτοῦ φωνῆς πολλοὺς πολλάκις ἐλευθερώσαντος. τὸν ἐκ Νικαγόρου προσήγαγον ὑμῖν, τὸν ἐξ * ἐμαυτοῦ. σοφιστῶν ὑμῖν καὶ φιλοσόφων λέγω κατάλογον, ἀττικὸν ὄντως ἐγγυῆσαι. ἀφῆκα πολλάκις τὰς τοῦ σοφιστοῦ φωνάς, νῦν τὰς τοῦ πατρὸς ἀφίημι. δεδώκατέ μοι παῖδα δι' ἀττικοῦ γένους, * λάβετε τοῦτον καὶ διὰ τῆς ὑμετέρας ἐλεύθερον. οὐκοῦν ἄφετέ μοι τῇ ψήφῳ τὸν παῖδα, καὶ φωνὴν ἐλευθέριον συνεπηχήσατε, ἵνα ὡς ἀθηναῖος (ἴσον γὰρ εἰπεῖν ἐλεύθερος) καὶ λέγῃ καὶ γράφῃ παρ' ὑμῖν κἂν οἱ θεοὶ θέλωσι, καὶ πολιτεύηται.

* θεοῖς. * ἀθηναίοις. * al. τὸ. * ἑαυτοῦ. * al. λάβε.

Ex Areopagetica, seu quâ Rufinum filium suum liberali causa manu asserit.

PROOEMIVM.

Viri qui olim de victoriis cum Diis decertabatis, & nunc cum Atheniensibus de libertate. Igitur legibus obtemperans ea solum dico, quæ necessaria: Ego & pater apud vos Sophistæ fuimus, & num argutus fuerim, vos nouistis (hoc enim frequenter vsurpo, & meam institutionem theatra loquuntur) num Atticus pater fuerit, hæc declarat oratio. Nolo enim Atheniensium sobolem liberam non appellare. Libertatem etiam ante pubertatem filio committo. Mens est; Atheniensis est, donum est publicum ciuitati plus cæteris honoratæ. Hic enim est Plutarchi, quo vos omnes magistro vtimini; hic Minuciani, qui sua voce plurimos persæpe liberos fecit, hunc Nicagoræ filium vobis adduximus, & hanc meam prolem. Sophistarum vobis, philosophorúmque recenseo seriem, decus sanè Atticæ. Omisi sæpe Sophistarum nomina, nunc patris omitto. Dedistis filium mihi, quoniam Atheniensis est; accipite iam eundem vestra sententia liberum redditũ: Quare dimittite mihi vestro decreto filium, & dein vocem illam liberalem, seu vindicias secundum libertatem acclamante; vt tanquam Atheniensis (quod est ac si dicerem liber) apud vos & dicat, & scribat, &, si Dij velint, etiam in Repub. honores assequatur.

HIMERIVS.

E funebri laudatione, quam in filium eundem Rufinum habuit.

PROOEMIVM.

QVod iam mortuo Rufino verba facere incipiá, facio iniquè, nisi à numine quodam ad Monodiam dramatis seruatus sim: loquar tamen. Non enim mihi fas est oratione illum non deplorare horum Eloquētiæ studiorum alumnum. Nesciebam itaque infelix pro balneis me tibi sepulchrum, pro domibus bustum, & tumulum, pro diuitijs & voluptate funeralia, quæ hominibus omnium tristissima sunt, erigere. Dixisti, primo nuper ad populum perorans: omnem quæ sub Sole est terram indecoris meis verbis implebo.

Persuasit aliquando Pericles, sed postquam ab * Anaxagora factus esset orator, tu orator è cunabulis exstitisti. Alcibiades totum suggestum occupauit, sed in flore iuuentutis, & ætate adolescentiæ. [at tu etiamnum vberibus & lacte nutritus.]

** Valer. Max. lib. 5. extremo.*

O dolor Æschyli dignus cothurno. Herculem terras peruagari, oportuit & 12. adeo labores subire, vt terrarum orbem veluti virtutis suæ testem relinqueret. Tu vero intra tuos commoratus terminos, egregie factis Herculis columnas nobis superasti. Quod, quæso, numē auream cæsariem familiæ* detondit meæ? quis gloriæ meæ splendorem exstinxit? quænam furia genarum ruborem, blandum iucundúmque vultus tui risum eripuit? Qua ratione, heu me, passus es, ô Liber, è delubris tuis sacrum diripi iuuenem? Commune hoc aduersum te meámque familiam Erinnyes trophæum fixerunt. Cur ei thalamum nuptialem inferiorem non apparaui, quandoquidem superiorem ei Parcæ inuiderunt. Hem, quibus quam tristibus seruatus sum luctuosis sermonibus? Omnia cum orationum argumenta tractarim, vnum luctus semper declinaui: nesciebam enim me meis lamentis seruari. Iam pridem cogitabas tuum hinc discessum, iam pridem aliis, qui poterant, coniiciendum reliquisti, quod hac sorte melior esses. O qui antea ætatis terminos virtutum dotibus transisti, iam vero morte commutasti! qui fraterno amore etiam * Dioscuros superasti. Illi quidem pro Helena bellum gesserunt, raptum tamen prohibuerunt. Tu vero fratris tui germani custos omni muro eras fortior, tu omnibus morbis solo animi robore semper restitisti. Improbus fortasse dæmon, & crudelis ideo tecum contendit, & multis prælijs superatus tandem aliquando clandestinis & fallacibus machinis te prostrauit. Neque vero cessisti ad extrema vsque dæmoni, vt possumus audire, sed corpore licet cesseris, animo non cessisti. Verum strāgulauit ille, perque vim abstulit; tu vero in ipso laqueo animá agebas, amabilem tibi nutricem voce inclamás, donec te omni ope destitutum, sic laqueo conclusit. Nouerat enim quod sæpe victus, patre præsente & iuuante, discesserat. Viceras & obstinatos, immobilésque iudicum animos: & tum primum seuerum illum consessum risisse apparuit. Desiderio tui mētes illas flexisti,

Æschylus. Grald. prouer.

** Virg. IV. Æneid. Nondum ést. Proserpina crinem V. 689. ὁ Euripidis Alcestide. Bacchus an balneis præerat.*

** Castoris & Pollucis.*

Ἐκ τῆς μονῳδίας τῆς εἰς τὸν αὐτοῦ υἱὸν Ῥουφῖνον.

Τὸ Προοίμιον.

ΑΔΙΚΩ μὲν ὅλως φθεγγόμενος Ῥουφίνου κειμένου· πλὴν * εἰ τῷ δαίμονι τετήρημαι πρὸς μόνην τὴν μονῳδίαν τοῦ δράματος. φθέγξομαί γε ὅμως· οὐ γάρ μοι θέμις μὴ καὶ λόγῳ θρηνῆσαι τὸν αὐτὸν τῶν λόγων ἔκγονον. ἠγνόουν δ' ἄρα ὁ δείλαιος ἀντὶ μὲν λουτρῶν ἀνιστάς σοι τάφους· ἀντὶ δὲ οἰκιῶν, τύμβους καὶ χώματα· ἀντὶ δὲ πλούτου καὶ χλιδῆς, ξαγκρότατα δῶρα [τῶν] ἐν ἀνθρώποις ἐντάφια. ἐδημαγώγεις ἄρτι τὰ πρῶτα φθεγγόμενος, * ἀνήρτησο πᾶσαν τὴν ὑφ' ἥλιον τοῖς ἀσήμοις ἔτι κνυζήμασιν. ἐπείσθη Περικλῆς, ἀλλὰ μετ' Ἀναξαγόραν δημηγόρος· σὺ δὲ ἦσθα δημηγόρος ἐκ μέσων σπαργάνων. εἷλεν Ἀλκιβιάδης ὅλον τὸ θέατρον, ἀλλ' ἀκμάζων ἤδη τὴν ὥραν, καὶ τὴν ἡλικίαν μειρακιούμενος· [σὺ δὲ, ἔτι τῷ μαστῷ καὶ τῷ γάλακτι προσκείμενος.] ὦ πάθος τῆς Αἰσχύλου μεγαλοφωνίας ἄξιον. Ἡρακλεῖ μὲν ἐδέησε πολλῆς περιόδου, καὶ τῶν ἄθλων οἶμαι τῶν δώδεκα, ἵνα μάρτυρας [τῆς ἀρετῆς] τὴν ὑφ' ἥλιον πᾶσαν κτήσαιτο. σὺ δὲ εἴσω τοῦ κύκλου μένων, ὑπερέβης τὰς στήλας ἡμῖν τὰς ἡρακλείους τοῖς θαύμασι· τίς ἀπέκειρε δαίμων τῆς ἐμῆς ἑστίας τὸν χρυσοῦν βόστρυχον; τίς τὸν πυρσὸν τῆς ἐμῆς δόξης ἔσβεσε; τίς Ἐριννύων τὸ παρειῶν ἔρευθος, καὶ τὸ τερπνὸν καὶ ἡδὺ μειδίαμα τῶν σῶν προσώπων ἐσύλησεν; οἴμοι, Διόνυσε, πῶς ἠνέγκας ἐκ τῶν σῶν τεμενῶν παῖδα τὸν ἱερὸν ἁρπαζόμενον; κοινὸν ἔστησε κατὰ σοῦ καὶ τῆς ἐμῆς ἑστίας Ἐριννύσι τοῦτο τὸ τρόπαιον. τί δ' οὐχ ἡτοίμαζον αὐτῷ τὸν κάτω θάλαμον, ἐπειδὴ τὰς ἄνω παστάδας Ἐριννύων φθόνος ἐξήρπασεν; οἵαις μονῳδίαις τετήρημαι; πάσας ὑποθέσεις τολμήσας λόγων, μόνους τοὺς θρήνους ἐξέκλινον. ἐλάνθανον δ' ἄρα τοῖς ἐμαυτοῦ θρήνοις τηρούμενος. πόρρωθεν ἄρα * ἐμμελετήσας τὴν ἐνθένδε ἀναχώρησιν· πόρρωθεν ἐδίδους τοῖς δυναμένοις τεκμήρασθαι, ὅτι κρείττων ἄρα ἦσθα τῆς * τῆσδε λήξεως. ὦ πρότερον τοὺς τῆς ἡλικίας ὅρους τῇ τῶν ἀρετῶν κτήσει, νυνὶ δὲ τῷ θανάτῳ * παραμειψάμενος. ὦ φιλαδελφίᾳ νικήσας τὰ Διοσκούρων ἐγκώμια. οἱ μὲν γὰρ [ὑπὲρ] Ἑλένης ἐστράτευον, τὴν δὲ ἁρπαγὴν οὐκ ἐκώλυσαν· σὺ δὲ φύλαξ τῆς αὐταδέλφου ἦσθα παντὸς τείχους ὀχυρώτερος· σὺ δὲ πρὸς πάσας νόσους ἔστης ἀεὶ μόνῳ τῷ τῆς ψυχῆς παρασήματι. ἐφιλονείκησέ σοι διὰ τοῦτο ἴσως ὁ πονηρὸς δαίμων καὶ ἄγριος, καὶ πολλαῖς ἡττηθεὶς μάχαις, ὀψέ ποτε λαθραίῳ καὶ δολερῷ κατέσφηλε μηχανήματι. εἶξας δὲ οὐδὲ ἄχρι τῆς ἐσχάτου, ὡς ἔστιν ἀκούειν, τῷ δαίμονι· ἀλλὰ παραχωρῶν τοῦ σώματος, τοῦ φρονήματος οὐ παρεχώρησας. ἀλλ' ὁ μὲν * εἷλκε καὶ ἐβιάζετο, σὺ δὲ ἐκ μέσου τοῦ βρόχου διετέλεις τὴν φίλην σοι * τηθὴν ἀναφθεγγόμενος· ἕως πάσης σε συμμαχίας ποιήσας ἔρημον, οὕτω προσέσφιγξε τὸν βρόχον. ᾔδει γὰρ ὡς πολλάκις ἡττηθεὶς ἀπῆλθε τοῦ πατρὸς παρόντος καὶ συναγωνιζομένου. ἐνίκησας καὶ τοῦ δικαστηρίου τὸ στεγανόν τι καὶ ἄτρεπτον· ὤφθη τότε μειδιάσαν πρῶτον τὸ σκυθρωπὸν ἀεὶ συνέδριον. εἰς πόθον ψυχὰς ἐκίνησας. ὡς οὐκ

** al. ἐν.*
** ἀνηρτήσω.*
** ἐμελέτησας.*
** τῆσδε.*
** [illegible]*
** ἦγε.*
** τιθήν.*

ἃς οὐκ ἐκίνησαν οὐδὲ θεοὶ δικαζόμενοι. ἀπέκλεισάς μοι τῷ θανάτῳ τὰς τοῦ ἄστεος πύλας, ἀπέκλεισάς μοι τὴν Ἐλευσῖνα. πῶς Ἀθηνᾷ θύσω, ἣ τὴν Γοργόνα κατὰ τοῦ δαίμονος ὑπὲρ σοῦ παιδίον οὐκ ἤγειρε; πῶς τὸν πατρῷον προσκυνήσομαι, πατὴρ ἐπὶ *παιδίῳ λυπούμενος; ὦ τολμηροὶ λόγοι. κεῖται Ῥυφῖνος, ὑμεῖς δὲ ἔτι νεανιεύεσθε; ὦ δυστυχὴς γλῶττα, ἡ πρότερον μὲν ὄργανον Μουσῶν, νῦν δὲ *ἀμούσου δαίμονος. ὦ λάμψας ἑωσφόρου ταχύτερον. ὦ πασῶν μὲν δείξας ἐμοὶ φαιδροτέραν ἡμέραν, ὅτε σε εἶδε πρῶτον [ὁ] ἥλιος, πασῶν δὲ ἀφεγγεστάτην αὖ πάλιν, ἀφ' ἧς τὴν δυστυχῆ καὶ τραγικὴν φήμην κεκόμισμαι. οἵαν τύχην ἀνθ' οἵων ἐλπίδων ὁ δαίμων *μου κατεψήφισται. θρηνῶ νῦν ὃν δεινότερον ἤλπισα *Μινουκιανοῦ φθέγξασθαι, σεμνότερον δὲ Νικαγόρου, Πλουτάρχου δὲ εὐγλωττότερον, Μουσωνίου δὲ φιλοσοφώτερον, Σέξτου δὲ καρτερικώτερον, πάντων δὲ ὁμοῦ τῶν προγόνων λαμπρότερόν τε καὶ *κρεῖττον. αὐτὸς μὲν γὰρ παρεχώρουν ἔτι κομίζοντί σοι τὰ νικητήρια, καὶ τοὺς σοὺς λόγους τῶν ἐμαυτοῦ λόγων ἡγούμην κρείττονας· προὔκρινον τῶν σπουδασμάτων τὰ σὰ ψελλίσματα. ἀλλὰ ταῦτα πάντα ὁμοῦ συλήσας ὁ δαίμων, οἴχεται. ἐμοὶ δὲ ἀφῆκεν ἀντὶ σοῦ θρήνους καὶ δάκρυα. κοσμήσω σε καὶ *ἐπιταφίοις ἀγῶσι, καὶ παραδώσω τῷ χρόνῳ τὸ σὸν ὄνομα, καὶ νικήσομαι τοῦ δαίμονος, κατὰ τοῦτο γοῦν τὸ μέρος, φιλονεικότερος. ἵνα ἔχῃ μὲν ἐκεῖνος τὸ σῶμα, τὴν δὲ ψυχὴν ὁ οὐρανός, τὴν δὲ δόξαν ἅπαντες ἄνθρωποι.

*παιδί. — *ἀμούσου συν. — *μοι. — *Μινουκιανοῦ. — *κρεῖττον. — *Ἐπιταφίοις ἀγῶσι.

Ἐκ τοῦ εἰς Σεβῆρον ἐπιθαλαμίου.

Ἐκ τῆς *Προθεωρίας.

Ἴσως μὲν ἂν τῳ περίεργον εἶναι δόξειε τὸ περὶ τῶν ἐπιθαλαμίων τεχνολογεῖν. ὅπου γὰρ Ὑμέναιος καὶ χοροὶ, καὶ ποιητικῆς αὐτονομίας ἄδεια, τίς ἐνταῦθα τέχνης καιρός; ἐπεὶ δὲ χρὴ τὸν ἐπιστήμονα καὶ ἐν τοῖς τοιούτοις μηδὲν ἄνευ τέχνης ποιεῖν· βραχέα καὶ περὶ τούτων εἰπεῖν ἄξιον. *ἔστω τοίνυν ὁ ἄριστος ἐπιθαλαμίων κανὼν, τὸ τὴν μὲν λέξιν πρὸς τοὺς ποιητὰς ὁρᾷν, τὰ πράγματα [δὲ] πρὸς τὴν χρείαν. τὸ δὲ μέλος πρὸς τὴν ὑπόθεσιν. ὧν εἰ πάντων ὁ λόγος ἐστόχασται, σαφέστερον δείξει τὸ σύγγραμμα.

*Προθεωρίας. — *al. αὖ.

Τὸ Προοίμιον, τοῦ Ἐπιθαλαμίου.

Ἀπόλλωνά φασι, μετὰ τὰς μεγάλας νίκας, ἃς πλήττων τὴν λύραν ἤρατο, καὶ κατὰ παστάδων ἠχῆσαι μέλος γαμήλιον. ἄγει καὶ Ἀφροδίτην, ἐφ' ἅρμα Χαρίτων, καὶ χορὸν Ἐρώτων συμπαίζοντα. καὶ τῶν μὲν ὑακίνθῳ τὰς κόμας σφίγξασα, πλὴν ὅσαι μετώπῳ μερίζονται, τὰς λοιπὰς ταῖς αὔραις ἀφῆκεν ὑποκυμαίνειν, εἰ πλήττοιεν· τῶν δὲ τὰ πτερὰ καὶ τοὺς βοστρύχους χρυσῷ κοσμήσασα πρὸ τοῦ δίφρου *προπέμπει διακονουμένους, καὶ *δᾷδα κινοῦντας μετάρσιον. ἐπεὶ δὲ Πέλοπα οἱ τῆς Ἱπποδαμείας πόθοι Ἔρωτι καὶ Ἀφροδίτῃ λατρεύειν ἔπεισαν, τότε καὶ ὁ Ἀπόλλων τὸν τῶν Νηρηΐδων χορὸν ἀθροίσας, ἵστησι μὲν αὐτοῖς κατ' ἄκρας ἠϊόνος τὸν θάλαμον· κῦμα δὲ ἦν (οἶμαι) ὁ θάλαμος *πορφυροῦν τε καὶ μετάρσιον ὑπὲρ τοῦ λέχους κυρτούμενον, ἵνα παστάδα μιμήσηται. ἦν θεὸς καὶ φύσις: καὶ ὁ μὲν ἐδεῖτο γονῆς, ἡ δὲ τοῦ κυΐσκειν μέλλοντος.

*σκίδν. — *δᾷδας ὄντας. — *πορφυρέω τε.

quas Dij ipsi iudicio disceptantes flectere nequierunt. Occlusisti iam mihi morte portas vrbis, occlusisti Eleusina. Qua ratione Mineruæ sacrificabo, quæ pro te Furiam contra dæmonem illum non excitauit? Quomodo Deum patrium colam pater ob filium contristatus? O audaces sermones! Iacet Rufinus, & vos adhuc floretis? O infelix lingua, Musarum prius instrumentum, nunc vero turpis dæmonis! O qui clarius Lucifero splenduisti! qui lætissimum mihi tum diem ostendisti, cum te primum Sol cōspexit! iam vero rursum tristissimum, quo acerbum illum, & Tragicum nuncium percepi! O qualem casum pro hac spe, ô dæmon mihi destinasti! Defleo iam quem Minuciano vehementiorem, Nicagora grauiorē, Plutarcho eloquētiorem, Musonio sapientiorem, Sexto fortiorem, & omnibus denique superioribus illustriorē melioremque sperauerā Oratorum. Ego ipse victoriam tibi adhuc iuueni concedebam, tuamque orationem mea splendidiorem longe arbitrabar, & balbutiente te de studiorum ratione præiudicaui, sed hęc omnia tibi dæmon auferens effugit, & mihi dolorem lacrymásque pro te reliquit. Ornabo te ludis funebribus, & posteritati nomen tradam tuum, & hac saltem parte dæmonem vincam, vt ille quidem corpus habeat, animam astra, omnes homines famam.

HIMERIVS. — Plutarchus.

Ex Epithalamio ad Seuerum.

Ex Præfatione.

Operæ pretium forsitan visum non fuerit, ante Epithalamia artificiosa dicere. Nam vbi Hymenæus, Chori, Poëticæque libertatis licentia est, quis ibi arti locus? Cum autem in his ipsis sine arte nihil peritum facere oporteat, breuiter de his loqui visum. Sit igitur hæc optima Epithalamiorum norma, considerare verba, vt in Poëticis solet, rem vt in Chria, modulum, pro argumenti ratione. Quibus omnibus si accesserit oratio, apertiorem contextum reddet.

Epithalamij Procemium.

Ferunt Apollinem post clarissimas victorias, quas feriendo lyram ad amauit, ad thalamos coniugale cecinisse melos. Venerem etiam in curru Gratiarum & Amorum chorum colludentem ducit, & crines flore hyacintho constringens, præter eos qui fronte diuiduntur, reliquos vento spargi permittit, forte in lyra illidantur. Horum vero alas & cęsariem auro vestiens, ante currum mittit ministrantes, & altas quatientes faces. Cum vero Pelopi persuasisset amor ∴ Hippodamiæ, vt Cupidini & Veneri seruiret, tum etiam Apollo collecto Nereidum choro, in summo littore illi thalamum statuit, cuius vicem vnda densè agitata, & sublimis in lecti morem flexa, ita vt chorū imitaretur, implebat. Erāt illic Deus & natura: ille quidem fœtu indigebat, hęc vero quę pareret,

Philost. Icones. — Quam iocus circumuolet: & cupido. Horat. Od. 2. & Lamb. — ∴ Pindarus Od. 1. Olymp.

HIMERIVS. Vt autem hæc inchoarentur, omnia omnibus pro thalamo erant. Ex his vtique nuptiis * cœlum, & Sol generata sunt, astrorum cœtus, Lunæ splendor, vterque polus, circum quos primus primarum nuptiarum Dei ortus voluitur. Secundum deinde connubium Oceani, & Tethyos natura [monstrauit] à quibus nati fluuij & lacus, scaturigines, & fontes, putei, omniúmque aquarum caput mare; hinc autem natæ plantæ, & animalia; hinc terra incolitur, hinc pisces assumit mare, hinc alis penetrabilis aër. Postremo vero connubiū ipsum hominem contemplatorem diuinarum, terrenarum vero opificem rerum produxit (hominem enim terræ esse filium, & Atticā partus dolore quasi disruptam tale germen produxisse, ludicra Atticæ venustatis fabula cōfinxit) Quin etiam Venerē ipsam in mari latitantē, fractis partu fluctibus, Soli splendentem eædē nuptiæ exhibuerunt. Si & fluuiorū amores dicere inciperem, magnus se dicendi cāpus offerret. Nam diligere omnes ipsum mare videntur, ideoque in illud citato cursu è fontibus deferri [quasi inter se mutuo vt amicam conantur amplecti.]

Hesiod. in Theogon.

Eccles. 1. 7.

Hoc vero feruet, ac delectatur in morem lecti sinuatum; quasi contra alios fluuios exsultans, quod solo Neptuni amore teneatur: Sic flumina æqualiter orientia, & æqualiter à simili origine deducta, communionem dilexerunt. Fertur olim Olympias Alexandri partu felix, Cabiron mysteria in Samothracia, peragendo, vidisse rem diuinam agens Philippum etiamnū iuuenem, & videndo amore captam, & quasi nuptiarum vota in sacris fecisse. Sponsa autem generis stirpem referebat ad Thraciæ quidem indigenas, sed qui à regibus ortum trahebant. Florent perinde vt verni calices, vt vuæ eiusque argi, quæ vno tempore, & florent, & auelluntur, temperantes ambo, faciles moribus, solis operibus naturalibus à se inuicem seiuncti. Hæc autem Mineruæ lanificium, ille laboribus Mercurij venustatem consecutus est; hæc de radio, ille de sermone sollicitus. Ille quidem adhuc adolescens, primam ætatis lanuginem producit, hæc vero nubilis redditur. Cupidines è rosis corollas nectentes, quas è Veneris decerpunt cum libet, hortis, thalamo suspendunt. Suada, Desiderium, & Cupido, omnem tibi ornatum addiderunt. Cupido insidet oculis, inde mirabiliter resplendens. Desiderium genas rubicundiores reddit, quam rosarum calices natura, quando verno tempore sub initium apertæ summis foliis rubescunt. Suada in labiis suis habitans, gratiam suam cum verbis instillat. In capite plurima efflorescit flaua coma, & in frōte diuisa. Etenim si ego natus poëta essem, vt libere de sponsa loquerer iuxta thalamū consistens, Fortunæ & Cupidinibus, & Generalibus Dijs vota facerem, his vt ad extremum vsque sagittas vibrarēt, illi vt vitam darent: tertijs denique, vt legitimæ prolis generationem largirentur, vt vna cum scypho nuptiali & curam de natalitijs adhiberemus.

Olympia Alexandri mater.

Hesiodus de Pandora.

ἵνα δὴ ταῦτα ἄρξηται), θάλαμος τοῖς πᾶσι τὸ πᾶν ἐγένετο. ἐκ δὲ δὴ τῶν γάμων τούτων οὐρανὸς γεννᾶται καὶ ἥλιος, ἔτι δὲ ἄστρων χορὸς, σελήνης φέγγος, καὶ διπλοῖ πόλοι. περὶ οὓς ἡ πρώτη γένεσις τῶν πρώτων τοῦ θεοῦ γάμων ἐλίττεται. δευτέρους δὴ μετὰ τούτους, γάμους Ὠκεανοῦ καὶ Τηθύος ἡ φύσις [ἔδειξεν] ἀφ᾽ ὧν ἀνίσχουσι μὲν ποταμοὶ καὶ λίμναι, ἔτι δὲ [καὶ] κρῆναι καὶ πηγαὶ, καὶ φρέατα, καὶ ἡ πάντων μήτηρ ναμάτων θάλασσα. τίκτεται δὲ καὶ φυτὰ καὶ ζῶα· καὶ γῆ οἰκεῖται, καὶ τὸ νηχόμενον λαμβάνει θάλαττα· καὶ ἀὴρ ἐφάνη * πτεροπερδίσιμος. τὸν δὲ θεωρὸν μὲν τῶν θείων, ἐργάτην δὲ τῶν ἐπὶ γῆς πραγμάτων ἄνθρωπον ὕστατον ὁ γάμος ἐγέννησε. τὸν γὰρ γῆς παῖδα γενέσθαι ἄνθρωπον, καὶ τὴν ἀττικὴν ῥαγεῖσαν ὠδῖνα τοσοῦτον βλαστῆσαι βλάστημα, μῦθός ἐστιν ἀττικῆς χάριτος παίγνιον. ἔστι καὶ τὴν Ἀφροδίτην αὐτὴν κατὰ θάλασσαν λανθάνουσαν, ῥήξας τῷ τόκῳ τὰ κύματα, ἔδειξεν ἡλίῳ μαρμαίρουσαν. τοὺς δὲ ποταμῶν ἔρωτας εἰ λέγειν ἐθέλοιμι [μυρίους,] μυρίος ἄν ποταμῶν * ἐπιρρέοι ὄχλος τῷ λόγῳ. πάντες γάρ μοι δοκοῦσι θαλάττης ἐρᾶν· καὶ διὰ τοῦτο ἐπ᾽ αὐτὴν ἐκ πηγῶν πολλῷ τῷ τάχει κομίζεσθαι, [ὥσπερ ἄλλος πρὸς ἄλλον τὴν ἐρωμένην θέλων ἀσπάσασθαι.] ὁ δὲ κυμαίνει καὶ τέρπεται πορφύρεόν τε καὶ εἰς παστάδα κυρτούμενος· ὥσπερ (οἶμαι) φρονῶν κατὰ ποταμῶν τῶν ἄλλων, ὅτι δὴ μόνος τοῦ Ποσειδῶνος πόθου πεπίστευται. οὕτω καὶ οὗτοι φύντες ἴσως καὶ ἐκβραφέντες ὁμοίως ἀπ᾽ ἴσων ἁπάντων, τῆς κοινωνίας ἠράσθησαν. λέγεταί ποτε καὶ Ὀλυμπιάδα τὴν ἐπὶ τοῖς Ἀλεξάνδρου τόκοις εὐδαίμονα, ὀργιάζουσαν τὰ καβείρων ἐν Σαμοθρᾴκῃ μυστήρια, ἰδεῖν κατὰ τὴν τελετὴν τὸν Φίλιππον· (ἦν * ὑπηνήτης ἔτι) ἰδοῦσάν τε ἐρασθῆναι τοῦ νεανίσκου, καὶ ὁμολογῆσαι τὸν γάμον· προτέλειά τε ποιησαμένην τοῦ γαμηλίου πυρὸς τὰ μυστήρια. γένος δὲ τῇ νύμφῃ θρᾳκῶν τὰ πρῶτα. αὐτόχθονες (οἶμαι) τινὲς καὶ εἰς βασιλείους τύχας τὰς ἄνω ῥίζας ἀναβιβάζοντες. ἀκμάζουσι μὲν γὰρ ἐπίσης ὥσπερ ἐαριναὶ κάλυκες, ἀφ᾽ ἑνὸς λειμῶνος βότρυες, αἳ καθ᾽ ἕνα καιρὸν καὶ βλαστάνουσιν ἅμα καὶ σχίζονται, σώφρονες ἄμφω, δεξιοὶ τὸν τρόπον, μόνοις τοῖς ἔργοις τοῖς κατὰ φύσιν σχιζόμενοι. ἡ μὲν γὰρ ταλασίαν τὴν Ἀθηνᾶς τέχνην, ὁ δὲ τοῖς πόνοις τὴν Ἑρμοῦ χάριν κεκάρπωται· καὶ τῇ μὲν κερκὶς, τῷ δὲ λόγος μέλει. ὁ μὲν, ὑπηνήτης ἔτι, πρώτιστον τῆς ἡλικίας βλαστήσας ἴουλον· ἡ δὲ ἀκμάζει πρὸς γάμον. Ἔρωτες δὲ ῥόδων στεφάνους πλεξάμενοι, οὓς ἐκ Ἀφροδίτης κήπων, ὅταν θέλωσι, * δρέπονται, τὸν παστάδα πᾶσαν ἀναπτοῦσι. Πειθὼ δὲ καὶ Πόθοι καὶ Ἵμερος τὸ σοὶ κάλλος ἅπαν ἐκόσμησαν. ὁ μὲν, ἐγκαθίζων σοῖς ὄμμασι, κἀκεῖθεν ἐκπυρσεύων ἀμήχανον· οἱ δὲ, τὰς παρειὰς αἰδοῖ φοινίσσοντες πλέον ἢ τὰς τῶν ῥόδων ἡ φύσις κάλυκας, ὅταν ἠριναῖς ὥραις ὑπὸ τῆς ἀκμῆς σχιζόμεναι, πετάλοις * ἄκροις ἐρυθριῶσι. Πειθώ γε κατὰ τῶν χειλέων σκηνώσασα, τὴν ἑαυτῆς χάριν συναποστάζει τοῖς ῥήμασιν. ἐπανθεῖ δὲ τῇ κεφαλῇ πολὺς ὁ βόστρυχος, πορφύρεόν τε καὶ κατὰ μέτωπον σχιζόμενος. ἀλλ᾽ εἰ γὰρ ἐγὼ ποιητικὸς τὴν φύσιν, ὥστε ἀφεῖναι κατὰ τὴν νύμφης γλῶτταν αὐτόνομον, ἐγὼ [δὲ] στὰς παρ᾽ αὐτὸν τὸν θάλαμον, τύχῃ καὶ ἔρωσι γενεθλίοις προσεύξομαι, τοῖς μὲν, τοξεύειν εἰς τέλος· τῇ δὲ, διδόναι βίον· τοῖς δὲ, παίδων γνησίων γένεσιν, ἵνα τῷ γαμηλίῳ κρατῆρι καὶ τὸ γενέθλιον συνάψωμεν.

* οἶμαι περίσεμος.

* βαρύφρονοι.

* ὑπηρέτου.

* δρέπουσαι.

* ἰοῦσι.

Ἐκ τοῦ ἐπιγραφομένου * διαλόγου Διογένης ἢ προπεμπτικός.

ἘΚ ΤΗΣ *ΠΡΟΘΕΩΡΙΑΣ.

Τὰς κοινότητας τῶν ὑποθέσεων ἰδίας αἱ μεταχειρίσεις ἐργάζονται. διὸ καὶ τοὺς προπεμπτικοὺς λόγους, κἂν νέοι τῷ νόμῳ τυγχάνωσιν, ἀλλ' οὖν * ὀξέσι ταῖς τέχναις καὶ πρεσβυτέροις ἐργάσασθαι, ὅπερ ἡμεῖς πεποιήκαμεν. τὴν γὰρ παροῦσαν ὑπόθεσιν εἰς σχῆμα διαλόγου μετασκευάσαντες, οὔτε τῆς χρείας διεφθείραμεν, οὔθ' ὅσον σεμνὸν τοῖς διαλόγοις ὀφείλεται· κατὰ Πλάτωνά γε καὶ ἡμεῖς, ἠθικοῦ τοῦ λόγου τυγχάνοντος, ὅμως φυσικῆς τε καὶ θεολογικῆς θεωρίας, ἐγκαταμιγνύντες ταύτας τοῖς ἠθικοῖς, ἐφαπτόμεθα. καὶ μύθοις δὲ τοὺς θειοτέρους τῶν λόγων τοῦ Πλάτωνος ἐναποκρύπτοντος, χρὴ σκοπεῖν εἰ τὸν τοιοῦτον ζῆλον μετεδιώξαμεν. τὰς δὲ ἄλλας ἀρετὰς τῶν διαλόγων, ἀναπαύλας λέγω καὶ θέσεις, καὶ ἐπεισόδια, ἔτι δὲ χάριτας, καὶ τὸ δι' ὅλου δραματικὸν ἄμεινον εἰ κατωρθώθη δείξει τὸ σύγγραμμα. τῶν δὲ διαλόγων ἀρχομένων ἀπὸ τῆς ἰσχνοτέρας ἰδέας, ἵνα τὴν ἀφέλειαν ὁ τύπος * προσβάλλῃ τῆς λέξεως, ἐν δὲ τοῖς ἐφεξῆς συνεξαιρομένων ὁμοῦ τοῖς πράγμασιν, εἰ καὶ τοῦτο ἡμεῖς τετηρήκαμεν, πάρεστι κρίνειν οἷς τύχη πρὸς ἀκρόασιν τὴν ἀκοὴν * παρεσκεύασεν.

ΑΥΤΟΥ ΤΟΥ ΔΙΑΛΟΓΟΥ τὸ Προοίμιον.

Σιωπῆς μὲν καιρὸς, οὐ λόγων, ὅταν οἱ λόγοι στυγνάζωσι, τοὺς ἑαυτῶν τροφίμους ἀπὸ τῆς ἑαυτῶν ἀγέλης ἐκπέμποντες. ὅμως δὲ (χρὴ γὰρ λέγειν ἐν πάσῃ τύχῃ τοὺς λόγους) φέρε καὶ αὐτὸς, ὃν ἡ φροντὶς ἡ παρατυχοῦσα λόγον ἐγέννησεν, εἰ φίλον ὑμῖν, καὶ πρὸς ὑμᾶς ἀφηγήσομαι. ἑκάτερος τοσούτοις διαστήμασι τῆς ἀρετῆς ἀφεστηκότες ἀλλήλων, ὅσον Εὐρώπης τὰ μέσα πρὸς τοὺς ἄνω μυχοὺς Ἀσίας χωρίζεται, εἰς τὸν τούτου πόθον συνέδραμον, ἑκάτερος προαρπάσαι τὰς πρώτας ὠδῖνας τῆς τούτου γλώττης βουλόμενος· οὐ μιμησάμενος τὸν μυστικὸν νόμον, ὃς ἐπόπτῃ τε καὶ μύστῃ μερίζει τὸν χρόνον, ἀλλὰ τὸν αὐτὸν ἐν ταὐτῷ μύστην τε ὁμοῦ καὶ προφήτην τῆς ἱερᾶς τελετῆς τῶν ἐν σοὶ λόγων δειξάμενος, ἔδωκας ἀπλήστως τῶν ἐκεῖθεν ναμάτων ἐμπλήσασθαι. ἢ οὐκ ἀκήκοας ὡς ὄντες ἄνθρωποι τὸ παλαιὸν οὗτοι οἱ τέττιγες, εἶτα ἔρωτι Μουσῶν, ἐκ τοῦ ᾄδειν ἀεὶ, λυθέντες εἰς μέλος, ἐκ μὲν ἀνθρώπων εἰς ὄρνιθας, ἐκ δὲ ᾠδῆς εἰς ᾠδὴν ἄλλην μετέβαλλον; ἄκουε δὴ τὸν μῦθον. ὅτε τοὺς ἀνθρώπους ὁ Ζεὺς ἐγέννησε, τὰ μὲν ἄλλα πάντα εἶχον ὡς νῦν * κεκόσμηνται, ἔρως δὲ οὔπω ταῖς ψυχαῖς τῶν ἀνθρώπων ἐγκατῴκιστο. ἀλλ' ἔχων ἔτι τὸ πτερὸν ὁ θεὸς [illegible] μετάρσιος, οὐρανῷ τε ἐνωμίλει, καὶ εἰς θεοὺς μόνους ἐτόξευε. δείσας δὲ μὴ αὐτῷ ἀφανισθῇ τῶν ποιημάτων τὸ κάλλιστον, ἔρωτα πέμπει τοῦ τῶν ἀνθρώπων γένους ἐσόμενον φύλακα. ὁ δὲ ταύτην ἐκ Διὸς τὴν ἐπιτροπὴν λαβὼν, τὸ μὲν ἁπάσαις ψυχαῖς ἐγκατοικίζεσθαι, ἢ πᾶν ἐπίσης ἦθος νεοτελές τε καὶ βέβηλον ἔχειν τέμενος, οὐκ ἐδοκίμαζεν· ἀλλὰ τὰς μὲν πολλὰς καὶ ἀγελαίους ψυχὰς τοῖς πανδήμοις ἔρωσι τοῖς τῶν νυμφῶν παισὶ ποιμαίνειν ἀπένειμεν, αὐτὸς δὲ τὰς θείας καὶ οὐρανίας ψυχὰς * εἰσῳκίσατο καὶ ταύτας ἀναβακχεύων ἐπὶ μανίαν ἐρωτικὴν, μυρία ἀγαθὰ τὸ τῶν ἀνθρώπων γένος εἰργάσατο.

E Dialogo inscripto Diogenes, vel Propempticon.
Ex Præfatione.

Faciendum semel est initium in nouo genere argumentorum, quod * præmissæ orationes etsi nouæ sint, non possint artificio vetustatem induere, vt nunc fecimus. Hoc enim argumentum more Dialogi concinnantes, nec vsum nec grauitatem dialogos decentem corrupimus. More Platonis nos id aggredimur, licet moralis sit oratio, tamen Physica, ac Theologica moralibus commiscentes, & videndum est vtrum hoc genus dicendi Platonis qui fabulis res diuinas inuoluit, assecuti simus, & cæteras dialogorum virtutes, inspirationes, inquam, ordines, & episodia; dein & lepores, & actio in genere meliorem ostendit compositionem, si recte successerit. Cum autem dialogi initio humiles sint, vt ipse dicendi character simplicitatem adjiciat, in sequentibus simul & rem auferant; an hoc præstiterimus, aliorum esto iudicium, quibus hæc audire contigerit.

Huius Dialogi proœmium.

Silentij iam tempus est, non loquendi, cum oratio proprios alumnos à grege suo demittens deploret. Verumtamen (nam in omni euentu dicendum est) age & ipse, sustine orationem, quam incidens sollicitudo conflauit, si vobis gratum est, etiam ad vos pronunciabo. Vterque tantis interuallis à capite ab inuicem distantes, quanto media Europæ ab extremis Asiæ locis separantur, in huius amorem concurrerunt, vterque præripere primos partus huius linguæ conatus, non imitatus sacram legem, qui inspectori; & sactis initiato tempus attribuit, sed eundem, & sacerdotem simul, & inspectorem sacræ hostiæ in hac tua oratione esse declarans, dedisti his aquis sine satietate impleri. An non audiuisti quomodo homines illi antè cicadæ fuerint; deinde Musarum amore ob perpetuum cantum in melos soluti, ex hominibus in aues, ex vna cantione in aliam transformati sint? Audi fabulam: Cum Iuppiter homines condidisset, omnia alia eo ornamento fuerunt, quo nunc sunt. Cupido autem nondum animis hominum insidebat, sed habens Deus ille ingentes alas in cœlo habitabat, & in solos Deos tela vibrauit. Metuens autem ne pulcherrima omnium creatura pessum iret, Cupidinem ad homines custodiendos misit. Ille datam à Ioue potestatem arripiens, omnibus scilicet mentibus insidere, vel in omnibus cœlestibus ac * profanis, æque habitare loco templi noluit. Sed multas & gregales mentes amore vulgari sponsatum occupari dedit. Ipse vero Deorum cœlestiumque mentes incoluit, & illas in libidinosam amentiam furore incitans, infinitis bonis humanum genus affecit.

* προπεμπτικοὶ λόγοι Vide Sidonij Apoll. Scholiasten.

Sigonius de Dialogo.

Fabula.

Confer quæ inf. in exord. orat. in aduentum Cypriorum.

* βέβηλον.

HIMERIVS.

Plato in Phaedro, vel Sympos. Alciat. Emblem.

Quando igitur videris tardam quandam naturam, & ad amorem lentam, cogita nunc donis illius cupidinis indignum fuisse: cum vero incitatam & feruidam mentem, & flammæ instar ad amabilem amicitiam ducentem, puta illam à dono Cupidinis venire. Vnum mihi, ô amice Socrates, dicis, amatorum optime, partem virtutis Cliniæ, fortitudinem scilicet in periculis, quam exercitatione sæpe exhibet, interpretem orationum non exspectans. Dat eidem hanc licentiam, quam primo Pericli cum pro vrbe bellum gereret. Hæc est sincera ratio. Si vero hunc videas iudiciaria sede expulsum, implora cum gemitu legem, quia auro victus est. Nam simul florens cum vrbe regia, circum quam ingentia maria separantur, & idem cum ea gloriæ suæ fundamenta iaciens, quamdiu in cunabulis adhuc corpus vrbis fingebatur, alia imperia è regia potestate decreuit. Cum verò indigeret sedula opera tanquam statua perfecta, quam adumbratam prius viderant, eandem potestatem assumpsit, vt idem initium & finem omni ornamento vrbis fecerit. vrbes excitatas, populum crescentem, Tartessi vitam, cornu Amaltheæ, caput omnis felicitatis. Sed quæ est erga hunc iuuenem studij causa? tota mens nuper à supernis sedibus digrediens, infixam adhuc fert speciem simulacrorum illorum, quæ tum vidit, cum hilarem choream cum variis Diis saltauit. Cum igitur viderit illic pulchritudinem, quam tunc vere descripsit, intra mentem diuinam absconditam, desiderat & gaudet hoc spectaculo, & seipsam splendore scientiáque eleuans, cum hoc loco coniungere festinat. Tale quid mihi in adolescente accidit. Nam veluti in speculo huius in animo speciem animi mei apparentem videns, ea sum delectatus, & ideo amaui, & quasi alterum me huius animum quæsiui. Probè potest omnia memoria custodire, quæcunque sub duce gesserit animo Philosophus, orationibus non his modo, sed & omnibus, quæ è Musarum, & Apollinis pratis pullulant. Vnde omnis doctrinæ fructus discerpens tanquam veris corollam, his animum suum ornauit. Si dicere necesse fuerit, ne amplius quæras cuius sit filius, & ad quem pertineat. Sic primam imaginem accuratius quàm quiuis pictor expressit: bonus quidem socius, si cum duce pugnandum sit, bonus etiam sua sponte. * Iustè igitur poëtæ, & cum iis pictores & fictores Cupidini senectutem demunt, iuuenem hunc Deum, & pubescentem fingunt, fraudem illius ætate iuuenili demonstrantes. O qui tantum lingua vales, quantum audio * Cineam Thessalum, qui cum rege Pyrrho omnem terram & mare emensus non machinis, sed oratione vrbes euicit. Non enim ille huius magister per vestros, ô sermones, amores, propter quos ego beatas paternas abiiciens opes, iuxta secretas Ilissi ripas habitaui.

Argentibonius.

** Philostratus & Gyraldus.*

** Cineas Thessalus, Demosthenis auditor. Plutarch. in Pyrrho.*

Alexander.

Alexander totius mundi partium trophæis potitus. Tum enim è meridie confluit æstas, aurora mitigat Solem, & claros in proram fluctus diuidit Zephyro.

ὅταν μὲν οὖν ἴδῃς τινὰ βραδύν τε τὴν φύσιν καὶ πρὸς φιλίαν δυσκίνητον, νόησον ὅτι τῶν ἔρωτος ἐκείνου ξενίων οὐδαμῶς ἐστὶν ἠξίωται. ὅταν δὲ ὀξεῖαν καὶ θερμὴν τὴν γνώμην, καὶ φλογὸς δίκην ἐπ' ἐρωτικὴν φιλίαν * ἄττοντα, νόησον τοῦτον εἶναι ἐκείνου ξένιον τοῦ Ἔρωτος. ἓν γάρ μοι λέγεις, ὦ φίλε Σώκρατες, ἐραστῶν ἄριστε, ἀρετῆς Κλεινίου μόριον, ἀνδρείαν ἐν φόβοις, ἣν καὶ μελέτῃ πολλάκις δίδωσιν, ἐξηγητὴν * λόγον ἀναμείνασα. δίδωσι δ' αὐτῷ τὴν παρρησίαν, ὅπερ καὶ Περικλεῖ πρότερον, ὅτ' ἐστρατήγει τῆς πόλεως. τοῦτο δ' ἐστὶ τρόπος ἄδολος. εἰ δὲ τοῦτον ἴδοις δικαστικῶν θρόνων εἰργόμενον, στέναξον τὸν νόμον, ὅτι χρυσίου νενίκηται. συνακμάσας γὰρ τῇ βασιλέως πόλει, περὶ ἣν τὰ μεγάλα πελάγη σχίζεται, καὶ τὴν αὐτὴν ἐκείνῃ κρηπῖδα τῆς ἑαυτοῦ δόξης * βαλόμενος ἕως μὲν ἐν σπαργάνοις ἔτι τὸ σῶμα τῆς πόλεως ἐπλάττετο, ἑτέρας ἀρχὰς ἐκ βασιλέως * κατηύθυνεν. ἐπεὶ δὲ ἔδει τῆς ἀκριβοῦς χειρὸς, καθάπερ ἐν τύποις ἀγάλματος, [ἴσω αὐτὴν] ἐπάνεισιν, ἵνα αὐτός τε * ἀρχὴ καὶ τέλος γένοιτο τῷ παντὶ κόσμῳ τῆς πόλεως· πόλεις ἐγειρομένας, δήμους ἀκμάζοντας, Ταρτησσοῦ βίον, Ἀμαλθείας κέρας, πᾶν ὅσον εὐδαιμονίας κεφάλαιον. ἀλλὰ τίς τῆς περὶ * τὸν νεανίσκον σπουδῆς αἰτία; ψυχὴ πᾶσα, ἄρτι χωρισθεῖσα τῆς ἄνω λήξεως, ἔναυλον ἔτι φέρει τὴν θέαν τῶν ἀγαλμάτων ἐκείνων, ἃ τότε εἶδεν, ὅτε δὴ δαίμονα χορείαν σὺν θεῶν * δίφρεσιν ἐχόρευεν. ὅταν οὖν ἴδῃ καὶ τῇδε κάλλος, * ὃ τότε πλάσματος αἰδοῦς ἑώρησεν, εἴσω ψυχῆς θείας κρυπτόμενον, * σπαργᾷ τε καὶ χαίρει τῇ θέᾳ, καὶ συμβιβάζειν * ἑαυτὴν πρὸς τὸν ἐκεῖ τόπον ἐπείγεται, δόξῃ τε καὶ ἐπιστήμῃ κουφίσασα. τοιοῦτόν τι πάθος καὶ αὐτὸς περὶ τὸν νέον ἔπαθον. καθάπερ γὰρ ἐν κατόπτρῳ, τῇ τοῦδε ψυχῇ, εἴδωλόν τι τῆς ἐμαυτοῦ γνώμης ἰδὼν φαινόμενον, ἥσθην τε αὐτῷ, καὶ διὰ τοῦτο ἐπόθησα· καὶ καθάπερ ἄλλον ἐμαυτὸν τὴν τοῦδε ψυχὴν ἐξεζήτησα, ἢ * ἐξήσκησα. δεινὸς μὲν οὖν καὶ * μνήμῃ φυλάξαι πᾶν, ὅπερ ἂν ὑφ' ἡγεμόνα ποιήσῃ φιλόσοφος μὲν τὴν γνώμην, τοὺς δὲ λόγους οὐ τούτους μόνον, ἀλλὰ καὶ πᾶν ὅ,τι βούλει τῶν ὅσα Μουσῶν τε καὶ Ἀπόλλωνος λειμῶνες βρύουσιν. ἀφ' ὧν δρεψάμενος ἁπάσης παιδείας λωτὸν, οἷόν τινα στέφανον ἠρινὸν, τὴν ἑαυτοῦ ψυχὴν ἀπείργασται. εἰ μὲν γὰρ λέγειν δεήσειεν, οὐκέτ' ἂν * ζητήσαις ὅτου παῖς εἴη, καὶ ὅτῳ προσήκει; οὕτω πάσης γραφῆς ἀκριβέστερον τὴν εἰκόνα τοῦ καθηγεμόνος μεμίμηται· ἀγαθὸς μὲν συμπαραστάτης, εἴ που * δέοι τῷ καθηγεμόνι συναγωνίζεσθαι· ἀγαθὸς δὲ καὶ * αὐτοπροσώπως. δικαίως ἄρα οἱ ποιηταὶ, καὶ μετ' αὐτῶν γραφεῖς τε καὶ πλάσται Ἔρωτος γῆρας ἀποσυλήσαντες, νέον ποιοῦσι τὸν θεὸν τοῦτον καὶ ἔφηβον, τὰ τῆς ἀπιστίας αὐτοῦ * τῷ νεαρῷ τῆς ἡλικίας * ἐμφαίνοντες. ὦ τοσοῦτον ἰσχύσας τοῖς λόγοις, ὅσον καὶ τὸν Θετταλὸν ἀκούω Κινέαν, ὃς σὺν βασιλεῖ Πύρρῳ γῆν ἐπιὼν πᾶσαν καὶ θάλασσαν, πρὸ τῶν μηχανημάτων τοῖς λόγοις τὰς πόλεις ἔκλινεν. οὐ γὰρ αὐτός γε τούτου διδάσκαλος, οὐ μὰ τοὺς ὑμετέρους, ὦ λόγοι, πόθους· δι' οὓς ἐγὼ πατρικὸν ὄλβον ῥίψας εὐδαίμονα, παρ' Ἰλισσοῦ μυστικαῖς ὄχθαις ἐσκήνωμαι. Ἀλέξανδρος ὁ τοῖς τροπαίοις ὅροις τοῖς * ὅλοις χρησάμενος. τότε γὰρ τῆς μεσημβρίας ὑπορρεῖ θέρος, αὔρα τε πραΰνει τὸν ἥλιον, καὶ σχίσαι Ζεφύρῳ πορφύροντα περὶ τὴν πρῷραν τὰ κύματα.

* ἄττοντα. * λόγων. * βαλλόμενος. * κατεύθυνε. * ἀρχῆς. * τῶν νεανίσκων. * διαφόρους. * ὅτι. * σπαργᾷ. * ἑαυτῇ. * ἐξεζήτησα. * μνήμην. * ζητήσεις. * δέοι τῷ καθηγ. * αὐτοπροσώπως. * τὰ νεαρά. * φαίνοντες. * ὅλου.

Ἐκ τοῦ πρὸς τοὺς ἑταίρους συντακτικοῦ, ὅτε ἐξῄει ἐπὶ Κόρινθον.

Τὸ Προοίμιον.

Οἱ πάλαι τὴν λύραν κάμνοντες, εἴ ποτε γῆν ἐπ᾽ ἄλλην ἠπείγοντο, οὐκ ἄφθογγον τὴν ἀποδημίαν * ἐποίουν, ἀλλ᾽ ᾠδῇ καὶ μέλει τὸν χορὸν τὸν ἑαυτῶν ἀπησπάζοντο.

Ἐκ τῶν ὑπολοίπων, διαφόρων ὄντων, καὶ διαφόρους ἐχόντων ὑποθέσεις.

Τὰς βασιλέως αὐλὰς καὶ χρυσῆν τύχην ὑπόπτερον. οὐ γὰρ ἀφῃρέθης τὴν ἀρχὴν, ἀλλ᾽ ἑκὼν ἔρριψας, ὥσπερ τις ὑπερόπτης κατὰ τὴν παιδικὴν τρυφῆσαι βουλόμενος. τὴν χρυσῆν κόμην * ῥόδων στεφάνῳ πορφύροντι. ἀλλὰ τίς τούτων ἡ χάρις; φυγὴ καὶ δρασμὸς, καὶ τοσαύτης φιλίας ἄρνησις. ἐνίκησα μὲν ὑπό σοι κριτῇ κατὰ τὴν θερινὴν ὥραν τὸν τέττιγα, ἠπείλησα δὲ καὶ ταῖς ἀηδόσι ταῖς ἀττικαῖς, εἴ ποτέ μοι καὶ ἀττικὸν πήξαιο θέατρον, μῦθον ὄντως τὰς ἐκείνων γλώττας ταῖς ἐπί σοι φωναῖς ἀπεργάσασθαι. Ὦ καὶ τὸ σαυτοῦ γένους ὄμμα φανότατον, καὶ ταυτὸν τῷ γένει γενόμενος, ὅπερ καί σοι πολλάκις ὁ προπάτωρ ἥλιος, τὸ γὰρ συνειδὸς ταύτης δὴ τῆς καλῆς, ὁ μὲν καταυγάζοντι τοὺς μεγάλους θρόνους, * ὥς τις ἑωσφόρος συνανίσχει ὄρθριος, ταῖς * αὐτοῦ βολαῖς τὰς σὰς ἀκτῖνας μιμούμενος· ὁ δὲ, τῆς τῶν νέων ἀγέλης ἐκλάμπων, καθάπερ τις ταῦρος ἀγελάρχης ἀγέρωχος ἐσκίρτησε μὲν κατὰ τοὺς μουσῶν λειμῶνας, ὥσπερ τις πῶλος ὑψαυχῶν καὶ ἔνθεος, ἐμιμήσατο δὲ καὶ τὸν ὁμηρικὸν νεανίσκον τὸν Θέτιδος * καὶ μύθων, ῥητῆρ᾽ ἀγαθὸς καὶ * πρηκτῆρ᾽ ἔργων γενόμενος. εἰ δέ μοι καὶ τῆς ποιητῶν ἐξουσίας μετῆν, ἔδειξα ἄν σοι καὶ Ἰλισσὸν τοῦτον δακρύοντα, ἔγραψα δ᾽ ἂν καὶ κατηφεῖ χρώματι τὰ καλὰ Καλλιρρόης νάματα. πέμπει σοι μὲν σε Πὰν ἐνόδιος ποιμενικὸν, καὶ γλυκὺ προσηχοῦν μέλος τῇ σύριγγι. Ἀφροδίτη δὲ καὶ οἱ ταύτης παῖδες ἔρωτες, πόθου κρατῆρα κεράσαντες, σοῦ τὴν ὁδοῦ προπομπεύοιεν.

Προπεμπτικοῦ λόγου. Τὸ προοίμιον.

Ὁ τοῦ Διὸς παῖς Ἀλέξανδρος (συνάπτει γὰρ αὐτὸν οὐρανῷ καὶ Διῒ τὸ πολὺ κλέος καθ᾽ Ἑλλήνων) ὅτε πληρώσας τὴν ἑαυτοῦ δόξης τὴν Εὐρώπην ἅπασαν ἐπὶ τὴν Ἀσίαν ἐστέλλετο, συνάψαι τὰς ἠπείρους τῷ καθ᾽ ἑαυτὸν ἐθέλων θαύματι, τὸν Τιμοθέου προκαλέσας αὐλὸν, (οὕτω γὰρ ἦχει μέγα καὶ τοσούτου βασιλέως ἄξιον) ὑπὸ τοῖς ἐκείνου μέλεσιν * ἔλυε τοῦ στόλου τὰ πείσματα. φέρε δὴ γράψω * τῷ λόγῳ τὸν πίνακα. ἔχει γὰρ (οἶμαι) πρὸς μίμησιν οἷα καὶ λόγος φάρμακα. ναῦς ἦν κατὰ τὴν γραφὴν καὶ θάλαττα. ἡ δὲ θάλαττα (οἶμαι) αἰγαῖος ἦν. αἱ γὰρ πολλαὶ νῆσοι, αἱ κατ᾽ ἄλλο καὶ ἄλλο μέρος τῆς θαλάσσης σχιζόμεναι, αἰγαῖος ὑπὲρ αὐτῶν ἐδείκνυτο εἶναι ἡ θάλαττα. γέγραπται δὲ οὐκ ἀπλῶς * τι καὶ ἄγριος, οὐδὲ εἰς αὐτὰς αἰρομένη νεφέλας τὰ κύματα, οἷα τὰ πολλὰ αἰγαίοις κατὰ τῶν ἐκεῖ πλωτήρων θρασύνεται· ἀλλ᾽ ἐστόρεσο μὲν εἰς γαλήνην τὰ κύματα, τὸ δὲ ὕδωρ ὅλον ἐπόρφυρε πρὸς ταῖς * ἠϊόσιν, εἰς γλαυκὸν εἶδος ἠρέμα μεθισταμένου τοῦ κύματος· πρῶτοι γὰρ Φρύγες αἰτίαν ἔχουσιν αὐλῷ τε ἐμπνεῦσαι, καὶ ταῖς τελεταῖς ἀναμίξαι τὰ * κύμβαλα.

* ἐποίουν. * ῥόδων. * ἑωσφόρος. * αὐτοῦ. * πρηκτῆρ. * γλυκὺ προσηχοῦν. * Τιμοθέου. * ἔλυε. * γράψω. * al. τι ἦ. * ἠϊόσιν. * κύμβαλα.

Ex oratione ad Socios dum iret Corinthum.

PROOEMIVM.

Veteres lyram fabricantes, si quando in aliam terram properarent, peregrinationem non vacantem Musica faciebant, sed cantu, & carmine chorum suum retinuerunt.

Ex orationibus reliquis diuersis diuersorum argumentorum.

O Aulam regiam, & fortunam auri alatam! Non vi è regno eiectus es, sed libenter excidisti, non secus quàm si superbus quis in puerilibus voluptatem capere contenderet. Auream cæsariem permutasti iubente corona rosarum. Sed quænam horum gratia rependitur? fuga & cursus, & tantæ amicitiæ renunciatio. Vici, te iudice, æstatis tempore cicadam, minatus etiam sum philomelis Atticis, si quando mihi etiam Atticum Theatrum statueris, me omnino hac voce effecturum penes te, vt eorum linguæ instar fabulæ sint. O tui stemmatis lumen clarissimum, idq; sæpe generi tuo exstitisti, quod sæpius auus tibi sol. Etenim ex hac pulchra coniunctione, hic quidem altiores sedes illustranti, quasi matutinus aliquis lucifer consurrexit, suis repercussionibus radios suos imitatus. Ille verò iuuenum cœtum illustrans, vt taurus aliquis ductor, armenti petulcus, lasciuiit in Musarum pratis, vt pullus Lunaticus, & numine plenus, & Homericum iuuenem Thetidis * filiũ, & hæc verba, *Bonus orator actorque rerum*, imitatus est. Si ad me poëtarum licentia pertineret, ostendissem tibi & Ilissum hunc lacrymantem, depinxissem tristi colore pulchram Callirrhoës vndam. * Triuialis Pan te euocatorem animarum, dulce fistula carmen personans deduceret. Venus verò, & huius filij Cupidines, desiderij tibi miscētes potum, viam tuam honorificè comitarentur.

Ex oratione propemptica.

PROOEMIVM.

Alexander filius Iouis (comparat enim illum cœlo & Ioui rerum gestarum cōtra Græcos gloria) cùm Europam nominis sui fama impleslet, in Asiam se conuertit, continentem suis propriis adnitens gestis coniungere, Timothei prouocans tibiam (nam adeo magnũ & tali rege dignum canebat) vt illo canēte soluerit nauium rudētes. Fer tabulam, & ego orationes pingam. Nam habet etiam oratio, vt puto, non ineptos ad imitandum colores. Erat in pictura nauis, & mare, & vt existimo, Ægæum fui. Multę enim insulæ hinc, & illinc sparsę in mari erant, vt Ægæum ante alia inprimis mare esse videretur, pictum erat non violentum, aut terribile, neque vsque eleuans fluctus, qualia contra naturas illic audet sæpius Ægæum, sed tranquillè strati erāt fluctus, omnis aqua in littoribus voluebatur, in luteum colorem parum mutata vnda. Primi Phryges tibiam inflare inuenerunt, & sacrificiis adhibere cymbala.

HIMERIVS. * Achilleus. * ἐνόδιος Gerald. Alexander Magnus. Timotheus. Ægæum mare.

HIMERIVS.

Hoc verò contra vtramque nauis partem in proram iam attritum, tanquam auream materiam reddebat. Hic verò & artem admirari æquum est. Aqua enim marina diuisa circa proram, auri repercussionibus splenduit, & in similem colorem mutasse mare videbatur. Proinde date mihi artificium Zeuxidis, & Parrhasij scientiam. Delphi igitur vrbs dicata Apollini, colit semper hunc Deum, & tripudiant adhibito * pæane circum Tripodem. Quin etiam Elei lacrimantur, amnem *. Pisæum ad Siculum vsque fontem comitantes, quasi metuentes, ne amnis decessum meditans, aliis hominibus aquam largiatur. Celeriter & philomela & cygni, omnisque cantus simul volabunt. Nostræ enim Musæ iam nauiculam audent compingere, & fugam minantur & mare, licet fluctibus sæuiat. Abiiciens è manibus lyram, silentium cantionum suadebit. Nauis prætoria in portubus, velum supremum sublime, quale radiis claris & maritimis extendi solet. Parua in gratiam Hesperidum prata, paruæ ad magnitudinem pyramides Ægyptiæ, & si quid Persarum & Assyriorum manus conficientes posteris spectandum tradiderunt. Sed ad amicas Athenas hæc classis, quæ suis adeò te amoribus incenderunt, vt amorem erga hanc linguam semper circumferas. Quid autem responsum communis omnium statuæ apud alias habitaturæ denegas? Fabula Cimmeriis populis occidentalibus Solem eripuit, sed metuens, ne redargueretur, obscuris verbis tegere rumorem adnixa est. Nos verò nullus poëta mentiri putauerit, post tuam peregrinationem auferre Solem cupiens, ô amica patria. Nunc tibi iniuriam intulisse me sentio, tuos amores despiciens, infido amatori omnia cupiens largiri. Sed parum horum legem secutus, ad inhonestatem orationem conuerti, licet mihi desiderium Dij impleuerint. Iterum enim sceptra, iterum iudicij sedes. Hoc Ephyra attulit, vrbs non solùm ad admirationem fabulis illustrata, vt pleræque omnes Græciæ, sed etiam iudicanti oculo felicitatem adferens. Sic huius gens infinitis orationibus, operibus & similibus exsultat. Recordandum est huius iam gentis: non tamen totius: (non omnia narrare, magno mihi oneri esset) vnum ex iis qui ab illis nuptiis progeniti sunt, assimilabo sapientiam animæ statuis. * Sinus Ionicus alluens mitigat littus fluctu, iuxta hanc oram tripudiat Nereidum chorus, omnes albæ, lac quale fieret arte pastorum, oculis glaucis, ornatæ musco, præterea albam spumam è mari summis stillantes crinibus. Illa vicissim sponsum amabat, & arrhabone nuptias confirmat. Producit enim medio mari fontem. Hæc vero sciens hoc beneficium à sponsa profectum esse, aliis nautis vndam eripit, solis verò his reseruat amabilem potum, vt hauriant qui è sponsa sunt, quod etiam contra virtutem factum est. Promptus ad discendum illi est animus, celer ad intelligendum, memoria innata, prompta est ad dicendum,

Delphi.

*: Proclus sup. in Chrestomathia.

*. an Alpheum fl.

Ephyra Vrbs.

* Homer. Od.

τὸ δ' ἐπὶ * θάτερα τῆς νεὼς μέρος εἰς πρῷραν ἤδη θλιβόμενον, χρυσοῦν * τῆς ὕλης πεποίηκε. ἔνθα καὶ θαυμάσαι * τὴν τέχνην ἄξιον. τὸ γὰρ περὶ τὴν πρῷραν τῆς θαλάσσης ὕδωρ σχιζόμενον, ταῖς τοῦ χρυσοῦ βολαῖς ἐπαυγάζον, εἰς ὅμοιον αὐτῷ ἀμείβειν ἐδόκει τὴν θάλασσαν. αἰτοῦμαι δότε μοι τὴν Ζεύξιδος τέχνην, τὰ Παρρασίου σοφίσματα. Δελφοὶ δὲ ἄρα * ἱερὰ πόλις Ἀπόλλωνος, λατρεύουσι μὲν ἀεὶ τῷ θεῷ, καὶ περιχορεύουσι μετὰ παιᾶνος τὸν τρίποδα. καὶ μὴν καὶ Ἠλεῖοι δακρύουσι, τὸν ποταμὸν τὸν Πισαῖον ἐπὶ τὴν Σικελικὴν κρήνην παραπέμποντες. ὥσπερ (οἶμαι) τοῦτο φοβούμενοι, μὴ μελετῶν τὴν ἀποδημίαν ὁ ποταμὸς, ἄλλοις ἀνθρώποις χαρίσηται τὰ νάματα. τάχα δέ σοι καὶ ἀηδόνες καὶ κύκνοι καὶ πάντα τὰ μέλη συναποπτήσεται. αἱ μὲν γὰρ ἡμέτεραι μοῦσαι φυγὴν, καὶ * σκάφην ἤδη τολμῶσι πήγνυσθαι, καὶ ἀπειλοῦσι φυγὴν, καὶ θάλατταν, κἂν ἀγριαίνῃ τοῖς κύμασι. ῥίψας ἐκ τῶν χειρῶν τὴν λύραν, σιωπὴν τῶν μελῶν καταψηφίζεται. ναῦς ἐν ὅρμοις στρατηγὶς, ἱστίον ὑψηλὸν μετάρσιον, οἷον καὶ λαμπραῖς αὐγαῖς καὶ πελαγίοις πετάννυσθαι. μικροὶ μὲν εἰς χάριν Ἑσπερίδων λειμῶνες, μικραὶ δὲ εἰς μέγεθος πυραμίδες αἰγύπτιαι, καὶ εἴ τι Περσῶν καὶ Ἀσσυρίων χεῖρες * πονήσασαι θαῦμα ἀφῆκαν τοῖς ὕστερον. ἀλλ' ἐπὶ τὰς φίλας Ἀθήνας ὁ στόλος, αἵ σε τοῖς πόθοις οὕτως ἐξέκαυσαν, ὡς καὶ ἐπ' αὐτῆς περιφέρειν γλώττης τὸν ἔρωτα. τί δὲ ὀκνεῖς τὴν ἀπόκρισιν τοῦ κοινοῦ πάντων ἀγάλματος μετασκηνοῦν παρ' ἑτέροις μέλλοντος; Κιμμερίοις μὲν δὴ δήμοις ἑσπερίοις ἀφείλετο μῦθος τὸν ἥλιον, εἶτα φοβηθεὶς τὸν ἔλεγχον, ἀμφιβόλοις ῥήμασι κρύψαι τὴν φήμην ἐσπούδασεν. ἡμᾶς δὲ οὐδεὶς ποιητὴς ψεύδεσθαι δόξει μετὰ τὴν σὴν ἀποδημίαν ἀφελέσθαι θέλων τὸν ἥλιον. ὦ φίλη πατρὶς, νῦν σε ὄντως ἀδικήσας αἰσθάνομαι, τοὺς σοὺς ὑπεριδὼν ἔρωτας, ἐραστῇ θέλων ἀπίστῳ πάντα χαρίσασθαι. ἀλλὰ μικροῦ τῷ νόμῳ τῷ περὶ τούτων ἑπόμενος, εἰς ἀκοσμίαν τὸν λόγον ἔτρεψα· καίτοι μοι τῶν θεῶν πληρωσάντων τὸν πόθον. πάλιν γὰρ σκῆπτρα, πάλιν τὰ δίκης οἱ θρόνοι. τοῦτον Ἐφύρα μὲν ἤνεγκε, πόλις οὐ μόνον καλλωπιζομένη μύθοις πρὸς τὸ θαυμάζεσθαι, οἷα τῶν Ἑλληνίδων αἱ πλείονες, ἀλλ' ὀφθαλμοῖς κριτῇ τὴν εὐδαιμονίαν * προβάλλουσα. οὕτω καὶ τὸ τούτου γένος μυρίοις μὲν λόγοις, μυρίοις δὲ ἔργοις καὶ παραπλησίοις ἀγάλλεται. μνηστέον ἤδη καὶ αὐτοῦ τοῦ γένους, οὐ παντός. κἀμοὶ γὰρ ἂν (οἶμαι) καὶ ἱστορία τοσοῦτον πλῆθος φροντίζουσα. οἱ ἀπ' ἐκείνων τῶν γάμων ἀποβλαστήσαντες, * εἰκώ τινα τῆς ἐκείνου σοφίας τοῖς τῆς ψυχῆς * φέρων ἀγάλμασι. προσκλύζων κόλπος Ἰόνιος λεαίνει τὴν θῖνα τῷ κύματι. κατὰ δὲ ταύτης τῆς ἠϊόνος χορὸς νηρηΐδων * ἐχόρευε, λευκαὶ πᾶσαι, γάλα αὐτό, οἷον ἂν ἐκεῖνο γένοιτο τέχναις ποιμένων ἱστάμενον. γλαυκαὶ τὸ ὄμμα, κομῶσαι τῷ βρύῳ, ἔτι λευκὸν ἐκ τῆς θαλάττης ἀφρὸν ἐξ ἄκρων πλοκάμων * βαστάζουσαι. ἡ δὲ ἀντερᾷ τοῦ νυμφίου, καὶ * δώρῳ πιστοῦται τὸν γάμον· ἀναδίδωσι γὰρ ἐκ μέσης θαλάσσης πηγήν. ὁ δὲ, ὥσπερ ἐπιστάμενος τὴν χάριν ὑπὸ τῆς νύμφης ἐγγύετο, κλέπτει μὲν τοῖς ἄλλοις πλωτῆρσι τὰ νάματα, μόνοις δὲ τηρεῖ τοῖς ἐκ τῆς νύμφης τὴν πότιμον φιλοτησίαν ἀρύσασθαι. ἔστιν καὶ κατὰ τῆς ἀρετῆς ἀνύμνηται. εὐμαθὴς * ἐστὶ ψυχὴ, ταχεῖα συνέσιν, μνήμη συμφυὴς, ἑτοίμως πρὸς λόγους,

δεινὴ

* θάτερον.

* τῆς ὕλης.

* τὴν τέχνην.

[illegible]

* ἀράσσει.

* σκάφος.

* πονήσασθαι.

Ephyra Vrbs.

* προβάλλουσα

* εἰκόνα.

* φέρον.

* ἐχόρευον.

* βαστάζουσαι.

* δῶρον.

* ἑτοίμη.

δεινὴ μὲν κρύπτειν, κρείττων λανθάνειν. σοφώτερον δὲ τοῦτο καὶ ἅμα θεοῖς προσφιλέστερον. δεινότερος δὲ φωρᾶσαι τὸν ἐντυχόντα, κρείττων ἡδονῆς, ἥττων φιλίας· ἄκρα σοφίαν, δεινὸς εἰπεῖν, ἀνάλωτος φιλίᾳ. γενναῖος ἐν φόβοις, ὑψηλὸς ἰδιώτης, ἄρχων ἐπιεικής. τὸν μὲν ἰδιώτην ἀποσεμνύνων φρονήματι, λόγῳ δὲ πραΰνων τὸ τῆς ἐξουσίας αὐθέκαστον. ἀλλὰ μὴν καὶ τὴν τύχην ἴδοις ἂν ὥσπερ ἐξ οὐσίας τὸν τοῦδε βίον συμπαραπέμπουσαν. πρεσβύτης τις ἦν σεμνὸς ἰδεῖν, ἀρχαῖος τὸν βίον, τὸν λόγον ὅμοιος, σοφὸς εἰπεῖν, ἀμείνων ἀκοῦσαι· τὰ πάντα γενναῖος. πλήρης δὲ ὢν ἤδη τῶν κλέους, καὶ πᾶσαν εἰς ἑαυτὸν ἐπιστρέφων τὴν ἑλλάδα, διαβαίνει καὶ εἰς βασιλέα τῷ θαύματι, πρὶν ὑπηνήτης γενέσθαι, πρὶν καθερπύσαι τὸν πρῶτον ἴουλον. ποιητοῦ δὲ ἄρα ἦν ἐνταῦθα τοῦ λόγου· ῥόδοις μὲν ἀναπλέξαι τὸν στέφανον, ἄγειν δὲ ἐξ ἑλικῶνος τὰς μούσας περὶ τὴν πόλιν ἐκείνην, ἣν ἀπὸ γαδείρων βραχεῖα λήγουσα πορθμῷ θαλάσσης πρὸς τὴν ἀσίαν μερίζει. ἤλασεν ἐπὶ καὶ κατ᾽ ἴστρου, καὶ ποταμὸν οὐκ ἔδεισε βάρβαρον κρυστάλλῳ πεδία μιμούμενον. ἐπεὶ δὲ θεὸς πρὸς πᾶσαν αὐτοῦ ἀρετὴν ἀκριβῶσαι βουλόμενος, καὶ ἀπεναντίας ποτὲ τὸ πνεῦμα τῆς τύχης ἔστησεν, ἵν᾽ οἷος ἦ, πλοῦτος τὴν γνώμην καὶ ἐν τρικυμίαις πραγμάτων καὶ χειμῶνι βίου, δειχθείη τοῖς πᾶσι, καὶ κατ᾽ αὐτὸ τὸ μέρος εὐδοκιμήσῃ. τίς ἐνταῦθα ποιητὴς ἢ λόγων συνθέτης φωνὴν ἀξίαν τοῖς ὑπ᾽ ἐκείνου τούτῳ κατειργασμένοις συμβάλλοιτο; οὐδὲ σικελικήν τινα σκύλλαν, καὶ χάρυβδιν, ἀνδρῶν δὲ ἀπανθρώπων ὑπὲρ τὸν ἄγριον ἐκεῖνον τὸν σικελικὸν τὸν ποιμένα τὸν Κύκλωπα, μυρίας ἐπ᾽ αὐτὸν κινηθείσας φάλαγγας οὐκ ἀγχεμάχοις ὅπλοις, οὐδὲ ξυστοῖς τε καὶ δόρασιν, ἀλλὰ φρονήσει καὶ λόγῳ κατὰ γῆς ἁπάσης ἐτρέψατο. ὁ δὲ δὴ τῶν τελχίνων τε ἡγεμὼν καὶ κορυφαῖος καλούμενος, πληγὴν καιρίαν δεξάμενος, στένει δακρύων τὸν πόλεμον. ἀσία πᾶσα, οὐχ ἣν νῦν οὕτω προσαγορεύομεν τὴν τῆς ὅλης ἐπωνυμίαν ἠπείρου τῷ μέρει μόνῳ τιθέμενοι. ἄρχεται μὲν ἄνω ἰνδῶν εἴσω, πρὸς μὲν ἕω καὶ ἄρκτον, ἐρυθρᾷ κόλπῳ καὶ φάσιδι, πρὸς δὲ μεσημβρίαν καὶ ἀπόντα ἥλιον, αἰγύπτῳ τε καὶ τῷ ἰονίῳ πελάγει, πρὸς τὰς ἄλλας ἠπείρους ἀποσχιζομένη καὶ λήγουσα. παρατείνει δὲ αὐτὴν ἐκ προποντίδος εἰς παμφυλίαν πλευρὰ παρείκουσα, ἣν αἰγαῖος προσκλύζει σύμπασαν, ἐκ μιᾶς καὶ αὐτὸς ἀρχῆς τῇ πλευρᾷ ταύτῃ τικτόμενος. οἵ τε ἐνοικοῦντες τὰς πόλεις ἄνθρωποι οὐ τῷ τέττιγι καὶ τῷ χιτῶνι τοὺς προπάτορας, ἀλλ᾽ ἀρετῇ καὶ σοφίᾳ καθαρῶς δή που δεικνύουσιν. ὅθεν (οἶμαι) καὶ τὸ ἀρχαῖον ἐγένοντο. ὁ γὰρ δὴ Μέλης οὗτος (οὐ γὰρ δὴ θέμις σιωπῇ παρελθεῖν γλῶσσαν τοσαύτην γεννήσαντα) ἀνίσχει μὲν ἐκ προαστείων τῆς σμύρνης, τίκτουσι δὲ αὐτὸν μυρίαι πηγαί, καὶ πλησίον ἀλλήλων βλαστάνουσαι. ἀφ᾽ ὧν πλημμύρων ὁ ποταμὸς πελαγίζει τε εὐθὺς, καὶ ἐκ πηγῶν ἔκπλους καὶ ὁλκάσι καὶ κώπῃ γίνεται. παραμείψας δὲ τὰς ἑκατέρωθεν ὄχθας, κυπαρίττῳ κομώσας καὶ δόνακι, τῇ πλησίον θαλάσσῃ κοινοῦται τὸ ῥεῦμα· εἰ ῥεῦμα θέμις ἐκεῖνο καλεῖν· οὐ γὰρ ἠχοῦντος ἀκούσῃ, οὐδὲ δόξειεν ἄν σοι τὸ ὕδωρ φέρεσθαι. ἀλλ᾽ ὥσπερ τις ἐραστὴς παιδικῶν συνουσίαν κλέψαι βουλόμενος, λάθρᾳ τῇ θαλάττῃ κεράννυται, λεαίνων τὸ κῦμα τῷ ῥεύματι.

ad tegendum idonea, ad latendum paratior. Hoc sapientius, simulque Diis gratius: Aptior verò ad obuium deprehendendum, voluptate fortior, amicitia inferior, per sapientiam summa, apta ad dicendum, inexpugnabilis amicitia, strenuus in timore, cum priuatus est summus, cùm in magistratu æquus. Priuatum honestans consilio, eloquentia imperij seueritatem mitigans. Quin etiam fortunam videas, quasi huius vitæ rationem propter felicitatem auersantem. Legatus fuit in animaduertendo serius, vita, vt etiam in oratione, grandis: ad dicendum sapiens, ad audiendum instructior, in omnibus egregius. Plenus laude iam, & omnem in se Græciam conuertens, suis facinoribus ad regiam dignitatem ascendit, priusquam pullularet barba, primáque lanugo tonderetur. Hæc poëtarum instar fecit oratio, rosis nectere coronam, ducere circum vrbem hanc ex Helicone Musas, quam Europa extrema exiguo freto à Gadibus vsque Asiam extendit. Ad Istrum se conuertit, nec veritus est flumen barbarum glacie in morem campi constratum. Cùm verò Deus omnem illam virtutem explorare voluisset, & aduersæ aliquando fortunæ ventum constituit, vt qualis esset, talis opinione, & in rerum fluctibus vitæque tempestate omnibus videretur, & in hac etiam parte celebraretur. Quis poëta, vel orandi peritus voce digna explicet ea, quæ ille fecit? Nec Siciliæ aliquam Scillam & Charybdim strauit, sed virorum etiam Cyclope illo pastore Siculo crudeliorum, mille contra se motas acies, non consertis manibus, nec telis, aut hastis, sed prudentia & oratione vbique terrarum subegit. Hic verò Telchinum dux, & Coryphæus nuncupatus, lethali accepto vulnere, bellum gemens deplorat. Vniuersa Asia non quam sic nunc appellamus, attribuentes huic soli parti totius continentis nomen, incipit ab Indis superioribus, ad Orientem verò & Septentrionem, rubro mari & Phaside, ad Meridiem & Occasum Ægypto & mari Ionio, ad alias terras diuisa & terminata: extenditur verò deducto latere à Propontide in Pamphyliam, quam Ægæum ex vno initio etiam hoc latere oriens, totam alluit. At homines vrbes incolentes non cicada aut tunica maiores suos vnde eos olim genitos puto, sed virtute & sapientia manifestè ostendunt. Meles enim ille (non enim par est huius linguæ auctorem silentio præterire) ortus est in suburbiis Smyrnæis, produxerunt eundem varij fontes, non procul à se inuicem scaturientes, vnde statim flumen profluens exæstuat, & è fontibus oneratiis remisque enauigabile redditur. Pertransiens verò vtrasque ripas, cypresso, & arundinibus vernans, & iuxta mare fluctus communicat. Si fluxus illos fas est nominare. Non enim sonantem audieris, neque aquam ferri putaris. Verùm, vt Amasius quispiam cupiens amatæ concubitum occultare, furtim mari miscetur, fluctum fluxu mitigans.

Gades ad columnas Herculis.

Asia maior & minor.

HIMERIVS. mutare lucro. Si quis vero commilitonũ huius vrbis donis à rege acceptis, ciuitatis decretum soluere aggrederetur, vel societatem frangere auderet, nũquid irasceremini, & pœnam à soluere volentibus quæ decreuistis sumeretis? Equidem omnino sentio. An vero cum aliis vestra decreta frangere non permisistis, hoc vos fecisse videbimini? Et in quibus alio faciente supplicium non omitteretis, in iis vos vltro delinquere cognoscemini? Porro autem cauendum est, ne omnia, & reuera mala, & quæ mala putantur agamus, ea autem cauenda sunt magis de quibus alium antea accusauit. Nam de quibus quis semel vt malis cóquestus fuisse deprehenditur, & iterum eadem facere conuincitur, & inimicus, & sceleratus est: sceleratus quidem ea faciendo, quæ facere non oportebat: inimicus vero, cum iis illos prohibere nititur, quæ, licet verbo odisse appareat, operibus tamẽ diligere videatur. Dic, si lubet, legislatorum verba, numera deinde, si cupias, ciuitatis trophæa. Nam omnia ciuitatis facinora bene gesta militares leges appello. Quid iam omnibus his effectum est? non pacisci scilicet cum Barbaris, gentem alienam execrari, implacabile bellum cum hostibus existimare: & sane merito. Quos enim naturales hostes arbitrabantur, ab his aliquid detrimenti semper exspectantes, lege cohibuerunt, ne quid mali paterentur, maximum vrbis præsidium eorum infidelitatem existimantes. Solent enim scelerati homines, & lucro dediti specie amicitiæ lucrari plura, quam tũc cum aperte bellum denunciant. Atheniensium statuta Pythia oracula nuncupo. Persa non vno tempore aut vno momento, neque hoc modo belli tempore hostis noster, sed omni vrbis nostræ vita, non Platæas modo diruit, & populum vltro ad bellum pro libertate susceptum exterminauit. Non enim hæc animo volente, quæ Rex aduersa habuit, illum crimine liberare debemus, sed ea reputantes, quæ victor fecisset, eandem illi pœnam irrogare oportet. Neque iustum est eadem nos victores perpeti, quæ ab iisdem victi subiissemus. Hic vero statim antequam hostes induceret, à quibus circumuenti erant, irrumpens, & vindictam exigens, neque tempus defendendi sui illis dedit, & magnam sibi, ne quid pateretur, securitatem attulit, & quibus semel irrupit, his in posterum à victis omnem accessionem circumscripsit. Dona, inquiunt, populo misit Rex. Cyrsili mihi verba dicis, & mali nuncij successor es. Et hæc ausus es Athenis dicere, vbi & alterum id prius dicentem sepeliuimus. Cum vero ignoremus quo modo naualis pugna iudicanda sit, non sane honestum est, ob quæ studia laudati videmur, & in quibus nati sumus, iam ea hoc consilio obliterare. Nam quibus initio exigua virtutis cura est, non magna his pereuntibus iactura fit: quibus vero virtutis tanta ac talia statuta sunt exempla, si priorem gloriam posterioribus actionibus repudiasse arguantur.

ἀλλάττεσθαι τὴν ἀδοξίαν φαινόμεθα: εἰ δέ τις τῶν συμμάχων τῆς πόλεως δωρεὰν παρὰ βασιλέως δεξάμενος, λύειν ἐπεχείρει τὸ δόγμα τῆς πόλεως, ἢ καταλύειν τὴν συμμαχίαν ἐπλημμέλει· ἆρ᾽ οὐκ ἂν ὠργίζεσθε, καὶ δίκην ἀπῃτήσατε παρὰ τῶν ἀναιρεῖν ἐπιχειρούντων ἃ κεκυρώκατε; ἐγὼ μὲν ἀκριβῶς οἶμαι. εἶθ᾽ ἑτέροις οὐ τι λῦσαι τῶν ὑμετέρων οὐ συγχωρήσαντες, αὐτοὶ τοῦτο ποιοῦντες ὀφθήσεσθε; καὶ ἐφ᾽ οἷς ἄλλου πράξαντος οὐκ * αἰσχυνεῖσθε τὸ μὴ καὶ δίκας εἰσπράξασθαι, ταῦτα ἑκόντες αὐτοὶ πλημμελεῖν δόξετε; καὶ μὴν ἅπαντα μὲν εὐλαβητέον ἐργάζεσθαι τὰ καὶ ὄντα πονηρὰ καὶ νομιζόμενα· ἐκεῖνα δὲ πλεῖον, ὧν αὐτός τις φθάσας κατέγνωκεν. ἐφ᾽ οἷς γάρ τις ἀγανακτῶν ὡς φαύλοις ἐπιδείκνυται, εἶτα αὐτὰ πράττων ἁλίσκοιτο, φιλαπεχθήμων ὁμοῦ καὶ πονηρός. πονηρὸς μέν, οἷς ἃ μὴ χρὴ πράττων ἐλέγχεται· φιλαπεχθήμων δέ, ὅτι τούτων τοὺς πλησίον * εἴργειν ζητεῖ, ἃ τῷ λόγῳ μισεῖν προσποιούμενος, ἔργοις μεταδιώκων ἁλίσκεται. λέγε μοι τὰ τῶν νομοθετῶν, εἰ βούλει, ῥήματα· ἀρίθμει μοι μετὰ τούτων, εἰ θέλεις, καὶ τὰ τῆς πόλεως τρόπαια. νόμους γὰρ ἐγὼ πολεμικοὺς ὀνομάζω τὰ τῆς πόλεως κατορθώματα. τί νῦν ἐν ἅπασι τούτοις διεσπούδασται; μὴ σπένδεσθαι βαρβάροις, μισεῖν τὸ γένος ὡς ἀλλότριον, ἀδιάλλακτον ἡγεῖσθαι [τὸν] πρὸς ἀλλήλους πόλεμον καὶ μάλ᾽ εἰκότως. οὓς γὰρ τῇ φύσει πολεμίους ἐνόμιζον, παρὰ τούτων ἀεί τι κακὸν προσδοκήσαντες, νόμῳ τὸ μὴ παθεῖν ἐφυλάξαντο· μέγιστον εἶναι τῆς πόλεως φυλακτήριον τὴν ἀπιστίαν τὴν πρὸς αὐτοὺς ἡγησάμενοι. εἰώθασι γὰρ οἱ πονηροὶ τῶν ἀνθρώπων, καὶ πρὸς πλεονεξίαν τὰ πάντα βλέποντες, πλείονα κερδαίνειν ἐπὶ φιλίας προσχήματι τῶν ὅτε φανερῶς ὡμολόγουν τὸν πόλεμον. ψηφίσματα γὰρ Ἀθηναίων ἐγὼ καλῶ τὰ τοῦ θείου Πυθίου μαντεύματα. πολέμιος ὁ Πέρσης οὐ καθ᾽ ἕνα καιρόν, οὐδὲ χρόνον, οὐδὲ παρ᾽ αὐτὴν μόνην τὴν τοῦ πολέμου καταβολήν· ἀλλ᾽ εἰς πάντα τὸν βίον τῆς πόλεως. οὐ γὰρ Πλαταιὰς μόνας κατέσκαψε, καὶ δῆμον εἰς τοὺς ὑπὲρ τῆς ἐλευθερίας πολέμους αὐτόκλητον ἐποίησεν ἄπολιν. οὐ γὰρ ἃ πέπονθε βασιλεύς, ταῦτα * διαλογιζομένους, ἐκεῖνον ἀπαλλάττειν τῆς μέμψεως * χρή· ἀλλ᾽ ἅπερ ἂν κρατήσας ἔδρασεν, ἐν τῷ λαβόντας, πᾶσαν ἴσως νομίζειν δίκην τῆς ἀξίας κομίζεσθαι. οὐδὲ δίκαιον * τὰ αὐτὰ μὴ δρᾶσαι κρατήσαντας, ἅπερ ἡττηθέντες ὑπὸ τῶν κεκρατηκότων ἂν ἐπάθομεν. ὁ γάρ, πρὶν ἀντενεγκεῖν αὖθις * τοὺς ἐναντίους, ἀφ᾽ ὧν ἐσφάλησαν, ἐπεξιὼν καὶ τιμωρούμενος, οὐδὲ ἐκείνοις καιρὸν ἐπὶ τῆς ἀμύνης ἐνδίδωσι, καὶ πᾶσαν ἑαυτῷ προξενεῖ τοῦ μή τι παθεῖν ἀσφάλειαν, οἷς μετὰ καιρὸν ἐπέξεισι, τούτοις περιγράφων ἅπασαν τὴν ἐς ὕστερον παρὰ τῶν πεπονθότων ἐπίδοσιν. καί φασι, δωρεὰς τῷ δήμῳ [βασιλεὺς] πέπομφε. * Κυρσίλου μοι λέγεις ῥήματα, καὶ πονηρᾶς εἶ δημηγορίας διάδοχος. καὶ ταῦτα λέγειν ἐν Ἀθήναις ἐπικεχείρηκας, ἐφ᾽ οἷς τῷ προειπόντι τάφον ἐποιήσαμεν τὸν τόπον, ἵνα ὕπερ εἰσῆκε φθεγγόμενος. ἀδήλου δὲ ὄντος τίνα τρόπον ἡ ναυμαχία κριθήσεται, οὐ δὴ καλόν, ἀφ᾽ ὧν εὐδοκιμοῦντες φαινόμεθα, καὶ μεθ᾽ ὧν ἐπιτηδευμάτων διαγεγόναμεν, ἄκυρα ποιεῖν ἐπὶ τῷ παρόντι βουλεύεσθαι. οἷς μὲν γὰρ ἐξ ἀρχῆς ὀλίγος τῆς ἀρετῆς ὁ λόγος, οὐ μέγας τούτοις οὐδὲ σφαλεῖσιν ὁ κίνδυνος· οἷς δὲ τοσαῦτα καὶ τηλικαῦτα παραδείγματα τῆς ἀρετῆς ἕστηκε, τίς συγγνώμη παρὰ τοῖς ἔξωθεν, εἰ τοῖς τελευταίοις ἀφανίζοντες, τὴν ἔμπροσθεν δόξαν ἐλέγχοιντο; πᾶς

* αἰσχυνεῖσθε.
* ἐξείργειν. H. St.
* διαλογιζομένοις.
* al. δεῖ.
* ταὐτά.
* τοῖς ἐναντίοις
* Κυρσίλου M. M.

HIMERIVS.

Omnes enim mihi Xerxi propinquiores ob munera & beneficia. Atque etiam si gratis donum dedisset, esset forsitan iusta quædam causa iis qui Regi patrocinantur, quanquam hoc neque Atheniensibus dignum sit. Si remunerationem ab vrbe petat, manifestum sane est nihil vtique gratis dedisse, quando pro iis rependi sibi mutuum cupiat. Si vero ab eo simpliciter donante non est æquum accipere; quãto minus par est, quando non gratuito donat, sed remunerationis eiusmodi gratia, qua satis testatur, suum velle pensari beneficium. Agedum promissa hæc videamus. Ea, inquit, reponam, quæ bello deieci. Hunccine mihi bellandi prætextum dicis, & pugnæ potius, quam fœderis tesseram profers, nec vides iis verbis, quibus regi vrbem conciliare niteris, nos ad bellum magis excitari? O quam diuersa sunt hæc verba? perditorem eundem vocas & amicum, interfectorem & socium, eandem legis epistolam plenam iniuriis, & donis, permisces mere mala & dona, beneficia, & damna, Barbaros, & Græcos. Hoc ludes vrbis commodum videri quærere, sed verius illud, cum vrbis nostræ ruinam regi honoris initium facias. Quid ergo ad triremes non vadimus, sed sustinemus regem patriæ ruinam afferentem? Sed & historiam nostram curiose Xerxes quæsiuit, quasi & cum vrbis præconiis bellũ suscepturus. Quare si ab altero iniuriã, ab altero beneficium accepimus, illum quidem vt hostẽ tractare, hũc vero vt beneficum remunerari oportuit. Quod si vtrumque idem præstitit, vtrum decet beneficium attendere pro iis quæ promittit, vel exigere, cuius accusatur iniuriæ? Quænam sunt, quæ ille læsa dicit? per has literas beneficium dicis gratia pollicetur, Athenas omnino restauraturum se significat; hoc scilicet obscurẽ dicitur, licet apertẽ verbo nominare non audeat? *Athenas*, inquit, *restaurabo*. Tu vrbem Palladis? Tu ciuitatẽ Thesei, & Cecropis? deinde Erichthonij & Cecropes, & Thesei, & Codri obscurabuntur? Hæc omnia ciuitati Xerxis debebunt? cõditor, dux laudũ, præconiorũ materia? Hei mihi his malis! Victus à me Xerxes capit vrbem? Quid verò & nosmet cõtra Græcos iubet pugnare? Non enim æquum nos illi, qui circum hanc vrbem mira edit facinora, non venire auxilio: & merito. Non enim tum aciem dignam erectis trophæis instruemus. Xerxe duce vicinis nostris bellum inferentes, propter quos visus est Persis non victor, sed tanquam exsul & fugitiuus, his vrbem condere, & his benefacere cupiet? Quod si putaret acceptam cladem armis instaurare posse, exercitum adduceret, non autem legatos mitteret. At cum viribus diffidat suis, fraudẽ pro armis adhibet. Cum autem copias recensuisset, tum demum fraudem armorum loco produxit. Quin etiam vrbem hanc apud cæteros Græcos infamẽ reddere contẽdit, vt nos eorũ auxilio desertos redderet, & nobis solis bellum postea inferret. Et ex his verbis patet donum dicis gratia offerre.

Athenarum vrbs.

πᾶς γὰρ ἐμοὶ Ξέρξου πρὸς δωρεὰν καὶ χάριν ἐγγύτερος. ἔτι τοίνυν, εἰ μὲν προῖκα παρεῖχε τὴν ἐμπροσθεν δωρεὰν, ἦν ἂν τις λόγος ἴσως τοῖς βασιλεῖ * συναγορεύουσι, καίτοιγε οὐδὲ τοῦτο τῶν ἀθηναίων ἄξιον. εἰ δ' ἀνταιτεῖ χάριν παρὰ τῆς πόλεως, ὁ δὲ δῆλον δήπουθεν ὡς οἷς παρ' ἡμῶν ἀντ' ἐκείνων τυχεῖν ἐσπούδασε, τούτοις ἐπιδείκνυσι μηδὲν ὡντὸς χαριζόμενος. εἰ δὲ ἁπλῶς διδόντος, λαβεῖν οὐκ εὔλογον. πῶς οὖν πλέον, ὅτι μηδὲ προῖκα τὴν δωρεὰν, ἀλλ' ἐπ' ἀντιδόσει τοσαύτῃ καὶ αὐτὸς δῆλός ἐστιν ἃ δίδωσιν ὁμολογῶν ἀνταλλάξασθαι; φέρε δὴ καὶ αὐτὰς τὰς ὑποσχέσεις σκεψώμεθα. ἀντικαταστήσω (φησὶν) οἷς ἐλυμηνάμην κατὰ τὸν πόλεμον. αὐτήν μοι λέγεις τοῦ πολέμου τὴν πρόφασιν, καὶ μάχης μᾶλλον ἢ διαλλαγῆς * ἀναγινώσκεις συνθήματα· καὶ λανθάνεις οἷς διαλλάξαι βασιλεῖ τὴν πόλιν ἐσπούδακας, τούτοις ἡμᾶς ἐγείρων πλέον ἐπὶ τὸν πόλεμον. ὢ τῶν ἀνομοίων ῥημάτων! λυμεῶνά μοι τὸν αὐτὸν προσαγορεύεις καὶ φίλον, αὐτόχειρα καὶ πάλιν ἔνσπονδον. τὴν αὐτὴν * ἀναγινώσκεις ἐπιστολὴν μεστὴν ἀδικημάτων καὶ δωρεῶν, μιγνὺς καὶ τὰ ἄμικτα πάθη, δωρεὰς, χάριτας, συμφορὰς, βαρβάρους, ἕλληνας· καὶ τῷ μὲν δοκεῖν, σπουδάζεις ὑπὲρ τῆς πόλεως· τὸ δὲ ἀληθὲς, βασιλεῖ ποιεῖς φιλοτιμίας ὑπόθεσιν τὸ πτῶμα τῆς πόλεως. τί οὖν οὐκ ἐπὶ τὰς τριήρεις * εἶμεν, ἀλλ' ἀνεχόμεθα περιφερόμενον ἡμῖν βασιλέως τὴν πόρθησιν; ἐπολυπραγμόνησέ μου Ξέρξης τὰ διηγήματα, ὥσπερ καὶ τοῖς ἐγκωμίοις * πολεμῆσαι θέλων τῆς πόλεως. εἰ μὲν οὖν παρ' ἑτέρου μὲν τὸ ἀδίκημα, παρ' ἑτέρου δὲ ἡ χάρις· τῷ μὲν ἐχρῆν ὡς πολεμίῳ χρῆσθαι, τὸν δὲ ὡς εὐεργέτην ἀμείβεσθαι. εἰ δὲ ὁ αὐτὸς ἀμφότερα· τί μᾶλλον εἰδέναι χάριν ἀνθ' ὧν ὑπισχνεῖται προσήκεν, ἢ τιμωρίαν ἀπαιτεῖν ἐφ' οἷς ἀδικεῖν ἐλέγχεται; τίνα δὲ καὶ τὰ * λελυμασμένα καλεῖ; ἀφοσιοῦται γὰρ καὶ διὰ τῶν γραμμάτων τὴν χάριν. τὰς ἀθήνας πάντως ἀνοικιεῖν ἐπαγγέλλεται· τοῦτο γὰρ ὑπαινίττεται δήπου, κἂν μὴ τολμᾷ φανερῶς ὀνομάζειν τῷ ῥήματι. ἀθήνας ἀνοικιῶ, φησί. σὺ τὴν τῆς ἀθηνᾶς πόλιν; σὺ τὴν Θησέως καὶ Κέκροπος; εἶτα σιωπηθήσονται Ἐριχθόνιοι καὶ Κέκροπες, ἔτι δὲ Θησεῖς καὶ Κόδροι; πάντα [δὲ] * ἔσται Ξέρξης τῇ πόλει· οἰκιστὴς, ἀρχηγέτης τῶν ἐπαίνων, τῶν ἐγκωμίων ὑπόθεσις; οἴμοι τῶν κακῶν! ἡττημένος μου Ξέρξης, λαμβάνει τὴν πόλιν. τί δ' ἂν καὶ ἡμᾶς αὐτοὺς κατὰ τῶν ἑλλήνων συστρατεύεσθαι κελεύῃ; οὐ γὰρ ἐστὶ δίκαιον τῷ τοσαύτην ἐνδεικνυμένῳ περὶ τὴν πόλιν μεγαλοψυχίαν, [καὶ] μὴ πάντα τρόπον συναγωνίζεσθαι * καλῶς γε. οὐ γὰρ τότε καὶ τῶν τροπαίων ἀξίας τῶν ἐγηγερμένων τὰς παρατάξεις παραταξόμεθα. ὑπὸ Ξέρξῃ στρατηγοῦντι κατὰ τῶν ὁμοφύλων πολέμους ἐκφέροντες, δι' οὓς ὤφθη πέρσαις ἀντὶ νικηφόρου σχῆμα δραπέτου καὶ φυγάδος περικείμενος, τούτοις πόλιν οἰκίζειν, τούτοις εὐεργετεῖν ἀνέξεται; εἰ μὲν γὰρ ᾤετο * ἀναμαχέσασθαι τοῖς ὅπλοις τὴν ἧτταν ἐπίστευεν, ἐστράτευσεν ἄν, οὐκ ἐπρεσβεύετο· ἐπεὶ δὲ ἀπογινώσκει τῶν δυνάμεων, τὴν ἀπάτην πως ἀντὶ τῶν ὅπλων προβέβληται. ἔτι τοίνυν καὶ διαβάλλειν τοὺς ἕλληνας πρὸς τὴν πόλιν ἐσπούδασεν, ἵνα ἐρήμοις τῆς παρ' ἐκείνων συμμαχίας ἐργασάμενος, πρὸς μόνους ἡμᾶς ὕστερον ἐξενέγκῃ τὸν πόλεμον· καὶ μὴν ἐξ αὐτῶν ῥημάτων δῆλός ἐστι πρὸς τὴν δωρεὰν ἀφοσιούμενος.

** προσεγρεύουσι.*
** καὶ λέγεις συνθ.*
** al. ἀναγινώσκεις.*
** εἴημεν.*
** πολεμῆσθαι.*
** λελυμασμένα. M. M.*
** al. ἔ.*
** al. καλῶς γε.*
** ἀναμαχέσασθαι.*

HIMERIVS. Illius erat manifeste litteris inscribere hanc velle se vrbem instaurare. Hoc autem non declarans, simpliciter se damna bello illata resartuturum dicit, aduerbij amphibolia, quæ mala cogitauit, epistola significauit. Quod autem erat vrbis nostræ insigne? magnificentia ædificiorum, antiquæ vbicunque virtutis testimonia, naturæ ornatus, qui maius vrbi addit ornamentum quam artificium. Qualis cernitur hic † arx, vbi tale, cœlo excepto, hospitium est Deorum? Quale templum Poliadis Mineruæ? & huic vicinum delubrum Neptuni. Coniunximus enim post contentionem Deos per reges in templis cum aliis. Non recipio * formulam sacrorum ab homine, qualem per præconem arcere solemus. Quis reparabit homines quos bello perdidit? Quis reddet mortuorum corpora, quæ bello abstulit? Viri enim, vt aiunt, vrbes sunt, non domus ipsæ; si damna se instauraturum pollicetur, ex his quædam non integre restituere potest, quædam non paria prioribus reddere potest. quomodo illius in his promisso vt impossibilis non redarguatur ab omnibus? Illi Lacedæmonios trecentos ad Pylas non sustinuerunt, sed in oculis regis tot myriades ceciderunt aduersus vnum agmen, quasi flagris ordinatæ: Ipse Rex in Asiam nos vocat, ostendens demptis pugnis tutum secum bellum fore. Vna acies contra totam Asiam instructa & trecenti Spartani prius armis Thermopylas, deinde morte occludentes, honorabilius sepulcrum, quam sint tropæa excitarunt. Ego quoque de Thebanis supplicium sumendum putaui. Accusati sunt Græci à Persis proditionis gentis suæ, & vrbs mea Persicum contra Græcos assumpsit exercitum. Cum Persæ victi sunt, non modo Athenienses, sed & omnes Græci luctum reportarunt. Vtinam etiam ad Pylas occurissemus, Lacedæmonij pro sepultura trophæum ostendant. In Xerxem hęc dico, in Xerxem, inquam; ô Apollo, qui vsque * ad aras tuas bellum gessit, & ignem sacro tripodi tuo subiicere conatus est, per quem edis oracula. Volo regionibus de meis rectè factis nomen imponi, & maria, ac flumina potius à meis tropæis, quam antiquis nominibus denominari. Obijciet aliquis, quando vrbem vel vnde reficiemus? Quam amplius vrbem quæris, cum habeas triremes pro noua vrbe, & ductorem Apollinem: Obiicit autem pro mœnibus mare, & pro turribus insulas, & pro ornatu tropæa. Si & terminos studes cognoscere, obiuit fama totum terrarum orbem, terram quà itur, mare quà nauigatur. Hos Athenienses duce Themistocle consecuti sunt terminos. Postulabo à Xerxe non oleaginum ramum Palladis, sed platanum; vt duo Palladis tropæa iuxta arcem videantur, contra Neptunum olea, contra Barbaros platanus.

† Virg. Pallas quas condidit arces ipsa colat.

* τύπον al. τόπον locum sacrorum.

* μεχρὶ ἀδύτων legendum puto.

τοῦ μὲν γὰρ ἀνοικίσαι τὴν πόλιν τὴν ἡμετέραν θέλοντος, ἔργον ἦν αὐτὸ τοῦτο σαφῶς ἐγγράψαι τοῖς γράμμασιν. ὁ δὲ τοῦτο μὲν οὐκ εἰπὼν ἁπλῶς δὲ ἀντικαταστῆσαι φήσας οἷς ἐλυμήνατο κατὰ τὸν πόλεμον, τῇ τοῦ προσρήματος ἀμφιβολίᾳ * κακῶς ὃ κακουργεῖ διὰ τῶν γραμμάτων δεδήλωκε. τί δὲ ἦν τῆς πόλεως τῆς ἡμετέρας τὸ ἐπίσημον; σεμνότης οἰκοδομημάτων, πανταχοῦ τῆς ἀρχαίας ἀρετῆς ὑπομνήματα, ὁ παρὰ τῆς φύσεως κόσμος, μεῖζον τοῦ παρὰ τῆς τέχνης προστιθεὶς τῇ πόλει τὸ κάλλος. οἵα μὲν ἰδεῖν ἀκρόπολις, οἷον ἄλλο (θεῶν) μετ' οὐρανὸν ἐνδιαίτημα; οἷος δὲ ὁ τῆς πολιάδος νεὼς, καὶ τὸ πλησίον * τοῦ Ποσειδῶνος τέμενος; συνήψαμεν γὰρ διὰ τῶν ἀνακτόρων τοὺς θεοὺς ἀλλήλοις μετὰ τὴν ἅμιλλαν. οὐ λαμβάνω παρὰ ἀνδρὸς τὸν τελετῆς * τύπον, ὃν εἴργει τῆς τελετῆς τῆς ἡμετέρας τὸ κήρυγμα. τίς ἀναστήσει τοὺς ἄνδρας, οὓς ἀπολώλεκε; τίς τὰ σώματα τῶν πεσόντων, οἷς * ὑπὸ καὶ τοὺς πολέμους λελύμανται; ἄνδρες γὰρ (φασὶν) αἱ πόλεις, οὐκ οἰκοδομήματα. εἰ δὲ τὰ * λελυμασμένα ἡμῖν ἀποδώσειν ἐπαγγέλλεται, τούτων δὲ τὰ μὲν οὐδ' ὅλως ἐγχωρεῖ λαβεῖν, τὰ δὲ τοῖς διεφθαρμένοις οὐχ ὅμοια: πῶς οὐκ ἀδύνατος ἐλέγχεται τοῖς πᾶσιν ἡ περὶ τούτων ὑπόσχεσις; οὐκ ἤνεγκαν οὐδὲ τριακοσίους ἐκεῖνοι * λακεδαιμονίους ἐν Πύλαις, ἀλλ' ἐν ὀφθαλμοῖς βασιλέως ἔπιπτον αἱ τοσαῦται μυριάδες, πρὸς ἕνα λόχον, ὑπὸ μαστίγων * παρατατόμεναι. αὐτὸς ἡμᾶς ἐπὶ τὴν ἀσίαν καλεῖ βασιλεὺς, οἷς παραιτεῖται τὰς μάχας, τούτοις ἀκίνδυνον εἶναι τὸν πρὸς αὐτὸν δεικνύων πόλεμον. λόχος εἷς πρὸς ὅλην τὴν ἀσίαν παρατατόμενος. καὶ τριακόσιοι σπαρτιᾶται κλείοντες πρότερον μὲν τοῖς ὅπλοις, ὕστερον δὲ τῷ θανάτῳ τὰς Πύλας, σεμνότερον ἤγειραν τροπαίου τὸ πολυάνδριον. ἐγὼ καὶ ὑπὲρ θηβαίων * ἀπαιτῆσαι δίκας ἐσπούδακα. δῆμος ἑλλήνων διὰ πέρσας τοῦ κοινοῦ γένους προδοσίαν κατέγνωσται, καὶ πόλις ἐμὴ περσικὸν ἐδέξατο κατὰ τῶν ἑλλήνων στρατόπεδον. κέρδος οὐκ ἀθηναίων μόνον, ἀλλὰ καὶ κοινὸν τῶν ἑλλήνων ἁπάντων, πέρσαι νικώμενοι. εἴθε καὶ εἰς Πύλας ἀπηντήσαμεν· τρόπαιον ἂν ἐδείκνυσαν νῦν ἀντὶ τοῦ τάφου λακεδαιμόνιοι. ἐπὶ Ξέρξην καλῶ, ἐπὶ Ξέρξην, Ἄπολλον, τὸν μέχρι τῶν ἀδύτων στρατεύσαντα, τὸν τοῖς ἱεροῖς σου τρίποσι τὸ πῦρ προσάγειν φιλονεικήσαντα, δι' ὃν ἐκίνησας φάσματα. δοκιμάσαι θέλω καὶ τοῖς χωρίοις ἀπὸ τῶν ἐμῶν κατορθωμάτων ὀνόματα, καὶ τὰ πελάγη καὶ τοὺς ποταμοὺς ἀπὸ τῶν ἐμῶν τροπαίων μᾶλλον, ἢ τῶν ἀρχαίων ὀνομάτων προσαγορεύεσθαι. πότε οὖν ἢ πόθεν ἀνοικιοῦμεν τὴν πόλιν; ὑπέκρουσέ τις. ποίαν γὰρ ἐπιζητεῖς ἔτι πόλιν, τὰς τριήρεις ἔχων τῆς νέας πόλεως; οἰκιστὴν ἔχων τὸν πύθιον; προβάλλεται δὲ αὐτῆς ἀντὶ μὲν τειχῶν τὴν θάλασσαν, ἀντὶ δὲ πύργων τὰς νήσους, ἀντὶ δὲ κόσμου τὰ τρόπαια. εἰ δὲ καὶ τοὺς ὅρους αὐτῆς ἐπιζητεῖς μαθεῖν, περιῆλθε κύκλῳ τῷ λογισμῷ τὴν οἰκουμένην ἅπασαν, καὶ γῆν ὅση βατὴ, καὶ θάλασσαν ὁπόση πλώιμος· οὗτοι τῶν ἀθηνῶν τῶν ἐπὶ Θεμιστοκλέους οἱ ὅροι. ἀπαιτήσω Ξέρξην ἀντὶ τοῦ θαλλοῦ τῆς ἀθηνᾶς τὴν πλάτανον· ἵνα δύο βλέπωσι τῆς θεοῦ κατὰ τὴν ἀκρόπολιν τρόπαια· κατὰ μὲν Ποσειδῶνος, ὁ θαλλὸς, κατὰ δὲ τῶν βαρβάρων, ἡ πλάτανος.

* καὶ ἴσως

* τὸ Ποσειδώνιον.

* τίνων.

* ὑπὸ τοῦ κατὰ.

* λελυμασμένα.

* λακεδαιμονίων.

* παρατατόμενοι.

* ἀνακαινίσαι.

Ἐκ τοῦ πολεμαρχικοῦ. Τὸ Προοίμιον.

Ex Oratione militari.

PROOEMIVM.

* λέγουσι. H. St.

* καθ' ἑαυτοῦ.

* περίεισι.

Οὐ τοῖς * ψέγουσι τὸν νόμον τὸν διὰ τοῦ μνήματος εἰωθότων λέγειν, ἀλλὰ τοῖς ἐπαινοῦσι συνθήσομαι. καὶ γὰρ ἄτοπον, τὴν τοῦ λέγειν ἐξουσίαν παρ' αὐτοῦ λαβόντας, κατ' * αὐτοῦ τῇ παρὰ τοῦ λέγειν ἐξουσίᾳ χρῆσθαι. τὸν γὰρ ἐκ τοῦ θανάτου φόβον ὁ νομοθέτης τῇ παρὰ τοῦ λόγου τιμῇ παραμυθούμενος, ἄοκνον πᾶσι τὴν τόλμαν τὴν ὑπὲρ τῶν κινδύνων * καθίστησιν· ἡ δὲ τῶν ἐγκωμίων ἀρχή, τὸ μὲν δοκεῖν, κοινὴ πρὸς ἅπαντας. τὸ δ' ἀληθές, τῶν ἀνδρῶν τούτων ἐξαίρετος. οἱ μὲν γὰρ τοὺς ἄλλους ἐπαινεῖν σπουδάζοντες, ἵνα τὸ γένος ὑμνήσωσιν, εἰς προγόνων τινὰς εὐφημίας τὴν τοῦ λέγειν φύσιν ἀναβιβάζουσιν, ἢ τὴν γῆν ὅθεν οἱ πρόγονοι τῶν ἐπαινουμένων ἐγένοντο. πάντες γὰρ ἐπιεικῶς οἱ πρόγονοι τῶν πανταχοῦ θαυμαζομένων, ἐπήλυδες. οὐ μὴν καὶ κατὰ τούτων ὁ νόμος οὗτος νενίκηκεν. ἀλλ' ὁμοῦ τε Ἀθηναίους εἴρηκας, καὶ μετὰ τῆς ἐπωνυμίας δηλοῖς τοὺς αὐτόχθονας. ἄοπλος ἦν ὁ βίος· ὅπλα τῶν κινδυνευόντων * προὐβάλλετο. ἵππων χρῆσιν οὐκ ἠπίσταντο· * μείζω πρέπειν πρὸς ἄθλους καὶ πολέμου χρείας τὴν ἵππων γνῶσιν. κεκριθείσης δὲ τῆς ἁμίλλης θαλλῷ τε [ἐλαίας] καὶ κύματι, τῷ θαλλῷ * τὴν ψῆφον τίθεν. τῷ θαλλῷ δ' ὅταν εἴπω, * τὴν θεὸν λέγω. Ἀθηνᾶς γὰρ (οἶμαι) τὸ γνώρισμα. ἀλλὰ γὰρ οὐχ ὅ,τι τις * τοιοῦτον εἴπῃ χαλεπὸν εὑρεῖν. ἀλλ' [οὖν] ὅπως μὴ τούτοις ἑπόμενος, πόρρω τῶν πράξεων γένηται, αὐτὸ τοῦτο μὲν ὑπὲρ τῆς πόλεως οἱ τῶν τῇδε κειμένων πρόγονοι, τοῦτο δὲ ὑπὲρ τῆς [ὅλης] Ἑλλάδος ἤρξαντο παῖδες * πατέρας μιμούμενοι, καὶ διὰ πάσης ἡλικίας τε ὁμοῦ καὶ διαδοχῆς τοῦ γένους τὴν εὐψυχίαν καταβιβάζοντες. Ἡρακλείδας δὲ ὑποδεξάμενοι, τοὺς μὲν ὑβρίζοντας τῆς παρανομίας ἔπαυσαν· αὐτοῖς δὲ τὴν τύχην ἀμείψαντες, βασιλείας Πελοποννήσου πάσης ἀντὶ φυγάδων εἰργάσαντο. ἐκίνησε φθόνος ποτὲ κατὰ τῆς πόλεως Δωρικὸν ὁμοῦ καὶ Βοιώτιον καὶ προσέτι Χαλκιδέων τῶν ἀπ' Εὐβοίας ἐκ * τρίτου πόλεμον. πῶς οὖν ἅπασι τούτοις ἡ πόλις * ἀντέστη; ἔπεσον Βοιωτοί, Δωριεῖς ἠγάπων σωζόμενοι, Χαλκιδεῖς ἅπαντες ἥλωσαν. τρία δὲ εἱστήκει τρόπαια· τῶν δὲ τροπαίων τὸ τάχος ἐστὶ λαμπρότερον. τὸ γὰρ κατ' * Εὐβοίας καὶ Βοιωτῶν, μιᾶς ἦν ἡμέρας τὸ συναμφότερον. ἀλλὰ γὰρ ἔοικα, πᾶσι τὸ μέρος ἀποδιδόναι τῆς εὐφημίας βουλόμενος, τοῖς ἄνω χρόνοις, ὑπὲρ τῆς πατρίδος καὶ παντὸς τοῦ γένους κατὰ τὰς μάχας προαγωνίσασιν, οὔτε τούτοις τὴν ἀξίαν τηρεῖν, τῷ τὸ μέγεθος τῶν πράξεων ἐν τῷ τῶν λόγων τάχει συγκρύπτεσθαι, καὶ μή πω τούτων προσάπτεσθαι, ὧν ἡ τῶν ἀκροωμένων προσδοκία ζητοῦσα πάλαι τὸν ἔπαινον, ἀσχάλλειν ἔοικεν, ὅτι μή πω τῆς ἐπιθυμίας ἐμπίπλαται. οὐκοῦν ἐπὶ ταῦτα ἤδη ἰτέον τῷ λόγῳ. τὸ δὲ ἐξ ἀνάγκης ἀπολείπεσθαι μέλλειν τῶν πράξεων, ὅ,τι κοινὸν ἁπάντων, ἑνὸς οὐδ' ἂν εἴη δίκαιον ἔγκλημα. Πέρσαι κλῆρον ἕνα τὴν ὑφ' ἡλίῳ πᾶσαν δέξασθαι τοῖς ὅπλοις βουλόμενοι, μικρῷ μέρει τῷ πρὸς ἑσπέραν πληρῶσαι τὴν ἐπιθυμίαν ἀπείργοντο. ὡς δ' ἀφεὶς ἐπ' Ἰωνίας ὁ στόλος, καὶ πάλιν ἀποκρύψας πλήθει νεῶν τὸ φαινόμενον περὶ τὰς νήσους τὰς κατ' Αἰγαῖον ἐσχίζετο:

* προὐβάλλετο.
* μείζων.
* τῇ ψήφῳ.
* τοῦ θεοῦ.
* τοιοῦτον.
* πατέρα.
* τρίτον.
* ἀντέστη.
* Εὐβοίας.

Non astipulor iis, qui eorum, qui memoriter solent dicere, legem reprehendunt, verum laudatoribus assentiar. Absurdum enim est cùm à memoria dicendi subsidium petant Oratores, contra eandem dicere. Legislator enim metum mortis orationis dignitate eximens, audaciam strenuam in periculis, omnibus iniecit. Laudis causam, mea quidem sententia, omnes communem habent: at horum virorum præ cæteris eximia est. Quidam enim dum alios laudare conantur, vt genus ac stirpem prædicent, ad maiorum encomia orationem conuertunt, aut patriam vnde maiores exstiterunt. Omnes enim qui laudantur, exteri fere fuerunt. Sed aduersus hos hæc lex non vicit, sed simul Athenienses nominauerat, & hac appellatione ostendis * indigenas esse. Viuebant sine armis, tela non producebant, equis vti non didicerant. Visui tamen esse docuit equos in certaminibus, ac prælijs. In certaminibus ramo & germine oleagino victoriam denunciabant. Cum ramo oleæ dico, deam indico. Hoc enim Palladis insigne existimo. Nec vero id quod huiusmodi quis dixerit, difficile est ad inueniendum: saltem vt hæc non imitans procul ab iis rebus sit: quas quidem partim pro ciuitate maiores illic iacentium, partim vero pro vniuersa Græcia filij parentes suos imitati, per omnem ætatem & successionem gentis fortitudinem proferentes susceperunt: Heraclidarum vero potentiam admittentes, alterius quidem iniurias compescuerunt, sibi vero fortunam mutantes, totius Peloponnesi reges pro exsulibus fecerunt. Inuidia autem tunc temporis in hanc vrbem tria bella Doricum simul, & Bœoticum & insuper Chalcidense concitarunt. Qua igitur ratione his omnibus vrbs restitit, Ceciderunt Bœoti, Dores seruati quieuerunt: Chalcidenses omnes abducti sunt. Tria vero tunc fixit trophæa, sed illustrior est quam victoria celeritas. Vno die Eubœis & Bœotis trophæa erecta sunt. Etenim cum cupiam omnibus gloriæ aliquam partem iis tribuere, qui superioribus illis temporibus pro patria, omnique populo, pugnando primas ferebant, visus sum ne his quidem satis dignam contulisse, rerum gestarum magnitudinem verborum exilitate deterendo, neque attingendo ea quorum laudem auditores pridem exspectantes indignari videntur, quod eorum fiat minime desiderio satis. Hæc igitur iam oratione tractanda. Necessitate vero parem dicendo non esse, non vnis proprium crimen, sed commune omnium fuerit. Persæ totum terrarum orbem vno regno volẽtes includere, spe sua frustrati sunt, cum vna parte Occidentalis regni cupiditatem implere non potuerint. Classis enim ex Ionia soluens, iterumque multitudine nauium æquor tegens, insulásque Ægæi maris, dissipata est.

* αὐτόχθονας Strabo lib. 9.

HIMERIVS.

Naxiorum quidem ciuitatem ad mare statim inuadit, vbi eam vrbem funditus vna cum nomine diruerunt, & gentem in triremes imposuerunt. Operæ-pretium non duxerunt cum Eretriensibus armis decertare, quod eorum fortunam Persico bello inferiorem putarent, inter se manibus consertis ita inuaserunt Eretrientes, ac si in sagena concluderent. Cum Marathonem attigissent, spes labefactata est. Probe enim experimento docti didicerant, quantum inter nos, & Eretrienses interesset. Tum naualis quidam miles aduersus integram triremem ausus est depugnare. Vrgens fugientes ad mare Phœniciæ, naui manus iniecit, fortiorem existimans tota naui dextrã. Veriti autem Barbari, ne nauis eorum Atticæ dextræ in prædam cederet, securi manum amputant: Ipse vero saucius sine manu iacebat, triremem tamen mordicus tenens. O vos primi, qui Persarum fortunam illusistis! O vos qui maiora vincitis quam natura humana permittat! O qui occumbitis cum ea rerum gestarum historia, quam neque ante vos, nec post tempus tulit! O qui illustriorem nacti estis tropæo sepulturam, qui nomen Marathonis Solis cursibus extenditis! Marathon tenet vestra corpora, animas ipsi dij, qui vobiscum pugnarunt, gloriam terra continet ac mare. Xerxes autem huic vrbi infestus nihil intactũ reliquit, sed omnia mouebat & concutiebat, quasi Neptunus terram & simul mare concuteret. terra & mare suam inuicem naturam permutabant, Imposuit terram fretis, & Phœnicum naues per continentem misit. Tunc omni spe maiora miracula vidimus, per Hellespontum equitatus Medorum, per Athonem triremium classis iter fecit. Quin & ad cœlum vsque audaciam suam Xerxes extendit, & suis prodigiosis factis transiliuit à mari in terram, à terra in cœlum, inde in solem. Nam iaculans Solis lumen obtexit, nauigans maris naturam mutauit, iter faciens cum exercitu terræ angustiam incusauit. Prætereo maria triremibus cooperta: taceo exercitum naturæ numerum excedentem: omitto gentes alimentis præbendis impares, & regem vbique metum incutientem, vbinam vero esset propter copiam exercitus, ignoratum. Huiusmodi itaque tumultu, ac tanto terrore terra vniuersa frementе, & omnibus Græciæ interitum augurantibus, hi quidem tantum commodi in calamitatibus sperabant, quantum ab ipsorum ciuitatibus Persæ abessent: ciuitas vero nostra regi omnia turbanti non cessit, nec metu rumoris, turpe quid antequam sentisceret decreuit, sed statim post primam legationem rege superior fuit. Ipse quidem seruitutis poposcit conditiones: illi libertatis remiserunt. Capitale erat si quis legatis munera daret. Nihil vero omnino illos terrebat, nihil, cur virtutis obliuiscerentur, efficiebat. Non Lacedæmonij iam victi, qui Græcis adeo profuerunt, vt fortiter dimicando occubuerint, non verberati fluctus, non puniti venti, & mollis contra naturam Barbarus terrebant. O maiora ausos Xerxe [cõtra naturã.] O animos elementis fortiores ostẽdẽtes.

Marathonia pugna.

τὴν μὲν Ναξίων πόλιν πρὸς τὴν θάλατταν εὐθὺς μετείζεται, τὴν μὲν ἀφεῖσα μετὰ τῆς ἐπωνυμίας τοὔδαφος, αὐτὸς δὲ τὸ γένος εἰς τὰς τριήρεις ἐνθέμενος. τὸν δὲ Ἐρετριέων δῆμον ὅπλων μὲν οὐκ * ἠξίωσαν, ἐλάττονα περσικοῦ πολέμου τὴν τύχην αὐτῶν νομίσαντες, χειρὶ δὲ χεῖρα πάντες ἀλλήλων συνέχοντες, σαγηνείας εἰκόνα τὴν Ἐρετριέων ἐδίωξαν πόρθησιν. ἐπεὶ δὲ καὶ Μαραθῶνος ἥψαντο, τὰ μὲν τῶν ἐλπίδων ἠφάνιστο, ἐγνώρισαν δὲ καλῶς διὰ τῆς πείρας μαθόντες, ὅσον τὸ μέσον Ἐρετριέων καὶ τῆς ἡμετέρας πόλεως. τότε τις ἐκ μιᾶς τριήρους ὅλης ναυτικὸς στρατιώτης ἐτόλμησεν· ἐπιδραμὼν γὰρ τοῖς φεύγουσιν εἰς τὴν θάλασσαν, φοινίσσης νεὼς λαμβάνεται, κρείττονα δεξιὰν ἔχειν τριήρους ὅλης οἰόμενος. δείσαντες δὲ ὑπὲρ τῆς τριήρους οἱ βάρβαροι, μὴ δεξιᾶς ἀττικῆς γένηται λάφυρον, πελέκει τὴν χεῖρα μερίζουσιν. ὁ δὲ πληγεὶς, ἔκειτο τῆς μὲν χειρὸς ἀφαιρεθεὶς, τῆς δὲ τριήρους ἐχόμενος. ὦ πρῶτοι τὴν Περσῶν τύχην ἐλέγξαντες. ὦ κρείττους τῆς ἀνθρωπίνης φύσεως νίκας νικήσαντες. ὦ μετὰ διηγημάτων πεσόντες, * ἃ μήτε πρὸ ὑμῶν μήτε μεθ' ὑμᾶς ὁ χρόνος ἐνήνοχεν. ὦ σεμνότερον τροπαίου τάφον κτησάμενοι. ὦ τὸ Μαραθῶνος ὄνομα τοῖς ἡλίου δρόμοις συναποτείνοντες. Μαραθὼν μὲν ἔχει τὰ σώματα, τὰς δὲ ψυχὰς οἱ συστρατιῶται θεοί, γῆ δὲ τὸ κλέος καὶ θάλαττα. θυμουμένου δὲ τοῦ Ξέρξου κατὰ τῆς πόλεως, οὐδὲν τῶν πάντων ἡσύχαζεν, ἀλλὰ πᾶν αὐτοῦ συνεκινεῖτο καὶ συνεσείετο, καθάπερ Ποσειδῶνος αὐτοῦ τινάσσοντος [τὴν] γῆν ὁμοῦ πᾶσαν καὶ θάλατταν. γῆ δὲ καὶ θάλαττα τὴν ἀλλήλων φύσιν ἠλλάττοντο. τοῖς μὲν πορθμοῖς ἐπετίθει τὴν ἤπειρον, τὰς δὲ φοινίσσας [διὰ] τῶν ἰσθμῶν ἔπεμπεν. ὤφθη τότε πάσης ἐλπίδος κρείττονα θαύματα· ἵππος καθ' * Ἑλλήσποντον μηδικὴ, καὶ δι' Ἄθω μέσου στόλος τριήρων πεμπόμενος. ἀπείχετο δ' ὁ Ξέρξης οὐδὲ οὐρανοῦ τοῖς * τολμήμασιν, ἀλλὰ μετῄει καὶ μετεπήδα τοῖς θαύμασιν, ἀπὸ θαλάσσης ἐπ' ἤπειρον, ἀπὸ γῆς ἐπ' οὐρανόν· ἐκεῖθεν καὶ ἥλιον. τοῦ μὲν γὰρ τοξεύων τὸ φῶς ἀπέκρυπτεν, τῆς δὲ πλέων τὴν φύσιν ἤμειβεν, τῆς δὲ πεζεύων τὴν χρείαν ἤλεγχεν. καὶ σιωπῶ πελάγη μὲν ὑπὸ τριήρων κρυπτόμενα, στρατόπεδα τὸν ἀριθμὸν φύσεως κρείττονα, ἔθνη δὲ δείπνων δαπάνης ἥττονα, βασιλέα δὲ πανταχοῦ μὲν ὄντα τῷ φόβῳ, οὐ δὲ γῆς * ἦ, διὰ τὸ πλῆθος λανθάνοντα. τοσούτου τοίνυν θορύβου γῆς ἁπάσης ἠχησαμένου, καὶ κρινομένων ἐπὶ τῆς Ἑλλάδος τῶν ὅλων, οἱ μὲν ἄλλοι σύμπαντες τοσοῦτον * ἐν τοῖς δεινοῖς κερδαίνειν ᾤοντο, ὅσον ἀπεῖναι Πέρσας τῶν πόλεων· οὐ μὴν καὶ ἡ πόλις εἶξε βασιλεῖ τὰ πάντα σείοντι, οὐδὲ φόβῳ τῆς φήμης αἰσχρόν τι καὶ περὶ τῆς πείρας ἐβουλεύσατο, ἀλλ' ἀπὸ τῆς πρεσβείας * πρώτης κρείττων βασιλέως ἐγένετο. ὁ μὲν τὰ τῆς δουλείας ἀπῄτει σύμβολα, οἱ δὲ τὰ τῆς ἐλευθερίας ἀντέπεμπον. ἦν γὰρ θάνατος ἡ τῆς πρεσβείας ἀντίδοσις. ἐφόβει δὲ * αὐτοὺς οὐδὲν τῶν ἁπάντων, * οὐδὲν ἐποίει τῆς ἀρετῆς ἐπιλανθάνεσθαι· οὐ Λακεδαιμόνιοι πίπτοντες, καὶ τοσοῦτον συνωφελοῦντες τοῖς Ἕλλησιν, ὅσον ἀνδρείως ὑπὲρ θανάτου βουλεύσασθαι. οὐ μαστιζόμενα κύματα, καὶ κολαζόμενα πνεύματα, καὶ τυφῶν βάρβαρος κατὰ τῆς φύσεως. ὦ μείζονα Ξέρξου τολμήσαντες [κατὰ τῆς φύσεως] ὦ ψυχὰς στοιχείων βεβαιοτέρας ἐπιδειξάμενοι.

* ᾤοντο. * al. ᾧ. * ἑλλησπόντου. * τολμήματι. * ἦν. * ἐπὶ τὰ δεινὰ. * αὐτοῖς, * αὐτοῦ. * οὐ.

ὦ τοῖς

HIMERIVS.

οἱ τοῖς Περσῶν τοξεύμασιν οὐ καμφθέντες τὸ φρόνημα. ὦ δύο τροπαίοις δεκαετῆ στόλον ἐλέγξαντες. ὑμεῖς τὸν ἐπὶ πᾶσαν ἰόντα γῆν καὶ θάλατταν, ἀγαπητῶς κλέψαι τὴν σωτηρίαν κατηναγκάσατε. ὦ μόνοι δείξαντες [ἀνθρώποις] ἅπασιν ὅτι πᾶσα χεὶρ ὑπ' ἀρετῆς ἐλέγχεται. ἀλλὰ κἂν ταῦτα σιγῇ παρέλθωμεν, κἂν τῆς εἰρήνης πρὸς βασιλέα γεγενημένης μνημονεύσωμεν, ἣ παντὸς τροπαίου σεμνοτέραν ἔτι τὴν πόλιν ἐργάζεται· καὶ μάλα εἰκότως. αἱ μὲν γὰρ, καὶ τύχης ἔργον πολλάκις. τὸ δὲ ἑκόντα *συγχωρῆσαι βασιλέα τῇ πόλει, ἵππου μὲν δρόμον ἡμέρας, θαλάττης ἀφέξειν ἄνω, εἴσω δὲ Χελιδονέων καὶ Κυανέων μὴ πέμψειν ὁλκάδα, πῶς οὐ καθαρὰν πανταχόθεν τῇ πόλει προξενεῖ τὴν εὔκλειαν; ἀλλὰ γὰρ Ἀθηναίων τὰ μυρία τρόπαια καὶ ναυμαχίας καὶ πεζομαχίας, καὶ ὡς πρὸς ἅπασαν μὲν τυραννίδα, πρὸς ἅπασαν δὲ δυναστείαν ἀντέστησαν, ἄλλοτε κατ' ἄλλους χρόνους ὑπὲρ τοῦ γένους μυρίους ἀγῶνας ἀναδεξάμενοι, οὔτε ἐμοὶ διεξελθεῖν ῥᾴδιον· οὔτε εἴ τις πρότερον ἐπικεχείρηκε. διόπερ οἶμαι *δεῖν ὡς οἱ τοὺς ἐν τοῖς σταδίοις νικηφόρους ἀνακηρύττοντες, ἓν καὶ ταὐτὸν συντεθεῖναι γνώρισμα, εἶθ' οὕτω ταύτῃ καὶ πρὸς τὸν νόμον ἀφοσιώσασθαι. ὦ πᾶσαν γῆν καὶ θάλασσαν, ὅση μὲν βατὴ [νίκης καὶ] τροπαίων· ὅση δὲ ἄβατος, δόξης καὶ κλέους πληρώσαντες· ὦ μόνοι ταῖς μεγάλαις πράξεσι χρόνον καὶ φθόνον νικήσαντες. οἱ τὴν οἰκουμένην ἅπασαν οὐ στήλαις ἀλλὰ τροπαίοις μετρήσαντες. εἴρηται κἀμοὶ τῆς μὲν ὑποθέσεως ἴσως ἔλαττον· τῶν δὲ πολλῶν οὐκ ἐλάττω. λείπεται δὲ εὐφήμῳ βοῇ *προσπηδήσαντας πανδημεὶ πάντας τῷ μνήματι, οὕτω τῆς τιμῆς ἀπαλλάττεσθαι.

* ἐχώρησε.
* al. δεῖν.
* προσχωρήσαντα.

O Persarum telis animo concidentes. O duobus trophæis classem decem annorum illudentes. Vos eum qui per totum orbem & mare iuit, coëgistis furtim & clementer salutem suã quærere: qui soli ostendistis omnibus hominibus omnes copias virtute posse coërceri. Sed hæc etiam silentio prætereamus, & factæ cum rege pacis recordemur, quæ hanc vrbem omni trophæo illustriorem reddit, & merito. Hoc sæpe fortuna fit, sed illud, regem libenter vrbi cedere spatio itineris equi vnius diei, superiori mari abstinere, intra Chelidoneas, & Cyaneas naues non mittere, quomodo non sinceram vndecumque vrbi gloriam parat? Etenim Atheniensium varia trophæa, & nauales & pedestres pugnas, & qua ratione tyrannidi omnique potentiæ restiterint, alias diuersis temporibus pro hac gente varia certamina recipientes, nec mihi facile est recensere, nec si quis id prius aggressus sit. Quare existimo vnum & idem monumentum coniungi oportere, quemadmodum qui renunciant in stadio victores, sic & huic vrbi secundum legem consecrandum esse. O qui omnem terram & mare quà iter est [victoria &] trophæis, & quà iter non est, gloria & splendore compleuistis, qui soli maximis rebus gestis tẽpus & inuidiam superastis, qui omnem terram non columnis, sed trophæis dimensi estis. Dixi fortasse minus quam causa exigebat, non tamen minus quam alij plurimi. Reliquum est, vt postquam omnes acclamarint memoriæ, sic omnes discedant.

Ἐκ τοῦ ἀρεοπαγιτικοῦ ἢ ἐλευθερωτικοῦ τῷ υἱῷ αὐτοῦ τῷ Ῥουφίνῳ.

Ex Areopagetica, seu qua Rufinum filium suum liberali causa manu asserit.

Τὸ Προοίμιον.

PROOEMIVM.

ΑΝΔΡΕΣ *οἱ καὶ θεοῖς ὑπὲρ νίκης πάλαι, καὶ νῦν *Ἀθηναίοις ὑπὲρ ἐλευθερίας δικάζοντες. ἐν κοινῷ τῷ νόμῳ πειθόμενος, τὰ τῆς χρείας μόνης φθέγξομαι ῥήματα. ἐγὼ καὶ σοφιστὴς ἐγενόμην παρ' ὑμῖν καὶ πατήρ. εἰ σοφιστὴς δεξιὸς, ὑμεῖς ἐπίστασθε· (λέγω γὰρ ἀεὶ, καὶ τὴν ἐμὴν πολιτείαν ἔχει τὰ θέατρα) εἰ πατὴρ ἀττικὸς, ἡ παροῦσα δείκνυσι πρόφασις. οὐ γὰρ ἀνέχομαι τὸν Ἀθηναῖον παῖδα μὴ προσαγορεύειν ἐλεύθερον. πιστεύω καὶ πρὸ ἥβης τὴν ἐλευθερίαν τῷ παιδί. ἐμός ἐστιν, Ἀθηναῖός ἐστι, πόλεως [καὶ] πλέον τιμώσης τὸ κοινὸν γέρας ἢ *τὸ τῶν πατέρων ἱερόν. οὗτός ἐστιν ἐκ Πλουτάρχου, δι' οὗ πάντας ὑμᾶς παιδεύετε. οὗτος ἐκ Μινουκιανοῦ, τοῦ διὰ τῆς ἑαυτοῦ φωνῆς πολλοὺς πολλάκις ἐλευθερώσαντος. τὸν ἐκ Νικαγόρου προσήγαγον ὑμῖν, τὸν ἐξ *ἐμαυτοῦ. σοφιστῶν ὑμῖν καὶ φιλοσόφων λέγω κατάλογον, ἀττικὴν ὄντως ἀγλαΐαν. ἀφῆκα πολλάκις τὰς τῶν σοφιστῶν φωνάς, νῦν τὰς τοῦ πατρὸς ἀφίημι. δεδώκατέ μοι παῖδα δι' ἀττικοῦ γένους, *λάβετε τοῦτον καὶ διὰ τῆς ὑμετέρας ἐλεύθερον. ἐν κοινῷ δότε μοι τῇ ψήφῳ τὸν παῖδα, καὶ φωνὴν ἐλευθέριον συνεπηχήσατε, ἵνα ὡς Ἀθηναῖος (ἴσον γὰρ εἰπεῖν ἐλεύθερος) καὶ λέγῃ καὶ γράφῃ παρ' ὑμῖν κἂν οἱ θεοὶ βούλωνται, καὶ πολιτεύηται.

* θεοῖς.
* Ἀθηναίοις.
* al. τά.
* ἑαυτοῦ.
* al. λάβε.

Viri qui olim de victoriis cum Diis decertabatis, & nunc cum Atheniensibus de libertate. Igitur legibus obtemperans ea solum dico, quæ necessaria. Ego & pater apud vos Sophistæ fuimus, & num argutus fuerim, vos nouistis (hoc enim frequenter vsurpo, & meam institutionem theatra loquuntur) num Atticus pater fuerit, hæc declarat oratio. Nolo enim Atheniensium sobolem liberam non appellare. Libertatem etiam ante pubertatem filio committo. Meus est; Atheniensis est, donum est publicum ciuitati plus cæteris honoratæ. Hic enim est Plutarchi, quo vos omnes magistro vtimini, hic Minuciani, qui sua voce plurimos persæpe liberos fecit, hunc Nicagoræ filium vobis adduximus, & hanc meam prolem. Sophistarum vobis, philosophorúmque recenseo seriem, decus sanè Atticæ. Omisi sæpe Sophistarum nomina, nunc patris omitto. Dedistis filium mihi, quoniam Atheniensis est; accipite iam eundem vestra sententia liberum redditũ: Quare dimittite mihi vestro decreto filium, & dein vocem illam liberalem, seu vindicias secundum libertatem acclamante; vt tanquam Atheniensis (quod est ac si dicerem liber) apud vos & dicat, & scribat, &, si Dij velint, etiam in Repub. honores assequatur.

ἃς οὐκ ἐκίνησαν οὐδὲ θεοὶ δικαζόμενοι. ἀπέκλεισάς μοι τῷ θανάτῳ τὰς τοῦ ἄστεος πύλας, ἀπέκλεισάς μοι τὴν Ἐλευσῖνα. πῶς Ἀθηνᾷ θύσω, ἢ τὴν Γοργόνα κατὰ τοῦ δαίμονος ὑπὲρ σοῦ παιδίον οὐκ ἤγειρε; πῶς τοῖς πατρῴοις προσεύξομαι, πατὴρ ἐπὶ *παιδίῳ λυπούμενος; ὦ τολμηροὶ λόγοι. κεῖται Ῥουφῖνος, ὑμεῖς δὲ ἔτι νεανιεύεσθε; ὦ δυστυχὴς γλῶττα, ὦ πρότερον μὲν ὄργανον μουσῶν, νυνὶ δὲ *ἀμούσου δαίμονος. ὦ λάμψας ἑωσφόρου ταχύτερον. ὦ πασῶν μὲν δείξας ἐμοὶ φαιδροτέραν ἡμέραν· ὅτε σε εἶδε πρῶτον [ὁ] ἥλιος, πασῶν δὲ ἀφεγγεστάτην αὖ πάλιν, ἀφ᾽ ἧς τὴν δυστυχῆ καὶ τραγικὴν φήμην κεκόμισμαι. οἵαν τύχην ἀνθ᾽ οἵων ἐλπίδων ὁ δαίμων *μου κατεψήφισται. θρηνῶ νῦν ὃν δεινότερον ἤλπισα *Μινουκιανοῦ φθέγξασθαι, σεμνότερον δὲ Νικαγόρου, Πλουτάρχου δὲ εὐγλωττότερον, Μουσωνίου δὲ φιλοσοφώτερον, Σέξτου δὲ καρτερικώτερον, πάντων δὲ ὁμοῦ τῶν προγόνων λαμπρότερόν τε καὶ *κρείττω. αὐτὸς μὲν γὰρ παρεχώρουν ἔτι κομίζοντί σοι τὰ νικητήρια, καὶ τοὺς σοὺς λόγους τῶν ἐμαυτοῦ λόγων ἡγούμην κρείττονας· προὔκρινον τῶν σπουδασμάτων τὰ σὰ ψελλίσματα. ἀλλὰ ταῦτα πάντα ὁμοῦ συλήσας ὁ δαίμων, οἴχεται. ἐμοὶ δὲ ἀφῆκεν ἀντί σου θρήνους καὶ δάκρυα. κοσμήσω σε καὶ *ἐπιταφίοις ἀγῶσι, καὶ παραδώσω τῷ χρόνῳ τὸ σὸν ὄνομα, καὶ γενήσομαι τοῦ δαίμονος, κατὰ τοῦτο γοῦν τὸ μέρος, φιλονεικότερος. ἵνα ἔχῃ μὲν ἐκεῖνος τὸ σῶμα, τὴν δὲ ψυχὴν ὁ οὐρανός, τὴν δὲ δόξαν ἅπαντες ἄνθρωποι.

* παιδί. * ἀμούσου συν. * μοι. * Μινουκιανοῦ. * κρείττονα. * Ἐπιταφίοις ἀγῶσι.

quas Dij ipsi iudicio disceptantes flectere nequierunt. Occlusisti iam mihi morte portas vrbis, occlusisti Eleusina. Qua ratione Mineruæ sacrificabo, quæ pro te Furiam contra dæmonem illum non excitauit? Quomodo Deum patrium colam pater ob filium contristatus? O audaces sermones! Iacet Rufinus, & vos adhuc floretis? O infelix lingua, Musarum prius instrumentum, nunc vero turpis dæmonis! O qui clarius Lucifero splenduisti! qui lætissimum mihi tum diem ostendisti, cum te primum Sol cōspexit! iam vero rursum tristissimum, quo acerbum illum, & Tragicum nuncium percepi! O qualem casum pro hac spe, ô dæmon mihi destinasti! Defleo iam quem Minuciano vehementiorem, Nicagora grauiorē, Plutarcho eloquētiorem, Musonio sapientiorem, Sexto fortiorem, & omnibus denique superioribus illustriorē meliorémque sperauerā Oratorum. Ego ipse victoriam tibi adhuc iuueni concedebam, tuamque orationem mea splendidiorem longe arbitrabar, & balbutientem te de studiorum ratione præiudicaui, sed hæc omnia tibi dæmon auferens effugit, & mihi dolorem lacrymásque pro te reliquit. Ornabo te ludis funebribus, & posteritati nomen tradam tuum, & hac saltem parte dæmonem vincam, vt ille quidem corpus habeat, animam astra, omnes homines famam.

HIMERIVS. Plutarchus.

Ἐκ τοῦ εἰς Σευῆρον ἐπιθαλαμίου.

Ἐκ τῆς *Προθεωρίας.

* Παρθενίας.

Ἴσως μὲν ἄν τῳ περίεργον εἶναι δόξειε τὸ περὶ τῶν ἐπιθαλαμίων τεχνολογεῖν. ὅπου γὰρ Ὑμέναιος καὶ χοροί, καὶ ποιητικῆς αὐτονομίας ἄδεια, τίς ἐνταῦθα τέχνης καιρός; ἐπεὶ δὲ χρὴ τὴν ἐπιστήμην, καὶ ἐν τοῖς τοιούτοις μηδὲν ἄνευ τέχνης ποιεῖν· βραχέα καὶ περὶ τούτων εἰπεῖν ἄξιον. *ἔστω τοίνυν ὁ ἄριστος ἐπιθαλαμίων κανών, τὸ τὴν μὲν λέξιν πρὸς τοὺς ποιητὰς ὁρᾶν, τὰ πράγματα [δὲ] πρὸς τὴν χρείαν. τὸ δὲ μέτρον πρὸς τὴν ὑπόθεσιν. ὧν εἰ πάντων ὁ λόγος ἐστοχάσατο, σαφέστερον δείξει τὸ σύγγραμμα.

* οἱ. δε.

Ex Epithalamio ad Seuerum.

Ex Præfatione.

OPeræ pretium forsitan visum non fuerit, ante Epithalamia artificiosa dicere. Nam vbi Hymenæus, Chori, Poëticæque libertatis licentia est, quis ibi arti locus? Cum autem in his ipsis sine arte nihil peritum facere oporteat, breuiter de his loqui visum. Sit igitur hæc optima Epithalamiorum norma, considerare verba, vt in Poëticis solet, rem vt in Chrias, modulum, pro argumenti ratione. Quibus omnibus si accesserit oratio, apertiorem contextum reddet.

Τὸ Προοίμιον, τοῦ Ἐπιθαλαμίου.

Ἀπόλλωνά φασι, μετὰ τὰς μεγάλας νίκας, ἃς πλήττων τὴν λύραν ἤρατο, καὶ κατὰ παστάδων ἠχῆσαι μέλος γαμήλιον. ἄγει καὶ Ἀφροδίτην, ἐφ᾽ ἅρμα χαρίτων, καὶ χορὸν ἐρώτων συμπαίζοντα. καὶ τὰς μὲν ὑακίνθῳ τὰς κόμας σφίγξασα, πλὴν ὅσαι μετώπῳ μερίζονται, τὰς λοιπὰς ταῖς αὔραις ἀφῆκεν ὑποκυμαίνειν, εἰ πλήττοιεν· τῶν δὲ τὰ πτερὰ καὶ τοὺς βοστρύχους χρυσῷ κοσμήσασα πρὸ τοῦ δίφρου *προὔδίδου πολιτεύοντας, καὶ *δᾷδα κινοῦντας μετάρσιον. ἐπεὶ δὲ Πέλοπα οἱ τῆς Ἱπποδαμείας πόθοι Ἔρωτι καὶ Ἀφροδίτῃ λατρεύειν ἔπεισαν, τότε καὶ ὁ Ἀπόλλων τὸν τῶν Νηρηΐδων χορὸν ἀθροίσας, ἵστησι μὲν αὐτῷ κατ᾽ ἄκρας ἠϊόνος τὸν θάλαμον· κῦμα δὲ ἦν (οἶμαι) ὁ θάλαμος *πορφυροῦν τε καὶ μετάρσιον ὑπὲρ τοῦ λέχους κυρτούμενον, ἵνα παστάδα μιμήσηται. ἦν θεὸς καὶ φύσις· καὶ ὁ μὲν ἐδεῖτο γονῆς, ἡ δὲ τοῦ κυΐσκειν μέλλοντος.

* σπένδειν. * διακινοῦντας. * πορφυροῦν τι.

Epithalamij Proœmium.

FErunt Apollinem post clarissimas victorias, quas feriendo lyram adamauit, ad thalamos coniugale cecinisse melos. Venerem etiam in curru Gratiarum & Amorum chorum colludentem ducit, & crines flore hyacintho constringens, præter eos qui fronte diuiduntur, reliquos vento spargi permittit, forte in lyra illidantur. Horum vero alas & cæsariem auro vestiens, ante currum mittit ministrantes, & altas quatientes faces. Cum vero Pelopi persuasisset amor .˙ Hippodamiæ, vt Cupidini & Veneri seruiret, tum etiam Apollo collecto Nereidum choro, in summo littore illi thalamum statuit, cuius vicem vnda densè agitata, & sublimis in lecti morem flexa, ita vt thorū imitaretur, implebat. Erāt illic Deus & natura: ille quidem fœtu indigebat, hæc vero quæ pareret,

Phil. ℞. Iempr. Quem circa circumuolat: & cupido. Horat. Od. 2. & Iamb. .˙ Pindarus Od. 1. Olymp.

HIMERIVS.

Vt autem hæc inchoarentur, omnia omnibus pro thalamo erant. Ex his vtrique nuptiis * cœlum, & Sol generata sunt, astrorum cœtus, Lunæ splendor, vterque polus, circum quos primus primarum nuptiarum Dei ortus voluitur. Secundum deinde connubium Oceani, & Tethyos natura [monstrauit] à quibus nati fluuij & lacus, scaturigines, & fontes, putei, omniúmque aquarum caput mare; hinc autem natæ plantæ, & animalia; hinc terra incolitur, hinc pisces assumit mare, hinc alis penetrabilis aër. Postremo vero connubiū ipsum hominem contemplatorem diuinarum, terrenarum vero opificem rerum produxit (hominem enim terræ esse filium, & Atticā partus dolore quasi disruptam tale germen produxisse, ludicra Atticæ venustatis fabula cōfinxit) Quin etiam Venerē ipsam in mari latitantē, fractis partu fluctibus, Soli splendentem eadē nuptiç exhibuerunt. Si & fluuiorū amores dicere inciperem, magnus se dicendi cāpus offerret. Nam diligere omnes ipsum mare videntur, ideoque in illud citato cursu è fontibus deferri [quasi inter se mutuo vt amicam conantur amplecti.]

** Hesiod. in Theogon.*

Eccles. 1. 7.

Hoc vero feruet, ac delectatur in morem lecti sinuatum; quasi contra alios fluuios exsultans, quod solo Neptuni amore teneatur: Sic flumina æqualiter orientia, & æqualiter à simili origine deducta, communionem dilexerunt. Fertur olim Olympias Alexandri partu felix, Cabiron mysteria in Samothracia, peragendo, vidisse rem diuinam agens Philippum etiamnū iuuenem, & videndo amore captam, & quasi nuptiarum vota in sacris fecisse. Sponsa autem generis stirpem referebat ad Thraciæ quidem indigenas, sed qui à regibus ortum trahebant. Florent perinde vt verni calices, vt vuæ eiusque argi, quæ vno tempore, & florent, & auelluntur, temperantes ambo, faciles moribus, solis operibus naturalibus à se inuicem seiuncti. Hæc autem Mineruæ lanificium, ille laboribus Mercurij venustatem consecutus est; hæc de radio, ille de sermone sollicitus. Ille quidem adhuc adolescens, primam ætatis lanuginem producit, hæc vero nubilis redditur. Cupidines è rosis corollas nectentes, quas è Veneris decerpunt cum libet, hortis, thalamo suspendunt. Suada, Desiderium, & Cupido, omnem tibi ornatum addiderunt. Cupido insidet oculis, inde mirabiliter resplendens. Desiderium genas rubicundiores reddit, quam rosarum calices natura, quando verno tempore sub initium apertæ summis foliis rubescunt. Suada in labiis suis habitans, gratiam suam cum verbis instillat. In capite plurima efflorescit flaua coma, & in frōte diuisa. Etenim si ego natus poëta essem, vt libere de sponsa loquerer iuxta thalamū consistens, Fortunæ & Cupidinibus, & Generalibus Dijs vota facerem, his vt ad extremum vsque sagittas vibrarēt, illi vt vitam darent: tertijs denique, vt legitimæ prolis generationem largirentur, vt vna cum scypho nuptiali & curam de natalitijs adhiberemus.

Olympias Alexandri mater.

Hesiodus de Pandora.

ἵνα δὴ ταῦτα ἄρξηται), θάλαμος τῷ παντὶ τὸ πᾶν ἐγένετο. ἐκ δὲ δὴ τῶν γάμων τούτων οὐρανὸς γίνεται καὶ ἥλιος, ἔτι δὲ ἄστρων χορὸς, σελήνης φέγγος, καὶ διπλοῖ πόλοι. περὶ οὓς ἡ πρώτη γένεσις τῶν πρώτων τοῦ θεοῦ γάμων ἐλίττεται). δευτέρους δὴ μετὰ τούτους, γάμους Ὠκεανοῦ καὶ Τηθύος ἡ φύσις [ἔδειξεν] ἀφ' ὧν αὐχοῦσι μὲν ποταμοὶ καὶ λίμναι, ἔτι δὲ [καὶ] κρῆναι καὶ πηγαὶ, καὶ φρέατα, καὶ ἡ πάντων μήτηρ ναμάτων θάλασσα. τίκτεται δὲ καὶ φυτὰ καὶ ζῶα· καὶ γῆ οἰκεῖται, καὶ τὸ νηχόμενον λαμβάνει θάλαττα· καὶ ἀὴρ ἐφάνη * πτεροπορούμενος. τὸν δὲ θεωρὸν μὲν τῶν θείων, ἐργάτην δὲ τῶν ἐπὶ γῆς πραγμάτων ἄνθρωπον ὕστατον ὁ γάμος ἐγέννησε. τὸν γὰρ γῆς παῖδα γενέσθαι ἄνθρωπον, καὶ τὴν ἀττικὴν ῥαγεῖσαν ὠδῖνα τοσοῦτον βλαστῆσαι βλάστημα, μῦθός ἐστιν ἀττικῆς χάριτος παίγνιον. ἔδειξε καὶ τὴν Ἀφροδίτην αὐτὴν κατὰ θάλασσαν λανθάνουσαν, ῥήξας τῷ τόκῳ τὰ κύματα, ἔδειξεν ἡλίῳ μαρμαίρουσαν. τοὺς δὲ ποταμῶν ἔρωτας εἰ λέγειν ἐθέλοιμι [μυρίους,] μυρίος ἂν ποταμῶν * ἐπιῤῥέοι ὄχλος τῷ λόγῳ. πάντες γάρ μοι δοκοῦσι θαλάττης ἐρᾶν καὶ διὰ τοῦτο ἐπ' αὐτὴν ἐκ πηγῶν πολλῷ τῷ τάχει κομίζεσθαι, [ὥσπερ ἄλλος πρὸς ἄλλον τὴν ἐρωμένην θέλων ἀσπάσασθαι.] ὁ δὲ κυμαίνει καὶ τέρπεται) πορφύρεόν τε καὶ εἰς παστάδα κυρτούμενος· ὥσπερ (οἶμαι) φρονῶν κατὰ ποταμῶν τῶν ἄλλων, ὅτι δὴ μόνος τοῦ Ποσειδῶνος πόθου πεπίστευται. οὕτω καὶ οὗτοι φύντες ἴσως καὶ ἐκτραφέντες ὁμοίως ἀπ' ἴσων ἁπάντων, τῆς κοινωνίας ἠράσθησαν. λέγεταί ποτε καὶ Ὀλυμπιάδα τὴν ἐπὶ τοῖς Ἀλεξάνδρου τόκοις εὐδαίμονα, ὀργιάζουσαν τὰ καβείρων ἐν σαμοθράκῃ μυστήρια, ἰδεῖν κατὰ τὴν τελετὴν τὸν Φίλιππον (ἦν * ὑπηνήτης ἔτι) ἰδοῦσάν τε ἐρασθῆναι τοῦ νεανίσκου, καὶ ὁμολογῆσαι τὸν γάμον· προτέλειά τε ποιησαμένην τοῦ γαμηλίου πυρὸς τὰ μυστήρια. γένος δὲ τῇ νύμφῃ θρᾳκῶν τὰ πρῶτα. αὐτόχθονες (οἶμαι) τινὲς καὶ εἰς βασιλείους τύχας τὰς ἄνω ῥίζας ἀναβιβάζοντες. ἀκμάζουσι μὲν γὰρ ἐπίσης ὥσπερ ἐαριναὶ κάλυκες, ἀφ' ἑνὸς λειμῶνος βότρυες, αἳ καθ' ἕνα καιρὸν καὶ βλαστάνουσιν ἅμα καὶ σχίζονται), σώφρονες ἄμφω, δεξιοὶ τὸν τρόπον, μόνοις τοῖς ἔργοις τοῖς κατὰ φύσιν σχιζόμενοι. ἡ μὲν γὰρ ταλασίαν τὴν Ἀθηνᾶς τέχνην, ὁ δὲ τοῖς πόνοις τὴν Ἑρμοῦ χάριν καρπῶται)· καὶ τῇ μὲν κερκὶς, τῷ δὲ λόγος μέλει. ὁ μὲν, ὑπηνήτης ἔτι, πρώτιστον τῆς ἡλικίας βλαστήσας ἴουλον· ἡ δὲ ἀκμάζει πρὸς γάμον. Ἔρωτες δὲ ῥόδων στεφάνους πλεξάμενοι, οὓς ἐξ Ἀφροδίτης κήπων, ὅταν θέλωσι, * δρέπονται), τὴν παστάδα πᾶσαν ἀνάπτουσι. Πειθὼ δὲ καὶ Πόθοι καὶ Ἵμερος τὸ σοὶ κάλλος ἅπαν ἐποίμαναν· ὁ μὲν, ἱδρυζάμενος σοῖς ὄμμασι, κἀκεῖθεν ἐκπυρσεύων ἀμήχανον· οἱ δὲ, τὰς παρειὰς αἰδοῖ φοινίσσοντες πλέον ἢ τὰς τῶν ῥόδων ἡ φύσις κάλυκας, ὅταν ἠριναῖς ὥραις ὑπὸ τὴν ἀκμὴν σχιζόμεναι, πετάλοις * ἄκροις ἐρυθαίνωνται)·

** αἰθέρι σπειρόμενος.*

** ἐπιῤῥέοντι.*

** ὑπηνήτης.*

** δρέποντες.*

** ἔρωτι.*

Πειθώ γε κατὰ τῶν χειλέων σκηνώσασα, τὴν ἑαυτῆς χάριν συναποστάζει τοῖς ῥήμασιν. ἐπανθεῖ δὲ τῇ κεφαλῇ πολὺς ὁ βόστρυχος, πορφύρεός τε καὶ κατὰ μέτωπον σχιζόμενος. ἀλλ' εἰ γὰρ ἐγὼ ποιητικὸς τὴν φύσιν, ὥστε ἀφεῖναι κατὰ τῆς νύμφης γλῶτταν αὐτόνομον, ἐγὼ [δὲ] στὰς παρ' αὐτὸν τὸν θάλαμον, τύχῃ καὶ ἔρωσι γενεθλίοις προσεύξομαι, τοῖς μὲν, τοξεύειν εἰς τέλος· τῇ δὲ, διδόναι βίον· τοῖς δὲ, παίδων γνησίων γένεσιν, ἵνα τῷ γαμηλίῳ κρατῆρι καὶ τὸν γενέθλιον σπουδὴν στησώμεθα.

Ἐκ τοῦ ἐπιγραφομένου * διαλόγου Διογένης ἢ προπεμπτικός.

ΕΚ ΤΗΣ * ΠΡΟΘΕΩΡΙΑΣ.

Τὰς κοινότητας τῶν ὑποθέσεων ἰδίας αἱ μεταχειρίσεις ἐργάζονται. διὸ καὶ τοὺς προπεμπτικοὺς λόγους, κἂν νέοι τῷ νόμῳ τυγχάνωσιν, ἀλλ' οὖν * ὀξεῖαι τῇ τέχνῃ καὶ πρεσβυτέρους ἐργάσασθαι, ὅπερ ἡμεῖς πεποιήκαμεν. τὴν γὰρ παροῦσαν ὑπόθεσιν εἰς σχῆμα διαλόγου μετασκευάσαντες, οὔτε τὴν χρείαν διεφθείραμεν, οὔθ' ὅσον σεμνὸν τοῖς διαλόγοις ὀφείλεται. κατὰ Πλάτωνά γε καὶ ἡμεῖς, ἠθικοῦ τοῦ λόγου τυγχάνοντος, ὅμως φυσικῆς τε καὶ θεολογικῆς θεωρίας, ἐγκαταμιγνύντες ταύτας τοῖς ἠθικοῖς, ἐφαπτόμεθα. καὶ μύθῳ δὲ τοὺς θειοτέρους τῶν λόγων τοῦ Πλάτωνος ἐναποκρύπτοντος, χρὴ σκοπεῖν εἰ τὸν τοιοῦτον ζῆλον μετεδιώξαμεν. τὰς δὲ ἄλλας ἀρετὰς τῶν διαλόγων, ἀναπαύλας λέγω καὶ θέσεις, καὶ ἐπεισόδια, ἔτι δὲ χάριτας, καὶ τὸ δι' ὅλου δραματικὸν ἄμεινον εἰ κατορθώθη δείξει τὸ σύγγραμμα. τῶν δὲ διαλόγων ἀρχομένων ἀπὸ τῆς ἰσχνοτέρας ἰδέας, ἵνα τὴν ἀφέλειαν ὁ τύπος * προσβάλλῃ τῆς λέξεως, ἐν δὲ τοῖς ἐφεξῆς συνεξαιρομένων ὁμοῦ τοῖς πράγμασιν, εἰ καὶ τοῦτο ἡμεῖς τετηρήκαμεν, πάρεστι κρίνειν οἷς τύχη πρὸς ἀκρόασιν τὴν ἀκοὴν * παρεσκευάσασιν.

ΑΥΤΟΥ ΤΟΥ ΔΙΑΛΟΓΟΥ τὸ Προοίμιον.

Σιωπῆς μὲν καιρὸς, οὐ λόγων, ὅταν οἱ λόγοι στενάζωσι, τοὺς ἑαυτῶν τροφίμους ἀπὸ τῆς ἑαυτῶν ἀγέλης ἐκπέμποντες. ὅμως δὲ (χρὴ γὰρ λέγειν ἐν πάσῃ τύχῃ τοὺς λόγους) φέρε καὶ αὐτὸς, ὃν ἡ φροντὶς ἡ προσπεσοῦσα λόγον ἐγέννησεν, εἰ φίλον ὑμῖν, καὶ πρὸς ὑμᾶς ἀφηγήσομαι. ἑκάτερος τοσούτοις διαστήμασι τῆς ἀρετῆς ἀφεστηκότες ἀλλήλων, ὅσον Εὐρώπης τὰ μέσα πρὸς τοὺς ἄνω μυχοὺς Ἀσίας χίζεται, εἰς τὸν τούτου πόθον συνέδραμον, ἑκάτερος προαρπάσαι τὰς πρώτας ὠδῖνας τῆς τούτου γλώττης βουλόμενος· οὐ μιμησάμενος τὸν μυστικὸν νόμον, ὃς ἐπόπτῃ τε καὶ μύστῃ μερίζει τὸν χρόνον, ἀλλὰ τὸν αὐτὸν ἐν ταὐτῷ μύστην τε ὁμοῦ καὶ προφήτην τῆς ἱερᾶς τελετῆς τῶν ἐν σοὶ λόγων δειξάμενος, ἔδωκας ἀπλήστως τῶν ἐκεῖθεν ναμάτων ἐμπλήσασθαι. ἢ οὐκ ἀκήκοας ὡς ὄντες ἄνθρωποι τὸ παλαιὸν οὗτοι οἱ τέττιγες, εἶτα ἔρωτι Μουσῶν, ἐκ τοῦ ᾄδειν ἀεὶ, λυθέντες εἰς μέλος, ἐκ μὲν ἀνθρώπων εἰς ὄρνιθας, ἐκ δὲ ᾠδῆς εἰς ᾠδὴν ἄλλην μετέβαλλον; ἄκουε δὴ τὸν μῦθον. ὅτε τοὺς ἀνθρώπους ὁ Ζεὺς ἐγέννησε, τὰ μὲν ἄλλα πάντα εἶχον ὡς νῦν * κεκόσμηνται, ἔρως δὲ οὔπω ταῖς ψυχαῖς τῶν ἀνθρώπων ἐγκατῳκίζετο. ἀλλ' ἔχων ἔτι τὸ πτερὸν ὁ θεὸς οὗτος μετάρσιον, οὐρανῷ τε ἐνωμίλει, καὶ εἰς θεοὺς μόνους ἐτόξευε. δείσας δὲ μὴ αὐτῷ ἀφανισθῇ τῶν ποιημάτων τὸ κάλλιστον, ἔρωτα πέμπει τῷ τῶν ἀνθρώπων γένει ἐσόμενον φύλακα. ὁ δὲ ταύτην ἐκ Διὸς τὴν ἐπιτροπὴν λαβὼν, τὸ μὲν ἁπάσαις ψυχαῖς ἐγκαθιδρύεσθαι, ἢ πᾶν ἐπίσης ἦθος νεοτελές τε καὶ βέβηλον ἔχειν τέμενος, οὐκ ἐδοκίμαζεν· ἀλλὰ τὰς μὲν πολλὰς καὶ ἀγελαίους ψυχὰς τοῖς πανδήμοις ἔρωσι τοῖς τῶν νυμφῶν παισὶ ποιμαίνειν ἀπένειμεν, αὐτὸς δὲ τὰς θείας καὶ οὐρανίας ψυχὰς * ἐνῳκίσατο καὶ ταύτας ἀναβακχεύων ἐπὶ μανίαν ἐρωτικὴν, μυρία ἀγαθὰ τὸ τῶν ἀνθρώπων γένος εἰργάσατο.

E Dialogo inscripto Diogenes, vel Propempticon. Ex Præfatione.

FAciendum semel est initium in nouo genere argumentorum, quod * præmissæ orationes etsi nouæ sint, non possint artificio vetustatem induere, vt nunc fecimus. Hoc enim argumentum more Dialogi concinnantes, nec vsum nec grauitatem dialogos decentem corrupimus. More Platonis nos id aggredimur, licet moralis sit oratio, tamen Physica, ac Theologica moralibus commiscentes, & videndum est vtrum hoc genus dicendi Platonis qui fabulis res diuinas inuoluit, assecuti simus, & cæteras dialogorum virtutes, inspirationes, inquam, ordines, & episodia; dein & lepores, & actio in genere meliorem ostendit compositionem, si recte successerit. Cum autem dialogi initio humiles sint, vt ipse dicendi character simplicitatem adjiciat, in sequentibus simul & rem auferant; an hoc præstiterimus, aliorum esto iudicium, quibus hæc audire contigerit.

* προπεμπτικοὶ λόγοι. Vide Sidonij Apoll. Scholiasten.

Sigonius de Dialogo.

Huius Dialogi proœmium.

SIlentij iam tempus est, non loquendi, cum oratio proprios alumnos à grege suo demittens deploret. Verumtamen (nam in omni euentu dicendum est) age & ipse, sustine orationem, quam incidens sollicitudo conflauit, si vobis gratum est, etiam ad vos pronunciabo. Vterque tantis interuallis à capite ab inuicem distantes, quanto media Europæ ab extremis Asiæ locis separantur, in huius amorem concurrerunt, vterque præripere primos partus huius linguæ conatus, non imitatus sacram legem, qui inspectori; & sacris initiato tempus attribuit, sed eundem, & sacerdotem simul, & inspectorem sacræ hostiæ in hac tua oratione esse declarans, dedisti his aquis sine satietate impleri. An non audiuisti quomodo homines illi antè cicadæ fuerint; deinde Musarum amore ob perpetuum cantum in melos soluti, ex hominibus in aues, ex vna cantione in aliam transformati sint? Audi fabulam: Cum Iuppiter homines condidisset, omnia alia eo ornamento fuerunt, quo nunc sunt. Cupido autem nondum animis hominum insidebat, sed habens Deus ille ingentes alas in cœlo habitabat, & in solos Deos tela vibrauit. Metuens autem ne pulcherrima omnium creatura pessum iret, Cupidinem ad homines custodiendos misit. Ille datam à Ioue potestatem arripiens, omnibus scilicet mentibus insidere, vel in omnibus cœlestibus ac * profanis, æque habitare loco templi noluit. Sed multas & gregales mentes amore vulgari sponsarum occupari dedit. Ipse vero Deorum cœlestiumque mentes incoluit, & illas in libidinosam amentiam furore incitans, infinitis bonis humanum genus affecit.

Fabula.

Confer quæ inf. in extrem. orat. in aduentum Cypriorum.

* βέβηλον.

HIMERIVS. Quando igitur videris tardam quandam naturam, & ad amorem lentam, cogita nunc donis illius cupidinis indignum fuisse: cum vero incitatam & feruidam mentem, & flammæ instar ad amabilem amicitiam ducentem, puta illam à dono Cupidinis venire. Vnum mihi, ô amice Socrates, dicis, amatorum optime, partem virtutis Cliniæ, fortitudinem scilicet in periculis, quam exercitatione sæpe exhibet, interpretem orationum non exspectans. Dat eidem hanc licentiam, quam primo Pericli cum pro vrbe bellum gereret. Hæc est sincera ratio. Si vero hunc videas iudiciaria sede expulsum, implora cum gemitu legem, quia auro victus est. Nam simul florens cum vrbe regia, circum quam ingentia maria separantur, & idem cum ea gloriæ suæ fundamenta iaciens, quam diu in cunabulis adhuc corpus vrbis fingebatur, alia imperia è regia potestate decreuit. Cum verò indigeret sedula opera tanquam statua perfecta, quam adumbratam prius viderant, eandem potestatem assumpsit, vt idem initium & finem omni ornamento vrbis fecerit. vrbes excitatas, populum crescentem, Tartessi vitam, cornu Amaltheæ, caput omnis felicitatis. Sed quæ est erga hunc iuuenem studij causa? tota mens nuper à supernis sedibus digrediens, infixam adhuc fert speciem simulacrorum illorum, quæ tum vidit, cum hilarem choream cum variis Diis saltauit. Cum igitur viderit illic pulchritudinem, quam tunc verè descripsit, intra mentem diuinam absconditam, desiderat & gaudet hoc spectaculo, & seipsam splendore scientiáque eleuans, cum hoc loco coniungere festinat. Tale quid mihi in adolescente accidit. Nam veluti in speculo huius in animo speciem animi mei apparentem videns, ea sum delectatus, & ideo amaui, & quasi alterum me huius animum quæsiui. Probè potest omnia memoria custodire, quæcunque sub duce gesserit animo Philosophus, orationibus non his modo, sed & omnibus, quæ è Musarum, & Apollinis pratis pullulant. Vnde omnis doctrinæ fructus discerpens tãquam veris corollam, his animum suum ornauit. Si dicere necesse fuerit, ne amplius quæras cuius sit filius, & ad quem pertineat. Sic primam imaginem accuratius quàm quiuis pictor expressit: bonus quidem socius, si cum duce pugnandum sit, bonus etiam sua sponte. * Iustè igitur poëtæ, & cum iis pictores & fictores Cupidini senectutem demunt, iuuenem hunc Deum, & pubescẽtem fingunt, fraudem illius ætate iuuenili demonstrantes. O qui tantum lingua vales, quantum audio * Cineam Thessalum, qui cum rege Pyrrho omnem terram & mare emensus non machinis, sed oratione vrbes euicit. Non enim ille huius magister per vestros, ô sermones, amores, propter quos ego beatas paternas abiiciens opes, iuxta secretas Ilissi ripas habitaui.

Alexander totius mundi partium trophæis potitus. Tum enim è meridie confluit æstas, aurora mitigat Solem, & elaros in proram fluctus diuidit Zephyro.

Plato in Phædro, vel Sympos. Alciat. Emblem.

Argenthonius.

** Philostratus & Gyraldus.*

** Cineas Thessalus, Demosthenis auditor. Plutarch. in Pyrrho.*

Alexander.

ὅταν μὲν οὖν ἴδῃς τινὰ βραδεῖαν τὴν φύσιν καὶ πρὸς φιλίαν δυσκίνητον, νόησον ὅτι τῶν ἔρωτος ἐκείνου ξενίων οὐδαμῶς ἠξίωται. ὅταν δὲ ὀξεῖαν καὶ θερμὴν τὴν γνώμην, καὶ φλογὸς δίκην ἐπ' ἐρωτικὴν φιλίαν * ἄττοντα, νόησον τοῦτον εἶναι ἐκείνου ξένιον τοῦ Ἔρωτος. ἓν γάρ μοι λέγεις, ὦ φίλε Σώκρατες, ἐραστῶν ἄριστε, ἀρετῆς Κλεινίου μέρος, ἀνδρείαν ἐν φόβοις, ἣν καὶ μελέτῃ πολλάκις δίδωσιν, ἐξηγητὴν * λόγων ἀναμείνασα. δίδωσι δ' αὐτῷ τὴν παῤῥησίαν, ὅπερ καὶ Περικλεῖ πρότερον, ὅτ' ἐστρατήγει τῆς πόλεως. τοῦτο δέ ἐστι τρόπος ἄδολος. εἰ δὲ τοῦτον ἴδοις δικαστικῶν θρόνων εἰργόμενον, στέναξον τὸν νόμον, ὅτι χρυσίου νενίκηται. συνακμάσας γὰρ τῇ βασιλέως πόλει, περὶ ἣν τὰ μεγάλα πελάγη σχίζεται, καὶ τὴν αὐτὴν ἐκείνῃ κρηπῖδα τῆς ἑαυτοῦ δόξης * βαλόμενος· ἕως μὲν ἐν σπαργάνοις ἔτι τὸ σῶμα τῆς πόλεως ἐπλάττετο, ἑτέρας ἀρχὰς ἐκ βασιλέως * κατηύθυνεν. ἐπεὶ δὲ ἔδει τῆς ἀκριβοῦς χειρὸς, καθάπερ ἐν τύποις ἀγάλματος, [ἐπ' αὐτὴν] ἐπάνεισιν, ἵνα αὐτός τε * ἀρχὴ καὶ τέλος γένοιτο τῷ παντὶ κόσμῳ τῆς πόλεως· πόλεις ἐγειρομένας, δήμους ἀκμάζοντας, Ταρτησσοῦ βίον, Ἀμαλθείας κέρας, πᾶν ὅσον εὐδαιμονίας κεφάλαιον. ἀλλὰ τίς τῆς περὶ * τὸν νεανίσκον σπουδῆς αἰτία; ψυχὴ πᾶσα, ἄρτι χωρισθεῖσα τῆς ἄνω λήξεως, ἔναυλον ἔτι φέρει τὴν θέαν τῶν ἀγαλμάτων ἐκείνων, ἃ τότε εἶδεν, ὅτε εὐδαίμονα χορείαν σὺν θεῶν * δίφροις ἐχόρευεν. ὅταν οὖν ἴδῃ καὶ τῇδε κάλλος, * ὃ τότε πλάσματος αὐτὸ ἱστόρησεν, εἴσω ψυχῆς θείας κρυπτόμενον· * σπαργᾷ τε καὶ χαίρει τῇ θέᾳ, καὶ συμβιβάζειν * ἑαυτὴν πρὸς τὸν ἐκεῖ τόπον ἐπείγεται, δόξῃ τε καὶ ἐπιστήμῃ κουφίσασα. τοιοῦτόν τι πάθος καὶ αὐτὸς περὶ τὸν νέον ἔπαθον. καθάπερ γὰρ ἐν κατόπτρῳ, τῇ τοῦδε ψυχῇ, εἴδωλόν τι τῆς ἐμαυτοῦ γνώμης ἰδὼν φαινόμενον, ἥσθην τε αὐτῷ, καὶ διὰ τοῦτο ἐπόθησα· καὶ καθάπερ ἄλλον ἐμαυτὸν τὴν τοῦδε ψυχὴν ἐξεζήτησα, ἢ * ἐξήσκησα. δεινὸς μὲν οὖν καὶ * μνήμῃ φυλάξαι πᾶν, ὅπερ ἂν ὑφ' ἡγεμόνα ποιήσῃ φιλόσοφος μὲν τὴν γνώμην, τοὺς δὲ λόγους οὐ τούτους μόνον, ἀλλὰ καὶ πᾶν ὅ, τι βούλει τῶν ὅσα Μουσῶν τε καὶ Ἀπόλλωνος λειμῶνες βρύουσιν. ἀφ' ὧν δρεψάμενος ἁπάσης παιδείας λωτὸν, οἷόν τινα στέφανον ἠρινὸν, τὴν ἑαυτοῦ ψυχὴν ἀπείργασται. εἰ μὲν γὰρ λέγειν δεήσειεν, οὐκ ἂν * ζητήσαις ὅτου παῖς εἴη, καὶ ὅτῳ προσήκει; οὕτω πάσης γραφῆς ἀκριβέστερον τὴν εἰκόνα τοῦ καθηγεμόνος μεμίμηται· ἀγαθὸς μὲν συμπαραστάτης, εἴ που * δέοι τῷ καθηγεμόνι συναγωνίζεσθαι· ἀγαθὸς δὲ καὶ * αὐτοπροσώπως. δικαίως ἄρα οἱ ποιηταὶ, καὶ μετ' αὐτῶν γραφεῖς τε καὶ πλάσται Ἔρωτος γῆρας ἀποσυλήσαντες, νέον ποιοῦσι τὸν θεὸν τοῦτον καὶ ἔφηβον, τὰ τῆς ἀπιστίας αὐτοῦ * τῷ νεαρῷ τῆς ἡλικίας * ἐμφαίνοντες. ὦ τοσοῦτον ἰσχύσας τοῖς λόγοις, ὅσον καὶ τὸν Θετταλὸν ἀκούω Κινέαν, ὃς σὺν βασιλεῖ Πύῤῥῳ γῆν ἐπιὼν πᾶσαν καὶ θάλασσαν, οὐ τῷ μηχανημάτων τοῖς λόγοις τὰς πόλεις ἔκλινεν. οὐ γὰρ αὐτός γε τούτου διδάσκαλος, οὐ μὰ τοὺς ὑμετέρους, ὦ λόγοι, πόθους· δι' οὓς ἐγὼ πατρικὸν ὄλβον ῥίψας εὐδαίμονα, παρ' Ἰλισσοῦ μυσικαῖς ὄχθαις ἐσκήνημαι. Ἀλέξανδρος ὁ τοῖς τροπαίοις, ὅροις τοῖς * ὅλοις χρησάμενος. τότε γὰρ τῆς μεσημβρείας ὑποῤῥεῖ ζέον, αὔρα τε πραΰνει τὸν ἥλιον, καὶ σχίσαι Ζεφύρῳ πορφύροντα περὶ τὴν πρῶραν τὰ κύματα.

* ἄγοντα. * λόγων. * βαλλόμενος. * κατηύθυνε. * ἀρχὴν. * τῶν νεανίσκων. * διαφόροις. * ὅτε. * σπαργᾷ. * ἑαυτῇ. * ἐξηγήσατο. * μνήμην. * ζητήσεις. * δέοιτο καθηγ. * αὐτοπροσωπεῖται. * τὰ νεαρά. * φαίνοντες. * ὅλου.

Ex τῶν

HIMERIVS.

Ex τοῦ πρὸς τοὺς ἑταίρους συντακτικῆς, ὅτε ἐξῄει ἐπὶ Κόρινθον.

Τὸ Προοίμιον.

ΟΙ πάλαι τὴν λύραν κάμνοντες, εἴ ποτε γῆν ἐπ' ἄλλην ἐσπούδαζον, οὐκ ἄφθογγον τὴν ἀποδημίαν *ἐποίουν, ἀλλ' ᾠδῇ καὶ μέλει τὸν χορὸν τὸν ἑαυτῶν ἀπησπάζοντο.

* [illegible]

Ex τῶν ὑπολοίπων, διαφόρων ὄντων, καὶ διαφόρους ἐχόντων ὑποθέσεις.

ΤΑΣ βασιλέως αὐλὰς καὶ χρυσῆν τύχην ὑπόπτερον. οὐ γὰρ ἀφῃρέθης τὴν ἀρχήν, ἀλλ' ἑκὼν ἔρριψας, ὥσπερ τις ὑπερόπτης κατὰ τὴν παιδικὴν τρυφῆσαι βουλόμενος. τὴν χρυσῆν κόμην *ῥόδων στεφάνῳ περιφύροντι. ἀλλὰ τίς τούτων ἡ χάρις; φυγὴ καὶ δρασμός, καὶ τοσαύτης φιλίας ἄρνησις. ἐνίκησα μὲν ὑπό σοι κριτῇ κατὰ τὴν θερινὴν ὥραν τὸν τέττιγα, ἠπείλησα δὲ καὶ ταῖς ἀηδόσι ταῖς ἀττικαῖς, εἴ ποτέ μοι καὶ ἀττικὸν πήξαιο θέατρον, μῦθον ὄντως τὰς ἐκείνων γλώττας ταῖς ἐπὶ σοὶ φωναῖς ἀπεργάσασθαι. Ὦ καὶ τὸ σαυτοῦ γένους ὄμμα φανότατον, καὶ ταὐτὸν τῷ γένει γενόμενος, ὅπερ καί σοι πολλάκις ὁ προπάτωρ ἥλιος, τοῦ γὰρ συνωρίδος ταύτης δὴ τῆς καλῆς, ὁ μὲν καταυγάζοντι τοὺς μεγάλους θρόνους, *οἷς τις ἑωσφόρος συνανίσχει ὄρθριος, ταῖς *αὐτοῦ βολαῖς τὰς σὰς ἀκτῖνας μιμούμενος· ὁ δέ, τὸν τῶν νέων ἀγέλης ἐκλάμπων, καθάπερ τις ταῦρος ἀγελάρχης ἀγέρωχος ἐσκίρτησε μὲν κατὰ τοὺς μουσῶν λειμῶνας, ὥσπερ τις πῶλος ὑψαύχην καὶ ἔνθεος, ἐμιμήσατο δὲ καὶ τὸν ὁμηρικὸν νεανίσκον τὸν Θέτιδος καὶ μύθων ῥητῆρ' ἀγαθὸν καὶ *πρηκτῆρ' ἔργων γενόμενος. εἰ δέ μοι καὶ τῆς ποιητῶν ἐξουσίας μετῆν, ἔδειξα ἄν σοι καὶ Ἰλισσὸν τοῦτον δακρύοντα, ἔγραψα δ' ἂν καὶ κατηφεῖ χρώματι τὰ καλὰ Καλλιρρόης νάματα. πέμποι μέν σε Πὰν ἐνόδιος πομπαῖον, καὶ γλυκὺ *προσηχοῦν μέλος τῇ σύριγγι· Ἀφροδίτη δὲ καὶ οἱ ταύτης παῖδες ἔρωτες, πόθου κρατῆρα κεράσαντες, σοῦ τὴν ὁδὸν προπομπεύοιεν.

* ῥόδων. * ἑωσφόρος. * ἑαυτοῦ. * πρηκτῆρ. * γλυκὺ ἀπηχοῦν ἔχων.

Προπεμπτικοῦ λόγου. Τὸ προοίμιον.

ΟΤοῦ Διὸς παῖς Ἀλέξανδρος (συνάπτει γὰρ αὐτὸν οὐρανῷ καὶ Διῒ τὸ πολὺ κλέος καθ' Ἑλλήνων) ὅτε πληρώσας τῆς ἑαυτοῦ δόξης τὴν Εὐρώπην ἅπασαν ἐπὶ τὴν Ἀσίαν ἐστέλλετο, συνάψαι τὰς ἠπείρους τῷ καθ' ἑαυτὸν ἐθέλων θαύματι, τὸν Τιμοθέου προσκαλέσας αὐλόν, (οὕτω γὰρ ἤχει μέγα καὶ τοσούτου βασιλέως ἄξιον) ὑπὸ τοῖς ἐκείνου μέλεσιν *ἔλυε τοῦ στόλου τὰ πείσματα. φέρε δὴ γράψω *τῷ λόγῳ τὸν πίνακα. ἔχει γὰρ (οἶμαι) πρὸς μίμησιν οἰκεῖα καὶ λόγος φάρμακα. ναῦς μὲν κατὰ τὴν γραφὴν καὶ θάλαττα. ἡ δὲ θάλαττα (οἶμαι) Αἰγαῖος μέν. αἱ γὰρ πολλαὶ νῆσοι, αἱ κατ' ἄλλο καὶ ἄλλο μέρος τῆς θαλάσσης σχιζόμεναι, Αἰγαῖος ὑπὲρ αὐτῶν ἐδείκνυε εἶναι ἡ θάλαττα. γέγραπται δὲ οὐκ ἄπλωτός *τε καὶ ἄγριος, οὐδὲ εἰς αὐτὰς ἐγείρων ὀφρῦς τὰ κύματα, οἷα τὰ πολλὰ Αἰγαῖος κατὰ τῶν ἐκεῖ πλωτήρων θρασυνόμενος· ἀλλ' ἐστόρεστο μὲν εἰς γαλήνην τὰ κύματα, τὸ δὲ ὕδωρ ὅλον ἐπόρφυρε πρὸς αὐταῖς *ἠϊόσιν, εἰς γλαυκὸν ἄνθος ἠρέμα μεθισταμένου τοῦ κύματος. πρῶτοι γὰρ Φρύγες αἰτίαν ἔχουσιν αὐλῷ τε ἐμπνεῦσαι, καὶ ταῖς τελεταῖς ἀναμίξαι τὰ *κύμβαλα.

* ἔλυσε. * τῷ λόγῳ. * al. τε. ἦ. * ἠϊόσιν. * ἀνακεράσαι.

Ex oratione ad Socios dum iret Corinthum.

PROOEMIVM.

VETERES lyram fabricantes, si quando in aliam terram properarent, peregrinationem non vacantem Musica faciebant, sed cantu, & carmine chorum suum retinuerunt.

Ex orationibus reliquis diuersis diuersorum argumentorum.

O Aulam regiam, & fortunam tibi alatam! Non vi è regno eiectus es, sed libenter excidisti, non secus quàm si superbus quis in puerilibus voluptatem capere contenderet. Auream cæsariem permutasti iubente corona rosarum. Sed quænam horum gratia rependitur? fuga & cursus, & tantæ amicitiæ renunciatio. Vici, te iudice, æstatis tempore cicadam, minatus etiam sum philomelis Atticis, si quando mihi etiam Atticum Theatrum statueris, me omnino hac voce effecturum penes te, vt eorum linguæ instar fabulæ sint. O tui stemmatis lumen clarissimum, idq; sæpe generi tuo exstitisti, quod sæpius huic tibi sol. Etenim ex hac pulchra coniunctione, hic quidem altiores sedes illustranti, quasi matutinus aliquis lucifer consurrexit, suis repercussionibus radios suos imitatus. Ille verò iuuenum cœtum illustrans, vt taurus aliquis ductor, armenti petulcus, lasciuiit in Musarum pratis, vt pullus Lunaticus, & numine plenus, & Homericum iuuenem Thetidis * filiū, & hæc verba, *Bonus orator actorque rerum*, imitatus est. Si ad me poëtarum licentia pertineret, ostendissem tibi & Ilissum hunc lacrymantem, depinxissem tristi colore pulchram Callirrhoës vndam. * Triuialis Pan te euocatorem animarum, dulce fistula carmen personans deduceret. Venus verò, & huius filij Cupidines, desiderij tibi miscētes potum, viam tuam honorificè comitarentur.

* *Achilles.*
* *Ἐνόδιος. Girald.*

Ex oratione propemptica.

PROOEMIVM.

ALEXANDER filius Iouis (comparat enim illum cœlo & Ioui rerum gestarum cōtra Græcos gloria) cùm Europam nominis sui fama implesset, in Asiam se conuertit, continentem suis propriis adnitens gestis coniungere, Timothei prouocans tibiam (nam adeo magnū & tali rege dignum canebat) vt illo canēte soluerit nauium rudētes. Fer tabulam, & ego orationes pingam. Nam habet etiam oratio, vt puto, non ineptos ad imitandum colores. Erat in pictura nauis, & mare, & vt existimo, Ægæum fui.. Multę enim insulæ hinc, & illinc sparsę in mari erant, vt Ægæum ante alia inprimis mare esse videretur, pictum erat non violentum, aut terribile, neque vsque eleuans fluctus, qualia contra naturas illic audet sæpius Ægæum, sed tranquillè strati erāt fluctus, omnis aqua in littoribus voluebatur, in luteum colorem parum mutata vnda. Primi Phryges tibiam inflare inuenerunt, & sacrificiis adhibere cymbala.

Alexander Magnus.
Timotheus.
Ægæum mare.

HIMERIVS. Hoc verò contra vtramque nauis partem in proram iam attritum, tanquam auream materiam reddebat. Hic verò & artem admirari çquum est. Aqua enim marina diuisa circa proram, auri repercussionibus splenduit, & in similem colorem mutasse mare videbatur. Proinde date mihi artificium Zeuxidis, & Parrhasij scientiam. Delphi igitur vrbs dicata Apollini, colit semper hunc Deum, & tripudiant adhibito * pæane circum Tripodem. Quin etiam Elei lacrimantur, amnem *. Pisæum ad Siculum vsque fontem comitantes, quasi metuentes, ne amnis decessum meditans, aliis hominibus aquam largiatur. Celeriter & philomelæ & cygni, omnisque cantus simul volabunt. Nostræ enim Musæ iam nauiculam audent compingere, & fugam minantur & mare, licet fluctibus sæuiat. Abiiciens è manibus lyram, silentium cantionum suadebit. Nauis prætoria in portubus, velum supremum sublime, quale radiis claris & maritimis extendi solet. Parua in gratiam Hesperidum prata, paruæ ad magnitudinem pyramides Ægyptiæ, & si quid Persarum & Assyriorum manus conspicientes posteris spectandum tradiderunt. Sed ad amicas Athenas hæc classis, quæ suis adeo te amoribus incenderunt, vt amorem erga hanc linguam semper circumferas. Quid autem responsum communis omnium statuæ apud alias habitaturæ denegas? Fabula Cimmeriis populis occidentalibus Solem eripuit, sed metuens, ne redargueretur, obscuris verbis tegere rumorem adnixa est. Nos verò nullus poëta mentiri putauerit, post tuam peregrinationem auferre Solem cupiens, ô amica patria. Nunc tibi iniuriam intulisse me sentio, tuos amores despiciens, infido amatori omnia cupiens largiri. Sed parum horum legem secutus, ad inhonestatem orationem conuerti, licet mihi desiderium Dij impleuerint. Iterum enim sceptra, iterum iudicij sedes. Hoc Ephyra attulit, vrbs non solùm ad admirationem fabulis illustrata, vt pleræque omnes Græciæ, sed etiam iudicanti oculo felicitatem adferens. Sic huius gens infinitis orationibus, operibus & similibus exsultat. Recordandum est huius iam gentis: non tamen totius: (non omnia narrare magno mihi oneri esset) vnum ex iis qui ab illis nuptiis progeniti sunt, assimilabo sapientiam animæ statuis. * Sinus Ionicus alluens mitigat littus fluctu, iuxta hanc oram tripudiat Nereidum chorus, omnes albæ, lac quale fieret arte pastorum, oculis glaucis, ornatæ musco, præterea albam spumam è mari summis stillantes crinibus. Illa vicissim sponsum amabat, & arrhabone nuptias confirmat. Producit enim medio mari fontem. Hæc vero sciens hoc beneficium à sponsa profectum esse, aliis nautis vndam eripit, solis verò his reseruat amabilem potum, vt hauriant qui è sponsa sunt, quod etiam contra virtutem factum est. Promptus ad discendum illi est animus, celer ad intelligendum, memoria innata, prompta est ad dicendum,

Delphi.

*l. Proclus sup. in Chrestomathia.

*. an Ἀλφειὸν fl.

Ephyra Vrbs.

* Herat. Od.

τὸ δὲ ἐπὶ * θάτερα τῆς νεὼς μέρος εἰς πρῷραν ἤδη θλιβόμενον, χρυσοῦν * τῆς ὕλης πεποίηκε. ἔνθα καὶ θαυμάσαι * τὴν τέχνην ἄξιον. τὸ γὰρ περὶ τὴν πρῷραν τῆς θαλάσσης ὕδωρ σχιζόμενον, ταῖς τοῦ χρυσοῦ βολαῖς ἐπαυγάζον, εἰς ὅμοιον αὐτῷ ἀμείβειν ἐδόκει τὴν θάλασσαν. ἐντεῦθεν δότε μοι τὴν Ζεύξιδος τέχνην, τὰ Παρρασίου σοφίσματα. Δελφοὶ δὲ ἄρα * ἱερὰ πόλις Ἀπόλλωνος, λατρεύουσι μὲν ἀεὶ τῷ θεῷ, καὶ περιχορεύουσι μετὰ παιᾶνος τὸν τρίποδα. καὶ μὴν καὶ Ἠλεῖοι δακρύουσι, τὸν ποταμὸν τὸν Πισαῖον ἐπὶ τὴν σικελικὴν κρήνην παραπέμποντες. ὥσπερ (οἶμαι) τοῦτο φοβούμενοι, μὴ κατὰ τὴν ἀποδημίαν ὁ ποταμὸς, ἄλλοις ἀνθρώποις χαρίσηται τὰ νάματα. τάχα δέ σοι καὶ ἀηδόνες καὶ κύκνοι καὶ πάντα τὰ μέλη συναποπτήσονται. αἱ μὲν γὰρ ἡμέτεραι μοῦσαι φυγὴν, καὶ * σκάφην ἤδη τολμῶσι πήγνυσθαι, καὶ ἀπειλοῦσι φυγὴν, καὶ θάλατταν, κἂν ἀγριαίνει τοῖς κύμασι. ῥίψας ἐκ τῶν χειρῶν τὴν λύραν, σιωπὴν τῶν μελῶν καταψηφίζεται. ναῦς ἐν ὅρμοις στρατηγὶς, ἱστὸν ὑψηλὸν μετάρσιον, οἷον καὶ λαμπραῖς αὐγαῖς καὶ πελαγίοις πετάννυσθαι. μικροὶ μὲν εἰς χάριν ἑσπερίδων λειμῶνες, μικραὶ δὲ εἰς μέγεθος πυραμίδες αἰγύπτιαι, καὶ εἴ τι περσῶν καὶ ἀσσυρίων χεῖρες * ποιήσασαι θαῦμα ἀφῆκαν τοῖς ὕστερον. ἀλλ' ἐπὶ τὰς φίλας ἀθήνας ὁ στόλος, αἵ σε τοῖς πόθοις οὕτως ἐξέκαυσαν, ὡς καὶ ἐπ' αὐτῆς περιφέρειν γλώττης τὸν ἔρωτα. τί δὲ ὀκνεῖς τὴν ἀπόκρισιν τοῦ κοινοῦ πάντων ἀγάλματος μαντοσιωπῶν παρ' ἑτέροις μέλλοντος; Κιμμερίοις μὲν δὴ δήμοις ἑσπερίοις ἀφείλετο μῦθος τὸν ἥλιον, εἶτα φοβηθεὶς τὸν ἔλεγχον, ἀμφιβόλοις ῥήμασι κρύψαι τὴν φήμην ἐσπούδασεν. ἡμᾶς δὲ οὐδεὶς ποιητὴς ψεύδεσθαι δόξει μετὰ τὴν σὴν ἀποδημίαν ἀφελέσθαι θέλων τὸν ἥλιον. ὦ φίλη πατρὶς, νῦν σε ὄντως ἀδικήσας αἰσθάνομαι, τοὺς σοὺς ὑβρίσας ἔρωτας, ἐραστῇ θέλων ἀπίστῳ πάντα χαρίσασθαι. ἀλλὰ μικροῦ τῷ νόμῳ τῷ περὶ τούτων ἑπόμενος, εἰς ἀκοσμίαν τὸν λόγον ἔτρεψα· καίτοι μοι τῶν θεῶν πληρεσιώτατον τὸν πόθον. πάλιν γὰρ σκῆπτρα, πάλιν τὰ δίκης οἱ θρόνοι. τοῦτον ἔφυρα μὲν ἤνεγκε, πόλις οὐ μόνον καλλωπιζομένη μύθοις πρὸς τὸ θαυμάζεσθαι, οἷα τῶν ἑλληνίδων αἱ πλείονες, ἀλλ' ὀφθαλμοφανῆ τὴν εὐδαιμονίαν * προβάλλουσα. οὕτω καὶ τὸ τούτου γένος μυρίοις μὲν λόγοις, μυρίοις δὲ ἔργοις καὶ παραπλησίοις ἀγάλλεται. μνηστέον ἤδη καὶ αὐτοῦ τοῦ γένους, οὔτι παντός. κἀμοὶ γὰρ ἂν (οἶμαι) καὶ ἱστορία τοσοῦτον πλῆθος φροντίζουσα. οἱ ἀπ' ἐκείνων τῶν γάμων ἀποβλαστήσαντες, * εἰκώ τινα τῆς ἐκείνου σοφίας τοῖς τῆς ψυχῆς * φέρον ἀγάλμασι. προσκλύζων κόλπος ἰόνιος λεαίνει τὴν θῖνα τῷ κύματι. κατὰ δὲ ταύτης τῆς ἠϊόνος χορὸς νηρηΐδων * ἐχόρευε, λευκαὶ πᾶσαι, γάλα αὐτὸ, οἷον ἂν ἐκεῖνο γένοιτο τέχναις ποιμένων ἱστάμενον. γλαυκαὶ τὸ ὄμμα, κομῶσαι τῷ βρύῳ, ἔτι λευκὸν ἐκ τῆς θαλάττης ἀφρὸν ἐξ ἄκρων πλοκάμων * βαστάζουσαι. ἡ δὲ ἀντερᾷ τοῦ νυμφίου, καὶ * δώρῳ πιστοῦται τὸν γάμον. ἀναδίδωσι γὰρ ἐκ μέσης θαλάσσης πηγήν. ἣ δὲ, ὥσπερ ἐπισταμένη τοῦ χάριν ὑπὸ τῆς νύμφης ἐγένετο, κλέπτει μὲν τοῖς ἄλλοις πλωτῆρσι τὰ νάματα, μόνοις δὲ τηρεῖ τοῖς ἐκ τῆς νύμφης τὴν πότιμον φιλοτησίαν ἀρύσασθαι. ὅπερ καὶ κατὰ τῆς ἀρετῆς ἀνύμνηται. εὐμαθὴς * ἐστι ψυχὴ, ταχεῖα συνέσιν, μνήμη συμφυὴς, ἕτοιμος πρὸς λόγους,

δεινὴ

* λάτερα.
* τῆς ὕλης.
* τὴν τέχνην.
* ἀρέσαλις.
* σκάφει.
* ποιήσαντες.
Ephyra Vrbs.
* προβάλλουσα.
* εἰκόνα.
* φέρον.
* ἐχόρευον.
* βαστάζουσαι.
* δώρῳ.
* ἐστι.

αὐτὴ μὲν κρύπτειν, κρείττων λανθάνειν. σοφώτερον δὲ τοῦτο καὶ ἅμα θεοῖς προσφιλέστερον. δεινότερος δὲ φωρᾶσαι τὸν ἐντυχόντα, κρείττων ἡδονῆς, ἥττων φιλίας· * ἄκρα σοφίαν, δεινὸς εἰπεῖν, ἀνάλωτος φιλίᾳ. γενναῖος ἐν φόβοις, ὑψηλὸς ἰδιώτης, ἄρχων ἐπιεικής. τὸν μὲν ἰδιώτην ἀποσεμνύνων φρονήματι, λόγῳ δὲ πραΰνων τὸ τῆς ἐξουσίας αὐθέκαστον. ἀλλὰ μὴν καὶ τὴν τύχην ἴδοις ἂν ὥσπερ ἐξ οὐσίας τὸν τῆδε * βίον συμπαραπέμπουσαν. πρεσβύτης τις ἦν σεμνὸς ἰδεῖν, ἀρχαῖος τὸν βίον, τὸν λόγον ὅμοιος. σοφὸς εἰπεῖν, ἀμείνων ἀκοῦσαι· τὰ πάντα γενναῖος. πλήρης δὲ ὢν ἤδη τοῖς κλέος, καὶ πᾶσαν εἰς ἑαυτὸν ἐπιστρέψας τὴν Ἑλλάδα, διαβαίνει καὶ εἰς βασιλέα τῷ θαύματι, πρὶν ὑπηνήτης γενέσθαι, πρὶν καθερπύσαι τὸν πρῶτον ἴουλον. * ποιητοῦ δὲ ἄρα ἦν ἐνταῦθα τοῦ λόγου· ῥόδοις μὲν ἀναπλέξαι τὸν στέφανον, ἄγειν δὲ ἐξ Ἑλικῶνος τὰς μούσας περὶ τὴν πόλιν ἐκείνην, ἣν ἀπὸ Γαδείρων Εὐρώπη λήγουσα πορθμῷ θαλάσσης πρὸς τὴν Ἀσίαν μερίζει). ἤλασεν οὖν καὶ κατ' Ἴστρου, καὶ ποταμὸν οὐκ ἔδεισε βάρβαρον κρυστάλλῳ πεδία μιμούμενον. ἐπεὶ δὲ θεὸς πρὸς πᾶσαν αὐτὸν ἀρετὴν ἀκριβῶσαι βουλόμενος, καὶ ἀπεναντίας ποτὲ τὸ πνεῦμα τῆς τύχης * ἔστησεν, ἵν' * οἷος ἦ, τοιοῦτος τὴν γνώμην καὶ ἐν τρικυμίαις πραγμάτων καὶ χειμῶνι βίου, δειχθείη * τοῖς πᾶσι, καὶ κατ' αὐτὸ τὸ μέρος εὐδοκιμήσῃ. τίς ἐνταῦθα ποιητὴς ἢ λόγων συνθέτης φωνὴν ἀξίαν τοῖς ὑπ' ἐκείνου τούτῳ κατειργασμένοις συμβάλλοιτο; οὐδὲ Σικελικόν τινα * σκύλλας, καὶ χάρυβδιν, ἀνδρῶν δὲ ἀποβάλλων ὑπὲρ τὸν ἄγριον ἐκεῖνον τὸν Σικελικὸν τὸν ποιμένα τὸν Κύκλωπα, μυρίας ἐπ' αὐτὸν κινηθείσας φάλαγγας οὐκ ἀγχεμάχοις ὅπλοις, οὐδὲ ξυστοῖς τε καὶ δόρασιν, ἀλλὰ φρονήσει καὶ λόγῳ κατὰ γῆς ἁπάσης ἐτρόπωσεν. ὁ δὲ δὴ τῶν τελχίνων τις ἡγεμὼν καὶ κορυφαῖος καλούμενος, πληγὴν καιρίαν δεξάμενος, στένει δακρύων τὸν πόλεμον. * ἀσία πᾶσα, οὐχ ἣν νῦν οὕτω προσαγορεύομεν τὴν τῆς ὅλης ἐπωνυμίαν ἠπείρου τῷ μέρει μόνῳ τιθέμενοι. ἄρχεται μὲν ἀπ' Ἰνδῶν ἄνω, πρὸς μὲν ἕω καὶ ἄρκτον, Ἐρυθρᾷ κόλπῳ καὶ Φάσιδι, πρὸς δὲ μεσημβρίαν καὶ ἀπιόντα ἥλιον, Αἰγύπτῳ τε καὶ τῷ Ἰονίῳ πελάγει, πρὸς τὰς ἄλλας ἠπείρους ἀποσχιζομένη καὶ λήγουσα. παρατείνει δὲ αὐτὴν ἐκ Προποντίδος εἰς Παμφυλίαν πλευρὰ παρείκουσα, ἣν Αἰγαῖος προσκλύζει σύμπασαν, ἐκ μιᾶς καὶ αὐτῆς ἀρχῆς τῇ πλευρᾷ ταύτῃ πιπτόμενος. οἵ τε ἐνοικοῦντες τὰς πόλεις ἄνθρωποι οὐ τῷ τέττιγι καὶ τῷ χιτῶνι τοὺς προπάτορας, * ἀλλ' ἀρετῇ καὶ σοφίᾳ καθαρῶς δή που δεικνύουσιν. ὅθεν (οἶμαι) καὶ τὸ ἀρχαῖον ἐγένοντο. ὁ γὰρ δὴ Μέλης οὗτος (οὐ γὰρ δὴ θέμις σιωπῇ παρελθεῖν γλῶσσαν τοσαύτην γεννήσαντα) ἀνίσχει μὲν ἐκ προαστείων τῆς Σμύρνης, τίκτουσι δὲ αὐτὸν μυρίαι πηγαί, καὶ πλησίον ἀλλήλων βλαστάνουσαι. ἀφ' ὧν πλημμυρῶν ὁ ποταμὸς πελαγίζει τε εὐθὺς, καὶ ἐκ πηγῶν ἔκπλωτος καὶ ὁλκάσι καὶ κώπῃ γίνεται. παραμείψας δὲ τὰς ἑκατέρωθεν ὄχθας, κυπαρίττῳ κομώσας καὶ δόνακι, τῇ πλησίον θαλάττῃ κοινοῦται τὸ ῥεῦμα· εἰ ῥεῦμα θέμις ἐκεῖνο καλεῖν· οὐ γὰρ ἠχοῦντος ἀκούσῃ, οὐδὲ δόξειεν ἄν σοι τὸ ὕδωρ φέρεσθαι. ἀλλ' ὥσπερ τις ἐραστὴς παιδικῶν συνουσίαν κλέψαι βουλόμενος, λάθρα τῇ θαλάττῃ κεράννυται, λεαίνων τὸ κῦμα τῷ ῥεύματι.

HIMERIVS.

ad tegendum idonea, ad latendum paratior. Hoc sapientius, simulque Diis gratius: Aptior verò ad obuium deprehendendum, voluptate fortior, amicitia inferior, per sapientiam summa, apta ad dicendum, inexpugnabilis amicitia, strenuus in timore, cum priuatus est summus, cùm in magistratu æquus. Priuatum honestans consilio, eloquentia imperij seueritatem mitigans. Quin etiam fortunam videas, quasi huius vitæ rationem propter felicitatem auersantem. Legatus fuit in animaduertendo serius, vita, vt etiam in oratione, grandis: ad dicendum sapiens, ad audiendum instructior, in omnibus egregius. Plenus laude iam, & omnem in se Græciam conuertens, suis facinoribus ad regiam dignitatem ascendit, priusquam pullularet barba, primáque lanugo tonderetur. Hæc poëtarum instar fecit oratio, rosis nectere coronam, ducere circum vrbem hanc ex Helicone Musas, quam Europa extrema exiguo freto à Gadibus vsque Asiam extendit. Ad Istrum se conuertit, nec veritus est flumen barbarum glacie in morem campi constratum. Cùm verò Deus omnem illam virtutem explorare voluisset, & aduersæ aliquando fortunæ ventum constituit, vt qualis esset, talis opinione, & in rerum fluctibus vitæque tempestate omnibus videretur, & in hac etiam parte celebraretur. Quis poëta, vel orandi peritus voce digna explicet ea, quæ ille fecit? Nec Siciliæ aliquam Scillam & Charybdin strauit, sed virorum etiam Cyclope illo pastore Siculo crudeliorum, mille contra se motas acies, non consertis manibus, nec telis, aut hastis, sed prudentia & oratione vbique terrarum subegit. Hic verò Telchinum dux, & Coryphæus nuncupatus, lethali accepto vulnere, bellum gemens deplorat. Vniuersa Asia non quam sic nunc appellamus, attribuentes huic soli parti totius continentis nomen, incipit ab Indis superioribus, ad Orientem verò & Septentrionem, rubro mari & Phaside, ad Meridiem & Occasum Ægypto & mari Ionio, ad alias terras diuisa & terminata: extenditur verò deducto latere à Propontide in Pamphyliam, quam Ægæum ex vno initio etiam hoc latere oriens, totam alluit. At homines vrbes incolentes non cicada aut tunica maiores suos vnde eos olim genitos puto, sed virtute & sapientia manifestè ostendunt. Meles enim iste (non enim par est huius linguæ auctorem silentio præterire) ortus est in suburbiis Smyrnæis, produxerunt eundem varij fontes, non procul à se inuicem scaturientes, vnde statim flumen profluens exæstuat, & è fontibus onerariis remisque enauigabile redditur. Pertransiens verò vtrasque ripas, cypresso, & arundinibus vernans, & iuxta mare fluctus communicat. Si fluxus illos fas est nominare. Non enim sonantem audieris, neque aquam ferri putaris. Verùm, vt Amasius quispiam cupiens amatæ concubitum occultare, furtim mari miscetur, fluctum fluxu mitigans.

Gades ad columnas Herculis.

Asia maior & minor.

HIMERIVS. Nunc etenim more poëtarum ventum cupiens dicere, deinde verbum poëticum proferre nequiens, è propria arte appellare volo ventum. Factus verò ob fluctus mollior, diuidens aquas circum proram assurgit. Non enim diros optans amores, tuum pernauigare mare nititur, sed cupit omnes Iones venerandis temperātiæ mysteriis initiare. *Rhod. fabula.* Sermo est apud Rhodios aurum pluisse, Ioue apperiente illis auream nubem: fortunam verò vestram, quam per illum consequemini, non narrat ambigua quædam fabula, sed ad oculum res gestæ patebunt. Reducet nobis pulchrum ver, non luscinias, non cygnos, vel cicadas, sed Solem eundem aureis radiis Ioniam illustraturum. Ante alios autem omnes, pullorum nostrorum sacer ille & insolés pullus equinus dux est, quales Deo soli Nisæi donant. *Nisæi. Gerald.* Hunc ego pullum frenis Musarum adornans, & totum Charitū mitris reuinciens, quasi Deo cuidam gregis meæ primitias ferens dicaui. Cæruleæ stellæ oriuntur iucunda claritate resplendentes. Hæc oratio mea parum curat futura anteuertere, cantuíque sensim procedenti concionem festinantem coniungere studet. Tum quidam puto, intelligent reuertentem aspicientes, iterum Musarum carminibus illi applaudent.

νῦν γὰρ ποιητικῶς * ἐθέλων καλέσαι τὸν ἄνεμον, εἶτα οὐκ ἔχων ποιητικὴν ἀφεῖναι φωνὴν, ἐκ τῆς οἰκείας μούσης προσειπεῖν ἐθέλω τὸν ἄνεμον. ἁπαλὸς δὲ ὑπὲρ κυμάτων * γενόμενος, πορφυρᾶ σχίζει περὶ τὴν πρῷραν τὰ κύματα. οὐ γὰρ ἀταθάλοις * μανιῶν ἔρωτας τὴν σὴν πλεῦσαι σπουδάζει θάλασσαν, ἀλλὰ τελέσαι θέλων πάντας τοὺς Ἴωνας τὰ σεμνὰ σωφροσύνης μυστήρια. ῥοδίοις μὲν δὴ λόγος * ῥυῆναι χρυσὸν, χρυσῆν ἐπ' αὐτοὺς τοῦ Διὸς νεφέλην ῥήξαντος. τὴν δὲ ὑμετέραν τύχην, ἣν διὰ τοῦδε * καρπώσεσθε, οὐ μῦθος ἐρεῖ τις ἀμφίβολος, ἀλλ' ἐν ὀφθαλμοῖς ἔσται τὰ θαύματα. ἔμελλεν ἄρα τὸ καλὸν ἔαρ οὐκ ἀηδόνας ἄξειν ἡμῖν, οὐδέ τινας κύκνους ἢ τέττιγας, ἀλλ' αὐτὸν τὸν ταῖς χρυσαῖς ἀκτῖσι καταυγάζειν μέλλοντα τὴν Ἰωνίαν ἥλιον. πρὸ δὲ τῶν ἄλλων ἁπάντων, ὁ τῶν ἐμῶν πώλων ἔξαρχος πῶλος ἱερὸς καὶ ἀγέλαρχος, οἵους ἡλίῳ θεῷ * νισαῖοι πώλους πολεύουσι. τοῦτον ἐγὼ τὸν πῶλον ψαλίοις κοσμήσας μουσῶν, καὶ ταῖς χαρίτων μίτραις ὅλον ποιήσας ἀνάδετον, ὥσπερ τινὶ θεῷ τῆς ἐμῆς ἀγέλης ἀπαρχὰς φέρων ἀνέθηκα. Γλαυκοὶ δὲ ἀστέρες ἀνίσχοιεν φαιδρῷ φωτὶ τὴν ἀναγωγὴν καταυγάζοντες. οἱ δέ μοι λόγοι καὶ προλαβεῖν μικροῦ τὸ μέλλον ὠδίνουσι, καὶ τοῖς * ἐκβατηρίοις μέλεσι τὴν ᾠδὴν τὴν ἐπιβατήριον συνάψαι ἀποδιδοῦσι, ἐν νῷ λαμβάνοντες, τίνες (οἶμαι) τότε γενήσονται), ὅταν ἐπανελθόντα προσβλέψαντες αὐτῷ πάλιν τὰ μουσῶν χορεύειν μέλλουσιν.

* νῦν. * χεόμενος. * μαινομένων. * ὕδωρ ... ῥεῖν. * καρπώσεσθε. * Νισαῖοι. * ἐμβατηρίοις.

Ex alia suasoria.

PROOEMIVM.

Lysippus. Horat. & Apul. Occasio Dea.

LYSIPPVS itaque non manibus solum, sed etiam ingenio insignis. Qualia enim ille ab ingenio ausus est? Depinxit Diis occasionem, & imagine adumbrans, naturam eius per colores exposuit. Sic autem artificium, quantū licet meminisse, se habet. Pingit quendam figura ætate venustum, ephebum, comatum è temporibus ad frontem vsque: hinc ad terga vsque nudum, dextram armatam ferro, & tenentem sinistra bilancem, alatis plantis, non vt sublimis super terram in altum efferatur, sed vt terram attingere videatur, ignoretur verò occultè terræ insistere. Glaucus autem, vt arbitror, occultans hanc certaminis occasionem, solus ad coronatorem venit, & primus coronam accepit. Omnia enim bona in occasione, & diligens iaculator est, qui nouit opportuna tela mittere. Lusciniæ sanè è terra in cœlum volitant. Fabula enim audet in cœlum cantu aues tollere. Veniunt igitur ad olorem, qui mā sit in campo quodām verno, donec Zephyro ad cantum explicaret alas.

Ἑτέρου προτρεπτικοῦ λόγου. Προοίμιον.

Δεινὸς δὲ ἦν ἄρα οὐ χεῖρα μόνον, ἀλλὰ καὶ γνώμην, ὁ Λύσιππος. οἷα γοῦν ἐκεῖνος διὰ τῆς ἑαυτοῦ γνώμης τετόλμηκεν; ἐγράφει τοῖς θεοῖς τὸν καιρὸν, καὶ μορφώσας ἀγάλματι, τὴν φύσιν αὐτοῦ διὰ τῆς εἰκόνος ἐξηγήσατο. ἔχει δὲ ὧδέ πως, ὡς ἐμὲ μνημονεύειν, τὸ δαίδαλμα. ποιεῖ παῖδα τὸ εἶδος ἁβρὸν τὴν ἀκμὴν, ἔφηβον, κομῶντα μὲν τὸ ἐκ κροτάφων εἰς μέτωπον, γυμνὸν δὲ τὸ ὅσον ἐκεῖθεν ἐπὶ τὰ νῶτα μερίζεται). σιδήρῳ τὴν δεξιὰν ὡπλισμένον, ζυγῷ τὴν λαιὰν ἐπέχοντα. πτερωτὸν τὰ σφυρά. οὐχ ὡς μετάρσιος ὑπὲρ γῆς ἄνω κουφίζεσθαι, ἀλλ' ἵνα δοκῶν ἐπιψαύειν τῆς γῆς, λανθάνῃ κλέπτων τὸ μὴ κατὰ γῆς ἐπερείδεσθαι. ὁ δὲ Γλαῦκος, ὥσπερ (οἶμαι) λοχῶν αὐτὸ τὸ ἀγωνίας τὸ καίριον, ἧκέ τι ἐπὶ τὸν στεφανίτην μόνος, καὶ πρῶτος * εἷλε τὸν στέφανον. πάντα γὰρ καλὰ ἐν καιρῷ. καὶ τοξότης ἐπίσκοπος, ὅς τις οἶδε καίρια * βάλλειν τοξεύματα. καὶ δὴ εἰς οὐρανὸν ἀηδόνες ἀπὸ γῆς ἵπτανται). τολμᾷ γὰρ ἀνάγειν ὑπὲρ ᾠδῆς εἰς αὐτὸν [τὸν] οὐρανὸν ὁ μῦθος ὄρνιθας. ἧκον οὖν παρὰ τὸν κύκνον. ὁ δὲ ἔτυχεν ἐπί τινος λειμῶνος ἠρινοῦ, ἄρτι ζεφύρῳ πρὸς ᾠδὴν ἐκδιδόναι μέλλων τὰς πτέρυγας.

* ἦχε. * βάλλειν.

Ex oratione in crudelem Aegyptium.

Plutarch.

AEGYPTII incrementum Nili per cubitos denunciant, & mensura metiuntur aquas, & cubitus illis materia laudis est. Ducésque strenuos videbit trophæis minoribus mille victorias prædicare. Paruus fuit in Artemisio Themistocles (etenim * supra regis maiores præclarè rem gessit) maior in Psyttalia, magnus in Salamine. Illic enim totam Asiam pugnando demersit.

* κατὰ, malim, ἐπὶ. Vide Probum seu Nepotem.

Ἐκ τοῦ εἰς τὸν νηλεῆ τὸν αἰγύπτιον.

Πήχεις οἱ αἰγύπτιοι τὴν αὔξησιν τοῦ Νείλου προσαγορεύουσι, καὶ μέτροις μετροῦσι τὰ νάματα, καὶ πανήγυρις αὐτοῖς ὁ πῆχυς γίνεται. καὶ τοὺς γενναίους ὄψει τῶν στρατηγῶν ἀπ' ἐλαττόνων τροπαίων τὰς μυρίας νίκας κηρύττοντας. μικρὸς ἦν ἐν ἀρτεμισίῳ Θεμιστοκλῆς (* κατὰ γὰρ τῶν προπατόρων ἔτι τῶν βασιλέως ἠρίστευε) μείζων ἐν ψυτταλίᾳ, μέγας ἐπὶ σαλαμῖνα. ἐβάπτιζε γὰρ ὅλην ἐκεῖ τὴν ἀσίαν μαχόμενος.

* ἢ γάρ.

Ex [τοῦ] προπεμπτικοῦ.

ΚΑΙ τοῦτο μὲν ἴσως καλῶς ποιεῖς· ἀνάγκη γὰρ δή που τὸν ἐπαινεῖσθαι βουλόμενον, καὶ τῶν πράξεων ἐκείνων ἐπιθυμεῖν, ἀφ' ὧν ὑπάρχει τὸ θαυμάζεσθαι. οὐ γὰρ ἀπήρκεσε τοῖς παισὶ τὰ τοῦ Περικλέους σεμνολογήματα, ἀλλ' ἀνάξιοι * τῆς πατρώας ἀρετῆς γενόμενοι, μείζονος δή που διαβολῆς αἰτίαν τὴν πατρώαν δόξαν ἐκτήσαντο. καὶ πολλῶν [δὲ ἄλλων] ἀνδρῶν ἀρίστων γεγόνασι παῖδες, οἷς ἅπασιν οὐ πρὸς ἐγκωμίου πλέον, ἔλεγχος δὲ κακίας ἐγένετο τὰ τῶν * πατέρων ὀνόματα. τίς οὖν (ἴσως ἂν ἐρεῖς) ἡ θεραπεία τοῦ νοῦ; ἀρετὴ καὶ λόγος· ἡ μὲν, ἄρχουσα καὶ ἐπιστατοῦσα τοῦ λόγου· ὁ δὲ, καθάπερ τις δεξιὸς ἀγαθῆς βασιλίδος διάκονος, τὰ ἐκείνης ἐπιτελῶν σπουδῇ πάσῃ εἰς ἔργον τὰ ἄγων προστάγματα. ἔστι καὶ ἄλλος ἀρετῶν μυρίος χορὸς, ὃν ἅπαντα εὑρήσεις εἴσω παιδείας ἀναστρεφόμενος. ταύτας δὲ ὥσπερ τιθηνοὺς καὶ μητέρας ἐκείνων προξενοῦμέν σοι. καί φημι δὴ δι' ἐκείνων καὶ τῆς τῶν ἐχομένων θήρας ἐφίξεσθαι. οἱ δὲ παῖδες ἀπολελυμένοι διδασκάλων, τὴν πόλιν ἐκείνην ἔπεμπον. Ὁ δὲ φρὺξ ὁ Μίδας [ἑλεῖν] * θελήσας τὸν σάτυρον, οἴνῳ φαρμάττει τὰ νάματα, καὶ δήσας ὕπνῳ καὶ κώματι, θήραν ἐποιεῖτο τὸν σάτυρον.

* τῶν πατρώων ἀρετῶν. * πατέρων. * ἐθελήσας.

Ἐκ τοῦ ἐπὶ τῇ κατὰ τὴν διατριβὴν στάσει * αὐτοσχεδίου.

Τὸ Προοίμιον.

ΑΡά τι καὶ ἐν τοῖς ἡμετέροις λόγοις ἐστὶν, ὦ φίλοι, φάρμακον ἔριν κοιμίσαι δυνάμενον; καὶ τί βούλεται τοσοῦτον ἡ παρ' ἡμῖν τέχνη νεανιεύεσθαι, * ὁποῖον Ὅμηρος διὰ τοῦ κρατῆρος τοῦ τῆς Ἑλένης αἰνίττεται, ὃν ἡ τοῦ Διὸς παῖς τοῖς ξένοις ἵστησιν ἐν Μενελάου * δακρύουσιν; ἢ καὶ τὸ τῆς Ἑλένης φάρμακον οὐ πόα τις ἦν, οὐδέ τις αἰγυπτία τέχνη, νηπενθὲς πόμα σκευάζουσα· ἀλλά τις λόγος ἡδὺς καὶ πάνσοφος, φαρμάκου δίκην σβέσαι δυνάμενος θυμὸν ἐν μέσης καρδίας ζέοντα. ἀπάγει δὲ εἰς Αἴγυπτον τὸν μῦθον ἡ ποίησις, ἵνα τὴν μητέρα τῶν σοφῶν λόγων αἰνίξηται. ἐφρόνει ποτὲ βασιλεὺς μικρότερον; οὐκ εἴα τοῦτο Τιμόθεος, ἀλλὰ καὶ εἰς οὐρανὸν αὐτὸν * ἀνήγαγε τὴν γνώμην τοῦ βασιλέως τοῖς μέλεσι. θυμὸς ἐπέζει τοῦ μετρίου πλέον; ἀφῄρει * παρὼν ἐκεῖνος τὸ πλεονάζον τοῖς κρούσμασιν. ἄθυμος ἦν; μειδιῶντα εὐθὺ * ἐδείκνυεν. ἡδοναῖς ἐνεδίδου; εὐθὺς αὖ εὐθὺς σεμνὸν μετὰ τὴν μουσικὴν Ἀλέξανδρον· καὶ τὸ σύμπαν εἰπεῖν, τοιοῦτον ἐξῆν ὁρᾶν ἐκεῖνον, ὁποῖον αὐτὸν ἐποίει διὰ τῶν αὐλημάτων Τιμόθεος. πραΰνει Ζέφυρος ταῖς αὔραις τὰ κύματα· Ἀττικὸς δὲ ῥήτωρ καὶ λόγος ἑλλὴν * οὐ λύσει στάσιν εἰ μόνον φθέγξαιτο; ὅτε Ξενοφῶν ἐστρατεύετο. καὶ γὰρ καὶ δόρυ μετὰ Σωκράτην Ξενοφῶν ἤνεγκε· τὸ γὰρ εὐφυὲς, εὐάρμοστον. ἁβρὸς ἦν Ἀλκιβιάδης, ὁπηνίκα παρ' Ἀθηναίοις εἶχε τὴν δίαιταν, σεμνὸς δὲ ἦν ἐν Λακεδαίμονι. τὰ περσῶν ἐς τρυφὴν μόνος * διήλεγξεν. εἰ δέ ποτε ἔδει καὶ λόγους φροντίσαι, καὶ τὰ φιλοσοφίας γυμνάσασθαι, * λύκειον ἅπαντα καὶ ἀκαδημίαν ταῖς * αὐτοῦ συνουσίαις εἰργάζετο. οἱ πλέκοντες τὴν ἱστορίαν τὴν ἀμφὶ τούτους.

* σχεδίου. * ἔοικε. * δακρύουσι. * ἀνῆγε. * παρὼν. * ἐδείκνυεν. * αἱ λύσεις πᾶσαι. * ξυνελθὼν. * λύκειον. * ἑαυτοῦ.

E propemptica.

ET hoc forsitan rectè facis. Nam necesse vtique est, eum qui laudari desiderat, etiam res illas desiderare vnde laus procedit. Non enim filiis Periclis præclarè gesta suffecerunt, sed indigni paterna virtute existentes, ad maioris reprehensionis materiam paternam celebritatem adepti sunt. Aliorúmque filij multorum fortium virorum fuêre, quibus omnibus parentum gloria non ad pleniorem laudem, sed ad improbitatis accusationem fuit. Forsitan dixeris, quis igitur erit mentis cultus? Virtus & eloquentia. Illa quidem imperans & dominans eloquentiæ: hæc verò tanquam fidelis bonæ reginæ ministra, illius præcepta omni contentione perficiens. Est & multiplex virtutum chorus, quem totum inuenies in disciplinarum gymnasio versans, has vt nutrices & matres earum tibi concilians. Et sanè dico per has illarum fruitionem aduéturam. Filij verò à præceptoribus abdicati, in vrbem illam ducebantur. Midas Phryx cupiens Satyrum comprehendere, vino aquam miscet, & somno captum & sopore, Satyrum venatorum more comprehendit.

Periclis filij. *Valer. Max.* *Midas Phryx. De quo Max. Tyr. serm. 30.*

Ex oratione extemporanea in seditionem propeludum concitatam.

EXORDIVM.

AN aliquod in nostris orationibus, amici, medicamentum est ad discordiam sedandam conueniens? & quid nostra ars tantum efflorescere cupit, quantum Homerus de cratere Helenæ, quem Iouis proles hospitibus porrigebat, in lacrymis Menelai confingit? vel Helenæ poculum non herba aliqua fuit, non ars quædam Ægyptia hilarem potum præparare edocta: sed dulcis quidam sermo & sapiens, potens instar medicamenti iracundiam in medio pectore æstuantem extinguere. In Ægyptum poësis fabulam trahit, vt eam matrem argutiarum insinuet. Parumne rex aliquando sapuit? non permisit id Timotheus, sed cantu in cœlum vsque regis animum abduxit. Immoderaténe æstuabat animus? præsens ille elatum animum pulsando citharam domabat. Mœstúsne erat? statim ridentem ostendebat? an voluptatibus tenebatur? post cantum statim castissimum videbas Alexandrum, &, vt omnia dicam, talem videre eum licebat, qualem tibi eum Timotheus reddidisset. Mitigat aura fluctus ipse Zephyrus. Orator Atticus, & oratio Græca non tollet seditionem si solùm perorarit? Cum Xenophon militaret (nam & post Socratis disciplinam etiam hastá tulit.) Ingenium quippe commodum & congruum. Delicatus fuit Alcibiades cùm Athenis habitaret, sobrius cum Lacedæmone. Persas propter delicias solus reprehendit. Si verò aliquando necesse esset eum operam dare eloquentiæ, & in philosophicis exerceri, totum Lyceum & Academiam conuocabat. Texentes hanc de illis historiam.

Timotheus Musicus apud Alexandrum regem. *Xenophon Socraticus Plutarch. in X. oratoribus.* *Alcibiades. Plutarchus.*

HIMERIVS.

Ex oratione in aduentum Cypriorum.

EXORDIVM.

Cyprus. Versus poeta Vet.

POETÆ Veneri Deæ Cyprum, vt Delon Apollini assignant. Cyprus enim vrbs vasta. ciues accuratè Græcè loquuntur. Mare Veneremè cœlo peperit. Partus verò hos, quales aliquando sunt, sacra verba tegere iubent. Opus enim erat Venerem demum concipi. Sistitur tum mare, & statim serenitatem inducit, mollibus fluctibus propter partum illum exsultans. Vulgari Veneri nihil cum cœlesti illa commune est. Producit illa impuros, & natura impudicos amores: hæc aureos habet filios, & aurea sunt horum tela. Scopus autem eorum sunt iuuenes, & immortales animæ.

Vnald. Plato, & sup. ô dialogo inscripto Diogenes.

Ex oratione in quendam Cappadocem.

NON venit Scytha telo vectus per Istrum vel Tanain, sed in vniuersam terram & mare. Eloquentia tela sunt Apollinis, & flumen fabulam habens dignam, quæ à Græcis audiatur. Venit ad Indos Bacchus, ad gentem, quæ Bacchi beneficium negat, Bacchæ, & Satyrus exercitus fuit, Thyrsi & Nebrides arma. Illi verò simul ac viderunt Deum, eum exceperunt, armisque deiectis, cum Baccho pugnare cœperunt. Cùm autem in Cappadociæ fines pulsi sunt, in ripa fluminis tentoria figunt, cui nomen indituri erant. Oportebat verò eos aquis lauari: mutatur fluuius, argenteáque aqua cum Indis versata nigra fit. Illi verò id quod ipsi erant, hoc & esse, & loqui fluuium voluerunt. Hinc fama iuuenem trahit: vestræ verò diuitiæ non aurum Gygis, vel Lydij, sed filij quidam vigore ætatis pubescẽtes & florescentes, visu quidem tumidi & superbi, tanquam si è medio Iouis pectore nati essent.

Bacchum. Polienus de Baccho.

Ex oratione, cum rogatus specimen distulit, ac postea dixit.

Persarum mos.

PERSÆ iaculandi studium fouent, omnisque vita illis in pharetra & iaculis. Legem probo, magnum indicium laboriosi pectoris. Rara enim præmia esse decet. Ante Persas hanc legem etiam natura sciuit, cùm nemo Oceanum viderit, nisi media relicta terra extremis eius finibus circumuagatus foret. Quis de Pyramidibus esset sermo, nisi procul hinc spectarentur, vel quis de lapide Memnonis apud Æthiopes, nisi illum mater extra omnem conspectum posuisset. Hæc vera esse, & non fabulosè dici credimus, quia lapis loquitur cum Sole humana voce, vix etiam rosam natura hominibus largitur, nec illa simul nascitur, & in aërem expãditur, sed magnam partem vigoris in calice retinet, serò autem erumpit, & aperitur. Sed neque fructus autumnales colligere licet, quando homines cupiunt, sed etsi ficus legere velis, exspectas tamen tẽpus autumni nominatum. Æs Dodonæum quia semper tinnit, artificium ipsum in fabulã dies inuidiosa conuertit,

Pyramides.

Ἐκ τοῦ εἰς τὴν τῶν Κυπρίων ἐπιδημίαν.

Τὸ Προοίμιον.

ΤΗν Κύπρον οἱ ποιηταὶ, θεῶν Ἀφροδίτῃ χαρίζονται· ὥσπερ τὴν Δῆλον Ἀπόλλωνι. ἡ γὰρ κύπρος πόλις μεγάλη· * δῆμοι τὴν γλῶτταν ἀκριβῶς ἕλληνες. ὠδῖνεν ἐξ οὐρανοῦ τὴν Ἀφροδίτην ἡ θάλαττα· τὰς δὲ ὠδῖνας ταύτας, αἵ τινές ποτέ εἰσι, μυστικοὶ λόγοι κρύπτειν κελεύουσι. καὶ ἔδει γὰρ λοιπὸν ἐκκυηθῆναι τὴν δαίμονα. ἵσταται μὲν εὐθὺς καὶ ἄγει γαλήνην ἡ θάλαττα, ἁπαλοῖς κύμασι περὶ τὸν * τόκον πορφύρουσα. πανδήμῳ δ' Ἀφροδίτῃ πρὸς τὴν οὐρανίαν οὐδὲν κοινόν. ἡ μὲν γὰρ βεβήλους καὶ οὐ καθαροὺς τὴν φύσιν γεννᾷ τοὺς ἔρωτας· τῇ δὲ χρυσοῖ μὲν οἱ * πόδες, χρυσᾶ δὲ τὰ τούτων καὶ βέλη· σκοποὶ δὲ αὐτοῖς ψυχαὶ νεοτελεῖς καὶ ἀκήρατοι.

* *al. δῆμοι.* * *vlterv. fil St.* * *al. παῖδες.*

Ἐκ τοῦ εἰς τὸν ἐκ καππαδοκίας ῥηθέντος.

ΟΥδὲ ὑπὲρ Ἴστρον αὐτὸν καὶ τάναϊν, ἀλλ' ἐπὶ πᾶσαν γῆν καὶ θάλατταν ἦλθεν ὁ σκύθης ὑπὲρ τοῦ βέλους ὀχούμενος. λόγος δὲ ἄρα τὸ βέλος Ἀπόλλωνος, καὶ ποταμὸς ἐκεῖ μῦθον ἔχων ἀκοῆς ἑλλήνων * ἄξιον. ἦλθεν ἐπ' ἰνδοὺς ὁ Διόνυσος, γένος τὴν Διονύσου χάριν ἀρνούμενον. ἦν δὲ ὁ μὲν στρατὸς, βάκχαι καὶ σάτυροι. τὰ δὲ ὅπλα, * νεβρίδες καὶ θύρσοι· οἱ δὲ ἄρα ὁμοῦ τε εἶδον τὸν θεὸν, καὶ ἥρπαζον καὶ τὰ ὅπλα ῥίψαντες, χορὸς οἱ τέως μαχόμενοι τῷ Διονύσῳ κατέστησαν. ἐπεὶ δὲ ἐν * ὅροις καππαδοκῶν ἦσαν ἀγόμενοι, σκηνοῦσι μὲν ἐπὶ τῷ χείλει τοῦ ποταμοῦ, ᾧ καὶ δώσειν τὴν ἐπωνυμίαν ἤμελλον. δεῆσαν δὲ τοῖς νάμασι λούσασθαι· ἀμείβεται μὲν ὁ ποταμὸς, καὶ τὸ ἀργυροῦν ὕδωρ ἰνδοῖς ὁμιλῆσαν, μελαίνεται· οἱ δὲ ὅπερ ἦσαν αὐτοὶ, τοῦτο καὶ εἶναι καὶ λαλεῖσθαι τὸν ποταμὸν ἀπεργάζονται. ἐντεῦθεν * ἄγει τὸν νεανίσκον ἡ φήμη. ὁ δὲ ἡμέτερος πλοῦτος, οὐ χρυσός τις γυγάδας ἢ λύδιος, ἀλλά τινες παῖδες ἡβῶντες μὲν τὴν ὥραν, καὶ τὴν ἡλικίαν ἀκμάζοντες, σοβαροὶ μὲν ἰδεῖν καὶ ὑψαύχενες, ἅτε ἐκ μέσων Διὸς στέρνων γεγενημένοι.

* *ἄξιον.* * *al. ἀστερίδες.* * *ὅρους.* * *al. ἄγει.*

Ἐκ τοῦ ὅτε τὴν ἐπίδειξιν ἀξιούμενος ἀνεβάλετο, εἶτα εἶπεν.

Τὸ Προοίμιον.

ΠΕρσαι τὰ τόξα σπουδάζουσι, καὶ πᾶς ὁ βίος ἐκείνοις φαρέτρα καὶ βέλη. ἐπαινῶ τὸν νόμον, δικαία φιλοπόνου γνώμης βάσανος. σπάνια γὰρ εἶναι καθήκει τὰ τίμια. οἶδε τοῦτο πρὸ περσῶν ἡ φύσις τὸν νόμον. οὐδεὶς ἂν ὠκεανὸν ἰδεῖν ἠξίωσεν, εἰ μὴ τὴν ἐν μέσῳ φυγὼν περιεχύθη τῆς γῆς τοῖς τέρμασι. τίς δ' ἂν εἴη πυραμίδων λόγος, εἰ μὴ πόῤῥω τοῦτο τὸ θέαμα· ἢ τοῦ κατ' αἰθίοπας λίθου τοῦ Μέμνονος, εἰ μὴ κἀκεῖνον ἔξω τῆς πολλῆς θέας ἡ μήτηρ ἔστησε. ταῦτά τοι καὶ ἀλήθειαν, ἀλλ' οὐ μῦθον εἶναι τὸν περὶ αὐτοῦ λόγον, πιστεύομεν· ὅτι λίθος ὁμιλήσας ἡλίῳ οἷον ἄνθρωπος ἠχεῖ καὶ φθέγγεται. μόλις καὶ ῥόδον ἡ φύσις ἀνθρώποις χαρίζεται. καὶ οὐδὲ τοῦτο ὁμοῦ τε φύει καὶ εἰς ἀέρα πετάννυται, ἀλλ' * οἰκουρήσαν τὸ πολὺ τῆς ἀκμῆς εἴσω τοῦ κάλυκος, ὀψὲ προκύπτει καὶ σχίζεται. ἀλλ' οὐδ' ὀπωρίζειν ἔξεστιν, ὅταν ἐθέλωσιν ἄνθρωποι· ἀλλὰ κἂν συκάζειν * ἐθέλῃς, ἀναμένεις τὴν ὥραν τὴν τῆς ὀπώρας ὁμώνυμον. τὸ δὲ ἐν δωδώνῃ χαλκεῖον ὅτι ἠχεῖ ἀεί· μισήσας ὁ χρόνος, διέλυσεν εἰς μῦθον τὸ τέχνημα.

* *οἰκουρήσαντος.* * *ἐθέλοις.*

δεινὴ γὰρ ἡ συνήθεια κόρον τεκεῖν, καὶ τὴν ἐξουσίαν * ὕβρει λυμήνασθαι. οἰκοῦντές γῆν, ζητοῦμεν θάλατταν· καὶ πλέοντες πάλιν, περισκοποῦμεν τὰ λήϊα. ὁ πλωτὴρ μακαρίζει γεωπόνον· καὶ τὸν ναυτίλον ἀροτὴς ἡγεῖται πάλιν εὐδαίμονα. ταῦτα πάντα τῶν κόρων παίγνια. κόρον γεννᾷ ἡ συνήθεια. φεύγωμεν τὸν κόρον, ὦ παῖδες· τοξεύει πολλάκις δι' ὕβριν ὥσπερ καὶ αὐτοῖς ἤδη τοῖς ἔρωσι. τοῦτο γάρ ποτε τῆς παροιμίας ἤκουσα.

consuetudo enim satietatem facilè parit, & licentiam ferociâ corrumpit. Terram incolentes, mare quærimus, & rursum nauigantes métem coniicimus in segetem. Nauta felicem prædicat agricolam, & nautam contra arator fortunatum putat. Hæc omnia puerilles lusus. Satietatem gignit consuetudo. Fugiamus satietatem pueri. Sæpe hæc ferociâ tanquam sagitta ferit, & ipsis iam amoribus. Hoc enim aliquando proverbio didici.

HIMERIVS. Horat. lib. 1. serm. Satyra 1.

Ἔρωτες τοξόται Xenoph.

** ἔδρα.*

Ἐκ τοῦ εἰς Μυσώνιον τὸν ἀνθύπατον Ἑλλάδος.

Τὸ Προοίμιον.

Ὀκνοῦντά με πάνυ τὰ θέατρα, καὶ τῶν πανδήμων συλλόγων ἀπάγειν τοὺς λόγους σπεύδοντα, λῦσαι τὸν νόμον ἠνάγκασας. λύει καὶ κύκνος σιγὴν, λύραν ὅταν Ἀπόλλωνος ἀκούσῃ πλήττοντος· καὶ τὴν ἀπ' ἄντρων ἐξάγει τὴν ἀηδόνα πρὸς ἥλιον, λυρικὸν ἠχήσας ὁ Ζέφυρος· τολμᾷ καὶ ναύτης τὰ κύματα, καὶ Βακχεῖος ἀνὴρ θαρρῶν ἐγείρει τὸ σκίρτημα· ὁ μὲν, ἔαρ ὅταν * κοιμίζῃ θάλατταν· ὁ δὲ, ὅταν Διονύσου θύρσον δονοῦντος αἰσθάνηται. μὲν σε ποιητής τις εὔτολμος οὐκ ἂν (οἶμαι) ὀκνήσειεν οὐδ' αὐτῷ εἰκάσαι Ἀπόλλωνι· τόξα δὲ * σοι καὶ βέλη τοσοῦτον φίλα, ὅσον Ἀπόλλωνος φύσιν ἐνδείξασθαι, ἀναίμακτα δὲ μένει ἀεί. σῆς γὰρ ἀκίδος φόνον ἀνθρώπων * οὐ θέμις ἅψασθαι, ἀλλά τις ἔφυγεν [διὰ] τὴν ψῆφον, καὶ δήμιον * εἶδε τὸ ξίφος κατὰ τῆς σφαγῆς ἀνατείνοντα. οὕτω καὶ πῶλος καλῶς πωλεύεται, καὶ σκύλαξ δεξιῶς σκυλακεύεται, ὅταν ἄνευ κέντρου καὶ μάστιγος ὁ μὲν πωλοδάμνης τὸν ἵππον, ὁ δὲ σκυλακευτὴς τὸν κύνα χειρὶ πιθασσεύων ἐκτρέφειν βούλοιτο. τί Κῦρον ἐν Πέρσαις μέγαν ἐποίησεν; ἥμερος τρόπος καὶ μείλιχος· εὐτύχησε γὰρ ἀεὶ κατὰ βαρβάρων ἡ πόλις. ἀγγέλλει ποτὲ τὴν νίκην τῶν τις ἀριστέων τῷ δήμῳ· οἱ δὲ * ὄντως αὐτὸν τῆς προθυμίας ἠγάσθησαν, ὥστε χαλκοῦς παρ' Ἀθηναίοις ἀπὸ τῶν λόγων ἐκείνων ἕστηκεν.

** ἐγκοιμίζει.*
** οὐ τον.*
** οὐ ἔγνω. * δε.*
** ὄντως.*

Ex oratione in Musonium Proconsulem Græciæ.

EXORDIVM.

COEGISTI me theatra negligentem, & de publicis concionibus orationem auertere conantem, legem soluere. Rumpit & silentium cygnus cùm audierit Apollinem lyram ferientem, & Zephyrus lyricum quid sonans ex antris ad Solem prouocat Aëdonem. Audent nautæ se mari committere, & vir Bacchicus securus excitat lasciuiam. Illi cùm ver mare mulcet, hic cum Bacchum thyrsum sensit vibrasse. Te quidem vt puto, poëta quidam audaculus non neglexit cum Apolline ipso componere. In tantum tibi iacula & sagittæ grata, in quantum Apollinem imitantur, incruenta perpetuò manent. Non licet cuspidi tuæ hominem interimere, sed aliquis effugit iudicium tuum, & sciuit te publicum gladium contra cædem extendere. Sic pullus benè domatur, & catulus scitè informatur, cùm sine calcari domitor equum, cùm sine flagello magister canem manu demulcens enutrire cupiet. Quid Cyrum Persis commendauit? lenes mores & placidi. Felix semper hæc vrbs aduersus Barbaros fuit. Nuntiat modo victoriam populo quidam è nobilibus, qui sic strenuitatē eius admirati sunt, vt apud Athenienses hac oratione statuam posuerint.

Cygnus.

Cyrum vero de quo Xenophon in Cyropædia.

Ἐκ τοῦ εἰς Σεβῆρον νέηλυν.

Τὸ Προοίμιον.

Ἐμέμνητο δὲ ἄρα καὶ παρὰ τὰς μάχας Ἀχιλλεὺς τῆς λύρας· καὶ τὰ μὲν πεδία τοῖς ὅπλοις ἤστραπτεν, ὁ δὲ κατὰ τὴν σκηνὴν τὴν ἑαυτοῦ κιθάραν * ἥρμοζεν. ἡ δὲ τῆς ᾠδῆς ὑπόθεσις· ἤρα ἀρετῆς Ἀχιλλεὺς, καὶ τὰ κλέα τῶν ἀνδρῶν νῦν μὲν πολεμῶν ἐμιμεῖτο, νῦν δὲ ᾠδὰς ἐργαζόμενος. ἔρις ἦν ἀμφὶ τοῖς παιδικοῖς τῶν θεῶν· ἀλλ' οὔτε Ἀθηνᾶ τὰ ὅπλα ἔχουσα, τοῖς ὅπλοις ἤριζεν· οὔτε Ποσειδῶν φέρων τὴν τρίαιναν, ταύτην προβέβληται· ἀλλ' ἡ μὲν τὸν θαλλὸν ἀνέσχεν, ὁ δὲ ἀντήχει τῷ κύματι. καὶ λύει ψῆφος τὴν κρίσιν, καὶ Ἀθηνᾶ λαμβάνει τὰ νικητήρια· καὶ ἡ μὲν ηὔλει, ἡ δὲ κιθάραν εἶχεν· ἡ δὲ ἐνέπνει τῇ σύριγγι.

** αὐ. ἐ. μουσ.*

Ex oratione in Seuerum aduenam.

EXORDIVM.

ACHILLES etiam inter prælia lyræ memor fuit, & qui campos armorum fulgore illustrabat, hic in tentorio suam citharam aptauit. Cantus argumentum, amabat virtutem Achilles, virorúmque gloriam nunc bellando, nunc cantando imitabatur. De deliciis suis Dij inter se certabant. Neque Pallas armis instructa armis contendit, neque Neptunus, quo armatur, tridentem protulit. Verùm illa oleam excitauit, hic fluctibus contra sonuit. Et decreto soluitur lis, & Minerua vicit iudicio: hæc tibia modulata est, altera citharam pulsauit, tertia fistulam inflauit.

Ἐκ τῆς λαλιᾶς. Τὸ Προοίμιον.

Ὅταν αἱ Μοῦσαι καθ' Ἑλικῶνα χορεύωσι, πάντα [μοι] ἠχῆς * ἐμπίμπλαται. * ἠχεῖ μὲν τέττιξ, καὶ ἀναμιμνήσκει τὸν μῦθον τῷ μέλει. ὅτι ἐγὼ, φησὶν, ὢν ἄνθρωπος ᾖδον ἀεὶ, καὶ ἐπειδὴ τὴν φύσιν ἤμειψα, οὐ συναφῆκα τῷ βίῳ τὸν πόθον. ἀηδόνων δὲ καὶ χελιδόνων γένη, ἔτι δὲ κύκνων ἀγέλαι, περὶ τὰς θεὰς χορεύουσιν.

** ἐμπίπλαται. * al. ἠχεῖ.*

Ex oratione ad voluptatem captandam comparata.

EXORDIVM.

CVM Musæ in Helicone ducunt choreas, omnia circum mihi cantu replentur. Cãtat cicada, & fabulam cantu suo refricat in memoriam. Quia, inquit, ego olim homo cùm essem semper cecini, & cum natura mutata est, non vna cum vita desiderium amisi. Philomelarum & hirundinum genus, & cygnorum copia circum Deas canunt.

HIMERIVS.

Ex oratione in Vrsicium Comitem.

QVÆCVNQVE pictores, etiam potuerunt oratores, omnis potius imitatio ad orationem comparata minor est. Narrant Abarim philosophum genere hyperboreum, lingua quidem Græcum, veste habitúque Scytham fuisse, Sin alibi locutus fuerit, hoc è media Academia, & Lyceo existimari. Dicitur Triptolemus sublatus esse à Cerere, vt pastoralem mensam suaui tritico commutaret. Venit Athenas Abaris instructus sagittis, humeris portans pharetram, astricta chlamyde, circa lumbos aurea erat zona, femorale ab imis pedibus in nates vsque extensum. Hanc vbique orationem reperimus, vt in harmonia lyrica cum animo consonantem. Comis fuit in conueniendo, in rebus magnis tacitè peragendis industrius, in re præsenti videnda peracutus, in futura præcauẽda circumspectus, sapientiæ cupidus, amicitiæ cultor, pauca committens fortunæ, omnibus tamen ob prudentiam commissus.

Abaris philosophus.

Triptolemus.

Ex oratione in Seuerum collegam.

QVIS magis illo, vel cum celeritate iustitiam sectatus est, vel cum ratione sectatus, magis eam publicè demonstrauit? quis sic in agendo subtilis, quis in puniendis sontibus ita tardus? Quis adeò auri victor, quis ita cupidus humanitatis, & tantæ erga miseros clementiæ: Maturus quidem in verbis in rebus & operibus maturior.

Ex oratione in Cylaceum Græciæ Procos.

CLYPEVS auro coruscat, & Vulcaniam refert artificio dextram, quæ sola ob sapientiam artificio naturam valet adumbrare. Meãder Cariæ fluuius, quantum magnitudine à Nilo superatur, tantum natura superat terra, quam Ægyptiis largitur, de hoc fabulam fingit. Ille vero nautis mare eripiens, agricolis dedit aratris pro aquis sulcos scindere. Videas campum, vbi prius fuit mare, videas lasciuientes hinnulos loco delphinorum, loco nautæ hortantis, pastoris sonantem fistulam audias.

Meander. Nilus.

Ex oratione in aduenas Ephesios.
EXORDIVM.

CVM Apollo diuinatorium tripodem collocans omnibus oracula redderet, omnes gentes omnésque vrbes fama hac ad Deum attrahebantur.

Ex oratione in populares suos.
EXORDIVM.

ETENIM iam demum tempus est, iuuenes, etiam ciuibus lyram nostram adaptandi. Quid vrbem proferre dicemus? sed cùm non in curribus nos vehamur, neque studia poëtarum amplectamur, age viris & oratione vrbem muniamus. Quid ex omnibus magnam Homeri famam in furorem egit: num virorum gloria? Ego virtutem quæro, & ob hanc viros celebrare cupio. Principium virtutis duplicia sunt indicia, cum regis decreta, tum subditorum amor. Cum subditis amorem,

Homeri fama.
Principis decus.

Ἐκ τοῦ εἰς τὸν κόμητα Οὐρσίκιον.

Ὅσῳ γραφεῖς, καὶ λόγοι δύνανται· μᾶλλον δὲ μικροτέρα μίμησις πᾶσα πρὸς λόγους. Ἄβαριν τὸν σοφὸν, γένος μὲν ὑπερβόρειον λέγουσιν, Ἕλληνα δὲ τὴν φωνὴν γεγενῆσθαι, καὶ σκύθην μὲν ἄχρι στολῆς τε καὶ σχήματος. εἰ δέ που γλῶτταν κινήσειε, τοῦτο *ἐκεῖνο ἐκ μέσης ἀκαδημίας καὶ αὐτοῦ λυκείου νομίζεσθαι. τὸν Ἐλευσίνιον ἔφηβον ἀρθῆναι λόγος πρὸς Δήμητρος, ἵνα τὴν νομάδα τράπεζαν ἡμέροις ἀμείψῃ πυροῖς. ἧκεν Ἄβαρις Ἀθήναζε τόξα ἔχων, φαρέτραν ἡμμένος εἰς ὦμον, χλαμύδι σφιγγόμενος. ζώνη δὲ κατ' ἰξύων χρυσῆ, ἀναξυρίδες ἐκ ταρσῶν ἄκρων, ἄχρι καὶ γλουτῶν ἀνατείνουσαι. τοῦτον πανταχόθεν εὑρίσκομεν καθάπερ ἐν ἁρμονίᾳ λύρας σύμφωνον ἠχοῦντα τῇ γνώμῃ τὸν λόγον. ἦν ἡδὺς ἐντυχεῖν, δεινὸς ἡσυχῇ μεγάλην πρᾶξιν ἐργάσασθαι. ὀξὺς τὸ παρὸν ἰδεῖν, προμηθὴς τὸ μέλλον φυλάττεσθαι, σοφίας ἥττων, ἐραστὴς φιλίας· ὀλίγα μὲν τύχῃ πιστεύων, γνώμῃ δὲ τὰ πάντα πιστούμενος.

* ἐκείνου.

Ἐκ τοῦ εἰς Σεβῆρον ἑταῖρον.

Τίς γὰρ ἐκείνου μᾶλλον ἢ σὺν τάχει τὴν τῆς δίκης φύσιν ἐθήρευσεν; ἢ σὺν ὀρθότητι θηρεύσας, ἐδημοσίευσεν; τίς μὲν οὕτως ὀξὺς πρᾶξαι, τίς δὲ βραδὺς κολάσαι τὸν κινδυνεύοντα; τίς μὲν οὕτω κρείττων χρυσίου; τίς δὲ *ἥττων φιλανθρωπίας καὶ τοῦ κατελεῆσαι τὸν δυστυχήσαντα; ἁδρὸς μὲν ἐν λόγοις, ἔργα δὲ καὶ πράξεις ἁδρότερος.

* φιλάνθρωπος.

Ἐκ τοῦ εἰς *Κυλάκιον τὸν ἀνθύπατον Ἑλλάδος.

* al. Καλάκιον.

Χρυσῇ μὲν ἀσπὶς ἀστράπτουσα, καὶ τὴν Ἡφαίστου μηνύουσα χεῖρα τοῖς θαύμασιν, ὅτι μόνη διὰ σοφίαν ἠπίστατο τῇ τέχνῃ φύσιν μιμήσασθαι. Μαίανδρος ὁ *Κὰρ ποταμὸς, ὅσον πλήθει τοῦ Νείλου λείπεται, τοσοῦτον φύσει κρατεῖ. τοῦ μὲν γὰρ μῦθος ἡ γῆ ἣν αἰγυπτίοις χαρίζεται. ὁ δὲ πλωτῆρας ἀποσυλήσας τὴν θάλατταν, γηπόνοις χέρσον ἔδωκεν ἀρούρας ἀντὶ κυμάτων *τὰς αὔλακας. ἴδοις ἂν πεδίον μὲν τὴν πρόσθεν θάλατταν, σκιρτῶντα δὲ ἀντὶ μὲν δελφίνων νεβρόν· ἀντὶ δὲ ναύτου κελεύοντος, νομέως ἠχούσης ἀκούσῃ σύριγγος.

* Καρικός.

* al. τέμνειν.

Ἐκ τοῦ εἰς νεήλυδας *Ἐφεσίους.
Τὸ Προοίμιον.

* al. Ἴωνας.

Ὅτε τὸν μαντικὸν Ἀπόλλων ἱδρύσας τρίποδα τοῖς πανταχόθεν ἐθέσπιζε, πάντα μὲν ἔθνη καὶ πᾶσαι πόλεις παρὰ *τὸν θεὸν ἐστέλλοντο ὑπὸ τῆς φήμης δημαγωγούμεναι.

* τῷ θεῷ.

Ἐκ τοῦ εἰς τοὺς ἑταίρους πατρίδος.
Τὸ Προοίμιον.

Ἀλλὰ γὰρ ὥρα λοιπὸν, ὦ παῖδες, καὶ τοῖς πολίταις τὴν λύραν τὴν ἡμετέραν ἁρμόσασθαι. τί τὴν ἐνεγκοῦσαν πόλιν ποιήσομεν; ἀλλ' ἐπεὶ οὐκ ἐπὶ τῶν ἁρμάτων ἡμεῖς ὀχούμεθα, οὐδὲ τὰ ποιητῶν σπουδάζομεν· φέρε ἀνδράσι καὶ λόγοις τὴν πόλιν τειχίσωμεν. τί δὲ Ὁμήρου τὴν μεγάλην ἠχὼ τῶν ἁπάντων ἐξέμηνεν; οὐκ ἀνδρῶν δόξα; ἐγὼ δὲ ἀρετὴν ζητῶ, καὶ ἀπὸ ταύτης ἐπαινεῖν τοὺς ἄνδρας βούλομαι. τῆς δὲ ἀρχικῆς ἀρετῆς διπλᾶ τεκμήρια, βασιλέως τε αἱ ψῆφοι καὶ τῶν ἀρχομένων οἱ πόθοι. μετὰ τῶν ἀρχομένων οἱ πόθοι,

μετὰ τῶν ἔργων τὴν φύσιν σκέπτεσθαι ἄξιον· καὶ ἴσον τις εὑρήσει τάς τε πράξεις ἠχούσας, καὶ τὴν φύσιν ὅθεν κατώρθωνται. τίνα δὴ τῆς φύσεως τούτων γνωρίσματα; ὀξεῖα φρόνησιν, ὑψηλὸς *γνώμην, εὖ ποιεῖν ἄοκνος, δημοτικὸς τὸν τρόπον. εἰ μὲν εἰπεῖν δέῃ, τὸν Περικλέα νικᾶν· εἰ δέ τι πρᾶξαι, τὸν Ἀλκιβιάδην μιμούμενος· μᾶλλον δὲ καὶ φιλόπολις· μᾶλλον δὲ καὶ χρημάτων κρείττων, ὅπερ ἡ συγγραφὴ τὸν Περικλέα προεῖρηκεν· ἐν δὲ τῷ πράττειν, πολλῷ τοῦ Κλεινίου θερμότερος· ἁπάσης ἀτεχνῶς λύρας εὐμαρέστερος πρὸς πᾶσαν πρᾶξιν εὐάρμοστος. τοιοῦτόν τινα καὶ τὸν Πρωτέα τερατεύεσθαι μυθολογοῦντες δηλοῦσιν αἰγύπτιοι, ὅταν αὐτὸν νῦν μὲν εἰς ὕδωρ ἀμείβουσι, νῦν δὲ εἰς δένδρον καὶ φλόγα. τὸ εὔκολον γὰρ τῆς φύσεως διὰ τούτου σημῆναι βούλονται.

*al. γνώμη

Ἐκ τοῦ εἰς [τὸν] πριβάτον ῥωμαῖον.

Τὸ Προοίμιον.

Ἤγαγε δὲ ἄρα ὁ τοῦ πυρὸς τοῦ κατ' ἐλευσῖνα πόθος καὶ Ἀνάχαρσιν τὸν σκύθην ἐπὶ μυστήρια.

Ἐκ τοῦ ὅτε ἀπὸ τῆς κορίνθου ἐπανῆλθεν.

Εἰ δὲ ἄρα τύχη τις διαχίζοι τὰ σώματα, τῇ γοῦν ψυχῇ προβλέπειν, καὶ μὴ τῷ πόθῳ τῶν παιδικῶν ἀποσχίζεσθαι. γνωρίζω τὸ πάθος, ἐμὴν ἑρμηνεύει γνώμην ἡ ποίησις.

Ἐκ τῆς εἰς Ἀμπέλιον προπεμπτικῆς.

Τὸ Προοίμιον.

Ἤμελλον ἄρα, ὦ παῖδες, ἤμελλον μόνος εὑρήσειν ἑλλήνων τῆς τοῦδε φυγῆς τὰ θήρατρα. χθὲς δρασμὸν ἠπείλει καὶ ἅρματα, τήμερον ὤφθη τοῖς ἐμοῖς δικτύοις ἁλώσιμος. φασὶ μὲν καὶ Ἀλέξανδρον λόγος ταῖς πάλαι τέχναις ἀγώνισμα· ὥστε δὴ καὶ νειμάμενοι τὴν μορφὴν αὐτοῦ Λύσιππος καὶ Ἀπελλῆς, ὁ μὲν φαρμάκοις, ὁ δὲ χαλκῷ τὴν φύσιν τοῦ βασιλέως ἡρμήνευσαν. ἐπεὶ δὲ ὁ λόγος ὑπερβαίνει τὸ σῶμα, ψυχῆς ὡμίλει καὶ κάλλει καὶ χάρισιν, εἴη ἂν καὶ οὗτος ἀψευδὴς ζωγράφος, μὴ τὸν πρωρέτην ἐπισήμονα πάσῃ ναυτιλίᾳ κτησάμενος. τὸ γὰρ ἄπειρον *ἐπὶ τῆς χρείας ταράττεται, τὸ δὲ μελετῆσαι θαρρεῖ τὴν τέχνην, ἣν ἔμαθεν. ἐκ πυλῶν εἰς νύσσαν ἴσον τὸν δρόμον ἰθύνατε. πρᾶος εἶ; κοινὸν καὶ τοῦτο πλεονέκτημα. κακίαν μισεῖς; κακίας συνεπεστράτευσεν. ἄδικον δῶρον ἐξέκλινας φύσιν; ἀπέκλεισε καὶ οὗτος τὰς τῆς ψυχῆς πύλας ὑβριστῇ χρυσῷ καὶ δικαιοσύνην ἐλέγχοντι. ἔγνω γὰρ, ὡς οὐ δικαιοσύνη σὺν ὀλίγοις, ψόγος. ἀλλὰ σὺν ἀδικίᾳ πλοῦτος, ἐχθρὸς ἀρετῆς καὶ τοῦ θαυμάζεσθαι. αὕτη δὴ *πρέπει τῶν ἐγκωμίων ἀρχή, ὅτι καὶ ἀρχὴ τῶν πράξεων. τὸ δὲ μετὰ τοῦτο, τί μὲν εἴποι τις; τί δὲ φυλάξαιτο; καὶ γὰρ τὸ λέγειν, ἄπορον· καὶ τὸ μὴ λέγειν, ἀχάριστον. ὥσπερ γὰρ οἱ τὰ *κάλλη τῶν ἀγαλμάτων θεώμενοι, ἔχονται μὲν τοὺς ὀφθαλμοὺς ὑπὸ τοῦ πρώτου προσπίπτοντος, μεταβιβάζοντες δὲ ἄλλοτε ἐπ' ἄλλο τὴν θέαν, ἀπορεῦσιν ὅ, τι καὶ πρῶτον θεάσονται· μᾶλλον δὲ (τί γάρ μοι δεῖ παλαιᾶς εἰκόνος;) ὥσπερ οἵ τι τῶν νέων δημιουργημάτων θεώμενοι, προσβλέπειν μὲν ἅπασιν ἀθρόως ὑπὸ τοῦ περικεχυμένου τῷ παντὶ κάλλους βιάζονται, ἐν μέρει δὲ ἄλλου ἀλλόθεν δημαγωγοῦντος τὸν πόθον, σχίζονται τὴν θέαν τῷ θαύματι:

* ἢ τῆς. M. M.

* αἱ τῇ πρὸ ἡ

* τῶν ἀγαλμάτων.

HIMERIVS.

cum operibus naturam par est considerari, & aliquis reperiet opera æqualia cum natura, à qua diriguntur. Quænam principum naturæ signa? acerrimo esse iudicio, sublimi animo, in benefaciendo promptum, moribus esse popularibus, eloquentia si dicendum esset, Periclem vincere, si quid agendum, Alcibiadem imitari, vrbem potius amare, pecuniásque potius contemnere, quemadmodum Periclem fecisse diximus, in agendo vehementiorem multò esse Clinia, ad agendum vel sine arte lyra quauis aptiorem esse. Talem aliquem Proteum esse Ægyptiæ fabulæ ostendunt, cùm eundem nunc in aquam, nunc in arborem, & flammam mutant. Promptitudinem naturæ per hoc significare volunt.

Proteus.

Ex oratione in Priuatum Romanum.

Amor ignis Eleusini traxit etiam Anacharsim Scytham ad mysteria.

Ex oratione, cùm Corintho reuersus esset.

Si casus aliquis corpora separaret, animo tūc prospiciendum, & amore amor amicorum non est disiungendus: agnosco affectum animum meum explicat poësis.

E propemptica in Ampelium.

EXORDIVM.

Solus è Græcis, ô adolescentes, huius fugæ laqueos reperiam. Heri fugam minatus est currus, hodie visus est meis retibus constrictus esse. Fertur Alexander vetustis materiam artificibus dedisse, ita vt Lysippus & Apelles formam ipsius partiti, ille quidem coloribus, hic vero ære naturam regis explicuerint. Cùm verò oratio corpus transcendens, cum animi venustate & decore coniungatur. Sit & hæc vera delineatrix, nullum gubernatorem peritum omni habens nauigatione. Infinitum cum inopia confunditur. Exercitatio præsumit artem quam didicit. E carceribus ad calcem cursum dirigite. facilis es! communis hæc est virtus. malum odisti? cum malo etiam bellum gessit. Iniustorum naturam donorum fugisti? ipsæ etiam animæ suæ ianuam damnoso auro, iustitiámque coarguenti occlusit. Nouerat enim iustitiam, non esse cum tenuibus opibus infamiam, sed cum improbitate diuitias, virtuti inimicas & gloriæ. Hæc initium laudum est, quia & initium rerum. Hoc verò deinde, quid quis dixerit? quid obseruauerit? Dicere enim infinitum est, nón dicere, ingratum. Quemadmodum illi qui pulchras statuas intuentur, coniiciunt oculos in eam quæ primo occurrit, deinde aliam post aliam spectantes dubitant quam prius conspiciant. Potius verò (quid enim mihi opus antiqua similitudine?) vt ij qui aliquam è multis nouis statuis nouam vident, aspicere summatim omnes è pulchritudine quæ est, in toto circumfusa coguntur, particulatim verò alia alio ducente cupiditatem, admiratione spectaculum abrumpunt:

Alexander.

HIMERIVS. sic & facta tua vndique conuenientia aliã historiam postulant, nec his orationis terminis includi volunt. Quis facta tua, vel iustitiam, vel priuatam operam, vel reipublicæ curas, inopiæ prouidentiam, vel principium temperantiam cum clementia, dicere posset? Propter te Sparta sordidum crinem in venustam cæsariem commutans, in deliciis agit. Quis infinitam ædificiorum copiam pro dignitate recenseat? Suffecit Pericli ad commendationem Propylæa, & Parthenon, & Dario domus regalis, aureáque vitis Artaxerxi Theodori Samij opus, cùm Medus ille inutile hoc opus aduersa natura in delitiis haberet. Tu autem à Thermopylis incipiens, ad vsque extimum Peloponnesi recessum, omnem locum medium vrbes esse declarasti. Fuit quidam vicus Colyttas in vrbis meditullio vocitatus, populi quidem habens nomen, sed fori vsu celebris, antiquus gloria, venit ille huc fama ductus. Videns verò naturam loci admiratus est: ornatu verò vrbis magis confusus est, non tamen desiit in re gerenda propter vrbem pudore suffundi. Tu verò fabulas credibiles esse ostendisti. Cùm lapides tui amantes ingemiscant, & lachrymas libent velut ab amata separatus furtim amasius, vt ego vereor, ne tui desiderium damnum aliquot excitet, & aliqui naturam commutantes, in florem aut arborem conuersi fabula absurda fiant.

Ex oratione in Anatolium Præfectum.

IVPITER per Mercurium è cœlo tesseram mittens, apud Homerum, iussit Achillem socij casum deplorantem arma sumere. Agedum ergo etiam nos tanquam cœlesti aliquo impulsu in festiuitate dolorem soluentes, Apollini cantemus. Nos nostris artibus magnum illum principem cepimus. Non hæc sunt nugæ, aut Attici sales, Bacchum è Thebis peregrinum, Neptunum è fluctibus amantem, sicuti ad vrbem Lacones ludunt, sed verum colloquium, sed institutio & sanctio, radix bonorum & initium. Ipse verò hoc germine animum suum plantat, Atticis irrigans aquis. Semper verò omnia pulchra rara, & immortalem gloriam intelligentibus conciliant. Primus sapiens Anacharsis è Scythia in Græciam venit: Primus Pelops è Lydia immortalibus in serenitate vectus equis, & mercedem nouæ diuisionis accipit, vt dederit regioni cognomen. Et laus illa quidem adhuc in littoribus: fluctuat verò oratio non videns portum apparentem. Optimum igitur forsitan fuerit, hunc imagine eius naturam exprimentem, Phidiam in eo imitari. Non ignorabat Phidias, quis & in quibus Iupiter esset, scilicet animo sapientior quàm dextra. Cupiẽs igitur vna imagine Iouis ingenium exprimere auro commiscens ebur, Eleis quidem Olympium, aliis hominibus Iouem vna imagine talem, vt est, effingens. Volo tibi è diuinis coloribus tabulam pingere: terreni enim colores tempore eluũtur: sententiã verò & opinionem, si cui placet nominare tabulam, non contendã.

Anacharsis. Pelops.

Phidias.

οὕτω καὶ αἱ σαὶ πράξεις πᾶσαι πανταχόθεν περιπέπλευσαι· ἱστορίαν ἄλλην ζητοῦσιν, ἀλλ' οὐ τὸν παρόντα τῶν λόγων νόμον ἀνέχονται. τὰς πράξεις εἴποι τις, ἢ τὰς δίκας, ἢ τὴν ἐν μέρει σπουδήν, ἢ τὰς ὑπὲρ τῶν ὅλων φροντίδας, πενίας πρόνοιαν, ἢ τὴν σὺν πραότητι τῶν δυναστευόντων σωφρονισμόν; ἀλλὰ διά σε καὶ Σπάρτη τρυφᾷ· ῥυπῶντα πλόκαμον εἰς εὐανθῆ κόμην ἀμείψασα. τὸν δὲ ἄπειρον τῶν οἰκοδομημάτων ὄχλον τίς ἂν κατ' ἀξίαν δηλώσειε; Περικλεῖ μὲν προπύλαια πρὸς φιλοτιμίαν ἤρκει, καὶ παρθενών, καὶ οἶκος Δαρείῳ βασίλειος, καὶ ἄμπελος Ἀρταξέρξῃ χρυσῆ, Θεοδώρου Σαμίου ποίημα, ἄχρηστον ἔργον ὑφαντῶς Μήδου κατὰ τῆς φύσεως· σὺ δὲ ἐκ Πυλῶν ἀρξάμενος, ἄχρι καὶ Πελοποννήσου μυχοῦ, πάντα τὸν ἐν μέσῳ τόπον πόλεις ἀπέφηνας. στενωπός τις ἦν * Σολυττὸς οὕτω καλούμενος ἐν τῷ μεσαιτάτῳ τῆς πόλεως, δήμου μὲν [ἔχων] ἐπώνυμον, ἀγορᾶς δὲ χρείᾳ τιμώμενος· κατὰ δὲ κλέος τὸ πάλαι· ἔρχεται καὶ οὗτος ἐπὶ τὸν τόπον, ὑπὸ τῆς φήμης δημαγωγούμενος· ἰδὼν δέ, τὴν μὲν φύσιν ἠγάσθη τοῦ τόπου, τῇ κατασκευῇ δὲ ᾐσχύνθη πλέον ὑπὲρ τῆς πόλεως· οὐ μὴν ἀφῆκε πλέον ἐρυθριάσαι τὴν πόλιν ἐπὶ τῷ πράγματι. σὺ καὶ τοὺς μύθους, πιστοὺς ἀπέδειξας· ὅτι στένει καὶ λίθος ἐρῶν, καὶ λείβει δάκρυα ὥσπερ ἐραστὴς τῆς ἐρωμένης κλεπτόμενος· ὡς ἐγὼ δέδοικα μή τι καὶ πάθος ὁ πρὸς σὲ πόθος ἐργάσηται, καί τινες τὴν φύσιν ἀμείψαντες, εἶτα ξένον μῦθον γεννήσωσιν, ἄνθος ἢ δένδρον γενόμενοι.

* [illegible]

Ἐκ τοῦ εἰς Ἀνατόλιον ὕπαρχον.
Τὸ Προοίμιον.

ΑΧιλλέα παρ' Ὁμήρῳ φόνον ἑταίρου δακρύοντα Ζεὺς ἐξ οὐρανοῦ, δι' Ἑρμοῦ πέμψας σύνθημα, ὅπλων ἐκέλευσεν ἅψασθαι. φέρε οὖν καὶ ἡμεῖς ὥσπερ ἔκ τινος οὐρανόθεν ῥεύματος εἰς πανήγυριν τὸ πάθος λύσαντες, τῷ μουσηγέτῃ χορεύσωμεν. θήραμα γέγονε τῆς ἡμετέρας τέχνης ὁ μέγας ὕπαρχος· οὐ μῦθος ταῦτα οὔτε ἀττικὰ κομψεύματα, ξένος ἐκ Θηβῶν Διόνυσος, Ποσειδῶν ἐραστὴς ἀπὸ τοῦ κύματος, οἷα κατὰ τῆς πόλεως Λάκωνες παίζουσιν· ἀλλ' ἀληθὲς * ἐντύχημα, ἀλλὰ παιδεία καὶ νόμοι, ῥίζα τῶν ἀγαθῶν καὶ μητρόπολις. αὐτός τε φυτεύει τῷ φυτῷ τούτῳ τὴν ἑαυτοῦ ψυχήν, ἀττικὰ * ἐπάρδων τὰ νάματα. ἀεὶ δὲ καλὰ σπάνια, καὶ δόξαν ἀθάνατον τοῖς ἐπινοοῦσι προξενούμενα. πρῶτος μὲν ὁ σοφὸς Ἀνάχαρσις ἐκ Σκυθῶν ἦλθεν εἰς Ἕλληνας· πρῶτος δὲ Πέλοψ, Λυδῶν, ἐπ' ἀθανάτων ἵππων κατὰ γαλήνης ὀχούμενος, καὶ μισθὸν τῆς καινοτομίας λαμβάνει δοῦναι τῇ χώρᾳ τὸ πρόσρημα. καὶ ὁ μὲν ἔπαινος ἐν αἰγιαλοῖς ἔτι· πλαγιάζει δὲ ὁ λόγος, οὐχ ὁρῶν ὅρμον φαινόμενον. κράτιστον οὖν ἴσως εἰκόνι τὴν τοῦδε φύσιν θηρασάμενον, τὸ τοῦ Φειδίου μιμήσασθαι. οὐκ ἠγνόει Φειδίας, ὅστις καὶ ἐν οἷστισιν ὁ Ζεύς, ἅτε τὴν ψυχὴν τῆς χειρὸς σοφώτερος. βουλόμενος οὖν ἑνὶ θηράσαι τὴν Διὸς φύσιν ἀγάλματι, χρυσῷ κεράσας ἐλέφαντα, Ἠλείοις μὲν τὸν Ὀλύμπιον, τοῖς δὲ ἄλλοις ἀνθρώποις τὸν Δία εἰκόνι μιᾷ τοσοῦτον ὅσον ἐκτυπωσάμενος. ἐθέλω δέ σοι θείων ἐκ φαρμάκων γράψαι τὸν πίνακα· ἐκπλύνεται γὰρ ταχέως χρόνῳ τὰ γήϊνα. δόγμα δὲ καὶ δόξαν εἴ τῳ φίλον καλεῖν τὸν πίνακα, οὐ διοίσομαι.

* al. [illegible]

* al. [illegible]

ἐπει-

ἐπειδὰν κἀμοὶ τὸ πολὺ σῶμα τοῦτο κακίας νόσῳ φθειρόμενον (ὃ γῆν μὲν ἡμεῖς, κέντρον ἐκείνου τοῦ θείου κόσμου, νομίζομεν) τότε Λαχέσεως *ἄξαντες οὐρανὸν σχίσας τοῖς νήμασιν, ἐκ τῆς Διὸς ἑστίας ἄγει ψυχὴν ἀκραιφνῆ, τὴν θείων *φασμάτων παρ' ἡμᾶς τὴν οὐσίαν διαπορθμεύουσαν. αὕτη φέρει δικαιοσύνην, αὕτη ἀνδρείαν. παρ' αὐτῆς αὐτοφρόνησις καθαρῶς ἡ τοιαύτη ψυχή. ἕπεται δὲ αὐτῇ καὶ ἀρετῶν συμφύτων μυρίος θίασος, ὕψος ψυχῆς, μεγαλοπρέπεια γνώμης, ἐλευθέρα φωνή, χεῖρες ἄδωροι, φιλίας πόθος, ἀληθείας ἔρως, ἄτρεπτον φρόνημα, οὐκ ἐκ φιλίας ἀρετὴν *κρῖνον, ἀλλ' ἐξ ἀρετῆς τὰ τῆς φιλίας *σταθμώμενον.

Quandoquidem & mihi hoc ingẽs corpus improbitatis morbo (quod terram quidem nos cẽtrum diuini illius mundi putamus) Tunc Lacheſeos fuſus cœlum tela penetrans, è Iouis penetralibus animam ſinceram trahit, diuinarum imaginationum ſubſtantiam ad nos transferẽtem. Hæc parit iuſtitiam, hæc fortitudinem, ex illa propriam ſententiam purè ipſa anima habet: hanc verò ſequitur magna virtutum ſimilium ſocietas, ſublimitas mentis, excellentia animi, libera vox, manus beneficiis non alliciẽdæ, amicitiæ ſtudium, veritatis amor, incõmutabilis ſententia ex amicitia virtutem non diiudicans, ſed virtute amicitiam ponderans.

Ἐκ τοῦ εἰς Φοῖβον τὸν [τοῦ] ἀνθυπάτου παῖδα.

Τὸ Προοίμιον.

*ΣΟφιστοῦ δὲ θύραν ἐκ μικροτέρας γλώττης ἀμείψαντας, σοφιστικοῖς εἰκὸς οἶμαι περιτυγχάνειν τοῖς διηγήμασιν. *Ἰσοκράτης ὁ σοφιστής. γνώριμον δὲ πᾶσιν οἶμαι μετὰ τῶν λόγων [τὸ] τοιοῦτο μα. ὅτι δι' ἐκεῖνον σοφιστῶν γλῶττα *ποιητικὴν ἀτιμάσασα, οἰκεῖον νόμον ἠσπάσατο, λόγῳ μὲν ἀεὶ τοῖς λόγων ἐρῶσι τὰ βασίλεια τῆς ἑαυτοῦ μουσείας ἀναπετάννυσι.

Ex oratione in Phœbum proconſulis filium.

EXORDIVM.

SAPIENTIÆ initiis humiliore lingua reſponſuri, veriſimile puto fore, vt ſophiſticis etiam rationibus occurrant. Iſocrates ſophiſta: notum omnibus hoc nomen cum orationibus puto, quia ob illum Sophiſtæ poëticam negligentes, propriam legem amplexi ſunt, oratione quidem ſemper eloquentiæ amatoribus regalia ſcholarũm ſuarum patefecit. Iſocrates.

Ἐκ τοῦ εἰς Ἀρκάδιον τὸν ἰατρὸν καὶ κόμητα.

ΠΑίζοντας γὰρ τοὺς νέους περὶ θάλαμον ἱστόρησε, καὶ ταῖς ἑαυτῶν ἴυγξι ποιεῖ τὴν χάριν ἐλέγχοντας. νῦν δὲ ἕτερος ἆθλος, καὶ ἄλλο στάδιον, καὶ μουσῶν τέμενος, [καὶ] μύσταις ὁσίοις ἀνοιγόμενον παρὰ τοῖς φιλτάτοις κυβευταῖς. φασὶ δὲ καὶ Δημοκήδην τὸν Κροτωνιάτην ἐκεῖνον τὴν πρώτην [ἰατρικὴν] ἑλλάδα παρὰ βαρβάροις κομίσαντα.

Ex oratione in Arcadium medicum & principem.

DESCRIPSIT pueros circum thalamum ludentes, & ſuis eos fiſtulis facit ſpecimen exhibere. Nunc verò aliud certamen, aliud ſtadium, Muſarúmque delubrum ſacris ſacerdotibus apertum ab amiciſſimis aleatoribus. Aiunt Democidem illum Crotoniatam, primum Græcam [medicinam] apud Barbaros coluiſſe. Democides. Medicus.

Ἐκ τοῦ προπεμπτικοῦ τοῦ εἰς τοὺς προσελθόντας ἑταίρους.

ΟΘυμοειδὴς τὴν ψυχὴν, λόγῳ κεράσας τὸ πάθος, ἀνδρεῖος ἤκουσεν· ὁ τὸν βίον ἁβρὸς, μέτρον ἐπιθεὶς τῇ φύσει, τὴν σωφροσύνην ἐλάμβανεν. ἀμείβει τὴν φύσιν εἰς πολλὰς ἰδέας καὶ θάλαττα· πορφύρει μὲν, ὅταν εἰς γαλήνην στορέσῃ τὰ κύματα· ζόφον δὲ ἔχει τὸ πρόσωπον, ὅταν ἀγριαίνῃ ταρασσομένη τοῖς κύμασιν.

E propemptica in ſocios aduenientes.

ANIMOSVS, orationi miſcens affectum, & fortis audiuit: vita mollis, menſuram ponens naturæ, temperantiam aſſumpſit. Mare mutat naturam in multas formas. Purpuraſcit quidem cùm in tranquillitatem ſedarit fluctus, obſcuram verò ſpeciem habet cum fluctibus turbatum efferatur. Maris ſpecies.

Ἐκ τοῦ εἰς Φλαβιανὸν προπεμπτικοῦ.

Τὸ Προοίμιον.

ΚΡείττονά με λύραν, ὦ φίλε, κάμνοντα, ἵνα σε μετὰ λιβύην ἀσπάσωμαι, φεύγων ἐξαίφνης εἰς στυγνὸν μέλος ἀπέρριψας. οὔπω τὸ ἔαρ ὤφθη, καὶ χειμὼν ἑλλησποντίας προσβαλὼν τὴν ψυχὴν πήγνυσιν· οὔπω τὸν ἥλιον εἴδομεν· καὶ τὰς ἀκτῖνας ἑτέρωσε κλίνων, ἀπειλεῖ νύκτα πείσεσθαι τοῖς Ἕλλησι. πρὶν μειδιάσαι στενάζομεν, πρὶν ἐπιδήμια θῦσαι, θεοῖς ἐνοδίοις εὐχόμεθα. λόγους δὲ καὶ εἰς ἀτολμοτέρους ἐλέγχεσθαι, ὀκνοῦντας ποιεῖν ἃ κηρὸς τε ἐθέλει καὶ σίδηρος. *διέπλει γὰρ ἀεὶ τὸ κλέος ἀπὸ λιβύης εἰς Ἕλληνας. τὸ μὲν αὖ ζαχρεῖον καὶ τεθρυμμένην καὶ παίζουσαν, οἵας τὰς λυδὰς ποιοῦσι ζωγράφοι κατὰ πινάκων τέχνην *μεθυούσας. μικρὸν οὖν ἀναβιβάσαντες ἐκ μέσου τὸν λόγον, εἶτα ῥυῆναι κατὰ *λιβύης ἐάσομεν. νικᾷ δὲ οὐδεὶς, ὅτι τὰ *πάντα θαυμάζει. ἀλλ' ὁ λόγος [γὰρ] ἀκολουθήσας τῷ πόθῳ ὥσπερ τινὶ βιαίῳ ῥεύματι, μικροῦ πρὸς ἑτέραν ὁδὸν μετοχετεύθη φερόμενος.

E propemptica in Flauianum.

CONIECISTI me, meliorem parantem lyram, ò amice, vt te ſcilicet poſt Africã ſalutarem, repentè fugiens in inamænã Muſam. Viſum nondũ eſt ver, & tempeſtas Helleſpontiaca irrumpens animam ſuffocauit. Nondum Solẽ vidimus, & radios auerſus mutauit, Græcíſque noctem inducere minatus eſt. Prius ingemiſcimus, quàm riſerimus, prius diis viarum * præſidibus vota dedimus, quàm ſacrificia te reduce fecerimus. orationem timidiorẽ quàm dextram coargui, ea præſtare negligentem, quæ cera & ferrum audent. ſemper enim gloria ex Africa in Græciam profecta eſt. ventum quidem fecit iocantem & ludentem, quales pictores in tabulis artificio ſuo ebrias Lydas faciunt. Parum igitur orationem è medio trahemus, & deinde de Africa liberè fluere permittemus. Nemo vincit, quia õnia admiratur, ſed oratio amorẽ ſecuta tanquã violentum fluxum. parum ad aliam viam delata deflexit.

HIMERIVS. Reducenda igitur oratio ad Africam. Pericles accusatus est vt eloquentia nemini * secundus, accusatus est Themistocles, vt mente tardior atque obtusior, Plato propter ingenium, ob leges Solon, & norunt omnes, vnumquemque vt solis, vt omnibus sic exsultare. Quid faciam? quid consilij capiam? mittam ducem Romanis? Lautus populus sobrium ignorat aurigam. Celeriter mihi Carthago indignatur, vrbs supra Africam ob virtutem Romanæ vrbis æmula, vrbs totam Italiam suis ornamentis depascens, vrbs propter id non prima, propter quod Romā veretur. Periclitatur mihi magna vrbs, & tota continens male gubernatur. Mittamus ipsū magnum victoriæ aurigā. Nouit hæc rex, & aureæ statim tabellæ sententiam præcesserunt. Cùm huc in oratione venissem,

Quid primùm, quid deinde canam, quo fine silebo.

Mouentur enim vndique negotia, æqualē est & dubium æquè & non dicere, & dicere: hoc multitudine, illud verò magnitudine prohibetur. Dicendum igitur non quod res est, sed quod licet. Videntes autem eundem per pratum vt per tranquillitatem classem instruere, & in fluctibus tanquam in portu ludentem, hi quidem tanquam aërem amatorem desiderant, hi metuunt tanquam omni metu superiorem, excellentiorem pompam duxit quam Vulcanus. Contra fluctus sonat populus, & contra impetum applausus ex vrbe, & fremitum maris Carthaginensis clamor compleuit. Veniam dent omnes, & senex & iuuenis, si adhuc loquar. Sciuit enim sciuit amor orationem propriam facere. Hic morbo laborauit maiore quam fortuna sua pateretur, iniquitate non minore. Et vero nemo miretur an hæc ille contra hunc virum ausus fuerit. Viri boni, qui ante nos fuerunt, à malis hominibus accusati sunt. Accusauit Periclem Cleon, fugit Hyperbolum Nicias, in crimen vocauit Demades Demosthenem, Cleophon Alcibiadem proscripsit. Vir Seriphius conuiciatus est Themistocli. Nam qui excellentiori fortunæ inuident, cogunt audaciæ adæquare dignitatem minorem virtutis & calliditatis constituit.

* fort. ὑστέρου. — Carthago. — Accusati.

ἐπαναχτίον οὖν ἐπὶ (τὴν) λιβύην τὸν λόγον. ἠλέγχθη Περικλῆς εἰς πειθὼ δεύτερος, ἠλέγχθη δὲ Θεμιστοκλῆς εἰς γνώμης τάχος ἀμβλύτερος, καὶ Πλάτων εἰς φύσιν, καὶ Σόλων εἰς νόμους· καὶ πάντες ἴσασιν ὅτι εἷς ἕκαστος ὡς μόνοις ὡς πᾶσιν οὕτως ἀγάλλεται. τί δράσω; τί δὲ βουλεύσομαι; ὕπαρχον πέμψω ῥωμαίοις; χλιδῶν δὲ δῆμος σεμνὸν οὐκ οἶδεν ἡνίοχον. δυσχεραίνει μοι τάχα καρχηδὼν καὶ πόλις ἐπὶ λιβύην δι᾽ ἀρετὴν ποτὲ κατὰ ῥώμης φρονήσασα· πόλις ἰταλίαν ὅλην τοῖς ἑαυτῆς κάλλεσι βόσκουσα· πόλις παρὰ τοσοῦτον οὐ πρώτη, παρ᾽ ὅσον ῥώμην αἰσχύνεται. κινδυνεύει μοι πόλις μεγάλη, καὶ ἤπειρος ὅλη πονηροῖς κυβερνᾶται τοῖς οἴαξι. πέμψωμεν αὐτὸν τὸν μέγαν τῆς * νίκης ἡνίοχον. ἔγνω ταῦτα βασιλεὺς, καὶ χρυσοῖ * παρὰ χρῆμα δέλτοι τὴν γνώμην ἔφθανον. ἐνταῦθα τοῦ λόγου γενόμενος,

τί πρῶτον, τί δ᾽ ἔπειτα, τί δ᾽ ὑστάτιον καταλέξω;

κινοῦνται μὲν γὰρ πανταχόθεν αἱ πράξεις. ἴσα δὲ πάντα, καὶ τοῦ μὴ λέγειν τὸ λέγειν ὁμοίως ἄπορον. ὅτι τὸ μὲν πλήθει, τὸ δὲ μεγέθει κωλύεται. λεκτέον οὖν οὐχ ὅσα ἔνεστιν, ἀλλ᾽ ὅσα ἔξεστιν. ὁρῶντες δὲ αὐτὸν κατὰ τοῦ λειμῶνος ὡς κατὰ γαλήνης τὸν στόλον πέμποντα, καὶ κατὰ κυμάτων ὡς κατὰ λιμένων ἀθύροντα, οἱ μὲν ὡς δημιουργὸν ἐραστὴν ἐπόθουν, οἱ δὲ ἔφριττον ὡς πᾶσι φόβοις ἀήττητον· κρείττονα πομπὴν τῆς Ἡφαίστου ἐπόμπευον. ἀντήχει δὲ δῆμος (τοῖς) κύμασι, καὶ ῥοθίῳ κρότος ἐκ πόλεως· καὶ ψόφον θαλάσσης βοὴ καρχηδόνος ἐξέπληττε. συγγνώμην δὲ ἅπας ἐχέτω καὶ γέρων καὶ νέος, εἰ * ἐπιφθέγγομαι. οἶδε γὰρ οἶδεν ἔρως καὶ λόγον ποιεῖν αὐτόνομον. οὗτος νόσον ἐνόσησε τῆς μὲν ἑαυτοῦ τύχης μείζονα, τῆς δὲ πονηρίας οὐχ ἥττονα. καὶ μὴ * θαυμάσῃ τις, εἰ ταῦτα ἐκεῖνος κατὰ τοιοῦδε ἀνδρὸς * ἐνόσησεν. ἄνωθεν κατὰ τῶν ἀρίστων ἀρχόντων τοῖς ἐλάττοσι * φθόνος φύεται. ἐσυκοφάντει Περικλέα Κλέων· ἔφυγε Νικίας Ὑπέρβολον· Δημάδης δὲ ἔκρινε Δημοσθένην· Κλεοφῶν Ἀλκιβιάδην ἐγράψατο. ἀνὴρ ἐλοιδόρει Θεμιστοκλέα Σέριφος. τοὺς γὰρ ὑπερβάλλοντι τῆς τύχης φθονοῦντες, τὸ ἐλαττούμενον τῆς ἀξίας ἀνισοῦν θράσει βιάζονται. ἔνθα δὴ καὶ μάλιστα ἔδειξεν, ὅσον τὸ μέσον ἀρετῆς τε καὶ πανούργου τρόπου καθέστηκεν.

Carthago. — * Νικ. — * στρατηγίας. — * al. ἐπιφθέγγομαι. — * θαυμάσει. — * ἐνόσει. — * μῶμος.

CCXLIV. E DIODORO SICVLO *Excerpta*.

DIVERSOS è Diodori Bibliotheca libros legimus, tricesimum secundum [tricesimum quartum] quadragesimum octauū, tricesimum primum, secundum, quartum, sextum, septimum, octauū, è quibus hæc descripsimus.

Inserta hæc numera L. Rhodomanni editione.

Multi, iique diuersi tradidere, multos è specie qua fœminæ putabantur, in virilem & sexum & naturam transiisse. Cæterum Diodorus res Alexādri Cœlo-Syriæ, & Antiochiæ regis prosequens, hæc ad prodigium addidit. Cum Alexander, inquit, victus è pugna in ciuitatē Arabiæ Abas ad Dioclem regem, apud quem & filium Antiochum adhuc infantem deposuerat, cum quingentis aufugisset, ecce duces illi Heliadis, qui sese Alexandro coniunxerāt,

ΤΗΣ ΔΙΟΔΩΡΟΥ ΒΙΒΛΙΟθήκης ἐκλογαί.

σμδ᾽. Ex Diodoro Siculo excerpta.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ ἐκ τῆς Διοδώρου βιβλιοθήκης, ἄλλοι τε λόγοι, καὶ ὁ λβ᾽, [καὶ λδ᾽,] καὶ ὁ μη᾽, καὶ ὁ λα᾽, καὶ ὁ β᾽, καὶ δ᾽, καὶ ς᾽, καὶ λζ᾽, καὶ λη᾽. ὧν ἐκλογὴν ἡ παροῦσα ἔκδοσις περιέχει.

Ὅτι πολλοὶ μὲν καὶ ἄλλοι ἱστόρησαν, ἀπὸ σχήματος γυναικείου καὶ ὑπολήψεως εἰς ἀνδρὸς καὶ σχῆμα καὶ φύσιν ἀναφανῆναι· ἀτὰρ καὶ Διόδωρος, ἐν τῇ λβ᾽ τῶν ἱστοριῶν, τοιαῦτα περὶ ταύτης τῆς περιπετείας ἱστορεῖ, τὰ περὶ Ἀλέξανδρον τὸν κοίλης συρίας καὶ ἀντιοχείας βασιλεύσαντα διεξιών. φησὶ δὲ· ὁ δὲ Ἀλέξανδρος ἀπὸ μὲν τῆς μάχης μετὰ * πεντακοσίων τὴν φυγὴν ἐποιήσατο τῆς ἀραβίας εἰς τὰς καλουμένας ἄβας πρὸς Διοκλέα τὸν δυνάστην, πρὸς ὃν ἦν καὶ τὸν υἱὸν Ἀντίοχον προεκτεθειμένος ὄντα νήπιον. εἶτα οἱ μὲν περὶ τὸν Ἡλιάδην ἡγεμόνες, οἱ συνῶσαν Ἀλεξάνδρῳ, λάθρα

Lib. D. S. XXXII. — * πεντακοσίων

λάθρᾳ διεπρεσβεύσαντο περὶ τῆς ἰδίας ἡγεμονίας, ἐπαγγελλόμενοι δολοφονήσειν τὸν Ἀλέξανδρον· συγχωρήσαντος δὲ τοῦ Δημητρίου περὶ ὧν ἠξίουν, οὐ μόνον προδόται τοῦ βασιλέως, ἀλλὰ καὶ φονεῖς ἐγενήθησαν.

Οὐκ ἄξιον δὲ παρελθεῖν τὴν γενομένην περιπέτειαν πρὸ τῆς Ἀλεξάνδρου τελευτῆς, διὰ δὲ τὸ παράδοξον ἴσως ἀπιστηθησομένην.

Ἀλεξάνδρου γὰρ τοῦ βασιλέως βραχὺ πρὸ τῶν *ἐνεστώτων χρόνων χρηστηριαζομένου κατὰ τὴν Κιλικίαν, ἔνθα φασὶν Ἀπόλλωνος Σαρπηδονίου ἱερὸν εἶναι, ἀνειλεῖν αὐτῷ λέγεται τὸν θεὸν, φυλάξασθαι τὸν τόπον τὸν ἐνεγκόντα *(τὸν) θεὸν δίμορφον. καὶ τότε μὲν αἰνιγματώδη τὸν χρησμὸν εἶναι δόξαι· ὕστερον μέντοι, μετὰ τὴν τελευτὴν τοῦ βασιλέως, ἐπιγνωσθῆναι τὸ λόγιον διὰ τοιαύτας τινὰς αἰτίας. Τῆς Ἀραβίας ἐν ταῖς καλουμέναις Ἄβαις ᾤκει τις Διόφαντος ὄνομα, τὸ δὲ γένος Μακεδών. οὗτος ἐγχώριον Ἀραβίαν γυναῖκα γήμας, ἐγέννησε μὲν υἱὸν ὁμώνυμον ἑαυτοῦ, θυγατέρα δὲ τὴν προσαγορευθεῖσαν Ἡραΐδα. τὸν μὲν οὖν υἱὸν πρὸ τῆς ἀκμῆς ἐπεῖδε τελευτήσαντα. τὴν δὲ θυγατέρα γάμου ἔχουσαν ὥραν προικίσας συνῴκισέ τινι ὄνομα *Σαμιάδης. οὗτος μὲν συμβιώσας τῇ γαμηθείσῃ χρόνον ἐνιαύσιον, ἀπεδήμησε μακρὰν ἀποδημίαν. τὴν δ' Ἡραΐδα φασὶν ἀρρωστίᾳ περιπεσεῖν παραδόξῳ καὶ παντελῶς ἀπιστουμένῃ· φλεγμονὴν γὰρ ἰσχυρὰν γενέσθαι περὶ τὸ ἦτρον αὐτῆς. ἐπὶ πλεῖον δὲ οἰδήσαντος τοῦ τόπου, ἐπειτα τοῦ πυρετοῦ μεγάλου συνεπιγενομένου, καταδοξάσαι τοὺς ἰατροὺς, ἕλκωσιν γεγονέναι περὶ τὸν τράχηλον τῆς μήτρας. χρωμένων δὲ αὐτῶν θεραπείαις, αἷς ὑπελάμβανον καταστέλλειν τὰς φλεγμονάς· ἑβδομαίας δ' οὔσης, ῥῆξιν ἐπιγενέσθαι τῆς ἐπιφανείας, καὶ προκύψαι ἐκ τῶν τῆς Ἡραΐδος γυναικείων αἰδοῖον ἀνδρεῖον, ἔχον διδύμους προσκειμένους. τὴν δὲ ῥῆξιν ταύτην καὶ τὸ πάθος γενέσθαι, μήτε ἰατροῦ μήτ' ἄλλου τῶν ἔξω παρόντων, πλὴν μητρὸς, καὶ δύο θεραπαινίδων. τότε μὲν ἀχανεῖς γενομένας διὰ τὸ παράδοξον, τὴν ἐνδεχομένην ἐπιμέλειαν ποιήσασθαι τῆς Ἡραΐδος, καὶ κατασιωπῆσαι τὸ γεγονός. τὴν δὲ ἀπολυθεῖσαν τῆς νόσου, τὴν ἐσθῆτα φορεῖν γυναικείαν, καὶ τὴν ἄλλην ἀγωγὴν οἰκουρὸν καὶ ὕπανδρον διαφυλάττειν. *καταδοξάσαι δὲ ὑπὸ τῶν συνειδότων τὴν περιπέτειαν, ἑρμαφρόδιτον εἶναι. καὶ κατὰ τὴν γενομένην μετ' ἀνδρὸς συμβίωσιν, τῆς κατὰ φύσιν ἐπιπλοκῆς αὐτὴν παρεχούσης, δοκεῖν αὐτὴν ταῖς ἀρρενικαῖς συμπεριφοραῖς κεχρῆσθαι. λανθανούσης δὲ τοὺς ἐκτὸς τῆς διαθέσεως ταύτης, ἐπανελθεῖν τὸν Σαμιάδην, καὶ (καθάπερ ἦν ἐπιβάλλον) τὴν γαμηθεῖσαν ἐπιζητεῖν. οὐ τολμώσης δὲ ἐκείνης εἰς ὄψιν ἐλθεῖν, διὰ τὴν αἰσχύνην τὸν Σαμιάδην φασὶ βαρέως ἐνεγκεῖν. ἐπικειμένου δὲ συνεχέστερον, καὶ ἀπαιτοῦντος τὴν συμβίωσιν· καὶ τοῦ πατρὸς μὴ συγχωροῦντος μὲν, αἰσχυνομένου δὲ τὴν αἰτίαν εἰπεῖν: εἰς μέγα συνέβη ἡ διαφορὰ ἐκπεσεῖν. ἐπενεγκεῖν τε διὰ τοῦτο δίκην τῷ πατρὶ περὶ τῆς ἰδίας γυναικὸς· τῆς τύχης ὥσπερ ἐν δράματι τὸ παράδοξον τῆς περιπετείας ἀγούσης εἰς ἔγκλημα. συνεδρευσάντων δὲ τῶν κριτῶν, καὶ λόγων ῥηθέντων: συμπαρεῖναι μὲν τῇ κρίσει τὸ ἀμφισβητούμενον σῶμα· διαπορεῖν δὲ τοὺς δικαστὰς, πότερον προσήκει τὸν ἄνδρα τῆς γυναικὸς, ἢ τὸν πατέρα τῆς θυγατρὸς κυριεύειν. τῶν δὲ κριτῶν οἰομένων δεῖν ἀκολουθεῖν τἀνδρὶ τὴν γαμηθεῖσαν. τὴν ἀλήθειαν διασαφῆσαι τὸ τῆς φύσεως ἄρρεν, καὶ θυμῷ τετολμηκότι τὴν κατασχηματιζομένην ἐσθῆτα λύσασαν δεῖξαι πᾶσι, ῥῆξαί τε φωνὴν δεινοπαθοῦσαν, εἰ τινες ἀναγκάζουσι συνοικεῖν ἀνδρὶ τὸν ἄνδρα.

de proprio commodo legationem clam adornant, & dolo sese Alexandrum necaturos promittunt. Annuente vero postulatis Demetrio, non modo regem suum prodiderunt, verum etiam interfecerunt.

Non est prætereundum prodigium illud, quod mortem Alexandri præcessit; licet fortasse propter nouitatem fidem excedere videatur.

Paucis ante diebus, cum iuxta Ciliciam Alexander rex oraculum consuleret, quod Apollinis Sarpedonij templum ibidem diceretur, respondisse fertur illi Deus, eum vt locum caueret, qui geminum Deum protulisset. Ambiguum tunc temporis, & obscurum visum est; post regis autem mortem, verum oraculum fuisse cœptum est intelligi, his de caussis. Diophantus quidam è Macedonia in ciuitate Abis in Arabia habitabat, qui ducta vxore Arabissa, filium genuit eiusdem nominis Diophantum, & filiam nomine Heraidem. Filium, antequam iuuenesceret amisit, sed filiam nubilem cuidam Samiadi dotatã dedit: qui exacto vno cum vxore anno, procul à domo peregrinatus est. Herais autem, vt dicitur, interea in nouum omnino morbum, & sane incredibilem incidit. Nam ingens circa aluum natum est tuber; quod, cum indies excresceret, & locus intus condensaretur, cõsuluntur medici. hi vlcus circa ostium vuluæ esse asserũt, quocirca adhibent medicamenta, quibus tuber hoc possint supprimere. Septimo autem die disrupta summa cute, excidit ex pudendo inguen adiunctis testibus, & hæc ruptio hicque affectus nec medico, nec quoquam externo præter matrẽ duásque ancillas præsente accidit. Itaque rei nouitate perculsæ, omnem curam Heraidis gerunt, & id quod accidisset occultant. Mulier vero liberata morbo, sumpta veste fœminea, domestica exercitia, & vxoria exequitur. Qui prodigiũ cognoscebant, iudicant eam Hermaphroditũ esse, & ideo virile quoddã gestasse, quia coiens cum viro cõtratio naturæ modo coiuit. Latuit hoc externos. Reuersus autem Samiades, vt par est, super vxore rogitat, quæ præ pudore nõ fuit ausa cõparere. quod acerbe ferens Samiades; institit amplius, & consortium cum vxore sua postulauit: patre vero renuente, & caussam dicere erubescente, magna orta est contentio. Itaque pro vxore sua socero diem dicit, &, vt sic in dramatis, prodigium fortuna in crimen conuertit. Cum iam iudices consedissent, & causæ essent allatæ, adesse iubetur persona de qua contendatur: Iam vero dubitant iudices, vtrum viro coniugem, aut filiam patri adiudicent; censent tandem id veritatem indicare, vxorem viro esse adiungendam. Ipsa mox audacter vestem fictam soluens, ostendit palam virum sese esse, lamentabilem tollens vocem, ad quid cogerent virum cohabitare viro?

DIODORVS Siculus.

Prodigium.

* ἐνεστώτων

* δίμορφον

Diophantus.

* al. b. l. Samias.

* al. περιδόξαντα.

DIODORVS Siculus.

Obstupescere omnes, & admirabili voce se perculsos testari. Tunc Herais remoto pudore, virilem habitum reiecto femineo memoratur assumpsisse. Medici autem his visis sic dixerunt: Eodem loco & femineum & virilem sexum tegi, & pelliculam quæ testes tegeret, nouo more peruiam factam esse, quo retrimenta naturæ transirent; quare patentem illum locum obducere, & claudere, virilémque naturam promptam reddere coacti sunt, omnibus adhibitis medicamentis. Herais vero induto nomine Diophanti conscripta est inter equites, & militaris vna cum rege Abas secessit. Tunc vero oraculum quod antea occultum fuit, verum fuisse appatuit. Nam Abas eum rex confugisset, ibidem etiam biformis Diophantus fuit. At Samiades quod amori primóque matrimonio seruiisset, pudore, & contra naturam nuptiis initis afflictatus, Diophantum hæredem bonorum suorum scripsit, & sibi ipsi vitam eripuit. Vide quomodo femina virilem animum & audaciam assumat, & vir femina fiat imbecillior. Simile priori triginta post annos in Epidauro prodigium contigit. Kallo quædam fuit Epidauria parentibus orbata, quæ puella esse videbatur. Habebat enim ea quæ feminis natura concessit, verùm non peruia iuxta hunc locum, alia via à natiuitate excrementa naturæ transmittebant. Ad ætatem nubilem vbi peruenisset, nuptiis cuidam ciui, duósque annos in matrimonio cum viro exegit. Sed coniunctionem feminis vsitatam non admittens, inuersam, & contra naturam sustinere debuit. Post autem multis doloribus circa vterum ingens oritur tuber, quod è multis medicis, qui eo confluxerant, nemo sanare potuit. Pharmacapola vero quidam se curaturum promisit. Hic tumentem illum locum aperiens, virilia membra & testes, & virgulam non peruiam inde eduxit. Rei nouitate omnes obstupescunt. Pharmacopola tum reliquis partibus læsis medicatus est. Primo quidem summitatem pudendorum patum secans, perduxit vsque ad initium vesicæ, & fistulam inseruit argenteam, qua excrementa pertransirent, locum vero ante patentem sanauit, & clausit; quare hoc loco sanato, duplicem mercedem poposcit, primo quia mulierem liberasset à morbo, & virum ex ea perfectum perfecisset. Kallo vero virili veste sumpta, & viri moribus reiectis radio textorio, & mulierum opificio, vna littera omini adiuncta; scilicet N. Kallon vocitata est. Narrant quidam illam antequam in virilem formam mutaretur, Cæteris sacra viris ipsis non adeunda, vidisse, & ideo impietatis accusatam fuisse. Similia Neapoli, & aliis in locis plurima facta dicuntur prodigia, non quod masculinus & fœmininus sexus in geminum locum collocatus sit, quod fieri non potest, verum quia natura aliqua membra corporis,

πάντων δὲ καταπλαγέντων, καὶ φωνῇ θαυμαζούσῃ τὸ παράδοξον ἐπισημαινομένων· τὴν μὲν Ἡραΐδα φασὶν ἀποκαλυφθείσης τῆς αἰσχύνης, μεταμφιάσασθαι τὸν γυναικεῖον κόσμον εἰς νεανίσκου διάθεσιν· τοὺς δὲ ἰατροὺς ἐπιδειχθέντων αὐτοῖς τῶν φανέντων, γνῶναι ὅτι κατακέκρυπτο φύσις ἄρρενος ἐν ᾠοειδεῖ τόπῳ φύσεως θηλείας· καὶ δέρματος περιειληφότος παρὰ τὸ σύνηθες τὴν φύσιν, σύντρησις ἐγεγένητο, δι' ὧν ἐξωδεύοντο τὰ περιττώματα. διόπερ τὸν προσσεσυριγγωμένον τόπον ἑλκώσαντας δεῖν *καθουλῶσαι· τὴν δὲ ἀνδρὸς φύσιν εὔκοσμον ποιήσαντας, σὺν ἐνδεχομένῃ χρῆσθαι δόξαι θεραπείᾳ. τὴν δὲ Ἡραΐδα μετονομασθεῖσαν Διόφαντον, εἰς τοὺς ἱππεῖς καταλεχθῆναι, καὶ σὺν τῷ βασιλεῖ παραταξάμενον εἰς τὰς Ἄβας συναναχωρῆσαι. διὸ καὶ τὸν πρότερον ἀγνοούμενον χρησμὸν τότε γνωσθῆναι· φανέντος τοῦ βασιλέως ἐν ταῖς Ἄβαις, καθ' ὃν τόπον ὁ δίμορφος ἐγεγένητο. τὸν δὲ Σαμιάδην λέγουσιν, ἔρωτι καὶ τῇ προγεγενημένῃ συνηθείᾳ δεδουλωμένον, αἰσχύνῃ τε τῇ παρὰ φύσιν γάμου συνεχόμενον· τῆς μὲν οὐσίας τὸν Διόφαντον ἀναδεῖξαι διαθήκῃ κληρονόμον· ἑαυτὸν δὲ τοῦ ζῆν μεταστῆσαι. ὥστε τὴν μὲν γυναῖκα γεγενημένην, ἀνδρὸς ἀναλαβεῖν δόξαν καὶ τόλμαν, τὸν δὲ ἄνδρα γυναικείας ψυχῆς ἀσθενέστερον γενέσθαι. Παραπλησία δὲ ταύτῃ τῇ διαθέσει συνετελέσθη περιπέτεια τριάκοντα ἔτεσιν ὕστερον ἐν τῇ πόλει τῶν Ἐπιδαυρίων. ἦν γάρ τις Ἐπιδαυρία, κόρη μὲν εἶναι δοκοῦσα, γονέων δὲ ὀρφανή, Καλλὼ δὲ ὄνομα. αὕτη τὸν ἐπὶ τῆς φύσεως ἀποδεδειγμένον ταῖς γυναιξὶ πόρον, ἄτρητον εἶχεν. *παρ' αὐτὸν δὲ τὸν καλούμενον τόπον συντετρημένος ἐκ γενετῆς, τὰς περιττώσεις τῶν ὑγρῶν ἐξέκρινεν. εἰς δὲ τὴν ἀκμὴν τῆς ἡλικίας παραγενομένη, συνῳκίσθη τινὶ τῶν πολιτῶν. διετῆ μὲν οὖν χρόνον συνεβίωσε τἀνδρί· τὴν μὲν γυναικείαν ἐπιπλοκὴν οὐκ ἐπιδεχομένη, τὴν δὲ παρὰ φύσιν ὁμιλίαν ὑπομένειν ἀναγκαζομένη. μετὰ δὲ ταῦτα φλεγμονῆς αὐτῇ συμβάσης περὶ τὸν κτένα, καὶ δεινῶν ἀλγηδόνων ἐπιγενομένων, συνεκλήθη πλῆθος ἰατρῶν. καὶ τῶν μὲν ἄλλων, οὐδεὶς ὑπισχνεῖτο θεραπεύειν, φαρμακοπώλης δέ τις ἐπαγγελλόμενος ὑγιάσειν, ἔτεμε τὸν ἐπηρμένον τόπον. ἐξ οὗπερ ἐξέπεσεν ἀνδρὸς αἰδοῖα, δίδυμοι, καὶ καυλὸς ἄτρητος. πάντων δὲ τὸ παράδοξον καταπλαγέντων, ὁ φαρμακοπώλης ἐβοήθει τοῖς λειπομένοις μέρεσι τῆς πηρώσεως. τὸ μὲν οὖν πρῶτον, τὸ αἰδοῖον ἄκρον ἐπιτεμὼν, συνέτρησεν εἰς τὸν οὐρητῆρα· καὶ καθεὶς ἀργυροῦν καυλίσκον, *ταύτῃ τὰ περιττώματα τῶν ὑγρῶν ἐξεκόμιζε. τὸν δὲ συντετρημένον τόπον ἑλκώσας, ἐνέφυσε· καὶ τοῦτον τὸν τρόπον ὑγιοποιήσας, διπλοῦν ἀπῄτει τὸν μισθόν. ἔφη γὰρ, αὐτὸς παρειληφέναι γυναῖκα νοσοῦσαν, καθεστακέναι δὲ νεανίσκον ὑγιαίνοντα. ἡ δὲ Καλλὼ τὰς μὲν ἐκ τῶν ἱστῶν κερκίδας, καὶ τὴν ἄλλην τῶν γυναικῶν ταλασιουργίαν, ἀπέθετο· μεταλαβοῦσα δὲ ἀνδρὸς ἐσθῆτα, καὶ τὴν ἄλλην διάθεσιν, μετωνομάσθη Καλλὼν, ἑνὸς στοιχείου ἐπὶ τῷ τέλει τοῦ ν προστεθέντος. λέγεται δὲ ὑπό τινων, ὅτι πρὸ τοῦ μεταλαβεῖν τὴν εἰς ἄνδρα μορφὴν, ἱέρεια τῆς Δήμητρος ἐγεγόνει· καὶ τὰ τοῖς ἄρρεσιν ἀόρατα ἰδοῦσα κρίσιν ἔσχεν ἀσεβείας. ὁμοίως δὲ ἐν τῇ *νεαπόλει, καὶ κατ' ἄλλους τόπους πλείονας, ἱστοροῦνται γεγονέναι τοιαῦται περιπέτειαι, οὐκ ἄρρενος καὶ θηλείας φύσεως εἰς δίμορφον τύπον δημιουργηθείσης (ἀδύνατον γὰρ τοῦτο) ἀλλὰ τῆς φύσεως διὰ τῶν τοῦ σώματος μερῶν

* καταπαῦσαι.

Callo Epidauria.

* παρὰ δὲ.

* ταύτῃ.

* [illegible] M. N.

ψιλ δὲ

ψευδογραφεῖ τις εἰς ἔκπληξιν καὶ ἀπάτην τῶν ἀνθρώπων. διόπερ ἡμεῖς τὰς περιπετείας ταύτας ἀναγραφῆς ἠξιώσαμεν, οὐ ψυχαγωγίας, ἀλλ᾽ ὠφελείας ἕνεκα τῶν ἀναγινωσκόντων. πολλοὶ γὰρ, τέρατα τὰ τοιαῦτα νομίζοντες εἶναι, δεισιδαιμονοῦσιν. οὐκ ἰδιῶται μόνον, ἀλλὰ καὶ ἔθνη καὶ πόλεις. κατ᾽ ἀρχὰς γοῦν τοῦ μαρσικοῦ πολέμου, πλησίον τῆς ῥώμης οἰκοῦντά φασιν ἰταλικὸν, γεγαμηκότα παραπλήσιον τοῖς εἰρημένοις ἀνδρόγυνον, προσαγγεῖλαι τῇ συγκλήτῳ· τὴν δὲ δεισιδαιμονήσασαν, καὶ τοῖς ἀπὸ τυρρηνίας ἱεροσκόποις πεισθεῖσαν, ζῶντα προστάξαι καῦσαι. τοῦτον μὲν οὖν * ὁμοίας κεκοινωνηκότα φύσεως, ἀλλ᾽ οὐ πρὸς ἀλήθειαν τέρας γεγενημένον, φασὶν ἀγνοίᾳ τῆς νόσου παρὰ τὸ προσῆκον ἀπολωλέναι. μετ᾽ ὀλίγον δὲ καὶ παρ᾽ ἀθηναίοις [τοῦ] τοιούτου γενομένου διὰ τὴν ἄγνοιαν τοῦ πάθους, ζῶντα * φησι κατακαῦσαι. καὶ γὰρ καὶ τὰς λεγομένας ὑαίνας τινὲς μυθολογοῦσιν ἄρρενας ἅμα καὶ θηλείας ὑπάρχειν, καὶ παρ᾽ ἐνιαυτὸν ἀλλήλας ὀχεύειν· τῆς ἀληθείας οὐχ οὕτως ἐχούσης. ἑκατέρου γὰρ τοῦ γένους ἁπλῆν ἔχοντος καὶ ἀνεπίμικτον τὴν φύσιν, * προσκεῖσθαι τὸ ψευδογραφοῦν καὶ παρακρουόμενον τοὺς εἰκῇ θεωροῦντας. τῇ μὲν θηλείᾳ πρόσκειταί τι κατὰ τὴν φύσιν * παρεμφερὲς ἄρρενι μορίῳ, τῷ δὲ ἄρρενι κατὰ τὸ ἐναντίον ἐμφάσεις θηλείας φύσεως. ὁ δ᾽ αὐτὸς λόγος καὶ ἐπὶ πάντων τῶν ζώων, γενομένων μὲν πρὸς ἀλήθειαν πολλῶν καὶ παντοδαπῶν τεράτων, μὴ τρεφομένων δὲ, καὶ εἰς τελείαν αὔξησιν ἐλθεῖν οὐ δυναμένων. ταῦτα μὲν εἰρήσθω πρὸς διόρθωσιν δεισιδαιμονίας. Ὁ μὲν οὖν Διόδωρος πρὸς τῷ τέλει τοῦ λβ´ λόγου τῆς ἱστορικῆς αὐτοῦ πραγματείας τοσαῦτα διέξεισι· καὶ ἄλλοι δὲ πλεῖστοι τοιαύτας περιπετείας ἱστορήκασιν.

* ὁμοίως. * φασι. * προσήρτηται M. M. * παρεμφερῶς.

Ἐκ τοῦ λδ´.

Lib. D. S. XXXIV.

ΩΣ Ἀντίοχος ὁ βασιλεὺς, φησὶν, ἐπολιόρκει τὰ ἱεροσόλυμα· οἱ δὲ ἰουδαῖοι μέχρι μέν τινος ἀντέσχον. ἐξαναλωθέντων δὲ τῶν ἐπιτηδείων ἁπάντων, ἠναγκάσθησαν περὶ * διαλύσεως διαπρεσβεύσασθαι. οἱ δὲ πλείους αὐτῷ τῶν φίλων συνεβούλευον κατὰ κράτος αἱρήσειν τὴν πόλιν, καὶ τὸ γένος ἄρδην * ἀνελεῖν τῶν ἰουδαίων· μόνους γὰρ ἁπάντων ἐθνῶν ἀκοινωνήτους εἶναι τῆς πρὸς ἄλλο ἔθνος ἐπιμιξίας, καὶ πολεμίους ὑπολαμβάνειν πάντας. ἀπεδείκνυον δὲ καὶ τοὺς προγόνους αὐτῶν ὡς ἀσεβεῖς καὶ μισουμένους * παρὰ θεῶν, ἐξ ἁπάσης τῆς αἰγύπτου πεφυγαδευμένους. τοὺς γὰρ ἀλφοὺς ἢ λέπρας ἔχοντας ἐν τοῖς σώμασι, καθαρμοῦ χάριν, ὡς ἐναγεῖς συναθροισθέντας, ὑπερορίους ἐκβεβλῆσθαι. τοὺς δὲ ἐξορισθέντας καταλαβέσθαι μὲν τοὺς περὶ τὰ ἱεροσόλυμα τόπους, συστησαμένους δὲ τὸ τῶν ἰουδαίων ἔθνος, παραδόσιμον ποιῆσαι τὸ μῖσος [τὸ] πρὸς τοὺς ἀνθρώπους. διὰ τοῦτο δὲ καὶ νόμιμα παντελῶς ἐξηλλαγμένα καταδεῖξαι, τὸ μηδενὶ ἄλλῳ ἔθνει τραπέζης κοινωνεῖν τὸ παράπαν, μηδ᾽ εὐνοεῖν. ὑπέμνησαν δὲ αὐτὸν καὶ περὶ τοῦ * γενομένου μίσους τοῖς προγόνοις πρὸς τοῦτο τὸ ἔθνος. Ἀντίοχος γὰρ ὁ προσαγορευθεὶς Ἐπιφανὴς, καταπολεμήσας τοὺς ἰουδαίους, εἰσῆλθεν εἰς τὸν ἄδυτον τοῦ θεοῦ σηκὸν, οὗ νόμιμον εἰσιέναι μόνον τὸν ἱερέα. εὑρὼν δὲ ἐν αὐτῷ λίθινον ἄγαλμα ἀνδρὸς βαθυπώγωνος, καθήμενον ἐπ᾽ ὄνου, μετὰ χεῖρας ἔχον βιβλίον. τοῦτο μὲν ὑπέλαβε Μωσέως εἶναι, τοῦ κτίσαντος τὰ ἱεροσόλυμα, καὶ συστησαμένου τὸ ἔθνος. πρὸς δὲ τούτοις νομοθετήσαντος τὰ μισάνθρωπα καὶ παράνομα ἔθη τοῖς ἰουδαίοις. αὐτὸς δὲ στυγήσας τὴν μισανθρωπίαν πάντων ἐθνῶν, ἐφιλοτιμήθη καταλῦσαι τὰ νόμιμα.

* al. συναιδέσεως. * ἀνελεῖν M. M. * ἰουδαίων ὑπὸ θεῶν. * προγεγονότος. * al. ζ.

in hominum stuporem, & fraudem falso describat. Quare nos hæc digna censuimus quæ litteris non oblectationis causa legentium, sed vtilitatis mandarentur. Multi enim superstitiose putant hæc prodigia esse, nec solum rudes, sed etiam integræ gentes & vrbes. Fama est initio belli Marsici, iuxta Romam Italum quendam Androgynum vxore ducta prioribus non absimilem, reum factum apud Senatum fuisse, qui superstitiosus nimium, & à Tyrrhenis aruspicibus persuasus, hominem viuum iussit exuri. Verum senatus ignorans morbum, iniustè hunc similis participantem quidem naturæ, non reuera autem monstrum, damnauit. Non multo post Athenienses eadem de causa morbum ignorantes, quendam viuum ait exussisse. Nugantur etiam quidam Hyænas vtriusque naturæ esse, & intra annum sibi inuicem coire: sed res tota falsa. Nam vtramq; naturam simplicem, & non permixtam habent, & male tradiderunt ij, qui temere obseruarunt. Mulicbri sexui adiacet quiddam simile secundum naturam parti virili, & virili contrario modo quod referat speciem muliebris.

DIODORVS Siculus.

Androgyni.

Palladius de Hianis in vita Macarij & fortasse Busbequius in Legatione Byzãtina.

Hæc quidem de omnibus animalibus non crescentibus, & ad perfectum incrementum pertingere non valentibus, quamuis multa & varia reuera accidant prodigia, dicta sunt ad superstitionem tollendam. Hæc Diodorus circa finem libri tricesimi secundi historiarum prosequitur, licet etiam * alij, & plurimi de prodigiis scripserint.

* Iulius obsequens T. Liuius Plutarchus, Dion & alij.

Ex libro tricesimo quarto.

OBsidenti, inquit, Antiocho regi Hierosolyma, eo vsque Iudæi restiterunt, donec necessaria omnia defecissent. Tunc de componenda re legatos miserunt, & eos plerosque regios amicos. Itaque suasere regi, vt violenter vrbem dirueret, & gentem Iudæorum funditus euerteret. Solos enim eos esse qui cum aliis gentibus nihil habeant commune, & omnes in hostium numero ponant, & clarū esse quomodo maiores eorū, vt impij & execrabiles à Diis ex omni Ægypto expulsi, & quomodo leprosi confertim loco mundationis velut detestandi profugi eiecti sint, & mox Hierosolymis loca contermina arripientes hanc gentem ordinauerint, & odium erga omnes homines induxerint. Quare & aliam omnino vitæ institutionem complecti, nec cum alia gente omnino velle comedere, nec etiam velle benefacere. Ad hæc ei maiorum odium suorum erga hunc populum in memoriam reuocarunt. Antiochus enim dictus Epiphanes deuictis Iudæis intrauit Sancta Sanctorum, adiit solis sacerdotibus adeunda, & inuenit ibidem lapideam statuam viri barba promissa, tenentis manibus librū insidentisque asino, quam putabat Mosis esse, qui vrbem & condiderit, & gentem fundarit; & odiosas illas omnibus gentibus leges tulerit. Ipse vero cupiens obducere odium omnium gentium, leges dissoluere conatus est.

Iudæi.

DIODORVS Siculus.

Quare statuæ conditoris, & altari Dei subdiali porcam ingentem sacrificauit, & sanguine illos perfudit, & carnem coquens, iussit sacros eorum libros, qui leges continerent, iure illo corrumpi, & obliterari: ignem nunquam deficientem, & semper, vt aiunt, ardentem, in templo extingui, & carnem suillam summum sacerdotem, aliosque Iudæos comedere coëgit. Hæc narrantes illi amici, Antiochum vehementer ad totam gentem perdendam, aut saltem ad euertendas leges, & vitæ institutionem mutare cogendum incitarunt. Verum Rex magnanimus, moribúsque mansuetus, impositisque tolerandis tributis, & muro priuans ciuitatem Hierosolymorum, acceptis obsidibus Iudæos crimine liberauit. Hæc Diodorus de Mosaicis institutis & legibus, de conditore Hierosolymorum, de exitu ex Ægypto mentitur. Et in reprehensione Iudæorum in mendacio perseuerans, ne sibi ipsi contradicere videatur, tanquam alios narrantes inducit, quibus Antiochi amicitiam adiungit. Hæc quoque de Iudæis libro quadragesimo Bibliothecæ habet.

Ex quadragesimo circa medium.

Scripturus bellum contra Iudæos par esse existimaui principium prius & ortum huius gentis & instituta recensere. Multi apud Ægyptios olim perniciosæ huius calamitatis causam ad Deum referunt. Cum multi & varij peregrini Ægyptum incolerent, diuersis sacrificandi vtentes ritibus, factum est, vt patrij erga Deos cultus deficerent, quod incolæ, nisi alienigenas dimitterent, malorum indicium fore suspicati sunt. Statim itaque ex eiectis profugis præstantissimi efficacissimíque (vt quidam nugantur) in Græciam, locáque vicina illapsi sunt, præstantes habentes ductores, quorum principes Danaus & Cadmus exstiterunt. Reliqua vero turba eam regionem, quæ nunc Iudæa dicitur, non procul ab Ægypto distantem, & in illa vsque tempora penitus desertam occupauit. Hanc porro coloniam Moses prudentia & robore cæteros excellens deduxit, qui hanc regionem inuadens, multas vrbes condidit, & vnam quæ nunc celeberrima est appellatam Hierosolyma; maximè autem religionem & cultum eis colendum dedit, venerationes & sacrificia edocuit, & de eis qua ad temp. pertinét leges tulit & decreta. In duodecim tribus populum diuisit, existimás hunc numerum esse perfectissimum, & anno duodecim mensibus completo persimilem. Imagines Deorum omnino non sculpsit, quod putaret humana Deum non videri forma, sed cœlum terram ambiens esse Deum, & omnia suo imperio gubernare. sacrificia vitæque rationes diuersas prorsus ab aliis gentibus ordinauit.

Moses. Vide Strab. & Iustin.

διὸ τῷ ἀγάλματι τοῦ κτίστου, καὶ τῷ ὑπαίθρῳ βωμῷ τοῦ θεοῦ, μεγάλην ὗν θύσας, τό, τε αἷμα περιέχειν αὐτοῖς, καὶ τὰ κρέα σκευάσας, προσέταξε τῷ [μὲν] ἀπὸ τούτων ζωμῷ τὰς ἱερὰς αὐτῶν βίβλους καὶ περιεχούσας τὰ μισόξενα νόμιμα καταρρᾶναι· τὸν δὲ ἀθάνατον λεγόμενον παρ' αὐτοῖς λύχνον, καὶ καιόμενον ἀδιαλείπτως ἐν τῷ ναῷ, κατασβέσαι. τῶν τε κρεῶν ἀναγκάσαι * προσενέγκασθαι τὸν ἀρχιερέα, καὶ τοὺς ἄλλους ἰουδαίους. ταῦτα δὴ διεξιόντες οἱ φίλοι, τὸν Ἀντίοχον παρεκάλουν μάλιστα μὲν ἄρδην ἀνελεῖν τὸ ἔθνος. εἰ δὲ μὴ, καταλῦσαι τὰ νόμιμα, καὶ συναναγκάσαι τὰς ἀγωγὰς μεταθέσθαι. ὁ δὲ βασιλεὺς μεγαλόψυχος ὢν, καὶ τὸ ἦθος ἥμερος λαβὼν ὁμήρους, ἀπέλυσε τῶν ἐγκλημάτων τοὺς ἰουδαίους. φόρους τε τοὺς ὀφειλομένους πραξάμενος, καὶ τὰ τείχη περιελὼν τῶν ἱεροσολύμων. ταῦτα Διόδωρος περὶ τῶν μωσαϊκῶν ἐθῶν καὶ νομίμων, ἀλλὰ καὶ τοῦ τῶν ἱεροσολύμων κτίστου καταψευσάμενος, καὶ αὐτῆς τῆς ἐξ αἰγύπτου τῶν ἰουδαίων ἐξόδου· καὶ πρὸς τὸν ἔλεγχον τοῦ ψεύδους ὥσπερ ἑαυτῷ, τὸ μὴ αὐτὸς ἁλῶναι, διοικονομούμενος. ἑτέροις περιτίθησι προσώποις τὴν περὶ τῶν διεψευσμένων ἀφήγησιν, τὴν Ἀντιόχου φιλίαν τούτοις προσεπισυνάπτων. γράφει δὲ καὶ τῷ μ' λόγῳ τῆς αὐτῆς βιβλιοθήκης περὶ ἰουδαίων ταῦτα.

* ἀναδεύσασθαι τὸν ἀρχιερέα.

Ἐκ τοῦ μ' λόγου, περὶ τὸ μέσον.

Ἡμεῖς δὲ μέλλοντες ἀναγράφειν τὸν πρὸς ἰουδαίους πόλεμον, οἰκεῖον εἶναι διαλαμβάνομεν προδιηγήσασθαι ἐν κεφαλαίοις τήν τε τοῦ ἔθνους τούτου ἐξ ἀρχῆς κτίσιν, καὶ τὰ παρ' αὐτοῖς νόμιμα. κατὰ τὴν Αἴγυπτον τὸ παλαιὸν, λοιμικῆς περιστάσεως γενομένης, ἀνέπεμπον οἱ πολλοὶ τὴν αἰτίαν τῶν κακῶν ἐπὶ τὸ δαιμόνιον. πολλῶν γὰρ καὶ παντοδαπῶν κατοικούντων ξένων, καὶ διηλλαγμένοις ἔθεσι χρωμένων περὶ τὸ ἱερὸν καὶ τὰς θυσίας, καταλελύσθαι συνέβαινε παρ' αὐτοῖς τὰς πατρίους τῶν θεῶν τιμάς. ὅπερ οἱ τῆς χώρας ἐγγενεῖς ὑπέλαβον, ἐὰν μὴ τοὺς ἀλλοφύλους μεταστήσωνται, κρίσιν οὐκ ἔσεσθαι τῶν κακῶν. εὐθὺς οὖν ξενηλατουμένων τῶν ἀλλοεθνῶν οἱ μὲν ἐπιφανέστατοι καὶ δραστικώτατοι συστραφέντες ἐξερρίφησαν (ὥς τινες φασὶν) εἰς τὴν ἑλλάδα, καί τινας ἑτέρους τόπους, * ἔχοντας ἀξιολόγους ἡγεμόνας, ὧν ἡγοῦντο Δαναὸς καὶ Κάδμος τῶν ἄλλων ἐπιφανέστατοι. ὁ δὲ πολὺς λεὼς ἐξέπεσεν εἰς τὴν νῦν καλουμένην ἰουδαίαν, οὐ πόῤῥω μὲν κειμένην τῆς αἰγύπτου, παντελῶς δὲ ἔρημον οὖσαν κατ' ἐκείνους τοὺς χρόνους. ἡγεῖτο δὲ τῆς ἀποικίας ὁ προσαγορευόμενος Μωσῆς, φρονήσει * δὲ πολλῇ καὶ ἀνδρείᾳ πλεῖστον διαφέρων. οὗτος δὲ καταλαβόμενος τὴν χώραν, ἄλλας τε πόλεις ἔκτισε, καὶ τὴν νῦν οὖσαν ἐπιφανεστάτην, ὀνομαζομένην ἱεροσόλυμα. ἱδρύσατο δὲ καὶ τὸ μάλιστα παρ' αὐτοῖς τιμώμενον ἱερόν· καὶ τὰς τιμὰς καὶ * ἁγιαστείας τοῦ θείου κατέδειξε· καὶ τὰ κατὰ τὴν πολιτείαν ἐνομοθέτησέ τε καὶ διέταξε. διεῖλε δὲ τὸ πλῆθος εἰς δώδεκα φυλὰς, διὰ τὸ τὸν ἀριθμὸν τοῦτον τελειότατον νομίζεσθαι, καὶ σύμφωνον εἶναι τῷ πλήθει τῶν μηνῶν τῶν τὸν ἐνιαυτὸν συμπληρούντων. ἄγαλμα δὲ θεῶν τὸ σύνολον οὐ κατεσκεύασε, διὰ τὸ μὴ νομίζειν ἀνθρωπόμορφον εἶναι τὸν θεόν· ἀλλὰ τὸν περιέχοντα τὴν γῆν οὐρανὸν μόνον εἶναι θεὸν, καὶ τῶν ὅλων κύριον. τὰς δὲ θυσίας ἐξηλλαγμένας συνεστήσατο τῶν παρὰ τοῖς ἄλλοις ἔθνεσι, καὶ τὰς κατὰ τὸν βίον ἀγωγάς· διὰ

* ἔχοντας.

* ἴσ. τε.

* al. ἁγιστείας

διὰ γὰρ τὴν ἰδίαν ξενηλασίαν ἀπάνθρωπόν τινα καὶ μισόξενον βίον εἰσηγήσατο. ἐπιλέξας δὲ τῶν ἀνδρῶν τοὺς χαριεστάτους καὶ μάλιστα δυνησομένους τοῦ συμπαντὸς ἔθνους προΐστασθαι, τούτους ἱερεῖς ἀπέδειξε· τὴν δὲ διατριβὴν ἔταξεν αὐτῶν γίνεσθαι περὶ τὸ ἱερὸν, καὶ τὰς τοῦ θεοῦ τιμάς τε καὶ θυσίας. τοὺς αὐτοὺς δὲ καὶ δικαστὰς ἀπέδειξε τῶν μεγίστων κρίσεων. καὶ τὴν τῶν νόμων καὶ τῶν ἐθῶν φυλακὴν τούτοις ἐπέτρεψε· διὸ καὶ βασιλέα μὲν μηδέποτε τῶν Ἰουδαίων, τὴν δὲ τοῦ πλήθους προστασίαν δίδοσθαι διὰ παντὸς τῷ δοκοῦντι τῶν ἱερέων φρονήσει καὶ ἀρετῇ προέχειν. τοῦτον δὲ προσαγορεύουσιν ἀρχιερέα, καὶ νομίζουσιν αὐτοῖς ἄγγελον γίνεσθαι τῶν τοῦ θεοῦ προσταγμάτων. τοῦτον δὲ κατὰ τὰς ἐκκλησίας καὶ τὰς ἄλλας συνόδους φησὶν ἐκφέρειν τὰ παραγγελλόμενα· καὶ πρὸς τοῦτο τὸ μέρος οὕτως εὐπειθεῖς γίνεσθαι τοὺς Ἰουδαίους, ὥστε παραχρῆμα πίπτοντας ἐπὶ τὴν γῆν, προσκυνεῖν τὸν τούτοις ἑρμηνεύοντα ἀρχιερέα. προσγέγραπται δὲ καὶ τοῖς νόμοις ἐπὶ τῆς τελευτῆς, ὅτι Μωσῆς ἀκούσας τοῦ θεοῦ, τάδε λέγει τοῖς Ἰουδαίοις. ἐποιήσατο δὲ ὁ νομοθέτης τῶν τε πολεμικῶν ἔργων πολλὴν πρόνοιαν, καὶ τοὺς νέους ἠνάγκαζε καρτερίαν τε καὶ ἀνδρείαν ἀσκεῖν, καὶ [τὸ σύνολον] πάσης ὑπομονὴν κακοπαθείας. ἐποιεῖτο δὲ καὶ στρατείας εἰς τὰ πλησιόχωρα τῶν ἐθνῶν· καὶ πολλὴν κατακτησάμενος χώραν, κατεκληρούχησε· τοῖς μὲν ἰδιώταις ἴσους ποιήσας κλήρους, τοῖς δὲ ἱερεῦσι μείζονας· ἵνα λαμβάνοντες ἀξιολογωτέρας προσόδους, ἀπερίσπαστοι συνεχῶς προσεδρεύωσι ταῖς τοῦ θεοῦ τιμαῖς. οὐκ ἐξῆν δὲ τοῖς ἰδιώταις τοὺς ἰδίους κλήρους πωλεῖν, ὅπως μή τινες διὰ πλεονεξίαν ἀγοράζοντες τοὺς κλήρους, ἐκθλίβωσι τοὺς ἀπορωτέρους, καὶ κατασκευάζωσιν ὀλιγανδρίαν. τεκνοτροφεῖν τε ἠνάγκαζε τοὺς ἐπὶ τῆς χώρας· καὶ δι᾽ ὀλίγης δαπάνης ἐκτρεφομένων τῶν βρεφῶν, ἀεὶ τὸ γένος τῶν Ἰουδαίων ὑπῆρχε πολυάνθρωπον. καὶ τὰ περὶ τοὺς γάμους δὲ, καὶ τὰς τῶν τελευτώντων *ταφὰς, πολὺ τὸ παρηλλαγμένον ἔχειν ἐποίησε νόμιμα πρὸς τὰ τῶν ἄλλων ἀνθρώπων. κατὰ δὲ τὰς ὕστερον γενομένας ἐπικρατείας ἐκ τῆς τῶν ἀλλοφύλων ἐπιμιξίας, ἐπί τε τῆς τῶν Περσῶν ἡγεμονίας, καὶ τῶν ταύτην καταλυσάντων Μακεδόνων, πολλὰ τῶν πατρίων τοῖς *Ἰουδαίοις νομίμων ἐκινήθη. οὕτω μὲν καὶ ταῦθά φησι περὶ τῶν *παρεθῶν τε καὶ νομίμων, καὶ αὐτῶν ἐκείνων τῆς ἐξ Αἰγύπτου ἀπαλλαγῆς, καὶ τοῦ θείου Μωσέως, ψευδολογῶν τὰ πλεῖστα καὶ διερχόμενος· πρὸς τοὺς ἐλέγχους πάλιν ὧν κατεψεύσατο τῆς ἀληθείας, ἀναχώρησιν ἑαυτῷ μεθοδευσάμενος, εἰς ἕτερον καὶ τὴν ἀναφέρει τῶν εἰρημένων τὴν παριστορίαν. ἐπάγει γάρ· περὶ μὲν τῶν Ἰουδαίων Ἑκαταῖος ὁ Μιλήσιος ταῦτα ἱστόρηκεν.

*τὰς γραφάς.

*al. ἰουδαίων

*Ir. πατρίων ἐθῶν

Nam quia externos vrbe sua interdicerent, odiosam sane vitam, & aliis inuisam induxit. Iussit insuper vt qui genti præessent, grati essent populo, & maxime auctoritate potentiores, quos sacerdotes esse voluit, & eos præcepit circa altaria Deique cultum & sacrificia exerceri, & ex his optimos iudicio viros iudices constituit, quibus & legum institutique custodiam attribuit. Non ordinauit Iudæis Regem, sed imperium populi ei censuit committendum, qui prudentia & virtute inter sacerdotes aliis præstare videretur; hunc summum Pontificem appellant, quem velut nuntium sibi diuinorum præceptorum esse ducunt, hunc edicta in populi congregationibus & conciliis, ait proferre, cui Iudæi ita obtemperant, vt statim Pontifice loquente cadentes in terram adorent. Additum est in fine legis, Hæc Moses loquitur Iudæis obediens Deo. Magnam etiam bellicarum institutionum curam adhibuit, iuuenésque ad tolerantiam & fortitudinem, & ad omnem malorum patientiam exerceri voluit. Multa quoque cõtra varios populos bella gessit, magnámque subigens regionem sorte eam diuisit; æquales populo portiones, sacerdotibus maiores assignauit: vt latiores terminos possidentes, continenter sine vlla molestia Dei sacrificiis occuparentur. Nec etiam licitum erat pauperibus portiones proprias diuendere, ne aliqui per auaritiam coëmentes inopes excludant, & in causa sint vt populus minuatur. In regione pueros ali voluit; qui exiguo sumptu alebantur, & ideo copiosa & fœcunda semper Iudæorum natio exstitit. Diuersi quoque ab aliis in nuptiis & sepulturis fuerunt. Sed propter accessiones quæ postea è multis victoriis acciderunt, monarchia quarta scilicet Persarum, & deinde Macedonum, multa patriis Iudæorum institutis decesserunt. Ita hic de moribus & legibus maiorum, & discessu eorum ex Ægypto, déque sacro Mose, in multis mentitur, plurima etiam nõ attingens. In accusationibus quas contra veritatem profert, deflectit, ad alium dictorum narrationem referens. Subdit enim statim. Hæc de Iudæis Hecatæus Milesius tradidit.

DIODORVS Siculus.

Vide Iosephum lib. I. aduersus Appionem.

E libro quadragesimo octauo.

QVæ Iouiano Imp. ab aliquibus mortis causa fuisse traditur, vt scilicet dormiens in domo recens inalbata, & igne propter humorem excitato, vaporibus è madida calce prodeuntibus exstinctus sit, hanc sponte Catulum subiisse lõgo ante tempore narrat Diodorus, nam in libro quadragesimo octauo initio hæc habet. Cinnani & Mariani consilium inierunt cum præstantissimis ducibus, vt firma in pace viuerent, & tandem ita concluserunt, vt inimicorum clarissimos quosque, & de imperio contendere valentes interficerent,

In Epitome Sexti Aurelij Victoris. Hic dum a Perside hieme aspera, mediâque Constantinopolim accelerat, cruditate stomachi tectorio inubi operis grauatus esset repente interiit.

Lib. D. S. XLII.

Ἐκ τοῦ μη΄.

ΟΤι δὲ λέγεται συνενεχθῆναι αἴτιον θανάτου παρά τινων Ἰοβιανῷ τῷ βασιλεῖ, τὸ κατακοιμηθῆναι ἐν οἴκῳ νεωστὶ κεκονιαμένῳ, πυρὶ δὲ διὰ τὴν ψύξιν ὑποθερμαινομένῳ, καὶ ἀτμοὺς ἀφιέναι τοὺς ἐκ τῆς νενοτισμένης κονίας. τοῦτο ἑκόντα ὑπελθεῖν, ἱστορεῖ Διόδωρος, κατὰ τοὺς πολλῷ παλαιοτέρους χρόνους Κάτλον. φησὶ γὰρ ἐν μη΄ λόγῳ πρὸς τῇ ἀρχῇ· Ὅτι οἱ περὶ τὸν Κίνναν καὶ Μάριον συνεδρεύσαντες μετὰ τῶν ἐπιφανεστάτων ἡγεμόνων ἐβουλεύοντο, ὅπως βεβαίως καταστήσωσι τὴν εἰρήνην· τέλος ἔδοξεν αὐτοῖς τοὺς ἐπιφανεστάτους τῶν ἐχθρῶν, καὶ δυναμένους ἀμφισβητῆσαι [περὶ] πραγμάτων, πάντας ἀποκτεῖναι

DIODORVS Siculus.

vt scilicet pura factione eorum reddita, reliquo tempore, vt vellent, sine timore cum amicis suis remp. administrarent. Quare statim pactas conditiones & fidem neglexerunt, & cædes condemnatorum impune & vbique factæ sunt. Q. vero Lutatius Catulus, qui clarissimum de Cimbris triumphum egerat, populo prius carissimus à quodam tribuno plebis apud populum reus mortis factus est. quare metuens periculum ex accusatione, sperans que auxiliū aliquod ad Marium se contulit: ipse autem antea amicus eius, tunc elatus superbia, secius erga eum affectus est, nullúmque aliud responsum dedit nisi, *Moriendum est.* Catulus vero desperata salute properans sine iniuria vitam terminare, seipsum vita priuauit, idque nouo & inusitato more, nam includens seipsum in domo recens dealbata, & vaporem è calce igne & fumo excitans, respirandi facultate impeditus extinctus est.

Ex tricesimo primo.

HÆc dum geruntur, Romam venêre legati Rhodiorum, ad diluenda quibus impediti fuerant crimina. Videbantur enim in bello, quod aduersus Perseum gestum est, animis ad regem inclinasse, & quam cum Romanis habebant amicitiam, prodiisse. Cúmque nihil legatione sua proficerent, desponsabant animos, & cum lacrymis colloquia habebant. Cum autem eos in senatum introduxisset vnus tribunorum, nomine Antonius; primus orationem de legatione habuit Philophron: & secundum eum Astymedes. Hi cum multa suppliciter & deprecatoriè dixissent, & ad extremum (vt est in prouerbio) cygneam cantionem cecinissent, ægrè responsa acceperunt, per quæ ab extremo quidem metu liberati sunt, sed de criminibus acerbè obiurgati. Quare licet apud Romanos videre præstantissimos quosque de gloria contendentes, per quos omnia pene maxima à populo peficiuntur. Sed in aliis vrbibus sibiipsis omnes inuident, Romani vero inuicem laudant, vnde euenit optimè & fortissimè rem vt gerant, remp. amplificare studentes, & alij iniustè sentientes, & seipsos circumuenientes patriam perdant.

Perseum vltimum regem Macedoniæ, postquam is sæpe cum Romanis amicitiam iniit, sæpe item non contemnendo exercitu bellum gessit, tandem Æmilius debellatum cepit, & præclarum ob eam victoriam triumphum egit. Perseus vero tantis agitatus calamitatibus vt similes esse videantur eius casus fabulis rerum nunquam gestarum, ne discedere quidem è vita volebat. Priusquam enim senatus de eo pronunciasset, quid faciendum esset Vrbano Prætori, coniecit eum in carcerem, qui est Albæ, cum natis. Est autem carcer ille, antrum subterraneum profundum, magnitudine maximè, quantum est cœnaculum octo lectorum. Estque tenebrarum plenum ac fœtoris, propter multitudinem hominum rei capitalis damnatorum, qui in eum locum traduntur,

ὅπως καθαρᾶς γενομένης τῆς ἰδίας αἱρέσεως τὸ μετ᾽ ἐκεῖνο, ἀδεῶς τὸ λοιπὸν, καὶ ὡς ἂν βούλωνται μετὰ τῶν φίλων διοικῶσι τὰ κατὰ τὴν ἡγεμονίαν. εὐθὺς οὖν τῶν μὲν γεγενημένων συνθέσεων καὶ πίστεων ἠμέλησαν· σφαγαὶ δὲ τῶν καταψηφισθέντων αὐτοῖς ἀκεραιοι καὶ πανταχοῦ ἐγίνοντο. Κόϊντος δὲ Λυτάτιος ὁ Κάτλος, τεθριαμβευκὼς μὲν ἐπισήμως ἀπὸ * Κίμβρων, ἀγαπώμενος δὲ ὑπὸ τῶν πολιτῶν διαφερόντως ὑπό τινος δημάρχου κατηγορίας ἐτύγχανεν ἐν τῷ δήμῳ θανάτου. φοβούμενος δὲ τὸν ἐκ τῆς συκοφαντίας κίνδυνον, ἧκεν εἰς τὸν Μάριον, δεόμενος τυχεῖν βοηθείας. ὁ δὲ, τὸ μὲν ἔμπροσθεν γεγονὼς φίλος· τότε δὲ ἔκ τινος ὑποψίας ἀλλοτρίως ἔχων πρὸς αὐτὸν, τοῦτο μόνον ἀπεκρίθη, θανεῖν δεῖ. καὶ ὁ Κάτλος ἀπογνοὺς μὲν τὰς σωτηρίας ἐλπίδας, σπεύδων δὲ χωρὶς ὕβρεως καταστρέψαι τὸν βίον, ἑαυτὸν τοῦ ζῆν μετέστησεν, ἰδίῳ τινὶ καὶ παρηλλαγμένῳ * τρόπῳ συγκλείσας ἑαυτὸς εἰς οἶκον νεόχριστον, καὶ τὴν ἐκ τῆς κονίας ἀναφορὰν πυρὶ καὶ καπνῷ συναυξήσας, τῇ τῆς ἀναπνοῆς φθορᾷ περιπνιγεὶς γενόμενος, ἀπήλλαξεν.

* al. Καίμβρων

* al. νέον

Ἐκ τοῦ λα.

Lib. D. S. XXXI.

Ἅμα δὲ τούτοις πραττομένοις, εἰς ῥώμην παρῆσαν οἱ πρεσβευταὶ ῥοδίων, τὰς γεγενημένας διαβολὰς κατ᾽ αὐτῶν ἀπολυσόμενοι. ἐδόκουν γὰρ ἐν τῷ πρὸς Περσέα πολέμῳ ταῖς εὐνοίαις ἀποκεκλικέναι πρὸς τὸν βασιλέα, καὶ προδεδωκέναι τὴν πρὸς ῥωμαίους φιλίαν. μηδὲν δὲ ἀνύοντες ὧν ἐπρέσβευον· εἰς ἀθυμίας ἐνέπιπτον, καὶ μετὰ δακρύων ἐποιοῦντο τὰς ἐντεύξεις. εἰσαγαγόντος δὲ αὐτοὺς εἰς τὴν σύγκλητον ἑνὸς τῶν δημάρχων Ἀντωνίου· πρῶτος μὲν ἐποιεῖτο τὸν ὑπὲρ τῆς πρεσβείας λόγον Φιλόφρων· μετὰ δὲ τοῦτον Ἀστυμήδης. πολλὰ δὲ πρὸς δέησιν καὶ παραίτησιν εἰπόντες, καὶ τὸ τελευταῖον, κατὰ τὴν παροιμίαν, τὸ κύκνειον ᾄσαντες· μόλις ἔλαβον ἀποκρίσεις. δι᾽ ὧν τοῦ μὲν ὁλοσχεροῦς φόβου παρελύθησαν, περὶ δὲ τῶν ἐγκλημάτων πικρῶς ὠνειδίσθησαν. διόπερ ἰδεῖν ἔστι, παρὰ ῥωμαίοις τοὺς ἐπιφανεστάτους ἄνδρας ὑπὲρ δόξης ἁμιλλωμένους, δι᾽ ὧν ἅπαντα σχεδὸν τὰ μέγιστα τῷ δήμῳ κατορθοῦται. ἐν μὲν γὰρ τοῖς ἄλλοις πολιτεύμασι ζηλοτυποῦσιν ἀλλήλους, ῥωμαῖοι δὲ ἐπαινοῦσι. ἐξ οὗ συμβαίνει μάλιστα τοὺς μὲν προάγειν τὰ κάλλιστα τῶν ἔργων, ἁμιλλωμένους αὔξειν τὸ κοινὸν συμφέρον· τοὺς δὲ ἄλλους ἀδικοδοξοῦντας, καὶ τὰς ἀλλήλους * ἐπιβουλὰς λυμαινομένους, βλάπτειν τὴν πατρίδα.

* al. ἐπιβουλὰς

Ὅτι Περσέα τὸν τελευταῖον μακεδονίας βασιλέα, πολλάκις ῥωμαίοις διὰ φιλίας ἰόντα, πολλάκις δὲ καὶ στρατιᾷ σὺν ἀξιολόγῳ πολεμήσαντα, τέλος Αἰμίλιος καταπολεμήσας εἷλε, καὶ λαμπρὸν θρίαμβον ἐπὶ τῇ νίκῃ κατήγαγε. Περσεὺς δὲ τηλικαύταις περιπεσὼν συμφοραῖς, ὥστε δοκεῖν ὅμοια μύθοις ἀγενήτοις εἶναι τὰ πάθη τὰ περὶ αὐτὸν, οὐδ᾽ ἀπολυθῆναι τοῦ ζῆν ἤθελε. πρὶν γὰρ ἢ τὴν σύγκλητον ὑπὲρ αὐτοῦ διαλαβεῖν ὃ χρὴ * παθεῖν, τῶν κατὰ πόλιν στρατηγῶν εἷς ἐνέβαλλεν αὐτὸν εἰς τὸν ἐν ἄλβαις κάρκαρον μετὰ τῶν τέκνων. ἔστι δὲ ὁ κάρκαρος, ὄρυγμα κατάγειον βαθὺ, τὸ μὲν μέγεθος ἔχον οἴκου μάλιστά πως ἐννεακλινίου, σκότους δὲ πλήρης καὶ δυσοσμίας, διὰ τὸ πλῆθος τῶν παραδιδομένων εἰς τοῦτον τὸν τόπον ἀνδρῶν, τῶν ἐπὶ θανατικοῖς ἐγκλήμασι καταδικαζομένων. ὧν ἐν

* παθεῖν τὸν κατὰ πόλιν στρατηγὸν, εἰσέβαλεν αὐτὸν. H. St.

ὧν ἐν ἐκείνοις τοῖς χρόνοις οἱ πλείους ἐνταῦθα καθείργνυντο. ἐν οὕτω γὰρ στενοπῷ συγκεκλεισμένων πολλῶν ἀνδρῶν, ἀπεθηριοῦτο τὰ τῶν ἀτυχούντων σώματα. τῶν τε πρὸς τροφὴν καὶ τὴν ἄλλην πᾶσαν χρείαν ἀνηκόντων πάντων ἐν ταυτῷ πεφυρμένων, τὸ ταύτην προσπίπτειν δυσωδίαν συνέβαινεν, ὥστε μηδένα τῶν προσιόντων ῥᾳδίως δύνασθαι καρτερῆσαι. ἐφ' ἡμέρας μὲν οὖν ἑπτὰ διετέλεσεν ἐνταῦθα κακουχούμενος, ὥστε καὶ περὶ τὴν ἐσχάτην καὶ * πα-κτὰ σιτουμένων ἐπικουρίας δεηθῆναι. συμπαθεῖς γὰρ ὄντοι, * φιλανθρώπως τούτων ἐκείνῳ μετεδίδοσαν δακρύοντες. * ἐρρίπτουν δ' αὐτῷ καὶ ξίφος πρὸς ἀναίρεσιν, καὶ κάλους πρὸς ἀγχόνην, ἐξουσίας διδομένης ὡς ἂν βούλοιτο χρήσασθαι. ἀλλ' οὐδὲν οὕτω γλυκὺ φαίνεται τοῖς ἠτυχηκόσιν ὡς τὸ ζῆν, καίπερ αὐτῶν ἄξια θανάτου πασχόντων. καὶ πέρας ἐν ταύταις ἂν ταῖς ἀνάγκαις κατέστρεψε τὸν βίον, εἰ μὴ Μάρκος Αἰμίλιος προκαθήμενος τοῦ βουλευτηρίου, τηρῶν τό τε περὶ αὐτὸν ἀξίωμα, καὶ τὸ τῆς πατρίδος ἐπιεικὲς, παρῄνεσε τῇ συγκλήτῳ σχετλιάζων· εἰ μὴ τὸν ἀνθρώπινον φόβον δέδιασιν, τήν γε τοὺς ὑπερηφάνως ταῖς ἐξουσίαις χρωμένους μετερχομένην νέμεσιν αἰδεῖσθαι. διόπερ εἰς ἐπιεικεστέραν δοθεὶς φυλακὴν, καὶ κεναῖς ἐλπίσι προσανέχων, ὁμοίαν τοῖς προητυχημένοις ἔσχε τοῦ βίου τὴν καταστροφήν. διετῆ γὰρ χρόνον φιλοψυχήσας, καὶ προσκόψας τοῖς φυλάττουσι βαρβάροις, κωλυόμενος ὑπ' ἐκείνων ὕπνου τυχεῖν, ἐτελεύτησεν.

Ὅτι λέγουσιν (φησὶν) ἑαυτοὺς οἱ τῆς Καππαδοκίας βασιλεῖς εἰς Κῦρον ἀναφέρειν τὸ γένος, τὸν ἐν Πέρσαις. διαβεβαιοῦνται δὲ καὶ τῶν ἑπτὰ Περσῶν τῶν τὸν μάγον ἐπανελομένων ἑνὸς ὑπάρχειν ἀπόγονοι. καὶ τὴν μὲν ἀπὸ Κύρου συγγένειαν, οὕτω καταριθμοῦνται. Καμβύσου τοῦ Κύρου πατρὸς ἀδελφὴν ὑπάρξαι [γὰρ] γνησίαν, * Ἀτόσσαν· ταύτης δὲ καὶ Φαρνάκου τοῦ Καππαδοκίας βασιλέως γενέσθαι * παῖδα Γάλλον, καὶ τούτου γενέσθαι Σμέρδιν, οὗ Ἀρτάμνην· τοῦ δὲ Ἀναφᾶν· ὃν καὶ διενεγκεῖν μὲν ἀνδρείᾳ καὶ τόλμῃ, γενέσθαι δ' ἕνα τῶν ἑπτὰ Περσῶν. τὴν μὲν οὖν εἰς Κῦρον συγγένειαν οὕτω γενεαλογοῦσι, καὶ τὴν εἰς Ἀναφᾶν· ὅν φασι δι' * ἀνδρείαν συγχωρηθῆναι, τὴν Καππαδοκίας δυναστείαν, ὥστε μὴ τελεῖν φόρους Πέρσαις. οὗ τελευτήσαντος, ὁμώνυμος υἱὸς ἄρχει. μετὰ δὲ τὴν τούτου τελευτὴν, ἀπολειφθέντων δυεῖν υἱοῖν Δατάμου καὶ Ἀριμναίου, διαδέξασθαι τὴν ἀρχὴν Δατάμην, ἄνδρα κατὰ πόλεμον καὶ κατ' ἄλλα μέρη τῆς βασιλείας ἐπαινούμενον. ὃς Πέρσαις διὰ μάχης ἐλθὼν, καὶ λαμπρῶς κατὰ τὴν μάχην ἀγωνισάμενος, ἐν αὐτῇ τελευτᾷ. διεδέξατο δὲ τὴν βασιλείαν ὁ υἱὸς Ἀριάμνης· οὗ γίνονται παῖδες Ἀριαράθης καὶ Ὀλοφέρνης· οὗτος δὲ ἔτη πεντήκοντα δυναστεύσας, καὶ μηδὲν ἔργον ἄξιον μνήμης πράξας, τελευτᾷ. τὴν δὲ ἀρχὴν διεδέξατο ὁ πρεσβύτερος τῶν υἱῶν Ἀριαράθης· ὃς φιλοστοργῆσαι διαφερόντως λέγεται τὸν ἀδελφὸν, καὶ προάγειν αὐτὸν εἰς τὰς ἐπιφανεστάτας τάξεις· ὃν καὶ Πέρσαις κατ' Αἰγυπτίων ἀποσταλέντα συμμαχῆσαι, μετὰ μεγάλων τιμῶν ἐπανελθεῖν, ἃς Ὦχος ὁ Περσῶν βασιλεὺς ὑπὲρ ἀνδρείας ἐδίδου· καὶ τὸν βίον ἐν τῇ πατρίδι λιπεῖν, υἱοὺς ἐγκαταλιπόντα Ἀριαράθην καὶ Ἀρύσην. ὁ δὲ ἀδελφὸς καὶ τῆς Καππαδοκίας ἔχων τὴν ἀρχὴν (οὐ γὰρ ἦν αὐτῷ * γονὴ γνησία)

* al. τὰ ἔσχατα. * al. φιλανθρώπως. * ἐρρίπτουν δ' οὖν. al. οἱ. * Ἀτόσσαν. * παῖδα γάμου. * ἀνδρείαν. * al. γονή.

quorum maxima pars illis temporibus hic claudebatur. Conclusis enim in tam angusto loco tot hominibus, efferebantur miserorum corpora, & confusis inter sese omnibus, quæ vel ad victum, vel ad alios vsus pertinent, tantus fœtor existebat, vt nullus accedentium facile durare posset. Igitur ille per dies septem loco hoc miseriam pertulit, vt etiam extremæ conditionis hominum & statuum cibum accipientium ope indigeret. Hi enim eius vicem propter infortuniorum magnitudinem dolentes, quæ ipsi accipiebant, hæc ei benignè lacrymantes impertiebant. Igitur ei gladius ad occisionem, & restis ad strangulationem proiectus est, data vtriusuis optione. Verum nihil tam dulce miseris videtur quam viuere, etiamsi morte dignam miseriam patiantur. Ac tandem in his necessitatibus vitam finiuisset, nisi Marcus Æmilius curiæ præsidens, & suam dignitatem & patriæ æquitatem retinens, Senatum cum graui reprehensione commonefecisset, vt si humano metu non terreretur, at Nemesim vltricem certe vererentur, quæ in eos animaduertere solet, qui potestatibus superbè vtuntur. Itaque ille in mitiorem datus custodiam, & vanas spes fouens, similem superioribus casibus exitum vitæ sortitus est. Postquam enim biennium vitæ cupidus durauit, cum custodes barbaros offendisset, prohibitus est ab illis somno frui, atque ita vitam finiuit.

DIODORVS Siculus.

Dicunt sese (inquit) Cappadociæ reges ad Cyrum Persam referre genus suum, contendúntque prognatos esse se vno septem Persarum, qui Magum occiderunt, & ductam quidem à Cyro cognationem sic enumerant. Cambyse Cyri patris sororem fuisse germanam Atossam. Ex hac & Pharnace Cappadociæ rege natum fuisse * Pedagamum, & huius filium fuisse Smerdim: cuius porro Artamnam, & huius Anapham, qui fortitudine & audacia excelluerit, & vnus septem Persarum fuerit. Igitur suam ad Cyrum cognationem sic enumerant, & ad Anapham, cui perhibent propter virtutem sic concessum fuisse Cappadociæ principatum, vt Persis tributa non penderet. Eo vita defuncto imperauit eiusdem nominis filius. Post cuius obitum superstitibus duobus filiis, Datama, & Arimnæo, successisse imperio Datamam, virum & bello & aliis regni partibus laudatum, qui cum Persis prælio congressus & strenue præliatus, in eo occubuerit. Regnum accepit filius Ariamnes, cuius fuere filij Ariarathes & Olofernes. Is Ariamnes cum annos quinquaginta imperasset, nec vllum opus dignum memoria fecisset, obiit. Eius in imperium successit natu grãdior filius Ariarathes, qui supra modum amasse fratrem dicitur, & ad clarissimos ordines euexisse, atq; idem cum Persis aduersus Ægyptios missus, belli socius fuisse, & cum magnis honoribus reuenisse, quos Persarum rex Ochus propter virtutẽ in eum conferebat, vitámq; in patria reliquisse, superstitibus filiis Ariaratha & Arysa: frater autem & Cappadociæ imperiũ habens (nec enim germanam prolem habebat)

Nemesis Dea.

Persei regis mors.

* al. παῖδα Γάλλον, filium Gallum.

DIODORVS Siculus. *Alexander Magnus.*

grandiorem fratris filium Ariarathem adoptauit. Per ea tempora Alexander Macedo Persas debellauit, deinde obiit. At Perdiccas omnium tunc rerum gubernator, Eumenem misit ducem Cappadociæ, ac debellato Ariaratha & in pugna interfecto, tam ipsa Cappadocia quam finitimæ regiones, in Macedonum potestatem venerunt. Ariarathes vero postremi regis filius in præsentia desperans, concessit cum paucis in Armeniam. Haud multo post tempore, Eumene & Perdicca mortuis, & Antigono ac Seleuco subsecutis, ille acceptis ab Armeniorum rege Ardoata copiis, & Macedonum ducem Amyntam interfecit, & Macedones celeriter è finibus eiecit, domesticúmque imperium recuperauit. Habuit hic tres filios, quorum natu maximus Ariamnes regnum accepit, qui affinitatem contraxit cum Antiocho cognomine Deo, eius filiam Stratonicam Ariarathæ filiorum suorum natu maximo collocauit. Cúmque esset filiorum supra modum amans, puero diadema imposuit, cum totius in regno imperij atque iuris ex æquo secum socium fecit. Mortuo patre Ariarathes solus regnauit, & è vita discedens regnum filio suo admodum puero reliquit. Hic duxit in vxorem filiam Antiochi magni, nomine Antiochidem, versutam admodum. Hanc, cum liberos non gigneret, supposuisse ferunt sibi duos filios ignorante viro, videlicet Ariarathem & Olofernem. Aliquanto post tempore, cum semen suscepisset, ipsam præter spem peperisse duas filias, & vnum filium, nomine Mithridatem. At tunc virum de subditis consuluisse, & fecisse vt grandior cum mediocribus facultatibus Romam mitteretur, & iunior in Ioniam, ne de regno cum germano filio contenderent. Húc adultum Ariarathem aiunt cognominatum, & literis Græcis imbutum, atque ob cæteras virtutes laudatum fuisse. Et pater quidem filio patris amanti studebat se vicissim amantem filij exhibere: atque eousque processit eorum mutua beneuolentia, vt pater toto imperio cedere filio certaret, ille contra demonstraret fieri non posse, vt à parentibus adhuc viuentibus eiusmodi beneficium admitteret. Hic, postquam parentem fata vocarunt, regnum accepit, tum in reliquis vitæ moribus eximium se præbens, tum Philosophiæ operam nauans. Quo factum est, vt Cappadocia olim Græcis ignota, tunc eruditis fuerit receptaculum. Idem cum Romanis amicitiam societatémque renouauit. Aliaque plurima de relatione regum Cappadociæ præsentium vsque ad Cyrum.

Ariarathis laus.

Vide Ciceron. epistolas.

Ex eodem.

Imagines Rom. in funere. Vide Tacitum & Iuuenal.

DE L. Æmilij, qui Persem debellauit, sepultura hæc habet, quam propter ista maximè dicit illustrem. Solent enim Romani qui nobilitate & maiorum suorum gloria præstarent, mortuorũ imagines ad similitudinẽ vitæ,

τὸν πρεσβύτερον τῶν παίδων τἀδελφοῦ Ἀριαράθην υἱοποιεῖται. κατὰ δὲ τούτους τοὺς χρόνους Ἀλέξανδρος ὁ μακεδὼν καταπολεμεῖ μὲν πέρσας, εἶτα καὶ τελευτᾷ. καὶ Περδίκκας, ὁ τῶν ὅλων τότε ἡγέμενος, *Εὐμενῆ πέμπει καππαδοκίας στρατηγόν. καὶ καταπολεμηθέντος Ἀριαράθου, πεσόντος τε ἐν τῇ μάχῃ, αὐτή τε ἡ καππαδοκία, καὶ τὰ πλησιόχωρα αὐτῆς, ἔπεσεν ὑπὸ μακεδόνας. Ἀριαράθης δὲ, ὁ τοῦ προβεβασιλευκότος υἱὸς, ἀπελπίσας κατὰ τὸ παρὸν, ἀποχωρεῖ μετ' ὀλίγων πρὸς τὴν ἀρμενίαν. μετ' οὐ πολὺν δὲ χρόνον τῶν περὶ τὸν *Εὐμενῆ καὶ Περδίκκαν τελευτησάντων, Ἀντιγόνου δὲ καὶ Σελεύκου περισπωμένων, ὁ μὲν λαβὼν δύναμιν παρὰ τοῦ βασιλέως τῆς ἀρμενίας Ἀρδοάτου, τὸν μὲν τῶν μακεδόνων στρατηγὸν Ἀμύνταν ἀπέκτεινεν· ἐξέβαλε δὲ καὶ μακεδόνας ταχέως τῆς χώρας, καὶ τὴν οἰκείαν ἀρχὴν ἀνεκτήσατο. τούτῳ δὲ τριῶν παίδων γενομένων, παρέλαβε τὴν βασιλείαν ὁ *πρεσβύτατος, Ἀριάμνης· ὃς ἐπιγαμίαν πρὸς Ἀντίοχον ποιησάμενος, τὸν ἐπονομασθέντα θεὸν, τὴν τούτου θυγατέρα Στρατονίκην συνῴκισε τῷ πρεσβυτέρῳ τῶν υἱῶν Ἀριαράθῃ. ὑπάρχων δὲ φιλότεκνος διαφερόντως, περιέθετο τῷ παιδὶ διάδημα, καὶ συνάρχειν πάντων τῶν *τῆς βασιλείας προτερημάτων ἐπίσης μεταδίδωσι. τοῦ δὲ πατρὸς τελευτήσαντος, Ἀριαράθης βασιλεύει καθ' ἑαυτόν. καὶ μεταλλάσσων τὸν βίον, κατέλιπε τὴν βασιλείαν *Ἀριαράθῃ τῷ υἱῷ, νηπίῳ παντελῶς ὄντι τὴν ἡλικίαν. οὗτος δὲ ἔγημε θυγατέρα τοῦ μεγάλου κληθέντος Ἀντιόχου, ὀνομαζομένην Ἀντιοχίδα, πανοῦργον μάλιστα. *ταύτην δὲ μὴ γενομένων τέκνων ὑποβάλλεσθαι δύο παῖδας, ἀγνοοῦντος τοῦ ἀνδρὸς, Ἀριαράθην καὶ Ὀλοφέρνην. μετὰ δέ τινα χρόνον τῆς φύσεως ἐπιδεξαμένης, ἀνελπίστως τεκεῖν αὐτὴν δύο μὲν θυγατέρας, υἱὸν δὲ ἕνα τὸν ὀνομασθέντα Μιθριδάτην. ἐξ οὗ τοὺς ὑποβολιμαίους εἰσδιδαξαμένην τἀνδρὶ, τὸν μὲν πρεσβύτερον μετὰ συμμέτρου χορηγίας εἰς ῥώμην ἀποστεῖλαι παρασκευάσαι· τὸν δὲ νεώτερον εἰς τὴν ἰωνίαν· χάριν τοῦ μὴ διαμφισβητεῖν ὑπὲρ τῆς βασιλείας τῷ γνησίῳ. τοῦτον δὲ ἀνδρωθέντα καὶ Ἀριαράθην φασὶ μετονομασθῆναι, παιδείας τε ἑλληνικῆς μεταλαχεῖν, καὶ κατὰ τὴν ἄλλην ἐπαινεῖσθαι ἀρετήν. καὶ ὁ μὲν πατὴρ, φιλοπάτορι ὄντι τῷ υἱῷ, ἐσπούδαζεν ἀποδοῦναι τὴν τῆς φιλοτέκνου σπουδήν. καὶ ἐπὶ τοσοῦτον αὐτοῖς προέβη τὰ τῆς πρὸς ἀλλήλους εὐνοίας, ὥστε ὁ μὲν πατὴρ ἐξίστασθαι τῆς ὅλης ἀρχῆς ἠγωνίζετο τῷ παιδί· ὁ δὲ ἀδύνατον *ἐδείκνυ δέξασθαι αὐτὸν παρὰ γονέων ἔτι ζώντων τὴν τοιαύτην χάριτα. οὗτος, τὸν πατέρα τοῦ πεπρωμένου καταλαβόντος, διεδέξατο τὴν βασιλείαν· τήν τε ἄλλην ἀγωγὴν τοῦ βίου ἀξιολογωτάτην ἐνδεικνύμενος, καὶ φιλοσοφίᾳ προσανέχων. ἐξ οὗ καὶ ἡ παρὰ τοῖς ἕλλησιν ἀγνοουμένη πάλαι καππαδοκία, τότε τοῖς πεπαιδευμένοις *ἐμβιώτερον ὑπῆρχεν. ἀνενεώσατο δὲ οὗτος καὶ τὴν πρὸς ῥωμαίους φιλίαν τε καὶ συμμαχίαν. ἀλλὰ τὰ μὲν περὶ τῆς εἰς Κῦρον ἀναφορᾶς τῶν μέχρι τοῦδε τῆς καππαδοκίας βασιλευσάντων ἐν τούτοις.

* al. Εὐμένη.

* al. Εὐμένη.

* al. πρεσβύτερος.

* βασιλικῶν.

* al. Ἀριαράθης.

* al. ταύτην ὑποβαλέσθαι.

* al. ἐδείκνυε.

* ἐμβιωτέρα. H. St.

Ex τοῦ αὐτοῦ.

ΟΤι περὶ Λευκίου *Αἰμιλίου, τοῦ Περσέα καταπολεμήσαντος, τὰ ταφῆς διερχόμενος, καὶ λαμπρὰν αὐτὴν ἐς τὰ μάλιστα γενέσθαι λέγων, ἐπειδὴ τῶν γὰρ ῥωμαίων οἱ ταῖς εὐγενείαις καὶ προγόνων δόξῃ διαφέροντες, μετὰ τὴν τελευτὴν εἰδωλοποιοῦνται κατά τε τὴν τοῦ χαρακτῆρος ὁμοιότητα, καὶ

Lib. D. & XXXI.

* Αἰμιλίου. M. M.

καὶ κατὰ τὴν ὅλην τοῦ σώματος περιγραφήν, μιμητὰς ἔχοντες ἐκ παντὸς τοῦ βίου παρατετηρηκότας τήν τε πορείαν, καὶ τὰς κατὰ μέρος ἰδιότητας τῆς ἐμφάσεως. παραπλησίως δὲ καὶ τῶν προγόνων ἕκαστος προηγεῖται τοιαύτην ἔχων διασκευήν, καὶ κόσμον· ὥστε τοὺς θεωμένους, διὰ τῆς ἐκ τούτων ἐμφάσεως γινώσκειν, ἐφ᾽ ὅσον *ἕκαστος τιμῆς προήχθησαν καὶ μετέσχον τῶν ἐν τῇ πολιτείᾳ καλῶν. Ὅτι τοὺς Ἴβηρας καὶ Λυσιτανοὺς ὀνομάζει. φησὶ γάρ· ὡς Μέμμιος *ἐξαπέλεκις στρατηγὸς εἰς τὴν Ἰβηρίαν ἐξαπεστάλη μετὰ δυνάμεως, οἱ δὲ Λυσιτανοὶ συστραφέντες πρὸς αὐτόν, καὶ λαβόντες *ἐκπαράσκευον ἐν καταπλῷ· μάχῃ τε ἐνίκησαν, καὶ τὸ πλεῖστον τοῦ στρατοῦ διέφθειραν. περιβοήτου δὲ γενομένης τῆς τῶν Ἰβήρων εὐημερίας· οἱ μὲν Ἀρουακοὶ νομίσαντες πολὺ κρείττους εἶναι τῶν Ἰβήρων, κατεφρόνησαν τῶν πολεμίων· καὶ τὸ πλῆθος τὸ κατὰ τὴν ἐκκλησίαν, διὰ ταύτην μάλιστα τὴν αἰτίαν, εἵλετο τὸν πρὸς Ῥωμαίους πόλεμον.

*ἕκαστοι.
*al. Σέξτιλ.
*ἐκ παρασκευῆς.

Ἐκ τοῦ λβ΄.

Lib. D. S. XXXII.

Ὅτι τὸ τεῖχος τῶν Καρχηδονίων τῆς πόλεως φησὶν ὕψος μὲν εἶναι πηχῶν τεσσαράκοντα, πλάτος δὲ εἰκοσιδύο· ὅμως, *καὶ τοιούτων, ὄντων αἱ Ῥωμαίων μηχαναί, καὶ τὰ κατὰ πόλεμον ἀνδραγαθήματα, κρείττους ὤφθησαν τῆς ἐκείνων ἀσφαλείας· καὶ ἑάλω ἡ πόλις καὶ κατηρειπώθη.

*[illegible] τειχῶν. H. St.

Ὅτι *Μασανάσσης ὁ Λιβύων βεβασιλευκώς, καὶ τὴν πρὸς Ῥωμαίους φιλίαν τετηρηκώς, ἐνενήκοντα μὲν ἐβίω ἔτη ἐν δυνάμει, παῖδας δέκα ἐν τῷ ἀπαλλάττεσθαι *καταλιπών, οὓς καὶ Ῥωμαίοις ἐπιτροπεύεσθαι παρακατέθετο. ἦν δὲ καὶ κατὰ τὴν τοῦ σώματος εὐτονίαν διαφέρων, καὶ καρτερίᾳ καὶ πόνοις συνήθης ἐκ παιδός. ὅς γε στὰς ἐν τοῖς ἴχνεσιν, ὅλην τὴν ἡμέραν ἀκίνητος ἔμενε· καθεζόμενος δὲ οὐκ ἠγείρετο, μέχρι νυκτὸς ἐνημερεύων ταῖς τῶν πόνων μελέταις. ἐπὶ δὲ *τῶν ἵππων ἐπιμένων συνεχῶς ἡμέραν καὶ νύκτα, καὶ ταῖς ἱππασίαις χρώμενος, οὐκ *ἐξελύετο. σημεῖον δὲ τῆς περὶ αὐτὸν εὐεξίας τε καὶ δυνάμεως μέγιστον. ἐνενήκοντα γὰρ σχεδὸν ἔχων ἔτη, υἱὸν εἶχε τετραετῆ, διαφέροντα τῇ τοῦ σώματος ῥώμῃ. ἐν δὲ ταῖς τῶν ἀγρῶν ἐπιμελείαις τοσοῦτον διήνεγκεν, ὡς ἑκάστῳ τῶν υἱῶν ἀπολιπεῖν ἀγρὸν μυριόπλεθρον, κεκοσμημένον πάσαις ταῖς κατασκευαῖς, *ἐβασίλευσε δὲ ἐπιφανῶς ἔτη ἑξήκοντα.

*al. Μασανάσσ.
*παῖδ.
*τοῖς ἵπποις ἐπιβεβηκὼς H. S.
*ἐξελύετο.
*al. ἐβασίλευσεν.

Ὅτι Νικομήδης Προυσίαν τὸν ἑαυτοῦ πατέρα καταπολεμήσας, καὶ καταφυγόντα εἰς τὸ τοῦ Διὸς ἱερόν, ἀνελών, παρέλαβε τὴν βασιλείαν τῆς Βιθυνίας, ἀσεβεστάτῳ φόνῳ κτησάμενος τὴν ἀρχήν.

Ὅτι Λυσιτανοί, φησι, τὸ μὲν πρῶτον οὐκ ἔχοντες ἀξιόχρεων ἡγεμόνα, εὐάλωτοι καθίσταντο, Ῥωμαίοις πολεμοῦντες, ὕστερον δὲ *Τειάτθου κυρήσαντες, μεγάλα Ῥωμαίους ἔβλαψαν. ἦν μὲν οὖν οὗτος τῶν παρὰ τὸν ὠκεανὸν οἰκούντων Λυσιτανῶν, ποιμαίνων ἐκ παιδός· ὀρείῳ βίῳ κατέστη συνήθης, συνεργὸν [ἔχων] καὶ τὴν τοῦ σώματος φύσιν· καὶ γὰρ ῥώμῃ, καὶ τάχει, καὶ τῇ τῶν λοιπῶν μερῶν εὐκινησίᾳ, πολὺ διήνεγκε τῶν Ἰβήρων. *συνείθιστο δὲ αὐτὸν τροφῇ μὲν ὀλίγῃ, γυμνασίοις δὲ πολλοῖς χρῆσθαι, καὶ ὕπνῳ μέχρι μόνου τοῦ ἀναγκαίου. καθόλου δὲ σιδηροφορῶν συνεχῶς, καὶ θηρίοις καὶ λῃσταῖς εἰς ἀγῶνας καθιστάμενος, περιβόητος παρὰ τοῖς πλήθεσι, καὶ ἡγεμὼν αὐτοῖς ᾑρέθη, καὶ ταχὺ σύστημα περὶ ἑαυτὸν λῃστῶν ἤθροισε.

*Οὐριάτθου.
*ἐνδίαιτ.

DIODORVS Siculus.

totiúsque corporis delineationem effingere, vt vitæ seriem seruantes, & iuxta imaginis cuiusque propriam virtutem haberent quos imitarentur. Eodem modo vnusquisque è parentibus eiusmodi statuas, & ornamenta habuit & præcessit, vt ex eorum picturis quisque intelligat, quantas in repub. dignitates singuli & honores gesserint. Nominat Hispanos & Lusitanos. addit enim quomodo Memmius Prætor ad vrbem in bello in Hispaniam cum copiis sit missus, & vt Lusitani cum eo congredientes, exscendentem imparatum occupant, pugnáque eum superant, magnámque exercitus partem cædunt, facta autem Hispanorum victoria iam celebri, Arcuaci existimantes se Iberis fortiores adhuc esse, hostem contempserunt, & in concione populus, hac præsertim de causa, contra Romanos bellum mouit.

L. Memmius.
Eutropius lib. 4.

Ex tricesimo secundo.

Licet Carthaginensium mœnia quadraginta cubitos altitudine, & latitudine viginti duos excederent, Romanorum tamen machinæ, & virtus fortior, quam murus fuit, sic vt vrbem ceperint, & solo æquauerint.

Vide Ortelij Theatrum in parergo.

Massinissa rex Africanorum, qui amicitiam cum Romanis tenuit, annos nonaginta in vigore vixit: filios decem moriens reliquit, quos Romanis in tutelam commisit. Erat & corporis firmitate præstans, & duritici ac laboribus à pueritia assuetus. Etenim stans in vestigiis totum diem manebat immotus, & sedens non surgebat vsque ad noctem, toto die labores meditans, & in equo continenter toto die & nocte sedens, & equitationibus vtens non defatigabatur. Est eius valetudinis vigorisq; signum hoc maximum, quod fere iam nonagenarius, filium haberet quadrimulum, corporis robore præstantem. In agrorum cultura vsque adeo excelluit, vt singulis filiis reliquerit agrum decem millium iugerum omni instrumento ornatum. Regnauit præclarè annos sexaginta.

Nicomedes patrem Prusiam persequens, ad aram Iouis confugientem interfecit, & nefanda cæde imperium inuadens, Bithyniæ regnum adeptus est.

Nicomedes.

Lusitani primò parem ducem non habentes, facile superabantur, bellum cum Romanis gerentes. Postea Viriatum adepti multum Romanis incommodarunt. Erat is ex ea gente Lusitanorum, qui Oceanum accolunt. Pastor fuit à teneris montanæ vitæ assuetus, adiuuante etiam corporis natura. Nam & robore & celeritate reliquarúmque partium agilitate Hispanos longè antecellebat, cum cibo exiguo, & multis exercitationibus vti consuefecisset, & somno dumtaxat quantum esset necesse. In summa ferrum continenter gestans, & cum belluis & latronibus manus conferens, vulgo celebris euasit, & ab illis dux electus, breui latronum cateruam se circum congregauit.

Viriatus Dux. Scriptor de viris illustribus cap. 71.

DIODORVS Siculus.

Atque in bellis proficiens, non solum admirationi fuit propter robur corporis, verum etiam dux excellens visus est. Erat autem in dispertienda præda iustus, & eos qui egregiè pugnauerant, pro dignitate donis extollebat. Tandem cum iam non latronem, sed principem sese exhibuisset, bellum gessit cum Romanis, multísque præliis superior euasit, adeo vt etiam ducem Romanorum Vitellium cum ipso exercitu profligauerit, captiuúmque ceperit, & gladio necauerit, & alia multa in bello feliciter gesserit, donec Fabius belli aduersus illum dux creatus est. Inde non paulo inferior esse cœpit. Deinde creatus, & Fabio superior factus, eum in pacta descendere indigna Romanis coëgit. Verum Scipio aduersus Viriathum dux electus, quæ acta fecit irrita, & superatum sæpe Viriathum, ad extremam deinde cladem compulsum, adeo vt pacem spectaret, per domesticos dolo interfecit, & eius imperij successorem Tautamum eiúsque socios perculit, & vt pax arbitrio suo fieret, effecit, atque illis agrum & vrbem dedit ad habitandum.

Cicero in 1. Offic.

καὶ προκόπτων ἐν τοῖς πολέμοις, οὐ μόνον ἐθαυμαστώθη δι' ἀλκήν, ἀλλὰ καὶ στρατηγεῖν ἔδοξε διαφερόντως. ἦν δὲ καὶ δίκαιος ἐν ταῖς διανομαῖς τῶν λαφύρων, καὶ κατ' ἀξίαν τοὺς ἀνδραγαθήσαντας * ἐξῆρε τοῖς δώροις. προϊὼν δέ, οὐκ ἔτι λῃστὴν ἀλλὰ δυνάστην αὑτὸν ἀναδείξας ἐπολέμησε ῥωμαίοις, καὶ πολλαῖς ἐκράτησε μάχαις· ὡς καὶ στρατηγὸν ῥωμαίων * Οὐιτέλλιον αὐτῷ καταπολεμῆσαι στρατῷ, καὶ αἰχμάλωτον λαβεῖν, καὶ ξίφει ἀνελεῖν, καὶ πολλὰ ἕτερα διημερῆσαι κατὰ πόλεμον· ἕως φάβιος στρατηγὸς τοῦ πρὸς αὐτὸν πολέμου κεχειροτόνητο. ἐκεῖθεν δ' ἐλαττοῦσθαι ἤρξατο * ἐπ' οὐκ ὀλίγον. εἶτα ἀναλαβών, καὶ καταδοκιμήσας φαβίου εἰς συνθήκας αὐτὸν ἐλθεῖν, ἀναξίους ῥωμαίων ἠνάγκασεν. ἀλλ' ὅγε * Σκηπίων στρατηγεῖν κατ' * Οὐελάτθου αἱρεθεὶς τάς τε συνθήκας ἠκύρωσε, καὶ * πολλάκις Οὐελάτθον ἐλαττώσας, εἶτα εἰς ἔσχατον ἥττης συνελάσας, ὥστε καὶ πρὸς σπονδὰς ὁρᾷν, διὰ τῶν οἰκείων ἐδολοφόνησε. καὶ τὸν διαδεξάμενον αὐτοῦ τὴν στρατηγίαν Ταύταμον, καὶ τοὺς μετ' αὐτοῦ, καταπληξάμενος, καὶ σπονδὰς οἵας ἐβούλετο θέσθαι παρασκευασάμενος ἔδωκε χώραν καὶ πόλιν εἰς κατοίκησιν.

* ἐκόσμει τοῖς δώροις. * Ιουνίαν. * οὐκ ἐπ' ὀλίγον. * Βετίων. * κατ' Υριάτθου. * πολλὰ Υριάτθον.

Ex libro tricesimo quarto.

Lib. D. S. XXXIV.

Ἐκ τοῦ λδ΄.

Seruile bellum in Sicilia.

CVm post deletos Carthaginenses, Siculorum res annis sexaginta in florentissima fortuna permansissent, tandem seruile bellum apud eos hac de causa exortum est. Vitæ commoditatibus magnopere aucti, ac diuitias ingentes adepti, magnam seruorum multitudinem emere soliti erant: quorum veluti greges quosdam, simulatque è locis in quibus nutriebantur eduxerant, certis illos notis compungebant: & eos quidem qui iuniores erant, pastores constituebant: aliorum autem opera ad alia ministeria, prout cuiusque vsus postulabat, vtebantur. Verum præterquam quod erga eos se asperos ac rigidos in imperandis ministeriis exhibebant, etiam eorum victus ac vestitus vix vllam gerere curam dignabantur. Vnde fiebat, vt eorum bona pars vitam rapto sustentaret, omniáque sanguine redundarent: vtpote prædonibus, tanquam militum exercitibus, longè latéque grassantibus. Prouinciarum autem præfecti prohibere quidem conabantur, sed cum supplicium de iis sumere non auderent propter magnam dominorum potentiam atque auctoritatem, suam quisque prouinciam sinere impune diripi cogebatur. Nam cum plerique è dominis equites Rom. essent, & iudices constituerentur accusationum, quæ aduersus præfectos è prouinciis afferebantur, formidolosi ipsis præfectis erant. Iam vero cum ærumnis premerentur serui, & cum aliis modis pessimè acciperentur, tum vero plagis subinde præter rationem & iniuriosè contunderentur, patientiam abrumpere cœperunt. Itaque opportunum tempus nacti, in vnum conuenientes, de defectione sermones inter se conferre solebant, donec tandem verba ad rem contulerunt. Erat enim seruus quidam Syrus in vrbe Apamea natus (cuius dominus Antigenes vocabatur, eráṫq Enna ortus) vir magicis incantationibus & circulatoriis captionibus ac præstigiis deditus. Hic se futura prædicere instinctu afflatúque diuino ipsi in somnis apparentium simulabat: multísque per eam qua vtebatur hac in parte solertiam ad dexteritatem imponebat. Ab his autem primordiis longius progressus, non solum ex somniorum visis futura pronunciabat,

ΟΤι μετὰ τὴν καρχηδονίων κατάλυσιν, ἐπὶ ξ΄ ἔτεσι τῶν σικελῶν εὐροούντων ἐν πᾶσιν, ὁ δουλικὸς αὐτοῖς ἐπανέστη πόλεμος, ἐξ αἰτίας τοιαύτης· Ἐπὶ πολὺ τοῖς βίοις ἀναδραμόντες, καὶ μεγάλους περιποιησάμενοι πλούτους, συνηγόραζον οἰκετῶν πλῆθος. οἷς ἐκ τῶν σωματοτροφείων ἀγεληδὸν ἀπαχθεῖσιν, εὐθὺς χαρακτῆρας ἐπέβαλλον, καὶ στιγμὰς τοῖς σώμασιν. ἐχρῶντο δὲ αὐτῶν τοῖς μὲν νέοις, νομεῦσι· τοῖς δ' ἄλλοις, ὥς πη ἑκάστῳ ἡ χρεία ἐπέβαλλε. βαρέως δ' αὐτοῖς κατά τε τὰς ὑπηρεσίας ἐχρῶντο, καὶ ἐπιμελείας παντελῶς ὀλίγης ἠξίουν, ὅσα τε ἐντρέφεσθαι, καὶ ὅσα ἐνδύσασθαι. ἐξ ὧν οἱ πλείους ἀπὸ λῃστείας τὸ ζῆν ἐπορίζοντο, καὶ * μεστὰ φόνων ἦν ἅπαντα, καθάπερ στρατευμάτων διεσπαρμένων τῶν λῃστῶν. οἱ δὲ στρατηγοὶ κωλύειν μὲν ἐπεχείρουν, κολάζειν δ' οὐ τολμῶντες, διὰ τὴν ἰσχὺν καὶ τὸ βάρος τῶν κυρίων, οἳ ἐδέσποζον λῃστῶν: ἠναγκάζοντο περιορᾶν λῃστευομένην τὴν ἐπαρχίαν. οἱ πλεῖστοι γὰρ τῶν κτητόρων ἱππεῖς ὄντες τῶν ῥωμαίων, καὶ κριταὶ τοῖς ἀπὸ τῶν ἐπαρχιῶν κατηγορουμένοις * στρατηγοῖς γινόμενοι, φοβεροὶ τοῖς ἄρχουσιν ὑπῆρχον. πιεζόμενοι δὲ οἱ δοῦλοι ταῖς ταλαιπωρίαις καὶ πληγαῖς, τὰ πολλὰ * παρὰ λόγον ὑβριζόμενοι οὐχ ὑπέμενον. * συνιόντες οὖν ἀλλήλοις κατὰ τὰς εὐκαιρίας, συνελάλουν περὶ ἀποστάσεως, ἕως εἰς ἔργον τὴν βουλὴν ἤγαγον. ἦν δέ τις οἰκέτης Σύρος, Ἀντιγένους, ἐνναίου τὸ γένος, ἐκ τῆς ἀπαμείας, ἄνθρωπος μάγος καὶ τερατουργὸς τὸν τρόπον. οὗτος προσεποιεῖτο θεῶν * ἐπιτάγμασι καθ' ὕπνον προλέγειν τὰ μέλλοντα· καὶ πολλοὺς διὰ τὴν εἰς τοῦτο τὸ * μέρος εὐφυΐαν ἐξηπάτα. ἐντεῦθεν προϊὼν, οὐ μόνον ἐξ ὀνείρων ἐμαντεύετο

* μεστά. * ὡς στρατηγοῖς. * παράλογοι. * συνιόντες. * ἐπιτάγμασι. * μέρος.

ἀλλὰ

ἀλλὰ καὶ ἐγρηγορότας θεοὺς ὁρᾶν ὑπεκρίνετο, καὶ ἐξ αὐτῶν ἀκούειν τὰ μέλλοντα. πολλῶν δ' ὑπ' αὐτοῦ σχεδιαζομένων, ἀπὸ τύχης ἔνια πρὸς ἀλήθειαν ἐξέβαινε. καὶ τῶν μὲν μὴ γινομένων ὑπ' οὐδενὸς ἐλεγχομένων, τῶν δὲ συντελουμένων ἐπισημασίας τυγχανόντων: προκοπὴν ἐλάμβανεν ἡ περὶ * αὐτὸν δόξα. τελευταῖον διά τινος μηχανῆς πῦρ, * μετά τινος ἐνθουσιασμοῦ, καὶ φλόγα διὰ τοῦ στόματος ἠφίει, καὶ οὕτω τὰ μέλλοντα ἀπεφοίβαζεν. εἰς γὰρ κάρυον ἤ τι τοιοῦτο τετρημένον ἐξ ἑκατέρου μέρους ἐνετίθει πῦρ, καὶ τὴν συνέχειν αὐτὸ δυναμένην ὕλην. εἶτα ἐντιθεὶς τῷ στόματι, καὶ προσπνέων ποτὲ μὲν σπινθῆρας, ποτὲ δὲ φλόγα ἐξέκαεν. οὗτος πρὸ τῆς ἀποστάσεως ἔλεγε, τὴν Συρίαν θεὸν ἐπιφαινομένην αὐτῷ λέγειν, ὅτι βασιλεύσει· καὶ τοῦτο οὐ πρὸς * ἄλλους μόνον, ἀλλὰ καὶ πρὸς αὐτὸν τὸν κύριον αὐτοῦ διετέλει λέγων· εἰς δὲ γέλωτα τρεπομένου τοῦ πράγματος. ὁ μὲν οὖν Ἀντιγένης ψυχαγωγούμενος ἐπὶ τῇ τερατείᾳ, παρῆγε τὸν Εὔνουν εἰς τὰ συνδεῖπνα (τοῦτο γὰρ ὄνομα τῷ τερατίᾳ) καὶ διηρώτα περὶ τῆς βασιλείας, καὶ πῶς ἑκάστῳ χρήσεται τῶν παρόντων; τοῦ δὲ ἀόκνως ἅπαντα διηγουμένου, καὶ ὡς μετρίως χρήσεται τοῖς κυρίοις, καὶ τὸ σύνολον, ποικίλως τερατευομένου· γέλωτες ἐγίνοντο τοῖς παρακεκλημένοις. καί τινες αὐτῶν ἀπὸ τῆς τραπέζης ἀξιολόγους μερίδας αἴροντες, ἐδωροῦντο, ἐπιλέγοντες· ὅπως ὅταν γένηται βασιλεύς, τῆς χάριτος μνημονεύοι. οὐ μὴν ἀλλ' ἡ τερατεία προῆλθεν εἰς ἀληθινὸν ἀποτέλεσμα βασιλείας· καὶ τὴν ἀνταπόδοσιν τοῖς * περὶ τὰ δεῖπνα δεξιωσαμένοις ἐν γέλωτι, οὐ χωρὶς σπουδῆς * ἐποιήσατο τῆς χάριτος. ἀρχὴ δὲ τῆς ὅλης ἀποστάσεως ἐγένετο τοιαύτη. Δαμόφιλός τις ἦν Ἐνναῖος, τὴν δ' οὐσίαν μεγαλόψυχος, ὑπερήφανος δὲ τὸν τρόπον. οὗτος κακῶς εἰς ὑπερβολὴν ἐκέχρητο τοῖς δούλοις. καὶ ἡ γυνὴ δὲ Μεγαλλὶς ἀντεφιλονείκει τἀνδρὶ πρὸς τὴν τιμωρίαν, καὶ τὴν ἄλλην ἀπανθρωπίαν, τὴν περὶ τοὺς δούλους. ἐξ ὧν ἀποθηριωθέντες οἱ προπηλακιζόμενοι, συνέθεντο πρὸς ἀλλήλους ὑπὲρ ἀποστάσεως καὶ φόνου τῶν κυρίων. καὶ πρὸς τὸν Εὔνουν ἐλθόντες, ἠρώτων εἰ συγχωρεῖ) παρὰ τῶν θεῶν αὐτοῖς τὸ βεβουλευμένον; ὁ δὲ μετὰ τερατείας, ὡς εἰώθει, συνθέμενος ὅτι συγχωροῦσι· παραχρῆμα πείθει ἔχεσθαι τῆς ἐγχειρήσεως. εὐθὺς οὖν τετρακοσίους τῶν ὁμοδούλων συνήθροισαν· καὶ ὡς ὁ καιρὸς ἐδίδου, καθοπλισθέντες εἰς τὴν Ένναν τὴν πόλιν εἰσπίπτουσιν, ἀφηγουμένου αὐτῶν, καὶ τοῦ πυρὸς τὰς φλόγας τερατευομένου τούτοις, τοῦ Εὔνου. ταῖς δ' οἰκίαις ὑπεισελθόντες, πλεῖστον φόνον εἰργάζοντο· μηδ' αὐτῶν τῶν ὑπομαζίων φειδόμενοι. ἀλλὰ ταῦτα μὲν τῆς θηλῆς ἀποσπῶντες προσήρασσον τῇ γῇ· εἰς δὲ τὰς γυναῖκας οὐδ' ἔστιν εἰπεῖν (* καί τοι βλεπόντων τῶν ἀνδρῶν) ὅσα ἐνύβριζόν τε καὶ * ἐνησέλγαινον· πολλοῦ αὐτοῖς πλήθους τῶν ἀπὸ τῆς πόλεως δούλων προστεθέντος. οἳ καὶ κατὰ τῶν κυρίων πρότερον τὰ ἔσχατα ἐνδεικνύμενοι, οὕτω πρὸς τὸν τῶν ἄλλων φόνον ἐτρέποντο. οἱ δὲ περὶ τὸν Εὔνουν πυθόμενοι, τὸν Δαμόφιλον ὅτι κατὰ τὸν πλησίον τῆς πόλεως παράδεισον διατρίβει μετὰ τῆς γυναικὸς·

* αὐτοῦ. * διά τινος. * ἀνθρώπους M. M. * παρὰ. * ἀντεμνήσατο. * καὶ τούτων. * ἐσέλγαινον.

DIODORVS Siculus.

sed & vigil cernere se Deos, & ex iis res futuras audire fingebat. Cum autem in multis vaticinationibus mendax comperiretur, interim tamen casu euentus quarundam rerum verè prædictionibus eius responderent, & falsa quidem eius vaticinia nemo coargueret, vera autem cum applausu diligenter notarétur, hominum opinio de eo indies augebatur. Postremo artificium excogitauit, quo flammam ex ore cum quodam fanatico furore emittebat, & cum flamma simul vaticina verba Phœbadum in morem fundebat. Ignem enim in nucem, aut aliquid huiusmodi vtrinque perforatum, simulque materiam quæ illum alere posset, imponebat, deinde ori indens & afflans, modo scintillas, modo flammam accendebat. Hic ante defectionem iactare consueuerat, apparentem sibi in somnis Syriam deam dignitatem regiam polliceri. Et hoc non aliis solum, sed & suo ipsius domino assiduè dictitabat. Cum autem risu res hæc exciperetur, Antigenes ex hisce prodigiosis mendaciis voluptatem capiens, in conuiuiis ad quæ inuitatus erat, Eunum (ita enim hic præstigiator vocabatur) asseclam habebat, eúmque super regno interrogabat, & quomodo erga vnumquemque eorum, qui in cœtu illo erant, gerere se decreuisset. Cum autem ille ita iis responderet, vt in suis sermonibus minimè vacillaret, pollicerétúrque fore, vt dominos suos leniter clementérque acciperet, mera denique monstra illis super aliis variis rebus narrare pergeret, omnibus conuiuiis risum mouebat. ex quibus nonnulli ferculorum non pœnitendas portiones ablatas è mensa ei porrigebant, atque inter porrigendum hortabantur, vt regnum adeptus accepti ab ipsis beneficij memor esset. Sed enim quæ prodigiosa esse videbatur vaniloquentia, minimè vanum nacta est tandem exitũ, regni adoptionem. Principiũ autem totius defectionis fuit huiusmodi. Enneesis quidam nomine Damophilus, vir elato ingenio præditus, indignis modis supra quã credi possit seruos suos acceperat: eiusque vxore Megallide certatim eos suppliciis variis afficiente, & omnẽ erga eos sensum humanitatis exuente, exactionẽ & dominorũ cędem inter se coniurant, Eunúmque adeuntes interrogant, an suum ipsorum conceptum à diis concederetur. Hic autem illis assentiens à diis concedi respondet, verba cum solitis præstigiis fundens: simúlque illis, vt primo quoque tempore illud aggrediantur, persuadet. Statim igitur coacta quadringentorum conseruorum manu, & in eum quem pro tempore poterant armati modum, in vrbem Ennam irrumpunt, ducem habentes Eunum, suis in emittenda ex ore flamma præstigiis vtentem. Domos autem ingressi, stragem magnam edunt, ne lactentibus quidem infantibus parcentes: sed eos ab vbere matris raptos solo affligentes. In mulieres autem quæ contumeliæ & petulantiæ genera exercuerint, (idque in ipsorum maritorum conspectu) verbis exprimi nullis pro dignitate potest. Illis enim se magna seruorum vrbis multitudo adiunxerat. Cæterum cum in dominos omnia exempla cruciatúsque edidissent, ad cædem aliorum se conuerterunt. Eunus autem cum Damophilum in suburbanis hortis vna cum vxore rusticari audisset,

Vide Flori Epitomen.

Vide Lucianum & Athenagorã in Apologia.

DIODORVS Siculus.

illuc quosdam è suis misit, qui ambos inde in vrbem vinctos protraxerunt, variis in via contumeliis affectos. Soli autem eius filiæ serui prorsus pepercerunt, & ne minima quidem eam iniuria vel contumelia affecerunt, ob humanos eius mores, & animum ad commiserationem erga seruos propensum, atque adeo iis auxiliandi cupidum. Quod quidem argumento erat seruos non crudelitate naturæ alia perpetrare in alios, sed illatas sibi iniurias vlciscentes. Cæterum Damophilum cum sua Megallide cum in vrbem protraxissent ij, quibus datum erat negotium, vt diximus, in Theatrum eos produxerunt, vbi defectorum vniuersa congregata erat multitudo. Cumque Damophilus arte aliqua saluti suæ consulere conans, multorum ex illis voluntates ad se oratione sua inclinaret, Hermeas & Zeuxis acerbo cum odio prosequentes, impostorem vocitabant: miniméque exspectantes dum populus certum de eo iudicium pronunciasset, alter ensem per latera eius adigit, alter securi ceruicem eius abscindit. Hic vero Eunus rex creatur: non quod vir fortis esset ille quidem, vel bonus imperator, sed ob suam præstigiatoriam artem, quodque defectionis auctor fuisset. Quin etiam nominis eius fuit habita aliqua ratio, vt pote quod velut augurium esset futuræ illius erga subditos beneuolentiæ. Itaque defectores cum rerum summam ad eum detulissent, aduocata concione, ex Ennensibus qui viui capti erant, omnes eos interfecit, qui fabricationis armorum imperiti erat: peritos autem vinctos operi faciendo addixit. Megallidem præterea in seruarum potestatem tradidit, vt pro suo arbitrio in eam animaduerterent. Illæ autem eam primum cruciatibus affecerunt, deinde præcipitem dederunt. Ipse quoque proprios occidit dominos, Antigenem & Pythonem. Tandem vero imposito capiti diademate, rebusque suis omnibus regali splendore adornatis, sua item vxore (quæ & ipsa Syra erat, eiusque ciuis) declarata regina, ex eorum numero qui prudentia cæteris antecellere videbantur, aliquot sibi consiliarios delegit. Ex quibus erat Achæus, non tantum nomine, sed & natione Achæus, vir & consilio præstans & manu mirum in modum promptus. Hic trium dierum spatio cum sex hominum armasset millia, vt tempus dabat, cum his vero & alios haberet asciis & securibus, aut fundis, aut falcibus, aut sudibus præustis, aut coquorum verubus instructos, tota regione prædas agens peragrabat: Simul vero multitudinem infinitam seruorum asciscens Romanos etiam Imperatores bello ausus est lacessere, consertisque manibus cum eis, militum numero potentior, victoria sæpe potitus est, vtpote plusquam decem hominum millia ducens. Dum hæc aguntur, Cilix quidam cui Cleon nomen erat, auctor defectionis aliorum seruorum fuit, & cum ad eam spem erecti omnium animi essent, fore vt orta seditione hi aduersus illos arma caperent, atque ita sibi mutuum exitium afferentes, Siciliam tumultu liberarent, præter omnium exspectationem coitionem inter se fecerunt, quippe cum Cleon nudo Euni mandato se submitteret, vt sub illo, vt rege, imperatoris munia obiret, militũ propriorũ quinque millia habens. Hoc autẽ factũ fuit triginta fere à defectione diebus.

εἷλκον ἐκεῖθεν, διά τινων ἐξ αὐτῶν σταλέντων αὐτόν τε καὶ τὴν γυναῖκα δεδεμένους ἐξαγκωνίσαντες, πολλὰς κατὰ τὴν ὁδὸν ὕβρεις ὑποσχόντας. μόνης δὲ τῆς θυγατρὸς αὐτῶν οἱ δοῦλοι ἀφθησαν εἰς πάντα φεισάμενοι, διὰ τὸ φιλάνθρωπον αὐτῆς ἦθος, καὶ περὶ τοὺς δούλους συμπαθὲς, καὶ βοηθητικὸν κατὰ δύναμιν. ἐξ ὧν ἐδείκνυτο, τῶν δούλων οὐχὶ ὠμότης εἶναι φύσεως τὰ γινόμενα εἰς τοὺς ἄλλους, ἀλλὰ τῶν * προϋπηργμένων εἰς αὐτοὺς ἀδικημάτων ἀνταπόδοσις. τὸν δὲ Δαμόφιλον καὶ τὴν Μεγαλλίδα εἰς τὴν πόλιν οἱ ἀποσταλμένοι ἑλκύσαντες, ὥσπερ ἔφημεν, εἰς τὸ θέατρον εἰσήγαγον, συνεληλυθότος ἐνταῦθα τοῦ πλήθους τῶν ἀποστατῶν. καὶ τοῦ Δαμοφίλου τεχνάσασθαί τι πρὸς τὴν σωτηρίαν ἐγχειρήσαντος, καὶ πολλοὺς τοῦ πλήθους τοῖς λόγοις ἐπαγομένου· Ἑρμείας καὶ Ζεῦξις πικρῶς πρὸς αὐτὸν διακείμενοι, πλάνον τε ἀποκαλοῦντες. καὶ οὐκ ἀναμείναντες τὴν ἀκριβῆ τοῦ δήμου κρίσιν, ὁ μὲν διὰ τῶν πλευρῶν τὸ ξίφος * ὤθει· ὁ δὲ πελέκει τὸν τράχηλον ἔκοψεν. ἐκεῖθεν αἱρεῖται βασιλεὺς ὁ Εὔνους, οὔτε δι' ἀνδρείαν, οὔτε διὰ στρατηγίαν. διὰ δὲ μόνην τερατείαν, καὶ τὸ τῆς ἀποστάσεως ἄρξαι. ἅμα δὲ καὶ τῆς προσηγορίας, δοκεῖ τινα καλὸν οἰωνὸν ἐχούσης, πρὸς τὴν τῶν ὑποτεταγμένων * εὔνοιαν. τῶν ὅλων δὲ τοῖς ἀποστάταις καταστὰς κύριος, καὶ συναγαγὼν ἐκκλησίαν, ἀνεῖλε τοὺς ἐζωγρημένους τῶν Ἐνναίων, ὅσοις οὐκ ἦν ἡ τέχνη ὅπλα ἐργάζεσθαι· ἐκείνους δεδεμένους τοῖς ἔργοις ὑπέβαλλεν. ἔδωκε δὲ καὶ ταῖς θεραπαίναις τὴν Μεγαλλίδα χρήσασθαι ὡς ἂν βούλοιντο· καὶ αὗται καταχρήμνισαν αἰκισάμεναι. καὶ αὐτὸς δὲ τοὺς ἰδίους ἀνεῖλε κυρίους Ἀντιγένη καὶ * Πύθωνα. περιθέμενος δὲ διάδημα, καὶ πάντα τὰ ἄλλα τὰ περὶ αὐτὸν βασιλικῶς διακοσμήσας. τήν τε συμβιοῦσαν αὐτῷ, Σύραν καὶ συμπολῖτιν οὖσαν, βασίλισσαν ἀποδείξας· συνέδρους τε τοὺς συνέσει δοκοῦντας διαφέρειν ποιησάμενος· ὧν ἦν Ἀχαιὸς καὶ τοὔνομα καὶ τὸ γένος, ἀνὴρ καὶ βουλῇ καὶ χειρὶ διαφέρων. καὶ ἐν τρισὶν ἡμέραις πλείους τῶν ἑξακισχιλίων τὸν δυνατὸν καθοπλίσας τρόπον· καὶ ἑτέρους συνεπαγόμενος ἀξίναις καὶ πελέκεσι χρωμένους, ἢ σφενδόναις, ἢ δρεπάνοις, ἢ ξύλοις πεπυρακτωμένοις, ἢ καὶ μαγείρων ὀβελοῖς: ἐπῄει πᾶσαν λεηλατῶν τὴν χώραν, καὶ πλῆθος ἄπειρον οἰκετῶν προσλαμβάνων, ἐθάρρησε καὶ στρατηγοῖς ῥωμαίων πολεμῆσαι· καὶ συμπλακεὶς, τῷ πλήθει πολλάκις ἐκράτησεν, ἔχων ἤδη στρατιώτας ὑπὲρ τοὺς μυρίους. ἐν τούτῳ δὲ Κλέων τις κίλιξ, ἄλλων δούλων ἀποστάσεως ἦρξε. καὶ πάντων ταῖς ἐλπίσι μετεωρισθέντων, ὡς ἀντιπολεμήσει τὰ στασιάσαντα πρὸς ἀλλήλους, καὶ αὐτοὶ ἑαυτοὺς οἱ ἀποστάται διαφθείροντες, ἐλευθερώσουσι τὴν σικελίαν τῆς * ἀποστάσεως: παρὰ δόξαν ἀλλήλοις συνέβησαν· τοῦ Κλέωνος ὑποταγέντος ψιλῷ τοῦ Εὔνου προστάγματι, καὶ τὴν τοῦ στρατηγοῦ (οἷα δὴ βασιλεῖ) χρείαν ἀποπληροῦντος, ἔχοντος οἰκεῖον πλῆθος στρατιωτῶν πεντακισχιλίων. ἡμέραι δ' ἐγγὺς ἦσαν ἀπὸ τῆς ἀποστάσεως τριάκοντα.

* ἐπηργμένων
* al. ὦσε.
* al. ἔννοιαν.
* al. πίθωνα.
* al. στάσεως.

DIODORVS Siculus.

Καὶ μετὰ βραχὺ ἐκ ῥώμης ἥκοντι στρατηγῷ Λουκίῳ Ὑψαίῳ, ἔχοντι στρατιώτας ἐκ Σικελίας ὀκτακισχιλίους, εἰς πόλεμον καταστάντες οἱ ἀποστάται ἐνίκησαν, πλῆθος ὄντες δισμύριοι. μετ᾽ οὐ πολὺ δὲ ἠθροίζετο τὸ σύστημα αὐτῶν εἰς μυριάδας εἴκοσι. καὶ πολλοῖς τοῖς πρὸς ῥωμαίους πολέμοις εὐδοκιμήσαντες, ἔλαττον αὐτοὶ ἔπταιον. οὗ διαβοηθέντος, κατά τε ῥώμην δούλων ἀπόστασις ἑκατὸν πεντήκοντα συνομοσάντων ἀνήπτετο· καὶ κατὰ τὴν Ἀττικὴν ὑπὲρ χιλίων, ἔν τε Δήλῳ καὶ κατ᾽ ἄλλους * πολλοὺς τόπους. οὓς τάχει τῆς βοηθείας, καὶ τῇ σφοδρᾷ κολάσει τῆς τιμωρίας, οἱ καθ᾽ ἕκαστον ἐπιμεληταὶ τῶν κοινῶν θᾶττον ἠφάνισαν. σωφρονίσαντες καὶ τὸ ἄλλο, ὅσον ἦν ἐπὶ ἀποστάσει μετέωρον. κατὰ δὲ Σικελίαν ηὔξετο τὸ κακὸν, καὶ πόλεις ἡλίσκοντο αὔτανδροι, καὶ πολλὰ στρατόπεδα ὑπὸ τῶν ἀποστατῶν κατεκόπησαν. ἕως * Ῥουτίλιος ὁ ῥωμαίων στρατηγὸς τὸ Ταυρομένιον ἀνεσώσατο ῥωμαίοις· καρτερῶς μὲν αὐτὸ πολιορκήσας, καὶ εἰς ἄφατον ἀνάγκην καὶ λιμὸν τοὺς ἀποστάτας συγκλείσας, ὥστε ἀρξαμένους ἐκ παίδων βορᾶς, καὶ διελθόντας διὰ γυναικῶν, μηδὲ τῆς * αὐτῶν ἀλληλοφαγίας μηδ᾽ ὅλως φείσασθαι. Ὅτι καὶ Κομανὸν τὸν ἀδελφὸν Κλέωνος φεύγοντα, τῆς πολιορκουμένης πόλεως, * εἷλε. καὶ τὸ τελευταῖον, Σαραπίωνος Σύρου τὴν ἄκραν προδόντος, συμπάντων τῶν ἐν τῇ πόλει δραπετῶν ὁ στρατηγὸς ἐκυρίευσεν· οὓς καὶ αἰκισάμενος, κατεκρήμνισεν. ἐκεῖθεν ἐπὶ τὴν Ἔνναν ἐλθὼν, παραπλησίως ἐπολιόρκει, εἰς ἐσχάτην ἀνάγκην συγκλείων τὰς τῶν ἀποστατῶν ἐλπίδας. καὶ Κλέωνα τὸν στρατηγὸν, ἐξελθόντα τῆς πόλεως, καὶ ἡρωϊκῶς ἀγωνισάμενον, μετ᾽ ὀλίγον ὑπὸ τῶν τραυμάτων δείξας νεκρὸν, εἷλε καὶ ταύτην προδοσίᾳ τὴν πόλιν. ἐπεὶ * οὐδὲ, ἦν ἁλώσιμος, διὰ τὴν ὀχυρότητα, βίᾳ χειρός. ὁ Εὔνους ἀναλαβὼν τοὺς * σωματοφύλακας, ὄντας ἑξακοσίους, ἔφυγεν ἀνάνδρως εἴς τινας παρακρήμνους τόπους. ἀλλ᾽ οἱ μὲν σὺν αὐτῷ ἄφυκτον τὸ περὶ αὐτοὺς δεινὸν ἐπιστάμενοι (ἤδη γὰρ καὶ ὁ στρατηγὸς * Ῥουτίλιος ἐπ᾽ αὐτοὺς ἤλαυνεν) ἀλλήλους τοῖς ξίφεσιν * ἔσφαζον ἀπαυχενίσαντες. ὁ δὲ τερατίας Εὔνους καὶ βασιλεὺς, καταφυγὼν διὰ δειλίαν ἔν τισι κοιλάσιν, ἐξειλκύσθη ἅμα τέτταρσιν, μαγείρου, καὶ ἀρτοποιοῦ [καὶ τοῦ τρίβοντος αὐτὸν ἐν τῷ λουτρῷ, καὶ τετάρτου] τοῦ παρὰ τοὺς πότους εἰωθότος ψυχαγωγεῖν αὐτόν. καὶ παραδοθεὶς εἰς φυλακὴν, καὶ τοῦ σώματος αὐτοῦ διαλυθέντος εἰς φθειρῶν πλῆθος· οἰκείως τῆς περὶ αὐτὸν ῥαδιουργίας κατέστρεψε τὸν βίον ἐν τῇ Μοργαντίνῃ. ἐντεῦθεν * Ῥουτίλιος * ἐπιτρέχων ὅλην τὴν Σικελίαν ἅμα λογάσιν ὀλίγοις, θᾶττον ἤπερ τις ἤλπισε πάντας αὐτὴν ἠλευθέρωσε λῃστηρίου.

Ὅτι ὁ τῶν ἀποστατῶν βασιλεὺς Εὔνους ἑαυτὸν μὲν Ἀντίοχον, Σύρους δὲ τῶν ἀποστατῶν τὸ πλῆθος ἐπωνόμασεν.

Non multo post commissa pugna cum Imp. L. Hypsæo Roma veniente cum octo millibus Siculorum militum, victoria potiti sunt, vtpote qui viginti millia essent. Aliquando post autem eorum numerus vsque ad centum millia creuit. cumque aduersus Romanos prælia subinde gererent, sæpe ex iis gloriam reportabāt, rarò autem clade accepta redibant. Cuius rei cum dissipatus esset rumor, iam serui centum quinquaginta Romę conspiratione inter se facta ad defectionem incensi erāt, in Attica autem plusquam mille: itidem verò Deli, multisque aliis in locis. Sed vnoquoq; in loco ij quorum curæ negotia publica demādata erant, subitò rebus in discrimē adductis opitulati, cùm grauia de illis supplicia sumpsissēt, cęteros quibus iā & ipsis spes accēsa defectionis erat, metu represserunt, & ad saniorem mentem reuocarunt. At verò in Sicilia malum indies ingrauescebat, cùm & vrbes vnà cum ipsis ciuibus caperentur, & multi exercitus à defectoribus delerentur. Sed tandem Rutilius Rom. Imperator Tauromenium ipsis recuperauit, postquam vehementissimè illud oppugnasset, & defectores qui in eo erant ad summas angustias redegisset, atque ad tam acrem famē compulisset, vt cùm primò liberorum suorum corporibus vesci cœpissent, mox ad vxorum corpora se conuertissent, postremo ne sibi quidem inuicem parcerent, sed alij alios vorarent. Eodem tempore Comanum Cleonis fratrem ex vrbe dum obsideretur, fugientem cepit, & ad extremum arce à Sarapione Syro prodita, quotquot in vrbe fugitiui erāt, in potestatem imperatoris venerunt, quos etiam cruciatibus affectos præcipitauit. Inde Ennam profectus similem eius obsidionem aggreditur, defectores ad summam desperationem adigens. Cúmq; Cleonem Imp. vrbe egressum, ác heroica quadam fortitudine præliatum vulneribus mox confodisset, hanc quoq; vrbem cepit, idque proditione. Ita enim eam situs ipse munitā reddebat, vt vi expugnari nullo modo posset. Eunus autem assumptis sexcentis, ad loca quædam prærupta, vt erat ignauus, fuga se recepit. Sed qui cum eo erant, exitiū sibi ineuitabile impendere scientes (iam enim Rutilius imperator ad eos cursu contendebat) vt manus hostium præuenirent, sibi mutuò ceruices abscindebant. At Eunus præstigiator pariter & rex, cùm præ timiditate in quasdā speluncas cōfugisset, vnà cum quatuor ex suis inde extractus est, coquo, pistore, & eo cuius manu in balneo fricabatur; quarto autē eo, qui inter epulas oblectamenta ei afferebat. Is extractus inde, & in carcerem coniectus, in magnam pediculorum vim resoluto corpore; apud Morgantinam dignum suis temerariis ausis nactus est vitæ exitum. Postea verò Rutilius, tota Sicilia cum parua eáq; selecta manu celerius omnium spe peragrata; à prædonibus eam omnino liberauit.

Eunus defectorum rex seipsum Antiochum; socios verò suos deficientes Syros nominauit.

Margin notes: * πολ. M. M. — Al. Ρουτίλιος & Ρετίλιος. — * αὐτῶν. — * εἷλε. — * ἦν. — * διὰ σωμάτων φυλακας. — * Ρουτίλιος. * ἔσφαζον. — * Ρουτίλιος. * ἐπιτρέχων δὲ. — Enna Sicilia. — Euni mors.

Lib. D. S. XXXVI.

Ἐκ τοῦ λϛ΄.

Ὅτι ὑπὸ τοὺς αὐτοὺς χρόνους ἐν ῥώμῃ, καθ᾽ οὓς Μάριος μὲν τοὺς κατὰ Λιβύην βασιλεῖς Βόκχον καὶ Ἰουγούρθαν κατεπολέμησε μεγάλῃ παρατάξει, καὶ πολλὰς μὲν τῶν λιβύων μυριάδας ἀνεῖλεν, ὕστερον δὲ αὐτὸν * Ἰουγούρθαν συλληφθέντα

Ex libro XXXVI.

EODEM tempore quo Marius Africæ reges Bocchum & Iugurtham magno prælio debellauerat, & Afrorum infinita prope millia occiderat; ipsum deinde Iugurtham (a Boccho

Ιουγούρθας. — Iugurtha.

DIODORVS Siculus.

comprehensum, sibi susceptum aduersus bellũ condonari cupiente) captiuum abduxerat, quo item Romani graues apud Galliam in Cimbrico bello clades non sine magno dolore acceperant: eodem, inquam, tempore Romam aduenerunt quidam è Sicilia, plurima seruorũ millia defecisse nunciantes. Quo accepto nuncio, summis in angustiis totus populus Romanus versari cœpit, vtpote cui militum delectorum 60000. in bello aduersus Cimbros apud Galliam occubuissent, nec de integro parem exercitum in expeditionem educere posset. Cęterum ante hunc in Sicilia rebellantium seruorum tumultum tales & in Italia excitati fuerant, sed parui ac minimè diuturni: velut numine, quam atrox futura esset in Sicilia rebellio, præsignificante. Primus autem apud Nuceriam exstiterat, cum triginta serui coniurationem fecissent, & quamprimum pœnas dedissent. Secundus Capuæ, cùm ducenti serui rebellassent, ac sine mora deleti fuissent. Tertius autem miro quodam exortus est modo. Erat quidam Titus Minutius eques Romanus, & prædiuite natus patre, qui alienæ famulæ formosissimæ amore captus, vt in eius amplexum veniret effecit. Tandem vero ita eam deperire cæpit, vt à domino illius septem talentis Atticis emeret, cùm ad hanc emptionem eum amoris insania compelleret, quam ægrè alioqui à domino illius imperrabat. Sed illa vbi aduenit, isque soluendo non esset, vt sibi dies triginta prorogarentur obtinuit. Rursum & hoc spatio exacto, cùm ille pactum pretium exigeret, hic nullam soluendi nominis rationem inire posset, interea verò amor inualesceret, nouum & inauditum facinus aggressus est. Iis enim qui debitum exigebant, insidias struere, & monarchicã quandam potentiam sibi assumere instituit. Nam coëmptis quingentis panopliis tempus pretij persolutioni præfixit, fidéque impetrata, eas clanculum in agrum quendam deferendas curauit. Deinde cum suos seruos ad defectionem sollicitasset, numero quadringentos, sibique diadema imposuisset, purpuram quoque cum aliis insignibus regiis assumpsisset, tandémque seruorum auxilio regem se constituisset, primum quidem eos, qui pactum pretium exigebant, virgis cæsos securi percussit: postea verò cùm sua illa seruitia armasset, vicinas villas peragrare placuit: in quibus eos qui se prõpto & alacri animo socios defectionis adiungebant, armabat: quotquot autem repugnabant, eos interficiebat. Quum igitur plures septingentis milites coëgisset, eosq; in centurias distribuisset, ac locum in quo erat vallo circumiecto clausisset, ad se eos qui deficiebant, recipiebat.

Qua defectione Romam nuntiata, Senatus de ea consilium prudens iniit, felicémque eius exitum habuit. Siquidem ex iis qui in vrbe erant imperatoribus vni L. Lucullo subigendorum fugitiuorum negotium dedit. Hic autem eo ipso die quum Romæ sexcentos milites lectos conscripsisset, Capuam contendit, peditum millia quatuor, equites quadringentos collecturus. Minutius vbi Lucullum concitato cursu aduentare intellexit, collem natura loci munitum occupauit cum vniuersis suis copiis, quæ tria hominum millia & quingentos efficiebant, atque amplius.

ὑπὸ Βόκχου, ὥστε τυχεῖν συγγνώμης παρὰ ῥωμαίων, ὑπὲρ ὧν αὐτοῖς κατέστη πρὸς πόλεμον· λαβὼν ἐκεῖθεν αἰχμάλωτον εἶχε. μεγίστοις δὲ πταίσμασι τοῖς κατὰ Γαλατίαν τῶν κίμβρων πολεμούντων ῥωμαῖοι περιπεσόντες, ἠθύμουν. κατὰ τοὺς αὐτοὺς χρόνους ἧκόν τινες ἀπὸ σικελίας, ἀπόστασιν ἀγγέλλοντες οἰκετῶν εἰς πολλὰς ἀριθμουμένων * μυριάδας. οὗ προσαγγελθέντος, ἐν πολλῇ περιστάσει τὸ ῥωμαϊκὸν ἅπαν συνεχόμενον διετέλει. ὡς αὖ στρατιωτῶν ἐπιλέκτων σχεδὸν ἑξακισμυρίων ἐν τῷ πρὸς κίμβρους κατὰ γαλατίαν πολέμῳ διολωλότων, καὶ ἀπόρων ὄντων εἰς ἀποστολὴν στρατιωτῶν λογάδων. πρὸ δὲ τῆς κατὰ σικελίαν τῶν δούλων ἐπαναστάσεως, ἐγένοντο κατὰ τὴν ἰταλίαν πλείους ἀποστάσεις ὀλιγοχρόνιοι καὶ μικραί· καθάπερ τοῦ δαιμονίου προσημαίνοντος τὸ μέγεθος τῆς ἐσομένης κατὰ τὴν σικελίαν ἐπαναστάσεως. πρώτη μὲν ἡ περὶ Νουκερίαν, τριάκοντα οἰκετῶν συνωμοσίαν ποιησαμένων, καὶ ταχὺ κολασθέντων· δευτέρα ἡ περὶ τὴν Καπύην, διακοσίων οἰκετῶν ἐπαναστάντων, καὶ ταχὺ καταλυθέντων. τρίτη δὲ παράδοξος γέγονε. τίς ἦν Τίτος Μινούτιος, ἱππεὺς μὲν ῥωμαίων, μεγαλοπλούτου δὲ πατρὸς παῖς. οὗτος ἠράσθη θεραπαινίδος ἀλλοτρίας, κάλλει διαφερούσης. συμπλακεὶς δ' αὐτῇ, εἰς ἔρωτα παράδοξον αὐτῆς ἐμπεσὼν, ἐξηγόρασεν αὐτήν. οὕτω τε μανιώδους ἔρωτος βιαζομένου, καὶ τοῦ κυρίου τῆς κόρης τὴν πρᾶσιν μόλις κατανεύσαντος· ταλάντων ἀττικῶν ἑπτὰ καὶ χρόνον ὥρισε, καθ' ὃν ἀποτίσει τὸ χρέος. ἐπιστεύετο δὲ διὰ τὴν πατρῴαν περιουσίαν. ἐνστάντος δὲ τοῦ ὁρισθέντος, καὶ μὴ ἔχων ἀποδοῦναι· πάλιν ἔταξε τριάκοντα ἡμερῶν προθεσμίαν. ὡς δὲ καὶ ταύτης ἐπιστάσης, οἱ μὲν ἀπῄτουν, ὁ δὲ οὐδὲν πλέον εἶχεν ἀνύειν. ὁ δὲ ἔρως ἤκμαζεν. ἐπεχείρησε πρᾶξιν παραλογωτάτην. ἐπιβουλεύει μὲν γὰρ τοὺς ἀπαιτοῦντας, ἑαυτῷ δὲ μοναρχικὴν ἐξουσίαν περιέθηκε. * συναγοράσας γὰρ πεντακοσίας πανοπλίας, καὶ χρόνον τῆς τιμῆς συντάξας, καὶ πιστευθεὶς· λάθρα πρός τινα ἀγρὸν παρακομίσας, τοὺς ἰδίους * ἀνέστησε πρὸς ἀπόστασιν οἰκέτας, τετρακοσίους ὄντας. εἶτα ἀναλαβὼν διάδημα, καὶ περιβόλαιον πορφυροῦν, καὶ ῥαβδούχους, καὶ τὰ ἄλλα σύσημα τῆς ἀρχῆς, καὶ βασιλέα ἑαυτὸν * συνεργίᾳ τῶν δούλων ἀναδείξας· τοὺς μὲν ἀπαιτοῦντας τὴν τιμὴν τῆς κόρης ῥαβδίσας, ἐπελέκισεν. ἐξοπλίσας δὲ τοὺς οἰκέτας, ἐπῄει τὰς σύνεγγυς ἐπαύλεις· καὶ τοὺς μὲν προθύμως συναφισταμένους καθώπλιζε, τοὺς δ' ἀντιπράττοντας ἀνῄρει. ταχὺ δὲ συναγαγὼν στρατιώτας πλείους τῶν ἑπτακοσίων, καὶ τούτους εἰς ἑκατονταρχίας καταλέξας· ἐνεβάλλετο χάρακα, καὶ τοὺς ἀφισταμένους ὑπεδέχετο. τῆς δ' ἀποστάσεως εἰς ῥώμην ἐπαγγελθείσης, ἡ σύγκλητος * ἐμφρόνως περὶ αὐτῆς ἐβουλεύσατο, καὶ κατώρθωσε. τῶν γὰρ κατὰ πόλιν στρατηγῶν ἀπέδειξεν ἕνα πρὸς τὴν τῶν δραπετῶν σύλληψιν, Λεύκιον Λούκουλλον. οὗτος δὲ αὐθημερὸν ἐκ τῆς ῥώμης ἐπιλέξας στρατιώτας ἑξακοσίους, εἰς τὴν Καπύην ἦλθε, συναθροίσας πεζοὺς μὲν τετρακισχιλίους, ἱππεῖς δὲ τετρακοσίους. ὁ δὲ * Οὐέττιος τὴν ὁρμὴν τοῦ Λουκούλλου πυθόμενος, κατελάβετο λόφον καρτερὸν, ἔχων τοὺς πάντας πλείους τῶν γ, καὶ φ.

καὶ τὸ

* al. μυριάδας.
* συναγοράσας
* διένειμε
* συνεργίᾳ
* ἐμφρόνως. M. M.
* ἴσ. Μινούτιος.

καὶ τὸ μὲν πρῶτον, συμβουλῆς γινομένης, ἐπλεονέκτησαν οἱ δραπέται, ἐκ τόπων ὑπερδεξίων μαχόμενοι. μετὰ δὲ ταῦτα τὸν μὲν στρατηγὸν τοῦ Οὐεττίου Ἀπολλώνιον διαφθείρας ὁ Λούκουλλος, καὶ τῇ δημοσίᾳ πίστει τὴν ἄφεσιν τῆς τιμωρίας βεβαιώσας, ἔπεισεν αὐτὸν προδότην γενέσθαι τῶν συναποστατῶν. διὸ καὶ τούτου συνεργοῦντος τοῖς ῥωμαίοις, καὶ τὰς χεῖρας προσφέροντος τῷ Οὐεττίῳ, φοβηθεὶς τὴν ἐκ τῆς ἁλώσεως τιμωρίαν, ἑαυτὸν ἀπέσφαξεν· αὐτίκα συναπολωλότων καὶ τῶν τῆς ἀποστάσεως κεκοινωνηκότων, πλὴν τοῦ προδότου Ἀπολλωνίου. καὶ ταῦτα μὲν περὶ τὴν κατὰ Σικελίαν, ὥσπερ προοιμιαζόμενα * ταύτην, μεγίστης ἀποστάσεως· ἥτις ἀρχὴν ἔλαβε τοιαύτην. κατὰ τὴν ἐπὶ τοὺς Κίμβρους τοῦ Μαρίου στρατείαν, ἔδωκεν ἡ σύγκλητος ἐξουσίαν τῷ Μαρίῳ, ἐκ τῶν πέραν θαλαττῶν ἐθνῶν μεταπέμπεσθαι συμμαχίαν· * ὅθεν Μάριος ἐξέπεμψε πρὸς Νικομήδην τὸν τῆς Βιθυνίας βασιλέα περὶ βοηθείας. ὁ δὲ ἀπόκρισιν ἔδωκε, τοὺς πλείους τῶν Βιθυνῶν ὑπὸ τῶν * δημοσίων διαρπαγέντας δουλεύειν ἐν ταῖς ἐπαρχίαις. τῆς δὲ συγκλήτου ψηφισαμένης, ὅπως μηδεὶς σύμμαχος ἐλεύθερος ἐν ἐπαρχίᾳ δουλεύῃ, καὶ τῆς τούτων ἐλευθερώσεως οἱ στρατηγοὶ πρόνοιαν ποιῶνται· τότε κατὰ τὴν Σικελίαν ὢν στρατηγὸς Λικίνιος Νερούας, ἀκολούθως τῷ δόγματι συχνοὺς τῶν δούλων ἠλευθέρωσε, κρίσεις προθείς· ὡς ἐν ὀλίγαις ἡμέραις πλείους τῶν ὀκτακοσίων τυχεῖν τῆς ἐλευθερίας. καὶ ἦσαν πάντες οἱ κατὰ τὴν νῆσον δουλεύοντες μετέωροι πρὸς τὴν ἐλευθερίαν. οἱ δὲ * ἀξιώματι συνδραμόντες, παρεκάλουν τὸν στρατηγὸν, ἀποστῆναι ταύτης τῆς * ἐπιβολῆς. ὁ δὲ εἴτε χρήμασι πεισθεὶς, εἴτε χάρισι δουλεύσας, τῆς μὲν τῶν κριτηρίων τούτων σπουδῆς ἀπέστη, καὶ τοὺς προσιόντας ἐπὶ τὸ τυχεῖν τῆς ἐλευθερίας ἐπιπλήττων, εἰς τοὺς ἰδίους κυρίους προσέταττεν ἐπαναστρέφειν. οἱ δὲ δοῦλοι συστραφέντες, καὶ τῶν Συρακουσῶν ἀπαλλαγέντες, καὶ καταφυγόντες εἰς τὸ τῶν Παλικῶν τέμενος, διελάλουν πρὸς ἀλλήλους ὑπὲρ ἀποστάσεως. ἐκεῖθεν ἐν πολλοῖς τόποις τῆς τῶν οἰκετῶν τόλμης ἐκδήλου γινομένης, πρῶτοι τῆς ἐλευθερίας ἀντεποιήσαντο, κατὰ τὴν Ἀγκυλίων χώραν, ἀδελφῶν δυεῖν μεγαλοπλούτων οἰκέται τριάκοντα, ὧν ἡγεῖτο Οὐάριος ὄνομα· οἳ πρῶτον μὲν νυκτὸς κοιμωμένους τοὺς ἰδίους δεσπότας ἀπέσφαξαν· εἶτα ἐπὶ τὰς γειτονούσας ἐπαύλεις παρελθόντες παρεκάλουν ἐπὶ τὴν ἐλευθερίαν τοὺς δούλους. καὶ ἐν αὐτῇ τῇ νυκτὶ συνέδραμον πλείους τῶν ρκ΄. καὶ καταλαβόμενοι χωρίον φύσει ὀχυρὸν, τοῦτο μᾶλλον ἐπωχύρωσαν, προσδεξάμενοι καὶ ἑτέρους δούλους ὡπλισμένους π΄. ὁ δὲ στρατηγὸς τῆς ἐπαρχίας Λικίνιος Νερούας κατὰ τάχος αὐτοῖς ἐπελθὼν, καὶ πολιορκῶν, ἄπρακτον εἶχε τὴν σπουδήν. ἐπεὶ δὲ βίᾳ ἀνάλωτον τὸ φρούριον ἑώρα, ἐπὶ τὴν προδοσίαν ὥρμα· καὶ συνεργίας ὑπουργὸν ἔσχε Γάϊον Τιτίνιον ἐπικαλούμενον Γαδαῖον ἀναπείσας (τὴν δὲ οὗτος πρὸ δυεῖν ἐτῶν καταδικασθεὶς μὲν θανάτῳ, τὴν τιμωρίαν δὲ διαφυγὼν) καὶ πολλοὺς τῶν κατὰ τὴν χώραν ἐλευθέρων κατὰ λῃστείαν ἀναιρῶν, οὐδένα δὲ τῶν οἰκετῶν παραλυπῶν· εἶχεν ὑπηρέτην τοῦ σκοποῦ.

Et primo quidem conflictu stetit à fugitiuis victoria, quippe qui è superiore loco prælium inirent: Postea cum Apollonium imperatorem exercitus Vettij Lucullus largitionibus corrupisset, fidémque publicam dedisset pœnam illi remissum iri, eum ad prodendos socios impulit. Quare illo Romanis operã suam nauante, atque adeò ipsi * Vettio manus inferente, hic supplicium sibi capto impendens veritus, mortem sibi consciuit. Simul verò defectionis participes cæsi fuerunt, præter eum qui illos prodiderat Apollonium. Et hæc quidem anteuerterunt maximam qui in Sicilia contigit defectionem, quasi quæ eius quoddam præludium essent. Ea autem hinc orta est. In Marij aduersus Cymbros expeditione senatus auxilia ex transmarinis nationibus accersendi potestatem Mario dederat. Marius igitur ad Nicomedem Bithyniæ regem de mittendis ad se auxiliaribus copiis scribit. Is responsum dat, bonam Bithynorum partem à vectigalium publicorum redemptoribus direptam seruire seruitutem per prouincias. Cùm autem SC. esset, ne quis ex populi Roman. sociis, qui quidem liber esset, in prouincia vlla seruiret, & vt imperatores curam eorum manumittendorum gererent, accidit vt imperator Licinius Nerua, qui tum fortè in Sicilia erat, decretum senatus obseruans, multos ex seruis iudiciis cõstitutis manumitteret, adeò vt intra paucos dies plures octingentis in libertatem assererentur. Iamque erant animi omnium illius insulæ seruorum in spem libertatis erecti; cum graues auctoritate viri ad ipsum Imperatorem conueniunt, eúmque vno omnes ore, vt ab incepto desistat, rogant. Atque hic siue pecuniis expugnatus, siue gratiam aucupatus, iudicium hac de re accuratius exercere desiit: & ad se venientibus vt libertate donarentur, vt ad suum quisque dominum reuerteretur, imperare cœpit. Tum verò serui coitione facta Syracusas relinquere, & ad Palicorum delubrum confugere, ibique inter se de defectione sermones conferre. Fama autem huiusce tam audacis seruorum facinoris per Ancyliorum loca iam vulgata, primi se in libertatem vindicarunt triginta duorum ditissimorum fratrum serui: quorum dux erat quidam nomine Oarius. Hi primum suos heros noctu dormientes iugularunt, deinde ad vicinas etiam progressi villas seruorum animos ad libertatis studium accenderunt, adeò vt illa ipsa nocte concursus ad eos factus sit aliorum centum & viginti, atque amplius. Hi occupato loco natura munito, arte haud paulò munitiorem reddiderunt, assumptis & aliis octoginta seruis, qui armati essent. Prouinciæ autem imperator Licinius Nerua cùm repentè superueniens eos obsidere cœpisset; nihil vllis conatibus promouere poterat. Quamobrem nullis viribus inexpugnabile præsidium illud esse cernens, ad proditionem animum conuertit. Eius autem ministrum habuit quendam C. Titinium cognomento Gadæum, spe salutis adductum, fuerat enim hic Titinius ante duos annos [Romæ] capitis condemnatus, sed pœnam effugerat, multósque ex hominibus liberis eius regionis prædabundus interficere solebat, seruis contrà ne minimum quidem negotij facessens.

DIODORVS Siculus.

* Minutio.

Bellum Siculũ.

* al. ταύτης ὁ τ...

* ἰδ.

* δημοσιώνων. al.

* ἀξιώματι

* al. ἐπιβολῆς.

DIODORVS Siculus.

Vnde cùm multos ibi seruos sibi fidos haberet, ad castellum, tanquam & ipse pro virili parte aduersus Romanos præliaturus, accedit. Beneuolè autem comitérq; receptus, etiam Imperator fortitudinis ergo creatus fuit. Quam dignitatem adeptus, castellum prodidit. Tum verò ex defectoribus alij quidem in prælio concisi fuerunt, alij verò pœnæ metu, quam se captos manere sciebant, se precipites dederunt. Prima igitur fugitiuorum seditio repressa hoc modo fuit. Verum enimuerò militibus ad sedes suas dimissis, affertur à quibusdam nuntius, seruos 80. coniuratione facta P. Clonium qui equestris ordinis fuit, interfecisse, magnamque sibi manum adiungere. Quin etiam ipse Imperator consiliis aliorum deceptus, iam bona suorum militum parte dimissa, defectoribus ad se melius muniendos tempus dabat. Tandem tamen cum qualicunq; potuit manu ad eos contendit, traiectóque fluuio Alba, defectores in monte Capriano stationem agentes prætergressus est, & ad Vrbem Heracleam perrexit. Cum igitur de ignauia Imperatoris rumorem sparsissent, vtpote illos prœlio lacessere non ausi, multos ex seruis ad defectionem animabant. Adeò multis vndique circumfluentibus, seq; iis, quorum facultatem tempus locúsque dabant, armis instruentibus, vt intra primos septé dies octingentis plures armati fuerint, postea verò vsque ad duorum millium numerum creuerint. Postquam autem Imperator apud Heracleam de auctis eorum viribus certior factus fuit, ducem aduersus eos M. Titinium creauit, cúmque cum sexcentis ex Enna præsidiariis militibus misit. Hic verò defectores adortus prœlio (cùm illi & numero superiores essent, & in eo quoque meliori conditione forent, quod locis difficilem aditum præbentibus defenderentur:) vna cum iis qui illi astabant terga dedit, multisq; interfectis, reliqui abiectis armis vix sibi fuga salutem quæsiuerunt. Defectores igitur tot armaturis, simul etiam victoria subitò potiti, in suo incepto audacius pergebant, & omnium seruorum animi ad spem libertatis erigebantur. Cumque multi indies deficerent, breui tempore supra quam credi possit auctus eorum numerum fuit. Siquidem intra paucos dies plures sex millibus numerati fuerunt. Tum verò coacto concilio, & deliberatione de summa rerum proposita, ante omnia crearunt regem Saluium quendam, qui aruspicinæ peritus habebatur, & in mulierem corona cantu tibiarum, ad insaniam vsq; perstrepere solitus erat. Hic regnum adeptus, cùm vrbes desidia mollitiem fouere existimaret, eas sibi vitandas iudicauit. Quare defectoribus tres in partes diuisis, totidemque ducibus vnicuique parti attributis, effusis populationibus peragrare regionem totam, omnesque certum ad locum, certóque tempore remeare imperauit. Illi cum aliorum animalium, tum verò equorum copiam suis excursionibus adepti, breui peditum viginti millia, equitum duo effecerunt: idque hominum qui iam tirocinium non sine summa laude posuerant. Repentè igitur ad vrbem munitam Morgantinam magno impetu contendunt: cúmque tum validis tum assiduis impressionibus oppugnare occipiunt. Imp. autem cum eodem nocturnis itineribus peruenisset, tanquam ad ferendas vrbi suppetias, ducens militum circiter decem millia,

ὅθεν ἔχων *αὐτῷ πιστοὺς οἰκέτας ἱκανοὺς, προσέρχεται τῷ φρουρίῳ [τῶν ἀποστατῶν,] ὡς δὴ συμμεθέξων τοῦ κατὰ ῥωμαίων πολέμου. εὐμενῶς δὲ καὶ φιλοφρόνως προσδεχθεὶς, ᾑρέθη διὰ τὴν ἀνδρείαν καὶ στρατηγὸς, καὶ προὔδωκε τὸ φρούριον. τῶν δ' ἀποστατῶν οἱ μὲν, μαχούμενοι κατεκόπησαν. οἱ δὲ, τὴν ἀπὸ τῆς ἁλώσεως δεδιότες τιμωρίαν, ἑαυτοὺς κατεκρήμνισαν. ἡ μὲν οὖν πρώτη τῶν δραπετῶν στάσις κατελύθη τὸν εἰρημένον τρόπον. τῶν δὲ στρατιωτῶν πρὸς τὰ οἰκεῖα ἤθη ἀπολυθέντων, ἧκόν τινες ἀπαγγέλλοντες, ὅτι Πόπλιον Κλόνιον, γενόμενον ἱππέα ῥωμαίων, ἐπαναστάντες οἱ δοῦλοι κατέσφαξαν ὀγδοήκοντα ὄντες· καὶ ὅτι πλῆθος ἀγείρουσι. καὶ ὁ μὲν στρατηγὸς ἑτέρων βουλαῖς παρακρουσθεὶς, ἤδη καὶ τῶν πλείστων στρατιωτῶν ἀπολελυμένων· καιρὸν παρεῖχε διὰ τῆς ἀναβολῆς τοῖς ἀποστάταις βέλτιον αὑτοὺς ἀσφαλίσασθαι. προῆγε δὲ μετὰ τῶν ἐνόντων στρατιωτῶν, καὶ διαβὰς τὸν ἄλβαν ποταμὸν, παρῆλθε τοὺς ἀποστάτας διατρίβοντας ἐν ὄρει καλουμένῳ Καπριανῷ, καὶ κατήντησεν εἰς πόλιν ἡράκλειαν. ἐκ *γὰρ τοῦ μὴ προσβαλεῖν αὐτοῖς τὸν στρατηγὸν· ἀτολμίαν αὐτοῦ διαφημίσαντες, συχνοὺς ἀνέστησαν τῶν οἰκετῶν. καὶ πολλῶν συῤῥεόντων, καὶ τὸν δυνατὸν τρόπον εἰς μάχην παρασκευαζομένων, ἐν ἑπτὰ ταῖς πρώταις ἡμέραις καθωπλίσθησαν πλείους τῶν ὀκτακοσίων. ἐφεξῆς δ' ἐγένοντο τῶν δισχιλίων οὐκ ἐλάττους. πυθόμενος δ' ἐν ἡρακλείᾳ τὴν αὔξησιν αὐτῶν ὁ στρατηγὸς· ἡγεμόνα προεχειρίσατο Μάρκον Τιτίνιον, δοὺς αὐτῷ στρατιώτας τοὺς ἐκ τῆς ἔννης φρουροὺς ἑξακοσίους. οὗτος δὲ μάχῃ προσβαλὼν τοῖς ἀποστάταις (ἐπεὶ καὶ τῷ πλήθει καὶ ταῖς *δυσχερείαις ἐπλεονέκτουν ἐκεῖνοι) ἔτραπη σὺν τοῖς περὶ αὐτὸν· πολλῶν μὲν ἀναιρεθέντων, τῶν δὲ λοιπῶν ῥιψάντων τὰ ὅπλα, καὶ φυγῇ μόλις διασωθέντων. καὶ οἱ ἀποστάται ὅπλων τε εὐπορήσαντες τοσούτων ἀθρόον, καὶ νίκης· θρασύτερον εἴχοντο τῶν ἔργων, καὶ πάντες τῶν δούλων ἐμετεωρίζοντο πρὸς ἀπόστασιν. καὶ πολλῶν καθημέραν ἀφισταμένων, συντομον καὶ παράδοξον ἐλάμβανον αὔξησιν· ὡς ἐν ὀλίγαις ἡμέραις πλείους γενέσθαι τῶν ἑξακισχιλίων, ὅτε δὴ καὶ εἰς ἐκκλησίαν συνελθόντες, καὶ βουλῆς προτεθείσης· πρῶτον μὲν εἵλοντο βασιλέα τὸν ὀνομαζόμενον Σαλούϊον, δοκοῦντα τῆς *ἱεροσκοπίας ἔμπειρον εἶναι, καὶ γυναικείαις θέαις αὐλομανοῦντα [οὗτος βασιλεύσας, πόλεις ἀργίας καὶ τρυφῆς νομίζων, ἐξέκλινε·] εἰς τρία δὲ μερίσας τοὺς ἀποστάτας, καὶ ἴσους ἡγεμόνας ἐγκαταστήσας ταῖς μερίσι· προσέταξεν ἐπιέναι τὴν χώραν, καὶ πρὸς ἕνα τόπον καὶ καιρὸν ἅπαντας ἀπαντᾶν. διὸ πολλῶν ἐκ τῆς ἐπελασίας ἄλλων τε ζώων καὶ ἵππων εὐπορήσαντες, ἐν ὀλίγῳ χρόνῳ κατεσκευάσθησαν ἱππεῖς μὲν πλείους τῶν δισχιλίων, πεζοὶ δὲ οὐκ ἐλάττους τῶν *δισμυρίων, ἤδη καὶ γυμνασίαις πολεμικαῖς ἐνδιατρίψαντες. προσπεσόντες οὖν ἄφνω πόλει *ὀχυρᾷ μοργαντίνῃ, προσβολὰς ἐνεργεῖς καὶ συνεχεῖς ἐποιοῦντο. ὁ δὲ στρατηγὸς ὡς βοηθῶν τῇ πόλει ἐπελθὼν, νυκτοπορείᾳ χρησάμενος, ἔχων μεθ' ἑαυτοῦ στρατ-

*αὐτοῦ.

*al. γοῦν.

*δυσχωρίαις.

*οἰωνοσκοπίας.

*τρισμυρίων M. M.

*ἰσχυρᾷ

ἰταλιώτας τε καὶ ἐκ σικελίας σχεδὸν στρατιώτας μυρίους, κατέλαβε τοὺς ἀποστάτας ἀσχολουμένους περὶ τὴν πολιορκίαν. καὶ ἐπιθέμενος αὐτῶν τῇ παρεμβολῇ, καὶ εὑρὼν ὀλίγους μὲν τοὺς φυλάττοντας, πλῆθος δὲ γυναικῶν αἰχμαλώτων, καὶ λείας ἄλλης παντοδαπῆς· ῥαδίως ἐξεῖλε τὴν στρατοπεδείαν. καὶ ταύτην μὲν διήρπασεν, ἐπὶ δὲ τὴν μοργαντίνην *ἦγεν. οἱ δὲ ἀποστάται ἐξαίφνης ἀντεπιθέμενοι, καὶ ὑπερδέξιον τὴν τάξιν ἔχοντες, βιαίως τε ἐπιῤῥάξαντες· εὐθὺς ὑπὸ προτερήματος ἦσαν· οἱ δὲ τοῦ στρατηγοῦ ἐτράπησαν πρὸς φυγήν. τοῦ δὲ βασιλέως τῶν ἀποστατῶν κήρυγμα ποιησαμένου, μηδένα κτείνειν τῶν τὰ ὅπλα ῥιπτούντων· οἱ πλεῖστοι ῥιπτοῦντες ἔφευγον. καὶ τούτῳ τῷ τρόπῳ καταστρατηγήσας τοὺς πολεμίους ὁ Σάλουιος, τήν τε παρεμβολὴν ἀνεκτήσατο, καὶ περιβόητον νίκην ἀπενεγκάμενος πολλῶν ὅπλων ἐκυρίευσεν. ἀπέθανον δὲ ἐν τῇ μάχῃ τῶν ἰταλιωτῶν τε καὶ σικελῶν οὐ πλείους ἑξακοσίων, διὰ τὴν τοῦ κηρύγματος φιλανθρωπίαν. ἑάλωσαν δὲ περὶ τετρακισχιλίους. ὁ δὲ Σάλουιος, πολλῶν πρὸς αὐτὸν ἀπὸ τοῦ κατορθώματος συῤῥεόντων· διπλασιάσας τὴν ἰδίαν δύναμιν, ἐκράτει τῶν ὑπαίθρων. καὶ πολιορκεῖν πάλιν ἐπεχείρει τὴν μοργαντίναν, κήρυγμα θεὶς τοῖς ἐν αὐτῇ δούλοις, τὴν ἐλευθερίαν. τῶν δὲ κυρίων *ἀντιπροτεινόντων αὐτοῖς ταύτην, εἰ σφίσι συναγωνίσαιντο· εἵλοντο μᾶλλον τὴν ἀπὸ τῶν κυρίων. καὶ προθύμως ἀγωνισάμενοι, ἀπεῤῥίψαντο τὴν πολιορκίαν. ὁ δὲ στρατηγὸς μετὰ ταῦτα τὴν ἐλευθερίαν ἀνατρέψας, αὐτομολῆσαι τοὺς πλείστους παρεσκεύασε τοῖς ἀποστάταις. περὶ δὲ τὴν αἰγεσταίων καὶ λιλυβαίων χώραν, ἔτι δὲ τῶν ἄλλων τῶν πλησιοχώρων, ἐνόσει πρὸς ἀπόστασιν τὰ πλήθη τῶν οἰκετῶν. γίνεται δὲ τούτων ἀρχηγὸς, Ἀθηνίων ὄνομα, ἀνὴρ ἀνδρείᾳ διαφέρων, κίλιξ τὸ γένος· οὗτος οἰκονόμος ὢν δυεῖν ἀδελφῶν μεγαλοπλούτων, καὶ τῆς ἀστρομαντικῆς πολλὴν ἔχων ἐμπειρίαν. ἔπεισε τῶν οἰκετῶν πρῶτον μὲν τοὺς ὑφ᾽ ἑαυτὸν τεταγμένους περὶ διακοσίους ὄντας· ἔπειτα τοὺς γειτνιῶντας· ὥστε ἐν πέντε ἡμέραις συναχθῆναι πλείους τῶν χιλίων. ὑπὸ δὲ τούτων αἱρεθεὶς βασιλεὺς, καὶ διάδημα περιθέμενος, ἐναντίαν τοῖς ἄλλοις ἅπασιν ἀποστάταις τὴν διάθεσιν ἐποιεῖτο. οὐ γὰρ προσεδέχετο πάντας τοὺς ἀφισταμένους· ἀλλὰ τοὺς ἀρίστους ποιούμενος στρατιώτας, τοὺς ἄλλους ἠνάγκαζε μένοντας ἐπὶ τῶν προεγκεχειρισμένων ἐργασιῶν, ἐπιμελεῖσθαι τῆς ἰδίας ἕκαστον οἰκονομίας καὶ τάξεως. ἐξ ὧν καὶ τροφὰς ἀφθόνους τοῖς στρατιώταις ἐχορήγει. προσεποιεῖτο δὲ, τοὺς θεοὺς αὐτῷ διὰ τῶν ἄστρων προσημαίνειν, ὡς ἔσοιτο τῆς *βασιλείας συμπάσης βασιλεύς· διὸ δεῖν αὐτῆς τε τῆς χώρας, καὶ τῶν ἐν αὐτῇ ζώων τε καὶ καρπῶν ὡς ἰδίων φείδεσθαι. τέλος ἀθροίσας ὑπὲρ τοὺς μυρίους, ἐτόλμησε *πόλιν ἀπόρθητον τὸ λιλύβαιον πολιορκεῖν. μηδὲν δὲ ἀνύων, μετανίστατο αὐτῆς, εἰπὼν αὐτῷ τοὺς θεοὺς τοῦτο ἐπιτάττειν. ἐπιμένοντας γὰρ τῇ πολιορκίᾳ, δυστυχήματος πειραθῆναι. σκευαζομένου δὲ αὐτοῦ τὴν ἀπὸ τῆς πόλεως ἀναχώρησιν κατέπλευσάν τινες ἐν ταῖς ναυσὶ κομίζοντες ἐπιλέκτους μαυρουσίους. οἱ ἐπὶ βοήθειαν ἦσαν ἀπεσταλμένοι

* ζω.

* ἀντιπαραθέοντες.

* στασίων.

* al. πάλιν.

DIODORVS Siculus.

partim Italicorum, partim ex Sicilia defectores circa obsidionem occupatos inuenit. Cùm ergo in eorum castra irruptionem fecisset, & exiguum illic præsidium reperisset, magnam autem captiuarum multitudinem, magnam item alius prædæ omnis generis, nullo negotio castra eorum submouit, iisque direptis ad vrbem Morgantinam iter conuertit. At defectores repentè in illum irruentes vicissim, cùm è loco superiore pugnarent, violenta irruptione facta, secundam fortunam experiri, Romani Imperatoris copiæ terga vertere cœperunt. Cæterùm quia rex defectorum imperauerat edicto, vt omnibus arma abiicientibus parceretur, bona pars iis abiectis in fugam se dabat. Quo quidem stratagemate Saluius aduersus hostes vsus, castra sua recuperauit, victoriáque simul & magna multitudine armorum potitus est. Cæsi autem hoc in prælio fuerunt ex Italiis & Siculis non plures sexcentis, propter edicti illius clementiam, sed capta fuerunt circiter quatuor millia. Porrò quum ad Saluium, rebus ab illo bene gestis, multi confluerent, duplicato exercitu, atque aperto potius campo, Morgantinæ obsidionem redintegrauit, iussitque proclamari se iis libertatem, qui ibi essent, seruis donaturum. Sed enim eorum dominis vicissim eam illis proponentibus, dummodo secum aduersus hostes dimicarent: eam ab ipsis accipere maluerunt, tantáque animi pugnarunt alacritate, vt obsidionem submouerent. Verùm enimuerò Imperator postea denegans promissam illis libertatem, in causa fuit cur ad defectores plurimi transfugerent. Iam verò & apud Ægestæos, paritérque Lilibæenses, ac finitimos illis populos, eadem defectionis cupiditas, ceu morbus quidam per seruorum greges serpebat. Eorum autem dux constituitur Athenio quidam vir fortitudine præstans, ortus autem è Cilicia. Hic cùm res domesticas duorum opulentissimorum fratrum dispensaret, & eius quæ fit ex astris scientiæ peritissimus esset, seruos in suam sententiam pertraxit, primum quidem eos, quos sub potestate habebat, numero circiter ducentos; postea verò & vicinos, adeò vt quinque dierum spatio mille & amplius congregarentur. Ab his autem rex creatus, impositóque capiti diademate, secus quàm cæteri defectores suas rationes instituebat. Neque enim omnes quotquot deficiebant, recipiebat, sed ex iis strenuissimos quosque in suorum militum numerum allegens, reliquos cogebat, repetitis pristinis opificiis, vnúquemq; eundem quem antea locu tenere, & quarũ rerum dispensatio esset eius officij, eam studiosè suscipere. Qua ex re largum etiam comparabat suis commeatum. Porrò fingebat deos per astra futurum se vniuersæ Siciliæ regem præsignificare, ideoque oportere tam ipsi regioni, quàm animalibus & fructibus, qui in ea essent tanquam propriis parcere. Tandem verò cum supra decem millia hominum coëgisset, Lilybæum inexpugnabilẽ vrbẽ obsidere est ausus. Sed se operam perdere animaduertens, obsidionem tanquam Deorum imperio soluit, vtpote aliqua non mediocri impendente calamitate obsidione non absistẽtibus. Cùm igitur ab vrbe recedere pararet, appulerunt naues quædam delectam Maurorum aduehentes manũ, auxilio Lilybæensibus

Cic. in Verr.

DIODORVS Siculus.

missam: cui præerat quidam nomine Gomon. Hic cum suis noctu & improuiso Athenionem suas copias ducentem adortus, cùm multos iter facientes prostrasset, non paucos autem vulnerasset, ad vrbem pedem retulit. Quare illa Athenionis ex castris vaticinatio in pretio, & admiratione erat. Inter ea autem valde confusus perturbatusque erat rerum Siciliæ status, veréque malorum Ilias eam occupauerat. Neque enim serui dumtaxat, sed etiam ex liberis hominibus ij qui egestate premebantur, omne latrocinij flagitiique genus exercebant. At ne quis hanc perditam nequitiam nunciare posset, obuium quemlibet, seruum pariter & ingenuos trucidabant. Vnde fiebat, vt qui in oppidis erant, ea quæ intra muros essent, vix propria existimarent: quæ autem extra, aliena & domino exlegi violentæque potentiæ subdita. Multa deniq; alia contra fas & æquum perpetrare audebant in Sicilia. Saluius autem qui Morgantinam obsidebat, factis in totam illam regionem incursionibus, ad Leontinum vsque campum, totum exercitum ibi recollegit in quo numerabant triginta millia, & quidem selectorum. Tum verò Italis heroibus sacra fecit, vnámque purpureis vestibus dicauit, gratus ac memor beneficij, in quo illum victoriam dantes affecerant. Tandem verò cum regis nomen sibi asciuisset, pro Saluio Tryphon à defectoribus appellari cœpit. Habens autem in animo Triocala occupare, ibique regiam suam statuere, euocat etiam Athenionem, & quidem eum vt rex imperatorem accersens. Hic verò cùm omnes arbitrarentur fore, vt Athenio primum & altissimum dignitatis gradum obtinere vellet, atq; hinc orto inter defectorum principes dissidio, facilè huic bello finem impositū iri, fortuna tanquam de industria copias fugitiuorum augens, duces eorum in concordiam adduxit. Trypho enim magnis itineribus ad vrbē Triocala cum vniuerso suo exercitu peruenit. Eodem & Athenio magna celeritate contendit, ex suis tria dumtaxat adducens millia: & Tryphoni vt Imperator Regi dicto audiens. Reliquum autem exercitum ad depopulandos longè latéque agros, seruitiáque ad defectionem sollicitanda miserat. Verùm postea Trypho suspicatus fore vt Athenio prima quoque occasione, aduersus ipsum arma caperet, eum in carcerem coniecit. Cæterum præsidium illud alioqui munitissimum indies magis ac magis muniebat, & magnificis structuris adornabat. Aiunt autem Triocala fuisse nominatam quod τρία καλὰ (id est tria pulcra) ei inessent. Primùm quod scaturigines plurimæ aquarum in ea extitarent, quæ dulcedine magnopere commendarentur. Deinde quod adiacentes agri vineta simul & olíueta haberent, essent verò & culturæ mirū in modum idonei. Postremò quod natura locus ita munitus foret, vt nihil supra posset, quippe qui magnam quandam & inexpugnabilem haberet rupem: quam vrbis ambitu, qui mille passus amplectitur, cùm cinxisset, fossaque in summam altitudinem producta circumdedisset, pro regia sua habuit, omnium quæ humanæ vitæ vsus postulat, abūdantia refertum. Construit insuper basilicam: forum item numerosæ hominū turbæ capax. Præterea ex prędictis insigni prudentia viris delegit quot satis erant, eósque sibi consiliarios statuit, atque assessores in iuris disceptationibus habere instituit. Iam verò & toga prætexta tunicáque lati claui amictus ius reddebat, licto-

τοῖς Λιλυβαΐταις, ἔχοντες ἡγεμόνα, ὃς ὠνομάζετο Γόμων. οὗτος σὺν τοῖς ἅμ' αὐτῷ [κατὰ νύκτα καὶ ἀνελπίστως ἐπιθέμενος] τοὺς περὶ Ἀθηνίωνα ὁδοιποροῦντας πολλοὺς καταβαλόντες, οὐκ ὀλίγας δὲ τραυματίσαντες, εἰς τὴν πόλιν ἐπανῆλθον. διόπερ οἱ ἀποστάται τὴν ἀπὸ τῆς ἀστρομαντείας πρόρρησιν ἐθαύμαζον. εἶχε δὲ τῆς σικελίας * πᾶσα σύγχυσις καὶ κακῶν ἰλιάς. οὐ γὰρ οἱ δοῦλοι μόνον, ἀλλὰ καὶ τῶν ἐλευθέρων οἱ ἄποροι, πᾶσαν ἁρπαγὴν καὶ παρανομίαν ἐργαζόμενοι, καὶ τοὺς περιτυγχάνοντας δούλους τε καὶ ἐλευθέρους, ὅπως μηδεὶς ἀπαγγέλλοι τὴν περὶ αὐτοὺς ἀπόνοιαν, ἐφόνευον ἀναιδῶς. διὸ καὶ πάντες οἱ κατὰ τὰς πόλεις ὑπελάμβανον, τὰ μὲν ἐντὸς τειχῶν μόλις εἶναι ἴδια. τὰ δ' ἐκτὸς, ἀλλότρια καὶ δοῦλα τῆς παρανόμου χειροκρασίας. καὶ ἄλλα δὲ πολλὰ πολλοῖς ἄτοπα κατὰ τὴν σικελίαν ἐτολμᾶτο. ὁ δὲ τὴν * μοργαντίνην πολιορκήσας Σαλούιος, ἐπιδραμὼν τὴν χώραν μέχρι τοῦ Λεοντίνου πεδίου, ἤθροισεν αὐτοῦ τὸ σύμπαν στράτευμα, ἐπιλέκτους ἄνδρας οὐκ ἐλάττους [τῶν] τρισμυρίων. καὶ θύσας τοῖς ἰταλικοῖς ἥρωσι· τούτοις μὲν ἀνέθηκε μίαν τῶν ἁλουργῶν περιπορφύρων στολήν, χαριστήρια τῆς νίκης· αὐτὸς δ' ἀναγορεύσας ἑαυτὸν βασιλέα, * Τρύφων μὲν ὑπὸ τῶν ἀποστατῶν προσηγορεύετο. διανοούμενος δὲ τὰ τριόκαλα καταλαβέσθαι, καὶ κατασκευάσαι βασίλεια· πέμπει καὶ πρὸς Ἀθηνίωνα, μεταπεμπόμενος αὐτὸν ὡς στρατηγὸν βασιλεύς. πάντες μὲν οὖν ὑπελάμβανον, τὸν Ἀθηνίωνα τῶν πρωτείων ἀντιποιήσεσθαι, καὶ διὰ τὴν στάσιν τῶν ἀποστατῶν ῥᾳδίως καταλυθήσεσθαι τὸν * πόλεμον. ἡ δὲ τύχη καθάπερ ἐπίτηδες αὔξουσα τὰς τῶν δραπετῶν δυνάμεις, ὁμονοῆσαι τοὺς τούτων ἡγεμόνας ἐποίησεν. ἧκε μὲν γὰρ συντόμως [μετὰ τῆς δυνάμεως] ἐπὶ τὰ τριόκαλα ὁ Τρύφων· ἧκε δὲ καὶ Ἀθηνίων μετὰ τρισχιλίων, ὑπακούων ὡς στρατηγὸς βασιλεῖ τῷ Τρύφωνι· τὴν ἄλλην αὐτοῦ δύναμιν καταστρέχειν τὴν χώραν, καὶ ἀναπείθειν πρὸς ἀπόστασιν τοὺς οἰκέτας ἀπεσταλκώς. μετὰ δὲ ταῦτα ὑπονοήσας ὁ Τρύφων, τὸν Ἀθηνίωνα ἐπιθήσεσθαι· ἐν καιρῷ παρέδωκεν εἰς φυλακήν. τὸ δὲ φρούριον ὀχυρώτατον ὂν κατεσκεύαζε πολυτελέσι κατασκευαῖς, καὶ ἐπὶ μᾶλλον ὠχύρου. τριόκαλα δὲ αὐτὸ φασὶν ὀνομάζεσθαι, διὰ τὸ τρία καλὰ ἔχειν. πρῶτον μὲν ναματιαίων ὑδάτων πλῆθος, διαφόρων τῇ γλυκύτητι. δεύτερον, παρακειμένην χώραν ἀμπελόφυτόν τε καὶ ἐλαιόφυτον, καὶ γεωργεῖσθαι δυναμένην θαυμαστῶς. τρίτον, ὑπερβάλλουσαν ὀχυρότητα, ὡς ἂν οὔσης μεγάλης πέτρας ἀναλώτου· ἣν καὶ περιβόλῳ πόλεως σταδίων ὀκτὼ προσπεριβαλὼν, καὶ ταφρεύσας βαθείᾳ τάφρῳ, βασιλείοις ἐχρῆτο, πάσῃ ἀφθονίᾳ τῶν κατὰ τὸν βίον ἅπαντα πεπληρωμένην. κατεσκεύασε δὲ καὶ βασιλικὴν οἰκίαν, καὶ ἀγορὰν δυναμένην δέξασθαι πλῆθος ἀνθρώπων. ἐξελέξατο δὲ καὶ τῶν φρονήσει διαφερόντων ἀνδρῶν τοὺς * ἱκανοὺς· οὓς ἀποδείξας συμβούλους, ἐχρῆτο συνέδροις αὐτοῖς: τήβεννάν τε περιπόρφυρον περιεβάλλετο, καὶ πλατύσημον εἶχε χιτῶνα, κατὰ τοὺς χρηματισμούς. καὶ ῥαβδούχους

* al. πᾶσαν
* μοργαντίνα
* al. Τρύφων κατὰ τῶν ἀποστατ. προσηγόρευτο.
* πολέμου
* συνετοὺς ἴσως. M. L.

ῥαβδούχους εἶχε μετὰ πελέκεων τοὺς προηγουμένους καὶ τἄλλα * πάντα, ὅσα ποιοῦσί γε καὶ ἐπικοσμοῦσιν ἐπιτήδεια βασιλείαν. προχειρίζεται δὲ κατὰ τῶν ἀποστατῶν ἡ σύγκλητος τῶν ῥωμαίων Λεύκιον Λικίννιον Λεύκουλλον, ἔχοντα στρατιώτας μυρίους μὲν καὶ τετρακισχιλίους, ῥωμαίους καὶ ἰταλούς· βιθυνοὺς δὲ καὶ θετταλοὺς καὶ ἀκαρνᾶνας ὀκτακοσίους. ἐκ δὲ τῆς λευκανίας ἑξακοσίους· ὧν ἡγεῖτο Κλέπτιος, ἀνὴρ στρατηγικὸς, καὶ ἐπ' ἀνδρείᾳ περιβόητος· ἔτι δὲ καὶ ἑτέρους ἑξακοσίους· ὡς πληρωθῆναι σύμπαντας, ἑπτακισχιλίους καὶ μυρίους· οὓς ἔχων κατέλαβε τὴν σικελίαν. ὁ δὲ Τρύφων ἀπολύσας Ἀθηνίωνα τῆς αἰτίας, * ἐβουλεύετο περὶ τοῦ πρὸς ῥωμαίους πολέμου. καὶ τῷ μὲν ἤρεσκεν, ἐν τοῖς τριοκάλοις ἀγωνίζεσθαι. Ἀθηνίων δὲ συνεβούλευε μὴ συγκλείειν ἑαυτοὺς εἰς πολιορκίαν, ἀλλ' ἐν ὑπαίθρῳ διαγωνίζεσθαι. κρατησάσης δὲ * ταύτης τῆς βουλῆς, κατεστρατοπέδευσαν πλησίον * σκιρθαίας, ὄντες οὐκ ἐλάττους τῶν τετρακισμυρίων. ἀπεῖχε δ' αὐτῶν ἡ ῥωμαίων παρεμβολὴ στάδια ιβ'. τὸ μὲν οὖν πρῶτον ἐγίνοντο συνεχεῖς ἀκροβολισμοί. εἶτα παραταξαμένων ἑκατέρων, καὶ τῆς μάχης ὧδε κἀκεῖσε ῥεπούσης, καὶ πολλῶν ἑκατέρωθεν πιπτόντων: ὁ μὲν Ἀθηνίων ἔχων συναγωνιζομένους διακοσίους ἱππεῖς * ἐπιλέκτων, πάντα τὸν περὶ αὐτὸν τόπον νεκρῶν ἐπλήρωσε. τρωθεὶς δ' εἰς ἀμφότερα [τὰ] γόνατα, καὶ τρίτην λαβὼν * ἄχρηστος ἐγένετο πρὸς τὴν μάχην. ἐξ οὗ οἱ δραπέται τὰς ψυχὰς πεσόντες, πρὸς φυγὴν ἐτράπησαν. ὁ δὲ Ἀθηνίων ὡς νεκρὸς ὢν ἔλαθε. καὶ προσποιηθεὶς τετελευτηκέναι, τῆς νυκτὸς ἐπιλαβούσης διεσώθη. ἐπεκράτησαν δὲ λαμπρῶς οἱ ῥωμαῖοι, φυγόντων καὶ τῶν μετὰ Τρύφωνος, καὶ αὐτοῦ ἐκείνου. καὶ πολλῶν κατὰ τὴν φυγὴν κοπέντων, τέλος οὐκ ἐλάττους τῶν δισμυρίων ἀνῃρέθησαν. οἱ δὲ λοιποὶ, τῆς νυκτὸς συνεργούσης, διέφυγον εἰς τὰ τριόκαλα. καίτοι ῥᾷον ἦν ἐπιδιώξαντι τῷ στρατηγῷ καὶ τούτους ἀνελεῖν. ἐπὶ τοσοῦτον δὲ τεταπείνωτο τὸ οἰκετικὸν, ὥστε καὶ ἐβουλεύσαντο ἐπὶ τοὺς κυρίους ἐπαναδραμεῖν, καὶ σφᾶς αὐτοῖς ἐγχειρίσαι. πλὴν ἐπεκράτησεν ἡ γνώμη τῶν μέχρι τελευτῆς ὑποθεμένων ἀγωνίσασθαι, καὶ μὴ τοῖς ἐχθροῖς ἑαυτοὺς καταπροδοῦναι. μετὰ * δ' ἐννάτην ἡμέραν ὁ στρατηγὸς ἧκε πολιορκήσων τὰ τριόκαλα. καὶ τὰ μὲν ἀναιρῶν, τὰ δὲ ἀναιρούμενος, ἔλαττον ἔχων ἀπηλλάγη· καὶ οἱ ἀποστάται αὖθις ἐφρονηματίζοντο. ἤνυε δὲ τῶν δεόντων ὁ στρατηγὸς, εἴτε διὰ ῥᾳστώνην, εἴτε διὰ δωροδοκίαν, οὐδέν. ἀνθ' ὧν καὶ δίκην ὕστερον κριθεὶς ῥωμαίοις ἔδωκε. Γάϊος δὲ Σερουΐλιος καταπεμφθεὶς στρατηγὸς διάδοχος Λουκούλλου, οὐδ' αὐτός τι ἄξιον μνήμης ἔπραξε. διὸ καὶ ὁμοίως Λευκούλλῳ ὕστερον φυγῇ κατεδικάσθη. τελευτήσαντος δὲ Τρύφωνος, διάδοχος τῆς ἀρχῆς ὁ Ἀθηνίων καθίσταται. καὶ τοῦτο μὲν * πόλεις ἐπολιόρκει, τοῦτο δὲ πᾶσαν τὴν χώραν ἀδεῶς κατέτρεχε· καὶ πολλῶν ἐκυρίευσε. τοῦ Σερουϊλίου δὲ μηδὲν ἀντιπράττοντος. τοῦ δ' ἐνιαυσίου χρόνου διελθόντος, ὕπατος ἐν ῥώμῃ Γάϊος Μάριος ᾑρέθη τὸ πέμπτον, καὶ Γάϊος * Ἀκύλλιος. οὗ ὁ Ἀκύλλιος στρατηγὸς κατὰ τῶν ἀποστατῶν σταλεὶς,

(Margin: * πλὴν ἴσως. — * ἐβεβούλευτο. M. M. — * al. αὐτῆς. — * σκιρθαίας. & σκαρθαίας. — * al. ἐπιλέκτων. — * ἄχρηστα M. M. — * δ' ἡμέραν. — * πολίχνας. M. M. — * Ἀκίλλιος. M. M.)

DIODORVS Siculus.

résque illi cum securibus præibant: quæ denique regiam dignitatem efficiunt, & quæ ornant, ea omnia consectantur. Cæterum Imperatorem aduersus defectores Senatus Rom. delegit L. Licinium Lucullum, habentem Rom. quidem & Italorum militum quatuordecim millia, Bithynos autem Thessalos, Acarnanes 800. ex Lucania verò 600. quibus præerat Cleptius Imperator, rei militaris scientia & fortitudine celeberrimus. Alios præterea 600. adeò vt vniuersi numerum septemdecim millium efficerent. Cùm his copiis Siciliam occupat. Tryphon igitur culpam Athenioni condonans, ad deliberationem de bello in Rom. gerendo eum adhibuit. & Triphonis quidem consilium erat, vt Triocalis manentes, inde pugnam committerent: Athenio autem auctor erat, ne se ipsos obsidione intercludi paterentur, sed potius in aperto campo dimicarent. Cùm igitur potior visa esset hæc sententia, iuxta Scirthæam castrametati sunt, quadraginta millia non pauciores. Aberant verò ab iis Romanorum castra passibus 1250. Primò igitur velitares pugnæ subinde committebantur: sed cùm tandem vtrinque aciem instruxissent, diúque ancipiti Marte pugnatum esset, ac multi ab vtraque parte cecidissent, Athenio stipatus 200. selectis equitibus, strage omnia circumquaque impleuit: verùm genu vtroque vulneratus, postea & tertio vulnere in alia corporis parte accepto, pugnæ vtilis esse desiit. Quamobrem fugitiui animum despondentes, fugæ se dederunt. Athenio autem cùm mortuus crederetur latitauit, & simulata aliquantisper morte, cùm primum nox aduenit, fuga sibi salutem peperit. Præclaram verò adepti sunt Romani victoriam, Triphonis comitibus & illo ipso in fugam conuersis, multisque in fuga cæsis, tandem viginti millia cæsorum compererunt esse. At reliqui commoditate noctis vsi, ad Triocala confugerant, quamquam & hos interficere facile erat Imperatori, si persequutus eos fuisset. Adeò autem abiecerant animos serui, vt etiam de redeundo ad dominos, seque eorum potestati committendo, deliberatio ab iis proposita fuerit. Eorum tamen vicit sententia, qui auctores erant vt ad extremum vsque spritum dimicarent, nec ipsi seipsos prodentes in manus hostium se traderent. Sexto post die imperator ad obsidenda Triocala venit, qui cùm hostes cæderet, vicissimque ab illis cæderetur, tandem inferior discessit. Qua ex re multum fiduciæ ac spiritus defectoribus rediit. Nec verò ipse imperator vlla in parte (siue præ desidia, siue quod muneribus corruptus esset) officio suo satisfaciebat. Vnde etiam postea in iudicium à Rom. vocatus, multatúsque fuit. At C. Seruilius missus Imperatori Lucullo successor, ipse quoque nihil quidquam memorabile gessit: quare eodem quo Lucullus modo multatus exilio fuit, Dum hæc geruntur, moritur rex Trypho. Regno succedit Athenio. hic vrbes obsidendo, totámque regionem incursionibus pro libidine infestando, præda ingenti, non obsidente Seruilio potitus est. Porrò exacto annuo spacio Romæ quintum consul cū C. * Acilio creatus fuit C. Marius. Missus autem Acilius aduersus defectores Imperator,

(Margin: * al. Aquilius.)

DIODORVS Siculus.

ita se fortiter gessit, vt defectores illustri prælio superauerit. Quin etiam cum ipsorum rege Athenione conserta manu heroicum prælium commisit: tandémque eum interfecit, accepto solo vulnere in capite, ex quo sanatus aliquanto post fuit. Móxq; defectorum reliquias bello persecutus decem millia hominum. Verùm hi cùm impetum eius non sustinuissent, sed ad loca munita confugissent, non tamen Acylius omnia tentare prius desiit, quàm eos expugnatos in potestatem redegit. Quum autem superessent adhuc mille, quorum dux erat Satyrus, primum quidem conatus est armis eos subigere, postea verò cum legatis missis se dedissent, in præsens quidem pœnam remisit, sed Romam abductos cum bestiis commisit, vbi proditum est à quibusdam, eos maxima cum laude vitam finiuisse. Nam certamen cũ bestiis detrectasse, & ad publicas aras mutuis vulneribus occubuisse, cúmq; vltimum ex iis ipse Satyrus interfecisset, eum post reliquos omnes, cum magno ac planè heroico animi robore, sibi manus intulisse. Bellum igitur seruile in Sicilia, cùm annos durasset propemodum quatuor, hunc ferè tragicum exitum habuit.

Gladiatores.

Venit, inquit, è Pessinunte Phrygiæ sacerdos quidam magnæ Deorum matris nomine Battacis, qui se iussu Deæ asserens adesse, in Senatu coram magistratibus dixit: Sacra Deæ polluta esse, atque ideò Romæ publicè expiari debere. ferebat ad id vestem, aliáq; corporis ornamenta noua & nunquam Romanis visa, coronámque auream magnitudine inusitata, & stolã floribus intextis & inauratam, regio sanè splendore. Itaque è rostris ad populum verba faciẽs, ad superstitiosum cultum eos incitauit, & hospitiis publicis & diuersoriis exceptus, à tribuno plebis A. Pompeio coronam ferre prohibitus est. Ab altero autem tribuno deductus in rostra, & de templi expiatione interrogatus, superstitiosum sanè responsum reddidit. Itaque à Pompeio seditiosè tractatus, & cum iniuria ad hospitium deductus, non amplius prodiit, non se modò, verùm etiam Deam iniuriosè habitam esse dicens. Pompeius verò ex tempore febri vehementi corripi cœpit, vnde paulò post mutus factus est, anginæque doloribus supra modum vexatus, post diem tertium exspirauit, multique eò quod sacerdotem, ipsámque Deam offendisset, diuina quadam prouidentia exstinctum suspicabantur. Superstitionibus enim mirum in modum dediti Romani sunt. Quare Battaces sacræ stolæ indutus ornamento, amplioribus à viris multis & fœminis hospitiis exceptus, Romáq; discedens cum pompa dimissus est.

Solent Romani milites ducem, quando aduersus hostes cum illis pugna contendens, supra sex mille hostium profligasset, Imperatorẽ hoc est regem renunciare.

Vide P. Valerianum indice lib. vlt. de militia Romanorum.

Ex libro XXXVII. & VIII. & aliis sequentibus.

Marsicum bellum.

AIT Diodorus bellum quod dicitur Marsicum, sua ætate cæteris antecedentibus

διὰ τῆς ἰδίας ἀνδρείας ἐπιφανεῖ μάχῃ τοὺς ἀποστάτας ἐνίκησε. καὶ πρὸς αὐτὸν δὲ τὸν βασιλέα τῶν ἀποστατῶν Ἀθηνίωνα συμβαλὼν, ἡρωϊκὸν ἀγῶνα συνεστήσατο. καὶ τοῦτον μὲν ἀνεῖλεν, αὐτὸς δ' εἰς τὴν κεφαλὴν τρωθεὶς ἐθεραπεύθη. καὶ στρατεύσας ἐπὶ τοὺς ὑπολειπομένους τῶν ἀποστατῶν, ὄντας μυρίους. οὐχ ὑπομεινάντων δὲ τὴν ἔφοδον, ἀλλ' εἰς τὰ ὀχυρώματα καταφυγόντων· ὅμως Ἀκύλλιος οὐκ ἐνεδίδου πάντα πράττων, ἕως αὐτοὺς * ἐκπολεμήσας ἐχειρώσατο. ἔτι δ' ὑπολειπομένων χιλίων, καὶ στρατηγὸν ἐχόντων τὸν Σάτυρον· τὸ μὲν πρῶτον ἐπεβάλλετο διὰ τῶν ὅπλων αὐτοὺς χειρώσασθαι. μετὰ δὲ ταῦτα, διαπρεσβευόντων, καὶ παραδόντων ἑαυτοὺς· τῆς μὲν παραυτίκα τιμωρίας ἀπέλυσεν· ἀπαγαγὼν δὲ εἰς τὴν ῥώμην, θηριομάχας αὐτοὺς ἐποίησε. τοὺς δέ φασί τινες ἐπιφανεστάτην ποιήσασθαι τοῦ βίου καταστροφήν. τὸ γὰρ πρὸς τὰ θηρία μάχης ἀποστῆναι, ἀλλήλους δὲ ἐπὶ τῶν δημοσίων βωμῶν κατασφάξαι· καὶ τὸν τελευταῖον αὐτὸν τὸν Σάτυρον ἀνελόντα. τοῦτον δ' ἐπὶ πᾶσιν αὐτοχειρίᾳ ἡρωϊκῶς καταστρέψαι. ὁ μὲν οὖν κατὰ σικελίαν τῶν οἰκετῶν πόλεμος, διαμείνας ἔτη σχεδόν που τέτταρα, τραγικὴν ἔσχε τὴν καταστροφήν.

* ἐκπολιορκήσας.

Ὅτι * Βαττάκης τις ὄνομα ἧκε (φησὶν) ἐκ πισινοῦντος τῆς φρυγίας, ἱερεὺς ὑπάρχων τῆς μεγάλης τῶν θεῶν μητρός. οὗτος κατὰ πρόσταγμα τῆς θεοῦ παρεῖναι φήσας, τοῖς ἄρχουσιν ἐνέτυχε καὶ τῇ συγκλήτῳ, λέγων· τὸ ἱερὸν τῆς θεοῦ * μεμιάνθαι, καὶ δεῖν αὐτοὺς δημοσίᾳ καθαρμοὺς ἐπὶ τῆς ῥώμης συντελεσθῆναι. ἐφόρει δὲ ἐσθῆτα, καὶ τὸν περὶ τὸ σῶμα ἄλλην κατασκευὴν, ἐξηλλαγμένην, καὶ ὑπὸ τῶν ῥωμαίων ἐθῶν οὐκ ἐπικεχωρημένην. χρυσοῦν τε γὰρ στέφανον εἶχεν ὑπερμεγέθη, καὶ στολὴν ἀνθινὴν διάχρυσον, βασιλικὴν ἀξίαν ἐπιφαίνουσαν. ποιησάμενος δὲ λόγους ἐπὶ τῶν ἐμβόλων ἐν τῷ δήμῳ, καὶ τὸ πλῆθος εἰς δεισιδαιμονίαν ἐμβαλὼν· καταλύματος μὲν δημοσίου καὶ ξενίων ἠξιώθη· τὸν δὲ στέφανον ἐκωλύθη φορεῖν, ὑφ' ἑνὸς τῶν δημάρχων Αὔλου Πομπηΐου. διάτινος δ' ἑτέρου δημάρχου προαχθεὶς ἐπὶ τὰ ἔμβολα, καὶ περὶ τῆς εἰς τὸ ἱερὸν ἁγνείας ἐπερωτώμενος, ἀποκρίσεις ἐποιεῖτο δεισιδαιμονίαν περιεχούσας. καταστασιασθεὶς δὲ ὑπὸ Πομπηΐου, καὶ μεθ' ὕβρεως ἀπαλλαγεὶς ἐπὶ τὴν κατάλυσιν· οὐκ ἔτι προεπορεύετο, λέγων· μὴ μόνον ἑαυτὸν ἀσεβῶς προπεπηλακίσθαι, ἀλλὰ καὶ τὴν θεόν. ὁ δὲ Πομπήϊος παραχρῆμα μὲν λαύρῳ πυρετῷ συνεσχέθη. μετὰ δὲ ταῦτα ἄφωνος γενόμενος, καὶ καταληφθεὶς κυνάγχῃ καὶ πάθει, τριταῖος κατέστρεψε τὸν βίον, παρὰ τοῖς πολλοῖς ὑποληφθεὶς θείᾳ τινὶ προνοίᾳ, ἀνθ' ὧν εἰς τὸν ἱερέα καὶ τὴν θεὸν ἐπλημμέλησεν, τοῦ ζῆν ἐστερῆσθαι. σφόδρα γὰρ ῥωμαῖοι δεισιδαιμονοῦσι. διόπερ ὁ * Βαττάκης λαβὼν τὴν συγχώρησιν τῆς κατὰ τὴν ἱερὰν στολὴν κατασκευῆς, καὶ τιμηθεὶς ἀξιολόγοις ξενίοις ὑπὸ πολλῶν ἀνδρῶν τε καὶ γυναικῶν προεπέμφθη, τὴν ἐκ τῆς ῥώμης ἐπάνοδον ποιούμενος.

* Βαττάκης

* μεμιάνθαι.

* Βαττάκης.

Ὅτι ἔθος ἦν τοῖς ῥωμαίων στρατιώταις, ἡνίκα ὁ στρατηγὸς αὐτῶν σὺν αὐτοῖς μάχῃ πρός τινας τῶν πολεμίων συμπλακεὶς, ὑπὲρ τοὺς ἑξακισχιλίους τῶν ἐχθρῶν ἐφαίνετο ἀνελὼν, ἰμπεράτορα αὐτὸν ἀναγορεύειν καὶ ἀποκαλεῖν, ὅ ἐστι βασιλέα.

Ἐκ τοῦ λζ', καὶ η, καὶ τῶν ἐφεξῆς.

ΟΤι τὸν μαρσικὸν ὀνομασθέντα πόλεμον ἐπὶ τῆς αὐτοῦ ἡλικίας Διόδωρος μείζονα ἁπάντων τῶν

τῶν προγεγονότων ἀποφαίνεται. ὠνομάσθη δέ * φασι Μαρσικὸν ἐκ τῶν ἀρξάντων τῆς ἀποστάσεως· ἐπεὶ σύμπαντές γε ἰταλοὶ κατὰ ῥωμαίων τοῦτον ἐξήνεγκαν τὸν πόλεμον. αἰτίαν δὲ πρώτην γενέσθαι τοῦ πολέμου, τὸ μεταπεσεῖν τοὺς ῥωμαίους ἀπὸ τῆς εὐτάκτου καὶ λιτῆς ἀγωγῆς καὶ ἐγκρατοῦς, δι' ἧς [μὲν] ἐπὶ τοσοῦτον ηὐξήθησαν, εἰς ὀλέθριον ζῆλον τρυφῆς καὶ ἀκολασίας. ἐκ γὰρ τῆς διαφορᾶς ταύτης στασιάσαντος τοῦ δημοτικοῦ πρὸς τὴν σύγκλητον, εἶτα ἐκείνης ἐπικαλεσαμένης τοὺς ἐκ τῆς ἰταλίας ἐπικουρῆσαι, καὶ ὑπισχνουμένης τῆς πολυεράστου ῥωμαϊκῆς πολιτείας μεταδοῦναι, καὶ νόμῳ κυρῶσαι· ἐπεὶ οὐδὲν τῶν ὑπεσχημένων τοῖς ἰταλιώταις ἐγένετο· ὁ ἐξ αὐτῶν πόλεμος πρὸς ῥωμαίους ἐξεκαύθη, ὑπατευόντων ἐν τῇ ῥώμῃ Λουκίου Μαρκίου Φιλίππου, καὶ Σέξτου Ἰουλίου. ὀλυμπιὰς δ' ἤχθη πρὸς ταῖς ἑκατὸν ἑβδομήκοντα. ἐν τούτῳ τῷ πολέμῳ ποικίλα καὶ πολύτροπα πάθη, καὶ πόλεων ἁλώσεις ἑκατέρῳ μέρει τῶν διαπολεμησάντων συνέβη· ταλαντευομένης ὥσπερ ἐπίτηδες παρὰ μέρος τῆς νίκης, καὶ μηδετέροις ἐν βεβαίῳ διαμενούσης, ὅμως ἀπείρου πλήθους ἑκατέρωθεν πεσόντος, ὀψὲ καὶ μόλις ῥωμαίοις ἐξενίκησε βεβαιωθῆναι τὸ κράτος. ἐπολέμουν δὲ ῥωμαίοις Σαμνῖται, Ἀσκολανοί, Λευκανοί, Πικεντινοί, Νωλανοί, καὶ ἕτεραι πόλεις, καὶ ἔθνη· ἐν οἷς ἐπισημοτάτη καὶ μεγίστη καὶ κοινὴ πόλις, ἄρτι συντετελεσμένη τοῖς ἰταλιώταις, τὸ κορφίνιον ἦν. [ἐν ᾗ] τά τε ἄλλα, ὅσα μεγάλην πόλιν καὶ ἀρχὴν κρατύνουσι, * συνεστήσατο, καὶ ἀγορὰν εὐμεγέθη, καὶ βουλευτήριον, καὶ τὰ ἄλλα [τὰ] πρὸς πόλεμον ἀφθόνως ἅπαντα, καὶ χρημάτων πλῆθος, καὶ τροφῆς δαψιλῆ χορηγίαν· συνεστήσατο δὲ καὶ σύγκλητον * κοινὴν πεντακοσίων ἀνδρῶν. ἐξ ὧν οἵ τε τῆς πατρίδος ἄρχειν ἄξιοι προαχθήσεσθαι ἔμελλον· καὶ οἱ προβουλεύεσθαι δυνάμενοι περὶ τῆς κοινῆς σωτηρίας. καὶ τούτοις * ἐπέτρεψαν τὰ κατὰ τὸν πόλεμον διοικεῖν, αὐτοκράτορας ποιήσαντες τοὺς συνέδρους. οὗτοι δὲ ἐνομοθέτησαν δύο μὲν ὑπάτους κατ' ἐνιαυτὸν αἱρεῖσθαι, δώδεκα δὲ στρατηγούς. καὶ κατεστάθησαν ὕπατοι μὲν Κόϊντος Πομπαίδιος Σίλων, μάρσος μὲν τὸ γένος, πρωτεύων δὲ τῶν ὁμοεθνῶν· καὶ δεύτερος ἐκ τοῦ σαμνιτῶν γένους, Γάϊος Ἀπώνιος Μότυλος, καὶ αὐτὸς δόξῃ καὶ πράξεσι τοῦ ἔθνους προέχων. τὴν δὲ ὅλην ἰταλίαν εἰς δύο μέρη διελόντες, ὑπατικὰς ἐπαρχίας ταύτας καὶ μερίδας ἀπέδειξαν. καὶ τῷ μὲν Πομπαιδίῳ προσώρισαν χώραν ἀπὸ τῶν κερκώλων καλουμένων, μέχρι τῆς ἀδριατικῆς θαλάσσης, τὰ πρὸς δυσμὰς καὶ τὴν ἄρκτον νεύοντα μέρη· καὶ στρατηγοὺς ἔταξαν αὐτῷ ς'. τὸ δὲ λοιπὸν τῆς ἰταλίας, τὴν πρὸς ἕω καὶ μεσημβρίαν νεύουσαν, προσώρισαν Γαΐῳ Μοτύλῳ, στρατηγοὺς ὁμοίως συζεύξαντες ς'. οὕτω πάντα δεξιῶς καὶ κατὰ μίμησιν, τὸ σύνολον φάναι, τῆς ῥωμαϊκῆς καὶ ἐκ παλαιοῦ τάξεως τὴν ἑαυτῶν ἀρχὴν διαθέμενοι, κατὰ τὸ σφοδρότερον λοιπὸν εἴχοντο καὶ τοῦ ἐφεξῆς πολέμου, τὴν κοινὴν πόλιν ἰταλίαν * ὀνομάσαντες. καὶ διεπολέμησαν ῥωμαίοις τὰ πλεῖστα, κατά τε ἐπικρατέστερον· ἕως Γναῖος Πομπήϊος, ὕπατος αἱρεθεὶς καὶ στρατηγὸς τοῦ πολέμου, καὶ Σύλλας στρατηγὸς ὑπὸ τῷ ἑτέρῳ ὑπάτῳ Κάτωνι, ἐπιφανεστάταις [ταῖς] μάχαις τοὺς ἰταλιώτας οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις νικήσαντες,

* al. φασί.
* al. συνεστήσατο.
* al. ἐκ μὲν.
* ἐπέτρεψαντο
* al. ὀνομάσαντες.

DIODORVS Siculus.

maius esse. & ideò ab auctoribus rebellionis Marsicum denominatum esse. Siquidem Itali omnes Romanis bellum hoc intulerunt. Belli causa prima fuit, quia Romani compositis sobriisque & continentibus moribus, per quos tantopere creuerant, ad perniciosum deliciarum & intemperantiæ studium desciuerunt. Nam ob hanc corruptelam orta plebis aduersus Senatum seditione, cùm deinde Senatus Italorum opem implorasset, & eis optatum illud Romanæ ciuitatis ius pollicitus fuisset, idque se lege sanciturum promisisset, cùm promissorum nihil Italis præstaretur, exarsit ex illis bellum aduersus Romanos, Romæ consulatum gerentibus L. Marcio Philippo, & Sex. Iulio, Olympiade supra centesimam septuagesima secunda. In hoc bello diuersi variique casus & vrbium expugnationes vtrique bellantium parti contigerunt, nutante quasi data opera in vtramque partem victoria, & neutris stabili permanente. tamen postquam vtrinque cecidit immensa hominum multitudo, serò & ægrè Romani victoriam adepti, firmas vires obtinuerunt. Oppugnabant autem Romanos Samnites, Asculani, Lucani, Picentini, Nolani, & aliæ vrbes atque gentes, in quibus erat illustrissima & maxima, & communis vrbs nuper ab Italis perfecta Corfinium, in qua cùm cætera quæ magnam vrbem & imperium confirmant, constituerunt, tum forum permagnum, & curiam, & cætera omnia ad bellum necessaria copiosè, & pecuniæ multitudinem, & cibariorum largum commeatum. Constituerunt & Senatum nouum quingentorum virorum, ex quibus qui patriæ imperio digni essent, producerentur, & qui de communi salute consultare possent, iisque belli curam mandarunt, summa potestate consessoribus permissa. Hi leges tulerunt, vt duo consules quotannis crearentur, & XII duces. Consules creati sunt Q. * Pompædius Silo, natione Marsus, & suæ gentis primarius. Alter ex Samnitum genere C. Aponius Motulus, ipse quoque gloria rebúsque gestis suæ gentis clarissimus. Et tota Italia in partes duas diuisa, eas consulares præfecturas atque partes constituerunt. Et Pompædio quidem regionem assignarunt ab eo loco qui Cercola appellatur, vsque ad Adriaticum mare, eos tractus qui ad Occasum & Septentriones vergunt, & duces ei sex attribuerunt. Reliquum Italiæ, videlicet eam partem, quæ spectat ad Orientem & Meridiem, assignarunt C. Motulo, adiunctis ei itidem sex ducibus. Itaq; postquam suum imperium, & omnia scitè, & (vt summatim dicam) ad imitationem Romani & antiqui ordinis composuerunt, deinceps vehementius futuro bello incumbebant, cùm quidem Italiam communem vrbem nuncupassét, & ita bellum gessere cum Romanis, vt maxima ex parte fuerint superiores, donec Cn. Pompeius consul & belli dux electus, & Sulla dux sub altero consule Catone, nobilissimis præliis Italos non semel, sed sæpius vincendo,

Corfinium.

* Vide an Pompædius.

DIODORVS Siculus.

illorum res eo redegerunt, vt profligatæ fuerint. Igitur non amplius bellarunt, sed C. Coscinio in Iapygiam duce misso, sæpe victi sunt, atque ita superati, & ex multis pauci relicti, communi sententia nouam deserunt vrbem Corfinium, quoniam Marsi & omnes finitimæ gentes desciuerant ad Romanos. Consederunt autem in Æsernia Samnitum, creatis sibi quinque ducibus, quorum vni maximè. Q. Popædio Siloni omnium imperium crediderunt, propter eius imperandi virtutem atque gloriam. Is de communi ducum sententia magnum exercitum comparauit, adeò vt in vniuersum, cum iis qui iam erant, fuerit circiter triginta millia. Præter hos congregauit etiam seruos, à se libertate donatos, & vt tempus ferebat armatos, non multò pauciores decem millibus, & equites mille. Ac prœlio cum Romanis congressus, quorum dux erat Mamercus, Romanos paucos interficit, & suorum supra sex millia amittit. Per idem tempus Metellus in Apulia Venusiam, vrbem satis magnam, & milites multos habentem, expugnauit, & plusquam tria millia captiuorum cepit. Iamque superantibus indies magis magisque Romanis, mittunt Itali ad Mithridatem regem Ponti, pollentem tunc bellica manu atque apparatu, petentes vt in Italiam aduersus Romanos adduceret copias, ita enim facilè coniunctis copiis posse Romanorum vires deturbari. Mithridates responsum dat, ducturum se copias in Italiam, postquam Asiam subegerit, id enim agebat. Hanc ob rem prorsus reiecti rebellatores despondebant animos. Erant enim reliqui Samnitum pauci, & Sabelli Nolæ degentes, & præter hos Lamponius & Cleptius, habentes Lucanorum reliquias. Itaque Marsico bello iam ferè exolescente, superioris temporis seditiones ciuiles Romæ nouos motus faciebant, multis illustribus viris belli imperium aduersus Mithridatem ambientibus, propter præmiorum magnitudinem. Nam & C. Iulius, & C. Marius, is qui sexies consulatum gesserat, inter se contendebant & plebis pars altera alteri suffragabatur. Extiterunt & aliæ turbæ. Iam Sulla consul Roma profectus, ad congregatas apud Nolam copias venit, & multos finitimorum perterritos coëgit, & seipsos & vrbes dedere. Cùm autem Sulla in Asiam aduersus Mithridatem profectus fuisset, & Roma magnis tumultibus, & ciuilibus cædibus destinaretur, M. Aponius & Tib. Cleptius, præterea Pompeius, reliquorum Italorum duces in * Bretia degentes, Asiæ vrbem validam cum diu obsedissent, non potuerunt capere, sed relicta in obsidione parte exercitus, reliqua parte Rhegium acriter obsidentes, sperantes, si hac potiti fuerint, facilè in Siciliam transportaturos copias, & insula potituros omnium quæ sub sole essent: beatissima. Verùm eius dux C. Orbanus magno exercitu & apparatu & alacritate vsus,

Mithridates.

* Brutia.

Sicilia laus.

τὰ πράγματα αὐτῶν εἰς τὸ * συντριβῆναι περιέστησαν· ἐπολέμησαν δ' οὖν οὐκέτι· ἀλλὰ * Γαΐου Κοσκινίου σταλέντος εἰς ἰαπυγίαν στρατηγοῦ, πολλάκις ἡττήθησαν. εἶτα ἐλαττωθέντες, εἰ καὶ ἐκ πολλῶν ὀλίγοι καταλειφθέντες, κοινῇ γνώμῃ τὴν καινὴν ἐκλείπουσιν πόλιν τὸ κορφίνιον· διὰ τὸ τοὺς μάρσους καὶ πάντα τὰ γειτνιῶντα τῶν ἐθνῶν προσκεχωρηκέναι τοῖς ῥωμαίοις. εἰς δὲ τὴν ἐν σαυνίταις αἰσερνίαν καθίδρυσαν, πέντε στρατηγοὺς αὐτοῖς ἐπιστήσαντες. ὧν ἑνὶ [μάλιστα] Κοΐντῳ Πομπαιδίῳ Σίλωνι τὴν πάντων ἡγεμονίαν ἐπέδωσαν, διὰ τὴν περὶ αὐτὸν ἐν τῷ στρατηγεῖν ἀρετήν τε καὶ δόξαν. οὗτος δὲ μετὰ τῆς κοινῆς τῶν στρατηγῶν γνώμης κατεσκεύασε μεγάλην δύναμιν, ὡς τοὺς σύμπαντας μετὰ τῶν ὑπαρχόντων περὶ τρισμυρίους γενέσθαι. χωρὶς δὲ τούτων τοὺς δούλους ἐλευθερώσας, καὶ (ὡς ὁ καιρὸς ἐδίδου) καθοπλίσας, συνῆγεν οὐ πολὺ λείποντας τῶν δισμυρίων, ἱππεῖς δὲ χιλίους. συμβαλὼν δὲ ῥωμαίοις, Μαμέρκου στρατηγοῦντος αὐτῶν, ῥωμαίους μὲν ἀναιρεῖ ὀλίγους· τῶν δ' οἰκείων ὑπὲρ ἑξακισχιλίους ἀποβάλλει. καὶ Μέτελλος κατὰ τὴν ἀπουλίαν τὴν * οὐενουσίαν πόλιν ἀξιόλογον οὖσαν, καὶ στρατιώτας πολλοὺς ἔχουσαν, ἐξεπολιόρκησε. καὶ κατὰ τὸν αὐτὸν καιρὸν καὶ πλείους τῶν τρισχιλίων αἰχμαλώτους εἷλον. ἐπικρατούντων δ' ἐπὶ μᾶλλον καὶ μᾶλλον τῶν ῥωμαίων: πέμπουσιν οἱ ἰταλοὶ πρὸς Μιθριδάτην τὸν βασιλέα πόντου, ἀκμάζοντα τότε πολεμικῇ χειρὶ καὶ παρασκευῇ, ἀξιοῦντες ἐπὶ τὴν ἰταλίαν κατὰ ῥωμαίων ἄγειν τὰς δυνάμεις· οὕτω γὰρ * ῥᾳδίως ἂν συναφθέντων, τὸ ῥωμαϊκὸν καταβληθήσεσθαι κράτος. ὁ δὲ Μιθριδάτης ἀπόκρισιν δίδωσιν, ἄξειν τὰς δυνάμεις εἰς [τὴν] ἰταλίαν, * ἐπειδὰν αὐτὸς καταστήσῃ τὴν ἀσίαν· τοῦτο γὰρ καὶ ἔπραττε. διὸ παντελῶς οἱ ἀποστάται τεταπεινωμένοι ἀπεγίνωσκον. λοιποὶ γὰρ ὑπῆρχον σαυνιτῶν ὀλίγοι. καὶ Σάβελλοι διατρίβοντες ἐν τῇ Νώλᾳ καὶ πρὸς γε τούτοις οἱ περὶ Λαμπώνιον καὶ Κλεπίτιον, ἔχοντες λείψανα τῶν λευκανῶν. διὸ τοῦ μαρσικοῦ πολέμου σχεδὸν ἤδη διαλυομένου, πάλιν αἱ προγεγενημέναι στάσεις ἐμφύλιοι κατὰ τὴν ῥώμην κινήσεις ἐλάμβανον· ἀντιποιουμένων πολλῶν ἐνδόξων τὸ τυχεῖν τῆς κατὰ Μιθριδάτου στρατηγίας, διὰ τὸ μέγεθος τῶν ἐπάθλων· Γάϊός τε γὰρ Ἰούλιος καὶ Γάϊος Μάριος, ὁ ἑξάκις ὑπατεύσας, ἀντεφιλονείκουν· καὶ τὸ πλῆθος ἦν ἑκατέροις συμμεριζόμενον ταῖς γνώμαις. συνέβησαν δὲ καὶ ἕτεραι ταραχαί. ὁ μὲν οὖν Σύλλας ὕπατος ὢν, χωρισθεὶς τῆς ῥώμης, πρὸς τὰς περὶ Νῶλαν ἠθροισμένας παρεγένετο δυνάμεις· καὶ πολλοὺς τῶν πλησιοχώρων καταπληξάμενος, ἠνάγκασε παραδοῦναι σφᾶς αὐτοὺς καὶ τὰς πόλεις. τοῦ δὲ Σύλλα στρατεύσαντος μὲν * ἐπὶ τὴν ἀσίαν κατὰ Μιθριδάτου, τῆς δὲ ῥώμης μεγάλαις ταραχαῖς καὶ φόνοις ἐμφυλίοις περισπωμένης: Μάρκος Ἀπώνιος καὶ Τιβέριος Κλεπίτιος, ἔτι δὲ Πομπήϊος, οἱ τῶν ὑπολοίπων στρατηγοὶ ἰταλιωτῶν, διατρίβοντες ἐν τῇ * βρεττίᾳ, ἀσίας μὲν πόλιν ὀχυρὰν ἐπὶ πολὺν χρόνον πολιορκήσαντες, τῇ λοιπῇ τὸ ῥήγιον ἰσχυρῶς ἐπολιόρκουν· ἐλπίζοντες, εἰ ταύτης * κρατήσαιεν, ῥᾳδίως εἰς τὴν σικελίαν διαβιβάσειν τὰς δυνάμεις, καὶ κρατήσειν τῆς εὐδαιμονεστάτης τῶν ὑπὸ τὸν ἥλιον νήσων. ἀλλ' ὁ ταύτης στρατηγὸς Γάϊος Ορβανὸς, πολλῇ δυνάμει καὶ παρασκευῇ καὶ προθυμίᾳ χρησάμενος,

* al. τηλικῶς
* Γαΐου.
* οὐενουσίαν.
* al. ῥᾳδίων.
* al. ἐπειδὰν αὐτός.
* al. εἰς.
* Βρεττία.
* al. κρατοῖεν.

e

καὶ καταπληξάμενος τοὺς Ἰταλιώτας τῷ μεγέθει τῆς παρασκευῆς, ἐξήρπασε τοὺς * Ῥηγίους. εἶτα τῆς περὶ Σύλλαν καὶ Μάριον ἐμφυλίου στάσεως ἀναρριπισθείσης Ῥωμαίοις· οἱ μὲν Σύλλᾳ, οἱ δὲ Μαρίῳ συνεμάχησαν. καὶ τὸ μὲν πλέον αὐτῶν ἔπεσε τοῖς πολέμοις· τὸ δ' ὑπόλοιπον ἐπικρατήσαντι Σύλλᾳ * προσεχώρησε. καὶ οὕτω τέλεον τῇ ἐμφυλίῳ συνεσβέσθη στάσει μέγιστος γεγονὼς, καὶ ὁ Μαρσικὸς ἐπικληθεὶς, πόλεμος.

* ἀνεφοίτησαν.

* al. προσεχώρησεν.

Ὅτι μεγάλη στάσις ἐμφύλιος ἤδη διαλυομένου τοῦ Μαρσικοῦ γέγονε πολέμου, ἧς ἡγοῦντο Σύλλας καὶ Γάϊος Μάριος, νέος ὢν, ὁ Μαρίου τοῦ πολλάκις ὑπατευκότος (ἑπτάκις γὰρ ὑπάτευσε) παῖς. ἐν δὲ τῇ στάσει πολλαὶ μυριάδες ἀνθρώπων ἀνῃρέθησαν. ἐκράτησε δ' ὁ Σύλλας· καὶ δικτάτωρ γεγονὼς, ἐπαφρόδιτόν τε ὀνομάσας ἑαυτὸν, οὐκ ἐψεύσθη τῆς ἀλαζονείας· κρατῶν γὰρ τοῖς πολέμοις, ἰδίῳ ἀπεβίω θανάτῳ. ὁ δὲ Μάριος μάχῃ τῇ πρὸς Σύλλαν γενναίως ἀγωνισάμενος, ὅμως ἡττηθεὶς κατέφυγεν εἰς Πραίνεστον, ἅμα μυρίοις πεντακισχιλίοις συγκλεισθεὶς δ' ἐν αὐτῇ, καὶ χρόνον οὐκ ὀλίγον πολιορκηθεὶς· ἠναγκάσθη, πάντων αὐτὸν ἐγκαταλιπόντων, καὶ μηδεμίας σωτηρίας ὁδὸν καθορῶν, τὴν ἑνὸς οἰκέτου τῶν πιστῶν χεῖρα εἰς λύσιν τῶν δεινῶν παρακαλέσαι. καὶ ὁ γε πεισθεὶς, καὶ μιᾷ πληγῇ τοῦ βίου τὸν δεσπότην ἀπαλλάξας, ἑαυτὸν ἐπικατέσφαξε. καὶ παύεται μὲν αὕτη ἡ στάσις. λείψανα μέντοι τοῦ πολέμου ὑπολειφθέντα τῆς Μαρίου μοίρας ἐπὶ χρόνον Σύλλᾳ διεμαχέσαντο, ἕως καὶ αὐτὰ συνδιέφθορε τοῖς ἄλλοις. μετὰ μέντοι τὴν τούτων ἀπαλλαγὴν, Πομπηΐῳ τῷ ἐπικληθέντι Μάγνῳ, διὰ τὰς πράξεις ἃς κατώρθωσε Σύλλᾳ τε πράττων καὶ καθ' ἑαυτὸν Ῥωμαίοις· τούτῳ δὴ καὶ Ἰουλίῳ Καίσαρι ἔρις ἐκκαεῖσα, εἰς ἐμφυλίους σφαγὰς τοὺς Ῥωμαίους πάλιν ἠνάγκασε συστραφῆναι. Πομπηΐου δὲ λαμπρῶς τοῖς ὅλοις ἡττηθέντος, καὶ κατὰ τὴν Ἀλεξάνδρειαν ἀναιρεθέντος· συστέλλεται μὲν ἡ τῶν ὑπάτων ἀρχὴ εἰς μοναρχίαν Καίσαρι τῷ Ἰουλίῳ, παύει δὲ τέλεον καὶ ἡ στάσις. ἐκείνου δὲ ἀνῃρημένου, κατὰ Βρούτου καὶ Κασσίου τῶν ἀνελόντων πόλεμος ἐμφύλιος κινεῖται, * χειμαζομένου Λεπίδου τε καὶ Ἀντωνίου, καὶ Ὀκταβιανοῦ τοῦ Αὐγούστου τὴν ὕπατον ἀρχὴν ἐχόντων. οὐ βραδέως δὲ τοῦ πολέμου κρίσιν τοῖς ὅπλοις λαβόντος, καὶ νικηθέντων καὶ ἀναιρεθέντων τῶν περὶ Κάσσιον καὶ Βροῦτον· μετ' οὐ πολὺ ῥήγνυται εἰς τὸ φανερὸν ἡ ἐνδομυχοῦσα Αὐγούστου καὶ Ἀντωνίου ὑπὲρ τῆς φιλοπρωτίας ἅμιλλα. καὶ πολλῶν συγγενῶν αἱμάτων ἑκατέρωθεν ἐκχυθέντων· τὸ κράτος Αὐγούστῳ βεβαιοῦται, καὶ τῶν ὅλων ἡ ἐξουσία αὐτῷ παραμένει διὰ βίου, τῆς τῶν ὑπάτων λοιπὸν ἀρχῆς τὴν [ἰδίαν] τάξιν καὶ δυναστείαν ἀποβεβληκυίας.

* χωριζομένου.

Ὅτι τὸ τῶν ἰλλουστρίων ἀξίωμα τρίτην ἀπὸ τῆς πατρικίων τάξιν ἐπέχειν οὗτός φησιν.

Ὅτι πρὸ τῆς τοῦ Αὐγούστου μοναρχίας ταῦτα ἐγίνωσκον Ῥωμαῖοι ἀρχικοῦ κράτους ὀνόματα, πατρικίους, οἳ καὶ βουλὴ καὶ σύγκλητος ἐκαλοῦντο· δημάρχους· τοὺς προεστῶτας τοῦ δήμου· ἀγορανόμους· ὑπάτους, τοὺς ἔχοντας * ὑπεύθυνον τὸ κατὰ πάντων κράτος· [δικτάτωρα, ἔχοντα καὶ αὐτὸν, ἀλλ' ἀνυπεύθυνον καὶ μεῖζον τὸ κατὰ πάντων κράτος·] στρατηγοὺς, ὑπάρχους· αὐτοκράτορας στρατηγούς· ἀνθυπάτους καὶ ὅσα τοιαῦτα.

* al. ἐπονείδιστον κατὰ πάντα κράτος στρατηγούς &c.

percutit Italos apparatus magnitudine, atque ita Rhegienses ex periculo eripuit. Deinde cùm exarsisset apud Romanos Sullæ & Marij ciuilis seditio, alij Sullæ, alij Marij partes secuti sunt: & eorum pars maior bellis cecidit: reliqua ad victorem Sullam desciuit, atque ita tandem vnà cum seditione ciuili exstinctum est bellum illud Marsicum appellatum, cùm fuisset maximum.

DIODORUS Siculus.

Extitit autem, exolescente iam bello Marsico, ingens seditio ciuilis, cuius duces erant Sulla & C. Marius, iuuenis adhuc C. Marij filius, eius qui toties (septies enim) consulatum gessit. In ea seditione interfecta sunt hominum multa millia, ac superior factus Sulla, & dictator creatus * Felicem seipsum nominauit, quæ eum arrogantia non fefellit. Armis enim superior propria morte occubuit. Marius verò prælio cum Sulla congressus, quamuis generosè præliatus, tamen victus Præneste confugit, vnà cum mille quingentis militibus, & in ea vrbe conclusus, nec parum diu obsessus, coactus est (ab omnibus derelictus, nec vllam salutis viam videns) vnius fidelis famuli manum finiendis miseriis inuocare. Et ille obsecutus, vno ictu herum vita priuauit, & seipsum insuper ingulauit. Et sedata est quidem seditio: verùm reliquæ belli reliquiæ factionis Marianæ Sullæ aliquandiu repugnarunt, donec ipsæ quoque cum aliis profligatæ sunt. Verumtamen post horum finem, inter Pompeium (cui propter rerum gestarum magnitudinem, quas Romanis partim Sullam iuuando, partim ipse suo Marte gessit, Magno cognomen fuit) inter hunc, inquam, & Iulium Cæsarem accensa discordia ad ciuiles cædes Romanos iterum sese conuertere coëgit. Pompeio deinde egregiè omni ex parte superato, & ad Alexandriam interfecto, imminuta est consulum potestas, & sub vnius Iulij Cæsaris dominatum redacta, tandémque seditio sedata. Illo deinde interfecto, aduersus Brutum & Cassium eius interfectores ciuile bellum motum est, auctoribus Lepido & Antonio, & Octauiano Augusto, Consulatum gerentibus. Quod bellum cùm finem armis non tardè accepisset, & Cassius atque Brutus victi occisique fuissent, non multò post erupit in apertum occulta Antonij & Augusti de primatu contentio, ac post fusum vtrinque multum cognati sanguinis, stabilitæ sunt vires Augusti, & ei summa potestas per omnem vitam permansit, postquam consulare imperium, ordinem, potentiamque suam in posterum amisit.

* ἐπαφρόδιτον.

Marij mors.

Bellum ciuile Pompeianum.

Illustrium ait dignitatem tertium à patriciis ordinem sustinere.

Ante Augusti monarchiam, hæc magistratuum nomina habebant Romani. *Patricios*, qui *Consilium* & *Senatus* vocabantur. Tribunos plebis, qui populo præsunt; Censores, Consules, quorum potestas omnes excedebat, [Dictatorem, qui & potestatem, sed maiorem, quæque rationem reddere non cogeretur, habebat,] duces, tribunos, imperatores militares, proconsules, aliáque similia.

Magistratus Rom. Hac quoniam posterioris sunt ætatis cùm Illustres dicti Diodori esse non videntur.

DIODORUS Siculus. * Fort. Consulu

* Proconsulis quidem insignia hæc sunt, secures duodecim, toga prætexta. Dictatoris quidem secures, & cætera.

σύμβολα μὲν οὖν τῆς τοῦ ἀνθυπάτου ἀρχῆς, πελέκεις δώδεκα, καὶ τήβεννα περιπόρφυρος. τοῦ δὲ δικτάτωρος, πελέκεις μὲν * λείπει.

CCXLV.

E PLUTARCHI PARALLELIS EXCERPTA.

ΤΩΝ ΠΛΟΥΤΑΡΧΟΥ ΠΑΡΑΛΛΗΛΩΝ διάφοροι λόγοι.

LEGIMUS è Plutarchi parallelis diuersos libros, quorum compendiosa descriptio hæc selecta magnam vtilitatem discentibus continet.

ἈΝΕΓΝΩΣΘΗΣΑΝ ἐκ τῶν Πλουτάρχου παραλλήλων, διάφοροι λόγοι. ὧν ἡ ἔκδοσις κατὰ σύνοψιν ἐκλέγεται διάφορον χρηστομάθειαν.

σημ. E Plutar. paralleliis excerpta.

E Dionis vita.

Ἐκ τοῦ βίου Δίωνος.

Timæus.

TIMÆUS Philisti in tyrannos studium atque fidem, occasionem sanè reprehendendi non iniustam arripiens, ad satietatem vsq; conuiciis hominem proscindit. Sanè qui tum ab eo viuente iniuria affecti fuissent, ignosci iis poterat, quod iræ impotentis essent. Eos autem qui posteriores tempore historias scripserunt, nihil eius factis læsos, oratione autem etiã adiutos, commune hominum iudicium dehortari debuit, ne contumeliosè aut scurriliter calamitates eis exprobrarentur, quibus quo minus iniuria fortunæ etiam optimus quisque feriatur, nihil obstat. Neq; verò sanus Ephorus, qui Philistum prædicans, quamuis fuerat callidissimus, malos mores & iniusta facta honestis in speciem præscriptionibus tegere, atque excusare crederetur, id tamen omni conatu atque opera crimen diluere non potuit, hominem fuisse eum tyrannorum studiosissimum, & qui maximè omnium luxum, potentiam, diuitias nuptiásque tyrannorum suspiceret atque admiraretur. Tutissimum est neque laudare Philisti facta, neque fortunas exprobrare.

Ephorus.

ἈΛΛΑ Τίμαιος οὐκ ἄδικον λαβὼν ἀφορμὴν, τῆς ὑπὲρ τῆς τυραννίδος τοῦ Φιλίστου σπουδῆς καὶ πίστιν, * ἐμπίμπλαται κατ᾽ αὐτοῦ βλασφημιῶν. ᾧ τοὺς μὲν ἀδικηθέντας συγγνωστόν ἐστιν ἴσως ἄχρι τῆς [εἰς] ἀναισθήτου ὀργῆς χαλεποὺς γενέσθαι· τοὺς δὲ ὕστερον συγγράφοντας τὰ πεπραγμένα· καὶ τῷ μὲν βίῳ μὴ λυπηθέντας αὐτοῦ, τῷ δὲ λόγῳ χρωμένους ἡ δόξα παραιτεῖται μὴ μεθ᾽ ὕβρεως, μηδὲ μετὰ βωμολοχίας ὀνειδίζειν τὰς συμφοράς. ὧν οὐδὲν ἐπέχει καὶ τὸν ἄριστον ἀνδρῶν ἐκ τύχης μεταχεῖν. οὐ μὴν οὐδ᾽ Ἔφορος ὑγιαίνει τὸν Φίλιστον ἐγκωμιάζων· ὃς καίπερ ὢν δεινότατος ἀδίκοις πράγμασι καὶ πονηροῖς ἤθεσιν εὐσχήμονας αἰτίας περιβάλλειν, καὶ λόγους ἔχοντας κόσμον ἐξευρεῖν· αὐτὸς ἑαυτὸν οὐ δύναται πάντα μηχανώμενος ἐξελέσθαι τῆς γραφῆς, ὡς οὐ φιλοτυραννότατος ἀνθρώπων γένοιτο· καὶ μάλιστα πάντων ἀεὶ ζηλώσας καὶ θαυμάσας τρυφὴν καὶ δύναμιν, καὶ πλούτους καὶ γάμους τοὺς τῶν τυράννων. ἀλλὰ γὰρ Φιλίστου μὲν ὁ μήτε τὰς πράξεις ἐπαινῶν, μήτε τὰς τύχας ὀνειδίζων, ἐμμελέστατος.

* ἐμπίπλαται.

Ex Bruto.

Ἐκ τοῦ Βρούτου.

HUIUSMODI in primis Epistolis fuit Brutus. Iam verò aliis ad Cæsarem, aliis ad Antonium discedentibus, & exercitibus velut sub præcone prostantibus, atque ei qui plus dedisset se adiungentibus, desperatis planè rebus Italia excedere statuit, pedestrique itinere per Lucaniam ad mare Eleam venit. Inde Romam * Porcia reuersura, cum conaretur occultare dolorẽ quem animo ob digressum mariti summum capiebat, victa est cõtẽplatione picturæ cuiusdam, generosa aliàs, fortisq; mulier. Erat autem picturæ Græcum argumentum, Andromacha Hectorem comitans, puerum ab eo redditum accipiens, inque maritum respiciens. Hanc picturam intuenti Porciæ, affectuum suorum obiecta effigies lacrymas excussit, interdiúque sæpè eo accedens plorauit.

* Sic emendandum. Male enim hic πολιορκία legitur, pro Πορκία. Porcia Bruti Uxor.

ἘΝ μὲν οὖν ταῖς πρώταις ἐπιστολαῖς, τοιοῦτος ὁ Βροῦτος. ἤδη δὲ τῶν μὲν ὡς Καίσαρα, τῶν δὲ ὡς Ἀντώνιον διϊσταμένων, ἐνίων δὲ τῶν στρατοπέδων ὥσπερ ὑπὸ κήρυκι προστιθεμένων τῷ πλεῖον διδόντι· παντάπασιν ἀπογνοὺς τῶν πραγμάτων, ἔγνω καταλιπεῖν Ἰταλίαν. καὶ πεζῇ διὰ Λουκανίας εἰς Ἐλαίαν ἐπὶ θάλασσαν * ἐπανῆκεν. ὅθεν ἡ πολιορκία μέλλουσα πάλιν εἰς Ῥώμην ἀποτρέπεσθαι, λανθάνειν μὲν ἐπειρᾶτο, περιπαθῶς ἔχουσα· γραφὴ δέ τις αὐτὴν προὔδωκε, τἄλλα γενναίαν οὖσαν. ἦν γὰρ ἐκ τῶν Ἑλληνικῶν διάθεσις Ἕκτωρ ὑπὸ Ἀνδρομάχης προπεμπόμενος, κομιζομένης παρ᾽ αὐτοῦ τὸ παιδίον. ἐκείνῳ δὲ προσβλεπούσης, ταῦτα θεωμένην τὴν Πορκίαν ἡ τοῦ πάθους εἰκὼν ἐξέτηξεν εἰς δάκρυα· καὶ πολλάκις φοιτῶσα τῆς ἡμέρας ἔκλαιεν.

* al. ἧκεν.

Ex Paulo Æmilio.

Ἐκ τοῦ Αἰμυλίου.

IN quo passionum variarum morborumque internorum principatum duxit auaritia. De Perseo Macedonum rege ait Plutarchus.

ἘΝ ᾧ παθῶν τε παντοδαπῶν καὶ νοσημάτων ἐνόντων, * ἐπρωτάγωνίστει ἡ φιλαργυρία. περὶ δὲ τοῦ Περσέως τῶν Μακεδόνων ὁ Πλούταρχος λέγει.

* ἐπρώτευεν.

Ex Demosthenis vita.

Ἐκ τοῦ Δημοσθένους.

OMNIBUS auditis legatis Atheniensium qui ad se venerant Philippus, accuratissimè Demostheni respondit. Honore autẽ & humanitate eum, qua cæteros, non eadẽ est prosecutus, Æschinẽ & Philocratẽ magis amplexus.

ὍΤι τῶν πρέσβεων ἐξ Ἀθηνῶν πρὸς Φίλιππον παραγεγονότων, ἠκούσεν ἁπάντων ὁ Φίλιππος. ἀντεῖπε δὲ μετὰ πλείστης ἐπιμελείας πρὸς τὸν Δημοσθένους λόγον. οὐ μὴν ταῖς ἄλλαις τιμαῖς καὶ φιλοφροσύναις ὅμοιον αὐτὸν τῷ Δημοσθένει παρεῖχεν, ἀλλὰ καὶ προσήγετο τοὺς περὶ Αἰσχίνην καὶ Φιλοκράτην μᾶλλον.

ὅθεν

ὅθεν ἐπαγρυπνούντων ἐκείνων τὸν Φίλιππον, ὡς λέγοι δυνατώτατον, καὶ κάλλιστον ὀφθῆναι, καὶ νὴ Δία συμπιεῖν ἱκανώτατον, ἠναγκάζετο βασκαίνων ἐπισκώπτειν· ὡς τὸ μὲν σοφιστοῦ, τὸ δὲ γυναικός· τὸ δὲ σπογγιᾶς· εἴη δὲ βασιλέως οὐδὲν ἐγκώμιον.

Ὅτι τῆς θυγατρὸς τῷ Δημοσθένους ἀποθανούσης, γνοὺς αὐτὸς κρύφα τὴν τοῦ Φιλίππου τελευτήν, *προῆλθε φαιδρὸς εἰς τὴν βουλήν, ἐπιθαρρύνων τοὺς Ἀθηναίους πρὸς τὰ μέλλοντα· καὶ ὄναρ ἑωρακέναι ἔλεγεν, ἀφ' οὗ τι μέγα προσδοκᾶν Ἀθηναίοις ἀγαθόν. καὶ μετ' οὐ πολὺ παρῆσαν οἱ τὸν Φιλίππου θάνατον ἀπαγγέλλοντες. καὶ *προῆλθεν ὁ Δημοσθένης ἐστεφανωμένος, ἔχων καὶ λαμπρὸν ἱμάτιον, ἑβδόμην ἡμέραν τῆς θυγατρὸς αὐτοῦ τεθνηκυίας· ὡς Αἰσχίνης φησί· λοιδορῶν αὐτὸν ἐπὶ τούτῳ, καὶ κατηγορῶν αὐτοῦ μισοτεκνίαν· αὐτὸς ὢν ἀγεννὴς καὶ μαλακός, εἰ *τὸ ταπεινὸν καὶ τοὺς ὀδυρμοὺς ἡμέρου καὶ φιλοστόργου ψυχῆς ποιεῖται σημεῖα· τὸ δὲ ἀλύπως καὶ πράως ταῦτα φέρειν ἀποδοκιμάζειν. ἐγὼ δέ, ὡς μὲν ἐπὶ θανάτῳ βασιλέως ἡμέρου οὕτω καὶ φιλανθρώπως, ἐν οἷς ηὐτύχησε, χρησαμένου πταίσμασιν αὐτοῖς, στεφανηφορεῖν καλῶς εἶχε, καὶ θύειν· οὐκ ἂν εἴποιμι. πρὸς γὰρ τῷ νεμεσητῷ καὶ ἀγεννές, ζῶντα μὲν τιμᾶν, καὶ ποιεῖσθαι πολίτην. πεσόντος δὲ ὑφ' ἑτέρου, μὴ φέρειν τὴν χαρὰν μετρίως, ἀλλ' ἐπισκιρτᾶν τῷ νεκρῷ. Ὅτι μέν τοι τὰς οἴκοι τύχας, καὶ δάκρυα, καὶ ὀδυρμοὺς *ἀποβαλὼν ταῖς γυναιξὶν ὁ Δημοσθένης, ἃ τῇ πόλει συμφέρειν ᾤετο, ταῦτα ἔπραττεν, ἐπαινῶ, καὶ τίθεμαι πολιτικῆς καὶ ἀνδρώδους ψυχῆς, ἀεὶ πρὸς τὸ κοινὸν *ἐνισταμένον, καὶ τὰ οἰκεῖα πράγματα καὶ πάθη τοῖς δημοσίοις ἐπανέχοντα, τηρεῖν τὸ ἀξίωμα πολὺ μᾶλλον, ἢ τοὺς ὑποκριτὰς τῶν βασιλικῶν καὶ τυραννικῶν προσώπων· οὓς ὁρῶμεν οὔτε κλαίοντας οὔτε γελῶντας ἐν τοῖς θεάτροις, ὡς αὐτοὶ θέλουσιν, ἀλλ' ὡς ὁ ἀγὼν ἀπαιτεῖ πρὸς τὴν ὑπόθεσιν. χωρὶς δὲ τούτων, *ἔδει τὸν ἀτυχήσαντα μὴ περιορᾶν ἀπαρηγόρητον ἐν τῷ πάθει κείμενον, ἀλλὰ καὶ λόγοις χρῆσθαι κουφίζουσι, καὶ πρὸς ἡδίω πράγματα τρέπειν τὴν διάνοιαν· ὥσπερ τοὺς ὀφθαλμιῶντας ἀπὸ τῶν λαμπρῶν καὶ ἀντιτύπων ἐπὶ τὰ μαλακὰ καὶ χλωρὰ χρώματα τὴν ὄψιν ἀπάγειν κελεύοντες. πόθεν ἄν τις *ἐπάγοιτο βελτίω παρηγορίαν, ἢ πατρίδος εὐτυχούσης ἐκ τῶν κοινῶν παθῶν ἐπὶ τὰ οἰκεῖα σύγκρασιν ποριζόμενος, [καὶ] τοῖς βελτίοσιν *ἐμφανιζούσας τὰ χείρω.

Ὅτι Δημοσθένης, φησί, πληγεὶς ὑπὸ τῆς δωροδοκίας Ἁρπάλου, ὥσπερ *δεδεγμένος φρουράν, προσκεχωρήκει αὐτῷ. καὶ ἀθροισθείσης ἐκκλησίας, ᾗ ἔμελλε τὰ περὶ Ἅρπαλον ἐπισκέψασθαι· *ἀντιλέγειν γὰρ τοῖς βουλομένοις σώζειν αὐτὸν καὶ δέχεσθαι, πρὸ τοῦ τὴν χεῖρα τῷ χρυσίῳ ὑποσχεῖν: εὖ καὶ καλῶς ἐρίοις καὶ ταινίαις κατὰ τοῦ τραχήλου κατειλιξάμενος εἰς τὴν ἐκκλησίαν προῆλθε· καὶ κελευόντων ἀνίστασθαι, καὶ λέγειν ἀνένευεν, ὡς ἀποκεκομμένης αὐτοῦ τῆς φωνῆς. οἱ δὲ εὐφυεῖς χλευάζοντες, οὐχ ὑπὸ συνάγχης ἔφραζον, ἀλλ' ἀργυράγχης εἰλῆφθαι νύκτωρ τὸν δημαγωγόν.

* al. προῆλθε.
* al. προῆλθε.
* τὰ κλάειν καὶ τὰς Ald.
* al. ἀποδαλών, ἀποθέμενος Ald.
* ἱστάμενον Ald.
* εἰ δεῖ Ald.
* al. ἐπάγοι, Ald. ἀπαγάγοιτο.
* ἐμφανίζουσαν. Ald.
* παρειλεγμένος Ald.
* ἀντίλεγε.

PLVTARC.

Quamobrem iis Philippum laudantibus, quod & facundissimus esset & formosissimus, & optimus potator, inuidiæ succumbēs ad irridendas eas laudes se contulit. Nullam regiam laudem hîc esse dicens, sed primum rhetori, alterum mulieri, tertium spongiæ cōuenire. Mortua filia Demosthenes, cum de obitu occultè Philippi cognouisset, vt animos Atheniensium bona futurorum spe iniecta præoccuparet, læto vultu in senatum prodiit. somnium se vidisse ferens, quod magnam aliquam populo felicitatem protenderet. Paulo post adfuere, qui Philippum vita excessisse enunciarent. Progressus est etiam in publicum Demosthenes splendidè vestitus ac coronatus, septimo à morte filiæ suæ die, quod Æschines exprobrandi causa refert, inhumanitatem ei erga liberos obiiciens: mollis ipse & degeneris animi, si luctum & eiulatum mansueti animi & suorum amantis signa censuit, sine doloris autem sensu & moliter casus huiusmodi ferre, in vitio posuit. Equidem Atheniensibus decorum fuisse, ob mortem regis, qui tam clementem victis se eis præbuerat coronas ferre, addo etiam sacrificare, nequaquā affirmo: nam præterquam quod inuidiosum hoc est, indignum etiam ingenuis hominibus erat, quem viuentem honoribus affecissent, ac ciuitate donassent, ob eius mortem exultare gaudio, defunctóque insultare. Quod autem domesticam calamitatem deflendam mulieribus reliquit Demosthenes, ipse ea, quæ è repub. esse crederet agenda suscipiens, id laudo, profectúmque à forti animo, ciuilique iudico, cuius officium est semper reipub. intentum esse, eique res casúsque domesticos postponere, semperque dignitatem suam tueri, multo magis quam in scenis histriones faciunt regis aut tyranni personam agentes: quos ipsos videmus non vt ipsis libitum est vel ridere vel plorare, sed vt ratio propositi ad agendum argumenti requirit. Iam si contra officium est, ictum aliquem infortunio negligere, patique vt is omnis expers consolationis mœrore se suo conficiat, sed & leuandus verbis eius dolor est, & abducendus ad rerum lætiorum cogitationem animus, quomodo ex oculis laborantes à continuitu rerum splendidarum, suóque fulgore eos ferientium, deflectere aspectum in virides & molles colores iubemus, quod tandem patriæ lugenti melius consolandi genus adhibeat aliquis, quam si domesticas calamitates cum publicis temperarit, melioribus deteriora obscuret!

Victus munere, inquit, Harpali Demosthenes, perculsúsque perinde ac si præsidium sibi esset impositum, eius partibus se adiunxit. & conuocata multitudine, quæ de Harpali rebus animaduersura, contradixerat enim iis qui seruare cuperent & eum suscipere, antequam auro manum implesset: rectè, & benè collo lana & fasciis accuratè inuoluto in concionem prodiit: iussúsque ad dicendum surgere, vocem sibi intercidisse innuit. vrbaniores autem homines cauillabantur, non angina, sed argentangina nocte correptum oratorem dicentes.

PLVTARCHVS. *Vide an hac non confundat Plutarch. Aliter enim Agellius lib. 11. cap. 9. de Milesiorum legatis, non de Harpalo.*

Postquam in exilium propter accepta ab Harpalo munera pulsus esset Demosthenes, adolescentes qui ad se conueniebant, & consuetudine ipsius vtebantur, à repub. dehortabatur dicens, se, si ab initio duæ propositę fuissent viæ, altera ad suggestum & concionem, altera ad certum exitium ducens, ac si prætenuisset mala quæ in rep. versantibus incumbunt, terrores, inuidias, calumnias, contentiones, vtique eam ingressurum fuisse quã recta ad interitum iisset.

E Cicerone.

SAne actio, inquit, Ciceroni haud leue momentum ad persuadendum contulit: idemque magna vociferatione vtentes oratores irridens, ob imbecillitatem ad clamorem, veluti claudos ad equos confugere dicebat. Conuitiis acerbioribus inimicos vel aduersarios dicteriis insectari videtur oratorium, proximum vero risus captandi causa offendens multorum in se odia concitauit. Et ex hac dicacitate multos parauit inimicos, Clodiúsque cum aliis hanc occasionem nactus conspirauit. Omnium minimum apud Romanos numisma æreum, est quadrans. fertur, inquit, Cæsar cum primis diebus pro Ciceronis salute certasset, tertia die concessisse, vt amicus proscriberetur. fuit autem permutatio ita instituta, vt Cæsar Ciceronem; Lepidus Paulum fratrem, L. Cæsarem auunculum Antonius proscribi permitterent. Adeo ira eis & rabies omnes humanas cogitationes excusserant: imo autem illi demonstrarunt, nullam esse belluam homine, potestate ad exequendum, quod perturbato animo decreuit, armato, ferociorem.

Ex Phocione.

FVit Phocion seuerus & tetricus. Cum exercitus conscribendi causa pro tribunali sedens Aristogitonem sycophantam, qui in concionibus ad bellum excitare populum solitus fuerat, procul cum baculo & crure obligato adire videret, exclamauit: Scribe Aristogitonem etiam claudum & nequam. Ac mirari quidem possit non nemo, quomodo ita seuerus & durus nomen Boni inuenerit. Sed arbitror vt difficile esse, ita tamen fieri posse, vti idem homo (sicut & vinum) dulcis simul, & austerus sit: quemadmodum contra nonnulli cum suaues videantur, acerbissimi sunt vtentibus & plurimum nocent. ferunt sane Hyperidem etiam aliquando ad populum ita locutum: Cogitate, Athenienses, non modo an sim acerbus, sed etiam an nõ offensus talis sim. Equidẽ Phocion inimicitiæ causa nemini ciuium malefecit, ac ne inimicum quidem vllum putauit: quantum res ipsa postulabat, vt aduersariis suorum, quæ ob vtilitatem patriæ iniisset, consiliorum resisteret, asperum se peruicacémque præbuit. Priuatim communem omnibúsque benignum & mitem sese exhibuit, ita vt inimicis quoque infortunium passis auxilium tulerit, & in iudicio periclitantium salutem defenderit. Ipsum Antipatrum Macedonum ducem dixisse perhibent, se de duobus amicis, quos Athenis haberet, Phocione & Demade, alteri vt acciperet persuadere, alterum dando saturare nequiuisse.

Ὅτι μετὰ τὸ φυγαδευθῆναι τὰ ἀφ' Ἁρπάλου διακεχειρημένα, Δημοσθένης τοὺς προσιόντας αὐτῷ καὶ συνδιατρίβοντας νεανίσκους ἀπέτρεπε τῆς πολιτείας, λέγων ὡς εἰ * δυοῖν αὐτῷ προκειμένων ἀπ' ἀρχῆς ὁδῶν, τῆς μὲν ἐπὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν, τῆς δὲ ἄντικρυς εἰς τὸν ὄλεθρον· * ἐτύγχανεν εἰδὼς τὰ κατὰ τὴν πολιτείαν κακὰ, φόβους καὶ φθόνους, καὶ * διαβολὰς, καὶ * ἀγωνίας: ἐπὶ ταύτην ἂν ὁρμῆσαι τὴν εὐθὺ τοῦ θανάτου τείνουσαν.

* al. δυοῖν.
* ἐτύγχανε δὲ φρονῶν. Ald.
* al. διαμάχας.
* ἀγῶνας Ald.

Ἐκ τοῦ Κικέρωνος.

ΟΤι οὐ μικρά (φησιν) ἐκ τοῦ ὑποκρίνεσθαι ῥοπὴ προσῆν εἰς τὸ πείθειν τῷ Κικέρωνι· καὶ τοὺς τῷ μεγάλα βοᾶν χρωμένους ῥήτορας ἐπισκώπτων, ἔλεγεν ἐπὶ τὴν κραυγὴν δι' ἀσθένειαν ὥσπερ τοὺς χωλοὺς ἐφ' ἵππον πηδᾶν. Ὅτι τὸ μὲν πρὸς ἐχθροὺς ἢ πρὸς ἀντιδίκους σκώμμασι χρῆσθαι πικροτέροις, δοκεῖ ῥητορικὸν εἶναι· τὸ δὲ οἷς ἔτυχε προσκρούειν, ἕνεκα τοῦ γελοίου, πολὺ συνήγαγε μῖσος τῷ Κικέρωνι· καὶ ἐκ τούτου πολλοῖς γέγονεν ἀπεχθὴς, καὶ οἱ μετὰ Κλωδίου συνέστησαν ἐπ' αὐτὸν ἀρχὴν τοιαύτην λαβόντες. Ὅτι τὸ λεπτότατον τοῦ χαλκοῦ νόμισμα, κουαδράντην ῥωμαῖοι καλοῦσι. Ὅτι λέγεταί φησι τὰς πρώτας ἡμέρας διαγωνισάμενος ὑπὲρ τοῦ Κικέρωνος ὁ * Καῖσαρ ἐνδοῦναι τῇ τρίτῃ, καὶ προέσθαι τὸν φίλον. τὰ δὲ τῆς ἀντιδόσεως οὕτως εἶχεν. ἔδει Κικέρωνος μὲν ἐκστῆναι Καίσαρα· Παύλου δὲ τἀδελφοῦ, Λέπιδον. Λευκίου δὲ Καίσαρος, Ἀντώνιον, ὃς ἦν θεῖος αὐτῷ πρὸς μητρός· οὕτως ἐξέπεσον ὑπὸ θυμοῦ καὶ λύσσης * ἀνθρωπίνων λογισμῶν. μᾶλλον δὲ ἀπέδειξαν, ὡς οὐδὲν θηρίον ἀνθρώπου ἐστὶν ἀγριώτερον, ἐξουσίαν πάθει προσλαβόντες.

* Καῖσαρ M. M.
* τῶν ἀνθρωπίνων.

Ἐκ τοῦ Φωκίωνος.

ΟΤι (φησιν) ὁ Φωκίων τραχὺς ἦν καὶ κατηφής· διὸ καὶ Ἀριστογείτονος τοῦ συκοφάντου, πολεμικοῦ ὄντος ἐν ταῖς ἐκκλησίαις, καὶ * παροξύνοντος ἐπὶ τὰς πράξεις τὸν δῆμον, ἐν δὲ τῷ καταλόγῳ προσελθόντος ἐπὶ βακτηρίᾳ τὼ σκέλη καταδεδεμένου· πόρρωθεν αὐτὸν ἀπὸ τοῦ βήματος ἰδὼν ὁ Φωκίων, ἀνέκραγε· Γράφε καὶ Ἀριστογείτονα χωλὸν καὶ πονηρόν. ὥστε θαυμάζειν, ὅπως καὶ ὁπόθεν τραχὺς οὕτως ἀνὴρ καὶ σκυθρωπὸς ἐκτήσατο τὴν τοῦ χρηστοῦ προσηγορίαν. ἔστι δὲ (οἶμαι) χαλεπὸν, οὐ μὴν ἀδύνατον, ὥσπερ οἶνον, καὶ ἄνθρωπον, τὸν αὐτὸν ἡδὺν ἅμα καὶ αὐστηρὸν εἶναι· καθάπερ ἕτεροι πάλιν φαινόμενοι γλυκεῖς, ἀηδέστατοι τοῖς χρωμένοις εἰσὶ καὶ βλαβερώτατοι. καίτοι φασὶν Ὑπερείδην ποτὲ εἰπεῖν πρὸς τὸν δῆμον· ἄνδρες Ἀθηναῖοι, μὴ σκοπεῖτε μόνον, εἰ πικρός εἰμι, ἀλλ' εἰ προῖκα εἰμὶ πικρός. Φωκίων τινὶ ἔχθρᾳ μὲν τῶν πολιτῶν κακῶς οὐδένα ἐποίησεν, οὐδὲ ἐνόμιζεν ἐχθρόν: ἀλλ' ὅσον ἔδει * μόνον τοῖς ἐνισταμένοις οἷς ἔπραττεν ὑπὲρ τῆς πατρίδος κατεξαναστῆναι. τραχύς τε ὢν καὶ δυσεκβίαστος καὶ ἀπαραίτητος· εἰς τὸν ἄλλον βίον εὐμενῆ πᾶσι, καὶ κοινὸν, καὶ φιλάνθρωπον, ἑαυτὸν παρεῖχεν· ὥστε καὶ πταίουσι βοηθεῖν, καὶ κινδυνεύουσι συνεξετάζεσθαι τοῖς διαφόροις.

* παροξύνοντος.
* μόνον τῷ ἀντιταττομένῳ. Ald.

Ὅτι Ἀντίπατρον τὸν μακεδονίας στρατηγὸν λέγεται, εἰπεῖν· ὡς * δυοῖν αὐτῷ φίλων Ἀθήνησιν ὄντων Φωκίωνος καὶ Δημάδου: τὸν μὲν, λαβεῖν οὐ πέπεικα. τὸν δὲ, διδοὺς οὐκ ἐμπέπληκα.

* al. δυοῖν illud abest Ald.

Ἐκ τοῦ Κάτωνος.

Ὥς οὖν εἰς τὸ μανθάνειν ἧκεν ὁ Κάτων, νωθρὸς ἦν ἀναλαβεῖν, καὶ βραδύς· ἀναλαβὼν δὲ, κάτοχος καὶ μνημονικός. ὃ δὴ καὶ πέφυκεν ἄλλως· τοὺς μὲν εὐφυεστάτους, ἀναμνηστικοὺς μᾶλλον εἶναι: *μνημονικοὺς δὲ τοὺς μετὰ πόνου καὶ πραγματείας παραδεχομένους. γίνεται γὰρ [οἷον] ἔγκαυμα τῆς ψυχῆς τῶν *παθημάτων ἕκαστον.

*ἐμμονευτικούς. M. M.
*al. μαθημάτων.

Ἐκ τοῦ Ἀλεξάνδρου.

Ὅτι (φησὶ) λευκὸς ἦν ὁ Ἀλέξανδρος. ἡ δὲ λευκότης ἐπεφοινίσσετο αὐτῷ μάλιστά περ τὸ στῆθος καὶ τὸ πρόσωπον. Ὅτι δὲ τοῦ χρωτὸς ἥδιστον ἀπέπνει· καὶ τὸ στόμα κατεῖχεν εὐωδία, καὶ τὴν σάρκα πᾶσαν, ὥστε πληροῦσθαι τοὺς χιτωνίσκους: πολλοὶ γεγράφασιν. αἰτία δὲ ἴσως, ἡ τοῦ σώματος κρᾶσις, πολύθερμος οὖσα καὶ πυρώδης. ἡ γὰρ εὐωδία γίνεται πέψει τῶν ὑγρῶν ὑπὸ θερμότητος, ὡς οἴεται Θεόφραστος. ὅθεν οἱ ξηροὶ καὶ διάπυροι τόποι τῆς οἰκουμένης τὰ πλεῖστα καὶ κάλλιστα τῶν ἀρωμάτων φέρουσιν. ἐξαίρει γὰρ ὁ ἥλιος τὸ ὑγρὸν ὥσπερ ὕλην σηπεδόνος ἐπιπολάζον τοῖς σώμασιν. Ἀλέξανδρον δὲ, ὡς ἔοικεν, ἡ θερμότης [τοῦ σώματος] καὶ ποτικὸν καὶ θυμοειδῆ παρεῖχεν. Ὅτι τὸν *Βουκέφαλον προσαχθέντα ὤνιον ταλάντων δέκα καὶ τριῶν παρὰ Φιλονείκου τοῦ Θεσσαλοῦ· ὁ μὲν Φίλιππος ἀπεπέμπετο* πρὸς τὸν ἀναβάτην οὐ δεχόμενον, οὐδὲ φωνὴν τινὸς τῶν περὶ τὸν Φίλιππον ὑπομένοντα. ὁ δὲ Ἀλέξανδρος μεμψάμενος τὴν ἀποπομπὴν τοῦ ἵππου, ᾐτήσατο παρὰ τοῦ πατρὸς λαβεῖν αὐτόν. καὶ λαβὼν τὸν δοκοῦντα ἵππον ἄγριον εἶναι πρὸς πάντας, οἱ προσῄεσαν αὐτῷ, καὶ ἀκόλαστον· προσδραμὼν τῷ ἵππῳ, καὶ παραλαβὼν τὴν ἡνίαν ὁ Ἀλέξανδρος, ἐπέστρεψε πρὸς τὸν ἥλιον· ὡς ἔοικεν, ἐννοήσας ὅτι τὴν σκιὰν προσπίπτουσαν καὶ σαλευομένην ὁρῶν πρὸ αὐτοῦ διαταράττοιτο. μικρὰ δὲ οὕτω παρακαλπάσας καὶ καταψήσας· ὡς ἑώρα θυμοῦ πληρούμενον ὁμοῦ καὶ πνεύματος, ἀπορρίψας ἡσυχῇ τὴν χλαμύδα, καὶ μετεωρίσας ἑαυτὸν, ἀσφαλῶς περιέβη, καὶ ἤλαυνεν ἀνὰ κράτος τὸν ἵππον. καὶ τοῖς μὲν δέος καὶ ἀγὼν ἐνέπιπτε, μή τι τὸ μειράκιον πάθῃ. τοῖς δὲ κρότος ἦν χαιρόντων, καὶ *τερπνὸν θέαμα· πάντας δὲ ὁμοίως εἶχεν ἔκπληξις. ὡς δὲ κάμψας *ὑπέστρεψεν ὀρθῶς, *σοβαρῶς καὶ γεγηθώς: ἅπαντες μὲν χαίροντες ἀνηλάλαξαν. ὁ δὲ πατὴρ καὶ δακρῦσαι λέγεται πρὸς τὴν χαράν. καταβάντος δὲ αὐτοῦ τὴν κεφαλὴν φιλήσας, ὦ παῖ, φάναι, ζήτει σεαυτῷ βασιλείαν ἴσην· Μακεδονία γάρ σε οὐ χωρεῖ. Ὅτι Ἀλέξανδρος (φησὶ) τοῦ νικᾶν τοὺς πολεμίους τὸ κρατεῖν ἑαυτοῦ βασιλικώτερον ἡγούμενος, οὔτε τινὸς τῶν Δαρείου θυγατέρων, κάλλει διαπρεπεστάτων οὐσῶν, οὐδεμιᾶς ἔθιγεν· οὔτε ἄλλην ἔγνω γυναῖκα πρὸ γάμου, πλὴν *Βαρσίνης. ἀνδρὸς οὔσης κεχηρωμένης. Ὅτι προβάτου (φησὶ) τεκόντος ἄρνα περὶ τὴν κεφαλὴν σχῆμα καὶ χρῶμα ἔχοντα τιάρας, καὶ διδύμους ἑκατέρωθεν αὐτοῦ· βδελυχθεὶς τὸ σημεῖον ἐκαθάρθη μὲν ὑπὸ τῶν Βαβυλωνίων ὁ Ἀλέξανδρος, οὓς ἐξ ἔθους ἐπήγετο πρὸς τὰ τοιαῦτα. διελέχθη δὲ πρὸς τοὺς φίλους, ὡς οὐ δι' αὐτὸν, ἀλλὰ δι' ἐκείνους ταράττοιτο· μὴ τὸ κράτος εἰς ἀγεννῆ καὶ ἄναλκιν [ἄνθρωπον,] ἐκλιπόντος αὐτοῦ, περιστήσῃ τὸ δαιμόνιον. οὐ μὴν ἀλλὰ βέλτιόν τι σημεῖον γενόμενον τὴν ἀθυμίαν διέλυσεν,

*al. Βουκέφαλον.
*f. ὡς. τὸν
*al. τέρπνον.
*ὑπέστρεψε.
*σοβαρός.
*Βαρσίνης.

E catone.

CVm se ad discendum Cato contulisset, tardus fuit ad percipiendum: quæ autem percepisset, ea firmiter memoria retinebat. quomodo videmus qui bono sunt ingenio prediti, cito eos memoriç mandare, qui autem non nisi cum magno labore discũt, eos memoriter quæ apprehenderunt tenere, eo quod singula quæ didicerunt, quasi inuruntur eorum animis.

Ex Alexandro.

ALbum ait Alexandrum fuisse, ruborémq; in pectore prętertim & facie albedini admistum habuisse. Suauissimũ odorem ab ore & vniuersa eius carne exhalasse, ita vt & tunicæ fragrantia repletæ inde sint, vt multi tradiderunt. Causa fortasse fuit calidum & igneum corporis temperamentum. Bonus enim odor, Theophrasto si credimus, existit cum humores à calore coquuntur: itaque siccæ & torridæ orbis terrarum partes plurima & optima gignunt aromata, quod sol humorem, qui in summis corporibus veluti materia putredinis innatat, attollit. Et consentaneum est Alexandrũ ob calorem corporis bibacem iracundúmque fuisse. Cum Bucephalum tredecim talentis venalem, adductum à Philonico Thessalo Philippus dimitteret, quod neque sessorem admitteret, neque vocem vllius eorum qui cum Philippo erant auscultaret, id ægrè ferens Alexander, petiit à patre vt equum acciperet, & accipiens ab omnibus pro effero & indomito iudicatum, fræno correptum aduersus solem obuertit: nimirum animaduertens equum vmbræ, quæ agitata & tremens ei appropinquaret aliâs, cõspectu perturbari: deinde cum paululum palpasset, manúque leuiter ducta demulsisset, vt ira repletum vidit, sensim abiecta chlamyde sese in eum extulit, tutóque consedit, & violenter equum impulit, & aliqui ex iis qui aderant, anxiè tacitéque spectabant, ne quod incommodum adolescenti accideret, aliqui manibus plaudentes iucunde, omnes vero similiter stupescebãt, postquam exultans gaudio saluus retro acto equo rediit, omnium acclamatione sublata, Philippus præ lætitia etiam illacrymasse commemoratur, caputque filij, cum ab equo descendisset, osculatus dixisse: O nate regnum tibi par quære, Macedonia enim te non capit. Alexander, inquit, seipsum vincere quam hostes magis regium existimans esse, nec vllam filiarum Darij alioqui pulcherrimarum, neque vllam aliam ante nuptias attigit mulierem, Barsina excepta, quæ vidua fuit. Cum autem ouis agnum peperisset, qui in capite figuram & colorem tiaræ, & ex vtraque eius parte testiculos haberet, abominatus id prodigium, à Babyloniis, quos eius rei causa ex more quodam secum ducebat, expiatus, ad amicos etiam dixit, se non sui, verum ipsorum causa perturbatum esse, ne ipso defuncto summam rerum ad ignobilem & imbellem aliquem hominem fatum deuolueret. Sed hunc eius mœrorem aliud lætius ostentum sustulit.

PLVTARC. Etenim Proxenus stratoribus regiis præfectus, cum tẽtorio regis locum foderet iuxta Oxum fluuium, fontem liquoris pinguis aperuit, cuius cum summum esset haustum, purum deinde & perlucidum oleum scaturiit, neque odore quidquam, neque gustu ab oleo, neque nitore etiam & pinguedine differens, & vero nullæ sunt in ista regione oleæ: Oxum autem mollissimam habet aquam, adeo vt lauãtibus cutim pinguedine quadam inungat. Mirifice eo prodigio Alexãder delectatus est. Fuit & Philippo filius Aridæus, ex ignobili scorto Philina prognatus, mentis non plane compos, quod corporis morbo ei eueniebat. Verum is morbus non naturæ vitio, quin imo in puero eo satis bona atque ingenua indoles apparuisse dicitur, sed postmodũ venenis ab Olympiade corruptus, sanæ mentis iacturam fecisse.

Ex Cæsaris vita.

Ferunt proximo, quam Ariminum peruenisset (vrbs ea est magna in Celtica, quam subito impetu inuadens occupauit) nocte obscœnum Cæsari insomnium visum, nempe se cum matre sua corpus miscere.

Ex Eumenis vita.

ENimuero secundæ res etiam ingenio modico & submisso prœditos attollunt, vt magni sibi videantur, cristásque erigant, cum excelso loco collocatos se vident: vera animi magnitudo & constantia, rebus aduersis ferendis emendandisque casibus elucescit: Cuius rei exemplum Eumenes præbuit. Magis enim illius nobilitas animæ apparuit & patuit, & alacritas ingenij omnibus calamitatibus longe superioris. Ea propter sentiens eos sese mutuo contemnere, ipsum metuere, & in hoc esse, vt capta occasione occidant: pecunia sibi opus esse simulauit, eoque sub prætextu, ab iis quibus maxime odio erat, multa talenta mutuo accepit, vt ij fidem ipsi haberẽt, & metu admittendi crediti ab insidiis desisterent. Ita euenit, vt alienam ille pecuniam corporis sui custodem habuerit, & aliis salutem suam data pecunia redimentibus, solus ipse accipiendo tutum se præstitit. Philopolemus, [id est, militiæ amans] est, qui vtilitatem securitati præfert; Polemicus [id est militaris] bello possidens securitatem.

E Sertorij vita.

AGenti Sertorio in Hispania nautæ quidá ei occurrũt, qui nuper ex Athlanticis insulis redierant. Duæ sũnt insulæ stricto admodum freto distinctæ, decem stadiorũ millibus ab Africa remotæ: eædémq; insulæ Beatorum Fortunatæ dicuntur. Imbribus modicis idque raro rigantur, plerumq; lenibus ac roscidis vẽtis perflatæ, non arationibus modo & plãtationi fertilem terram præbent, sed & vltro fruges effundũt, quæ sua & copia & dulcedine sufficiãt ad alendum ociosum, & nullis negotiis decitũ populum. Aër innoxius est, annique tempestates mediocri mutatione iis in insulis variãtur.

ὅτι περ ἐπὶ τῶν στρωμάτων τεταγμένος ὄνομα Πρόξενος, χώραν ὀρύττων τῇ βασιλικῇ σκηνῇ παρὰ τὸν Ὦξον ποταμὸν, ἀπεκάλυψε πηγὴν ὑγροῦ λιπαροῦ καὶ πιμελώδους. ἀπαντλουμένου δὲ τοῦ πρώτου, καθαρὸν ἀνέβλυζεν ἤδη καὶ διαυγὲς ἔλαιον, οὔτε ὀσμῇ δοκοῦν οὔτε ἐλαίου γεύσει διαφέρειν, στιλβότητι δὲ καὶ λιπαρότητι παντάπασιν ἀπαράλλακτον, καὶ ταῦτα τῆς χώρας μηδὲ ἐλαίας φερούσης. λέγεται μὲν οὖν καὶ τὸν Ὦξον αὐτὸν μαλακώτατον ὕδωρ, ὥστε τὸ δέρμα τοὺς λουομένους ἐπιλιπαίνειν. οὐ μὴν ἀλλὰ [καὶ] θαυμαστῶς Ἀλέξανδρος τῷ σημείῳ ἥσθη. Ὅτι Ἀρριδαῖος μὲν γέγονε τῷ Φιλίππῳ ἐξ ἀδόξου γυναικὸς καὶ κοινῆς, Φιλίνης· ἀπελὴς δὲ * τοῦ φρονεῖν διὰ σώματος ἐγεγόνει νόσον οὐ μὴν φύσει, ἀλλὰ καὶ πάνυ φασὶν αὐτοῦ παιδὸς ὄντος διαφαίνεσθαι χαρίεν ἦθος, καὶ οὐκ ἀγεννές. εἶτα μέν τοι φαρμάκοις ὑπὸ Ὀλυμπιάδος κακωθέντα, διαφθαρῆναι τὴν διάνοιαν.

* al. τὸ

Ἐκ τοῦ Καίσαρος.

ΟΤι Καῖσαρ λέγεται τῇ προτέρᾳ νυκτὶ τῆς ἐπ' * ἀριμίνου διαβάσεως (πόλις δέ ἐστιν αὕτη τῆς Κελτικῆς μεγάλη, ἣν καὶ ἀθρόον ἐπελθὼν ἔσχεν) ὄναρ ἰδεῖν ἔκθεσμον. ἐδόκει γὰρ αὐτὸς τῇ ἑαυτοῦ μητρὶ μίγνυσθαι τὴν ἄρρητον μίξιν.

* ἀρίμινον

Ἐκ τοῦ Εὐμένους.

ΤΟ μὲν εὐτυχεῖν καὶ τοὺς φύσει μικροὺς συνεπικουφίζει τοῖς φρονήμασιν, ὥστε φαίνεσθαί τι μέγεθος περὶ αὐτοὺς καὶ ὄγκον ἐκ πραγμάτων ὑπερεχόντων ἀποβλεπομένους. ὁ δέ γε ἀληθῶς μεγαλόφρων, καὶ βέβαιος, ἐν τοῖς σφάλμασι μᾶλλον καὶ ταῖς δυσημερίαις ἀναφέρων, γίνεται κατάδηλος· ὥσπερ ὁ Εὐμένης κακοπραγήσας. μᾶλλον γὰρ αὐτοῦ τὸ γενναῖον [τῆς ψυχῆς] διεφαίνετο καὶ ἐξέλαμψε, καὶ τὸ ἀήττητον τοῦ φρονήματος καὶ ταῖς συμφοραῖς ἀταπείνωτον. Ὅτι αἰσθόμενος (φησὶ) τοὺς ὑπ' αὐτὸν ἀλλήλων καταφρονοῦντας, αὐτὸν δὲ φοβουμένους, καὶ παραφυλάττοντας ἀνελεῖν, εἰ γένοιτο καιρὸς· ἐσκήψατο χρημάτων δεῖσθαι, καὶ συνεδανείσατο τάλαντα τὰ πολλὰ παρὰ τῶν μάλιστα μισούντων, ἵνα καὶ πιστεύωσι, καὶ ἀπέχωνται περὶ τὸ δάνειον ἀγωνιῶντες. ὥστε συνέβη, τὸν ἀλλότριον πλοῦτον φύλακα τοῦ σώματος ἔχειν καὶ τῶν ἄλλων ἐπὶ σωτηρίᾳ διδόντων μόνον ἐκ τοῦ λαβεῖν κτήσασθαι τὴν ἀσφάλειαν. Ὅτι φιλοπόλεμος μέν ἐστι (φησὶν) ὁ τῆς ἀσφαλείας τὴν πλεονεξίαν προτιμῶν· πολεμικὸς δὲ ὁ τῷ πολέμῳ κτώμενος τὴν ἀσφάλειαν.

Ἐκ τοῦ Σαρτωρίου.

ΟΤι διατρίβοντι (φησὶ) Σερτωρίῳ περὶ Ἰβηρίαν, ναῦταί τινες ἐντυγχάνουσιν αὐτῷ ἐκ τῶν ἀτλαντικῶν νήσων ἀναπεπλευκότες. αἱ δύο μέν εἰσι λεπτῷ παντάπασι πορθμῷ διαιρούμεναι, μυρίους δὲ ἀπέχουσι Λιβύης σταδίους, καὶ ὀνομάζονται μακάρων. ὄμβροις δὲ χρώμεναι μετρίοις σπανίως, τὰ πλεῖστα πνεύμασι μαλακοῖς καὶ δροσοβόλοις οὐ μόνον ἀροῦν, ἀλλὰ καὶ φυτεύειν παρέχουσιν ἀγαθὴν καὶ πίονα χώραν. ἀλλὰ καὶ καρπὸν αὐτοφυῆ φέρουσιν, ἀποχρῶντα πλήθει καὶ γλυκύτητι βόσκειν, ἄνευ πόνων καὶ πραγματείας, σχολάζοντα δῆμον. ἀὴρ δὲ ἄλυπος, ὡρῶν τε κράσει καὶ μεταβολῆς μετριότητι κατέχει τὰς νήσους.

αἱ γὰρ

οἱ γὰρ ἐνθένδε τῆς γῆς ἀποπνέοντες ἔξω βορέαι καὶ ἀπηλιῶται, διὰ μῆκος ἐκπεσόντες εἰς τόπον ἀχανῆ, διασπείρονται, καὶ προαπολείπουσι. πελάγιοι δὲ περιρρέοντες ἀργέσται καὶ ζέφυροι (καὶ) βληχροὺς μὲν ὑετοὺς καὶ σποράδας ἐκ θαλάττης ἐπάγοντες, τὰ δὲ πολλὰ νοτεραῖς αἰθρίαις ἐπιψύχοντες, ἡσυχῆ τρέφουσιν· ὥστε μέχρι τῶν βαρβάρων *διῖχθαι πίστιν ἰσχυρὰν, αὐτόθι τὸ ἠλύσιον εἶναι πεδίον, καὶ τὴν τῶν εὐδαιμόνων οἴκησιν, ἣν Ὅμηρος ὕμνησε. ταῦτα ὁ Σερτώριος ἀκούσας, ἔρωτα θαυμαστὸν ἔσχεν οἰκῆσαι τὰς νήσους, καὶ ζῆν ἐν ἡσυχίᾳ, τυραννίδος ἀπαλλαγεὶς καὶ πολέμων *ἀπαύστων. ἀλλὰ διεμόρασαν αὐτοῦ καὶ περιέσπασαν τὸν ἔρωτα ἥ τε κίνησις τῶν μετ' αὐτοῦ κιλίκων *ἐκταραχθεῖσα, καὶ νεωτέρων φροντὶς πολεμίων. Ὅτι λέγεταί (φησιν) ὁ Σερτώριος οὔτε ὑφ' ἡδονῆς οὔτε ὑπὸ δέους εὐάλωτος γενέσθαι· φύσει τε ἀνέκπληκτος περὶ τὰ δεινὰ, μετρίως ἐνεγκεῖν εὐτυχίαν· οὐδενὸς μὲν τοι οὐδὲ πρὸς εὐθυμαχίαν ἀτολμότερος τῶν καθ' ἑαυτὸν ἡγεμόνων. ὅσα δὲ κλοπῆς ἐν πολέμοις ἔργα καὶ πλεονεξίας περὶ τόπους ὀχυροὺς καὶ διαβάσεις, τάχους δεομένας, ἀπάτης τε καὶ ψευδῶν ἐν δέοντι, σοφιστὴς δεινότατος. ἐν δὲ ταῖς τιμαῖς τῶν ἀνδραγαθημάτων δαψιλὴς φαινόμενος, περὶ τὰς τιμωρίας ἐμετρίαζε τῶν ἁμαρτημάτων· καίτοι δοκεῖ περὶ τὸν ἔσχατον αὐτοῦ βίον ὠμότητος καὶ βαρύτητος τὸ περὶ τοὺς ὁμήρους πραχθὲν ἔργον, ἐπιδεῖξαι τὴν φύσιν οὐκ οὖσαν ἥμερον, ἀλλ' ἀμπεχομένην λογισμῷ διὰ τὴν ἀνάγκην. ἐμοὶ δὲ ἀρετὴν μὲν εἰλικρινῆ, καὶ κατὰ λόγον συνεστῶσαν, οὐκ ἄν ποτε δοκεῖ τύχη τις ἐκστῆσαι πρὸς τοὐναντίον. ἀλλ' ὡς (δὲ) προαιρέσεις καὶ φύσεις χρηστὰς ὑπὸ συμφορῶν μεγάλων παρ' ἀξίαν κακωθείσας οὐκ ἀδύνατον τῷ δαίμονι συμμεταβαλεῖν τὸ ἦθος· ὃ καὶ Σερτώριον οἶμαι παθεῖν, ἤδη τῆς τύχης αὐτὸν ἐπιλειπούσης, ἐκτραχυνόμενον ὑπὸ τῶν πραγμάτων, καὶ γενόμενον πονηρὸν πρὸς τοὺς ἀδικοῦντας.

*διῆχθαι Al. *ἀπαύστων. *ἐκταραχθεῖσα.

Ἐκ τοῦ Δημητρίου.

Ὅτι Δημήτριός (φησι) μεγέθει μὲν ἦν τοῦ πατρὸς ἐλάττων, καίπερ ὢν μέγας· *ἰδέᾳ δὲ καὶ κάλλει προσώπου θαυμαστὸς καὶ περιττὸς, ὥστε τῶν πλαττόντων καὶ γραφόντων μηδένα τῆς ὁμοιότητος ἐφικέσθαι. τὸ γὰρ αὐτὸ χάριν, καὶ βάρος, καὶ φόβον, καὶ ὥραν εἶχε, καὶ συνεκέκρατο τῷ νεαρῷ καὶ ἰταμῷ δυσμίμητός τις ἡρωϊκὴ ἐπιφάνεια καὶ βασιλικὴ σεμνότης. οὕτω δέ πως καὶ τὸ ἦθος ἐπεφύκει πρὸς ἔκπληξιν ἀνθρώπων ἅμα καὶ χάριν.

Ὅτι τὸ ὑπερφυέστατον ἐνθύμημα τοῦ Στρατοκλέους φησίν. οὗτος γὰρ ἦν ὁ τῶν σοφῶν τούτων καὶ περιττῶν καινουργὸς ἀρεσκευμάτων· ἔγραψεν, ὅπως οἱ πεμπόμενοι κατὰ ψήφισμα δημοσίᾳ πρὸς Ἀντίγονον ἢ Δημήτριον ἀντὶ πρεσβευτῶν θεωροὶ λέγοιντο, καθάπερ οἱ Πυθοῖ καὶ Ὀλυμπίαζε τὰς πατρίους θυσίας *ἀνάγοντες ἐν ταῖς ἑλληνικαῖς ἑορταῖς. οὕτω δὲ καταμαλακυνόμενοι τοῦ Δημητρίου διέφθειραν αὐτὸν οὐδὲ ἄλλως ὑγιαίνοντα τὴν διάνοιαν. Ὅτι Ἀθηναῖοι, πολιορκοῦντος αὐτοὺς Φιλίππου, γραμματοφόρους ἑλόντες, τὰς μὲν ἄλλας ἀνέγνωσαν ἐπιστολὰς μόνην δὲ τὴν Ὀλυμπιάδος οὐκ ἔλυσαν, ἀλλ' ὥσπερ ἦν κατασεσημασμένην, πρὸς ἐκεῖνον ἀπέλυσαν.

*ἰδίᾳ M. M. *ὑπὲρ τῶν πόλεων.

PLVTARC.

Etenim qui versus eas partes à terra feruntur boreæ & subsolani, cum in vastum ob longitudinem distantiæ incidunt locum, dissipantur, & antequam eo perferantur, concidunt: Cauri autem & Zephyri qui ab alto circumflant, pluuias à mari modicas raráſque infundunt, plerumque humectis serenitatibus refrigerant, incolásque placide alunt. Ita vsque ad barbaros etiam, constans & probata percrebuit opinio, esse illis in insulis Elysios istos campos, & beatorum, quam descripsit Homerus, habitationem. His de rebus vt auditu percepit Sertorius, mirabilis eum inuasit amor eas insulas incolendi, tyrannidéque & bellis euitatis in pace & quiete viuendi. Verum turbauit & dissipauit hunc amorem Cilicum aduentus, & nouorum bellorum administratio. Sertorium memoriç proditum est, neque voluptati, neque metui obnoxio ingenio fuisse: natura & imperterritum rebus aduersis, & qui res secundas moderatè ferret: neminem eo tempore ducem magis aperta prœlia vitasse: callidissimum vero furtiuis belli operibus, in occupandis locis natura munitis, & fluminibus traiiciendis, aliisq; id genus rebus quæ celeritate, astutia, & mendacio conficiuntur: perliberalem in præmiis virtutum conferendis, in suppliciis moderatum. Quamquam extremo vitæ cursu videtur id quod in obsides statuit, ostendisse animum eius non verè mansuetum fuisse, sed crudelitatem eius arte quadá necessitatis causa fuisse celatam. Mihi autem vt veram virtutem rationéque recta stabilitam, nunquam videtur fortunę vis in contrarium posse conuertere, ita consilia tamen alias recta bonásque naturas indigne grauibus calamitatibus afflictas, non absurdum puto credere vna cum fortuna mutari. Id quod ego tum Sertorio accidisse puto, iam fortuna eum destituente, rebúsque ipsis exasperatum, iniurias malorum atrocius vltum arbitror.

Ex Demetrij vita.

Demetrius statura patre fuit inferior, tametsi magnus: figura autem & pulchritudine faciei ita insigni & eximia, vt eam fingendo pingendoque assequi nemo potuerit. Nam vna cum venustate & elegantia grauitas terrórque in vultu inerat, & heroica quędá ac regia maiestas iuuenili alacritati admixta. Sic ingenium quoque erat, & ad perterrendos homines, & ad conciliandam sibi eorum gratiam aptum.

Insolentissimum fuit Stratoclis (is enim scitarum istarum fuit & subtilium auctor blanditiarum) commentum, qui legem promulgauit, vt si qui publico edicto ad Antigonum vel Demetriū mitterentur, ij non legati, sed Theori, id est cósultores nominarétur: quod nomé eorum est, qui Pythiæ aut Olympiæ à maioribus tradita sacrificia pro ciuitatibus in soléni Græcorum conuentu peragebant. His illi adulationibus Demetrium alioqui sana mente praeditū demulcentes corruperunt. Athenienses obsessi à Philippo tabellarios intercipientes, lectis reliquis epistolis, missam ab Olympiade nó aperuerunt, sed obsignatá adhuc Philippo miserát.

PLVTARC. Neque vero vlla regi conuenientior actio est, quam iustitiæ executio. Mars enim (vt Timotheus ait) tyrannus est, legem vero omnium regem Pindarus appellat. Vsque ad Demetrium Antigoni, qui poliorcetes appellabatur, nemo hominum viderat ante quindecitemem aut sedecitemem. Posteaquidem temporis Ptolemæus Philopator quadragintaremem construxit, longam CCLXXX. altam ab imo fundo vsque ad summum puppis XLVIII. cubitos, remigibus quater mille, & nautis præterea quadringentis instruebatur, recipiebátque classiariorum in foris & tabulato prope tria millia, [sed nautæ CCCC. remiges IIII ciↄ. & milites III ciↄ. erãt in sũma VII ciↄ cccc.] Verum hæc nauis spectaculo magis & ostentationi quam vsui fuit, quod difficulter neque sine periculo commoueri posset, parúmque ab ædificiis fixis differret.

Herodot. Thales. & Orig. lib. contra Celsum p. 262. edit. August. Vind.

Ex Antonij vita.

MVlta Antonius ignorauit, non tam ob socordiam, quam simplicitatem, qua ductus facile suis credebat. Erat enim simplici ingenio, & tarde sentiebat: cum autem sensisset se peccasse, graui mouebatur pœnitentia, & apud eos ipsos quos offendisset, confitebatur. magna & supplicia & præmia irrogabat, modi tamen in gratificando, quam puniendo erat negligentior. Iocis autem ejus nimiæque dicacitati hoc aderat remedium, quod se vicissim morderi patiebatur, neque minori cum voluptate ridebatur, quam ridebat, quæ res illi maximo fuit malo. Qui enim libere secum iocarentur, ab eis serio loquentibus nequaquam putabat sibi adulari: itaque laudando facile decipiebatur. non enim intelligebat esse, qui adulationi libertatem veluti subausterum condimentum admiscerent, quo proteruæ inter pocula loquacitati tædium & satietatem dimoueant, idque consequantur, vt assentantes & concedentes, quoties de re graui sermo incideret, non gratiam captare, sed prudentia inferiores videantur.

Ex Pyrrhi vita.

FVit Pyrrhus vultu regio quidem, sed terribiliore quam venerabiliore. Non habuit multos dentes, sed supra erat vnum os continuum, in quo dentium interualla tenuibus veluti sulcis detinebantur. è liene laborantibus salutem afferre credebatur, si gallum album mactans, supinatis illis dextro pede leuiter viscera premeret, neque fuit quisquam ita vel pauper vel vilis, cui rogatus eam medicinam facere dedignaretur: gallum ipse Pyrrhus accipiebat, atque immolabat, iisque ei erat honor gratissimus. Et ferunt pedis eius pollicem vim diuinam habuisse, atque etiam cremato post mortem corpore, hunc illæsum intactúmque ab igne fuisse repertum.

Ex Marij vita.

MArio & tẽperantiæ ac tolerãtiæ testimonia perhibentur: & huius quidẽ indiciũ

Ὅτι οὐδὲν (φησὶν) οὕτω βασιλεῖ προσήκειν, ὡς τὸ τῆς δίκης ἔργον. Ἄρης μὲν γὰρ τύραννος, ὥς φησι Τιμόθεος· νόμος δὲ πάντων βασιλεὺς, κατὰ Πίνδαρόν ἐστιν. Ὅτι μέχρι Δημητρίου (τοῦ) Ἀντιγόνου παιδὸς, ὃς πολιορκητὴς ὠνομάζετο, οὐδεὶς εἶδεν * ἀνθρώπων, οὔτε πεντεκαιδεκήρη ναῦν πρότερον, οὔτε ἑκκαιδεκήρη· ὕστερον δὲ καὶ τεσσαρακοντήρη Πτολεμαῖος ὁ φιλοπάτωρ ἐναυπηγήσατο, μῆκος διακοσίων ὀγδοήκοντα πηχῶν, ὕψος δὲ ἕως ἀκροστολίου πεντήκοντα δυεῖν δεόντων· ναύταις δὲ χωρὶς ἐρετῶν ἐξηρτυμένην τετρακοσίοις, ἐρέταις δὲ τετρακισχιλίοις. χωρὶς δὲ τούτων, ὁπλίτας δεχομένην, ἐπί τε τῶν παρόδων καὶ τοῦ καταστρώματος ὀλίγῳ τρισχιλίων ἀποδέοντας· ἀλλὰ ναῦται υ', ἐρέται ͵δ, ὁπλῖται ͵γ, ὁμοῦ ͵ζυ. θέαν μόνην ἐκείνη παρέσχε, καὶ μικρὸν ὅσον διαφέρουσα τῶν * νομίμων οἰκοδομημάτων φανεῖσα πρὸς ἐπίδειξιν, οὐ χρείας ἐπισφαλῶς καὶ δυσέργως ἐκινήθη.

* ἔδει, Al.
* μονίμων Ald.

Ἐκ τοῦ Ἀντωνίου.

ὍΤι Ἀντώνιος ἠγνόει πολλὰ τῶν ὑπ' αὐτοῦ γινομένων· οὐχ οὕτω ῥάθυμος ὢν, ὡς δι' ἁπλότητά τις ὢν τοῖς περὶ αὐτόν. ἐνῆν γὰρ * ἁπλότης τῷ ἤθει, καὶ βραδεῖα δὲ αἴσθησις· αἰσθανομένῳ δὲ τῶν ἁμαρτανομένων ἰσχυρὰ μετάνοια, καὶ πρὸς αὐτοὺς ἐξομολόγησις τοὺς ἀγνωμονηθέντας· μέγεθος δὲ καὶ περὶ τὰς ἀμοιβὰς καὶ περὶ τὰς τιμωρίας. μᾶλλόν γε μὴν ἐδόκει χαριζόμενος, ἢ κολάζων, ὑπερβάλλειν τὸ μέτριον. ἡ δὲ περὶ τὰς παιδιὰς καὶ τὰς σκώψεις ὕβρις ἐν ἑαυτῇ τὸ φάρμακον εἶχεν· ἀντισκῶψαι γὰρ * ἐχρῆν καὶ ἀνθυβρίσαι. καὶ γελώμενος ἢ γελῶν ἔχαιρε· καὶ τοῦτο διελυμήνατο τὰ πολλὰ τῶν πραγμάτων. τοὺς γὰρ ἐν τῷ παίζειν παρρησιαζομένους οὐκ ἂν οἰηθεὶς σπουδάζοντας κολακεύειν αὐτὸν, ἡλίσκετο ῥᾳδίως ὑπὸ τῶν ἐπαίνων· ἀγνοῶν, ὅτι τὴν παρρησίαν τινὲς ὡς ὑποστύφον ἥδυσμα τῇ κολακείᾳ παραμιγνύντες, ἀφῄρουν τὸ πλήσμιον τῇ παρὰ τὴν κύλικα θρασύτητι καὶ λαλιᾷ, διαμηχανώμενοι τὴν τῶν πραγμάτων * ὕφεσιν καὶ συγκατάθεσιν, ὡς μὴ πρὸς χάριν ὁμιλεῖν, ἀλλὰ τῷ φρονεῖν ἡττωμένων φαίνεσθαι.

* ἀνελίττων ἔδει.
* ἐξῆν
* al. ἔφεσιν

Ἐκ τοῦ Πύῤῥου.

ὍΤι Πύῤῥος (φησὶ) τῇ μὲν ἰδέᾳ τοῦ προσώπου φοβερώτερον ἦν ἔχων, ἢ σεμνότερον καὶ βασιλικώτερον. πολλοὺς δὲ ὀδόντας οὐκ εἶχεν, ἀλλ' ἓν ὀστοῦν συνεχὲς ἦν, ἄνωθεν οἷον λεπταῖς ἀμυχαῖς τὰς διαφυὰς ὑπογεγραμμένον τῶν ὀδόντων. τοῖς δὲ σπληνιῶσιν ἐδόκει βοηθεῖν, ἀλεκτρυόνα θύων λευκὸν, ὑπτίων τε κατακειμένων τῷ δεξιῷ ποδὶ πιέζων ἀτρέμα τὸ σπλάγχνον. οὐδεὶς δ' ἦν πένης, οὔτε ἄδοξος οὕτω, ὥστε μὴ τυχεῖν τῆς ἰατρείας δεηθείς. ἐλάμβανε δὲ καὶ τὸν ἀλεκτρυόνα θύσας· καὶ τὸ γέρας τοῦτο ἥδιστον ἦν αὐτῷ. λέγεται δὲ τοῦ ποδὸς ἐκείνου τὸν μείζονα δάκτυλον δύναμιν ἔχειν ἰδίαν, ὥστε μετὰ τὴν τελευτὴν τοῦ λοιποῦ σώματος κατακαέντος, ἀπαθῆ καὶ * ἄλυπον ὑπὸ τοῦ πυρὸς * εὑρεθῆναι.

* ἄλειπτον Ald.
* ἐκτεθραφῆναι

Ἐκ τοῦ Μαρίου.

ὍΤι τῷ Μαρίῳ (φησὶ) καὶ σωφροσύνην καὶ καρτερίαν μαρτυροῦσιν· ἧς δεῖγμα καὶ τὸ περὶ τὴν

χειρουρ-

χειρουργίας ἐστίν. ἰξῶν γὰρ ἀνάπλεως ἄμφω τὰ σκέλη γεγονὼς, καὶ τὴν ἀμορφίαν δυσχεραίνων· ἔγνω παρασχεῖν ἑαυτόν. καὶ παρέσχεν ἄδετον θάτερον σκέλος, οὐδὲ κινηθεὶς, οὐδὲ στενάξας, ἀλλὰ καθεστῶτι τῷ προσώπῳ καὶ μετὰ σιωπῆς τινος ὑπερβολὰς [καὶ] ἀλγηδόνων ἐπὶ ταῖς τομαῖς ἀνασχόμενος. τοῦ δὲ ἰατροῦ μετιόντος ἐπὶ θάτερον· οὐκ ἔτι παρέσχε, φήσας ὁρᾶν τὸ ἐπανόρθωμα τῆς ἀλγηδόνος οὐκ ἄξιον. Ὅτι Μάριος ἐκ Λιβύης μετὰ τοῦ στρατεύματος ἀνακομισθεὶς, τήν τε ὑπατείαν ἀνέλαβε, καὶ τὸν θρίαμβον εἰσήλασεν ἄπιστον ἐπιδειξάμενος θέαμα ῥωμαίοις, Ἰουγούρθαν αἰχμάλωτον· οὗ ζῶντος, οὐδ᾽ ἂν εἷς ἤλπισε πολεμίων κρατήσειν· οὕτως ἦν ποικίλος ἀνὴρ τύχαις ὁμιλῆσαι, καὶ πανουργίᾳ πολλῇ μεμιγμένον ἔχων τὸ θυμοειδές. ἐν δὲ τῷ θριάμβῳ κομισθῆναι λέγουσι χρυσίου μὲν ἑπτὰ καὶ τρισχιλίας λίτρας· ἀργύρου δὲ ἀσήμου ἐψοέ. νομίσματος δὲ δίδραχμος ζ ἐπὶ μυριάσιν ἢ καὶ κ. Ὅτι τοὺς φιλοπόνους καὶ σιωπῇ μετ᾽ εὐκολίας τὰ προστασσόμενα πράττοντας (ἄτρυτος γὰρ ἦν ὁ Μάριος) καὶ αὐτουργεῖν τὰ πολλὰ, καὶ μιμεῖσθαι, διδάσκειν αὐτὸν, καὶ ἐξομοιοῦσθαι τοὺς στρατιώτας, ἡμιόνους Μαριανοὺς ὠνόμαζον. οἱ δὲ, ὅτι Μάριός φησιν ὑπὸ Σκηπίωνι πάλαι στρατευόμενος, καὶ πολυπραγμονοῦντι περί τε τῶν ὅπλων καὶ τῶν ὑποζυγίων· τὸν στρατιώτην προσαγαγεῖν, ἵππον τε κάλλιστα τεθραμμένον, καὶ ἡμίονον ὀξείᾳ καὶ πραότητι καὶ ῥώμῃ διαφέροντα πολὺ τῶν ἄλλων. ἡσθέντος δὲ τοῦ στρατηγοῦ τοῖς τοῦ Μαρίου θρέμμασι, καὶ πολλάκις αὐτῶν μνησθέντος· οὕτως ἄρα τοὺς σκώπτοντας ἐν ἐπαίνῳ τὸν ἐνδελεχῆ καὶ τλήμονα, καὶ φιλόπονον, Μαριανὸν ἡμίονον προσαγορεύειν.

Ὅτι Τεύτονας Μαρίου καταπολεμήσαντος, μυριάδας δέκα, Μασσαλιῶται τοῖς ὀστέοις λέγονται περιθριγκῶσαι τοὺς ἀμπελῶνας· τὴν δὲ γῆν, τῶν νεκρῶν καταμαρανθέντων ἐν αὐτῇ, καὶ διὰ χειμῶνος ὄμβρων ἐπιπεσόντων, οὕτως ἐκλιπανθῆναι, καὶ γενέσθαι διὰ βάθους ἀνάπλεω, τῆς σηπεδόνος ἐνδύσης, ὥστε καρπῶν ὑπερβάλλον εἰς ὥρας πλῆθος ἐξενεγκεῖν· καὶ μαρτυρῆσαι τῷ Ἀρχιλόχῳ λέγοντι, [πιαίνεσθαι πρὸς τὸ τοιοῦτο τὰς ἀρούρας] ἐπιεικῶς δὲ ταῖς μεγάλαις μάχαις ἐξαισίους ὑετοὺς ἐπικαταρρήγνυσθαι λέγουσιν: εἴτε δαιμονίου τινὸς τοῖς καθαροῖς καὶ διοπετέσιν ἁγνίζοντος ὕδασι καὶ κατακλύζοντος, εἴτε τοῦ φόνου (καὶ) τῆς σηπεδόνος ἐξανιείσης ὑγρὰν καὶ βαρεῖαν ἀναθυμίασιν, ἣ τὸν ἀέρα συνίστησιν, εὔτρεπτον ὄντα καὶ ῥᾳδίως μεταβάλλεσθαι ἐπὶ πλεῖστον ἀπὸ σμικροτάτης ἀρχῆς. Ὅτι ἄξιον θαυμάσαι τοὺς Κορνούτου θεράποντας· πολλῶν γὰρ ἐν στασιαζούσῃ τῇ πόλει θανάτῳ, καὶ τῶν ἀναιτίων, καταψηφιζομένων· καὶ μυρίων σφαγῶν καὶ ποικίλων πραχθέντων: οὗτοι τὸν δεσπότην ἀποκρύψαντες, νεκρὸν δέ τινα τῶν πολλῶν ἀναρτήσαντες ἐκ τοῦ τραχήλου, καὶ περιθέντες αὐτῷ χρυσοῦν δακτύλιον, ἐπεδείκνυον τοῖς Μαρίου δορυφόροις· καὶ κοσμήσαντες, ὡς ἐκεῖνον αὐτὸν ἔθαπτον. * ὑπενόησε δὲ οὐδείς· ἀλλ᾽ οὕτω λαθὼν ὁ Κουρνοῦτος, ὑπὸ τῶν οἰκετῶν εἰς Γαλατίαν διεκομίσθη.

* al. Ἰβηρίαν.

exstat. Varicibus enim magnis cum vtrumque eius crus laboreret, deformitatem ægrè ferens, medicum accersiuit, eique non ligatus crus alterum præbuit, ac nihil ipse motus, nullo edito gemitu, constanti vultu tacitus incredibiles secturæ dolores pertulit: ad alterum transeunte medico, non sustinuit, remedium hoc non dignum esse inquiens, cuius causa tanti cruciatus tolerarentur. Marius ex Africa cum exercitu transuectus & consulatum accepit, & triumphum duxit, Iugurtham captiuum incredibile Romanis spectaculum exhibens, quo viuo victoriam de hostibus nemo ne sperasset quidem: adeo ad omnem fortunam se accommodare callidus, astutiæ magnæ admixtam ferociam habebat. In triumpho præterea illata narrant auri ter mille ac septem pondo, argenti non signati quinquies millia DCCLXXV. signati CCLXXXVII. millia denarium. Solent milites laboriosos, quique taciti promptè imperata faciunt, *mulos Marianos* appellare (erat enim Marius indefatigabilis) quod sua ipsi facerent, & cum hac in re imitarentur. Quidam quia Marius olim sub Scipione militans curiose arma & carros inspicienti, adduxit bellicosum equum optime enutritum, & multum cæteris habitiorem & cicuritate & robore præstantem multo: cúmque Imperator Marij iumentis oblectaretur, & sæpe eorum recordaretur: inde ortum vt qui per cauillum ob laborum assiduitatem & tolerantiam laudaretur, *Marianus mulus* appellaretur. Deuictis centum millibus Teutonum à Mario, Massilienses ferunt ossibus vineas sepiisse: tellurem vero consumtis in ea cadaueribus, ac per hiemem imbribus delapsis, ita pinguem redditam, putredine in profundum penetrante repletam, vt legitimo tempore abunde fructuum protulerit, & quod *Archilochus dixit, *hoc modo agros pinguescere*, id tum fuisse confirmatum. Neque abs re est, quod post magna prœlia immodicæ pluuiæ decidant: siue Deus aliquis terram puris & cælestibus aquis lustrat atque proluit: siue cadaueribus & pinguedine humidam grauémque emittentibus exhalationem, ita aër coit, alioquin facile etiam leuissimis de causis mutationi obnoxius. Digni itaque admiratione Cornuti serui; multis enim bello ciuili morte sine causa condemnatis, variísque cædibus perpetratis, cum herum suum occultassent, aliud quoddam cadauer de mortuorum aceruo arreptum collo trahentes, aureum annulũ digito accommodantes, Marianis ita satellitibus ostenderunt, & ornato funere, quasi herile esset sepeliuerunt: neque id quisquam sensit, eoque modo Cornutus clam opera seruorum in Galliam euasit.

PLVTARC.

Vide Festum.

Marianus mulus.

Ex Arati vita.

ARato cum Aristippo & militibus acri pugna congrediente, & tyranno à Crete quodam nomine Tragisco necato, & amissis

Ἐκ τοῦ Ἀράτου.

ΟΤι ὁ Ἄρατός (φησι) λαμπρῶς καὶ κατὰ Ἀριστίππου τοῦ τυράννου καὶ κατὰ τῶν σὺν αὐτῷ ἀριστεύσας πεσόντος καὶ αὐτοῦ τοῦ τυράννου ὑπὸ Κρητός τινος Τραγίσκου τοὔνομα, καὶ τοῦ πλήθους

PLVTARC. ipsorum plusquam M D. viris, & nemine suorum amisso, Argos tamen neque cepit neque liberauit. Agis enim & Aristomachus minor, cum exercitu regio irruperant eo, & rerum potestatem occupauerant. Magnam quidem partem cauillorum, dicteriorúmque & scurrilium insectationem, quibus eum adulatores tyrannorum traducebant, refutauit: *qui in gratiam dominorum dictitare solebant, duci Achaeorum tempore praelij aluum conturbari, vertiginem & grauem soporem oboriri simul atque tubae sonitum exaudiuisset. Itaque vt primum aciem instruxisset, & tesseram dedisset, percontari solitum centuriones; & quid sua praesentia opus foret, iacta iam alea; atque ita digredientem quam longissimè, euentum pugnae expectare.* Haec quidem ita obtinuit opinio, vt Philosophi etiam in scholis disputent, tremórne cordis & mutatio coloris, & alui solutio praesente periculo timidorũ sit, an cuiusque intemperiei in corpore & frigiditatis: Aratum enim bonum semper ducem habitum, cui tamen ea semper in obeundis periculis acciderint. Quia antiqua lex erat, ne quis intra muros sepeliretur, eámque legem magna comitabatur superstitio, Delphos miserunt ea de re sciscitatum Pythiam, quae permisit. & tum caeteri Achaei, tum vero Sicyonij gauisi sunt: mutatóque in festiuitatem luctu, coronati albísque induti vestibus corpus eius statim in vrbem deportarunt, paeanes choreis accinentes: ac loco delecto qui omnium conspectui pateret, tanquam conditorem seruatorémque vrbis sepeliuerunt. Loco etiamnum est nomen Arateum. mortuus est specie familiaritatis veneno & dolis, caede à Taurione perpetrata, Philippo Peloponesio tyranno edicente, vt impune illi quae fecisset cederent.

Ex Artaxerxis.

MAter Artaxerxis fuit Parysatis, solers sane femina, & taxillos iacere nõ indocta. Metus tyranno stimulus ad caedem acerrimus.

Ex Agide Plutarchi nihil excerpsit Photius.

Ex Clemen. ANtigonus Macedoniae rex vocatus ad auxilium ab Achaeis contra Cleomené, pugna superauit & fugauit Cleomené, & cum esset Lacedaemone potitus, humaniter ciues tractauit, dignitatémq; Spartae nullo modo conculcauit, aut ludibrio habuit, sed leges rémque publicam Spartanis reddidit, & in Macedoniã tertio die discessit, quod eam bello ardere, atq; à barbaris vastari inaudiuisset. Iam & morbus ipsũ occupauerat, in phthisim vehementé vergens, defluxúmque ex capite continentem. Nõ tamen ei succubuit, sed ira in certamine pro regno suo perdurauit, vt maxima parta victoria, ingentiq; barbarorum caede peracta, maiori cũ gloria mortem obiret. Philarchus scribit, eũ in ipso praelio vociferatione corpus rupisse: quod vero non est dissimile. In confabulationibus hominum ferebatur, eum post praelium clamantem prae gaudio, *o pulchrum diem*, multũ sanguinis expuisse, acutáq; febri descessisse.

τῶν ἄλλων ὄντων ἀφ' τῶν ἀναιρεθέντων, καὶ μηδένα τῶν αὐτοῦ στρατιωτῶν ἀποβαλών· ὅμως οὐκ ἔλαβε τὸ ἄργος, οὐδὲ ἠλευθέρωσε τοὺς ἐν αὐτῷ. τῶν περὶ Ἄγιν, καὶ τὸν νεώτερον ἀριστόμαχον, μετὰ δυνάμεως βασιλικῆς παρεισπεσόντων, καὶ κατεχόντων τὰ πράγματα. τὸ μὲν οὖν πολὺ τῆς διαβολῆς, καὶ λόγους καὶ σκώμματα καὶ βωμολοχίας παρείλετο τῶν κολακευόντων τοὺς τυράννους καὶ διεξιόντων, ἐκείνοις χαριζομένων. [Ὡς τοῦ στρατηγοῦ τῶν ἀχαιῶν ἐνταράττοιτο μὲν ἡ κοιλία περὶ μάχας, κάρος δὲ καὶ ἴλιγγος προσπίπτοι ἅμα τῷ παραστῆναι τὸν σαλπικτήν. ἐκτάξας δὲ τὴν δύναμιν, καὶ τὸ σύνθημα παρεγγυήσας, καὶ πυθόμενος τῶν ὑποστρατηγῶν, μή τις αὐτοῦ χρεία παρόντος, βεβλῆσθαι γὰρ τοὺς ἀστραγάλους· ἀπέρχοιτο, καραδοκήσων πόρρωθεν τὸ συμβησόμενον.] Ταῦτα γὰρ οὕτως ἴσχυσεν, ὥστε καὶ τοὺς φιλοσόφους ἐν ταῖς σχολαῖς *ζητοῦντας, εἰ τὸ πάλλεσθαι τὴν καρδίαν, καὶ τὸ χρῶμα φαίνεσθαι ἠλλοιωμένον, καὶ τὴν κοιλίαν ἐξυγραίνεσθαι, παρὰ τὰ φαινόμενα δεινὰ, δειλίας ἐστὶν ἢ δυσκρασίας τινὸς περὶ τὸ σῶμα καὶ ψυχρότητος· τὸν γὰρ Ἄρατον ἀεὶ μὲν ἀγαθὸν ἡγεῖσθαι στρατηγὸν, ἀεὶ δὲ ταῦτα πάσχοντα παρὰ τοὺς ἀγῶνας. Ὅτι νόμου (φησὶν) ὄντος ἀρχαίου, μηδένα θάπτεσθαι τειχῶν ἐντὸς, ἰσχυρᾶς τε τῷ νόμῳ δεισιδαιμονίας προσούσης· ἔπεμψεν εἰς Δελφοὺς, ὑπὲρ τούτων ἐρησόμενοι τὴν Πυθίαν· ἡ δὲ ἐπέτρεπε. καὶ οἵ τε ἀχαιοὶ ἅπαντες ἥσθησαν καὶ διαφερόντως οἱ σικυώνιοι *μεταβάλλοντες εἰς ἑορτὴν τὸ πένθος, εὐθὺς ἐκ τοῦ αἰγίου τὸν νεκρὸν Ἀράτου ἐστεφανωμένοι καὶ λευχειμονοῦντες ὑπὸ παιάνων καὶ χορῶν εἰς τὴν πόλιν ἀνῆγον· καὶ τόπον ἐξελόμενοι περίοπτον, ὥσπερ οἰκιστὴν καὶ σωτῆρα τῆς πόλεως ἐκήδευσαν· καὶ καλεῖται μέχρι νῦν Ἀράτειον. ἡ δὲ τελευτὴ αὐτοῦ ἐν φιλοφροσύνης σχήματι φαρμάκῳ καὶ δόλῳ γέγονε· Ταυρίωνος μὲν τοῦ στρατηγοῦ ὑπηρετησαμένου τῷ φόνῳ. Φιλίππου δὲ τοῦ πελοποννησίου τυράννου ὡς ἄδειαν ἔχοι πράττειν ἃ βούλοιτο τῶν ἐκθέσμων προστάξαντος.

* ζητῶν

* λείπει οἱ

Ἐκ τοῦ Ἀρταξέρξου.

ΟΤι ἡ τοῦ Ἀρταξέρξου μήτηρ Παρύσατις θυμόσοφος ἦν γυνὴ, καὶ δεινὴ (φησὶ) κυβεύειν. Ὅτι ἡ δειλία (φησὶ) φονικώτατόν ἐστιν ἐν ταῖς τυραννίσιν.

Ἐκ τοῦ Ἄγιδος.

ΟΤι Ἀντίγονος (φησὶν) ὁ μακεδονίας βασιλεὺς, ἐπικαλεσαμένων αὐτὸν ἐπὶ βοήθειαν κατὰ Κλεομένους ἀχαιῶν, μάχῃ ἐνίκησε. καὶ ἐξ ἐφόδου φυγόντος Κλεομένους· τὴν πόλιν παραλαβὼν, καὶ τοῖς λακεδαιμονίοις φιλανθρώπως χρησάμενος, καὶ τὸ ἀξίωμα τῆς σπάρτης οὐ προπηλακίσας, οὐδὲ ἐνυβρίσας, ἀλλὰ καὶ νόμους καὶ πολιτείαν ἀποδοὺς, ἀνεχώρησεν εἰς μακεδονίαν ἡμέρᾳ τρίτῃ· πολέμων αὐτοῦ φύντων ἐκεῖσε, καὶ παρεῖναι βιαζομένων. ἤδη δὲ καὶ τὸ νόσημα κατεῖχεν αὐτὸν, εἰς φθίσιν *ἐμβεβληκὸς ἰσχυρὰν, καὶ κατάρρουν συντείνον. οὐ μὴν *ἀπεῖπεν, ἀλλ' ἀντήρκεσε πρὸς τοὺς οἰκείους ἀγῶνας, ὅσον ἐπὶ νίκῃ μεγίστῃ καὶ φόνῳ πλείστῳ τῶν βαρβάρων εὐκλεέστερος ἀποθανεῖν (ὡς μὲν εἰκός ἐστι, καὶ λέγουσιν οἱ περὶ φύλαρχον) αὐτῇ τῇ περὶ τὸν ἀγῶνα κραυγῇ τὸ σῶμα προσκαταρρήξας. ἐν δὲ ταῖς σχολαῖς ἦν ἀκούειν, ὅτι βοῶν μετὰ τὴν νίκην ὑπὸ χαρᾶς, ὦ καλῆς ἡμέρας· πλῆθος αἵματος ἀνήγαγε. καὶ πυρέξας συντόνως, ἐτελεύτησεν.

* ἐμβεβλημένον. ἀνίου.

Ὅτι

Ὅτι Κλεομένης αἰγύπτῳ προσπεφευγὼς, μετὰ τὸ ὑπ' Ἀντιγόνου ἡττᾶν, τὰ μὲν πρῶτα ὁ βασιλεὺς αἰγύπτου ἐν τιμῇ καὶ δεξιώσεσι προσλείπε τὸν ἄνδρα. μετ' οὐ πολὺ δὲ μηδὲν ἀδικοῦντα, ἐξ ὑποψιῶν ἀλόγων καὶ συκοφαντίας κακούργων, ἀπορρυπτόμενος τῆς περὶ αὐτὸν διαθέσεως, ἐν φρουρᾷ κατεῖχεν ἀδέσμως, μελετῶν κατ' αὐτοῦ θάνατον. ὁ δὲ μετά τινων ἑξκαίδεκα τῶν αὐτοῦ ἑταίρων ἐκπηδήσας μετὰ ξιφῶν τοῦ οἰκήματος, ἔθει μὲν διὰ τῆς ἀγορᾶς, καὶ τοὺς πολίτας καὶ τοὺς ἄλλους εἰς ἐλευθερίαν ἐκάλει. οἱ δὲ ἐπῄνουν μὲν τὴν γνώμην, καὶ ἐθαύμαζον τὸ γενναῖον· οὐδεὶς μέν τοι διὰ τὸν ἐκ τῆς τυραννίδος φόβον ἐτόλμα συνεπιλαβέσθαι. ἀνελόντες δὲ οὖν τοὺς εἰς χεῖρας [καὶ] ἐλθόντας καὶ δύο τῶν ἐχθίστων. πολλοῦ * συρρυέντος ἐπ' αὐτοὺς πλήθους, καὶ πολλοὺς ἀνελόντες, καὶ αὐτοὶ κατεκόπησαν, εἶτα ἀνεσταυρώθησαν. ὀλίγαις δὲ ὕστερον ἡμέραις οἱ τὸ σῶμα τοῦ Κλεομένους ἀνεσταυρωμένον παραφυλάττοντες, εἶδον εὐμεγέθη δράκοντα τῇ κεφαλῇ περιπεπλεγμένον, καὶ ἀποκρύπτοντα τὸ πρόσωπον, ὥστε μηδὲν ὄρνεον ἐφίπτασθαι σαρκοφάγον. ἐκ δὲ τούτου δεισιδαιμονία προσέπεσε τῷ βασιλεῖ καὶ φόβος, ὡς ἀνδρὸς ἀνῃρημένου θεοφιλοῦς καὶ κρείττονος τὴν φύσιν. οἱ δὲ ἀλεξανδρεῖς καὶ * προσετερπον- το φοιτῶντες ἥρωα τὸν Κλεομένην καὶ θεῶν παῖδα προσαγορεύοντες. ἄχρις οὗ κατέπαυσαν αὐτοὺς οἱ σοφώτεροι, διδόντες λόγον· ὡς μελίττας μὲν βόες, σφῆκας δὲ ἵπποι ἀποσαπέντες ἐξανθοῦσι· κάνθαροι δὲ τὸ αὐτὸ * παθόντων τῶν ὄνων ζωογονοῦνται· τὰ [δὲ] ἀνθρώπινα σώματα περὶ τὸν μυελὸν ἰχῶρος σύρροιαν τινα καὶ σύστασιν ἐν ἑαυτοῖς λαβόντων ὄφεις ἀναδίδωσι. καὶ τοῦτο κατιδόντες οἱ παλαιοί, μάλιστα τῶν ζώων τὸν δράκοντα τοῖς ἥρωσι συνῳκείωσαν.

*al. ἀνειρξάντων.

* Al. προσετρέποντο.

* al. παθόντος ζώου.

Cum Cleomenes ab Antigono superatus in Ægyptum profugisset, initio à rege magno honore affectus est. Deinde haud longo post tempore sine iniuria, propter iniquam suspectionem & maleuolentiam accusatorum, deficiente erga eum affectu, coniectus est à rege in carcerem, ad mortem quæsitus. Ille vero cum aliis XVI. sociis cum gladiis domo exsiliens, per vicos currit, & ad libertatem populum vocat. Laudant mirantúrque ciues Cleomenis audaciam & animum, sequi & opem ferre ausus est nemo metu tyranni. Illi autem obuios quosque trucidarunt, & inter eos duos inimicissimos, cúmque magnam ad se confluentem hominum multitudinem interfecissent, tandem etiam interfecti sunt, & in crucem acti. Post dies aut multos, ij qui in crucem actum corpus Cleomenis custodiebant, iustæ magnitudinis draconem vident caput eius circumplicasse, faciémque operuisse, ita vt nulla carniuora eius aduolaret. Id superstitionem regi iniecit & metum, quod vir dijs carus & præstantioris humana naturæ interfectus videbatur. Alexandrini etiam frequentes ad eum locum commeantes, heroem Cleomenem, & Deorum filium appellauere tantisper, dum eum errorem doctiores minuerunt: docentes putrefacto bouis cadauere apes, equi vespas, asini scarabeos generari: in humano autem corpore confluente sanie, quæ est circa medullam, & in vnum coalescéte angues nasci, id quod intelligentes antiqui, & omnibus animantibus draconem potissimum heroibus consecrauerunt.

PLVTARC.

Vide Horapollinem lib. 2. c. 44. & Origenem contra Celsum, lib. IV.

Ἐκ τοῦ Τίτου.

Ὅτι ἰσθμίων ἀγομένων, πλῆθος μὲν ἀνθρώπων ἐν τῷ σταδίῳ καθῆστο τὸν γυμνικὸν ἀγῶνα θεωμένων, ἅτε διὰ χρόνων πεπαυμένης μὲν πολέμων τῆς ἑλλάδος * ἐλευθερίας δὲ σαφεῖ καὶ εἰρήνῃ πανηγυριζούσης, τῇ σάλπιγγι δὲ σιωπῆς εἰς ἅπαντας διαδοθείσης· προελθὼν ὁ κῆρυξ εἰς μέσον, ἀνεῖπεν· Ὅτι ῥωμαίων ἡ σύγκλητος, καὶ Τίτος Κοΐντιος στρατηγὸς ὕπατος, καταπολεμήσαντες βασιλέα Φίλιππον καὶ μακεδόνας, ἀφιᾶσιν ἀφρουρήτους καὶ ἐλευθέρους καὶ ἀφορολογήτους τοὺς ἕλληνας, νόμοις χρωμένους τοῖς πατρίοις, κορινθίους, λοκρούς, εὐβοίας, φωκεῖς, ἀχαιοὺς, φθιώτας, μάγνητας, θετταλοὺς, * περραιβούς. τὸ μὲν οὖν πρῶτον οὐ πάντες, οὐδὲ σαφῶς ἤκουσαν, ἀλλ' ἀνώμαλος καὶ θορυβώδης κίνησις ἦν, ἐν τῷ σταδίῳ θαυμαζόντων, καὶ διαπυνθανομένων, καὶ πάλιν ἀνειπεῖν κελευόντων. ὡς δὲ ἅπαξ ἡσυχίας γενομένης, ἀναγαγὼν ὁ κῆρυξ τὴν φωνὴν, προθυμότερον εἰς ἅπαντας ἐγεγώνησε, καὶ διῆλθε τὸ κήρυγμα: κραυγὴ μὲν ἄπιστος τὸ μέγεθος, διὰ χαρὰν, ἐχώρει μέχρι θαλάσσης· ὀρθὸν δὲ ἀνειστήκει τὸ θέατρον, * οὐδεὶς δὲ λόγος ἦν τῶν ἀγωνιζομένων· ἔσπευδον δὲ πάντες ἀναπηδῆσαι καὶ δεξιώσασθαι, καὶ προσειπεῖν τὸν σωτῆρα τῆς ἑλλάδος καὶ πρόμαχον. τὸ δὲ πολλάκις λεγόμενον εἰς ὑπερβολὴν καὶ μέγεθος τῆς φωνῆς, ὤφθη τότε

* aliter libri edit.

* al. περραιβοὺς vel φιλαιβοὺς

* οὐδεὶς λόγος M.M.

Ex Titi Flaminini.

Cum Isthmia celebrarentur, ac multitudo hominum in stadio consedisset spectandi gymnici certaminis causa, eo magis, quod illo tempore Græcia à bellis vacabat, spémque libertatis propositam cernens, manifesta in pace diem festum agebat: postquam tuba silentium vndique est factum, progressus in medium præco ita pronunciauit: Senatus Romanus & Titus Quinctius Imperator Consul, deuicto Philippo & Macedonibus, absque præsidiis esse liberos, & immunes, suis legibus viuere iubet, Corinthios, Locros, Phocenses, Eubœenses, Achæos, Phthiotas, Magnetas, Thessalos, Perrhæbos. Primum neque omnes plane, neque perfectè vocem præconis exaudierunt: Eratque promiscua & tumultuaria in stadio commotio admirátium, sciscitantium, repetique edictum poscentium. Vt vero iterum facto silentio, altiori voce eadem præco proclamauit, exauditúmque est ab omnibus edictum: tantus, quantum credibile vix sit, clamor præ lætitia omniũ exortus, ad mare vsque peruasit. Quotquot in theatro erant, assurrexere omnes, neque iam quisquam certantium spectaculo tenebatur, prosilire omnes, amplecti & alloqui Græciæ seruatorem atque propugnatorem properabát. Atque eo tempore id re ipsa apparuit, quod de immenso immodicóque clamore dici solet.

PLVTARC. Corui enim qui tum forte præteruolabant, in stadium deciderunt. Cuius rei quidem causa est aëris perruptio. Nam vox cum magna atque multa effertur, ea diuulsus aër, volantes non sustinet, facitque vt aues ita atque si in vacuo sint loco, delabantur. nisi potius ictu tum quodam aëris aues veluti sagitta transfixæ, deturbentur atque decidant. Potest & ad aëris vorticem seu procellam transferri. cum maris ille instar, ob clamoris magnitudinem inuoluatur, rursúmque cum impetu sese explicet. Cæterum Quinctius, nisi celerrimè dimissis ludis impetum & concursum populi declinasset, haud profecto saluum potuisse euadere crediderunt, tam multis simul vndiq; ei se circumfundentibus. Plutarchus sicut in hac Quinctij, & in alijs vitis compositis ait, *Neronis erat temporibus.

*Traiani.

κόρακες γὰρ περιπετόμενοι κατὰ τύχην, ἔπεσον εἰς τὸ στάδιον. αἰτία δὲ ἡ τοῦ ἀέρος ῥῆξις. ὅταν γὰρ ἡ φωνὴ πολλὴ καὶ μεγάλη φέρηται, διασπώμενος ὑπ' αὐτῆς οὐκ ἀντερείδει τοῖς πετομένοις, ἀλλ' ὀλίσθημα ποιεῖ καθάπερ κενεμβατοῦσιν· εἰ μὴ νὴ Δία πληγῇ μᾶλλον ὡς ὑπὸ βέλους διελαυνόμενα πίπτει καὶ ἀποθνήσκει. δύναται δὲ καὶ περιδίνησις εἶναι τοῦ ἀέρος, οἷον ἑλιγμὸν ἐν πελάγει, καὶ πάλιν ῥύμην διὰ μέγεθος λαβόντος. ὁ δ' οὖν Τίτος εἰ μὴ τάχιστα τῆς θέας διαλυθείσης ὑπεκδέμενος τὴν φορὰν, τοῦ πλήθους, καὶ τὸν δρόμον ἐξέκλινεν· οὐκ ἂν ἐδόκει περιγενέσθαι τοσούτων αὐτῷ περιχεομένων. Ὅτι Πλούταρχος, ὡς αὐτὸς κἀν τῷ παρόντι παραλλήλῳ καὶ ἐν ἄλλοις φησιν, *ἐπὶ τοῦ Νέρωνος ἦν. *al. ἐν.

CCXLVI.

EX ARISTIDIS ORATIONE Panathenaica, quæ est Athenarum laudatio,

Excerpta.

Ex Gul. Canteri Vltraiectini interpretatione.

LEGI Aristidis Panathenaicam orationem, verborum ac nominum explanationem comprehendentem, & periodorum: etiam sensus potestate, & ornatu præparato.

Terra quidem ad omne fœtus genus fuit instructa. Hæc autem beneficia cum à Diis accepissent, ita cœperunt eorum auctores imitari, vt aliis ipsi loco Deorum fuerint, & hac primum ratione dignos se donis istis esse comprobauerint, quod iis rectè fuerint vsi. Nec enim vel sub terram existimauerunt defodienda, vel alios sibi æquales euasuros esse timuerunt: sed ita demum se, quantum reliquis præstarent, posse ostendere putarunt, si essent erga omnes benefici. Sed me oratio fluctus instar transuersum rapuit, itaque ad id, vnde digressus fueram, redeo. Diuina igitur pompa commeatum in omnes regiones, tanquam pecuniam theatralem dimittunt. Maximum autem beneficium est illud, quod omnes vndique afflictos susceperunt, ac fouerunt. Nulla namque Græciæ gens est, vt ita dicam, quæ hac ciuitate non sit vsa. Quorum omnium meminisse primo factu sit difficile, & pares memoriæ sermones accommodare, quæ prima sunt, & antiquissima exponam. Cum Hercules è viuis excessisset, vrbs ei primum templa & aras consecrauit.

Athenarum laus.

Hercules.

[*Subiecta phrasis per eclipsim, aliquid blandi habens, qua sæpe vtitur.*]

Et nunc ciuitatis stant beneficio Messenij. Etenim sola cum omnium fortuna perpetuo cōtendit vrbs, omniúmq; clades in melius conata est conuertere, vetúsq; dictum immutauit. Ostendit enim se amicos infelices nequaquam fugere, cum permultos etiā, à quibus antea diffidebat, post acceptas clades in amicitiā recepit. Nec quos felices admiserat, infelices factos dimiserit, quasi fortunæ humanitatem accōmodaret, sed infortuniis ad beneficiorū occasionem sit vsa, de suo plerisque impertiens, quæ prius nunquam vel sperauerant. Et iam ad vtrumq; terræ terminum vestri habitant liberi,

ΑΡΙΣΤΕΙΔΟΥ Ο ΠΑΝΑΘΗΝΑΙΚΟΣ.

σμς'.

Ex Aristidis oratione panathenaica excerpta.

ΑΝΕΓΝΩΣΘΗ Ἀριστείδου ὁ παναθηναϊκὸς, ἐκλογὴν ὑπέχων ῥημάτων τε καὶ ὀνομάτων, καὶ περιόδων· ἀλλὰ καὶ νοημάτων εἰς δεινότητα καὶ κάλλος διεσκευασμένων.

Ἔρρωτο μὲν ἡ γῆ πρὸς ἁπάσας γονάς· λαβόντες δὲ οὕτω τὰς παρὰ τῶν θεῶν δωρεὰς, οὕτως εὖ τοὺς δόντας ἐμιμήσαντο, ὥστε αὐτοὶ τοῖς ἄλλοις ἀνθρώποις ἀντὶ τῶν θεῶν κατέστησαν. καὶ πεῖραν ταύτην πρώτην ἔδοσαν τοῦ κατ' ἀξίαν τυχεῖν τὸ χρήσασθαι τοῖς ὑπάρχουσιν ὡς προσῆκεν. οὐ γὰρ ἠξίωσαν αὐτὸ δὴ τοῦτο γῇ κρύψαντες ἐξαρκεῖν· ἀλλὰ τοσοῦτον ἀπέσχον τοῦ φοβηθῆναι, μὴ ἄρα τοὺς ἄλλους ἐξίσου σφίσι ποιήσωσιν. ὥστε οὐκ εἶναι κάλλιον ᾠήθησαν, ὅσῳ τῶν ἄλλων προέχουσιν ἐνδείξασθαι, ἢ εἰ πάντας εὖ ποιοῦντες ὀφθήσονται. ἀλλ' ὁ λόγος γὰρ ὥσπερ ῥεῦμα φέρον ὑπήνεγκε βίᾳ. ἀναχωρεῖν οὖν ὅθεν ἐξέβην καιρός. πέμπουσι δὴ θείᾳ πομπῇ γῆν ἐπὶ πᾶσαν, ἀφορμὰς τοῦ βίου καθάπερ θεωρικοῦ τινος διάδοσιν. εὖ γὰρ ποιοῦντες, ἔφθανον τὴν ἐπιθυμίαν τῶν εὖ παθεῖν δεομένων. ἡ γάρ ἐστι γένος οὐδὲν τῆς ἑλλάδος, ὡς ἔπος εἰπεῖν, ὃ τῆσδε τῆς πόλεως ἀπείρατόν ἐστι. ὧν ἁπάντων μὲν ἀμήχανον καὶ μνημονεῦσαι πρῶτον, καὶ τῆς μνήμης τοὺς λόγους συμμέτρους ἀποδοῦναι. ἃ δέ ἐστι τῶν παλαιῶν ἐντιμότατα, καὶ ὥσπερ ἀρχὴ τοῖς πολλοῖς διηγεῖσθαι· Ἡρακλέους ἐξ ἀνθρώπων ἀπελθόντος, ἡ μὲν πόλις καὶ νεὼς καὶ βωμοὺς ἱδρύεται πρώτη.

[κατ' ἔλλειψιν ἡ προκειμένη φράσις, ἔχουσά τι ἐπαγωγόν· πολλαχοῦ δὲ αὐτῇ κέχρηται.] σχόλιον.

Καὶ νῦν εἰσὶ μεσσήνιοι διὰ τὴν πόλιν. μόνη γὰρ (ὡς εἰπεῖν) διαγέγονε πρὸς τὴν ἁπάντων τύχην διαμιλλωμένη, καὶ πειρωμένη πάσι τὰς συμφορὰς μεταβάλλειν ἐπὶ θάτερα· καὶ τὴν παροιμίαν ἐνήλλαξεν. οὐ γὰρ ἐκποδὼν εἶναι κατέδειξε, φίλου κακῶς πράσσοντος· ἀλλὰ πολλοὺς καὶ τῶν πρόσθεν διαφόρων ἐπὶ τοῖς ἀτυχήμασι φίλους πεποίηται. *οὐδ' εὖ μὲν πράττουσι κέχρηται, κακῶς δὲ ἀπαλλάξαντας ἠτίμασε, τῇ τύχῃ μετροῦσα τὴν φιλανθρωπίαν: ἀλλὰ τοὺς τοῦ δυστυχεῖν καιροὺς, τοῦ πράττειν εὖ πεποίηκε τοῖς πολλοῖς τὰ παρ' αὐτῆς ἀγαθὰ προσθεῖσα, καὶ ποιησαμένη κοινωνοὺς ὧν ὅτι κάλλιστα ἐπεπράττετο, οὐδ' ἐλπὶς ἦν αὐτοῖς. καὶ νῦν ἐπ' ἀμφοτέροις τοῖς πέρασι τῆς γῆς ἡμετέρων παίδων παῖδες οἰκοῦσιν· οἱ μὲν *al. ὁ δὲ.

οἱ μὲν ἄχρι γαδείρων ἀπὸ μασσαλίας παρήκοντες, οἱ δὲ ἐπὶ τῷ Ταναΐδι καὶ τῇ λίμνῃ μεμερισμένοι. ἐκδέχεται δὲ ἡ πάλαι τοῦ λόγου προσδοκωμένη μοῖρα, ὡς ἐμοὶ δοκεῖ, καὶ * ὑπὲρ πολλῶν αἱ τῶν κινδύνων πράξεις· ἃς ἐγὼ δέδοικα μὴ τῷ λέγοντι κίνδυνον ἔχωσιν εἰπεῖν μᾶλλον, ἢ τῇ πόλει, τῶν ἔργων ὅτε ἐπραγματεύετο. οὐ μὴν ἀλλ' ἀναγκαῖον ἅψασθαι καὶ τούτων ἤδη. καὶ μὴν αὐτὸ τοῦτο πρῶτον, τὸ πάντας τοὺς ἐν χρείᾳ βοηθείας καταφεύγειν ἐπὶ τὴν πόλιν, ὥσπερ ἐκ δυοῖν ποδοῖν [ὡς] ἀληθῶς, καὶ μηδεμίαν τῶν ἄλλων πόλεων ὁρᾶν μέγα καὶ φανερὸν σύμβολόν ἐστι, καὶ στήλης ἄμεινον, τοῦ προέχειν εὐθὺς ἐξ ἀρχῆς, οὐχ ὅσον λανθάνειν καὶ μαρτύριόν * γε δυοῖν τοῖν καλλίστοιν, ἀνδρείας, καὶ φιλανθρωπίας. [εἰ δὲ βούλει λέγω δικαιοσύνης ἀντὶ τῆς φιλανθρωπίας.] ὥσπερ γὰρ κήρυκες ἅπαντες οὗτοι περὶ αὐτῆς γεγόνασι, καὶ τὴν ἀνάρρησιν ἀπ' αὐτῶν τῶν ἔργων πεποίηνται· μήτε μέλειν τινὶ τοῦ δικαίου μᾶλλον τῶν ἀθηναίων, μήτε ἀμείνους εἶναι κωλύειν ὅσα αὖ ἔξω τοῦ καλοῦ γίγνοιτο· ἀλλ' εἶναι τὰς μὲν ἄλλας πόλεις * τῶν ἀθηναίων διορθώσεις· αὐτὰς δὲ ἐφ' ἑαυτῶν ἀριθμὸν πληρούσας τῇ ἑλλάδι. τὴν δὲ ὡς ἀληθῶς ὥσπερ πόλιν ἐν χωρίοις ἀνέχουσαν ὁμοίαν τῇ κατασκευῇ καὶ τοῖς λογισμοῖς, τῶν μὲν τὰ δίκαια τιμώντων * ὀχυρωτέραν, τῶν δὲ τὰς δυνάμεις ἐχόντων ἐπιεικεστέραν· μᾶλλον δὲ τῶν μὲν τὰ δίκαια τιμώντων ἀκριβεστέραν εἰς αὐτὸν τὸν τοῦ δικαίου λόγον, τῶν δὲ ἐπὶ τοῦ βιάζεσθαι δυνατωτέραν εἰς τέλος· ὥστε ἄμφω τὰ γένη δι' ἀμφοῖν νικᾶν. ταυτὶ μὲν οὖν κοινὰ δείγματα.

Σχόλιον. [Τὸ προκείμενον τοῦ λόγου σχῆμα διαφόροις ὀνόμασι κέκληται· καὶ γὰρ στρεπτόλυτον καλεῖται, καὶ διάλληλον, ἐναγώνιον, διαγώνιον, χι χιαστόν, πλεκτόν, καὶ λυτόν, παρακειμένου κακοῦ ἀναίρεσις. στρεπτόλυτον μὲν, παρὰ τὸ ἐκ τῶν ἀντιστρόφων λύειν τὰ λεγόμενα· ἐναγώνιον δὲ, διὰ τὸ δοκεῖν ἔχειν ἀγῶνα τῇ ἐπαγωγῇ τῶν νοημάτων. χι δὲ χιαστόν, διότι δύο προτάσεων οὐσῶν τοῦ δικαίου καὶ τοῦ δυνατοῦ, ὃ μὲν ἔδει τῷ δικαίῳ δοῦναι, τοῦτο ἀπένειμε τῷ δυνατῷ· ὃ δὲ ἔδει τῷ δυνατῷ, ἀνέθηκε τῷ δικαίῳ πάλιν, ἐναλλάξας τὰς ἐννοίας. παρακειμένου δὲ κακοῦ ἀναίρεσις λέγεται, ἐπειδὴ παράκειται ὡς δικαίοις, τὸ εὐχερῶς πάσχειν καὶ ἀδικεῖσθαι· ὡς δὲ ἀνδρείοις, τὸ ἀδικεῖν, ἀνεῖλε τὴν ἑκατέρου κακίαν. οἷον δικαία οὖσα καὶ οὐ πάσχουσα, καὶ ἀνδρεία οὖσα καὶ ἀδικοῦσα οὐδ' ὅλως. εἰ γὰρ καὶ ἐν τέλει ἔθηκε τὸ συγκριτικὸν τοῦ ὀνόματος, ἀλλ' οὐκ ἔστι τὸ σχῆμα συγκριτικόν· ἀλλ' ὡς εἴρηται παρακειμένου κακοῦ μεθόδευσις ἀναίρεσιν.]

Ἀμαζόσι μὲν γὰρ, αἳ παρῆλθον τοῖς ἔργοις τὴν φύσιν, ἱππομαχίας συνάψαντες, πανωλεθρίᾳ διέφθειραν· οὐδενὸς ἀνταίροντος τῶν μέχρι τῆς ἀττικῆς· ἀλλ' ἐξιστάκεσαν ἤδη * τὰς ἠπείρους, ὥσπερ ἀπὸ σημείου τοῦ θερμώδοντος [ὁρμώμεναι.] ἐντεῦθεν δὲ, ὥσπερ * κάλω ῥαγέντος, ἐχώρησεν ὀπίσω· καὶ διελέλυτο ἀμαζόσιν ἥ τε ἀρχὴ, καὶ ὁ δρόμος, καὶ ἡ πόλις. κἀνταῦθα ἐβοήθησε τῇ κοινῇ φύσει, καὶ νῦν εἰς ἄπιστον περιέστηκεν, εἴ ποτε ἐγένοντο. νῦν δὲ ἐξίσου καθεστῶτος τοῦ τε εὑρεῖν ἃ χρὴ παραλιπεῖν, καὶ τοῦ * πρὸς ἀξίαν εἰπεῖν τὰ * νικήσαντα· καὶ οὐδενὸς μὲν οὐδ' ἐν ἁπλῇ διηγήσει * πάντα πω διεξεληλυθότος, πλεῖστα δὲ ὑπὲρ μιᾶς πόλεως ταύτης ἁπάντων εἰρηκότων· μᾶλλον δὲ ὑπὲρ μόνης πλείω σχεδὸν, ἢ τῶν ἄλλων ἁπασῶν,

Margin notes: * Aliter ὑπὸ. * al. τα. * al. τῶν. * al. σχετικώτερα. * al. ναύτην ἐπὶ ... * al. χάλεω. * πρὸς ἀξίαν. * δέξαντα ... * πάντων πως διεξιόντος.

ARISTIDES.

partim ad Gades vsque à Massilia pertinentes, partim per Tanaim, ac paludem diffusi. Sequitur ea nunc orationis pars, à multis, vt opinor, exspectata, quæ res belli summo discrimine gestas complectitur, quas equidem metuo maiorem narrandi difficultatem dicenti, quam ciuitati olim gerendi, exhibituras esse non tamen necesse eas iam est attingere. Atqui hoc ipsum primum, quod omnes, qui sunt in necessitate constituti, ad hanc vrbem, vtroque, vt aiunt, pede confugiunt; nec ad aliud vllum oppidum respiciunt, id euidenter, omnique columna clarius ostendit, eam ab initio statim Græciæ principem, non modo non ignobilem fuisse, ac de rebus duabus pulcherrimis, fortitudine & humanitate [aut potius iustitia, testimonium illi perhibet.] Etenim isti omnes instar præconum ipsius fuerunt; qui experientia docti prædicarent, Athenienses & iustissimos esse, & iniuriam optimè coercere, aliásque ciuitates huius indigas, pro se singulas Græciæ numerum explere, hanc autem vere tanquam vrbem inter pagos eminere, apparatu & prudentia æquali instructam, vt iustis fortiorem, ita potentibus æquiorem, aut potius & iustis exacte iustiorem, & violentis potiorem, ita vt vtrosque vtroque superet. Atque hæc quidem communia sunt exempla.

SCHOLION.

[*Hoc orationis schema variis nominibus appellatur. Etenim dicitur streptolytum, diallelon, enagonium, diagonium, chiastum, implicatum, solutum, subiecti mali amolitio. Streptolytum quidem, quia ex æquiualentibus soluit dicta. enagonium vero quia videtur habere certamen in inductione sensuum, chiastum, quia duarum propositionum, iusti scilicet & potentis, quod quidem oportebat dare iusto, dat potenti, quodque potenti, iterum dat iusto, sensum permutans. Dicitur autem subiecti mali amolitio, cum subiicit vt iustis, facile pati iniuriam, vt fortibus vero iniuriam facere, sustulit vtriusque malitiam. quale est, iusta est & non patiens. & fortis est & iniuriam faciens haudquaquam. Si enim in fine posuit nominis comparatiuum, sed non est schema comparatiuum, sed vt dictum est, subiecti mali machinatur amolitionem.*]

Amazones.

Nam cum Amazonibus, quarum facta superarunt naturam, equestri prælio commisso, totam gentem deleuerunt, cum eis nullus ad Atticam vsque restitisset, verum omnia solo adæquassent, à Thermodonte quasi centro [profectæ.]

Vnde tunc omnia quasi fune rupto retrocesserunt, dissoluto Amazonum & imperio, & excursu, & vrbe, & sic communi subuenit naturæ, effecitque, vt iam dubium sit, an vnquam exstiterint. At nunc cum par labor in quæstione omittendorum, & digna eorum, quæ clarissima videantur explicatione sit ponendus, nec quisquam adhuc vel nuda narratione sit omnia complexus, quamuis alioqui plurima singuli, de hac vna ciuitate, atque adeò plura quam de reliquis omnibus, dixerint,

DIODORVS Siculus.

illorum res eo redegerunt, vt profligatæ fuerint. Igitur non amplius bellarunt, sed C. Coscinio in Iapygiam duce misso, sæpe victi sunt, atque ita superati, & ex multis pauci relicti, communi sententia nouam deserunt vrbem Corfinium, quoniam Marsi & omnes finitimæ gentes desciuerant ad Romanos. Consederunt autem in Æsernia Samnitum, creatis sibi quinque ducibus, quorum vni maximè. Q. Popædio Siloni omnium imperium crediderunt, propter eius imperandi virtutem atque gloriam. Is de communi ducum sententia magnum exercitum comparauit, adeò vt in vniuersum, cum iis qui iam erant, fuerit circiter triginta millia. Præter hos congregauit etiam seruos, à se libertate donatos, & vt tempus ferebat armatos, non multò pauciores decem millibus, & equites mille. Ac prœlio cum Romanis congressus, quorum dux erat Mamercus, Romanos paucos interficit, & suorum supra sex millia amittit. Per idem tempus Metellus in Apulia Venusiam, vrbem satis magnam, & milites multos habentem, expugnauit, & plusquam tria millia captiuorum cepit. Iamque superantibus indies magis magisque Romanis, mittunt Itali ad Mithridatem regem Ponti, pollentem tunc bellica manu atque apparatu, petentes vt in Italiam aduersus Romanos adduceret copias, ita enim facilè coniunctis copiis posse Romanorum vires deturbari. Mithridates responsum dat, ducturum se copias in Italiam, postquam Asiam subegerit, id enim agebat. Hanc ob rem prorsus reiecti rebellatores despondebant animos. Erant enim reliqui Samnitum pauci, & Sabelli Nolæ degentes, & præter hos Lamponius & Cleptius, habentes Lucanorum reliquias. Itaque Marsico bello iam ferè exolescente, superioris temporis seditiones ciuiles Romæ nouos motus faciebant, multis illustribus viris belli imperium aduersus Mithridatem ambientibus, propter præmiorum magnitudinem. Nam & C. Iulius, & C. Marius, is qui sexies consulatum gesserat, inter se contendebant & plebis pars altera alteri suffragabatur. Extiterunt & aliæ turbæ. Iam Sulla consul Roma profectus, ad congregatas apud Nolam copias venit, & multos finitimorum perterritos coëgit, & seipsos & vrbes dedere. Cùm autem Sulla in Asiam aduersus Mithridatem profectus fuisset, & Roma magnis tumultibus, & ciuilibus cædibus destinaretur, M. Aponius & Tib. Cleptius, præterea Pompeius, reliquorum Italorum duces in *Bretia degentes, Asiæ vrbem validam cum diu obsedissent, non potuerunt capere, sed relicta in obsidione parte exercitus, reliqua parte Rhegium acriter obsidentes, sperantes, si hac potiti fuerint, facilè in Siciliam transportaturos copias, & insula potituros omnium quæ sub sole essent beatissima. Verùm eius dux C. Orbanus magno exercitu & apparatu & alacritate vsus,

Mithridates.

* Brutio.

Sicilia laus.

τὰ πράγματα αὐτῶν εἰς τὸ *συντρίβεσθαι περιέστησαν· ἐπολέμησαν δ' οὖν οὐκέτι· ἀλλὰ *Γαΐου Κοσκινίου σταλέντος εἰς Ἰαπυγίαν στρατηγοῦ, πολλάκις ἡττήθησαν. εἶτα ἐλαττωθέντες, εἰ καὶ ἐκ πολλῶν ὀλίγοι καταλειφθέντες, κοινῇ γνώμῃ τὴν κοινὴν ἐκλείπουσιν πόλιν τὸ Κορφίνιον· διὰ τὸ τοὺς Μάρσους καὶ πάντα τὰ γειτνιῶντα τῶν ἐθνῶν προσκεχωρηκέναι τοῖς Ῥωμαίοις. εἰς δὲ τὴν ἐν Σαυνίταις Αἰσερνίαν καθίδρυσαν, πέντε στρατηγοὺς αὐτοῖς ἐπιστήσαντες. ὧν ἑνὶ [μάλιστα] Κοΐντῳ Πομπαιδίῳ Σίλωνι τὴν πάντων ἡγεμονίαν ἐπίστευσαν, διὰ τὴν περὶ αὐτὸν ἐν τῷ στρατηγεῖν ἀρετήν τε καὶ δόξαν. οὗτος δὲ μετὰ τῆς κοινῆς τῶν στρατηγῶν γνώμης κατεσκεύασε μεγάλην δύναμιν, ὡς τοὺς σύμπαντας μετὰ τῶν ὑπαρχόντων περὶ τρισμυρίους γενέσθαι. χωρὶς δὲ τούτων τοὺς δούλους ἐλευθερώσας, καὶ (ὡς ὁ καιρὸς ἐδίδου) καθοπλίσας, συνῆγεν οὐ πολὺ λείποντας τῶν δισμυρίων, ἱππεῖς δὲ χιλίους. συμβαλὼν δὲ Ῥωμαίοις, Μαμέρκου στρατηγοῦντος αὐτῶν, Ῥωμαίους μὲν ἀναιρεῖ ὀλίγους· τῶν δ' οἰκείων ὑπὲρ ἑξακισχιλίους ἀποβάλλει. καὶ Μέτελλος κατὰ τὴν Ἀπουλίαν τὴν *Οὐενουσίαν πόλιν ἀξιόλογον οὖσαν, καὶ στρατιώτας πολλοὺς ἔχουσαν, ἐξεπολιόρκησε. κατὰ καιρὸν δὲ αὐτὸν καὶ πλείους τῶν τρισχιλίων αἰχμαλώτους εἷλον. ἐπικρατούντων δ' ἐπὶ μᾶλλον καὶ μᾶλλον τῶν Ῥωμαίων· πέμπουσιν οἱ Ἰταλοὶ πρὸς Μιθριδάτην τὸν βασιλέα Πόντου, ἀκμάζοντα τότε πολεμικῇ χειρὶ καὶ παρασκευῇ, ἀξιοῦντες ἐπὶ τὴν Ἰταλίαν κατὰ Ῥωμαίων ἄγειν τὰς δυνάμεις· οὕτω γὰρ *ῥᾴδιον ἂν συναφθέντων, τὸ Ῥωμαϊκὸν καταβληθήσεσθαι κράτος. ὁ δὲ Μιθριδάτης ἀπόκρισιν δίδωσιν, ἄξειν τὰς δυνάμεις εἰς [τὴν] Ἰταλίαν, *ἐπειδὰν αὐτῷ καταστήσῃ τὴν Ἀσίαν· τοῦτο γὰρ καὶ ἔπραττε. διὸ παντελῶς οἱ ἀποστάται τεταπεινωμένοι ἀπεγίνωσκον. λοιποὶ γὰρ ὑπῆρχον Σαυνιτῶν ὀλίγοι. καὶ Σαβελλοὶ διατρίβοντες ἐν τῇ Νώλᾳ καὶ πρός γε τούτοις οἱ περὶ Λαμπώνιον καὶ Κλεπίτιον, ἔχοντες λείψανα τῶν Λευκανῶν. διὸ τοῦ Μαρσικοῦ πολέμου σχεδὸν ἤδη διαλυομένου, πάλιν αἱ προγεγενημέναι στάσεις ἐμφύλιοι κατὰ τὴν Ῥώμην κινήσεις ἐλάμβανον· ἀντιποιουμένων πολλῶν ἐνδόξων τὸ τυχεῖν τῆς κατὰ Μιθριδάτου στρατηγίας, διὰ τὸ μέγεθος τῶν ἐπάθλων· Γάϊός τε γὰρ Ἰούλιος καὶ Γάϊος Μάριος, ὁ ἑξάκις ὑπατεύσας, ἀντεφιλονείκουν· καὶ τὸ πλῆθος ἦν ἑκατέροις συμμεριζόμενον ταῖς γνώμαις. συνέβησαν δὲ καὶ ἕτεραι ταραχαί. ὁ μὲν οὖν Σύλλας ὕπατος ὤν, χωρισθεὶς τῆς Ῥώμης, πρὸς τὰς περὶ Νῶλαν ἠθροισμένας παρεγένετο δυνάμεις· καὶ πολλοὺς τῶν πλησιοχώρων καταπληξάμενος, ἠνάγκασε παραδοῦναι σφᾶς αὐτοὺς καὶ τὰς πόλεις. τοῦ δὲ Σύλλα στρατεύσαντος μὲν *ἐπὶ τὴν Ἀσίαν κατὰ Μιθριδάτου, τῆς δὲ Ῥώμης μεγάλαις ταραχαῖς καὶ φόνοις ἐμφυλίοις περισπωμένης· Μάρκος Ἀπώνιος καὶ Τιβέριος Κλεπίτιος, ἔτι δὲ Πομπήϊος, οἱ τῶν ὑπολοίπων στρατηγοὶ Ἰταλιωτῶν, διατρίβοντες ἐν τῇ *Βρεττίᾳ, Ἀσίας μὲν πόλιν ὀχυρὰν ἐπὶ πολὺν χρόνον πολιορκήσαντες, τῇ λοιπῇ τὸ Ῥήγιον ἰσχυρῶς ἐπολιόρκουν· ἐλπίζοντες, εἰ ταύτης *κρατήσαιεν, ῥᾳδίως εἰς τὴν Σικελίαν διαβιβάσειν τὰς δυνάμεις, καὶ κρατήσειν τῆς εὐδαιμονεστάτης τῶν ὑπὸ τὸν ἥλιον νήσων. ἀλλ' ὁ ταύτης στρατηγὸς Γάϊος Ὀρβανὸς, πολλῇ δυνάμει καὶ παρασκευῇ καὶ προθυμίᾳ χρησάμενος,

* al. τρίβεσθαι
* Γαΐω.
* Οὐενουσίαν.
* al. ῥᾳδίως.
* al. ἕως ἂν αὐτῷ.
* al. ἐπὶ.
* Βρεττία.
* al. κρατήσαντες.

ἐ

καὶ καταπληξάμενος τοὺς Ἰταλιώτας τῷ μεγέθει τῆς παρασκευῆς, ἐξήρπασε τοὺς *Ῥηγίνους. εἶτα τῆς περὶ Σύλλαν καὶ Μάριον ἐμφυλίου στάσεως ἀναρριπισθείσης Ῥωμαίοις· οἱ μὲν Σύλλᾳ, οἱ δὲ Μαρίῳ συνεμάχησαν. καὶ τὸ μὲν πλέον αὐτῶν ἔπεσε τοῖς πολέμοις· τὸ δὲ ὑπόλοιπον ἐπικρατήσαντι Σύλλᾳ *προσεχώρησε. καὶ οὕτω τέλεον τῇ ἐμφυλίῳ συναπέσβη στάσει μέγιστος γεγονὼς, καὶ ὁ Μαρσικὸς ἐπικληθεὶς, πόλεμος.

* al. [illegible]

* al. προσεχώρησαν.

Ὅτι μεγάλη στάσις ἐμφύλιος ἤδη διαλυομένου τοῦ Μαρσικοῦ γέγονε πολέμου, ἧς ἡγοῦντο Σύλλας καὶ Γάϊος Μάριος, υἱὸς ὢν, ὁ Μαρίου τοῦ πολλάκις ὑπατευκότος (ἑπτάκις γὰρ ὑπάτευσε) παῖς. ἐν δὲ τῇ στάσει πολλαὶ μυριάδες ἀνθρώπων ἀνῃρέθησαν. ἐκράτησε δὲ ὁ Σύλλας· καὶ δικτάτωρ γεγονὼς, ἐπαφρόδιτόν τι ὀνομάσας ἑαυτὸν, οὐκ ἐψεύσθη τῆς ἀλαζονείας· κρατῶν γὰρ τοῖς πολέμοις, ἰδίῳ ἀπεβίω θανάτῳ. ὁ δὲ Μάριος μάχῃ τῇ πρὸς Σύλλαν γενναίως ἀγωνισάμενος, ὅμως ἡττηθεὶς κατέφυγεν εἰς Πραίνεστον, ἅμα μυρίοις πεντακισχιλίοις συγκλεισθεὶς δὲ ἐν αὐτῇ, καὶ χρόνον οὐκ ὀλίγον πολιορκηθεὶς· ἠναγκάσθη, πάντων αὐτὸν ἐγκαταλιπόντων, καὶ μηδεμίας σωτηρίας ὁδὸν καθορῶν, τὴν ἑνὸς οἰκέτου τῶν πιστῶν χεῖρα εἰς λύσιν τῶν δεινῶν παρακαλέσαι. καὶ ὅ γε πεισθεὶς, καὶ μιᾷ πληγῇ τοῦ βίου τὸν δεσπότην ἀπαλλάξας, ἑαυτὸν ἐπικατέσφαξε. καὶ παύεται μὲν αὕτη ἡ στάσις. λείψανα μέν τοι τοῦ πολέμου ὑπολειφθέντα τῆς Μαρίου μοίρας ἐπὶ χρόνον Σύλλᾳ διεμαχέσαντο, ἕως καὶ αὐτὰ συνδιέφθορε τοῖς ἄλλοις. μετὰ μέν τοι τὴν τούτων ἀπαλλαγὴν, Πομπηΐῳ τῷ ἐπικληθέντι Μάγνῳ, διὰ τὰς πράξεις ἃς κατώρθωσε Σύλλᾳ τε πρότερον καὶ καθ' ἑαυτὸν Ῥωμαίοις· τούτῳ δὴ καὶ Ἰουλίῳ Καίσαρι ἔρις ἐκκαεῖσα, εἰς ἐμφυλίους σφαγὰς τοὺς Ῥωμαίους πάλιν ἠνάγκασε συστραφῆναι. Πομπηΐου δὲ λαμπρῶς τοῖς ὅλοις ἡττηθέντος, καὶ κατὰ τὴν Ἀλεξάνδρειαν ἀναιρεθέντος· συστέλλεται μὲν ἡ τῶν ὑπάτων ἀρχὴ εἰς μοναρχίαν Καίσαρι τῷ Ἰουλίῳ, παύει δὲ τέλεον καὶ ἡ στάσις. ἐκείνου δὲ ἀνῃρημένου, κατὰ Βρούτου καὶ Κασσίου τῶν ἀνελόντων πόλεμος ἐμφύλιος κινεῖται, *χειμαζομένων Λεπίδου τε καὶ Ἀντωνίου, καὶ Ὀκταβιανοῦ τοῦ Αὐγούστου τὴν ὕπατον ἀρχὴν ἐχόντων. οὐ βραδέως δὲ τοῦ πολέμου κρίσιν τοῖς ὅπλοις λαβόντος, καὶ νικηθέντων καὶ ἀναιρεθέντων τῶν περὶ Κάσσιον καὶ Βροῦτον· μετ' οὐ πολὺ ῥήγνυται εἰς τὸ φανερὸν ἡ ἐνδομυχοῦσα Αὐγούστου καὶ Ἀντωνίου ὑπὲρ τῆς φιλοπρωτίας ἅμιλλα. καὶ πολλῶν συγγενῶν αἱμάτων ἑκατέρωθεν ἐκχυθέντων· τὸ κράτος Αὐγούστῳ βεβαιοῦται, καὶ τῶν ὅλων ἡ ἐξουσία αὐτῷ παραμένει διὰ βίου, τῆς τῶν ὑπάτων λοιπὸν ἀρχῆς τὴν [ἰδίαν] τάξιν καὶ δυναστείαν ἀποβεβληκυίας.

* χειριζομένων.

Ὅτι τὸ τῶν ἰλλουστρίων ἀξίωμα τρίτον ἀπὸ τῆς πατρικίων τάξιν ἐπέχειν οὗτός φησιν.

Ὅτι πρὸ τῆς τοῦ Αὐγούστου μοναρχίας ταῦτα ἐγίνωσκον Ῥωμαῖοι ἀρχικοῦ κράτους ὀνόματα, πατρικίους, οἳ καὶ βουλὴ καὶ σύγκλητος ἐκαλοῦντο· δημάρχους· τοὺς προεστῶτας τοῦ δήμου· ἀγορανόμους· ὑπάτους, τοὺς ἔχοντας *ὑπεύθυνον τὸ κατὰ πάντων κράτος· [δικτάτορα, ἔχοντα καὶ αὐτὸν, ἀλλ' ἀνυπεύθυνον καὶ μεῖζον τὸ κατὰ πάντων κράτος·] στρατηγοὺς, ὑπάρχους· αὐτοκράτορας στρατηγούς· ἀνθυπάτους· καὶ ἕτερα τοιαῦτα.

* al. ἀνυπεύθ. τὸ κατὰ πάντων κράτος ἔχοντας &c.

percutit Italos apparatus magnitudine, atque ita Rhegienses ex periculo eripuit. Deinde cùm exarsisset apud Romanos Sullæ & Marij ciuilis seditio, alij Sullæ, alij Marij partes secuti sunt: & eorum pars maior bellis cecidit: reliqua ad victorem Sullam desciuit, atque ita tandem vnà cum seditione ciuili exstinctum est bellum illud Marsicum appellatum, cùm fuisset maximum.

DIODORVS Siculus.

Extitit autem, exolescente iam bello Marsico, ingens seditio ciuilis, cuius duces erant Sulla & C. Marius, iuuenis adhuc C. Marij filius, eius qui toties (septies enim) consulatum gessit. In ea seditione interfecta sunt hominum multa millia, ac superior factus Sulla, & dictator creatus *Felicem seipsum nominauit, quæ eum arrogantia non fefellit. Armis enim superior propria morte occubuit. Marius verò prælio cum Sulla congressus, quamuis generosè præliatus, tamen victus Præneste confugit, vnà cum mille quingentis militibus, & in ea vrbe conclusus, nec parum diu obsessus, coactus est (ab omnibus derelictus, nec vllam salutis viam videns) vnius fidelis famuli manum finiendis miseriis inuocare. Et ille obsecutus, vno ictu herum vita priuauit, & seipsum insuper ingulauit. Et sedata est quidem seditio: verùm reliquæ belli reliquiæ factionis Marianæ Sullæ aliquandiu repugnarunt, donec ipsæ quoque cum aliis profligatæ sunt. Veruntamen post horum finem, inter Pompeium (cui propter rerum gestarum magnitudinem, quas Romanis partim Sullam iuuando, partim ipse suo Marte gessit, Magno cognomen fuit) inter hunc, inquam, & Iulium Cæsarem accensa discordia ad ciuiles cædes Romanos iterum sese conuertere coëgit. Pompeio deinde egregiè omni ex parte superato, & ad Alexandriam interfecto, imminuta est consulum potestas, & sub vnius Iulij Cæsaris dominatum redacta, tandémque seditio sedata. Illo deinde interfecto, aduersus Brutum & Cassium eius interfectores ciuile bellum motum est, auctoribus Lepido & Antonio, & Octauiano Augusto, Consulatum gerentibus. Quod bellum cùm finem armis non tardè accepisset, & Cassius atque Brutus victi occisique fuissent, non multò post erupit in apertum occulta Antonij & Augusti de primatu contentio, ac post fusum vtrinque multum cognati sanguinis, stabilitæ sunt vires Augusti, & ei summa potestas per omnem vitam permansit, postquam consulare imperium, ordinem, potentiamque suam in posterum amisit.

* ἐπαφρόδιτον.

Marij mors.

Bellum ciuile Pompeianum.

Illustrium ait dignitatem tertium à patriciis ordinem sustinere.

Ante Augusti monarchiam, hæc magistratuum nomina habebant Romani. *Patricios*, qui *Consilium* & *Senatus* vocabantur. Tribunos plebis, qui populo præsunt; Censores, Consules, quorum potestas omnes excedebat, [Dictatorem, qui & potestatem, sed maiorem, quæque rationem reddere non cogeretur, habebat,] duces, tribunos, imperatores militares, proconsules, aliáque similia.

Magistratus Rom.

Hæc quæ iam posterioris sunt ætatis cùm Illustres dicti Diodori esse non videntur.

DIODORUS Siculus. * Fort. Consulis

* Proconsulis quidem insignia hæc sunt, secures duodecim, toga prætexta. Dictatoris quidem secures, & cætera.

CCXLV. E PLUTARCHI PARALLELIS EXCERPTA.

LEGIMUS è Plutarchi parallelis diuersos libros, quorum compendiosa descriptio hæc selecta magnam vtilitatem discentibus continet.

E Dionis vita.

Timæus. TIMÆUS Philisti in tyrannos studium atque fidem, occasionem sanè reprehendendi non iniustam arripiens, ad satietatem vsq; conuiciis hominem proscindit. Sanè qui tum ab eo viuente iniuria affecti fuissent, ignosci iis poterat, quod iræ impotentis essent. Eos autem qui posteriores tempore historias scripserunt, nihil eius factis læsos, oratione autem etiá adiutos, commune hominum iudicium dehortari debuit, ne contumeliosè aut scurriliter calamitates eis exprobrarentur, quibus quo minus iniuria fortunæ etiam optimus quisque feriatur, nihil obstat. Neq; verò sanus Ephorus, qui Ephorus. Philistum prædicans, quamuis fuerat callidissimus, malos mores & iniusta facta honestis in speciem præscriptionibus tegere, atque excusare crederetur, id tamen omni conatu atque opera crimen diluere non potuit, hominem fuisse eum tyrannorum studiosissimum, & qui maximè omnium luxum, potentiam, diuitias nuptiásque tyrannorum suspiceret atque admiraretur. Tutissimum est neque laudare Philisti facta, neque fortunas exprobrare.

Ex Bruto.

HUIUSMODI in primis Epistolis fuit Brutus. Iam verò aliis ad Cæsarem, aliis ad Antonium discedentibus, & exercitibus velut sub præcone prostantibus, atque ei qui plus dedisset se adiungentibus, desperatis planè rebus Italia excedere statuit, pedestríque itinere per Lucaniam ad mare Eleam venit. Inde Romam * Porcia reuersura, cum conaretur occultare doloré quem animo ob digressum mariti summum capiebat, victa est contéplatione picturæ cuiusdam, generosa aliâs, fortisq; mulier. Erat autem picturæ Græcum argumentum, Andromacha Hectorem comitans, puerum ab eo redditum accipiens, inque maritum respiciens. Hanc picturam intuenti Porciæ, affectuum suorum obiecta effigies lacrymas excussit, interdiúque sæpè eo accedens plorauit.

* Sic emendandum. Mal. enim hic πολιορκίας legitur, pro Πορκίας. Porcia Bruti Vxor.

Ex Paulo Æmilio.

IN quo passionum variarum morborumque internorum principatum duxit auaritia. De Perseo Macedonum rege ait Plutarchus.

Ex Demosthenis vita.

OMNIBUS auditis legatis Atheniensium qui ad se venerant Philippus, accuratissimè Demostheni respondit. Honore auté & humanitate eum, qua cæteros, non eadá est prosecutus, Æschiné & Philocraté magis amplexus.

σύμβολα μὲν οὖν τῆς ἀνθυπάτου ἀρχῆς, πελέκεις δώδεκα, καὶ τήβεννα περιπόρφυρος. τῆς δὲ δικτάτωρος, πελέκεις μὲν * ... λείπει.

ΤΩΝ ΠΛΟΥΤΑΡΧΟΥ ΠΑΡΑΛΛΗΛΩΝ διάφοροι λόγοι.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ ἐκ τῶν Πλουτάρχου παραλλήλων, διάφοροι λόγοι. ὧν ἡ ἔκδοσις κατὰ σύνοψιν ἐκλέγεται διάφορον χρησιμωδίαν.

E Plutarchi parallelis excerpta.

Ἐκ τοῦ βίου Δίωνος.

ΑΛλὰ Τίμαιος, οὐκ ἄδικον λαβὼν πρόφασιν, τὴν ὑπὲρ τῆς τυραννίδος τοῦ Φιλίστου σπουδὴν καὶ πίστιν, * ἐμπίμπλαται κατ' αὐτοῦ βλασφημιῶν. ᾧ τοὺς μὲν ἀδικηθέντας συγγνωστόν ἐστιν ἴσως ἄχρι τῆς [εἰς] ἀναίσθητα ὀργῆς χαλεποὺς γενέσθαι· τοὺς δὲ ὕστερον συγγράφοντας τὰ πεπραγμένα, καὶ τῷ μὲν βίῳ μὴ λυπηθέντας αὐτοῦ, τῷ δὲ λόγῳ χρωμένους ἡ δόξα παραιτεῖται μὴ μεθ' ὕβρεως μηδὲ μετὰ βωμολοχίας ὀνειδίζειν τὰς συμφοράς, ὧν οὐδὲν ἀπέχει καὶ τὸν ἄριστον ἀνδρῶν ἐκ τύχης μετασχεῖν. οὐ μὴν οὐδὲ Ἔφορος ὑγιαίνει τὸν Φίλιστον ἐγκωμιάζων· ὃς καίπερ ὢν δεινότατος ἀδίκοις πράγμασι καὶ πονηροῖς ἤθεσιν εὐσχήμονας αἰτίας περιβάλλειν, καὶ λόγους ἔχοντας κόσμον ἐξευρεῖν· αὐτὸς ἑαυτὸν οὐ δύναται πάντα μηχανώμενος ἐξελέσθαι τῆς γραφῆς, ὡς οὐ φιλοτυραννότατος ἀνθρώπων γένοιτο· καὶ μάλιστα πάντων ἀεὶ ζηλώσας καὶ θαυμάσας τρυφὴν καὶ δύναμιν, καὶ πλούτους καὶ γάμους τοὺς τῶν τυράννων. ἀλλὰ γὰρ Φιλίστου μὲν ὁ μήτε τὰς πράξεις ἐπαινῶν, μήτε τὰς τύχας ὀνειδίζων, ἐμμελέστατος.

* al. ἐμπίπλαται.

Ἐκ τοῦ Βρούτου.

ΕΝ μὲν οὖν ταῖς πρώταις ἐπιστολαῖς τοιοῦτος ὁ Βροῦτος. ἤδη δὲ τῶν μὲν ὡς Καίσαρα, τῶν δὲ ὡς Ἀντώνιον διϊσταμένων, ἐνίων δὲ τῶν στρατοπέδων ὥσπερ ὑπὸ κήρυκι προστιθεμένων τῷ πλεῖον διδόντι· παντάπασιν ἀπογνοὺς τῶν πραγμάτων, ἔγνω καταλιπεῖν Ἰταλίαν. καὶ πεζῇ διὰ Λευκανίας εἰς Ἐλαίαν ἐπὶ θάλασσαν * ἐπανῆκεν. ὅθεν ἡ πολιορκία μέλλουσα πάλιν εἰς Ῥώμην ἀποτρέπεσθαι, λανθάνειν μὲν ἐπειρᾶτο, περιπαθῶς ἔχουσα· γραφὴ δέ τις αὐτὴν προὔδωκε, τἆλλα γενναίαν οὖσαν. ἦν γὰρ ἐκ τῶν Ἑλληνικῶν διάθεσις Ἕκτωρ ὑπὸ Ἀνδρομάχης προπεμπόμενος, κομιζομένης παρ' αὐτοῦ τὸ παιδίον, ἐκείνῳ δὲ προσβλεπούσης. ταῦτα θεωμένην τὴν Πορκίαν ἡ τοῦ πάθους εἰκὼν ἐξέτηξεν εἰς δάκρυα· καὶ πολλάκις φοιτῶσα τῆς ἡμέρας ἔκλαιεν.

* al. ἧκεν.

Ἐκ τοῦ Αἰμυλίου.

ΕΝ ᾧ παθῶν τε παντοδαπῶν καὶ νοσημάτων ἐνόντων, * ἐπρώτευσεν ἡ φιλαργυρία. περὶ δὲ τοῦ Περσέως τῶν Μακεδόνων ὁ Πλούταρχος λέγει.

* ἐπρώτευε.

Ἐκ τοῦ Δημοσθένους.

ΟΤι τῶν πρέσβεων ἐξ Ἀθηνῶν πρὸς Φίλιππον παραγεγονότων, ἤκουσεν ἁπάντων ὁ Φίλιππος. ἀντεῖπε δὲ μετὰ πλείστης ἐπιμελείας πρὸς τὸν Δημοσθένους λόγον. οὐ μὴν ταῖς ἄλλαις τιμαῖς καὶ φιλοφροσύναις ὅμοιον αὐτὸν τῷ Δημοσθένει παρέσχεν, ἀλλὰ καὶ προσηγάγετο τοὺς περὶ Αἰσχίνην καὶ Φιλοκράτην μᾶλλον.

ὅθεν

ἤδη ἐπαρῳνηκότων ἐκείνων τὸν Φίλιππον, ὡς λέγοιτο δυνατώτατος, καὶ κάλλιστος ὀφθῆναι, καὶ νὴ Δία συμπιεῖν ἱκανώτατος· ἠναγκάζετο βασκαίνων ἐπισκώπτειν· ὡς τὸ μὲν σοφιστοῦ, τὸ δὲ γυναικός· τὸ δὲ σπογγιᾶς· εἴη δὲ βασιλέως οὐδὲν ἐγκώμιον.

Ὅτι τῆς θυγατρὸς τοῦ Δημοσθένους ἀποθανούσης, γνοὺς αὐτὸς κρύφα τὴν τοῦ Φιλίππου τελευτήν, * προῆλθε φαιδρὸς εἰς τὴν βουλήν, ἐπιθαρρύνων τοὺς Ἀθηναίους πρὸς τὰ μέλλοντα· καὶ ὄναρ ἑωρακέναι ἔλεγεν, ἀφ' οὗ τι μέγα προσδοκᾶν Ἀθηναίοις ἀγαθόν. καὶ μετ' οὐ πολὺ παρῆσαν οἱ τὸν Φιλίππου θάνατον ἀπαγγέλλοντες. καὶ * προῆλθεν ὁ Δημοσθένης ἐστεφανωμένος, ἔχων καὶ λαμπρὸν ἱμάτιον, ἑβδόμην ἡμέραν τῆς θυγατρὸς αὐτοῦ τεθνηκυίας· ὡς Αἰσχίνης φησί· λοιδορῶν αὐτὸν ἐπὶ τούτῳ, καὶ κατηγορῶν αὐτοῦ μισοτεκνίαν· αὐτὸς ὢν ἀγεννὴς καὶ μαλακός, εἰ * τὸ ταπεινὸν καὶ τοὺς ὀδυρμοὺς ἡμέρου καὶ φιλοστόργου ψυχῆς ποιεῖται σημεῖα· τὸ δὲ ἀλύπως καὶ πράως ταῦτα φέρειν ἀποδοκιμάζει. ἐγὼ δέ, ὡς μὲν ἐπὶ θανάτῳ βασιλέως ἡμέρως οὕτω καὶ φιλανθρώπως, ἐν οἷς ηὐτύχησε, χρησαμένου πταίσμασιν αὐτοῖς, στεφανηφορεῖν καλῶς εἶχε, καὶ θύειν· οὐκ ἂν εἴποιμι. πρὸς γὰρ τῷ νεμεσητῷ καὶ ἀγεννές, ζῶντα μὲν τιμᾶν, καὶ ποιεῖσθαι πολίτην. πεσόντος δὲ ὑφ' ἑτέρου, μὴ φέρειν τὴν χαρὰν μετρίως, ἀλλ' ἐπισκιρτᾶν τῷ νεκρῷ. Ὅτι μέν τοι τὰς οἴκοι τύχας, καὶ δάκρυα, καὶ ὀδυρμοὺς * ἀποβαλὼν ταῖς γυναιξὶν ὁ Δημοσθένης, ἃ τῇ πόλει συμφέρειν ᾤετο, ταῦτα ἔπραττεν· ἐπαινῶ, καὶ τίθεμαι πολιτικῆς καὶ ἀνδρώδους ψυχῆς, ἀεὶ πρὸς τὸ κοινὸν * ἐνιστάμενον, καὶ τὰ οἰκεῖα πράγματα καὶ πάθη τοῖς δημοσίοις ἐπανέχοντα, τηρεῖν τὸ ἀξίωμα πολὺ μᾶλλον, ἢ τοὺς ὑποκριτὰς τῶν βασιλικῶν καὶ τυραννικῶν προσώπων· οὓς ὁρῶμεν οὔτε κλαίοντας οὔτε γελῶντας ἐν τοῖς θεάτροις, ὡς αὐτοὶ θέλουσιν, ἀλλ' ὡς ὁ ἀγὼν ἀπαιτεῖ πρὸς τὴν ὑπόθεσιν. χωρὶς δὲ τούτων, * εἰ δεῖ τὸν ἀτυχήσαντα μὴ περιορᾶν ἀπαρηγόρητον ἐν τῷ πάσχειν κείμενον, ἀλλὰ καὶ λόγοις χρῆσθαι κουφίζουσι, καὶ πρὸς ἡδίω πράγματα τρέπειν τὴν διάνοιαν· ὥσπερ τοὺς ὀφθαλμιῶντας ἀπὸ τῶν λαμπρῶν καὶ ἀντιτύπων ἐπὶ τὰ μαλακὰ καὶ χλωρὰ χρώματα τὴν ὄψιν ἀπάγειν κελεύοντες. πόθεν ἄν τις * ἐπάγοιτο βελτίω παρηγορίαν, ἢ πατρίδος ἀτυχούσης ἐκ τῶν κοινῶν παθῶν ἐπὶ τὰ οἰκεῖα σύγκρασιν πορίζόμενος, [καὶ] τοῖς βελτίοσιν * ἐμφανιζούσας τὰ χείρω.

Ὅτι Δημοσθένης, φησί, πληγεὶς ὑπὸ τῆς δωροδοκίας Ἁρπάλου, ὥσπερ * δεδεγμένος φρουράν, προσκεχωρήκει αὐτῷ. καὶ ἀθροισθείσης ἐκκλησίας, ᾗ ἔμελλε τὰ περὶ Ἅρπαλον ἐπισκέψασθαι· * ἀντέλεγον γὰρ τοῖς βουλομένοις σώζειν αὐτὸν καὶ δέχεσθαι, πρὸ τοῦ τὴν χεῖρα τῷ χρυσίῳ ὑποσχεῖν: εὖ καὶ καλῶς ἐρίοις καὶ ταινίαις κατὰ τοῦ τραχήλου κατειλιξάμενος εἰς τὴν ἐκκλησίαν προῆλθε· καὶ κελευόντων ἀνίστασθαι, καὶ λέγειν ἀνένευεν, ὡς ἀποκεκομμένης αὐτοῦ τῆς φωνῆς. οἱ δὲ εὐφυεῖς χλευάζοντες, οὐχ ὑπὸ συνάγχης ἔφραζον, ἀλλ' ἀργυράγχης εἰλῆφθαι νύκτωρ τὸν δημαγωγόν.

* al. προῆλθε.
* al. προῆλθε.
* τὰ πένθη ἢ τοὺς Ald.
* al. ἀπολιπὼν. ἐπιτρέψας Ald.
* ἐνιστάμενα Ald.
* εἰ δεῖ Ald.
* al. ἐπάγοιτο. Ald. ἀπαγάγοιτο.
* ἐμφανίζουσαν Ald.
* παραδεδεγμένος Ald.
* ἀντέλεγε.

PLVTARC.

Quamobrem iis Philippum laudantibus, quod & facundissimus esset & formosissimus, & optimus potator, inuidiæ succumbēs ad irridendas eas laudes se contulit. Nullam regiam laudem hîc esse dicens, sed primum rhetori, alterum mulieri, tertium spongiæ cōuenire. Mortua filia Demosthenes, cum de obitu occultè Philippi cognouisset, vt animos Atheniensium bona futurorum spe iniecta præoccuparet, læto vultu in senatum prodiit. somnium se vidisse ferens, quod magnam aliquam populo felicitatem protenderet. Paulo post adfuere, qui Philippum vita excessisse enunciarent. Progressus est etiam in publicum Demosthenes splendidè vestitus ac coronatus, septimo à morte filiæ suæ die, quod Æschines exprobrandi causa refert, inhumanitatem ei erga liberos obiiciens; mollis ipse & degeneris animi, si luctum & eiulatum mansueti animi & suorum amantis signa censuit, sine doloris autem sensu & molliter casus huiusmodi ferre, in vitio posuit. Equidem Atheniensibus decorum fuisse, ob mortem regis, qui tam clementem victis se eis præbuerat coronas ferre, adde etiam sacrificare, nequaquā affirmo: nam præterquam quod inuidiosum hoc est, indignum etiam ingenuis hominibus erat, quem viuentem honoribus affecissent, ac ciuitate donassent, ob eius mortem exultare gaudio, defunctóque insultare. Quod autem domesticam calamitatem deflendam mulieribus reliquit Demosthenes, ipse ea, quæ è repub. esse crederet agenda suscipiens, id laudo, profectúmque à forti animo, ciuilique iudico, cuius officium est semper reipub. intentum esse, eique res casusque domesticos postponere, semperque dignitatem suam tueri, multo magis quam in scenis histriones faciunt regis aut tyranni personam agentes: quos ipsos videmus non vt ipsis libitum est vel ridere vel plorare, sed vt ratio propositi ad agendum argumenti requirit. Iam si contra officium est, ictum aliquem infortunio negligere, patique vt is omnis expers consolationis mœrore se suo conficiat, sed & leuandus verbis eius dolor est, & abducendus ad rerum lætiorum cogitationem animus, quomodo ex oculis laborantes à contuitu rerum splendidarum, suóque fulgore eos ferientium, deflectere aspectum in virides & molles colores iubemus, quod tandem patriæ lugenti melius consolandi genus adhibeat aliquis, quam si domesticas calamitates cum publicis temperarit, melioribus deteriora obscuret!

Victus munere, inquit, Harpali Demosthenes, perculsúsque perinde ac si præsidium sibi esset impositum, eius partibus se adiunxit. & conuocata multitudine, quæ de Harpali rebus animaduersura, contradixerat enim iis qui seruare cuperent & eum suscipere, antequam auro manum implesset: rectè, & benè collo lana & fasciis accuratè inuoluto in concionem prodiit: iussúsque ad dicendum surgere, vocem sibi intercidisse innuit. vrbaniores autem homines cauillabantur, non angina, sed argentangina nocte correptum oratorem dicentes.

PLVTARCHVS. *Vide an hac non confundat Plutarch. Aliter enim Agellius lib. 11. cap. 9. de Milesiorum legatis, non de Harpalo.*

Postquam in exilium propter accepta ab Harpalo munera pulsus esset Demosthenes, adolescentes qui ad se conueniebant, & consuetudine ipsius vtebantur, à repub. dehortabatur dicens, se, si ab initio duæ propositę fuissent viæ, altera ad suggestum & concionem, altera ad certum exitium ducens, ac si præsciuisset mala quæ in rep. versantibus incumbunt, terrores, inuidias, calumnias, contentiones, vtique eam ingressurum fuisse quà recta ad interitum iisset.

E Cicerone.

SAne actio, inquit, Ciceroni haud leue momentum ad persuadendum contulit: idemque magna vociferatione vtentes oratores irridens, ob imbecillitatem ad clamorem, veluti claudos ad equos confugere dicebat. Conuitiis acerbioribus inimicos vel aduersarios dicteriis insectari videtur oratorium, proximum vero risus captandi causa offendens multorum in se odia concitauit. Et ex hac dicacitate multos parauit inimicos, Clodiusque cum aliis hanc occasionem nactus conspirauit. Omnium minimum apud Romanos numisma æreum, est quadrans. fertur, inquit, Cæsar cum primis diebus pro Ciceronis salute certasset, tertia die concessisse, vt amicus proscriberetur. fuit autem permutatio ita instituta, vt Cæsar Ciceronem; Lepidus Paulum fratrem, L. Cæsarem auunculum Antonius proscribi permitterent. Adeo ita eis & rabies omnes humanas cogitationes excusserant: imo autem illi demonstrarunt, nullam esse belluam homine, potestate ad exequendum, quod perturbato animo decreuit, armato, ferociorem.

Ex Phocione.

FVit Phocion seuerus & tetricus. Cum exercitus conscribendi causa pro tribunali sedens Aristogitonem sycophantam, qui in concionibus ad bellum excitare populum solitus fuerat, procul cum baculo & crure obligato adire videret, exclamauit: Scribe Aristogitonem etiam claudum & nequam. Ac mirari quidem possit non nemo, quomodo ire seuerus & durus nomen Boni inuenerit. Sed arbitror vt difficile esse, ita tamen fieri posse, vti idem homo (sicut & vinum) dulcis simul, & austerus sit: quemadmodum contra nonnulli cum suaues videantur, acerbissimi sunt vtentibus & plurimum nocent. ferunt sane Hyperidem etiam aliquando ad populum ita locutum: Cogitate, Athenienses, non modo an sim acerbus, sed etiam an nō offensus talis sim. Equidē Phocion inimicitiæ causa nemini ciuium malefecit, ac ne inimicum quidem vllum putauit: quantum res ipsa postulabat, vt aduersariis suorum, quæ ob vtilitatem patriæ iniisset, consiliorum resisteret, asperum se peruicacémque præbuit. Priuatim communem omnibúsque benignum & mitem sese exhibuit, ita vt inimicis quoque infortunium passis auxilium tulerit, & in iudicio periclitantium salutem defenderit. Ipsum Antipatrum Macedonum ducem dixisse perhibent, se de duobus amicis, quos Athenis haberet, Phocione & Demade, alteri vt acciperet persuadere, alterum dando saturare nequiuisse.

Ὅτι μετὰ τὸ φυγαδευθῆναι τὰ ἁρπάλεια διαχρήματα, Δημοσθένης τοὺς προσιόντας αὐτῷ καὶ συνδιατρίβοντας νεανίσκους ἀπέτρεπε τῆς πολιτείας, λέγων ὡς εἰ * δυοῖν αὐτῷ προκειμένων ἀπ' ἀρχῆς ὁδῶν, τῆς μὲν ἐπὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν, τῆς δὲ ἄντικρυς εἰς τὸν ὄλεθρον· * ἐτύγχανεν εἰδὼς τὰ κατὰ τὴν πολιτείαν κακὰ, φόβους καὶ φθόνους, καὶ * διαβολὰς, καὶ * ἀγωνίας: ἐπὶ ταύτην ἂν ὁρμῆσαι τὴν ὁδὸν τὴν ἐπὶ θανάτῳ τείνουσαν.

* al. δυοῖν
* ἐτύγχανε δὲ φησάς. Ald.
* al. δυσφημίας.
* ἀγῶνας Ald.

Ἐκ τοῦ Κικέρωνος.

ΟΤι οὐ μικρά (φησιν) ἐκ τοῦ ὑποκρίνεσθαι ῥοπὴ πρὸς τὸ πείθειν τῷ Κικέρωνι· καὶ τοὺς τῷ μεγάλα βοᾶν χρωμένους ῥήτορας ἐπισκώπτων, ἔλεγεν ἐπὶ τὴν κραυγὴν δι' ἀσθένειαν ὥσπερ τοὺς χωλοὺς ἐφ' ἵππων πηδᾷν. Ὅτι τὸ μὲν πρὸς ἐχθροὺς ἢ πρὸς ἀντιδίκους σκώμμασι χρῆσθαι πικροτέροις, δοκεῖ ῥητορικὸν εἶναι· τὸ δὲ οἷς ἔτυχε προσκρούειν, ἕνεκα τοῦ γελοίου, πολὺ συνήγαγε μῖσος τῷ Κικέρωνι· καὶ ἐκ τούτου πολλοῖς γέγονεν ἀπεχθὴς, καὶ οἱ μετὰ Κλωδίου συνέστησαν ἐπ' αὐτὸν ἀρχὴν τοιαύτην λαβόντες. Ὅτι τὸ λεπτότατον τοῦ χαλκοῦ νόμισμα, κουαδράντην ῥωμαῖοι καλοῦσιν. Ὅτι λέγεταί φησι τὰς πρώτας ἡμέρας διαγωνισάμενος ὑπὲρ τοῦ Κικέρωνος ὁ * Καῖσαρ ἐνδοῦναι τῇ τρίτῃ, καὶ προέσθαι τὸν φίλον. τὰ δὲ τῆς ἀντιδόσεως οὕτως εἶχεν. ἔδει Κικέρωνος μὲν ἐκστῆναι Καίσαρα· Παύλου δὲ τἀδελφοῦ, Λέπιδον. Λευκίου δὲ Καίσαρος, Αντώνιον, ὃς ἦν θεῖος αὐτῷ πρὸς μητρός· οὕτως ἐξέπεσον ὑπὸ θυμοῦ καὶ λύσσης * ἀνθρωπίνων λογισμῶν. μᾶλλον δὲ ἀπέδειξαν, ὡς οὐδὲν θηρίον ἀνθρώπου ἐστὶν ἀγριώτερον, ἐξουσίαν πάθει προσλαβόντες.

* Καῖσαρ Μ. Μ.
* τῶν ἀνθρωπίνων.

Ἐκ τοῦ Φωκίωνος.

ΟΤι (φησιν) ὁ Φωκίων τραχὺς ἦν καὶ κατηφὴς διὸ καὶ ἀριστογείτονος τοῦ συκοφάντου, πολεμικοῦ ὄντος ἐν ταῖς ἐκκλησίαις, καὶ * παροξύνοντος ἐπὶ τὰς πράξεις τὸν δῆμον, ἐν δὲ τῷ καταλόγῳ προσηθόντος ἐπὶ βακτηρίᾳ τὼ σκέλη καταδεδεμένῳ· πόρρωθεν αὐτὸν ἀπὸ τοῦ βήματος ἰδὼν ὁ Φωκίων, ἀνέκραγε· Γράφε καὶ Ἀριστογείτονα χωλὸν καὶ πονηρόν. ὥστε θαυμάζειν, ὅπως καὶ ὁπόθεν τραχὺς οὕτως ἀνὴρ καὶ σκυθρωπὸς ἐκτήσατο τὴν τοῦ χρηστοῦ προσηγορίαν. ἔστι δὲ (οἶμαι) χαλεπὸν, οὐ μὴν ἀδύνατον, ὥσπερ οἶνον, καὶ ἄνθρωπον, τὸν αὐτὸν ἡδὺν ἅμα καὶ αὐστηρὸν εἶναι· καθάπερ ἕτεροι πάλιν φαινόμενοι γλυκεῖς, ἀηδέστατοι τοῖς χρωμένοις εἰσὶ καὶ βλαβερώτατοι. καί τοί φασιν Ὑπερείδην ποτὲ εἰπεῖν πρὸς τὸν δῆμον· ἄνδρες ἀθηναῖοι, μὴ σκοπεῖτε μόνον, εἰ πικρός εἰμι, ἀλλ' εἰ προῖκα εἰμὶ πικρός. Φωκίων τοίνυν ἔχθρᾳ μὲν τῶν πολιτῶν κακῶς οὐδένα ἐποίησεν, οὐδὲ ἐνόμιζεν ἐχθρόν: ἀλλ' ὅσον ἔδει * μόνῳ τῷ ἐνισταμένῳ οἷς ἔπραττεν ὑπὲρ τῆς πατρίδος κατεξαναστῆναι. τραχύς τε ὢν καὶ δυσεκβίαστος καὶ ἀπαραίτητος· εἰς τὸν ἄλλον βίον εὐμενῆ πᾶσι, καὶ κοινὸν, καὶ φιλάνθρωπον, ἑαυτὸν παρεῖχεν· ὥστε καὶ πταίουσι βοηθεῖν, καὶ κινδυνεύουσι συνεξετάζεσθαι τοῖς διαφόροις.

* παροξύνοντος.
* μόνον τῶν ἐνισταμένων. Ald.

Ὅτι Ἀντίπατρον τὸν μακεδονίας στρατηγὸν λέγεται, εἰπεῖν· ὡς * δυοῖν αὐτῷ φίλων ἀθήνησιν ὄντων Φωκίωνος καὶ Δημάδου: τὸν μὲν, λαβεῖν οὐ πέπεικα. τὸν δὲ, διδοὺς οὐκ ἐμπέπληκεν.

* al. δυοῖν illud etiam Ald.

PLVTARCHVS.

Ἐκ τοῦ Κάτωνος.

Ὡς οὖν εἰς τὸ μανθάνειν ἧκεν ὁ Κάτων, νωθρὸς ἦν ἀναλαβεῖν, καὶ βραδύς· ἀναλαβὼν δὲ, κάτοχος καὶ μνημονικός. ὃ δὴ καὶ πέφυκεν ἄλλως· τοὺς μὲν εὐφυεστάτους, ἀναμνηστικοὺς μᾶλλον εἶναι: *μνημονικοὺς δὲ τοὺς μετὰ πόνου καὶ πραγματείας παραδεχομένους. γίνεται γὰρ [οἷον] ἔγκαυμα τῆς ψυχῆς τῶν *παθημάτων ἕκαστον.

[*ἀπομνημονευτικοὺς. al. M. — *al. μαθημάτων.]

Ἐκ τοῦ Ἀλεξάνδρου.

Ὅτι (φησὶ) λευκὸς ἦν ὁ Ἀλέξανδρος. ἡ δὲ λευκότης ἐπεφοινίσσετο αὐτῷ μάλιστα περὶ τὸ στῆθος καὶ τὸ πρόσωπον. Ὅτι δὲ τοῦ χρωτὸς ἥδιστον ἀπέπνει· καὶ τὸ στόμα κατεῖχεν εὐωδία, καὶ τὴν σάρκα πᾶσαν, ὥστε πληροῦσθαι τοὺς χιτωνίσκους: πολλοὶ γεγράφασιν. αἰτία δὲ ἴσως, ἡ τοῦ σώματος κρᾶσις, πολύθερμος οὖσα καὶ πυρώδης. ἡ γὰρ εὐωδία γίνεται πέψει τῶν ὑγρῶν ὑπὸ θερμότητος, ὡς οἴεται Θεόφραστος. ὅθεν οἱ ξηροὶ καὶ διάπυροι τόποι τῆς οἰκουμένης τὰ πλεῖστα καὶ κάλλιστα τῶν ἀρωμάτων φέρουσιν. ἐξαίρει γὰρ ὁ ἥλιος τὸ ὑγρὸν ὥσπερ ὕλην σηπεδόνος ἐπιπολάζον τοῖς σώμασιν. Ἀλέξανδρον δὲ, ὡς ἔοικεν, ἡ θερμότης [τοῦ σώματος] καὶ ποτικὸν καὶ θυμοειδῆ παρεῖχεν. Ὅτι τὸν *Βουκέφαλον προσαχθέντα ὤνιον ταλάντων δέκα καὶ τριῶν παρὰ Φιλονείκου τοῦ Θεσσαλοῦ· ὁ μὲν Φίλιππος ἀπεπέμπετο *πρὸς τὸν ἀναβάτην οὐ δεχόμενον, οὐδὲ φωνὴν τινὸς τῶν περὶ τὸν Φίλιππον ὑπομένοντα. ὁ δὲ Ἀλέξανδρος μεμψάμενος τὴν ἀποπομπὴν τοῦ ἵππου, ᾐτήσατο παρὰ τοῦ πατρὸς λαβεῖν αὐτόν. καὶ λαβὼν τὸν δοκοῦντα ἵππον ἄγριον εἶναι πρὸς πάντας, οἳ προσῄεσαν αὐτῷ, καὶ ἀκόλαστον· προσδραμὼν τῷ ἵππῳ, καὶ παραλαβὼν τὴν ἡνίαν ὁ Ἀλέξανδρος, ἐπέστρεψε πρὸς τὸν ἥλιον· ὡς ἔοικεν, ἐννοήσας ὅτι τὴν σκιὰν προσπίπτουσαν καὶ σαλευομένην ὁρῶν πρὸ αὐτοῦ, διαταράττοιτο. μικρὰ δὲ ἤτοι παρακαλπάσας καὶ καταψήσας· ὡς ἑώρα θυμοῦ πληρούμενον ὁμοῦ καὶ πνεύματος, ἀπορρίψας ἡσυχῇ τὴν χλαμύδα, καὶ μετεωρίσας ἑαυτὸν, ἀσφαλῶς περιέβη, καὶ ἤλαυνεν ἀνακρατῶς τὸν ἵππον. καὶ τοῖς μὲν δέος καὶ ἀγὼν ἐνέπιπτε, μή τι τὸ μειράκιον πάθῃ. τοῖς δὲ κρότος ἦν χαιρόντων, καὶ *τερπνὸν θέαμα· πάντας δὲ ὁμοίως εἶχεν ἔκπληξις. ὡς δὲ κάμψας *ὑπέστρεψεν ὀρθῶς, *σοβαρῶς καὶ γεγηθώς: ἅπαντες μὲν χαίροντες ἀνηλάλαξαν. ὁ δὲ πατὴρ καὶ δακρῦσαι λέγεται πρὸς τὴν χαράν. καταβάντος δὲ αὐτοῦ τὴν κεφαλὴν φιλήσας, ὦ παῖ, φάναι, ζήτει σεαυτοῦ βασιλείαν ἴσην· Μακεδονία γάρ σε οὐ χωρεῖ. Ὅτι Ἀλέξανδρός (φησι) τοῦ νικᾶν τοὺς πολεμίους τὸ κρατεῖν ἑαυτοῦ βασιλικώτερον ἡγούμενος, οὔτε τινὸς τῶν Δαρείου θυγατέρων, κάλλει διαπρεπεστάτων οὐσῶν, οὐδεμιᾶς ἔθιγεν· οὔτε ἄλλην ἔγνω γυναῖκα πρὸ γάμου, πλὴν *Βαρσίνης. ἀνδρὸς οὔσης κεχηρωμένης. Ὅτι προβάτου (φησὶ) τεκόντος ἄρνα περὶ τὴν κεφαλὴν σχῆμα καὶ χρῶμα ἔχοντα τιάρας, καὶ διδύμους ἑκατέρωθεν αὐτοῦ· βδελυχθεὶς τὸ σημεῖον ἐκαθάρθη μὲν ὑπὸ τῶν Βαβυλωνίων ὁ Ἀλέξανδρος, οὓς ἐξ ἔθους ἐπήγετο πρὸς τὰ τοιαῦτα. διελέχθη δὲ πρὸς τοὺς φίλους, ὡς οὐ δι' αὐτὸν, ἀλλὰ δι' ἐκείνους ταράττοιτο· μὴ τὸ κράτος εἰς ἀγεννῆ καὶ ἄναλκιν [ἄνθρωπον,] ἐκλιπόντος αὐτοῦ, περιστήσῃ τὸ δαιμόνιον. οὐ μὴν ἀλλὰ βέλτιόν τι σημεῖον γενόμενον τὴν ἀθυμίαν διέλυσεν,

[*al. Βουκέφαλον. — *ἴσ. ὡς. τόν. — *al. τέρπνον. — *ὑπέστρεψε. — *σοβαρός. — *Βαρσίνης.]

E catone.

CVm se ad discendum Cato contulisset, tardus fuit ad percipiendum: quæ autem percepisset, ea firmiter memoria retinebat. quomodo videmus qui bono sunt ingenio prędíti, cito eos memorię mandare, qui autem non nisi cum magno labore discût, eos memoriter quæ apprehenderunt tenere, eo quod singula quæ didicerunt, quasi inuruntur eorum animis.

Ex Alexandro.

ALbum ait Alexandrum fuisse, ruborémq; in pectore pręsertim & facie albedini admistum habuisse. Suauissimû odorem ab ore & vniuersa eius carne exhalasse, ita vt & tunicæ fragrantia repletæ inde sint, vt multi tradiderunt. Causa fortasse fuit calidum & igneum corporis temperamentum. Bonus enim odor, Theophrasto si credimus, existit cum humores à calore coquuntur: itaque siccæ & torridæ orbis terrarum partes plurima & optima gignunt aromata, quod sol humorem, qui in summis corporibus veluti materia putredinis innatat, attollit. Et consentaneum est Alexandrû ob calorem corporis bibacem iracundúmque fuisse. Cum Bucephalum tredecim talentis venalem, adductum à Philonico Thessalo Philippus dimitteret, quod neque sessorem admitteret, neque vocem vllius eorum qui cum Philippo erant auscultaret, id ægrè ferens Alexander, petiit à patre vt equum acciperet, & accipiens ab omnibus pro effero & indomito iudicatum, fræno correptum aduersus solem obuertit: nimirum animaduertens equum vmbræ, quæ agitata & tremens ei appropinquaret aliàs, côspectu perturbari: deinde cum paululum palpasset, manúque leuiter ducta demulsisset, vt ira repletum vidit, sensim abiecta chlamyde sese in eum extulit, tutóque consedit, & violenter equum impulit, & aliqui ex iis qui aderant, anxiè tacitéque spectabant, ne quod incommodum adolescenti accideret, aliqui manibus plaudentes iucunde, omnes vero similiter stupescebât, postquam exultans gaudio saluus reflexo equo rediit, omnium acclamatione sublata, Philippus præ lætitia etiam illacrymasse commemoratur, caputque filij, cum ab equo descendisset, osculatus dixisse: O nate regnum tibi par quære, Macedonia enim te non capit. Alexander, inquit, seipsum vincere quàm hostes magis regium existimans esse, nec vllam filiarum Darij alioqui pulcherrimarum, neque vllam aliam ante nuptias attigit mulierem, Barsina excepta, quæ vidua fuit. Cum autem ouis agnum peperisset, qui in capite figuram & colorem tiaræ, & ex vtraque eius parte testiculos haberet, abominatus id prodigium, à Babyloniis, quos eius rei causa ex more quodam secum ducebat, expiatus, ad amicos etiam dixit, se non sui, verum ipsorum causa perturbatum esse, ne ipso defuncto summam rerum ad ignobilem & imbellem aliquem hominem fatum deuolueret. Sed hunc eius mœrorem aliud lætius ostentum sustulit,

οἱ γὰρ ἐνθένδε τῆς γῆς ἀποπνέοντες ἔξω βορέαι καὶ ἀπηλιῶται, διὰ μῆκος ἐκπεσόντες εἰς τόπον ἀχανῆ, διασπείρονται, καὶ προαπολείπουσι. πελάγιοι δὲ περιρρέοντες ἀργέσται καὶ ζέφυροι (καὶ) βληχρὰς μὲν ὑετὰς καὶ σποράδας ἐκ θαλάττης ἐπάγοντες, τὰ δὲ πολλὰ νοτεραῖς αἰθρίαις ἐπιψύχοντες, ἡσυχῆ τρέφουσιν· ὥστε μέχρι τῶν βαρβάρων *διῆχθαι πίστιν ἰσχυρὰν, αὐτόθι τὸ ἠλύσιον εἶναι πεδίον, καὶ τὴν τῶν εὐδαιμόνων οἴκησιν, ἣν Ὅμηρος ὕμνησε. ταῦτα ὁ Σερτώριος ἀκούσας, ἔρωτα θαυμαστὸν ἔσχεν οἰκῆσαι τὰς νήσους, καὶ ζῆν ἐν ἡσυχίᾳ, τυραννίδος ἀπαλλαγεὶς καὶ πολέμων *ἀπαύστων. ἀλλὰ διεμάρανεν αὐτοῦ καὶ περιέσπασε τὸν ἔρωτα ἥ τε κίνησις τῶν μετ' αὐτοῦ κιλίκων *ἐκταραχθεῖσα, καὶ νεωτέρων φροντὶς πολεμίων. Ὅτι λέγεταί (φησιν) ὁ Σερτώριος οὔτε ὑφ' ἡδονῆς οὔτε ὑπὸ δέους εὐάλωτος γενέσθαι· φύσει τε ἀνέκπληκτος περὶ τὰ δεινὰ, μετρίως ἐνεγκεῖν εὐτυχίαν· οὐδενὸς μέν τοι οὐδὲ πρὸς εὐθυμαχίαν ἀτολμότερος τῶν καθ' ἑαυτὸν ἡγεμόνων. ὅσα δὲ κλοπίας ἐν πολέμοις ἔργα καὶ πλεονεξίας περὶ τόπους ὀχυροὺς καὶ διαβάσεις, τάχους δεομένας, ἀπάτης τε καὶ ψευδῶν ἐν δέοντι, σοφιστὴς δεινότατος. ἐν δὲ ταῖς τιμαῖς τῶν ἀνδραγαθημάτων δαψιλὴς φαινόμενος, περὶ τὰς τιμωρίας ἐμετρίαζε τῶν ἁμαρτημάτων· καί τοι δοκεῖ περὶ τὸν ἔσχατον αὐτοῦ βίον ὠμότητος καὶ βαρύτητος τὸ περὶ τοὺς ὁμήρους πραχθὲν ἔργον, ἐπιδεῖξαι τὴν φύσιν οὐκ οὖσαν ἥμερον, ἀλλ' ἀμπεχομένην λογισμῷ διὰ τὴν ἀνάγκην. ἐμοὶ δὲ ἀρετὴν μὲν εἰλικρινῆ, καὶ κατὰ λόγον συνεστῶσαν, οὐκ ἄν ποτε δοκεῖ τύχη τις ἐκστῆσαι πρὸς τοὐναντίον. ἀλλ' ὡς (δὲ) προαιρέσεις καὶ φύσεις χρηστὰς ὑπὸ συμφορῶν μεγάλων παρ' ἀξίαν κακωθείσας οὐκ ἀδύνατον τῷ δαίμονι συμμεταβαλεῖν τὸ ἦθος· ὃ καὶ Σερτώριον οἶμαι παθεῖν, ἤδη τῆς τύχης αὐτὸν ἐπιλειπούσης, ἐκτραχυνόμενον ὑπὸ τῶν πραγμάτων, καὶ γινόμενον πονηρὸν πρὸς τοὺς ἀδικοῦντας.

*διῆχθαι Al.
*ἀπαύστων.
*ἐπιταχθεῖσα.

Etenim qui verſus eas partes à terra feruntur boreæ & ſubſolani, cum in vaſtum ob longitudinem diſtantiæ incidunt locum, diſſipantur, & antequam eo perferantur, concidunt: Cauri autem & Zephyri qui ab alto circumflant, pluuias à mari modicas raráſque infundunt, plerumque humectis ſerenitatibus refrigerant, incolaſque placide alunt. Ita vſque ad barbaros etiam, conſtans & probata percrebuit opinio, eſſe illis in inſulis Elyſios iſtos campos, & beatorum, quam deſcripſit Homerus, habitationem. His de rebus vt auditu percepit Sertorius, mirabilis eum inuaſit amor eas inſulas incolendi, tyrannidéque & bellis euitatis in pace & quiete viuendi. Verum turbauit & diſſipauit hunc amorem Cilicum aduentus, & nouorum bellorum adminiſtratio. Sertorium memoriæ proditum eſt, neque voluptati, neque metui obnoxio ingenio fuiſſe: natura & imperterritum rebus aduerſis, & qui res ſecundas moderatè ferret: neminem eo tempore ducem magis aperta prœlia vitaſſe: calliditiſſimum vero furtiuis belli operibus, in occupandis locis natura munitis, & fluminibus traiiciendis, aliiſq; id genus rebus quæ celeritate, aſtutia, & mendacio conficiuntur: perliberalem in præmiis virtutum conferendis, in ſuppliciis moderatum. Quamquam extremo vitæ curſu videtur id quod in obſides ſtatuit, oſtendiſſe animum eius non verè manſuetum fuiſſe, ſed crudelitatem eius arte quadã neceſſitatis cauſa fuiſſe celatam. Mihi autem vt veram virtutem rationéque recta ſtabilitam, nunquam videtur fortunę vis in contrarium poſſe conuertere, ita conſilia tamen alias recta bonáſque naturas indigne grauibus calamitatibus afflictas, non abſurdum puto credere vna cum fortuna mutari. Id quod ego tum Sertorio accidiſſe puto, iam fortuna eum deſtituente, rebúſque ipſis exaſperatum, iniurias malorum atrocius vltum arbitror. PLVTARC.

Ex τοῦ Δημητρίου.

Ὅτι Δημήτριός (φησι) μεγέθει μὲν ἦν τοῦ πατρὸς ἐλάττων, καίπερ ὢν μέγας· *ἰδέᾳ δὲ καὶ κάλλει προσώπου θαυμαστὸς καὶ περιττὸς, ὥστε τῶν πλαττόντων καὶ γραφόντων μηδένα τῆς ὁμοιότητος ἐφικέσθαι. τὸ γὰρ αὐτὸ χάριν, καὶ βάρος, καὶ φόβον, καὶ ὥραν εἶχε, καὶ συνεκέκρατο τῷ νεαρῷ καὶ ἰταμῷ δυσμίμητός ἡρωϊκή τις ἐπιφάνεια καὶ βασιλικὴ σεμνότης. οὕτω δέ πως καὶ τὸ ἦθος ἐπεφύκει πρὸς ἔκπληξιν ἀνθρώπων ἅμα καὶ χάριν.

Ὅτι τὸ ὑπερφυέστατον ἐνθύμημα τοῦ Στρατοκλέους φησιν. οὗτος γὰρ ἦν ὁ τῶν σοφῶν τούτων καὶ περιττῶν καινουργὸς ἀρεσκευμάτων· ἔγραψεν, ὅπως οἱ πεμπόμενοι κατὰ ψήφισμα δημοσίᾳ πρὸς Ἀντίγονον ἢ Δημήτριον ἀντὶ πρεσβευτῶν θεωροὶ λέγοιντο, καθάπερ οἱ πυθοῖ καὶ ὀλυμπίαζε τὰς πατρίους θυσίας *ἀπάγοντες ἐν ταῖς ἑλληνικαῖς ἑορταῖς. οὕτω δὲ καταμωκώμενοι τοῦ Δημητρίου προσδιέφθειραν αὐτὸν οὐδὲ ἄλλως ὑγιαίνοντα τὴν διάνοιαν. Ὅτι ἀθηναῖοι, πολιορκοῦντος αὐτοὺς Φιλίππου, γραμματοφόρους ἑλόντες, τὰς μὲν ἄλλας ἀνέγνωσαν ἐπιστολὰς, μόνην δὲ τὴν Ὀλυμπιάδος οὐκ ἔλυσαν, ἀλλ' ὥσπερ ἦν κατασεσημασμένην, πρὸς ἐκεῖνον ἀπέλυσαν.

*ἰσα M. M.
*ὅσια τῶν πόλεων.

Ex Demetrij vita.

Demetrius ſtatura patre fuit inferior, tametſi magnus: figura autem & pulchritudine faciei ita inſigni & eximia, vt eam fingendo pingendoque aſſequi nemo potuerit. Nam vna cum venuſtate & elegantia grauitas terrórque in vultu inerat, & heroica quędã ac regia maieſtas iuuenili alacritati admixta. Sic ingenium quoque erat, & ad perterrendos homines, & ad conciliandam ſibi eorum gratiam aptum.

Inſolentiſſimum fuit Stratoclis (is enim ſcitarum iſtarum fuit & ſubtilium auctor blanditiarum) commentum, qui legem promulgauit, vt ſi qui publico edicto ad Antigonum vel Demetriũ mitterentur, ij non legati, ſed Theori, id eſt cõſultores nominarẽtur: quod nomẽ eorum eſt, qui Pythiæ au. Olympiæ à maioribus tradita ſacrificia pro ciuitatibus in ſolẽni Græcorum conuentu peragebant. His illi adulationibus Demetrium alioqui ſana mente præditũ demulcentes corruperunt. Athenienſes obſeſſi à Philippo tabellarios intercipientes, lectis reliquis epiſtolis, miſſam ab Olympiade nõ aperuerunt, ſed obſignatã adhuc Philippo miſerãt.

PLVTARC. Neque vero vlla regi conuenientior actio est, quam iustitiæ executio. Mars enim (vt Timotheus ait) tyrannus est, legem vero omnium regem Pindarus appellat. Vsque ad Demetrium Antigoni, qui poliorcetes appellabatur, nemo hominum viderat ante quindeciremem aut sedeciremem. Posteaquidem temporis Ptolemæus Philopator quadraginturemem construxit, longam CCLXXX. altam ab imo fundo vsque ad summum puppis XLVIII. cubitos, remigibus quater mille, & nautis præterea quadringentis instruebatur, recipiebatque classiariorum in foris & tabulato prope tria millia, [sed nautæ CCCC. remiges IIII CIↃ. & milites III CIↃ. erát in sūma VII CIↃ CCCC.] Verum hæc nauis spectaculo magis & ostentationi quam vsui fuit, quod difficulter neque sine periculo commoueri posset, parúmque ab ædificiis fixis differret.

Herodot. Thalia. & Orig. lib. contra Celsum p. 262. edit. August. Vind.

Ex Antonij vita.

MVlta Antonius ignorauit, non tam ob socordiam, quam simplicitatem, qua ductus facile suis credebat. Erat enim simplici ingenio, & tarde sentiebat: cum autem sensisset se peccasse, graui mouebatur pœnitentia, & apud eos ipsos quos offendisset, confitebatur. magna & supplicia & præmia irrogabat, modi tamen in gratificando, quam puniendo erat negligentior. Iocis autem ejus nimiæque dicacitati hoc aderat remedium, quod se vicissim morderi patiebatur, neque minori cum voluptate ridebatur, quam ridebat, quæ res illi maximo fuit malo. Qui enim libere secum iocarentur, ab eis serio loquentibus nequaquam putabat sibi adulari: itaque laudando facile decipiebatur. non enim intelligebat esse, qui adulationi libertatem veluti subausterum condimentum admiscerent, quo proteruæ inter pocula loquacitati tædium & satietatem dimoueant, idque consequantur, vt assentantes & concedentes, quoties de re graui sermo incideret, non gratiam captare, sed prudentia inferiores videantur.

Ex Pyrrhi vita.

FVit Pyrrhus vultu regio quidem, sed terribiliore quam venerabiliore. Non habuit multos dentes, sed supra erat vnum os continuum, in quo dentium interualla tenuibus veluti sulcis detinebantur. è liene laborantibus salutem afferre credebatur, si gallum album mactans, supinatis illis dextro pede leuiter viscera premeret, neque fuit quisquam ita vel pauper vel vilis, cui rogatus eam medicinam facere dedignaretur: gallum ipse Pyrrhus accipiebat, atque immolabat, iisque ei erat honor gratissimus. Et ferunt pedis eius pollicem vim diuinam habuisse, atque etiam cremato post mortem corpore, hunc illæsum intactúmque ab igne fuisse repertum.

Ex Marij vita.

MArio & tēperantiæ ac tolerātiæ testimonia perhibentur: & huius quidē indiciū

Ὅτι οὐδὲν (φησὶν) οὕτω βασιλεῖ προσήκειν, ὡς τὸ τῆς δίκης ἔργον. Ἄρης μὲν γὰρ τύραννος, ὥς φησι Τιμόθεος: νόμος δὲ πάντων βασιλεὺς, κατὰ Πίνδαρον ἐστιν. Ὅτι μέχρι Δημητρίου (τοῦ) Ἀντιγόνου παιδὸς, ὃς πολιορκητὴς ὠνομάζετο, οὐδεὶς εἶδεν * ἀνθρώπων, οὔτε πεντεκαιδεκήρη ναῦν πρότερον, οὔτε ἑκκαιδεκήρη· ὕστερον δὲ καὶ τεσσαρακοντήρη Πτολεμαῖος ὁ φιλοπάτωρ ἐναυπηγήσατο, μῆκος διακοσίων ὀγδοήκοντα πηχῶν, ὕψος δὲ ἕως ἀκροστολίου πεντήκοντα δυεῖν δεόντων· ναύταις δὲ χωρὶς ἐρετῶν ἐξηρτυμένην τετρακοσίοις, ἐρέταις δὲ τετρακισχιλίοις. χωρὶς δὲ τούτων, ὁπλίτας δεχομένην, ἐπί τε τῶν παρόδων καὶ τοῦ καταστρώματος ὀλίγῳ τρισχιλίων ἀποδέοντας· ἀλλὰ ναῦται μὲν υ΄, ἐρέται δ΄, ὁπλῖται παρὰ μικρὸν Γ, ὁμοῦ ζυ. Θέαν μόνην ἐκείνη παρέσχε, καὶ μικρὸν ὅσον διαφέρουσα τῶν * νομίμων οἰκοδομημάτων φανεῖσα πρὸς ἐπίδειξιν, οὐ χρείαν ἐπισφαλῶς καὶ δυσέργως ἐκινήθη.

* ἄλλον, Ald.
* μονίμων Ald.

Ἐκ τοῦ Ἀντωνίου.

Ὅτι Ἀντώνιος ἠγνόει πολλὰ τῶν ὑπ' αὐτοῦ γινομένων· οὐχ οὕτω ῥάθυμος ὢν, ὡς δι' ἁπλότητα πιστεύων τοῖς περὶ αὐτόν. ἐνῆν γὰρ * ἁπλότης τῷ ἤθει, καὶ βραδεῖα δὲ αἴσθησις· αἰσθανομένῳ δὲ τῶν ἁμαρτανομένων ἰσχυρὰ μετάνοια, καὶ πρὸς αὐτοὺς ἐξομολόγησις τοὺς ἀγνωμονηθέντας· μέγεθος δὲ καὶ περὶ τὰς ἀμοιβὰς καὶ περὶ τὰς τιμωρίας. μᾶλλόν γε μὴν ἐδόκει χαριζόμενος, ἢ κολάζων, ὑπερβάλλειν τὸ μέτριον. ἡ δὲ περὶ τὰς παιδιὰς καὶ τὰς σκώψεις ὕβρις ἐν ἑαυτῇ τὸ φάρμακον εἶχεν· ἀντισκῶψαι γὰρ * ἐχρῆν καὶ ἀνθυβρίσαι. καὶ γελώμενος ἢ γελῶν ἔχαιρε· καὶ τοῦτο διελυμήνατο τὰ πολλὰ τῶν πραγμάτων. τοὺς γὰρ ἐν τῷ παίζειν παρρησιαζομένους οὐκ ἂν οἰηθεὶς σπουδάζοντας κολακεύειν αὐτὸν, ἡλίσκετο ῥᾳδίως ὑπὸ τῶν ἐπαίνων· ἀγνοῶν, ὅτι τὴν παρρησίαν τινὲς ὡς ὑπόστυφον ἥδυσμα τῇ κολακείᾳ παραμιγνύντες, ἀφῄρουν τὸ πλήσμιον τῇ παρὰ τὴν κύλικα θρασύτητι καὶ λαλιᾷ, διαμηχανώμενοι τὴν τῶν πραγμάτων * ὕφεσιν καὶ συγκατάθεσιν, ὡς μὴ πρὸς χάριν ὁμιλεῖν, ἀλλὰ τῷ φρονεῖν ἡττωμένων φαίνεσθαι.

* ἁπλότητος ἦν.
* ἐξῆν
* al. ἔφεσιν

Ἐκ τοῦ Πύρρου.

Ὅτι Πύρρος (φησὶ) τῇ μὲν ἰδέᾳ τοῦ προσώπου φοβερώτερον ἢ ἔχειν, ἢ σεμνότερον καὶ βασιλικώτερον. πολλοὺς δὲ ὀδόντας οὐκ εἶχεν, ἀλλ' ἓν ὀστοῦν συνεχὲς ἦν, ἄνωθεν οἷον λεπταῖς ἀμυχαῖς τὰς διαφυὰς ὑπογεγραμμένον τῶν ὀδόντων. τοῖς δὲ σπληνιῶσιν ἐδόκει βοηθεῖν, ἀλεκτρυόνα θύων λευκὸν, ὑπτίων τε κατακειμένων τῷ δεξιῷ ποδὶ πιέζων ἀτρέμα τὸ σπλάγχνον. οὐδεὶς δ' ἦν πένης, οὔτε ἄδοξος οὕτω, ὥστε μὴ τυχεῖν τῆς ἰατρείας δεηθείς. ἐλάμβανε δὲ καὶ τὸν ἀλεκτρυόνα θύσας· καὶ τὸ γέρας τοῦτο ἥδιστον ἦν αὐτῷ. λέγεται δὲ τοῦ ποδὸς ἐκείνου τὸν μείζονα δάκτυλον δύναμιν ἔχειν ἰδίαν, ὥστε μετὰ τὴν τελευτὴν τοῦ λοιποῦ σώματος κατακαέντος, ἀπαθῆ καὶ * ἄλυπον ὑπὸ τοῦ πυρὸς * εὑρεθῆναι.

* ἄθικτον Ald.
* ἐνευρεθῆναι

Ἐκ τοῦ Μαρίου.

Ὅτι τῷ Μαρίῳ (φησὶ) καὶ σωφροσύνην καὶ καρτερίαν μαρτυροῦσιν· ἧς δεῖγμα καὶ τὸ περὶ τὴν

χειρουρ-

χειρουργίαν ἐστίν. ἰξῶν γὰρ ἀνάπλεως ἄμφω τὰ σκέλη γεγονὼς, καὶ τὴν ἀμορφίαν δυσχεραίνων, ἔγνω παραχεῖν ἑαυτόν. καὶ παρέσχεν ἄδετος θάτερον σκέλος, οὐδὲ κινηθεὶς, οὐδὲ στενάξας, ἀλλὰ καθεστῶτι τῷ προσώπῳ καὶ μετὰ σιωπῆς τινος ὑπερβολὰς [καὶ] ἀλγηδόνων ἐπὶ ταῖς τομαῖς ἀνασχόμενος. τοῦ δὲ ἰατροῦ μετιόντος ἐπὶ θάτερον, οὐκ ἔτι παρέσχε, φήσας ὁρᾶν τὸ ἐπανόρθωμα τῆς ἀλγηδόνος οὐκ ἄξιον. Ὅτι Μάριος ἐκ Λιβύης μετὰ τοῦ στρατεύματος ἀνακομισθεὶς, τήν τε ὑπατείαν ἀνέλαβε, καὶ τὸν θρίαμβον εἰσήλασεν ἄπιστον ἐπιδειξάμενος θέαμα Ῥωμαίοις, Ἰουγούρθαν αἰχμάλωτον· οὗ ζῶντος, οὐδ' ἂν εἷς ἤλπισε πολεμίων κρατήσειν· οὕτως ἦν ποικίλος ἀνὴρ τύχαις ὁμιλῆσαι, καὶ πανουργίᾳ πολλῇ μεμιγμένον ἔχων τὸ θυμοειδές. ἐν δὲ τῷ θριάμβῳ κομισθῆναι λέγουσι χρυσίου μὲν ἑπτὰ καὶ τρισχιλίας λίτρας· ἀργύρου δὲ ἀσήμου ͵εψοέ. νομίσματος δὲ διδράχμους ζ ἐπὶ μυριάσιν η καὶ κ'. Ὅτι τοὺς φιλοπόνους καὶ σιωπῇ μετ' εὐκολίας τὰ προστασσόμενα πράττοντας (ἄξιος γὰρ ἦν ὁ Μάριος) καὶ αὐτουργεῖν τὰ πολλὰ, καὶ μιμεῖσθαι, διδάσκειν αὐτὸν, καὶ ἐξομοιοῦσθαι τοὺς στρατιώτας, ἡμιόνους Μαριανοὺς ὠνόμαζον. οἱ δὲ, ὅτι Μάριός φησιν ὑπὸ Σκιπίωνι πάλαι στρατευόμενος, καὶ πολυπραγμονοῦντι περί τε τῶν ὅπλων καὶ τῶν ὑποζυγίων τὸν στρατιώτην προσήγαγεν, ἵππον τι κάλλιστα τεθραμμένον, καὶ ἡμίονον εὐεξίᾳ καὶ πραότητι καὶ ῥώμῃ διαφέροντα πολὺ τῶν ἄλλων. ἡσθέντος δὲ τοῦ στρατηγοῦ τοῖς τοῦ Μαρίου θρέμμασι, καὶ πολλάκις αὐτῶν μνησθέντος· οὕτως ἄρα τοὺς σκώπτοντας ἐν ἐπαίνῳ τὸν ἐνδελεχῆ καὶ τλήμονα, καὶ φιλόπονον, Μαριανὸν ἡμίονον προσαγορεύειν.

Ὅτι Τεύτονας Μαρίου καταπολεμήσαντος, μυριάδας δέκα, Μασσαλιῆται τοῖς ὀστέοις λέγονται περιξοχῶσαι τοὺς ἀμπελῶνας· τὴν δὲ γῆν, τῶν νεκρῶν καταμαρανθέντων ἐν αὐτῇ, καὶ διὰ χειμῶνος ὄμβρων ἐπιπεσόντων, οὕτως ἐκλιπανθῆναι, καὶ γενέσθαι διὰ βάθους ἀνάπλεω, τῆς σηπεδόνος ἐνδύσης, ὥστε καρπῶν ὑπερβάλλον εἰς ὥρας πλῆθος ἐξενεγκεῖν· καὶ μαρτυρῆσαι τῷ Ἀρχιλόχῳ λέγοντι, [πιαίνεσθαι πρὸς τὸ τοιοῦτο τὰς ἀρούρας] ἐπιεικῶς δὲ ταῖς μεγάλαις μάχαις ἐξαισίους ὑετοὺς ἐπικαταρρήγνυσθαι λέγουσιν: εἴτε δαιμονίου τινὸς τοῖς καθαροῖς καὶ διιπετέσιν ἁγνίζοντος ὕδασι καὶ κατακλύζοντος, εἴτε τοῦ φόνου (καὶ) τῆς σηπεδόνος ἐξανιείσης ὑγρὰν καὶ βαρεῖαν ἀναθυμίασιν, ἣ τὸν ἀέρα συνίστησιν, εὔτρεπτον ὄντα καὶ ῥᾳδίως μεταβάλλεσθαι ἐπιπλεῖστον ἀπὸ σμικροτάτης ἀρχῆς. Ὅτι ἄξιον θαυμάσαι τοὺς Κορνούτου θεράποντας· πολλῶν γὰρ ἐν στασιαζούσῃ τῇ πόλει θανάτῳ, καὶ τῶν ἀναιτίων, καταψηφισαμένων· καὶ μυρίων σφαγῶν καὶ ποικίλων προαχθέντων: οὗτοι τὸν δεσπότην ἀποκρύψαντες, νεκρὸν δέ τινα τῶν πολλῶν ἀναρτήσαντες ἐκ τοῦ τραχήλου, καὶ περιθέντες αὐτῷ χρυσοῦν δακτύλιον, ἐπεδείκνυον τοῖς Μαρίου δορυφόροις· καὶ κοσμήσαντες, ὡς ἐκεῖνον αὐτὸν ἔθαπτον. *ὑπενόησε δὲ οὐδείς· ἀλλ' οὕτω λαθὼν ὁ Κουρνοῦτος, ὑπὸ τῶν οἰκετῶν εἰς Γαλατίαν ἐκομίσθη.

* al. ὑπενόει.

exstat. Varicibus enim magnis cum vtrumque eius crus laboraret, deformitatem ægrè ferens, medicum accersiuit, eique non ligatus crus alterum præbuit, ac nihil ipse motus, nullo edito gemitu, constanti vultu tacitus incredibiles sectura dolores pertulit: ad alterum transeunte medico, non sustinuit, remedium hoc non dignum esse inquiens, cuius causa tanti cruciatus tolerarentur. Marius ex Africa cum exercitu transuectus & consulatum accepit, & triumphum duxit, Iugurtham captiuum incredibile Romanis spectaculum exhibens, quo viuo victoriam de hostibus nemo ne sperasset quidem: adeo ad omnem fortunam se accommodare callidus, astutiæ magnæ admixtam ferociam habebat. In triumpho præterea illata narrant auri ter mille ac septem pondo, argenti non signati quinquies millia DCCLXXV. signati CCLXXXVII. millia denarium. Solent milites laboriosos, quique taciti promptè imperata faciunt, *mulos Marianos* appellare (erat enim Marius indefatigabilis) quod sua ipsi facerent, & eum hac in re imitarentur. Quidam quia Marius olim sub Scipione militans curiose arma & carros inspicienti, adduxit bellicosum equum optime enutritum, & multum cæteris habitiorem & cicuritate & robore præstantem multo: cúmque Imperator Marij iumentis oblectaretur, & sæpe eorum recordaretur: inde ortum vt qui per cauillum ob laborum assiduitatem & tolerantiam laudaretur, *Marianus mulus* appellaretur. Deuictis centum millibus Teutonum à Mario, Massilienses ferunt ossibus vineas sepiisse: tellurem vero consumtis in ea cadaueribus, ac per hiemem imbribus delapsis, ita pinguem redditam, putredine in profundum penetrante repletam, vt legitimo tempore abunde fructuum protulerit, & quod Archilochus dixit, *hoc modo agros pinguescere*, id tum fuisse confirmatum. Neque abs re est, quod post magna prœlia immodicæ pluuiæ decidant: siue Deus aliquis terram puris & cælestibus aquis lustrat atque proluit: siue cadaueribus & pinguedine humidam grauémque emittentibus exhalationem, ita aër coit, alioquin facile etiam leuissimis de causis mutationi obnoxius. Digni itaque admiratione Cornuti serui, multis enim bello ciuili morte sine causa condemnatis, variisque cædibus perpetratis, cum herum suum occultassent, aliud quoddam cadauer de mortuorum aceruo arreptum collo trahentes, aureum annulũ digito accommodantes, Marianis ita satellitibus ostenderunt, & ornato funere, quasi herile esset sepeliuerunt: neque id quisquam sensit, eoque modo Cornutus clam opera seruorum in Galliam euasit.

PLVTARC.

Vide Festum.

Marianus mulus.

Ex Arati Vita.

ARato cum Aristippo & militibus acri pugna congrediente, & tyranno à Crete quodam nomine Tragisco necato, & amissis

Ἐκ τοῦ Ἀράτου.

ΟΤι ὁ Ἄρατος (φησὶ) λαμπρῶς καὶ κατὰ Ἀριστίππου τοῦ τυράννου καὶ κατὰ τῶν σὺν αὐτῷ ἀριστεύσας· πεσόντος καὶ αὐτοῦ τοῦ τυράννου ὑπὸ Κρητός τινος Τραγίσκου τοὔνομα, καὶ τοῦ πλήθους

PLVTARC.

ipsorum plusquam M D. viris, & nemine suorum amisso, Argos tamen neque cepit neque liberauit. Agis enim & Aristomachus minor, cum exercitu regio irruperant eo, & rerum potestatem occupauerant. Magnam quidem partem cauillorum, dicteriorúmque & scurrilium insectationem, quibus eum adulatores tyrannorum traducebant, refutauit: *qui in gratiam dominorum dictitare solebant, duci Achaeorum tempore praelij aluum conturbari, vertiginem & grauem soporem oboriri simul atque tuba sonitum exaudiuisset. Itaque vt primum aciem instruxisset, & tesseram dedisset, percontari solitum centuriones, & quid sua praesentia opus foret, iacta iam alea; atque ita digredientem quam longissimè, euentum pugnae expectare.* Hæc quidem ita obtinuit opinio, vt Philosophi etiam in scholis disputent, tremórne cordis & mutatio coloris, & alui solutio præsente periculo timidorũ sit, an cuiusque intemperiei in corpore & frigiditatis: Aratum enim bonum semper ducem habitum, cui tamen ea semper in obeundis periculis acciderint. Quia antiqua lex erat, ne quis intra muros sepeliretur, eámque legem magna comitabatur superstitio, Delphos miserunt ea de re sciscitatum Pythium, quæ permisit. & tum cæteri Achæi, tum vero Sicyonij gauisi sunt: mutatóque in festiuitatem luctu, coronati albisque induti vestibus corpus eius statim in vrbem deportarunt, pæanes choreis accinẽtes: ac loco delecto qui omnium conspectui pateret, tanquam conditorem seruatorémque vrbis sepeliuerunt. Loco etiamnum est nomen Arateum. mortuus est specie familiaritatis veneno & dolis, cæde à Taurione perpetrata, Philippo Peloponesio tyranno edicente, vt impune illi quæ fecisset cederent.

Ex Artaxerxis.

MAter Artaxerxis fuit Parysatis, solers sane femina, & taxillos iacere nõ indocta. Metus tyranno stimulus ad cædem acerrimus.

Ex Agide Plutarchi nihil excerpsit Photius.

Ex Cleomene.

ANtigonus Macedoniæ rex vocatus ad auxilium ab Achæis contra Cleomenẽ, pugna superauit & fugauit Cleomenẽ, & cum esset Lacedæmone potitus, humaniter ciues tractauit, dignitatémq; Spartæ nullo modo conculcauit, aut ludibrio habuit, sed leges rémque publicam Spartanis reddidit, & in Macedoniã tertio die discessit, quod eam bello ardere, atq; à barbaris vastari inaudiuisset. Iam & morbus ipsũ occupauerat, in phthisim vehementẽ vergens, defluxúmque ex capite continentem. Nõ tamen ei succubuit, sed ita in certamine pro regno suo perdurauit, vt maxima parta victoria, ingentiq; barbarorum cæde peracta, maiori cũ gloria mortem obiret. Philarchus scribit, eũ in ipso prælio vociferatione corpus rupisse: quod vero non est dissimile. In confabulationibus hominum ferebatur, cum post prælium clamantem præ gandio, *O pulchrum diem*, multũ sanguinis expuisse, acutaq; febri decessisse.

τῶν ἄλλων ὄντων ἀφ' τῶν ἀναιρεθέντων, καὶ μηδένα τῶν αὐτοῦ στρατιωτῶν ἀποβαλών· ὅμως οὐκ ἔλαβε τὸ ἄργος, οὐδὲ ἠλευθέρωσε τοὺς ἐν αὐτῷ. τῶν περὶ Ἄγιν, καὶ τὸν νεώτερον ἀριστόμαχον, μετὰ δυνάμεως βασιλικῆς παρεισπεσόντων, καὶ κατασχόντων τὰ πράγματα. τὸ μὲν οὖν πολὺ τῆς διαβολῆς, καὶ λόγους καὶ σκώμματα καὶ βωμολοχίας παρείλετο τῶν κολακευόντων τοὺς τυράννους καὶ διεξιόντων, ἐκείνοις χαριζομένων. [Ὡς τοῦ στρατηγοῦ τῶν ἀχαιῶν ἐκταράττοιτο μὲν ἡ κοιλία παρὰ μάχας, κάρος δὲ καὶ ἴλιγγος προσπίπτει ἅμα τῷ παραστῆναι τὸν σαλπικτήν. ἐκτάξας δὲ τὴν δύναμιν, καὶ τὸ σύνθημα παρεγγυήσας, καὶ πυθόμενος τῶν ὑποστρατηγῶν, μή τις αὐτοῦ χρεία παρόντος, βεβλῆσθαι γὰρ τοὺς ἀστραγάλους; ἀπιὼν αὐτὸς, καραδοκήσων πόρρωθεν τὸ συμβησόμενον.] Ταῦτα γὰρ οὕτως ἴσχυσεν, ὥστε καὶ τοὺς φιλοσόφους ἐν ταῖς σχολαῖς * ζητοῦντας, εἰ τὸ πάλλεσθαι τὴν καρδίαν, καὶ τὸ χρῶμα φαίνεσθαι ἠλλοιωμένον, καὶ τὴν κοιλίαν ἐξυγραίνεσθαι, παρὰ τὰ φαινόμενα δεινὰ, δειλίας ἐστὶν ἢ δυσκρασίας τινὸς περὶ τὸ σῶμα καὶ ψυχρότητος; τὸν γὰρ Ἄρατον ἀεὶ μὲν ἀγαθὸν ἡγεῖσθαι στρατηγὸν, ἀεὶ δὲ ταῦτα πάσχοντα παρὰ τοὺς ἀγῶνας. Ὅτι νόμου (φησὶν) ὄντος ἀρχαίου, μηδένα θάπτεσθαι τειχῶν ἐντὸς, ἰσχυρᾶς τε τῷ νόμῳ δεισιδαιμονίας προσούσης· ἔπεμψεν εἰς δελφοὺς, ὑπὲρ τούτων ἐρησόμενοι τὴν πυθίαν· ἡ δὲ ἐπέτρεψε. καὶ οἵ τε ἀχαιοὶ ἅπαντες ἥσθησαν καὶ διαφερόντως οἱ σικυώνιοι * μεταβάλλοντες εἰς ἑορτὴν τὸ πένθος, εὐθὺς ἐκ τοῦ αἰγίου τὸ νεκρὸν Ἀράτου ἐστεφανωμένοι καὶ λευχειμονοῦντες ὑπὸ παιάνων καὶ χορῶν εἰς τὴν πόλιν ἀνῆγον· καὶ τόπον ἐξελόμενοι περίοπτον, ὥσπερ οἰκιστὴν καὶ σωτῆρα τῆς πόλεως ἐκήδευσαν· καὶ καλεῖται μέχρι νῦν Ἀράτειον. ἡ δὲ τελευτὴ αὐτοῦ ἐν φιλοφροσύνης σχήματι φαρμάκῳ καὶ δόλῳ γέγονε· Ταυρίωνος μὲν τοῦ στρατηγοῦ ὑπηρετησαμένου τῷ φόνῳ. Φιλίππου δὲ τοῦ πελοποννησίου τυράννου ὡς ἄδειαν ἔχοι πράττειν ἃ βούλοιτο τὴν ἐκθέσμαν προστάξαντος.

Ἐκ τοῦ Ἀρταξέρξου.

ΟΤι ἡ τοῦ Ἀρταξέρξου μήτηρ Παρύσατις θυμόσοφος ἦν γυνὴ, καὶ δεινὴ (φησὶ) κυβεύειν. Ὅτι ἡ δειλία (φησὶ) φονικώτατόν ἐστιν ἐν ταῖς τυραννίσι.

Ἐκ τοῦ Ἄγιδος.

ΟΤι Ἀντίγονος (φησὶν) ὁ μακεδονίας βασιλεὺς, ἐπικαλεσαμένων αὐτὸν ἐπὶ βοήθειαν κατὰ Κλεομένους ἀχαιῶν, μάχῃ ἐνίκησε. καὶ ἐξ ἐφόδου φυγόντος Κλεομένους· τὴν πόλιν παραλαβὼν, καὶ τοῖς λακεδαιμονίοις φιλανθρώπως χρησάμενος, καὶ τὸ ἀξίωμα τῆς σπάρτης οὐ προπηλακίσας, οὐδὲ ἐνυβρίσας, ἀλλὰ καὶ νόμους καὶ πολιτείαν ἀποδοὺς, ἀνεχώρησεν εἰς μακεδονίαν ἡμέρᾳ τρίτῃ· πόλεμον αὐτοῦ φύντων ἐκεῖσε, καὶ παρεῖναι βιαζομένων. ἤδη δὲ καὶ τὸ νόσημα κατεῖχεν αὐτὸν, εἰς φθίσιν * ἐμβεβληκὸς ἰσχυρὰν, καὶ κατάρρουν συντεῖνον. οὐ μὴν * ἀπεῖπεν, ἀλλ' ἀντήρκεσε πρὸς τοὺς οἰκείους ἀγῶνας, ὅσον ἐπὶ νίκῃ μεγίστῃ καὶ φόνῳ πλείστῳ τῶν βαρβάρων εὐκλεέστερος ἀποθανεῖν (ὡς μὲν εἰκός ἐστι, καὶ λέγουσιν οἱ περὶ φύλαρχον) αὐτῇ τῇ περὶ τὸν ἀγῶνα κραυγῇ τὸ σῶμα προσκαταρρήξας. ἐν δὲ ταῖς σχολαῖς ἦν ἀκούειν, ὅτι βοῶν μετὰ τὴν νίκην ὑπὸ χαρᾶς, ὦ καλῆς ἡμέρας· πλῆθος αἵματος ἀνήγαγε, καὶ πυρέξας συντόνως, ἐτελεύτησεν.

* ζητοῦν

* [illegible] οἱ

* ἐμβεβληκὼς. ἀπεῖπεν.

Ὅτι

Ὅτι Κλεομένους Αἰγύπτῳ προσπεφευγότος, μετὰ τὸ ὑπ' Ἀντιγόνου ἡττᾶν, τὰ μὲν πρῶτα ὁ βασιλεὺς Αἰγύπτου ἐν τιμῇ καὶ δεξιώσεσι περιεῖπε τὸν ἄνδρα. μετ' οὐ πολὺ δὲ μηδὲν ἀδικοῦντα, ἐξ ὑποψιῶν ἀλόγων καὶ συκοφαντῶν κακούργων, ὑπορρυπτόμενος τῆς περὶ αὐτὸν διαθέσεως, ἐν φρουρᾷ κατεῖχεν ἀδέσμως, μελετῶν κατ' αὐτοῦ θάνατον. ὁ δὲ μετά τινων ἑξκαίδεκα τῶν αὐτοῦ ἑταίρων ἐκπηδήσας μετὰ ξιφῶν τοῦ οἰκήματος, ἔθει μὲν διὰ τῆς ἀγορᾶς, καὶ τοὺς πολίτας καὶ τοὺς ἄλλους εἰς ἐλευθερίαν ἐκάλει. οἱ δὲ ἐπῄνουν μὲν τὴν γνώμην, καὶ ἐθαύμαζον τὸ γενναῖον· οὐδεὶς μέντοι διὰ τὸν ἐκ τῆς τυραννίδος φόβον ἐτόλμα συνεπιλαβέσθαι. ἀνελόντες δ' οὖν τοὺς εἰς χεῖρας [καὶ] ἐλθόντας καὶ δύο τῶν ἐχθίστων. πολλοῦ * συῤῥυέντος ἐπ' αὐτοὺς πλήθους, καὶ πολλοὺς ἀνελόντες, καὶ αὐτοὶ κατεκόπησαν, εἶτα ἀνεσταυρώθησαν. ὀλίγαις δὲ ὕστερον ἡμέραις οἱ τὸ σῶμα τοῦ Κλεομένους ἀνεσταυρωμένον παραφυλάττοντες, εἶδον εὐμεγέθη δράκοντα τῇ κεφαλῇ περιπεπλεγμένον, καὶ ἀποκρύπτοντα τὸ πρόσωπον, ὥστε μηδὲν ὄρνεον ἐφίπτασθαι σαρκοφάγον. ἐκ δὲ τούτου δεισιδαιμονία προσέπεσε τῷ βασιλεῖ καὶ φόβος, ὡς ἀνδρὸς ἀνῃρημένου θεοφιλοῦς καὶ κρείττονος τὴν φύσιν. οἱ δὲ Ἀλεξανδρεῖς καὶ * προσετρέποντο φοιτῶντες ἥρωα τὸν Κλεομένην καὶ θεῶν παῖδα προσαγορεύοντες. ἄχρις οὗ κατέπαυσαν αὐτοὺς οἱ σοφώτεροι, διδόντες λόγον· ὡς μελίττας μὲν βόες, σφῆκας δὲ ἵπποι ἀποσαπέντες ἐξανθοῦσι· κάνθαροι δὲ τὸ αὐτὸ * παθόντων τῶν ὄνων ζωογονοῦνται· τὰ [δὲ] ἀνθρώπινα σώματα περὶ τὸν μυελὸν ἰχῶρος σύῤῥοιάν τινα καὶ σύστασιν ἐν ἑαυτοῖς λαβόντων ὄφεις ἀναδίδωσι. καὶ τοῦτο κατιδόντες οἱ παλαιοὶ, μάλιστα τῶν ζώων τὸν δράκοντα τοῖς ἥρωσι συνῳκείωσαν.

* al. συῤῥέοντος.
* Ald. προσέτρεπον.
* al. παθόντες ζῶα.

PLVTARC.

Cum Cleomenes ab Antigono superatus in Ægyptum profugisset, initio à rege magno honore affectus est. Deinde haud longo post tempore sine iniuria, propter iniquam suspectionem & maleuolentiam accusatorum, deficiente erga eum affectu, coniectus est à rege in carcerem, ad mortem quæsitus. Ille vero cum aliis XVI. sociis cum gladiis domo exsiliens, per vicos currit, & ad libertatem populum vocat. Laudant mirantúrque ciues Cleomenis audaciam & animum, sequi & opem ferre ausus est nemo metu tyranni. Illi autem obuios quosque trucidarunt, & inter eos duos inimicissimos, cúmque magnam ad se confluentem hominum multitudinem interfecissent, tandem etiam interfecti sunt, & in crucem acti. Post dies aut multos, ij qui in crucem actum corpus Cleomenis custodiebant, iustæ magnitudinis draconem vident caput eius circumplicasse, faciémque operuisse, ita vt nulla carniuora eius aduolaret. Id superstitionem regi iniecit & metum, quod vir dijs carus & præstantioris humana naturæ interfectus videbatur. Alexandrini etiam frequentes ad eum locum commeantes, heroem Cleomenem, & Deorum filium appellauere tantisper, dum eum errorem doctiores minuerunt: docentes putrefacto bouis cadauere apes, equi vespas, asini scarabeos generari: in humano autem corpore confluente sanie, quæ est circa medullam, & in vnum coalescéte angues nasci, id quod intelligentes antiqui, & omnibus animantibus draconem potissimum heroibus consecrauerunt.

Vide Horapollinem lib. 2. c. 44. & Origenem contra Celsum, lib. IV.

Ἐκ τοῦ Τίτου.

Ὅτι Ἰσθμίων ἀγομένων, πλῆθος μὲν ἀνθρώπων ἐν τῷ σταδίῳ καθῆστο τὸν γυμνικὸν ἀγῶνα θεωμένων, ἅτε διὰ χρόνων πεπαυμένης μὲν πολέμων τῆς Ἑλλάδος· * ἐλευθερίᾳ δὲ σαφεῖ καὶ εἰρήνῃ πανηγυριζούσης, τῇ σάλπιγγι δὲ σιωπῆς εἰς ἅπαντας διαδοθείσης· προελθὼν ὁ κῆρυξ εἰς μέσον, ἀνεῖπεν· Ὅτι Ῥωμαίων ἡ σύγκλητος, καὶ Τίτος Κοΐντιος στρατηγὸς ὕπατος, καταπολεμήσαντες βασιλέα Φίλιππον καὶ Μακεδόνας, ἀφιᾶσιν ἀφρουρήτους καὶ ἐλευθέρους καὶ ἀφορολογήτους τοὺς Ἕλληνας, νόμοις χρωμένους τοῖς πατρίοις, Κορινθίους, Λοκρούς, Φωκεῖς, Εὐβοέας, Ἀχαιοὺς, Φθιώτας, Μάγνητας, Θετταλοὺς, * Περῤῥαιβούς. τὸ μὲν οὖν πρῶτον οὐ πάντες, οὐδὲ σαφῶς ἤκουσαν, ἀλλ' ἀνώμαλος καὶ θορυβώδης κίνησις ἦν, ἐν τῷ σταδίῳ θαυμαζόντων, καὶ διαπυνθανομένων, καὶ πάλιν ἀνειπεῖν κελευόντων. ὡς δ' ἅπαξ ἡσυχίας γενομένης, ἀναγαγὼν ὁ κῆρυξ τὴν φωνὴν, προθυμότερον εἰς ἅπαντας ἐγεγώνησε, καὶ διῆλθε τὸ κήρυγμα: κραυγὴ μὲν ἄπιστος τὸ μέγεθος, διὰ χαρὰν, ἐχώρει μέχρι θαλάσσης· ὀρθὸν δὲ ἀνειστήκει τὸ θέατρον, * οὐδεὶς δὲ λόγος ἦν τῶν ἀγωνιζομένων· ἔσπευδον δὲ πάντες ἀναπηδῆσαι καὶ δεξιώσασθαι, καὶ προσειπεῖν τὸν σωτῆρα τῆς Ἑλλάδος καὶ πρόμαχον. τὸ δὲ πολλάκις λεγόμενον εἰς ὑπερβολὴν καὶ μέγεθος τῆς φωνῆς, ὤφθη τότε

* aliter libri editi.
* al. περῤῥαιβοὺς [illegible].
* οὐδὲ λόγος M.M.

Ex Titi Flaminini.

Cum Isthmia celebrarentur, ac multitudo hominum in stadio consedisset spectandi gymnici certaminis causa, eo magis, quod illo tempore Græcia à bellis vacabat, spémque libertatis propositam cernens, manifesta in pace diem festum agebat: postquam tuba silentium vndique est factum, progressus in medium præco ita pronunciauit: Senatus Romanus & Titus Quinctius Imperator Consul, deuicto Philippo & Macedonibus, absque præsidiis esse liberos, & immunes, suis legibus viuere iubet, Corinthios, Locros, Phocenses, Eubœenses, Achæos, Phthiotas, Magnetas, Thessalos, Perrhæbos. Primum neque omnes plane, neque perfectè vocem præconis exaudierunt: Erátque promiscua & tumultuaria in stadio commotio admirátium, sciscitantium, repetíque edictum poscentium. Vt vero iterum facto silentio, altiori voce eadem præco proclamauit, exauditúmque est ab omnibus edictum; tantus, quantum credibile vix sit, clamor præ lætitia omniũ exortus, ad mare vsque peruasit. Quotquot in theatro erant, assurrexere omnes, neque iam quisquam certantium spectaculo tenebatur, prosilire omnes, amplecti & alloqui Græciæ seruatorem atque propugnatorem properabát. Atque eo tempore id re ipsa apparuit, quod de immenso immodicóque clamore dici solet.

[PLVTARC.] Corui enim qui tum forte præteruolabant, in stadium deciderunt. Cuius rei quidem causa est aëris perruptio. Nam vox cum magna atque multa effertur, ea diuulsus aër, volantes non sustinet, facitque vt aues ita atque si in vacuo sint loco, delabantur. nisi potius ictu tum quodam aëris aues veluti sagitta transfixæ, deturbentur atque decidant. Potest & ad aëris vorticem seu procellam transferri. cum maris ille instar, ob clamoris magnitudinem inuoluatur, rursúmque cum impetu sese explicet. Cæterum Quinctius, nisi celerrimè dimissis ludis impetum & concursum populi declinasset, haud profecto saluum potuisse euadere crediderunt, tam multis simul vndiq; ei se circumfundentibus. Plutarchus sicut in hac Quinctij, & in alijs vitis compositis ait, * Neronis erat temporibus. [* Traiani.]

EX ARISTIDIS ORATIONE Panathenaica, quæ est Athenarum laudatio, Excerpta.

[CCXLVI.] [Ex Gul. Canteri Vitraiectini interpretatione.]

LEGI Aristidis Panathenaicam orationem, verborum ac nominum explanationem comprehendentem, & periodorum: etiam sensus potestate, & ornatu præparato.

Terra quidem ad omne fœtus genus fuit instructa. Hæc autem beneficia cum à Diis accepissent, ita cœperunt eorum auctores imitari, vt aliis ipsi loco Deorum fuerint, & hac primum ratione dignos se donis istis esse comprobauerint, quod iis rectè fuerint vsi. Nec enim vel sub terram existimauerunt defodienda, vel alios sibi æquales euasuros esse timuerunt: sed ita demum se, quantum reliquis præstarent, posse ostendere putarunt, si essent erga omnes benefici. Sed me oratio fluctus instar transuersum rapuit, itaque ad id, vnde digressus fueram, redeo. Diuina igitur pompa commeatum in omnes regiones, tanquam pecuniam theatralem dimittunt. Maximum autem beneficium est illud, quod omnes vndique afflictos susceperunt, ac fouerunt. [Athenarum laus.] Nulla namque Græciæ gens est, vt ita dicam, quæ hac ciuitate non sit vsa. Quorum omnium meminisse primo factu sit difficile, & pares memoriæ sermones accommodare, quæ prima sunt, & antiquissima exponam. Cum Hercules è viuis excessisset, vrbs ei primum templa & aras consecrauit. [Hercules.]

[*Subiecta phrasis per eclipsim, aliquid blandi habens, qua sæpe vtitur.*]

Et nunc ciuitatis stant beneficio Messenij. Etenim sola cum omnium fortuna perpetuo cötendit vrbs, omniúmq; clades in melius conata est conuertere, vetusq; dictum immutauit. Ostendit enim se amicos infelices nequaquam fugere, cum permultos etiā, à quibus antea dissidebat, post acceptas clades in amicitiā recceperit. Nec quos felices admiserat, infelices factos dimiserit, quasi fortunæ humanitatem accōmodaret, sed infortuniis ad beneficiorū occasionem sit vsa, de suo plerisque impertiens, quæ prius nunquam vel sperauerant. Et iam ad vtrumq; terræ terminum vestri habitant liberi,

κόρακας γὰρ παραπετομένους μὲν τύχην, ἐμπεσεῖν εἰς τὸ στάδιον. αἰτία δὲ ἡ τοῦ ἀέρος ῥῆξις. ὅταν γὰρ ἡ φωνὴ πολλὴ καὶ μεγάλη φέρηται, διασπώμενος ὑπ᾽ αὐτῆς οὐκ ἀντερείδει τοῖς πετομένοις, ἀλλ᾽ ὀλίσθημα ποιεῖ καθάπερ κενεμβατοῦσιν· εἰ μὴ νὴ Δία πληγῇ μᾶλλον ὡς ὑπὸ βέλους διελαυνόμενα πίπτει καὶ ἀποθνήσκει. δύναται δὲ καὶ περιδίνησις εἶναι τοῦ ἀέρος, οἷον ἑλιγμὸς ἐν πελάγει, καὶ πάλιν ῥύμην διὰ μέγεθος λαβόντος. ὁ δ᾽ οὖν Τίτος εἰ μὴ τάχιστα τῆς θέας διαλυθείσης ὑπεκδέμενος τὴν φορὰν τοῦ πλήθους, καὶ τὸν δρόμον ἐξέκλινεν· οὐκ ἂν ἐδόκει περιγενέσθαι τοσούτων αὐτῷ περιχεομένων. Ὅτι Πλούταρχος, ὡς αὐτὸς κἀν τῷ παρόντι παραλλήλῳ καὶ ἐν ἄλλοις φησὶν, * ἐπὶ τοῦ Νέρωνος ἦν. [* al. ἦν,]

ΑΡΙΣΤΕΙΔΟΥ Ο ΠΑΝΑΘΗΝΑΙΚΟΣ.

[σμϛ′.] [Ex Aristidis oratione panathenaica excerpta.]

ΑΝΕΓΝΩΣΘΗ Ἀριστείδου ὁ παναθηναϊκὸς, ἐκλογὴν ὑπέχων ῥημάτων τε καὶ ὀνομάτων, καὶ περιόδων· ἀλλὰ καὶ νοημάτων εἰς δεινότητα καὶ κάλλος διεσκευασμένων.

Ἔῤῥωτο μὲν ἡ γῆ πρὸς ἁπάσας γονάς· λαβόντες δὲ οὕτω τὰς παρὰ τῶν θεῶν δωρεὰς, οὕτως εὖ τοὺς δόντας ἐμιμήσαντο, ὥστε αὐτοὶ τοῖς ἄλλοις ἀνθρώποις ἀντὶ τῶν θεῶν κατέστησαν. καὶ πεῖραν ταύτην πρώτην ἔδοσαν τοῦ κατ᾽ ἀξίαν τυχεῖν τὸ χρήσασθαι τοῖς ὑπάρχουσιν ὡς προσῆκεν. οὐ γὰρ ἠξίωσαν αὐτὸ δὴ τοῦτο γῇ κρύψαντες ἐξαρκεῖν· ἀλλὰ τοσοῦτον ἀπέχον τοῦ φοβηθῆναι, μὴ ἄρα τοὺς ἄλλους ἐξ ἴσου σφίσι ποιήσωσιν. ὥστε οὐκ ἔστι κάλλιον ᾠήθησαν, ὅσῳ τῶν ἄλλων προέχουσιν ἐνδείξασθαι, ἢ εἰ πάντας δὲ τοιούτους ὀφθήσονται. ἀλλ᾽ ὁ λόγος γὰρ ὥσπερ ῥεῦμα φέρων ὑπήνεγκε βίᾳ. ἀναχωρεῖν οὖν ὅθεν ἐξέβην καιρός. πέμπουσι δὴ θείᾳ πομπῇ γῆν ἐπὶ πᾶσαν, ἀφορμὰς τοῦ βίου καθάπερ θεωρικοῦ τινος διάδοσιν. δὲ γὰρ ποιοῦντες, ἔφθανον τὴν ἐπιθυμίαν τῶν εὖ παθεῖν δεομένων. οὐ γάρ ἐστι γένος οὐδὲν τῆς Ἑλλάδος, ὡς ἔπος εἰπεῖν, ὃ τοῦ ἔδους τῆς πόλεως ἀπείρατόν ἐστιν. ὧν ἁπάντων μὲν ἀμήχανον καὶ μνημονεῦσαι πρῶτον, καὶ τῆς μνήμης τοὺς λόγους συμμέτρους ἀποδοῦναι. ἃ δέ ἐστι τῶν παλαιῶν ἐντιμότατα, καὶ ὥσπερ ἀρχὴ τοῖς πολλοῖς διηγεῖσθαι· Ἡρακλέους ἐξ ἀνθρώπων ἀπελθόντος, ἡ μὲν πόλις καὶ ναοὺς καὶ βωμοὺς ἱδρύσατο πρώτη.

[κατ᾽ ἔλλειψιν ἡ προκειμένη φράσις, ἔχουσά τι ἐπαγωγόν· πολλαχοῦ δὲ αὐτῇ κέχρηται.] [σχόλιον.]

Καὶ νῦν εἰσὶ Μεσσήνιοι διὰ τὴν πόλιν. μόνη γὰρ (ὡς εἰπεῖν) διαγέγονε πρὸς τὴν ἁπάντων τύχην διαμιλλωμένη, καὶ πειρωμένη πάσας τὰς συμφορὰς περιτρέπειν ἐπὶ θάτερα· καὶ τὴν παροιμίαν ἐνήλλαξεν. οὐ γὰρ ἐκποδὼν ἐστι κατέδειξε, φίλου κακῶς πράσσοντος· ἀλλὰ πολλοὺς καὶ τῶν πρόσθεν διαφόρων ἐπὶ τοῖς ἀτυχήμασι φίλους πεποίηται. * οὐδ᾽ εὖ μὲν πράττουσι κέχρηται, κακῶς δ᾽ ἀπαλλάξαντας ἠτίμακε, τῇ τύχῃ μετροῦσα τὴν φιλανθρωπίαν: ἀλλὰ τοὺς τοῦ δυστυχεῖν καιροὺς, τοῦ πράττειν εὖ πεποίηκε τοῖς πολλοῖς τὰ παρ᾽ αὐτῆς ἀγαθὰ προσθεῖσα, καὶ ποιησαμένη κοινωνοὺς ὧν ὅτε κάλλιστα ἔπραττον, οὐδὲ ἐλπὶς ἦν αὖθις. καὶ νῦν ἐπ᾽ ἀμφοτέροις τοῖς πέρασι τῆς γῆς ἡμετέρων παίδων παῖδες οἰκοῦσιν· [* al. οὐδὲ.]

οἱ μὲν

αἱ μὲν ἄχρι Γαδείρων ἀπὸ Μασσαλίας παρήκοντες, οἱ δὲ ἐπὶ τῷ Ταναΐδι καὶ τῇ λίμνῃ μεμερισμένοι. ἐνδέχεται δὴ ἡ πάλαι τοῦ λόγου προσδοκωμένη μοῖρα, ὡς ἐμοὶ δοκεῖ, καὶ * ὑπὲρ πολλῶν αἱ περὶ τῶν κινδύνων πράξεις· ἃς ἐγὼ δέδοικα μὴ τῷ λέγοντι κίνδυνον ἔχωσιν εἰπεῖν μᾶλλον, ἢ τῇ πόλει, τῶν ἔργων ὅτε ἐπραγματεύετο. οὐ μὴν ἀλλ' ἀναγκαῖον ἅψασθαι καὶ τούτων ἤδη. καὶ μὴν αὐτὸ τοῦτο πρῶτον, τὸ πάντας τοὺς ἐν χρείᾳ βοηθείας καταφεύγειν ἐπὶ τὴν πόλιν, ὥσπερ ἐκ δυοῖν ποδοῖν [ὡς] ἀληθῶς, καὶ μηδεμίαν τῶν ἄλλων πόλεων ὁρᾶν μέγα καὶ φανερὸν σύμβολόν ἐστι, καὶ στήλης ἄμεινον, τοῦ προέχειν εὐθὺς ἐξ ἀρχῆς, οὐχ ὅσον λανθάνειν καὶ μαρτύριον * γε δυοῖν τοῖν καλλίστοιν, ἀνδρείας, καὶ φιλανθρωπίας. [εἰ δὲ βέλτιον λέγειν δικαιοσύνης ἀντὶ τῆς φιλανθρωπίας.] ὥσπερ γὰρ κήρυκες ἅπαντες οὗτοι περὶ αὐτῆς γεγόνασι, καὶ τὴν ἀνάρρησιν ἀπ' αὐτῶν τῶν ἔργων πεποίηνται· μήτε μᾶλλον ποτὲ τοῦ δικαίου μᾶλλον τῶν Ἀθηναίων, μήτε ἀμείνους εἶναι κωλύειν ὅσα αὖ ἔξω τοῦ καλοῦ γίγνοιτο· ἀλλ' εἶναι τὰς μὲν ἄλλας πόλεις * τῶν Ἀθηναίων διορθώσαι· αὐτὰς δὴ ἐφ' ἑαυτῶν ἀριθμὸν πληρούσας τῇ Ἑλλάδι. τὴν δὲ ὡς ἀληθῶς ὥσπερ πόλιν ἐν χωρίοις ἀνέχουσαν ὁμοίαν τῇ κατασκευῇ καὶ τοῖς λογισμοῖς, τῶν μὲν τὰ δίκαια τιμώντων * ὀχυρωτέραν, τῶν δὲ τὰς δυνάμεις ἐχόντων ἐπιεικεστέραν· μᾶλλον δὲ τῶν μὲν τὰ δίκαια τιμώντων ἀκριβεστέραν εἰς αὐτὸν τὸν τοῦ δικαίου λόγον, τῶν δὲ ἐπὶ τοῦ βιάζεσθαι δυνατωτέραν εἰς τέλος· ὥστε ἄμφω τὰ γένη δι' ἀμφοῖν νικᾶν. ταυτὶ μὲν οὖν κοινὰ δείγματα.

[Τὸ προκείμενον τοῦ λόγου σχῆμα διαφόροις ὀνόμασι κέκληται· καὶ γὰρ στρεπτόλυτον καλεῖται, καὶ διάλληλον, ἐναγώνιον, διαγώνιον, χιαστὸν, πλεκτὸν, καὶ λυτὸν, παρακειμένου κακοῦ ἀναίρεσις. στρεπτόλυτον μὲν, παρὰ τὸ ἐκ τῶν ἀντιστρόφων λύειν τὰ λεγόμενα· ἐναγώνιον δὲ, διὰ τὸ δοκεῖν ἔχειν ἀγῶνα τῇ ἐπαγωγῇ τῶν νοημάτων. χιαστὸν δὲ, διότι δύο προτάσεων οὐσῶν τοῦ δικαίου καὶ τοῦ δυνατοῦ, ὃ μὲν ἔδει τῷ δικαίῳ δοῦναι, τοῦτο ἀπένειμε τῷ δυνατῷ· ὃ δὲ ἔδει τῷ δυνατῷ, ἀνέθηκε τῷ δικαίῳ πάλιν, ἐναλλάξας τὰς ἐννοίας. παρακειμένου δὲ κακοῦ ἀναίρεσις λέγεται, ἐπειδὴ παράκειται ὡς δικαίοις, τὸ εὐχερῶς πάσχειν καὶ ἀδικεῖσθαι· ὡς δὲ ἀνδρείοις, τὸ ἀδικεῖν, ἀνεῖλε τὴν ἑκατέρου κακίαν. οἷον δικαία οὖσα καὶ οὐ πάσχουσα, καὶ ἀνδρεία οὖσα καὶ ἀδικοῦσα οὐδ' ὅλως. εἰ γὰρ καὶ ἐν τέλει ἔθηκε τὸ συγκριτικὸν τοῦ ὀνόματος, ἀλλ' οὐκ ἔστι τὸ σχῆμα συγκριτικόν· ἀλλ' ὡς εἴρηται παρακειμένου κακοῦ μεθοδεύει ἀναίρεσιν.]

Ἀμαζόσι μὲν γὰρ, αἳ παρῆλθον τοῖς ἔργοις τὴν φύσιν, ἱππομαχίας συνάψαντες, πανωλεθρίᾳ διέφθειραν· οὐδενὸς ἀνταίροντος τῶν μέχρι τῆς Ἀττικῆς· ἀλλ' ἐξισώκεσαν ἤδη * τὰς ἠπείρους, ὥσπερ ἀπὸ σημείου τοῦ Θερμώδοντος [ὁρμώμεναι.] ἐντεῦθεν δὲ, ὥσπερ * κάλω ῥαγέντος, ἐχώρησεν ὀπίσω· καὶ διελέλυτο Ἀμαζόσιν ἥ τε ἀρχὴ, καὶ ὁ δρόμος, καὶ ἡ πόλις. κἀν αὖθις ἐβοήθησε τῇ κοινῇ φύσει, καὶ νῦν εἰς ἄπιστον περιέστηκεν, εἰ ποτε ἐγένοντο. νῦν δὲ ἐξίσου καθέστηκε τό τε εὑρεῖν ἃ χρὴ παραλιπεῖν, καὶ τοῦ * πρὸς ἀξίαν εἰπεῖν τὰ * νικήσαντα· καὶ οὐδενὸς μὲν οὐδ' ἐν ἁπλῇ διηγήσει * πάντα που διεξελθόντος, πλεῖστα δὲ ὑπὲρ μιᾶς πόλεως ταύτης ἁπάντων εἰρηκότων· μᾶλλον δὲ ὑπὲρ μόνης πλείω σχεδὸν, ἢ τῶν ἄλλων ἁπασῶν,

ARISTIDES.

partim ad Gades vsque à Massilia pertinentes, partim per Tanaim, ac paludem diffusi. Sequitur ea nunc orationis pars, à multis, vt opinor, exspectata, quæ res belli summo discrimine gestas complectitur, quas equidem metuo maiorem narrandi difficultatem dicenti, quam ciuitati olim gerendi, exhibituras esse non tamen necesse eas iam est attingere. Atqui hoc ipsum primum, quod omnes, qui sunt in necessitate constituti, ad hanc vrbem, vtroque, vt aiunt, pede confugiunt; nec ad aliud vllum oppidum respiciunt, id euidenter, omníque columna clarius ostendit, eam ab initio statim Græciæ principem, non modo non ignobilem fuisse, ac de rebus duabus pulcherrimis, fortitudine & humanitate [aut potius iustitia, testimonium illi perhibet.] Etenim isti omnes instar præconum ipsius fuerunt, qui experientia docti prædicarent, Athenienses & iustissimos esse, & iniuriam optimè coercere, aliásque ciuitates huius indigas, pro se singulas Græciæ numerum explere, hanc autem vere tanquam vrbem inter pagos eminere, apparatu & prudentia æquali instructam, vt iustis fortiorem, ita potentibus æquiorem, aut potius & iustis exactè iustiorem, & violentis potiorem, ita vt vtrosque vtroque superet. Atque hæc quidem communia sunt exempla.

SCHOLION.

[*Hoc orationis schema variis nominibus appellatur. Etenim dicitur strepolytum, diallelon, enagonium, diagonium, chiastum, implicatum, solutum, subiecti mali amolitio. Strepolytum quidem, quia ex æquiualentibus soluit dicta. enagonium vero quia videtur habere certamen in inductione sensuum, chiastum, quia duarum propositionum, iusti scilicet & potentis, quod quidem oportebat dare iusto, dat potenti, quodque potenti, iterum dat iusto, sensum permutans. Dicitur autem subiecti mali amolitio, cum subiicit vt iustis, facile pati iniuriam, vt fortibus vero iniuriam facere, sustulit vtriusque malitiam. quale est, iusta est & non patiens. & fortis est & iniuriam faciens haudquaquam. Si enim in fine posuit nominis comparatiuum, sed non est schema comparatiuum, sed vt dictum est, subiecti mali machinatur amolitionem.*]

Amazones.

Nam cum Amazonibus, quarum facta superarunt naturam, equestri prælio commisso, totam gentem deleuerunt, cum eis nullus ad Atticam vsque restitisset, verum omnia solo adæquassent, à Thermodonte quasi centro [profectæ.]

Vnde tunc omnia quasi fune rupto retrocesserunt, dissoluto Amazonum & imperio, & excursu, & vrbe, & sic communi subuenit naturæ, effecitque, vt iam dubium sit, an vnquam exstiterint. At nunc cum par labor in quæstione omittendorum, & digna eorum, quæ clarissima videantur explicatione sit ponendus, nec quisquam adhuc vel nuda narratione sit omnia complexus, quamuis alioqui plurima singuli, de hac vna ciuitate, atque adeò plura quam de reliquis omnibus, dixerint,

Margin notes: * Al. ὑπὲρ. * al. τα. * al. τῶν. * al. σχηματιζόμεν. σχόλιον. * al. πάντα ἐσπαρ. * al. κάλου. * κατ' ἀξίαν. * διεξιέναι ... λεχθῆναι. * πάντων συνειληφότων.

ARISTIDES.

non licet nobis accuratius tractare singula, & plurima sunt omittenda, vt maxima quæ sunt referamus, quandoquidem certe nemo sit, quin libenter ista in medium proferat. Nam cum Græci de summa rerum cum Barbaris decertarent, parua terræ parte cum ingenti commissa, & pro virtute ac salute certamen esset, tum ciuitas vtramque gentem præter omnem spem vicit, & alteram esse paruam sibi appendicem, alteram tanto deteriorem, quanto videbatur maior, declarauit. Tum vero facta sunt à verbis, aliena videlicet à nostris, superata, cum plebiscitum omni trophæo præclarius, verbis pariter & re vicit, quandoquidem manibus statim fuit comprobatum, non modo sublatis, vt fieri solet, sed etiam præcones perdentibus. De eo autem, qui literarum fuerat interpres, populum quidem in suffragium miserunt, vt iudicij formam, quoniam Græcus erat, præter cæteros haberet, nihilominus tamen & ipsum interemerunt, quasi ne voce quidem sola Barbaris esset inseruiendum. Itaque id quo ille maxime nitebatur, eum fefellit, cum illi censerent hominem municipalem Interpretis officio contra vrbem, & Græcos pro hostibus fungi non debere. Tum in barathrum proiecti sunt, sic vt alij responsa regi intulerint.

[*Sublatus interpres Samius erat genere, nomine vero Mys.*]

Ciuitas autem pompam potius ducere, quam ad certamen se comparare videbatur. Templa namque omnia aperuerat, sacerdotibus conuocatis, ac Diis antiquo more supplicationes faciebat. Ac primū quidem cursus eos omnes, qui ob coronæ præmium suscipi solent, longe superabant, æqualem præmiorum excellentiæ præstantes alacritatem; in fine vero sese ipsi vincebant. Tanta vero fuit huius apparatus & facti superbia, vt existimarēt Barbari se, si modo visi essent, tantum effecturos, vt omnes velut in ludis mox cederent, vltroque se dederent. Atque hæc prima inter homines publica virtutis cum diuitiis, & prudentiæ Græcæ cum turba & apparatu barbarico exstitit controuersia, quæ non sermonis eloquentia, sed factorum demonstratione, temporisque opportunitate fuit dirempta. Nec enim isto spectaculo in metum, sed alacritatem illi conuersi sunt, nec insolentiam eorum, quæ cernebant, obstupuerunt, sed cum viderent quot essent vincendi, lætati sunt, quoniam se istam occasionem à fortuna omnium fortiter superandorum nactos putabant, & hoc fore tanti exercitus commodum, quod abundantem sui vsum esset præbiturus, ac se iamiam magnifico seque digno quasi conuiuio excipiendos putabant. Nam vt equi, & tela, & naues, tum phaleræ, & torques, canes, omnésque opes, Fortunæ dona, proponuntur fortioribus, & hæc omnia largitur victoria. Quæ cum apud se duces, & inter se milites expendissent, tum à Diis, & amico orsi Apolline, curriculo tanquam patente campo processerunt, nec Barbaris videndi, quid ageretur, spacium dederunt. Verum pariter & acies rumpebantur, & homines occidebantur, & capiebantur equi, naues,

Desunt nonnulla.

οὐκ ἐνδέχεται) διεξιέναι καθ' ἕκαστον ἀκριβῶς· ἀλλ' ἀνάγκη τὰ πλεῖστα παραλιπεῖν, ἵνα (δὴ) τοῖς μεγίστοις χρησώμεθα. ἐπεὶ τίς οὐκ ἂν ἀσμένως,* καὶ ταῦτα εἰς μέσον ἐνέγκαι; ὅτε γὰρ τοῖς Ἕλλησι καὶ βαρβάροις τὰ πράγματα ἔκειτο, καὶ μικροῦ πρὸς πολὺ μέρος τῆς γῆς ἠγωνίζετο· ὁ δὲ ἀγὼν ἦν ὑπὲρ σωτηρίας ἅμα καὶ ἀρετῆς: τότε ἐνίκησεν ἡ πόλις ἄμφω* τὰ γένη κάλλιον δείξας. ὡς *τὸ μὲν προσθήκην μικρὰν αὐτοῖς ἀποφανθῆναι. *τὸ δὲ πλέον χεῖρον, ἢ ὅσῳ πλεῖον ἐδόκει. ἐν ἐκείνοις μέν τοι τοῖς καιροῖς ἔργα λόγων ἡττήθη· λόγοι δὲ τὰ τῶν ἄλλων ἔργα, λόγοι τῶν παρ' ἡμῖν: καὶ ψήφισμα τροπαίου κρεῖττον εἰς μνήμην ἐνίκησεν, ἅμα λόγῳ καὶ ἔργῳ νικῆσαν. εὐθὺς γὰρ ἐν χερσὶν κύριον ἦν, οὐ τῇ χειροτονίᾳ μόνον ὡς νόμος, ἀλλὰ καὶ τῷ διαφθεῖραι τοὺς ἀγγέλους. τῷ δὲ ἑρμηνεύσαντι τὰ γράμματα, διὰ χειροτονίαν μὲν ἀπέδοσαν, ἵνα ἐπειδήπερ Ἕλλην ἦν, ἔχοι πλέον τῶν τῆς κρίσεως εἰκότα. ἀπέκτειναν δὲ καὶ τοῦτον, ὡς οὐδ' ἄχρι φωνῆς διακονῆσαι προσῆκον τοῖς βαρβάροις, καὶ τὸ ἰσχυρὸν περιῆλθεν αὐτῷ. τὸν γὰρ τῆς πόλεως ἄποικον οὐκ ἠξίουν κατὰ τῆς πόλεως καὶ τῶν Ἑλλήνων ἑρμηνέα τῶν φύσει πολεμίων γίνεσθαι. καὶ οὕτω δὴ ῥίπτουσιν εἰς τὸ βάραθρον, ὥστε ἄλλους ἀναγγεῖλαι τῷ βασιλεῖ τὰς ἀποκρίσεις.

* εἰς μέσον δὲ ταῦτα.
* τὰ γένη.
* Schol. τὸ ἐλάττωμα.
* Schol. τὸ βαρβαρικόν.

[Ὁ ἑρμηνεὺς ὁ ἀναιρεθεὶς, Σάμιος ἦν τὸ γένος, τοὔνομα (δὲ) Μῦς] σχόλιον.

Ἡ δὲ πόλις πομπὴν ἀγούσῃ προσεῴκει μᾶλλον, ἢ πρὸς ἀγῶνα κοσμουμένῃ· ἱερά τε γὰρ πάντα ἀνέῳγε, καὶ τὰ τῶν ἱερέων γένη συνῆγε, καὶ διεπρεσβεύετο πρὸς τοὺς θεοὺς, τὸν ἀρχαῖον τρόπον. καὶ πρῶτον μὲν τοὺς ἐν τοῖς στεφανίταις δρόμους ἀπέκρυψαν· ὅσῳ περὶ καλλιόνων τῶν ἄθλων ἠγωνίζοντο, τοσούτῳ *θαυμαστοτέραν τὴν προθυμίαν *ἐπιδειξάμενοι. τοσαύτη δ' ἦν ἡ ὑπερηφανία τῆς παρασκευῆς καὶ τῶν ποιουμένων, ὥστε ἐξαρκεῖν ἐδόκει τοῖς βαρβάροις ὀφθῆναι μόνον· ᾤοντο γὰρ ὥσπερ ἐν ἄθλοις ἅπαντας εὐθὺς ἀπογνώσεσθαι, καὶ δώσειν ἑαυτοὺς ἀκονιτί. αὕτη πρώτη δημοτελὴς κρίσις ἐν τῷ μέσῳ κατ' ἀνθρώπους ἐγένετο, ἀρετῆς πρὸς πλοῦτον, καὶ φρονήματος ἑλληνικοῦ πρὸς βάρβαρον πλῆθος καὶ παρασκευήν· οὐ λόγων εὐφημίᾳ κριθεῖσα, ἀλλ' ἔργων ἀποδείξει, καὶ τῷ καλουμένῳ τοῦ καιροῦ. οὐ γὰρ εἰς φόβον τὴν θέαν *ἔτρεψαν, οὐδ' ἐξεπλάγησαν τῶν ὁρωμένων τὴν ἀλήθειαν: ἀλλ' ἥσθησαν ὁρῶντες, ὅσων κρείττους γενήσονται· καὶ νομίσαντες, ὥσπερ ἀφορμὴν εἰληφέναι παρὰ τῆς τύχης, ὑπερβαλεῖσθαι πάντας ἀνθρώπους ἀνδραγαθίᾳ· καὶ τοῦτ' εἶναι πλέον τοῦ τοσαύτης στρατιᾶς ἔχειν, ὥσπερ χρήμασιν ἀφθόνως χρήσασθαι. καὶ διανοηθέντες, ὅτι νῦν ὥσπερ ἑστιάσονται λαμπρῶς *ὑπὸ τῶν βαρβάρων, καὶ τῆς ἀρετῆς ἀξίως τῆς ἑαυτῶν· καὶ γὰρ ἵπποι καὶ βέλη, καὶ νῆες, καὶ ψέλλια, καὶ στρεπτοὶ, καὶ κύνες, καὶ πάντα χρήματα, δῶρα τῆς τύχης ἐστὶ προτεθείμενα τοῖς κρείττοσι. *ταῦτα καὶ στρατηγοὶ πρὸς ἑαυτοὺς εἰπόντες, καὶ πρὸς αὐτοὺς ἕκαστοι διαλεχθέντες, ἐκ θεῶν ἀρξάμενοι καὶ τοῦ φίλου παιῶνος ἐχώρουν δρόμῳ, καθάπερ διὰ ψιλοῦ τοῦ πεδίου θέοντες· καὶ τοῖς βαρβάροις οὐκ ἔδωκαν ἰδεῖν, ὅ, τι ἐστὶ τὰ γινόμενα· ἀλλ' ἅμα τάξεις ἐρρήγνυντο, καὶ ἄνδρες ἐκτείνοντο, καὶ ἵπποι συνελαμβάνοντο, καὶ νῆες εἵλκοντο. καὶ χρή-

* θαυμαστότερον
* Schol. παρασχόμενοι.
* al. ἔτρεψαν.
* al. ἀπὸ.
* Schol. καὶ ταῦτα πάντα ὁ [illegible] παραδίδωσι.

* al. καινὰ

καὶ χρήματα ἦγετο, καὶ χορεία * Πανὸς ἦν τὰ ποιούμενα. ἤδη δέ τις τελευτήσας εἱστήκει περιτοξευθεὶς ὑπὸ τῶν βαρβάρων, φοβῶν τοὺς λοιπούς, ὥσπερ ἀθάνατος ὤν. ἀλλὰ ὡς ἀληθῶς ὄχλος ὄντες ᾐσθάνοντο, καὶ μέγιστον ἐναντίωμα ἑαυτοῖς, καὶ τοῖς πλείοσιν ἥττους ἐγίγνοντο, ἢ ὅσοις αὖ τις ἐξ ἀρχῆς ἐθάρρησεν ἀντιστῆναι. ὥστ' εἰκότως εἰπεῖν ἔστι, τὴν μὲν πόλιν, τὸν ἐλευθέριον Δία τιμᾶν ἐπὶ τοῖς πεπραχθεῖσι προσήκειν· τοῖς δ' ἄλλοις Ἕλλησι τὴν πόλιν καὶ νομίζειν τὸν Ἀθηναίων δῆμον ὥσπερ * ἐλευθέριον τοῖς Ἕλλησιν εἶναι. ὥστε εἰ τὸ μὴ ἔχειν ἐξ ἴσου, γίγνεσθαι τῶν ἡττόνων ἐστίν· ἅπαντας ἀνθρώπους νενικήκασιν. ὁ δὲ πάντας βασιλέας παρεληλυθὼς ταῖς ἐπινοίαις, καὶ μηδὲν καταλιπὼν * ἄτοπον νομίσαι Ξέρξης ὁ Δαρείου· καταγνοὺς μὲν τοῦ πατρὸς ὡς * ἐνδεῶς ἐπιχειρήσαντος, ὑπεριδὼν δὲ τῆς πόλεως καὶ τῶν Ἑλλήνων, ὡς οὐδαμοῦ φανησομένων: ἀγῶνα διπλοῦν ἀγωνίζεται· τὸν μὲν ὑπερβάλλεσθαι, τὴν δὲ τιμωρήσασθαι μετὰ πολλοῦ τοῦ κρείττονος. δοκεῖ δέ μοι καὶ πρὸς τὰς διοσημείας τότε Ξέρξης * ἁμιλλήσασθαι, καὶ πρὸς ἅπασαν ὄψιν τε καὶ ἀκοὴν ἀνθρώποις ἀνέλπιστον. ὥσπερ ἐνδείξασθαι βουλόμενος, ὅτι αὐτοῦ βεβαίως ἐστὶν ἡ γῆ.

* ἐλευθέριον τοῖς ἴσοις.

* Schol. ἀκρό-δρυα.

* ἐνδεῶς.

* Schol. οὐ μόνον πρὸς τὸν πατέρα.

Σχόλιον.

* al. λέξιν.

[Ὅτι Ἰσοκράτης ἀνθρωπινώτερον εἶπεν. οὕτω τὴν * πρᾶξιν ἀπαγγείλας, καθάπερ πρὸς τὸν Δία τὰ ὄντα διανεμόμενος· καὶ τὰ μὲν δὴ παραχωρήσας τοῦ οὐρανοῦ ἑαυτῷ δὲ τὴν γῆν.]

Ἢ ποίους φόβους ἐγγείους, ἢ θαλαττίους, οὐχὶ συνέστειλε τοῖς παρ' αὐτοῦ; οὗ τὰς ἀπειλὰς πρότερον οὐκ ἦν ἴσασι τοῖς ὠσὶν ἀκοῦσαι. ἀλλ' ἀπῄεσαν εἰς ἔσχατα γῆς, καὶ προὔλεγον, ἃ μηδενὸς ἦν εὑρεῖν πλὴν ἐκείνου μόνου. ἔτι δὲ Ἀτλαντικοῦ πελάγους κληρουχίας ἀτίμους ἠπείλει, καὶ γῆς ποίησιν ἔξω τῆς οἰκουμένης, καὶ ἀναγκάσειν ἠκρωτηριασμένους προσχοῦν εἰς τὸ πέλαγος. ὕδωρ μὲν ἀντλοῦντας, πέτρας δὲ ὀρύττοντας. τοσαῦτα ἔχοντας τοῦ σώματος, ὅσα τοῖς ἔργοις ἀρκέσει. καὶ οὐχ ἠπείλει μὲν οὕτως ἀήθη καὶ ὑπερφυᾶ, καὶ φόβου μείζω· ἐτελεύτησε δ' ἐνταῦθα· ἀλλ' ἀπέκρυψε τοῖς ἔργοις τὰς ἀπειλάς, πλὴν τοῦ τι δυνηθῆναι, λέγω δὴ χρήσασθαι τῇ πόλει. καὶ ὁ Ἄθως ἀντὶ στήλης τῷ ἔργῳ λέλειπται, κάμηλοι δὲ χρυσοῦ καὶ ἀργύρου κατέλαμπον, ὅσον μήκιστον ἀνύσαι, τοσοῦτον ὑπέχουσαι. εἰ δ' ἐπιθυμήσειε σκιᾶς, δένδρον ἦν αὐτῷ χρυσοῦν ἡ σκιά. ὥστε νύκτωρ μὲν ἐξῆπτεν ἀργύρῳ καὶ χρυσῷ, μεθ' ἡμέραν δὲ νύκτα ἐπῆγεν, ὁσάκις τοξεῦσαι κελεύσειεν. ἀλλὰ τούς τε Ἕλληνας συνεκάλει πρὸς τὸν ἀγῶνα τὸν κοινόν, αἰσχυνθεῖσα δοκεῖν μοι μόνη φανῆναι τῷ βαρβάρῳ καθάπερ πρότερον Μαραθῶνι· οὐ γὰρ αὐτή γε ἐν ἄλλοις εἶχε τὰς ἐλπίδας τῆς σωτηρίας, ἀλλὰ * πάντες εἶχον ἐν αὐτῇ τὰς ὑπὲρ αὐτῶν. καί τοι τίς προθυμία λαμπροτέρα; τίς εὐψυχία φανερωτέρα; τίνων Ἑλλήνων ἢ καθάπαξ εἰπεῖν ἀνθρώπων * ἐξετάζοντι φανήσεται) * οἳ τῆς γῆς ἐξέστησαν, ὑπὲρ τοῦ μήτε ἐν γῇ μήτε ἐν θαλάσσῃ δουλεῦσαι· τὸ μὲν τηρεῖν τὰ ὑπάρχοντα, δουλείας ἀρχὴν νομίσαντες εἶναι· τὴν δὲ τῶν ὄντων στέρησιν, ἀφορμὴν τῶν μελλόντων ἀγαθῶν ποιησάμενοι, καὶ τοὺς ἔχοντας τὰ ἑαυτῶν σώζοντες ἀφ' ὧν αὐτοὶ προεῖντο τὴν ἑαυτῶν. πρὸς ταῦτα αἱρεῖσθε, ὁπότερα ἂρ' ἢ τῶν δικαίων λόγους εἶχε

* πάντα.

* al. ἐξεταζόμενοι.

* οἱ.

ARISTIDES.

opes, instar Panicæ cuiusdam choreæ. Quid quod etiam mortuus quidam, cum Barbarorum telis confossus esset, stetit erectus, ac tanquam immortalis esset, reliquos perterruit.

Sed tum re vera turbam se esse, maximéque seipsos impedire cognouerunt, cum essent maiore numero, quam cui aliquis initio sustinuisset resistere.

Vt iure dicendum sit cum Iouem liberatorem ob resgestas vrbs colat, Græcos vrbem ac populum Atheniensem liberatoris loco habere debere. Quocirca si inæqualitas inferiorum est, omnibus hi victoriam ademerunt.

Xerxes.

Filius Darij Xerxes, qui omnium Regum cogitationes superauit, & nihil mirandum non tentauit, cum & patris * conatus inopia fuisse impeditos crederet, ciuitatémque & Græcos nusquam comparituros contemneret, duplex instituit certamen, quo partim illi antecelleret, partim hanc egregiè puniret. Quin etiam cum effectis cœlestibus, omniq; tum visu, tum rumore insolito, [non, cum patre dumtaxat] videtur certasse, quasi qui suam esse terram voluisset ostendere.

* al. damnando patrem vt qui per ignauiam res gessisset.

Floridius hoc dixit Isocrates, sic rem enuntians, veluti cum Ioue creata diuidens, Ioui cælum, sibi verò terram distribuens.

Quos terrores terra marique suis non incussit? cuius minas primum nemo poterat attentis auribus audire, cùm ad vltimas terræ fines progrederentur, ea prædicentes, quæ ex ipsius tantùm ingenio poterant prodire. Atlantici denique maris colonias viles redditurum, & extra eam quæ habitatur terram, conditurum: iámque ipsos coactorum mutilatos in mare exaggerare, aqua exhausta, lapidibus effossis, tantum habentes membrorum, quantum ad opus sufficeret. Nec verò cum ista tam insolita, omnique metu maiora minatus esset, substitit, verùm factis verba longè superauit, præterquam quod vrbi nihil potuit nocere. Athos ad rei memoriam relictus est. Cameli verò tam aurei quàm argentei collucebant, longissimum occupantes spacium. Sin vmbram desiderabat, præstò erat arbor aurea, quæ vmbram faceret. Itaque & nocte auro atque argento diem, interdiu, cùm suos iaculari iuberet, noctem inducebat. Sed & Græcos ad commune certamen conuocabat, quod erubesceret, vt arbitror, sola se barbaris Græca opponere, vt apud Marathonem fecerat. Nec enim in aliis ipsa spem salutis suæ ponebat, verùm alij, qui salute simul & libertate indigerent, in ipsa spem suam collocarant. Quæ autem vnquam vel alacritas præclarior, vel animi fortitudo euidentior in vllis hominibus exstitit? Cùm hi terra cesserint, ne vel terra vel mari seruirent, quod rerum suarum & conseruationem in seruitutis occasionem, & amissionem in nouarum opum subsidium, vertendam existimarent, ita vt aliorum fortunas, suarum iactura tuerentur.

Proinde, vtrum malitis, eligite: hæc ergo cùm dixissent, num aliis verbis, quàm quæ cum.

ARISTIDES.

æquitate congruerent, nec eſſent in tali neceſſitate contemnenda, vſi fuiſſent? Si tamen etiam communia fuiſſent omnia, nemine alterum ſuperante, omnéſque ex æquo contribuiſſent, ducibus inſuper paribus, vt tanquam in collatione communi, pro rerum qualitate duces fuerint conſtituendi, nonne illi inter omnes vt ſidera elucebant, omniúmque conſequebantur ſuffragia, idque non modo ſcientiæ iure, quod illi minus exiſtimabant, quamquam tamen in talibus negotiis ſummum eſſe ſolet. Alij quidem nomine gaudebant, alij officio ducum fungebantur, eoque maiorem obtinuerunt dignitatem, quod ipſis Imperatoribus imperabant. Nihil etenim, quod vni cuidam Athenienſium improbaretur, ratum habebatur. Quapropter vt Lacedæmoniorum dux ſingularum nauium imperabat ducibus, ita Athenienſis ducum duci. Et enimuerò demonſtrandi ſtudium, ſermóque alius ab alio tractus longius nos abduxit: quapropter quoniam de quibus volebam interim diſſerui, ad rem ipſam redeo.

Quos ergo pulchriores his virtutis, vel cultores, vel demonſtratores reperias? qui nec auro, nec argento, nec ferro, nec re denique vlla vinci potuerunt; ſic vt hæc omnia non maiorem Regi vſum afferrent, quàm ſi etiam tum ſub terra delituiſſet, cùm illi paupertatem diuitiis, ſecuritati pericula, humanitati Regis tantæ, iuſtitiam præponerent. Sed ne quid aliunde adducam, huic vni inhæream, ad cæteram, ac continuam orationis partem me conuertam.

Sed in hunc ſermonem penè inuitus cecidi, narrationis ſerie magis quàm voluntatę ductus, cùm nequaquam huc tenderem.

[*Narrationis ſerie*] *Vel pro dignitate dicit, quemadmodum recta eſt via, vel, vt contigit in via eſſe, ſæpenumero enim à via aberrans, alio vadit ducente amico.*

Contra totum imperium Perſarum diſcrimen in terra ſubirent, ac pro ſingulis hominibus gentes integras tum occiderent, tum caperent. Quid? quod eodem die duo parta ſunt trophæa, cùm nauale prælium terreſtri fuiſſet adæquatum. Soli enim ex iis qui communem inſtituerunt Rempub. & ſuam regionem pro aliena habuerunt, & aliena quæ eſſet, non ſibi alienam, ſed iis qui eam cum ſcelere incolerēt, cuſtodum denique morę vixerunt, non vt qui in præſidiis collocati ſunt, aut vnū aliquem locum obeunt, ſed vt Græcorū omnium per totā terram circitores nominare oportebat. Donec tandem cognouit rex, perinde ſe cōtra vrbem bellum cepiſſe, ac ſi igni latè graſſanti * oleum oppoſuiſſet. Nihil enim damni erat, quod non pateretur, ſic vt ipſe conſumeretur à ſeſe; ac regionis ſpatium ſalutis ſubſidium habere ſe intelligeret.

* ἔλαιον ἐπιχέων.

Propriam regionem contra ſe ipſum. ex hac enim Athenienſes, ſcilicet Aſia velut ex arce illum eiecerunt.

Nam hactenus quidē vſq; ad Peneum imperabat, aut potius (magnā.n. partē detraho quan-

συμβαίνοντας, ἢ ταῖς παρούσαις ἀνάγκαις οἵοις ἐγχωρεῖ * παρελθεῖν, εἶπον ἂν εἰ τούτοις ἐχρῶντο. ἀλλ' εἰ κοινὰ μὲν πάντα ἦν, μηδεὶς δὲ ὑπερεῖχε μηδενός· πάντες δὲ ἐξ ἴσου συνετέλουν· οἱ δὲ ναύαρχοι παραπλησίως εἶχον τὰς φύσεις ἀλλήλοις· ἔρανος δ' ἦν ἔδει δι' ἐκ τῶν ὑπαρχόντων σκεψαμένους τοὺς ἡγησομένους καταστῆσαι: πῶς οὐκ ἐκεῖνοι διὰ πάντων ἐξέλαμπον ὥσπερ ἀστέρες; ταῦτα δὲ ἐποίουν ἐν τοῖς ψηφίσμασιν * καὶ τῷ κύρῳ τῆς παρατάξεως· οὕτω κἂν ταῖς πράξεσι τὴν ἡγεμονίαν ἑτέροις παρεῖσαν, πόθεν. ἀλλ' οἱ μὲν ὄνομα ἡγεμόνων, οἱ δὲ ἔργα παρείχοντο· καὶ τοσούτῳ κάλλιον αὐτοῖς τὸ σχῆμα καθίστατο, ὅσῳ τῶν ἡγεμόνων αὐτῶν εἶχον τὴν ἡγεμονίαν. ὅτι (ἔτι) γὰρ Ἀθηναίων μὴ δόξειεν ἑνὶ πάντα ἦν (τῶν ἄλλων Ἑλλήνων) ἄκυρα, ὥσθ' ὁ μὲν Λακεδαιμονίων ναύαρχος τῶν ἀφ' ἑκάστων ἀρχόντων ἦρχεν, ὁ δὲ τῶν ἀρχόντων ἀρχόντων. ἀλλὰ γὰρ ἡ περὶ τὰς ἀποδείξεις σπουδή, καὶ λόγῳ λόγος παραδιδοὺς ἡμᾶς παρήνεγκε, * πορρωτέρω· εἶμι δὲ ἐπ' αὐτὰς πάλιν τὰς πράξεις· ἐπειδὴ περὶ ὧν ἐβουλόμην, ἐν τῷ μέσῳ διέλαβον. τίνες οὖν ἀρετῆς ἀγωνισταὶ καλλίους; ἢ τίνες τῶν πώποτε (τῶν Ἀθηναίων) διαρκέστερον τὴν ἐπίδειξιν αὐτῆς ἐποιήσαντο; οἳ καὶ χρυσῷ καὶ ἀργύρῳ καὶ σιδήρῳ τοῖς πᾶσιν ἀήττητοι διεγένοντο, καὶ πάντα ἀπέφηναν ὁμοίως ἄχρηστα τῷ βασιλεῖ, ὥσπερ ἂν εἰ ἐκρύπτετο ὑπὸ * γῆς ἔτι. πενίαν μὲν ἀντὶ πλούτου τιμήσαντες, κινδύνους δὲ ἀντὶ ἀσφαλείας ἑλόμενοι· δικαιοσύνην δὲ ἀντὶ τῆς βασιλέως τοσαύτης φιλανθρωπίας. ἀλλ' ἵνα μὴ πλείω τῶν ἀναγκαίων περιϊζόμενος αὐτοῦ τούτῳ μηκύνω, πρὸς τοὺς ἐφεξῆς τῶν λόγων καὶ συνεχεῖς καὶ δὴ τρέψομαι. ἀλλὰ γὰρ ἐνταῦθα μὲν ὥσπερ ἄκων ἐνέπεσον, καὶ καθ' ὁδὸν τοῦ λόγου (τοῦτο) μᾶλλον; ἢ προαιρούμενος· οὐ γὰρ εἰς ταῦτα ὁρμῶν ἠπειγόμην.

* παρίδειν. * ἢ μὲν ὅσα τῷ ῥήματι. * ὅτι δ'. * al. πορρωτέρω. * γράφ. ἢ ὑπὸ

[Τὸ καθ' ὁδὸν ἢ κατ' ἀξίαν λέγει, ὥσπερ ἐστὶν εὐθεῖα ἡ ὁδός· ἢ ὥσπερ συμβαίνει ἐν ὁδῷ γενέσθαι. πολλάκις γάρ τις ἀπερχόμενος τήνδε τὴν ὁδόν, ἄλλην ἕλκοντος αὐτὸν βαδίζει φίλου.] Σχόλιον.

Ὁμοῦ δὲ πρὸς πᾶσαν τὴν τῶν Περσῶν ἀρχὴν διακινδυνεύοντες ἐν τῇ γῇ ἀντ' ἀριθμοῦ σωμάτων ἐθνῶν ἀριθμοὺς διαφθείροντές τε καὶ λαμβάνοντες. ἤδη δὲ καὶ δύο τρόπαια εἰς μίαν ἡμέραν ἦλθε, καὶ ναυμαχία πεζομαχίᾳ παρισώθη. μόνοι * γὰρ ἀνθρώπων τῶν εἰς κοινὸν πολιτευσαμένων τὴν μὲν οἰκείαν ὥσπερ ἀλλοτρίαν ἐνόμισαν. τὴν δ' ἀλλοτρίαν, οὐχ ἑαυτῶν (* ἀλλοτρίων) ἀλλὰ τῶν σὺν κακίᾳ νεμομένων. φυλάκων διεβίωσαν βίον, οὐ δὲ τούτων ἱδρυμένων, οὐδέ γε ἑνὸς τόπου τινὸς περιπόλων. ἀλλὰ τοὺς διὰ πάσης τῆς γῆς Ἑλληνικοῦ περιπόλους ἐκείνους χρὴ καλεῖν, ἕως ἔγνω βασιλεὺς ἀνταίρων τῇ πόλει, παραπλήσιον ποιῶν, ὥσπερ ἂν εἰ πρὸς φλόγα πολλὴν ἐπιοῦσαν ὕλην ἐπιφερόμενος ἠγωνίζετο. οὐδὲν γὰρ ἦν ὅ, τι οὐκ ἔπασχεν· ἀλλ' ἀνηλίσκετο αὐτὸς ἐξ ἑαυτοῦ, καὶ τὴν χώραν ἐπιτείχισμα τῆς ἑαυτοῦ σωτηρίας ἔχων ἤσθετο.

* al. δὲ. * al. ἀλλοτρίων

[τὴν ἰδίαν χώραν καθ' ἑαυτοῦ· ἐξ αὐτῆς γὰρ οἱ Ἀθηναῖοι, ἤτοι τῆς Ἀσίας, ὡς ἐξ ὁρμητηρίου * ἀφορμῶντες, ἔβλαπτον αὐτόν.] Σχόλιον. * ἀφορμῶντες.

Εἶχε μὲν * γε πρὸ τοῦ τὸν μέχρι Πηνειοῦ τόπον. καί τοι τὸ θαυμαστὸν ἀφεῖλον, ὡς ἤδη τι θαυμαστὸν

* al. τοῦ

θαυμαστὸν λέγειν, εἶχε πάντα τὸν μέχρι τῆς Ἀττικῆς, ἕως ἐνέτυχε τοῖς ἐκ τῆς Ἀττικῆς ἐν τῇ θαλάττῃ· τοσοῦτον παρεληλύθει τὸν ὀμφαλὸν τῆς γῆς τε καὶ τῆς Ἑλλάδος τοὺς Δελφούς. ἐκ δὲ τῶν τῆς πόλεως ἀγώνων καὶ ἀποστόλων εἰς τοῦτο κατῆλθεν, ὥστε ὡμολόγησε δυεῖν μὲν ὅρων εἴσω μηκέτι πλεύσεσθαι· πρὸς μεσημβρίαν μὲν * Χελιδονίας, πρὸς δὲ ἄρκτον Κυανέας θέμενος· θαλάσσης δὲ ἀφέξειν ἴσον πανταχῇ σταδίους πεντακοσίους· ὡς ἤδη τὸν κύκλον τοῦτον, ἀντ' ἄλλου τινὸς στεφάνου τοῖς Ἕλλησιν ὑπὲρ κεφαλῆς, καὶ τὴν φρουρὰν ἐξ αὐτῆς τῆς χώρας τοῦ βασιλέως. καίτοι τί κάλλιον εἴποι τις εἰρήνης, ἢ πολέμου κεφάλαιον, ἢ πρὸς Ἕλληνας, ἢ πρὸς βαρβάρους, ᾧ κατέκλεισε τότε τὰς πράξεις ἡ πόλις; καὶ ταῦτα μέν τοι τοσαῦτα καὶ τοιαῦτα διῆλθε, σὺν πολλοῖς ὅμως ἐναντιώμασι τῶν Ἑλλήνων, καὶ πάντων ὥσπερ ἀνθελκόντων. τὸ γὰρ ἐν πολέμῳ καὶ φιλονεικίᾳ τῶν Ἑλλήνων πρὸς αὐτὴν καθεστηκότων, τῆς ὑπὲρ τῶν Ἑλλήνων προνοίας μηδὲν μᾶλλον ἀφεῖσθαι· ἀλλ' ὑπὲρ τῶν κοινῇ συμφερόντων βασιλεῖ πολεμεῖν διὰ γῆς ἁπάσης καὶ θαλάττης· πόσῃ τινὶ χρὴ τῇ μεγαλοψυχίᾳ προσθεῖναι; χωρὶς τοῦ πρὸς τοσαῦτα μερισθῆναι, καὶ πάντων ὡς μόνων ἑκάστων ἐφικέσθαι· τῆς μὲν γνώμης τὴν ἀνδρείαν, τῆς δὲ παρασκευῆς τὴν ὑπερβολὴν παρέχει θαυμάσαι. τά τε γὰρ πρὸς τοὺς βαρβάρους, ὡς πᾶσαν ἄγουσα ἀπὸ πάντων σχολήν, οὕτω διῳκήσατο· καὶ τοῖς ἐνοχλοῦσι τῶν Ἑλλήνων οὐδὲν μᾶλλον ὑπῆρχε χρήσασθαι τῷ καιρῷ. ἀλλὰ καὶ τούτοις οὕτως ἀπήντησεν, ὥστε σὺν πέντε καὶ σὺν πλείω ταῦτ' ἔχειν ἀπαριθμεῖν, ὥσπερ ἄλλα ἄττα συλλήβδην ἀριθμούμενα. ἐνίκων μὲν γε ναυμαχίᾳ Πελοποννησίους ἐπὶ Κεκρυφαλείᾳ· ἐνίκων δ' Αἰγινήτας πρὸς Αἰγίνῃ, καὶ Πελοποννησίους αὖθις· Μεγαρεῦσι δ' ἔστησαν τείχη μέχρι θαλάσσης, καὶ τὴν ἐλευθερίαν ἅμα καὶ τὴν χώραν διεφύλαξαν. ἐνίκων δὲ Κορινθίους πρὸ Μεγαρέων· καὶ πρὶν δώδεκα ἐξήκειν ἡμέρας, ἐνίκων αὖθις ἑτέραν, οὐ καλῶς τὸ τρόπαιον ὑφαρπάζοντας. καὶ οὔπω ταῦτα μεγάλα· ἀλλ' εἰρήσεται γάρ, κἂν ἐπείγωμαι· ἡ γὰρ προσθήκη δείξει τὸ πᾶν. ἀπῆσαν μὲν γὰρ αἱ δυνάμεις τῇ πόλει· ἡ μὲν κατὰ τὴν τῶν Αἰγυπτίων χρείαν νῆες πλείους ἢ τότ' ἦσαν ἐν τοῖς Ἕλλησιν αἱ σύμπασαι σχεδόν· ἡ δὲ Αἰγίνῃ προσεκάθητο, ὅπερ καὶ τοὺς ἐναντίους μᾶλλον ἐπῆρεν ὁρμῆσαι πρὸς τὰ Μέγαρα. ᾤοντο γὰρ ἤδη σχολὴν Ἀθηναίων εἰς τὸ ἔργον ἐκείνοις. εἰ δ' ἄρα καὶ τὰ δεύτερα νικῷεν· ἀλλ' ἐπαρεῖν * πολιορκίας λύσειν τῆς Αἰγίνης· οὐ γὰρ ἄλλοθέν γε λοιπὸν ἥξειν αὐτούς. οἱ δὲ τοσοῦτον κατεγέλασαν τοῦ σοφίσματος, ὥστε οὐδὲν μᾶλλον οἱ πρὸς Αἰγίνῃ τότε ἐκινήθησαν τῶν ἐν Αἰγύπτῳ, καὶ μηδὲν πεπυσμένων. ἀλλὰ μὴν μόνη μὲν ἁπασῶν πόλεων ἰδίοις κινδύνοις κοινὴν ἅπαντι τῷ γένει τὴν ὠφέλειαν ἐποιήσατο· μόνη δὲ ἐκ τῶν κοινῶν εὐεργεσιῶν τὴν ἡγεμονίαν ἐκτήσατο, καὶ μετέθηκε τὸν θεσμόν. οὐ γὰρ ἐξ ὧν κατεδουλώσατο τὰς πόλεις, ἔσχε τὴν ἀρχήν· ἀλλ' ἐξ ὧν ἐποίησεν ἐλευθέρας. ὥστε συνέβαινε τοὺς αὐτοὺς χρόνους τοῖς μὲν Ἕλλησι τὸ τῆς ἐλευθερίας, τῇ δὲ πόλει τὸ τῆς ἀρχῆς κέρδος ἐνεγκεῖν. μόνοι γὰρ ἑκόντων ἦρξαν, καὶ μόνος ὁ δῆμος ὥσπερ εἷς ἄρχων αἱρετὸς ἐξ ἁπάντων ἐνίκησε τοὺς μὲν βαρβάρους τοῖς ὅπλοις βιασάμενος,

Val. χαυδίνας.

* λύσειν πολιορκ. τὴν αἰγίνης.

quam multum dicere videor) vsque ad Atticam, donec Atheniensibus in mari occurrit: tanto iam spatio Delphos, terræ totius, Græciæque * vmbilicum, transierat. Ac per vrbis certamina, & marinas expeditiones vsque eo redactus est, vt polliceretur se nec terminos duos, Chelidoneas ad meridiem, Cyaneas ad Septentriones, nauigio deinceps superaturum, & à mari ad quingenta vndique stadia recessurum, adeò vt orbis ille pro corona capitis Græcis esset, & in ipso iam regio agro præsidia collocarent sua.

ARISTIDES.

* Pind. Pyth. Od. VIII. & XI. Eurip. Medea. Plato. lib. 4. de Rep. Clem. Alex. Protrept. & alij.

Quem autem pulchriorem vel pacis vel belli, tam contra Græcos quàm contra Barbaros, exitum quis reperiat, quàm quo res has vrbs conclusit? Quamquam nec hæc ipsa, quæ tot tantáque sunt, sine multis Græcorum obstaculis peregit, omnibus eam quasi diripientibus. Etenim quod cùm Græci contentionem & bellum contra ipsam suscepissent, nihil tamen de Græcorum cura remisit: verùm pro communi salute bellum cum Rege terra, marique gessit, quantæ est animi magnitudinis, præter quod in tot partes se diuisit, atque omnia non secus atque singula curauit, & cum animi fortitudine, tum apparatus magnitudine admirandam se præbuit. Nam & contra barbaros ita se gessit, quasi ab omnibus negotiis vacaret, nec interim Græcis, si qui erant infesti, occasionem gerendi, quæ vellent, præbuit: verùm & his ita se obuiam dedit, vt quinas vel etiam plures simul res ab ea gestas, velut ea quæ numerantur coniunctim, commemorare liceat. Vicerunt enim Peloponesios nauali prælio ad Cecryphaliam, & Æginetas ad Æginam, & rurfum Peloponesios. Deinde Megariensium mœnia ad mare vsque protenderunt, libertatem eorum simul cum regione defendentes. Tum Corinthios ante Megarenses primum superarunt, & iterum vrbem vicerunt post dies duodecim, cùm iniustè trophæum surripuissent. Quæ tametsi magni momenti non sunt, dicentur à me tamen, licet festinem, quandoquidem appendix rem totam absoluet. Cùm enim abessent vrbis copiæ, partim ad Ægyptiorum subsidium, naues plures, quàm tunc erant in tota Græcia, partim in Æginæ obsidione, aggressi sunt hostes Megara inuadere, quod existimabant Atheniensium ocium sibi in occasionem rei gerendæ cedere, aut saltem si vrbs rursum vinceret, Æginæ obsidionem solutum iri: siquidem illi aliunde opem ferre non possent. Illi autem adeò hoc commentum riserunt, vt qui ad Æginam erant, non magis quam qui in Ægypto rem omnem ignorabant, loco se mouerent. Quinimò sola priuato periculo communi vtilitati studuit, & beneficiorum copia principatum sibi comparauit, more communi mutato. Non enim quod oppida subiugarat, sed quod libera fecerat, imperium est adepta: ita vt eodem tempore & Græcis libertas, & vrbi fuerit imperitum tributum. Huic enim soli vltro paruerunt reliqui; & hunc populum communi suffragio iusserunt imperare, adeò vt cum armis Barbaros coëgisset,

ARISTIDES. socios tamen nihil precatus fuerit, sed ipsorum precibus compulsus principatum acceperit, quo ad iustitiæ, non iniuriæ notam vteretur. vt autem singulatim rem totam explicem, sola hæc ciuitas, Barbaris inuitis, Græcis autem petentibus, imperium est adepta. Quis vnquam dignè vel expendat, vel admiretur? Vt autem insignis illa clades accepta fuit, (cur enim hoc taceam, cùm & ipsum ad vrbis magnitudinem ostendendam pertineat?) quæ ita sit ad reliquas res progressa, quasi totam cepisset Siciliam, nec copias amisisse, sed nouas comparasse videretur. Ac morum quidem facilitatem, ac temperantiam, vitæque rationem ad fugam turpitudinis susceptam, nemo facilè pro dignitate dixerit. Verùm cùm Græci omnes illos circumsisterent, & antiqui hostes tum primùm ex fortuna spem cepissent, noui autem è Sicilia accederent, omnibus verò sociis omnium tam insularum quàm regionum aliarum, rebellione in hostes mutatis, illud præterea flagitium præter opinionem commissum esset, vt regem contra vrbem aduocarent ij, quos ab eo vrbs seruauerat: ille verò libens aduenisset, ac tum militibus, tum nauibus, tum etiam pecunia opē illis ferret, omnibus terræ marisque locis in belli subsidium præstitis: non erat quisquā, qui non crederet prima fronte vrbem iamiam direptum iri, quam Græci simul & Barbari bello vexarent. At hi eam fecerunt rerum mutationem, quasi apparatus ille non damnum ipsis potius quàm auxilium attulisset, ipsique adeò hostes belli duces se præbuissent. Trophæis Hellespontum distinxerunt, aliis alio fugatis, ac velitationes potius quàm prælia cum obuiis committentes, quemadmodum tum à nobis, tum ab aliis antea dictum fuit. Denique ad Cyzicum simul cum Lacedæmoniis, Græcis, Barbaris, & Pharnabazo congressi, naues omnes, præter eas quas depresserant, ceperunt. Itaque quæ tanta laborarat seditione ciuitas, hoc tempore ne mentionem quidem pacis fecit vllam, cùm illi quibus tot initio suppeditarant commoda, clade accepta, mox ad pacem confugerent.

Cumque ipsa simul contra omnium impetus opponere se coacta sit, hostes plerique partem eius aliquam infestarunt, vniuersas copias nunquam sunt aggressi. Quapropter & ciuitatem hanc, & multos sæpe vicisse, & perpetuò inuictam permanere meritò dixerimus. Quid quod ipsa nemo vnquam potitus est, nec eius consilium mutauit, quandoquidem reliquæ clades ad exercitum referuntur, cùm ipsa tam consilia hostium quàm facta subiugarit, partim Xerxe ex voto egregiè fugato, partim Lacedæmoniis, & absentibus, & præsentibus, atque victis repressis.

SCHOLION. [*Ad quid inclinauit, nisi ad cupiditatem pacis?*]

Etenim Lacedæmonij cùm nec pacē cū Thebanis facere dignarētur, solis Athenis honestè se cessuros rati, & cū aliis ex Peloponēso cōiūcti

τοὺς δ' ὁμοφύλους, οὐ πείσας, ἀλλ' ὑπ' αὐτῶν ἄρχειν πεισθείς· σύμβολον δικαιοσύνης ἔχων τὴν ἀρχὴν, (ἀλλ') οὐκ ἀδικίας. εἰ δὲ δεῖ διελόντα εἰπεῖν, μόνη πόλεων τῶν μὲν βαρβάρων ἀκόντων, τῶν δ' Ἑλλήνων δεηθέντων ἔσχε τὴν ἀρχήν. ποία ταῦτ' *ἔνεστι ψυχῇ *περιλαβεῖν ἀνθρωπίνῃ, καὶ τίνος οὐκ εὐτυχίας μᾶλλον θαυμάσαι; γενομένου δὲ τοῦ μεγάλου πάθους (οὐ γὰρ οὖν σιωπήσομαι· ἀλλὰ καὶ τοῦτο ἔτι μείζω μοι δοκεῖ δεικνύναι τὴν πόλιν) οὕτω γὰρ τοῖς ὑπολοίποις προσηνέχθη πράγμασιν, ὥσπερ ἂν εἰ πᾶσαν εἰλήφει τὴν Σικελίαν. οὐ γὰρ ἐστερημένῃ δυνάμεως ἐῴκει, ἀλλ' ἄρτι προσκεκτημένῃ. καὶ τὴν μὲν τῶν τρόπων εὐκολίαν καὶ *τάξιν, καὶ σωφροσύνην διαίτης, καὶ ὑπὲρ τοῦ μηδὲν αἰσχρὸν συγχωρῆσαι προείλοντο, οὐδ' ἂν εἷς ἀξίως εἴποι. περιστάντων δ' αὐτοὺς τῶν Ἑλλήνων ἁπάντων, καὶ τῶν μὲν ὑπαρχόντων πολεμίων τότε πρῶτον λαβόντων ἐλπίδας, καὶ παροξυνθέντων ὑπὸ τῆς τύχης· ἐπελθόντων δὲ τῶν ἐκ Σικελίας· μεταστάσης δὲ τῆς συμμαχίας ὀλίγου δεῖν ἁπάσης, καὶ νήσων, καὶ ἠπείρου, καὶ πάντων (ὡς εἰπεῖν) πολεμίων καὶ πανταχόθεν κεκυκλωμένων· ἔτι δ' ἀγνωμοσύνης ἀπροσδοκήτου συμβάσης, ὥστε καὶ βασιλέα κληθῆναι κατὰ τῆς πόλεως ὑπὸ τῶν ἀπ' ἐκείνου σωθέντων τῆς ἀπὸ τῆς πόλεως πράξεσι· προσγενομένου δὲ κἀκείνου μάλα *ἀσμένου, καὶ συμπολεμοῦντος καὶ σώμασι καὶ ναυσὶ, καὶ χρυσῷ· καὶ τίνα γῆς ἢ θαλάσσης τόπον ἀφορμὴν οὐ παρέχοντος τῷ πολέμῳ; ἦν μὲν οὖν οὐδεὶς, ὅστις οὐκ ἂν ἤλπισεν ἔξωθεν, οὑτωσὶ σκοπῶν, ἀναρπασθήσεσθαι νῦν ἤδη τὴν πόλιν, οὕτω κοινῷ πολέμῳ βαρβάρων τε καὶ Ἑλλήνων συνεχομένην· οἱ δὲ οὕτω μετέστησαν τὰ πράγματα, ὥσπερ ἁπάντων τούτων *οὐ κατ' αὐτῶν, ἀλλ' ὑπὲρ αὐτῶν γινομένων, ἢ στρατηγούντων σφίσι τῶν πολεμίων. διέλαβον δὲ τροπαίοις τὸν Ἑλλήσποντον ἄλλοις *ἄλλοσε καταδιώκοντες· ὥσπερ μελέτας μᾶλλον ἐν σφίσιν αὐτοῖς ἢ ναυμαχίας πρὸς τοὺς ἐντυγχάνοντας ἀεὶ ποιούμενοι. εἴρηταί τι, καὶ ἐνθυμήθητε ὡς ἑτέρῳ προείρη). τέλος δὲ ἐπὶ Κυζίκῳ συμπεσόντες ὁμοῦ Λακεδαιμονίοις, καὶ τοῖς ἀπὸ τῆς Ἑλλάδος, καὶ τοῖς ἀπὸ τῆς Ἀσίας βαρβάροις, καὶ Φαρναβάζῳ· λαμβάνουσι τὰς ναῦς, παρὰ τοσοῦτον οὐ πάσας, παρ' ὅσας διέφθειραν. ὥστε *ἡ μὲν τοσοῦτον ὑπερβληθεῖσα ὑπὸ τῆς συστάσεως πόλις, οὐδ' ὄνομα εἰρήνης ἐπ' ἐκείνων τῶν χρόνων ἐνενόησεν. *οἱ δ' ἀπὸ τοσούτων καὶ τηλικούτων πλεονεκτημάτων ὁρμώμενοι πληγέντες, κατέφυγον εὐθὺς ἐπὶ τὴν εἰρήνην. ἔτι δὲ αὐτὴ μὲν πρὸς ἅπαντας πολεμεῖν ὁμοῦ ἠνάγκαστο τοὺς ἐπιόντας, ἢ κινοῦντας. τῶν δ' ἐναντίων οἱ πλεῖστοι πρὸς μέρος αὐτῆς *ἀντήρκεσαν. ἀθρόας δὲ τῆς δυνάμεως ἢ τῆς οὐδεὶς ἐπειράθη. ὥστε ἡ τῶν Ἀθηναίων πόλις νενίκηκε μὲν πολλὰ δὴ πολλάκις, αὐτὴ δ' ἴσα καὶ ἀήττητός ἐστι. τὸ δὲ πάντων μέγιστον, ὅτι αὐτῆς μὲν οὐδεὶς ἐκράτησεν. οὐδεὶς γὰρ αὐτῆς τὴν γνώμην παρεστήσατο, ἀλλὰ στρατιαὶ γέγονε πάντα τὰ ἀτυχήματα: αὐτὴ δὲ τὰς γνώμας τῶν ἐναντίων ἅμα τοῖς ἔργοις δεδούλωκε). Ξέρξην μὲν φυγὴν ἀπὸ τῶν πραγμάτων ποιήσασα ἐν εὐχῆς μέρει, Λακεδαιμονίους δὲ ἀνακλίνασα οὐχ ἧττον τοὺς ἀκούοντας, ἢ τοὺς ἐν ταῖς μάχαις παρόντας καὶ πταίσαντας αὐτῶν.

σχόλιον. [εἰς τί ἀνέκλινεν, ἢ εἰς τὸ ἐπιθυμῆσαι εἰρήνης·]

Εἰρήνην γὰρ Λακεδαιμόνιοι ἀπηξίωσαν ποιήσασθαι πρὸς Θηβαίους, μόνῃ τῇ τῶν Ἀθηναίων πόλει νομίζοντες εἴκειν, διαπρεπῆ συμφορὰν εἶναι. ἀναμιχθέντες δὲ τοῖς ἄλλοις *πολεμίοις οὐ μᾶλ-

* al. ἔνι τι & περιλαβεῖν.
* al. σωφροσ. ἢ τάξιν διαίτης.
* ἀσμένως.
* al. ὑπὲρ αὐτῶν, ἀλλ' οὐ κατ' αὐτῶν.
* ἄλλοτε.
* al. οὐ μή.
* al. οὐδ'.
* ἀντήρκεσαν.

ARISTIDES.

οὐ μᾶλλον σώζειν ἑτέρους εἶχον, ἢ τῶν ἄλλων ἰδίοντι σώζειν σφᾶς [οἵ γε ὀλίγων μὲν πλείους ὄντες ἢ πεντήκοντα] οἱ πρῶτοι ταῦτα *βουλεύσαντες ὁμοῦ πρός τε τὴν λακεδαιμονίων ἀρχὴν γῆς καὶ θαλάττης οὖσαν, καὶ πρὸς τοὺς ἐν αὐτῇ τῇ πόλει κινδυνεύειν ὑπέστησαν· οἰόμενοι δεῖν ἢ ζῆν ἐν ἐλευθερίᾳ, ἢ μὴ προσορᾶν τὸν ἥλιον κακίας μάρτυρα ἑαυτοῖς γινόμενον. ἐνόσησε μὲν γὰρ τῇ τῶν πάντων ἀνθρώπων φύσει, ἰάθη δὲ τῇ ἑαυτῆς. ὥστε καὶ τοῦτο ζῆλον αὐτῇ μᾶλλον ἐνήνοχεν ἢ συμφοράν. κρατήσαντες [δὲ] εὐτυχίᾳ τοὺς ἐχθρούς, ἐπιεικείᾳ τοὺς οἰκείους ἐνίκησαν. χρησάμενοι δὲ ἀμφοτέροις, καὶ τῇ παρὰ τοὺς ἀγῶνας ἀνδρείᾳ, καὶ τῷ μετὰ τὰς πράξεις ἃ δεῖ βουλεύσασθαι· οὕτως ἀνεκτήσαντο τὴν πόλιν. ὥστ' εἴ τις βούλοιτο μὴ *πάντα διηγεῖσθαι *ἐνεῖναι κλέψαι τὴν *σύμπασαν ἐπὶ τοῦ πολέμου συμφοράν· οὕτως ἀκολούθως ταῖς ἄνω πράξεσι τὰς ἐφεξῆς καὶ προείλοντο καὶ κατώρθωσαν.

* al. δὲ βουλεύ.
* al. πάντας.
* ἴσως ὂν συμβῆναι.

σχόλιον. [πόσῃ τινὶ τῇ περιουσίᾳ χρὴ νομίζειν ταύτην ὑπεραίρειν.]

ὃ δὲ οὐδενὸς ἧττον τῶν ὑπ' ἐκείνων πραχθέντων ἄξιον εἰπεῖν τε καὶ τιμῆσαι. λακεδαιμονίων γὰρ ἃ τοῖς τριάκοντα ἐδάνεισαν ἐπὶ τὸν δῆμον ἀπαιτούντων, ἐπειδὴ συνέβησαν, *συνεξέτισεν ὁ δῆμος, ἵν' *ἔργῳ τὰς συνθήκας βεβαιώσῃ). παράδειγμα δὲ ἀνθρώποις τῶν ἐν τοῖς δεινοῖς ἐλπίδων ἐγένετο ὁ δῆμος ἤδη συνειλεγμένος· ἅμα τε εἰς χεῖρας παρῆσαν, καὶ σχεδὸν εἰς λόγους, ὥσπερ ὑπὲρ ἀλλήλων, οὐχ ὑπὲρ ἑαυτῶν πολεμήσαντες ἑκάτεροι· ὥστε μὴ εἶναι διελέσθαι, πότερον τῶν ἐναντίων ἦν καταπαῦσαι τὴν στάσιν, ἢ τῶν εὔνων *συνδέξασθαι τῇ πόλει τοῦτόν γε λυθεῖσαν τὸν τρόπον. ἐπεὶ δὲ τῆς εἰρήνης ἐμνήσθην, πάλιν ἐνταῦθα ἐπανελθεῖν βούλομαι βραχύ τι. ὥστε καὶ πρώτη τοὺς βαρβάρους καὶ μόνη νενίκηκε· καὶ σὺν ἄλλοις γινομένη, οὐκ ἔλαττον τοὺς συμπαρόντας ἢ τοὺς ἀντιπάλους ἐνίκησεν. ὥσπερ οἱ θηρᾶν ἀδύνατοι, τὸ ληφθὲν ἀπροσδοκήτως οὐ μεθιᾶσιν. οὐδ' ἂν ἀποδόσθαι τις ἀξιώσῃ, τῆς ἀξίας τιμήσαιντ' ἄν· ἀλλὰ τὴν αὐτῶν ἀδυναμίαν προστιθέντες πλεονάζουσιν. ἡ δέ, οἶμαι, συνειδυῖα ἑαυτῇ κρείττων οὖσα τοῖς ὅλοις, οὐδὲ πώποτε ἐμικρολογήσατο, ἐξ ἴσου τοῖς παροῦσι τὰ ἀπόντα ἐλπίζουσα. διὸ πάντα ῥᾷον τοῖς πολεμίοις ἀπέδωκεν, ἢ ἐκεῖνοι τὰ σφέτερα αὐτῶν ἀπῄτησαν. ἴσως μὲν οὖν κἀγώ πως *ἄτοπον ποιεῖν δοκῶ· μεμφόμενος μὲν (τοὺς συγκρίνοντας ἀθηναίοις λακεδαιμονίους) αὐτὸς δ' εἰς τοὺς ὁμοίους λόγους παρελήλυθας. καὶ δι' αὐτά γε ταῦτα εἰρηκὼς αὐτούς, δι' ἅ φημι δεῖν μὴ λέγειν. οὐ μὴν ἀλλ' ἐξ αὐτῶν γε τούτων καὶ μάλιστα ἄν τις κατίδοι, ὡς οὔτε ἡ χάρις θαυμαστὴ (ἣν οἷον) τῇ πόλει καταθέσθαι, οὔτε ἐξεπίτηδες τά γε τοιαῦτα ἀγωνιστέον.

* συνέτισεν.
* ἔργον.
* al. συνείξασθαι.
* καὶ τὸ ἄτοπον.

σχόλιον. [ἀλλὰ κατὰ τὸ πάρεργον οἷον ὥσπερ νῦν ἐγώ·]

ὥστε εἴ τις *ἀξιοῖ, καὶ ἡμῖν ἄρρητα ταῦτα εἶναι, σχεδὸν τοῦτο χαίρειν εἴρηται. καὶ λακεδαιμόνιοι, (οἱ) τῶν ἑλλήνων προέχοντες καὶ προκινδυνεύοντες ἐν ταῖς χρείαις, παῖδες τῇ πόλει παραβάλλειν εἰσίν. ὥστε βουλοίμην ἂν καὶ τὰ τρόπαια ἃ νῦν μέλλω λέγειν ἀπ' ἄλλων ὑπάρχειν ἀνακείμενα τῇ πόλει, καὶ μὴ ἀναγκαῖον εἶναι προστιθέναι τοῖς πολλοῖς, ὅτι ἀπὸ λακεδαιμονίων.

* Ald. ἀξιοίη.

salutem non tam afferre quàm postulare possent, [erant verò paulò plures quàm quinquaginta.] primi huius consilij auctores, pariter contra Lacedæmonios mari, terráque imperantes, & eos qui in vrbe erant, periculosè obiecerunt: quod existimarent sibi vel liberis viuendum, vel ignauis oppetendum esse, ne Solem conscium intuerentur. Vt enim iuxta communem hominum naturam ægrotauit, ita iuxta suam fuit sanata, laudémque ex eo maiorem, quàm cladem percepit. Quod cum fecissent, tum deinde hostibus fortitudine, & amicis æquitate superatis, partim bellicis viribus, partim maturo post res gestas consilio, patriam recuperarunt. Quapropter si quis omnia non studeat complecti, is acceptam in bello cladem potest dissimulare, quandoquidem sequentes res eodem, quo priores, consilio sunt & euentu peractæ.

SCHOLION. *Qua exsuperantia hanc euehendam esse vrbem existimandum.*

Iam illud nihilo secius quàm superiora, tum narrare tum admirari debemus, quod cum Lacedæmonij ea quæ XXX. viris contra populum mutuauerant, postquam inter eos conuenit, populus ex parte persoluit, quo firmitas fœderibus maior accederet. Populus enim ibi collectus, aliis in aduersis bene sperandi exemplum præbebat, simúlque in manus, ac prope in sermonem conuenerat, quasi pro se inuicem dimicaturi, vt dici non possit, vtrum detestanda magis esset aduersariorum seditio, quàm verò ciuitati hoc modo liberatæ* optanda. Et cum pacis mentionẽ feci, parum quiddam de ea repetam.

* fort. pro εὔνων legendū εὐχῶν.

Comparatio.

Quapropter & sola Barbaros & prima vicit, cum aliisque coniuncta, ipsa non minus atque hostes superauit. Quemadmodum qui venari nesciunt, si quid insperantes ceperint, non dimittunt, nec nisi carissimè vendunt, imbecillitate sua rei pretium metientes. Hæc autem cùm se toto genere præstare cognosceret, nunquam sordidius se gessit, quoniam de absentibus non leuius quàm de præsentibus sperabat, ideóque citius omnia hostibus, quàm illi sua peterent, reddidit.

Comparationes istas ægrè fero, quamquam & ipse quibusdam absurdè facere videbor, qui in eum sermonem, quem vituperabam, inciderim, eúmque ea de causa, propter quam fuerat omittendus, habuerim. Quinimò hinc vel maximè perspicitur, nec magnam illos ab vrbe gratiam inire, nec hæc esse de industria tractanda.

SCHOLION. *Sed per transennam quemadmodum nunc ego facio.*

Quapropter si quis à nobis etiam hæc velit præteriri, hactenus certè dicta sunt. Et Lacedæmonij qui pro Græcis, vt principes opponere se solebant, puerorum vicem vrbis comparatione subeunt. Quid? quod tam inuitus in hunc sermonem incidi, vt etiam trophæa quæ recensebo, ab aliis esse vrbi parta cupiam, ne plerisque Laconicũ nomen esset inserendũ.

ARISTIDES. Quoniam verò res ipsæ nos huc adigunt, hæc non tam contentionis gratia dicemus, quàm ne res omnes transeamus, vt in quibusdam fecimus, nec est leuiter progrediendum. Nec tam vnum ediderunt beneficij genus, quàm nullum omiserunt. Multæ autem eorundem temporum res velut in historia mihi occurrunt, quas adeò non possum facile cunctas explicare, vt ne duci quidem vlli queam sufficere. Earum verò quas, quibus omissis, recensebo? Iam illud maximam meretur admirationem, omnémque superat humanam naturam. cùm possent Lacedæmoniis terra marique pro famulis vti, vel calamitati suæ relinquere, quos & socij, & finitimi, & serui omnes oppugnabant: nihilominus æquo iure eos admiserunt, & cùm Thebani instar flammæ ad vrbem Laconicam & reliquas Peloponesi partes ferrentur, soli ex Græcis & Barbaris restiterunt. Quas ob res eo loco sunt ab omnibus habiti, vt vrbs totius societatis curia constitueretur. Præterea vtrum ciuitatem, an fœdera reprehendunt? Si enim ciuitatem accusant, nihil de rebus maximis, à quibus vrbs celebratur, videntur cognoscere: sin fœdera, vtique aliis ea dissimilia iudicant: itaque fit, vt quod in vituperium rei proferunt, eo laudent vrbem. Nam & ciuitatis & hominis cuiusuis vitium ita demum cognoscitur, si mala in eo vel sola, vel bonis plura, aut maiora (vt & hoc adiiciamus) cernuntur. Qui autem omnibus examinatis, vnum aliquid, aut item alterum reprehendunt, ij reliquis omittendis tacite laudant, præsertim si non de homine, verùm de ciuitate, eáque totius Græciæ antiquissima, plurimisque rebus præclarè gestis celeberrima iudicium fiat. Omne enim imperium à potentioribus contra æquitatis legem exercetur. Quomodo alioqui aut æquum sit, aut iustum, vt quis alienæ terræ tributum imponat, aut leges præter necessitatem ferat, aut iura illis vel iussa det, aut belligeret, aut quæ sua non sunt occupet? quandoquidem ista præter æquitatem fiunt. Quare si quis exactius iuris naturam velit perquirere, nec potius aliquid rerum naturæ concedere, quàm sophistam agere, is iam protinus omnia imperia, & magistratus abrogabit, cum ea potentioribus seruentur, atque etiam ad Deos ipsos præ nimia sapientia procedet, eósque, quod non æquo iure cum hominibus agant, sed imperium sibi arrogent, calumniabitur. Sed hæc, vt arbitror, ab iis disputantur, qui in angulis educati, Solem nunquam viderunt, à quo solent aliæ stellæ lumine priuari. Sin hęc necessariò cum omni imperio cohærent, éstque hoc imperij ius, vt princeps potiori sit iure quàm cæteri: ita demum cedam, si qua vel Græca, vel barbara potestas minus imperij iure, quàm populus Atheniensis, vsa demonstretur. Quemadmodum enim in præclaris consiliis optimi alicuius viri morem secutus est, ita in iis quæ calumniantur nonnulli, non secundùm communem hominũ naturam, sed imperij necessitate ductus peccauit.

νῦν δὲ * αὐτὰ τὰ πράγματα ταύτην ἄγει. ὥστε οὐ τοῦ παρεξετάσαι χάριν εἰρήσεται· ἀλλὰ τοῦ μὴ παντάπασι τὰς πράξεις παρελθεῖν· καὶ γάρ εἰσιν αἱ παρεξέλιπον. δεῖ δὲ, ὡς ἔοικεν, οὐ τοῦ τυχόντος δρόμου, καὶ οὐχ ἓν εἶδος εὐεργεσίας ἐπεδείξατο. ἀλλ' οὐδὲν εἶδος εὐεργεσίας ἀπέλιπον. πρόσεισι δέ με παντοδαπὰ, ὥσπερ ἐν * συγγραφῇ τῶν αὐτῶν χρόνων, ἃ μὴ ὅτι πάντα διεξελθεῖν ἄπορον, ἀλλ' οὐδενὸς στρατηγοῦ πάντα ἑξῆς· ὧν τί παρείς, τίνος μνησθῶ; δὸ δὲ δὴ μάλιστα τῆς ἐκείνων φύσεως ἀγασθῆναι, καὶ κρεῖττον ἢ κατὰ ἄνθρωπον ἡγήσασθαι. ἐξὸν γὰρ ἑαυτοῖς ἀκολουθοῦντας ἔχειν λακεδαιμονίους, καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἢ περιϊδεῖν ἐπὶ κεφαλὴν ὠσθέντας, συμμάχων, περιοίκων, οἰκετῶν ἁπάντων ἐπανεστηκότων· ἐπὶ τοῖς ἴσοις ἐδέξαντο. καὶ προσφερομένης ὥσπερ φλογὸς τῆς θηβαίων δυνάμεως ἐπὶ τὴν πόλιν τῶν λακεδαιμονίων, καὶ τὰ λοιπὰ τῆς πελοποννήσου· μόνοι καὶ ἑλλήνων καὶ βαρβάρων προστάντες ἐκώλυσαν. ἐξ ὧν οὕτως ὑπὸ πάντων ἐτιμῶντο, ὥστε καταστῆναι τὴν πόλιν συνέδριον τῆς συμμαχίας ἁπάσης. ἔτι τοίνυν πότερον τῆς πόλεως, ἢ τῶν συμβάντων κατηγοροῦσιν; εἰ μὲν γὰρ τῆς πόλεως οὐδὲν, ὡς ἔοικε, τῶν μεγίστων ἐπίστανται, ἀλλ' ἐκπέφευγεν αὐτοὺς * ἀφ' ὧν ἡ πόλις γνωρίζεται. εἰ δὲ τὰ συμβάντα μέμφονται, οὐχ ὅμοια τοῖς ἄλλοις, ὡς ἔοικεν, οἷς προσείλετο ἡ πόλις νομίζοντες, οὕτω μέμφονται· ὥστε ἐξ ὧν τὸ πρᾶγμα κακίζουσι, τὴν πόλιν ἐγκωμιάζουσι. τότε γὰρ κακία πόλεως καὶ ἰδιώτου δείκνυται, ὅταν ἢ μόνα τις προσῇ τὰ ὑπάντια, ἢ πλείω τὰ φαῦλα τῶν ἐπιεικῶν ἐλέγχῃ τις, ἢ μείζω. προσκείσθω γάρ, ὅταν δ' ἐξετάζων διὰ πάντων, ἑνὸς ἢ δυοῖν λαμβάνῃ, λέληθας ἐπαινῶν οἷς ἀφίης. ἄλλως εἰ μηδ' ἰδιώτου ποιῇ τὴν κρίσιν, ἀλλὰ πόλεως, καὶ ταύτης πρεσβυτάτης τῶν ἑλληνίδων, καὶ ᾗ πλεῖστα ὑπάρχει τὰ δέοντα συμβάντα. ἅπασα γὰρ δήπουθεν ἀρχὴ τῶν κρειττόνων ἐστὶ, καὶ παρ' αὐτὸν τὸν τῆς ἰσότητος νόμον. εἰ δὲ μὴ πῶς ἴσον, ἢ πῶς δίκαιον, ἢ φόρους * ἐκλογεῖν ἀπὸ τῆς ἀλλοτρίας, ἢ νόμους τιθέναι τοῖς οὐδὲν δεομένοις; ἢ κρίνειν τὰ ἐκείνων, ἢ * προστάττειν, ἢ πολεμεῖν, ἢ ἔχεσθαι τὰ μὴ προσήκοντα. ὅλως γὰρ οὐδὲν τούτων ἀπὸ τοῦ ἴσου γίνεται. ὡς εἴ τις ἀκριβολογεῖται περὶ τῶν δικαίων, καὶ σοφιστὴς εἶναι μᾶλλον βούλεται, ἢ τῇ τῶν πραγμάτων φύσει συγχωρεῖν· οὐκ ἂν φθάνοι διαγράφων πάσας ἀρχὰς καὶ δυνάμεις ἁπλῶς· ὡς ἅπαντά γε ταῦτά ἐστιν ἐν τῷ θεσμῷ τοῦ * κρείττονος. εἶτα ὑπὸ σοφίας ἄνεισι μέχρι τῶν θεῶν, ἐλέγχων, καὶ λέγων· ὡς οὐδὲ οὗτοι τοῖς ἀνθρώποις ἐξ ἴσου προσομιλοῦσιν. ἀλλ' ἄρχειν κρείττους εἰσί. ἀλλ' οἶμαι ταῦτ' ἐστι γωνίας ἄξιον ἀνθρώπων, καὶ τὸν ἥλιον οὐχ ἑωρακότων, ὃς ἀφαιρεῖται τοὺς ἄλλους ἀστέρας τὸ φαίνεσθαι. εἰ δὲ ἀναγκαῖον τὸ ἁπάσῃ * δυνάμει καὶ πάσῃ περιουσίᾳ τὰ τοιαῦτα προσεῖναι· καὶ οὗτός ἐστιν ἀρχῆς θεσμὸς, μὴ ἀπὸ τοῦ ἴσου πρὸς τοὺς ὑπηκόους κεῖσθαι: τότε νικῶν ἀπίτω τις, ὅταν δείξῃ τῶν ἄλλων εἴτε ἑλληνικῶν δυνάμεων, εἴτε καὶ βαρβαρικῶν βασιλειῶν, ἥν τινα οὖν ἐλάττονι τῷ τῆς πλεονεξίας * γεγονομένῳ χρησαμένην, ἢ τὸν τῶν ἀθηναίων δῆμόν ἐστιν εὑρεῖν. φανεῖται γάρ, ἃ μὲν διαφερόντως ἐβουλεύσατο, ἑνὸς ἀνδρὸς ἤθει κεχρημένος τοῦ βελτίστου· ἃ δὲ διαβάλλουσί τινες, οὐ τῇ κοινῇ φύσει τῶν ἀνθρώπων ἐξαμαρτὼν, ἀλλὰ τῇ τῆς ἀρχῆς ἀκολουθήσας ἀνάγκῃ.

* al. γραφῆ.
* ἐξ.
* ἐκλέγειν Ald.
* προστάττειν M. M.
* κρείττονος.
* δυναστείᾳ.
* al. χρωμένῳ

ARISTIDES

καὶ δυνάμει μὲν ἀρχὴν κατασχὼν τὸ ἐξ ἀρχῆς, φιλανθρωπίᾳ δὲ τὸ τῆς ἀρχῆς δεδωκώς, ἑκὼν μεθεὶς, καὶ σχεδὸν τῶν ἐγκλημάτων αἴτιος καὶ αὐτὸς γεγονώς. πλείστῳ γὰρ τῷ κοινῷ καὶ μετρίῳ πρὸς ἅπαντας χρησάμενος, καὶ τρόπον τινὰ τῆς πολιτείας μᾶλλον κοινωνοὺς ποιησάμενος, ἢ δυναστείας νόμῳ κατέχων. ταυτὸν τοῖς χρηστοῖς ἔπαθε τῶν δεσποτῶν. οὐ γὰρ διὰ τὴν ἄλλην ἐπιείκειαν χάριτος παρ' ἐνίων ἔτυχεν. ἀλλ' εἴ τι προσηνάγκασεν, ἐπιφανῶς ἔδοξε βιάζεσθαι. καὶ μὴν εἰ μὲν ἔχοντας τὸ τῶν ὑπηκόων σχῆμα ταῦτα * εἰργασμένος φαίνεται, δεινὸν τοῖς ἐθέλουσι βλασφημεῖν: εἰ δὲ τοὺς μὲν ἀποστάντας, καὶ παρ' ἀξίαν ὑβρίσαντας εἰς αὐτόν· τοὺς δὲ ἐκ τοῦ φανεροῦ πολεμίους ὄντας· ποτέροις ἄξιον ἐγκαλεῖν; οἶμαί γε τοῖς τὴν ἀνάγκην παρασχοῦσιν. ἐπεὶ κἀκεῖνό μοι δοκοῦσιν, ὥσπερ ἐνέχυρον αὐτὸ τοῦτο ἔχοντες, ἐπαρθῆναι. καὶ τούτῳ μάλιστα πιστεύσαντες ἁμαρτεῖν, * οὐ τῷ διὰ τέλους κρατήσειν τῆς πόλεως, ἀλλὰ τῷ μηδ' ἂν ληφθῶσι, μηδὲν δεινὸν πείσεσθαι, ὡς Ἀθηναίους γε πεφυκότας σώζειν. δῆλον δέ. ἃ γὰρ περὶ Μιτυληναίων μετέγνωσαν, τίς ἔχει νικῆσαι πόλις, οἷς ἐξ ἀρχῆς ἐβουλεύσαντο; ἐκεῖνοι γὰρ ἃ μὲν τῇ προτεραίᾳ διέγνωσαν, τῆς κρίσεως ἦν, καὶ ὧν ἠδίκηντο· ἃ δὲ τῇ ὑστεραίᾳ μετέγνωσαν, τῆς πόλεως ἦν μόνης. καὶ ἡ τριήρης τὴν τριήρη κατέλαβε. θαυμάζω δέ, εἰ τῶν μὲν ἰδιωτῶν τὴν ἔργῳ πάντες ἀπολογίαν τιμῶσι· τῆς πόλεως δὲ οὐχ ὁρῶσιν οἱ συμπάντα ἔργα, δι' οἵων καὶ * ὅσων ἀπολελόγηται περὶ τούτων, καὶ ἡλίου μὲν καὶ σελήνης οὐχ ὅσα βλάπτουσι, κατηγοροῦμεν· ἀλλ' ὅσων ἀγαθῶν αἴτιοι γίνονται, θαυμάζομεν: τὴν πόλιν δ' ἐξ ὧν ἐνίοις προσέκρουσεν, ἀλλ' οὐκ ἐξ ὧν ἅπασιν ὡμίλησεν· * οὐδ' ἐκ τῆς ὅλης φύσεως κρινοῦμεν; οὐκ οἴομαί γε. ὥσπερ ἂν εἴ τις καὶ τῶν θεῶν κατηγοροίη τοὺς σκηπτοὺς, καὶ τὰς βροντάς, κἂν εἴ τι σφαλῇ, τὰς ὅλας καὶ κοινὰς αὐτῶν εὐεργεσίας, * ἀμελήσας σκοπεῖν. ἔχων δὲ πολλὰ καὶ τῶν ὕστερον εἰπεῖν, καὶ μάχας ἀτόπους, καὶ τολμήματα θαυμαστὰ, καὶ καρτερίας ὑπερφυεῖς· οὐκ ἔθ' ὁρῶ τὸν καιρὸν ἀρκοῦντα. τοσοῦτον δή τι προσθεὶς τοῖς περὶ τούτων λόγοις, ἀπαλλάττομαι. ὥσπερ γὰρ προειδυῖα ἐξ ἀρχῆς ἡ φύσις περὶ τῆς πόλεως, ὅσον * προέξει τοῖς ἔργοις τῶν ἄλλων· κατεσκεύαστο αὐτῇ πρὸς ἀξίαν τοὺς λόγους, ἵνα αὐτή τε κοσμοῖτο ὑπὸ τῶν ἑαυτῆς ἀγαθῶν· κἄν ποι τῶν ἄλλων δέῃ, καὶ τοῦτ' * ἔχῃ μετὰ τῶν ἄλλων χαρίζεσθαι. πρότερον μὲν οὖν τοὺς καταφεύγοντας ἐφ' ὑμᾶς τῶν Ἑλλήνων, διεσώζετε· νυνὶ δ' ἀτεχνῶς πάντας ἀνθρώπους, καὶ πάντα γένη τῇ καλλίστῃ τῶν εὐεργεσιῶν αὔξετε, ἡγεμόνες παιδείας καὶ σοφίας ἁπάσης γινόμενοι. ἀλλὰ μὴν πέντε μέν εἰσι μνῆμαι βασιλειῶν· μὴ γένοιτο δὲ πλειόνων. τούτων (δ') ἐπὶ μὲν τῆς Ἀσσυρίων τῆς πρεσβυτάτης, αἱ πρῶται τῆς πόλεώς εἰσι πράξεις, καὶ ὅσα τῶν θείων εἰς τοῦτον ἐμπίπτει τὸν χρόνον· ἐπὶ δὲ τῆς δευτέρας ηὔξετο ἡ πόλις· τῆς δὲ τρίτης, διὰ τέλους ἐνίκησεν· ἐν δὲ τῇ τετάρτῃ μόνη μὲν ἀντέσχεν, ἄριστα δ' ἀπήλλαξε τῶν ἄλλων. ἐπὶ δὲ τῆς πάντα ἀρίστης καὶ μεγίστης, τῆς νυνὶ καθεστηκυίας τὰ πρεσβεῖα παντὸς ἔχει τοῦ ἑλληνικοῦ· καὶ τετύχηκεν οὕτως, ὥστε μὴ ῥᾳδίως ἄν τινα αὐτῇ τὰ ἀρχαῖα ἀντὶ τῶν παρόντων συνεύξασθαι· γνοίη δ' ἄν τις ὅσον τῇ πόλει περίεστιν ἐκ τοῦ παντὸς αἰῶνος,

* εἰργασμένοι.

* al. ἕως ἂν κρατήσει.

* πάσαι.

* οὐδ' ἐκ.

* ἀμελήσας.

* al. τοῖς ἔργοις προέξει τῶν.

* ἴσχει.

Cúmque potentia sua imperium esset ab initio adeptus, per humanitatem vltrò dimisit, ac ipse penè sibi criminum est auctor factus. Nam cùm maxima erga omnes familiaritate, atque moderatione vsus esset, eósque magis in reipub. societatem quodammodo vocasset, quam principatus iure cohibuisset, idem ferè, quod solet benignis dominis accidere, passus est, vt non propter cæteram æquitatem gratiosus esset, sed cùm quid postularet, apertè vim facere videretur. Quin siquidem in eos, qui pro ciuibus sese gerebant, hæc perpetrauit, nihil vero quo minus incusetur: sin vero quia partim defecerant, cúmque præter dignitatem contumeliosè acceperant, partim apertos hostes profitebantur, dubium non relinquitur, quin ij qui necessitatem attulerunt, crimen omne sustineant. Nam & illi eo quasi pignore videntur eáque fiducia elati peccasse, non quod vrbe perpetuò se potiri posse crederent, sed quod nec victos grauius quidquam esse passuros confiderent, quum Athenienses natura essent ad homines conseruandos propensi. Quod enim de Mitylenensibus decretum reuocarunt, quæ potest ciuitas primis consiliis vincere? Vt enim quæ pridie statuerant, iudicij erant, & iniuriæ acceptæ: ita quæ postridie mutarunt, solius erant vrbis, cum quidem triremis vna est alteram assecuta. Iam cum hominis cuiusuis defensionem cum facto coniunctam omnes recipiant, miror eos vrbis res gestas tot ac tantas, quibus illa se purgat, non considerare. An verò Solem quidem ac Lunam, non ob damna, quæ nobis dant, accusabimus, sed propter commoda ab ipsis profecta mirabimur: de vrbe non ex vniuersa eius natura, & cum omnibus consuetudine ac familiaritate, sed ex offensionibus aliquot iudicabimus? non puto. nisi quis etiam fulmina Deorum; ac tonitrua, motúsque terræ velit calumniari, neglectis communibus, atque vniuersis beneficiis.

Quamuis autem multa quoque posteriorum temporum bella, inusitata & inaudita constantia, narrationi meæ reliqua sint, tempus tamen me deficit. Quapropter vnum si addidero, totum de hac re sermonem concludam.

Athenæ doctæ.

Natura quasi sciens fore, vt rebus gestis alios vrbs longè vinceret, orationes ei & litteras pro dignitate tribuit, quo & ipsa suis gauderet ornamentis, & aliis, si opus esset, vnà cum reliquis impertiri posset. Cùm ergo prius Græcos ad vos confugientes seruaueritis, nunc omnes homines, gentésque cunctas pulcherrimè excipitis, xenio sapientiæ, & doctrinæ duces omnibus vos præbentes, cunctósque purgantes. Iam cùm quinque memorentur regna (nec verò plura nascantur) in eorum antiquissimum Assyrium, primæ vrbis res gestæ, & quæ iis propitiis acta sunt, inciderunt: in secundo * creuit vrbs: tertio ipsa vicit: quarto cū sola restitit, tum optimè omnium liberauit: in hoc autem omnium optimo ac maximo, totius Græciæ primas tenet, ita vt non debeat ei quisquam antiquum statum loco præsentis exoptare. Quanta verò fuerit vrbis ab omni tēpore præstātia, facile admodū cognos cremus

Monarchiæ quinque.

* ὑπερε, capta est.

ARISTIDES.

si eius ornamenta non quidem omnia (nam id omnino fieri non potest) sed aliquot in varias vrbes ac regiones distribuentes, earum deinde comparationem quasi poëtarum aut chorearum instituamus: non enim mihi facile videtur, vincentem inuenire: vt si aliæ, verbi gratia de prima hominis creatione glorientur, quædam, de frugibus vel primùm inuentis, vel plurimum communicatis, nonnullæ de legibus aut feriis solemnibus constitutis, aliæ de situ commodissimo: quædam de sapientia, vel rebus bellicis, nonnullæ de Græcis exceptis, vel coloniis deductis: reliquæ denique de alia re quauis, quæ vrbi contigerit. Sic apertissimè quanto reliquas interuallo vrbs superet, ostendemus, cum ipsa, quæcunque toti Græciæ separatim sufficerent, sola complectatur. Quin & donum quod sit maximum, non facile discernetur, verùm si hic ciuitatum quoque fiat contentio, vt alia Cereris fructus afferat, alia Bacchi, nec solius vitis, sed & aliorum, quæ feruntur: tertia verò Mineruæ donum, idque duplex, multis vtique ciuitatibus gloriandi materiam, ceu de præstantissimo munere singulis dabimus.

Atheniensium cum aliis Vrbibus comparatio.

Atque hæc quidem hactenus. Magnitudo autem vrbis & reliquus apparatus, omnino fortunæ Atheniensium, & nominis amplitudini respondet, siue ipsum ciuitatis ambitum, qui maximus est & pulcherrimus in tota Græcia, consideres, siue mœnia ad mare quondam vsque pertinentia, & itineris diurni longitudinem complexa, aliósque ad mare circulos vrbanis oppositos. Quid quod * vici quidam oppidis aliis splendidiores cernuntur, omnisque ornatus, tam qui à natura, quàm qui ab arte petitur, æqualiter, & vrbi tributus est, & regioni. Ad naturam quidem pertinet aër tam eximius, & portus, qui singuli multorum instar esse possint. Tum arcis ipsius situs, & velut auræ gratia afflans vndique. Iam illud in his notatu dignum, cum aliæ vrbes cœli bonitate regioni suæ cedant, vrbs tamen quem tota Attica bonum, eum habet optimum ac purissimum aërem, adeò vt vel eminus è cœlo superiore tanquam iubare cognoscatur. Atque hæc quidem è natura sunt, pauca de multis collecta. Quæ autem ad artem referuntur, eorum quid vel maximum vel primum ponam nescio. Sunt enim hic & templa maxima omnium atque pulcherrima, & simulacra, exceptis cœlestibus facilè prima, tam venusta, quàm noua, & bibliothecæ, qui proprius est Athenarum ornatus, & lauacra multum delicata, istique diætæ conuenientia, & curricula atque gymnasia. Quocirca si quis Erichthonios, Cecropes, fabulas, fruges, trophæa, terrenas res & marinas, litteras, viros, reliqua omnia, quibus ætatem transegit, vrbi detrahat, eaque ratione, qua reliquas ciuitates, quæ sese nunc venditant, consideret, victoriam nihilominus iis, quæ adhuc in ipsa cernuntur, facilè auferet.

Athenarum magnitudo.

* δῆμοι.

Portus Piræei.

Bibliotheca.

εἰ τὰ ὑπάρχοντα αὐτῇ, πάντα μὲν οὐκ ἴσως δυνατόν, μᾶλλον δὲ σαφῶς ἀδύνατον· ἀλλ', ὅσα γε ἐγχωρεῖ, μερίσας ἄλλῳ ἄλλῃ πόλει καὶ χώρᾳ, προσθεὶς εἶτα ἀγῶνα τοῦ λόγου ποιήσαι καθάπερ ποιητῶν ἢ χορῶν. οὐ γάρ μοι δοκεῖ τὴν νικῶσαν εὑρεῖν ἂν ῥᾳδίως· οἷον εἰ φιλοτιμοῖτο ἡ μὲν, ὡς πρώτη τεκοῦσα τὸ τῶν ἀνθρώπων γένος· ἡ δὲ, ὡς πρώτη δείξασα τοὺς καρπούς· ἡ δὲ, ὡς πλείστοις μεταδοῦσα· ἡ δέ τις, ὡς νόμους καταδείξασα· ἡ δὲ, πανηγύρεις· ἡ δὲ, ὡς ἐν καλλίστοις κεῖται γῆς ἅμα καὶ θαλάττης· ἡ δὲ, τοῖς τῆς σοφίας ἀγαθοῖς ἀγάλλοιτο· ἡ δὲ, τὰς ἐν τοῖς πολέμοις πράξεις καταλέγοι· ἄλλη δὲ ὅσους ὑπεδέξατο τῶν Ἑλλήνων· ἡ δὲ, τὰς ἀποικίας ἃς ἀπέστειλεν· ἡ δὲ, ὅτι καὶ δοίη τις αὐτῇ τῶν ὑπαρχόντων τῇ πόλει. φημὶ * ἔγωγε μάλις ἂν οὕτω γενέσθαι καταφανὲς, ὁπόσοις τισὶ τοῖς κρείττοσιν ἡ πόλις * ἡμῶν τὰς ἄλλας παρελήλυθεν. ἃ γὰρ ἐξαρκεῖ * νενεμημένη τῇ Ἑλλάδι, ταῦτα μόνη συλλαβοῦσα ἔχει. καὶ μὴν τῶν γε δωρεῶν ὡσαύτως τὴν μεγίστην οὐ ῥᾴδιον εὑρεῖν· ἁμιλλάσθω δὲ καὶ περὶ τούτων ἄλλη πρὸς ἄλλην πόλις· ἡ μὲν τοὺς Δήμητρος καρποὺς κομιζέσθω, ἡ δὲ τοὺς τοῦ Διονύσου· καὶ τούτους οὐ μόνους τοὺς ἀπὸ τῆς ἀμπέλου, ἀλλὰ καὶ τῶν ἄλλων ἡμέρων· ἡ δὲ τρίτη λεγέσθω τὴν τῆς Ἀθηνᾶς δωρεὰν, καὶ ταύτην διπλῆν. ἆρ' οὐ πολλαῖς πόλεσι μεριζομένη * ἐξαρκεῖ τὰ ἐκ τῶν θεῶν ἑκάστῃ φιλοτιμεῖσθαι ὡς ἐχούσῃ τὸ κάλλιστον. εἶεν ἀλλὰ ταῦτα μὲν τοιαῦτα. τὰ δ' αὖ τοῦ μεγέθους καὶ τῆς ἄλλης κατασκευῆς, τίς ἂν οὐκ ἄξια τῆς ὅλης τύχης εἴποι, καὶ τοῦ μεγάλου τῶν Ἀθηναίων ὀνόματος; τοῦτο μὲν αὐτὸν τὸν κύκλον τοῦ ἄστεος μέγιστον μὲν τῶν Ἑλληνικῶν, κάλλιστον δὲ τῶν πανταχοῦ. σκοπῶ τείχη, καθήκοντά ποτε ἐπὶ τὴν θάλατταν, ἡμερησίας ὁδοῦ μῆκος τὰ σύμπαντα· καὶ πρὸς τῇ θαλάττῃ κύκλους ἑτέρους ἀντιστρόφους τῶν περὶ τὴν πόλιν. ἀλλὰ τοὺς * δόμους πάρεστι δήπου θεωρεῖν· * ὧν ἔνιοι λαμπρότεροι τῶν ἀλλαχοῦ πόλεών εἰσι κατεσκευασμένοι· καὶ πάντα δὴ τὸν κόσμον καὶ τὸν παρὰ τῆς φύσεως, καὶ τὸν παρὰ τῆς τέχνης, ἰσάμιλλον καὶ τῇ πόλει καὶ τῇ χώρᾳ. τῶν μὲν αὐτοφυῶν, ἀήρ τε οὐδὲν ἐξαίρετος τοῦ πολλοῦ· καὶ λιμένες τοσοῦτοι, ὧν εἷς ἕκαστος ἀντάξιος πολλῶν. ἔτι δὲ αὐτῆς τῆς ἀκροπόλεως ἡ θέσις· καὶ τὸ ὥσπερ αὔρας εὐχαρεῖς προσβάλλον πανταχοῦ. ὃ δὲ καὶ ἐν αὐτοῖς τούτοις ἄξιον ἐπισημήνασθαι. ταῖς μὲν γὰρ ἄλλαις πόλεσιν, ὅπως ἂν ἔχωσι τοῦ * οὐρανοῦ, τῆς γε αὐτῶν χώρας ἐπιεικῶς ἡττᾶσθαι συμβέβηκε. τῆς δὲ τῆς πάσης Ἀττικῆς ἀέρος οὕτως ἔχοντος, ἄριστος καὶ καθαρώτατός ἐστιν ὁ τῆς πόλεως ὑπερέχων. γνοίης δ' ἂν * αὐτὴν ἐπὶ τῆς πόρρωθεν ὥσπερ * αὐγῇ τῇ ὑπὲρ κεφαλῆς αἰρεῖ. καὶ τὰ μὲν παρὰ τῆς φύσεως, τοιαῦτα, πολλὰ τῶν ὄντων ἀφελόντι· τῶν δ' αὖ τῆς τέχνης, τί χρὴ πρῶτον * εἰπεῖν, ἢ * μέγιστον θεῖναι; ναοί τε γὰρ ἐνταῦθα οἱ αὐτοὶ μέγιστοι καὶ κάλλιστοι τῶν πανταχοῦ· καὶ ἀγάλματα, πλὴν τῶν οὐρανίων, τῆς πρώτης τέχνης τὰ πρῶτα, καὶ παλαιὰ, καὶ καινά. πρὸς δὲ τούτοις βιβλίων * ταμιεῖα, οἷα οὐχ ἑτέρωθι γῆς φανερῶς· καὶ μάλα τῶν Ἀθηναίων κόσμος οἰκεῖος, καὶ οἷα δὴ τῆς παρούσης ἐξουσίας τε καὶ διαίτης. λουτρά τε, σεμνότητι καὶ τρυφῇ νικῶντα· καὶ δρόμοι, καὶ * γυμνάσια. ὥστε εἴ τις ἀφέλοι τῆς πόλεως τοὺς Ἐριχθονίους, τοὺς Κέκροπας, τὰ μυθώδη, τὰ τῶν καρπῶν, τὰ τρόπαια τὰ ἐν τῇ γῇ καὶ τῇ θαλάττῃ· τοὺς λόγους, τοὺς ἄνδρας· πάντα, δι' ὧν τὸν αἰῶνα διεξελήλυθε· σκοποῖτο δ' αὐτὴν, ὥσπερ τὰς νῦν φρονούσας ἐφ' ἑαυταῖς, ἐξαρκεῖν αὐτὴν τοῖς ὁρωμένοις νικᾶν. ἀλλὰ

* al. ἐγὼ

* ἡμῶν.

* al. ἐξαρκοῦσαι.

* al. δήμους

* al. ὧν.

Schol. τοῦ ἀέρος.

* al. αὐτόν.

* Ald. αὐτῇ.

* Ald. αὐγῇ.

* vel μέγιστον. M. M.

* ταμιεῖα.

* γυμνάσια.

ἀλλὰ μόνη δὴ πόλεων τὰ μὲν παλαιὰ τοῖς παλαιοῖς νικᾷ· τὰ δὲ καινὰ τοῖς καινοῖς· εἰ δὲ βούλει, τὰ μὲν παλαιὰ τοῖς καινοῖς· τὰ δὲ καινὰ τοῖς παλαιοῖς· τοῖς ἑαυτῆς λέγω τὰ ἄλλων.

σχόλιον. [Ὅτι πολλάκις σχηματίζει]. σχηματίσαις δ' ἂν τὸ χωρίον, μεταλαμβάνων καὶ οὕτω. τὰ μὲν παλαιὰ τοῖς παλαιοῖς νικᾷ, τὰ δὲ καινὰ τοῖς παλαιοῖς. μᾶλλον δὲ ἀντὶ τοῦ, εἰ βούλει, καὶ ἑξῆς. καὶ ἔτι τὰ μὲν παλαιὰ τοῖς παλαιοῖς νικᾷ· τὰ δὲ καινὰ τοῖς καινοῖς. εἶτα, πῶς εἶπον, ἀλλὰ καὶ τὰ παλαιὰ τοῖς καινοῖς, καὶ τὰ καινὰ τοῖς παλαιοῖς. ἔτι δὲ εἴποι δ' ἄν τις ἄμεινον. ἢ δηλοῖ δ' ἄν τις οἰκειότερον λέγων, ἢ οὐκ ἂν διαμάρτοι· καὶ πολλαχῶς ἄλλως.]

*ἐν ἐνίοις. *Ὡς δ' ἂν εἰπεῖν, ἅπαντα ἢ παρ' ὑμῖν ἐστι καὶ μόνοις· ἢ καὶ παρ' ὑμῶν. καὶ τριῶν ἕν γέ τι συμβέβηκε. τὰ μὲν γὰρ παρ' ὑμῶν ἤρξατο· τὰ δὲ ὡς κάλλιστα παρ' ὑμῖν ἐστι· τὰ δ' ὡς πλεῖστα. εἰσὶ τοίνυν οἱ μηδὲν ἔχοντες φανερὸν δεῖξαι, μηδὲ εἰπεῖν ἔργον ἑαυτῶν, μηδὲ ἐφ' ὅτῳ ἂν δικαίως φρονοῖεν· ἐπὶ τοὺς Τρωϊκοὺς καταφεύγουσι χρόνους, καὶ φιλοτιμίας ἀμφισβητοῦσι. οὐδ' οὕτω λέγοντες οὐδὲν κοινὸν ἑαυτῶν, ἀλλ' ἑνὸς ἀνδρὸς δόξης ἐξαρτώμενοι. ὥσπερ τινὲς *γεωπεῖναι δι' ἑνὸς τῶν πλουσίων ἑαυτοὺς ποιούμενοι· ἡ πόλις δὲ πρὸς τῷ μηδὲν δεῖσθαι τοιαύτης *καταφυγῆς, οὐδὲ τούτου στέρεται τοῦ ἡδύσματος. ἀλλ' ὁ κοινὸς τῶν Ἑλλήνων ποιητὴς ἐν τῷ καταλόγῳ τῶν νεῶν τε καὶ πόλεων τὸν Ἀθηναίων στρατηγὸν εἰς ἄκρον* φησὶν ἐλθεῖν, κοσμῆσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας. [εἰς Μενεσθέα Ἀλέξανδρον ἀποτείνεται.] εἰ γὰρ δεῖ τὰ τῶν ἄλλων ἀποστάντα ὑπὲρ τῆς δημοκρατίας μόνης εἰπεῖν, φανήσονται τοῖς μὲν βουλήμασι καὶ ταῖς ἐπιθυμίαις πολλῷ προπετέστεροι καὶ ὑβριστότεροι πάντες οἱ τοῦ σχήματος τούτου μετασχόντες· τῷ δ' ἀξιώματι καὶ τῇ λαμπρότητι μηδὲ τοῖς ἀπὸ τῆς πόλεως γεγενημένοι. καὶ μὴν ἐκεῖνό γε ἡ πόλις πρώτη κατέδειξε, μὴ *πείθεσθαι πλούτῳ. μηδὲ θαυμάζειν. ἔτι γὰρ τοὺς ὑπερέχοντας ταῖς οὐσίαις οὐδὲ πώποτε ἐτήρει, ἀλλ' ὅσον μὴ ἀδικεῖσθαι διὰ τοῦτο, τοσοῦτον αὐτοῖς (ἠξίου παρ' αὐτῆς) ὀφείλεσθαι· οὔτε τοῖς ἀρετῇ μὲν ὑπερφέρουσι, χρήμασι δ' ἡττωμένοις οὐδαμοῦ πώποτε ἔλαττον ἔνειμεν. αἰσχρὸν οἶμαι νομίζουσα, τῶν μὲν οἰκετῶν οὐ τοὺς εὐπορωτάτους, ἀλλὰ τοὺς πιστοτάτους, βελτίστους νομίζειν· τῶν δ' ἐλευθέρων φασκόντων εἶναι, τὴν ἀξίαν ὁρίζεσθαι χρήμασιν· ἀλλὰ μὴ ὁποῖός τις ἂν *αὐτῶν ἕκαστος ᾖ, τοιοῦτον νομίζεσθαι. ἐμοὶ μὲν οὐδὲ πένταθλοι δοκοῦσιν οἱ πάντα νικῶντες· τοσοῦτον τοὺς πᾶσι κρατεῖν.

*γεωργοί, οἱ μὴ δικαίως γῆν ἔχοντες αὐτοί. *κατασκευῆς. *ἄκρως. *al. τίθεσθαι. *ἀντὶ δὲ ... τὰ ἔχοντας ὁ φθόνος ἔρᾳ. *αὐτόν.

σχόλιον. [πράγματα εἶπεν ἀντὶ προσώπου· δέον γὰρ εἰπεῖν οἱ τοὺς πεντάθλους νικῶντες· ὁ δὲ εἶπεν οἱ πένταθλοι πάλην, δρόμον, ἀκόντιον, δίσκον, παγκράτιον. ἢ ἀντὶ τοῦ οἱ ἐν ἀγωνιζόμενοι. ἢ οἱ ἐν τοῖς πέντε ἀγωνίσμασι νικῶντες. οὐχ ὅτι δὲ οἱ πένταθλοι πάντα νικῶσιν· ἀρκεῖ γὰρ αὐτοῖς τρία τῶν πέντε πρὸς νίκην. λέγεται δὲ Πηλεύς, ὅτε ἦν μετὰ τῶν *ἀρχαίων αὐτῶν, τοῦτον θεῖναι τὸν ἀγῶνα πρῶτος· τὰ δὲ πέντε ἆθλα ἦν, ἃ προείρηται. οἱ δὲ ἀντὶ τοῦ παγκρατίου τὸ ἅλμα συναριθμοῦσι.]

*ἀργοναυτῶν

*αὐτὸς Ald. Καὶ τίς δῆμος *αὐτὸς ὀξύτερος καὶ πρᾳότερος; ἢ τίνες δημαγωγοὶ μᾶλλον ἄξιοι θαυμάσαι;

ARISTIDES.

Verùm sola inter omnes vrbes, & vetera veteribus; & noua nouis, aut potius & vetera nouis, & noua veteribus superat. quibus addo & alia eiusdem.

SCHOLION.

Quia sæpe figuratè loquitur. Sic & tu hunc locum illustrabis, sic disponens. Vetera quidem veteribus vincit, noua vero veteribus. aut potius pro hoc, si vis, & adhuc vetera veteribus superat, noua vero nouis. Deinde quomodo dicit: Sed & vetera nouis, & noua veteribus. Melius vero quis dixerit, aut explicarit quis magis propriè, aut non aberrauerit, & sæpe alias.

Omnia denique, vt sic dicam, vel apud vos duntaxat exstant, vel à vobis orta sunt, & trium vnum aliquod contigit, & partim à vobis ceperunt, vel partim apud vos vel optima vel plurima cernuntur. Multi quoque cùm nihil rerum suarum, de quo iure glorientur, proferre possint, ad Troiana confugiunt tempora, ac de gloria contendunt, quamquam nec sic aliquid, quod habeant commune, afferunt, cùm ab vnius alicuius viri fama pendeant. Quales agricolæ qui inopum more ad ditiorē aliquem se referunt. Ac vrbs quamuis perfugio hoc non indigeat, nequaquam tamen caret illo condimento. Communis etenim Græcorum poëta, in vrbium & nauium numero Atheniensium ducem ait peritissimum fuisse:

Origenes à Troiano bello ducta.

Scutatos ornare viros, & corpora equorum.

Homer. Iliad. B.

SCHOLION.

[*Ad Menestheum Alexandrum Paridem pertinet.*]

Vt enim reliquis omissis populi dumtaxat potentiam spectemus: quicunque eodem reipubl. genere vsi sunt, ij vt cupiditates suas ac libidines citius atque violentius exercuerunt; ita dignitate & splendore Atheniensibus longè cesserunt. Quin & prima diuitias nec secuta est vrbs, nec admirata, cùm neque ditiores vnquam extulerit, illud ipsis modo deberi, vt nihil ob eam rem paterentur incommodi, rata: neque eos qui virtute præstarent, licet opibus inferiores essent, minoris vnquam fecerit. Existimauit enim turpe fore, si seruorum non opulentissimi, sed fidelissimi, quique cæteris meliores censerentur, liberorum hominum dignitas opibus, non qualitate cuiusque æstimaretur. Sin erat viribus opus, nemo cum illis erat conferēdus, qui pleniorem quouis pentathlo victoriam referrent.

SCHOLION.

Rem dicit pro persona: Oportet enim dicere: Vincentes Penthalos. Sed ipse dicit, Pentathli lucta, cursu, iaculo, disco Pancratio; vel pro his in quinque certantes, vel in quinque certaminibus vincentes. Non quod Pentathli omnia vincerent, sufficiunt enim illis tria ad victoriam. Dicitur vero Peleus, quum esset cum Argonautis, primum certamen instituisse. Quinque vero certamina erant quæ prædicta sunt: quidam vero pro Pancratio numerant saltum.

Pentathlon.

Quis populus hoc acutior reperiatur, & mansuetior, aut qui celebriores oratores?

ARISTIDES. Quid? quod aquilam in nubibus vocat eam Deus, aliarum ciuitatum comparatione. Huic enim soli vrbi duo contraria euenerunt. Quod cum plurima de ipsa & præclarissima homines dixerint, minimas tamen omnium laudes fuit consecuta. Vt enim præter cæteras admirationi fuit, ita nihil de se pro dignitate dici audiuit. Itaque cum mirarer audire me sapientiæ curiam, & Græciæ larem atque columen, & similia, quæ de vrbe canebantur, nunc mihi ea minora videntur omnia. Quin si ciuitas vlla Deorum ministra & cognata, vel humanæ naturæ simulacrum vocari debet, hæc id nominis iure obtinebit. Quas ob res, ô Græci, nec inuidere debetis vrbi, nec verecundè cedere potius, quàm eam certatim pro viribus extollere. Nam si Athenienses fuerint superiores, erit vestra victoria. Etenim cùm omnes optimi esse nequeunt, tum vt ex ducis præstantia laudem capit ciuitas, ita si princeps vrbs honorem sortiatur se dignum, is ornatus ad omne. pertinet. Quemadmodum igitur Athenienses ipsi non ægrè tulerint, si quis ipsorum arcem celebret.

SCHOLION. *Pro, pulcherrimam & honoratissimam omnis Attica, si quis dicat arcem.*

Ita vos quoque vrbem pro arce quadam, vel fastigio Græciæ ac sociorum habentes, verbis eam & factis ornare, itaque laudem communicare, nec ea vos priuari existimare decet. Hæc igitur à nobis oratio pepli instar ad ornatum pompæ Panathenaicæ confecta sit, quæ vt gratiam mereatur, efficiet eadem Dea, & cui oratio est & vrbs consecrata.

CCXLVII. EX EIVSDEM ARISTIDIS IV. Orationibus pro Rhetorica aduersus Platonis Gorgiam,

Excerpta.

LECTÆ sunt eiusdem de Rhetorica orationes aduersus Platonem, necessitatem eidem huius ostendentes.

Existimo equidem eum, qui vel rectè dicturus, vel æquum sit suffragium laturus, non id spectare debere, nec inuidere, si quem priorum ac celebrium virorum, aliter eadem de re dixisse contingat, sed cuius vbique maximam oportet haberi rationem, huic quoque ab vtra parte consistit veritas, inquirere, atque eo victoriam deferre. Etenim foret absurdum, si in concionibus & iudiciis non ei qui primum dixisset, fides haberetur, verùm probè scirent omnes fore, vt, si hac ratione disceptarentur ista, reorum nullus euaderet, quandoquidem omnes post actorem dicunt, in ipsis autem litteris, & quod de iis exercetur, iudicio non ij qui sententiam suam comprobarent, sed essent tempore priores, vincerent. Est autem admodum iniquum eos qui corpus exercent & colunt, adeò magnam & priorem habere honestatis ac iustitiæ speciem.

SCHOLION. *Scilicet bona ordinatione, cùm omne bene ordinatum secundum rationem sit, malè vero ordinatum præter rationem.*

Qui in literis excellunt, & absque earum studio ne vitam quidem expetendam putent,

ἀετόν τε ἐν νεφέλαις αὐτὴν ὁ θεὸς καλεῖ, πρὸς τὰ ἄλλα πολίσματα. μόνη δ', ὡς ἔοικε, ταύτῃ πόλεων δύο τἀναντία συμβέβηκε. πλεῖστα τε (γὰρ) καὶ κάλλιστα ἀνθρώποις εἴρηται περὶ ταύτης· καὶ οὐκ ἔστιν ἥ τις ἐλαττόνων τετύχηκε. περὶ μὲν γὰρ τὴν ἄλλων τεθαύμασται, ἄξιον δ' αὐτῆς οὐδὲν ἤκουσε. πρότερον μὲν οὖν ἠγάμην (ἀκούων) τὸ τῆς σοφίας πρυτανεῖον, καὶ τὴν τῆς Ἑλλάδος ἑστίαν, καὶ τὸ ἔρεισμα, καὶ ὅσα τοιαῦτα εἰς τὴν πόλιν ᾔδετο. νῦν δέ μοι δοκεῖ ταῦτα πάντα εἴσω πίπτειν. ἀλλ' εἴ τινα χρὴ πόλιν θεῶν *ὕπαρχον, ἢ συγγενῆ προσειπεῖν, ἢ τῆς φύσεως τῆς ἀνθρωπείας εἰκόνα καὶ ὅρον, ἥδ' ἄν μοι δοκεῖ δικαίως κληθῆναι. ἀνθ' ὧν, ὦ ἄνδρες Ἕλληνες, οὔτε φθόνον εἰκὸς ἔχειν τῇ πόλει, οὔθ' ὑποχωροῦντας αἰσχύνεσθαι· ἀλλὰ συναύξειν ἐκ τῶν ἐνόντων καὶ φιλοτιμεῖσθαι. τῶν γὰρ Ἀθηναίων νικώντων, παρ' ὑμῖν ἐστι τὸ νικᾶν. πάντας μὲν γὰρ *πάντων (ἂν) εἶναι ἀρίστους, ἀδύνατον. ὥσπερ δὲ ὅταν στρατηγὸς ὑπερέχῃ, μετέχει τῆς δόξης ἡ πόλις· οὕτω τῆς ἡγουμένης πόλεως τὰ εἰκότα τιμωμένης, ἅπασι μέτεστι τῆς φιλοτιμίας. οἶμαι δ' οὐδ' αὐτοῖς Ἀθηναίοις φέρειν αἰσχύνην, εἴ τις αὐτοῖς προσβάλῃ τὴν ἀκρόπολιν.

* al. ὑπάρχειν.
* ἀνίκητον Ald.

σχόλιον. [ἀντὶ τοῦ τιμιωτέραν καὶ ἐνδοξοτέραν τῆς πάσης ἀττικῆς εἴ τις λέγοι τὴν ἀκρόπολιν.

χρὴ τοίνυν καὶ *ἡμᾶς ὥσπερ ἀκρόπολίν τινα ἢ κορυφὴν νομίσαντας τῆς Ἑλλάδος καὶ τῶν ὁμοφύλων τὴν πόλιν, καὶ ἔργῳ καὶ λόγῳ κοσμεῖν, καὶ μετέχειν τῆς δόξης· ἀλλ' οὐκ ἀποστερεῖσθαι νομίζοντας. εἴργασται καὶ ἡμῖν (ὁ) λόγος ἀντὶ τοῦ πέπλου, κόσμος Παναθηναίων τῇ θεωρίᾳ· δοίη δὲ χάριν, τῆς αὐτῆς θεοῦ, ἧσπερ καὶ ὁ λόγος καὶ ἡ πόλις.

* ὑμᾶς Ald.

ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΠΛΑΤΩΝΑ ὑπὲρ ῥητορικῆς λόγοι δ'.

σμζ. Ex eiusdem Aristidis 4. Orationib. pro Rhetorica excerpta.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ τοῦ αὐτοῦ πρὸς Πλάτωνα ὑπὲρ ῥητορικῆς λόγοι τέσσαρες, τὴν αὐτῆς τοῦ προειρημένου παρεχόμενοι χρείαν.

Οἶμαι δεῖν, ὅστις μέλλει τὰ δέοντα ἐρεῖν, ἢ ψήφου κύριος ὀρθῶς ἔσεσθαι, μὴ τοῦτο σκοπεῖν, μηδὲ βασκαίνειν, εἴ τινι τῶν πρότερον καὶ δόξαν ἐχόντων ἑτέρως εἰρῆσθαι περὶ τῶν αὐτῶν συμβέβηκεν· ἀλλ' οὗ πανταχοῦ πλεῖστον εἰκὸς ἐστι λόγον εἶναι, τοῦτο καὶ τῷ παρόντι ζητεῖν ὁποτέρωθι τἀληθὲς, καὶ τοῦτο συμβούλεσθαι νικᾶν. ἄτοπον γὰρ, ἐν μὲν ταῖς ἐκκλησίαις μὴ τὸν πρῶτον εἰπόντα πείθεσθαι, μηδὲ ἐν τοῖς δικαστηρίοις· ἀλλὰ τοῦτό γε εὖ εἰδέναι πάντας, ὅτι εἰ ταύτῃ ταῦτα κριθήσεται, τῶν φευγόντων οὐδεὶς ἀποφεύξεται. πάντες γὰρ *δή που ὕστεροι τοῦ διώκοντος λέγουσιν. ἐν δὲ τοῖς λόγοις αὐτοῖς, καὶ τῇ περὶ τούτων κρίσει, τοὺς τῷ χρόνῳ προλαβόντας κρατεῖν, ἀλλὰ μὴ τοὺς ἀποδείξοντας περὶ ὧν ἀγωνίζονται. καίτοι πῶς οὐκ ἀλογία πολλὴ, τοὺς μὲν, ἃ τῆς τοῦ σώματος τύχης ἔχεται, μελετῶντας ἢ τιμῶντας, οὕτω σφόδρα καὶ πρότερον τὸ τοῦ λόγου καλὸν καὶ δίκαιον τετιμηκέναι·

* [illegible]

[ἤτοι τῆς εὐταξίας· ἐπειδὴ πᾶν τὸ εὔτακτον, κατὰ λόγον γίνεται· τὸ δὲ ἄτακτον ἀλόγως·]

Τοὺς δ' ἐπὶ (τὸ) τῶν λόγων ἀνέχοντας, καὶ χωρὶς τῆς ἐν τούτοις διατριβῆς οὐδ' ἂν ζῆν δεξαμένους,

οὕτως

Schol. ἀρχαῖ: οὕτω, διὰ τοὺς μὴ ἀντιλέγοντας· ἀδίκους, δὲ διὰ τοὺς ἐπιτιμῶντας τοῖς ἀντιλέγουσιν.
* ἐπεὶ ὅτι M. M.

οὕτως * ἀρχαῖ; μᾶλλον δὲ ἀδίκως ἔχειν, ὥστε ἑνὶ * πιστεύειν χρῆναι περὶ ἁπάντων, ὅς τις φθάσῃ γενόμενος, καὶ τὰ ὀνόματα ἀντὶ τῆς ἀληθείας θαυμάζειν αἱρεῖσθαι, ὥσπερ νομίσαντας δεῖν οὐχ εὑρεῖν τὸ βέλτιον. καὶ τοὺς μὲν νόμους αὐτοὺς ἂν συμφέρῃ κινεῖν· τοὺς δὲ περὶ τῶν ἀεὶ μενόντων τῇ φύσει λόγους, ἐπὶ τοῖς πρώτοις μὴ δέχεσθαι, ἀλλ᾽ ὥσπερ ὅρους ἢ στήλας τοὺς προκατειληφότας πρεσβεύειν. καὶ ταῦτα οὐ λύειν ὥσπερ ἐν τοῖς νόμοις τοὺς προτέρους διὰ τῶν ἐναντίων δεῖν, ἀλλὰ τῆς αὐτῆς χώρας καὶ ἑτέρους ἀξιοῦν αὐτοῖς· καὶ τοῖς μὲν ὅρκοις τοῖς κοινοῖς προσπαραγράφειν ἐξεῖναι, ἀφελεῖν καὶ προσθεῖναι, ὅ, τι ἂν σκοπουμένοις ὕστερον συνδοκῇ· οὓς δὲ ἀπὸ τῆς αὐτῆς ἐξουσίας ἀεὶ καὶ διὰ παντὸς ἐξετάζειν δεῖ λόγους, τῷ παρελθόντι χρόνῳ μόνῳ προσθεῖναι· ὥσπερ ἂν εἴ τις καὶ ὑγιαίνειν φάσκοι χρῆναι μόνους τοὺς πρώτους γενομένους. καὶ μηδὲ ἐκεῖνο ὁρᾷν, ὅτι ἡ τοιαύτη κρίσις, καὶ ὁ λογισμὸς ὁ τοιοῦτος, αὐτοῖς πρώτοις οὓς τιμῶσιν οὐ λυσιτελεῖ· εἰ γὰρ τῷ χρόνῳ δεῖ συγχωρεῖν, καὶ τὴν ἀξίαν ἀπὸ τούτου μετρεῖν, οὐκ ἔτ᾽ ἔχει τόπον ἡ νῦν παρὰ πάντων εἰς ἐκείνους αἰδώς. Ἴασος γὰρ ἂν οὕτω γε νικῴη περὶ λόγους, καὶ Κρίασος καὶ ὁ Κρότωπος καὶ Φορωνεὺς, καὶ εἴ τις ἀρχαῖος ἐκ μύθου, καὶ Δευκαλίων [ἐπιπολὺ βεβοημένων.] ἐὰν οὕτω κρίνωμεν, ὡς οὐ Κόδρῳ γε μετέσται τῆς φιλοτιμίας, ἀλλὰ καὶ οὗτος παῖς οἷς εἶπον * συμβάλλειν καὶ οὐκ ἀρχαῖος. καὶ μετὰ μικρὸν οὕτω ζητήσομεν, εἴ τις ἦν πρὶν σελήνην εἶναι. Ὁμήρου δὲ καὶ Ἡσιόδου, καὶ τῶν εἰς ἡμᾶς νενικηκότων, Πλάτωνος (εἰ βούλει) καὶ Δημοσθένους καὶ τῶν ὀλίγον πρὸ τούτων· οὐδ᾽ εἰς * πολλοστὸν χρόνον ἐλπὶς ὁμοίαν ἔσεσθαι δόξαν, * πρεσβύτερος ἴσου τοῦ πρὸ αὐτῶν ἐκείνοις ἀεί. εἰ δὲ τοῦτο εὔδηλον ἅπασιν, ὅτι καὶ οὗτοι φύσει καὶ δυνάμει διενεγκόντες τοὺς πρὸ αὐτῶν ἀπέκρυψαν· οὐδὲ * τοὺς ὕστερον παντάπασιν ἅπαντας ἀπείργειν εἰκός· οὐδ᾽ ἀπιστεῖν, εἴ τις καὶ τοῦ νυνὶ χρόνου μετεσχηκὼς ἔχει συμβαλέσθαι γνώμην, περὶ ὧν πρόκειται λόγος. ἀλλὰ παρ᾽ αὐτῶν, ὡς ἔοικεν, ὧν τιμῶμεν ὑπάρχειν εἰδότας, τὸ προκρίνεσθαι καὶ προέχειν ὁπόσον διαφέρει. ἅπαντας μὲν οὖν ἴσως τοὺς παλαιοὺς αἰδεῖσθαι μὲν δίκαιον· φρίττειν δ᾽ οὐκ ἄξιον, εἴπερ μὴ τοὺς ἐπὶ τοῖς λόγοις ὀνομασθέντας μᾶλλον ἢ τοὺς λόγους αὐτοὺς δεῖ δοκεῖν τιμᾶν. ὅ τι δ᾽ εἰ πρὸς ἄλλον τινὰ χρὴ γνώμης οὕτως ἔχειν, καὶ πρὸς Πλάτωνα, οὐκ ἄλλου δέομαι μάρτυρος. ἀλλ᾽ αὐτὸς ἐξαρκεῖ, οὐ μόνον οἷς ἁπανταχοῦ βοᾷ καὶ παρακελεύεται, μηδὲν προτιμότερον ποιεῖσθαι τῆς ἀληθείας· ἀλλὰ καὶ ὀλίγῳ τῷ παραδείγματι. εἰ γὰρ ἐκεῖνος Ὁμήρου τοῦ τοσοῦτον πρὸ αὐτοῦ περὶ πολλῶν ἐπιτιμῶν, οὐκ ἀπεστέρηται λόγου, ἀλλ᾽ ἔχει πρὸς τοὺς ἀγανακτοῦντας ὅ, τι εἴποι: κατ᾽ αὐτὸν, ὡς ἔοικε, Πλάτωνα, καὶ τοὺς ἐκεῖνον ἐπαινοῦντας, καὶ πάσης αἰτίας ἀφιέντας, ἐστ᾽ ἂν ἄλλος τις ἐκείνῳ * δοκεῖ τι λέγειν ὑπεναντίον τολμῶν ἀκροάσασθαι· μή που τοῦτο ἔγκλημα ποιουμένους, ἀλλ᾽ ἐὰν τοῖς περὶ τῶν πραγμάτων λόγοις ἀπολειφθῇ. καὶ γὰρ ἂν εἴη δεινὸν, εἰ ἐκεῖνος μὲν ὑποστὰς κατηγορεῖν ἐκ προφάσεως, οὐκ ἀπεστέρησε τρόπον γέ τινα αὐτὴν τῶν ὑπὲρ ἑαυτῆς λόγων· ἀλλ᾽ ἀπέδωκε δυοῖν καὶ τριῶν ἀντειπεῖν, ὡς γοῦν ἐν σχήματι διαλόγων· ἡμεῖς δὲ οἱ τὸ ὅλον βοηθεῖν ἔχοντες, καὶ προῃρημένοι,

* συμβαλεῖν
* Schol. ἐπιπολὺ
* πρεσβεύοντα
* νεώτερον
* al. δοκῇ

eos tam ignauos,

Dixit ignauos propter non contradicentes: iniquos propter reprehendentes eos, qui contradicunt.

aut potius iniquos esse, vt vno ad omnia vtantur argumento, si quis extiterit prior, ac pro veritate nomina admirentur, quasi non oportere quidquam reperiri melius existiment: at leges quidem ipsas, si sit vtili mutare: qui autem de iis, quorum est natura perpetua, tractant sermones, eos post primos non recipere, verùm priores quasi terminos, aut columnas venerari, nec ea, quemadmodũ in legibus priores per contrarias abrogantur, soluere, verùm eodem loco etiam alios habere: & iuramentis quidem publicis hoc ascribere licet, demere & addere, quidquid posterius consultantibus visum fuerit, quas autem eadem semper, & vbiq; libertate decebat examinari litteras, eas superioribus dumtaxat temporibus tribui, veluti si quis primos tantùm homines sanos esse dicat oportere, nec hanc ratiocinationem ipsis primam, quos honorant, inutilem esse animaduertere. Nam si tempori omnia sunt tribuenda, eóque metienda dignitas, non amplius is, qui nunc illis habetur ab omnibus honor, locum habebit. Hac enim ratione Iasus & Criasus, atque Crotopus & Phoroneus, ac si quis est in fabulis Argus & Deucalio, qui nunc celebrantur, palmam obtinebunt. Atque si ita iudicemus, ne Codrus quidem, cur glorietur, habebit, qui cum istis, quos dixi, comparatus, puer sit nec antiquus atque ita paulatim si quis ante Lunam exstiterit, inquiremus. Iam Homeri atque Hesiodi, atque eorum qui hactenus excelluerunt, Platonis si placet, & Demosthenis, & qui paulò ante vixerunt, ne ad longissimum quidem tempus similis est speranda gloria: Sed si id omnibus est manifestum, hos, cùm natura & industria præstitissent, maiores suos superasse, neque posteriores erant omnes omnibus modis arcendi, neque reiiciẽdi, si quis hoc etiam tempore de re proposita sententiam queat ferre: verùm ex ipsis quos colimus, aliud esse præcedere, aliud præstare, cognoscendum est. Et antiquos quidem omnes venerari oportet, non horrere, nisi fortè litteris insignes, maiore quam ipsas litteras, honore censeamus afficiendos: quod autem, si erga quempiam alium, erga Platonem certè sic esse debemus affecti, non alium requiro testem, cùm sufficiat ipse, non tantum quoniam vbique clamat, & edicit nihil esse veritati præferendum, sed & exemplo non magno. Etenim si ille cum Homerum, qui tanto ante ipsum tempore floruit, multis de causis incusaret, ratione non caruit, qua contra indignantes vteretur, licebit nimirum secundùm Platonem ipsum, & eos qui illum laudant, atque omni absoluunt crimine, si quis aliquid contra illum dicere cœperit, auditionem sustinere, nec prius id crimini vertere, quam ille rationibus ad propositum pertinentibus deficiatur. Indignum enim foret, cum ille, quam palam constituerat accusare, defensione sua quodammodo non priuarit, verùm duobus aut tribus defensionem forma dialogorum tribuerit, si nos, qui rem totam sustinere possumus & volumus,

Homerus à Platone accusatus.

ARISTIDES.

id non auderemus, quasi non esset amplius Platoni respondendum, quæ ipse sibi voluerit. Absurdum deinde mihi videbitur, si Plato Rhetoricam, cuius & ipse partem fortasse consecutus aliquam eras, vituperat e non est veritus. nos pro Rhetorica, ne quis illius causa indignetur, dicere pudebit. Præterea, siquidem nihil oporteret contradicere, sed eam deserti vadimonij velut in curia damnari, idque dicendi magistram, alia quædam hæc esset ratio. Sin quemquam oporteat, nobis hoc propemodum conueniet, vt ex hac quoque re primum instituti nostri ius declaremus. Nec enim æquum est, vt à qua id accepimus, quo cæteris patrocinari possemus, ea suis destituatur bonis, nec potius vel talis, qualem Plato voluit, videatur, vel vt videri possit efficiatur. Nam quod vulgò dicitur, silentium confirmare crimina; id vnum ac simplex non est. verùm simul & iure suo priuabitur, & dignitatem totam emittet. In his nulla prorsus inest demonstratio, nec argumentum necessarium, sed pro concessis sumuntur, de quibus erat prius disputandum, quasi ab auditoribus ea sibi dari petiisset. Atqui si ea, de quibus quæritur, ridiculum est pro concessis ponere, quomodo vel æquum sit ea, quæ ridiculum sit quærere, initio ponere, vel non ridiculū, vtrum ars dicendi & coquendi eiusdē sint naturæ, quærere? At ipse hoc tantùm concessum sumsit. Licebit autē id cognoscere, si quis sublato Rhetoricæ nomine, Philosophiam in eius locum substituat, atque ita iisdem vtatur omnibus. Nec verò vel rusticum quisquam, vel frigidum hunc fore sermonem existimet. Primum enim cùm duarum artium vel facultatum, eos qui alteram sectantur, si de alteris quippiam secus dixerint, nihil ineleganter agere dicturi sumus, alteris meritò eandem concedemus defendendi rationem. Deinde non offensæ gratia, sed demonstrationis, quæ in his nusquam apparet, proferetur,

Atque magis multò videbimus, si rationem relinquamus. Quo fit, vt omnes propemodum Dij suffragio suo testentur, contemnendam esse orationem eam quæ vel artem quærit, vel id quod cum ea non sit coniunctum, vituperat. Ergo si quis carmen sine arte fecerit, hoc non difficile, sed d[illegible]um sæpe iudicabitur [quemadmodum Rhetores] sint optimè sine arte dixerit, magnum erit? Equidem cur id fiat non video. Absurdum enim foret, cùm poëta sine arte oratorem possit imitari & optimè dicere, si orator ipse sine arte optimè dicere non possit. Quod si ergo, Iupiter ac Dij omnes! furor est aliquis sana mente melior, quique diuinitus homini donetur, cur id omne, quod arte careat vituperemus, aut cur Rhetoricam turpem temerè duxerimus? Sed alicubi præclarius esse ac Diis gratius esse arti non seruire. Apertè enim iam Plato profitetur, non esse in rebus maximis artem quærendam. Atqui si fide dignus est Plato, hic est ipse, qui victoriam arti non tribuat. Si nec hoc quisquam concedat, cur propter eius verba turpis habeatur Rhetorica?

μὴ τολμήσαιμεν ὥσπερ τοσαῦτ' ἀντιλέξαι Πλάτωνι δέον, ὁπόσα ἂν αὐτὸς πρὸς αὐτὸν βουληθείη. * ἄτοπον δέ μοι * φαίνεται, εἰ Πλάτων μὲν οὐκ ᾐδέσθη ψέγων ῥητορικὴν, ἧς ἴσως τι καὶ αὐτὸς μετῆν· ἡμεῖς δ' αἰσχυνόμεθα ὑπὲρ ῥητορικῆς λέγοντες, μή τις δι' ἐκεῖνον ἀχθεσθείη. χωρὶς δὲ τούτων, εἰ μὲν μηδὲν ἀντειπεῖν δεῖ. ἀλλ' ἐρήμην ἑαλωκέναι καθάπερ ἐν δικαστηρίῳ καὶ ταῦτα λόγων τέχνην οὖσαν: ἄλλο τι ταῦτ' ἂν εἴη τοὐπίταγμα. εἰ δ' ἐστὶν ὅν τινα δεῖ* σχεδὸν ἡμῖν ἂν * πρέπη, ἵνα καὶ τὸ δίκαιον εὐθὺς ἐν αὐτῷ τούτῳ πρώτῳ δείξωμεν, οὗ προεστήκαμεν· ὡς ἔστιν * οὐ λόγον σώζειν, παρ' ἧς τὸ τοῖς ἄλλοις συναγορεύειν ἐστὶ, ταύτην τὴν παρ' αὐτῆς μὴ μετασκευάσαι· ἀλλὰ δυεῖν θάτερον, ἢ τοιοῦτον εἶναι δοκεῖν αὐτὴν, οἷον Πλάτων βεβούληται. ἢ τοιοῦτον εἶναι δοκεῖν ποιῆσαι. οὐ γάρ ἐστιν ἐν τούτῳ ὁ πανταχοῦ, ὅτι τὰς αἰτίας ἡ σιωπὴ βεβαιοῖ· ἀλλ' ἅμα τε τὸ δίκαιον οὐ τάξει, καὶ τὸ σεμνὸν αὐτῆς ἐξελήλεγκται. δόξει γὰρ οὐχ οἵα τε εἶναι σώζειν τὰ δίκαια. ἐνταῦθα ἀπόδειξις μὲν οὐδ' ἡτισοῦν * ἔνεστιν, οὐδ' ἔλεγχος ἀνάγκη περιεληλυθὼς * ὑπόκειται· ἀπλῶς ὥσπερ ἐξὸν, οὐ πολὺ ἦν ἰδεῖν πρότερον. οὐδὲν διαφερόντως, ἢ εἰ χάριν ἤτει τοὺς ἀκούοντας ταῦτα συγχωρῆσαι. καίτοι εἰ τὰ ζητούμενα ὡς ὁμολογούμενα ὑποτίθεσθαι, γέλως· πῶς εἰκὸς, ἃ γε ζητεῖν γέλως, ταῦτα ἐξ ἀρχῆς ὑποτίθεσθαι; πῶς γὰρ οὐ γέλως, εἰ τῆς αὐτῆς φύσεως ῥητορικὴ καὶ ὀψοποιητικὴ, ζητεῖν, ὃ δὲ ὥσπερ ὁμολογούμενον εἴληφεν αὐτό. γνοίη δ' ἄν τις ἐκείνως, εἰ τὸ τῆς ῥητορικῆς ὄνομα ἐξελὼν, τὸ τῆς φιλοσοφίας ἀντ' ἐκείνου [ὄνομα] * μεταβάλοι, καὶ ἐπὶ τούτῳ πᾶσι τοῖς αὐτοῖς χρήσαιτο. καὶ μηδεὶς μήτ' ἀγροικίαν, μήτε ψυχρότητα καταγνῷ τοῦ λόγου. μάλιστα μὲν γὰρ οὐ δή που δυοῖν ἐπιστήμαιν, ἢ δυνάμεοιν. τοῖς μὲν * τὴν ἑτέραν προεστάμενος οὐδ' ἂν ὁ, ποιῶν βλασφημῶσιν εἰς τοὺς ἑτέρους, * οὐδὲν ἄγροικον ὑπεῖναι φήσομεν· τοῖς δ' οὐδὲ τοῖς αὐτοῖς ἀμύνεσθαι δώσομεν. ἔπειτ' οὐ τοῦ φορτικοῦ χάριν εἰρήσεται, ἀλλὰ τῆς ἀποδείξεως· ἣν οὐδαμοῦ τούτοις εἶναι φαμέν. πολλῷ μὲν τ' ἂν πλέον ἐκείνων ἐλλείποιμεν τοῦ σωφρονεῖν. οὐκοῦν παρὰ πάντων, ὡς εἰπεῖν, τῶν θεῶν μαρτυρία καὶ ψῆφος ἐπῆκται, τοῦ μηδενὸς ἄξιον εἶναι τὸν τοιοῦτον λόγον, ὅστις ἢ τὴν τέχνην ζητεῖ, ἢ φαυλίζει τὸ μὴ σὺν ταύτῃ πανταχοῦ. εἶτ' οὖν, ὦ πρὸς Διὸς, ἐν μέτρῳ μὲν εἰπεῖν [μουσοληπτούμενον] ἄνευ τέχνης οὐ δεινὸν, ἀλλὰ καὶ θεῖον πολλάκις [ὥσπερ οἱ ῥήτορες.] οὑτωσὶ δὲ εἰπεῖν τὰ βέλτιστα δεινὸν, ἐὰν μὴ σὺν τέχνῃ· ἐγὼ μὲν [γὰρ] οὐχ ὁρῶ τὴν ἀνάγκην. πῶς γὰρ οὐκ ἄτοπον, εἰ ὁ μὲν ποιητὴς ἄνευ τέχνης ποιῶν, ὀρθῶς τὸν ῥήτορα μεμιμῆσθαι, καὶ τὰ βέλτιστα ἐρεῖ: ὁ ῥήτωρ δ' αὐτὸς οὐκ ἐρεῖ τὰ βέλτιστα: ἐὰν μὴ τέχνῃ. εἰ τοίνυν, ὦ Ζεῦ καὶ θεοὶ, μανία τίς ἐστιν ἀμείνων σωφροσύνης, καὶ παρὰ θεῶν ἀνθρώποις γιγνομένη. πῶς ἄξιον, πᾶν γε τὸ μὴ τέχνῃ γινόμενον ψέγειν; ἢ πῶς ῥητορικὴν ἁπλῶς αἰσχρὸν ἡγεῖσθαι; ἀλλ' ἔστιν οὐ καὶ λαμπρότερον καὶ θεοφιλέστερον εἶναι, τὸ μὴ δουλεύειν τέχνῃ. * σαφῶς γὰρ οὑτωσὶ Πλάτων διορίζεται, τὸ μὴ δεῖν ἐπὶ τῶν μεγίστων τέχνην ζητεῖν. καὶ μὴν, εἰ μὲν ἀξιόπιστος Πλάτων, οὗτος αὐτός ἐστιν, ὁ μὴ διδοὺς τῇ τέχνῃ τὰ πρεσβεῖα. εἰ δὲ [τὸ ἀξιόπιστον ἦν ἂν] οὐδὲν τοῦτό τις συγχωρεῖ: πῶς ῥητορικὴ διὰ τοὺς ἐκείνου λόγους αἰσχρόν;

ἐγὼ

* ἄλογα.
* ἐκεῖ.
* πρέπει
* ὁ λόγος.
* ἐστι M.M.
* μεταλάβοι edit. Flor.
* τῆς ἑτέρας.
* ὁ δὲ edit. H.
* ὅτι Πλάτων αὐτὸς ὁ τέχνῃ μὴ ζητεῖ· αὐτό. Πλάτων ἀφορίζεται τὸ μὴ δεῖν ἐπὶ τῶν μεγίστων τέχνην ζητεῖν.

ἐγὼ δὲ ἀξιόπιστον μὲν τοῖς ὅλοις οὐδενὸς ἧττον Ἑλλήνων ἡγοῦμαι. ἡδέως δ' ἂν ἐροίμην τοὺς πρὸς ἐκείνου, πότερ' αὐτοῦ μᾶλλον πιστεύειν ἄξιον ταῦτα, ἢ ἐκεῖνα, καὶ μὴν εἰ τὰ μάλιστα σεμνός ἐστι, φαίνεται μαρτυρῶν ἡμῖν. ὥστε ὑπὲρ ἡμῶν σεμνός ἐστιν. Ὅταν γὰρ ἡμεῖς μὲν καὶ ἡμῖν αὐτοῖς ταὐτὰ λέγωμεν, κἀκείνῳ· ἐκεῖνος δὲ μήθ' αὑτῷ μήθ' ἡμῖν· οὐκ ἀντιλέγει (ἡμῖν) μᾶλλον, ἢ μαρτυρεῖ κατ' αὐτὸ τοῦτο, μὴ τἀληθῆ λέγειν. περὶ δέ γε τούτου τοῦ μέρους, οὐκ ἔτ' ἐκ λόγου πρὸς Πλάτωνα ἀγωνιοῦμαι· ὡς ἄρα πολλοὶ διὰ θείας μοίρας ἐσώθησαν. οὐδέ μοι νεμεσήσει δήπουθεν οὔτε Αἰσχίνης ὁ Λυσανίου, οὔτε ἄλλος οὐδεὶς, εἰ φαίην αὐτὸς ἔχειν μαρτυρῆσαι μᾶλλον τοῖς ῥήμασιν, ἢ τῆς παρ' ἐκείνου πρός γε ταῦτα προσδεῖσθαι μαρτυρίας. ἀλλ' ὡς ἀληθῶς ὥσπερ οἱ θεομάντεις, οἱ τοῖς τῶν πραγμάτων ἐπωνύμοις τετελεσμένοι, παρ' αὐτῶν τῶν θεῶν ἔχω τὸ μάθημα· ὑφ' ὧν ἃ μηδεὶς ἰατρῶν μήτε οἶδεν ὅ,τι χρὴ προσειπεῖν, οὐχ* ὅπως ἰάσασθαι, μήτε εἶδεν ἀνθρώπου φύσει συμβαίνοντα, ἄλλοτε ἄλλαις παραμυθίαις τε καὶ συμβουλαῖς ἐκ τοῦ θεοῦ διαφυγὼν ζῶ παρὰ πᾶν τὸ ἐκ τῶν παρόντων εἰκός. καί τοι τέχνης μὲν ἡμῖν οὔτ' ὁ, ποιῶ εἰς ταῦτα μέτεστιν οὐδενὶ δήπουθεν [τῶν ἰωμένων] ἀλλὰ καὶ τοῦ καταφυγεῖν ἐπὶ τοὺς θεοὺς σχεδὸν ἀρχὴ τὸ τῆς τέχνης ὑπεριδεῖν ἐστιν. ὅμως δὲ σὺν αὐτοῖς εἰπεῖν, οὔθ' οἱ θεοὶ τὸν τοιοῦτον ἡμῶν λογισμὸν ἀτιμάζουσιν, οὔτε πολλοὶ μετέγνωσαν, τῶν πρὸ τῆς τέχνης τὴν παρὰ τῶν θεῶν τύχην ἀνελομένων. ὥστε καὶ τοὺς ἰατροὺς οὐδὲν κωλύει φρίττειν ἐπειδὰν ἀκούσωσι πολλὰ τῶν (θείων) ἔργων. πότερ' οὖν τὰ ὀνείρατα ποιεῖ θεοῖς ἀνακεῖσθαι τὰ ἀνθρώπινα; ἢ τὸ θεοὺς ἀνθρώπων κήδεσθαι, ποιεῖ καὶ δι' ὀνειράτων ἀνθρώπους σώζεσθαι; ἐγὼ μὲν οἶμαι τοῦτο. τί οὖν, ὦ μεγίστη σὺ γλῶττα τῶν Ἑλληνίδων, ἔφη Κρατῖνος [ποιῶν, ἀλλ' οὕτω σφόδρα ταῦθ' οἰκεῖα τοῦ Σωκράτους ἤθει καὶ προσήκοντα ἐκείθη, ὥστε καὶ ταύτῃ τῇ δόξῃ γενέσθαι χώραν.] δοκεῖ δέ μοι καὶ Σωκράτης αὐτὸς, εἰ καὶ μηδεὶς λόγος αὐτοῦ γραφῇ σώζεται, οὐχ ἧττον οὔτε Πλάτωνος τοῦ σεμνοῦ, οὔτε Αἰσχίνου τοῦ κομψοῦ μαρτυρεῖν· ἀλλ' ἔτι κάλλιον καὶ ὡς ἀληθῶς εἰς τὸ μέσον. ὁμολογεῖται μὲν *γὰρ λέγειν αὐτὸν, ὡς ἄρα οὐδὲν ἐπίσταιτο· καὶ πάντες τοῦτό φασιν οἱ συγγενόμενοι. ὁμολογεῖται δὲ αὖ καὶ τοῦτο, σοφώτατον εἶναι Σωκράτη, τὴν Πυθίαν εἰρηκέναι. πῶς οὖν ταῦτ' ἔχει; οὐ γὰρ τό γε τοῦ παντὸς ἐσφαλμένον, ὡς εἴ τινα σοφώτατον ἀνθρώπων πιστεῦσαι θεμιτὸν περὶ τὸν θεόν. τέχνην δὲ, ὡς ἔοικεν, ἔφασκεν οὐκ ἐπιεῖν· ἀληθῆ λέγων· ᾧ γοῦν συνεγένετο Ἀναξαγόρᾳ, οὔτ' ἐκείνῳ τιμήσας φαίνεται· οὐκοῦν μηδὲν μὲν ἐπίστασθαι τῶν δεόντων ἀμήχανον, ᾧ γε παρηκολούθει τὸ δαιμόνιον. ὅτι δὲ οὐδὲν* ἐπίσταιτο, αὐτὸς ἔλεγε: λέγων δὲ οὐκ ἐψεύδετο· εἴπερ γε μηδὲ ὁ θεὸς σοφώτατον ἂν αὐτὸν εἰρηκώς. λοιπὸν οὖν, τί ποτέ ἐστι τὸ φάσκειν αὐτὸν οὐκ εἰδέναι; οἶμαί γε τὸ μὴ τέχνην τί ποτε ἐπίστασθαι. ἀλλὰ μὴν εἰ μηδ' ἑτέρως γ' ἂν σοφώτατος ἦν ἔτι, μήτε ψευδόμενος περὶ ἑαυτοῦ εἴπερ ἦν τι τῶν εἰδέναι τι ψεύδεσθαι, μήτε ἀληθῆ λέγων, εἰ τὸ μὴ χρῆσθαι τέχνῃ τῶν ἁπλῶς αἰσχρῶν ἦν. ἅμα Σωκράτης τε δι' ἀμφοτέρων μαρτυρεῖ τῷ λόγῳ, καὶ ὧν ἔξαρνος ἦν, καὶ ὧν ὡμολόγει· καὶ διὰ τοῦ Σωκράτους ὁ θεὸς περὶ ἀμφοῖν μεμαρτύρηκε χρήσας *ἐκεῖνον σοφώτατον εἶναι. ὥστε διπλῆν οὖσαν τὴν τοῦ Σωκράτους μαρτυρίαν, ἑτέρα κυρία τῇ παρ' αὐτοῦ βεβαιοῖ.

Ego verò vt illum vbique fide dignum, si quéquam Græcorum alium, existimo. ita libenter ex eius sectatoribus quæsierim, num hæc illi magis quàm illa, sint credenda. Quin vt maximè sit vir grauis, nobis dat testimonium, adeòque nostro commodo grauis est. Nam cum nos quidem & nobiscum, & cum illo consentimus, ille verò nec secum nec nobiscum, non tam contradicit hoc pacto nobis, quàm non vera se dicere fatetur.

De hac certè parte, quod multi sint auxilio diuino sanati, non amplius ex verbis cum Platone disputabo, nec inuidebit mihi vel Æschines Lysaniæ F. vel alius quisquam, si meipsum potius illorum dicta confirmare posse, quàm illius indigere testimonio dixero. Etenim reuera, quemadmodum vates rerum cognominibus initiati, ab ipsis Diis hoc didici, quorum opera ex iis, quæ medicorum nullus nec quomodo appellaret sciebat, nedum quomodo sanaret; nec in humana natura extitisse cognouerat, variis Dei consolationibus & consiliis elapsus, præter omnem fidem viuo. Cùm autem nihil in his artis habeat quisquam, ac potius artis contemptus ad Deos fugere eos cogat, tamen nec Dij, quod ipsorum pace dixerim, hanc sententiam nostram reiiciunt, nec multos ex iis, qui diuinum auxilium arti prætulerunt, pœnituit. Nec vetat quicquam quo minus horreant etiam medici, postquam intellexerunt pleraque. Vtrum ergo somnia res humanas Diis commendant, an quia Dij homines curant, eos etiam seruant per somnia? mihi quidem hoc placet. Quid erat ergo quod prohibeat?

Græcanicarum lingua longè maxima.

inquit Cratinus. [Etenim hęc Socratis ingenio tam propria & accommoda sunt habita, vt huic etiam opinioni repertus sit locus.] Opinor autem Socratem quoq; ipsum, quamuis nulla eius exstet scriptio, non minus quàm vel grauis Plato, vel festiuus Æschines, verùm etiã pulchrius, ac verè palam nobis testimonium perhibere. Illud certè constat eũ dixisse, nihil se scire: idq; omnes, qui cũ eo sunt versati, profitentur. Constat autem & hoc, sapientissimũ à Pythia fuisse Socratẽ iudicatum. Quomodo igitur hęc se habent, cùm eum qui ignoret omnia, sapientissimum esse iudicatũ, non sit fas de Deo credere? Iam arti, vt apparet, negabat se studere, nec falso. Nam Anaxagoram quidem, cum quo versatus est, non magni videtur fecisse. Cùm itaque nihil eorũ, quæ erant cognitu necessaria ignorare possit is, cui præstò erat dæmonium, nihil tamen se scire dicebat ipse, nec id falsò, quandoquidem nec Deus eum sapientissimum esse falsò dixerat. Quomodo ergo dicit se nihil scire? arte ni fallor. Iam si neutro modo sapientissimus fuisset, nec cùm de se mentiretur, quoniã turpe est mentiri, nec cùm vera diceret, nisi artis vsus reuera turpis esset, simul & Socrates vtroq; pacto, tum iis quæ negabat, tum quæ fatebatur, & per Socratem Deus, qui illũ sapientissimũ iudicauit, de vtroq; testatus est, ac duplex Socratis testimonium suo tertio confirmauit.

ARISTIDES.

Æschines Lysania F. Socraticus. Vide supra in Pirganibus & Laërtiũ.

SCHOLION. Elapsorum erat de numero Aristides.

* al. Gra. Scholion, τῶν ἐκφυγόντων ὑπῆρχεν ὁ Ἀριστείδης

Quadrato inclusa desunt in al.

Cratinus dixisse in Periclem torquet in Platonem. Vide inf. in orat. pro Quatuoruiris. Socrates.

* al. γάρ.

* al. ἐπίσταιτο.

* In aliis exemplaribus

ARISTIDES.

SCHOLION. *[Hæc argumentatio cornuta est, talémque sensum ostendit: dicit [inquit] Socrates, nihil se scire. si verum hunc concedimus dicere, Socrates non est sapiens: si falsum, iterum non sapiens est, & per vtraque sapiens, quibus & se negat quod scire (nihil enim sciuit arte, & verum dixit nihil se scire) & quibus confitetur, dæmonium sibi dicere. Dupliciter enim testatur. Primo quia dæmonium sibi insinuare dicit, secundo cum nihil se scire affirmat, & vtrumque testimonium obsignat ipse Apollo, sapientissimum hunc esse pronuncians, hoc est, neque falsum, neque turpe esse, nihil scire arte.*

Quod si poëtarum quoque sunt arcessenda testimonia, quamquam vel omnium, vel præcipuorum colligere dicta sit difficile, tamen quæ de nobilissimis selecta proferri possunt, ignaui foret omittere. Et communiter quidem poëtæ omnes reipsa testimonium præbent, siquidem ea ratione quæ artem superat poëtæ sunt effecti. Verum hoc testimonio iam non indigeo, quoniam supra relatum est, sed eo quod in verbis consistit. Nec hoc frustra, vel quasi appendicem superiorum adiungens, sed hoc demonstrans & indicans, ornatum istum & splendorem, non tam ex arte, quam diuino afflatu proficisci. Inuentionem igitur, ô Plato, disciplina meliorem censet Hesiodus, & artem posteriorem natura: & merito quidem ita sentiens atque dicens, nec immemor laureæ, quam vt acceperat, mox è pastore poëta fuerat redditus. (Hesiodus.) Nam & artes ipsas atque opificia, natura præstantes vtique primum inuenerunt homines: nec enim artes naturas condiderunt, verum naturæ præstantissimæ inuenerunt artes. Quo fit, vt & ordinis & facultatis ratione priores naturæ debeantur. Quod si nec hominibus prorsus artium concedimus inuentionem, sed his deos eas demonstrasse dicimus, ad præstantem nimirum erant aliquem referendæ. Iam si hoc apud omnes erit manifestum, non deos ab hominibus, sed homines à diis artes accepisse, atq; illos præceptores, nos esse discipulos, tanto videbitur disciplinæ præstare inuētio, quanto melior est homine Deus. Vt enim illi inuenerunt omnia, ita nos inuentis vtimur. Rectè igitur ac merito, & vt eum qui deorum afflatu hæc ipse loquebatur, decebat, Heliconis accola, eum quidem *sibi qui cuncta inuenit ipse*, primum ac præstātissimum, ceu deum ac diis propinquum posuit, auditorem vero ac discentem secundum.

Etenim si disciplina esset optima, non esset prima, Nam ab alio discendum foret: itaque non esset prior doctor, si disciplina melior ac prima poneretur. Vnde enim is, qui tuo quoque testimonio Variam exornauit, quod sequeretur audiuisset, si discipulus inuentori præstaret: nec esset necessario secundus, si quid vnquam discendum foret. Omnis enim discipulus, eo vtiq; ipso quod indiget disciplina, deteriorem se profitetur. Itaque nisi sibi primum ipse, se indigere persuadeat, quomodo vel discat, vel alteri docenti obtem-

Porticus Athenis nomine Varia ποικίλη.

[Τὸ μὲν παρὸν ἐπιχείρημα διλήμματόν ἐστι· νοῦν δὲ τοιοῦτον δηλοῖ. εἶπε (φησὶν) ὁ Σωκράτης μηδὲν ἐπίστασθαι. εἰ μὲν ἀληθῆ δηλονότι λέγει αὐτὸν οὐ σοφὸς Σωκράτης· εἰ (δὲ) ψευδῆ πάλιν, οὐ σοφός. καὶ κατ' ἀμφότερα σοφὸς· καὶ δι' ὧν ἀρνεῖται τι εἰδέναι (οὐ γὰρ ᾔδει τέχνῃ, καὶ ἠλήθευσε λέγων μὴ εἰδέναι) καὶ δι' ὧν ὁμολογεῖ τὸ δαιμόνιον αὐτῷ λέγειν. διπλῆ δὲ μαρτυρεῖ Σωκράτης· μία μὲν ὅτι δαιμόνιον αὐτῷ προλέγειν φάσκει· δευτέρα δὲ ὅτι λέγει μὴ εἰδέναι. καὶ ἑκατέραν μαρτυρίαν ἐπισφραγίζεται ὁ Ἀπόλλων, σοφώτατον αὐτὸν εἶναι λέγων. τοῦτ' ἔστι μήτε ψευδόμενον, μήτ' αἰσχρὸν εἶναι, τὸ μὴ εἰδέναι τέχνῃ.] σχόλιον.

Εἰ δὲ δεῖ καὶ ποιητῶν παρασχέσθαι μαρτυρίας· ἔστι μὲν ἔργον, ἢ τὰς ἁπάντων ἢ τὰς τῶν προκριθέντων διὰ πάντων παρασχέσθαι. ὅμως δὲ, ὅσας ἄν τις ἔχοι τῶν γνωριμωτάτων ἐκλέξας εἰπεῖν, ῥᾳθυμία παραλιπεῖν. κοινῇ μὲν οὖν πάντες ποιηταὶ μαρτυροῦσι τὴν ἔργῳ μαρτυρίαν, εἴπερ εἰσὶ ποιηταὶ τῷ κρατοῦντι [τῷ ὑπὲρ τὴν τέχνην] λόγῳ τῆς τέχνης. ἀλλ' οὐ ταύτης δέομαι τὰ νῦν, ἔστι γὰρ ἐν τοῖς εἰρημένοις· ἀλλὰ τῆς κατὰ ῥῆμα. οὐδὲ τοῦτο πάρεργον προσθεὶς, οὐδὲ εἰκῇ, οὐδὲ ἐφόλκιον ἄλλως ἐπὶ τοῖς ἄνω· ἀλλ' ἐνδεικνύμενος καὶ προσσημαινόμενος, ὅτι τοῦτο τὸ ἐν κόσμῳ, καὶ λαμπρὸς, οὐκ ἐκ τέχνης, ἀλλ' ἐπιπνοίᾳ θεῶν παραγίνεται. εὑρεῖν οὖν φησιν, ὦ Πλάτων, κρεῖττον ἢ μαθεῖν, καὶ τέχνην φύσεως δεύτερον, εἰκότως ὁ Ἡσίοδος, καὶ φρονῶν οὕτω καὶ λέγων, καὶ τῆς δάφνης οὐκ ἀμνημονῶν. ἣν ἅμα τῷ λαβεῖν ποιητὴς ἦν (γεγονὼς) ἐκ ποιμένος. Hesiodus. ἐπεὶ καὶ τὰς τέχνας αὐτὰς, καὶ τὰ ἐπιτηδεύματα, φύσει δήπου διενεγκόντες ἄνθρωποι, καὶ νικήσαντες, ηὗρον τὸ ἐξ ἀρχῆς. οὐ γὰρ αἱ τέχναι τὰς φύσεις ἐποίησαν, ἀλλ' αἱ κράτισται φύσεις τὰς βελτίστας τῶν τεχνῶν εὗρον. ὥστε καὶ τῇ τάξει καὶ τῇ δυνάμει παρὰ τῇ φύσει τὰ πρεσβεῖα εἶναι. εἰ δὲ δὴ μηδ' ἁπλῶς ἀνθρώποις τὴν εὕρεσιν προστίθεμεν τῶν τεχνῶν, ἀλλὰ θεοὺς ἡγήσασθαι φαμὲν αὐτοῖς, καὶ καταδεῖξαι: πῶς οὐκ εὔδηλον, ὅτι πολλῷ τινος εἶναι νικῶντος δεῖ προσθήκην τῆς τέχνης; καὶ μὴν εἰ τοῦτο δῆλον ἅπασι, καὶ πάντες ἂν συμφαῖεν, μὴ θεοὺς παρ' ἀνθρώπων λαβεῖν τὰς ἐπιστήμας, ἀλλ' *ἀνθρώπους, παρὰ θεῶν· καὶ διδασκάλων μὲν ἐκείνους, μαθητῶν δὲ ἡμᾶς τάξιν ἔχειν: τοσούτῳ κρεῖττον, ὡς ἔοικεν, εὑρεῖν ἢ μαθεῖν, ὅσῳ κρείττων ἀνθρώπου θεός. οἱ μὲν γὰρ εὑρήκασιν (ἅμα) ἅπαντα· ἡμεῖς δὲ, οἶμαι, λαβόντες χρώμεθα. ὀρθῶς ἄρα καὶ δικαίως ὁ τοῦ Ἑλικῶνος πρόσοικος, καὶ (ὡς εἰκὸς ἦν) τὸν αὐτὸν ἐκ θεῶν ἐπιπνοίας λέγειν εἰληφότα· τὸν μὲν τοιοῦτον ἄνδρα, ὡς θεὸν *καὶ θεοῖς ἐγγὺς πρῶτον καὶ κράτιστον μὲν *ἔθετο, ὃς καὶ αὐτὸς πάντα νοήσει· τὸν δὲ ἀκούσαντα, καὶ μαθόντα, δεύτερον. εἰ γὰρ ἦν τὸ μαθεῖν ἄριστον καὶ πρῶτον, οὐδὲ ἂν (αὐτὸ) πρῶτον τὸ μαθεῖν ἦν. ἐχρῆν γὰρ δήπου μαθεῖν παρ' ἑτέρου. ὥστε οὐκ ἂν ἦν ὁ διδάσκων πρῶτος, εἰ τὸ μαθεῖν κρεῖττον καὶ πρῶτον ἦν. παρὰ τοῦ γὰρ, ὦ καὶ σὺ τὴν ποικίλην στοὰν κοσμήσας, ἀκούσῃ τίσι *πεισθῇ; εἰ κρείττων ὁ μαθὼν ἐστὶ τοῦ τὸ πρῶτον εὑρόντος, καὶ μὴ ἀνάγκη δεύτερος, εἴ πέρ τι *μέλλοι μαθήσεσθαι. πᾶς γὰρ ὁ μανθάνων ὡμολόγηκε δήπουθεν εἶναι χείρων αὐτοῦ διὰ τὸ δεῖσθαι μαθεῖν. ὡς εἴ γε μὴ πείσειεν αὑτὸν δεῖσθαι πρότερον, πῶς ἂν μάθοι; ἢ πῶς ἄλλῳ γ' ἂν εἴκοι τι πεισθείς;

* ἀνοὺς παρὰ
* ἐγγὺς al.
* al. ἔφη
* al. κνιδεῖα
* al. μάθοι

πεισθείη; οὐκοῦν ἄτοπον, τόν γε αὐτὸν ὁμολογηκότα εἶναι χείρω, τοῦτον ἀμείνω καλεῖν. καὶ ταῦτα δι' αὐτὸ τοῦτ' ἐπαινούμενον, ὅτι ὡμολόγηκεν οἷς ἐζήτησε μαθεῖν χείρων εἶναι. ἄτοπον δὲ καὶ μηδὲ ἐκεῖνο ὁρᾶν, ὅτι οὐ μόνον ἐξ ἀρχῆς αἱ φύσεις τὰς τέχνας συνεστήσαντο, ἀλλὰ καὶ περὶ αὐτὰς τὰς τέχνας οἱ τῇ φύσει νικήσαντες διενηνόχασιν. ἕνεκα μὲν γὰρ τῆς τέχνης πάντας ἔδει παραπλησίους εἶναι τοὺς αὐτὰ μαθόντας. οἶμαι δὲ καὶ χείρους, τοὺς δευτέρους ἀεὶ τῶν προτέρων· ἕως εἰς τὸ λυθῆναι τὴν τέχνην ἀφίκετο. οὐ γὰρ ἂν ἦν πάντα λαβεῖν ἀκριβῶς παρ' ἑτέρου λαμβάνοντα, ἀλλ' ἔδει * διαφεύγειν ἀεί τι. ῥώμῃ δέ, οἶμαι, φύσεως καὶ περιουσίᾳ τὴν δόξαν οἱ κρατήσαντες εἰλήφασι· καὶ οὐδεὶς τὸν Δαίδαλον, οὐδὲ τοὺς * ἄνω θαυμάζει, παρὰ Φειδίαν· ἀλλὰ τοὐναντίον ἐκ μικρῶν καὶ φαύλων τὸ κατ' ἀρχὰς εἰς τὸ μεῖζον καὶ τελειότερον αἱ τέχναι κατέστησαν. εἰ δὲ τοῦθ' ἅπασι δῆλον, εἰ καὶ μὴ πρότερον, ἀλλὰ νῦν γε εἰρημένον· οἱ μέγιστοι τῶν ἐν ταῖς τέχναις * καθὸ μετεσχήκασι τῆς τέχνης, μέγιστοι γεγόνασιν· ἀλλ' ᾧ τὴν τέχνην παρεληλύθασιν. αὐταῖς τοίνυν, ὡς ἔοικε, ταῖς τέχναις οὐ λυσιτελοῦν φαίνεται τὴν τέχνην πρὸ τῆς φύσεως τετιμῆσθαι. οὐκοῦν προελθεῖν γ' ἂν * αὐταῖς ἦν οὐδὲ τυχεῖν τοῦ νῦν σχήματος, οὐδὲ σεμνυνθῆναι. ἀλλ', οἶμαι, οὐχ αἱ τέχναι τοὺς ἄνδρας ἦραν μεγάλους, ἀλλ' οἱ τῇ δυνάμει πρωτεύσαντες ἐντίμους τὰς τέχνας ἐποίησαν· οὐ μείναντες ἐφ' ὧν παρέλαβον, ἀλλ' ἐνδόντες τῇ φύσει τῶν λόγων· οἱ δὲ τῶν πραγμάτων, παῖδας τοὺς πρὸ αὐτῶν [δυνάμει φύσεως] ἀπέδειξαν. ἀλλὰ πάσας τὰς τέχνας, ὅπερ εἶπον, ἡ φύσις εὗρεν. εἰ γὰρ αἱ τέχναι τὰς τέχνας ἔμελλον εὑρήσειν, οὐκ ἂν ἦν λαβεῖν τὴν ἀρχήν. οὐ γάρ που τεχνῶν οὐσῶν, οὐκ ἂν ἦν τέχνην εὑρεῖν; τῇ γὰρ μὴ οὔσῃ πῶς ἦν ἣν εὑρεῖν; οὐκοῦν καὶ κατὰ τοὺς εὑρόντας τὰς τέχνας ἐξ ἀρχῆς, καὶ κατὰ τοὺς ὑπερέχοντας ἐν αὐταῖς, ἡ φύσις νικᾷ. φαίνεται τοίνυν καὶ κατὰ τοῦτον τὸν λόγον ἡ μὲν φύσις ἄρχοντος χώραν ἔχουσα· ἡ δὲ ἐκ τοῦ μαθεῖν τέχνη διακόνου καὶ πειθομένου τῷ κρείττονι. ἃ μὲν οὖν, εἰ καὶ μὴ τέχνην εἶναι δοίημεν τὴν ῥητορικήν, ἔχοι τις ἂν λέγειν ὑπὲρ αὐτῆς, πολλὰ ἀφέλοντο τῶν ἐνόντων, τοσαῦτα καὶ τοιαῦτά ἐστιν.

Ἴσως δέ τις οἰήσεται, τούτων οὕτως ἀποδεδειγμένων, τὸ φαυλότερον ἀποδύσεις ἡμᾶς λοιπὸν, ἐὰν, ὅτι καὶ τέχνη, διδάσκειν πειρώμεθα. ἐγὼ δὲ οὔτε τῶν εἰρημένων οὐδὲν μετατίθεμαι, οὔτε Πλάτωνι συγχωρῶ, τὸ μηδὲν μετεῖναι ῥητορικῇ τέχνης. ἀλλ' ὅσον αὐτῇ τέχνης (χρήσομαι γὰρ τοῖς τοῦ Πλάτωνος αὐτοῖς ῥήμασιν) τοῦτ' ἐπέξειμι. καίτοι πῶς οὐχ ὑπεναντίον, φάσκειν μὲν στοχάζεσθαι [τὴν ῥητορικήν]· λέγειν δὲ, ὡς οὐ χρῆται λόγῳ δι' αὐτὸ τοῦτο. πάντες γὰρ οἱ στοχαζόμενοι δή που τῷ λόγῳ προσάγοντες ἑαυτοὺς, οὕτω στοχάζονται. οὐ γάρ ἐστι μὴ λόγῳ χρώμενον στοχάζεσθαι· ἀλλ' ὁ τοῦ πράγματος [λόγος] οὗτός ἐστιν, ὁ ποιῶν στοχάζεσθαι. ἔστι δὲ στοχάζεσθαι, τὸ τυχεῖν τοῦ πράγματος, ὡς οἵ γε ἀποτυγχάνοντες, ἀρχὴν οὐδὲ στοχάζονται. οὐκοῦν οὐχ ᾧ στοχάζεται, ἁμαρτάνει τις· ἀλλ' ᾧ διήμαρτεν, οὐκ ἐστοχάσατο εἰκότως. οὐδεὶς γὰρ ἁμαρτάνει λόγῳ χρώμενος· ἀλλ' ἅμα ἐσφάλη, καὶ τὸν λόγον οὐ διεσώσατο· [τὸ μέλλον ἑκάστῳ συνοίσειν ἐκλέγοντες.] καὶ ταῦτα, ὦ Πλάτων, ταῖς σαῖς ἀδαμαντίναις ἀνάγκαις ἀποδείκνυται.

* διαφεύγει.

* ἄνω M. M.

* al. ὧν.

* al. αὐτοῖς.

ARISTIDES.

peret? Quocirca est absurdum eum, qui semel ipse deteriorẽ fateatur, atque ob id ipsum laudetur, præstantiorẽ dicere. Alienum à ratione foret, si ne hoc quidem animaduerteremus, non modo naturas initio artes constituisse, sed & in ipsis artibus eos, qui natura valerent, excelluisse. Nam artis quidem causa similes oportebat omnes esse, qui eadem didicissent, atque etiam posteriores prioribus semper deteriores, donec ad artis solutionem esset ventum, (nec enim poterat quis ab alio accuratè percipere omnia, quin aliquid semper effugeret) naturæ autem vi & excellentia gloriam sibi viri præclarissimi pepererunt. Nec quisquam vel Dædalum vel superiores præ Phidia miratur, verum contra artes ex paruis & vilibus initiis maiores ac perfectiores sunt redditæ. Quod si est manifestum, licet nunc primum dictum sit, maximi artifices non quatenus artes cognouerunt, maximi exstitere, sed quatenus eas superarunt. His igitur artibus, vt par est, non æquum videtur artem naturæ præponi, non ergo ante hanc fuit, neque eo quo nunc modo, neque gloriata est.

Verum, vt puto, non artes sustulisse viros magnos, sed qui potentia primi essent honorabiles, artes fecisse, non manentes à quibus accepissent, verum inspecta verborum, alij rerum natura, pueros præ se maiores fecerunt videri. Sed artes omnes, vt dixi, naturæ sunt inuentum. Etenim si artes essent artes producturæ, nullum exstaret principium. Cum enim nondum essent artes, reperiri non potuerunt, quandoquidem quæ non erat, inuenire nihil poterat. Quamobrem tum inuentorum ratione, tum sequentium victoriam reportat natura. Hac igitur quoque ratione apparet naturam quidem principis, artem vero disciplina constantem, ministri ac meliori parentis, obtinere locum.

Atque ea quidem, quæ pro Rhetorica, etiam si artem non esse eam posuerimus, dici possent, multis omissis, hæc fere sunt ac talia.

His autem ita demonstratis, existimabit forsitan aliquis peiorem nos deinceps partem sectari, si etiam artem esse voluerimus docere. Ego vero nec de supradictis quicquam muto, nec Platoni concedo, nihil habere artis Rhetoricam, sed quantum in ea artis est, (vt ipsius vtar Platonis verbis) tantumdem prosequar. An vero contraria non sunt, si & intendere eam veluti in scopum dixeris, & eadem de causa, ratione carere. Omnes enim qui collineant, ratione vtique vtentes, collineant: Nec enim licet ratione non vtentem collineare, siquidem ratio iaculationem efficiat. Nam collineare est rem attingere, vt qui aberrant, non benè collineant. Itaque non qui collineat aberrat, sed qui aberrauit non collineauit, & merito; siquidem nemo dum ratione vtitur, errat; verum simulatque rationem amisit, errat. [Id quod cuique profuturum est, deligentes.] Atque hæc quidem, Plato, adamantinis tuis demonstrantur necessitatibus.

ARISTIDES.

Cum Rhetoricam coniicere miraris? Eodem enim modo atque diuinatio videtur se habere, nisi quod cum diuinatio post coniecturam desinat, Rhetorica non tantum coniicit, sed & ea, quæ optima censuerit, per ministros perficit. Itaque diuinationis occupat locum, & artis militaris, quam quidem ad ciuilem scientiam pertinere non negabit Plato. Quo igitur modo ciuilis scientiæ partis erat simulacrum Rhetorica, si non isto? at ita simulacrum non erit, [*hoc per ironiam, nisi quatenus similis est arti militari, & reliqua, ex discretione, quia neque secundum hos posset simulacrum esse.*] Iam quod ait, Oratores ea quæ populo placeant, suadere, atque id solum spectare, id omnino sophisticum esse, si non puer, vir certe prudens ostenderit. Nam mihi quidem contra videtur, nec Rhetorica quidquam habere magis proprium, quam vt ea, quæ populo videntur, non statim fieri permittat, nec oratores quidquam potius, quam optima quæq; spectare, nec vel ipse populus diffiteri, quin in rebus considerandis, ac toto vitæ habitu & conditione, præstent ipsi oratores, idque ex honoribus, quos eis tribuit, manifestum fieri obiicit. Sin eos populo dicis cedere, & facere imperata non imperare, famulam pro domina sumis, & cum plebicolas vituperes, putas tibi rem esse cum Oratoribus.

Oratorum officium.

Verum nec plebicolæ magni se faciunt, quod ciuitati seruiant, & Oratores hac ipsa de causa sibi placent, quod non quæ populo, sed quæ sibi videantur optima dicant. Quod si multitudinis obtemperarent libidini, & pro iudicum arbitrio concionarentur, ne libere loqui quidem possent vnquam, nedum aliis se proferre. At norunt se non voluptatibus seruire, sed cupiditates moderari, nec vulgus spectare, vel ei parere, sed ab eo spectari, eique imperare, atque inde nomen acceperunt, in libertatis signum, vt demagogi vocarentur, non quod à populo ducũtur. O qui sursum omnia ac deorsum inuertis, sed quod eum ducunt, quemadmodum & pædagogos, opinor, appellamus, non qui pueris seruiant, sed qui eos ducant. Quidquid enim horum dixeris, Princeps, Præfectus, Præceptor, id oratori conueniet, atque eius erit nomen. Et omnes quidem principes natura subiectis suis præstant, si quis autem in potestate etiam gratificatur, & persuadet, non cogit, atque vltra officium suum, etiam suorum cupiditatem spectat, hic est vere politicus ille Homeri.

Δημαγωγοὶ unde dicti.

Pædagogi qui.

Politicus.

Ne igitur Oratores per conuitium gratificari dicas, sed bene dicendo gratiam quoque captare, atque ita meritam laudem Rhetoricæ tribues, eámque similibus remunaraberis officiis. Quomodo ergo aliquis tam variis populi sententiis seruiet, aut quomodo cupiditatibus aliorum obsequetur? Postquam enim multis seruiendum est, ii autem non consentiunt inter se, nec omnibus eadem ratione gratificari quisquam possit,

τί δὲ περὶ ῥητορικῆς, εἰ στοχάζεται, θαυμάζεις; φαίνεται γὰρ ἡ ῥητορικὴ ὁμοίως διακειμένη τῇ μαντικῇ. πλὴν ὅσον μαντικὴ μὲν ἀπήλλακται στοχαζομένης· ῥητορικὴ δὲ οὐ στοχάζεται μόνον τῶν πραγμάτων, ἀλλὰ καὶ πράττει διὰ τῶν ὑπηρετῶν, ἅττα ἂν εὕρῃ βέλτιστα. ὥστε καὶ τὸν τῆς μαντικῆς ἐπέχει λόγον, καὶ τὸν τῆς στρατηγικῆς ἣν μηδὲν προσήκειν τῇ πολιτικῇ Πλάτων οὐκ ἐρεῖ. πῶς οὖν ῥητορικὴ πολιτικῆς μορίου εἴδωλον, εἰ μὴ οὕτως; ἀλλὰ μὴν οὕτω γε οὐκ εἴδωλον εἴη. [κατ' εἰρωνείαν τὸ οὕτω· οἷον εἰ μὴ κατὰ τὸ ἐοικέναι τῇ στρατηγικῇ, καὶ λοιπὸν ἐξ ἐπικρίσεως, ὅτι οὔτε κατὰ τοῦτο δύναιτ' ἂν εἴδωλον εἶναι.] Ὅτι τοίνυν ὅλως ἐστὶ σόφισμα τὸ φάσκειν, τὰ δοκοῦντα τοῖς πλήθεσι, ταῦτα συμβουλεύειν τοὺς ῥήτορας· καὶ τούτου μόνου στοχάζεσθαι, εἰ καὶ μὴ παῖς ἐξελέγξειεν· ἀλλ' ὅστις γε εὖ φρονεῖ· ἐμοὶ μὲν γὰρ τοὐναντίον πᾶν φαίνεται, μήτε ἐν τῇ τῆς ῥητορικῆς φύσει πλέον εἶναι μηδὲν, ἢ (τὸ) μὴ τὰ δοκοῦντα τοῖς πλήθεσιν εὐθὺς ἐᾶν γίνεσθαι· *μηδὲ τοὺς ῥήτορας (εἰς) ἄλλο τι μᾶλλον σκοπεῖν ἢ τὰ βέλτιστα, μήτε τοὺς δήμους αὐτοὺς τοῦτό γε ἐκφυγεῖν, ὡς οὐκ ἀμείνους σφῶν οἱ ῥήτορες λογίσασθαι περὶ τῶν πραγμάτων· καὶ πᾶσαν ὅλως τὴν τοῦ βίου σχέσιν καὶ τὴν τύχην, καὶ τοῦτο ἐκ αὐτῶν τῶν τιμῶν εἶναι δῆλον, ὧν αὐτοῖς ἀπονέμουσιν. εἰ δὲ *αὐτοὺς τοῖς πλήθεσιν ὑπείκειν φὴς, καὶ ποιεῖν τὰ κελευόμενα· ἀλλ' οὐ κελεύειν· τὴν θεράπαιναν εἴληφας ἀντὶ τῆς δεσποίνης, καὶ τοὺς δημοσίους ψέγων δοκεῖς τοὺς ῥήτορας. ἀλλ' οὐδ' οἱ δημόσιοι μέγα φρονοῦσιν ἐφ' ἑαυτοῖς, ὅτι δουλεύουσι τοῖς τῆς πόλεως βουλήμασι. καὶ τοῖς ῥήτορσι τοῦ φρονεῖν αὐτὸ τοῦτο αἴτιόν ἐστι, τὸ μὴ τὰ δοκοῦντα τοῖς δήμοις λέγειν, ἀλλ' ἃ δοκοῦσιν αὐτοὶ βέλτιστα εἶναι. εἰ δὲ ἦσαν διάκονοι τῶν τῶν πολλῶν ἐπιθυμίας, καὶ τὰ δοκοῦντα τοῖς καθημένοις ἐδημηγόρουν. οὐδ' ἂν παρρησιάσασθαί ποτ' αὐτοῖς ἐξῆν, οὐχ ὅπως ὑπὲρ τοὺς ἄλλους φρονεῖν. ἀλλ' οἶμαι συνίσασιν ἑαυτοῖς οὐ τὰς ἡδονὰς θεραπεύουσιν, ἀλλὰ τῶν δήμων τὰς ἐπιθυμίας σωφρονίζουσιν· οὐδὲ ὁρῶσιν εἰς τοὺς πολλοὺς, ἀλλὰ πολλοὶ ὁρῶσιν εἰς τούτους· οὐδ' ἀρχομένοις ὑπὸ τῶν ἰδιωτῶν ἑαυτοῖς, ἀλλ' ἄρχουσιν ἑαυτοῖς τῶν πολλῶν. καὶ τὴν ἐπωνυμίαν διὰ τοῦτο εἰλήφασι παρ' αὐτῶν ἀντ' ἄλλου συμβόλου μαρτύριον τῆς ἐξουσίας λέγω τὴν τῶν δημαγωγῶν. οὐκ ἐπειδήπερ ὑπὸ τῶν δήμων ἄγονται, ὦ πάντα ἄνω καὶ κάτω ποιῶν· ἀλλ' ὅτι τοὺς δήμους ἄγουσιν. ὥσπερ δὴ καὶ τοὺς παιδαγωγοὺς οἶμαι καλοῦμεν, οὐκ ἐπειδήπερ ὑποπεπτώκασι τοῖς παισὶν, ἀλλ' ὅτι αὐτοῖς ἡγοῦνται. ὅτι γὰρ ἂν φαίης ἁρμόττει τὸ τοιοῦτον ἀκοῦσαι τῷ ῥήτορι· ἄρχων, στρατηγὸς, διδάσκαλος. πάντα ταῦτά ἐστι τοῦ ῥήτορος τὰ ὀνόματα. πάντες μὲν οὖν ἄρχοντες ἐν ἑκάστῃ πράξει κρείττους φύσει τῶν ὑφ' ἑαυτῆς. εἰ δέ τις μετ' ἐξουσίας καὶ χαρίζεται πείθων, οὐκ ἀναγκάζων· καὶ πρὸς τῷ σώζειν τὴν ἑαυτοῦ τάξιν, στοχάζεται καὶ τῆς ἐπιθυμίας τῆς τῶν ὑφ' ἑαυτῷ: οὗτος ἐκεῖνός ἐστιν ὁ τῷ ὄντι πολιτικός. μὴ δὴ τοῦτο λέγε, ὡς ὄνειδος κατὰ τῶν ῥητόρων, εἰ χαρίζονται· ἀλλ' εἰ μετὰ τοῦ βελτίστου καὶ τῆς χάριτος στοχάζονται. καὶ κατὰ τοῦτο ἀπόδος τῇ ῥητορικῇ τὴν πρέπουσαν εὐφημίαν, ἵνα τοῖς ὁμοίοις αὐτὴν ἀμειβόμενος φαίνῃς. πῶς δέ τις καὶ διακονήσεται μυρίαις γνώμαις δήμου καὶ ἀλλήλαις μαχομέναις ταῖς ἐπιθυμίαις; ὅταν γὰρ δέῃ μὲν διακονεῖν πολλοῖς, οὗτοι δ' ὡς μὴ κατὰ ταὐτὰ γινώσκοντες· πᾶσι δὲ ἀμήχανον τοῖς τοιούτοις ἐκ τῶν αὐτῶν τὰ αὐτὰ χαρίζεσθαι.

πῶς

* al. λ'.

* στιχασμ[illegible]

* μὴ δ' εἰς [illegible]

* ὑπείκειν [illegible]

πῶς (οὖν) ὁ ῥήτωρ * θεραπεύσει τὰς ἐπιθυμίας αὐτῶν; ἅμα γὰρ χαριεῖται τοῖς ἑτέροις, καὶ τοὺς ἑτέρους ἀνιάσει. ὥστε οὐ μᾶλλον πρὸς ἡδονὴν ἢ πρὸς ἀηδίαν ἕξει. οὐκοῦν εἰ μὲν ἡ ῥητορικὴ πειθοῦς δημιουργὸς, καὶ τὸ πείθειν τῶν ῥητόρων, οὐ κολακεύουσιν οἱ ῥήτορες. οὐ γὰρ διακονοῦσι τοῖς πολλοῖς, ἀλλὰ πείθουσιν· εἰ δ' οἱ ῥήτορες τὰ δοκοῦντα λέγουσι τοῖς πολλοῖς, οὐ δημιουργὸς ἡ ῥητορικὴ πειθοῦς· πειθομένους γὰρ τοῖς πολλοῖς, ἀλλ' οὐ πείθοντας παρέχεται. πρὸς ταῦτα ἑλοῦ ὁποτέρωθι τὸ ψεῦδος. Πλάτων γὰρ ἡμῖν ἐλέγχει Πλάτωνα· καὶ, τὸ κάλλιστον, οὐ πόρρωθεν· ἀλλ' ἐν τῷ αὐτῷ καὶ τοῖς αὐτοῖς τύποις λόγοις ἀναμίξ. οὐδὲ μεθ' ὧν ἀρτίως διεξῄειν τεχνῶν ἐστὶ τῶν πολλῶν, ἀλλὰ καὶ (ὅτι τοίνυν) πλεῖστον λόγου μετέχον (ἡ ῥητορική·) μᾶλλον δὲ ἅπαν ἐν λόγοις, καὶ μέγιστον, καὶ πρῶτον τῶν ἐν ἀνθρώποις, καὶ τελεώτατον, καὶ πέρας, εἰ οἷόν τ' εἰπεῖν, εὐχῆς ἄξιον δόξαι. οἶμαι τοίνυν ἅπαντας * ἂν, οἷς δυνατὸν, συμφῆσαι, τὸ μὴ κατ' αὐτὰ φῦναι τοὺς ἀνθρώπους, ἀλλὰ δυεῖν μερίδοιν· τὴν μὲν οἵαν βιάζεσθαι καὶ πλεονεκτεῖν εἶναι, ἣν τὴν κρειττόνων τις ἂν εἴποι, λέγω δ' οὐκ ἀρετῇ βελτιόνων, ἀλλ' ἰσχυροτέρων· τὴν δὲ, οἵαν ἐλαττοῦσθαι καὶ παρὰ γνώμην συγχωρεῖν ἀπειρίᾳ τοῦ κωλύειν, ἣν τὴν ἀσθενεστέρων οὖσαν γινώσκομεν. τοῦτο οὖν εἶναι αἴτιον τὸ ποιῆσαν εὑρεῖν τι τοιοῦτον ἀνθρώπους ὑπὲρ αὑτῶν, ἢ θεούς γε ὑπὲρ τῶν ἀνθρώπων, ὅ τὴν μὲν ἰσχὺν ἐπισχήσει, τοῦ δὲ ἴσου καὶ δικαίου πᾶσιν ὥσπερ ἐνέχυρον γενήσεται ταὐτὸν, τοῖς τε πολλοῖς συμφέρον, καὶ τοῖς πρὸς τὸ βιάζεσθαι πεφυκόσιν αὐτοῖς. οὐδὲ γὰρ ἐκεῖνοι ἔμελλον ἐκφεύξεσθαι τὴν ἀδίκων καὶ κακῶν ἔργων τἀπίχειρα. ἀλλὰ τῶν ἀσθενεστάτων πρώτων ἀναιρεθέντων, ἄλλων ὑπ' ἄλλων κατὰ μικρὸν, οὕτως ἀεὶ τῶν λοιπῶν ὑπεξαιρουμένων * ἔμελλε τελευτῶντας αὐτοὺς ὑφ' ἑαυτοὺς ἐλθεῖν. ὥσπερ φασὶ τοὺς Σπαρτοὺς, εἰ ἄρα καὶ ὁ μῦθος τοῦτο αἰνίττεται. ἔδει * δὴ κοινόν τι φάρμακον εὑρεθῆναι τῷ γένει, ταὐτὸν ἅπασι συμφέρον τοῖς ἰσχυροῖς, τοῖς ἥττοσι, τοῖς ἐπιεικέσιν. ὡς τοὺς μὲν ἢ κωλύσει πρὸ τῶν ἀδικημάτων, ἢ παρ' αὐτὰ τιμωρήσεσθαι. τοῖς δὲ ἀσφάλειαν τοῦ βίου παρασκευάσει· τοῖς δὲ χάριν τὴν πρέπουσαν, ὅσοι τὸ δίκαιον ἐτίμων ἑκόντες. εὑρέθη τοίνυν ἐκ τούτων ῥητορικὴ καὶ παρῆλθε φυλακτήριον δικαιοσύνης καὶ σύνδεσμος τοῦ βίου τοῖς ἀνθρώποις, ὅπως μὴ ταῖς χερσὶ, μηδὲ τοῖς ὅπλοις, μηδὲ τῷ προλαβεῖν, μηδὲ πλήθει καὶ μεγέθει, μηδ' ἄλλῳ τῶν ἀνίσων μηδενὶ κρίνοιτο τὰ πράγματα· ἀλλ' ὁ λόγος τὸ δίκαιον ἐφ' ἡσυχίας διαιροῖ. ἀρχὴ μὲν οὖν αὕτη καὶ φύσις ῥητορικῆς, καὶ βούλημα τοῦτο, σώζειν πάντας ἀνθρώπους, καὶ τὴν βίαν διὰ τῆς πειθοῦς ἀπωθεῖσθαι. φαίνεται τοίνυν ἡ ῥητορικὴ τῇ νομοθετικῇ τῆς αὐτῆς μετειληφυῖα φύσεως, εἴπερ τό γε ἀκριβὲς ἐπ' ἀμφοτέρων δεῖ θεωρεῖν. μᾶλλον δὲ μέρος οὖσα τῆς ῥητορικῆς ἡ νομοθετικὴ, καὶ τοῖς πᾶσι δευτέρα. πῶς; πρῶτον μὲν ὅτι καὶ περὶ αὐτὴν ἔδει τῶν νόμων, λόγου τοῦ πείθοντος. εἰ γάρ ἐστιν εὔδηλον, ὅτι οἱ νόμοι μὲν ὑπὲρ τοῦ πάντας τὸ προσῆκον ἔχειν, ἔμελλον τεθήσεσθαι· τοῦτο δὲ οἱ τῇ χειρὶ κρείττους ἔμελλον συμβουλήσεσθαι: πῶς οὐκ ἀναγκαίως ἔδει λόγου τοῦ πείθοντος ἤδη; οὐ γὰρ βιάσασθαί γε ἐνῆν τοὺς * πρὸς αὐτὸ τοῦτο πεφυκότας: οὐδ' ἦν αὕτη νόμων ἀρχή. ὑπὲρ γὰρ αὐτοῦ τοῦ μὴ βιάζεσθαι, οἱ νόμοι ἔδει θέσθαι. οὐκοῦν ἦν πεῖσαι βιασάμενον,

* al. ἀνθρώπους δ..

* al. ἔμελλον.

* al. δέ τι κοινὸν ἰ.. φάρμακον.

* al. τὴν ἰσχὺν τῶν μὴ χειρουμένων.

quomodo poterit eorum libidini orator seruire? simul enim & his gratificabitur, & illos offendet. Itaque non tam iucunda, quam molesta erit eius oratio. Quocirca si persuasionis effectrix est Rhetorica, & persuadere debent oratores, non adulantur, quandoquidem multitudini non seruiunt, sed ei persuadent. Sin oratores populi sequuntur libidinem, non est persuasionis effectrix Rhetorica, quandoquidem eos à multitudine persuaderi, nō ipsos persuadere docet. Proinde vbi sit mendacium considera: Etenim Plato nobis Platonem refutat, & quod est maximum, non procul, verum in his ipsis sermonibus permixte. Nec inter alias artes, quas modo memorabam, sit recensenda: sed & plurimum rationis habeat, aut potius tota ratione constet, & maximum, primum, ac perfectissimum sit in rebus humanis, omnisque voti, vt ita dicam, finis. Existimo igitur omnes id, quicumque possunt, assensuros esse, non eadem natura homines esse natos, sed è duabus partibus alteram vim inferre, & aliena inuadere solere, quam præstantiorem quis dixerit, non quidem virtute sed viribus: alteram vero vinci, & cum prohibere nequeat, inuitam concedere, quæ est imbecilliorum. Hac ergo de causa homines, vel dij hominum gratia, tale quid inuenerunt, quod & vim cohiberet, & æquitatis omnibus ac iustitiæ pignus esset, idemque tam vulgo prodesset quam iis qui vim exercebant. Nam nec hi suarum erant iniuriarum mercedem euasuri, quin imbecillioribus à se inuicem primum paulatim interfectis, atque ita reliquis semper sublatis, se mutuò denique inuaderent, quemadmodum de * Spartis legitur, nisi forte hoc etiam indicat fabula.

* al. Σπαρτ.

Commune quoddam toti generi fuit inueniendum remedium, quod omnibus esset vtile, fortibus, imbecillibus, iustis, ita vt illi vel iniuste agere vetarentur, vel cum iniuria punirētur, hi vero securè viuerēt, postremi autē quotquot vltro iustitiam colebant, mercedem decentē consequerentur. Inuenta est igitur Rhetorica, proditque iustitiæ custodia, & humanę vitæ copula, ne vel manibus, vel armis, vel occupatione, vel multitudine ac magnitudine, vel alia re aliqua inæquali res discernerentur potius, quam ratio suum cuique tranquille tribueret. Hæc igitur est origo Rhetoricæ & natura, hoc eius propositum, vt omnes homines conseruet, & vim persuasione repellat. Quapropter eandem Rhetorica quam ars legum ferendarum est naturam sortita, si quidem vtramque diligenter velimus inspicere, atque adeo pars est Rhetoricæ ars legum, atque in omnibus inferior. Quomodo? Primum enim ipsis etiam legibus oratione erat opus ad persuadendum. Etenim si leges ea de causa, vt suū cuique concederetur, erant ferendę, id autē fortissimis quibusq; placiturū non erat, omnino fuit adhibere orationē necessarium. Nam vim quidem non licebat iis inferre, qui liberi nati essent, nec hæc erat legum origo, quæ contra vim ferri debebant. Itaque per vim ferri non poterāt;

In his prudentia Rhetorica pars.

ARISTIDES.

cum id primum contra leges futurum fuerit. Quapropter & heic Rhetorica spectat idem quod iudicialis: hoc vero superat, quod vtramque [legis factoriam & iudicialem] sola complectitur. Etenim cum vellet iudicialis arti legum ferendarum, quasi in prælio, opem ferre, idem ipsi, quod illi, contigit. Nam & illi Rhetorica primum, vt per eam legibus aditus pateret, opus fuit, & iudicialis cum auxiliantis habitum sumsisset, ipsa prius Rhetoricæ desiderauit auxilium. Quoniam enim facultatem iuuandi requirebat, eam sine Rhetorica consequi non poterat.

Vtrum ergo Ciuilis partis simulacrum est Rhetorica, an partes scientiæ ciuilis, quas dicis, sub Rhetorica continentur? Nam mihi quidem vt [vere non Rhetoricam] in istis videtur suggillare, nec ciuilis partis eam simulacrum esse ostendere, verum quasi Rhetoricæ simulacrum aliquod sumsisset, in eo studium omne ponere, nec ipsam attingere, velut Stesichori Troiani

—— *Helena simulacra tenentes.*

quasi ipsam haberent. Tantum tamen erit discriminis, quod est Rhetoricæ dissimile simulacrum. Itaque cum neutrum se malle dicit, acceptam quoque iniuriam in malo se ponere ostendit, sic vt præstet quidem iniuriam pati quam facere, non tamen quam nec pati nec facere, ac rectè quidem, vt arbitror, & sentiens & dicens. Quapropter si Rhetorica pati quidem iniuriam prohiberet, verum inferre cogeret, ne sic quidem prorsus esset mala, cum id quod est malum, iniuriam pati, prohiberet, peior tamen meliore, quandoquidem accipere iniuriam quam inferre præstat. Sin & hoc prohibet, nec ad illud cogit, huius quidem ratione nec bona censebitur, nec mala, vt id nunc concedamus, illius vero prorsus bona.

Præterea qui statuit iniuriam non inferre, non simul & ipse à malefaciendo abstinebit, & iniuriam à nemine patietur. Illud enim ipsum est iniuriam facere, cum quis ei cui non oportebat, malefacit. Itaque donec erit inter homines malitia, iniuriam exspectabit. Qui autem ne lædatur cauet, is etiam ne quis lædat prohibet. Etenim quemadmodum simul & læditur ipse, & læsit alios, ita qui ne lædatur, cauere potest, is etiam ne quis lædat, potest prohibere. Quamobrem si non affici iniuria, Rhetoricæ tribuit, non afficere, philosphiæ, tanto quam philosophia deterior Rhetorica est, quanto afficere iniuria, quam affici. Cum autem illi hoc, quando quis nec patitur iniuriam nec facit, præfert, rursum præfertur philosophiæ Rhetorica, quando quidem simul cum iniuriæ acceptione etiam factionem tollit. Nam vt leges vetant quemquam lædi, simul etiam lędere profecto vetant.

Rhetorices ac Philosophiæ comparatio.

Hæc apposite magis quam necessario dicit Aristides. quæ enim de non ferenda iniuria & Rhetorica argutatur, iis ostendit meliorem Philosophia esse Rhetoricam: Hæc de non facienda iniuria, & Philosophia indifferenter ponens Philosophiam meliorem Rhetorica quis demonstret.

Quod si Rhetoricam ad iustitiam omnino iuuandam probamus esse inuentam, & eo-

ἀλλὰ τοῦτ' ἦν πρῶτον παρὰ τοὺς νόμους. φαίνεται τοίνυν κἀνταῦθα ἡ ῥητορικὴ βουλομένη μὲν ταὐτὰ τῇ δικαστικῇ. τοσοῦτον δὲ νικῶσα, ὅσον ἀμφοτέρας (τὴν νομοθετικὴν καὶ δικαστικὴν) συνέχει μόνη βεβαίως. βουλομένη γὰρ ἡ δικαστικὴ καθάπερ ἐν μάχῃ τῇ νομοθετικῇ βοηθῆσαι, ταὐτὸν ἔπαθεν (αὕτη) τῇ νομοθετικῇ. ἐκείνη τε γὰρ ῥητορικῆς πρότερον ἐδέησεν, ὥστε * ταύτην ἔχειν πάροδον τοὺς νόμους· ἥ τε δικαστικὸν σχῆμα ἐπικούρου λαβοῦσα τοῖς νόμοις, αὐτὴ πρότερον προσεδεήθη τῆς παρὰ τῆς ῥητορικῆς βοηθείας. ἔδει γὰρ δυνηθῆναι βοηθῆσαι, τοῦτο δ' οὐκ ἦν ἄνευ ῥητορικῆς. πότερον οὖν πολιτικῆς μορίου εἴδωλον ἡ ῥητορικὴ, ἢ τὰ τῆς πολιτικῆς, ὡς σὺ φὴς, μόρια ὑπὸ τῆς ῥητορικῆς συνέχεται; ἐμοὶ μὲν γὰρ ὡς (ἀληθῶς οὐ ῥητορικὴν) ἐν τούτοις κακίζειν φαίνεται, οὐδὲ πολιτικῆς μορίου εἴδωλον δεικνύναι. ἀλλ' οὕτως, ὥσπερ εἴδωλον ῥητορικῆς, ἀπειληφὼς ἐπὶ τούτῳ σπουδάζειν, αὐτῆς δὲ οὐδ' ἅπτεσθαι. ὥσπερ οἱ Στησιχόρου Τρῶες, οἱ τὸ τῆς Ἑλένης εἴδωλον ἔχοντες ὡς αὐτήν. διαφέρει δ' αὖ τοσοῦτον, ὅτι οὐδὲν ὅμοιον τῇ ῥητορικῇ τὸ εἴδωλον. οὐκοῦν ὁπότε οὐδέτερον μήτ' ἀδικεῖν φησι βούλεσθαι. δῆλον ὅτι καὶ τὸ ἀδικεῖσθαι κακὸν * ἡγούμενος, οὔ φησι βούλεσθαι· ἀλλὰ τοῦ μὲν ἀδικεῖν ἄμεινον τὸ ἀδικεῖσθαι, οὐ μὴν ἐκείνου γε τοῦ μήτ' ἀδικεῖν, μήτ' ἀδικεῖσθαι· ὀρθῶς οἶμαι καὶ γινώσκων καὶ λέγων. εἰ μὲν τοίνυν ἡ ῥητορικὴ ἀδικεῖσθαι μὲν ἐκώλυεν, ἀδικεῖν δὲ προσηνάγκαζεν· οὐδ' οὕτω μὲν ἴσως ἂν καθάπαξ πονηρὸν ἦν, πονηρόν γε ὂν κωλύουσα τὸ ἀδικεῖσθαι, χεῖρον δ' ἂν ἴσως βελτίονος, ὅπερ ἀδικεῖσθαι κρεῖττον ἢ ἀδικεῖν. εἰ δ' οὔτε ἐκεῖνο ἐπαναγκάζει, καὶ τοῦτο κωλύει· κατ' ἐκεῖνο μὲν, οὔτε ἀγαθὸν οὔτε κακόν που. δῶμεν γὰρ, ὡς ἐν τῷ παρόντι· κατὰ τοῦτο δὲ κυρίως ἀγαθόν. καὶ μὴν ὁ μὲν μὴ ἀδικεῖν ἐγνωκὼς, οὐχ ἅμα αὐτός τε τοῦ κακουργεῖν ἀπέχεται, καὶ τὸ ἀδικεῖσθαι πέφευγεν. αὐτὸ γὰρ τοῦτο ἦν ἀδικεῖν, τὸ κακῶς, ὃν οὐ προσῆκε, ποιεῖν. ὥσθ' ἕως ἂν ἐν ἀνθρώποις ᾖ τὸ κακουργεῖν, ἀδικήσεται. ὁ δὲ τοῦ μὴ ἀδικεῖσθαι φυλακὴν ἔχων, ἅμα καὶ τὸ ἀδικεῖν που κωλύει. ὥσπερ γὰρ ἅμα * ἠδίκηται, καὶ ἠδίκηκεν ὁ ἕτερος· οὕτως ὁ τοῦ μὴ ἀδικεῖσθαι δύναμιν ἔχων, τὴν αὐτήν που μὴ ἐᾶν ἀδικεῖν ἔχει. ὥστε εἰ τὸ μὲν μὴ ἀδικεῖσθαι τῆς ῥητορικῆς τίθησι· τὸ δὲ μὴ ἀδικεῖν, τῆς φιλοσοφίας· τοσούτῳ χεῖρον φιλοσοφίας ῥητορικὴ, ὅσῳ τοῦ ἀδικεῖσθαι τὸ ἀδικεῖν. * ὁπότε δ' αὖ περὶ τούτῳ τίθησι, τὸ μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι· τούτῳ βελτίων αὖ γίνεται ῥητορικὴ φιλοσοφίας, ἐπειδή γε ὁμοῦ τὸ ἀδικεῖσθαι καὶ τὸ ἀδικεῖν αἱρεῖ. ἐπεὶ καὶ οἱ νόμοι κωλύοντες ἀδικεῖσθαι, ἅμα καὶ ἀδικεῖν δήπου κωλύουσιν.

* al. ταύτῃ ἔχει.

* al. ἡγεῖται.

* al. ἠδίκησε.

* ἑκατέρα.

[Ταῦτα πιθανῶς μᾶλλον ἢ ἀναγκαίως λέγει Ἀριστείδης. ἃ γὰρ περὶ τοῦ μὴ ἀδικεῖσθαι καὶ τῆς ῥητορικῆς στωμύλλεται, κρείττω δεικνύναι φιλοσοφίας φιλοτιμούμενος τὴν ῥητορικήν· ταῦτα περὶ τοῦ μὴ ἀδικεῖν καὶ τῆς φιλοσοφίας ἀπαραλλάκτως μεταλαβὼν, τὴν φιλοσοφίαν ἀμείνω τῆς ῥητορικῆς ἐπιδείξειέ τις.]

Εἰ δὲ δὴ καὶ ὅλως βοηθείας ἕνεκα τοῦ δικαίου τὴν ῥητορικὴν δείκνυμεν εὑρεθεῖσαν, καὶ τὴν

αὐτὴν

αὐτὴν καθάπερ τάξιν ἔχουσαν τοῖς νόμοις, ὡς δ' ἀδικίας ἔχει τὴν αὐτὴν οὐ μόνον (ὡς ἔοικεν) ὁ ῥήτωρ· οὐ τὸ μὲν ἀδικεῖσθαι φεύξεται, τὸ δ' ἀδικεῖν βεβαιώσει· ἀλλ' οὐδὲν οὕτως ὡς τὸ ἀδικεῖν κωλύσει. οὐ γὰρ μόνον τῆς εἰς αὐτὸν χρήσεται προνοίας, ἀλλ' ὅπως μηδ' ἄλλος πείσεται κακῶς· εἴπερ οὖν τοὺς νόμους χρεὼν, τοῦτον καὶ * τὴν ῥητορικὴν εὑρέσθαι νενίκηκεν. ἀλλὰ μὴν ὅγε ἑτέρους τὰ δίκαια πράττειν ἐπαναγκάζων, πολύ που πρότερον αὐτός γε * παρεσκευάσθαι. οὐ γὰρ ἐγχωρεῖ βοηθεῖν μὲν τῷ δικαίῳ, τοῦ δὲ καταλύειν τὸ δίκαιον αὐτὸν πρότερον ὑπάρχειν. οὐ μὴν ἀλλ' εἰ τοῦτο Πλάτων ἰσχυρίζεται, ὡς οὐ πολλήν τινα, οὐδ' ἀξίαν σπουδῆς, οὐδὲ λόγου, χρείαν ἡ ῥητορικὴ παρέχεται, ὅτι οὐ τηλικοῦτόν ἐστι τὸ ἀδικεῖσθαι κακὸν, ἡλίκον τὸ ἀδικεῖν: τί κωλύει καὶ τοὺς νόμους αὐτὸν ἅπαντας τοῖς αὐτοῖς τούτοις διαγράφειν λόγοις; ἀλλ' ὥσπερ ἑταιρείας καταγνωσθείσης, μετὰ καὶ τῶν ταῦτα συμβουλευομένων νόμων ἐξελαθήσεται. καὶ τότε ῥητορικὴν ἐκπέμψομεν· καὶ προπηλακιοῦμεν, ὅταν καὶ τοὺς νόμους συνεκπέμψαι καλῶς ἡμῖν ἔχῃ, ἐκβάλλωμεν τῆς πόλεως καὶ τοῦ βίου. ἀλλ', ὦ δαιμόνιε, καὶ πάντα σὺ θαυμαστὰ εὑρίσκων, εἰ μηδέν ἐστι πρᾶγμα τὸ ἀδικεῖσθαι, μηδ' ἡ τοῦτο κωλύουσα δύναμις μηδενὸς ἀξία λόγου, μηδ' ὁπόσα ἐστὶ καὶ γίνεται * μὴ δι' αὐτῆς μηδὲν χεῖρον· ἀλλ' οὕτως ἄτιμον καὶ ἀνελεύθερον, ὥστ' εἶναι μόριον κολακείας καὶ σκιάν· τοῦ χάριν ταύτην οἰκίζων τὴν ἐν τῇ βίβλῳ πόλιν καθίστης αὐτῇ πολιτείαν, ἀφ' ἧς μηδ' ὁτιοῦν πείσεται· καὶ τὸ μάχιμον χωρὶς τῶν ἄλλων * ἱδρύσθαι κελεύεις· τιμὴν τὴν προτέραν ἀποδοὺς, ἵνα μή τι πάθῃ, μηδ' ὑπὸ * τινων ἀδικηθῇ πολεμίων. εἰ γὰρ * ἐξήρκει μὴ ἀδικεῖν: τί δέδοικας, εἰ πρὸς τοῦτο τ' αὐτὴν παρεσκεύασας; εἰ δὲ καὶ χεῖρον τοῖς ἀδικοῦσιν, ὅταν μὴ διδῶσι δίκην· καὶ χρὴ δὴ, κατὰ σὲ, καὶ αὐτὸν ἑαυτοῦ κατήγορον, ὅταν ἀδικήσῃ, γίνεσθαι καὶ * παιδίων καὶ πατρὸς αὐτοῦ· τοὺς δὲ ἐχθροὺς ἐᾶν: τί οὐ συνεύχῃ τοῖς πολεμίοις ἐπελθεῖν, καὶ λαβεῖν τὴν πόλιν; καὶ νὴ Δία τοὺς μὲν ἐν ἡλικίᾳ πάντας κατακόψαι, καὶ ταῦτα πρὸς τοῖς βωμοῖς· παῖδας δὲ καὶ γυναῖκας ἐξανδραποδίσασθαι πέρα, εἰ βούλει, Γαδείρων· τὰ δὲ ἱερὰ συλήσαντας, κατασκάψαι πάντα· μὴ λιπεῖν δὲ μηδὲ τοὺς τάφους ἀθῴους τῆς ἑαυτῶν πλεονεξίας. * ἵν' ἀδικήσαντες τὰ μέγιστα, ἐν τοῖς μεγίστοις δὴ κακοῖς ὦσι, μὴ δόντες δίκην. ἀλλὰ τοσοῦτον ἀπέχεις τοῦ ταῦτα συμπράττειν, ὥστε * κωλύεις· καὶ βίον ἐν τοῖς ὅπλοις εὕρηκας, ἵνα μή τι τοιοῦτον γένοιτο· κἄν τις εἰλήφθη προδότης, τοῦτον οὐ στεφανοῦν κελεύεις, οὐδὲ κηρύττειν: ἀλλὰ ταῦτα τοῖς ἄλλοις νομοθέταις περὶ τούτων * νομίζεις. εἰπὲ, πρὸς Διὸς πρεσβύτα, τί χρὴ περὶ τούτων ἡμᾶς νομίζειν; εἶεν, ὦ γενναῖε! νόμους δὲ δὴ τοῦ χάριν ἡμῖν ἐτίθης. εἰ γὰρ ὦ τᾶν! τὸ δίκην λαμβάνειν, καὶ τὸ μὴ ἐᾶν ἀδικεῖν, οὐχ ἕν τι τῶν σπουδαίων ἦν, τοῦ χάριν * ταῦτα πραγματεύῃ· καὶ σκοπεῖς, ὅπως μηδεὶς (τις τῶν ἐν τῇ πόλει) ἀδικήσεται; καὶ μὴν ἐν μὲν οἷς ἡμεῖς λέγομεν, καὶ τοῖς ἄλλοις συνδοκοῦν ἐστι, καὶ τῷ Πλάτωνι πρόσεστιν. ἃ δ' οὗτος ἐνταῦθα εἴρηκεν, οὐ μόνον τοῖς τῶν πραγμάτων λόγοις, ἀλλὰ καὶ τοῖς αὐτοῦ Πλάτωνος ἐξελέγχεται καὶ λόγοις καὶ βουλήμασιν. ἐκείνων μὲν ὀρθῶς ἔχειν συγχωρημένων, καὶ ἡ περὶ τῶν ἄλλων μαρτυρεῖ δόξα, καὶ ψῆφος ὀρθή. ταῦτα δὲ εἰ δοίημεν κρατεῖν, ἄπεστι τὸ ὁτιοῦν συνδοκεῖν τῶν ἄλλων.

* al. τῇ ῥητορικῇ. * παρασκευάσασθαι. * ὑπ' αὐτῆς γίνεται. * al. μηδέ. * al. ἱδρῦσθαι. * al. ποίων. * al. ἐξήρκει. * παίδων. * καὶ ἱερὰ πάντα καὶ τάφους συλῆσαι καὶ κατασκάψαι. * προνοεῖς. * νομοθετεῖν. * νόμους ἐπιφέρω.

dem, quo leges esse loco, non tantum iniuriæ acceptionem euadet Orator, vt videtur, & factionem confirmabit, verum nihil magis quam factionem prohibebit. Nec enim suis tantum rebus consulet, sed ne alij damnum faciant prohibebit, siquidem eadem de causa Rhetoricam, qua & Leges, constabit inuentam esse. Iam qui alios ad rectè agendum cogit, ipse multo prius ad id se præparauit. Nec enim potest & iustitiæ opem ferre, & eam primus ipse violare. Verum tametsi hoc nititur Plato, non magnum esse Rhetoricę vsum, probare, quod non tam vitiosum sit iniuriam pati quam facere, cur non etiam leges omnes hac ratione abrogat? Sed quasi collegium esset condemnatum, vna cum legibus quæ idem sétiunt, expelletur, ac tum Rhetoricam emittemus ac traducemus, cum leges simul honestè poterunt emitti.

ARISTIDES.

diceret ad ipsum Homerus. Non hæc audaciora sunt ac magis temeraria, quàm nostra, cum Platonem peregrinatum esse diximus, idque non peregrinationem sugillantes, sed ea causam nostram confirmantes. An verò Philosophiæ priuauimus eum opinione, quemadmodum ipse tragicos quidem nihili facit, Homerum autem tragicum vocauit, non tam honoris gratia, quàm vt & illos per hunc mutilaret, & hunc, dum honorat, deprimeret. Indignum erit igitur, si tragicos ipse & comicos & ciuitatem sibi & rempub. atque leges componet: nobis autem ne de dicto quidem aliquo licebit tum ipso disceptare, idque non vnguentis delibuto, sed laudibus maximis, quibusq; nec ipse de se maiores audire sustinuisset.

Homerus Tragicus poëta.

ARISTIDES. LECTÆ sunt eiusdem orationes communi defensione similem tractantes quæstionem.

CCXLVIII.

Ex Aristidis Platonica pro Quatuorviris.

De Pericle.

PROOEMIVM.

SÆPIVS iisdem de rebus veniam petere non existimo necesse, præsertim cum non tam ad viros vllos dicturi simus, quam pro viris optimis, nec paucis, neq; Platone iunioribus potiùs quàm antiquioribus, si quis hoc quoq; fortè reuerentia dignum censeat. Quapropter cùm id, quo tendebat oratio, concessum esset, quid potuerat nocere, si viros intactos reliquisset? At nunc quasi parturiret, vndique communita ad ipsos via, sic insidiosè sermonem aggreditur. Neque vero paruum est discrimen. Nam illud quidem erat pro veritate ipsa decertare, hoc autem non ego quidem vnquam, sed alius quis per calumniam non procul à malignitate abesse dixerit. Pericles igitur tam seuerè vixit, quippe qui ne ridere quidem sit vnquam visus. Quinimo quod ad reipub. curam & æqualitatis amorē pertinebat, nemini cedebat animi magnitudine, quod non eadem quæ vulgus spectaret, paucos habebat similes. Quod autem Socrati inter sophistas, hoc illi inter oratores à natura præcipuè datum fuit, vt elatum populum ac superbientem facillimè comprimeret: desperantem rursus, & abiectum dicendo reuocaret, ac spe repleret, quemadmodum ille cum adolescentibus agere solebat. Denique vrbis dignitas erat Pericles, vt qui nec multitudinis cupiditatibus obtemperaret, sed ipse populo imperaret, nec quod illis videbatur, diceret, sed quod sibi videretur, id illos facere cogeret, nec adulatoris fungeretur officio, sed omnem adulatoribus, quātum in se erat, intercluderet aditum: cùm, quatenus probus erat & æquus, patris vicem populo præstaret, quatenus autem omnes coërcebat, & in sua potestate habebat omnia, plusquam tyrannus esset. Vnde licet euidenter perspicere, Periclem, si quem alium, sponte iustum fuisse. Nec enim vsquam iniquitati potius quàm iustitiæ studuit, nec vt maiorem obtineret locū, curauit, cùm id quouis Pisistrato facilius posset: verùm quasi arcem ad leges seruandas & omnes communiter iuuandos occupasset, ita se gerebat.

Pericles nunquam ridere visus.

Pisistratus tyrannus.

SCHOLION. *sic fortè: Quod in medio iacet, æquale est, si dicas omnes, velut in orbem fertur, vel quia arx media iacet in vrbe.*

At postquam ille mortuus est, iam & Siciliam somniabant, & Italiam affectabāt, & Carthaginem atq; Africam appetebant, atque omnia circumspiciebant, nec ipsis quidquam sufficiebat, & longiorē belli fecerunt appendicē. Hæc autem, ô Plato, & Socrates, suadebat vester nō socius, sed sodalis, vt tu dixeris an potius dixisti. Quocirca quis ea vel iustè Pericli, vel non necessariò tribuat Alcibiadi? qui ciuitatem,

Alcibiades.

ΑΝΕΓΝΩΣΘΗ τοῦ αὐτοῦ ὑπὲρ τῆς κοινῆς ἀπολογίας, τὸ ὅμοιον διὰ τῆς ἐκλογῆς περιλαμβανόμενον τρόπον· [ὑπὲρ Περικλέους.]

Excerpta ex tertia oratione Aristidis Platonica pro Quatuorviris.

Ἐκ τοῦ Ἀριστείδου πρὸς Πλάτωνα ὑπὲρ τῶν τεσσάρων.

Τὸ Προοίμιον.

ΠΑραιτεῖσθαι μὲν οὐκ οἶδ᾽ ὅτι δεῖ * περὶ τῶν αὐτῶν πολλάκις, ἄλλως τε καὶ οὐ πρὸς ἄνδρας μέλλοντας ἐρεῖν μᾶλλον, ἢ ὑπὲρ ἀνδρῶν καλῶν καὶ ἀγαθῶν, καὶ τούτων οὐκ ὀλίγων, οὐδὲ ἧττον παλαιῶν ἢ Πλάτων, ὅτι μὴ καὶ πρεσβυτέρων ἐκείνου. εἴ τῳ καὶ τοῦτο αἰδοῦς ἄξιον εἶναι δοκεῖ. ὅτε δ᾽ οὖν ὡμολόγητο καὶ συγκεχώρητο, ὑπὲρ οὗ πᾶς ἐτείνετο ὁ λόγος, καὶ πρὸς ὃ πάντα ταῦτ᾽ εἶχε τὴν ἀναφοράν, τίς ἦν ζημία τῶν ἀνδρῶν μὴ προσκαθάπτεσθαι. νῦν δ᾽ ὥσπερ ὠδίνων, καὶ περιβαλλόμενος κύκλῳ τὴν ἐπ᾽ ἐκείνους ὁδὸν, οὕτως ἐπιβούλως ἐλθὼν ἐπὶ τοὺς [κατ᾽ ἐκείνων] τοὺς λόγους φαίνεται. καίτοι μὴν τὸ μὲν διάφορον, οὐχὶ μικρόν. ἐκεῖνο μὲν γὰρ ἦν ὑπὲρ αὐτῆς τῆς ἀληθείας ἀγωνίζεσθαι. τοῦτο δ᾽ ἐγὼ μὲν οὐδέ ποτε ἂν φήσαιμι. ἄλλος δ᾽ ἂν * τις εἴποι διαβάλλων, οὐ πόρρω κακοηθείας εἶναι. * Περικλῆς τοίνυν τά τε ἄλλα τὸν βίον ἦν ἄριστος, καὶ οὐδὲ γελῶν πώποτε ὑπό τινος ὤφθη. καὶ τῇ μὲν τῆς πολιτείας φυλακῇ, καὶ περὶ τὸ ἴσον τοῖς ἄλλοις ἔχειν ἀνέχεσθαι κοινὸς (εἴπερ τις ἀνθρώπων) ἐσπούδαζεν εἶναι· περὶ δὲ ἀξιώματι τῆς γνώμης καὶ περὶ μὴ τῶν αὐτῶν ἡττᾶσθαι τοῖς πολλοῖς ὀλίγοις καταλιπεῖν ἐγγὺς ἐλθεῖν ἑαυτῷ. ὃ δέ φασιν ὑπάρξαι Σωκράτει σοφιστῶν διαφερόντως, τοῦτ᾽ ἐκείνῳ δημαγωγῶν. ἐπαρθέντα μὲν γὰρ τὸν δῆμον, καὶ μείζονα φρονήσαντα, δεινότατον εἶναι συστεῖλαι καὶ καθελεῖν· ἀθυμήσαντα δὲ καὶ ταπεινωθέντα ἀναγαγεῖν αὖ τοῖς λόγοις, καὶ μεστὸν ἐλπίδων ποιῆσαι· * ὥσπερ ἐκεῖνος εἰώθει περὶ τοὺς νέους ποιεῖν. συνελόντι δ᾽ εἰπεῖν. σχῆμα τῆς πόλεως ἦν Περικλῆς, οὐ δουλεύων ταῖς τῶν πολλῶν ἐπιθυμίαις, ἀλλ᾽ αὐτὸς ἄρχων τῶν πολλῶν. οὐδ᾽ ὅτι δόξειεν ἐκείνοις τοῦτο λέγειν ἀξιῶν, ἀλλ᾽ ὅτι δόξειεν αὐτῷ, τοῦτ᾽ ἐκείνους πράττειν ἀναγκάζων· οὐδ᾽ ἐν κόλακος μοίρᾳ προσκείμενος, ἀλλ᾽ οὐδαμοῦ τοῖς κόλαξι πάροδον (τὸ καθ᾽ αὐτὸν) διδούς. τῇ μὲν χρηστότητι καὶ ταῖς ἐπιεικείαις ἐν πατρὸς ὢν τάξει περὶ δῆμον· περὶ δὲ κατείργειν ἅπαντας. καὶ πάνθ᾽ ὑφ᾽ ἑαυτὸν ἔχειν πλέον ἢ τύραννος. ἐξ ὧν, ὡς ἔοικεν, ἔξεστι σαφῶς ἰδεῖν, ὅτι εἴ τις ἄλλος καὶ Περικλῆς ἑκὼν δίκαιος. οὐδαμοῦ γὰρ τὴν πλεονεξίαν ἀντὶ τῶν νόμων ἠγάπησεν· οὐδ᾽ ὅπως ἔσται μείζων τῆς τάξεως προῃρήσατο, παρὸν * αὐτῷ μᾶλλον παντὸς Πεισιστράτου· ἀλλ᾽ ἦν παραπλήσιος κατέχοντι τὴν ἀκρόπολιν ἐπὶ τῷ σώζειν τοὺς νόμους, καὶ τῷ πάντας εὖ ποιεῖν ἐκ μέσου (τοῦ δημοσίου.)

* Schol. Παραιτεῖσθαι.

* Schol. πρὸ δὲ Πλάτωνα ἀντιλέγειν.

* al. τι

* al. Περικλῆς τοίνυν … (margin note partly illegible)

* ὥσπερ

* αὐτῷ.

[Οἷον ἴσως. τὸ γὰρ ἐκ μέσου φερόμενον, ἴσον ἐπὶ πάντας ὥσπερ ἐπὶ κύκλου φέρεται. ἢ, ὅτι ἡ ἀκρόπολις μέση κεῖται τῆς πόλεως.] Σχόλιον.

ἐπειδὴ δ᾽ ἐτελεύτησεν ἐκεῖνος· ὠνειροπόλουν μὲν Σικελίαν, ἐφίεντο δ᾽ Ἰταλίας, ὠρέγοντο δὲ Καρχηδόνος καὶ Λιβύης· πάντας δ᾽ ἀνθρώπους περιεσκόπουν· ἤρκει δ᾽ αὐτοῖς οὐδὲν, μακροτέραν δὲ τοῦ πολέμου τὴν παρενθήκην ἐποιήσαντο. ὁ δὲ ταῦτα πείθων ἦν, ὦ Πλάτων τε καὶ Σώκρατες, ὁ ὑμέτερος· κοινωνὸς μὲν οὐκ ἔστιν εἰπεῖν, ἑταῖρος δὲ, καὶ αὐτὸς ἂν φαίης· μᾶλλον δ᾽ εἴρηκας. πῶς οὖν ἄν τις ταῦτα δικαίως κατηγοροίη Περικλέους, ἢ πῶς οὐκ ἀναγκαίως Ἀλκιβιάδου; ὅστις παραλαβὼν

τὴν πόλιν, εἰδυῖαν ἀκούειν συμβούλων, εἶθ' οὕτως ἐξέμηνεν. Οὐκοῦν τῷ μὲν ἅπαντος κέρδους κρείττω παρέχειν ἑαυτὸν, δικαιοσύνην ἀσκῶν δῆλος ἦν. τῷ δὲ τὸν ἐν * τάξει βίον ἀντὶ τῆς πρὸς ἡδονὴν (προῃρεῖσθαι) σωφροσύνης πίστιν παρείχετο ἐμφανῆ. καὶ μὴν ἀνδρείας γε ἐν οἷς οὐ πρὸς χάριν, οὐδ' ὑποπεπτωκὼς, ἀλλ' ὡς οἷόν τε μάλιστα ἐλευθέρως ὡμίλει τῷ δήμῳ. μόνος δ' εἶναι καὶ τὰ μέλλοντα ἔσεσθαι προειδὼς, καὶ τοῖς παροῦσι χρήσασθαι δυνηθεὶς, πῶς οὐκ ἂν σοφίας δικαίως δόξαν φέροιτο τῆς γε δὴ χρησιμωτάτης, εἴ τις εὐθυγνωμόνως ἐθέλοι λογίζεσθαι; εἶθ' * ὃν ἐξ ἁπάντων τῶν τῆς ἀρετῆς μορίων ὑπάρχει προσειπεῖν ἀνδρεῖον, δίκαιον, φρόνιμον, σώφρονα, τοῦτον Πλάτων μετὰ τῶν κολάκων ἠρίθμησε. λάλους γάρ φησιν Ἀθηναίους ἐποίησε, καὶ ἀργοὺς, καὶ δειλοὺς, καὶ φιλαργύρους, εἰς μισθοφορὰν καταστήσας. περὶ μὲν δὴ λάλων, ὦ Πλάτων, καὶ ἀργῶν καὶ δειλῶν αὐτόθεν κατάβαλε μήπου τις καὶ Τρῶας * ἀγείρησι θεὸς ἄλλος. [κατάβαλε, κατάθου, πέπαυσο, σίγα.] σὺ δὲ * μαντινικὴν, καὶ ξένην καὶ μιλησίαν ἐπίστασαι κοσμεῖν· καὶ οὕς τινας ἂν σοι δοκῇ, πάνυ ῥᾳδίως μεγάλων ἠξίωσας· τῶν δὲ Ἑλλήνων τοὺς ἄκρους, καὶ παρὰ πᾶσι βεβοημένους, ἐν φαύλῳ * καθαιρεῖς. αἴτιον δ' οὐ τὸ ἀγνοεῖν τὴν ἀξίαν. ἀλλά πως ἂν εἴποιμι εὐπρεπῶς σφόδρα τῶν * λογίων γένη; [ἀντὶ τοῦ λέσχης γένη, καὶ οὐ τῆς τῶν πραγμάτων ἀληθείας.] πῶς ἂν εἴη διεφθαρκὼς Ἀθηναίους, ἢ πῶς λάλους πεποιηκὼς * ὅς γε κἂν τοῖς λόγοις αὐτοῖς τὸ μηδὲν φαύλως, μηδ' εἰκῆ, τιμήσας φαίνεται; τοὐναντίον γὰρ ἔμοιγε πᾶν αὐτοὺς ἐθίσαι δοκεῖ. μήτε λέγειν ὅπως ἔτυχε μηδὲν, μήτε ποιεῖν ἀπὸ τοῦ προστυχόντος παρεστάντος. ἔτι δ' ἄλλως μέν τινος πράγματος οὐκ ἐπιτηδὲς μάρτυρι κωμῳδίας διδασκάλῳ, τάχα ἂν οὐκ ἰσχυρὸν ἦν· εἰς δὲ λόγων κρίσιν μή ποτε οὕτω σεμνὸς γενοίμην, ὥσθ' ὑπεριδεῖν τὴν ἀνδρῶν τούτων, ὡς οὐδενὸς ἀξίαν. ὁ μὲν τῶν ἑλληνίδων μεγίστην ὁ Κρατῖνος τὴν ἐκείνου γλῶτταν εἴρηκε, λέγων μὲν ἴσον τι καὶ φρονῶν· ἀναμίξας δέ τι τῆς παρὰ τῆς τέχνης πικρίας ταῖς ἀπὸ τῆς ἀληθείας. ὅμως οὐκ ἐξέφυγε τὸ μὴ οὐ τὰ πρῶτα δοῦναι τῷ ἀνδρὶ, μηδ' ἐνδείξασθαι τὴν μεγαλοπρέπειαν τὴν περὶ τοὺς λόγους αὐτοῦ. ὁ δὲ Ἀριστοφάνης ἀστράπτειν καὶ βροντᾶν αὐτὸν, καὶ * μυκᾶν, φησι, δημηγοροῦντα. μὴ γάρ μοι τοῦτο, εἴ τι μέμφεται αὐτοῦ· ἀλλ' ὅσον εἰς τὸν παρόντα προσήκει λόγον τῆς μαρτυρίας λαβώμεθα. [ἀλλ' οὐ πολλῇ τινι τῇ περιουσίᾳ χρώμενος, οὕτω διελέγετο· πόρρω μὲν αὐτὸς ὢν τοῦ ληρεῖν, πλεῖστον δὲ τοὺς ἄλλους ἐθίζειν ἀπέχων] πῶς οὖν ὁ τοσοῦτον ὑπερέχων, καὶ μόνος πᾶσι τοῖς κριταῖς νικῶν, τὴν τοῦ φλυαρεῖν εἰκῇ καὶ παρὰ καιρὸν Ἀθηναίους ἀνεῖναι φέροιτ' ἂν δόξαν; ἐγὼ μὲν γὰρ τοὐναντίον ἡγοῦμαι, σιωπῆς αἴτιον αὐτὸν πλείονος, ἢ προπετείας, καθεστηκέναι. ἴσμεν γοῦν, ὅτι κἂν ταῖς ἄλλαις δή που δυνάμεσιν, οὗ μὲν πολλοὶ παραπλήσιοι καὶ ἐφάμιλλοι πρὸς ἀλλήλους, πολλὰ τὰ πράγματα, καὶ πλείων ἡ ἔρις. ἐπειδὰν δέ τις εἰς ὑπερέχῃ λαμπρῶς, ἅπαντες ἤδη συγκεχωρήκασιν, οὕτω δὴ καὶ λέγειν. ἐπειδὰν δέ τις εἰς ἄκρος ἐξελθῇ, στέργειν ἀνάγκη τοὺς πλείους· καὶ μὴ πολυπραγμονεῖν, ἀλλ' ὡς οἷόν τε μάλιστα εὐλαβεῖς καὶ κοσμίους εἶναι περὶ τοὺς λόγους. οὐ γὰρ ἂν ᾧ γέ τις ἐστὶ βέλτιστος, τούτῳ χείρους ἀπεργάζοιτο· ἀλλ' ὥστε καὶ πρὸς αὐτὰ ταῦτα, ἃ βέλτιστός ἐστιν.

* al. περὶ
* al. ἔτι
* al. ἀγείρωσι.
al. μαντινέαν.
* al. καθαίρεις.
* λόγων.
Schol.
* Περικλῆς.
* κυκᾶν.

ARISTIDES.

quam acceperat consiliis obtemperare valentem, in talem furorem egit? Quocirca cùm nulli esset lucro deditus, iustitiæ manifestum dabat specimen, vt & temperantiæ, dum vitam modestam voluptati perferebat: fortitudinis etiam, cùm non ad gratiam nec submissè, sed liberrimè cum populo agebat. Denique cùm solus & futura præscire, & præsentibus vti potuerit, meritò prudentiæ laudem, si quis res humanas consideret, consequatur. Ergo quem de cūctis virtutis partibus, licet fortem, iustum, prudentem, temperantem vocare, cum inter adulatores Plato posuit? *Nam loquaces, inquit, ociosos, ignauos, & auaros, postquam stipendia iussit facere, Athenienses reddidit.* Ac de loquacibus, ociosis, & ignauis, Plato, indidem supputa.

SCHOLION. *Ne quis fortè Deus Troianos excitet vsquam* [*supputa, depone, quiesce, tace.*]

At tu Mantinentem quidem hospitam, & Milesiam nouisti laudare, ac quoscunque libet, facile prædicas: Græcorum autem principes, vbique celebres, temorè deprimis. Id autem non eo facis, quòd dignitatem eorum non cognoscas, sed vt honestè dicam, nimium sermoni indulges. [*vox pro garrulitate, non pro rei veritate.*] SCHOLION.

Quomodo potuit Athenienses corrumpere, vel loquaces reddere [Pericles,] qui etiam in vestris libris ipsis, ne quid esset temerè prolatum, cauerit. Quinimò contra mihi videtur eos assuefecisse, ne quid temetè dicerent vel facerent. Deinde in alia quidem te non esset fortasse magni momenti Comicum testimonium: at in eloquentiæ iudicio, vt illos quasi viles contemnam, nunquam tam superbus ero. Cratinus quidem Græcanicarum maximam vocauit eius linguam, cùm diceret idem quod sentiebat, nonnihil tamen veritati ex arte acerbitatis aspergeret, verumtamen facere non potuit, quin primas ei tribueret, eiúsque in dicendo declararet excellētiam, Aristophanes fulgurare eum ac tonare ac miscere dixit inter concionandum. Nihil enim curo si quid in eo reprehendit, sed quantum ad hanc rem attinet, eius vtor testimonio.

Cratinus de Pericle sup. in orat. pro rhetor. contra Platon.

Aristophanes.

[Sed nondum hæc omnia: verumtamen illud confessus est, perfectum euasisse oratorem.] Cur ergo qui tantum præstitit, ac solus omnium suffragia tulit, Athenienses ad ineptam garrulitatem credatur incitasse? Nam ego quidem contra magis eum silentij quàm temeritatis causam fuisse existimarim. In aliis certè facultatibus videmus, vbi multi sunt inter se similes, multa negotia, maiorémque contentionem exsistere: postquam autem vnus aliquis excelluerit, reliquos cedere. Similiter in dicendo, cùm quis princeps exsistit, acquiescunt plerique, nec sibi negotium facessunt, verùm, quàm possunt cautissimè dicunt & modestissimè. Nec enim eo quo quis excellit, alios deteriores reddit, & in iis præsertim in quibus excellit,

ARISTIDES. At non esse inhonestam, nec ignominiosam, nec etiam accusatione vel venia, sed aliquo maiore præmio dignam ipsam dicendi vim, si demonstrare vellem, puderet me Deorum eloquentium. Tamen hoc saltem dicam (quod si quis molestè fert alius, in me totum auertat, nec ego de fortuna conquerar) vim dicendi cum proba & modesta vita, qualis in hominem maxima possit cadere, coniunctam me malle, quàm decies millies Darium Hystaspis F. fieri, & eius respectu iam omnia mihi videri sordere. Quin nec Platonem fere aliud habere quidquam præter verba, scio, eique dictionem gratulor, & quamuis per iocum se dicat istud minimè curare, non temerè credam, sed id admodum studere intelligam, ac tum maximè, cùm videtur quasi ludens loqui. Itaque domesticum proderemus thesaurum, si ista carperemus.

Eloquentia cum virtute coniuncta.

Platonis stylus.

SCHOLION. [*Prouerbium de iis qui domestica criminantur.*]

Verùm de his ne dicendum quidem est, ac tantò minus, quantò maior est vis dicendi. Ergo cum ego, qui tam acer vigil, ac propemodum alatus fuit, vel ipsum ociosum fuisse, vel alium reddidisse credam? Nihil equidem scire viderer, cùm ille non Athenienses modò, sed ne hostes quidem otiari permiserit. Talem enim mouendi suis necessitatem attulit, vt ipsi quoque mores suos mutare cogerentur. Idque iustè fiebat, inquit Demosthenes. Verumtamen cum Plato ociosos ac ignauos ait fecisse: Cretensis mare dicat aliquis.

SCHOLION. [*Prouerbium in eos qui simulant se ignorare. Sunt enim Cretenses periti nauigationis, & dicitur insulanus mare ignorare, & Siculus mare.*]

Verùm quamuis in hoc grauius quàm cæteri, promeretur, quod illi quidem rebus præsentibus dolebant, ipse autem ciues ita videbat affectos, vt ad rem gerendam essent inutiles, nec hostibus modò cederent, sed & ipsi tanquam fortunæ præsentis auctori irascerentur: ac præter duo fortunæ mala [bellum & morbum] duo hæc eos sibi videret consciuisse, dolorem & indignationem: & in mediis hæreret periculis, vndique, vt ita dicam, desertus: nihil tamen timuit, nec remisit, neque sententiam quasi colorem mutauit, cùm pariter cum ciuibus & hostibus pugnaret, sed quasi artem eos aliquam doceret, eodem vtebatur quo prius tenore, nec periculorum gratia decreta sua aboleuit, neque in securitate dumtaxat philosophatus est: verùm quemadmodum si de numeris & mensuris fuisset interrogatus, idem & olim respondisset & postea, ita quoque tunc idem de summa rei statuebat, nec vel pericula fugere, vel seipsum castigare, & ipsorum causa, qui cum temporibus mutati essent, ruborem suscipere dignabatur. Quocirca non hoc erat dicendum, copias eum non eduxisse, sed id cùm esset faciendum, & pugnandum, omisisset, considerandum. Nam & Lacedæmonios aiunt, cùm eos aliquando premerent Thebani, vt vel ad pugnam exire, vel deteriores esse se confiteri iuberent, ita respódisse:

ἀλλὰ μὴν ὡς αὐτό γε οὐκ ἄτιμον, τὸ δύνασθαι λέγειν, οὐδ᾽ εἰς ὄνειδος φέρον, οὐδὲ κατηγορίας ἄξιον, οὐδέ γε συγγνώμης, ἀλλά τινος κρείττονος, αἰσχυνοίμην ἂν τοὺς λογίους θεοὺς εἰ ζητοίην ἀποδεικνύναι. πλήν γε τοσοῦτον ἂν εἴποιμι· ἐμοὶ γὰρ εἴη, εἴ τις ἄλλος δυσχεραίνει, καὶ *ῥίπτει τὸ ἅπαν εἰς ἐμὲ· καὶ οὐ μέμψομαι τῷ δαίμονι, ὡς ἐγὼ δεξαίμην ἂν δύνασθαι λέγειν μετὰ χρηστοῦ βίου καὶ σώφρονος, εἰς ὅσον οἷόν τε κάλλιστα ἀνθρώπων μᾶλλον, ἢ μυριάκις Δαρεῖος ὁ Ὑστάσπου γενέσθαι· καὶ μικρά μοι πάνθ᾽ ὡς ἀληθῶς πρὸς τοῦτο *ἤδη φαίνεται. οἶδα δὲ καὶ τὰ Πλάτωνος πράγματα, εἰ μὴ τετυφώμεθα, οὐδὲν ἄλλο σχεδὸν ὄντα, ἢ λόγους· καὶ συγχαίρω τῆς λέξεως αὐτῷ· κἂν με προσπαίζων οὑτωσὶ πείθῃ, μὴ πάνυ τούτου φροντίζειν· οὐ πάνυ πείσομαι, ἀλλ᾽ εἴσομαι σφόδρα σπουδάζοντα, καὶ τηνικαῦτα μάλιστα, ἡνίκα ἂν ὡς παίζων λέγῃ. ὥστε τὸν οἴκοι θησαυρὸν διαβάλλοιμεν ἄν, εἰ ταῦτα διασύροιμεν. [παροιμία. τάττεται δὲ ἐπὶ τῶν τὰ οἴκοι διαβαλλόντων.] ἀλλ᾽ ὑπὲρ μὲν τούτων οὐδὲ λέγειν ἄξιον· ἀλλὰ *τοσούτῳ ἧττον, ὅσῳ περ ἂν ᾖ κρεῖττον τὸ δύνασθαι λέγειν. (εἶεν.) εἶτα τὸν οὕτως ὀξὺν καὶ ἄγρυπνον, καὶ ἥδιστα ἂν εἴποι ὑπόπτερον τοῦτον· ἢ ἀργεῖν αὐτὸν ἢ ἑτέρους ἐθίζειν ἐγὼ πεισθῶ; οὐκ ἄρα ἐπίστασθαι δόξω τῶν πραγμάτων οὐδέν· ὅστις γε μὴ ὅτι Ἀθηναίοις, ἀλλ᾽ οὐδὲ τοῖς πολεμίοις ἀργεῖν ἐπέτρεπεν, ἀλλὰ κἀκείνους ἐποίησε μεταβαλεῖν τοὺς τρόπους· τοσαύτας ἀνάγκας αὐτοῖς *περιέστησε τοῦ κινεῖσθαι, καὶ τὸ δικαίως οἷς ἐποίει προσῆν, ἔφη Δημοσθένης. ἀλλ᾽ ὅμως Πλάτων ᾐτιάσατο αὐτὸν ἀργοὺς καὶ δειλοὺς πεποιηκέναι· ὁ Κρὴς δὴ τὸν πόντον φησί τις. [παροιμία ἐπὶ τῶν προσποιουμένων τὸ ἀγνοεῖν. οἱ γὰρ Κρῆτες, ἔμπειροι θαλάσσης· λέγεται δὲ καὶ ὁ νησιώτης ἀγνοεῖν τὴν θάλασσαν, καὶ Σικελὸς τὴν θάλασσαν.] ὅθ᾽ οἱ μὲν ἄλλοι τοῖς παροῦσι τούτοις ἠθύμουν, ὁ δὲ καὶ τοῦτ᾽ αὐτὸ προσειλήφει μεῖζον, τὸ τοὺς πολίτας οὕτως ἔχοντας ὁρᾶν, ὥστε ἀπόρους εἶναι χρῆσθαι· καὶ ταῦτα οὐχ ὅσον τοῖς πολεμίοις ὑποπεπτωκέναι, ἀλλὰ κἀκείνῳ δυσμεναίνειν, ὡς τῶν παρόντων πραγμάτων αἰτίῳ. πρὸς δυοῖν τοῖν ἀπὸ τῆς *τύχης (τῷ πολέμῳ καὶ τῇ νόσῳ) δύο ταῦτα προσειληφότας ὁρῶν αὐτούς, λύπην καὶ παροξυσμὸν εἰς αὐτόν. ἐν μέσοις τοῖς δεινοῖς ἐμβεβηκώς, καὶ πανταχόθεν μεμονωμένος (ὡς εἰπεῖν) οὐκ ἔδεισεν, οὐδ᾽ ὑπεχώρησεν, οὐδ᾽ ὥσπερ χροιὰν τὴν γνώμην μετέβαλε, τοῖς τε πολίταις καὶ τοῖς πολεμίοις ὁμοῦ ἀντιτεταγμένος· ἀλλ᾽ ὥσπερ ἄλλο τι μάθημα διδάσκων αὐτοὺς τὰ αὐτά, ἃ καὶ πρότερον διεξῄει. καὶ οὐ διέφθειρε τὰ δόγματα ἐπὶ τῶν κινδύνων· οὐδὲ ἐπὶ τῆς ἐξουσίας ἐφιλοσόφησε μόνον· ἀλλ᾽ ὡς περὶ ἀριθμῶν ἢ μέτρων ἐρωτηθείς, ταὐτὸν ἀπεκρίνατο ἂν καὶ ὕστερον καὶ πρότερον. οὕτω καὶ τότε τὰς αὐτὰς ἠφίει φωνὰς ὑπὲρ τῶν ὅλων πραγμάτων. οὔτε τοῖς δεινοῖς *εἴκειν ἀξιῶν, οὔτε ἑαυτῷ μέμφεσθαι· αἰσχύνεσθαί τε ὑπὲρ αὐτῶν *ἅμα τοῖς καιροῖς ἑτέρων γεγονότων. μὴ δὴ τοῦτο λεγώμεθα, ὡς οὐκ ἐξήγαγεν· ἀλλ᾽ *εἰ προσῆκον ἐξάγειν, καὶ μάχεσθαι παρεῖδε, τοῦτο σκοπῶμεν. ἐπεὶ καὶ Λακεδαιμονίους ἀκούομεν δή που *προσκειμένων αὐτοῖς ποτε Θηβαίων, καὶ καλούντων ἐξιέναι καὶ μάχεσθαι, ἢ χείρους ὁμολογεῖν εἶναι σφῶν· ἀποκρίνασθαι,

* al. ῥίπτοντο ἅπαν.

* al. ὄντως φαίνεται.

σχόλιον.

* al. τοσούτων.

* al. περιέστησε καὶ τοῦ δεῖν ὁ ῥᾷον ἦν ἔφη.

σχόλιον.

* al. ψυχῆς.

* al. ἥκειν.

* al. ἑτέρων ἅμα καὶ τοῖς καιροῖς γεγονότων.

* al. ἐν προσῆκον.

προσ

ARISTIDES.

" περὶ μὲν τοῦ, πότεροι βελτίους, τὰς πράξεις κρίνειν τὰς ὑπὲρ τῶν Ἑλλήνων ἑκατέροις πεπραγμένας. " μαχεῖσθαι δὲ οὐκ ἐν τῷ τῶν πολεμίων καιρῷ, οὐδ' " ὅτε ἐκεῖνοι κελεύουσιν· ἀλλ' ἡνίκα ἂν αὐτοῖς δοκῇ. " καὶ οὐ χρῆσθαι περὶ τούτου συμβούλοις Θηβαίοις. ἐγὼ μὲν οὖν ὥσπερ λέγω περὶ τούτων, οὕτω καὶ χαίρω τῇ μεγαλοπρεπείᾳ παντὸς μᾶλλον, ὥς γε ἐμαυτὸν πείθω. ὁρῶ δὲ ὅτι πολλὰ τῶν πόλεών ἐστιν ὥσπερ * ἐφόλκια, οἷς ἀνάγκη συγχωρεῖν ὥσπερ ἐν σώματι. καὶ γὰρ τὰ σώματα, καὶ τὰ χείριστα καὶ τὰ κάλλιστα, ἀκούω ἐκ τῶν αὐτῶν κεκρᾶσθαι· τῷ δὲ ἢ πλείονος ἢ ἐλάττονος τούτων (ἑκάστου) μετέχειν, τούτῳ κρίνεσθαι τό, τε χεῖρον καὶ τὸ βέλτιον. οὕτω δὴ καὶ τὰς πόλεις ἀνάγκη τῆς φύσεως τῆς ἀνθρωπείας ἀπολαύειν, κἂν ὡς βέλτιστα οἰκεῖσθαι δοκῶσιν. ἐπεὶ κἂν τῷδε τῷ παντὶ τοσούτων καλῶν καὶ τοσαύτης ἀγαθῆς τύχης μετειληφότι, καὶ οὐδὲν ἔξω δήπουθεν αὐτῷ λελοιπότι τῶν καλῶν, πολλὰ ἂν εὕροις, οἷς ἥκιστα ἂν ἡσθείης· ἀλλ' οὐ κατηγορεῖς διὰ ταῦτα τοῦ παντός, οὐδὲ τοῦ ποιήσαντος· οὐδὲ νομίζεις, ἄλλον τινὰ δή τινα βελτίω γενέσθαι ποτὲ ἂν αὖθις δημιουργὸν τῶν ὅλων· ἀλλὰ δίδως τῇ φύσει ταῦτα ἐφειλκύσθαι, καὶ οὐ πολυπραγμονεῖς. τί δὴ θαυμαστόν, εἰ καὶ Ἀθήνησί τι τῶν πάντων οὕτως ἔσχεν, ὥσπερ ἴσως ἄν που καὶ ἄλλοθι. καὶ συνεχώρησαν οἱ προεστῶτες, ἅμα μὲν τὴν τῶν πολλῶν πενίαν καὶ χρείαν ἐπανορθούμενοι, δι' ἣν οὐκ ἐλάχιστα τῶν ἁμαρτημάτων συμβαίνει, ἃ κωλύειν μᾶλλον οὕτως ἡγοῦντο· ἅμα δ' εὐλαβούμενοι, μή τι καὶ χεῖρον ἐξεργάσαιντο τῷ κατείργειν παντελῶς αὐτούς. τί γὰρ οὐκ ἦν προσδοκῆσαι ποιήσειν ἀνθρώπους τοσούτους τὸ πλῆθος, καὶ οὕτως ὀξεῖς, καὶ χρημάτων τοσούτων παρόντων· εἰ μηδεὶς αὐτοῖς μετεδίδου τὰ μέτρια; ἆρ' οὐ πάντ' ἂν αὐτοῖς ἐπιχειρῆσαι λαβεῖν. οὐκ ἔστι ταῦτα, ὦ [...]ων, ἀλλὰ δυοῖν θάτερον· ἢ οὐκ ἦσαν Ἀθηναῖοι τοιοῦτοι, οἵους σὺ κατῃτιάσω: ἢ πάντες μᾶλλον ἢ Περικλῆς αἴτιος· εἴπερ γε μήτε φαύλους ἐδείκνυ τὰ παλαίσματα, μήτε ἀσαφεῖς τινας, ἢ κιβδήλους, ἢ σκολιὰς παρεῖχε τὰς γραμμάς.

* Schol. τὰ ἁμαρτήματα λέγει.

" Vtri quidem essent meliores, vel ab vtrisque " pro Græcia res gestas testari, cæterùm non ad " hostium occasionem vel præceptum se pugna- " turos esse, sed cùm sibi visum foret, nec in ea re " Thebanorum vti velle consilio. Atq; ego quidem sicut loquor, sic etiam plurimum delector magnificentia, quemadmodum mihi persuadeo. Ciuitatum autem multas esse video quasi [*peccata dicit*] appendices, quibus necessario sit tanquam in corpore concedendum, Nam & corpora tam pulcherrima quàm turpissima, ex iisdem esse rebus composita, quatenus autem de singulis plus vel minus fuerint adepta, hactenus deteriora vel meliora senseri. Similiter etiam ciuitates, quamuis optimè videantur constitutæ, naturam tamen humanam necessariò sequuntur. Nam & in hoc vniuerso, quod ita est rerum omnium bonarum particeps, vt ei nihil deesse videatur, multa quæ displiceant reperias: nec tamen ideò vniuersum ipsum accusas, aut eius auctorem, nec alium aliquando meliorem opificem extiturum credis: sed hæc à natura finis attrahi, nec tibi negotium facessis. Quid ergo mirum, si quid Athenis etiam tale fuit, quemadmodum & alibi fortasse, quod concesserint præfecti, quo simul & vulgi inopiæ mederentur, ex qua non minima oriuntur delicta, sic quæ videbantur posse tolli, & cauerent, ne quid etiam peiùs efficerent, si eos omnino coërcerent. Quid enim non exspectandum fuerat à tot hominibus, ac tam actibus, quique tantas opes haberent, nisi quis partem cum iis aliquam communicasset? nonne fore vt omnia conarentur sumere! Ne hæc amplius, ô Plato: verum aut non erant Athenienses tales, quales dicis, aut quiuis potius, quàm Pericles, eius rei causam præbuit. Quandoquidem ille nec viles edebat luctas, nec obscuras, vel adulterinas, vel obliquas ducebat lineas.

SCHOLION.

Ἐκ τῶν * περὶ Κίμωνος.

[Ὅτι ὁ Κίμων Μιλτιάδου μὲν ἔφυ πατρός, εὐήθης δὲ τὰ πρῶτα δόξας, ὕστερον ἐν πολλοῖς καὶ στρατηγῶν διεδοκίμησεν. ἐξοστρακισθεὶς δὲ κατῆλθε, καὶ στρατηγήσας, ἐνίκησεν ἐπ' Εὐρυμέδοντι ποταμῷ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· τέθνηκε δέ, τὸ * Κίτιον τῆς Κύπρου πολιορκῶν.]

* Περικλῆς Κίμων.

* al. κύτιον.

Ex iis quæ de Cimone.

SCHOLION.

Cimon natus patre Miltiade, stupidus visus initio, postea rebus multis bellicis commendatus est. Eiectus Ostracismo rediit, vicitque apud Eurymedontem fluuium terra marique, obsidensque Citium Cypri vrbem, extinctus est.

Excerpta ex Aristidis Cimone.

Ἐβουλόμην δ' ἂν καὶ πρὸς ἄλλον τινά μοι τὸν ἀγῶνα τυγχάνειν ὄντα, καὶ μὴ πρὸς Πλάτωνα· καὶ περὶ τούτου λέγω, καὶ περὶ τῶν ἄλλων, ἵνα πᾶσιν οἷς εἶχον ἐχρώμην θαρρούντως· καὶ μὴ συνέβαινέ μοι παραπλήσιον, ὥσπερ ἂν εἰ πλέων, καὶ παρὸν ἐξ οὐρίας κομίζεσθαι, εἶτα ὑφιέμην ὑπὸ δειλίας· ἢ καὶ ἵπποις ἀγωνιζόμενος, ἐξὸν καὶ τάχυ καὶ τοσοῦτον ὅσον βούλομαι παρενεγκεῖν εἶτ' ἂν εἶχον ἐξεπίτηδες, φειδοῖ τοῦ προειληφότος. οὕτω πολὺ πλείω ποιοῦμαι λόγον, μηδὲν ἀπηχὲς εἰς Πλάτωνα τυχεῖν εἰπὼν μηδ' ὥσπερ εἰ θρασύνεσθαι δοκεῖν, ἢ ἐκείνων ἕκαστον ἐπαινέσαι εἰκότως· οὐδὲ γὰρ ἐλάττονος ἄξια χάριτός μοι τὰ πρὸς τοῦτον. οὐ μὴν ἀλλ' εἴ γε ἄμφω συμβήσεται, καὶ τὰς κατ' ἐκείνων αἰτίας ἀπολύσασθαι, καὶ Πλάτωνι πᾶν ὅσον αἰδοῦς καὶ τιμῆς ἔξεστι σεσωκέναι. καὶ προέσται τὸ δίκαιον ἀμφοτέροις· μετρίως ἂν ἔχοι τὸ δίκαιον πανταχῇ.

Vellem autem cum alio mihi, quàm cum Platone institutam esse contentionẽ, tam de hoc quàm de reliquis, vt omnibus, quibus possem argumẽtis audacter vterer, neque quasi vector, cùm secundo liceret vento ferri, præ timore vela constringerem: aut quasi equestri contendens certamine, cùm liceret celerrimè progredi, spõte me inhiberem, quo præcedenti parcerem, Adeò multò diligentius obseruo, nequid in Platonem dicam grauius, & quasi ferocire videar, quàm vt illorum vnumquemque suis ornem laudibus: nam non minoris est mihi huius gratia. Verumtamen si vtrumque consequemur, vt & illorum dissoluamus crimina, & Platoni omnem tribuamus honorem ac reuerentiam, atque in vtroque iustè nos geramus, mediocriter nobiscum agetur.

ARISTIDES. Nam si contraria contrariis definiemus, quo pacto sua singulis constabit natura? Si enim imperium in seruitute ponatur, vix aliud quicquam seruitutem effugerit, & si imperium esse seruitutem ponimus, quid prohibet, quo minus eadem ratione seruitutem esse imperium ponamus, atque ita res circumagatur, nec vnquam eodem maneat loco: verùm imperium prius ad seruitutem redactum, per eam rursus fiat imperium: seruitus autem prius ad imperium redacta, per illud ipsum rursus existat seruitus. Itaque vagentur ac transmutentur hæc nomina, quæ sunt rerum contrariarum, aut potius rebus ipsis contraria. [*rebus dicit, grauiter. cum vnum esse & idem imperium & seruitutem confirmet.*] Tales, ô Plato, Græciæ præbebat adiutores. Itaque donec viuebat Cimon, peribant Barbari metu Græcorum.

SCHOLION. *Demosthenicum hoc schema. ait enim metu legatos mortuos, timore verò Græcos, pro, timore Græcorum, vel quia sic terruerant Græcos, vt propemortui fuerint.*

Cimon Ostracismo eiectus. At cum Ostracismo expulerint, ne vocem eius per decem annos audirent. Certè: sed eum ante annos decem exactos reuocarunt, vt eius audirent vocem. Ita eum desiderabant. Verùm tu quem condemnarint, dicis: quam sententiam mutarint, non cogitas, quæque vel rectè decreuerunt, vtrisque exprobras, quæ rectè consuluerunt, nec illis veniam putas, nec huic maximum præbere virtutis testimonium. Cùmque ij, qui eum condemnarunt, ipsi sententiam mutarint, nec antiquum seruarint decretum, tu id quasi ratum semper fuisset, obiicis, nec Athenienses hac in re vis imitari, vt à crimine virum absoluas: verùm si quid acerbius illi fecerunt, hoc imitaris, omittis reliqua. Quid? quod multò maius est & gloriosius, eiectum redire, quàm prorsus non eiici. Nam vt hoc etiam cuilibet contingit, ita illud non erat omnium. Atque vt hoc fortunæ quis potuisset tribuere, ita nisi reliquis præstantior habitus fuisset, illud ei non contigisset. Vt enim quis eiiciatur ac exsulet, inuidia facit, vel aliud simile: vt ante tempus reuocetur, nihil præter virtutem efficit, propter quam illum & absentem sunt reueriti, & vt adesset, è re sua fore existimarunt, quódque est omnium maximum, seipsos potius quam illum condemnare maluerunt. Quare siue per se vir est considerandus, cur, si quid in eum quis peccauit, recensemus: siue ex aliis, maximos in eum honores collatos videmus. Sed nondum hæc: mox enim magis erunt fortè congrua.

SCHOLION *[scilicet in communi defensione.]*

De Miltiade.

NVnc autè ad Miltiadē nobis redit oratio, quem ego laudare potius erubesco quàm reprehendere: ita videor omnia minora quàm cupiam dicturus esse. Miltiades autem iampridē

εἰ γὰρ τἀναντία τοῖς ἐναντίοις ὁριούμεθα, πῶς ἕκαστον ἔτι ἡμῖν σώσει τὴν ἑαυτοῦ φύσιν; εἰ γὰρ ἡ ἀρχὴ δουλεία, χαλεπῇ γ' ἂν ἄλλο τι δουλείας ἐκφύγοι. κἂν εἰ γε τὴν ἀρχὴν δουλείαν εἶναι τιθείημεν, τί κωλύει, καὶ τὴν δουλείαν ἀρχὴν τοῖς αὐτοῖς τούτοις τιθέναι λόγοις; κἀκ τούτου περίεισιν ἡμῖν ἡ θέσις, καὶ οὐδέ ποτε ἐν τῷ αὐτῷ μένει· ἀλλ' ἡ μὲν ἀρχὴ δουλεία πρότερον γενομένη, δι' ἐκείνης πάλιν ἀρχὴ γίνεται· ἡ δ' αὖ δουλεία, πρότερον ἀρχὴ νομισθεῖσα, ὑπ' αὐτῆς τῆς ἀρχῆς, ἐπάνεισι δουλεία πάλιν εἶναι. καὶ ὑπο πλανήσεται, καὶ μεταχωρήσει τὰ ὀνόματα ταῦτα, τῶν ἐναντίων πραγμάτων ὄντα, εἰ δὲ βούλει τὰ ἐναντία τοῦ πράγματος. [τοῦ πράγματος εἶπε, δεινῶς· ἐπειδὴ ἓν καὶ ταὐτὸν εἶναι τὴν ἀρχὴν καὶ τὴν δουλείαν συλλογίζεται.] τοιούτους ἐπικούρους, ὦ Πλάτων, [illegible] Ἕλλησι παρείχετο. ὥστε ἕως ἔζη Κίμων [illegible] ἀπώλλυντο τοῖς βαρβάροις τῷ φόβῳ τῆς Ἑλλήνων.

σχόλιον. [Δημοσθενικὸν τὸ σχῆμα. ἔφη γὰρ, τεθνᾶσι τῷ δέει τοὺς ἀποστόλους, τῷ δὲ φόβῳ τοὺς Ἕλληνας· ἀντὶ, τῷ τῷ φόβῳ τῶν Ἑλλήνων· ἢ ὅτι κατέπληξαν τοὺς Ἕλληνας οὕτως, ὡς ἐγγὺς τοῦ τεθνάναι γενέσθαι.]

* τεθνᾶσι.

Νὴ Δία ἀλλ' ἐξωστράκισαν αὐτὸν, ὅπως αὐτοῦ δέκα ἐτῶν τῆς φωνῆς μὴ ἀκούσωσι· καὶ πάλιν γε κατήγαγον, πρὶν τὰ δέκα ἐξήκειν ἔτη, ἵνα αὐτοῦ τῆς φωνῆς ἀκούσωσιν. οὕτως ἐπόθησαν. σὺ δὲ ὡς μὲν κατέγνωσαν, λέγεις· ὡς δὲ μετέγνωσαν, οὐκ ἐνθυμῇ. καὶ ἃ μὲν οὐ δικαίως κατεψηφίσαντο κατ' ἀμφοτέρων, λέγεις· ἃ δὲ ὀρθῶς ἐβουλεύσαντο, οὐχ ἡγῇ. τοῖς μὲν συγγνώμην παραιτεῖσθαι, τῷ δὲ ἀφεθέντι * μεγίστην πίστιν τῆς ἀρετῆς ἔχειν. καὶ, ὡς ἔοικεν, οἱ μὲν καταγνόντες αὐτοὶ μετέγνωσαν, καὶ οὐκ ἔμειναν ἐφ' ὧν ἔγνωσαν ἐξ ἀρχῆς· σὺ δὲ ὥσπερ τι κύριον ἐγκαλεῖς, καὶ οὐκ ἠξίωσας ταύτῃ μιμήσασθαι τοὺς Ἀθηναίους, ἀφεὶς τὸν ἄνδρα τῆς αἰτίας. ἀλλ' ὃ μὲν ἦν χαλεπώτερον αὐτῶν, ἐμιμήσω· τὰ δὲ λοιπὸν εἴασας. καὶ μὴν πολὺ μεῖζον καὶ κάλλιον, εἰς ἀρετῆς λόγον ἐκπεσόντα κατελθεῖν ἢ μὴ φυγεῖν ὅλως. τὸ μὲν γὰρ καὶ τοῖς τυχοῦσιν ὑπάρχει δήπου τοῦτο δὲ, οὐκ ἔστι τοὺς πολλοὺς ἄνδρας ἦν. κἀκεῖνο μὲν ἂν τῇ τύχῃ τις εἶχε λογίσασθαι· τοῦτο δὲ τῷ κρείττονα ἢ κατὰ τοὺς ἄλλους δόξαι γενέσθαι. τὸ μὲν γὰρ ἐκπεσεῖν καὶ φεύγειν, φθόνος αἴτιος· καὶ τάχα ἄν τι καὶ ἄλλο τοιοῦτο φανείη. τῆς δὲ πρὸ τοῦ χρόνου κλήσεως καὶ ἀνακλήσεως οὐδὲν ἐστὶν ἕτερον πλὴν τῆς ἀρετῆς αἰτιᾶσθαι· δι' ἣν καὶ ἀπόντα ᾐσχύνοντο, καὶ * παρεῖναι λυσιτελεῖν αὐτοῖς ὑπελάμβανον. καὶ, τὸ μέγιστον, σφῶν αὐτῶν καταγνῶσαι μᾶλλον ἠξίουν, ἢ ἐκείνου. ὥστε εἰ μὲν αὐτὸν ἐφ' ἑαυτοῦ δεῖ σκοπεῖν, τί δεῖ λέγειν, εἴ τις εἰς ἐκεῖνον ἐξήμαρτεν; εἰ δὲ ἀπὸ τῶν ἄλλων αὐτὸν δεῖ θεωρῆσαι, διαφερόντως οὗτος τιμηθεὶς φαίνεται. ἀλλὰ μὴ πω ταῦτα. αὐτίκα γὰρ μᾶλλον ἴσως ἁρμόσει· (ἤγουν ἐν τῇ κοινῇ ἀπολογίᾳ.)

* al. μεγάλην.

* παρόντα.

Ὑπὲρ Μιλτιάδου. Τὸ Προοίμιον.

ΠΕριήκει δ' ἡμῖν ὁ λόγος εἰς αὐτὸν τὸν Μιλτιάδην ὃν ἐγὼ μᾶλλον αἰσχύνομαι ἐπαινῶν, ἢ ψέγων· οὕτω μοι δοκῶ πάντα ἐλάττω εἰπεῖν, ἢ βούλομαι. Μιλτιάδης δὲ πάλαι πέπον-

Μιλτιάδης.

ARISTIDES.

πεπεικὼς ἦν Ἀθηναίοις, μηδένα δεσπότην πλὴν τῶν νόμων ἡγεῖσθαι· μηδὲ τοῦ καλοῦ καὶ δικαίου μηδένα κρείττω νομίσαι φόβον· μηδ' οὕτως ἀνάγκην ἰσχυρὰν, δι' ἣν προσήκει γίγνεσθαι χείροσι, διὰ ταῦτα εἶχεν, ὅτι χρῷτο αὐτοῖς. ἀλλ' ὥσπερ οἱ γεωργοὶ πολλοστῷ μηνὶ τῶν σπερμάτων τὴν ἐπικαρπίαν κομίζονται, καὶ οὐχ ἅμα τῷ καταβαλεῖν· οὕτω καὶ ἐκείνους Μιλτιάδης παλαιαῖς ὁμολογίαις καταληφθεὶς, εἶχεν ἐν καιρῷ χρησίμους· οὐκ ἐπὶ τῆς χρείας λαμβάνοντας τὰ μαθήματα (αἰσχρῶς γὰρ ἂν οὕτω * γε χορὸς ἠγωνίσατο αὐτοῖς) ἀλλ' ἐπὶ τῆς ἐξουσίας εἰς τὴν χρείαν ἠσκημένους. οὕτω τοίνυν καὶ Μιλτιάδου προεστῶτος τοὺς μὲν εἰς πλεῖστον τῆς ἐκείνου δυνάμεως ἀπολαῦσαι, τοὺς δὲ μέσως· κἀν τῷ μέσῳ τὸ παραλλὰξ αὖ τίθει. γένοιτο δ' ἂν τις ἐν πλήθει καὶ περὶ ὦτα ἀτυχέστερος· οὐ τοι πάντας οὐδ' ὁ ἥλιος οἷός τε ἐστὶ θερμαίνειν· ἀλλ' ἤδη τις ἐν καθαρᾷ τῇ μεσημβρίᾳ ἐρρίγωσε, τῆς καταβολῆς ἐπελθούσης. ἀλλ' ἐκεῖνος ὁ καιρὸς ὥσπερ κῆρυξ ἐκάλει τῶν Ἑλλήνων τὸν ἀνδρειότατον, καὶ τὸν ἐκ πλείστου τοῖς ἀρίστοις λογισμοῖς ὡμιληκότα, καὶ ὅστις οἶδεν ὅπως δεῖ σώζειν τε καὶ σώζεσθαι. εἰ δ' ἀπ' αὐτῶν τῶν κηρύκων ἀρξάμενοι, καὶ τῆς ἀποκρίσεως προηγόρευον Ἀθηναίοις, ὅτι δεῖ μελετᾶν τὸν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀγῶνα, καὶ μὴ λιπεῖν τὴν τοῦ φρονήματος τάξιν· καὶ αὐτὰ ὅπλα ῥίψαντας, οὐδὲ τοῖς φόβοις εἴξαντας, ἀλλ' ἀναλαβόντας τὰ ὅπλα καὶ τῶν φόβων κρείττους γιγνομένους· μᾶλλον δὲ ἕνα τοῦτον φόβον καὶ δεινὸν καὶ ἀφόρητον νομίσαντας, εἶξαι τοῖς χείροσι, καὶ παραχωρῆσαι τοῦ πατρίου σχήματος. εἰ ταῦτα λέγοντας, καὶ οὕτω παρεσκευασμένους, ἠξίουν ἀπαντᾶν ἐπὶ τὸν κρίσιν τὴν περὶ τῶν ὅλων, καὶ δέξασθαι τὸ ἐκβησόμενον ὡς ἐπ' ἀμφότερα ὁμοίως κερδανοῦντας, οὐχ ὁρῶ τινα ταῦτ' ἔχει διακονίας αἰσχύνην, ἢ πῶς ἔοικε τοῖς τοῦ κυβερνήτου λογισμοῖς; ὁρᾷς, ὅσῳ κυβερνήτην παρελήλυθε. καὶ γάρ τοι ὅσοι μὲν τοῦτ' ἐπείσθησαν αὐτῷ, σεμνοὶ σεμνῶς κεῖνται· κάλλιστα δὴ πάντων Ἑλλήνων καταλύσαντες τὸν αἰῶνα, μνημεῖον τῆς ἀρετῆς τὸν τάφον κεκτημένοι· καὶ ὑπὸ γῆς ὄντες, τὴν γῆν φυλάττοντες αὐτὴν, ἀλλ' οὐχ ὑπ' αὐτῆς σωζόμενοι. τῆς Ἡσιόδου προσρήσεως ἐγγύτατα ἥκοντες μετέχειν, ἣν ἐκεῖνος εἰς τὸ τοῦ χρυσοῦ γένους τελευτὴν ἐποίησεν, εἰπών·

οἱ μὲν δαίμονες ἁγνοὶ ὑποχθόνιοι καλέονται,
ἐσθλοὶ, ἀλεξίκακοι, φύλακες θνητῶν ἀνθρώπων.

κἀκείνους πλὴν ὅσον οὐ δαίμονας, ἀλλὰ δαιμονίους καλῶν, θαρρούντως ἂν ἔχοις λέγειν ὑποχθονίους τινὰς φύλακας, καὶ σωτῆρας τῶν Ἑλλήνων ἀλεξικάκους· καὶ πάντα ἀγαθοὺς, καὶ ῥύεσθαί γε τὴν χώραν οὐ χεῖρον, ἢ τὸν ἐν Κολωνῷ κείμενον Οἰδίπουν, ἢ εἴ τις ἄλλοθί που τὴν χώραν ἐν καιρῷ τοῖς ζῶσι κεῖσθαι πεπίστευται. καὶ μὴν τεχνικόν γε εἴη περὶ λόγοις Πᾶνα τὸν Ἑρμοῦ, Πλάτωνος ἡ φωνή. σκέψαι δὴ καὶ τοῦτο, ὁπόσον τι τῆς ἐκείνου σωφροσύνης τεκμήριον· καὶ ὅτι, εἰ χρυσῆν ἐτύγχανεν ἔχων τὴν ψυχὴν, οὐκ ἂν αὐτῇ καλλίω βάσανον προσήνεγκεν. οἶμαι δὲ κἂν ἐν θεῶν δικαστηρίῳ κρινόμενον Μιλτιάδην ἁπάσας ἀποφυγεῖν· οὐχ ὥσπερ τὸν Ὀρέστην φασὶ τὰς ἡμισείας μεταλαβόντα· εἰκότως. ὁ μὲν γὰρ τὴν μητέρα ἀπέκτεινε δικαίως· ὁ δὲ τὴν Ἑλλάδα ἔσωσε δικαίως· καὶ τὰ τροφεῖα κάλλιστα ἀνθρώπων ἀπέτισεν, οὐ μόνον τῇ πατρίδι,

docuerat Athenienses, nullum præter leges agnoscere dominû, nec* iusto & iniusto potiorem habere quemquam metum, nec tam valêré necessitatem, propter quam deteriores fierent: per iustum verò & iniustú illis vti poterat. Sed quemadmodû agricolæ aliquot post mensibus, non mox post sementê, messem faciút, & simul omnia non faciunt, ita Miltiades illo quoque antiquis pactis suos cùm fecisset, habebat in têpore paratos, qui non in necessitate operam disciplinis darent, (turpiter enim hic se gessisset chorus) sed per otium se ad necessitatem comparassent.

* κακοῦ ἢ δικαίου.

al. οὐ χεῖρον.

Quapropter etiam sub Miltiade pone alios plurimum ex illius facultate percepisse, alios mediocriter, atque in hoc vicissitudinem colloca: nam & in populo quispiam aures habet surdiores. Quid? quod nec Sol quidem omnes potest calefacere, atque aliquis meridie serena sub accessionem febris aliquando riguit. Verùm hæc res instar præconis fortissimos quosque Græcorum euocabat, & qui dudum optimis consiliis antè valuissent, ac quomodo seruare seruari que deberent, scirent. Sin ab ipsis præconibus ac responso exorsi iniunxerunt Atheniensibus, vt certamen pro Græcorum libertate meditarentur, nec gloriam suam proiicerent, neque abiectis armis metui cederent; verùm iis resumptis metum abiicerent, atque hoc potius grauissimè meruerent, ne deterioribus, nec auitæ dignitati cederent: si hoc eos modo ad commune de summa rerum certamen occurrere voluerunt, & euentum exspectare, quasi in vtramque partem felices æquè essent futuri, non video quid in hac re fuerit vilis ministerij, aut quomodo hæc gubernatoris sint consilio similia? Vides igitur quanto superet gubernatorem interuallo. Atque ij quidem quotquot huic paruerunt, magnanimi magnificè mortui sunt, & omnium Græcorum præclarissimam mortem obierunt, sepulchrum pro virtutis monumento consecuti, & cum sub terra iaceant, ipsam conseruant terram, nec ab ea seruantur, ad Hesiodi appellationem proximè accedentes, quam ille ad finem aurei generis vsurpauit his verbis:

Diui sub terris sacrique bonique vocantur,
Custodes hominum, depulsorésque malorum.

Hesiodus lib. 1.

Nam & illos si non diuos, sed diuinos appellaueris, meritò possis subterraneos quosdam custodes & conseruatores Græcorum, malorum depulsores, & vndique optimos dicere: ac regionem non minus tutam præstare, quam in Colono situm Oedipum, aut si cuius alibi sepulchrum viuis prodesse creditur. Quid quod artificem esse dicendi Panem Mercurij F. Platonis est dictum. Iam & hoc modestiæ illius signum considera, quódque si vel aureum habuisset animum, non cum potuisset explorare diligentius. Quid? quod existimo Miltiadem etiam, si deorum subiret iudicium, omnium calculis obsolutú iri, nec, vt Orestes, alteram dumtaxat partem consecuturum, nec iniuria. Nam vt ille matrem iustè occidit, ita hic Græciam iustè seruauit, nec patriæ modò

Vide Sophoclis tragœdiam.

ARISTIDES. sed & communi gentis Græcæ naturæ pulcherrimè omnium nutrimenti præmia rependit. Cúmque singulæ ciuitates suos habeant generis auctores, hunc meritò communem Græci generis auctorem quis dixerit. Quin etiam crimen existimo, quod postea sustinuit, si quid de eo etiam dicendum est, maximum iam esse illius præstantiæ signum. Cunctos enim censebant ipsius virtute superari, nec, vbi Miltiades adesset, quidquam vinci, vel capi non posse. Et eum ego qui tam fortis, tam prudens, tam modestus fuit, ac virtutem per totam vitam coluit, adulationis partem sectatum credam? Quique cùm reus ageretur, non vulnera iudicibus ostenderit, cùm haberet Cimonem: non liberos sustulerit, cùm haberet Cimonem: hunc ego adulatorem appellem, atque adulationem fuisse illius demonstrationis ac vitæ scopum dicam? Meritò verò nos ipsos quis adulari diceret, ac seruiliter, non ingenuè nos gerere, qui dum alterius aucupemur gratiam, sponte veritatem opprimamus.

ἀλλὰ καὶ τῇ κοινῇ φύσει τοῦ γένους τοῦ ἑλληνικοῦ. καὶ γάρ τοι κατὰ πόλεις μὲν, ἄλλους ἄλλοι νομίζουσιν ἀρχηγέτας. κοινὸν δὲ τῆς ἑλλάδος ἀρχηγέτην, ἐκεῖνον δικαίως ἄν τις ἡγοῖτο. νομίζω δ' ἔγωγε καὶ τὴν αἰτίαν, ἣν ὕστερον ἔσχεν, (εἰ δεῖ τι καὶ περὶ ταύτης εἰπεῖν) ἤδη μέγιστον σύμβολον εἶναι τοῦ πολλῷ τινὶ τῶν ἄλλων ἐκεῖνον διενεγκεῖν. *ἅπαντες γὰρ ἠξίουν ἡττᾶσθαι τῆς ἀρετῆς τῆς ἐκείνου, καὶ μηδὲν ἀήττητον εἶναι, μηδ' ἀνάλωτον, ὅπου Μιλτιάδης παρείη. εἶτ' ἐγὼ τὸν οὕτως ἀνδρεῖον καὶ φρόνιμον καὶ σώφρονα, τὸν διὰ βίου μελετήσαντα ἀρετὴν, τοῦτον κολακείας μορίῳ χρήσασθαι δικαιῶ; τὸν οὐδ' ὅτε ἐκρίνετο, οὐδὲν πλέον τοῖς δικασταῖς δείξαντα τοῦ τραύματος, οὐ δακρύσαντα, οὐ παιδία ἀναβιβασάμενον, ὄντος αὐτῷ Κίμωνος. τοῦτον ἐγὼ κόλακα ὀνομάσω προσειπὼν μεγαλοπρεπῶς; καὶ τοῦτ' ἦν τὸ κεφάλαιον τῶν ἐκείνῳ πεπολιτευμένων καὶ βεβιωμένων, κολακείας; καί πως οὐ δικαίως ἄν τις ἡμᾶς αἰτιῷτο αὐτοὺς κολακεύειν, καὶ διακόνων ἔργον οὐκ ἐλευθέρων ποιεῖν, εἰ τὴν ἑτέρου χάριν διώκοντες τἀληθὲς ἑκόντες διαφθείροιμεν.

*al. ἅπαντες.

Miltiades pro Themistocle.

EXORDIVM.

RESTAT igitur Themistocles, quem quidem minimè decebat è secundis primas ferre, quamquam hoc illi maximè soli contigit. Quin potius quis ab eo sit secundus, difficile, credo, sit inuentu. Tanto enim Marathonium illum, aut quocunque eum voles appellare nomine, interuallo superauit omnibus in se cadentibus rebus, quanto Darium Xerxes omni vicisse apparatu creditur. Atque ille quidem regis præfectos, hic ipsum vicit regem, qui post Marathoniam pugnam alterum adduxit exercitum, post Salaminam in fugam se dedit. Nam vt illa clade excitatus, ita hac ad desperationem fuit redactus, sic vt salutem in lucro poneret. Sciebat enim tum quidem exiguam copiarum suarum aduenisse partem: nunc autem se cum omnibus prope hominibus esse deuictum. Ac Miltiadis quidem fortitudo in vnum incidit negotium, licet ea in omni vteretur administratione: Themistoclem verò posteriora semper prioribus excipiebant maiora, &, vt est in prouerbio, alius eum relinquebat fluctus, alius comprehendebat, donec per vndas decumanas victor euasit. Quid ergo vetat, quo minus breuiter ostendamus, qualibus in rebus qualem se Themistocles exhibuerit. At hoc nihil ad rem fortassis faciet. Nam quæ nemo verbis posset complecti quomodo quis illum ex iis cernat? Nisi si hoc cogitabit, quæ nemo posset pro arbitrio dicere, hæc cum pro arbitrio gessisse. Etenim decem annis tota parturiebat continens, cùm singuli homines Marathoniam pugnam studerét vlcisci, omnisque apparatus ex omni terra marique cogebatur. Cùm autem Ægyptius interea defecisset, Rex ea facile ad deditionem coacta, rursus ad eadem redibat. Decimo denum anno regiones ac gentes omnes conuenerunt,

Prouerbio.

Xerxes Persarum Rex.

Μιλτιάδης ὑπὲρ Θεμιστοκλέους.

Θεμιστοκλῆς.

Τὸ Προοίμιον.

ΛΟιπὸς τοίνυν Θεμιστοκλῆς. ἥκιστα δὴ πάντων ἄξιος ἐκ δευτερείων τὰ πρωτεῖα ἔχειν, εἰ τὰ μάλιστα καὶ τοῦτο αὐτὸ ἐκείνῳ μόνῳ τῶν πάντων ὑπάρξαι φαίνεται· ἀλλὰ μᾶλλον ὅστις ἐκείνου δεύτερος, τοῦτο ἴσως ἔργον εὑρεῖν. τοσοῦτον γὰρ ἡμῖν τὸν *μαραθῶνα, τὸν πάνυ, ἢ ὅπως βούλει λέγε· τοσούτῳ δ' οὖν ἐκεῖνον ὑπερεβάλλετο πᾶσι τοῖς εἰς αὐτὸν ἐλθοῦσι, πῶς ἂν εἴποιμι ὁμολογουμένως, ὅσῳ Ξέρξη Δαρεῖον ταῖς παρασκευαῖς ἅπασι δῆλός ἐστιν ὑπερβαλλόμενος. καὶ μὴν ὁ μὲν τοὺς ὑπάρχους τοῦ βασιλέως, ὁ δὲ αὐτὸν ἐνίκα βασιλέα. καὶ μετὰ μέν γε τὴν *Μαραθῶνι μάχην αὖθις ἐπεστράτευσε· μετὰ δὲ τὴν ἐν σαλαμῖνι ναυμαχίαν, φεύγων ᾤχετο. πρὸς μὲν γὰρ ἐκείνην τὴν ἧτταν παρωξύνθη, πρὸς δὲ ταύτην ἀπεῖπεν· ἀλλ' ἱκανὸν κέρδος ἡγεῖτο, ἂν σωθῇ. ᾔδει γὰρ τότε μὲν πολλοστὸν μέρος τῆς πάσης *ἐλθὸν δυνάμεως· νῦν δὲ σχεδὸν μετὰ πάντων ἀνθρώπων ἡττώμενος. Μιλτιάδη μὲν οὖν εἰς ἓν κεφάλαιον ἡ τῆς ἀνδρείας ἀπόδειξις ἧκεν, εἰ καὶ τὰ μάλιστα ἐχρῆτο αὐτῇ παρὰ πᾶσαν τὴν πολιτείαν. Θεμιστοκλέα δὲ *ἀεὶ τὰ δεύτερα τῶν προτέρων μείζονα ἐξεδέχετο, καὶ τὸ τῆς παροιμίας αὐτοῦ περιειστήκει· τὸ μὲν γὰρ ἔλιπεν αὐτὸν κῦμα, τὸ δὲ ἐγκατελάμβανεν, ἕως διεξῆλθε διὰ τῶν τρικυμιῶν νικῶν.

*al. ἅπαντες.

*al. μαραθῶνα.

*κατὰ τοὺς ἐν

*al. ἐλθόν.

*al. τὰ δεύτερα ἀεί.

Τί οὖν κωλύει δεῖξαι διὰ βραχέων, ἐν ποίοις τισὶ πράγμασι ποῖός τις ἦν ὁ Θεμιστοκλῆς; *καί τοι τοῦτόγε οὐδὲν ἴσως προὔργου. ἃ γὰρ οὐκ ἔστιν ἐνδείξασθαι τῷ λόγῳ, πῶς ἄν τις ἐκ τούτων ἐκεῖνον θεωρήσειε; πλὴν εἰ τοῦτό γε αὐτὸ ἐνθυμηθείς, ὅτι ὑπὲρ ὧν οὐδ' εἰπεῖν ὡς βούλεταί τις ἐγχωρεῖ, ταῦτ' ἐκεῖνος *μετεχείρισεν ὡς ἐβούλετο. *δέκα μὲν γὰρ ἐξῆς ἔτι ὤδινεν ἅπασα ἤπειρος, φιλονεικοῦντες ἅπαντες ἄνθρωποι δίκην τῆς Μαραθῶνι μάχης λαβεῖν· ἡτοιμάζετο δὲ ἐκ πάσης γῆς καὶ θαλάττης πάντα. αἰγύπτου δὲ ἀποστάσης, ἐν τῷ διὰ μέσου βασιλεὺς οὐδὲν σπουδάσας, αὖθις ἦν ἐν τοῖς αὐτοῖς· ὑπὸ ῥᾳδίως ἐκείνην παρεστήσατο. δεκάτῳ δὲ ἔτει συνῆλθον ἐσχατιαὶ πᾶσαι, καὶ γένη πάντα,

*al. κρείττω ἦν ὁ κρείττων ὤφθη.

*μετεχειρίσατο.

*al. διαγενομένῳ ἔτει.

ὥσπερ μεθισταμένης ἑτέρωσε τῆς οἰκουμένης, καὶ βασιλεὺς ἀπῄει, δεδοικὼς, μὴ οὐ δέξαιτο τὸ πλῆθος ἡ Ἑλλὰς, ὥσπερ ἀρχὴ γῆς [πάσης] τῦ στρατοπέδου γιγνόμενος, καθὸ βούλοιτο, ἀεί. καὶ οὐ τοσοῦτόν γ᾽ αὖ αὐτοὺς ἡ τῦ ἡλίου συμβᾶσα ἔκλειψις ἐξέπληξεν, ὅσον ἡ τῆς γῆς καὶ θαλάττης ἔκλειψις γινομένη πρὸς τῦ βασιλέως, ἐμοὶ δοκεῖν, ἐπιθυμίαν μᾶλλον ἢ χρείαν. πρὸς τούτοις, τείχη μὲν ᾠκοδομεῖτο, ὅπως ἀριθμοίη κατὰ μυρίους· ὁ δὲ * ἥλιος συνεκρύπτετο τοῖς τοξεύμασιν. ἦν δὲ πλήρης ἡ μὲν θάλαττα νεῶν, ἡ δὲ γῆ πεζῶν, ὁ δὲ ἀὴρ βελῶν. παρεῖναι καὶ μέλλειν ἴσον ἦν, ὥστε ἔχεσθαι πάντας· πάντα δὲ, ὥσπερ τῦ Ποσειδῶνος κατιόντος, ἐσείετο. πάντα δὲ τὰ ἐπιόντα Θεμιστοκλῆς εἰς ἑαυτὸν ἀναδεξάμενος, καὶ τὴν αὐτῦ γνώμην ὑποθεὶς, ἀντ᾽ ἄλλου τῦ φυλακτηρίου, καὶ μόνος ὀρθοῖς τοῖς ὀφθαλμοῖς ἀντισχὼν ἅπασι καὶ τοῖς παροῦσι καὶ τοῖς ἐπιοῦσι πράγμασι, καὶ οὐκ ἀποστραφεὶς, ὥσπερ οἱ πρὸς τὸν ἥλιον βλέποντες· ὃ πᾶσι μικροῦ δεῖν συνέβη τοῖς τότε. οὐκ ἂν εἴποιμι ὡς οὐκ ἔψευσε τῆς ἐλπίδος τοὺς Ἕλληνας, ἀλλὰ καὶ πολὺ τὴν προσδοκίαν ἐνήλλαξεν αὐτοῖς. οὐδὲν γὰρ τῶν ἐσχάτων, ὅ, τι οὐ πείσεσθαι τῶν πολλῶν νομιζόντων, καὶ βλεπόντων εἰς αἰσχρὰς μηχανὰς, καὶ ἀπόρους καταφυγὰς, τοσοῦτον μετέστησε τὰ πράγματα· ὥστε εἴ τις ὕστερον αὐτοὺς ἀπελθόντων τῶν βαρβάρων ἤρετο, εἰ ἐβούλοντο ἂν μήτ᾽ ἐκείνους ἐπιστρατεῦσαι, μήτε σφίσι ταῦτα πεπρᾶχθαι· μήτε τοὺς κινδύνους σφίσι, μήτε τὰς πράξεις γενέσθαι· τεθνάναι πάντας ἂν εἰπεῖν ἐθέλειν μᾶλλον, ἢ ταῦτα ἄπρακτα αὐτοῖς εἶναι.

[μικροῦ δεῖν, παρ᾽ ὀλίγον, σχεδὸν, ἐγγὺς ἧκεν, οὐ πόῤῥω ἦν, οὐ πόῤῥω εἰπεῖν, ὡς εἰπεῖν, ὡς ἔπος φάναι, ὡς τὸ ἔπος φάναι, ὀλίγου δεῖν, ὀλίγου δεῖν φάναι, μονονουχί.]

Οὕτως οὐ μόνον τὰς ἐλπίδας, ὅσοι γε καὶ τὰ μὴ κιστὰ ἤλπισαν αὐτῶν, ἀλλὰ καὶ τὰς εὐχὰς τῶν πλείστων * ὑπερεβάλλετο. εἰπὲ γὰρ, ὦ πρὸς τῶν θεῶν! εἰ δὲ μὴ, ἄλλος τις κληρονομείτω τῦ λόγου, λεγέτω, δεικνύτω, τί χρῆν πράττειν τὸν Θεμιστοκλέα τότε, καὶ πῶς χρήσασθαι τοῖς παροῦσι; πότερον εἰς τὴν πνύκα συλλέξαντα Ἀθηναίους περὶ τῶν ἰδεῶν αὐτοῖς διαλέγεσθαι, καὶ διδάσκειν τί αὐτοδίκαιον, καὶ τί αὐτοκαλὸν ἐστὶ, τί τὸ ὂν μὲν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον; ταχέως μέντ᾽ ἂν αὐτοὺς καὶ γένεσις, καὶ τὸ εἶναι, καὶ πάντα ἐπέλιπεν. ἀλλ᾽ ὅθεν ἀνδρεία τὸ πρῶτον ἐκλήθη, καὶ ὅθεν δειλία, ζητεῖν; καὶ πότερον ῥεῖ τὰ πάντα, ἢ οὔ; ἔγνωσαν μέντ᾽ ἂν κακῶς ῥέοντα τὰ πάντα αὐτοῖς· ἀλλὰ τί μὴν ὅλως ἔδει λέγειν, ἢ ποιεῖν; εἴρον γὰρ ἤδη [αὐτὸ] τὸ ἐρώτημα, ὥσπερ σύνθημα, προείρηκα. πόθεν ἐξετάσομεν τὸν Θεμιστοκλέα; πότε σύμβουλος τῷ ὄντι καὶ προστάτης καὶ ἡγεμὼν ἦν; ἢ τί καὶ ἄλλο κρεῖττον ἀκοῦσαι. καὶ μὴν δεῖγε δυεῖν θάτερον, ἢ τὰ πραχθέντα ὑπ᾽ αὐτῦ μέμψασθαι, ἢ τίνα * ἔχει δεῖξαι, τί δέον πρᾶξαι παρέλιπε, τὸ ῥᾷον καὶ ἥδιον ἀντὶ τῦ καλῦ προελόμενος; καίτοι τήν γε ὕστερον τῶν πραγμάτων σοφίαν, καὶ τοὺς ἐπὶ τῆς ἀδείας ἐλέγχους, οὐδὲν ἔχειν λαμπρόν φασιν, ἀλλ᾽ ὑπερήφανον. ἐγὼ δ᾽ οὖν καὶ τοῦτο συγχωρῶ· κἄν τις ἀμείνω τινὰ πρᾶξιν, ἢ λόγους βελτίους, ἢ προαίρεσιν δικαιοτέραν, ἢ τοῖς πᾶσι βελτίω δείξῃ τό τι ἐγχειρῆσαι, παρ᾽ ἣν ἐκεῖνος ἐχρήσατο, ἕτοιμος ἐμαυτὸν τῆς αἰτίας κληρονομεῖν.

Margin notes: * al. [illegible] — * ὑπερεβάλλετο — * al. ἔχειν.

ARISTIDES.

quasi in alium locum terra migraret, ac metuebat Rex, ne non caperet omnes Græcia, & quacunque volebat castrorum partem, quasi toti imperaret orbi, occupabat.

Nec eos tantum Solis perterruit, quantum maris ac terræ defectus, ad cupiditatem potius, vt arbitror, quàm vsum regis procuratus.

Deinde muri extruebantur, vt simul decies mille numeraret viros, Sol autem telis obtegebatur, ac mare nauibus, terra militibus, aër iaculis erat plenus. Præsentia quoque & futura eodem habebantur loco, sic vt omnes tenerentur, omniáque tanquam Neptuno descendente commouerentur. Themistocles cùm in se suscepisset omnia, suumque consilium propugnaculi instar constituisset, & solus rectis oculis, tum præsentibus omnibus, tum futuris rebus obstitisset, nec vt ij qui Solem aspiciunt, se auertisset, quod omnibus propemodum acciderat, non modò Græcorum spem non fefellit, sed & exspectationem magnopere mutauit. Nam cùm plerique nihil non extremum se perpessuros crederent, & ad turpes rationes ac difficilia perfugia se conferrent, tantam fecit rerum mutationem, vt si quis eos discessum barbarorum interrogasset, num nec illos bellum intulisse, nec se res eas gessisse, eaque discrimina subiisse vellent, mortem sibi omnes potius, quàm vt ista non peregissent, optaturi fuissent.

SCHOLION.

[*Parum abesse, ferè, propemodum, propius factum est nihil, non procul erat, non procul dixero, vt ita dicam, vt dictum videatur, vt id dictum dicam, parum abesse, parum abest quin dicam, tantum non.*]

Vsque eo non spem tantùm, etiam qui longissimè sperauerunt, sed & votum fere omnium superauit. Dic enim per Deos (aut alius sermoni succedat) quid facere tum Themistoclem oportuerit, in eo rerum statu? Vtrù conuocatis Atheniensibus, de Ideis disserere, ac quid esset ipsum iustù, & ipsum honestum docere, quidque semper esset, nec vllù haberet ortù? Ac cito eos & ortus, ac natura & omnia defecissent: An id vnde primum fortitudo sit & ignauia dicta, quærere, & vtrum fluerent an non omnia? an malè res suas fluere compèrissent. Verùm quid omnino dicendum aut faciendum erat? Hæc enim tertia iam interrogatio, quasi tessera, profertur. Vnde verò Themistoclem examinabimus, vtrum reuera consiliarius, præfectus ac dux fuerit, an aliud mereatur nomen. Atqui est alterutrum necesse, vt vel res ab eo gestas quis reprehendat, vel quid, quod faciendum fuerat, omiserit, prælata honestati voluptate ac facilitate, ostendat. Et quanquam prudentiam res gestas subsequentem, & in otio factas reprehensiones, non esse magni momenti tradunt: tamen etiam hoc concedam, ac si quis vel factum melius, vel sermones præstantiores, vel consilium iustius adhiberi potuisse ostenderit, vel omnibus vtilius per quod ipse instituitur, ipse crimen in me suscipiam.

Platonis dogmata.

ARISTIDES. SCHOLION.

[Vel sic dicas, non esse magni momenti dicunt. Multa enim quæ studio ac meditatione benè consulta apparuerunt, suo tempore malorum causa fuisse visa sunt. Vel etiam sic: Multa enim in consiliis iudicata recta esse, exequendo damnū attulerunt: similiáque non plura alia, sed talia nunquam, eáque manifestè malefacta, neque consulta accusatis, non magnam præbeant licentiam loquendi. Vel sic: Accusati non satis consuetè facere videantur, si hic pro se causam dicant. Etenim quomodo consentient cum gestis non rectè præcedentibus tanquam benè. in his enim inerat necessitas vnde processit enthymema, in illis verò necessitas nulla, & epicherematis substantiam constituit.

Ipse qui sciebat futurum, si summum ius quærerent, & de principatu contenderent, vt pessum irent omnia, nec quid agerent scire possent: ipse inquam Atheniensibus persuaserit, vt sese submitterent, ac Lacedæmoniis in præsentia principatum concederent, eundem seipsis à volentibus Græcis recuperaturum pollicitus. Nec vero fidem fefellit, ac nomen potius ferè principatus, quàm ipsum iussit imperium concedere. Nam si rem spectemus ipsam, sibi imperium, illis nomen detulerunt, ac præter communem salutem, & cum hostes fortitudine, tum socios mansuetudine superatos, dignitatem quoque præclarissimam sunt & augustissimam consecuti, quandoquidem ducum duces erant redditi. Hoc edictum non adulator, quantum iudicio, nec qui oculos demitteret, aut auditoribus se submitteret, sed Deorum aliquis per Themistoclis os protulit. Cùm videret ipsos lacrymantes, audiret liberos ac mulieres quiritantes, aliquot necessariò relinqueret, ac videretur vrbs propemodum vi capta, meritò, (nam & futura erant omnibus incerta, paruáque spe atque infida subnixa, & præsens rerum status, amissionem vrbis, bonorum vitæque totius prioris continebat.)

Eosque tanquam pueros firmo animo & cogitationibus, non oculis tantum stantibus deducebat. Nonne ergo indignum est, ò terra, ac Dij, dictorum factorumque duces (nec enim cohibere me possum) Socratem fugientem laudare, eumque Lachete honestius discessisse dicere, Themistoclem autem, qui fugandis hostibus, non fugiendis fortitudinem piam declarabat, eiusque virtutis fructum tota percepit Græcia ignauiæ ac molliciei nomine tam facilè donare. Qui etiam ex Eubœa victor intercedebat, ea gessit interea, quæ nemo vnquam aliorum ad fugam festinantium. Et ais non esse magni admodum pretij salutem. Quin ergo Diis etiam seruatoribus, qui & singulatim nos conseruant, & earum rerum ferendarum Græcis tunc auctores fuerunt. Verum omittam maledictionem: quid autem consequatur, difficilius est coniicere ex oratione, quam explicare.

[ἢ οὕτως ἐρεῖς, οὐδέν φασι λαμπρὸν, οὐδ' ὑπερήφανον. πολλὰ γὰρ ἃ κατὰ μελέτην ἔδοξεν ἄριστα βεβουλεῦσθαι, ἐπὶ τῶν καιρῶν ἐδείχθη τῶν ἀτυχημάτων αἴτια φανέντα· ἢ καὶ οὕτω, πολλὰ γὰρ ἐν ταῖς βουλαῖς τὴν κρίσιν τοῦ νικᾶν λαβόντα, ἐπὶ τῆς χρείας τὴν αἰτίαν ἀπηνέγκατο τῆς * ἀτυχίας· καὶ οὐκ ὀλίγα ἄλλα τοιαῦτα. ἀλλὰ μή ποτε τοιαῦτα, καὶ τὰ περιφανῶς οὐκ εὖ πεπραγμένα, οὐδὲ βεβουλευμένα τοῖς αἰτιωμένοις, οὐ πολλὴν παρέχοι τὴν παρρησίαν. ἢ οὕτω * τοῖς αἰτιωμένοις δόξειεν ἂν εἰς οὐκ εὔλογον ποιεῖν, ἀποβλέπειν ἀπολογίαν· ἀλλὰ γάρ πως ἀπαντήσονται τοῖς μὴ ὀρθῶς προελθοῦσιν, ὥσπερ τοῖς οὐ φαύλως. ἐν ἐκείνοις μὲν γὰρ ἐνῆν τὸ δέον, ἐξ οὗ προήγετο τὸ ἐνθύμημα· ἐν τούτοις δὲ τὸ μὴ δέον προφαινόμενον, καὶ αὐτὴν ἐπεῖχε τὴν σύστασιν τοῦ ἐπιχειρήματος.]

* al. Εὐτυχίας.

* al. τοῖς αἰτιωμένοις.

Συνιδὼν ἐκεῖνος, ὁ πάντα ἄριστος, ὡς εἰ τὸ δίκαιον ἀκριβῶς ἐξετάζοι, καὶ στάσις ἐγγένοιτο ὑπὲρ τῆς ἡγεμονίας· ἅπαντα ἀπολεῖται κακῶς, καὶ οὐχ ἕξουσιν ὅτι χρήσονται· πείθει τοὺς Ἀθηναίους ὑφίεσθαι, καὶ συγχωρῆσαι τοῖς Λακεδαιμονίοις ἐν τῷ τότε τὴν ἡγεμονίαν ὑπισχνούμενος, παρ' ἑκόντων αὐτοῖς τῶν Ἑλλήνων * αὐτὴν ἀνακτήσασθαι· καὶ οὐκ ἐψεύσατο. σχεδὸν δέ τι καὶ τοὔνομα τῆς ἡγεμονίας, ἀλλ' οὐκ αὐτὴν ἔπεισε παρεῖναι. ἐπεὶ τό γε ἀληθὲς εἰπεῖν, αὐτοῖς μὲν τὴν ἡγεμονίαν, ἐκείνοις δὲ τὴν ἐπωνυμίαν ἔδοσαν· καὶ προσεγένετο αὐτοῖς ἀπὸ τῆς σωτηρίας τῆς κοινῆς, τὸ τῶν μὲν πολεμίων, ἀνδρείᾳ· τῶν δὲ συμμάχων, πρᾳότητι κρατῆσαι· καὶ τὸ σχῆμα τῷ παντὶ κάλλιον, καὶ σεμνότερον· ἡγεμόνων γὰρ ἡγεμόνες κατέστησαν. τοῦτο τὸ ψήφισμα, οὐ κόλαξ (ἐμοὶ δοκεῖν) ἄνθρωπος, οὐδὲ κάτω βλέπων, οὐδ' ὑποπεπτωκὼς τοῖς ἀκούουσιν· ἀλλὰ θεῶν τις διὰ τῆς Θεμιστοκλέους * γλώσσης ἐφθέγξατο. ὥστε ὁρῶν μὲν αὐτοὺς δακρύοντας, ἀκούων δὲ παίδων καὶ γυναικῶν ποτνιωμένων, ἔτι δὲ ὑπολειπομένων τινῶν ἀναγκαίως. παραπλησίου δὲ μάλιστα πως ὄντος, ὥσπερ ἂν εἰ ἑαλωκυίας τῆς πόλεως κατὰ κράτος· εἰκότως. τὸ μὲν γὰρ μέλλον ἦν ἅπασιν ἐν ἀφανεῖ. λεπτὴν καὶ ἄπιστον ἔχον τὴν ἐλπίδα· τὰ δὲ παρόντα, στέρησις πόλεως, καὶ κτημάτων καὶ διαίτης ἁπάσης τῆς προτέρας. καὶ παραλαβὼν αὐτοὺς ὥσπερ παῖδας, ἀξιομιζούσῃ τούτους ἐξῆγε τῇ ψυχῇ. καὶ τοῖς λογισμοῖς ἑστῶσιν, οὐ μόνον τοῖς ὀφθαλμοῖς. οὔκουν δεινὸν, ὦ γῆ καὶ θεοί! καὶ λόγων καὶ ἔργων ἡγεμόνες. ἐξάγομαι γὰρ εἰπεῖν, Σωκράτη μὲν καὶ τῆς φυγῆς ἐπαινεῖν, καὶ φάσκειν ἐκεῖνον ἀναχωρεῖν κάλλιον Λάχητος. Θεμιστοκλέα δὲ ὡς διώκων, οὐ φεύγων τοὺς πολεμίους τὴν ἀνδρείαν ἐπεδείκνυτο, καὶ οὗ τῆς ἀρετῆς ἀπήλαυσεν ἅπασα ἡ Ἑλλάς· ἃ τῆς δειλίας καὶ τῆς ἀνανδρίας ἐστὶν ὀνόματα, τούτοις καλοῦντα μὴ φροντίζειν· ὃς καὶ ὅτ' ἀπ' Εὐβοίας ἀνεχώρει νενικηκὼς, τοιαῦτα ἐν μέσῳ διεπράττετο, οἷα ἂν οὐδείς που τῶν ἐπειγομένων ὁποσοῦν ἀπελθεῖν. εἶτα λέγεις, ὡς οὐ πολλοῦ τινος ἡ σωτηρία ἄξιον. τί οὖν κωλύει καὶ τοῖς σωτῆρσι θεοῖς, οἳ καὶ καθ' ἕνα ἡμᾶς σώζουσι, καὶ τότε ἐκεῖνα κατεργάσασθαι τοῖς Ἕλλησι παρέσχον. ἀλλ' ἐγὼ μὲν ἐάσω τὸ βλάσφημον· ὑπονοεῖν δέ ἐστι τό γε ἐκ τοῦ λόγου συμβαῖνον, ἢ πω σφόδρα ἄν τι δόξειε λέγειν.

* ταύτην.

* f. ἐκ M. M

σχόλιον. [ἀντὶ τοῦ οὐδαμῶς μὲν παραλαμβάνεται τὸ ἧττον· ἐνταῦθα δὲ ὁ Ἀριστείδης ἀντὶ τοῦ πολλῷ πλεῖον ἔλαβεν. εἰρωνικῶς δὲ τὸ πολλῷ πλεῖον εἶπεν· οἷον οὐδόλως. καὶ πολλάκις οὕτω τῷ ἧττον ἀντὶ τοῦ πολλῷ πλεῖον χρῆται· μᾶλλον δὲ σχεδὸν ἀεί.]

καὶ μὴν οὐχ ὅμοιον ἐν μέσῃ τῇ θαλάσσῃ περὶ τῶν ἐν τῷ πλοίῳ λέγειν, καὶ τὴν εὐψυχίαν τὴν αὐτοῦ δεικνύναι, καὶ καθήμενον ἔξω τῆς ζάλης ὑπὸ τῷ τειχίῳ· ἃ Πλάτων παντὸς μᾶλλον καλῶς εἰδὼς, ἑκὼν ὑπερβαίνει, καὶ κατηγορεῖ Θεμιστοκλέους ἐμβιβάσαντος Ἀθηναίους εἰς τὰς τριήρεις.

σχόλιον. παροιμία: τάττεται δὲ ἐπὶ τῶν ἄλλα ἀντ' ἄλλων ποιούντων ἢ ἐωμένων. παρῆκται δὲ ἀπὸ τοῦ Πριάμου καὶ τῆς Ἑλένης ἐκ τοῦ τείχους θεωρούντων τοὺς Ἕλληνας, περὶ αὐτῶν διαλέγεσθαι.]

ἐγὼ δ', εἰ μὲν ἦν ἑτέρῳ τρόπῳ νικῆσαι, ἢ μὴ σωθῆναι τὸ πρῶτον· τάχα ἄν τι τοιοῦτον ᾤμην τοὺς λόγους εἶναι. ὅτι δ' ἦν αἵρεσις, ἢ ναυμαχοῦντας κρατεῖν, ἢ κατὰ γῆν ἀπολωλέναι· πῶς ἦν ἴσον; ἢ τίς ἡ θαυμαστὴ φιλοσοφία, τεθνάναι μάτην, ἐξὸν μετὰ τῆς μεγίστης εὐδοξίας σωθῆναι; ἀρχὴν δ' ἔγωγε οὐκ ἐπινοῶ, τοῦ διαφέρει, κατὰ γῆν μὲν νικῆσαι, καλὸν εἶναι· ἐν θαλάττῃ δ' αἰσχρόν; ἢ τὴν μὲν κρανίαν καὶ τὴν βύρσαν πολλοῦ τινος ἀξίαν εἶναι· τὰ δὲ νήια καὶ τὰς κωπέας τοῦ μηδενός.

σχόλιον. [Λείπει τὸ δεῖ νομίζειν. κρανίαν, τὴν περικεφαλαίαν λέγει· βύρσαν δὲ, τὸ ὅπλον, παρὰ τὸ ἔχειν βύρσαν περὶ αὐτό· νήια δὲ, τὰ σχοινία· κωπέας δὲ, τὰ ξύλα τὰ πρὸς κώπας ἐπιτήδεια.]

εἰ δ' ἅπασα μὲν ἡ γῆ κατείληπτο, ἐπέρρει δὲ ὥσπερ θαλάττης ἐπίκλυσις ὁ στρατός, πάντα δὲ ἀφανῆ ἀνηρπάζετο· ἀναβλέπειν δὲ οὐκ ἦν, ἀλλ' ἐν τοῖς στενοῖς οὐ τῆς Πελοποννήσου μόνον, ἀλλὰ καὶ τῶν ἐλπίδων ἐκάθηντο· ἀπέκειτο δὲ μήτε γῆς μήτε θαλάττης εἶναι μηδαμοῦ: τί ταῦτα τοὺς Ἀχαιοὺς ἀπὸ τοῦ πύργου κρινόμεθα.

(παροιμία· ὥσπερ, ὁ Πρίαμος ἐκ τῶν τειχῶν καὶ Ἑλένη.)

μόνος δέ μοι δοκεῖ πάντων ἀνθρώπων ἢ κομιδῇ γε ἐν ὀλίγοις δεῖξαι Θεμιστοκλῆς ἀληθῆ τὸν λόγον ὄντα, ὃν πάλαι μὲν Ἀλκαῖος ὁ ποιητὴς εἶπεν, ὕστερον δὲ οἱ πολλοὶ παραλαβόντες ἐχρήσαντο· ὡς ἄρα οὐ λίθοι, οὐδὲ ξύλα, οὐδὲ τέχνη τεκτόνων αἱ πόλεις εἶεν, ἀλλ' ὅπου ποτ' ἂν ὦσιν ἄνδρες αὑτοὺς σῴζειν εἰδότες, ἐνταῦθα τείχη καὶ πόλεις. εἰ μὲν * οὖν αὐτὸς γνώμῃ μόνον περὶ τούτων ἐχρήσατο Θεμιστοκλῆς, ἐκείνου τις ἂν εἶπεν αὐτὸν τὴν κατηγορίαν πεποιῆσθαι; ἐπεὶ δὲ καὶ θεὸς ταῦτα ἀνελὼν φαίνεται· ἐγὼ μὲν ὀκνῶ λέγειν, πᾶς δ' ἄν τις συνίη τὸ λοιπόν. ὁ δ' οὖν Θεμιστοκλῆς λαμπρῶς ἀποφεύγει τὴν αἰτίαν. τοῦτο γὰρ * ἔν μοι τῆς ἀπορίας διαλύσαντες, ἕως ἐχέτωσαν τιμὰς τὰς αὐτὰς τῷ Ἀπόλλωνι, σταθέντοσαν παρὰ τὸν τρίποδα τὸν ἐν Δελφοῖς, ὃν οἱ Ἕλληνες ἔστησαν ἐκ τοῦ τοὺς βαρβάρους καταπλήξαι, καὶ τὰ ἐκείνων λαβεῖν ἀπὸ τῶν βαρβάρων, ἀνέστησαν. ὁ μὲν τοίνυν θεὸς θείαν προσεῖπεν τὴν Σαλαμῖνα, ὡς ἐν αὐτῇ μελλόντων ἔργων ἔσεσθαι κρειττόνων, ἢ κατὰ (πάντα) τἀνθρώπινα. Πλάτων δὲ τὸν ταῦτα κατεργασάμενον, καὶ τὸν κομίσαντα αὐτοὺς εἰς τὴν Σαλαμῖνα, λυμήνασθαί φησι τοῖς πράγμασι, καὶ τῶν πρὸς ἡδονὴν ὑπηρετούντων οὐδὲν γενέσθαι βελτίω. καὶ γάρ τοι μετὰ τὴν ναυμαχίαν, συλλεγέντων εἰς τὸν Ἰσθμὸν ἁπάντων, καὶ φερόντων τὴν ψῆφον ἀπὸ τοῦ βωμοῦ τοῦ Ποσειδῶνος περὶ τῶν ἀριστείων,

* ἧττον pro οὐδαμῶς capitur, hic autem Aristides pro πολλῷ πλεῖον accepit. Ironicè vero dixit πολλῷ πλεῖον, velut non prorsus. & sic sæpe ἧττον pro πολλῷ πλεῖον vtitur, quin ferè semper. ARISTIDES. SCHOLION.

Iam aliud est in mari medio de re nautica differere, suámque ostendere fortitudinem, aliud extra tempestatem * ad parietem sedentem. Quæ cùm Plato probè sciat, sponte negligit, & Themistoclem accusat, qui Athenienses in triremes compulerit.

SCHOLION. [* Prouerbium. Dicitur in eos qui aliud pro alio faciunt aut permittunt. ortum à Priamo & Helena, qui è muris Græcos de se differentes videbant.]

Ego verò, siquidem vincere quis posset, vt non se seruaret prius, aliquid à te dici putarem; cùm autem vel nauali prœlio vincendum, vel terrestri pereundum fuerit, quæ hæc fuisset philosophia, cùm liceat magnificentissimè seruari, temerè mori? Ac prorsus equidem non intelligo, cur terrestris victoria pulchra sit, turpis marina, vel cassis atque corium magni sint pretij rudentes ac remi nullius.

SCHOLION. [Deest δεῖ νομίζειν. κρανίαν; pro galea dicit, βύρσαν vero pro armis, quod corio tegerentur: νήια funes. κωπέας verò, ligna necessaria ad remos.]

Sin tota erat occupata terra, exercitus instar maris inundabat, omnia diripiebantur, nec vel respicere licebat. Verùm in angustia non Peloponesi modo; sed etiam spei sedebant, nec vsque vel terrarum vel maris futuri credebantur, cur ita de Achiuis ex turre iudicamus.

SCHOLION. [Prouerbium. Vt Priamus & Helena ex muris.]

Solus porrò vel inter paucos admodum videtur hoc dictum Themistocles comprobasse, quod cùm Alcæus poëta protulisset olim, multi postea vsurparunt: *Non lapides, non ligna, nec fabrorum artem ciuitates efficere: sed vbi viri sunt, qui se ipsos seruare norint, ibidem & vrbes esse & mœnia.* Alcæus poëta Lyricus. Ita si suo duntaxat consilio his in rebus vsus esset Themistocles, cur quis diceret ab illo fuisse accusatum? Cùm autem Deus quoque idem iusserit, quid consequatur, vt equidem vereor dicere: ita quiuis facile intelligit. Themistocles certè prorsus absoluitur.

Hunc enim si soluerint nodum, donec tribuant honores Apollini, iuxta Delphicum tripodem, quem de Barbaris dedicarunt Græci, STANTO.

Ac Deus quidem diuinam vocauit Salaminem, quippe ad quam maiora quàm pro viribus humanis erant facta peragenda. Plato autem horum auctorem, quique Salaminem illos deduxit, Græcis nocuisse dicit, nec iis, qui voluptati plebis subseruirent, meliorem prorsus exstitisse. Quare cùm post nauale prælium essent omnes in Isthmum collecti, & ex ara Neptuni de principatu sententiam ferrent,

ARISTIDES.

quamuis in ea liceat aliquã ingrati animi turpitudinem Græcorũ accusare, possumus tamen de cætero gratum animũ laudare, ac pro Themistocle suscipere. Cùm enim seipsum quisque primo posuisset loco, secundùm omnes pronũtiarũt Themistoclem. Ergo de principatu sententia ex eo quod est omnibus in natura situm, vt neminem quis magis quàm se diligat, præueniebat: ideoque nec momentum habebat vllum, nec erat venia indigna: Verùm quã de secundis ferebant partibus, ea veritatis erat illustre testimonium, nec eos aliter censere posse ostendebat. Quapropter si prædictum fuisset initio, ne quis sibi palmam tribueret, omnes erant Themistoclem pronuntiaturi, quem quidem omnibus aliis præferebant singuli: nec aliter primus, ac tum secundus fuisset. Similiter & nunc, postquam eum secundo posuerunt loco, perinde fecerunt, ac si primo posuissent. Verũtamen ne sic quidem inferiores tulit potius, quàm vtroque vicit. Nam prima quidem erat à veritate, & à seipso consecutus: quando quidem idem quod alij, solus iustè fecerat: secunda verò iam ei concessa fuerant sic vt omni ratione primus esset. Et quoniam posteriores quoque clades eius recensere possem, ac quomodo totum negotium fuerit confectum, qualemque in his iste se præbuerit, declarare: vellem equidem eam nobis ab oratione afferri necessitatem, vt etiam de his esset dicendum. nam ea nec leuiora, ni fallor, vel minora forent iis, quæ iam relata sunt. Verùm quoniam & argumentum superant, & nimium crescit oratio, omittam ea, & hoc tantum hac etiam de re addam, eum postquam contra Græciam fuit militandum, mori maluisse, qua quidem re cum crimen omne dissoluit, tum ostendit manifestè, quanti priores gestas res & reipublicæ administrationem faceret, nec vnquam se scientem quidquam virtute & officio prius habiturum, non diuitias, non liberos, non spem, non ipsam salutem. Atque existimo equidem & sacerdotes, & quisquis alius Athenis preces faciebat, meritò tum quidem publicè quotannis hoc fuisse inter alia oraturos, vt aliquis apud ipsos Themistocli similis nasceretur. & inter cæterum prouentum hoc etiam bonum terra produceret. Nec enim minorem videntur mihi fructum fuisse percepturi, quàm si omnia cum centesimo, vel etiam maiore fœnore regio protulisset. Ac puderet me propemodum, cùm tot ac talia dixerim, testes insuper adhibere, nisi vnius esset aliquod momentum testimonij, quod proferendum censeo. Videamus ergo quid Æschines Socratis sodalis, Platonis autem condiscipulus dixerit: *Quoniam igitur Themistoclis ausus es vitam carpere, vide qualem adoriaris virum. Itaque cogita vnde sol oriatur, atque vbi occidat. Non est, inquit, hoc difficile, Socrates, cognoscere.* Pòstque plurimas laudes hanc quoque adiungit.

Themistocles bello cadit.

Æschines Socraticus.

[*Tantum hic illi prudentia præstabat.*] *Quare cùm aliquando esset ex vrbe expulsus, gratias ei ceu conseruatori suo retulit, & cùm alia multa dona, tum Magnesiæ totius imperium dedit.*

Themistocles exulantis.

ἔξεστι μὲν τί καὶ ἀγνωμοσύνην ἐνταῦθα κατηγορῆσαι τῶν Ἑλλήνων, ἔξεστι δὲ τὸ λοιπὸν τῆς εὐγνωμοσύνης ἐπαινέσαι, καὶ λαβεῖν ὑπὲρ Θεμιστοκλέους. ἕκαστος γὰρ ἑαυτὸν πρῶτον φέρων, δεύτερον συνεξέπιπτον ἅπαντες φέροντες Θεμιστοκλέα. ἡ μὲν οὖν τοῦ πρωτείου ψῆφος, οἶμαι, τοῦ πᾶσι φύσει συμβεβηκότος ἀνθρώποις ἦν· τοῦτο δέ ἐστι, μηδένα ἑαυτοῦ μᾶλλον φιλεῖν. ὥστε οὔτι ἰσχυρὸν εἶχεν οὐδὲν, οὔτε συγγνώμης ἀπήλλακτο. ἡ δὲ ὑπὲρ τῶν δευτέρων, σαφὲς ἤδη σύμβολον ἦν τῆς ἀληθείας, καὶ ὅτι οὐκ εἶχον ἑτέρως θέσθαι. ὥστε εἰ προείρητο ἐξ ἀρχῆς μηδένα ἑαυτὸν φέρειν, ἀλλ' ἕτερον· Θεμιστοκλέα πάντες οἴσειν ἔμελλον, ὅν γε καὶ παντὸς ἄλλου πᾶς τις προὔκρινεν αὑτῶν· καὶ ὁμοίως αὖ πρῶτος ἐγίγνετο, ὥσπερ τότε δεύτερος. οὕτω καὶ νῦν δεύτερον εἶναι ψηφισάμενοι, προεχόμενον ἐποίουν, ὥσπερ ἂν εἰ πρῶτον ἐψηφίσαντο. οὐ μὴν οὐδ' οὕτως ἔλαττον ἔχων ἀπῆλθεν, ἀλλ' ἀμφοτέροις ἐνίκησε. τὰ μὲν γὰρ πρῶτα, καὶ παρὰ τῆς ἀληθείας, καὶ παρ' αὑτοῦ λαβὼν, εἶχε. τὸ γὰρ αὐτὸ τοῖς ἄλλοις ἐποίησε μόνος τῶν ἄλλων δικαίως: τὰ δὲ δεύτερα ἤδη συνεχώρητο, ὥστε ἐξ ἁπάντων πρῶτος ἦν. ἔχων δὲ λέγειν [πολλὰ] καὶ περὶ τῶν ὕστερον αὐτοῦ συμφορῶν, καὶ ὅπως ἂν ἅπαν τὸ πρᾶγμα συνεσκευάσθη, καὶ ὁποῖόν τινα κἀν τούτοις παρέχει ἑαυτόν: ἐβουλόμην ἂν ἐν τούτῳ χρείας εἶναι τὸν λόγον, ὥστε καὶ περὶ τούτων ἐπείγειν εἶναι, διελθεῖν. οἶμαι γὰρ * οὐδὲ φαυλότερα οὐδ' ἐλάττω τῶν εἰρημένων ἤδη εἰπεῖν ἂν περὶ αὐτοῦ. ἐπεὶ δὲ ἅμα τι ἔξω τῆς ὑποθέσεώς ἐστι, καὶ μῆκος ἐπεισέρχεται τοῖς λόγοις· παραλείψω ταῦτα, τοσοῦτον ἐπιφθεγξάμενος καὶ περὶ τούτου τοῦ μέρους· ὅτι ἐπειδὴ ἔδει στρατεύειν ἐπὶ τὴν Ἑλλάδα, προὔκρινε τελευτᾶν· ἔργῳ μὲν * λύσας πάσας αἰτίας, δείξας δὲ ὁπόσου τιμᾶται τὰς πρότερον πράξεις, καὶ τὰ πολιτεύματα· καὶ ὅτι οὐδέποτε ἑκὼν εἶναι τοῦ καλοῦ καὶ τοῦ προσήκοντος οὐδὲν πρότερον ποιήσεται, οὐ πλοῦτον, οὐ παῖδας, οὐκ ἐλπίδας, οὐ τὴν σωτηρίαν αὑτοῦ. ἐγὼ μὲν οἶμαι καὶ ἱερέας, καὶ ἱερείας, καὶ ὅστις ἄλλος Ἀθήνησιν εὔχεται, δημοσίᾳ τοῦτ' ἂν εἰκότως καθ' ἕκαστον ἔτος πρὸς ἅπασι τοῖς ἄλλοις προσεύχεσθαι. κατὰ γοῦν ἐκείνους τοὺς χρόνους, καὶ ἕως ἐξῆν, φῦναί τινα αὐτοῖς ἄνδρα ὅμοιον Θεμιστοκλεῖ, καὶ κατὰ τὴν ἄλλην φορὰν, καὶ τοῦτ' ἐνεγκεῖν τὴν γῆν τἀγαθόν. οὔκουν ἐλάττω γ' ἂν ὄνασθαί μοι δοκοῦσιν, ἢ εἰ πάντα εἰς ἑκατὸν καὶ ἔτι πλείω τῆς χώρας αὐτοῖς ἐξενεγκούσης. ἄλλως μὲν τοίνυν ᾐσχυνόμην ἔγωγε ἐπὶ τοσούτοις, καὶ τοιούτοις, τοῖς εἰρημένοις μάρτυσι προσχρώμενος. ἔστι δέ τι πάρεργον μιᾶς μαρτυρίας, ἣν δεῖ παραθέσθαι. σκεψώμεθα * δὲ ποῖα ἄττα λέγει περὶ Θεμιστοκλέους ἡμῖν Αἰσχίνης ὁ Σωκράτους μὲν ἑταῖρος, Πλάτωνος δὲ συμφοιτητής. ἐπειδὴ τοίνυν τοῦ Θεμιστοκλέους βίου ἐπιλαμβάνεσθαι ἐτόλμησας, σκέψαι οἵῳ ἀνδρὶ ἐπιτιμᾶν * ἠξίωσας· ἐνθυμήθητι γὰρ ὁπόθεν ὁ ἥλιος ἀνίσχει, καὶ ὅπου δύεται. ἀλλ' οὐδὲν, ἔφη, χαλεπὸν, ὦ Σώκρατες, τὰ τοιαῦτα εἰδέναι, καὶ μετὰ πολλὰ ἄλλα ἐγκώμια, ἐπάγει καὶ ταῦτα [τοσοῦτον αὐτοῦ ἐκεῖνος τοῦ φρονεῖν περιεγένετο.] τοιγάρ τοι φυγάδι ποτὲ αὐτοῦ τῆς πόλεως γενομένῳ, ὡς σεσωσμένος ὑπ' αὐτοῦ χάριν ἀπέδωκε· καὶ ἄλλα τε δῶρα πολλὰ ἐδωρήσατο, καὶ μαγνησίας ὅλης ἀρχὴν ἔδωκε.

* al. οὐδέ.

* ἁπάσας δὲ ... αἰτίας.

* al. ἐδ.

* ἐτόλμησας.

ὥστε

ὥστε καὶ φθέγγοιτο αὐτὸ τὰ πράγματα μείζω ἦν, ἢ πολλῶν Ἀθηναίων, καὶ καλῶν καὶ ἀγαθῶν εἶναι δοκούντων, οἴκοι μενόντων. τίς ἂν οὖν ἐν ἐκείνῳ τῷ χρόνῳ δικαίως ἂν αἰτίαν ἔχοι μεγίστην δύνασθαι ἄλλος ἢ Θεμιστοκλῆς, ὃς τὸν ἀφ᾽ ἡλίου ἀνίσχοντος μέχρις ἡλίου δυομένου βασιλεύοντα, στρατηγήσας τῶν Ἑλλήνων, κατεστρέψατο. ἐνθυμοῦ δὴ, ἔφην ἐγὼ, ὦ Ἀλκιβιάδη, ὅτι ἐκείνῳ, τοιούτῳ ὄντι, οὐχ ἱκανὴ ἡ ἐπιστήμη, * τοσαύτη οὖσα, ἐγένετο, ὥστε φυλάξασθαι μὴ ἐκπεσεῖν, μηδὲ ἀτιμωθῆναι ὑπὸ τῆς πόλεως, ἀλλ᾽ ἐνεδέησε. καὶ μὴν ἐξίσου μὲν ἔγωγε οὐδέ ποτ᾽ ἂν θείην Αἰσχίνην Πλάτωνι, μή ποτε οὕτω φιλονεικήσαιμι· ἀλλ᾽ ἀφείσθω τοῖς * τόποις τῶν σοφιστῶν ἡ κρίσις αὕτη. φημὶ δὲ ὅσῳ μείζων καὶ τελεώτερος Πλάτων εἰς λόγους, τοσούτῳ μᾶλλον ὑπέρ γε Θεμιστοκλέους ἐκεῖνα προσήκει δέχεσθαι. τὰ μὲν γὰρ ἃ ἤκουσεν, εἰκὸς λέγειν, ἢ ὅτι ἐγγυτάτω ἐκείνων. ὁ δὲ τῆς φύσεως οἶμαι κέχρηται τῇ ἐξουσίᾳ. ὥσπερ καὶ ἄλλα δή που μυρία διεξέρχεται ἐπὶ τῷ Σωκράτους ὀνόματι, περὶ ὧν ὁμολογεῖται μηδὲν ἐκεῖνον πραγματεύσασθαι. δίκαια μὲν οἶμαι ποιῶν κατ᾽ αὐτό γε τοῦτο, καὶ ἀνδρὸς ἀρίστου τὸ τὸν διδάσκαλον ἀξιοῦν κοσμεῖν, πλήν γε ὅτι καὶ τὸ μηδ᾽ ἄλλους τῶν οὐκ ἀξίων καταισχύνειν ἐθέλειν, προσεῖναι προσήκει.

*τοσαύτη. *al. ἀτόποις.

Ἐκ τῆς κοινῆς ἀπολογίας.

Τὸ Προοίμιον.

Ἃ μὲν τοίνυν περὶ τῶν ἀνδρῶν εἰπεῖν εἰκὸς ἦν, μήτε τῶν ἀναγκαίων εἰρῆσθαι μηδὲν παριέντας, μήτε πάντα ἐφεξῆς οἰομένους δεῖν λέγειν, ὡς ἂν μή που δοκοίημεν ἀπειροκάλως ἔχειν· ταῦτά ἐστιν. ἰσχυρίζονται δ᾽ οἷς προσέπταισαν πρὸς τὸ δημόσιον, ὥσπερ εἴ τινες χείρους ἐγένοντο περὶ αὐτῶν· αὐτοὺς χείρους ἡγεῖσθαι προσῆκον, ἢ τῷ καὶ ἄλλους τινὰς εἰς αὐτοὺς ἐξαμαρτεῖν, οὐδ᾽ ἡμᾶς τοῦ προπηλακίζειν ἀπέχεσθαι δέον. ἀλλὰ μὴν ὅπου γε καὶ τοῖς ἁμαρτάνουσιν αὐτοῖς εἰκὸς εἶναι συγγνώμην, ἦ που τοῖς γε ἄγουσιν αὐτοὺς πρὸς τὸ * βέλτιστον, καὶ οἷς ὅθ᾽ ἡμάρτανον οὐκ ἐπείθοντο· δεινὸν εἰ μὴ θήσομεν. Πλάτων τοίνυν ὡς μὲν ἐκείνοις χρώμενοι κατώρθουν, * οὐδὲν ἐᾷ σκοπεῖν· ἃ δὲ εἰς αὐτοὺς ἐκείνους ἐξήμαρτον, τοσοῦτον ἀπεῖχον τοῦ δοκοῦντά γε ἐκείνοις ποιεῖν, [ὡς] ταῦτα * κατηγορεῖν. καὶ ἃ μὲν τῆς παιδείας αὐτῶν ἀπέλαυσαν, ὑπερβαίνει· ἃ δὲ οὐχ ὧν ἐπαιδεύθησαν ἦν, ἀλλὰ τῆς ἀνθρωπείας φύσεως ἐμμεμενηκότα, ταῦτ᾽ ἐπ᾽ ἐκείνους ἄγει, τοὺς ὅπως μηδὲν ἁμαρτήσονται πᾶν ὅσον ἦν * ἐν αὐτοῖς πεποιηκότας. ὥσπερ ἂν εἴ τις τοὺς γραμματιστὰς, τοὺς παραδείξαντας τοῖς παισὶ τὰ γράμματα, καὶ δείξαντας γράφειν ἐκ τῶν δυνατῶν, αἰτίους εἶναι φάσκοι τῶν περὶ * ταῦτα ἁμαρτημάτων, εἴ τι μὴ καλῶς ὕστερον, μηδὲ ὡς χρὴ γράφοιεν * ἀφ᾽ ἑαυτῶν. εἰ δὲ μὴ πάντας ἐπαίδευσαν, μηδὲ ὡς οἷόν τε ἀκριβέστατα, μηδ᾽ ὡς μάλιστα ἠβουλήθησαν· τί τό γε ἐκπεφευγὸς τῆς ἐκείνων προστασίας αἴτιος πιθείη; οὐ γὰρ τῆς ἐκείνων ὁμιλίας τοῦτο ἀπώναντο· ἀλλ᾽ οὐκ ἀπώναντο ἐκείνων ἔτι [τι] τοῦτό γε. οὐκοῦν ἐξ ὧν προσεῖχον αὐτοῖς, ἐκ τούτων ἥμαρτον· ἀλλ᾽ ἐξ ὧν οὐ προσεῖχον, ἐπλημμέλησαν. * οὕτως ἄρα ἐπείθοντο σαφῶς ἄρ᾽ οἱ πείθοντες, ἔπειθον καλῶς. τὴν δὲ πολιτικὴν εἰ μὴ πάντας ἐπαίδευσαν Ἀθηναίους Θεμιστοκλῆς, καὶ Περικλῆς, καὶ Μιλτιάδης, καὶ Κίμων, μηδ᾽ ἅπαντας ἐφεξῆς βελτίους ἐποίησαν κατὰ φυλὰς καὶ κατ᾽ ἄνδρα ὥσπερ θεωρικὸν τὴν ἐπιστήμην διανέμοντες. εἶθ᾽ ὑπερζυγείς τι φήσομεν κατ᾽ αὐτῶν εὑρηκέναι, ὡς οὐδ᾽ αὐτοὶ βελτίους ἦσαν οὐδενὸς εἰς ταῦτα.

*βέλτιον. *al. ἐᾷ. *al. κατηγορεῖ. *ἐν αὐτοῖς. *αὐτά. *ἰδ. *al. οὕτως.

ARISTIDES.

sic vt exul esset meliore, quam Athenis ciues plerique, qui probe videbantur conditione. Quis igitur illo tempore potentissimus fuisse dicatur alius, quam Themistocles, qui regem ab ortu ad occasum Solis imperantem, Græcorum dux deuicerit. Hoc igitur, inquiebam, cogita, Alcibiade, illi, qui talis esset, scientiam talem non suffecisse, ne eiiceretur, & à suis ignominia notaretur. Atque vt Æschinem cum Platone nolim comparare, nec ea de re contendere, verùm hoc iudicium sophistis ineptis malim relinquere, ita quo maior est ac doctior Plato, hoc magis illa pro Themistocle credi aio debere. Nam hic quidem quæ audiuit, vel his certè proxima videtur tradere; ille autem ingenio vtitur suo, quemadmodum & alia multa sub nomine Socratis tractat, de quibus nihil eum fatetur disputasse. Ac rectè quidem & iustè facit, dum præceptorem studet ornare, nisi quod nec alios, qui non merebantur, insuper dedecorare velle debebat.

Æschines Socratis dicta scripsit.

Ex communi

Defensione.

Atque hæc quidem fere sunt, quæ de Viris erant dicenda, sic vt nec ea quæ dici oportebat, omitteremus, nec omnia singillatim putaremus esse referenda, ne cui ineptire videremur. Sed offensionibus populi nititur, quasi ipsi, quoniam nonnulli minus rectè de illis statuerint, peiores habendi sint, aut cum alij quidam in eos peccauerint, nec nos à conuitiis abstinere debeamus. Quinimo cùm etiam ipsis qui peccauerunt, merito venia tribuatur, mirū erit, si illis qui eos ad optima quæque duxerāt, & quibus, cum peccarent, nō obtemperauerāt, negabitur. Iam Plato nihil eorum, quæ ex illorum consilio rectè gesserunt, considerari permittit: quæ autem in illos ipsos peccauerant, in iis tantum ab illorum voluntate recesserunt, vt ea culpentur, & fructus quidem eos, quos ex illorum institutione perceperant, transilit, quæ autem non tam ex institutione prodierant, quā ex humana natura superfuerāt, hæc illis tribuit, qui, nequid hi peccarent, omnem lapidem mouerant: velut si quis litteratores, qui pueros litteras docent, & quantum possunt, scribere, in causa fuisse diceret, si quid minus rectè postea per se scriberent. Quod si non cunctos docuerunt, nec accuratissimè, neque vt volebant maximè, cur id quod effugit, ad ipsorum quis magistros referat: Nec enim hunc fructum ex illorum consuetudine perceperant potius, quam non iam id illis poterant acceptum ferre. Quocirca non quia illos attendebant, peccabant, sed quia non attendebant, vsque eo illa, quæ persuadebantur, rectè illis suadebant.

Ciuilem vero scientiam tibi Athenienses omnes docuerint, Themistocles, Pericles, Miltiades, & Cimon, atque cunctos ex ordine tributim ac viritim meliores reddiderant, scientia quasi Theatrali pecunia distributa, ne ipsos quidem ea in re excelluisse dicemus.

ARISTIDES. Nec illud Protagoræ tui tibi sufficit, si vulgus vel ex parte aliqua ad virtutem perduxerunt, verum nisi omnia quam rectissimè populus, & quasi vir vnus administrauit, id iam Præfectis imputas. Num ergo mirum erit, si nec illi, cum multa bona docuissent Athenienses, ac noxas multas impediuissent, semper eos cohibere potuerunt, neque morbos immortales curarunt, sed à populi natura, siue potius communi hominum sunt victi, nec iniquitatem prorsus è ciuitate potuerunt extirpare, quemadmodum cum agricolæ quotannis agri detrimenta exscindunt, nec per totum semen penetrant. Hoc modo si & illos, cum ciuitatem purgare vellent, necessarium iniustitiæ atque ingrati animi semen effugit, & remansit, nec ipsis obtemperarunt omnia, quin etiam per se populus nonnulla statueret, cur hæc improbitatem viris afferant, aut ipsis imputentur aliena? Quasi quis exorta seditione, & his meliori parti præpositis, tum aliorum in hos peccata his ipsis tribueret. Quomodo autem sit æquum, qui nec ea fecerint, & insuper prohibere voluerint. Quod si nec eos, quorum est fama læsa, iisdem putabit ansis vti debere: idque non ad maledicendum vicissim, sed vt se per alios absoluant, quomodo eum probabit, qui prior, nulla coactus necessitate maledixit, vt per quę illos peiores videri curabat, dextrū quid putare iusserit. *Prouerbia.* Enimuero nesciebas te his prouerbiis teneri, *ignē verberare, lapidē coquere, saxa seminare.* Quod enim illi ex admonitionibus tuis ac sermonibus lucrati sunt: quam rem vel diuinam vel humanam post eam diem, quo tibi aures præbuerat Dionysius, vel Dio, rectius administrarunt? Tanto nostros nos, ô Plato, quam tu tuos, meliores efficimus. Quod si horum indolem dices meliorem fuisse, hac quoque in re nostram declaras prudentiam, qui spem in his aliquam posuerimus, cum tu toto erraueris cælo, quando cum illis vtiliter te disputaturum credidisti. Deinde sicut ea in quibus alios vicerunt, indoli tribuis, sic etiam si quid tibi satis temere videntur egisse, hoc eidem indoli imputa, neque cum quæ nobis imperantibus gesserunt, ea nostro consilio detrahis, quæ per se in nos peccarunt, ea nostræ iniquitati ascribe. Vt enim illarum rerum nos quoque auctores fuimus, ita horum nequaquam.

Et Pollis iterum Platonem reducebat, ac Dionysium vel absentem reuerebatur, & eius mandata in animo conseruabat, te quem videbat & alloquebatur, nihili faciebat: sic vt admirabilis tua persuadendi vis imperio Dionysij cederet, & illi Pollis quamuis talia præceperat, operam suam nauabat, tibi nullam, etsi Spartanus erat, & in ea nutritus Rep. cui tu secundas vel primas potius tribuis, itaque frustra videbaris vrbem Spartanam tot illi laudibus exornasse.

καὶ οὐκ ἀγαπᾷς τὸ τοῦ Πρωταγόρου, εἰ καὶ * καθ' ὅσον οὖν προὐβίβασαν τοὺς πολλοὺς εἰς τὸ βέλτιον· ἀλλ' εἰ μὴ πάντα ὁ δῆμος ἀνεγκλήτως, καὶ ὥσπερ εἷς ἀνὴρ μετεχειρίσατο, τοῦτ' ἤδη κατὰ τῶν προστατῶν ἐστί σοι. τί οὖν θαυμαστόν, εἰ κἀκεῖνοι πολλὰ καὶ χρηστὰ συμβουλεύσαντες Ἀθηναίοις, καὶ πολλὰ τῶν δυσχερῶν κωλύσαντες, μὴ διὰ τέλους αὐτοὺς ἠδυνήθησαν κατασχεῖν, μηδ' ἀθάνατα ἰάσαντο· ἀλλ' ἡττήθησαν τῆς δήμου φύσεως, εἴτε καὶ τῆς κοινῆς ἀνθρώπων δεῖ λέγειν, καὶ μὴ ἠδυνήθησαν καθάπαξ ἐκ τῆς πόλεως ἐξελεῖν ἀδικίαν· ὥσπερ γεωργοὶ τὰ λυμαινόμενα τῇ χώρᾳ καθ' ἕκαστον ἐνιαυτὸν ἐκκόπτοντες, εἶτ' οὐκ ἐφικνούμενοι διὰ παντὸς τοῦ λυμαινομένου τῆς χώρας] σπέρματος· εἰ τοῦτον τὸν τρόπον κἀκείνους ἐθέλοντας * καθαίρειν τὴν πόλιν ἐξέφυγε, καὶ ἐνέμεινε σπέρμα ἀναγκαῖον ἀδικίας καὶ ἀγνωμοσύνης, καὶ οὐ * πάντη ὑπήκουσεν αὐτοῖς, ἀλλ' ἔστιν ἃ καὶ καθ' αὑτὸν ὁ δῆμος ἐβουλεύσατο, τίνα * τοῦτο τοῖς ἀνδράσιν ἔχει φαυλότητα; ἢ τί δεῖ τὰ * ἐκείνων ἑτέροις λογίζεσθαι; ὥσπερ ἂν εἰ καὶ στάσεως οὔσης ἐν τῇ πόλει, καὶ τούτων τῆς ἑτέρας ἡγουμένων τῆς τῶν ἐπιεικῶν, εἶτα τὰ τῶν ἑτέρων * ἁμαρτήματα, καὶ τῶν εἰς τούτους πλημμελούντων, αὐτοῖς τούτοις τις * προσετίθη. καὶ τίνα ἔχει φύσιν, οἳ μήτε ἔδρων ταῦτα, καὶ προσέτι κωλύειν ἠξίουν; ἀλλὰ μὴν εἴ γε μηδὲ κακῶς ἀκούσασι * καλῶς ἔχειν οἴσεταί τις, ταῖς [αὐταῖς] χρήσασθαι λαβαῖς, καὶ ταύταις μὴ ἐπὶ τῷ κακῶς ἀντειπεῖν, ἀλλ' ἐπὶ τῷ διὰ τῶν ἐκείνου τὰ ἑαυτῶν ἀπολύσασθαι· πῶς εἰρηκέναι γ' αὐτὸν πρότερον κακῶς, ἃ μηδεὶς ἐπηνάγκαζε, καὶ δι' ὧν χείρους φαίνεσθαι ἐκείνους ἀποφῆναι, δεξιόν τι νομίζειν κελεύσει: ἐλελήθεις ἄρα σαυτὸν ἁπάσαις ταῖς παροιμίαις ἐνεχόμενος, εἰς πῦρ ξαίνων, καὶ λίθον ἕψων, καὶ σπείρων τὰς πέτρας. τί γὰρ τῶν σῶν νουθετήσεων καὶ λόγων * ἀπήλαυσαν ἐκεῖνοι; τί τῶν θείων ἢ τῶν ἀνθρωπίνων ἄμεινον μετεχειρίσατο Διονύσιος ἢ Δίων, μετ' ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ σοι τὰ ὦτα ὑπέσχον; τοσοῦτον ἡμεῖς ἀμείνους τοὺς ἡμῖν χρωμένους, ὦ Πλάτων, ἀπεδείξαμεν, ἢ σὺ τοὺς σούς. εἰ δ' ἐρεῖς, ὅτι βελτίους οὗτοι τὴν φύσιν, καὶ ταύτῃ φρονιμωτέρους ἡμᾶς ἀποδεικνύεις, εἴ τινας ἐν τούτοις ἔχομεν ἐλπίδας· οὐχ ὥσπερ σὺ τοῦ παντὸς διήμαρτες, ἐκείνοις διαλέγεσθαι προὔργου τι δόξας εἶναι. ἔπειτα ὥσπερ ἐν οἷς βελτίους ἑτέρων γεγόνασι τὴν φύσιν αἰτιᾷ, οὕτως * εἴ τι καὶ προπετέστερον εἰργάσθαί σοι δοκοῦσι τῆς φύσεως, αὐτὸ θὲς τῆς αὐτῆς, καὶ μὴ λάμβανε ἐφ' ἡμᾶς· μηδ' ἃ μὲν ἡμῶν ἡγουμένων κατέπραξαν, ἀποστέρει τοὺς συμβουλεύσαντας, καὶ τοὺς συγκατεργασαμένους ἡμᾶς τῷ δοκεῖν τὰ βέλτιστα παραινέσαι. ἃ δὲ ἐπὶ σφῶν αὐτῶν ἐξήμαρτον εἰς ἡμᾶς, ταῦτα ὡς ἡμᾶς ἀδικοῦμεν, λέγε· ἐκείνων μὲν γὰρ καὶ ἡμεῖς αἴτιοι τὸ μέρος, τούτων δὲ οὐδὲ μικρόν.

Καὶ ὁ Πόλλις αὖ πάλιν παραλαβὼν Πλάτωνα, Διονύσιον μὲν καὶ * ἀπόντα ᾐσχύνετο, καὶ ὧν ἐπέσκηψεν ἐμέμνητο: * σὲ δὲ ὁρῶν, καὶ συνών, παρ' οὐδὲν ἐποιεῖτο. ἀλλ' [ἡ] ἡ θαυμαστή σου δύναμις καὶ πειθὼ κατὰ τοὺς λόγους ἡττᾶτο τῶν ἐντολῶν τοῦ Διονυσίου· καὶ Πόλλις ἐκείνῳ μὲν συνεβάλλετο, καὶ ταῦτα τοιαῦτα ἐπιτάξαντι, σοὶ δὲ οὐδέν. προσθῶμεν δέ, ὅτι καὶ Σπαρτιάτης ὤν, καὶ τεθραμμένος ἐν νόμοις καὶ πολιτείᾳ, δευτέρα τῶν πασῶν ἐχούσῃ παρά σοι κρίσιν. μᾶλλον δὲ τὰ πρῶτα τῶν οὐσῶν· καί σοι μάτην (ὡς ἔοικε) τὰ πολλὰ ἐκεῖνα εἰς τὴν τῶν Λακεδαιμονίων πόλιν ὕμνηται.

* al. καθ' ὅσα. * καθαίρειν. * πάντα. * al. ἑαυτά. * ἑτέρων ἑαυτοῖς. * ἁμαρτήματα. * προσετίθει. * al. καλῶς. * ἀπέλαυσαν. * ὅτι. * αὐτὸ δεῖ τοῦ ἑαυτοῦ. * al. ἀπιόντα. * al. σύ.

ὁ γοῦν

ARISTIDES.

ὁ γοῦν τῶν Λακεδαιμονίων ποτὲ ναύαρχος τοσοῦτον διήμαρτε τῆς σῆς ἀξίας, ὅσον οὐδ' ἂν εἷς περσῶν ἢ σκυθῶν, οἷς οὐκ ἦν συνεῖναι τῆς σῆς φωνῆς τὸ παράπαν. καίτοι γε εἰ μὲν ἠξίους αὐτὸν (τὸν ναύαρχον τῶν Πελοποννησίων Πόλλιν) ἀμείνω γενέσθαι Διονυσίου περὶ σέ, καὶ βουλεύσασθαί τι βέλτιον· ὁ δ' οὐ προσεῖχέ σοι τὸν νοῦν, ἀλλὰ μὴ τοῦ παρόντος ἦν, * καὶ τὰ αἴσχιστα ἐντεταλμένου· πῶς οὐχ ἥττω πάμπολυ τοῦ τυράννου; καὶ πῶς δίκαιος εἶ προσφέρειν, εἴ τινά τις πείθειν ἐπιχειρῶν ἀπέτυχεν; εἰ δὲ σὺ μὲν στέργειν ἠξίους τοῖς παροῦσιν· ὁ δ' οὐκ ᾐδεῖτό σου τὴν σιωπήν, οὐδ' ἁπάντων λόγων ἡγεῖτο ἱκανωτέρους εἶναι τοὺς προσήκοντας αὐτῷ λογισμοὺς περὶ σοῦ πραχθῆναι· πῶς τῶν εἰκότων ἐτύγχανες, ἢ πῶς τὰ πρέποντα ἀπέλαβες τῆς φύσεως τῆς σεαυτοῦ; νὴ Δί' ἀλλ' οὐδὲν σὺ χείρων, εἰ παρέπαισε Πόλλις καὶ Διονύσιος. οὐδέ γε ἡμεῖς, ὦ μακάριε, εἴ τις * περὶ ἡμᾶς Ἀθηναίων φαῦλος ἐγένετο. καὶ πωλοῦντος Πόλλιδος Ἑλλήνων μὲν οὐδεὶς ὠνεῖτό σε τὴν ἱερὰν κεφαλήν, οὕτω πάντες κατείχοντο ὑπὸ τῶν σῶν λόγων. Λίβυς δέ τις ἄνθρωπος Ἀννίκερις ὄνομα, ὃν οὐδ' ἠπίστατο ἀνθρώπων οὐδείς, εἰ μὴ ταῖς σαῖς συμφοραῖς ἀπεχρήσατο. νῦν δ' οὐ Πλάτωνα ἐπρίατο, ἀλλὰ δόξαν ἑαυτῷ καὶ τὸ γιγνώσκεσθαι. * μή τοι νομίσῃς, ἡμᾶς ἀγνοεῖν τοὺς σοὺς λόγους, ἢ μὴ συγχωρεῖν ἀληθὲς εἶναι, ὡς οὐ θέμις ἀνδρὶ βελτίονι ὑπὸ χείρονος οὔθ' ὑβρίζεσθαι οὔτε βλάπτεσθαι. σύνισμεν ταῦτα, καὶ μαρτυροῦμεν ὡς ἀληθῆ λέγεις. ὅμως δέ γε ὁ θαυμαστὸς ἐκεῖνος ἐραστής σου οὐδ' ὁ, ποιοῦ ὕβρεως καὶ ἀσελγείας ἀπέλιπε. καὶ σὺ μὲν * οὐδὲν ὑβρίσθης ἴσως· ὁ δὲ οἷς ἡγεῖτο ὑβρίζειν, πλείω ταῦτα ἔπραττεν, ἢ δι' ὧν ᾔδει τιμήσων· ἀλλ', ὦ πάντων θαυμάσιε Πλάτων, * μὴ δι' ἀμφοῖν ὤθει· καὶ ταῦτα οὐ διὰ τῶν φίλων ἑνὸς καὶ τῶν ἐχθρῶν, ἀλλὰ διὰ σαυτοῦ τε καὶ τούτων, οὓς μᾶλλον φίλους ἦν εἰκὸς ἡγεῖσθαι. εἰ δὲ μή· σκόπει, μὴ ὅτι ἐγκαλέσεις, ἀλλ' ὅτι ἀπολογήσῃ πρότερον. τοσαῦτά ἐστι καὶ τὰ σά. εἰ δ' αὐτὴν ἐφ' ἑαυτῆς δεῖ τὴν προαίρεσιν ἐξετάζειν· ἀναίτιον μὲν τὸ σὸν εἰκότως, ἀναίτιον δὲ ἐκ τῶν αὐτῶν καὶ τὸ ἡμέτερον. καὶ πρόσεστι (καὶ) τὸ κρατῆσαι τῶν πραγμάτων, καὶ τὸ μείζω ταῦτα εἶναι τῶν τε ὑπὸ σοῦ σπουδαζομένων, ὧν τε αὐτοὶ προσεκρούσαμεν. σὺ μὲν τοίνυν (τῷ Ἀγαμέμνονι ὀνειδίσαντι τὸ γένος ὅτι νόθον) ἐλέγχειν ἡμᾶς ἀξιοῖς, καὶ κατὰ σαυτοῦ λέγεις· ἡμεῖς δὲ ὑπὲρ * ἡμῶν αὐτῶν λέγοντες, καὶ τὸ σὸν θεραπεύομεν. μᾶλλον δὲ τῆς μὲν σῆς ἀπολογίας καὶ ἡμεῖς μετέχομεν, σοὶ δ' οὐχ ὅσον ἡμῖν ὑπάρχει. ὥστε εἰ μὲν ἡμῶν τις φείσεται, ἄδηλον εἰ καὶ σοῦ. εἰ δὲ σοῦ τις καταγνοίη, τάχα ἂν ἡμῖν γε συγγνοίη· εἰ δ' αὖ (γε) μηδ' ἡμῶν φείσεται, σχολῇ γε σοῦ. οὕτω τὸ νικᾶν ἡμᾶς ὑπὲρ σοῦ γίγνεται. πρὸς ταῦτα σκόπει μὴ τἀμόν, ἀλλὰ καὶ τὸ σόν, Τεῦκρος ἔφη τινί· καὶ μὴ βούλου πάντα ἀκριβῶς ἐξετάζειν, μηδὲ τριῶν ὄντων εἰς ἅ τις * ἂν βλέψειε, τῆς γνώμης, τῶν ἔργων, τῆς τύχης· ἀφεὶς τὰ δύο, τὸ τρίτον λαμβάνου· καὶ ταῦτα καὶ τούτου τὸ πλεῖστον μέρος μεθ' ἡμῶν ὄντος. εἰ γὰρ ἡμᾶς ἔδει ταῦτα προειδότας ἐξ ἀρχῆς ἐξεπίτηδες ὑπὲρ τῆς Ἑλλάδος ἡμᾶς αὐτοὺς ἐπιδοῦναι, * οὐκ ἂν ὠκνήσαμεν, οὐδ' ἡττήθημεν τοῦ Κόδρου τοσοῦτον· καὶ σύ γ' ἄν, οἶμαι, ταῦτα συνεβούλευσας.

* al. ταὐτὸ καὶ ἔχεται.
* al. περὶ
* al. μὴ τοίνυν.
* al. οὐδὲ.
* al. μηδ' ἀμφοῖν.
* ἀντὶ ἡ.
* al.

Quocirca Laconicæ quondam classis præfectus, tantum in dignitatem tuam peccauit, quantum nec Persarum quisquam, nec Scytharum, qui vocem tuam prorsus intelligere non poterant. Atqui siquidem volebas eum [nauarchum Peloponnesiorum Pollin] melius aliquid in te, quam Dionysium, consulere, nec ille te attendebat, verum absentis, & qui turpissima præceperat, totus erat, multum à tyranno vincebaris, nec iure cuiquam potes obiicere, si quid minus alicui persuadere potuis: sin tu quidem fortunam præsentem æquo ferebas animo, ille vero silentium tuum non reuerebatur, nec sermone quouis potentius ad conueniens consilium de te capiendum iudicabat, quomodo ius tuum consequebaris, aut ingenij tui, quem meritus eras, fructum capiebas? At non ideo tu peior, si Pollis ac Dionysius delirarunt: neque nos, bone vir, si quis erga nos, Atheniensis improbus exstitit. Et, vendente Pollide, Græcorum quidem nullus te sacrum caput redemit (vsque eo cuncti tua tenebantur eloquentia) verum Afer quidam, Anniceris nomine, quem nemo, nisi tua calamitate fuisset abusus. Nunc vero non Platonem, sed famam & celebritatem sibi comparauit. Ne forte putes nos rationes tuas ignorare, aut falsas credere, cum negas virum meliorem à peiore posse iniuria affici vel lædi. Quæ cum sciamus, & verè dici testemur, ille tamen magnus amator tuus, nihil petulantiæ nec contumeliæ reliquum fecit, & quamuis tu nullam patereris iniuriam, ille nihilominus ea potius quibus iniuriam, quam in quibus honorem tibi deferre se putaret, faciebat. Quo circa noli, admirande Plato, vtrumque transfigere, idque alterum amicum, hostem alterum? verum teipsum & hospete, quos potius debebas pro amicis habere. Alioqui nō tam quid accuses, quam quid prius excuses vidēdum tibi fuerit, siquidem tua quoque tanta sunt. Sin ipsum per se cōsiderādum est consilium, nec tuum culpari iure potest, nec etiam eadem de causa nostrum, quo accedit vt voti compotes facti simus, & hæc tum tuis studiis, tum nostris offensis sint maiora. Quare cum tu nos [vt alter Agamemnon exprobrans genus tanquam spurium] redarguere studes, teipsum quoque refellis: nos, dum nobis suppetias ferimus, tuā quoque rem agimus. Quinimo tua defensio nobis quoque conuenit, verum tibi non tot, quot nobis sunt adiumenta. Itaque vt nobis quis parcat, incertum sit an & tibi; sin te condemnet, nobis fortasse veniam dabit. Quod si nec nobis parcat; nihil erit ibi sperandum: vsque eo victoria nostra cedit in tuum commodum

Quapropter etiam tua require, non mea.

Inquit ad * quendam Teucer, nec omnia conare studiose scrutari; neque cum tria sint consideranda, animus, facta, fortunæ, duobus omissis, atripe tertium, cuius item pars maxima nobiscum facit. Etenim si his initio relictis, pro Græcia nos deuouere debuissemus, non eramus recusaturi, neque Codro tantum cessuri: atque ad id tu, credo, adhortatus esses,

* Quendam Agamemnonem Αἴας [illegible]

ARISTIDES.

LECTÆ sunt eiusdem orationes communi defensione similem tractantes quæstionem.

CCXLVIII.

Ex Aristidis Platonica pro Quatuorviris.

De Pericle.

PROOEMIVM.

SÆPIVS iisdem de rebus veniam petere non existimo necesse, præsertim cum non tam ad viros vllos dicturi simus, quam pro viris optimis, nec paucis, neq; Platone iunioribus potiùs quàm antiquioribus, si quis hoc quoq; fortè reuerentia dignum cêseat. Quapropter cùm id, quo tendebat oratio, concessum esset, quid potuerat nocere, si viros intactos reliquisset? At nunc quasi parturiret, vndique communita ad ipsos via, sic insidiosè sermonem aggreditur. Neque vero paruum est discrimen. Nam illud quidem erat pro veritate ipsa decertare, hoc autem non ego quidem vnquam, sed alius quis per calumniam non procul à malignitate abesse dixerit. Pericles igitur tam seuerè vixit, quippe qui ne ridere quidem sit vnquam visus. Quinimo quod ad reipub. curam & æqualitatis amorê pertinebat, nemini cedebat animi magnitudine, quod non eadem quæ vulgus spectaret, paucos habebat similes. Quod autem Socrati inter sophistas, hoc illi inter oratores à natura præcipuè datum fuit, vt elatum populum ac superbientem facillimè comprimeret: desperantem rursus, & abiectum dicendo reuocaret, ac spe repleret, quemadmodum ille cum adolescentibus agere solebat. Denique vrbis dignitas erat Pericles, vt qui nec multitudinis cupiditatibus obtemperaret, sed ipse populo imperaret, nec quod illis videbatur, diceret, sed quod sibi videretur, id illos facere cogeret, nec adulatoris fungeretur officio, sed omnem adulatoribus, quâtum in se erat, intercluderet aditum: cùm, quatenus probus erat & æquus, patris vicem populo præstaret, quatenus autem omnes coërcebat, & in sua potestate habebat omnia, plusquam tyrannus esset. Vnde licet euidenter perspicere, Periclem, si quem alium, sponte iustum fuisse. Nec enim vsquam iniquitati potius quàm iustitiæ studuit, nec vt maiorem obtineret locû, curauit, cùm id quouis Pisistrato facilius posset: verùm quasi arcem ad leges seruandas & omnes communiter iuuandos occupasset, ita se gerebat.

Pericles nunquam ridere visus.

Pisistratus tyrannus.

SCHOLION.

sic fortè: Quod in medio iacet, æquale est, si dicas omnes, velut in orbem fertur, vel quia arx media iacet in vrbe.

At postquam ille mortuus est, iam & Siciliam somniabant, & Italiam affectabât, & Carthaginem atq; Africam appetebant, atque omnia circumspiciebant, nec ipsis quidquam sufficiebat, & longiorê belli fecerunt appendicê. Hæc autem, ô Plato, & Socrates, suadebat vester nô socius, sed sodalis, vt tu dixeris an potius dixisti. Quocirca quis ea vel iustè Pericli, vel non necessariò tribuat Alcibiadi? qui ciuitatem,

Alcibiades.*

Excerpta ex oratione Aristidis Platonica pro Quatuorviris.

ΑΝΕΓΝΩΣΘΗ τοῦ αὐτοῦ ὑπὲρ τῆς κοινῆς ἀπολογίας, τὸ ὅμοιον διὰ τῆς ἐκλογῆς προβλήματος τρόπον [ὑπὲρ Περικλέους.]

Ἐκ τοῦ Ἀριστείδου πρὸς Πλάτωνα ὑπὲρ τῶν τεσσάρων.

Τὸ Προοίμιον.

* Scal. παραιτήσασθαι.
* Schol. περὶ οὐ.
* Π. ἑτέρα ἀντιλέγειν.

ΠΑραιτεῖσθαι μὲν οὐκ οἶδ᾽ ὅτι δεῖ * περὶ τῶν αὐτῶν πολλάκις, ἄλλως τε καὶ οὐ πρὸς ἄνδρας μέλλοντας ἐρεῖν μᾶλλον, ἢ ὑπὲρ ἀνδρῶν καλῶν καὶ ἀγαθῶν, καὶ τούτων οὐκ ὀλίγων, οὐδὲ ἧττον παλαιῶν ἢ Πλάτων, ὅτι μὴ καὶ πρεσβυτέρων ἐκείνου. εἴ τῳ καὶ τοῦτο αἰδοῦς ἄξιον εἶναι δοκεῖ. ὥστε ὅταν ὡμολόγητο καὶ συγκεχώρητο, ὑπὲρ οὗ πᾶς ἔσπευσεν ὁ λόγος, καὶ πρὸς ὃ πάντα ταῦτ᾽ εἶχε τὴν ἀναφοράν, τίς ἦν ζημία τῶν ἀνδρῶν μὴ προσκαθάπτεσθαι. νῦν δ᾽ ὥσπερ ὠδίνων, καὶ περιβαλλόμενος κύκλῳ τὴν ἐπ᾽ ἐκείνους ὁδόν, οὕτως ἐπιβούλως ἐλθὼν ἐπὶ τοὺς [κατ᾽ ἐκείνων] τοὺς λόγους φαίνεται. καὶ μὴν τὸ μὲν διάφορον, οὐχὶ μικρόν. ἐκεῖνο μὲν γὰρ ἦν ὑπὲρ αὐτῆς τῆς ἀληθείας ἀγωνίζεσθαι. τοῦτο δὲ ἐγὼ μὲν οὐδέ ποτε ἂν φήσαιμι. ἀλλ᾽ ἕτερος δ᾽ ἂν * τις εἴποι διαβάλλων, οὐ πόῤῥω κακοηθείας εἶναι. * Περικλῆς τοίνυν τά τε ἄλλα τὸν βίον ἦν ἄριστος, καὶ οὐδὲ γελῶν πώποτε ὑπό τινος ὤφθη. καὶ τῇ μὲν τῆς πολιτείας φυλακῇ, καὶ τῷ τὸ ἴσον τοῖς ἄλλοις ἔχων ἀνέχεσθαι κοινὸς (εἴπερ τις ἀνθρώπων) ἐσπούδαζεν εἶναι· τῷ δὲ ἀξιώματι τῆς γνώμης καὶ τῷ μὴ τῶν αὐτῶν ἐφίεσθαι τοῖς πολλοῖς ὀλίγοις καταλιπεῖν ἴσους ἐλθεῖν ἑαυτῷ. ὃ δέ φασιν ὑπάρξαι Σωκράτει σοφιστῶν διαφερόντως, τοῦτ᾽ ἐκείνῳ δημαγωγῶν. ἐπαρθέντα μὲν γὰρ τὸν δῆμον, καὶ μείζονα φρονήσαντα, δυνατώτατον εἶναι συστεῖλαι καὶ καθελεῖν· ἀθυμήσαντα δὲ καὶ ταπεινωθέντα ἀναγαγεῖν αὖ τοῖς λόγοις, καὶ μεστὸν ἐλπίδων ποιῆσαι· * ὥσπερ ἐκεῖνος εἰώθει περὶ τοὺς νέους ποιεῖν. συνελόντι δὲ εἰπεῖν, σχῆμα τῆς πόλεως ἦν Περικλῆς, οὐ δουλεύων ταῖς τῶν πολλῶν ἐπιθυμίαις, ἀλλ᾽ αὐτὸς ἄρχων τῶν πολλῶν. οὐδ᾽ ὅτι δόξειεν ἐκείνοις τοῦτο λέγειν ἀξιῶν, ἀλλ᾽ ὅτι δόξειεν αὐτῷ, τοῦτ᾽ ἐκείνους πράττειν ἐπαναγκάζων· οὐδ᾽ ἐν κόλακος μοίρᾳ προσκείμενος, ἀλλ᾽ οὐδαμοῦ τοῖς κόλαξι πάροδον (τὸ καθ᾽ αὑτὸν) διδούς. τῇ μὲν χρηστότητι καὶ ταῖς ἐπιεικείαις ἐν πατρὸς ὢν τάξει τῷ δήμῳ· τῷ δὲ κατείργειν ἅπαντας, καὶ πάνθ᾽ ὑφ᾽ ἑαυτὸν ἔχειν πλέον ἢ τύραννος. ἐξ ὧν, ὡς ἔοικεν, ἔξεστι σαφῶς ἰδεῖν, ὅτι εἴ τις ἄλλος καὶ Περικλῆς ἑκὼν δίκαιος. οὐδαμοῦ γὰρ τὴν πλεονεξίαν ἀντὶ τῶν νόμων ἠγάπησεν· οὐδ᾽ ὅπως ἔσται μείζων τῆς τάξεως προὐνοήθη, παρὸν αὐτῷ μᾶλλον παντὸς Πεισιστράτου· ἀλλ᾽ ἦν παραπλήσιος κατέχοντι τὴν ἀκρόπολιν ἐπὶ τῷ σώζειν τοὺς νόμους, καὶ τῷ πάντας εὖ ποιεῖν ἐκ μέσου (τοῦ δημοσίου.)

* al. τι

* al. Περικλῆς τοίνυν τά τε ἄλλα ... οὐδὲ γελῶν πώποτε ... ὤφθη

* ὥσπερ

* αὐτῷ.

σχόλιον.

[Οἷον ἴσως. τὸ γὰρ ἐκ μέσου φερόμενον, ἴσον ἐπὶ πάντας ὥσπερ ἐπὶ κύκλου φέρεται. ἢ, ὅτι ἡ ἀκρόπολις μέση κεῖται τῆς πόλεως.]

ἐπειδὴ δὲ ἐτελεύτησεν ἐκεῖνος· ὠνειροπόλουν μὲν Σικελίαν, ἐφίεντο δὲ Ἰταλίας, ὠρέγοντο δὲ Καρχηδόνος καὶ Λιβύης· πάντας δ᾽ ἀνθρώπους περιεσκόπουν· ἤρκει δὲ αὐτοῖς οὐδέν, μακροτέραν δὲ τοῦ πολέμου τὴν παρενθήκην ἐποιήσαντο. ὁ δὲ ταῦτα πείθων ἦν, ὦ Πλάτων τε καὶ Σώκρατες, ὁ ὑμέτερος· κοινωνὸς μὲν οὐκ ἔστιν εἰπεῖν, ἑταῖρος δέ, καὶ αὐτὸς ἂν φαίης· μᾶλλον δ᾽ εἴρηκας. πῶς οὖν ἄν τις ταῦτα δικαίως κατηγοροίη Περικλέους, ἢ πῶς οὐκ ἀναγκαίως Ἀλκιβιάδου; ὅστις παραλαβὼν

τὴν

τὴν πόλιν, εἰδυῖαν ἀκούειν συμβούλων, εἶθ' οὕτως ἐξέμηνεν. Οὐκοῦν τῷ μὲν ἅπαντος κέρδους κρείττω παρέχειν ἑαυτὸν, δικαιοσύνην ἀσκῶν δῆλος ἦν. τῷ δὲ τὸν ἐν *τάξει βίον αἰτεῖ τῆς περὶ ἡδονὴν (προῃρεῖσθαι) σωφροσύνης πίστιν παρείχετο ἱκανήν. καὶ μὴν ἀνδρείας γε ἐν οἷς οὐ πρὸς χάριν, οὐδ' ὑποπεπτωκὼς, ἀλλ' ὡς οἷόν τε μάλιστα ἐλευθέρως ὡμίλει τῷ δήμῳ. μόνος δὲ εἰδὼς καὶ τὰ μέλλοντα ἔσεσθαι προειδὼς, καὶ τοῖς παροῦσι χρήσασθαι δυνηθεὶς· πῶς οὐκ ἂν σοφίας δικαίως δόξαν φέροιτο τῆς γε δὴ χρησιμωτάτης, εἴ τις ἀνθρωπίνως ἐθέλοι λογίζεσθαι; εἶθ' *ὃν ἐξ ἁπάντων τῶν τῆς ἀρετῆς μορίων ὑπάρχει προσειπεῖν ἀνδρεῖον, δίκαιον, φρόνιμον, σώφρονα· τοῦτον Πλάτων μετὰ τῶν κολάκων ἠρίθμησε. λάλους γάρ φησιν Ἀθηναίους ἐποίησε, καὶ ἀργοὺς, καὶ δειλοὺς, καὶ φιλαργύρους, εἰς μισθοφορὰν καταστήσας. περὶ μὲν δὴ λάλων, ὦ Πλάτων, καὶ ἀργῶν καὶ δειλῶν αὐτόθεν κατάβαλε μή πού τις καὶ Τρῶας *ἀγείρησι θεὸς ἄλλος. [κατάβαλε, κατάθου, πέπαυσο, σίγα.] σὺ δὲ *μαντινικὴν, καὶ ξένην καὶ μιλησίαν ἐπίστασαι κοσμεῖν· καὶ οὕς τινας ἄν σοι δοκῇ, πάνυ ῥᾳδίως μεγάλων ἠξίωσας· τῶν δὲ Ἑλλήνων τοὺς ἄκρους, καὶ παρὰ πᾶσι βεβοημένους, ἐν φαύλῳ *καθαιρεῖς. αἴτιον δ' οὐ τὸ ἀγνοεῖν τὴν ἀξίαν. ἀλλά πως ἂν εἴποιμι εὐπρεπῶς σφόδρα τῶν *λογίων γίνῃ; [ἀντὶ τοῦ λέσχης γίνῃ, καὶ οὐ τῆς τῶν πραγμάτων ἀληθείας.] πῶς ἂν εἴη διεφθαρκὼς Ἀθηναίους, ἢ πῶς λάλους πεποιηκὼς *ὅς γε καὶ τοῖς λόγοις αὐτοῖς τὸ μηδὲν φαύλως, μηδ' εἰκῇ, τιμήσας φαίνεται; τοὐναντίον γὰρ ἔμοιγε πᾶν αὐτοὺς ἐθίσαι δοκεῖ. μήτε λέγειν ὅπως ἔτυχε μηδὲν, μήτε ποιεῖν ἀπὸ τοῦ πρώτου παραστάντος. ἔτι δ' ἄλλου μέν τινος πράγματος σκέψεως μάρτυρα κωμῳδίας διδάσκαλον, τάχ' ἂν οὐκ ἰσχυρὸν ἦν· εἰς δὲ λόγων κρίσιν μή ποτε οὕτω σεμνὸς γενοίμην, ὥσθ' ὑπεριδεῖν τῶν ἀνδρῶν τούτων, ὡς οὐδενὸς ἀξίων. ὁ μὲν τῶν Ἑλληνίδων μεγίστην ὁ Κρατῖνος τὴν ἐκείνου γλῶτταν εἴρηκε, λέγων μὲν ἴσον τι καὶ φωνήν· ἀναμίξας δέ τι τῆς παρὰ τῆς τέχνης πικρίας τοῖς ἀπὸ τῆς ἀληθείας. ὅμως οὐκ ἐξέφυγε τὸ μὴ οὐ τὰ πρῶτα δοῦναι τῷ ἀνδρὶ, μηδ' ἐνδείξασθαι τὴν μεγαλοπρέπειαν τὴν περὶ τοὺς λόγους αὐτοῦ. ὁ δὲ Ἀριστοφάνης ἀστράπτειν καὶ βροντᾶν αὐτὸν, καὶ *μυκᾶν, φησὶ, δημηγοροῦντα. μὴ γάρ μοι τοῦτο, εἴ τι μέμφεται αὐτοῦ· ἀλλ' ὅσον εἰς τὸν παρόντα προσήκει λόγον τῆς μαρτυρίας λαβώμεθα. [ἀλλ' οὐ πολλῇ τινι τῇ περιουσίᾳ χρώμενος, οὕτω διελέγετο· πόρρω μὲν ὤν τις ἂν τοῦ ληρεῖν, πλεῖστον δὲ τοὺς ἄλλους ἐθίζειν ἀπέχων] τῶν δὲ ὁ τοσοῦτον ὑπερέχων, καὶ μόνος πᾶσι τοῖς κριταῖς νικῶν, τὴν τοῦ φλυαρεῖν εἰκῇ καὶ παρὰ καιρὸν Ἀθηναίοις αἰτίαν φέροιτ' ἂν δόξαι; ἐγὼ μὲν γὰρ τοὐναντίον ἡγοῦμαι, σιωπῆς αἴτιον αὐτὸν πλείονος, ἢ προπετείας, καθεστάναι. ἴσμεν γοῦν, ὅτι κἀν ταῖς ἄλλαις δή που δυνάμεσιν, οὗ μὲν πολλοὶ παραπλήσιοι καὶ ἐφάμιλλοι πρὸς ἀλλήλους, πολλὰ τὰ πράγματα, καὶ πλείων ἡ ἔρις. ἐπειδὰν δέ τις εἰς ὑπεροχὴν λαμπρῶς, ἅπαντες ἤδη συγκεχωρήκασιν, οὕτω δὴ καὶ λέγειν. ἐπειδὰν δέ τις εἰς ἄκρος ἔλθῃ, στέργειν ἀνάγκη τοὺς πλείους· καὶ μὴ πολυπραγμονεῖν, ἀλλ' ὡς οἷόν τε μάλιστα εὐλαβεῖς καὶ κοσμίους εἶναι περὶ τοὺς λόγους. οὐ γὰρ ἂν ᾧ γέ τις ἐστὶ βέλτιστος, τούτῳ χείρους ἀπεργάζοιτο· ἀλλ' ὥστε καὶ πρὸς αὐτὰ ταῦτα, ἃ βέλτιστός ἐστι.

* al. τῇ
* al. ἐξῆ
* al. ἐγείρησι.
al. μαντινικὴν.
* al. καθαίρεις.
* λόγων.
Schol.
* Περιττῶν.
* κυκᾶν.

quam acceperat consiliis obtemperare valentem, in talem furorem egit? Quocirca cùm nulli esset lucro deditus, iustitiæ manifestum dabat specimen, vt & temperantiæ, dum vitam modestam voluptati perferebat: fortitudinis etiam, cùm non ad gratiam nec submissè, sed liberrimè cum populo agebat. Denique cùm solus & futura præscire, & præsentibus vti potuerit, meritò prudentiæ laudem, si quis res humanas consideret, consequatur. Ergo quem de cūctis virtutis partibus, licet fortem, iustum, prudentem, temperantem vocare, cum inter adulatores Plato posuit? *Nam loquaces, inquit, ociosos, ignauos, & auaros, postquam stipendia iussit facere, Athenienses reddidit.* Ac de loquacibus, ociosis, & ignauis, Plato, indidem supputa. — ARISTIDES.

Ne quis fortè Deus Troianos excitet vsquam [*supputa, depone, quiesce, tace.*] — SCHOLION.

At tu Mantinensem quidem hospitam, & Milesiam nouisti laudare, ac quoscunque libet, facile prædicas: Græcorum autem principes, vbique celebres, temerè deprimis. Id autem non eo facis, quòd dignitatem eorum non cognoscas, sed vt honestè dicam, nimium sermoni indulges. [*γον pro garrulitate, non pro rei veritate.*] — SCHOLION.

Quomodo potuit Athenienses corrumpere, vel loquaces reddere [Pericles,] qui etiam in vestris libris ipsis, ne quid esset temerè prolatum, cauerit. Quinimò contra mihi videtur eos assuefecisse, ne quid temerè dicerent vel facerent. Deinde in alia quidem te non esset fortasse magni momenti Comicum testimonium: at in eloquentiæ iudicio, vt illos quasi viles contemnam, nunquam tam superbus ero. Cratinus quidem Græcanicarum maximam vocauit eius linguam, cùm diceret idem quod sentiebat, nonnihil tamen veritati ex arte acerbitatis aspergeret, verumtamen facere non potuit, quin primas ei tribueret, eiúsque in dicendo declararet excellētiam. Aristophanes fulgurare cum ac tonare ac miscere dixit inter concionandum. Nihil enim curo si quid in eo reprehendit, sed quantum ad hanc rem attinet, eius vtor testimonio.

Cratinus de Pericle sup. in orat. pro rhetor. contra Platon.

Aristophanes.

[Sed nondum hæc omnia: verumtamen illud confessus est, perfectum euasisse oratorem.] Cur ergo qui tantum præstitit, ac solus omnium suffragia tulit, Athenienses ad ineptam garrulitatem credatur incitasse? Nam ego quidem contra magis eum silentij quàm temeritatis causam fuisse existimarim. In aliis certè facultatibus videmus, vbi multi sunt inter se similes, multa negotia, maioremque contentionem exsistere: postquam autem vnus aliquis excelluerit, reliquos cedere. Similiter in dicendo, cùm quis princeps exsistit, acquiescunt plerique, nec sibi negotium facessunt, verùm, quàm possunt cautissimè dicunt & modestissimè. Nec enim eo quo quis excellit, alios deteriores reddit, & in iis præsertim in quibus excellit,

ARISTIDES. At non esse inhonestam, nec ignominiosam, nec etiam accusatione vel venia, sed aliquo maiore præmio dignam ipsam dicendi vim, si demonstrare vellem, puderet me Deorum eloquentium. Tamen hoc saltem dicam (quod si quis molestè fert alius, in me totum auertat, nec ego de fortuna conquerar) vim dicendi cum proba & modesta vita, qualis in hominem maxima posset cadere, coniunctam me malle, quàm decies millies Darium Hystaspis F. fieri, & eius respectu iam omnia mihi videri sordere. Quin nec Platonem fere aliud habere quidquam præter verba, scio, eique dictionem gratulor, & quamuis per iocum se dicat istud minimè curare, non temerè credam, sed id admodum studere intelligam, ac tum maximè, cùm videtur quasi ludens loqui. Itaque domesticum proderemus thesaurum, si ista carperemus.

Eloquentia cum virtute commẽda.

Platonis stylus.

SCHOLION. [*Prouerbium de iis qui domestica criminantur.*] Verùm de his ne dicendum quidem est, ac tantò minus, quantò maior est vis dicendi. Ergo eum ego, qui tam acer vigil, ac propemodum alatus fuit, vel ipsum ociosum fuisse, vel alium reddidisse credam? Nihil equidem scire viderer, cùm ille non Athenienses modò, sed ne hostes quidem otiari permiserit. Talem enim mouendi suis necessitatem attulit, vt ipsi quoque mores suos mutare cogerentur. Idque iustè fiebat, inquit Demosthenes. Veruntamen cum Plato otiosos ac ignauos ait fecisse: Cretensis mare dicat aliquis.

SCHOLION. [*Prouerbium in eos qui simulant se ignorare. sunt enim Cretenses periti nauigationis, & dicitur insulanus mare ignorare, & Siculus mare.*] Verùm quamuis in hoc grauius quàm cæteri; premeretur, quod illi quidem rebus præsentibus dolebant, ipse autem ciues ita videbat affectos, vt ad rem gerendam essent inutiles, nec hostibus modò cederent, sed & ipsi tanquam fortunæ præsentis auctori irascerentur: ac præter duo fortunæ mala [bellum & morbum] duo hæc eos sibi videret consciuisse, dolorem & indignationem: & in mediis hæreret periculis, vndique, vt ita dicam, desertus: nihil tamen timuit, nec remisit, neque sententiam quasi colorem mutauit, cùm pariter cum ciuibus & hostibus pugnaret, sed quasi artem eos aliquam doceret, eodem vtebatur quo prius tenore, nec periculorum gratia decreta sua aboleuit, neque in securitate dumtaxat philosophatus est: verùm quemadmodum si de numeris & mensuris fuisset interrogatus, idem & olim respondisset & postea, ita quoque tunc idem de summa rei statuebat, nec vel pericula fugere, vel seipsum castigare, & ipsorum causa, qui cum temporibus mutati essent, ruborem suscipere dignabatur. Quocirca non hoc erat dicendum, copias eum non eduxisse, sed id cùm esset faciendum, & pugnandum, omisisset, considerandum. Nam & Lacedæmonios aiunt, cùm eos aliquando premerent Thebani, vt vel ad pugnam exire, vel deteriores esse se confiteri iuberent, ita respódisse:

ἀλλὰ μὴν ὡς αὐτό γε οὐκ ἄτιμον, τὸ δύνασθαι λέγειν, οὐδ᾽ εἰς ὄνειδος φέρον, οὐδὲ κατηγορίας ἄξιον, οὐδέ γε συγγνώμης, ἀλλά τινος κρείττονος, αἰσχυνοίμην ἂν τοὺς λογίους θεοὺς εἰ ζητοίην ἀποδεικνύναι. πλήν γε τοσοῦτον ἂν εἴποιμι· ἐμοὶ γὰρ εἴη, εἴ τις ἄλλος δυσχεραίνει, καὶ *ῥίπτει τὸ ἅπαν εἰς ἐμέ· καὶ οὐ μέμψομαι τῷ δαίμονι, ὡς ἐγὼ δεξαίμην ἂν δύνασθαι λέγειν μετὰ χρηστοῦ βίου καὶ σώφρονος, εἰς ὅσον οἷόν τε κάλλιστα ἀνθρώπων μάλλον, ἢ μυριάκις Δαρεῖος ὁ Ὑστάσπου γενέσθαι· καὶ μικρά μοι πάνθ᾽ ὡς ἀληθῶς πρὸς τοῦτο *ἤδη φαίνεται. οἶδα δὲ καὶ τὰ Πλάτωνος πράγματα, εἰ μὴ τετυφώμεθα, οὐδὲν ἄλλο σχεδὸν ὄντα, ἢ λόγους καὶ συγχαίρω τῆς λέξεως αὐτῷ· κἂν με προσπαίζων οὑτωσὶ πείθῃ, μὴ πάνυ τούτου φροντίζειν· οὐ πάνυ πείσομαι, ἀλλ᾽ εἴσομαι σφόδρα σπουδάζοντα, καὶ τηνικαῦτα μάλιστα, ἡνίκα ἂν ὡς παίζων λέγῃ. ὥστε τὸν οἴκοι θησαυρὸν διαβάλλοιμεν ἄν, εἰ ταῦτα διασύροιμεν. [παροιμία. τάττεται δὲ ἐπὶ τῶν τὰ οἴκοι διαβαλλόντων.] ἀλλ᾽ ὑπὲρ μὲν τούτων οὐδὲ λέγειν ἄξιον· ἀλλὰ *τοσούτῳ ἧττον, ὅσῳ περ ἂν ᾖ κρεῖττον τὸ δύνασθαι λέγειν. (εἶεν.) εἶτα τὸν οὕτως ὀξὺν καὶ ἄγρυπνον, καὶ μόνον οὐκ ἂν εἴποι ὑπόπτερον τοῦτον, ἢ ἀργεῖν αὐτὸν ἢ ἑτέρους ἐθίζειν ἐγὼ πεισθῶ; οὐκ ἄρα ἐπίστασθαι δόξω τῶν πραγμάτων οὐδέν· ὅς γε μὴ ὅτι Ἀθηναίους, ἀλλ᾽ οὐδὲ τοῖς πολεμίοις ἀργεῖν ἐπέτρεπεν, ἀλλὰ κἀκείνους ἐποίησε μεταβαλεῖν τοὺς τρόπους· τοσαύτας ἀνάγκας αὐτοῖς *περιέστη τοῦ κινεῖσθαι, καὶ τὸ δικαίως οἷς ἐποίει προσῆν, ἔφη Δημοσθένης. ἀλλ᾽ ὅμως Πλάτων ᾐτιάσατο αὐτὸν ἀργοὺς καὶ δειλοὺς πεποιηκέναι· ὁ Κρὴς δὴ τὸν πόντον φησί τις. [παροιμία ἐπὶ τῶν προσποιουμένων τὸ ἀγνοεῖν. οἱ γὰρ Κρῆτες, ἔμπειροι θαλάσσης. λέγεται δὲ καὶ ὁ νησιώτης ἀγνοεῖν τὴν θάλασσαν, καὶ Σικελὸς τὴν θάλασσαν.] ἀλλ᾽ οἱ μὲν ἄλλοι τοῖς παροῦσι τούτοις ἠθύμουν, ὁ δὲ καὶ τοῦτ᾽ αὐτὸ προσειλήφει μεῖζον, τὸ τοὺς πολίτας οὕτως ἔχοντας ὁρᾶν, ὥστε ἀπόρους εἶναι χρῆσθαι· καὶ ταῦτα οὐχ ὅσον τοῖς πολεμίοις ὑποπεπτωκέναι, ἀλλὰ κἀκείνῳ δυσμεναίνειν, ὡς τῶν παρόντων πραγμάτων αἰτίῳ. πρὸς δυοῖν τοῖν ἀπὸ τῆς *τύχης (τοῦ πολέμου καὶ τῆς νόσου) δύο ταῦτα προσειληφότας ὁρῶν αὐτοὺς, λύπην καὶ παροξυσμὸν εἰς αὐτόν. ἐν μέσοις τοῖς δεινοῖς ἐμβεβηκὼς, καὶ πανταχόθεν μεμονωμένος (ὡς εἰπεῖν) οὐκ ἔδεισεν, οὐδ᾽ ὑπεχώρησεν, οὐδ᾽ ὥσπερ χροιὰν τὴν γνώμην μετέβαλε, τοῖς τε πολίταις καὶ τοῖς πολεμίοις ὁμοῦ ἀντιτεταγμένος· ἀλλ᾽ ὥσπερ ἄλλο τι μάθημα διδάσκων αὐτοὺς, καὶ ταὐτὰ, ἃ καὶ πρότερον διεξῄει. καὶ οὐ διέφθειρε τὰ δόγματα ἐπὶ τῶν κινδύνων· οὐδὲ ἐπὶ τῆς ἀδείας ἐφιλοσόφησε μόνον· ἀλλ᾽ ὡς περὶ ἀριθμῶν ἢ μέτρων ἐρωτηθεὶς, ταὐτὸν ἀπεκρίνατο ἂν καὶ ὕστερον καὶ πρότερον. οὕτω καὶ τότε τὰς αὐτὰς ἠφίει φωνὰς ὑπὲρ τῶν ὅλων πραγμάτων. οὔτε τοῖς δεινοῖς *εἴκειν ἀξιῶν, οὔτε ἑαυτοῦ μέμφεσθαι· αἰσχύνεσθαί τι ὑπὲρ αὐτῶν *ἅμα τοῖς καιροῖς ἑτέρων γεγονότων. μὴ δὴ τοῦτο λεγώμεθα, ὡς οὐκ ἐξῆγεν· ἀλλ᾽ *εἰ προσῆκον ἐξάγειν, καὶ μάχεσθαι παρεῖδε, τοῦτο σκοπῶμεν. ἐπεὶ καὶ Λακεδαιμονίους ἀκούομεν δή που *προσκειμένων αὐτοῖς ποτε Θηβαίων, καὶ κελευόντων ἐξιέναι καὶ μάχεσθαι, ἢ χείρους ὁμολογεῖν εἶναι σφῶν· ἀποκρίνασθαι,

σχόλιον.

σχόλιον.

* al. τρίποσα ἄπαν.

* al. ἤδη φαίνεται.

* al. τοσούτῳ

* al. περιῆσι καὶ vel ἐνίστη τοῦ ...

* al. ψυχῆς.

* al. ἄνδρες.

* al. ἐνίστασθαι ἅμα καὶ τοῖς πρότερον γεγονότ.

* al. εἰς ἀγῶνα.

ARISTIDES.

" περὶ μὲν τοῦ, πότεροι βελτίους, τὰς πράξεις κρίνειν
" τὰς ὑπὲρ τῶν Ἑλλήνων ἑκατέροις πεπραγμένας.
" μαχεῖσθαι δὲ οὐκ ἐν τοῖς τῶν πολεμίων καιροῖς, οὐδ'
" ὅτε ἐκεῖνοι κελεύουσιν· ἀλλ' ἡνίκα ἂν αὐτοῖς δοκῇ.
" καὶ οὐ χρῆσθαι περὶ τούτου συμβούλοις Θηβαίοις. ἐγὼ μὲν οὖν ὅπερ λέγω περὶ τούτων, οὕτω καὶ χαίρω τῇ μεγαλοπρεπείᾳ παντὸς μᾶλλον, ὥς γε ἐμαυτὸν πείθω. ὁρῶ δὲ ὅτι πολλὰ τῶν πόλεών ἐστιν ὥσπερ *ἐφόλκια, οἷς ἀνάγκη συγχωρεῖν ὥσπερ ἐν σώματι. καὶ γὰρ τὰ σώματα, καὶ τὰ χείριστα καὶ τὰ κάλλιστα, ἀκριβῶς ἐκ τῶν αὐτῶν κεκρᾶσθαι· τῷ δὲ ἢ πλείονος ἢ ἐλάττονος τούτων (ἑκάστου) μετέχειν, τοῦτο κρίνεσθαι τό, τε χεῖρον καὶ τὸ βέλτιον. οὕτω δὴ καὶ τὰς πόλεις ἀνάγκη τῆς φύσεως τῆς ἀνθρωπίνης ἀπολαύειν, κἂν ὡς βέλτιστα οἰκεῖσθαι δοκῶσιν. ἐπεὶ κἂν τῷδε τῷ παντὶ τοσούτων καλῶν καὶ τοσαύτης ἀγαθῆς τύχης μετειληφότι, καὶ οὐδὲν ἔξω δήπουθεν αὐτὸ λελοιπότι τῶν καλῶν, πολλὰ ἂν εὕροις, οἷς ἥκιστα ἂν ἡσθείης· ἀλλ' οὐ κατηγορεῖς διὰ ταῦτα τοῦ παντός, οὐδὲ τοῦ ποιήσαντος· οὐδὲ νομίζεις, ἄλλον τινά δή που βελτίω γενέσθαι ποτὲ ἂν αὖθις δημιουργὸν τῶν ὅλων· ἀλλὰ δίδως τῇ φύσει ταῦτα ἐφελκύσασθαι, καὶ οὐ πολυπραγμονεῖς. τί δὴ θαυμαστόν; εἰ καὶ Ἀθήνησί τι τῶν πάντων οὕτως ἔχειν, ὥσπερ ἴσως ἂν που καὶ ἄλλοθι. καὶ συνεχώρησαν οἱ προεστῶτες, ἅμα μὲν τὴν τῶν πολλῶν πενίαν καὶ χρείαν ἐπανορθούμενοι, δι' ἣν οὐκ ἐλάχιστα τῶν ἁμαρτημάτων συμβαίνει, ἃ κωλύειν μᾶλλον οὕτως ἡγοῦντο· ἅμα εὐλαβούμενοι, μή τι καὶ χεῖρον ἐξεργάσαιντο τῷ κατείργειν παντελῶς αὐτούς. τί γὰρ οὐκ ἦν προσδοκῆσαι ποιήσειν ἀνθρώπους τοσούτους τὸ πλῆθος, καὶ οὕτως ὀξεῖς, καὶ χρημάτων τοσούτων παρόντων· εἰ μηδεὶς αὐτοῖς μεταδίδοι τὰ μέτρια; ἆρ' οὐ πάντ' ἂν αὐτοῖς ἐπιχειρῆσαι λαβεῖν. οὐκ ἔστι ταῦτα, ὦ [...]ατων, ἀλλὰ δυοῖν θάτερον· ἢ οὐκ ἦσαν Ἀθηναῖοι τοιοῦτοι, οἵους σὺ κατηγορεῖς· ἢ πάντες μᾶλλον ἢ Περικλῆς αἴτιος· εἴπερ γε μήτε φαύλους ἐδίδαξεν τὰ παλαίσματα, μήτε ἀσαφεῖς τινας, ἢ κιβδήλους, ἢ σκολιὰς παρεῖχε τὰς γραμμάς.

SCHOLION. *Schol. τὰ ἁμαρτήματα λέγει. κλίνεται

Ex τῶν *περὶ Κίμωνος.

*Περικλῆ Κίμων.

[Ὅτι ὁ Κίμων Μιλτιάδου μὲν ἔφυ πατρός, εὐήθης δὲ τὰ πρῶτα δόξας, ὕστερον ἐν πολλοῖς καὶ στρατηγῶν εὐδοκίμησεν. ἐξοστρακισθεὶς δὲ κατῆλθε, καὶ στρατηγήσας, ἐνίκησεν ἐπ' Εὐρυμέδοντι ποταμῷ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· τέθνηκε δέ, τὸ *κίτιον τῆς κύπρου πολιορκῶν.]

*al. κύτιον.

Excerpta ex Aristidis Cimone.

Ἐβουλόμην δ' ἂν καὶ πρὸς ἄλλον τινά μοι τὸν ἀγῶνα τυγχάνειν ὄντα, καὶ μὴ πρὸς Πλάτωνα· καὶ περὶ τούτου λέγω, καὶ περὶ τῶν ἄλλων, ἵνα πᾶσιν οἷς εἶχον ἐχρώμην θαρρούντως· καὶ μὴ συνέβαινέ μοι παραπλήσιον, ὥσπερ ἂν εἰ πλέων, καὶ παρὸν ἐξουρίας κομίζεσθαι, εἶτα ὑφιέμην ὑπὸ δειλίας· ἢ καὶ ἵπποις ἀγωνιζόμενος, ἐξὸν καὶ ταχὺ καὶ τοσοῦτον ὅσον βούλομαι παρενεγκεῖν· εἶτ' ἂν εἶχον ἐξεπίτηδες, φειδοῖ τοῦ προειληφότος. οὕτω πολὺ πλείω ποιοῦμαι λόγον, μηδὲν ἀπηχὲς εἰς Πλάτωνα τυχεῖν εἰπὼν· μηδ' ὥσπερ εἰ θρασύνεσθαι δοκεῖν, ἢ ἐκείνων ἕκαστον ἐπαινέσαι, εἰκότως· οὐδὲ γὰρ ἐλάττονος ἄξια χάριτός μοι τὰ πρὸς τοῦτον. εἰ μὲν ἀλλ' εὖ γε ἄμφω συμβαίη), καὶ τὰς κατ' ἐκείνων αἰτίας ἀπολύσασθαι, καὶ Πλάτωνι πᾶν ὅσον αἰδοῦς καὶ τιμῆς ἔξεστι προσνεῖμαι. καὶ προέσται τὸ δίκαιον ἀμφοτέροις· μετρίως ἂν ἔχοι τὸ δίκαιον πανταχῇ.

Vtri quidem essent meliores, vel ab vtrisque pro Græcia res gestas testari, cæterùm non ad " hostium occasionem vel præceptum se pugna- " turos esse, sed cùm sibi visum foret, nec in ea re " Thebanorum vti velle consilio. Atq; ego qui- " dem sicut loquor, sic etiam plurimum delector " magnificentia, quemadmodum mihi persuadeo. Ciuitatum autem multas esse video quasi [*peccata dicit*] appendices, quibus necessario sit tanquam in corpore concedendum. Nam & corpora tam pulcherrima quàm turpissima, ex iisdem esse rebus composita, quatenus autem de singulis plus vel minus fuerint adepta, hactenus deteriora vel meliora censeri. Similiter etiam ciuitates, quamuis optimè videantur constitutæ, naturam tamen humanam necessariò sequuntur. Nam & in hoc vniuerso, quod ita est rerum omnium bonarum particeps, vt ei nihil deesse videatur, multa quæ displiceant reperias: nec tamen ideò vniuersum ipsum accusas, aut eius auctorem, nec alium aliquando meliorem opificem extiturum credis: sed hæc à natura finis attrahi, nec tibi negotium facessis. Quid ergo mirum, si quid Athenis etiam tale fuit, quemadmodum & alibi fortasse, quod concesserint præfecti, quo simul & vulgi inopiæ mederentur, ex qua non minima oriuntur delicta, sic quæ videbantur posse tolli, & cauerent, ne quid etiam peius efficerent, si eos omnino coërcerent. Quid enim non exspectandum fuerat à tot hominibus, ac tam acribus, quique tantas opes haberent, nisi quis partem cum iis aliquam communicasset? nonne fore vt omnia conarentur sumere! Ne hæc amplius, ô Plato: verum aut non erant Athenienses tales, quales dicis, aut quiuis potius, quàm Pericles, eius rei causam præbuit. Quandoquidem ille nec viles edebat luctas, nec obscuras, vel adulterinas, vel obliquas ducebat lineas.

Ex iis quæ de Cimone.

SCHOLION. *Cimon natus patre Miltiade, stupidus visus initio, postea rebus multis bellicis commendatus est. Electus Ostracismo redit, vicitque apud Eurymedontem flumium terra marique, obsidensque Citium Cypri vrbem, extinctus est.*

Excerpta ex Aristidis Cimone.

VELLEM autem cum alio mihi, quàm cum Platone institutam esse contentionē, tam de hoc quàm de reliquis, vt omnibus, quibus possem argumētis audacter vterer, neque quasi vector, cùm secundo liceret vento ferri, præ timore vela constringerem: aut quasi equestri contendens certamine, cùm liceret celerrimè progredi, spōte me inhiberem, quo præcedenti parcerem. Adeò multò diligentius obseruo, nequid in Platonem dicam grauius, & quasi ferocire videar, quàm vt illorum vnumquemque suis ornem laudibus: nam non minoris est mihi huius gratia. Verumtamen si vtrumque consequemur, vt & illorum dissoluamus crimina, & Platoni omnem tribuamus honorem ac reuerentiam, atque in vtroque iustè nos geramus, mediocriter nobiscum agetur.

ARISTIDES.

Nam si contraria contrariis definiemus, quo pacto sua singulis constabit natura? Si enim imperium in seruitute ponatur, vix aliud quicquam seruitutem effugerit, & si imperium esse seruitutem ponimus, quid prohibet, quo minus eadem ratione seruitutem esse imperium ponamus, atque ita res circumagatur, nec vnquam eodem maneat loco: verùm imperium prius ad seruitutem redactum, per eam rursus fiat imperium: seruitus autem prius ad imperium redacta, per illud ipsum rursus existat seruitus. Itaque vagentur ac transmutentur hæc nomina, quæ sunt rerum contrariarum, aut potius rebus ipsis contraria. [*rebus dicit, grauiter. cùm vnum esse & idem imperium & seruitutem confirmet.*] Tales, ô Plato, Græciæ præbebat adiutores Itaque donec viuebat Cimon, peribant Barbari metu Græcorum.

SCHOLION. *Demosthenicum hoc schema. ait enim metu legatos mortuos, timore verò Græcos, pro, timore Græcorum, vel quia sic terruerant Græcos, vt propè mortui fuerint.*

Cimon Ostracismo eiectus. At eum Ostracismo expulerunt, ne vocem eius per decem annos audirent. Certè: sed eum ante annos decem exactos reuocarunt, vt eius audirent vocem. Ita eum desiderabant. Verùm tu quem condemnarint, dicis: quam sententiam mutarint, non cogitas, quæque vel rectè decreuerunt, vtrisque exprobras, quæ rectè consuluerunt, nec illis veniam putas, nec huic maximum præbere virtutis testimonium. Cùmque ij, qui eum condemnarunt, ipsi sententiam mutarint, nec antiquum seruarint decretum, tu id quasi ratum semper fuisset, obiicis, nec Athenienses hac in re vis imitari, vt à crimine virum absoluas: verùm si quid acerbius illi fecerunt, hoc imitaris, omittis reliqua. Quid? quod multò maius est & gloriosius, eiectum redire, quàm prorsus non eiici. Nam vt hoc etiam cuilibet contingit, ita illud non erat omnium. Atque vt hoc fortunæ quis potuisset tribuere, ita nisi reliquis præstantior habitus fuisset, illud ei non contigisset. Vt enim quis eiiciatur ac exsulet, inuidia facit, vel aliud simile: vt ante tempus reuocetur, nihil præter virtutem efficit, propter quam illum & absentem sunt reueriti, & vt adesset, è re sua fore existimarunt, quódque est omnium maximum, seipsos potius quam illum condemnare maluerunt. Quare siue per se vir est considerandus, cur, si quid in eum quis peccauit, recensemus: siue ex aliis, maximos in eum honores collatos videmus. Sed nondum hæc: mox enim magis erunt fortè congrua.

SCHOLION [*scilicet in communi defensione.*]

De Miltiade.

NVnc autē ad Miltiadē nobis redit oratio, quem ego laudare potius erubesco quàm reprehendere: ita videor omnia minora quàm cupiam dicturus esse. Miltiades autem iāpridē

εἰ γὰρ τἀναντία τοῖς ἐναντίοις ὁριούμεθα, πῶς ἕκαστον ἔθ' ἡμῖν σώσει τὴν ἑαυτοῦ φύσιν; εἰ γὰρ ἡ ἀρχὴ δουλεία, σχολῇ γ' ἂν ἄλλο τι δουλείαν ἐκφύγοι. κἂν εἴ γε τὴν ἀρχὴν δουλείαν εἶναι τιθείημεν, τί κωλύει, καὶ τὴν δουλείαν ἀρχὴν τοῖς αὐτοῖς τούτοις τιθέναι λόγοις; κἀντεῦθεν περίεισιν ἡμῖν ἡ θέσις, καὶ οὐδέποτε ἐν τῷ αὐτῷ μένει· ἀλλ' ἡ μὲν ἀρχὴ δουλεία πρότερον γινομένη, δι' ἐκείνης πάλιν ἀρχὴ γίνεται· ἡ δ' αὖ δουλεία, πρότερον ἀρχὴ νομισθεῖσα, ὑπ' αὐτῆς τῆς ἀρχῆς, ἐπάνεισι δουλεία πάλιν εἶναι. καὶ οὕτω πλανήσεται, καὶ μεταχωρήσει τὰ ὀνόματα ταῦτα, τῶν ἐναντίων πραγμάτων ὄντα, εἰ δὲ βούλει τὰ ἐναντία τῶν πραγμάτων. [τῶν πραγμάτων εἶπε, δεινῶς· ἐπεὶ δὴ ἓν καὶ ταὐτὸν εἶναι τὴν ἀρχὴν καὶ τὴν δουλείαν [illegible] συλλογίζεται.] τοιούτους ἐπικούρους, ὦ Πλά[illegible] ἕλλησι παρείχετο. ὥστε ἕως ἔζη Κίμων [illegible] τοῖς βαρβάροις τῷ φόβῳ τοὺς ἕλληνας.

σχόλιον.

[Δημοσθενικὸν τὸ σχῆμα. ἔφη γὰρ, * τεθνᾶσι τῷ δέει τοὺς ἀποστόλους, τῷ δὲ φόβῳ τοὺς ἕλληνας· ἀντὶ, τῷ τ[illegible]βῳ τῶν ἑλλήνων· ἢ ὅτι κατέπληξαν τοὺς ἕλληνας οὕτως, ὡς ἐγγὺς τοῦ τεθνάναι γενέσθαι.] (σχόλιον. * τεθνᾶσι.)

Νὴ Δία ἀλλ' ἐξωστράκισαν αὐτὸν, ὥστε αὐτοῦ δέκα ἐτῶν τῆς φωνῆς μὴ ἀκούειν· καὶ πάλιν γε κατήγαγον, πρὶν τὰ δέκα ἐξήκειν ἔτη, ἵνα αὐτοῦ τῆς φωνῆς ἀκούσωσιν· οὕτως ἐπεθύμουν. σὺ δὲ ὡς μὲν κατέγνωσαν, λέγεις· ὡς δὲ μετέγνωσαν, οὐκ ἐνθυμῇ. καὶ ἃ μὲν οὐ δικαίως κατεψηφίσαντο κατ' ἀμφοτέρων, λέγεις· ἃ δὲ ὀρθῶς ἐβουλεύσαντο, οὐχ ἡγῇ. τοῖς μὲν συγγνώμην παραιτήσασθαι [illegible], τῷ δὲ ἀφεθέντι * μεγίστην πίστιν τῆς ἀρετῆς ἔχειν. (* al. μεγάλην.) καὶ, ὡς ἔοικεν, οἱ μὲν καταγνόντες αὐτοὶ μετέγνωσαν, καὶ οὐκ ἔμειναν ἐφ' ὧν ἔγνωσαν ἐξ ἀρχῆς· σὺ δὲ ὥσπερ τι κύριον ἐγκέκληκας, καὶ οὐκ ἠξίωσας ταύτῃ μιμήσασθαι τοὺς ἀθηναίους, ἀφεὶς τὸν ἄνδρα τῆς αἰτίας. ἀλλ' ὃ μὲν ἦν χαλεπώτερον αὐτῶν, ἐμιμήσω· τὸ δὲ λοιπὸν εἴασας. καὶ μὴν πολὺ μεῖζον καὶ κάλλιον, εἰς ἀρετῆς λόγον ἐκπεσόντα κατελθεῖν ἢ μὴ φυγεῖν ὅλως. τὸ μὲν γὰρ καὶ τοῖς τυχοῦσιν ὑπάρχει δήπου· τοῦτο δὲ, οὐ κατὰ τοὺς πολλοὺς ἄνδρας ἦν. κἀκεῖνο μὲν ἂν τῇ τύχῃ τις εἶχε λογίσασθαι· τοῦτο δὲ τῷ κρείττονα ἢ κατὰ τοὺς ἄλλους ὄντα γεγνώσκεσθαι. τὸ μὲν γὰρ ἐκπεσεῖν καὶ φεύγειν, φθόνος αἴτιος· καὶ τάχα ἄν τι καὶ ἄλλο τοιοῦτο φανείη. τῆς δὲ πρὸ τοῦ χρόνου κλήσεως καὶ παρακλήσεως οὐδὲν ἐσθ' ἕτερον πλὴν τῆς ἀρετῆς αἰτιάσθαι· δι' ἣν καὶ ἀπόντα ᾐσχύνοντο, καὶ * παρεῖναι λυσιτελεῖν αὐτοῖς ὑπελάμβανον. (* παρόντα.) καὶ, τὸ μέγιστον, σφῶν αὐτῶν καταγνῶναι μᾶλλον ἠξίουν ἢ ἐκείνου. ὥστε εἰ μὲν αὐτὸν ἐφ' ἑαυτοῦ δεῖ σκοπεῖν, τί δεῖ λέγειν, εἴ τις εἰς ἐκεῖνον ἐξημάρτανεν; εἰ δὲ ἀπὸ τῶν ἄλλων αὐτὸν δεῖ θεωρῆσαι, διαφερόντως οὗτος τιμηθεὶς φαίνεται), ἀλλὰ μήπω ταῦτα. αὐτίκα γὰρ μᾶλλον ἴσως ἁρμόσει· (ἤγουν ἐν τῇ κοινῇ ἀπολογίᾳ.)

Ὑπὲρ Μιλτιάδου. Τὸ Προοίμιον. (Μιλτιάδης.)

ΠΕριήκει δ' ἡμῖν ὁ λόγος εἰς αὐτὸν τὸν Μιλτιάδην· ὃν ἐγὼ μᾶλλον αἰσχυνοίμην ἐπαινῶν, ἢ ψέγων· οὕτω μοι δοκῶ πάντα ἂν ἐλάττω εἰπεῖν, ἢ βούλομαι. Μιλτιάδης δὲ πάλαι

πεποι-

πεπεικὼς ἦν Ἀθηναίους, μηδένα δεσπότην πλὴν τῶν νόμων ἡγεῖσθαι· μηδὲ τοῦ κακοῦ καὶ δικαίου μηδένα κρείττω νομίσαι φόβον· μηδ' οὕτως ἀνάγκην ἰσχυρὰν, δι' ἣν προσήκει γίνεσθαι χείρους, διὰ ταῦτα εἶχεν, ὅτι χρῷτο αὐτοῖς. ἀλλ' ὥσπερ οἱ γεωργοὶ πολλοστῷ μηνὶ τῶν σπερμάτων τὴν ἐπικαρπίαν κομίζονται, καὶ οὐχ ἅμα τῷ καταβαλεῖν· οὕτω καὶ ἐκείνους Μιλτιάδης παλαιαῖς ὁμολογίαις καταλαβὼν, εἶχεν ἐν καιρῷ χρησίμους· οὐκ ἐπὶ τῆς χρείας λαμβάνοντας τὰ μαθήματα (αἰσχρῶς γὰρ ἂν οὕτω* γε χορὸς ἠγωνίσατο αὐτῷ) ἀλλ' ἐπὶ τῆς ἐξουσίας εἰς τὴν χρείαν ἠσκημένους. οὗ ἕνεκεν καὶ Μιλτιάδου προεστῶτος τοὺς μὲν ὡς πλεῖστον τῆς ἐκείνου δυνάμεως ἀπολαῦσαι, τοὺς δὲ μέσως· κἀν τῷ μέσῳ τὸ παράλλαξ αὖ τίθει. γένοιτο δ' ἄν τις ἐν πλήθει καὶ περὶ ὦτα ἀτυχέστερος· οὐ τοὶ πάντας οὐδ' ὁ ἥλιος οἷός τε ἐστὶ θερμαίνειν· ἀλλ' ἤδη τις ἐν καθαρᾷ τῆς μεσημβρίας ἐρρίγωσε, τῆς καταβολῆς ἐπελθούσης. ἀλλ' ἐκεῖνος ὁ καιρὸς ὥσπερ κήρυξ ἐκάλει τῶν Ἑλλήνων τὸν ἀνδρειότατον, καὶ τὸν ἐκ πλείστου τοῖς ἀρίστοις λογισμοῖς ὡμιληκότα, καὶ ὅστις οἶδεν ὅπως δεῖ σώζειν τε καὶ σώζεσθαι. εἰ δ' ἀπ' αὐτῶν τῶν κηρύκων ἀρξάμενοι, καὶ τῆς ἀποκρίσεως προσηγόρευον Ἀθηναίοις, ὅτι δεῖ μελετᾶν τὸν ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἀγῶνα, καὶ μὴ λιπεῖν τὴν τοῦ φρονήματος τάξιν· καὶ αὐτὰ ὅπλα ῥίψαντας, οὐδὲ τοῖς φόβοις εἴξαντας, ἀλλ' ἀναλαβόντας τὰ ὅπλα καὶ τῶν φόβων κρείττους γινομένους· μᾶλλον δὲ ἕνα τοῦτον φόβον καὶ δεινὸν καὶ ἀφόρητον νομίσαντας, εἶξαι τοῖς χείροσι, καὶ παραχωρῆσαι τοῦ πατρίου σχήματος. εἰ ταῦτα λέγοντας, καὶ οὕτω παρεσκευασμένους, ἠξίουν ἀπαντᾶν ἐπὶ τὴν κρίσιν τὴν περὶ τῶν ὅλων, καὶ δέξασθαι τὸ ἐκβησόμενον ὡς ἐπ' ἀμφότερα ὁμοίως κερδανοῦντας· οὐχ ὁρῶ τινα ταῦτ' ἔχει διακονίας αἰσχύνην, ἢ πῶς ἔοικε τοῖς τοῦ κυβερνήτου λογισμοῖς; ὁρᾷς, ὅσῳ κυβερνήτην παρελήλυθε. καὶ γάρ τοι ὅσοι μὲν τοῦτ' ἐπείσθησαν αὐτῷ, σεμνοὶ σεμνῶς κεῖνται· κάλλιστα δὴ πάντων Ἑλλήνων καταλύσαντες τὸν αἰῶνα, μνημεῖον τῆς ἀρετῆς τὸν τάφον κεκτημένοι· καὶ ὑπὸ γῆς ὄντες, τὴν γῆν φυλάττοντες αὐτήν, ἀλλ' οὐχ ὑπ' αὐτῆς ἐχόμενοι. τῆς Ἡσιόδου προσρήσεως ἐγγύτατα ἥκοντες μετέχειν, ἣν ἐκεῖνος εἰς τὸ τοῦ χρυσοῦ γένους τελευτὴν ἐποίησεν, εἰπών·

> οἱ μὲν δαίμονες ἁγνοὶ ὑποχθόνιοι καλέονται,
> ἐσθλοί, ἀλεξίκακοι, φύλακες θνητῶν ἀνθρώπων.

κἀκείνους πλὴν ὅσον οὐ δαίμονας, ἀλλὰ δαιμονίους καλῶν, θαῤῥούντως ἂν ἔχοις λέγειν ὑποχθονίους τινὰς φύλακας, καὶ σωτῆρας τῶν Ἑλλήνων ἀλεξικάκους· καὶ πάντα ἀγαθούς, καὶ ῥύεσθαί γε τὴν χώραν οὐ χεῖρον, ἢ τὸν ἐν Κολωνῷ κείμενον Οἰδίπουν, ἢ εἴ τις ἄλλοθί που τῆς χώρας ἐν καιρῷ τοῖς ζῶσι κεῖσθαι πεπίστευται. καὶ μὴν τεχνικόν γε εἶναι περὶ λόγους Πᾶνα τὸν Ἑρμοῦ, Πλάτωνος ἡ φωνή. σκέψαι δὴ καὶ τοῦτο, ὁπόσον τι τῆς ἐκείνου σωφροσύνης τεκμήριον· καὶ ὅτι, εἰ χρυσῆν ἐτύγχανεν ἔχων τὴν ψυχήν, οὐκ ἂν αὐτῇ καλλίω βάσανον προσήνεγκεν. οἶμαι δὲ κἂν ἐν θεῶν δικαστηρίῳ κρινόμενον Μιλτιάδην ἁπάσας ἀποφυγεῖν· οὐχ ὥσπερ τὸν Ὀρέστην φασὶ τὰς ἡμισείας μεταλαβόντα· εἰκότως. ὁ μὲν γὰρ τὴν μητέρα ἀπέκτεινε δικαίως· ὁ δὲ τὴν Ἑλλάδα ἔσωσε δικαίως· καὶ τὰ σῶστρα κάλλιστα αὐθαιρέτων ἐξέτισεν, οὐ μόνον τῇ πατρίδι,

al. οὐ χείρω.

docuerat Athenienses, nullum præter leges agnoscere dominú, nec* iusto & iniusto potiorem habere quemquam metum, nec tam valétē necessitatem, propter quam deteriores fierent: per iustum verò & iniustú illis vti poterat. Sed quemadmodú agricolæ aliquot post mensibus, non mox post sementé, messem faciút, & simul omnia non faciunt, ita Miltiades illo quoque antiquis pactis suoscúm fecisset, habebat in tépore paratos, qui non in necessitate operam disciplinis darent, (turpiter enim hic se gessisset chorus) sed per otium se ad necessitatem comparassent.

* καὶ ὁ δι...

Quapropter etiam sub Miltiade pone alios plurimum ex illius facultate percepisse, alios mediocriter, atque in hoc vicissitudinem colloca: nam & in populo quispiam aures habet surdiores. Quid? quod nec Sol quidem omnes potest calefacere; atque aliquis meridie serena sub accessionem febris aliquando riguit. Verùm hæc res instar præconis fortissimos quosque Græcorum euocabat, & qui dudum optimis consiliis antè valuissent, ac quomodo seruare seruari que deberent, scirent. Sin ab ipsis præconibus ac responso exorsi iniunxerunt Atheniensibus, vt certamen pro Græcorum libertate meditarentur, nec gloriam suam proiicerent, neque abiectis armis metui cederent, verùm iis resumptis metum abiicerent, atque hoc potius grauissimè metuerent, ne deterioribus, nec auitæ dignitati cederent: si hoc eos modo ad commune de summa rerum certamen occurrere voluerunt, & euentum exspectare, quasi in vtramque partem felices æquè essent futuri, non video quid in hac re fuerit vilis ministerij, aut quomodo hæc gubernatoris sint consilio similia? Vides igitur quanto superet gubernatorem interuallo. Atque ij quidem quotquot huic paruerunt, magnanimi magnificè mortui sunt, & omnium Græcorum præclarissimam mortem obierunt, sepulchrum pro virtutis monumento consecuti, & cum sub terra iaceant, ipsam conseruant terram, nec ab ea seruantur, ad Hesiodi appellationem proximè accedentes, quam ille ad finem aurei generis vsurpauit his verbis:

> *Diui sub terris sacrique bonique vocantur,*
> *Custodes hominum, depulsorésque malorum.*

Hesiodus lib. 1.

Nam & illos si non diuos, sed diuinos appellaueris, meritò possis subterraneos quosdam custodes & conseruatores Græcorum, malorum depulsores, & vndique optimos dicere: ac regionem non minus tutam præstare, quam in Colono situm Oedipum, aut si cuius alibi sepulchrum viuis prodesse creditur. Quid quod artificem esse dicendi Panem Mercurij F. Platonis est dictum. Iam & hoc modestiæ illius signum considera, quódque si vel aureum habuisset animum, non cum potuisset explorare diligentius. Quid? quod existimo Miltiadem etiam, si deorum subiret iudicium, omnium calculis obsolutú iri, nec, vt Orestes, alteram dumtaxat partem consecuturum, nec iniuria. Nam vt ille matrem iustè occidit, ita hic Græciam iustè seruauit, nec patriæ modò

Vide Sophoclis tragœdiam.

ὥσπερ μεθισταμένης ἑτέρωσε τῆς οἰκουμένης, καὶ βασιλεὺς ἀπῄει, δεδιὼς, μὴ οὐ δέξαιτο τὸ πλῆθος ἡ Ἑλλάς, ὥσπερ ἀρχὴ γῆς [πάσης] τοῦ στρατοπέδου γιγνόμενον, καθὸ βούλοιτο, ἀεί. καὶ οὐ τοσοῦτόν γ' αὖ αὐτοὺς ἡ τοῦ ἡλίου συμβᾶσα ἔκλειψις ἐξέπληξεν, ὅσον ἡ τῆς γῆς καὶ θαλάττης ἔκλειψις γενομένη πρὸς τὴν τοῦ βασιλέως, ἐμοὶ δοκεῖν, ἐπιθυμίαν μᾶλλον ἢ χρείαν. πρὸς τούτοις, τείχη μὲν ᾠκοδομεῖτο, ὅπως ἀριθμοῖεν κατὰ μυρίους· ὁ δὲ *ἥλιος συνεκρύπτετο τοῖς τοξεύμασιν. ἦν δὲ πλήρης ἡ μὲν θάλαττα νεῶν, ἡ δὲ γῆ πεζῶν, ὁ δὲ ἀὴρ βελῶν. παρεῖναι καὶ μέλλειν ἴσον ἦν, ὥστε ἔχεσθαι πάντας· πάντα δὲ, ὥσπερ τοῦ Ποσειδῶνος κατιόντος, ἐσείετο. πάντα δὲ τὰ ἐπιόντα Θεμιστοκλῆς εἰς ἑαυτὸν ἀναδεξάμενος, καὶ τὴν αὑτοῦ γνώμην ὑποθεὶς, ἀντ' ἄλλου τοῦ φυλακτηρίου, καὶ μόνος ὀρθοῖς τοῖς ὀφθαλμοῖς ἀντισχὼν ἅπασι καὶ τοῖς παροῦσι καὶ τοῖς ἐπιοῦσι πράγμασι, καὶ οὐκ ἀποστραφεὶς, ὥσπερ οἱ πρὸς τὸν ἥλιον βλέποντες· ὃ πᾶσι μικροῦ δεῖν συνέβη τοῖς τότε. οὐκ αὖ εἴποιμι ὡς οὐκ ἐψεύσατο τῆς ἐλπίδος τοὺς Ἕλληνας, ἀλλὰ καὶ πολὺ τὴν προσδοκίαν ἐνήλλαξεν αὐτοῖς. οὐδὲν γὰρ τῶν ἐσχάτων, ὅτι οὐ πείσεσθαι τῶν πολλῶν νομιζόντων, καὶ βλεπόντων εἰς αἰσχρὰς μηχανὰς, καὶ ἀπόρους καταφυγὰς, τοσοῦτον μετέστησε τὰ πράγματα· ὥστε εἴ τις ὕστερον αὐτοὺς ἀπελθόντων τῶν βαρβάρων ἤρετο, εἰ ἐβούλοντο ἂν μήτ' ἐκείνους ἐπιστρατεῦσαι, μήτε σφίσι ταῦτα πεπρᾶχθαι· μήτε τοὺς κινδύνους σφίσι, μήτε τὰς πράξεις γεγενῆσθαι· τεθνάναι πάντας ἂν εἰπεῖν ἐθέλειν μᾶλλον, ἢ ταῦτα ἄπρακτα αὐτοῖς εἶναι.

* al. ἔων.

[μικροῦ δεῖν, παρ' ὀλίγον, σχεδὸν, ἐγγὺς ἧκεν, οὐ πόρρω ἦν, οὐ πόρρω εἰπεῖν, ὡς εἰπεῖν, ὡς ἔπος φάναι, ὡς τὸ ἔπος φάναι, ὀλίγου δεῖν, ὀλίγου δέω φάναι, μονονουχί.]

Οὕτως οὐ μόνον τὰς ἐλπίδας, ὅσοι γε καὶ τὰ μήκιστα ἤλπισαν αὐτῶν, ἀλλὰ καὶ τὰς εὐχὰς τῶν πλείστων *ὑπερεβάλλετο. εἰπὲ γὰρ, ὦ πρὸς τῶν θεῶν! εἰ δὲ μὴ, ἄλλος τις κληρονομείτω τοῦ λόγου, λεγέτω, δεικνύτω, τί χρῆν πράττειν τὸν Θεμιστοκλέα τότε, καὶ πῶς χρήσασθαι τοῖς παροῦσι; πότερον εἰς τὴν πνύκα συλλέξαντα Ἀθηναίους περὶ τῶν ἰδεῶν αὐτοῖς διαλέγεσθαι, καὶ διδάσκειν τί αὐτοδίκαιον, καὶ τί αὐτοκαλόν; καὶ τί τὸ ὂν μὲν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον; ταχέως μέντ' ἂν αὐτοὺς καὶ γένεσις, καὶ τὰ ἤθη, καὶ πάντα ἐπέλιπεν. ἀλλ' ὅθεν ἀνδρεία τὸ πρῶτον ἐκλήθη, καὶ ὅθεν δειλία, ζητεῖν; καὶ πότερον ῥεῖ τὰ πάντα, ἢ οὔ; ἔγνωσαν μέντ' ἂν κακῶς ῥέοντα τὰ πάντα αὐτοῖς· ἀλλὰ τί μὴν ὅλως ἔδει λέγειν, ἢ ποιεῖν; τρίτον γὰρ ἤδη [αὐτὸ] τὸ ἐρώτημα, ὥσπερ σύνθημα, πρόσεισι. πόθεν ἐξετάσομεν τὸν Θεμιστοκλέα; πότε σύμβουλος τῷ ὄντι καὶ προστάτης καὶ ἡγεμὼν ἦν; ἢ τί καὶ ἄλλο πρέπον ἀκοῦσαι. καὶ μὴν δεῖ γε δυεῖν θάτερον, ἢ τὰ πραχθέντα ὑπ' αὐτοῦ μέμψασθαι, τινα *ἔχει; ἢ δεῖξαι, τί δέον πρᾶξαι παρέλιπε, τὸ ῥᾷον καὶ ἥδιον ἀντὶ τοῦ καλοῦ προελόμενος; καίτοι τήν γε ὕστερον τῶν πραγμάτων σοφίαν, καὶ τοὺς ἐπὶ τῆς ἀδείας ἐλέγχους, οὐδὲν ἔχειν λαμπρόν φασιν, ἀλλ' ὑπερήφανον. ἐγὼ δ' οὖν καὶ τοῦτο συγχωρῶ· κἄν τις ἀμείνω τινὰ πρᾶξιν, ἢ λόγους βελτίους, ἢ προαίρεσιν δικαιοτέραν, ἢ τοῖς πᾶσι βελτίω δείξῃ τοῦτο ἐγχειροῦσαν, παρ' ἣν ἐκεῖνος ἐνεστήσατο, ἕτοιμος αὐτὸς τῆς αἰτίας κληρονομεῖν.

* ὑπερεβάλλοντο.

* al. ἔχειν.

ARISTIDES.

quasi in alium locum terra migraret, ac metuebat Rex, ne non caperet omnes Græcia, & quácunque volebat castrorum partem, quasi toti imperaret orbi, occupabat.

Nec eos tantum Solis perterruit, quantum maris ac terræ defectus, ad cupiditatem potius, vt arbitror, quàm vsum regis procuratus.

Deinde muri extruebantur, vt simul decies mille numeraret viros, Sol autem telis obtegebatur, ac mare nauibus, terra militibus, aër iaculis erat plenus. Præsentia quoque & futura eodem habebantur loco, sic vt omnes tenerentur, omniáque tanquam Neptuno descendente commouerentur. Themistocles cùm in se suscepisset omnia, suumque consilium propugnaculi instar constituisset, & solus rectis oculis, tum præsentibus omnibus, tum futuris rebus obstitisset, nec vt ij qui Solem aspiciunt, se auertisset, quod omnibus propemodum acciderat, non modò Græcorum spem non fefellit, sed & exspectationem magnopere mutauit. Nam cùm plerique nihil non extremum se perpessuros crederent, & ad turpes rationes ac difficilia perfugia se conferrent, tantam fecit rerum mutationem, vt si quis eos discessum barbarorum interrogasset, num nec illos bellum intulisse, nec se res eas gessisse, eáque discrimina subiisse vellent, mortem sibi omnes potius, quàm vt ista non peregissent, optaturi fuissent.

SCHOLION.

[*Parum abesse, ferè, propemodum, propius factum est nihil, non procul erat, non procul dixero, vt ita dicam, vt dictum videatur, vt id dictum dicam, parum abesse, parum abest quin dicam, tantum non.*]

Vsque eo non spem tantùm, etiam qui longissimè spectauerunt, sed & votum fere omnium superauit. Dic enim per Deos (aut alius sermoni succedat) quid facere tum Themistoclem oportuerit, in eo rerum statu? Vtrû conuocatis Atheniensibus, de Ideis disserere, ac quid esset ipsum iustû, & ipsum honestum docere, quidque semper esset, nec vllû haberet ortû? Ac cito eos & ortus, ac natura & omnia defecissent: An id vnde primum fortitudo sit & ignauia dicta, quærere, & vtrum fluerent an non omnia? an malè res suas fluere comperissent. Verùm quid omnino dicendum aut faciendum erat? Hæc enim tertia iam interrogatio, quasi tessera, profertur. Vnde verò Themistoclem examinabimus, vtrum reuera consiliarius, præfectus ac dux fuerit, an aliud mereatur nomen, Atqui est alterutrum necesse, vt vel res ab eo gestas quis reprehendat, vel quid, quod faciendum fuerat, omiserit, prælata honestati voluptate ac facilitate, ostendat. Et quanquam prudentiam res gestas subsequentem, & in otio factas reprehensiones, non esse magni momenti tradunt: tamen etiam hoc concedam, ac si quis vel factum melius, vel sermones præstantiores, vel consilium iustius adhiberi potuisse ostenderit, vel omnibus vtilius per quod ipse instituitur, ipse crimen in me suscipiam.

Platonis dogmata.

ARISTIDES.

SCHOLION.

[*Vel sic dicas, non esse magni momenti dicunt. Multa enim quæ studio ac meditatione benè consueta apparuerunt, suo tempore malorum causa fuisse visa sunt. Vel etiam sic: Multa enim in consiliis iudicata recta esse, exequendo damna attulerunt: similiaque non plura alia, sed talia nunquam, eaque manifestè malefacta, neque consueta accusatis, non magnam præbeant licentiam loquendi. Vel sic: Accusati non satis coniunctè facere videantur, si hic pro se causam dicant. Etenim quomodo consentient cum gestis non rectè præcedentibus tanquam benè. in his enim inerat necessitas vnde processit enthymema, in illis verò necessitas nulla, & epicheirematis substantiam constituit.*

Ipse qui sciebat futurum, si summum ius quærerent, & de principatu contenderent, vt pessum irent omnia, nec quid agerent scire possent: ipse inquam Atheniensibus persuaserit, vt sese submitterent, ac Lacedæmoniis in præsentia principatum concederent, eundem seipsis à volentibus Græcis recuperaturum pollicitus. Nec vero fidem fefellit, ac nomen potius ferè principatus, quàm ipsum iussit imperium concedere. Nam si rem spectemus ipsam, sibi imperium, illis nomen detulerunt, ac præter communem salutem, & cum hostes fortitudine, tum socios mansuetudine superatos, dignitatem quoque præclarissimam sunt & augustissimam consecuti, quandoquidem ducum duces erant redditi. Hoc edictum non adulator, quantum iudicio, nec qui oculos demitteret, aut auditoribus se submitteret, sed Deorum aliquis per Themistoclis os protulit. Cùm videret ipsos lacrymantes, audiret liberos ac mulieres quiritantes, aliquot necessariò relinqueret, ac videretur vrbs propemodum vi capta, meritò, (nam & futura erant omnibus incerta, paruáque spe atque infida subnixa, & præsens rerum status, amissionem vrbis, bonorum vitæque totius prioris continebat.)

Eosque tanquam pueros firmo animo & cogitationibus, non oculis tantum stantibus deducebat. Nonne ergo indignum est, ò terra, ac Dij, dictorum factorúmque duces (nec enim cohibere me possum) Socratem fugientem laudare, eumque Lachete honestius discessisse dicere, Themistoclem autem, qui fugandis hostibus, non fugiendis fortitudinem piam declarabat, eiusque virtutis fructum tota percepit Græcia ignauiæ ac molliciei nomine tam facilè donare. Qui etiam ex Eubœa victor intercedebat, ea gessit interea, quæ nemo vnquam aliorum ad fugam festinantium. Et ais non esse magni admodum pretij salutem. Quin ergo Diis etiam seruatoribus, qui & singulatim nos conseruant, & earum rerum serendarum Græcis tunc auctores fuerunt. Verum omittam maledictionem: quid autem consequatur, difficilius est conijcere ex oratione, quam explicare.

[ἢ οὕτως ἐρεῖς, οὐδέν φασι λαμπρὸν, οὐδ' ὑπερήφανον. πολλὰ γὰρ ἃ κατὰ μελέτην ἔδοξεν ἄριστα βεβουλεῦσθαι, ἐπὶ τῶν καιρῶν ἐδείχθη τῶν ἀτυχημάτων αἴτια φανέντα· ἢ καὶ οὕτω. πολλὰ γὰρ ἐν ταῖς βουλαῖς τὴν κρίσιν τοῦ νικᾶν λαβόντα, ἐπὶ τῆς χρείας τὴν αἰτίαν ἀπηνέγκατο τῆς * ἀτυχίας· καὶ οὐκ ὀλίγα ἄλλα τοιαῦτα. ἀλλὰ μή ποτε τοιαῦτα, καὶ τὰ περιφανῶς οὐκ εὖ πεπραγμένα, οὐδὲ βεβουλευμένα τοῖς αἰτιωμένοις, οὐ πολλὴν παρέχοι τὴν παῤῥησίαν. ἢ οὕτω * τοῖς αἰτιωμένοις δόξειεν ἂν εἰς οὐκ εὔλογον ποιεῖν, ἀποβλέπων ἀπολογίαν· ἀλλὰ γάρ πως ἀπαντήσει ταῦτα τοῖς μὴ ὀρθῶς προελθοῦσιν, ὥσπερ τοῖς οὐ φαύλως. ἐν ἐκείνοις μὲν γὰρ ἐνῆν τὸ δέον, ἐξ οὗ προήγετο τὸ ἐνθύμημα· ἐν τούτοις δὲ τὸ μὴ δέον προφαινόμενον, καὶ αὐτὴν ἐπέχει τὴν χώραν τοῦ ἐπιχειρήματος.]

Συνιδὼν ἐκεῖνος, ὁ πάντα ἄριστος, ὡς εἰ τὸ δίκαιον ἀκριβῶς ἐξετάζοι, καὶ στάσις ἐγγένοιτο ὑπὲρ τῆς ἡγεμονίας· ἅπαντα ἀπολεῖται κακῶς, καὶ οὐχ ἕξουσιν ὅτι χρήσονται· πείθει τοὺς ἀθηναίους ὑφίεσθαι, καὶ συγχωρῆσαι τοῖς λακεδαιμονίοις ἐν τῷ τότε τὴν ἡγεμονίαν, ὑποσχόμενος, παρ' ἑκόντων αὐτοῖς τῶν ἑλλήνων * αὐτὴν ἀνακτήσασθαι· καὶ οὐκ ἐψεύσατο. σχεδὸν δέ τι καὶ τοὔνομα τῆς ἡγεμονίας, ἀλλ' οὐκ αὐτὴν ἔπεισε παρεῖναι. ἐπεὶ τό γε ἀληθὲς εἰπεῖν, αὑτοῖς μὲν τὴν ἡγεμονίαν, ἐκείνοις δὲ τὴν ἐπωνυμίαν ἀνέθεσαν· καὶ περιεγένετο αὐτοῖς πρὸς τῆς σωτηρίας τῆς κοινῆς, τὸ τῶν μὲν πολεμίων, ἀνδρείᾳ· τῶν δὲ συμμάχων, πρᾳότητι κρατῆσαι· καὶ τὸ σχῆμα τῷ παντὶ κάλλιον, καὶ σεμνότερον· ἡγεμόνων γὰρ ἡγεμόνες κατέστησαν. τοῦτο τὸ ψήφισμα, οὐ κόλαξ (ἐμοὶ δοκεῖν) ἄνθρωπος, οὐδὲ κάτω βλέπων, οὐδ' ὑποπεπτωκὼς τοῖς ἀκούουσιν· ἀλλὰ θεῶν τις διὰ τῆς Θεμιστοκλέους * γλώσσης ἐφθέγξατο. ὥστε ὁρῶν μὲν αὐτοὺς δακρύοντας, ἀκούων δὲ παίδων καὶ γυναικῶν ποτνιωμένων, ἔτι δὲ ὑπολειπομένων τινῶν ἀναγκαίως. παραπλησίου δὲ μάλιστά πως ὄντος, ὥσπερ εἰ ἑαλωκυίας τῆς πόλεως κατὰ κράτος· εἰκότως. τὸ μὲν γὰρ μέλλον ἦν ἅπασιν ἐν ἀφανεῖ. λεπτὴν καὶ ἄπιστον ἔχον τὴν ἐλπίδα· τὰ δὲ παρόντα, στέρησις πόλεως, καὶ κτημάτων καὶ διαίτης ἁπάσης τῆς προτέρας. καὶ παραλαβὼν αὐτοὺς ὥσπερ παῖδας, ἀξιομιζούσῃ τούτους ἐξῆγε τῇ ψυχῇ. καὶ τοῖς λογισμοῖς ἑστῶσιν, οὐ μόνον τοῖς ὀφθαλμοῖς. οὐκοῦν δεινὸν, ὦ γῆ καὶ θεοί! καὶ λόγων καὶ ἔργων ἡγεμόνες. ἐξάγομαι γὰρ εἰπεῖν, Σωκράτη μὲν καὶ τῆς φυγῆς ἐπαινεῖν, καὶ φάσκειν ἐκεῖνον ἀναχωρεῖν κάλλιον Λάχητος. Θεμιστοκλέα δὲ ὡς διώκων, οὐ φεύγων τοὺς πολεμίους τὴν ἀνδρείαν ἐπεδείκνυτο, καὶ οὗ τῆς ἀρετῆς ἀπέλαυσεν ἅπασα ἡ ἑλλάς· ἃ τῆς δειλίας καὶ τῆς ἀνανδρίας ἐστὶν ὀνόματα, τούτοις καλοῦντα μὴ φροντίζειν· ὃς καὶ ὅτ' ἀπ' εὐβοίας ἀνεχώρει νενικηκὼς, τοιαῦτα ἐν μέσῳ διεπράττετο. οἷα ἂν οὐδείς πω τῶν ἐπειγομένων ὁπωσοῦν ἀπελθεῖν. εἶτα λέγεις, ὡς οὐ πολλοῦ τινος ἡ σωτηρία ἄξιον. τί οὖν κωλύει καὶ τοῖς σωτῆρσι θεοῖς, οἳ καὶ καθ' ἕνα ἡμᾶς σώζουσι, καὶ τότε ἐκεῖνα κατεργάσασθαι τοῖς ἕλλησι παρέσχον. ἀλλ' ἐγὼ μὲν ἐάσω τὸ βλάσφημον· ὑπονοεῖν δέ ἐστι τό γε ἐκ τοῦ λόγου συμβαῖνον, ἢ πάνυ σφόδρα ἄν τι δόξειε λέγειν.

* al. Συντυχίας.
* al. τοῖς αἰτιωμένοις.
* ταύτην.
* δίξω, M. M.

σχόλιον. [ἀντὶ τοῦ οὐδαμῶς μὲν παραλαμβάνεται τὸ ἥκιστα· ἐνταῦθα δὲ ὁ Ἀριστείδης ἀντὶ τοῦ πολλῷ πλέον ἔλαβεν. εἰρωνικῶς δὲ τὸ πολλῷ πλέον εἶπεν· οἷον οὐδόλως. καὶ πολλάκις οὕτω τῷ ἥκιστα ἀντὶ τοῦ πολλῷ πλέον χρῆται· μᾶλλον δὲ σχεδὸν ἀεί.]

καὶ μὴν οὐχ ὅμοιον ἐν μέσῃ τῇ θαλάσσῃ περὶ τῶν ἐν τῷ πλοίῳ λέγειν, καὶ τὴν εὐψυχίαν τὴν αὐτοῦ δεικνύναι, καὶ καθήμενον ἔξω τῆς ζάλης ὑπὸ τῷ τειχίῳ· ἃ Πλάτων παντὸς μᾶλλον καλῶς εἰδὼς, ἑκὼν ὑπερβαίνει, καὶ κατηγορεῖ Θεμιστοκλέους ἐμβιβάσαντος Ἀθηναίους εἰς τὰς τριήρεις.

σχόλιον. παροιμία: τάττεται δὲ ἐπὶ τῶν ἄλλα ἀντ' ἄλλων ποιούντων ἢ ἐωμένων. παρῆκται δὲ ἀπὸ τοῦ τὸν Πρίαμον καὶ τὴν Ἑλένην ἐκ τοῦ τείχους θεωροῦντας τοὺς Ἕλληνας, περὶ αὐτῶν διαλέγεσθαι.]

ἐγὼ δ', εἰ μὲν ἦν ἕτερον τρόπον νικῆσαι, ἢ καὶ σωθῆναι τὸ πρῶτον· τάχα ἄν τι τάξεις ἐμὴν τοὺς λόγους εἶναι. ὅτε δ' ἦν αἵρεσις, ἢ ναυμαχοῦντας κρατεῖν, ἢ κατὰ γῆν ἀπολωλέναι· πῶς ἦν ἴσον; ἢ τίς ἡ θαυμαστὴ φιλοσοφία, τεθνάναι μάτην, ἐξὸν μετὰ τῆς μεγίστης εὐδοξίας σωθῆναι; ἀρχὴν δ' ἔγωγε οὐκ ἐπινοῶ, τί διαφέρει, κατὰ γῆν μὲν νικῆσαι, καλὸν εἶναι· ἐν θαλάττῃ δ' αἰσχρόν; ἢ τὴν μὲν κρανίαν καὶ τὴν βύρσαν πολλοῦ τινος ἀξίαν εἶναι· τὰ δὲ νήϊα καὶ τοὺς κωπέας τοῦ μηδενός.

σχόλιον. [Λείπει τὸ δεῖ νομίζειν. κρανίαν, τὴν περικεφαλαίαν λέγει· βύρσαν δέ, τὸ ὅπλον, παρὰ τὸ ἔχειν βύρσαν περὶ αὐτό· νήϊα δέ, τὰ σχοινία· κωπέας δέ, τὰ ξύλα τὰ πρὸς κώπας ἐπιτήδεια.]

εἰ δ' ἅπασα μὲν ἡ γῆ κατείληπτο, ἐπέρρει δὲ ὥσπερ θαλάττης ἐπίκλυσις ὁ στρατὸς, πάντα δὲ ἀφειδῶς ἀνηρπάζετο· ἀναβλέπειν δὲ οὐκ ἦν, ἀλλ' ἐν τοῖς στενοῖς οὐ τῆς Πελοποννήσου μόνον, ἀλλὰ καὶ τῶν ἐλπίδων ἐκάθηντο· ἀπέκειτο δὲ μήτε γῆς μήτε θαλάττης εἶναι μηδαμοῦ· τί ταῦτα τὰς Ἀχαιοὺς ἀπὸ τοῦ πύργου κρίνομεν.

(παροιμία· ὥσπερ, ὁ Πρίαμος ἐκ τοῦ τείχους καὶ Ἑλένη.)

μόνος δή μοι δοκεῖ πάντων ἀνθρώπων ἢ κομιδῇ γε ἐν ὀλίγοις δεῖξαι Θεμιστοκλῆς ἀληθῆ τὸν λόγον ὄντα, ὃν πάλαι μὲν Ἀλκαῖος ὁ ποιητὴς εἶπεν, ὕστερον δὲ οἱ πολλοὶ παραλαβόντες ἐχρήσαντο· ὡς ἄρα οὐ λίθοι οὐδὲ ξύλα, οὐδὲ τέχνη τεκτόνων αἱ πόλεις εἶεν, ἀλλ' ὅπου ποτ' ἂν ὦσιν ἄνδρες αὑτοὺς σώζειν εἰδότες, ἐνταῦθα τείχη καὶ πόλεις. εἰ μὲν *οὖν αὐτὴ γνώμη μόνον περὶ τούτων ἐκέχρητο Θεμιστοκλῆς, ἐκείνου τίς ἂν εἴποι αὐτὸν τὴν κατηγορίαν πεποιῆσθαι; ἐπεὶ δὲ καὶ θεὸς ταῦτα ἀγγέλλων φαίνεται· ἐγὼ μὲν ὀκνῶ λέγειν, πᾶς δ' ἄν τις συνίη τὸ λοιπόν. ὁ δ' οὖν Θεμιστοκλῆς λαμπρῶς ἀποφεύγει τὴν αἰτίαν. τοῦτον γὰρ *ἔν μοι τῆς ἀπορίας διαλύσαντες, ἕως ἀπονείμωσι τιμὰς τὰς αὐτὰς τῷ Ἀπόλλωνι, στήσαντες παρὰ τὸν τρίποδα τὸν ἐν Δελφοῖς, ὃν οἱ Ἕλληνες ἔστησαν ἐκ τοῦ τοὺς βαρβάρους καταπολεμῆσαι, καὶ τὰ ἐκείνων λαβεῖν ἀπὸ τῶν βαρβάρων, ἀνέστησαν. ὁ μὲν τοίνυν θεὸς θείαν προσεῖπε τὴν Σαλαμῖνα, ὡς ἐν αὐτῇ μελλόντων ἔργων ἔσεσθαι κρειττόνων, ἢ κατὰ (πάντα) τὰ ἀνθρώπινα. Πλάτων δὲ τὸν ταῦτα κατειργασμένον, καὶ τὸν κομίσαντα αὐτοὺς εἰς τὴν Σαλαμῖνα, λυμήνασθαί φησι τοῖς πράγμασι, καὶ τῶν πρὸς ἡδονὴν ὑπηρετούντων οὐδὲν γενέσθαι βελτίω. καὶ γάρ τοι μετὰ τὴν ναυμαχίαν, συλλεγέντων εἰς τὸν ἰσθμὸν ἁπάντων, καὶ φερόντων τὴν ψῆφον ἀπὸ τοῦ βωμοῦ τοῦ Ποσειδῶνος περὶ τῶν ἀριστείων,

* ταύτῃ.

Ἰσθμ.

ARISTIDES. *ἥκιστα pro οὐδαμῶς capitur, hic autem Aristides pro πολλῷ πλέον accepit. Ironice vero dixit πολλῷ πλέον, velut non prorsus. & sic saepe ἥκιστα pro πολλῷ πλέον vtitur, quin ferè semper.

SCHOLION. Iam aliud est in mari medio de re nautica disserere, suámque ostendere fortitudinem, aliud extra tempestatem * ad parietem sedentem. Quæ cùm Plato probè sciat, sponte negligit, & Themistoclem accusat, qui Athenienses in triremes compulerit.

SCHOLION. [* Prouerbium. Dicitur in eos qui aliud pro alio faciunt aut permittunt. ortum à Priamo & Helena, qui è muris Græcos de se disserentes videbant.]

Ego verò, siquidem vincere quis posset, vt non se seruaret prius, aliquid à te dici putarem; cùm autem vel nauali prœlio vincendum, vel terrestri pereundum fuerit, quæ hæc fuisset philosophia, cùm liceat magnificentissimè seruari, temerè mori? Ac prorsus equidem non intelligo, cur terrestris victoria pulchra sit, turpis marina, vel cassis atque corium magni sint pretij rudentes ac remi nullius.

SCHOLION. [Deest δεῖ νομίζειν. κρανίαν; pro galea dicit, βύρσαν vero pro armis, quod corio tegerentur: νήϊα funes. κωπέας verò, ligna necessaria ad remos.]

Sin tota erat occupata terra, exercitus instar maris inundabat, omnia diripiebantur, nec vel respicere licebat: Verùm in angustia non Peloponesi modo, sed etiam spei sedebant, nec vsque vel terrarum vel maris futuri credebantur, cur ita de Achiuis ex turre iudicamus.

SCHOLION. [Prouerbium. Vt Priamus & Helena ex muris.]

Solus porrò vel inter paucos admodum videtur hoc dictum Themistocles comprobasse, quod cùm Alcæus poëta protulisset olim, multi postea vsurparunt: *Non lapides, non ligna, nec fabrorum artem ciuitates efficere: sed vbi viri sunt, qui se ipsos seruare norint, ibidem & vrbes esse & mœnia.* Ita si suo duntaxat consilio his in rebus vsus esset Themistocles, cur quis diceret ab illo fuisse accusatum? Cùm autem Deus quoque idem iusserit, quid consequatur, vt equidem vereor dicere; ita quiuis facile intelligit, Themistocles certè prorsus absoluitur.

Alcæus poëta Lyricus.

Hunc enim si soluerint nodum, donec tribuant honores Apollini, iuxta Delphicum tripodem, quem de Barbaris dedicarunt Græci, STANTO.

Ac Deus quidem diuinam vocauit Salaminem, quippe ad quam maiora quàm pro viribus humanis erant facta peragenda. Plato autem horum auctorem, quique Salaminem illos deduxit, Græcis nocuisse dicit, nec iis, qui voluptati plebis subseruirent, meliorem prorsus exstitisse. Quare cùm post nauale prælium essent omnes in Isthmum collecti, & ex arca Neptuni de principatu sententiam ferrent,

ARISTIDES.

quamuis in ea liceat aliquã ingrati animi turpitudinem Græcorũ accusare, possumus tamen de cætero gratum animũ laudare, ac pro Themistocle suscipere. Cùm enim seipsum quisque primo posuisset loco, secundùm omnes pronũtiarũt Themistoclem. Ergo de principatu sententia ex eo quod est omnibus in natura situm, vt neminem quis magis quàm se diligat, præueniebat: ideoque nec momentum habebat vllum, nec erat venia indigna: Verùm quã de secundis ferebant partibus, ea veritatis erat illustre testimonium, nec eos aliter censere posse ostendebat. Quapropter si prædictum fuisset initio, ne quis sibi palmam tribueret, omnes erant Themistoclem pronuntiaturi, quem quidem omnibus aliis præferebant singuli: nec aliter primus, ac tum secundus fuisset. Similiter & nunc, postquam eum secundo posuerunt loco, perinde fecerunt, ac si primo posuissent. Verùtamen ne sic quidem inferiores tulit potius, quàm vtroque vicit. Nam prima quidem erat à veritate, & à seipso consecutus: quandoquidem idem quod alij, solus iustè fecerat: secunda verò iam ei concessa fuerant sic vt omni ratione primus esset. Et quoniam posteriores quoque clades eius recensere possem, ac quomodo totum negotium fuerit confectum, qualemque in his iste se præbuerit, declarare: vellem equidem eam nobis ab oratione afferri necessitatem, vt etiam de his esset dicendum. nam ea nec leuiora, ni fallor, vel minora forent iis, quæ iam relata sunt. Verùm quoniam & argumentum superant, & nimium crescit oratio, omittam ea, & hoc tantum hac etiam de re addam, eum postquam contra Græciam fuit militandum, mori maluisse, qua quidem re cum crimen omne dissoluit, tum ostendit manifestè, quanti priores gestas res & reipublicæ administrationem faceret, nec vnquam se scientem quidquam virtute & officio prius habiturum, non diuitias, non liberos, non spem, non ipsam salutem. Atque existimo equidem & sacerdotes, & quisquis alius Athenis preces faciebat, meritò tum quidem publicè quotannis hoc fuisse inter alia oraturos, vt aliquis apud ipsos Themistocli similis nasceretur, & inter cæterum prouentum hoc etiam bonum terra produceret. Nec enim minorem videntur mihi fructum fuisse percepturi, quàm si omnia cum centesimo, vel etiam maiore fœnore regio protulisset. Ac puderet me propemodum, cùm tot ac talia dixerim, testes insuper adhibere, nisi vnius esset aliquod momentum testimonij, quod proferendum censeo. Videamus ergo quid Æschines Socratis sodalis, Platonis autem condiscipulus dixerit: *Quoniam igitur Themistoclis ausus es vitam carpere, vide qualem adoriaris virum. Itaque cogita vnde sol oriatur, atque vbi occidat. Non est, inquit, hoc difficile, Socrates, cognoscere.* Pòstque plurimas laudes hanc quoque adiungit.

[Margin: Themistocles bello cadit.]

[Margin: Æschines Socraticus.]

[Tantum hic illi prudentia præstabat.] Quare cùm aliquando esset ex vrbe expulsus, gratias ei ceu conseruatori suo retulit, & cùm alia multa dona, tum Magnesia totius imperium dedit.

[Margin: Themistocles exsulatus.]

ἔξεστι μέν τι καὶ ἀγνωμοσύνην ἐνταῦθα κατηγορῆσαι τῶν ἑλλήνων, ἔξεστι δὲ τὸ λοιπὸν τῆς εὐγνωμοσύνης ἐπαινέσαι, καὶ λαβεῖν ὑπὲρ Θεμιστοκλέους. ἕκαστος γὰρ ἑαυτὸν πρῶτον φέρων, δεύτερον συνεξέπιπτον ἅπαντες φέροντες Θεμιστοκλέα. ἡ μὲν οὖν τοῦ πρωτείου ψῆφος, οἶμαι, τοῦ πᾶσι φύσει συμβεβηκότος ἀνθρώποις ἦν· τοῦτο δὲ ἐστι, μηδένα ἑαυτοῦ μᾶλλον φιλεῖν. ὥστε οὔτε ἰσχυρὸν εἶχεν οὐδὲν, οὔτε συγγνώμης ἀπήλλακτο. ἡ δὲ ὑπὲρ τῶν δευτέρων, σαφὲς ἤδη σύμβολον ἦν τῆς ἀληθείας, καὶ ὅτι οὐκ εἶχον ἑτέρως θέσθαι. ὥστε εἰ προείρητο ἐξ ἀρχῆς μηδένα ἑαυτὸν φέρειν, ἀλλ᾽ ἕτερον· Θεμιστοκλέα πάντες οἴσειν ἔμελλον, ὅν γε καὶ παντὸς ἄλλου πᾶς τις προὐτίθεσαν αὐτῶν· καὶ ὁμοίως ἂν πρῶτος ἐγίγνετο, ὥσπερ τότε δεύτερος. οὕτω καὶ νῦν δεύτερον εἶναι ψηφισάμενοι, πρωτεῖον ἐποίουν, ὥσπερ ἂν εἰ πρῶτον ἐψηφίσαντο. οὐ μὴν οὐδ᾽ οὕτως ἔλαττον ἔχων ἀπῆλθεν, ἀλλ᾽ ἀμφοτέροις ἐνίκησε. τὰ μὲν γὰρ πρῶτα, καὶ παρὰ τῆς ἀληθείας, καὶ παρ᾽ αὐτοῦ λαβὼν, εἶχε. τὸ γὰρ αὐτὸ τοῖς ἄλλοις ἐποίησε μόνος τῶν ἄλλων δικαίως: τὰ δὲ δεύτερα ἤδη συνεχώρητο, ὥστε ἐξ ἁπάντων πρῶτος ἦν. ἔχων δὲ λέγειν [πολλὰ] καὶ περὶ τῶν ὕστερον αὐτοῦ συμφορῶν, καὶ ὅπως ἂν ἅπαν τὸ πρᾶγμα συνεσκευάσθη, καὶ ὁποῖον τινα κἀν τούτοις παρέχει ἑαυτόν: ἐβουλόμην ἂν ἐν τούτῳ χρείας εἶναι τὸν λόγον, ὥστε καὶ περὶ τούτων ἐπείγειν εἶναι, διελθεῖν. οἶμαι γὰρ * οὐδὲ φαυλότερα οὐδ᾽ ἐλάττω τῶν εἰρημένων ἤδη εἰπεῖν ἂν περὶ αὐτοῦ. ἐπεὶ δὲ ἅμα τε ἔξω τῆς ὑποθέσεως ἐστι, καὶ μῆκος ἐπεισέρχεται τοῖς λόγοις· παραλείψω ταῦτα, τοσοῦτον ἐπιφθεγξάμενος καὶ περὶ τούτου τοῦ μέρους· ὅτι ἐπειδὴ ἔδει στρατεύειν ἐπὶ τὴν ἑλλάδα, προὔθηκεν τελευτᾶν· ἔργῳ μὲν * λύσας πᾶσαν αἰτίαν, δείξας δὲ ὁπόσου τιμᾶται τὰς προτέρας πράξεις, καὶ τὰ πολιτεύματα· καὶ ὅτι οὐδέποτε ἑκὼν εἶναι τοῦ καλοῦ καὶ τοῦ προσήκοντος οὐδὲν πρότερον ποιήσεται, οὐ πλοῦτον, οὐ παῖδας, οὐκ ἐλπίδας, οὐ τὴν σωτηρίαν αὐτήν. ἐγὼ μὲν οἶμαι καὶ ἱερέας, καὶ ἱερείας, καὶ ὅστις ἄλλος Ἀθήνησιν εὔχεται, δημοσίᾳ τότ᾽ ἂν εἰκότως καθ᾽ ἕκαστον ἔτος πρὸς ἅπασι τοῖς ἄλλοις προσεύχεσθαι, κατὰ γοῦν ἐκείνους τοὺς χρόνους, καὶ ἕως ἐξῆν, φῦναί τινα αὐτοῖς ἄνδρα ὅμοιον Θεμιστοκλεῖ, καὶ κατὰ τῆς ἄλλης φορᾶς, καὶ τοῦτ᾽ ἐνεγκεῖν τὴν γῆν τἀγαθόν. οὔκουν ἐλάττω γ᾽ ἂν ὄνασθαί μοι δοκοῦσιν, ἢ εἰ πάντα εἰς ἑκατὸν καὶ ἔτι πλείω τῆς χώρας αὐτοῖς ἐξενεγκούσης. ἄλλως μὲν τοίνυν ᾐσχυνόμην ἔγωγε ἐπὶ τοσούτοις, καὶ τοιούτοις, τοῖς εἰρημένοις μάρτυσι προσχρώμενος. ἔστι δέ τι πάρεργον μιᾶς μαρτυρίας, ἣν δεῖ παραχέσθαι. σκεψώμεθα * δὲ ποῖα ἄττα λέγει περὶ Θεμιστοκλέους ἡμῖν Αἰσχίνης ὁ Σωκράτους μὲν ἑταῖρος, Πλάτωνος δὲ συμφοιτητής. ἐπειδὴ τοίνυν τοῦ Θεμιστοκλέους βίου ἐπιλαμβάνεσθαι ἐτόλμησας, σκέψαι οἵῳ ἀνδρὶ ἐπιτιμᾶν * ἠξίωσας· ἐνθυμήθητι γὰρ ὁπόθεν ὁ ἥλιος ἀνίσχει, καὶ ὅπου δύεται. ἀλλ᾽ οὐδὲν, ἔφη, χαλεπὸν, ὦ Σώκρατες, τὰ τοιαῦτα εἰδέναι, καὶ μετὰ πολλὰ ἄλλα ἐγκώμια, ἐπάγει καὶ ταῦτα [τοσοῦτον αὐτοῦ ἐκεῖνος τῷ φρονεῖν διήνεγκε.] τοι γάρ τοι φυγάδι ποτὲ αὐτοῦ τῆς πόλεως γενομένῳ, ὡς σεσωσμένος ὑπ᾽ αὐτοῦ χάριν ἀπέδωκε· καὶ ἄλλα τε δῶρα πολλὰ ἐδωρήσατο, καὶ Μαγνησίας ὅλης ἀρχὴν ἔδωκε.

[Margin: * al. ἤδη]

[Margin: * ἅπασαν λῦσαι αἰτίαν.]

[Margin: * al. δὴ]

[Margin: * ἐτόλμησας.]

ὥστε

ARISTIDES.

ὥστε καὶ φθέγγοιτ' ἂν αὐτὸ τὰ πράγματα μείζω ἦν, ἢ πολλῶν ἀθηναίων, καὶ καλῶν καὶ ἀγαθῶν εἶναι δοκούντων, οἴκοι μενόντων. τίς ἂν οὖν ἐν ἐκείνῳ τῷ χρόνῳ δικαίως ἂν αἰτίαν ἔχοι μεγίστην δύνασθαι ἄλλος ἢ Θεμιστοκλῆς, ὃς τὸν ἀφ' ἡλίου ἀνίσχοντος μέχρις ἡλίου δυομένου βασιλεύοντα, στρατηγήσας τῶν ἑλλήνων, κατεστρέψατο. ἐνθυμοῦ οὖν, ἔφην ἐγώ, ὦ Ἀλκιβιάδη, ὅτι ἐκείνῳ, τοιούτῳ ὄντι, οὐχ ἱκανὴ ἡ ἐπιστήμη, * τοσαύτη οὖσα, ἐγένετο, ὥστε φυλάξασθαι μὴ ἐκπεσεῖν, μηδὲ ἀτιμωθῆναι ὑπὸ τῆς πόλεως γενέσθαι· ἀλλ' ἐνέδει. καὶ μὴν Αἰσχίνου μὲν ἔγωγε οὐδέ ποτ' ἂν θείην Αἰσχίνην Πλάτωνι, μή ποτε οὕτω φιλονεικήσαιμι· ἀλλ' ἀφείσθω τοῖς * τόποις τῶν σοφιστῶν ἡ κρίσις αὕτη. φημὶ δὲ ὅσῳ μείζων καὶ τελεώτερος Πλάτων εἰς λόγους, τοσούτῳ μᾶλλον ὑπέρ γε Θεμιστοκλέους ἐκεῖνα προσήκει δέχεσθαι. ὁ μὲν γὰρ ἃ ἤκουσεν, εἰκὸς λέγειν, ἢ ὅτι ἐγγυτάτω ἐκείνων. ὁ δὲ τῆς φύσεως οἶμαι κέχρηται τῇ περιουσίᾳ. ὥσπερ καὶ ἄλλα δή που μυρία διεξέρχεται ἐπὶ τῷ Σωκράτους ὀνόματι, περὶ ὧν ὁμολογεῖται μηδὲν ἐκεῖνον πραγματεύεσθαι. δίκαια μὲν οἶμαι ποιῶν κατ' αὐτό γε τοῦτο καὶ ἀνδρὸς ἀρίστου τὸ τὸν διδάσκαλον ἀξιοῦν κοσμεῖν, πλήν γε ὅτι καὶ τὸ μηδ' ἄλλους τῶν οὐκ ἀξίων καταισχύνειν ἐθέλειν, προσεῖναι προσήκει.

Ex τῆς κοινῆς ἀπολογίας.

Τὸ Προοίμιον.

Α μὲν τοίνυν περὶ τῶν ἀνδρῶν εἰπεῖν εἰκὸς ἦν, μήτε τῶν ἀναγκαίων εἰρῆσθαι μηδὲν παρέντας, μήτε πάντα ἐφεξῆς οἰομένους δεῖν λέγειν, ὡς ἂν μή που δοκοίημεν ἀπειροκάλως ἔχειν· ταῦτά ἐστιν. ἰσχυρίζεται δ' οἷς προσέπταισαν πρὸς τὸ δημόσιον, ὥσπερ εἴ τινες χείρους ἔγνωσαν περὶ αὐτῶν· αὐτοὺς χείρους ἡγεῖσθαι προσῆκον, ἢ τοὺς καὶ ἄλλους τινὰς εἰς αὐτοὺς ἐξαμαρτεῖν, οὐδ' ἡμᾶς τοῦ προστηλακίζειν ἀπέχεσθαι δέον. ἀλλὰ μὴν ὅπου γε καὶ τοῖς ἁμαρτάνουσιν αὐτοῖς εἰκὸς εἶναι συγγνώμην, ἦ που τοῖς γε ἄγουσιν αὐτοὺς πρὸς τὸ * βέλτιστον, καὶ οἷς ὅθ' ἡμάρτανον οὐκ ἐπείθοντο· δεινὸν εἰ μὴ φήσομεν. Πλάτων τοίνυν ὡς μὲν ἐκείνοις χρώμενοι κατώρθουν, * οὐδὲν ἐᾷ σκοπεῖν· ἃ δὲ εἰς αὐτοὺς ἐκείνους ἐξημάρτανον, τοσοῦτον ἀπεῖχον τοῦ δοκοῦν τά γε ἐκείνοις ποιεῖν, [ὡς] ταῦτα * κατηγορεῖν. καὶ ἃ μὲν τῆς παιδείας αὐτῶν ἀπέλαυσαν, ὑπερβαίνει· ἃ δὲ οὐχ ὧν ἐπαιδεύθησαν ἦν, ἀλλὰ τῆς ἀνθρωπίας φύσεως ἐμμεμενηκότα, ταῦτ' ἐπ' ἐκείνους ἄγει, τοὺς ὅπως μηδὲν ἁμαρτήσονται πᾶν ὅσον ἦν, * ἐν αὐτοῖς πεπραχότας. ὥσπερ ἂν εἴ τις τοὺς γραμματιστάς, τοὺς παραδείξαντας τοῖς παισὶ τὰ γράμματα, καὶ δείξαντας γράφειν ἐκ τῶν δυνατῶν, αἰτίους εἶναι φάσκοι τῶν περὶ * ταῦτα ἁμαρτημάτων, εἴ τι μὴ καλῶς ὕστερον, μηδὲ ὡς χρὴ γράφοιεν * ἀφ' ἑαυτῶν. εἰ δὲ μὴ πάντας ἐπαίδευσαν, μηδὲ ὡς οἷόν τε ἀκριβέστατα, μηδ' ὡς μάλιστα ἠβουλήθησαν· τί τό γε ἐκπεφευγὸς τῆς ἐκείνων προαιρέσεως αὐτῆς πεισθείη; οὐ γὰρ τῆς ἐκείνων ὁμιλίας τοῦτο ἀπέλαυσαν· ἀλλ' οὐκ ἀπέλαυσαν ἐκείνων ἔτι [τι] τοῦτό γε. οὐκοῦν ἐξ ὧν προσεῖχον αὐτοῖς, ἐκ τούτων ἡμάρτανον· ἀλλ' ἐξ ὧν οὐ προσεῖχον, ἐπλημμέλησαν. * οὕτως ἄγε ἐπείθοντο σαφῶς ἄρ' οἱ πείθοντες, ἔπειθον καλῶς. τὴν δὲ πολιτικὴν εἰ μὴ πάντας ἐπαίδευσαν ἀθηναίους Θεμιστοκλῆς, καὶ Περικλῆς, καὶ Μιλτιάδης, καὶ Κίμων, μηδ' ἅπαντας ἐφεξῆς βελτίους ἐποίησαν κατὰ φυλάς· καὶ κατ' ἄνδρα ὥσπερ θεωρικὸν τὴν ἐπιστήμην διανέμοντες. οὐθ' ὑπερφυές τι φήσομεν κατ' αὐτῶν εἰρηκέναι, ὡς οὐδ' αὐτοὶ βελτίους ἦσαν οὐδενὸς εἰς ταῦτα.

* τοιαύτη. * al. ἀτόποις. * βέλτιον. * al. ἐᾷ. * al. κατηγορεῖ. * ἐν αὐτοῖς. * αὐτά. * ἰδ. * al. οὕτως.

sic vt exul esset meliore, quam Athenis ciues plerique, qui probe videbantur conditione. Quis igitur illo tempore potentissimus fuisse dicatur alius, quam Themistocles, qui regem ab ortu ad occasum Solis imperantem, Graecorum dux deuicerit. Hoc igitur, inquiebam, cogita, Alcibiade, illi, qui talis esset, scientiam talem non suffecisse, ne eiiceretur, & à suis ignominia notaretur. Atque vt Æschinem cum Platone nolim comparare, nec ea de re contendere, verùm hoc iudicium sophistis ineptis malim relinquere, ita quo maior est ac doctior Plato, hoc magis illa pro Themistocle credi aio debere. Nam hic quidem quæ audiuit, vel his certè proxima videtur tradere; ille autem ingenio vtitur suo, quemadmodum & alia multa sub nomine Socratis tractat, de quibus nihil eum fatetur disputasse. Ac rectè quidem & iustè facit, dum præceptorem studet ornare, nisi quod nec alios, qui non merebantur, insuper dedecorare velle debebat.

Æschines Socratis dicta scripsit.

Ex COMMVNI *Defensione.*

Atque hæc quidem fere sunt, quæ de Viris erant dicenda, sic vt nec ea quæ dici oportebat, omitteremus, nec omnia singillatim putaremus esse referenda, ne cui ineptire videremur. Sed offensionibus populi nititur, quasi ipsi, quoniam nonnulli minus rectè de illis statuerint, peiores habendi sint, aut cum alij quidam in eos peccauerint, nec nos à conuitiis abstinere debeamus. Quinimo cùm etiam ipsis qui peccauerunt, meritò venia tribuatur, mirũ erit, si illis qui eos ad optima quæque duxerát, & quibus, cum peccarent, nõ obtemperauerát, negabitur. Iam Plato nihil eorum, quæ ex illorum consilio rectè gesserunt, considerari permittit: quæ autem in illos ipsos peccauerant, in iis tantum ab illorum voluntate recesserunt, vt ea culpentur, & fructus quidem eos, quos ex illorum institutione perceperant, transilit, quæ autem non tam ex institutione prodierant, quã ex humana natura superfuerát, hęc illis tribuit, qui, nequid hi peccarent, omnem lapidem mouerant: velut si quis litteratores, qui pueros litteras docent, & quantum possunt, scribere, in causa fuisse diceret, si quid minus rectè postea per se scriberent. Quod si non cunctos docuerunt, nec accuratissimè, neque vt volebant maximè, cur id quod effugit, ad ipsorum quis magistros referat: Nec enim hunc fructum ex illorum consuetudine perceperant potius, quam non iam id illis poterant acceptum ferre. Quocirca non quia illos attendebant, peccabant, sed quia non attendebant, vsque eo illa, quæ persuadebantur, rectè illis suadebant.

Ciuilem vero scientiam nisi Athenienses omnes docuerint, Themistocles, Pericles, Miltiades, & Cimon, atque cunctos ex ordine tributim ac viritim meliores reddiderant, scientia quasi Theatrali pecunia distributa, ne ipsos quidem ea in re excelluisse dicemus.

ARISTIDES. Nec illud Protagoræ tui tibi sufficit, si vulgus vel ex parte aliqua ad virtutem perduxerunt, verum nisi omnia quam rectissimè populus, & quasi vir vnus administrauit, id iam Præfectis imputas. Num ergo mirum erit, si nec illi, cum multa bona docuissent Athenienses, ac noxas multas impediuissent, semper eos cohibere potuerunt, neque morbos immortales curarunt, sed à populi natura, siue potius communi hominum sunt victi, nec iniquitatem prorsus è ciuitate potuerunt extirpare, quemadmodum cum agricolæ quotannis agri detrimenta exscindunt, nec per totum semen penetrant. Hoc modo si & illos, cum ciuitatem purgare vellent, necessarium iniustitiæ atque ingrati animi semen effugit, & remansit, nec ipsis obtemperarunt omnia, quin etiam per se populus nonnulla statueret, cur hæc improbitatem viris afferant, aut ipsis imputentur aliena? Quasi quis exorta seditione, & his meliori parti præpositis, tum aliorum in hos peccata his ipsis tribueret. Quomodo autem sit æquum, qui nec ea fecerint, & insuper prohibere voluerint. Quod si nec eos, quorum est fama læsa, iisdem putabit ansis vti debere: idque non ad maledicendum vicissim, sed vt se per alios absoluant, quomodo cum probabit, qui prior, nulla coactus necessitate maledixit, vt per quę illos peiores videri curabat, dextrũ quid putare iusserit. Enimuero nesciebas te his prouerbiis teneri, *ignẽ verberare, lapidẽ coquere, saxa seminare.* Quod enim illi ex admonitionibus tuis ac sermonibus lucrati sunt: quam rem vel diuinam vel humanam post eum diem, quo tibi aures præbuerat Dionysius, vel Dio, rectius administrarunt! Tanto nostros nos, ô Plato, quam tu tuos, meliores efficimus. Quod si horum indolem dices meliorem fuisse, hac quoque in re nostram declaras prudentiam, qui spem in his aliquam posuerimus, cum tu toto erraueris cælo, quando cum illis vtiliter te disputaturum credidisti. Deinde sicut ea in quibus alios vicerunt, indoli tribuis, sic etiam si quid tibi satis temere videntur egisse, hoc eidem indoli imputa, neque cum quæ nobis imperantibus gesserunt, ea nostro consilio detrahis, quæ per se in nos peccarunt, ea nostræ iniquitati ascribe. Vt enim illarum rerum nos quoque auctores fuimus, ita horum nequaquam.

Prouerbia.

Et Pollis iterum Platonem reducebat, ac Dionysium vel absentem reuerebatur, & eius mandata in animo conseruabat, te quem videbat & alloquebatur, nihili faciebat: sic vt admirabilis tua persuadendi vis imperio Dionysij cederet, & illi Pollis quamuis talia præceperat, operam suam nauabat, tibi nullam, etsi Spartanus erat, & in ea nutritus Rep. cui tu secundas vel primas potius tribuis, itaque frustra videbaris vrbem Spartanam tot illi laudibus exornasse.

καὶ οὐκ ἀγαπᾷς τὸ τοῦ Πρωταγόρου, εἰ καὶ * καθ' ὅσον οὖν προεβίβασαν τοὺς πολλοὺς εἰς τὸ βέλτιον· ἀλλ' εἰ μὴ πάντα ὁ δῆμος ἀνεγκλήτως, καὶ ὥσπερ εἷς ἀνὴρ μετεχειρίσατο, τοῦτ' ἤδη καὶ τῶν προστατῶν ἐστί σοι. τί οὖν θαυμαστὸν, εἰ κἀκεῖνοι πολλὰ καὶ χρηστὰ συμβουλεύσαντες Ἀθηναίοις, καὶ πολλὰ τῶν δυσχερῶν κωλύσαντες, μὴ διὰ τέλους αὐτοὺς ἠδυνήθησαν κατασχεῖν, μηδ' ἀθάνατα ἰάσαντο· ἀλλ' ἡττήθησαν τῆς δήμου φύσεως, εἴτε καὶ τῆς κοινῆς ἀνθρώπων δεῖ λέγειν, καὶ μὴ ἠδυνήθησαν καθάπαξ ἐκ τῆς πόλεως ἐξελεῖν ἀδικίαν· ὥσπερ γεωργοὶ τὰ λυμαινόμενα τῇ χώρᾳ καθ' ἕκαστον ἐνιαυτὸν ἐκκόπτοντες, εἶτ' οὐκ ἐφικνούμενοι διὰ παντὸς τοῦ λυμαινομένου τῆς χώρας] σπέρματος· εἰ τοῦτον τὸν τρόπον κἀκείνους ἐθέλοντας * καθαίρειν τὴν πόλιν ἐξέφυγε, καὶ ἐνέμεινε σπέρμα ἀναγκαῖον ἀδικίας καὶ ἀγνωμοσύνης, καὶ οὐ * πάντῃ ὑπήκουσεν αὐτοῖς, ἀλλ' ἔστιν ἃ καὶ καθ' αὑτὸν ὁ δῆμος ἐβουλεύσατο, τίνα * τοῦτο τοῖς ἀνδράσιν ἔχει φαυλότητα; ἢ τί δεῖ τὰ * ἐκείνων ἑτέροις λογίζεσθαι; ὥσπερ ἂν εἰ καὶ στάσεως οὔσης ἐν τῇ πόλει, καὶ τούτων τῶν ἑτέρων ἡγουμένων τῆς τῶν ἐπιεικῶν, εἶτα τὰ τῶν ἑτέρων * ἁμαρτήματα, καὶ τῶν εἰς τούτους πλημμελούντων, αὐτοῖς τούτοις τις * προσετίθη. καὶ τίνα ἔχει φύσιν, οἳ μήτε ἔδρων ταῦτα, καὶ προσέτι κωλύειν ἠξίουν; ἀλλὰ μὴν εἴ γε μηδὲ κακῶς ἀκούσασι * καλῶς ἔχειν οἰήσεταί τις, ταῖς [αὐταῖς] χρήσασθαι λαβαῖς, καὶ ταύταις μὴ ἐπὶ τῷ κακῶς ἀντειπεῖν, ἀλλ' ἐπὶ τῷ διὰ τῶν ἐκείνου τὰ ἑαυτῶν ἀπολύσασθαι· πῶς εἰρηκέναι γ' αὐτὸν πρότερον κακῶς, ἃ μηδεὶς ἐπηνάγκαζε, καὶ δι' ὧν χείρους ᾤετο ἐκείνους ἀποφήνειν, δεξιόν τι νομίζειν κελεύσει; ἐλελήθεις ἄρα σαυτὸν ἁπάσαις ταῖς παροιμίαις ἐνεχόμενος, εἰς πῦρ ξαίνων, καὶ λίθον ἕψων, καὶ σπείρων τὰς πέτρας. τί γὰρ τῶν σῶν νουθετήσεων καὶ λόγων * ἀπήλαυσαν ἐκεῖνοι; τί τῶν θείων ἢ τῶν ἀνθρωπίνων ἄμεινον μετεχειρίσατο Διονύσιος ἢ Δίων, μετ' ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ σοι τὰ ὦτα ὑπέσχον; τοσοῦτον ἡμεῖς ἀμείνους τοὺς ἡμῖν χρωμένους, ὦ Πλάτων, ἀπεδείξαμεν, ἢ σὺ τοὺς σοί. εἰ δ' ἐρεῖς, ὅτι βελτίους οὗτοι τὴν φύσιν, καὶ ταύτῃ φρονιμωτέρους ἡμᾶς ἀποδεικνύεις, εἴ τινας ἐν τούτοις ἔχομεν ἐλπίδας· οὐχ ὥσπερ σὺ τοῦ παντὸς διημαρτες, ἐκείνοις διαλέγεσθαι προὔργου τι δόξας εἶναι. ἔπειτα ὥσπερ ἐν οἷς βελτίους ἑτέρων γεγόνασι τὴν φύσιν αἰτιᾷ, οὕτως * εἴ τι καὶ προπετέστερον εἰργάσθαί σοι δοκοῦσι τῆς φύσεως, αὐτὸν θὲς τῆς αὐτῆς, καὶ μὴ λάμβανε ἐφ' ἡμᾶς· μηδ' ἃ μὲν ἡμῶν ἡγουμένων κατέπραξαν, ἀποστέρει τοὺς συμβουλεύσαντας, καὶ τοὺς συγκατεργασαμένους ἡμᾶς τῷ δοκεῖν τὰ βέλτιστα παραινέσαι. ἃ δὲ ἐπὶ σφῶν αὐτῶν ἐξήμαρτον εἰς ἡμᾶς, ταῦτα ὡς ἡμᾶς ἀδικοῦμεν, λέγε· ἐκείνων μὲν γὰρ καὶ ἡμεῖς αἴτιοι τὸ μέρος, τούτων δὲ οὐδὲ μικρόν.

Καὶ ὁ Πόλλις αὖ πάλιν παραλαβὼν Πλάτωνα, Διονύσιον μὲν καὶ * ἀπόντα ᾐσχύνετο, καὶ ὧν ἐπέσκηψεν ἐμέμνητο· * σὲ δὲ ὁρῶν, καὶ συνὼν, παρ' οὐδὲν ἐποιεῖτο. ἀλλ' [ἡ] ἡ θαυμαστή σου δύναμις καὶ πειθὼ κατὰ τοὺς λόγους ἡττᾶτο τῶν ἐντολῶν τοῦ Διονυσίου· καὶ Πόλλις ἐκείνῳ μὲν συνεβάλλετο, καὶ ταῦτα τοιαῦτα ἐπιτάξαντι, σοὶ δὲ οὐδέν. προσθῶμεν δὲ, ὅτι καὶ Σπαρτιάτης ὢν, καὶ τεθραμμένος ἐν νόμοις καὶ πολιτείᾳ, δευτερεῖα τῶν πασῶν ἐχούσῃ παρά σοι κριτῇ. μᾶλλον δὲ τὰ πρῶτα τῶν οὐσῶν· καί σοι μάτην (ὡς ἔοικε) τὰ πολλὰ ἐκεῖνα εἰς τὴν τῶν Λακεδαιμονίων πόλιν ὕμνηται.

* al. καθ' ὅσα.
* καθαίρειν.
* πάντα.
* al. ἀκρο.
* ἑτέροις ἑαυτῶν.
* ἁμαρτημάτων
* προσιδεῖ.
* al. χρῆσθαι.
* ἀπέλαυσαν.
* ἔνι.
* αὐτὸ δι' αὐτῶν.
* al. ἄκοντα
* al. οὐδ.

ὁ γοῦν

ὁ γοῦν τῶν Λακεδαιμονίων ποτὲ ναύαρχος τοσοῦτον διήμαρτε τῆς σῆς ἀξίας, ὅσον οὐδ' ἂν εἷς Περσῶν ἢ Σκυθῶν, οἷς οὐκ ἦν συνεῖναι τῆς σῆς φωνῆς τὸ παράπαν. καί τοι γε εἰ μὲν ἠξίους αὐτὸν (τὸν ναύαρχον τῶν Πελοποννησίων Πόλλιν) ἄμεινον γενέσθαι Διονυσίου περί σε, καὶ βουλεύσασθαί τι βέλτιον· ὁ δ' οὐ προσεῖχέ σοι τὸν νοῦν, ἀλλὰ μὴ τοῦ παρόντος ἦν, * καὶ τοῦ τὰ αἴσχιστα ἐντειλαμένου· πῶς οὐχ ἧττον πάμπολυ τοῦ τυράννου; καὶ πῶς δίκαιος εἶ προσφέρειν, εἴ τινά τις πείθειν ἐπιχειρῶν ἀποτύχοι; εἰ δὲ σὺ μὲν στέργειν ἠξίους τοῖς παροῦσιν· ὁ δ' οὐκ ᾐδεῖτό σου τὴν σιωπὴν, οὐδ' ἁπάντων λόγων ἡγεῖτο ἱκανωτέραν εἶναι τοὺς προσήκοντας αὐτῷ λογισμοὺς περὶ σοῦ παραστῆσαι· πῶς τῶν εἰκότων ἐτύγχανες, ἢ πῶς τὰ πρέποντα ἀπέλαβες τῆς φύσεως τῆς σεαυτοῦ; νὴ Δί' ἀλλ' οὐδὲν σὺ χείρων, εἰ παρέπαιε Πόλλις καὶ Διονύσιος. οὐδέ γε ἡμεῖς, ὦ μακάριε, εἴ τις * περὶ ἡμᾶς Ἀθηναίων φαῦλος ἐγένετο. καὶ πωλοῦντος Πόλλιδος Ἑλλήνων μὲν οὐδεὶς ὠνεῖτό σε τὴν ἱερὰν κεφαλὴν, οὕτω πάντες κατείχοντο ὑπὸ τῶν σῶν λόγων. Λίβυς δὲ ἄνθρωπος Ἀννίκερις ὄνομα, ὃν οὐδ' ἠπίστατο ἀνθρώπων οὐδεὶς, εἰ μὴ ταῖς σαῖς συμφοραῖς ἀπεχρήσατο. νῦν δ' οὐ Πλάτωνα ἐπρίατο, ἀλλὰ δόξαν ἑαυτῷ καὶ τὸ γιγνώσκεσθαι. * μή τοι νομίσῃς, ἡμᾶς ἀγνοεῖν τοὺς σοὺς λόγους, ἢ μὴ συγχωρεῖν ἀληθεῖς εἶναι, ὡς οὐ θέμις ἀνδρὶ βελτίονι ὑπὸ χείρονος οὔθ' ὑβρίζεσθαι οὔτε βλάπτεσθαι. συνίσμεν ταῦτα, καὶ μαρτυροῦμεν ὡς ἀληθῆ λέγεις. ὅμως δέ γε ὁ θαυμαστὸς ἐκεῖνος ἐραστής σου οὐδὲν, ὅ, ποιοῦ ὕβρεως καὶ ἀσελγείας ἀπέλιπε. καὶ σὺ μὲν * οὐδὲν ὑβρίσθης ἴσως· ὁ δὲ οἷς ἡγεῖτο ὑβρίζειν, πλείω ταῦτα ἔπραττεν, ἢ δι' ὧν ᾔδει τιμήσειν. ἀλλ', ὦ πάντων θαυμάσιε Πλάτων, * μὴ δι' ἀμφοῖν ὠθεῖ· καὶ ταῦτα οὐ διὰ τῶν φίλων ἑνὸς καὶ τῶν ἐχθρῶν, ἀλλὰ διὰ σαυτοῦ τε καὶ τούτων, οὓς μᾶλλον φίλους ἦν εἰκὸς ἡγεῖσθαι. εἰ δὲ μὴ σκόπει, μὴ ὅτι ἐγκαλέσῃς, ἀλλ' ὅτι ἀπολογήσῃ πρότερον. τοσαῦτά ἐστι καὶ τὰ σά. εἰ δ' αὐτὴν ἐφ' ἑαυτῆς δεῖ τὴν προαίρεσιν ἐξετάζειν· ἀναίτιον μὲν τὸ σὸν εἰκότως, ἀναίτιον δὲ ἐκ τῶν αὐτῶν καὶ τὸ ἡμέτερον. καὶ πρόσεστι (καὶ) τὸ κρατῆσαι τῶν πραγμάτων, καὶ τὸ μείζω ταῦτα εἶναι τῶν τε ὑπὸ σοῦ σπουδαζομένων, ὧν τε αὐτοὶ προσεκρούσαμεν. σὺ μὲν τοίνυν (τοῦ Ἀγαμέμνονι ὀνειδίσαντι τὸ γένος ὅτι νόθου) ἐλέγχειν ἡμᾶς ἀξιῶν, καὶ κατὰ σαυτοῦ λέγεις· ἡμεῖς δὲ ὑπὲρ * ἡμῶν αὐτῶν λέγοντες, καὶ τὸ σὸν θεραπεύομεν. μᾶλλον δὲ τῆς μὲν σῆς ἀπολογίας καὶ ἡμεῖς μετέχομεν, σοὶ δ' οὐχ ὅσον ἡμῖν ὑπάρχει. ὥστε εἰ μὲν ἡμῶν τις φείσεται, ἄδηλον εἰ καὶ σοῦ. εἰ δὲ σοῦ τις καταγνοίη, τάχα ἂν ἡμῖν γε συγγνοίη· εἰ δ' αὖ (γε) μηδ' ἡμῶν φείσοιτο, σχολῇ γε σοῦ. οὕτω τὸ νικᾶν ἡμᾶς ὑπὲρ σοῦ γίνεται. πρὸς ταῦτα σκόπει μὴ τἀμὸν, ἀλλὰ καὶ τὸ σὸν, Τεῦκρος ἔφη τινί· καὶ μὴ βούλου πάντα ἀκριβῶς ἐξετάζειν, μηδὲ τριῶν ὄντων οἷς ἄν τις * ἂν βλέψῃ, τῆς γνώμης, τῶν ἔργων, τῆς τύχης· ἀφεὶς τὰ δύο, τὸ τρίτον λαμβάνου· καὶ ταῦτα καὶ τούτου τὸ πλεῖστον μέρος μεθ' ἡμῶν ὄντος. εἰ γὰρ ἡμᾶς ἔδει ταῦτα προεμένους ἐξ ἀρχῆς ἐξεπίτηδες ὑπὲρ τῆς Ἑλλάδος ἡμᾶς αὐτοὺς ἐπιδοῦναι, οὐκ ἂν ὠκνήσαμεν, οὐδ' ἡττήθημεν τοῦ Κόδρου τοσοῦτον· καὶ σύ γ' ἂν οἶμαι ταῦτα συνεβούλευσας.

* al. ταῦτα αἴσχιστα.
* al. περὶ.
* al. μὴ τοίνυν.
* al. οὐδὲ.
* al. μεθ' ἀμφοῖν.
* αὐτῶν.
* [illegible]

Quocirca Laconicæ quondam classis præfectus, tantum in dignitatem tuam peccauit, quantum nec Persarum quisquam, nec Scytharum, qui vocem tuam prorsus intelligere non poterant. Atqui siquidem volebas eum [nauarchum Peloponnesiorum Pollin] melius aliquid in te, quam Dionysium, consulere, nec ille te attendebat, verum absentis, & qui turpissima præceperat, totus erat, multum à tyranno vincebatis, nec iure cuiquam potes obiicere, si quid minus alicui persuadere potuit: sin tu quidem fortunam præsentem æquo ferebas animo, ille vero silentium tuum non reuerébatur, nec sermone quouis potentius ad conueniens consilium de te capiendum iudicabat, quomodo ius tuum consequebaris, aut ingenij tui, quem meritus eras, fructum capiebas? At non ideo tu peior, si Pollis ac Dionysius delirarunt: neque nos, bone vir, si quis erga nos, Atheniensis improbus exstitit. Et, vendente Pollide, Græcorum quidem nullus te sacrum caput redemit (vsque eo cuncti tua tenebantur eloquentia) verum Afer quidam, Anniceris nomine, quem nemo, nisi tua calamitate fuisset abusus. Nunc vero non Platonem, sed famam & celebritatem sibi comparauit. Ne forte putes nos rationes tuas ignorare, aut falsas credere, cum negas virum meliorem à peiore posse iniuria affici vel lædi. Quæ cum sciamus, & verè dici testemur, ille tamen magnus amator tuus; nihil petulantiæ nec contumeliæ reliquum fecit, & quamuis tu nullam patereris iniuriam, ille nihilominus ea potius quibus iniuriam, quam in quibus honorem tibi deferre se putaret, faciebat. Quo circa noli, admirande Plato, vtrumque transfigere, idque alterum amicum, hostem alterum? verum teipsum & hospete, quos potius debebas pro amicis habere. Alioqui nō tam quid accuses, quam quid prius excuses vidēdum tibi fuerit, siquidem tua quoque tanta sunt. Sin ipsum per se cōsiderādum est consilium, nec tuum culpari iure potest, nec etiam eadem de causa nostrum, quo accedit vt voti compotes facti simus, & hæc tum tuis studiis, tum nostris offensis sint maiora. Quare cum tu nos [vt alter Agamemnon exprobrans genus tanquam spurium] redarguere studes; teipsum quoque refellis: nos, dum nobis suppetias ferimus, tuā quoque rem agimus. Quinimo tua defensio nobis quoque conuenit, verum tibi non tot, quot nobis sunt adiumenta. Itaque vt nobis quis parcat, incertum sit an & tibi; sin te condemnet, nobis fortasse veniam dabit. Quod si nec nobis parcat, nihil erit ibi sperandum: vsque eo victoria nostra cedit in tuum commodum

Quapropter etiam tua require, non mea.

Inquit ad * quendam Teucer, nec omnia conare studiosè scrutari; neque cum tria sint consideranda, animus, facta, fortunæ, duobus omissis, arripe tertium, cuius item pars maxima nobiscum facit. Etenim si his initio relictis, pro Græcia nos deuouere debuissemus, non eramus recusaturi, neque Codro tantum cessuri: atque ad id tu, credo, adhortatus esses,

* Quendam Agamemnonem Aiace Sophoclis

ARISTIDES.

Age vero vtrum hoc maluisses, vt nihil à nobis gestum vnquam fuisset, nec in nos ciuium quisquam peccasset (itaque tam in nos, quam in illos, erant alij peccaturi) an vt hæc quoque, si fuerat opus, quo fierent illa, contigissent. Hæc, arbitror, malles. Ergo cum vtrumque te, quam neutrum, malle dicis, cum omnia quæ requirebantur, in administrationem nostram incidisse confiteris, tum plura vrbi, de quibus glorietur, quam ob quæ reprehendatur, suppetere. Quin ergo laudas potius quam vituperas. Denique cur ab iis rationes repetimus solis, qui soli rerum auctores non fuerunt. Nam nec primos reprehendimus aurigas, si quis eosdem equos alius deteriores reddiderit. Verum & aurigæ equorúmque domitores, magistri fiunt plutis, cum alij eandem potestatem nacti, non eodem modo se gerunt, idque eodem tempore. Age vero, quæ viris his acciderint, etiam percurramus. Neque enim omnes eodem modo populus condemnauit, neque id illi communi decreto sunt passi, neque etiam prorsus omnes. Verum Themistocles quidem & Cimon Ostracismo sunt expulsi. Id autem non erat odij, nec quia alienus erat ab illis plebis animus, sed legem hac de re conscriptam habebant, quæ vt olim se habuit, (id enim omittam, nisi quis eam valde voluerit laudare) illorum tamen delictum non carebat excusatione, cum haberet aliquem decorem, quandoquidem ex lege proficiscebatur. Lex autem sic erat, vt eos *qui cæteris antecellerent in annos decem ablegarent.* Nec aliud deerat crimen, neque quasi conuicta res esset ira. Indignum sit ergo, si eos, quos nec ipsi poterant qui eiecerunt reprehendere, nos istorū causa reprehendamus, vt qui certi nihil sciamus, sed rumorem quendam, eumque obscurum accusemus. Sed vt huc redeam, quod ad gloriam comprimendam hoc exsilij genus introduxerunt, ea res, quantum ab adulatione fuerint hi remoti, indicat clarissimè. Quocirca ne nimis elati fierent, hac sola de causa illos ablegarunt. Itaque non contra ipsos hoc dixisti, sed insciens pro ipsis. Egregiè tu quidem potes, quæ dicuntur obseruare, & alios refellere. Nam cum calamitates eas, in quas tempore Pisistridarum incurrerant, considerassent, videtur neminem voluisse cæteris præferri, sed omnes æqua vigere potestate. Rectè ne igitur Cimonem atque Themistoclem eiecerunt? Equidem non dico, non tamen prorsus impudenter, sed vt & ipsi defensionem haberent, & illi non inhonestam paterentur iniuriam. Pericli vero donec in pace vigebat ciuitas, nullum nec magnum nec paruum crimen est impositum, verum Deorum instar colebatur, & quáuis prius etiam Athenienses non paucos contra fœdifragos in prælium eduxerat, non tamen inculpatus modo, sed & facile primus fuerat. Postquam vero simul & agro carere cogebatur, & pestis cuncta vastans incumbebat, nec erat malorū vlla requies, tum demū calamitatibus succūbētes in illū sūt exacerbati.

Quatuor Virorum casus in Atheniensium Rep.

Ostracismi lex.

Periclis

ἐπεὶ, φέρε πρὸς φιλίου, πότερ᾽ ἂν μᾶλλον ἐβουλήθης, μήτε τὰ πραχθέντα δι᾽ ἡμῶν πεπρᾶχθαι τῇ πόλει, μήτε εἰς ἡμᾶς μηδένα τῶν πολιτῶν ἐξαμαρτεῖν; οὐκοῦν ἕτεροι καὶ εἰς ἡμᾶς καὶ εἰς ἐκείνους ἔμελλον *ἢ ἐκείνων γε ἕνεκα αὖ τε πραχθῆναι, καὶ ταῦτα εἰ δέοι συμβῆναι; ἐγὼ μὲν οἶμαι ταῦτα. οὐκοῦν ὅτ᾽ ἀμφότερα φαίης ἐθέλειν μᾶλλον, ἢ μηδ᾽ ἕτερα, ὁμολογεῖς καὶ τοῖς πεπολιτευμένοις ἡμῖν ἅπαντα ἃ προσῆκε προσεῖναι, καὶ μείζονας τὰ πρὸς εὐδοξίαν τῇ πόλει τῆς αἰτίας εἶναι. πῶς οὖν οὐ δίκαιος ἦσθα μᾶλλον ἐπαινεῖν, ἢ ψέγειν; ὡς δ᾽ ἁπλῶς εἰπεῖν, πῶς δίκαιον, μόνους ἀπαιτεῖν εὐθύνας, τοὺς οὐ μόνους τῶν πραγμάτων αἰτίους; οὐκοῦν τούς γε ἡνιόχους αἰτιώμεθα, εἰ ἐξ ἀρχῆς αὖ ἕτερος, τοὺς αὐτοὺς ἵππους παραλαβὼν, κακίους ἀποδείξῃ· ἀλλὰ καὶ ἡνίοχοι καὶ πωλοδάμναι καὶ διδάσκαλοι μειζόνως εὐδοκιμοῦσιν, ὅταν τῶν αὐτῶν ἕτεροι κύριοι καθεστῶτες μὴ τῆς ἴσης ἄξιοι γένωνται, καὶ νὴ Δί᾽ αὖ γε καὶ κατὰ τοὺς αὐτοὺς χρόνους. φέρε δὴ καὶ περὶ τῶν συμβεβηκότων αὐτῶν τοῖς ἀνδράσι σκεψώμεθα, καὶ διέλθωμεν. οὐ γὰρ ἁπάντων ὁ δῆμος οὑτωσὶ κατεψηφίσατο, *οὐδ᾽ ἀπὸ κοινοῦ δόγματος ταῦτα ἔπαθον· ἀρχὴν δὲ οὐδὲ ταῦτα πάντες. πόθεν; ἀλλὰ Θεμιστοκλῆς μὲν καὶ Κίμων ἐξωστρακίσθησαν· τοῦτο δ᾽ ἦν οὐ μῖσος, οὔτ᾽ ἀλλοτρίωσις τοῦ δήμου πρὸς αὐτούς· ἀλλ᾽ ἦν *νόμος αὐτοῖς περὶ ταῦτα, ἔχων μὲν ὅπως δή ποτε. ἐῶ γὰρ, εἰ μὴ σφόδρα ἄν τις ἐπαινέσαι τὸν νόμον. τὸ δ᾽ οὖν ἁμάρτημα οὐκ ἀπαραίτητον αὐτῶν, ἀλλ᾽ ἔχον ὡς ἐν τοιούτοις εὐπρέπειαν· νόμῳ γὰρ, ὥσπερ εἶπον, ἐγίνετο. ἦν δὲ οὗτος ὁ νόμος· *ἐκόλουον τοὺς ὑπερέχοντας μεθιστάντες ἔτη δέκα· ἄλλο δὲ οὐδὲν ἔγκλημα προσῆν, οὐδ᾽ ὡς ἐπὶ ἐλέγχῳ πραγμάτων ὀργή. καί τοι πῶς οὐ δεινὸν, εἰ οὓς οὐδ᾽ αὐτοὶ οἱ μεθιστάντες εἶχον αἰτιάσασθαι, τούτοις αἰτιασόμεθα ἡμεῖς διὰ τοὺς μεταστήσαντας; ὥσπερ οἱ βέβαιον μὲν οὐδ᾽ ὁτιοῦν ἐπιστάμενοι, ἀκοὴν δέ τινα κατηγοροῦντες, καὶ ταύτην οὐδ᾽ αὐτὴν σαφῆ τὴν ἀκοήν. ἀλλ᾽ ἐκεῖσε ἐπάνειμι, *ὅτι ὑπὲρ τοῦ τὰ φρονήματα ἐπισχεῖν, τοῦτο τὸ εἶδος τῆς φυγῆς ἐνόμισαν. οὐκοῦν τοῦτο μέγιστον δῆλόν ἐστιν, ὅσον κολακείας οἱ ἄνδρες ἀπεῖχον, οὕς γε ὅπως ὑφεῖντο (ἄλλου) τοῦ φρονήματος διὰ τοῦτο μεθίστασαν· οὐδενὸς *ἄλλου τῶν πάντων ἕνεκα. ὥστε τοῦτό γε οὐ κατ᾽ αὐτῶν, ἀλλ᾽ ὑπὲρ αὐτῶν, ἔλαθες εἰρηκώς. ὡς δεινὸς σὺ τηρεῖν τὰ λεγόμενα, καὶ τοὺς ἄλλους *ἐλέγχειν. δοκοῦσι γάρ μοι τὰς συμφορὰς ἐνθυμούμενοι τὰς ἐπὶ τῶν Πεισιστρατιδῶν γενομένας ἑαυτοῖς, μηδένα βούλεσθαι μείζω ἐᾶν τῶν πολλῶν φρονεῖν· ἀλλ᾽ ἐξ ἴσου εἰς δύναμιν εἶναι. δίκαια ἄρα ἐποίουν ἐλαύνοντες Κίμωνα καὶ Θεμιστοκλέα; οὐ λέγω ταῦτα· ἀλλ᾽ οὐδ᾽ ἀναίσχυντά γε παντελῶς· ἀλλὰ καὶ αὐτοῖς ἔχοντα παραίτησιν, κἀκείνοις οὐκ ἀσχήμονα τὴν *συμφοράν. Περικλῆς δὲ, ἕως μὲν εἰρήνην ἡ πόλις ἦγεν, οὐδεμίαν οὔτε μείζω οὔτε ἐλάττω παρ᾽ αὐτοῖς αἰτίαν εἶχεν· ἀλλ᾽ ἐξ ἴσου τοῖς θεοῖς ἐθαυμάζετο. καὶ ἔτι πρότερον στρατιὰς πολλὰς ἐξαγαγὼν Ἀθηναίων ἐπὶ τοὺς οὐκ ἐθέλοντας τοῖς δικαίοις ἐμμένειν, οὐκ ἄμεμπτος μόνον, ἀλλὰ καὶ πολλοῖς τισι πρῶτος ἦν· ἐπεὶ δ᾽ ἅμα τῆς τε χώρας *ἠναγκάζετο στέρεσθαι, καὶ ὁ λοιμὸς ἅπαντα φθείρων ἐπέκειτο, καὶ κακῶν ἀνάπαυσις οὐκ ἦν. ὑπὸ δὲ τῶν συμφορῶν ἡττηθέντες, *ἐξετραχύνθησαν πρὸς αὐτόν. καί μοι

** ἐκ κοιν. δ.*

** al. μόνος.*

** Schol. ἐκόλουον, συνέστελλον, ἐταπείνουν.*

** al. ἐπι-*

** al. ἄλλ᾽ ἢ τῶν*

** al. ἐλέγχειν*

** al. ἀσχημοσύνη.*

** al. ἠναγκάζοντο.*

** al. ἐταράχθησαν.*

καί μοι τοῦ παραδείγματος ἐνταῦθα ἀναμνήσθητι, τοῦ τῶν ἡνιόχων. τάχα γὰρ ἂν ἁλοίης τοῖς * ἅρμασι τοῖς σαυτοῦ, καὶ οὐ τοῖς ἵπποις. ἀλλ' οὐδ' εἶχεν (οὐδ' ὁ Νέστωρ) ὅτι χρήσαιτο, μὴ ὅτι ἐκείνῳ τῷ τὴν πληγὴν λαβόντι· ἀλλ' οὐδὲ τοῖς ἄλλοις ἵπποις τεταραγμένοις ὑπὸ τοῦ πάθους· ἀλλ' οὐδ' ἀπολῦσαι τὰ ῥυτῆρα ἐν τῷ θορύβῳ ῥᾳδίως ἠδύνατο· ἀλλ' ὥσπερ ἐπὶ χαλκοῦ ζεύγους εἱστήκει, μένων ὅσα μὴ ἀπεῖν τό γε ἀξεμεῖν.

[*παρέδωκε τὸν παραιμίαν. ἅρμασιν εἰπεῖν.]

οἴκοι πονηρῶς ἐπεπράγεσαν. ἀντὶ τοῦ, ἀτυχῶς.

ἀπεσείσαντο μὲν τὸν ἡνίοχον· ἀποσεισάμενοι δὲ, οὕτως εὖ καὶ καλῶς ἤχθησαν ὑπ' αὐτοῦ τὸν ἄνω χρόνον, ὥστε ἔγνωσάν τε ὃ ἔδρασαν, καὶ μετέγνωσαν, καὶ ὑποκύψαντες ἐξ ἀρχῆς παρῆσαν ἄρχειν καὶ ἄγειν ὅποι βούλοιτο ἑαυτούς. ἀλλὰ μὴν ὅτι καὶ τὸν ἔμπροσθεν χρόνον εὐδοκίμει, πολλὰ ἑξῆς ἔτη καὶ μετὰ τὴν καταδίκην μέγιστος πάλιν ἦν τῶν πολιτῶν. πῶς οὐκ ἀμφοτέρων ἕνεκα ζηλωτός ἐστι, καὶ τῆς ἀρχῆς, καὶ τοῦ τέλους; οὐ γὰρ τὸ προσκεχρῦσθαι τοῖς ἔμπροσθεν, ἐπεσκότησεν· ἀλλὰ τὸ τιμᾶσθαι μετὰ τοῦτο, * πᾶσαν * παρεγράψατο τὴν συμφοράν. οὐ γὰρ τὸ μέσον, κύριον ἐστὶν ἑκατέρων τῶν καιρῶν· ἀλλὰ κρατεῖ τὸ συναμφότερον τοῦ μέσου. εἴτε γὰρ τοῖς προτέροις δεῖ διδόναι τὴν ψῆφον, ἐτιμᾶτο * ἐξ ἀρχῆς· εἴτε τοῖς ὕστερον, οὐκ ἐν οἷς κατέγνωσαν ἐστήκεσαν, ἀλλὰ προσεῖχον πάλιν ὡς αὐτῷ βελτίονι. καὶ μὴν οὐχ ὅσοι δύο ἀνθ' ἑνός ἐστιν, ἀλλ' * ὅτι καὶ τὸ πλῆθος ἑκάστου χρόνου οὐκ ἴσον, οὐδ' ἐγγύς. καὶ μὴν οὐδὲ τοὺς * λαχόντας οἴεσθαι χρὴ πάντας καταγνῶναι τὴν γραφὴν αὐτοῦ· ἀλλ' εἶναί τινας, οἳ καὶ τῷ Περικλεῖ καλῶς ποιοῦντες * ἔθεντο. οὐκοῦν τούτους (γε) βελτίους τε καὶ βελτίστους ἦν πεποιηκώς. καί τοι τί φήσομεν, ὦ τῶν Ἑλλήνων ἄριστε, πότερον δικαίως εἰς σὲ τότ' ἐκείνους ταῦτα τολμᾶν; ἢ σὲ τῆς ἐκείνων μανίας ὑπεύθυνον εἶναι; ἐγὼ μὲν γὰρ οὐδέτερον ἂν φαίην. καὶ μὴν ἔχοι γ' ἄν τις τοῖς σοῖς λόγοις ἀμυνόμενος διπλᾶ στρέφειν κατά σου, καὶ κατὰ Σωκράτους. ὡς καὶ εἰ τὰ μάλιστα ἀδίκως * ὑμῖν ταῦτα συνέβαινε, τρόπον γέ τινα τὰ προσήκοντα ἐπάγετε· εἴπερ γε τοιούτους ἀπεδείκνυτε, οὓς ἐπαιδεύετε. οὐκοῦν εἰ μὲν τὰ τῶν ὁμιλητῶν ἁμαρτήματα, τῶν προεστηκότων ἐστὶ κατηγορήματα· σαυτοῦ καὶ τοῦ ἑταίρου μᾶλλον κατηγόρηκας, ἢ Περικλέους τε, καὶ ἄν δὲ καὶ νὴ Δί', εἰ βούλει, τὸ μᾶλλον ἀφίημί σοι· ὅτι δὲ οὐχ ἧττον ἀρκεῖ. * εἰ δ' ἡμεῖς ἀθῷοι, κἀκείνους ἐκ τῶν αὐτῶν εἰκός ἐστιν εἶναι. εἴπερ γε τοῦ ἴσου μέμνησαι, καὶ μὴ ὑπερβαίνεις τὴν γεωμετρίαν ἑκών. εἶθ' ὃν αὐτὸς ἀφῆκας ἂν τῆς αἰτίας, τοῦτον διαβάλλεις ἐκ τῆς αὐτῆς ταύτης αἰτίας. καὶ πῶς οὐκ ἄτοπον. ἄλλῳ μὲν ἂν λέγοντι μὴ πιστεύειν, αὐτὸν δὲ κατηγορεῖν· καὶ δι' ἃ τὸν λέγοντα ἡγοῦ χείρω, διὰ ταῦτα Περικλέα ἀξιοῦν φαῦλον νομίζεσθαι; καὶ τοὺς καταψηφισαμένους αἰτιώμενος ἡμᾶς πείθειν συγκαταγνῶναι, ὥσπερ χρηστοῦ τινος πράγματος μεθέξειν μέλλοντας· ἀλλ' οὐχ ὃ μηδ' ἐκείνοις καλῶς εἶχε πεπρᾶχθαι. κἀκεῖνοι μὲν αὐτοὶ τὴν ἑαυτῶν καταδίκην οὐχ ὑπελογίσαντο, ἀλλ' ἐτίμων πάλιν ὡς χρηστὸν καὶ δίκαιον· ἡμεῖς δὲ οὐ μηδὲν ἄλλο κατηγορεῖν ἔχομεν, τοῦτον ἀτιμάσομεν διὰ τὴν καταδίκην, καὶ τῶν αὐτῶν ἀνθρώπων, ὃ μὲν ἥμαρτον, ἰσχυρὸν ποιησόμεθα· ἃ δὲ εὖ φρονοῦντες ἐπέπραξαν, ἐν οὐδενὸς μοίρᾳ θήσομεν· καὶ ταῦτα ὁμολογοῦντες, ὡς ἥμαρτον·

[*al. διαφέρα.] [*al. ἐπ' ἀρχῆ.] [*al. ὅτι.] [*ἢ ὅτι πρὸς τὸ γραφὴν αὐτοῦ, ἐψηφίσαντο.] [*ταῦτα ὑμῖν.] [*al. οὐ.]

Atque heic mihi aurigarum exemplum recordare, nec enim pœnis potius quam curribus tuis capieris. Sed non potuit Nestoris equus parere vulneratus, non illo tantum sed & reliquis equis hoc casu turbatis. Quid? quod nec frænum in hoc tumultu facile poterat demere, verum tanquam in æneo vehiculo stabat manens, nisi quod commouere se poterat. Domi male habebant [pro infeliciter.]

Aurigam excusserunt. Quemadmodum excusserant, ab eo tam probe fuerant olim gubernati, vt & factum suum cognouerint, & sententiam mutarint, eúmque denuo sé regere, & quocunque vellent ducere iusserint. Quin si & prioribus annis multis gratiosus fuit, & post condemnationem rursum maximus euasit, nimirum ex vtroque, tam principio quam fine admirandus exstitit: Nec enim offensa res priores obscurauit, verum honor post delatus omnem deleuit calamitatem. Non enim medium tempus vtrique præstat, verum simul vtrumque medio: Nam siue priora secteris, in honore primum fuit, siue posteriora, in condemnatione non perseuerabant, sed rursus vt potiorem attendebant. Neque vero duo dumtaxat vni opponuntur, verum ne singulorum quidem temporum spatium est vllo modo æquale. Quinimo nec omnes eum iudices condemnasse censendi sunt, sed aliqui etiam Pericli rectè suffragati sunt. Nos igitur meliores atque optimos reddiderat. Quid ad hæc, Græcorum optime, dicemus? verum rectè illos hæc in te commisisse, an te illorum esse insaniæ reum? Equidem neutrum dixerim. Verumtamen posset aliquis tuis verbis respondens, bifariam contra te & Socratem hoc torquere, quasi rectè quodammodo vobis, quamuis iniustissimè hæc acciderint, quandoquidem tales discipulos protulistis. Quare si assectarum peccata præsidum culpam continet, teipsum & sodalem potius, aut saltem non minus, quam Periclem & quos volebas, accusasti. Sin vos estis insontes, eodem quoque illi modo debent esse, siquidem æqualitatis meministi, nec Geometriam sponte transgrederis.

Ergo quem ipse à crimine absoluisses, eum criminis eiusdem accusas? Quid autem absurdius quam alteri dicenti non credere, ipsum accusare? propter quæ dicentem peiorem fores habiturus, propter ea Periclem velle improbum videri? Et cum eos, qui illum condemnarunt, improbes, nos ad similem condemnationem hortari, quasi rei alicuius præclaræ, & non eius, quæ nec illos decuerit, participes futuri simus. Illi vero suam condemnationem ipsi non excusarunt, sed rursum tanquam probum & iustum in oculis tulerunt: nos eum, cui nullum possumus aliud crimen imponere, propter condemnationem contemnemus? Et eorundem hominum peccatis nitemur, rectè facta non attendemus? Cum præsertim illorum peccata fateamur,

ARISTIDES.

aut potius accusemus. Quam id, obsecro, rationis habet speciem? Equidem non intelligo. At Plato cladem pro iniuria sugillat, cum fortunam decreti loco considerans, tum aliorum delicta his imponens. Si verò equis calcitrantibus eos qui condemnati sunt confert, aliquid se contra illos grauius arbitratur dicere. Quod si condemnantes cum *Diis duodecim conferre possent, à vituperandis reis, credo, abstinuisset. Cæterum si viros vtroque modo volet Plato reprehendere, quasi acutum quiddam arripuerit, quid vetat, quominus aliquis par pari reddens, vtroque rursum modo sic dissoluat? Si eos rectè & iustè condemnarunt Athenienses, non erant ab illis corrupti. nam cum rectè agebant, non eos illi corruperant. Quare si merito sunt condemnati, non heic peiores erunt, sin eos iniustè condemnarunt, iniuriam passi sunt viri, non intulerunt: tales autem adiuuandi sunt, non accusandi, aut si iuuari nequeunt, saltem accusari non debent. Ego vero elegantioribus hæc relinquo. Ipse autem quid affirmo? aut quam rationem sequor? Non possunt vtrique simul accusari, & vulgus & viri, nisi alteros manifestè calumniari volumus. Etenim si rectè sint condemnati, ipsi quidem fuerint improbi. populus officio suo functus est. Itaque non debet ob hanc rem quidem culpari, an ergo cum eum cum ferocientibus bestiis comparamus, recte nos facere dicemus? Sin peccauit populus, vna cum ipsius peccato virorum probrum diluitur. In hoc enim ipso Athenienses deliquisse dicimus, quod illos exsilio, pecunia, vel alia re quacunque multarunt. Quid autem hæc affert ratio? nihil eos horum meritos esse. Atqui si male fecerant, meriti erant: quoniam autem meriti non erant, liquido colligitur, male nihil fecisse. Iam qui probis maledicunt, & calumnias ingerunt, non vtique probe faciunt. nos igitur pro accusatione vtrorumque, iustam vtrorumque defensionem proferemus, ac nec populi totius hanc esse culpam, nec illos sicubi offenderũt, peiores haberi debere dicemus. Nec enim vt athletis solet, sic & Poëtis præstantioribus semper defertur victoria, verum & heic Pindaricum illud locum habet, verissimè enim cecinit ille: *In circo autem fortuna, non robur, vincit.*

Itaque conspicatus Eumelum Achilles, cadentem è curru misertus dixit: *Optimus extremo vir equos agit ordine fortes.* Atqui absurdum erat hæc ita deinceps coniungere, atque eundem optimum & extremum dicere. Verumtamen ita res, inquit, humanæ ferunt. Hoc enim videntur mihi verba velle, eundem esse & optimum & extremum, quod olim Orontem Persam de digito dixisse ferunt, eundem situ alio nunc decem millia, nunc vnum duntaxat ostendere. Quare ad Platonis exemplum mihi certe videtur Eumelus in cæteris spectare, cum non victoria tantum priuatus est, sed

Et cubitos atque est nares laceratus & ora.

equis optimis & à quib᾽ nũquã fuerat deiectus.

Dii maiores duodecim: quos apud Apuleium Ennius sic recenset: Iuno, Vesta, Minerua, Ceres, Diana, Venus, Mars, Mercurius, Iouis, Neptunus, Vulcanus, Apollo.

Dissimilia

Pindarus.

μᾶλλον δὲ κατηγορήσωμέν τις. καὶ τίνα ταῦτ᾽ ἔχει λόγον, ἐγὼ μὲν οὐκ ἐπινοῶ. Πλάτων δὲ τὴν συμφορὰν ὡς ἀδίκημα κατηγόρηκε, τὴν μὲν τύχην ἀντὶ γνώμης ἐξετάζων, τὴν δ᾽ ἑτέρων ἁμαρτίας εἰς ἐκείνων οὖσαν τιθείς. (εἰ δὲ) τοὺς καταψηφιζομένοις καὶ τοῖς ἵπποις ἀπεικάζων τοῖς λακτίζουσιν, ἰσχυρόν τι λέγειν καθ᾽ ὧν ἡ ψῆφος οἴεται· τάχυ γ᾽ ἂν εἰ τοῖς δώδεκα θεοῖς εἶχεν εἰκάσαι τοὺς καταγνόντας, ἀπέσχετ᾽ ἂν τῶν ἁλόντων τὸ μὴ οὐ κακῶς εἰπεῖν. εἰ δὲ ἐπ᾽ ἀμφότερα Πλάτων αἰτιᾶσθαι τοὺς ἄνδρας, ὥσπερ σοφοῦ τινος εἰλημμένος, τί κωλύει τινὰ τὰς ὁμοίας, εἶτ᾽ ἀποδιδόντα ἐπ᾽ ἀμφότερα αὖ φιλονείκως ὑπολαμβάνοντα, διαλύειν ὡδὶ τὸν λόγον; ὅτι εἰ καλῶς καὶ τὰ δίκαια αὐτῶν Ἀθηναῖοι κατέγνωσαν, οὐκ ἦσαν ὑπ᾽ αὐτῶν διεφθαρμένοι· τὰ γὰρ δίκαια ἐποίουν. οὐκοῦν οὐδ᾽ ἐκεῖνοι διεφθάρκασαν. ὥστε εἰ δικαίως ἑάλωσαν, οὐδὲν ταύτῃ γε χείρους ἦσαν. εἰ δὲ ἀδίκως αὐτῶν ἐκεῖνοι κατεψηφίσαντο, ἠδικεῖσθαι τοῖς ἀνδράσιν περίεστιν, ἀδικεῖν γε οὐδαμῶς· τοῖς δ᾽ ἀδικηθεῖσι βοηθεῖν, οὐκ ἐγκαλεῖν, εἰκός ἐστιν. εἰ δέ τι καὶ μὴ δυνατὸν βοηθεῖν, ἀλλ᾽ οὐχὶ καὶ δίκαιον ἐγκαλεῖν. ἐγὼ δὲ ταῦτα μὲν τοῖς κομψοτέροις παρίημι. αὐτὸς δὲ τί φημι, καὶ πῶς δέχομαι τὸν λόγον; οὐκ ἔστι δίκαιον ἅμα ἀμφοῖν κατηγορεῖν, καὶ τοῦ δήμου κἀκείνων· ἢ σαφῶς τοὺς ἑτέρους συκοφαντήσομεν. εἰ μὲν γὰρ ὀρθῶς ἐκεῖνα κατεγνώσθη, *ἠδίκουν μὲν (ὡς ἔοικεν) ἐκεῖνοι, τῷ δήμῳ δ᾽ ἃ προσῆκε πέπρακται. ὥστε οὐχὶ δή που ταῦτά γε δίκαιον κατηγορεῖν αὐτοῦ. πῶς οὖν τοῖς ἀγριαίνουσι τῶν ζώων αὐτὸν ἀπεικάζοντες, ὀρθῶς φήσομεν ποιεῖν, εἰ δ᾽ ἥμαρτεν ὁ δῆμος· ἅμα τε ἐκείνῳ ἡμάρτηται, καὶ τοῖς ἀνδράσι τὸ ὄνειδος λέλυται· αὐτὸ γὰρ τοῦτο φαμὲν δήπουθεν ἁμαρτεῖν Ἀθηναίους, τιμήσαντας ἐκείνοις φυγῆς ἢ χρημάτων, ἢ ὅτου δήποτε ἐτίμησαν ἑκάστῳ. ὁ δὲ λόγος τί λέγει; μηδενὸς τούτων ἐκείνους ἀξίους εἶναι. καὶ μὴν εἴ γε ἠδίκουν, ἄξιοι τούτων ἦσαν· ὅτε δὲ οὐ τούτων ἄξιοι, σαφῶς οὐκ ἠδίκουν. τοὺς δ᾽ οὐκ ἀδικοῦντας κακῶς λέγειν, καὶ συκοφαντεῖν, οὐχὶ δίκαια ποιεῖν ἐστι. ἡμεῖς τοίνυν ἀντὶ τοῦ κατηγορεῖν ἀμφοτέρων, ὑπὲρ ἀμφοτέρων τὰ πρέποντα ἀπολογούμεθα· οὔτε τοῦ δήμου τὴν αἰτίαν παντὸς εἶναι φάσκοντες, οὔτε ἐκείνοις προσήκειν, εἰ ὅτι προσέπταισαν χείρους νομίζεσθαι. καὶ οὐκ ἐπὶ μὲν τῶν ἀθλητῶν οὕτω συμβαίνει, τὰ δὲ τῆς μουσικῆς ἰσχὺν ἔχει τὴν νίκην τοῖς κρείττοσιν· ἀλλὰ κἀνταῦθα τὸ τοῦ Πινδάρου κρατεῖ. πάνυ γὰρ μετ᾽ ἀληθείας τοῦτ᾽ ἐκεῖνος ὕμνησεν· Ἐν ἔργμασι νικᾷ τύχα, οὐ σθένος. ὥστε ἰδὼν τὸν Εὔμηλον Ἀχιλλεὺς τοῦ ἅρματος ἐκπεσόντα, ᾤκτειρέ τε καὶ λέγει.

λοῖσθος ἀνὴρ ἄριστος ἐλαύνει μώνυχας ἵππους.

ἆρ᾽ οὖν οὐ παράδοξον, ἑξῆς οὑτωσὶ θεῖναι παράλληλα, καὶ τὸν αὐτὸν λοῖσθόν τε καὶ ἄριστον προσειπεῖν· ἀλλ᾽ ὅμως τοιαῦτά φησι τὰ ἀνθρώπεια· τοῦτο γάρ μοι δοκεῖ τῶν ῥημάτων τὸ βούλημα εἶναι. ὁ αὐτὸς (ἀνὴρ) ἄριστός τε καὶ ἔσχατος· *ὅπερ περὶ τοῦ δακτύλου φασί ποτ᾽ εἰπεῖν *Ὀρόντην τὸν Πέρσην, ὡς (ὁ) αὐτὸς ὤν, τῇ θέσει ποτὲ μὲν τὰ μυρία σημαίνει, ποτὲ δὲ οὐ πλέον ἢ ἕν. ὡς ἐμοὶ μὲν ἄντικρυς εἰς τὸ Πλάτωνος παράδειγμα ὁ Εὔμηλος τείνειν δοκεῖ, κατά τε ἄλλα, καὶ οὐχ ὅσον τῆς νίκης ἐστερήθη· ἀλλὰ καὶ ἀγκῶνάς τε περιδρύφθη, στόμα τε, ῥῖνάς τε ὑπὸ τῶν ἵππων τῶν ἀρίστων· καὶ ὑφ᾽ ὧν οὐδὲ πώποτε ἐσφάλη.

*al. ἠδικοῦντο

* Ζωρ. Φι.

* αι. Ὀρόντα

(Ὀρόντης

(Ορόντης ὁ πέρσης ἐκπεσὼν τῆς ἀρχῆς· καὶ ὁ δάκτυλος, ἔφη, ποτὲ μὲν ἕν, ποτὲ δὲ μυρία σημαίνει.) εἰ* χρήμασιν, εἰ δόξαν ἔχεις ἐν τῇ πόλει, μηδενὶ τούτων ἐπαρθῇς· μηδὲ μεῖζον φρονήσῃς τῆς ἐξουσίας· εἰ πάντων κρατήσῃς, ἡττήσῃ τῆς τύχης· ταῦτ' ἐστὶν ὁ ἀγὼν οὗτος, ταῦτ' Ὅμηρος λέγει. οὐδὲν τῶν ἀνθρωπείων ἀσφαλὲς, οὐδ' ὁμαλὸν, οὐδ' αὔταρκες· ἀλλ' ἡττήσεται μὲν ὁ ἰσχυρὸς τοῦ ἀσθενοῦς, ὅταν ὁ καιρὸς ᾖ τούτου· ἁλώσεται δὲ Βαβυλὼν αὐτοῖς τείχεσι· πάλιν δὲ τοὺς πέρσας πορθήσουσιν ἕτεροι· πάντα ταῦτα ἐναλλὰξ περιέρχεται). εἰ δὲ ἔσωζον μὲν οἱ κυβερνῆται πάντες ἅπαντας τοὺς ἐμπλέοντας. ἔσωζον δ' οἱ ἰατροὶ πάντες ἅπαντας τοὺς κάμνοντας· ἐνίκων δὲ οἱ κρείττονες. ἐνίκων δὲ οἱ μείζονες· τὸ δ' ἀεὶ τούτοις πᾶσι προσῆν· μηδεὶς δ' ἐσφάλετο τῶν ἀρξαμένων κατορθοῦν· εὐχὴ δὲ καὶ δύναμις* μηδενὶ διέφερεν: ἀθάνατα ἦν ἅπαντα τὰ τῶν ἀνθρώπων πράγματα· καὶ οὐδὲν ἂν ἴσως εὐχῆς προσέδει· οὐδ' ἂν κατέκλυζεν ἡμᾶς τὸν πίθον ἄπειρος, ὥσπερ νῦν· μὴ τοίνυν θαυμάσῃς, εἰ Περικλῆς ἔχων ἐπιστήμην καὶ τέχνην τοῦ θεοῦ, καὶ τῆς τύχης ἡττᾶτο· μηδ' ἀμνημόνει τῶν καιρῶν, οὓς αὐτὸς φῂς οὐκ ὀλίγον δύνασθαι, οἷς οὐ βελτίστοις ἐκεῖνος τότε χρησάμενος φαίνεται). πολλὰ καὶ παράδοξα κατ' ἀνθρώπους καὶ γέγονε καὶ γενήσεται· ὧν ἐστὶ καὶ τὰ τούτοις τοῖς ἀνδράσι συμβάντα. τίς δ' οὐκ ἂν φαίη; ἀλλ' οὔπω ταῦτα ἐστὶν ἔλεγχος κατ' αὐτῶν, ὡς οὔτε ἠπίσταντο χρηστὸν οὐδὲν, οὔτε ἐδύναντο βελτίους ποιεῖν· ἀλλ' ἐξῆν αὐτοῖς τήν γε τέχνην δήπουθεν ἔχειν, καὶ τὸ χρηστοὺς εἶναι, εἰ καὶ τῶν μειζόνων ἐπικουριῶν ἔν γε τῷ τότε ἐστέρηντο. ἡδέως δ' ἂν ἐροίμην, ὅστις βούλεται δέξασθαι τὸ ἐρώτημα ὑπὲρ Πλάτωνος· αὐτὸς δὲ δὴ τί μαθὼν ἡμῖν ὁ Πλάτων οὐκ ἐπολιτεύσατο; ἆρ' ἄλλο τι φήσειεν ἄν; ὅστις ἂν ᾖ τὸ αὐτὸ τοῦτο, ὅπερ καὶ Σωκράτης, λέγων ἐκείνῳ φαίνεται, τί μὴν ἕτερον; εἶθ' ἃ* μὴ φοβηθεὶς πάθῃς, οὐκ ἐδημηγόρεις· ταῦτ' εἴ τις ἐκείνων πέπονθεν, ὡς οὐ τὰ βέλτιστα συμβουλεύων, ἰσχυρίζῃ. καὶ μὴν εἰ μὲν οὐδεὶς ἐπῆν κίνδυνος, τοῦ χάριν οὐδὲν ὤνησας (καὶ) τὴν πατρίδα; εἰ δ' ἕτοιμον ἦν ἀπολωλέναι· τί θαυμάζεις, εἴ τις ἐκείνων ἐχρήσατο συμφορᾷ; καὶ τῷ τὰ βέλτιστα λέγειν πεισθεὶς αὐτὸς ἐπειδὴ τὸ κινδυνεύειν, ἐκείνους ἐξ ὧν ἠτύχησαν ἀποστερεῖς τοῦ λέγειν τὰ βέλτιστα. οὐκοῦν ὅτι ἐκεῖνοι φαίνονται μηδὲν τῶν μελλόντων αὐτοῖς ἔσεσθαι δυσχερῶν ὑπολογισάμενοι πρὸς τὸ δίκαιον, ἀλλ' ἀφειδῶς καὶ ἁπλῶς δόντες αὑτοὺς ὑπὲρ τοῦ κοινῇ βελτίστου· τῷ Σωκράτους κέχρηνται λόγῳ. ὥστε ἢ δεικτέον ἐστὶν, ὡς οὔτε δίκαια οὔτε ἀγαθῶν ἀνδρῶν ἦν ἔργα, ἃ προείλοντο, καὶ οἷς ἐνεχείρησαν· ἢ συγχωρητέον χρηστοὺς εἶναι τοὺς ἄνδρας, εἰ καὶ ὁ, τι οὖν ἀπήντησε· καὶ τοσούτῳ μᾶλλον καὶ μείζονως, ὅσῳ τὴν δυσκολίαν τοῦ πράγματος οὐκ ἔδεισαν· φαῦλοι γὰρ ἂν τῷ γε (Σωκράτους) λόγῳ εἶεν. ἔπειτα τοσούτου ἐδέησε τῆς ὑπαρχούσης δόξης ἐκείνοις ἀφελεῖν ἐπιχειρεῖν, ἵνα δὴ μείζων αὐτὸς φανείη· ὥστε τὴν αὐτοῦ πολιτείας εἰς τὴν ἐκείνων ἀνενήνοχεν· ἔπειθ' ὅτι οὐδὲ τὰ τῶν ἀντιπάλων παραπλήσια, ἀλλὰ πρὸς ἄνδρας ὀξεῖς καὶ δεινοὺς ἦν τὸ Δημοσθένην παρατάξασθαι, καὶ συγκεκροτημένους, καὶ τοῖς Ἀθηναίοις ὁμόρους καὶ προσοικοῦντας, καὶ ἅμα τῷ κηρυκείῳ καὶ τῷ σιδήρῳ χρωμένους, καὶ τὰ πλεῖστα τῶν πραγμάτων ἐξ ἀφανοῦς ἀφαιρουμένους.

* al. εἰσὶν & διέφερον.

* φοβηθεὶς μὴ.

[Orontes Persa excidens imperio, digitus, inquit, nunc vnum, nunc millia ostendit.] Quocirca siue amicis, siue opibus vales, siue gloriam inter ciues es consecutus, noli te extollere, nec plus tibi quam liceat, tribuere. Vt omnia sibi suppetant, à fortuna vinceris. Hæc sibi vult certamem istud: hæc Homerus dicit. Nihil est in rebus humanis securum, nihil æquabile, nihil sibi sufficiens: verum, cum tempus feret, fortem vincet imbecillior, Babylon vna cum mœnibus capietur, Persas rursum populabuntur alij. Hæc enim omnia in orbem feruntur. Quod si gubernatores omnes cunctos vectores saluos præstarent, ac medici omnes cunctos sanarent ægrotos, & majores ac potiores vincerent, atque hi omnes semper florerent, nec quisquam eorum qui rectè cæpisset agere, erraret, neque votum à facultate quidquam differret, immortales forent res omnes humanæ, nec precibus fortassis opus esset, neque nos, vt nunc, dolium alterum perfudisset. Ne mireris igitur, si Pericles, cum scientiam & artem habebat, à Deo & fortuna vincebatur, neque temporum obliuiscere, quibus ipse non parum tribuis, & ille non optimis, vt apparet, tunc vsus fuit. Multa inter homines facta sunt, & fient miranda, inter quæ sunt etiam quæ his viris contigerunt, vt nemo negat. Verum ea nondum conuincunt, illos nec boni quidquam sciuisse, nec meliorem quemquam reddere potuisse, siquidem poterant & artem tenere & probi esse, quamquam eo quidem tempore maioribus carebant adiumentis. Libenter autem quæsierim si quis pro Platone velit respondere, cum ipse Plato Remp. non administrarit, numquid causæ dicet quisquam, præter id, quod apud ipsum dicit Socrates? Quid enim aliud? Ergo si in ea quorum tu metu publica non curabas, illorum aliquis incidit, eum non optima quæque suasisse contendis? Atqui si nihil erat periculi, cur patriam nulla in re iuuisti? Sin erat paratus interitus, cur miraris illorum quemquam in cladem incidisse, & cum optima consilia ipse cum periculis coniungas, illos, postquam offenderunt, optimi fuisse consilij negas.

Cum igitur illi nullam secuturam cladem iustitiæ prætexuerunt, verum largiter ac simpliciter communi bono impenderunt; Socratis sermoni obtemperarunt. Itaque vel eos nec iustis nec bonis rebus ostende studuisse, vel probos fuisse concede, quidquid consecutum sit, atque eo magis, quo minus rei difficultatem reformidarunt. *Essent enim secundùm rationem tuam temerarij.* Deinde tantum abfuit, vt illorum gloriam diminuere cogeremur, quo maior ipse videretur, vt suam administrationem ad illos retulerit. Deinde nec hostes erant ijdem, verum contra acres & accinctos viros Demosthenem opponere, eósque Atheniensibus vicinos & finitimos, & caduceo pariter ac ferro vtentes, & pleraque furtim auferentes.

Rerum omnium vicissitudo.

Plat. in Apolog.

ARISTIDES SCHOLIO.

Philippus proditione multa valuit, velut bonum aduentitium adducens, & de Pericle eos monuit & aliis.

Sed quod volebam dicere, vter erit humanior, & in dicendo dexterior hoc loco censendus, is qui nulla cogente necessitate male de viris loqui studuit, an qui nec alterius stimulis est excitatus, neque vt seipsum laudaret, alios vituperare voluit? Mane obsecro, potest ne quisquam sibi ipse magis contrarius deprehendi? qui tum quos adulatores esse contenderat, negat adulatoria vsos fuisse, tum ea de quibus eos absoluerat, reprehendit. Itaque quibus eos argumentis conabatur conuincere, iisdem coactus est absoluere: Quibus autem absoluit quos adulationis insimularat, iis Rhetoricam vult adulationem esse conuincere. Quinimò, vt ad firmissima veniamus, si eos adulatores quodamodo per crimina fuerat effecturus, atque ita sermonem absoluturus, quamuis etiam ficta protulisset crimina, aliquid tamen dixisse visus fuisset: cum autem omnibus quæcunque putaret contra eos dici posse prolatis, postea velut iudex, qui alterum audiuit loquentem, eos absoluit, quis est vsus verborum, aut quomodo omnia sint pariter & frustra dicta?

Heic autem quid ait? *Etenim præfectus vrbis nunquam quisquam iniuste pereat per eam Remp. cui præfectus est.* Quomodo, per deos immortales, hæc eiusdem dicamus esse sententiæ, aut eadem spectare, vt simul & qui a iustitiam tueatur, necesse habeat per eam Remp. cui præfectus est, perire. & si pereat, nunquam id iniustè ab ea cui præest Rep. patiatur. Quæ est in his verbis similitudo? quæ consensio?

Verum & illud considero, si Rhetorica sit adulatio, omnes hanc adulationem exercuisse, quandoquidem oratores erant. Cur igitur hos absoluit, vel quandam dixit esse veram Rhetoricam? Sin bona res est, & expetenda Rhetorica, nimirum hi optimarum rerum curam gesserunt. Cur igitur vel hos optime dixisse negat, vel Rhetoricam vocat adulationem?

Rhetorica duplex Platonis.

Quod si duplex est Rhetoricæ genus, quorum alterum sit adulatio, turpisque concio, alterum iustitiæ cura, alterutrum in his manifeste cerni oportet. Cur igitur aufers vtrumque? Sin vtrumque rectè aufers, tertia quædam præter vtramque erit Rhetoricæ species. Itaque non iam duplex erit Rhetorica, neque tamen Plato quæ esset tertia ostendit.

Quod si ad gratiam sunt & voluptatem omnino conficta, & ex adulatoribus vnum se facit, dum iucunda pro veris refert, nulla præsertim necessitate impulsus, sin iustè sunt & verè dicta, quæ requiritur maior criminum solutio, aut quis commodior ipso Platone testis, qui heic quidem eos continuo absoluat, alibi vero prorsus laudet etiam, & Stesichori Palinodiam imitetur. At qui cum neget esse Græcorum optimum, is quidem pessimus sit & Græcorum & Barbarorum.

[διὰ γὰρ τῶν προδοτῶν τὰ πολλὰ Φίλιππος ἴσχυεν, ὥσπερ ἰσόθεον χρηστὸν ἐπεισήγαγε, καὶ τὰ τοῦ Περικλέους αὐτοὺς ὑπεμίμνησκε, καὶ ἄλλων.] χέλιον.

πότερος καὶ τὴν ἄλλην γνώμην φιλανθρωπότερος, καὶ περὶ αὐτοὺς τοὺς λόγους δεξιώτερος, καὶ τοῦτο τὸ μέρος; πότερός τις, αὐτῷ μηδεμιᾶς ἀνάγκης ὑπαρχούσης, κακῶς λέγειν εἵλετο τοὺς ἄνδρας, ἢ ὅστις, ὄντως μὲν τοῦ παροξυνοῦντος οὐ προήχθη, οὐδ' ἠξίωσεν ἑαυτὸν σεμνύνειν, ἐν οἷς ἑτέρους ἔμελλε κακῶς ἐρεῖν; ἔχε δὴ πρὸς θεῶν, πῶς ἄν τις μᾶλλον ἁλοίη τἀναντία λέγων αὐτὸς ἑαυτῷ· ὅστις λέγων μὲν ὡς ἦσαν κόλακες, καὶ τοῦτ' ἀγωνιζόμενος· εἶτ' αὐτοὺς αὖ φησιν, ὡς οὐκ ἐχρῶντο τῇ κολακικῇ; πάλιν δὲ * ὧν ἀφῆκεν αὐτούς, ταῦτα κατηγορεῖ· καὶ δι' * ὧν μὲν ἐλέγχειν προυθυμεῖτο, διὰ τούτων * ἀφεῖναι ἠναγκάσθη. δι' ὧν (τοὺς ἐκείνων) δ' ἀφῆκεν, ὡς ᾐτιάσατο τῆς κολακείας, διὰ τούτων ῥητορικὴν ὡς κολακείαν * ἐλέγξειν ἀξιοῖ. καὶ μήν, εἰ μὲν ἔμελλε (τοῦτο γάρ ἐστιν ἤδη τὸ ἰσχυρότατον) κόλακας τρόπον τινὰ αὐτοὺς ἐκ τῶν αἰτιῶν δόξειν ἀποφαίνειν, κἀνταῦθα στήσας τὸν λόγον τάχ' ἄν, εἰ καὶ μὴ τὰ ὄντα (μὴ ὄντα) κατηγόρησεν. ἀλλ' οὖν ἐδόκει γ' ἄν τι προὔργου τῶν λόγων εἶναι. ὅτε δὲ εἰπὼν ἅπανθ', ὅσα εἶχεν ἐγκαλεῖν καὶ αὐτῶν· εἶτα ὥσπερ δικαστὴς ἑτέρου λέγοντος ἀκηκοώς, ἀφῆκε τῆς αἰτίας αὐτούς· τίς ἔτι ἡ χρεία τῶν λόγων; ἢ πῶς οὐχ ἅμα τε ψευδῆ, καὶ μάτην ἅπαντα εἴρηται; φέρε δὴ τί αὖ φησιν ἐνταῦθα: προστάτης γὰρ πόλεως οὐδ' ἂν εἷς ποτε ἀδίκως ἀπόλλοιτο ὑπ' αὐτῆς ταύτης τῆς πόλεως, ἧς προεστατεῖ. ταῦτ' ὦ πρὸς Διός, πῶς τις εἶναι τῆς αὐτῆς γνώμης ἢ πρὸς τὸ αὐτὸ τείνειν φαίη; ἅμα μὲν τὸν τῷ δικαίῳ βοηθοῦντα ἀναγκαίως ἔχειν ἀπολέσθαι ὑπὸ τῆς πόλεως, ἧς προεστατεῖ· ἅμα δ' ἂν ἀπόληται οὐκ ἄν ποτε τοῦτ' ἀδίκως παθεῖν (ὑπὸ τῆς πόλεως, ἧς προεστατεῖ.) ποῦ ταῦτ' ἐστὶν ἐοικότα, ἢ πῶς εἰς ταὐτὸν * λέγει; σκοπῶ δὲ κἀκεῖνο, ὡς εἰ μὲν ἐστὶν ἡ ῥητορικὴ κολακεία, καθάπαξ δεῖ τῇ κολακείᾳ κεχρημένους αὐτοὺς φαίνεσθαι· ἐπειδή γε ἦσαν ῥήτορες. ὥστε πῶς ἢ ἐκείνους ἀπολύει τῆς αἰτίας, ἢ ῥητορικὴν προσείρηκε * τινὰ ἀληθινήν; εἰ δ' αὖ χρηστόν, ἢ σπουδαῖον, ἡ ῥητορική· δεῖ τοῦ βελτίστου δοκεῖν μέλλειν αὐτοῖς· ὥστε πῶς ἢ ἐκείνους μὴ πρὸς τὸ βέλτιστον λέγειν αἰτιᾶται), ἢ τὴν ῥητορικὴν κολακείαν καλεῖ; εἰ δ' αὖ διπλοῦν τὸ τῆς ῥητορικῆς ἐστι, καὶ τὸ μὲν αὐτῆς κολακεία τε καὶ αἰσχρὰ δημηγορία, τὸ δ' ἕτερον προστασία τοῦ δικαίου· ἀναγκαῖον ἐκείνοις τοῦ γ' ἑτέρου μετεῖναι σαφῶς γε οὑτωσί. πῶς οὖν ἀμφοτέρων ἀποστερεῖς αὐτούς; καὶ μὴν εἴ γε καὶ δικαίως ἀποστερεῖς ἀμφοτέρων· τρίτη τις ἂν εἴη παρ' ἀμφοτέρας ταύτας ῥητορικὴ πάλιν. ὥστε οὔτε διπλοῦν ἔτι τούτῳ τῷ λόγῳ τὸ τῆς ῥητορικῆς· οὐδ' ἔδειξε δή που Πλάτων, ἥ τις ἐστὶν ἡ τρίτη. εἰ μὲν γὰρ ἄλλως ταῦτ' ἐστὶ λόγου χάριτός τε καὶ ἡδονῆς, τί τῆς ῥητορικῆς ταῦτα κατηγορεῖ; καὶ τί τῶν κολάκων εἷς γίνεται, λέγων τὰ ἡδίω πρὸ * τῶν ὄντων, καὶ ταῦτα μηδεμιᾶς ἀνάγκης ἐπούσης; εἰ δὲ ἐφ' ἅπασι δικαίοις καὶ μετὰ τῆς ἀληθείας εἴρηται, τίνι χρὴ μείζονι λύσαι τὰ τῆς βλασφημίας; ἢ τίνα κάλλιω ποιήσασθαι μάρτυρα αὐτοῦ Πλάτωνος; ὅταν ἐνταῦθα μὲν καὶ παραχρῆμα ἀφιεὶς φαίνηται τῆς αἰτίας αὐτούς, ἑτέρωθι δὲ καὶ καθάπαξ ἐγκωμιάζων, καὶ τὸν Στησίχορον μιμούμενος τῇ παλινῳδίᾳ. ἀλλὰ γὰρ ὡς μὲν οὐκ ἄριστος τῶν ἑλλήνων Πλάτων, κάκιστος (δ') ἂν εἴη καὶ ἑλλήνων καὶ βαρβάρων, ὅστις οὐκ ἐθέλει λέγειν.

* Schol. τῶν ἀκουσίων.
* Schol. τοῦ ἐπισεῖσαι αὐτούς.
* Schol. τοῦ ὡς κόλακας.
* ἐλέγχειν.
* al. λέγει ἢ λέγειν.
* νῦν.
* al. τῶν ἀληθῶν.

ἔοικε

ἔοικε δέ τι καὶ τῆς φύσεως ἀπολαύειν, ὥσπερ οἱ βασιλεῖς τῆς ἐξουσίας· οἷον καὶ περὶ αὐτὴν τὴν λέξιν ἔστιν οὗ φαίνεται ποιῶν, ἀδείᾳ λόγων πλείονι χρώμενος, καὶ περί γε αὐτὰς ὑποθέσεις.

Σχόλιον. [Ὅτι ὀνοματοποιεῖ, καὶ ὅτι τοὺς ἀποβεβιωκότας ὡς ἔτι παρόντας εἰσάγει τοῖς ἐπαΐουσι διαλεγομένους.]

Οὐδέ γε Εὐριπίδου φήσομεν τὸ ἰαμβεῖον εἶναι, τό·

Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ.

οὐδ᾽ εἴ τις οὕτω τῶν σοφῶν εἴρηκεν. ἔστι γὰρ ἐξ Αἴαντος Σοφοκλέους, Αἴαντος τοῦ Λοκροῦ. ἀλλ᾽ ἔστι ταῦτα ἀπὸ τῆς τῶν διαλόγων ἐξουσίας καὶ συνηθείας ὡρμημένα. περὶ γὰρ ἅπαντας αὐτοὺς εἶναι ἐπιεικῶς πλάσματα, καὶ πλέκειν ἐξεῖναι, δι᾽ ὧν ἄν τις βούληται, ἔνεστί τι κἂν τοῖς λόγοις αὐτοῖς οὐ σφόδρα τηροῦν τὴν ἀλήθειαν· καὶ ἅμα μοι δοκεῖ ἐφέλκεταί τι τῆς ἐλευθερίας καὶ τῆς μεγαλοπρεπείας, καὶ οὐ παντάπασιν ἀκριβολογεῖται. ἀλλ᾽, ὥσπερ ἔφην, συγχωρεῖ τῇ φύσει. ἔπειτα ταῦθ᾽ ἡμεῖς ἁπλῶς οὕτω παραδεξόμεθα· οὐκ ἄρα εἰδέναι τὰ ἐκείνου δόξομεν.

Σχόλιον. [τὸ ἀμέλει Ἀριστείδης πολλάκις ὡς παρέλκον λαμβάνει.]

Οὔ τι φιλαθηναῖόν γέ ἐστι, τὴν ἀκαδημίαν μόνην θαυμάζειν τῆς Ἀττικῆς, τὴν δ᾽ ἄλλην ἅπασαν ὥσπερ ἐχθρὰν κρίνειν καὶ πολεμίαν. οὐδὲ γὰρ καταγελάσους ἀποφήναντα τοὺς ἄλλους ἅπαντας, οὕτω καί ποτε χρὴ Πλάτωνα * θαυμάζειν ἀναμείναι. τοῦτο γὰρ οὐ Πλάτωνος ἂν εἴη τιμή, ἀλλ᾽ ἀτιμία τῶν ἄλλων μᾶλλον· σχεδὸν δ᾽ ἔτι καὶ αὐτοῦ Πλάτωνος. τὸ γὰρ ἡγεῖσθαι, χρηστοῦ τινος ἄλλου κριθέντος, μὴ εἶναι τοῦτον πλείονος ἄξιον δόξαι, πῶς οὐ τοιοῦτόν ἐστιν· * οὐ δεῖ τὴν πρὸς τοὺς ἑτέρους ἀπέχθειαν νομίζειν ἀφορμὴν τῆς πρὸς τοὺς ἑτέρους πίστεως εἶναι. εἰ γὰρ τὸν Πλάτωνα κακόν τι λέγειν ἀφιέμενοι, τοῖς ἀνδράσι τὰ πρέποντα ἀποδώσομεν, οὐκ ἀδικοῦμεν, οἶμαι· ταῦτα γὰρ καὶ πολιτικά, καὶ ἀνθρώπινα, καὶ θεοῖς ἀρέσκοντα ἐκ τοῦ παντὸς χρόνου. ἀλλ᾽ εἴ τοι γε φαῦλόν γε ἡ τραγῳδία, καὶ φαύλων ἀνθρώπων· πῶς σε φῶμεν τραγῳδίαν ποιεῖν; οὐ γὰρ τό γε ὅλως αἰσχρὸν οὐδαμῶς ἔνι δή που ποιῆσαι καλῶς. καὶ λέγεις μὲν ὡς οὐ χρὴ μιμεῖσθαι τοὺς φαύλους, οὐδ᾽ ἀφομοιοῦν τοῖς χείροσιν· αὐτὸς δ᾽ οὐ πάνυ χρῇ τούτῳ διὰ τέλους· ἀλλὰ μιμῇ σοφιστάς, μιμῇ συκοφάντας, μιμῇ [ἀναίσχυντον πάνυ τοῦτόν φασι] Θρασύμαχον, τὸν οὐδεπώποτε ἐρυθριάσαντα· * θυρωροὺς μυρίους, παιδία. ἀλλ᾽ οἶμαι τὸ τῆς φύσεως ἑλληνικόν, καὶ εὔκολον, καὶ εὔχαρι, καὶ ποικίλον, καὶ θεῖον, ἐφ᾽ ἃ πάντα ταῦτα ἄγον σε, ποιεῖ μαρτυρεῖν ὅτι καὶ τούτων ἑκάστου χρῆσίς ἐστι, καιρὸν ἔχουσα καὶ χάριν ἐμμελῆ. εἶτα λέγεις, ὅτι πάντες οὗτοι, τῆς πρὸς ἡδονὴν ἐξήρτηνται· πότερ᾽ οὖν σε φῶμεν, ἔλαττον τοῦ δέοντος λέγειν, ἢ πλέον; ὅτι μὲν γὰρ καὶ τῆς πρὸς ἡδονὴν φροντίζουσιν οἱ ποιηταί, ὁμολογεῖται. ὥστ᾽ ὅσον * προσθεῖναι προσῆκεν, τοῦτ᾽ ἀφελὼν ἔλαττον παρὰ τὸ εἴρηκας. ὅτι δὲ αὐτοῖς κολακείαν ἐπενήνοχας, ἐκ τούτου πῶς οὐκ ἔξω τοῦ δέοντος εἴρηκας; ἢ πῶς οὐ ταύτῃ πλέον αὖ τοῦ δέοντός ἐστιν ἔχων ὁ λόγος; ἐξῆν γὰρ, ὦ γενναῖε, καὶ τοὺς νέους δικαίως εἶναι προτρέψαι, καὶ τοῖς πρεσβυτέροις τὰ πρέποντα ἀποδοῦναι. καὶ γὰρ εἰ μηδὲν εἴχομεν ἐπαινεῖν αὐτούς, ἀλλ᾽ ἐξῆν γε δήπου σιωπῇ παρελθεῖν· καὶ οὐκ ἔμελλες ὀφλήσειν

Margin notes (Greek column):

* ἀναξιῶς.

* μάλ.

* Schol. τὸ ἀρχαϊκὸν πρὸς τοὺς θυρωροὺς ὁ ἀσφαλὴς φύλαξ.

* Schol. ἔχρῆν ἀντὶ προσθεῖναι τὸ βέλτιον ἀφελεῖν.

Verumtamen nonnihil etiam ingenio vtitur, quemadmodum potestate reges, sicut & in ipsa dictione facit aliquando, dum libertatem vsurpat loquendi, atque etiam in argumentis ipsis: **ARISTIDES.**

Fingit hic & inducit mortuos, quasi præsentes ac disserentes. **SCHOLION**

Nec Euripidis Iambicum illud esse dicemus:

Sapientium commercio princeps sapit. *Euripides.*

quamuis id sapientum quidam dixerit, cum sit ex Aiace Sophoclis: qui Locrus inscribitur, sumptum. Sed hæc licentiæ dialogorum & consuetudini tribuuntur. Etenim cum sint omnes figmenta, & quocunque quis velit modo possit nectere, fit vt nec ipsa verba sint admodum veritati consona. Simul & libertatem videtur atque magnificentiam nonnihil sectari, nec ad exactam rationem referre cuncta; verum, quod iam dixi, ingenio concedit. Et hæc nos ita temere recipiemus? non igitur eum cognoscere videbimur.

ἀμέλει sæpe ponit Aristides quasi redundans. **SCHOLION.**

Nemo certè qui solam admiretur Academiam reliquam Atticam hostilem & inimicam habeat, Atheniensès amare dicatur: neque cum reliquos omnes ridendos proposuerimus, tum fore sperandum est, vt Platonem quisquam admiretur. Id enim non in honorem Platonis, sed aliorum potius omnium ignominiam, atque adeo Platonis ipsius cederet. Nam cum putamus eum non posse: si quis alius probus habeatur, pluris fieri, tale quiddam efficimus. Neque conuenit contractum cum aliis odium, fidei apud alios occasionem fore credere. Nam si Platoni non malafaciendo debitam viris laudem tribuimus, nemini credo facimus iniuriam. Hæc enim politica sunt, humana, ac Diis ab omni æuo placita. Verum si res est improba tragœdia, atque improborum hominum scriptum, quis te dicat esse tragicum? Quod enim prorsus est turpe, id nullo modo potest honestum fieri. Deinde negas quemquam debere improbos imitari, vel ad exemplum deterius se componere; nec ipse hoc vbiq; præstas, verum imitaris Sophistas, sycophantas, Thrasymachum, quem plane impudentem fuisse aiunt, quia nunquam erubuit, [a] ianitores, pueros, cunctos homines. Sed vt arbitror Græcum illum, facile, gratiosum, varium, ac diuinum, quod adhæc omnia te ducit, ingenium, fateri te cogit, horum quoque singula suum habere vsum cum tempore & gratia coniunctum. Atque hos omnes [b] voluptati studere affirmas. Vtrum te igitur minus, an plus, quam deceat, ponere dicemus. Etenim voluptati quoque poëtas studere creditur. Quapropter cum id, quod [c] adiiciendum erat, aufers, minus, quam decet, dicis. Cum autem ex eo adulationem illis imponebat, plus profecto quam requirebatur tua continebat oratio. Poteras enim, vir præclare, simul & iuuenes ad iustitiam consortari, & senioribus suum tribuere. Etenim vt laudari non potuissent, silentio tamen poterant præterlri, neque fueras ob eam rem [d] rationum non relatarum accu-

Margin notes (Latin column):

SCHOLION a *Audaces ad ostia ponimus, vt fideles custodes.*

b *Rhetores etiam voluptati studeant.*

c *Oportebat enim adiicere, sollicitudinem.*

d *Rationum omissa.*

ARISTIDES. sandus. Sed non hoc aliquem ad indignationem commoueat maximè, quod Plato Græcorum facile princeps, & qui merito plurimum sibi tribuat, magnitudine quadam & ingenij libertate quosdam accusare voluit; sed & quod nonnulli nullius pretij homines, hac occasione sumpta, rem in consuetudinem trahunt, atque etiam de Demosthene, quem ego [a] Mercurij cuiusdam eloquentiæ loco in terras arbitror descendisse, nihil non audent effutire. Quis vero viuos hos ferat, qui sæpius solœcismum committunt quam loquuntur, alios contemnunt, quantum erant ipsi contemnendi, in cæteros anquirunt, in se nunquam; virtutem extollunt, non exercent; vagi obambulant; *vita simulacra carentum*, Hesiodi fuci, Archilochi simiæ, duabus formis pro tribus vaccæ tragicæ præditi. Qui cum se Ioui negent cedere, pecunia tantopere vincuntur, & aliis conuitiantur, non quod res ipsas condemnarint, sed quia cum paria facere non possint, inuident. Quod si quis ipsis de continentia disputantibus oppositus [b] placentas ostendat & monilia, linguam demittunt, vt ensem [c] Menelaus. Nam si Helenam videant ipsam, Helenam autem! si vel ancillam qualem finxit Menander Phrygiam, Sophoclis Satyros reuera pro ludicro curant haberi. Qui priuationem [d] vocant communionem: inuidiam autem philosophiam, & inopiam pecuniæ contemptum. Cum autem humanitatem profiteantur, neminem iuuerunt vnquam, & qui voluit ipsis vti, eos infestant. Et alios quidem vix occurrentes aspiciunt, diuitum autem gratia ad fines regionis occurrunt, quemadmodum Phryges propter oleas. Etenim hi sunt, qui impudentiam & offensam putant esse libertatem, humanitatem in accipiendo ponunt. Quid? quod ad eam sapientiam peruenerunt, vt pecuniam non exigant, quod autem pecuniam valet, accipere norint, in sententia perseuerent, sin turgidior sit effectus sacculus Gorgonem ceperit Perseus. Non alieni ab impiorum Palæstinorum moribus. Nam & illi hoc habent impietatis signum, quod Deos esse non putent, atque hi à Græcis, atque adeo bonis omnibus quodammodo dissentiunt, in reliquis quidem rebus vmbra sua magis muti: Cum autem aliquis criminandus & calumniandus est, vix æri Dodonæo, verum culicibus potius in tenebris perstrepentibus conferendi, ad rem maximè necessariam peragendam maxime inutiles, ad ædes perforandas, & perturbandos atque inter se committendos domesticos, omnémque administrationem sibi arrogandam, omnium aptissimi. Sed in latibula submersi, miranda quædam comminiscuntur, ad vmbram nescio quam verba eructantes, inquit Sophocles, Anthericum metentes, funiculum in arena nectentes, telam nescio quam retexentes. Quantum enim in sapientia proficiunt, tantumdem [e] amittunt, magnopere sibi placentes, cum Rhetoricæ maledixerint,

*ἀλογίου. ἀλλὰ γὰρ οὐχ *ὅτι Πλάτων ὁ τῶν Ἑλλήνων τοσοῦτον ὑπερφέρων, καὶ δικαίως μέγιστον ἐφ' ἑαυτῷ φρονῶν, κατηγορῆσαι τινῶν ἠξίωσε μεγέθει τινὶ καὶ ἐξουσίᾳ φύσεως, τοῦτο καὶ μόλις ἄν τις ἀγανακτήσειεν· ἀλλ' ὅτι [καὶ] τῶν κομιδῇ τινες ἀξίων οὐδενὸς ἀφορμῇ ταύτῃ χρώμενοι, μελέτην ἤδη τὸ πρᾶγμα πεποίηνται, καὶ τολμῶσι καὶ περὶ Δημοσθένους (ὃν ἐγὼ φαίην ἂν Ἑρμοῦ τινος λογίου τύπον εἰς ἀνθρώπους κατελθεῖν) ὅτι ἂν τύχωσι βλασφημεῖν. καί τοι τίς ἂν εἰς ζῶντας τελῶν, τούτων ἀνάσχοιτο; οἳ πλείω μὲν σολοικίζουσιν, ἢ φθέγγονται· ὑπερορῶσι δὲ τῶν ἄλλων, ὅσον αὐτοῖς ὑπερορᾶσθαι προσῆκεν. καὶ τοὺς μὲν ἄλλους ἐξετάζουσιν, αὐτοὺς δὲ οὐ πώποτε ἠξίωσαν. καὶ σεμνύνουσι μὲν τὴν ἀρετήν, ἀσκοῦσι δ' οὔ. περιέρχονται δὲ ἄλλως βροτῶν εἴδωλα καμόντων, Ἡσιόδου κηφῆνες, Ἀρχιλόχου πίθηκοι, δύο μορφὰς ἔχοντες ἀντὶ τριῶν τῆς τραγικῆς βοός. οἳ τοῦ μὲν Διὸς οὐδὲν χείρους φασὶν εἶναι, τοῦ δὲ ὀβολοῦ τοσοῦτον ἡττῶνται. ὀνειδίζουσι δὲ τοῖς καλοῖς ἄλλοις, οὐ τῶν πραγμάτων κατεγνωκότες, ἀλλὰ φθονοῦντες, ὅτι αὐτοὶ πράττειν ταῦτα δύνανται. εἰ δέ τις αὐτῶν περὶ τῆς ἐγκρατείας διαλεγομένων ἀπαντικρὺ σταίη, ἔχων *ἔνθρυπτα καὶ στρεπτούς· ἐκβάλλουσι τὴν γλῶτταν, ὥσπερ ὁ Μενέλεως τὸ ξίφος. αὐτὴν μὲν γὰρ ἐὰν ἴδωσι τὴν Ἑλένην, Ἑλένην λέγω· θεράπαιναν μὲν οἵαν ὁποίαν ἐποίησε Μένανδρος, τὴν Φρυγίαν τῷ ὄντι παιδιὰν ἀποφαίνουσι τοὺς σατύρους τοῦ Σοφοκλέους. οἳ τὸ μὲν ἀποστερεῖν, κοινωνεῖν ὄνομα *τίθενται· τὸ δὲ φθονεῖν, φιλοσοφεῖν· τὸ δ' ἀπορεῖν, ὑπερορᾶν χρημάτων· ἐπαγγελλόμενοι δὲ *φιλανθρωπίαν, ὤνησαν μὲν οὐδένα πώποτε· ἐπηρεάζουσι δὲ τοῖς χρωμένοις. καὶ τοὺς μὲν ἄλλους οὐδ' ἀπαντῶντας ὁρῶσι· τῶν δὲ πλουσίων ἕνεκα, εἰς τὴν ὑπερορίαν ἀπαίρουσιν, ὥσπερ οἱ Φρύγες, οἱ τῶν ἐλαιῶν ἕνεκα τῆς συλλογῆς, οἱ καὶ προσιόντων εὐθὺς ὤσφροντο. οὗτοι γάρ εἰσιν οἱ τὴν μὲν ἀναισχυντίαν, ἐλευθερίαν νομίζοντες· τὸ δ' ἀπεχθάνεσθαι, παρρησιάζεσθαι· τὸ δὲ λαμβάνειν, φιλανθρωπεύεσθαι. εἰς τοῦτο δ' ἥκουσι τῆς σοφίας, ὥστε ἀργύριον μὲν οὐ πράττονται, ἀργυρίου *δ' ἀξίας λαμβάνειν ἐπίστανται. κἂν μέν γε τύχῃ τις ἔλαττον πέμψας, ἐνέμειναν τῷ δόγματι· ἂν δὲ ἁδρότερον τὸ σακκίον αὐτοῖς φανῇ, Γοργόνα Περσεὺς ἐχειρώσατο. τοῖς ἐν Παλαιστίνῃ δυσσεβέσι παραπλήσιοι τοὺς τρόπους. καὶ γὰρ ἐκείνοις τοῦτ' ἔστι σύμβολον τῆς δυσσεβείας, ὅτι τοὺς κρείττους οὐ νομίζουσι. καὶ οὗτοι τρόπον τινὰ ἀφεστᾶσι τῶν Ἑλλήνων, μᾶλλον δὲ καὶ πάντων τῶν κρειττόνων. τὰ μὲν ἄλλα ἀφωνότεροι τῆς σκιᾶς τῆς ἑαυτῶν. *ἐπειδὰν δέ τινας εἰπεῖν κακῶς δέῃ, καὶ διαβαλεῖν, τῷ Δωδωναίῳ μὲν οὐκ ἂν εἰκάσαις αὐτοὺς χαλκείῳ· μὴ γὰρ, ὦ Ζεῦ, ταῖς δὲ ἐμπίσι ταῖς ἐν τῷ *σκότῳ βομβούσαις. συγκαταπρᾶξαι μέν τι τῶν δεόντων ἁπάντων ἀχρηστότατοι, διορύξαι δὲ οἰκίαν, καὶ ταράξαι, καὶ συγκροῦσαι τοὺς ἔνδον πρὸς ἀλλήλους, καὶ φῆσαι πάντ' αὐτοὺς διοικήσειν πάντων δεινότατοι· καταδύντες δὲ εἰς τοὺς χηραμοὺς, ἐκεῖ τὰ θαυμαστὰ σοφίζονται, σκιᾷ τινι λόγοις ἀνασπῶντες, ἔφη ὁ Σοφοκλῆς, τὸν ἀνθέρικα θερίζοντες, [καὶ] τὸ ἐκ τῆς ἄμμου σχοινίον πλέκοντες· *οὐκ οἶδ' ὅν τινα ἱστὸν ἀναλύοντες, ὅσον γὰρ ἂν προκόψωσι τῆς σοφίας, τοσοῦτον *ἀνταφαιροῦσι μέγα φρονοῦντες, ἐὰν ῥητορικὴν εἴπωσι κακῶς.

ὥσπερ

Margin notes (left):
a Mercurium alterum prouerbij specie sup. Photius. Demosthenis laus. Philosophi Vitiosi.
Hom. Iliad. ψ.
b Vtrumq. spreuus placenta.
c apud Eurip. Andromach.
d hoc reprehendendo Platonem dicit.
Iudæi notantur ab ethnico Aristide.
In Aiace.
e Per malam ipsorum sententiam.

Margin notes (right):
* Schol. ὄνομα δ...
* al. ὅτι π. Πλάτων.
* Schol. οἱ δὲ πλακοῦντες ἀμφοτέρω.
* τιθέντες. Schol. τοῦτο τὸν Πλάτωνα διαβάλλει φασί.
* φιλοσοφίαν, M.M.
* al. ἐᾶν.
* al. ἐπεὶ δὲ.
* al. σκότει.
* al. οἰκίδια.
* Schol. διὰ τῶν ... αὐτῶν γνώμας.

ὥσπερ οὖν καὶ τοὺς δούλους τοῖς δεσπόταις ὑπ᾽ ὀδόντα πολλάκις καταρωμένους, καὶ μάλιστα τοὺς μαστιγίας αὐτῶν. ἤδη δέ τις καὶ * σάτυρος τῶν ἐπὶ σκηνῆς κατηράσατο τῷ Ἡρακλεῖ. εἶτά γ᾽ ἔκυψε προσιόντος κάτω. εἰκότως δέ μοι δοκοῦσι κακῶς ἅπαντας λέγειν· πολὺ γὰρ αὐτοῖς τοῦ πράγματος περίεστιν. οἵ γε κἂν μηδενὸς ἀνθρώπων μεμνήσωνται, λέγουσι δ᾽ ἃ λέγουσι κακῶς· ὥστε ἀφ᾽ ὧν ἔχουσι χαρίζονται· εἶτα τὸ κάλλιστον τῶν ὀνομάτων αὑτοῖς τίθενται φιλοσοφίαν, ὥσπερ θέαν προκατειληφότες. ἐγὼ μὲν οὖν καὶ Πλάτωνι τὴν προσήκουσαν τιμὴν ἀπένειμα, καὶ τοῖς ἀνδράσι τὰ πρέποντα ἐβοήθησα· καὶ οὐχὶ προσηκάμην. εἰ δέ τι ἀντειπεῖν ἔχει τούτοις, φυλαττέτω ἐμοὶ τὴν ἴσην εὐφημίαν, ὥσπερ ἐγὼ Πλάτωνι· τοῦτον ἐγὼ καὶ νῦν καὶ ὕστερον φίλον, οὐκ ἐχθρὸν, κρίνω.

* Σάτυρος ... ὁ ... λέγει τοῦ Διονύσου.

ΠΥΘΑΓΟΡΟΥ ΒΙΟΣ.

σμθ. E Vita Pythagoræ, excerpta.

Ἀνεγνώσθη Πυθαγόρου βίος. ὅτι ἔνατος ἀπὸ Πυθαγόρου διάδοχος γέγονε, φησὶ, Πλάτων, Ἀρχύτου τοῦ πρεσβυτέρου μαθητὴς γενόμενος· δέκατος δὲ Ἀριστοτέλης. τῶν δὲ Πυθαγόρου οἱ μὲν ἦσαν περὶ τὴν θεωρίαν καταγινόμενοι, οἵπερ ἐκαλοῦντο σεβαστικοί· οἱ δὲ περὶ τὰ ἀνθρώπινα, οἵπερ ἐκαλοῦντο πολιτικοί· οἱ δὲ περὶ τὰ μαθήματα, γεωμετρικὰ, καὶ ἀστρονομικὰ, οἵπερ ἐκαλοῦντο μαθηματικοί. καὶ οἱ μὲν αὐτῷ τῷ Πυθαγόρᾳ συγγενόμενοι, ἐκαλοῦντο Πυθαγορικοί· οἱ δὲ τούτων μαθηταὶ, Πυθαγόρειοι· οἱ δὲ ἄλλως ἔξωθεν ζηλωταὶ, Πυθαγορισταί. ἀπείχοντο δὲ ἐμψύχων, καὶ κατὰ καιρὸν μόνον θυσιῶν ἐγεύοντο.

Ὅτι ρ΄ καὶ τεσσάρων ἐτῶν λέγεται ἐζηκέναι ὁ Πυθαγόρας. καὶ ὁ μὲν Μνήσαρχος εἷς τῶν υἱῶν αὐτοῦ λέγεται νεώτερος τελευτῆσαι, Τηλαύγης δὲ οὗτος διεδέξατο· καὶ Σάρα, καὶ Μυία αἱ θυγατέρες. καὶ ἡ Θεανὼ δὲ λέγεται οὐ μαθήτρια μόνον, ἀλλὰ καὶ μία τῶν θυγατέρων αὐτοῦ εἶναι.

Ὅτι διαφέρειν ἔλεγον οἱ ἀπὸ Πυθαγόρου μονάδα καὶ ἕν. μονὰς μὲν γὰρ παρ᾽ αὐτοῖς ἐνομίζετο ἡ ἐν τοῖς νοητοῖς οὖσα· ἓν δὲ, τὸ ἐν τοῖς ἀριθμοῖς· ὁμοίως δὲ καὶ δύο τὸ ἐν τοῖς ἀριθμητοῖς. ἔλεγον δὲ τὴν * μονάδα ἀόριστον.

* δυάδα.

Ὅτι ἡ μὲν μονὰς, κατὰ τὴν ἰσότητα καὶ τὸ μέτρον λαμβάνεται· ἡ δὲ δυὰς καθ᾽ ὑπερβολὴν καὶ ἔλλειψιν. μεσότης μὲν οὖν καὶ μέτρον οὐ δύναται μᾶλλον καὶ ἧττον γενέσθαι. ἡ δὲ ὑπερβολὴ καὶ ἔλλειψις, ἐπειδὴ εἰς ἄπειρον προχωρεῖ, διὰ τοῦτο ἀόριστον αὐτὴν ἔλεγον δυάδα. καὶ ἐπειδὴ πάντα εἰς τοὺς ἀριθμοὺς ἀνῆγον ἔκ τε τῆς μονάδος καὶ τῆς δυάδος καὶ τὰ ὄντα πάντα, ἀριθμοὺς προσηγόρευον. ὁ δὲ ἀριθμὸς συμπληροῦται τοῖς δέκα· ὁ δὲ δέκα, σύνθεσις τῶν τεσσάρων κατὰ τὸ ἑξῆς ἀριθμουμένων ἡμῖν· καὶ διὰ τοῦτο τὸν ἀριθμὸν πάντα τετρακτὺν ἔλεγον.

* κατὰ πόσους τρόπους ὁ ἄνθρωπος ἑαυτοῦ γίνεται βελτίων.

Ἔλεγον δὲ τὸν ἄνθρωπον αὐτὸν ἑαυτοῦ βελτίω κατὰ τρεῖς τρόπους γίνεσθαι. πρῶτον μὲν τῇ ὁμιλίᾳ τῇ πρὸς τοὺς θεούς. ἀνάγκη γὰρ, προσιόντα αὐτοῖς, κατ᾽ ἐκεῖνο καιροῦ χωρίζεσθαι * αὐτοὺς πάσης κακίας, εἰς δύναμιν ὁμοιοῦντα * ἑαυτοὺς τῷ θεῷ. δεύτερον, ἐν τῷ εὖ ποιεῖν· θεοῦ γὰρ τοῦτο, καὶ θείας μιμήσεως. τρίτον, ἐν τῷ ἀποθνήσκειν. εἰ γὰρ καὶ ποσόν τι ἡ ψυχὴ τοῦ σώματος, ἐν τῷ ζῆν τὸ ζῶον,

* αὐτόν. * ἑαυτόν.

quasi non etiam famuli sæpe, ac præsertim magistræ, dominos intra dentes execrentur. Quin etiam [a] Satyrus quidam Scenicus olim est Herculi imprecatus, ad cuius aduentum confestim succubuit. Nec immerito videntur mihi cunctis maledicere, quandoquidem hac re plurimum valent, qui vt nullius hominis mentionem faciant, male tamen dicunt omnia, ita quod habent in medium conferunt.

[a] Satyrus quidam non calui genium, deus Bacchi.

Atque etiam pulcherrimũ Philosophiæ nomen sibi tribuunt, quasi locum in theatro præoccupassent. Atque equidem, & Platoni debitum honorem tribui, & virorum dignitati opẽ tuli non ignauiter. Quod si quis hæc refutare potest, si id eadem seruata mihi beneuolentia, qua Platonem ego sum prosecutus, fecerit, eum ego nunc, & in posterum, amicum, non hostem iudicabo.

EXCERPTA E VITA Pythagoræ.

CCLIX.

Legimus & vitam Pythagoræ. Excepit, inquit, docendi munere Pythagoram Plato nonus successor, Archytæ senioris discipulus, decimus Aristoteles. Pythagoræ autem discipuli, qui contemplationi dediti erant, Sebastici [id est pij] vocari sunt, qui circa humana versarentur Politici, qui Mathesin, Geometriam, Astronomiam amarent, Mathematici, qui familiares ei essent, Pythagorici, horúmque discipuli Pythagorei: quique aliter extrinsecus eum imitarentur, Pythagoristæ. Omnes hi animalibus abstinentes, certo tempore è victimis solis gustabant.

Pythagorei & Pythagorici.

Centum & quatuor vixisse annis fertur Pythagoras, & Mnesarchus etiamnum iuuenis vnus filiorum obiisse, successit huic Telauges, Saráque & Myia illius filiæ, ipsáque Theano, non discipula modo, verum & filia fuisse memoratur.

Pythagoristæ.

Differunt, vt aiunt Pythagorei, vnitas, & vnum, vnitas quidem in rebus quæ sub intellectum cadunt, ab iis collocatur: vnum vero in ipsis numeris, & eodem modo duo in numeratis dualitatem infinitam perhibent.

Dogmata Pythagoreorum.

Vnitas quidem secundum æqualitatem & medium sumitur: dualitas autem secundum exsuperantiam, id quod minus est. Itaque medium & modus non possunt plus aut minus fieri, sed excessus, & defectus, cum in infinitum procedant, atque ideò asseruerunt dualitatem infinitam. Et licet omnia è monade & dualitate in numeros referant, omniáque quæ exstant numerum appellent, decimo tamen numerus completur. Decimus vero fit à quatuor nobis ordine numerantibus numeris. Idcirco omnem numerum Quaternarium appellant.

Tribus quoque asserebant modis seipso hominem meliorem fieri: primo cum Diis colloquendo: Accedentem enim ad eos tunc potissimum ab omni se maleficio abstinere necesse est, & quoad eius fieri potest Deo assimilari. Deinde bene de aliis merendo: Dei enim hoc proprium est in eoque Deum imitatur. Tertio denique moriendo. Si enim animus, qui in vita ipsa est vitæ causa, paululum à corpore

VITA PYTHAGOR.

separatus, seipso redditur melior, siquidem in somnis per insomnia, & in ecstasibus morborum, diuinator fit, multo sane tunc præstantior seipso fit, cum iam postremo è corpore migrauit. Apud eosdem exordium rerum omnium est vnitas, deinde punctum initium lineæ, linea superficiei, & superficies triplicis in quantitate dimensionis, vel, vt vocant, corporis. Verum ante punctum cognoscimus Monadem. Quare corporum initium est vnitas, sicut omnia corpora è Monade componuntur.

Ab animatis cur abstineant. Vide Porphyriũ & Agellium lib. 4. cap. 11. Fabis cur interdictum. Agell. ibid.

Adhæc, propter transmigrationem animarum, quam stulto sane consilio veram putant, ab animatis abstinent: deinde quia ingenium grauant, ob nimium nutrimentum & digestionem. Quin & fabas non edunt, nimium secundum eos inflationi obnoxias, & nimis alentes, aliisque de causis, quæ fabarũ esum prohibeãt.

Plurima Pythagoras prædixisse fertur, & omnia accidisse.

Plato.

Platonem à Pythagoreis in Italia Speculatiuam & Physicam aiunt, & à Socrate Ethicam didicisse: apud Zenonem vero, & Parmenidem Eleatas fundamenta Logices iecisse, qui omnes è Pythagoræ schola profecti sunt.

Colores XII.

Iuxta Pythagoræ, Platonis, & Aristotelis opinionẽ, duodecim coloribus oculus iudicat, de albo, & nigro, & de cæteris interiectis, flauo, fusco, pallido, rubro, cæruleo, purpureo, rutilo, & luteo. De acuta & graui voce iudicium fert auris. Odoratus bonos & malos sentit odores, & alios, putridos, humidos, liquidos, vaporatos. Gustui dulcia sapiunt & amara, & alia quinque media. In vniuersum autem septem sunt sapores, dulcis, amarus, asper, acidus, mollis, sallus, austerus. Plurimorum censor est tactus. Tangit enim grauia & leuia, & quæ inter hæc sunt: calida item & frigida, & quæ interiacent: dura & mollia, & horum media: sicca, & humida, & quæ intersunt. Reliqui quidem quatuor sensus in solo capite stationem habent, & propria occupant organa. Sed per caput, & totum corpus habitat tactus, aliisque sensibus communis est: in manibus autem præsertim vis illius emicat.

Sapores.

Orbes cælestes.

Asserunt insuper duodecim orbes in cælo esse, & primum quidẽ & remotissimum firmamentũ, vbi & summus Deus, cæteriq; intelligentia præditi Dij, vt vocat Aristoteles, aut secundum Platonem Ideæ. Deinde septem Planetæ sequuntur, Saturni, Iouis, Martis, Veneris, Mercurij, Solis & Lunæ, post planetas ignis, mox aër, quem sequitur aqua, omnibus vltima subest tellus. Duodecim orbium firmamentum causa est prima: & quanto quodque illi vicinius, tanto etiam firmius & melius esse aiunt & quæ longius absunt, non ita firma sunt, & vsque ad Lunam hic ordo seruatur, infra Lunam minime. Necessaria vero omnia mala terra sustinet, quandoquidem instar fundi totum mundum sustinet, & receptaculum necessarium est eorum, quæ in imo subsistunt. Et has omnes partes Prouidentia, firmáque ordinatione,

χωριζομένη βελτίων γίνεται ἑαυτῆς· ἔν τε τοῖς ὕπνοις κατὰ τοὺς ὀνείρους, καὶ ἐν ταῖς ἐκστάσεσι τῶν νόσων μαντικὴ γίνεται: πολλῷ μᾶλλον βελτιοῦται, ὅταν τέλεον χωρισθῇ ἀπὸ τοῦ σώματος.

Ὅτι τὴν μονάδα πάντων ἀρχὴν ἔλεγον Πυθαγόρειοι: ἐπεὶ τὸ μὲν σημεῖον, ἀρχὴν ἔλεγον γραμμῆς· τῆς δὲ, ἐπιπέδου· τὸ δὲ, τοῦ τριχῇ διαστατοῦ, ἤτοι σώματος. τοῦ δὲ σημείου προεπινοεῖται ἡ μονάς: ὥστε ἀρχὴ τῶν σωμάτων, ἡ μονάς· ὥστε τὰ σώματα πάντα, ἐκ τῆς μονάδος γεγένηται.

Ὅτι οἱ * Πυθαγόρειοι τῶν ἐμψύχων ἀπείχοντο, τὴν μετεμψύχωσιν ἀφρόνως ὡς ἀληθῆ ὑπολαμβάνοντες. καὶ ὅτι τὰ τοιαῦτα τῶν βρωμάτων παχυνεῖ τὸν νοῦν, τροφιμώτερα ὄντα, καὶ πλείω ἀνάδοσιν ποιοῦντα. διὰ τοῦτο καὶ τοῦ κυάμου ἀπείχοντο, ὅτι φυσώδης καὶ τροφιμώτατος. καὶ ἄλλας δέ τινας αἰτίας πλείους ἀποδιδόασιν, αἳ αὐτὰς ἐκεῖνοι ἀπέχεσθαι τῶν κυάμων.

al. πυθαγοριοι.

Ὅτι τὸν Πυθαγόραν πολλά * φασι προειπεῖν, καὶ πάντα ἐκβῆναι.

φασί.

Ὅτι τὴν μὲν θεωρετικὴν καὶ φυσικὴν Πλάτωνά φασι παρὰ τῶν ἐν ἰταλίᾳ πυθαγορείων ἐκμαθεῖν· τὴν δὲ ἠθικὴν μάλιστα παρὰ Σωκράτους. τῆς δὲ λογικῆς σπέρματα καταβαλεῖν αὐτῷ Ζήνωνα καὶ Παρμενίδην τοὺς ἐλεάτας· καὶ οὗτοι δὲ τῆς πυθαγορείου ἦσαν διατριβῆς.

Ὅτι ἡ ὄψις, κατὰ Πυθαγόραν καὶ Πλάτωνα καὶ Ἀριστοτέλην, τῶν δώδεκα χρωμάτων ἐστὶ κριτική, λευκοῦ καὶ μέλανος, καὶ τῶν μεταξὺ, ξανθοῦ, φαιοῦ, ὠχροῦ, ἐρυθροῦ, κυανοῦ, ἁλουργοῦ, λαμπροῦ, ὀρφνίνου· ἡ δὲ ἀκοὴ, κριτική ἐστι ὀξέος καὶ βαρέος φθόγγου. ἡ δὲ ὄσφρησις, κριτικὴ εὐωδῶν καὶ δυσωδῶν ὀσμῶν, καὶ τῶν μεταξὺ ἕξ, σηπομένων τε καὶ βρεχομένων, ἢ τηκομένων, ἢ θυμιαζομένων. ἡ δὲ γεῦσις, κριτική ἐστι γλυκέων τε καὶ πικρῶν χυμῶν, καὶ τῶν μεταξὺ πέντε. ἑπτὰ γάρ εἰσιν οἱ χυμοὶ πάντες, γλυκύς, πικρὸς, ὀξύς, δριμύς, στρυφνός, ἁλυκός, στρυφνός. ἡ δὲ ἁφὴ, πλειόνων ἐστὶ κριτική· οἷον, βαρέων, κούφων, καὶ τῶν μεταξύ· θερμῶν τε καὶ ψυχρῶν, καὶ τῶν μεταξύ· τραχέων, καὶ λείων, καὶ τῶν μεταξύ· ξηρῶν καὶ ὑγρῶν, καὶ τῶν μεταξύ. καὶ αἱ μὲν δ' αἰσθήσεις ἔν τε τῇ κεφαλῇ εἰσι, καὶ ἰδιάζουσι περικλείονται ὀργάνοις· ἡ δὲ ἁφὴ, καὶ διὰ τῆς κεφαλῆς καὶ δι' ὅλου τοῦ σώματος κεχώρηκε, καὶ ἔστι κοινὴ πασῶν τῶν αἰσθήσεων· μᾶλλον δὲ κατὰ τὰς χεῖρας ἐπιδηλοτέραν παρέχεται τὴν κρίσιν.

τίνων χρωμάτων ἡ ὄψις κριτική.

Ὅτι δώδεκα τάξεις ἐν τῷ οὐρανῷ φησιν εἶναι [καὶ] πρώτην καὶ ἐξωτάτην τὴν ἀπλανῆ σφαῖραν· ἐν ᾗ ἐστιν ὅ, τε πρῶτος θεὸς, καὶ οἱ νοητοὶ θεοὶ, ὡς Ἀριστοτέλει δοκεῖ, κατὰ δὲ Πλάτωνα αἱ ἰδέαι· μετὰ δὲ τὴν ἀπλανῆ, ὁ τοῦ Κρόνου τέτακται ἀστὴρ, καὶ οἱ ἐφεξῆς * πλανῆται ἕξ, ὁ τοῦ Διός φημι, ὁ τοῦ Ἄρεος, ὁ τῆς Ἀφροδίτης, ὁ τοῦ Ἑρμοῦ, ὁ τοῦ Ἡλίου, ὁ τῆς Σελήνης. εἶτα ἡ τοῦ πυρὸς σφαῖρα· ἑξῆς ἡ τοῦ ἀέρος· μετ' αὐτὸν ἡ τοῦ ὕδατος· λοιπὴ καὶ ἐπὶ πᾶσιν ἡ γῆ. δώδεκα δὲ τάξεων οὐσῶν, ἐν τῇ ἀπλανεῖ τὸ πρῶτον αἴτιόν ἐστι· καὶ ὅ, τι αὖ ἡ ἐγγὺς αὐτοῦ, τοῦτό φασι τετάχθαι βεβαίως καὶ ἀρίστως· τὰ δὲ πόρρωθεν, ἧττον· τὴν δὲ τάξιν μέχρι Σελήνης σώζεσθαι· τὰ δὲ ὑπὸ Σελήνην οὐκέτι ὁμοίως. ἐξ ἀνάγκης δὲ ἐστι καὶ ἡ κακία εἰς τὸν περὶ γῆν τόπον· ἅτε δὴ πυθμένος λόγον ἐπεχούσης τῆς γῆς πρὸς πάντα τὸν κόσμον, καὶ πρὸς ὑποδοχὴν ὑποστάθμης οὔσης ἐπιτηδείας. καὶ πάντα μὲν τὰ ἄλλα μέρη κατὰ τὴν πρόνοιαν, καὶ τὴν βεβαίαν τάξιν,

πλάνηται.

καὶ τὴν

καὶ τὴν εἱμαρμένην τοῦ θεοῦ, ἑπομένην αὐτοῦ φασι διοικεῖσθαι. τὰ δὲ μετὰ τὴν Σελήνην τέτταρσιν αἰτίαις· κατὰ θεὸν, καθ' εἱμαρμένην, κατὰ προαίρεσιν ἡμετέραν, κατὰ τύχην· οἷον· τὸ μὲν εἰσελθεῖν αὐτὴν ναῦν ἢ μὴ εἰσελθεῖν, ἐφ' ἡμῖν ἐστι. τὸ μέν τοι ἐν εὐδίᾳ χειμῶνα καὶ ζάλην ἐξαίφνης ἐπιγενέσθαι, ἐκ τύχης. τὸ μέν τοι βαπτιζομένην τὴν ναῦν παρ' ἐλπίδα σωθῆναι, προνοίας θεοῦ. τῆς δὲ εἱμαρμένης πολλοί εἰσι τρόποι, καὶ διαφοραί. διαφέρει δὲ τῆς τύχης· ὅτι ἡ μὲν εἱρμὸν ἔχει, καὶ τάξιν, καὶ ἀκολουθίαν, ἡ δὲ τύχη τὸ αὐτόματον, καὶ τὸ ὡς ἔτυχεν. οἷον, τὸ ἐκ τοῦ παιδὸς εἰς μειράκιον ἐλθεῖν, καὶ τὰς καθ' ἑξῆς ἡλικίας οἰκείως διελθεῖν, τοῦτο ἑνὸς τρόπου τῆς εἱμαρμένης.

διὰ τί ζωδιακὸς λοξῶς κινεῖται.

Ὅτι ὁ ζωδιακὸς λοξῶς κινεῖται, ὡς ζητήσας δι-ρεῖς ἔδοξεν Ἀριστοτέλης, ἕνεκεν τῆς γενέσεως τῶν περὶ γῆν τόπων πρὸς ἀναπλήρωσιν τοῦ παντός. εἰ γὰρ κατὰ παραλλήλως ἐκινεῖτο, ἀεὶ ἂν μία ὥρα ἦν τοῦ ἔτους, ἤ τοι θέρος, ἢ χειμὼν, ἢ ἄλλη τις. νῦν δὲ ἐκ τοῦ τὸν ἥλιον καὶ τοὺς ἄλλους πλανήτας καταβαίνειν ἀπὸ ζωδίου ἐπὶ ζώδιον γίνονται αἱ μεταβολαὶ τῶν ὡρῶν τέσσαρες· καὶ ἐκ τῆς τούτων εἰς ἄλληλα μεταβολῆς οἵ τε καρποὶ φύονται, καὶ ἄλλαι γενέσεις τῶν ζώων γίνονται.

ἑκατονταπλάσιος ὁ ἥλιος τῆς γῆς.

Ὅτι ὁ μὲν ἥλιος, ὡς κατὰ οἰκείαν ἀποφαίνεται δόξαν, ἣν καὶ ἀληθῆ λέγει, ἑκατονταπλασίων ἐστὶ τῆς γῆς. οἱ δὲ πολλοὶ οὐκ ἐλάττονα τοῦ τριακονταπλασίονα αὐτῆς φασι.

Ὅτι μέγαν ἐνιαυτὸν καὶ τὴν τοῦ Κρόνου περίοδον φασιν. ὅτι τῶν λοιπῶν ἓξ πλανωμένων ἐν ἐλάττονι χρόνῳ, οὗτος ἐν τριάκοντα τὸν οἰκεῖον δρόμον ἀπαρτίζει. ὁ μὲν τοῦ Διὸς, ἐξ ιβʹ ἔτεσι τὸν ἴδιον διαπεραίνει κύκλον· ἐν δυσὶ δὲ ὁ Ἄρης. ὁ δὲ Ἥλιος, ἐνιαυτῷ· Ἑρμῆς δὲ καὶ Ἀφροδίτη ἰσοταχεῖς τῷ ἡλίῳ· Σελήνη δὲ προσγειοτάτη, καὶ ἐλάχιστον κύκλον περιιοῦσα, ἐν μηνί.

Ὅτι πρῶτος Πυθαγόρας τὸν οὐρανὸν κόσμον προσηγόρευσε, διὰ τὸ τέλειον εἶναι καὶ πᾶσι κεκοσμῆσθαι τοῖς τε ζώοις, καὶ τοῖς καλοῖς.

Ὅτι Πλάτων, φησὶ, καὶ Ἀριστοτέλης, ἀθάνατον ὁμοίως λέγουσι τὴν ψυχήν· κἂν τινες εἰς τὸν Ἀριστοτέλους νοῦν οὐκ *ἐμβαθύνοντες, θνητὴν νομίζουσιν αὐτὸν λέγειν.

** αλ. ἐμβαίνοντες.*

Ὅτι ὁ ἄνθρωπος μικρὸς κόσμος λέγεται, οὐκ ἄρα ἐκ τῶν τεσσάρων στοιχείων σύγκειται· τοῦτο γὰρ καὶ ἕκαστον τῶν ζώων καὶ ἀτελεστάτων· ἀλλ' ὅτι πάσας ἔχει τὰς τοῦ κόσμου δυνάμεις. ἐν γὰρ τῷ κόσμῳ εἰσὶ θεοί, ἔστι καὶ τὰ τέσσαρα στοιχεῖα. ἔστι καὶ τὰ ἄλογα ζῶα, ἔστι καὶ φυτά. πάσας δὲ ταύτας τὰς δυνάμεις ἔχει ὁ ἄνθρωπος. ἔχει γὰρ θείαν μὲν δύναμιν, τὴν λογικήν· ἔχει τὴν τῶν στοιχείων φύσιν, τὴν θρεπτικὴν, καὶ αὐξητικὴν, καὶ τὴν ὁμοίου γεννητικήν· ἐν ἑκάστῃ δὲ τούτων λείπεται. καὶ ὥσπερ ὁ πένταθλος πάσας ἔχων τὰς δυνάμεις, ἐν ἑκάστῃ ἧττόν ἐστι τοῦ ἕν τι ἐπιτηδεύοντος τῶν ἀθλημάτων· οὕτω καὶ ὁ ἄνθρωπος πάσας ἔχων τὰς δυνάμεις, ἐν ἑκάστῃ λείπεται. ἧττον μὲν γὰρ ἔχομεν τὴν λογικὴν δύναμιν, ἤπερ οἱ θεοί· καὶ τὰ τῶν στοιχείων ὁμοίως ἧττον, ἢ ἐκεῖνα· καὶ τὸν θυμὸν καὶ ἐπιθυμίας ἐνδεέστερα τῶν ἐν τοῖς ἀλόγοις· καὶ τὴν θρεπτικὴν καὶ αὐξητικὴν δύναμιν ἐλαττουμένας τῶν ἐν τοῖς φυτοῖς. ὅθεν ἐκ ποικίλων δυνάμεων συνεστῶτες, δύσχρηστον τὸν βίον ἔχομεν. ἕκαστον γὰρ τῶν ἄλλων ὑπὸ μιᾶς φύσεως οἰκονομεῖται, ἡμεῖς δὲ ὑπὸ τῶν διαφόρων δυνάμεων ἀν-

VITA PYTHAGOR.

& diuina quadam necessitate Deo propria, aiunt gubernari. Sed quæ infra Lunam quatuor causis: Deo, Fato, nostro consilio, & fortuna. Verbi gratia. Nauem ipsam conscendere, & non, in nostra est potestate: tempore sereno procellas & tempestatem subito oriri, Fortunæ est: nauem mersam præter spem conseruari, diuina fit prouidentia. Multis autem, & diuersis modis accidit Fatum, & sic differt à Fortuna: quoniam serie quadam ordinatè, & consequēter fit, cum Fortuna suapte fiat, & prout contingit. Vt, è puero iuuenescere, & ad reliquas vsque ætates commode ascendere, vno Fati modo accidit.

Zodiacus oblique circumit.

Zodiacus, vt placuit Aristoteli diligenter inuestiganti, propter generationem eorum, quæ in terra ad Vniuersi complementum gignuntur, oblique mouetur. Nam æquali si distantia verteretur, vnum semper anni idemque tempus esset, vel æstatis, vel hiemis, aut cuiuspiam alterius. Nunc vero quoniam Sol aliique planetæ, è signo in aliud signum egrediuntur, quatuor in anno tempestates sunt, quo fit, vt propter hanc in alia signa mutationem, & fructus proueniant, aliæque animalium generationes oriantur,

Solis magnitudo.

Sol quidem, vt priuatim ipse & vere vt putò, sensit, centies magnitudine terram excedit, quamuis alij tantum tricies asserant.

Magnus annus. Planetarum cursus.

Sunt qui magnum annum Saturni ambitum esse doceant: quia cæteri sex errantes breuiori tempore cursum suum conficiant. Saturnus enim triginta annis, Iuppiter duodecim, duobus Mars, Sol vno, vt & Mercurius, & Venus, circulū absoluit. At Luna quia infima est, & minimum sortita orbem, vno mense.

** κόσμον.*

Primus Pythagoras cœlum esse * mundum dixit, quia perfectum est, omnibusque animantibus ac signis pulchris decoratur.

Animus immortalis.

Plato & Aristoteles vno consensu immortalem dicunt animum, quamuis alij altā mentem Aristotelis non intelligentes, mortalem esse animam eum dicere existiment.

Homo paruus mundus.

Dicitur homo μικρόκοσμος (id est mundi compendium) non quia quatuor, vt reliqua animalia etiam minima, constet elementis: verum quia omnes mundi virtutes cōtinet. Nam sunt in mundo Dij, quatuor elementa, bruta, plantæ. Has omnes potentias possidet homo, habet Rationem pro diuina virtute, habet pro natura Elementorum mouendi vim, crescendi, suique similem productricem: singulis his inferior est.

Simile.

Ac quemadmodum pentathlus omnes habens virtutes, in singulis tamen minor est eo, qui vnum aliquod certamen callet, ita & Homo omnes habens virtutes, in singulis singillatim superatur. Minorem enim rationis vsum habemus, quam ipsi Dij, & minus de Elementis, quam ipsa Elementa. Cupiditas & Iracondia nostra minor quam brutorum: à plantis nutriendi, & accrescendi qualitate vincimur. Quare vt è variis compositi rebus, vitam quæ ægrè traducatur, habemus. Alia enim omnia ab vna tantum natura reguntur; nos vero homines variis qualitatibus distra-

VITA PYTHAGOR.

himur: vt, nunc à Deo trahimur ad meliora, nunc vincente vi animali ad deteriora; sic & in cæteris potentiis. Si quis igitur coluerit, quod in nobis ipsis diuinum est, instar aurigæ vigilis ac periti, poterit singulis virtutibus, permistione, inquam Elementorum, Ira, Cupiditate, habitúq; rationis experte, quoad par est vti.

Nosse seipsum.

Difficillimum est seipsum nosse, quamuis facile videatur: quod Pythij Apollinis esse dicunt, licet ad Chilonem vnum è septem Sapientibus referát. Nos autem hortatur, vt quisque, quid possit, cognoscat. Sed nihil est aliud *Nosse se ipsum*, quam totius mundi naturam nosse, quod sine Philosophia fieri non potest, quodque Deus nos monet.

Cognitionis instrumenta.

Cognitionis octo sunt organa: Sensus, imaginatio, ars, opinio, prudentia, scientia, sapientia, mens. Artem, prudentiam, scientiam, mentem, communem cum Diis habemus. Sensum & imaginationem cum bestiis. Nobis autem solummodo propria est opinio. Sensus est* fallax cognitio per corpus. Imaginatio motus quidam in animo. Ars est habitus cum ratione laborans: additur hoc: *cum ratione*: quia etiam aranea operatur: verumtamē sine ratione. Prudentia est habitus, qui in rebus rectè peragendis continetur. Scientia est habitus eorum quæ semper & similiter eadem fuerunt. Sapientia plurimarum causarum cognitio. Mens initium & fons est omnis boni.

** Al. ἀψευδὴς vera.*

Docilitatis triplex ratio: Ingenium, memoria, & industria.

Tres sunt docilitatis partes: Sollertia, memoria, & ingenij vis. Memoria custodit ea, quæ quondam quis didicit. Vis ingenij est intelligendi velocitas. Sollertia est ex iis, quæ quis didicit, ea inuestigare, quæ non didicit.

Cælum.

Tria sunt, quæ cœli nomine dicuntur. Primò firmamentum: secundo distantia illa, quæ est à firmamento vsque ad Lunam: tertio vniuersus mundus, cœlum inquam & terra.

Optima & pessima nata sunt, inquit, ad semper operandum, Deus scilicet & plantæ. Deus enim, & quæ illi proxima sunt, mente, & ratione semper operatur, itémq; germina: nam nocte & die nutriuntur. Non semper autem homo in opere, neque bruta animantia, sed medio penè tempore dormiunt, & quiescunt.

Græci & Barbari. De his vide Strabonem.

Græcos ait moribus barbaros semper superasse, ob temperiem aëris quo viuunt: Scythas verò & Æthiopes, illos frigore scilicet vexatos, hos verò cute æstu exustos, & ingentem intus calorem & humorem alentes, quia malè temperatum cœlū sortiti sunt, violentos & audaces semper exstitisse. Sic vicissim eos qui mediæ zonæ & montibus vicini sunt, de temperie loci illius, cui subsunt, participare. Ideoq; ait Plato, Græcos disciplinas quas à Barbaris acceperint, eas melius proferre, & maximè Athenienses. Quapropter rei bellicæ & picturæ primi inuentores exstitere, & omnis artis mechanicæ & militaris, oratoriæ, & disciplinarum. Non igitur, vt dixi, aduentitiæ Athenis sunt scientiæ, sed ibidem à natura insitæ, idque ex aëre tenui & puro, vt non solum terram attenuet, (quam ob causam etiam sterilis est Attica)

Athenienses ἀυτόχθονες.

Attica.

παραγόμεθα. οἷον, ποτὲ μὲν ὑπὸ τοῦ θείου ἀναγόμεθα ἐπὶ κρείττω· ποτὲ δὲ, τῆς θηριώδους ἐπικρατησάσης, ἐπὶ τὰ χείρω. ὁμοίως δὲ καὶ τῶν ἄλλων δυνάμεων. ἐὰν οὖν τις θεραπεύσῃ τὸ ἐν ἡμῖν θεῖον, ὥσπερ [ἡνίοχον] ἐγρηγορότα καὶ ἐπιστήμονα ἐπιστήσας· δυνήσεται ἑκάστῃ τῶν ἄλλων δυνάμεων εἰς δέον χρήσασθαι· τῇ τε κράσει φημὶ τῶν στοιχείων, καὶ τῷ θυμῷ, καὶ τῇ ἐπιθυμίᾳ, καὶ τῇ ὀρέξει.

Τὸ γοῦν γνῶθι σαυτὸν, δοκοῦν ῥᾶστον εἶναι, πάντων ἐστὶ χαλεπώτατον· ὃ καί φασι τοῦ Πυθίου εἶναι Ἀπόλλωνος, εἰ καὶ εἰς Χίλωνα τῶν ἑπτὰ σοφῶν ἕνα τὸ ἀπόφθεγμα ἀναφέρουσι. παραινεῖ δ' ἡμῖν, γνῶναι τὴν ἑαυτῶν δύναμιν. τὸ δὲ γνῶναι ἑαυτὸν οὐδὲν ἄλλο ἐστὶν, ἢ τὴν τοῦ σύμπαντος κόσμου φύσιν γνῶναι. τοῦτο δὲ ἀδύνατον, ἄνευ τοῦ φιλοσοφεῖν· ὅπερ ἡμῖν ὁ θεὸς παραινεῖ.

** Γνῶθι σαυτόν.*

Ὅτι γνώσεως ὀκτώ, φασιν, ὄργανα· αἴσθησιν, φαντασίαν, τέχνην, δόξαν, φρόνησιν, ἐπιστήμην, σοφίαν, νοῦν. τούτων κοινὰ μὲν ἐστὶν ἡμῖν πρὸς τὰ θεῖα, τέχνη καὶ φρόνησις, καὶ ἐπιστήμη, καὶ νοῦς· πρὸς δὲ τὰ ἄλογα, αἴσθησις καὶ φαντασία· ἴδιον δὲ ἡμῶν μόνον ἡ δόξα. ἔστι δὲ αἴσθησις μὲν, γνῶσις * ψευδὴς διὰ σώματος· φαντασία δὲ, κίνησις ἐν ψυχῇ· τέχνη δὲ, ἕξις ποιητικὴ μετὰ λόγου. τὸ δὲ μετὰ λόγου, προσκεῖται, ὅτι καὶ ὁ ἀράχνης ποιεῖ, ἀλλ' οὐ μετὰ λόγου. φρόνησις δὲ, ἕξις προαιρετικὴ τῆς ἐν τοῖς πρακτοῖς ὀρθότητος. ἐπιστήμη δὲ, ἕξις τῶν ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχόντων. σοφία δὲ, ἐπιστήμη τῶν πρώτων αἰτίων· νοῦς δὲ ἀρχὴ καὶ πηγὴ πάντων τῶν καλῶν.

Γνώσεως ὄργανα.

** ἀψευδής.*

Ὅτι τρία μέρη εὐμαθίας· ἀγχίνοια, μνήμη, ὀξύτης. μνήμη μὲν οὖν, ἐστὶ τήρησις ὧν ἔμαθέ τις. ὀξύτης δὲ, ἡ ταχύτης τῆς διανοίας· ἀγχίνοια δὲ, ἐξ ὧν ἔμαθέ τις, ἃ μὴ ἔμαθε θηρεύειν.

** Εὐμαθείας μέρη.*

Ὅτι ὁ οὐρανὸς τριχῶς λέγεται· ἓν μὲν, αὕτη ἡ ἀπλανὴς σφαῖρα. δεύτερον, τὸ ἀπὸ τῆς ἀπλανοῦς σφαίρας μέχρι τῆς σελήνης διάστημα· τρίτον, ὁ σύμπας κόσμος, ὁ οὐρανός φημι καὶ ἡ γῆ ἅμα.

** Οὐρανὸς τριχῶς.*

Ὅτι πέφυκέ φησι τὰ τελειότατα καὶ τὰ χείριστα ἀεὶ ἐνεργεῖν. ταῦτα δέ ἐστι θεὸς καὶ φυτά. ὅ, τε γὰρ θεὸς κατὰ τὸν νοῦν καὶ τὸν λόγον ἀεὶ ἐνεργεῖ, καὶ τὰ πλησίον αὐτοῦ ὄντα· καὶ πάλιν τὰ φυτὰ ἀεὶ ἐνεργεῖ. τρέφεται γὰρ νύκτωρ τε καὶ μεθ' ἡμέραν. ὁ δὲ ἄνθρωπος οὐκ ἀεὶ ἐνεργεῖ, οὐδὲ τὰ ἄλογα ζῶα· ἀλλὰ σχεδὸν τὸν * ἥμισυ χρόνον καθεύδει τε καὶ ἡσυχάζει.

** ἥμισυν.*

Ὅτι οἱ Ἕλληνες ἀεὶ ἀμείνους τὰ ἤθη τῶν βαρβάρων, ὡς τὴν εὔκρατον οἰκοῦντες. Σκύθαι δὲ καὶ Αἰθίοπες, οἱ μὲν ὑπὸ κρύους ἐνοχλούμενοι, οἱ δὲ ὑπὸ θάλπους πυκνουμένης τῆς ἐπιφανείας τοῦ σώματος, καὶ ἀπολαμβανομένου ἐντὸς τοῦ θερμοῦ πολλοῦ καὶ τοῦ ὑγροῦ, τὸ δύσκρατον ἐκληρώσαντο· συμβαίνει οὖν * ἰταμικοὺς καὶ θρασεῖς εἶναι τοὺς οἰκοῦντας ἐν ἐκείνοις τοῖς τόποις· ἀναλόγως δὲ καὶ οἱ τοῦ μέσου καὶ τῶν ἀκρωρειῶν πλησιέστεροι ὄντες, τῆς κράσεως τῶν περιεχομένων αὐτοῖς μετέχουσι. διὸ καὶ, ὡς ὁ Πλάτων φησίν, Ὅ, τι ἂν καὶ παρὰ βαρβάρων μάθημα λάβωσιν οἱ Ἕλληνες, τοῦτο ἄμεινον ἐκφέρουσι· μάλιστα δὲ τῶν ἄλλων Ἑλλήνων, οἱ Ἀθηναῖοι. διόπερ καὶ στρατηγικοὶ γεγόνασιν ἀρχῆθεν, καὶ γραφικῆς εὑρετικοὶ, καὶ πάσης τέχνης, βαναύσου τε καὶ πολεμικῆς. ἔτι δὲ καὶ λόγων, καὶ μαθημάτων. διὸ καὶ οὐδ' ἐπείσακτός ἐστιν (ὡς εἰπεῖν) ἡ παιδεία ἐν ταῖς Ἀθήναις, ἀλλ' ἐκ φύσεως ὑπάρχουσα· τοῦ τοιούτου ἀέρος ἰσχνοτάτου ὄντος, καὶ καθαρωτάτου. ὡς μὴ μόνον τὴν γῆν λεπτύνειν (δι' ἣν αἰτίαν καὶ λεπτόγεώς ἐστιν ἡ Ἀττική)

** ἰταμούς.*

ἀλλὰ

ἀλλὰ καὶ τὰς ψυχὰς τῶν ἀνθρώπων. συμβαίνει γὰρ τὸν λεπτὸν ἀέρα τὴν μὲν γῆν βλάπτειν, τὰς δὲ ψυχὰς ὠφελεῖν.

Διὰ τί οἱ ἐτησίαι ἐν ἀκμῇ πνέουσι τοῦ θέρους

Ὅτι οἱ ἐτησίαι πνέουσι κατὰ τὸν καιρὸν τοῦ ἀκμαιοτάτου θέρους δι' αἰτίαν τοιαύτην· ὁ ἥλιος μετεωρότερος, καὶ ἀπὸ τῶν μεσημβρινῶν τόπων ἀρκτικώτερος γινόμενος, λύει τὰ ὑγρὰ, τὰ ἐν *ταῖς ἄρκτοις. λυόμενα δὲ ταῦτα, ἐξαεροῦται· ἐξαερούμενα δὲ, πνεύματα· καὶ ἐκ τούτων γίνονται οἱ *ἐτησίαι ἄνεμοι, ἐκ τῶν πνευμάτων, τῶν ἀπὸ τῆς λύσεως τῶν ἀρκτικῶν ὑγρῶν γινομένων. φέρονται γοῦν ἐπὶ τοὺς ἐναντίους τόπους τοὺς μεσημβρινούς. ἐκεῖ δὴ ταῦτα ἐκφερόμενα, προσπίπτει τοῖς ὑψηλοτάτοις ὄρεσι τῆς αἰθιοπίας· καὶ πολλὰ καὶ ἀθρόα γινόμενα, ἀπεργάζεται ὑετούς· καὶ ἐκ τῶν ὑετῶν τούτων ὁ Νεῖλος πλημμυρεῖ τοῦ θέρους, ἀπὸ τῶν μεσημβρινῶν καὶ ξηρῶν τόπων ῥέων. καὶ τοῦτο Ἀριστοτέλης ἐπραγματεύσατο. αὐτὸς γὰρ ἀπὸ τῆς φύσεως ἔργῳ κατενόησεν, ἀξιώσας πέμψαι τὸν Ἀλέξανδρον τὸν μακεδόνα εἰς ἐκείνους τοὺς τόπους, καὶ ὄψει τὴν αἰτίαν τῆς τοῦ Νείλου αὐξήσεως παραλαβεῖν. διὸ φησιν, ὡς τοῦτο οὐκέτι πρόβλημά ἐστιν. ὤφθη γὰρ φανερῶς, ὅτι ἐξ ὑετῶν αὔξει. καὶ τὸ παράδοξον, ὅτι ἐν τοῖς ξηροτάτοις τόποις τῆς αἰθιοπίας, ἐν οἷς οὔτε χειμὼν οὔτε ὕδωρ ἐστὶ, ξυμβαίνει τοῦ θέρους πλείστους ὑετοὺς γίνεσθαι.

VITA PYTHAGOR.

sed & ingenia hominum subtilia reddet. Inde contingit tenuem quidē aëra terræ nocere, ingeniis verò prodesse.

Etesiæ venti.

Etesiæ venti ardentissimo æstatis tempore flant, hac de causa: Sol iam sublimis, & à locis meridionalibus ad septentrionem conuersus, soluit humida ad Boream, quæ soluta aërem, deinde ventos gignunt: è quorum numero & Etesiæ sunt, è spiritu scilicet, qui ex humidis solutis ad septentrionem oritur. Ad oppositas verò plagas meridionales feruntur, eóque delata in altissimos Æthiopiæ montes decidunt. Cùm autem condensati, & frequentes fuerint, pluuias creant, è quibus æstiuo tempore Nilus auctus exundat, ex australibus locis, & aridis profluens, idémque Aristoteles inuestigando comperit. Ipse enim ingenij præstantia hoc deprehendit, cùm æquum putasset Alexādrum Macedonem ad ea loco mittere, vt oculis caussam incrementi Nili fluminis cognosceret. Propterea asserit hoc non amplius dubium esse. Clarè enim patet è pluuiis augeri. Et sanè mirum, quod in locis Æthiopiæ maximè siccis, vbi nunquam hiems est neque pluuia, tempore æstatis densissimi oriantur imbres.

Nilus. Vide Theophilactum Simocattam de vita Mauritij Imp. lib. 7. extremo, Herodotum, Melam & alios.

ΑΓΑΘΑΡΧΙΔΟΥ ΛΟΓΟΙ.

σν'. Ex Agatharchidis lib. excerpta.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Ἀγαθαρχίδου λόγοι δύο, ὁ πρῶτος καὶ ὁ πέμπτος, περὶ τῆς ἐρυθρᾶς θαλάσσης, καὶ ἑτέρων παραδόξων ἔργων, ἐν κεφαλαίῳ διαλαμβάνοντες.

Ἐκ τοῦ πρώτου λόγου τοῦ περὶ τῆς ἐρυθρᾶς θαλάσσης.

Ὅτι Πτολεμαῖον *φασὶ τὸν μετὰ τὸν Λάγου, πρῶτον ἐλεφάντων θήραν συστήσασθαι· ἀλλὰ γὰρ καὶ τῶν ὁμοιοτρόπων· καὶ τὰ τῇ φύσει κεχωρισμένα, τῇ προνοίᾳ συναγαγεῖν ὑπὸ μίαν οἴκησιν. σκεπτέον δὲ τί φησιν ἐνταῦθα ὁ ἱστορικός. καὶ γὰρ πρὸ τῶν Πτολεμαίων ἐλέφασι πολλοὶ χειροήθεσι καὶ ἐν πολέμῳ ἐχρῶντο, ὡς Πῶρός τε ὁ ἰνδὸς πρὸς Ἀλέξανδρον πολεμήσας, καὶ ἄλλοι οὐκ ὀλίγοι. ἢ ὅτι Πτολεμαῖος ἐπὶ πολὺ πρῶτος περὶ ταύτην ὤφθη τὴν σπουδὴν. ἢ πρῶτος τῶν μετ' Ἀλέξανδρον, ἢ τῶν αἰγυπτίων βασιλέων πρῶτος.

* γρ.

Ὅτι τὴν ἐρυθρὰν θάλατταν τὸ ὄνομα *ἐλκύσαι φησὶν, οὔτε ὅτι τοῦ Ἀραβίου καλουμένου κόλπου τὰ μὲν πρὸς ἑσπέραν ὄρη, δριμείας καὶ διαπύρου τῆς ἡλιακῆς ἀκτῖνος βαλλούσης, ἀνθρακος φαντασίαν ἀποδίδωσι· τὰ δὲ πρὸς ἀνατολὰς θῖνες ἄμμου γεώδεις ὑπέρυθροι, παρὰ πολλὰ στάδια τῆς αὐτόθι παραλίας ἐκκέχυνται. οὐμενοῦν οὐκ ἐκ τούτου ἐρυθρὰ κέκληται. εἰ γὰρ καὶ ὁ παράπλους μέν ἐστι στενὸς, τῶν δὲ λόφων καὶ θινῶν ἐφ' *ἑκατέρας τοῦ κόλπου παντὸς ὑπερκειμένων, ἡ πίπτουσα παρ' ἀμφοτέρων εἰς τὸν πόρον τῶν ἠπείρων αὐγὴ, τῇ χρόᾳ παρεγγυᾷ τὴν θάλατταν ὁμοίαν· τῆς μὲν ἰδέας πᾶσιν ὁρωμένης, τοῦ δὲ πάθους οὐ πᾶσι γινωσκομένου. ἀλλ' οὖν οὐ διὰ τοῦτό φησι τὴν κλῆσιν λαβεῖν τὴν θάλατταν, εἰ καὶ τῶν πρὸ αὐτοῦ τοῦτο πολλοῖς ἔδοξεν

Δ. *ἐκλελοῦσθαι φασί.* *ἑκατέρων.*

EX AGATHARCHIDE excerptæ historiæ,

CCL.

[*INTERPRETE LAVRENTIO Rhodomanno.*]

LECTI sunt Agatharchidæ libri duo, primus & quintus de rubro mari, ceterisque rebus fidem excedentibus summa capita comprehendentes.

Ex libro primo, De mari rubro.

CAPVT PRIMVM.

PTOLEMAEVM, qui post Lagi filium in Ægypto regnauit, primum instituisse elephantum atque eiusmodi belluarum venationem: & quæ natura disiunxit, sub vnam quasi stabulationem redegisse, affirmat.

Quomodo Ptolemæus primum elephantum venationem instituerit.

Expendendum verò quid hoc loco dicat historicus. nam etiam ante Ptolemæorum ætatē, multi quoque elephantibus cicuratis vsi legūtur: vt Porus Indorum rex, qui cum Alexandro bellum gessit, aliique non pauci. Forte Ptolemæus hic primus impensè illi studio incubuisse visus est: aut primus successorum Alexandri, vel aliorum Ægypti regum, ei operam dedit.

CAP. II. Quadruplex Etymologia rubri maris.

RVBRVM mare inde nomen trahere ait, non quòd eius sinus quem Arabicum vocant, montes, occasum versi., dum acres & ignei Solis radij eos feriunt, carbonis reddant speciem: ad ortum verò tumuli arenæ & glebæ insigniter rufi, ad multa oræ illius maritimæ stadia effundantur. Hanc (inquit) ob causam mare illud rubrum non vocatur. Nam cùm nauigatio illac sit angusta, dum vertices & tumuli vniuerso vtrinque sinui impendent, splēdor ex vtraque continente in fretum incidens, mare terræ assimile esse denuntiaret, vt species illa in omnium oculos incurreret, etiamsi affectio cunctis non foret explorata. Ideò cognomen hac de causa non adeptum esse auctor testatur, licet multi ante ipsum ita sint opinati.

AGATHARCHIDES.

II. Hæc igitur est prima ratio, quamuis à vero dissentanea. Altera perinde se habet, Quòd Sol illic exortus, non vt apud nos, lucidos in fretum radios dimittat, sed cruori assimiles, vnde cruentam maris speciem efficiat intuentibus hæc affectio. Et hinc rubri appellationem exsistere.

III. Tertius hinc sermo Argolicus est: ausu quidem magnus, sed persuasu inanis. Nam qui Cliniam sectantur historici, ex poëtarum licentia etiam ipsi securitatem nacti, perhibent ex Argis in Æthiopiam (quæ Cepheniæ tunc habebat nomen) Perseum ad filiam Cephei liberandam profectum, & inde ad Persas transgressum, nomen hoc à filiorum quopiam cum Persis communicasse: & procreato Erythra filio, nomen ab hoc mari indidisse. Hæc protrita & vulgaris est Argiuorum de rubro mari fabula.

IV. Quarta, & vero non ita aberrans ratio, (quam auctor ex Persa quodam Boxo se didicisse affirmat, & lingua & mente Græcos imitante, qui relicta patria Athenis vitam egerit) ex narratione Persæ hæc est. Erythras quidam fuit genere Persa, filius Myozæi, qui animi præsentia & vi opum præclaram sibi existimationem comparauit. Domúsque eius non procul à mari, contra insulas desertas (non quidem hac tempestate, sed qua Medi imperium tenebant, quando etiam Erythras noscebatur.) Tempore autem hyberno ad Pasargadas commigrabat, & sub ortum veris ad rem suam familiarem redibat, tum aliam ob vtilitatem, tum vt aliquam vitæ suæ voluptatem hac commutatione indulgeret. Atqui cùm in armenta eius leones irruptione facta, nonnullas equarum agrestium interemissent, reliquæ adhuc incolumes, consternatione ex re visa, ceu œstro perculsæ, ad mare cursu arrepto, magno in aquas impetu (aura tum fortè à terris afflabat) prolabuntur. Cúmque initio præter littus natassent, pauore non desistente, à fluctibus abreptæ, difficulter ad insulæ aduersæ oram emerserunt, vnúsque ex armentariis, adolescens audacia præcellens, dum aliàs aliam armo prensat, vnà transmisit. Erythras igitur, equas non amplius visas inuestigans, primus hominum eius loci ratem construit, magnitudine quidem mediocrem, sed robore validissimam. Eáque, venti secundi & commodi tenorem nactus, in fretum descendit, & subitò venti ope prouectus, reperit equas & pastorem simul. Insulæ autem admiratione captus, & vrbem in portu accommodè fundauit, & ex opposita continente rei domesticæ inopia laborantes illuc habitatum transtulit. Atque inde etiam insulas cæteras, cultoribus vacuas, habitatorum frequentia ad humanitatis cultum traduxit. Tantum igitur gloriæ ex rebus gestis, apud vulgus sibi comparauit, vt mare illud, magnitudine infinitum, omnes ad nostram vsque ætatem Erythræum appellent.

Nominis igitur rationes distinctæ ita se habent. Nam longè aliud est, si Erythræ mare dixeris, quam si Erythrum (quod Latini rubrum vertunt.) Hoc enim rubedinem aquæ, illud virum mari potitum, significat. Verùm

οὗτος μὲν οὖν ὁ πρῶτος εἰ καὶ μὴ ἀληθὴς τῆς αἰτίας λόγος. δεύτερος δὲ, ὁμοίως ἔχων· τὸν ἥλιον (ἐκεῖσε) *φασιν ἐπιτέλλοντα, οὐχ ὡς παρ' ἡμῖν λαμπρὰς ταῖς ἀκτῖσιν εἰς τὸν πόρον βάλλειν, ἀλλὰ παρομοίας αἵματι. ἐξ ὧν τοῖς ὁρῶσιν ὕφαιμον παρασκευάζειν τὸ πάθος τὴν τῆς θαλάττης ἔμφασιν, κἀκεῖθεν ἐρυθρὰν κατονομάζεσθαι. τρίτος δέ ἐστιν ὁ ἀργολικὸς λόγος, ὃς ἐστὶ (φησὶ) τῇ μὲν τόλμῃ μέγας, τῇ δ' *ἀποδείξει κενός. οἱ γὰρ περὶ Κλεινίαν ἱστορικοί φασιν, ἀπὸ τῆς ποιητικῆς ἐξουσίας καὶ αὐτοὶ ἄδειαν λαβόντες, ἐξ Ἄργους εἰς Αἰθιοπίαν (ἐκαλεῖτο δὲ τότε Κηφηνία) παραγεγονότα ἐπὶ λύσει τῆς Κηφέως θυγατρὸς τὸν Περσέα, ἐκεῖθεν δὲ εἰς Πέρσας *μετὰ ταῦτα, Πέρσαις μὲν ἀπό τινος τῶν ἐγγόνων τῆς κλήσεως μεταδοῦναι· Ἐρύθραν δὲ γεννήσαι υἱὸν, καὶ ἐξ ἐκείνου τῇ θαλάττῃ τὴν κλῆσιν παρασχεῖν. τοιοῦτος μὲν δὴ ὁ ἀργολικὸς περὶ τῆς ἐρυθρᾶς θαλάσσης σχεδιασμός. τέταρτος δὲ καὶ ἀληθής ἐστιν, ὃν αὐτὸς μεμάθηκα παρὰ Πέρσου· Βόξος δ' ἦν τούτῳ ὄνομα, φησὶν, ὃν καὶ ἑλληνίσαι γλῶτταν καὶ γνώμην, καὶ ταῖς Ἀθήναις, λιπόντα τὴν πατρίδα, ἐμβιῶναι. ἔλεγε δὲ ὁ τοῦ Πέρσου λόγος ταῦτα. γίνεταί τις κατ' εὐτολμίαν καὶ πλοῦτον εὐδοκιμῶν, Ἐρύθρας ὄνομα, γένος μὲν Πέρσης, υἱὸς δὲ Μυοζαίου· κατοικῶν δὲ *θάλατταν μὲν οὐ πόρρω, κατεναντίον δὲ νήσων ἐρήμων *οὐσῶν (οὐ νῦν, ἀλλ' ἐπὶ τῆς Μήδων ἡγεμονίας· τότε γὰρ καὶ ὁ Ἐρύθρας ἐγνωρίζετο) ὃς τοῦ μὲν χειμῶνος ἐν Πασαργάδαις ἐποιεῖτο τὴν οἴκησιν· ἔαρος δὲ μετέβαινεν ἐπὶ τὴν ἰδίαν κτῆσιν, τῆς τε ἄλλης ἕνεκα χρείας, καὶ χάριν τινὰ τῷ βίῳ διὰ τῆς τοιαύτης μεταβολῆς ἀπονέμων. τούτου φορβάδων ἀγέλῃ μείζονι λέοντες ἐπεισρεύσαντες, τινὰς μὲν αὐτῶν ἀπέκτειναν· αἱ δὲ περισωθεῖσαι, τῷ δέει τῆς ὄψεως οἶστρον λαβοῦσαι, ἐπὶ τὴν θάλατταν ἠλαύνοντο. καὶ (ἦν γὰρ αὔρα μετὰ τύχην ἀπόγαιος) διμεγέθως ἐμπεσοῦσαι τοῖς ῥεύθροις μετὰ *πτοήσεως, τὰ μὲν πρῶτα παρὰ τὴν γῆν ἐνήχοντο· τοῦ δὲ δείματος οὐ λήγοντος, ἐξεκυμάνθησαν· καὶ μόλις ἐπὶ τὸ τῆς ἀντικρὺ νήσου πέρας διεσώθησαν, ἑνὸς τῶν αἰπόλων νεανίου, καὶ τόλμῃ διαφέροντος, συμπεραιωθέντος, ἄλλοτε ἄλλης τῶν ὤμων ἀντεχομένου. ὁ οὖν Ἐρύθρας ζητῶν τὰς οὐ φαινομένας φορβάδας, πρῶτος τῶν ἐκεῖσε σχεδίαν ἐπήξατο· μεγέθει μὲν σύμμετρον, τῇ δυνάμει δὲ στερεάν. καὶ λαβὼν στάσιν οὐρίου καὶ συμμέτρου πνεύματος, ἀφῆκεν εἰς τὸν πόρον. ταχὺ δὲ τῷ κύματι αὐτὸν περαιωσάμενος, εὗρε μὲν τὰς ἵππους, εὗρε δὲ τὸν νομέα. θαυμάσας δὲ τὴν νῆσον καὶ πόλισμα ἐπὶ λιμένος ἐπικαίρου ἱδρύσατο, καὶ ἐκ τῆς ἀντιπέρας τοὺς ἀπορουμένους βίου μετενεγκὼν, ἐπόλισεν· ἐκεῖθέν τε καὶ τὰς ἄλλας νήσους ἐρήμους οὔσας ἀνθρώπων, οἰκήτορσιν ἐξημέρωσε· καὶ τηλικαύτην δόξαν ἐκ τῶν πραχθέντων πολλοῖς ἐνεποίησεν, ὥστε τὴν ἐκεῖσε θάλατταν, οὖσαν ἄπειρον μεγέθει, πάντας ἔτι καὶ καθ' ἡμᾶς ἐπονομάζειν ἐρυθράν. τὰ μὲν οὖν αἴτια τῆς κλήσεως ἔχοντα διαφοράν. μέγα γὰρ τὸ παραλλάττον, Ἐρύθρα θάλατταν εἰπεῖν ἢ θάλατταν ἐρυθράν· τὸ μὲν γὰρ κρατήσαντα σημαίνει *τῆς θαλάττης ἄνδρα, τὸ δὲ τὴν πυῤῥότητα δηλοῖ τῆς ῥηθείσης φύσεως, ἐν τούτοις. ἔτι δέ φησι,

τὸ μὲν

* φαιν.
* δείξει H.S.
* μετασάντα
* θαλάττῃ.
* al. οὔσαν.
* πτώσεως. H.St.
* τῇ θαλάττῃ.

τὸ μὲν ἀπὸ τοῦ χρώματος τὴν κλῆσιν κατασκευάζον, ψεῦδος (οὐ γάρ ἐστιν ἐρυθρά)· τὸ δὲ ἀπὸ τοῦ δυναστεύσαντος ἀληθές· ὡς Περσικὸς λόγος ἐπιστώσατο.

ΟΤι οὐδὲ ἀπό τινος τῶν τοῦ Περσέως ἐγγόνων ἀξιοῖ εἶναι (καίτοι πολλῶν ἄλλων λεγόντων) τὴν κλῆσιν τοὺς Πέρσας κεκληρῶσθαι. μηδὲ γὰρ ἐκείνους σφᾶς αὐτοὺς Πέρσας παροξυτόνως ὀνομάζειν, ἀλλὰ Περσᾶς, ἐπὶ τέλους τῆς περισπωμένης τιθεμένης.

Περὶ παραδόξων ζώων καὶ ἄλλων πραγμάτων.

ΟΤι (τὰ) κατὰ τὸν Περσέα εἰς ψεῦδος καὶ δι' ἄλλων πολλῶν ἀπάγειν σπουδάζων, προστίθησι καὶ ταῦτα· πλὴν εἰ μὲν τραγικῶς ὁ Περσεὺς ἐστράτευσε) τὸ * προσωπεῖον περιθέμενος, καὶ τὴν ἅρπην λαβὼν, καὶ περὶ τῆς ἑξῆς * ἐπιστρέψας ὑποκριτῇ καὶ χορῷ διαλύεσθαι, καὶ τὰ τῆς ἀντιλογίας εἰς μῦθον εἰς οἱ πολλοὶ συγκεχωρήκασιν. ἐπιδράμωμεν τὴν τούτων τὰ κεφάλαια, διὰ βραχέων. Κένταυρον γεγονέναι, Γηρυόνην, Κύκλωπα, Χρύσην, Κίρκην, Καλυψὼ, Μινόταυρον, Σκύλλαν, Χίμαιραν, Πήγασον, Λαιστρυγόνας, Κέρβερον, Γλαῦκον θαλάττιον, Ἄτλαντα, Πρωτέα, Νηρέα, Νηρεΐδας, τοὺς παῖδας τοῦ Ἀλωέως, ἐννεοργυίους μὲν αὐξηθέντας μῆκος, ἐννεαπήχεις δὲ εὖρος. ἔτι δὲ γένος μὲν ἀναφῦναι καθ' Ἡσίοδον, πρῶτον μὲν χρυσοῦν, ἔπειτα ἀργυροῦν, εἶτα χαλκοῦν. πάλιν, ἵππους μὲν γενέσθαι περὶ τῶν μελλόντων συλλαλοῦντας Ἀχιλλεῖ· Σφίγγα δὲ τοῖς Θηβαίων παισὶν αἴνιγμα προβάλλουσαν. Σειρῆνας δὲ ἐπ' ὀλέθρῳ τῶν ἀκροωμένων ᾀδούσας. Νιόβην δὲ καὶ Πολυδέκτην διὰ φόβον ἀπολιθουμένους. ἐπὶ δὲ τούτοις, τοὺς Ὀδυσσεῖ συμπλεύσαντας, ἐκ μὲν ἀνθρώπων εἰς σῦς, ἐκ συῶν δὲ εἰς ἀνθρώπους μεταβιῶναι διατεθῆναι. ἔτι Τάνταλον τιμᾶσθαι μὲν διὰ σωφροσύνην, συνέστιον ὄντα θεοῖς· τιμωρεῖσθαι δὲ δι' ἀκολασίαν, ἐν ἀέρι φερόμενον. ἑτέρους εἰς ᾅδου καταβαίνοντας διὰ προαίρεσιν· τοὺς μὲν, ὅπως ὑπὸ τῶν ζώντων τοῖς νεκροῖς μάντεσι χρήσαιντο· τοὺς δὲ, ἵνα τὴν Περσεφόνην, ὡς ἔρημον ὑπάρχουσαν, βίᾳ νυμφεύσωσι. καὶ κῴδιον ἐπὶ προβάτου γενέσθαι χρυσόμαλλον, μηλέας ἐν τῇ Λιβύῃ πεφυκέναι, μῆλα φερούσας χρυσᾶ. σῶμα ἔμψυχον πάντα τὸν βίον διακαρτερεῖν ἄγρυπνον· Βορέαν καὶ Νότον μετὰ τῶν ἄλλων ἀνέμων ἐν ἀσκῷ πνίγεσθαι συγκεκλεισμένους. πρὸς τούτοις, Πασιφάην μὲν ταύρῳ, Τυρὼ δὲ ποταμῷ μίγνυσθαι, πρὸς οὐδὲν γένος τὴν εὐνὴν ἐχούσας ἀλλόφυλον· καὶ Φιλομήλαν μὲν ἀηδόνος ἐξαλλάξαι μορφὴν· Τηρέα δὲ, ἔποπος. Ἑκάβην δὲ εἰς κυνὸς οἰκουροῦ καθεστηκέναι φύσιν. ἐπὶ τούτοις, τὴν Ἰὼ γεγονέναι μὲν ποταμοῦ θυγατέρα, ταυροκέρῳ δὲ * μορφῇ διαπλεῦσαι, βοὸς οἰστρώσης, τὸ Ποντικὸν πέλαγος· ἀφ' ἧς καὶ τὸν Βόσπορον εἰληφέναι τὴν κλῆσιν. ἔτι, Καινέα τὸν Λαπίθην τὸ μὲν ἀπ' ἀρχῆς γενέσθαι παρθένον καὶ γυναῖκα· ἡβήσαντα δὲ, εἰς ἄνδρα μεταστῆναι· τὸ δὲ ὕστατον εἰς τὴν γῆν ὑπὸ τῶν Κενταύρων καταδῦναι, ταῖς ἐλάταις τυπτόμενον, ὀρθόν τε καὶ ζῶντα. καὶ Λήδαν μὲν ἀντὶ τῆς καθηκούσης γυναικὶ τεκνώσεως, ὠὸν τεκεῖν φύσει, ἐξ οὗ τὸ περιμάχητον εἶδος, τὴν Ἑλένην λέγω, συστῆναι. τὴν δὲ Ἕλλην καὶ Φρίξον ἐπὶ κριοῦ τοῖς ποσὶ πετομένοις, τὸν πόρον καταδύσαντας,

* ἐκ προσώπου.
* ἐπιτρέψας.
* μορφῇ.

etymologia à colore falsa est. Mare enim rubri coloris non est. A Principe autem deducta, vera est, vt narratio Persica fidem facit.

AGATHARCHIDES.

CÆTERUM nec à filiis aut nepotibus Persei nomen referre Persas (quod tamen cõplures alij confirmant) auctor contendit. Nec illos Persas, accentu in penultima, sed Persâs, vltima circumflexa se appellare, dicit.

CAP. III. Persarum etymologia.

De variis animantibus, & aliis.

DVM verò narrationem de Perseo per multa quoque alia exempla ad mendacium restringere studet, adiungit etiam illa. Atqui si tragico ita more Perseus expeditionem fecit, larua indutus, & ense falcato instructus, & quæ sequuntur histrioni & choro transigenda committens, etiam alia, quibus huic fabulæ contradici potest, absurda (prout vulgi assensu comprobata sunt) notatis modò capitibus, quàm breuissimè percurremus. Centaurum videlicet fuisse, Geryonem, Cyclopem, Chrysen, Circen, Calypso, Minotaurum, Scyllam, Chimęram, Pegasum, Læstrygonas, Cerberum, Glaucum marinum, Atlantem, Protea, Nereum, Nereides, Aloëi filios, qui ad IX orgyiarum longitudinem & IX cubitorum latitudinem excreuerunt.

CAP. IV. Fabulas de Perseo multis exẽplis consimilibus absurdas esse demonstrauit.

Tum, Hesiodo auctore, genus exstitisse primò aureum, deinde argenteum, post hæc æneum. Rursus equos fuisse, qui de futuris collocuti sint cum Achille: & Sphingem, quæ Thebanorum pubi ænigma proposuerit: & Sirenes, quæ ad perniciem auditorum cantillarint; Niobem etiam & Polydecten, in saxa ex pauore conuersos. Nauigationis insuper comites Vlyssis, ex hominibus in porcos, & è porcis in humanum rursus habitum transiisse. Item Tantalum propter mentis integritatem honore affici, mensæ Deorum admotum, & propter flagitiosam libidinem in aëra sublatum plecti. Nonnullos etiam data opera descendisse ad Plutonis, tum vt vates mortuos de viuis consulerent, tum vt Proserpinam, ceu solitariam, vi sponsam sibi facerent. Et vellus aureæ lanæ in oue exstitisse, malósque in Africa nasci, quæ aurea mala producant. Animatum corpus per omnem vitam insomne permansisse. Boream & Austrum cum ceteris ventis in vtre tantumnon præfocare inclusos. Adde Pasiphaen cum Tauro, & Tyro cum fluuio rem habere: cùm tamen ad nullum diuersæ naturæ genus lectum ineant. Et Philomelam in lusciniæ, Tereum in vpupæ, & * Hecuben in canis domestici naturam esse mutatam. Io præterea filiam amnis fuisse, sed cornuta bouis forma, cum asilo agitaretur, Ponticum mare transcurrisse. vnde & Bosphorus nomen acceperit. Et Cæneum Lapitham, primò virginem, circa pubertatis annos ex fœmineo sexu in virilem transmigrasse: atque ad postremum, cùm à centauris abietum incussu verberaretur, viuum & erectum subiisse terram. Et Ledam, eius quæ in fœminam cadit procreationis loco, natiuum peperisse ouum: vnde forma illa tot pugnis experita. Helena inquam, efformata sit. Hellem etiam & Phrixum arietis pedibus volantes, confecto cursu,

Lib. π ἔργων.

* *Cic. Tuscul.* 3.

AGATARCHIDES.

maro illud ad vtrumque littus vsque, Hellespontum de se nominasse. Quid quòd Hercules etiam vasta maria, vbi maximæ oriuntur tempestates, in olla emensus sit: & Africam sementis & aquæ viæque expertẽ solus peragrarit: & ab Atlante tantæ magnitudinis & grauitatis mundum in se receperit: non quòd mandatum haberet, sed tantùm vt gratiam iniret? Quid quòd Orphei, citharam pulsantis, vestigia montes & scopuli, amore & studio Musicæ sectati. Et carnes boum Solis inter assandum vocem hominum intellectui obuiam ediderint? Et quòd vita defuncti, per ocium, omnes generis sermones cum Vlysse credant, ex informi vmbra proprium faciei agnoscentes? Aliique horum bibant, cùm nec aluus nec gula restet: alij ferrum extimescant, vulnerationi tamen non amplius obnoxij. Nonnulli saxum voluant, quorum corpora iam olim conflagrarunt. Aliqui etiam ius dicant cæteris, vbi tamen nihil iniuriarum est reliquum. Quid tandem quòd eorum qui non amplius sunt, simulacra in cymba traiiciant, Charonte nauclero & gubernatore, vt ne submersi denuò funeris elatione opus habeant? Et quod Alcestis, & Protesilaus, & Glaucus, post vitæ finem surgant? Siquidem illam Hercules reducit, istum vxoris amor exstimulat, hunc vates vnà defessus excitat. Et quòd Amphiarai, vita adhuc integra, corpus vnà cum equis & curru tellus absorbeat? Et quòd dentibus è Cadmi dracone disseminatis viri armati, intérque se depugnantes, enascantur? Et quod Talos, Minois custos, ter vno quolibet die totam circumambulet Cretam, tam longè latéque patentem, solúsque animatorum in talo vitam possideat. Et quod Minoi vita abrumpi nequeat, nisi quis feruentem ei aquam affundat. Adhæc quod incantatione Medeæ immutatus senex hircus ad iuuentutem redierit, & à Peliadibus incoctus sit pater, vt reiuuenesceret. Et quòd tres anus Phorcides vnius oculi vsu vitam exigant, indissolubilis inter se fidei commutantes vicem. Item quòd Arcadiæ cultores & Atticæ, terrigenæ sint & præter naturam orti. Et quòd mactata in Aulide viuam se exhibuerit apud Tauros. Et quòd in Peloponneso mari demersa à patre Arisio, Seriphiorum littoribus incolumis vnà cum infante appulerit Et quòd à Menelao in singulari certamine iam subactus, post arreptionem subitam, versetur in thalamo, ad complexum paratus, & omnis aduersi casus oblitus. Et quòd lignei equi receptaculum non ad expugnationem vrbis sit compactum, sed ob proditionem Vlyssis & Neoptolemi, sociorúmque. Vide qualis hoc modo stultitia depingatur, & artificis qui equum exstruxit, & procerum, qui hunc inierunt, & ciuium, qui in propriam vrbem eundem susceperunt! Adde his, quod cœlum tam vastum, Diis in eo commorantibus suis Athlas humeris exceperit, & Atlandides tamen genuerit, quod fieri nullo potest modo. Quod orbem totum Oceanus circúluat & ambiat, custodiens eum fluxibus suis & continens.

τὴν ἐφ' ἑκάτερα θάλατταν, ἑλλήσποντον ἀφ' ἑαυτῆς προσαγορεῦσαι, τὸν δ' Ἡρακλέα καὶ τὰ πελάγη μὲν οὗ μέγιστοι χειμῶνες, ἐν λέβητι διαπλεῖν· τὴν δὲ λιβύην ἄσπορον, ἄνυδρον, ἀπορωτάτην ὑπάρχουσαν, μόνον *διέρχεσθαι. τῷ δὲ Ἄτλαντι τὸν τηλικοῦτον *διαδέξασθαι κόσμον, πρόσταγμα μὲν οὐκ ἔχοντα, χάριν δὲ τιθέμενον· καὶ τῷ μὲν Ὀρφεῖ κιθαρίζοντι, διὰ φιλομουσίαν τὰ ὄρη καὶ τὰς πέτρας ἀκολουθεῖν. κρέα δὲ ὀπτώμενα τῶν ἡλίου βοῶν φωνὴν προΐεσθαι τοῖς ἀνθρώποις συνετήν. τῶν δὲ μετηλλαχότων τὸν βίον ἐπὶ σχολῆς πρὸς Ὀδυσσέα διεξέρχεσθαι παντοδαπὴν ἀδολεσχίαν, ἐκ τῆς ἀμόρφου σκιᾶς τὸ τῆς ὄψεως γινώσκοντας ἰδίωμα. καὶ τοὺς μὲν αὐτῶν ἀπὸ τοῦ πίνειν, οὐ κοιλίας, οὐ βρόγχους ἔχοντας· ἑτέρους δὲ φοβεῖσθαι τὸν σίδηρον, οὐκέτι δυναμένους τρωθῆναι· τινὰς δὲ πέτρον κυλίειν, τῶν σωμάτων πάλαι κατακεκαυμένων· ἄλλους δὲ δικάζειν ἑτέροις τεθνηκόσιν, ἀδικήματος οὐδενὸς ὑπάρχοντος· τὸ δ' ἔσχατον, τῶν οὐκ ἔτι ὄντων τοὺς τύπους ἐν πορθμίδι διαπλεῖν, ἔχοντας Χάρωνα ναύκληρον καὶ κυβερνήτην· ἵνα μὴ καταστραφέντες, ἐκφορᾶς ἐπιδέωνται πάλιν. καὶ τὴν μὲν Ἄλκηστιν, καὶ Πρωτεσίλαον, καὶ Γλαῦκον τετελευτηκότας, πάλιν ἀναστῆναι· τὴν μὲν, ὑφ' Ἡρακλέους ἀναχθεῖσαν· τὸν δὲ, διὰ τὸν τῆς γυναικὸς ἔρωτα· τὸν δὲ, ὑπὸ τοῦ μάντεως τοῦ συγκατορυχθέντος. τοῦ δὲ Ἀμφιαράου ζῶντος τὸ σῶμα καταδέξασθαι μετὰ τῶν ἵππων καὶ τοῦ δίφρου τὴν γῆν. ἔτι τοίνυν ὀδόντας ἐκ Κάδμου σπαρῆναι δράκοντος· ἐκ δὲ τούτων ὁπλίτας ἀνατεῖλαι μαχομένους ἀλλήλοις· τὸν δὲ *ἴταλον τὸν Μίνω, τρὶς μὲν ἐν ἡμέρᾳ πᾶσαν περιπολεῖν τὴν κρήτην, τηλικαύτην οὖσαν· τὴν δὲ ζωὴν μόνον τῶν ἐμψύχων τοῦτον ἐν τῷ σφυρῷ κεκτῆσθαι. καὶ τοῦ Μίνω δὲ ἀμήχανον εἶναι περιλῦσαι τὸν βίον, εἰ μή τις αὐτῷ ζεστὸν ὕδωρ καταχέῃ. πρὸς τούτοις, ὑπὸ μὲν τῆς Μηδείας γέροντα κριὸν ἐπῳδαῖς μεταπεσόντα νέον γενέσθαι πάλιν. ὑπὸ δὲ τῶν πελιάδων καθεψηθῆναι τὸν πατέρα Πελίαν, ἵνα γένηται νέος. τὰς δὲ φορκίδας, τρεῖς μὲν οὔσας γραίας, ἑνὶ δὲ χρωμένας ὀφθαλμῷ, διεξάγειν τὸν βίον, ἄλυτον παρ' ἀλλήλων κατὰ μέρος ἀμειβομένας πίστιν. ἔτι δὲ, τοὺς τὴν ἀρκαδίαν οἰκοῦντας καὶ τὴν ἀττικὴν, γηγενεῖς τε εἶναι, καὶ παρὰ φύσιν γεγονέναι· καὶ τὴν μὲν ἐν αὐλίδι σφαγεῖσαν, ἐν ταύροις ἀναφανῆναι ζῶσαν· τὴν δ' ἐν πελοποννήσῳ καταποντωθεῖσαν, ὑπὸ τοῦ πατρὸς Ἀκρισίου τῇ παραλίᾳ τῇ Σεριφίων ἀβλαβῆ μετὰ τοῦ βρέφους προσπεσεῖν. τὸν δ' ὑπὸ Μενελάου κατὰ τὴν μονομαχίαν ἤδη χειρούμενον, ἐξαίφνης ἁρπαγέντα ἐν τῷ θαλάμῳ γενέσθαι, πρὸς συνουσίαν ἕτοιμον ὄντα, τῶν δεινῶν ἁπάντων ἐπιλελησμένον. τοῦ δὲ δουρείου τὸ κύτος οὐκ ἐφ' ἁλώσει συμπαγῆναι πόλεως, ἀλλ' ἐπὶ προδοσίᾳ τῶν περὶ τὸν Ὀδυσσέα καὶ τὸν Νεοπτόλεμον. τοιαύτην ὁ τρόπος ὑπογράφει τὴν εὐήθειαν καὶ τοῦ κατασκευάσαντος τεχνίτου, καὶ τῶν ἐμβάντων ἀριστέων, καὶ τῶν ὑποδεξαμένων εἰς τὴν ἰδίαν πόλιν. ἐπὶ τούτοις, ὅτι τὸν τηλικοῦτον οὐρανὸν μετὰ τῶν ἐν αὐτῷ διατριβόντων θεῶν τοῖς ἰδίοις ὁ Ἄτλας ὤμοις ὑπειληφὼς, ὅμως τὰς καλουμένας Ἀτλαντίδας ἐτεκνοποιήσατο. ὅπερ ἀμήχανον. Ὅτι τὴν ἅπασαν οἰκουμένην ὠκεανὸς περικυκλοῖ, φρουρεῖ καὶ συνέχει τοῖς ἑαυτοῦ ῥεύμασιν·

* ἀπεξήρχεσθαι. H. St.
* ἐπιδέξασθαι. M. M.
* Τάλων τὸν φύλακα τῆς.

ὃ *φασὶ

οὗ* φασὶ πέραν οἰκεῖν τὰς Γοργόνας Ἡσίοδος. Ὅτι τῶν ἡρώων τινὰς ἀπαθῆ τὴν διαμονὴν τῶν σωμάτων διαφυλάττειν πάντα τὸν χρόνον ἐν ταῖς μακάρων νήσοις· ἃς οὐδεὶς κυρίως ἱστόρηκε. καὶ ταῦτα μὲν εἰς ἄπορον καὶ ἀστρέφοντα δόξαν. πολλαῖς καὶ τῶν γυναικῶν εὔλογον παραδιδῶσι χλευασμόν. τῶν δὲ αὖ θεῶν πῶς *παραδεξαίμεθα, τὸν μὲν ἐν μηρῷ *καταρραφθέντα τραφῆναι, τὴν δὲ τῇ τοῦ Διὸς κεφαλῇ κοιλίᾳ χρήσασθαι. τὸν δὲ ἄνευ τοῦ πατρὸς τελειωθῆναι, λέγω δὴ τὸν Ἥφαιστον· τὸν δὲ ἥλιον, διὰ τὰς Ἀτρέως εἰς Θυέστην πράξεις, τὴν μὲν δύσιν, ἀνατολὴν ποιῆσαι· τὴν δὲ ἀνατολὴν, δύσιν. πρὸς δὲ τούτοις, Ἀπόλλωνα μὲν καὶ Ποσειδῶνα ἐν Τροίᾳ θητεύσαντας ἐνιαυτὸν, οἰκοδομίας ἀποστερηθῆναι μισθὸν καὶ βουφορβίας, ταῖς δεινοτάταις ὑπὸ Λαομέδοντος περιπεσόντας ἀπειλαῖς· Διόνυσον δὲ ὑπὸ Λυκούργου διὰ φόβον καταδιωχθέντα, εἰς τὴν θάλατταν πρὸς Θέτιν καταφυγεῖν. πρὸς δὲ τούτοις, ἔριν ὑπὲρ κάλλους καταστῆναι *θεαῖς, ὧν ἑκάστη μὲν ἐδέκαζε τὸν κριτὴν ταῖς παρ' ἑαυτῇ δωρεαῖς, ἵνα παρίδῃ τὸ δίκαιον· οὐδεμιᾷ δὲ παρηκολούθει τὸ συμπεσούμενον ἐκ τῆς κρίσεως τέλος. ἔτι, τὸ μὲν Ἀθηνᾶς μέγεθος, εἰς χελιδόνος συγκαταβῆναι ὄγκον· τὸ δὲ τοῦ Διὸς ἀξίωμα εἰς *κύκνου *κατασταλῆναι τάξιν· τὸ δὲ τῆς *Δηοῦς κάλλος εἰς τὴν αἰσχίστην μετασταθῆναι διάθεσιν. τὸν δὲ νομιζόμενον μέγιστον Δία ἐπιβουλευθῆναι μὲν ὑπὸ τοῦ ἀναγκαιοτάτου τῆς γυναικὸς ἀδελφοῦ, σωθῆναι δὲ ὑπὸ τῶν ἐχθίστων, λέγω δὴ τῶν Τιτάνων· οὓς ἀναβάντας ἐκ τῶν δεσμῶν καὶ τοῦ σκότους, καὶ τῆς ἐκεῖσε φυλακῆς, ἐπεὶ τὴν χρείαν παρέσχοντο, φοβήσαντες τοὺς περὶ τὸν Ποσειδῶνα καταβῆναι πάλιν ἑκουσίως εἰς τὸν Ἀχέροντα, *καὶ τὸν ᾅδη τόπον. ἔτι τὴν μὲν Ἀφροδίτην τιτρωσκομένην ὑπὸ θνητῆς δυνάμεως, τὸν δ' Ἄρην δεσμευόμενον ὑπ' Ὤτου καὶ Ἐφιάλτου· τὸν δὲ Ἅδην ἐν ᾧ τόπῳ τὴν βασιλείαν εἶχεν, ἑκόντα ὑφ' Ἡρακλέους τοξευθέντα ταῖς μεγίσταις ἀλγηδόσι περιπεσεῖν· τὸν δὲ Ἥφαιστον, ἀπὸ τοῦ κατὰ τὸν οὐρανὸν *ἀπορριφέντα ὕψους, εἰς Λῆμνον ἐνεχθῆναι διακείμενον ἐσχάτως. τῆς δ' Ἥρας ὑπὸ τοῦ Διὸς *κρημναμένης ἐκ τῶν ποδῶν ὁμοδεθῆναι παμμεγέθεις ἄκμονας. καθόλου δὲ θεοὺς μοιχεύοντας, κεραυνουμένους, κυλλόποδας, κλέπτειν εἰθισμένους, ἀνθρώπων ἀσθενεστέρους, προχείρως λοιδοροῦντας, ἀδικοῦντας, μεμψιμοιροῦντας· πέρας, οὐθενὸς πάθους ἐκτὸς καθεστῶτας, ὑφ' ὧν ἡμεῖς ὀχλούμενοι τοὺς θεοὺς ἐπικαλούμεθα. οἱ οὖν τὰ τοιαῦτα τερατευόμενοι, πόρρω τῆς ἀληθείας ἱστάμενοι, οὐκ ἂν ἑτέροις ταύτην εἰσηγεῖσθαι κριθεῖεν ἂν ἀξιόλογοι. διὰ τοιούτων καὶ τοσούτων Ἀγαθαρχίδης τὰ περὶ τὸν Περσέα εἰς ὁμοίους *ἄγων μύθους, οὐδὲ τὴν ἐρυθρὰν ἐκ τοῦ παιδὸς αὐτοῦ κληθῆναι δίδωσιν.

* φησὶ H. St. * παραδεξόμεθα H. St. * καταρραφέντα. * θεαῖς. * κατασῦναι * Δημήτρας H. St. * ἐλθεῖν H. St. * ἀπορριφέντα H. St. * κρεμαμένης.

Ὅτι αὐτὸς, φησὶν, ἑαυτοῦ αἴτιος καθίσταται ἐλέγχεσθαι, ὁ τὴν τῶν μυθοποιῶν ἐξουσίαν εἰς πραγματικὴν *ἐπάγων ἱστορίαν· ἧς ἄν τις ἀφέλῃ τὸν ἔλεγχον, οὐδὲν ἀπολείπεται καταλείψει γένος τῆς πίστεως ἡρμένης. ἐπεὶ διὰ τίνα αἰτίαν Ὅμηρον οὐκ εὐθύνω, Διὸς καὶ Ποσειδῶνος φράζοντα διαφοράν,

* ἀνάγων. * μετάγων.

AGATHARCHIDES.

cuius extrema Gorgones accolere Hesiodus canit. Et quod heroum nonnulli corporum incolumitatem, extra omnes adiectiones, conseruent, in beatorum insulis: de quibus tamen nemo certi aliquid memoriæ prodidit.

Hæc igitur cùm in dubias & perplexas desinant opiniones, multis etiam è sexu muliebri risum non improbabilem tradunt.

Cæterùm de Diis nugas quomodo accipiamus; Quod videlicet quidam femori insutus ad maturitatem peruenerit: quædam Iouis capite pro matrice sit vsa. Et quidem sine patre (Vulcanum dico) sit perfectus. Quod Sol, propter nefariam Atrei in Thyestem impietatem, ex occasu ortum, & ex ortu occasum fecerit: præterea quòd Apollo & Neptunus, locata apud Troiam mercenaria opera per annum, præterquam quod ædificationis & ministerij pastoralis mercede fraudarentur, atrocissimis Laomedontis minis obiecti sint. Et quòd Bacchus à Lycurgo perterrefactus fugatúsque in mare, Thetidos opem implorarit. Huc accedit, quòd lite de formæ elegantia inter Deas orta, vnaquæque muneribus suis iudicem corrumpere studeat? & nullam tamen harum assequatur finis ex hoc iudicio euenturus. Imo, Mineruam fabulantur, quanta quanta est, in hirundinis corpusculum se abdidisse, & maiestatem Iouis à cygni forma veluti in ordinem redactam, & Ceteris pulchritudinem in turpissimum transiisse habitum. Et Iouem, qui pro maximo habetur, à maximè necessario, vxoris germano, insidias expertum, & seruatum esse à maximè inuisis, Titanibus inquam: qui egressi è vinculis & tenebris, & quæ illic est custodia, postquam in fugam coniecto Neptuno, operam illi nauassent, sponte ad Acherontem & Plutonis regnum denuò se receperint. Tum Venerem mortali manu sauciam: Et Martem ab Oto & Ephialte vinculis constrictum, & Ditem in regno suo, ab Hercule sagittis ictum, in maximos incidisse cruciatus: Et Vulcanum à cacumine cœli deiectum in Lemnum, non absque læsione corporis & dolore extremo: Et Iunonem à Ioue suspensam alligatis vtrique pedi incudibus maximis. Summatim, Deos adulteria committere, fulmine feriri, loripedes esse, furtis adsuescere, ab hominibus virtute superari, procaciter conuitiari, iniurias patrare, sortem deplorare, & tandem nullius affectionis immunes esse, à qua nos perturbati Deorum opem inuocamus. Quare qui hæc fabularum portenta hominibus credenda proponunt, tam procul à veritate remoti, num putas magistros fide dignos aliis docendis esse iudicandos? Dum tot & talibus Agatharchides exemplis narrationem de Perseo ad fabulas relegat, nec mari rubro à filio Persei nomen obuenisse tradit.

CAP. V. Fabularum finis delectatio.

Hinc scipsum in caussa sibi esse vt redarguatur, ostendit, propterea quòd ad seriam rerum gestarum tractationem, fabulatorum licentiam traducat. Nam ab hac si quis refellendi studium detrahat, nullam relicturus est materiam viliorē, sublata nimirum fide. Quam enim ob causā nō damno Homerū (inquit) quòd Iouis & Neptuni dissidium adserit,

AGATARCHIDES.

cùm fieri non possit, vt homo mortalis fidem hac in parte adstruat. Nec Hesiodum vitupero, Deûm generationem exponere ausum. Nec Æschylum increpo, quòd in plerisque mentitur, & multa, quæ concedi nunquam possunt, in literas refert. Nec Euripidem (*Euripides.*) accuso, quòd Archelao tribuit res à Temeno gestas, & Tiresiam in theatro plusquam quinq; ætates vita cõplexum introducit: Nec aliis vitio verto, quòd apparatu in fabularum actione vtuntur virium excedente humanarum modũ: Quia omnis poëta magis voluptatis scopum quàm veritatis sibi propositum habet.

CAP. VI. Qua terra elephantos producat.

ELEPHANTOS, scribit auctor, Indorum terra nutrit, & Æthiopum, quæ Thebanorum fines attingit, necnon Libya.

CAP. VII. Ægypti limites.

QVATVOR, inde perhibet, limitibus Ægyptum esse inclusam: à septentrione, pelago: ab ortu & occasu, desertis: & à meridie, gẽtibus Æthiopum.

Hic multa omissa sunt ab interprete & in Græca edit. Henr. Steph.

AVSTERVS hic sermo, sed salutaris? ostenditur enim non mœstitiæ, sed custodiæ gratia? & ex oratione voluptatem sustulit, ne ex rebus gratiam adepti pro bonis mala consequamur: vel per Iouem vel Deos, & non in medio posita quædam remittamus. Priuati verò diuitias longè profundiores, sine negotio est difficile seruare. Tu verò horum & similium bonorum hæreditatem consequi te posse sine certamine confidis? præsertim cùm scias, quòd lex possidenti illa conseruet, hæc ferrum aufert de imbecillioribus.

Sumus, inquit, multo tempore in hac sententia, regum amicitias ab occasione confirmari & solui, & tuam occupationem alteri dare argumentum, ex aliis res augendo & minuendo. Hic verbo continenter gratificatus, rerum gestarum fidem excedens, falsa commemorat: ille amicis in societatem consilij adhibitis tempore eiuscemodi neque vrgentis impetum exigit. quis enim adeo expers consilij, qui ab altero quid sibi videatur cognoscere velit, & in dubiis consilio vti explentis desiderium ipsius? Si enim dominus bonorum, non succumbit cupiditati eorum qui cogunt: Beatum prædico hæc possidentem. tollere autem non possum armis coactus, sumptus. Quid igitur arduum actionem in vanum rumorem adducere, spésque inanes reueritum fuisse præ cæteris periculis? Sed percellunt Græcos Æthiopes, quare? nigredine & formæ differentia. Non excedit puerilem ætatem hic metus apud nostros. In bellis vero grandioribúsque contentionibus, non facie aut colore, sed audacia & re militari res diiudicantur. Ego vero à quo die constitutus sum tutor corporis tui, quum iuuenis admodum esses, totiúsque regni, ab illo statim in magnum me laborem conieci. quemnam? Iis qui in voluptate versantur repugnare atque indignari, non facultates tibi primum auferendo, sed imperitiam, vt tantis bonis prudens fruaris, non peccans. Hoc enim quærebam, patris nactus beneuolentiam tempore cõciliatam, non adulationis irrisionem oportunitate assuetam.

ἀδύνατον ἀνθρώπῳ πίστιν παραδοῦναι· οὐδ' Ἡσιόδῳ μέμφομαι, διαλαβόντι θεῶν γένεσιν· οὐδ' Αἰσχύλον ἐπιπλήττω, πολλοῖς διεψευσμένον, καὶ πολλὰ συγγράφοντα τῶν ἀσυγχωρήτων. οὐδ' Εὐριπίδου κατηγορῶ, τῷ μὲν Ἀρχελάῳ περιτεθεικότος τὰς Τημένου πράξεις, τὸν δὲ Τειρεσίαν βεβιωκότα παρεισάγοντος πέντε γενεῶν πλεῖον· οὐδὲ τοὺς ἄλλους εἰς ἐπιτίμησιν ἄγω, διασκευαῖς ἐν τοῖς δράμασι χρωμένους ἀδυνάτοις· ὅτι πᾶς ποιητὴς ψυχαγωγίας * ἢ ἀληθείας ἐστὶ στοχαστής. (* λείπει τὸ μᾶλλον.)

Ὅτι καὶ τὴν Ἰνδικὴν χώραν ἐλέφαντας τρέφειν φησί, καὶ τὴν Αἰθιοπίαν, ἣ τοῖς Θηβαίων ὁρίοις ἐστὶν ὅμορος· καὶ δὴ καὶ τὴν Λιβύην.

Ὅτι τέσσαρες τόποι τὴν Αἴγυπτον περιειλήφασιν· ἀπὸ μὲν τῆς ἄρκτου, τὸ πέλαγος· ἀπ' ἀνατολῆς δὲ καὶ δύσεως, ἐρημίαι· ἀπὸ δὲ τῆς μεσημβρίας, Αἰθίοπες.

Αὐστηρὸς ὁ λόγος, ἀλλὰ σωτήριος. δηλοῦται γὰρ οὐ λύπης, ἀλλὰ φυλακῆς ἕνεκεν· καὶ τὴν ἡδονὴν ἐκ τῶν λόγων ἦρκεν, ὅπως τὸ ἐκ τῶν πραγμάτων χάριτος ἀπολαύοντες, μηδέποτε αἰτίᾳ τοῦ βελτίονος τὸ χεῖρον αἱρώμεθα· ἢ, πρὸς Διὸς καὶ θεῶν, ἵνα μηδὲ τῶν ἐν μέσῳ κειμένων ἔνια παριώμεθα. ἰδιώτου μὲν οὐσίαν * μικρᾷ βαθυτέραν ἀπραγμόνως ἐστὶ χαλεπὸν διασῶσαι· σὺ δὲ τοσούτων καὶ τηλικούτων κληρονομίαν ἀγαθῶν καθέξειν χωρὶς ἀγωνίας ἐλπίζεις; καὶ ταῦτα, γινώσκων, ὅτι * κἀκεῖνα μὲν ὁ νόμος τῷ κεκτημένῳ διαφυλάττει· ταῦτα δὲ ὁ σίδηρος ἀφαιρεῖται τῶν ἀσθενεστέρων. (* μικρῷ M. M.) (* κἀκεῖνα μὲ. M. M.)

Ὅτι, φησίν, ἐκ πολλοῦ χρόνου προειληφότες ἴσμεν, ὅτι τὰς τῶν δυναστῶν φιλίας ὁ καιρὸς σφραγίζεται καὶ λύει· καὶ τὴν σὴν ἀσχολίαν ἄλλῳ δίδωσιν ἀφορμήν, αὔξων καὶ φθίνων τὰ πράγματα ἐξ ἀλλήλων. ὁ μὲν τῷ λόγῳ συνεχῶς χαριζόμενος, τὸ ἐκ τῶν ἔργων δυνατὸν ὑπερβαίνων, πολλὰ διαψεύδεται· ὁ δὲ προσλαμβάνων τοὺς αὐτοῦ φίλους βουλῆς κοινωνοὺς ἐν καιροῖς τηλικούτοις, * οὐ τοῦ τὴν ὁρμὴν ἐπιτάσσοντος δεῖται. τίς γὰρ οὕτως ἄβουλος, ὃς τὸ δοκοῦν αὐτῷ παρ' ἑτέρου βούλεται μαθεῖν, καὶ ποιεῖν * τὸν σύμβουλον τῶν ἀπορουμένων, συνήγορον τῆς ἐπιθυμίας; εἰ γὰρ ὁ κύριος τῶν τοσούτων ἀγαθῶν, κρείττων ἐστὶ τῆς ἐπιθυμίας τῶν βιαζομένων: μακαρίσαι μὲν ἔχω τοῦ ταῦτα κεκτημένου τὴν ἐξουσίαν, ἀφελέσθαι δὲ τοῖς ὅπλοις βιασάμενος τὰς χορηγίας οὐ δύναμαι. τί οὖν ἀμήχανον πρᾶξιν εἰς κενὴν * ἐπαγγελίαν ἄγειν, καὶ τὰς ἀδήλους ἐλπίδας τῶν προδήλων κινδύνων πλέον εὐλαβεῖσθαι; ἀλλὰ καταπλήξονται τοὺς Ἕλληνας οἱ Αἰθίοπες τίνι; τῇ μελανίᾳ καὶ τῇ παραλλαγῇ τῆς μορφῆς. οὐχ ὑπερβαίνει τὴν τοῦ παιδὸς ἡλικίαν παρ' ἡμῖν ὁ τοιοῦτος φόβος. ἐν δὲ τοῖς πολέμοις, καὶ τοῖς μείζοσι διαφοραῖς, οὐκ ὄψει καὶ χρώματι, τόλμῃ δὲ καὶ στρατηγίᾳ τὰ πράγματα κρίνεται. Ἐγὼ δ' ἀφ' ἧς ἡμέρας ἡ τύχη με κατέστησεν ἐπίτροπον τοῦ σώματος τοῦ σοῦ, νέου παντελῶς ὄντος, καὶ τῆς ὅλης βασιλείας· ἀπ' ἐκείνης εὐθὺς μέγαν ἐμαυτῷ πόνον ἐπέβαλον. τίνα τοῦτον; τοῖς πρὸς ἡδονὴν ὁμιλοῦσιν ἐναντιοῦσθαι (καὶ) δυσχεραίνειν, σοῦ πρῶτον αὐτοῦ περιαιρούμενος οὐ τὴν ἐξουσίαν, ἀλλὰ τὴν ἄγνοιαν· ἵνα τῶν τοσούτων ἀγαθῶν φρονῶν ἀπολαύσῃς, μὴ διαμαρτάνων. τὸ γὰρ ἐζήτουν πατρὸς ἔχων εὔνοιαν χρόνῳ στοχαζομένην, οὐ κόλακος εἰρωνείαν καιρῷ προσομιλοῦσαν· οἶδα (* al. τὸ τῆς) (* al. τὸ [illegible]) (* al. ἀπαγγελίαν.)

AGATHARCHIDAS.

οἶδα γὰρ πρεσβύτερος ὤν, καὶ πολλῶν ἔμπειρος γεγονὼς πραγμάτων, διὰ τοὺς θωπεύειν ἐπιβεβλημένους τοὺς ἐν ταῖς ὑπεροχαῖς, καὶ τὰς μεγίστας βασιλείας ἄρδην ἀνῃρημένας, τὴν Κασάνδρου, τὴν Λυσιμάχου, τὴν Ἀλεξάνδρου, τηλικαύτην οὖσαν, τὴν Μήδων, τὴν Σύρων, τὴν Περσῶν· ὥστε μηδὲ * σπέρματα καταλειφθῆναι τοῦ γένους. οὐκ ἀλόγως. νέου γὰρ πολλὰ μὲν ἀγνοοῦντος διὰ τὴν ἡλικίαν, δυσλογευμένου δὲ ἐπὶ τοῖς ἁμαρτήμασιν, οὐδὲν σφαλερώτερον, οὐδὲ ἐπικινδυνότερον. ὁ γοῦν Ἀλέξανδρος, ἀήττητος ὢν ἐν τοῖς ὅπλοις, ἀσθενέστατος ἦν ἐν ταῖς ὁμιλίαις· ἡλίσκετο γὰρ ὑπὸ τῶν ἐπαίνων· καὶ Ζεὺς καλούμενος, οὐ χλευάζεσθαι ἐνόμιζεν, ἀλλὰ τιμᾶσθαι· τῶν μὲν ἀδυνάτων ἐπιθυμῶν, τῆς δὲ φύσεως ἐπιλελησμένος.

* al. σπέρμα.

Ὅταν ὁ δημαγωγὸς τοῖς πολλοῖς διαλέγηται, μὴ τὴν τοῦ φίλου τάξιν ὑποστησάμενος, ἀλλὰ τὴν τοῦ κόλακος· ἡ τῶν ὄχλων ὁρμὴ βεβαιωτὴν λαβοῦσα τῆς ἁμαρτίας τὸν σύμβουλον, ἀνέτρεψε τὴν πόλιν. ἐνσκήπτει γὰρ ὁ μῶμος οὐ κατὰ τῶν ὑπαιτίων μόνον, ἀλλὰ καὶ οἷς ἂν ὁ φθόνος αὐτῷ τὴν ἔφοδον προοδοποιήσηται. ἐκρατεῖ γὰρ ὁ μῶμος, οὐ τῶν ὑπαιτίων μόνον, ἀλλ' ἔσθ' ὅτε καὶ τῶν ἐπικρατεστέρων αἰτίας. ἐπειδὰν ὁ φθόνος πικρὸν τὸ βέλος ἀφεὶς, προκατειργάσατο τὸν οὐκ ἄξιον τοῦτο * πείσεσθαι.

* πείσεσθαι.

Χρῶνται δὲ ἐπὶ τῶν κινδύνων τῶν πολεμικῶν Αἰθίοπες τοῖς μὲν τόξοις μεγάλοις, βραχέσι δὲ τοῖς οἰστοῖς· ἐπὶ δὲ τῆς ἄκρας τοῦ καλάμου κερκίδος ἀντὶ τοῦ σιδήρου παραμήκης τῷ τύπῳ λίθος ἀνεστήρικται, νεύροις ἐσφιγμένος, ὀξὺς μὲν ὑπερβολῇ, φαρμάκοις δὲ θανασίμοις βεβαμμένος.

Ὅτι Πτολεμαῖος, φησὶν, εἰς τὸν κατὰ Αἰθιόπων πόλεμον ἀπὸ τῆς Ἑλλάδος πεντακοσίους συνέλεξεν ἱππεῖς· ὧν τοῖς προκινδυνεύειν μέλλουσι καὶ καθηγουμένοις τὸ πλῆθος οὖσιν ἑκατὸν, ὁπλισμοῦ περιέθηκε τρόπον. στολὰς γὰρ αὐτοῖς τε καὶ τοῖς ἵπποις ἀνέδωκε πιλητὰς, ἃς οἱ κατὰ χώραν ἐκείνην προσαγορεύουσι * κάσας, ὥστε πᾶν κρύπτειν τὸ σῶμα, πλὴν τῶν ὀφθαλμῶν.

* al. [illegible]

ΕΚ ΤΗΣ ΠΕΜΠΤΗΣ ΑΓΑΘΑΡΧΙΔΟΥ ἱστορίας τῆς περὶ τὴν ἐρυθρὰν θάλασσαν.

* ἐν τῷ [illegible]

Ὅτι πολλοί, φησὶ, καὶ τῶν πολιτικῶν ἀνδρῶν, καὶ τῶν ποιήματα γεγραφότων, διηπορήκασι πῶς τὰς ὑπερβαλλούσας ἐνίοις ἀκληρίας τὸν ἐκτὸς τῶν κινδύνων κείμενον πρεπόντως ἐξαγγελτέον· ὧν ὁ τρόπος οὐ λίαν γίνεται ἐμφανὴς, εἰ μή τις ὑποτάξαιτ' ἂν αἰτίαν ἀκόλουθον τοῖς ἐμφανιζομένοις.

Ὄλυνθον καὶ Θήβας δύο πόλεις ἐνδόξους Ἀλέξανδρος καὶ Φίλιππος διαρπάσαντες, καθεῖλον εἰς ἔδαφος. τὸ δὲ δεινὸν τοῦ συντελεσθέντος παρ' ἐλπίδα προσπεσὸν, καὶ τῶν Ἑλλήνων πολλοῖς ἀγωνίαν περὶ τῶν ὅλων μεγάλην ἐνέστησεν· καὶ τῶν ῥητόρων οὐκ ὀλίγοις λόγου παρέσχεν ἀφορμὴν, εἰς τὸ δηλῶσαι τὰ πεπραγμένα τοῦ πάθους οἰκείως. εἰρήκασιν οὖν περὶ τούτου τοῦ πράγματος ἄλλοι μὲν ἀλληγορικῶς πως ἔχοντα, καὶ ταῖς διαλέκτοις, ὡς δοκοῦσι, περιττῶς· οἱ δ' ἐμβριθέστερον, τὰ συνήθη καὶ τὰς κυριολογίας ἐν τοῖς δεινοῖς οὐ προδόντες. ἑκατέρου δέ σοι προοισόμεθα παραδείγματα γένους· ἵνα τοὺς χαρακτῆρας ἐκ παραβολῆς * ἐπιδὼν, τοὺς ἄμεινον καὶ τοὐναντίον εἰπόντας ἐπ' αὐτοῖς * εὕρῃς ταῖς δοκιμασίαις.

* al. [illegible]
* al. εὕρῃς.

Noui enim vt natu grandior, multarúmque rerum experientiam consecutus, per assentationem eos, qui excellerent dignitate, regnáque simul funditus deleta Cassandri, Lysimachi, & Alexandri, tanta cùm fuerint, Medorum, Syrorum, & Persarum: vt neque generis semina reliquerint, non sine causa. Iuuene enim per ætatem rerum imperito, celebri verò in peccatis, nihil neque promptius ad lapsum, neq; periculosius. Alexander igitur armis inuictus, in vitæ consuetudine fuit infirmior: laudatione enim captus est, appellatúsque Iupiter, non se subsannari, sed honorari existimabat. Expetitis iis quæ fieri nequiuerant, naturæ fuit oblitus.

Quando orator cum populo disserit, non amici sed adulatoris personam sustinens, plebis impetus consiliarium, qui in peccato confirmaret nactus, vrbem euertit. Imminet enim aduersarius non reorum tantum, sed & iis, aduersus quos inuidia ipsa telum adornauit. vel accusator enim vincit non modò reorum, sed etiam interdum potentiorum accusationes. postquam inuidia telum acerbum iaciens persuasit, non esse eo dignum facinus.

Vtuntur & Æthiopes in bellicis periculis ingentibus telis, breuibus verò iaculis, in summa arundinis parte pro ferro oblongum figura lapidem ponunt, funibus constrictum, acutum supra modum, venenis verò mortiferis tinctum.

Ptolemæus, ait, ad bellum contra Æthiopes è Græcia quingentos equites conscripsit. De his qui in prima acie versaturi erant, & agmen ducturi, numero centum, eos singularibus instruxit armis. Nam & ipsis & equis vestes ad pilei modum constipatas, quas *Casas* in regione illa vocant, attribuit, vt totum præter oculos contegeretur corpus.

Ex Libro quinto Agatharchidis, De mari rubro.

PLERIQVE etiam politicorum virorum ac poëtarum dubitarunt, quomodo summæ quorundam calamitates iis qui extra pericula positi sunt, decenter nunciandæ sint. quorum modus non facile inclarescit, nisi aliquis præstruxerit causam iis quæ aperiuntur conuenientem. Olynthum & Thebas oppida duo clara, Philippus & Alexander diripientes, solo æquarunt. quod malum quum præter spem acciderit, magnum de imperio multis etiam Græcis terrorem incussit, multisque oratoribus dicendi materiam suppeditauit, vt calamitates propriè ostenderent. Alij ergo vt videbantur super hac re allegoricè ac variis dialectis abundè dixerunt, alij vero vehementius consueto more, propriéque loqui rebus arduis non subterfugiebant, Vtriusque tibi generis exempla proferam, vt formas è comparatione cognoscens, vtri melius aut deterius dicant, tuo iudicio colligas.

AGATHARCHIDES. *Hegesias.*

Hegesias quidem euersionem vrbium sæpe commemorans exilis est, nolens enim tempora singulatim recensere, studens verò necessariò in acerbis leporem nimium adhibere, sui argumenti scopum aliquantùm assequitur, sed non pro rei dignitate, quemadmodum in suis orationibus conuincitur. quale illud: *Vrbe relicta nomen acquisiuimus.* Specta igitur hoc: affectionem nequaquam mouet, sed significationem tacitam infert, & in dicta inquirere cogit. Vbi enim ambiguitatem sententiæ videt, ibi de sermonis grauitate remisit. Quare? quia dictum clarè perspiciendo, animi consensum deprehendere licet. Postposita verò perspicuitate, neque vis aut splendor verbis subesse potest. Hinc de Thebanis ad eundem modum loquitur: *Maximè enim locum clamantem, mutum calamitas reddidit.* Rursum de Olynthiis: *Veni ex vrbe Myriandro, reuersus non amplius vidi*: quæris quidnam? Ipsum enim dictum emphasin requirens, in errorem nostrum iudicium duxit. Decet enim miserantem ab asteismo abstinere, rem designare quæ affectioni propria est, si dictione ornaturus sit, sed calamitatis causæ seruiturus. Sed ad alia procedendum.

O Alexander, Epaminondam existima conspectis vrbis reliquiis, præsentem non comprecari. Accusatio quidem iuuenilis, & dura translatio & tristis actionis aspectus dici non potest. ALIVD: *Regia insania vrbe euersa, miserandum magis quam tragœdia spectaculum dedit*: ad quoduis potius, quàm rhetoris munus aptum videtur, nihil valdè ad rem pertinens attingit. Difficile enim puto difficillimis rebus ridiculum accommodare sermonem. ALIVD: *Quid attinet commemorare Olynthios & Thebanos, quæ per singulas vrbes morientes perpessi sunt?* ALIVD simile adulationis non pulchræ, & simplicitatem habens: *Simile quid Alexander fecisti, Thebas cùm diruisses, ac si Iupiter ex aliqua cœli parte Lunam sustulisset: Relinquo enim Athenis Solem: Duæ enim hæ ciuitates Græciæ sunt oculi, & duo de altera certabant. Alter enim eruulsus oculus est, Thebæ.* Mihi quidem iocari sophista hisce videtur, non deplorare vrbis fortunam, & videre, quomodo breuissimè sermonem abscindat: & quomodo sub aspectum calamitatem ducat perspicuitate sermonis. ALIVD quid simile: *Vrbes vicinæ deflebant vrbem, quæ prior fuisset, videntes iam non esse.* Si quis igitur Thebanis aut Olynthiis sub ipsam euersionem huiusmodi periodos collectas recitasset, viderentur mihi scriptorem derisuri, & quodammodo miseriorem ipsis existimaturæ fuisse. ALIVD genus attingemus, rati ipsum sophistam: *Graue, regionem sterilem esse, quæ satos homines genuit.* Sed non sic Demosthenes, cuius ille sententiam deteriorem reddit. Scribit enim, Atticam ouium fieri pascuam, esse graue, quæ prima ante alias satiuum producit fructum. Ille verò dum dixit, graue esse, terram infœcundam esse, quæ satos homines produxerit, è verbis pugnantia sumit, non ex re. Hinc & frigiditatem summam ostendit.

Ἡγησίας μὲν οὖν πολλάκις τῆς ἀπωλείας μεμνημένος τῶν πόλεων, εὐτελής ἐστιν. ὁ γὰρ μὴ θέλων τοὺς καιροὺς οἰκείως διαλέγεσθαι, ζητῶν δὲ ἐξ ἀνάγκης ἐν αὐστηρῷ πράγματι κουφότητα διαφαίνειν, τοῦ μὲν ἰδίου* ζητήματος ἐπὶ ποσὸν τυγχάνει, τῆς δὲ τῶν ὑποκειμένων ἀξίας οὐ στοχάζεται· ὥσπερ ἐστὶν ἐν τοῖς αὐτοῦ φωρᾶσθαι λόγοις. οἷον ὄνομα κατελάβομεν, πόλιν καταλιπόντες. σκόπει τοίνυν τοῦτο, πάθος μὲν οὐδαμῶς ποιεῖ, ἀλλὰ συνάγει πρὸς τὴν ἔμφασιν, καὶ ποιεῖ ζητεῖν τί λέγει. *οὗ γὰρ ἄν τις τῇ γνώμῃ δισταγμὸν ἐνεργάσηται, ἐκεῖσε ἀπὸ τοῦ λόγου τὸ δεινὸν ἀφῆκε. διὰ τί; ὅτι τὸ ῥηθὲν ἐν τῷ σαφῶς γνῶναι καὶ τὴν συμπάθειάν ἐστι λαβεῖν. ὁ δ' ὑστερήσας τοῦ σαφοῦς, ἀπολέλειπται καὶ τῆς *ἐναργείας. εἶτα ὅμοιον περὶ Θηβαίων φησί. τὸν γὰρ μέγιστα φωνήσαντα τόπον, ἄφωνον ἡ συμφορὰ πεποίηκε. πάλιν ἐπ' Ὀλυνθίων. Ἐκ Μυριάνδρου πόλεως ἐξῆλθον, ἐπιστραφεὶς δ' οὐκ ἴν' εἶδον· ἐζήτεις δὲ τί; τὸ μὲν γὰρ ῥηθέν, ὑπὸ τοιαύτην ἔμφασιν πεπτωκός, πεπλάνηκεν ἡμῶν ἀπὸ τοῦ προκειμένου τὴν γνώμην. δεῖ δὲ τὸν οἰκτιζόμενον ἀστεῖα τοὺς *ἀστεϊσμούς, τὸ πρᾶγμα σημαίνειν ᾧ οἰκεῖον τὸ πάθος, *εἰ μάλλον μὴ τῇ λέξει διακοσμεῖν, ἀλλὰ τῷ τῆς συμφορᾶς αἰτίῳ προσεδρεύειν. ἀλλ' ἐφ' ἕτερον ἰτέον.

Ἀλέξανδρε, τὸν Ἐπαμινώνδαν νόμισον ὁρῶντα τὰ λείψανα τῆς πόλεως, παρόντα μὴ συνεύχεσθαι. αἴτημα μὲν μειρακιῶδες, καὶ μεταφορὰ σκληρά, τὸ δὲ σκυθρωπὸν τῆς πράξεως ἄρρητον. ἄλλο. βασιλικὴ μανία προσπταίσασα πόλις, τραγῳδίας ἐλεεινοτέρα γέγονε, πρὸς πᾶν μᾶλλον, ἢ τὸ καθῆκον σοφιστῇ *ἑτοιμάσας φάναι·* οὐδὲν οὐ λίαν ἅπτεται τοῦ προκειμένου. χαλεπὸν γὰρ οἶμαι, χαλεποῖς πράγμασιν μωκωμένην διάλεκτον *ἐφαρμόσαι. ἄλλο. τί δεῖ λέγειν Ὀλυνθίους καὶ Θηβαίους, οἷα κατὰ πόλεις ἀποθανόντες πεπόνθασιν; ἕτερον παραπλήσιον κολακείας οὐκ εὐσχήμονος καὶ εὐηθείας ἐχόμενον. Ὅμοιον πεποίηκας, Ἀλέξανδρε, Θήβας κατασκάψας, ὡς ἂν εἰ ὁ Ζεὺς ἐκ τῆς κατ' οὐρανὸν μερίδος *ἐκβάλοι τὴν σελήνην· ὑπολείπομαι γὰρ τὸν ἥλιον ταῖς Ἀθήναις. δύο γὰρ αὗται πόλεις, τῆς Ἑλλάδος ἦσαν ὄψεις. διὸ καὶ περὶ τῆς ἑτέρας ἀγωνιῶ νῦν. ὁ μὲν γὰρ εἷς αὐτῶν ὀφθαλμὸς ἡ Θηβαίων *ἐκκέκοπται πόλις. ἐμοὶ μὲν οὖν σκώπτειν καὶ ὁ σοφιστὴς δοκεῖ διὰ τούτων, οὐκ ὀλοφύρεσθαι τῶν πόλεων τὴν τύχην· καὶ σκοπεῖν, πῶς ἂν τάχιστα συγκόψαιτο τὸν λόγον· *οὐ πῶς τὸ πάθος ὑπὸ τὴν ὄψιν ἀγάγοι διὰ τῆς ἐναργείας. ἕτερον ὅμοιον. αἱ δὲ πόλεις αἱ πλησίον, ἔκλαιον τὴν πόλιν, ὁρῶσαι τὴν πρότερον οὖσαν, οὐκ ἔτ' οὖσαν. εἴ τις οὖν τοῖς Θηβαίοις καὶ τοῖς Ὀλυνθίοις παρ' αὐτὴν τὴν ἅλωσιν τὰς περιόδους ταύτας *συναχθόμενος ἔλεγε· δοκοῦσιν ἄν μοι γελάσαι τὸν γράψαντα, καὶ τρόπον τινὰ αὐτῶν ὑπολαβεῖν ἀθλιώτερον. *ἀλλ' οὖν ἑτέρους ἁψόμεθα, τὸν αὐτὸν ἡγούμενοι σοφιστήν. δεινόν, τὴν χώραν ἄσπορον εἶναι, τὴν τοὺς σπαρτοὺς τεκοῦσαν. ἀλλ' οὐχ οὕτως ὁ Δημοσθένης, οὗ τὴν γνώμην οὗτος ἐπὶ τὸ χεῖρον μετέθηκε. γράφει δὲ δεινὸν μηλόβοτον γενέσθαι τὴν Ἀττικήν, ἣ πρώτη τοῖς ἄλλοις ἐξήνεγκε τὸν ἥμερον καρπόν. ὁ δὲ φήσας· δεινὸν εἶναι, τὴν γῆν ἄσπορον γενέσθαι, τὴν τοὺς καρποὺς τεκοῦσαν. ἐκ τῶν ὀνομάτων τὴν ἐναντίωσιν εἴληφεν, οὐκ ἐκ τοῦ πράγματος. διὸ καὶ ψυχρότητα ἐσχάτην ἐμφαίνει.

ὥσπερ

*al. διαλέγματος. al. οὐ. al. ἐμφάσεως. al. ἐξετάσει. al. εἰ μάλλον. al. ἑτοιμάσας & φάναι. al. οὐδὲν ὅ. al. ἐφαρμόσαι. al. ἐκβάλοι. al. ἐκκέκοπται. al. οὐκ ὡς ἕτερος. al. συναχθόμενος. al. ἄλλως & αὐτόν.

* al. Ἑρμησιάναξ. ὁ Νάξιος.

ὥσπερ καὶ * Ἑρμησιάναξ, ὁ τὴν Ἀθηνᾶν ἐγκωμιάσας οὕτως. ἐκ γὰρ τῆς τοῦ Διὸς γεγενημένη κεφαλῆς, εἰκότως ἔχει τῆς εὐδαιμονίας τὸ κεφάλαιον τοιοῦτον. καὶ τίς δ᾽ ἂν δύναιτο ποιῆσαι τὴν τοῦ Κύρου δόσιν ἄκυρον; καὶ τὸ διὰ τὸ ὅμοιον. τόπος δὲ πῶς γένοιτ᾽ ἂν ἄβατος, βάτου παρακειμένου; πάντα (φησὶν ὁ Ἀγαθαρχίδης) τὰ τοιαῦτα ἀδόκιμα· ἀλλ᾽ εἰ μὲν πρὸς ἔλεον * ὁμολογίαν λέγοι, ἐγγὺς τοῦ πρέποντός ἐστι· εἰ δὲ πρὸς πᾶσαν ἰδέαν λόγου, οὐκ ὀρθῶς τῇ κρίσει ἐπέβαλε. πλὴν, προστίθησι καὶ ἕτερα τῶν εἰρημένων ὅμοια, ὑπὸ τὴν αὐτὴν καὶ ταῦτα φέρων διαβολήν. οἷον· Θηβαῖοι ἐν τῇ μάχῃ τῇ πρὸς Μακεδόνας ὑπὲρ τοὺς μυρίους ἀνετράπησαν. ὢ καλῆς ἐμφάσεως· ἄνθρωποι τοσοῦτοι παραλόγως ἀνατετραμμένοι. καὶ πάλιν· τῆς μὲν πόλεως κατασκαφείσης, οἱ μὲν ἄνδρες παίδων * συμφορὰς ὑπομένουσιν· αἱ δὲ γυναῖκες μετήχθησαν εἰς Μακεδονίαν, τὴν πόλιν * θάψασαί τινα τρόπον. ἕτερον * ὅμοιον· ἡ δὲ φάλαγξ τῶν Μακεδόνων εἰσβιασαμένη τοῖς ὅπλοις ἐντὸς τείχους, τὴν πόλιν ἀπέκτεινεν. ἐκεῖ μὲν ταφὴ πόλεως, ἐνταῦθα δὲ θάνατος. λοιπὸν ἐκφορὰν δεῖ προσθέντας, ἐπιγράμματι χρήσασθαι· καὶ παντελὴς ἡ πρᾶξις· πλὴν τῆς μὲν τούτου κομψότητος, ἵνα μὴ μανίας εἰπὼν, πικρότερος φανῶ, διεληλύθαμέν φασι τὰ πλεῖστα. εἰσάγει δὲ μετὰ σαφηνείας καὶ τῆς πρεπούσης [λόγῳ] κοσμιότητος εἰς τὸν ὅμοιον εἰπόντας * τρόπον· Στρατοκλέα μὲν οὕτως· Ἀροῦται καὶ σπείρεται τὸ Θηβαίων ἄστυ, τῶν συναγωνισαμένων ὑμῖν τὸν πρὸς Φίλιππον πόλεμον. ἅμα (φησὶ) τὸ πάθος τῆς πόλεως ἐναργῶς ἐξέθηκε, καὶ τῆς τῶν ἠτυχηκότων φιλίας ὑπεμνήσθη. τὸ δυσὶν γὰρ εὐνοίᾳ παρατεθὲν, ἐμβριθεστέρους εἴωθε τοὺς οἴκτους ποιεῖν. μετὰ Στρατοκλέα ὁμοίως Αἰσχίνην εἰσάγει, λέγοντα· πόλις ἀστυγείτων ἐκ μέσης τῆς Ἑλλάδος ἠφάνισται. ἄριστα (φησὶ) τῆς μὲν ἀπωλείας τὸ τάχος τῇ μεταφορᾷ σημειώσας. τοὺς κινδύνους δὲ ἐφιστὰς ἐκ τοῦ τὸν πεπονθότα τοῖς ἀκούουσι δεικνύειν ὅμορον ὑπάρχοντα. ἀλλὰ γὰρ ὁ Δημοσθένης, φησὶ, μετενέγκας τοὺς λόγους ἐπὶ τὸν Ἀλέξανδρον, οὕτω δεδήλωκε· τὴν μὲν πόλιν ἐξώρυξεν ἐκ τῶν θεμελίων, ὥστε μηδὲ ἐπὶ ταῖς ἑστίαις καταλιπεῖν τὴν τέφραν. παῖδας δὲ καὶ γυναῖκας τῶν ἡγησαμένων τῆς Ἑλλάδος ἐπὶ τὰς σκηνὰς τῶν βαρβάρων διένειμε. πικρῶς καὶ σαφῶς, καὶ βραχέως * ἀφ᾽ ἑκάστου τῶν εἰδῶν εἰληφὼς τὴν ὑπερβολὴν, ὅμως τῆς διδασκούσης τὸ πρᾶγμα ἐναργείας οὐκ ἐπελάθετο. πάλιν ἐπ᾽ Ὀλυνθίων ὁ αὐτὸς ῥήτωρ· Ὄλυνθον δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν, καὶ δύο καὶ τριάκοντα πόλεις τῶν ἐπὶ Θρᾴκης, ἃς ἁπάσας οὕτως ὠμῶς ἀνῄρηκεν, ὥστε εἰ μηδὲ πώποτε ᾠκίσθησαν, ῥᾴδιον εἶναι προσελθόντας εἰπεῖν. ἐμφανίσας τὸ πλῆθος τῶν πόλεων, τῶν ἀνδρῶν τὴν συμφορὰν * ἐπέλαβεν, ὅπως ὁ πλεῖστος οἶκτος τοῦ παραδόξου τεθέντος, μᾶλλον τῶν ἀκροωμένων ἐκκαλέσηται τὸ πάθος· ταῦτα καὶ τοιαῦτα ἕτερα καὶ ἑτέρων εἰπὼν συγγραφέων· τὰ μὲν ἀποδέχεται, τὰ δὲ περὶ Ἡγησίαν, καὶ τὰ παρ᾽ ἐκείνου, παραγέγραφε).

* al. πρὸς ἔλεον ὁμολογίαν.
* συμφοράν.
* al. θάψασαι.
* al. ὅμοιον.
* al. ὅμοιον τρόπον.
* ἐφ᾽ M. M.
* al. ἐπέλαβεν.

AGATHARCHIDES. *Ermesian Naxius.*

Quemadmodum Ermesianax qui sic Athenas laudauit: Ex Iouis enim capite prognata, meritò tale habet caput felicitatis; & quis possit Cyri donationem ἄκυρον (nomini eius non respondentem) facere? Et simile hoc: *Hac via quomodo inuia est, via adiacente?* Talia omnia (inquit Agatharchides) sunt ab vsu remota: Sed si ad commiserationem mouendam dicta, non procul à decoro absunt. Sin de omni Idea accipit, iudicium non rectè tulit, nisi quod præter dicta id genus alia plurima congerit. Similiter criminatur & hæc, veluti: *Thebani in bello Macedonico plusquam mille strauerunt*: pulchra sane demonstratio: tot homines præter rationem occisi sunt. & iterum: *Vrbe deleta, viri quidem filiorum calamitates spectabant: mulieres autem in Macedoniam translata sunt, vrbem aliquo modo sepelientes.* Aliud simile: *Turma Macedonum vero irruens armis intra muros, vrbem vastauit, ibi quidem vrbis sepulchrum, hic verò mors.* Cæterùm oportet funeris elationem ponentes, epigrammate vti. & integra res est, nisi quod huius festiuitatis, ne dicens insaniæ acerbior videar, enarrauimus, inquiunt plurima. Introducit verò cum perspicuitate & ornatu qui debetur orationi, similia eloquentes. Stratoclem quidem sic: *Aratur iam & seritur Thebanorum ciuitas, qui nobiscum contra Philippum arma sumpserunt: simul* (inquit) *casum vrbis euidenter exposuit, & infelicium amicitiæ recordatus est. Duram enim beneuolentiæ appositum, maiorem solet commiserationem mouere.* Post Stratoclem similiter Æschinem inducit dicentem: *Vrbs contermina è media Græcia deleta est*, inquit, celeritatem excidij metaphorâ significans. Periculum verò inferens ex hoc; quòd ostendit pati eum qui finitimus est. Sed & Demosthenes, inquit, transferens sermonem suum, in Alexandrum sic ostendit: *Vrbem funditus euertit, vt ne cinerem quidem domuum reliquerit. Liberos verò & vxores Ducum Græciæ per tabernacula Barbarorum distribuit.* Acriter & clarè & breuiter de singulis speciebus vsus excessu, non oblitus fuit tamen rem docentis enargiæ. Rursum de Olynthiis idem orator, *Olynthum & Methonem & Apolloniam & duas & triginta vrbes Thraciæ, quas omnes ita crudeliter euertit, ac si nunquam condita fuissent, facile esse aduenientes dicere.* Ostendens enim vrbium multitudinem, virorum calamitatem comprehendit, vt plurima commiseratio posito inopinato, magis auditorum affectionem moueat. Hæc & id genus alia aliorum etiam scriptorum dicens, recipit quidem: Hegesiam vero, & ab ipso profecta reiicit.

CAP. IX. De præfecturis Ægypti, à Memphi ad Thebaidem vsque.

Ὅτι ἀπὸ τοῦ Μεμφιτῶν ἄστεος εἰς τὴν Θηβαΐδα πέντε εἰσὶ μεταξὺ νόμοι ἐθνῶν, ἔχοντες πολυανθρωποτάτην τάξιν. πρῶτος μὲν ὁ Ἡρακλεοπολίτης· δεύτερος ὁ Λυκοπολίτης· τρίτος ὁ Ὀξυρυγχίτης·

A Memphitarum vrbe in Thebaidem quinque gentium præfecturæ (Nomos appellant) interiacent; quarum populosus est ordo. I. Est Heracleopolitarum. II. Lycopolitarum. III. Oxyrinchitarum.

AGATHARCHIDES.

IV. Hermopolitarum. V. Alij Phylacam (custodiam,) alij Schediam (ratem) nominant. In hac rerum quæ ex superioribus terris importantur, exigunt & deponunt vectigal. Ei qui dicta hæc loca superat, principium Thebaidos est vrbs Lycum, id est, luporum. Inde alia vrbs Veneris. Et præter has Panon. Exin Thœnis. Et post hanc Bopos: sub qua vrbs Iouis, cognomento parua. A Thentyritarum, quam vocant præfectura, Apollinis nomine vrbs est, supra quam Coptus & porrò Elephantine. Tandem occurrit Æthiopum terra, & Cortia prima. Loca igitur à Memphi ad Æthiopiam præcipua hic sunt enumerata.

CAP. X. *Nilus. De marmoreis aureis metallis.*

PRope rubrum mare, quamuis diuerticula multa & anfractus faciat Nilus, insigniter tamen illuc deflectit, & ad dexterum riparum tractum magnam illam declinationem efficit, prolixúsq; è pelago in continentem sinus protenditur, ita vt quæ in medio est aquarum, salsæ & potabilis, diameter, instar limi copiosi in arctum cogatur. Ad mare igitur hoc, in propinquo sunt loca, vbi metalla (quæ * genuina vocitant) affatim proueniunt, colore quidem supra modum nigro, sed quæ talo intra se marmor producunt, vt nihil sit quod cum eo certet, dum candor nullam admittit comparationem.

* al. Aurea.

CAP. XI. *De pauperum afflictione in ergastulis aurifodinarum, deque modo aurum conficiendi.*

EXtremos illic & abiectæ sortis homines in aurifodinarum seruitutē acerbissimam tyrannis abducit: quorum alij cum vxoribus & liberis, alij etiam absque illis, ærumnas tolerant: quas cum tragice exaggerauit auctor, quòd ad summam calamitatem nihil reliqui sibi faciant, * modum exponit quo aurum illud elaborent. Montium illorum, vbi aurum reperitur, quæ prærupta sunt & asperam omnino naturam habent, lignis incendunt: cumque igni laxos & molles fecerunt, experimentum illis demum admouent. Tum quæ in petra emollita sunt ferro latomico in frusta scindunt. Præestque aliis artifex, qui lapidem diuidit. Qui postquam vias metalli indagatoribus ostendit, totum opus misellorum necessitati dispertit. Ad hunc modum robore & ætate integri, malleis ex ferro incisoriis locum marmore grauidum perfringunt, ictusque non arte sed viribus administratur, & plures per rupem cuniculos agunt, non quidem rectos: nam quandoque sursum, quandoque deorsum, nunc ad latus sinistrum, nunc in obliquum & transuersum, perinde vt arborum radices, lapis auro prægnans deuergit. Illi igitur lychnis ad frontes alligatis lapidem cædunt, candore eius, vt vena, deducti. Et vbi variis modis posita illis corpora efformarunt, in terram fragmenta deiiciunt, non pro sui roboris habitu, sed ad oculum præfecti, qui verbera ab increpatione non seiungit. Pueri autem impuberes, in cuniculos ab illis effossos irreptantes, etiam lapillos, de proiectis multo collectos labore, intra ostium deportant. Ab his porrò senes, & hominum inualidorum turba, lapidem transferunt, & translatum inspectoribus (qui Epoptei vocantur) exhibent.

* Locum.

τέταρτος, ὁ Ἑρμοπολίτης· πέμπτος, ὃν οἱ μὲν * φυλακήν, οἱ δὲ σχεδίαν καλοῦσιν. ἐν ταύτῃ τῶν ἄνωθεν καταγομένων εἰς πρᾶσιν τελωνοῦνται καὶ τιθέασι τὸ τέλος. τοὺς δὲ εἰρημένους ὑπερβάλλοντι τόπους, ἀρχὴ τῆς Θηβαΐδος ἡ λύκων πόλις. εἶτα Ἀφροδίτης ἄλλη. πρὸς δὲ τούτοις, Πανῶν. ἔπειτα * Θῶνις. μετὰ ταύτην, Βοπός· ὑφ' ἣν Διὸς πόλις, ἣν [ἣ] καλοῦσι μικράν. μετὰ δὲ τὸν προσαγορευόμενον Τεντυρίτην νόμον, Ἀπόλλωνος ὀνομάζεται πόλις· ἧς ἐπάνω μὲν Κοπτός, ἔπειτα Ἐλεφαντίνη, * εἶτα αἰθιόπων χώρα, Κορτία πρώτη. τὰ μὲν οὖν ἀπὸ Μέμφεως ἕως Αἰθιοπίας, εἴρηται.

* φυλακήν
* al. Θώνις.
* al. ὑπ'.

Ὅτι πλησίον τῆς ἐρυθρᾶς θαλάσσης, καθ' ἣν ὁ Νεῖλος πολλὰς ἐκτροπὰς καὶ διαφορὰς ποιούμενος, ὅμως ἐκεῖσε ἀποκάμπτει περιφανῶς, καὶ ποιεῖται κατὰ τὴν δεξιὰν ῥύσιν τῶν ἀγκώνων τὴν * κλίσιν μεγάλην, ἔκ τε τοῦ [μεγάλου] πελάγους κόλπος εἰς τὴν ἤπειρον ἀνατείνει) πολύς· ὥστε τὴν μεταξὺ διάμετρον τῶν ὑδάτων, τοῦ τε ἁλμυροῦ καὶ ποτίμου παραπλήσιον πηλοῦ πολλοῦ τὴν συστολὴν λαμβάνειν. κατὰ γοῦν τὴν εἰρημένην θάλατταν, πλησίον ἐστί τινα τῶν καλουμένων * χρυσίων πλῆθος ἔχοντα μετάλλων· τῇ χροιᾷ μὲν ὄντα καθ' ὑπερβολὴν μέλανα· μαρμάρου δὲ ποιοῦντα τοιαύτας ἐν ἑαυτοῖς ἐκφύσεις, ὥστε πᾶν λείπεσθαι τὸ διαμιλλώμενον, τῆς λευκότητος κρίσιν οὐκ ἐχούσης.

* μεγάλω ἀντὶ τοῦ H. St.
* χρυσίων H. St.

Ὅτι οὓς * ἐσχατόν (φησι) κατέχει ἀκλήρημα, τούτους ἡ τυραννὶς εἰς τὴν τῶν χρυσωρυχείων ἀπάγει πικροτάτην δουλείαν· τοὺς μέν, ἅμα γυναιξὶ καὶ παισὶ ταλαιπωρουμένους· τοὺς δὲ καὶ χωρὶς τῶν εἰρημένων. ὑπερβολὴν οὖν οὐδενὶ τὸ πάθος δυστυχήματι καταλιπεῖν ἐκτραγῳδήσας, [τὸν * τόπον ἀπαγγέλλει τῆς περὶ τὸ χρυσίον ἐργασίας.] τῶν ὀρῶν, φησιν, ἐν οἷς ὁ χρυσὸς εὑρίσκεται, τὰ μὲν ἀπότομα καὶ τελέως σκληρὰν ἔχοντα φύσιν, ἐμπρήσαντες ὕλῃ, καὶ * χαῦνα τῷ πυρὶ ποιήσαντες, οὕτως αὐτοῖς προσάγουσι τὴν πεῖραν· τὰ δὲ αἰρόμενα τῇ πέτρᾳ σιδήρῳ λατομικῷ κερματίζονται. καθηγεῖται δὲ τῶν ἄλλων τεχνίτης, ὁ τὸν λίθον διαιρῶν. ὅταν δὲ οὗτος τοῖς * μεταλλεύουσι τὰς ὁδοὺς ὑποδείξῃ, τὸ πᾶν ἔργον καταμερίζεται τῇ τῶν ἀτυχούντων ἀνάγκῃ. τοῦτον τὸν τρόπον οἱ μὲν εὔρωστοι καὶ νέοι τυπῖσι σιδηραῖς κόπτουσι τὴν χώραν τὴν μαρμαρίζουσαν, οὐ τέχνῃ τὴν πληγήν, ἀλλὰ βίᾳ· καὶ τέμνουσι διὰ τῆς πέτρας ὑπονόμους πλείονας οὐκ εὐθύς· * ἄλλοτε μὲν ἄνω τῆς χρυσίτιδος ἀποτεινούσης * λίθου, ποτὲ δὲ κατωτέρω· πάλιν δὲ εἰς τὴν εὐώνυμον κλίσιν· ἐνίοτε δὲ σκολιὰν καὶ διεστραμμένην, καὶ παραπλησίαν ταῖς τῶν δένδρων ῥίζαις. οὗτοι μὲν οὖν * λύχνους προσδεδεμένους τοῖς μετώποις ἔχοντες, λατομεύουσιν· ἀκολουθοῦντες οἷον φλεβὶ, τῷ λευκαντίζοντι· καὶ πολλαχῶς καταχηματίσαντες τῶν σωμάτων τὰς θέσεις, καταβάλλουσι τὰ * θραύσματα εἰς ἔδαφος, οὐ πρὸς τὴν ἰδίαν ἕξιν τε καὶ δύναμιν, ἀλλὰ πρὸς ὀφθαλμὸν ἐπιστάτου, πληγῆς τὴν ἐπιτίμησιν οὐδέ ποτε χωρίζοντος. οἱ δὲ ἄνηβοι παῖδες εἰς τοὺς ὑπὸ τούτων ὀρυχθέντας ὑπονόμους εἰσδυόμενοι, καὶ τὴν χάλικα τῶν ῥιπτουμένων * ἐπιπόνως συλλέγοντες, ἐκτὸς τῶν στομίων κομίζουσι· παρὰ δὲ τούτων οἵ τε πρεσβύτεροι καὶ τῶν ἀσθενῶν οἱ πολλοὶ τὸν λίθον μεταφέρουσι· μετακομίζουσι δὲ οὗτοι τοῖς * καλουμένοις * ἐποπτεῦσι.

* ἀλλ' ἔτι.
* al. λίθων
* λύχνοις.
* al. θραύσματα
* al. [illegible]
* χ[illegible] M. M.
* al. ἐποπτεῦσι

οἱ γὰρ

οἱ γὰρ ἐντὸς τῶν τριάκοντα ἐτῶν, καὶ τοῖς εἴδεσι καρτεροί, * ὅλμους λιθίνους * παρειληφότες ὑπέροις σιδηροῖς * πτίσσουσιν ἐπιστρεφῶς· καὶ ποιήσαντες τὸ μέγιστον ψῆφος ὀρόβῳ παραπλήσιον, πρὸς τὴν αὐτὴν ὥραν ἀπομετροῦσιν ἑτέροις. ἔπειτα δὲ ἐστὶν ὁ πόνος τῶν γυναικῶν, τῶν εἰς τὰς φυλακὰς συναπηγμένων ἀνδράσιν ἢ γονεῦσι. μύλοι γὰρ ἑξῆς πλείους βεβήκασιν, ἐφ' οὓς τὸν ἐπτισμένον ἐπιβάλλουσι λίθον· καὶ παραστᾶσαι τρεῖς ἑκατέρωθεν πρὸς τὴν μίαν * κώπην, οὕτως ἐζωσμέναι * δυσπρεπῶς, ὥστε * μόνην τὴν αἰσχύνην τοῦ σώματος κρύπτειν ἀλήθουσιν· ἀλήθουσι δὲ ἕως ὑπὸ τὸν τῆς σεμιδάλεως τόπον ἀχθῇ τὸ παραδοθὲν μέτρον. οὗτοι πάντες οἱ τὸν εἰρημένον τῆς τύχης κλῆρον ὑπελθόντες, ποθεινότερον ἔχουσι τοῦ βίου τὸν θάνατον. παρὰ δὲ τοῦ θήλεος γένους διαδέχονται μὲν τὸ κατειργασμένον, οἱ καλούμενοι σελλαγγεῖς· εἰσὶ δὲ οὗτοι τεχνῖται, πρὸς τὸ πέρας ἄγειν δυνάμενοι τὴν βασιλικὴν χρείαν. ἡ δὲ ἐργασία τοιαύτη· καταβάλλουσι τὴν ἀληλεσμένην μάρμαρον ἐπὶ σανίδος πλατείας μὲν καὶ κατεξυσμένης εἰς λειότητα ἱκανήν, οὐκ ἐν ὀρθῇ δὲ χώρᾳ βεβηκυίας, ἀλλὰ μικρὰν ἐχούσης ἐπίκλισιν. εἶτα * καταχέοντες ὕδωρ, τρίβουσι ταῖς χερσί, τὰ πρῶτα μὲν κούφως· ἔπειτα [δὲ] μᾶλλον. ὅθεν, οἶμαι, τὸ μὲν γεῶδες ἐκτηκόμενον, συναπορρεῖ κατὰ τὴν ἐπίνοιαν τοῦ σανιδώματος· τὸ δὲ * ἰσχυρὸν καὶ δυνατόν, ἐπὶ τοῦ ξύλου μένει ἀκίνητον. πολλάκις δὲ τοῖς ὕδασιν ἀποπλύνας ὁ καλούμενος * σελλαγγεύς, μεταλαμβάνει σπόγγους μαλακοὺς καὶ πυκνούς. οἷς ἐφαπτόμενος τῆς μαρμάρου κούφως, καὶ θλίβων ἐπὶ ποσόν· τὸ μὲν ἐλαφρὸν καὶ χαῦνον ἐμπλεκόμενον τοῖς ἀραιώμασιν ἀπὸ τοῦ σπόγγου ἀναφέρει καὶ ἐκρίπτει· τὸ δὲ ἐμβριθὲς καὶ στίλβον ἐπὶ τῆς σανίδος * ἀποκεκομμένον ἀπολείπεται, δυσκίνητον διὰ βάρος τῆς τοιαύτης φύσεως ὑποκειμένης. οὕτως οὖν ἔπειτα ὁ σελλαγγεύς, ἐκκαθάρας τὰ ψήγματα τοῦ χρυσοῦ, παραδίδωσι τοῖς ἑψηταῖς. οἱ δὲ, λαβόντες μέτρῳ τε καὶ σταθμῷ τὸ συνηγμένον, εἰς ἄγγος κεραμεοῦν ἐνέβαλον. καὶ μίξαντες κατὰ λόγον τοῦ πλήθους * μολίβδου βῶλον, καὶ χόνδρους ἁλῶν, καὶ κασσιτέρου βραχύ, καὶ κρίθινον πίτυρον· κἄπειτα ἐπιθέντες ἐπίθημα καλῶς ἡρμοσμένον, καὶ * πανταχόθεν χρίσαντες, * ἕψουσιν ἐν καμίνῳ πέντε ἡμέρας, καὶ τὰς ἴσας νύκτας, οὐδὲν διαλείποντες. τῇ δὲ ἐχομένῃ σύμμετρον τῇ πεπυρωμένῃ προσάγοντες ψύξιν, εἰς ἀγγεῖον κατήρασαν· ἄλλο μὲν τῶν συνεμβεβλημένων οὐδὲν εὑρίσκοντες, αὐτοὶ δὲ * τοῦ χρυσίου τὸ χῶμα, βραχεῖαν εἰληφὸς ἀπουσίαν ἀπὸ τοῦ ψήγματος. ἡ μὲν οὖν πρὸς τοῖς μετάλλοις ἀπώλεια τῶν πολλῶν σωμάτων πρὸς τὸ ῥηθὲν τέλος κομίζεται τὴν διέξοδον, σχεδὸν αὐτῆς τῆς φύσεως δεικνυούσης, ὅτι τοῦ χρυσίου συμβέβηκεν ὑπάρχειν καὶ τὴν γένεσιν ἐπίπονον, καὶ τὴν φυλακὴν σφαλερὰν, καὶ τὴν σπουδὴν μεγίστην, καὶ τὴν χρῆσιν, ἡδονῆς καὶ λύπης ἀνὰ μέσον κειμένην· τὴν τε ἐργασίαν τρόπον τινὰ τοῦ γένους ἀρχαιοτέραν. εὕρηται μὲν γὰρ ὑπὸ τῶν πρώτων τοῦ τόπου βασιλέων τῶν μετάλλων ἡ φύσις. διέλιπε δὲ ἐνεργοῦσα, ποτὲ μὲν αἰθιόπων ἐπὶ τὴν αἴγυπτον πλήθους συνελθόντος, καὶ πολλὰς τὰς πόλεις ἔτη φρουρήσαντος (ὑφ' ὧν τὰ μεμνόνεια συντετελέσθαι φασί) ποτὲ δὲ μήδων καὶ περσῶν ἐπικρατησάντων. εὑρίσκονται δὲ ἔτι καὶ καθ' ἡμᾶς ἐν τοῖς * χρυσείοις, τοῖς ὑπ' ἐκείνων κατασκευασθεῖσι,

* al. ἴσβοις
ὑπ. σιδηροῖς.
* al. πτίσσουσι.
* al. κώπην
* δυσπρεπῶς.
* μόνα.
* καταχέοντες.
* ἰσχυρὸν
* al. σπογγίζει.
* al. ἀποκεκαθαρμένον.
* μολίβδου
* πανταχόθεν H. St.
* al. ἕψουσι.
* τοῦτο χρυσίου. H. St.
* al. χρυσίοις.

Nam qui sunt intra xxx. annos & robore spectabiles, mortariis è saxo acceptis, pistillo enixè subigunt & pinsunt, vt maximum inde frustulum non excedat eruum. Tum eadem hora admetiuntur aliis. Labor hic est fœminarum, quæ vnà cum maritis aut parentibus in ergastula sunt abductæ. Plures enim ordine molæ agitantur, quibus pistum illum lapidem subiiciunt, & ternæ vtrinque ad vnum contusionis ictum adstantes, tam fœdo succinctu, vt sola corporis pudenda contegant, molendo incumbunt, & eò vsque molunt, dum tradita ipsis mensura similaginis ad modum redacta fuerit. His igitur vniuersis, qui eam fortunæ sortem tolerant, mors vita est optabilior. A fœmineo sexu puluerem ita subactum excipiút alij, quos Selangeos nominant. Artifices sunt illi, quorú in facultate est hoc regiæ vtilitatis opus ad finem perducere. Operatio ita se habet. Marmor ita commolitum in tabula effundunt, lata quidem & ad rectam [illegible]tionem polita, quæ tamen non recto incumbit loco, sed exiguam declinationem habet. In hac puluerem, affusa aqua, manibus terunt initio leuiter deinde pressius. Vnde opinor, terrestria eliquantur & ad tabulati nutum defluunt. Id autem quod validum est & aliquid pollet, in ligno subsistit immobile. Cum igitur crebrò aquis materiam eluit Selangeus, spongiis mollibus & densis marmor leuiter attrectat, & aliquando premens, quod leue est & laxum, fungositati implicatum, è cauerna extrahit & abiicit, quod verò graue est & splendet, in tabula secretum relinquit, quia propter grauitatem natura haud facile mobilis ei subest. Hoc igitur modo Selangeus postquam auri ramenta expurgauit: coctoribus transmittit: qui simul ac coactum illud ad mensuram & libram acceperunt, in vas immittunt fictile, & ad multitudinis proportionem bolum plumbi & salis grumos, pauxillúmque stanni & furfurem hordeaceum admiscent. Hinc imposito quod bene tegat operculo, & vndique circumlito, in fornace coquunt, dies v. & totidem noctes sine intermissione. Sequenti deinceps die, iusta materiæ vstulatæ refrigeratione adhibita, in vasculum aliud extrahunt, nihilque rerum simul iniectarum inueniunt, præter eandem auri massam iam conflatam, quæ à scobe pristina non multum deficit. Hæc itaque ad fodinas illas corporum multorum perditio, ad eum, quem dixi, finem exitum sortitur. ipsa propè natura demonstrãte, & generationem auri laboriosam, & custodiam lubricam, & sedulitatem maximam esse, vsúmq; in medio voluptatis & ægritudinis consistere. Elaboratio autem huius generis quodammodo antiquissima est. Nam à primis loci regibus inuenta est ea metalli natura. Desiitque in actu esse tum, quando Æthiopum olim agmen Ægyptum incursauit, & multis annis vrbes custoditas præsidiis suis tenuit, à quibus etiam Memnonia esse perfecta memorant, tum quando Medi & Persæ rerum potiebantur. Et reperiuntur etiam tempestate nostra in aurifodinis illorum manu factis,

AGATHARCHIDES.

mallei incisorij ex ære (qui temporibus illis ferri vsus admodum exiguus erat) & ossa hominum incredibili multitudine: proptereaque non pauci in cuniculis illis laxis & crustaceis (vt fieri probabile est) opprimebatur. Tanta fodinarum magnitudo est, & obliqua profunditate ad mare ipsum pertingunt.

CAP. XII. De variis Æthiopum infra Ægyptum. Deque gente quæ solis piscibus vescitur: & quomodo eos capiat, inque cibū vertat.

AD Australem Ægypti plagam IV. sunt hominum nationes maximæ. prima fluuiis adiuncta, quæ sesamum & milium serit. II. Quæ paludes accolit, calamúmque & syluulam teneriorem carpit. III. Quæ temere huc illuc oberrat, carnibúsque & lacte vitam traducit. IV. Ex littoribus maris egressa piscium venationi dat operam. Hoc genus nec vrbes habet, nec regiones, nec vllum apparatus artificiosi rudimentum. Est inter cætera, vt quidam asseuerant, maximum. Nam ab Autæis, qui ad extremum recessum, vasto inclusum mari, ad Indiam & Gedrosiam & * Germaniam & Persas, insulásque memoratis gentibus subiectas vsque habitant, Ichthyophagi (homines ex piscibus victitantes) vbique domicilia sua habent: qui nudo, tam fœminæ quam viri, sunt corpore, & communem sobolis procreationem habent. Naturali quidem voluptatis & molestiæ cognitione: sed turpium & honestorum nec minima præditi notitia. His loca maris proxima ad vitam sustentandam cuncta sunt aliena. Consimiliter etiam quæ magnis littoribus adiacent. Nec enim piscis, nec alterius generis capturæ obnoxij, continens illic venationem præbet vberiorem. Habitacula autem cunctis exposita sunt ad crepidines, & cauitates habent profundas, conuallésque inæquales, & angustiora æstuaria, atque diuerticula obliqua, quorum situs cum ad vsus aptè congruat, rudes alicundè lapides sublatos in lacunas demittunt. Quando igitur æstus pelagi terræ se infert (quod bis fit vno quoque die, circiter horam nonam & tertiam) mare totum cooperit dorsum, vi secum adducens, ex gurgite ad litus, etiam pisces non paucos, qui in maritima interim ora manent, pastus gratia circa recessus illos & cauernas dispaciantes. Cum vere æstus maris retrofugit, humor equidem per lapides & fossas ad humiliora & vergentia loca refluit, at pisces in cauitatibus relicti paratam ichthyophagis venationem & alimoniam sufficiunt. Alij quidem pisces, vt dixi, facili certamine subiguntur. At cum sors offert canes & Phocas maiores & scorpios murænásque, & id genus cuncta, conflictus fit, non sine periculo. Quotquot vero ceperunt, in feruidas ad meridiem petras conijciunt. Nec longum in medio tempus, cum eodem se vniuersi referunt, & tota agitata mole, carnosa tum pars excidit, feruore quem diximus emollita. Spinam vero illi coaceruant, vnde & ex longinquo vastæ magnitudinis tumuli conspiciuntur. Tum carnes, in planū aliquod saxū collectas, ad tempus non mediocre impensè calcāt, etiam paliuri admixto semine.

* Forte legendum est Carmaniam.

λατομίδες μὲν χαλκαῖ, διὰ τὸ μή * που τοῦ σιδήρου κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐγνωσμένης χρείας. ὀστᾶ δὲ ἀνθρώπων ἄπιστα τῷ πλήθει, πτωμάτων (ὅπερ εἰκὸς * γίνεσθαι) οὐκ ὀλίγων ἐν τοῖς χαύνοις καὶ πλακώδεσιν ὑπονόμοις γινομένων. τηλικαῦτα δὲ ὀρυγμάτων μεγέθη, καὶ διατείνονται βάθεσιν ἐπικαρσίοις ἐπ᾽ αὐτὴν τὴν θάλατταν.

* al. πο-
* al. γίνεσθαι.

ΟΤι περὶ τὴν νότιον τῆς αἰγύπτου κλίσιν, τέσσαρά ἐστι φῦλα τὰ μέγιστα· τὸ μὲν, τοῖς ποταμοῖς παρεζευγμένον, ὃ σπείρει σήσαμον καὶ κέγχρον· τὸ δὲ, περὶ τὰς λίμνας οἰκοῦν, ὃ τοῦ καλάμου καὶ τῆς ὕλης ἅπτεται τῆς ἁπαλῆς· τὸ δὲ, εἰκῇ πλανώμενον, ὃ σαρκὶ καὶ γάλακτι παραπέμπει τὸν βίον· τὸ δὲ ἐκ τῆς παραλίας ὁρμώμενον, τοὺς * ἰχθῦς ἀγρεῦον· τοῦτο δὲ τὸ γένος ἔχει μὲν οὔτε πόλεις, οὔτε χώρας, οὔτ᾽ ἄλλης ἐντέχνου κατασκευῆς ὑπογραφὴν οὐδὲ μίαν· ἔστι δὲ τῶν ὑπολοίπων, ὥς ἔνιοί φασι, μέγιστον. ἀπὸ γὰρ αὐταίων, οἳ τὸν ἔσχατον [μυχὸν] κατοικοῦσιν, ὃν τῇ μεγάλῃ συμβέβηκε περικλείεσθαι θαλάττῃ, μέχρι τῆς ἰνδικῆς καὶ γεδρωσίας, ἔτι δὲ γερμανίας καὶ περσῶν, καὶ τῶν τοῖς εἰρημένοις γένεσιν ὑποκειμένων νήσων, ἰχθυοφάγοι πάντη κατοικοῦσι· γυμνοὶ μὲν ὄντες αὐτοὶ, γυμνὰς δὲ ἔχοντες τὰς γυναῖκας, κοινὴν δὲ τέκνων φύσιν. ἔτι δὲ ἡδονῆς μὲν καὶ πόνου φυσικὴν ἔχοντες γνῶσιν, αἰσχρῶν δὲ καὶ καλῶν, οὐδὲ τὴν ἐλαχίστην εἰσφερόμενοι ἔννοιαν. τούτοις δὲ τὰ μὲν ἀγχιβαθῆ πάντ᾽ ἐστὶ πρὸς τὸν βίον ἀλλότρια, παραπλησίως δὲ τὰ παρακείμενα μακροῖς ᾐόσι. θήραν γὰρ οὔτε ἰχθύος, οὔτ᾽ ἄλλου γένους ὁμοιοπαθοῦς ἁδροτέραν παραδίδωσιν ἡ τοιάδε χέρσος. αἱ δὲ οἰκήσεις πᾶσιν ἔγκεινται τοῖς εἰρημένοις περὶ τὰς ῥαχίας· αἳ καὶ κοιλάδας βαθείας ἔχουσι, καὶ φάραγγας ἀνωμάλους, καὶ * στενοὺς αὐλῶνας, καὶ σκολιὰς ἐκτροπάς. ὧν πρὸς τὴν χρείαν ὑποκειμένων οἰκείως, ἀναθέμενοι πέτρους αὐτοφυεῖς ἐπὶ τῆς κοιλίας οἱονεί τινας ἀρσιούς. ὅταν οὖν ἐκ πελάγους ἡ πλημμυρὶς ἐπὶ τὴν χέρσον φέρηται (ὃ ποιεῖ δὶς ἑκάστης ἡμέρας, περὶ ὥραν ἐννάτην τε καὶ τρίτην) ἡ μὲν θάλαττα πᾶσαν τὴν ῥαχίαν ἐπικαλύπτει, συναπάγουσα ἐκ τοῦ * πόρου πρὸς τὴν * ἠόνα βίᾳ καὶ τῶν ἰχθύων οὐκ ὀλίγους, οἳ τέως μὲν ἐν τῇ παραλίᾳ μένουσι, νομῆς χάριν πλανώμενοι περὶ τὰς ὑποδύσεις. ἐπὰν δὲ αὖθις ἀναδύῃ τὸ τῆς ἀμπώτεως, τὸ μὲν ὑγρὸν διὰ τῶν λίθων καὶ τῶν φαράγγων ἀπορρεῖ εἰς τὴν ἐπιφορὰν καὶ καταπίζοντα τόπον· οἱ δὲ ἰχθύες ἐν τοῖς κοιλώμασιν ὑπολειπόμενοι, ἕτοιμον θήραμα καὶ τροφὴ γίνονται τοῖς ἰχθυοφάγοις. ἀλλ᾽ οἱ μὲν ἄλλοι ἰχθύες (ὡς ἔφημεν) ἀπόνως καταγωνίζονται· ἐπὰν * δὲ ἐμπέσωσι κύνες τε καὶ φῶκαι μείζους, καὶ σκορπίοι, * σμύραιναί τε, καὶ πᾶν τὸ τοιοῦτον γένος, μετὰ κινδύνων ἡ συμπλοκὴ γίνεται. ὅταν δὲ θηρεύσωσιν ὅσους δή ποτ᾽ * οὖν, μετενέγκαντες ἐπὶ τὰς πέτρας τὰς κειμένας πρὸς μεσημβρίαν, οὔσας διαπύρους, ταύτας δὲ ἐπέρριψαν· χρόνον δὲ οὐ πολὺν ἐάσαντες, στρέφουσιν ἐπὶ τοὔμπαλιν ἅπαντας. εἶθ᾽ ὅταν λάβωνται τῆς οὐρᾶς, καὶ τὸν ὅλον ὄγκον σείσωσιν, ἐκ ταύτης ὁ μὲν σαρκώδης τόπος ἅπας ἐκπίπτει θρυπτόμενος διὰ τὴν εἰρημένην θερμασίαν· τὴν δὲ ἄκανθαν σωρεύουσιν αὐτοί, ἀφ᾽ ἧς ἐκ πλείονος τόπου κολωνοὶ παμμεγέθεις ὁρῶνται. τὴν δὲ σάρκα τῶν ἰχθύων εἰς * λεωπετρίαν συναγαγόντες, πατοῦσιν ἐκτενῶς ἐπὶ χρόνον οὐκ ὀλίγον· καὶ μίξαντες τὸν * καρπὸν τοῦ παλιούρου (τούτου

* al. ἰχθύων.
* στενάς.
* πόντου.
* ἠιόνα.
* διαπέσωσι.
* al. ἢ σμύραιναι, καὶ πᾶν τό.
* al. οὖν.
* λειοπετρίαν.
* σπέρμα.

* εἰσάπαν πολύ. (τούτῳ γὰρ συμμιχθέντες κολλῶσι) εἰς μὲν *τὸ παράπολυ μᾶλλον γίνεται), δοκεῖ δ' οἷον ἡδύσματος ἢ παρεμπλοκῆς τάξιν ἔχειν. ἐπὰν δ' ἱκανὸν χρόνον τοῖς ποσὶ δεψήσωσι, πλινθίδας παραμήκεις *διαπλάσαντες πάλιν εἰς τὸν ἥλιον τιθέασιν. ὧν ξηρασίαν λαβουσῶν, καθίσαντες δειπνοῦσι πάντες, οὐ πρὸς μέτρον καὶ σταθμὸν, ἀλλὰ πρὸς τὴν ἑκάστου βούλησιν καὶ χάριν.

* al. πτώσαντες

Ὅτι πρὸς τοὺς αἰφνιδίους χειμῶνας, οἳ τὴν ἀπὸ τῶν ἰχθύων αὐτοῖς θήραν ἀφαιροῦνται, τοιόνδε τι μηχανῶνται· πλανώμενοι παρὰ πᾶσαν τὴν πλησίον παραλίαν, κόγχους συνάγουσι (μέγιστοι δὲ τυγχάνουσιν, ὥστε τοῖς μὴ *εἰδόσιν, ἄπιστον αὐτοῖς τὸ μέγεθος τῆς ὑπερβολῆς εἶναι) ὧν τὸ κρέας ὠμὸν, τῆς ἐνδείας ἀναπλήρωσιν κατ' ἐκεῖνο καιροῦ ἔχουσι. τῆς δὲ χρείας τῆς ἀπὸ τῶν ἰχθύων ἔτι τούτοις παραμενούσης, τοὺς εἰρημένους κόγχους συλλέγουσι· καὶ τούτοις φύκει τε προσφάτῳ καὶ ἰχθύων τῶν ἐλαττόνων κεφαλαῖς ἐν ὀρύγμασι καθεθέντες, διατρέφουσι· τῆς δὲ ἐνδείας αὐτοὺς καταλαβούσης, ταῦτα (ὡς εἴρηται) ποιοῦνται σίτησιν. εἰ δέ ποθ' ἑκατέρα αὐτοῖς σίτησις ἐπιλείψει, ἀπὸ παντὸς τῶν ἀκανθῶν σωροῦ τὰς ἐγχύμους αὐτῶν καὶ προσφάτους ἐπιλέγοντες, ἀφαιροῦσι κατ' ἄρθρον. κἄπειτα τὰς μὲν κόπτοντες ἐπὶ πετρώδους τόπου, τὰς δὲ κατεργαζόμενοι διὰ τῶν ὀδόντων, τοῖς φωλεύουσι τῶν θηρίων τὴν αὐτὴν διάθεσιν λαμβάνουσι. ποτῷ δὲ πολὺ θαυμασιωτέρῳ χρῶνται. ἐπὶ μὲν γὰρ τέτταρας ἡμέρας πρὸς ταῖς θήραις γίνονται, καὶ πρὸς ᾠδαῖς ἀνάρθροις, καὶ πρὸς ταῖς συνουσίαις ταῖς παιδιᾶς χάριν γινομέναις· ὑπ' οὐδενὸς περισπώμενοι, διὰ τὴν εὐκοπίαν τῆς τροφῆς. τῆς δὲ πέμπτης *ἐπιλαβούσης, ὁρμῶσιν εἰς τὴν ὑπώρειαν, ποτοῦ χάριν, εἰς τὰς συῤῥύσεις τῶν νομάδων, πρὸς ἃς καὶ τὰ κτήνη ποτίζουσιν. ἑσπέριος δ' ἡ πορεία γίνεται. καταλύσαντες δ' εἰς τὰς ποτίστρας τῶν νομάδων, τὸ κοίλωμα κύκλῳ περιΐστανται. εἶτ' ἀπερεισάμενοι τὰς χεῖρας εἰς τὴν γῆν, καὶ θέντες τὰ γόνατα, *βοηδὸν πίνουσιν· οὐ πρὸς μίαν ἀναπνοῆς ὁρμὴν, ἀλλὰ πολλάκις αὑτοὺς ἀναπαύοντες. πληρώσαντες δὲ τὰς κοιλίας τῶν ὑγρῶν καθάπερ ἀγγεῖα, πρὸς θάλατταν μόλις ἀποχωροῦσιν. εἶτα ἐπανελθόντες, ἐκείνην μὲν τὴν ἡμέραν ἕκαστος οὔτε ἰχθύος οὔτε ἄλλου τινὸς γεύεται, κεῖται δ' ὑπέρογκος καὶ δυσπνοῶν, ὥστε εἶναι τρόπον τινὰ παραπλήσιον τῷ μεθύοντι τὸ βάρος. ἀπὸ δὲ τῆς ἐχομένης, ἐπὶ τὴν εἰρημένην δίαιταν ἐπανάγει· καὶ τοῦτο κύκλῳ διὰ βίου γίνεται, πρὸς ἀσχολίαν καὶ μέριμναν οὐδενὸς ἀποβλεπόντων αὐτῶν περίσπασμα. καὶ νοσήμασι μὲν, διὰ τὴν ἁπλότητα τῆς διαίτης, σπανίοις περιπίπτουσι. τοσοῦτον δ' ἀφαιροῦσιν ἀπὸ τοῦ χρόνου τῶν ἐτῶν, *ὅσῳπερ ἀπονωτέραν τῶν λοιπῶν ἔχουσι τὴν ἀναστροφήν.

* ἰδῶσι.

* Ἐπιβαλούσης H. St.

* al. βαθὺν.

* al. ὥσπερ.

Ἀλλ' οἱ μὲν ἐντὸς τῶν στενῶν τὰς οἰκήσεις ἔχοντες ἰχθυοφάγοι, οὕτως καταζῶνται· οἱ δὲ τὴν ἐκτὸς παραλίαν κεκτημένοι, ἄγρας μὲν ἐνδελεχοῦς (τοιαύτης) εὐποροῦσιν, ὑγροῦ δ' ἁπλῶς οὐ δέονται. προσενεγκάμενοι δὲ τὸν ἰχθὺν ἔγχυλον, ὥστε μικρὸν εἶναι τῶν αὐτῶν τὴν παραλλαγήν· οὐχ' οἷον ποτὸν ἐπιζητοῦσιν, ἀλλ' οὐδὲ ἔννοιαν ἔχουσι τοῦ γένους. φέρουσι δ' ἀλύπως ἅπερ αὐτοῖς ἀπ' ἀρχῆς ἡ τύχη παραδίδωσι.

AGATHARCHIDES.

Huius enim ceu glutinis admistione in solidam massam longè magis coalescunt. Videtur autem condimenti aut infarti vicem præstare. Tandem vbi satis diu pedibus subegerunt, laterculos inde formatos ad solem denuò exponunt. Quibus siccitatem adeptis, discumbentes quotquot sunt vna epulantur, non ad mensuram & pondus, sed ad cuiusque arbitrium & voluptatem.

CAP. XIII. Vt cenchas venentur Ichthyophagi & potum exeant.

Contra hyemes repentinas, quæ piscium venationem eis intercipiunt, tale quippiam machinantur. Vagantes per totam viciniæ littoralis oram conchas (quæ ibi sunt maximæ, vt magnitudinis excessus his qui non viderunt sit incredibilis) colligunt: nudisque harum carnibus in illa temporis difficultate indigentiam compensant & explent. Quinimo dum adhuc piscium illis copia suppetit, conchas illas colligunt, easque recenti alga & piscium minorum capitulis, fossis demersas, nutriunt. Et postea egestate correpti, in cibum, (vt dictum est) eas vertunt. Quod si vterque illos cibus defecerit, ex vniuerso spinarum aceruo recentes, & adhuc succi plenas seligunt, & articulatim inde sublatas, partim in saxoso alicubi comminuunt loco, partim dentibus conficiunt, bestiarum quæ in latibulis versantur morem & ingenium repræsentantes. Potu autē longè mirabiliore vtuntur. Ad quatuor enim dies piscationi, & cantilenis sanè inconditis, & sodalitiis, ludi gratia institutis, vacant, nulla re distracti: propter summam alimenti parandi facultatem. Sed imminente iam die quinto, in regionem montibus subiectam, potus causa exeunt, ad Nomadum (pastorum) riuos, quo pecora sua potum agunt. Profectio autem illa fit tempore vespertino. Proinde cum ad aquaria Nomadum diuerterunt, lacum in orbem circumstant. Postea manibus humo connixis, & flexis genibus, boum more bibunt, non vno respirationis impetu, sed crebro interquiescendo. Sic vbi ceu dolia ventres liquore impleuerunt, ad mare difficulter inde abscedunt. Postride quam deuentum est eo, neque de pisce, neque de re alia quisquam gustat. Sed plenus supra modum & difficulter anhelans quisque recubat, ebrio quadamtenus, grauedine scilicet, assimilis. Insequente demum die ad consuetam victus rationem reditur. Hoc, velut orbis circumrotati vicibus, per totam agitant vitam, nemine ex ipsis ad occupationem aut curam negotij respiciente. In morbos propter victus simplicitatem raros incidunt: tantumque de numero annorum auferunt, quanto magis quam cæteri absque laboribus ætatem agunt. Ad hunc itaque modum, qui intra fauces & locorum angustias sedes habent, Ichthyophagi vitam degunt.

CAP. XIV. De Ichthyophagis non sitientibus.

At qui exteriorem sibi oram vendicāt, piscatu huiusmodi abundāt perpetuo. Humore autem prorsus non habent opus. Quando enim piscem adhuc succulentum comederunt, non modo potum non requirunt, sed nec generis huius notitiam aut cogitationem habent, animisque tranquillis ferunt quæcunque ab initio fortuna eis tradidit.

AGATHARCHIDES. CAP. XV. De Apathia Ichthyophagorum quorundam.

IN locis ante dictis versantes, nec maximorum (vt inter nos habentur) malorum communem nobiscum notionem & sensum habent. Nec enim ferrum contra se strictum & intentatum refugiunt, nec contumelia iniuriáue irritantur, nec integri aduersis casibus adfectorum vicem dolent, sed si tale quippiam ab alienigenis circa eos contingit, intentis quidem oculis ad factum respiciunt, & crebros dant nutus capitibus, at eorum quæ homo circa hominem facere solet, ne minimam quidem animaduersionem produnt. Vnde mihi (inquit auctor) ne signum quidem notitiæ certum habere, sed adsuefactione, & nutu, sonisque ac imitatrice significatione, cuncta in vita administrare videntur.

Ὅτι τοὺς ἐν τοῖς εἰρημένοις τόποις οἰκοῦντας (φησὶ πρὸς τοῖς εἰρημένοις) ἔτι μηδὲ πρὸς τὰ μέγιστα τῶν παρ' ἡμῖν δεινῶν ὁμοίαν ἡμῖν ἔχειν τὴν ἔννοιαν. οὔτε γὰρ σίδηρον κατ' αὐτῶν ἐγειρόμενον φεύγειν, οὔτε προπηλακισμοῖς ἐρεθίζεσθαι. οὔτε τοὺς μὴ πάσχοντας τοῖς πάσχουσι συναγανακτεῖν· ἀλλ' εἴ τι γίνοιτο περὶ αὐτοὺς ἐξ ἀλλοφύλων τοιοῦτον, βλέπουσι μὲν * ὅτι ἀτενῶς εἰς τὸ γενόμενον, καὶ τὰς κεφαλὰς * πυκνὰ διανεύουσι· τῶν δὲ εἰθισμένων ἀνθρώποις πρὸς * ἀνθρώπους, οὐδὲ τὴν ἐλαχίστην διδόασιν ἔννοιαν. ὅθεν (φησὶν ὁ συγγραφεύς) ἔγωγε νομίζω, μηδὲ χαρακτῆρα διάγνωστον ἔχειν αὐτούς, ἐθισμῷ δὲ καὶ νεύματι, ἤχοις τε καὶ μιμητικῇ δηλώσει, διοικεῖν πάντα τὰ πρὸς τὸν βίον.

Ὅτι ἕνεκεν οὗ ἐν ἰσῳ παρ' ἡμῖν δεινῶν μηδὲ τὴν ἔννοιαν ἔχουσι.

* ὅτι ἀτενῶς H. St.

* πυκνὰ H. St.

* ἀλλήλους.

De non sitientibus Ichthyophagis & de Phocis rarum quid.

Περὶ τῶν ἀδίψων ἰχθυοφάγων, καὶ τῶν φωκῶν, ξένον.

CAP. XVI. Amicitia Ichthyophagorum cum Phocis.

ICHTHYOPHAGIS (quos non sitire fama est) finitimi, ceu inuiolabile sancitum eis fœdus sit cum phocis, nec ipsi phocas lædunt, nec ab illis nocumento adficiuntur: imò etiam prædas inter se venatori integras, & insidiarum immunes, vtrúmque genus custodit, & ita mutuam inter se consuetudinem habent, vt vix homines, qui cum hominibus ita conuictum agant, inueniantur.

Ὅτι, φησί, πλησίον τῶν ἀδίψων ἰχθυοφάγων οἱ κατοικοῦντες, ὥσπερ * ἀβάτων σπονδῶν μεταξὺ * τεθέντων αὐτῶν τε καὶ τῶν φωκῶν, οὔτε αὐτοὶ τὰς φώκας σίνονται, οὐδ' ὑπ' ἐκείνων οὔτι βλάπτονται· ἀλλὰ καὶ ἀλλήλων θήρας ἀνεπιβουλεύτους τῷ θηρεύσαντι ἑκάτερον γένος συντηρεῖ· καὶ συναναστρέφονται οὕτως ἀλλήλοις, ὡς μόλις ἂν εὑρεθεῖεν πρὸς ἀνθρώπους συμβιοῦντες ἄνθρωποι.

* al. ζ. ἐπι.

* ἀπαραβάτων

* τεθειμένων H. S.

CAP. XVII. Habitacula Ichthyophagorum & funeratio.

PARS Ichthyophagûm pro tabernaculis habent specus, non conuersos ad meridiem, propter immodicum æstum, sed in plagam contrariam auersos. Pars sub costis piscium, quibus algæ insternuntur, degunt. Alij vertices oliuarum inter se connexos pro domiciliis vsurpant. Id autem genus oliuæ fructum edit nuci castaneæ persimilem. Quarta gens Ichthyophagûm talem habitandi consuetudinem habet. Immensus arenæ cumulus ex omni æuo congestus est, instar montis. Isque totus à fluctu perpetuo alluente condensatur, vt à mole aliqua generis & naturæ vnius, propter arenæ concretionem nihil differat. Hinc cuniculis ad longitudinem viri actis, quæ in fastigio sunt, indurescere & tecti vsum præbere sinunt, propter quam dixi connexionem: sed in pauimento inferiori oblongos ducunt meatus vndique inter sese perforatos. In his, aliquatenus ad penetralia vento exposita luce admissa, quietem capiunt. Si quando autem maris inundatio oritur, prædam, quo diximus modo, ex piscatione acquirunt. Nec vlla sane morientes cura dignantur, cum mens illorum misericordia (quam opinio gignit) non afficiatur. Ideo proiectos iacere sinunt, donec reciprocatio æstus oborta in mare illos, escam piscibus, abstulerit.

Ὅτι τῶν ἰχθυοφάγων, φησίν, οἱ μὲν σκηνοῦσιν ἐν τοῖς σπηλαίοις, οὐ τετραμμένοις πρὸς μεσημβρίαν, διὰ τὸ πνιγῶδες, ἀλλὰ τοῖς ἀπεστραμμένοις αὐτήν, χρῶνται· οἱ δὲ ὑπὸ ταῖς τῶν ἰχθύων πλευραῖς, φυκία * ἐπιβάλλοντες αὐτοῖς· οἱ δὲ τὰς τῶν ἐλαιῶν κορυφὰς ἀλλήλαις συνάπτοντες, οὕτω χρῶνται σκηνώμασι. τὴν δὲ τοιαύτην ἐλαίαν καρπὸν φέρειν φησὶ κασταναϊκῷ καρύῳ προσεμφερῆ. τὸ δὲ τέταρτον τῶν ἰχθυοφάγων γένος, τὴν οἴκησιν ἔχει τοιαύτην. ἄμμου φορτὸς * ἄπλετος ἐκ τοῦ παντὸς αἰῶνος, ὄρει παραπλήσιος. σεσώρευται καὶ τοῦτο ὑπὸ τοῦ προσβάλλοντος ἀεὶ κύματος πυκνὸν * πεπιλωμένος, ὥστε ὁμογενοῦς ὄγκου καὶ μίαν φύσιν ἔχοντος, διὰ τὴν μίξιν καὶ συμπλοκὴν τῆς ἄμμου, μηδὲν παραλλάσσειν. εἶτα ὑπονόμους αὐτοῖς ἀνδρομήκεις ὀρύττουσι· τὸν μὲν κατὰ κορυφὴν ὄγκον ἐῶντες ἰσχυρῶς ἐπιστέγειν διὰ τὴν εἰρημένην συνδίωσιν, ἐκ δὲ τοῦ κάτωθεν ἐδάφους παραμήκεις αὐλῶνας * κατασκευαζόμενοι πρὸς ἀλλήλους πάντοθεν συντετρημένους, ἐν οἷς τέως μέν τινα τὰ πρὸς τὸν ἄνεμον φωτίσαντες, ἄγουσιν ἡσυχίαν. ἐὰν δὲ πλημμυρὶς * ἐπέλθῃ, τὰ πρὸς τὴν ἄγραν (ὡς καὶ προείρηται) παρασκευάζονται. τοὺς μέν τοι γε τελευτῶντας αὐτῶν οὐδεμιᾶς ἀξιοῦσι προνοίας. ἅτε πάθη πρὸς τὴν ἐκ δόξης ἔλεον κεκτημένοι τῆς γνώμης· διὸ καὶ καίτοι ἐρριμμένους ἐῶσιν, ἕως ἂν ἀμπώτις ἐπιγινομένη, βορὰν εἰς τὴν θάλασσαν κομίσῃ τούτους τοῖς ἰχθύσιν.

* ἐπιβάλλοντες.

* ἐκτεθειμένος.

* περιπεφραγμένος.

* κατασκευάζοντες.

* al. ἐπέλθῃ.

CAP. XVIII. Indi quidam sponte nati, seu terrigenæ.

NONNVLLI [Indorum,] qui ex mari victitant, cû aliis etiam hoc multo insolentius habent, & quod in rationis fidem non facile cadit. Nam vnde aut quomodo in locû, vbi nûc versantur, peruenerint, cognitione assequi nô licet. Siquidem ardua & prærupta eis petra ceu iugo continuo impendet, & præcipitia montium ex obliquo transitus adimunt, & pelagus omnê ex aduerso continentê disterminat,

Ὅτι, φησίν, ἐνίους τῶν ἀπὸ τῆς θαλάττης σιτουμένων, μετὰ τῶν ἄλλων, καὶ τοῦτο ἔχειν παραδοξότερον, καὶ εἰς λογικὴν * καταχώρησιν πίστιν οὐ ῥᾴδιον. οὔτε γὰρ πόθεν εἰς τὸν χῶρον, ἐν ᾧ οἰκοῦσιν, * ἀφῖκον, ἔστιν ἐπιγνῶναι· ὅτι ὅπως λισσὰς μὲν πέτρας ἄνωθεν ἐπεζευγμένας, ἐκ πλαγίου δὲ κρημνῶν ἀφαιρουμένων τὰς παρόδους, τὴν δὲ ἀπέναντι πᾶσαν ὁρίζοντος

* συγχωρεῖν M. M.

* ἀφίκοντο

ὁ καὶ

ὃ καὶ πεζῇ μὲν ἐλθεῖν παντελῶς (ὡς εἶπον) ἀδύνατον, *σχεδίαις δὲ ὁμοίως ἄπορα, τῶν παρ' ἡμῖν ἐξ ἴσου ἀπόρων. τούτων δ' ὑφεστώτων, φησί, λοιπὸν εἶναι ὡς αὐθιγενεῖς εἰσι, *λήμην τοῦ σπόρου ἀπείρατοι οὐ λαβόντες, ἀεὶ δ' ὑπάρχοντες· ὃν τρόπον ἔνιοι τῶν καλουμένων ἀφωρίσαντο φυσικῶν.

* al. σχεδίαις.
* al. μνήμην.

Ὅτι τῶν στενῶν ἐπέκεινα, φησί, τῶν συγκλειόντων τήν τε Ἀραβίαν καὶ τὴν ἀπέναντι χώραν, νῆσοι κεῖνται σποράδες, ταπειναὶ πᾶσαι, μικραὶ τῷ μεγέθει, τὸ πλῆθος ἀμύθητοι, καρπὸν οὐδένα φύουσαι πρὸς τὸν βίον, οὔτε ἥμερον, οὔτε ἄγριον· ἀπέχουσαι μὲν τῆς εἰρημένης ἠπείρου σταδίους ὡς ἑβδομήκοντα, τετραμμέναι δὲ πρὸς τὸ δοκοῦν πέλαγος, παρεκτείνει τὴν Ἰνδικὴν καὶ *Γεδρωσίαν. ἐνταῦθα κῦμα μὲν οὐ γίνεται· ἀλλ' ἄλλη μὲν ἄλλης *προκαθημένη, τὸν κλύδωνα τοῖς ἀκρωτηρίοις λαμβάνει. ἀέρων δὲ τὸν ἄριστον δοκοῦσιν ἔχειν. ταύταις ἄνθρωποι κατανέμονται *ἀριθμῷ μὲν οὐ σύμμετροι, ζῶντες δὲ (τὸν) βίον τοιοῦτον· ἐν τῷ παρήκοντι πελάγει, τραχεῖ καὶ χειμερίῳ ὑπάρχοντι, τελείως γίνεται τῷ πλάτει καὶ τῷ μεγέθει πλῆθος ἄπιστον χελωνῶν, ἃς θαλαττίας πάντες νομίζομεν. αὗται νυκτὸς μὲν ἐν τῷ βυθῷ νέμονται· ἡμέρας δέ, εἰς τὴν ἐν ταῖς νήσοις ἡσυχίαν καὶ γαλήνην ἀφικόμεναι, κοιμῶνται· καὶ τοῦτο ποιοῦσι πρὸς τὸν ἥλιον μετέωροι, ταῖς κατεσκευασμέναις πορθμίσιν ὁμοιοπαθεῖς. ταύτας κατ' ἐκεῖνο καιροῦ οἱ ἐπιχώριοι τέχνῃ καὶ σπουδῇ καὶ μηρίνθοις εἰς τὴν χέρσον ἐκβαλόντες, τὰ μὲν ἐντὸς ἅπαντα σιτοῦνται, βραχὺν παροπτήσαντες ἐν τῷ καύματι χρόνον· τοῖς δὲ κύτεσι χρῶνται, τὰ μὲν ὥσπερ καθιστῶντες, οἱονεὶ καλύβας ἐφ' ὑψηλοῖς τόποις τρημώσεις *καθιστῶντες, καὶ πρὸς τοὺς διάπλους δὲ καὶ ὑδρείας ἕνεκα κέχρηνται αὐταῖς· ὥστε εἶναι τὸ αὐτὸ σκεῦος, οἰκίαν, ἀγγεῖον, τροφὴν τοῖς εἰρημένοις ἀνθρώποις.

* al. Γεδρωσίαν.
* al. προκαθημένη.
* ἀριθμοῦ μὲν οὐ σύμμετροι H. St.
* καθιστάντες. H. St.

Ὅτι οὐ πολὺ διεστῶτες τῶν εἰρημένων ἄλλοι, σύμμετροι τῷ ἀριθμῷ βίον ἔχουσι τοιοῦτον· ἐκ τῶν ἐκριπτομένων εἰς τὴν *χέρσον κητῶν ἀποζῶσι. σπανιζούσης δὲ αὐτοῖς τῆς τοιαύτης σιτήσεως (γίνεται δὲ πολλάκις) ἐκ τῶν ὀστῶν τοὺς χόνδρους καὶ τὰ ἄκρα τῶν πλευρῶν κατεργαζόμενοι, τὴν ἔνδειαν, εἰ καὶ *χαλεπῶς, ὅμως παραμυθοῦνται. τὰ μὲν οὖν τῶν Ἰχθυοφάγων γένη, φησί, ἃ κατειλήφαμεν (μυρίων ὄντων, ἃ τὴν ἡμῶν διέφυγε γνῶσιν) ταῦτα.

* νῆσον M. M.
* χαλεπῶς.

Ὅτι τῆς ζωῆς ἡμῶν ἡμῖν ἐφεστώσης ἔν τε τοῖς περιττοῖς καὶ τοῖς ἀναγκαίοις, (καὶ) τὰ εἰρημένα γένη τῶν Ἰχθυοφάγων, τὰ μὲν ἄχρηστα περιγεγράφασιν ἅπαντα, φησί· τῶν δὲ καθηκόντων οὐδὲν ἐλλείπουσι, τῇ θείᾳ πρὸς τὸ ζῆν ὁδῷ βραβευόμενοι πάντες, οὐ τῇ παραχαραττομένῃ ταῖς δόξαις τὴν φύσιν· οὐ τῆς ἀρχῆς ἱμειρόμενοι, *τύχην ἀγωνίᾳ φιλονεικίᾳ καὶ δυστυχεῖ συνέχονται· οὐδὲ πλεονεξίας ἐρῶντες, πολλὰ μὲν ἄλλους δρῶσι, πολλὰ δὲ πάσχουσι τῶν οὐκ ἀναγκαίων· οὐδ' ἔχθρας ἐνιστάμενοι μείζους ἐπὶ βλάβῃ σώματος πολεμίου. (οὐ) σφάλλονται δ' ἐν ἀτυχίαις οἰκείων,

* τύχη.

vt pedestri itinere omnino (quod dixi) illuc veniri non possit, & ratibus aut lembis, ob defectum rerum apud nos vsitatarum, æquè sit difficile. Quæ cum ita se habeant, reliquum est, vt dicatur, indigenas esse, qui primi seminis labem non acceperint, sed perpetuo subsistant: quemadmodum physicorum (qui appellantur) nonnulli definierunt.

CAP. XIX. De Sporadibus Æthiopum insulis.

VLTRA angustias illas, quæ Arabiam & oppositam regionem excludunt, insulæ iacent Sporades, depressæ omnes, magnitudine paruæ, & numero infinitæ: quæ nullum ad vitæ commoditatem fructum proferunt, neque satiuum neque syluestrem. Distant autem à continente superiori LXX stadia circiter, conuersæ ad pelagus quod præter Indiam & Gedrosiam excurrit. Hic nullus exsistit fluctus, sed alia alij quasi præsidens, tempestatem promontorijs excipit. Aërem autem videntur habere optimum. In his commorantur homines, qui proportione enumeratis respondent, vitámque hoc modo sustentant. In circumfuso pelago, quod asperum est & tempestuosum, testudinum copia nascitur, quæ latitudine & magnitudine fidem prope excedunt: pro marinis autem à nobis omnibus habentur. Hæ noctu in profundo maris pascuntur: sed interdiu in quietos & tranquillos insularum recessus exspaciatæ dormiunt, idque ad solem in summo apricantes faciunt: quo modo nauiculæ hominum industria factæ adficiuntur. Has illo temporis momento incolæ arte & studio & funibus in terram eiectas capiunt, & quicquid interius est, ad breue tempus solis feruore assatum, comedunt, testas vero ad ædium constructionem vsurpant. Gurgustia enim in editis locis prominentia inde coagmentant: ad nauigationis præterea vsum & aquationis transferunt. Quo fit vt res eadem, nauis, domus, vasis & alimenti hominibus illis vsum præbeat.

De testudinum captura incolis vsitata.

CAP. XX. De aliis qui balænis vescuntur.

NON procul ab hoc genere mortalium remoti & numero pares, hunc viuendi morem habent. De balænis in terram expulsis victum sibi comparant: cuius si desit copia (id quod non raro accidit) cartilaginem ex ossibus & costarum extremitates conficiendo, egestatem, quamuis moleste & ærumnose, tamen ita consolantur. Tot igitur sunt genera Ichthyophagorum, quæ accepimus: cum innumera interim cognitionem nostram subterfugiant.

CAP. XXI. Ichthyophagorum αὐτάρκεια.

CVM vita, qualem nos veluti magistram sequimur, in superfluis & necessariis consistat, Ichthyophagûm quas recitaui gentes, cuncta quorum vsus non est necessarius, angusto quasi orbe circumscripta excludunt: interéaque nullis rebus, quæ naturæ competunt, destituuntur: cum diuina ad frugaliter viuendum ducantur via, non ea quæ fallaci opinionum specie naturam seducit. Non enim circa imperij & magistratus affectationem contentiosa fortunæ & infelici trepidatione anguntur: nec auaritiæ studio multa in alios committunt, multaque contra recipiūt de malis non necessariis. Nec inimicitias sibi conflant maiores, in ferenda inuisa corpori noxa: nec in domesticorū infortuniis labascūt,

AGATARCHIDES.

nec nauigando, & lucri gratia vitæ modum supra quam fas est extendendo, aduersis vitæ casibus ægritudinem metiuntur: sed dum exiguis indigent, exigua etiam dolent. Quod enim satis est tenent, & quod plus est non inquirunt. Vnumquemque autem perturbat non id quod ignorat, si absit, sed quod libera voluntate appetit, si properante cupiditate ab occasione fruendi destituatur. Quocirca ille cuncta habens quæ velit, beatus erit, qui ad naturæ, non ad opinionis iudicium se accommodabit. Nec legibus ius disceptant. Quid enim opus est edicto subseruire eū qui sine litera rectam habere, & factis exhibere mentem potest?

CAP. XXII. Æthiopes circa Meroen victus & calamitas.

POST Ichtyophagos, iuxta flumen Astabaran, qui per Æthiopiam & Libyam defertur, longè Nilo submissior, ideoque alueum suum cum maiore coniungens, ambitu suo Meroen insulam efficit. Huius igitur amnis ripas vtrasque turba quædam hominum accolit non numerosa, tali vitæ ratione. Ex vicina palude arundinum radices effodit, puréque ablutas saxis in frustula confringit. Cum ibi læuem & viscosam reddidere massam, particulas inde non omnino manum implentes efformant, & ad solis æstum assatas edulij loco apponunt. Cum malo conflictantur ineuitabili, vt pote leonibus in stagnis, qui eos inuadunt. Sub ortum etiam * canis, ingens culicum multitudo eos infestat, tantis viribus pollens, vt populus in aquas lacustres præfugiens se ibi occultet. Ab his leones quoque exterminantur, non tam à morsu vexati (quamuis molesto satis,) quam quod stridorem vocis peregrinum perferre nequeunt. Atqui hoc miræ nouitatis gratia commemoratum esto. Quid enim singularius, quam leones culicibus loco cedere, & homines ex eiusmodi periculo euadere incolumes?

* al. Canicula.

CAP. XXIII. De Hylophagis eorumque natura & moribus.

IAM commemoratis Hylophagorum gens non ita multum discrepans approximat, quę etiam seminibus vescitur. Nam fructus ex arboribus decidentes comedunt, etiam tempore æstatis. Aliàs herbam decerpunt, quæ in vmbrosis vallibus nascitur, duræque est indolis, & caulem educat assimilem napis, quas Buniades vocant. Hinc quidquid de materia tenerum exsistit & molle, fit esculentum. Noctes quidem somno tribuunt: sed locum deligunt, qui contra beluas firmus sit & excubiis aptus. Mane quam primum sol emergit, cum liberis & vxoribus arbores vniuersi conscendunt, & enixè summos assequi ramos contendunt. Hinc decerpta virgultarum tenerrima, sine fastidio edunt. Eámque ex tota sibi vita habitudinem compararunt, vt incredibilis sit visa illorum in arbores excursus, & mira non tantum manuum, digitorum & pedum, sed in vniuersum cæterorum quoque membrorum contentio. Nam expeditæ de ramo in ramum transiliunt, & alter alteri termites, etiam in locis periculosissimis, eripit: & id genus alia ostētant, vt qui videt, ipse quidem stupore percellitur, sed inexpertis enuntiare non ausit. Nec quicquam frondis est succi plenum, quod dentibus cōmolitum non concoquant ventriculis.

οὐδὲ ναυτιλλόμενοι, κέρδους ἕνεκα τὸ ζῆν ὑπερτείναντες, περιστάσμασι τοῦ βίου μετροῦσι τὴν λύπην· ἀλλὰ μικρῶν δεόμενοι, μικρὰ καὶ πενθοῦσι· τὸ μὲν ἀρκοῦν κτώμενοι, τὸ δὲ πλέον οὐ ζητοῦντες. ἐνοχλεῖ δ' ἕκαστον οὐ τὸ ἀγνοούμενον, εἰ μὴ πάρεστιν· ἀλλὰ τὸ βουλητόν, ὅταν ὑστερίζῃ τοῦ καιροῦ τῆς ἐπιθυμίας ἀπολαύοντος. ἐκεῖνος πάντ' ἔχων ἃ θέλει, εὐτυχήσει καὶ κατὰ τὸν τῆς φύσεως λογισμόν, οὐ κατὰ τὸν τῆς δόξης. νόμοις δὲ οὐ δικαιοῦνται. τί γὰρ δεῖ προστάγματι δουλεύειν τὸν χωρὶς γράμματος εὐγνωμονεῖν δυνάμενον;

ΟΤΙ μετὰ τοὺς ἰχθυοφάγους παρὰ τὸν Ἀσταβόραν ποταμόν, ὃς φέρεται μὲν διὰ τῆς Αἰθιοπίας καὶ τῆς Λιβύης, ἔστι δὲ τοῦ Νείλου πολλῷ ταπεινότερος, συμβάλλων δὲ τὴν οἰκείαν ὁρμὴν τῷ μείζονι ῥείθρῳ, νῆσον ποιεῖ τῇ περιρρύσει τὴν Μερόην· παρὰ γοῦν τὸν εἰρημένον ποταμὸν ἐπ' ἀμφοτέροις κατοικεῖ τοῖς χείλεσιν ὄχλος, οὐ πολὺς μέν, τὸν δὲ βίον τοιοῦτος. ἐκ τοῦ παρήκοντος ἕλους τὰς ῥίζας τῶν καλάμων ὀρύττει, κἄπειτα πλύνας καθαρῶς, ἐκκόπτει λίθοις πρὸς μέρος. ποιήσας δὲ λεῖον καὶ κολλῶδες, αἰ ἔπλασεν ἐκ μαγίδος, εἰ καὶ οὐ χειροπληθεῖς, ὄγκους. εἶτα ἐν τῷ καύματι παροπτῶν, ταύτην ἔχει προσφοράν. ἔχουσι δὲ οὗτοι κακὸν ἄφυκτον, τοὺς ἐν τοῖς ἕλεσι λέοντας ἐπιτιθεμένους αὐτοῖς. ὑπὸ δὲ τὴν ἐπιτολὴν τοῦ κυνός, γίνεταί τι κωνώπων πλῆθος ἄπλετον, τηλικαύτην ἔχον δύναμιν, ὥστε τὸν λαὸν εἰς τὰς λιμνώδεις ὑγρασίας ἀπελθόντα ἐκεῖ μένειν ἀφανῆ. ὑφ' ὧν καὶ οἱ λέοντες ἐκτοπίζονται· οὐχ οὕτως ὑπὸ τοῦ δηγμοῦ δηλούμενοι, καίπερ ὄντος ἐπαχθοῦς, ὡς τὸν ὑπὸ τῆς φωνῆς ἦχον ἀλλόφυλον ἀδυνατοῦντες φέρειν. ἀλλὰ ταῦτα μὲν ἀπηγγέλθω τοῦ παραδόξου χάριν. τί γὰρ ἰδιώτερον, ἢ λέοντας μὲν ἐκχωρεῖν κώνωψιν, ἀνθρώπους δὲ σώζεσθαι ὑπὸ τοιούτου κινδύνου;

περὶ τῶν ἰχθυοφάγων.

ΟΤΙ τοῖς εἰρημένοις, φησί, τὸ τῶν ὑλοφάγων καὶ τῶν τὰ σπέρματα σιτουμένων ἐγγίζει γένος, βραχεῖαν ἔχον τὴν παραλλαγήν. οἱ μὲν γάρ, τὸν πίπτοντα καρπὸν ἀπὸ τῶν δένδρων σιτοῦνται, (καὶ) ὑπὸ τὴν θερείαν· τὸ δὲ λοιπόν, τὴν πόαν * ἀποτίλαι * τὴν ἐν τοῖς συσκίοις ἄγκεσι * γινομένην, στερεά τε τὴν φύσιν, καὶ καυλὸν ἐκφερούσης παρόμοιον ταῖς καλουμέναις βουνιάσιν· οἱ δὲ, τῆς ὕλης τὴν ἁπαλὴν σιτοῦνται. οὗτοι τὰς μὲν νύκτας κοιμῶνται, τόπον ἀπὸ τῶν ἐκεῖ θηρίων πρὸς ὀχύρωσιν ἐξειλεγμένοι καὶ φυλακήν· ἅμα δὲ ἡλίῳ μετὰ τέκνων καὶ γυναικῶν ἐπὶ τὰ δένδρα πάντες ἀναβαίνουσι, σπουδῇ καταλαβεῖν ζητοῦντες τοὺς ἄκρους κλῶνας. κἀκεῖθεν τὴν ἁπαλωτάτην ὕλην ἀμέλγοντες ἀμογερῶς σιτοῦνται. τοιαύτην δὲ ἐκ τοῦ παντὸς βίου πεποίηνται τὴν ἕξιν, ὥστε καὶ τὰ τῆς ἀναδρομῆς ἄπιστον ἔχειν τὴν θέαν· καὶ τὴν συντονίαν οὐ χειρῶν μόνον καὶ δακτύλων καὶ ποδῶν, ἀλλὰ καὶ τῶν μερῶν τῶν ὑπολοίπων ἁπλῶς. μεταπηδῶσι γὰρ εὐπόρως ἀπ' ἄλλου πρὸς ἕτερον ἀκρέμονα· καὶ τοὺς κλάδους ἀλλήλων πολλάκις ἐν τοῖς ἐπισφαλεστάτοις τόποις ἀφαιροῦνται. καὶ τοιαῦτα ἐνδείκνυνται, ὥστε τὸν ἰδόντα, αὐτὸν μὲν ἐκπλήττεσθαι, μὴ μέντοι θαρρεῖν εἰς τοὺς ἀπείρους ἐξαγγέλλειν. καὶ πάντα δὲ κλάδον τοῖς ὀδοῦσιν ἔγχυλον κατεργάζονται, καὶ τῇ κοιλίᾳ εὐπόρως * πέττουσι·

περὶ ὑλοφάγων καὶ σπερματοφάγων.

* al. ἔλαττον τῶν.

* ζητοῦμεν, ἢ ζητοῦσιν.

* al. πίπτουσι.

καὶ

καὶ τὸ σφαλὲν ἄνωθεν σῶμα, διὰ τὴν ἰσχνότητα, οὐ βαρείας τυγχάνει τῆς πληγῆς. οὗτοι δὲ γυμνοὶ μὲν εἰσὶ πάντες· κοινοὺς χρῶνται δὲ καὶ τέκνοις καὶ γυναιξί. πολεμοῦσι δὲ περὶ τῶν τόπων ἀλλήλοις· μεταλλάττουσι δὲ οἱ πλεῖστοι λιμῷ πιεζόμενοι, γλαυκωμάτων περὶ τὰ πεντήκοντα ἔτη τοῖς ὄμμασιν ἐπιτρεχόντων.

Περὶ τῶν λεγομένων κυνηγετῶν.

Ὅτι μετὰ τοὺς προειρημένους, εἰσὶν οἱ παρὰ τοῖς ἐγχωρίοις λεγόμενοι κυνηγέται. οὗτοι διὰ τὴν τῶν θηρίων φορὰν, ἣν ὁ τόπος ἄπλετον φέρει, ἐν τοῖς δένδρεσι μὲν σκηνοῦσιν. ἐξ ἐνέδρας δ' ἀγρεύοντες τὰ θηρία, τροφὴν ἑαυτοῖς ταῦτα ποιοῦνται. εἰσὶ καὶ τοξείας ἐπιστήμονες. ἐπὰν δὲ θήρας ἀπορῶσι, τοῖς δέρμασι τῶν προτεθηραμένων τὴν ἔνδειαν ἀναπληροῦσι, βρέξαντες τὰς βύρσας, καὶ ἐπ' ἀνθρακιὰν κούφην ἐπιβαλόντες, εἶτα ἀποδίσαντες καὶ εἰς διαίρεσιν ἀγαγόντες.

Περὶ τῶν ἐλεφαντοφάγων.

Ὅτι μετὰ τοὺς εἰρημένους, πολὺ τούτων ἀφεστῶτες, καὶ πρὸς ἑσπέραν μᾶλλον ἀνατείνοντές εἰσιν, οἱ ἐκ τῆς τῶν ἐλεφάντων θήρας τὸν βίον ποιούμενοι. οἱ μὲν ἀπὸ δένδρου, ἐφ' οὗ κάθηνται, σκοπιωροῦντες τὰς παρόδους τῶν θηρίων, ταῖς μὲν χερσὶ τῆς οὐρᾶς λαβόμενοι, τοῖς ποσὶ δὲ, *εἰς τὸν μηρὸν τὸν ἀριστερὸν ἐπιβαίνουσιν· εἶτα πέλεκυν, ὃν ἐπιτήδειον καὶ ἕτοιμον ἔχουσι, τὴν δεξιὰν ἰγνύαν, πυκναῖς ταῖς πληγαῖς χρώμενοι, νευροκοποῦσιν. οὕτω δὲ ἐκτενῶς τῇ μὲν καταφέροντες, τῇ δὲ τῆς οὐρᾶς κρατοῦντες, ὡς ἄθλου προκειμένου τῆς ψυχῆς· ἢ γὰρ ἀποκτεῖναι *χρὴ ἢ τελευτᾷν, ἄλλην τοῦ καιροῦ διέξοδον οὐκ ἔχοντος. ἐπὰν δὲ τὸ ζῶον ἐκ τῆς πληγῆς καὶ τῆς αἱμοῤῥαγίας πέσῃ, οἱ συνθηραταὶ παραγίνονται ἐπὶ τὸ πτῶμα· καὶ τοῦ θηρίου ζῶντος ἔτι περιτέμνοντες ἐκ τῶν ὀπισθίων τὰς σάρκας, εὐωχοῦνται, τὸν ἔσχατον τοῦ καταπονηθέντος οὕτως ἐχομένοντες θάνατον. ἀλλ' οἱ μὲν μετ' ἐσχάτου κινδύνου ἐλεφαντοθῆραι τοιοῦτοι. ἕτεροι δὲ θηρῶσιν αὐτοὺς οὕτω. τρεῖς ἄνδρες ἓν μὲν ἔχοντες τόξον, ὀϊστοὺς δὲ (καὶ) πλείους κεχρισμένους τῇ χολῇ τῶν ὄφεων, ἱστᾶσιν ἐν δρυμῷ παρὰ τὰς τῶν θηρίων διεξόδους. ἐπὰν *ἂν προσίῃ τὸ ζῶον, ὁ μὲν εἷς κατέχει τόξον τῷ ποδὶ *προσβεβηκὼς· οἱ δὲ δύο, τὴν νευρὰν ἑλκύσαντες ἐκ τῆς ἁπάσης βίας ἀφῆκαν τὸ βέλος, ἵνα σκοπὸν ἔχοντες ἐπὶ μέσην τὴν πλευρὰν, ὥστε διανύσαι τῆς περιοχῆς ἐντὸς, καὶ τοὺς κυρτοὺς τεμεῖν καὶ τρῶσαι τόπους, ἐκεῖθεν τὸ τηλικοῦτον θηρίον ἐλαυνόμενόν τε καὶ σπαραττόμενον διαλύεται καὶ πίπτει. τρίτον δέ ἐστι γένος ἐλεφαντοφάγων, ὃ ἐπειδὰν οἱ ἐλέφαντες τῆς νομῆς ἐμφορηθέντες, πρὸς ὕπνον τρέπωνται ζητοῦσιν· (οὐκ ἐπὶ γῆς δὲ ἀναπεσόντες ὑπνοῦσιν, ἀλλὰ τοῖς παχυτάτοις καὶ μεγίστοις δένδρεσι προσανακλίνοντες ἑαυτούς· ὥστε τοὺς μὲν (δύο) πόδας τὰ πλησίον ἔδαφος ἐλάχιστα ψαύειν, τὸ δὲ πρὸς τὴν γῆν (ἐλαφρῶς) ἐπερείδεσθαι, τὴν δὲ πλευρὰν τὸ πᾶν σῶμα ἐκδεχομένην, ἐχόμενα πρὸς τῇ φύσει τοῦ ξύλου· καὶ τοῦτον τὸν τρόπον τῆς καταφορᾶς τυγχάνει οὐκ εἰλικρινοῦς, ἀλλὰ παρεψευσμένης, διὰ τὸ προσκεῖσθαι τοῖς βαθέσιν ὕπνοις ἀγωνίαν ἰσχυρὰν, φθορᾶς ὑποκειμένης παραχρῆμα τῷ σφαλέντι, διὰ τὴν ἔκλυσιν τὴν φυσικήν.)

* al. ὀπίσω
* al. χερσί
* ἢ, αὐτ.
* al. προσβεβηκώς.

Corporis ex alto delapsi non grauis est plaga propter exilitatem. Nudi sunt omnes communisque illis sobolis & vxorum educatio, & fructus. Fit vt de locis inter se belligerent. Plerique præ angustia famis vitam cum morte commutant, quando glaucomata (ad annum id quinquagesimum accedit) oculos incursant.

AGATHARCHIDES.

De iis quos venatores incolæ appellant.

CAP. XXIV. *De venatorum gente, quæ etiam bestiis vescitur.*

Post iam descriptos, sunt quos venatores incolæ nominant. Hi propter beluarū frequentiam (nam innumeras fert regio) in arboribus contubernia habent: sed ex insidiis feras capiunt, captásque sibi alimentum faciunt. Sagittariæ etiam artis peritia valent. Si accidit vt venationis prouentu careant, pellibus ante captorum inopiam explent. Coria enim madefacta, leuibus admotis prunis, obruūt cinere. Atque ita tosta ad diuisionem producunt.

De elephantophagis.

CAP. XXV. *De elephantophagis variaque horum venatione.*

Sequuntur hos, sed per interuallum satis longum, & occasui magis obiecti, qui ex elephantum venatione victum acquisunt. Nam sunt ex his qui insidentes arbori, beluarum transitus speculantur: factóque pernicitèr descensu, manibus complexi caudam, & pedibus in femen sinistrum connixi, bipennis, aptæ ad hoc & paratæ, crebris ictibus poplitis dextri neruos succidunt: támque valide hàc vulnera inferunt, illàc caudam tenent, quam si de vita certamen sit institutum: Aut enim interimendum est, aut opperendum. Siquidem alium temporis hic articulus exitum non patefacit. Prolapsa igitur ex continente percussu & sanguinis profluuio bestia, illico venationis comites sunt præsto, dúmque adhuc viuit, carnes ex posterioribus resecant: & hilarem ad modum inde conuiuantur. Atque fera ita domita longum & atrocem interitum sustinet. Sic ergo se habēt inter pericula extrema elephantum venatores. Sunt alij qui diuersam eos capiendi rationem ineunt. Viri enim terni, vno instructi arcu, & sagittis pluribus, anguium felle tinctis, ad exitus belluarū in saltu consistunt. Si qua igitur accedit, vnus arcum pedi admotum tenet, duo reliqui summa vi tracto neruo telum emittunt, ad latus medium vnicè directū, vt ad interiora complexus penetret, & deuexas illas secet ac vulneret partes. Hinc tantum feræ monstrum dolore conuulsū & agitatum, elanguescit & procumbit. Tertiū quoque Elephantophagūm genus est, qui hunc venationis modum seruant. Quando elephantes ad satietatem pasti, cubitum se recipiunt, non humi procumbentes dormiunt, sed crassis. & maximis arboribus se acclināt, vt pedes, stipiti proximi, terræ leuiter innitantur, & latus quod totum corpus excipit, à ligno sustentetur, itaque non sincerum hunc sed adulterinū dixeris cubandi modum: propterea quod somno profundiori adiuncta sit vehemēs solicitudo & metus exitij, quod prolapsum illico excipit, propter naturalē erigendi sese impotentiā.

AGATHARCHIDES.

Ergo qui vitæ ex horum venatu alimenta quærunt, in nemoribus circumuagando, vbicunque bestiæ obseruarunt cubile, auersam arboris partem serra incidunt, dum nec tota inclinet, nec valida nimis & firma maneat, sed ad exiguum tantummodo impulsum restet. Belua igitur è pascuis reuersa cum ad assuefactam cubandi stationem se applicat, stipite confestim diffracto euertitur, ad paratam venantibus cœnam exposita. Posteriores enim mox carnes rescindunt, & vita cum sanguine exhausta, cetera defuncti membra, ad suum quisque vsum, distributa auferunt. Hos venatores Ptolemæus rex Ægypti edicto ab elephantum cæde abstinere iussit, vt viuos sibi haberet, multáque & admiratione digna eis promisit. Non modo tamen nō persuasit, verumetiam cum toto Ægypti regno se præsentem hunc victum non permutaturos esse, ab illis responsum accepit.

De Aethiopum Struthiophagis & Simis.

CAP. XXVI.

DE venatoribus his, quos Nomades impuros nominare solent, pars quædam ad occidentem, ab Æthiopibus auulsa, degit, & Simi vocantur: pars quadam Austro obiacet, gens non ita magna, hi Struthiophagi nuncupantur. Nam Struthiones artificio & dolo clauisque subigunt, vnde viuant. Carnes enim cibos, pellésque, indumenta & lectisternia sufficiunt. Infensi sunt his Simi, belláque inferunt. Orygum cornibus vtuntur hi pro telis. Grandia enim sunt & ad incidendum peracuta. Regio illa in magna copia animal hoc nutrit.

De Acridophagis.

CAP. XXVII *De Acridophagis, eorumque præmaturo & misero interitu.*

EXiguo inde interuallo disiuncti sunt Acridophagi, gens cæteris breuior. Tenui enim & macilento sunt corporis habitu, & extra modum nigri. Appetente æquinoctio verno, inenarrabile locustarum prægrandium agmen, ex terris nondum peruestigatis vna cum ventis aduolat, & vi quidem volatus, ab auibus parum variant, sed corpore permultum. Ex hoc insecti genere quouis tempore aluntur, cum aliis modis, tum etiam in salitura præparato. Venantur eas, fumo ex aëre ad terram degrauatas. Agiles esse perhibentur, & pedibus celeriores. Verum vltra XL. annos non viuunt. Etenim simul ac senium imminet, in corporibus ipsorum volatile pediculorum genus innascitur. Ricinis hi non dissimiles, sed paulo minores sunt muscis, quæ in canibus apparent. Incipiunt à præcordiis & aluo, & omnem protinus superficiem corporis cum tota facie depascuntur. Illi igitur primò affecti sunt, vt quos scabies pruritu suo lacessit. Verum temporis successu aliquo, non absque molestia seipsos lacerant. Tandem morbo hoc ad maturitatē extracto, præter pustularum eruptionē, & tenuis saniei effluxum, intolerabiles sustinere acerbitates miseros contingit. Talem itaq; interitum (siue corporis succi, siue alimentum, aut etiam aër, vitio & corruptioni huic causam præbeat) Acridophagi sortiuntur.

* Ex Græco, hæc desunt: præ siccitate alimēti, vitamque finiūt acerbius quam ut viuant.

οἰκείαν ἀπὸ τῆς τούτων θήρας τὸν βίον ποιούμενοι, τοὺς δρυμοὺς περιπλανώμενοι, καὶ τὴν τοῦ θηρίου κοίτην ἐπισημηνάμενοι, ἐκ τῶν ὄπισθεν τοῦ δένδρου τόπων πρίουσιν, ἕως ἂν μήτε κλίνῃ τὸ πᾶν, μήτε ἰσχύον ἄγαν (καὶ) ἰσχυρὸν ἀπολείποιτο· μένει δὲ * καὶ ἕστηκεν ἐπὶ βραχείας ῥοπῆς. τὸ δὲ ζῶον ἀπὸ τῆς νομῆς ἐπὶ τὸν συνήθη τῆς κοίτης τόπον ἀνακλινόμενον, ἀφνίδιόν τε πίπτει, τοῦ ξύλου κλασθέντος, καὶ * προσκεῖται τοῖς θηράσασι δεῖπνον ἕτοιμον. τὰς γὰρ ὀπισθίας κόψαντες ἤτοι σάρκας, καὶ ποιήσαντες ἔξαιμον τὸ ζῶον, εἶτα νεκρόν, πρὸς τὴν ἑαυτοῦ χρείαν ἕκαστος τὰ μέλη διαιροῦσιν.

* ἵσταται.
* πρόκειται.

ΟΤι τούτους τοὺς κυνηγοὺς Πτολεμαῖος ὁ Αἰγύπτου βασιλεὺς * ἀποσχέσθαι τοῦ φόνου τῶν ἐλεφάντων παρῄνεσεν, ἵν' ἔχοι αὐτὸς ζῶντας· καὶ πολλὰ καὶ θαυμαστὰ αὐτοῖς ὑπισχνούμενος, οὐ μόνον οὐκ ἔπεισεν, ἀλλ' οὐδ' ἂν τὴν ὅλην ἀλλάξασθαι βασιλείαν πρὸς τὸν ἐφεστῶτα βίον εἰπόντων, ἀπόκρισιν ἤκουσεν.

* al. ἀπέχεσθ.

Περὶ αἰθιόπων τῶν σιμῶν, καὶ τῶν στρουθοφάγων.

ΟΤι τῶν κυνηγῶν τούτων, οὓς οἱ νομάδες ἀκαθάρτους καλεῖν εἰώθασι, τὸ μὲν πρὸς ἑσπέραν ἀπόσπασμα, αἰθιόπων νέμεται, οὓς καλοῦσι σιμούς. τὸ δὲ πρὸς μεσημβρίαν, οὐ μέγα ἔθνος, οἱ καλούμενοι στρουθοφάγοι, οἱ ταύτας τέχνῃ καὶ δόλῳ καὶ ῥοπάλοις θηρεύοντες, ἐκ τούτων βιοῦσι. σιτούμενοι μὲν τὰς σάρκας, ἐνδύσει δὲ καὶ στρωμνῇ τοῖς αὐτῶν χρώμενοι δέρμασι, πολεμούμενοι δὲ ὑπὸ τῶν σιμῶν. οὗτοι τοῖς τῶν ὀρύγων κέρασιν, ὅπλοις χρῶνται, (καὶ) μεγάλοις καὶ τμητικοῖς οὖσι ξίφει δὲ ἡ χώρα πολυπληθὴς τὸ ζῶον τοῦτο.

Περὶ ἀκριδοφάγων.

ΟΤι τῶν εἰρημένων οὐ πολὺ διεστῶτές εἰσιν οἱ ἀκριδοφάγοι, τὸ δὲ ἔθνος, βραχύτεροι (μὲν) τῶν λοιπῶν, ἰσχνοὶ δὲ τοῖς εἴδεσι, μέλανες δὲ ἐξαισίως. ὑπὸ δὲ τὴν ἐαρινὴν ἰσημερίαν, ὅτε λίβυες παρ' αὐτοῖς καὶ ζέφυροι πνέουσι, * παμμεγεθῶν ἀκρίδων πλῆθος ἀμύθητον ἐκ τῆς ἀνιστορήτου, μετὰ τῶν ἀνέμων, παραγίνεται χώρας· τῇ μὲν δυνάμει τῆς πτήσεως, τῶν ὀρνίθων μικρὸν παραλλάττον, μακρὸν (δὲ) τῷ σώματι. ἀπὸ τούτου τοῦ ζώου τρέφονται πάντα τὸν χρόνον, ἄλλως τε τούτοις καὶ τεταριχευμένοις χρώμενοι. καπνῷ δὲ * ταύτας θηρῶσιν, ἐκ τοῦ ἀέρος ἐπὶ γῆν καταφέροντες. οὗτοι κοῦφοι μὲν εἶναι λέγονται καὶ τοῖς ποσὶν ὀξύτεροι, ζῶσι δὲ οὐ πλεῖον τεσσαράκοντα ἐτῶν, ξηρᾶς κοινωνοῦντες τελείως τροφῆς. τελευτῶσι δὲ τὸν ζωὴν ἀθλιώτερον. ἅμα γὰρ πλησιάζειν τὸ γῆρας, ἐγγίνεται τοῖς σώμασιν αὐτῶν πτερωτὰ γένη φθειρῶν· ὅμοια μὲν τῷ τύπῳ τοῖς κρότωσι, * βραχεῖαν δὲ ἐλάττω τῶν ἐν τοῖς * κυσὶ φαινομένων· ἀρχόμενα μὲν ἀπὸ τοῦ στήθους καὶ τῆς κοιλίας, ἐπινεμόμενα δὲ συντόμως μετὰ τοῦ παντὸς προσώπου τὴν ἐπιφάνειαν. οἱ τὰ μὲν πρῶτα τοῖς ὑπὸ ψώρας ἠρεθισμένοις ὁμοίως διάκειντας· ὕστερον δ' ἐπιπόνως ἑαυτοὺς σπαράττουσιν· εἶτα τοῦ πάθους εἰς ἀκμὴν ἑλκομένου, καὶ μετὰ τῆς θρείας ἐκφύσεως καὶ λεπτῶν ἀναχεομένων ἰχώρων, ἀκαρτερήτους ὑφίστασθαι τοὺς ἀθλίους τὰς δριμύτητας συμβαίνει. οὗτοι μὲν εἴτε τοὺς χυμοὺς, εἴτε τὴν τροφὴν, εἴτε τὸν ἀέρα τῆς κακίας ἔχοντες αἴτιον, οὕτως ἀπόλλυνται.

* al. παμμεγέθη, ἀκρίδων πλῆθος ἀμύθητον.
* al. ταῦτα.
* al. βραχύ.
* al. κόρεσι.

Περὶ

Περὶ τῆς πλησιαζούσης χώρας τοῖς ἀκριδοφάγοις.

Ὅτι τῶν ἀκριδοφάγων, φησίν, ἀστυγείτων χώρα πολλή, καὶ νομὰς ἔχουσα ποικιλίᾳ διαφερούσας· ἔρημος δὲ τελέως, καὶ πᾶσι τοῖς περιοίκοις ἄβατος· οὐκ ἀπ' ἀρχῆς ἀπανίσασα ἀνθρωπίνου γένους, ἀλλ' ὑπὸ πλήθους ἀπίστου σκορπίων καὶ φαλαγγίων, οὓς τετραγνάθους ὀνομάζουσιν ἔνιοι. τοῦτο γὰρ τὸ φῦλον ἔκ τινος ἐπομβρίας λέγουσιν ἐπιπολάσαι· καὶ τῶν ἐνοικούντων πρὸς τὸ κακὸν ἀντισχεῖν οὐ δυναμένων, ἀλλὰ φυγῇ τῶν ἐκπεσόντων τοῦ ὀλέθρου, τὴν σωτηρίαν ἀντὶ τῆς πατρίδος ἑλομένων, ἔρημον ἐξ ἐκείνου, γένους ἀνθρώπων τὴν χώραν* ἀπολειφθῆναι. καὶ μυῶν δὲ πλῆθος ἀρουραίων ὡς τοῖς περὶ Ἰταλίαν, καὶ στρουθοὶ τὰ σπέρματα καταπίνοντες, ὡς περὶ Μηδίαν· καὶ βάτραχοι, ὃ γέγονε περὶ τοὺς Ἀφθανεάτας· καὶ ὑπὸ λεόντων ἐπιπολασάντων πόλεις μετανέστησαν, ὡς ἐπὶ Λιβύης· καὶ πολλὰ ἀνέλπιστα πάθη καταλαβόντα πολλὰς χώρας τῶν οἰκητόρων ἐξηρήμωσαν.

* [illegible]

Περὶ κυναμολγῶν.

Ὅτι ὕστατοι, φησί, τῶν πρὸς μεσημβρίαν οἰκούντων εἰσὶν οὓς Ἕλληνες μὲν κυναμολγοὺς καλοῦσιν· οἱ δ' ἀστυγείτονες, ὡς ἄν τις εἴπῃ, ἀγρίους βαρβάρους. οὗτοι κομῶνται μέν εἰσι, καὶ πώγωνας φέρουσιν ἐξαισίους· κύνας δὲ τρέφουσι πολλοὺς καὶ μεγάλους, ὁμοίους τοῖς ὑρκανοῖς· καὶ τοὺς ἐπιδημοῦντας αὐτῶν τὴν χώραν ἰνδικοὺς βόας δι' αὐτῶν θηρῶσι, πλῆθος ἐπιφαινομένους ἀμύθητον, ἀπὸ τροπῶν χειμερινῶν ἕως μέσου χειμῶνος· εἶτα καὶ τὰς τῶν κυνῶν θηλείας ἀμέλγοντες, τῷ γάλακτι τρέφονται· καὶ ἐξ ἄλλων δὲ θήρας ζώων. καὶ τὰ μὲν τελευταῖα τῆς πρὸς μεσημβρίαν τοιαῦτα.

Περὶ τρωγλοδυτῶν.

Τὰ δὲ κατὰ τοὺς τρωγλοδύτας, τοιαῦτα. τὸ μὲν γένος τῆς συστάσεως, τυραννίς· αἱ δὲ γυναῖκες κοιναί, καὶ οἱ παῖδες· μόνῃ δ' οὐκ ἔξεστι πλησιάσαι τῇ τοῦ τυράννου. τῷ δὲ τολμήσαντι, πρόβατον καταθεῖναι τὸ ἐπιτίμιον δίδοται. ἡ δὲ ἀναστροφὴ αὐτῶν· τὸν μὲν παρ' αὐτοῖς χειμῶνα (ἔστι δὲ οὗτος ὑπὸ τὰς ἐτησίας) πάσας αὐτῶν τοῦ θεοῦ τὴν χώραν ὕδασι λάβροις ἐπέχοντος, ἀφ' αἵματος καὶ γάλακτος ζῶσιν, *εἰς ταὐτὸ μίξαντες καὶ κυλίσαντες, ἐν ἀγγείοις εἰκῇ πεπυρωμένοις. ἐπὰν δὲ ἐπιστῇ τὸ θέρος, ἐν τοῖς τελματώδεσιν ἀναστρέφονται χωρίοις, μαχόμενοι πρὸς ἀλλήλους περὶ τοῦ χλοώματος. καὶ τὰ πρεσβύτερα τῶν βοσκημάτων καὶ νοσοῦντα δαπανῶντες, [καὶ] διὰ τῶν μαγείρων ταῦτα κτείνοντες, οὓς καλοῦσιν ἀκαθάρτους. οὗτοι ἀνθρώπων μὲν οὐδενὶ περιτιθέασι τὴν τῶν γονέων κλῆσιν· ταύρῳ δὲ καὶ βοΐ, τὸν μέν, πατέρα καλοῦντες, τὴν δέ, μητέρα. ὡσαύτως κριῷ τε καὶ προβάτῳ· διὰ τὸ λαμβάνειν τὴν τροφὴν τὴν καθημέραν οὐ παρὰ τῶν τοκέων, ἀλλὰ παρ' ἐκείνων. οὗτοι καὶ ποτῷ, ὁ μὲν πολὺς ὄχλος, ἀποβρέγματι παλιούρου χρῶνται· οἱ δὲ τύραννοι, ἀπό τινος *ἄνθους κατασκευασθέντος πίνουσι, παραπλησίου μοχθηρῷ γλυκεῖ. γυμνοὶ δὲ τὸ ἄλλο σῶμα τυγχάνοντες, τὰ ἰσχία δέρμασίν εἰσι διεζωσμένοι. τὰ δὲ αἰδοῖα τοῖς μὲν ἄλλοις τρωγλοδύταις ἔθος εἰθισμένον περιτέμνεσθαι, καθάπερ αἰγυπτίους πάντας,

* al. ταὐτόν.

* al. βάλανου.

De regione contermina acridophagis.

CAP. XXVIII. De regione deserta propter serpentes & phalangia.

Contermina illis est regio quædam spatiosa, quæ mira quidem pascuorum varietate abundat, sed deserta est omnino, nullisque eo incolis patet accessus, non quod ab initio defuit ei genus mortalium, sed quod incredibilis ibi frequẽtia est scorpionum & phalangiorum, quadrimaxillas nonnulli vocant hos vermes, eosque ex imbrium vi & copia redundasse narrant. Cumque incolæ pesti huic resistere non valerent, fugáque elapsi, exsilij salutem patriæ anteferrent, factum esse vt deserta ab hominibus terra ex eo tempore relinqueretur. Sic etiam murium copia, vt in Italia & passeres semina deuorantes, vt in Media, & ranæ, quod Aphthanatis vsu venit, & leonũ increbrescens multitudo, vt in Africa, causa fuere vt ciuitates alio commigrarent. Multæque aliæ calamitates insperatæ terras, quas corriperent, habitatoribus viduarunt. *Vide Plin.*

De Cynamolgis.

CAP. XXIX.

Postremo meridiem versus habitant, quos Græci Cynamolgos, finitimi, agrestes & feros (vt quis ita interpretetur) barbaros appellant. Hi comas promissas, & barbas gestant immodicas, canésque multos alunt & magnos, Hyrcanorum more, quorum opera, euagantes in prouinciam ipsorum ex India boues, venantur. Innumera enim deinde armenta, à solstitio hyberno ad mediam vsque hymem, videre est. Adhæc fœmellas canum mulgent, & de lacte nutriuntur. Nihilo tamen minus ex aliarum quoque ferarum captura viuunt. Atque ita postrema ad meridiem descripta habentur.

De Troglodytis.

CAP. XXX. De Troglodyt. victu, circumcisione, ritu funerandi, pacificatione, somno, morte violenta.

Troglodytarum porro conditio hæc est. Qua gens hæc imperij forma continetur tyrannis est. Vxores, vt & liberi, sunt communes. Cum tyranni dũtaxat coniuge rem habere, vetitum. Hoc tamen auso, deponendæ ouis multa irrogatur. Mos vitæ talis. Quando hyems est, (id quod sub Etesiarum tempus natura comparatum est) Deo regionem ipsorum largis inundante aquis, è sanguine & lacte pabulum vitæ capiunt, quæ in vnam mixta versatáque colluuiem, in ollis ad ignem leuiter calefaciunt. At si æstas instat, in vdis versantur locis de pabulo inter se depugnantes, & tum pecorum annosiora & morbida absumunt, laniorum (qui immundi ipsis nominantur) opera mactata. Neminem ex mortalibus parentũ nomine dignantur, præterquam taurum & vaccam. Illum enim patrem: hanc matrem vocitãt. Eodem honore arietem & hircum, ouémque & capellam afficiunt. Hoc ideo obseruãt, quod alimentum non à parentibus, sed ab illis, quotidianum accipiunt. Potu vtitur vulgi pars maxima paliuri herba macerato. Tyranni de confecto è flore quodam bibũt, qui mustum refert improbum. Nudi corpus reliquum, nates duntaxat pellibus succingũt. Membra corporis genitalia cæteris quidem Troglodytis præcidere more est receptum, vt cuncti solent Ægyptij:

AGATHARCHIDES.

At quos mutilos Græci nominant, totam illam partem, quam reliqui circumcidunt, nouacula infantibus amputare religione & more sancitum habent. Vnde cognomentum illud sibi ipsi consciuerunt. Hinc digressione facta auctor monet, se, quamuis Atticè loquatur, *Cameræ* tamen (*vrbis in Creta*) dialecto familiariter vti. Inde ad .. ritum reuersus, quæ circa defunctos agant Troglodytæ, edisserit. Laqueis ex paliuro contextis colla mortuorum cruribus alligant. Tum colli aut tumulo alicui impositos, manuariis lapidibus obruunt, non absque salso ioco & derisu: donec de forma eis nihil amplius videatur. Capreæ de hinc cornu in cipum fixo, sine perturbatione omnino hilares abscedunt. Sic funerationis vsum sapienter inuertunt, siquidem ob res mœrore vacuas mœrore se non affligere prudentiæ est. De pascuis subito repullulascentibus inimicitias & pugnas atq; bella quando excitant, (nam alia de re inter se non dimicāt) matronæ ætate prouectiores, in medium prosilientes, certamen dirimunt, & verbis ad lenitatem compositis irritatos animos reprimunt. Somnum non pro aliorum hominum more capiunt, sed pecorum greges perpetuo secum circumducunt. Quotquot ex his sunt mares, horum de cornibus tintinnabula suspendunt, vt sonitus horum fures abarceat fugétque. Iam si nox ingruit, in caulas prædam cogunt, & storeas è palmis desuper iniiciunt. Huc fœminæ cum infantibus se recipiunt. Viri autem ignibus circumcirca accensis, patrias & gentiles quasdam fabulas decantando, somnum à se repellunt. Sic in multis assuefactio naturam per necessaria quædam vincit. Si qui ingrauescente senio (quod omnibus ex æquo debetur) greges assequi non possint, hos cauda bouis collo iniecta, nodóque in vertice arctè constricto, è vita exoluunt. Quòd si quis eorum exitum è vita longius extendat, quicunque velit repentè assistens, quasi beneuolentia inductus cunctationem illam summoueat, dum admonet simul & culpat tergiuersationem, eademvia hominem exanimat. Nec senio tantum exhaustos ita è viuis subducunt, verùm etiam quos pertinax morbus, aut membri alicuius vitium ad comitandum armenta inutiles reddit.

CAP. XXXI. *De scriptoribus rerum in quatuor mundi plagis.*

CVM totus habitabilis orbis quatuor in circuitu plagis sit definitus, ortu inquam & occasu, septemquetrione & meridie: quæ vesperam respiciunt, Lycus & Timæus exegerunt, quæ ad ortum sunt, Hecatæus & Basilis: septentrionibus autem subiecta, Diophantus & Demetrius: at quæ meridiei sunt obuersa, nos (ait auctor) quamuis molesta sit veritas, persecuti sumus.

CAP. XXXII. *Quod non tanta locorum sit distantia, quanta morum.*

CÆTERVM diuersissimæ hominum viuendi rationes non ita longis diuiduntur locorum interuallis. Nam ex palude Mæotica multi onerariis vecti nauigiis, decima luce in Rhodiorum portus intrant. Inde eadem nauigationis commoditate ad diem quartum Alexandriæ appellunt. Ab hac aduersus amnis decursum subuecti, intra dies alios decē, non difficili negotio, Æthiopiam contingere possunt.

τὰς δὲ ὑπὸ τῶν Ἑλλήνων [καὶ] καλουμένους κολοβούς, πᾶν τὸ τοῖς λοιποῖς μέρος περιτομῆς τυγχάνον, ξυροῖς ἀφαιρεῖν ἔστιν ἔθος νηπίων ὄντων· ἐξ οὗ καὶ τὴν εἰρημένην κλῆσιν ἑαυτοῖς πεποίηνται.

Ὅτι κέχρηται ὁ συγγραφεύς, ἀττικιστὴς ὤν, τῇ τῆς *Καμάρας λέξει.

*al. κεμάρας.

Ὅτι οἱ Τρωγλοδύται περὶ τοὺς μεταλλαχότας, φησὶν, οὕτω πράττουσι· τοῖς ἐκ τῆς παλιούρου λύγοις τὸν αὐχένα πρὸς τὰ σκέλη συνέδησαν. εἶτα ἐπ' ὄχθου ἐπιθέντες, βάλλουσι *χειροπληθέσι λίθοις, τωθασμῷ χρώμενοι καὶ γέλωτι, *ἕως ἀποκρύψωσι τὴν τοῦ τετελευτηκότος μορφήν. πάντως αἰγὸς ἄνωθεν ἐπιθέντες κέρας, ἀπαθεῖς ἀπολύονται καὶ παντελῶς ἱλαροί. οὕτω, φησὶ, ταῖς κηδείαις χρῶνται νουνεχῶς, εἴπερ μὴ *λύπην ἑαυτοῖς ἐπὶ τοῖς ἀλυπήτοις, συνέσεως σημεῖον. τὰς δὲ ὑπὲρ τῆς ἀναφυομένης αἰφνιδίως νομῆς ἔχθρας τε καὶ μάχας καὶ πολέμους αὐτῶν πρὸς ἀλλήλους (οὐδὲ γὰρ ὑπὲρ ἄλλου τινὸς μάχονται) ἀλλ' οὖν ταύτας αἱ πρεσβύτεραι γυναῖκες προπηδῶσαι διαλύουσι, καὶ τὸ μέσον ἐλθοῦσαι, καὶ τοῖς πραΰνουσι λόγοις τοὺς θυμοὺς ἠρεθισμένους καταστέλλουσαι. ὕπνῳ δὲ, φησιν, οὐ κατὰ τοὺς ἄλλους τῶν ἀνθρώπων χρῶνται· ἀλλὰ θρεμμάτων μὲν πλῆθος ἑαυτοῖς ἔχουσι συνεπόμενον, κώδωνας δὲ ἐξήρτησαν ἐκ τῶν κεράτων τῶν ἀρρένων πάντων, ὅπως ὁ ἀπ' αὐτῶν ψόφος διώκῃ τὰ θηρία. ἐπὰν δὲ νὺξ ἐπῇ, εἰς μάνδρας μὲν συνάγουσι τὴν λείαν, ἄνωθεν δὲ ἐπιβάλλουσι ῥιπὰς ἐκ φοινίκων. καὶ αἱ μὲν γυναῖκες μετὰ τῶν νηπίων τούτοις ἐπιβαίνουσιν· οἱ δὲ ἄνδρες πυρὰ *καίουσι κύκλῳ, ᾄδοντες πατρίους τινὰς μύθους· καὶ τὸν ὕπνον οὕτω παρωθοῦνται, ἐν πολλοῖς τῆς μελέτης διὰ *τὸ ἀναγκαῖα τὴν φύσιν νικώσης. ἐπὰν δέ τινες τῷ πᾶσιν ὀφειλομένῳ γήρᾳ βαρυνόμενοι μηκέτι δύνωνται ταῖς ποίμναις ἐπακολουθεῖν, περιθέντες βοὸς οὐρὰν περὶ τὸν αὐχένα τὸν αὐτῶν, καὶ τὸν ὀπίσω τοῦ τραχήλου δεσμὸν εὖ μάλα περισφίγξαντες, ἀπολύουσι τοῦ βίου. εἰ δέ τις αὐτῶν τὴν τελευτὴν ὑπερβάλλοι, παραστὰς ὁ θέλων ἄφνω, ὡς ἐπ' εὐνοίᾳ τὸν ὄκνον ἀφαιρούμενος, νουθετῶν ἅμα τῷ *λόγῳ τῆς ἀναστροφῆς, διὰ τῆς αὐτῆς ὁδοῦ παρέλυσεν. οὐ τοὺς γηράσκοντας δὲ μόνον οὕτω τοῦ ζῆν ὑπεξάγουσιν, ἀλλὰ καὶ οὓς ἢ νόσος ἐπίμονος, ἢ μελῶν τινος πήρωσις ἀχρήστους εἰς τὸ ταῖς ἀγέλαις παρακολουθεῖν συνίστησι.

*al. χειροπληθέσι. *ἕως. *λύπην ἑαυτοῖς H. S. *al. κύκλῳ κείμενα. *τῶν ἀναγκαίων. *ψόγῳ H. St.

ΟΤι, *φησὶ, τῆς ὅλης οἰκουμένης ἐν τέτταρσι κυκλιζομένης μέρεσιν, ἀνατολῆς λέγω, δύσεως, ἄρκτου καὶ μεσημβρίας· τὰ μὲν πρὸς ἑσπέραν ἐξείργασται Λύκος τε καὶ *Τίμαιος· τὰ δὲ πρὸς ἀνατολὰς, Ἑκαταῖος καὶ Βάσιλις· τὰ δὲ πρὸς [τὰς] ἄρκτους, Διόφαντος καὶ Δημήτριος· τὰ δὲ πρὸς μεσημβρίαν, φορτικὸν, φησὶ, τὸ ἀληθὲς, ἡμεῖς.

*al. φασί. *al. Τιμαῖος.

ΟΤι τοὺς τῶν ἀνθρώπων διαφορωτάτους βίους οὐ πολὺ διαμερίζει καὶ διορίζει τόπος. ἐκ γὰρ τῆς Μαιώτιδος λίμνης, πολλοὶ τῶν φορτιζομένων ἐν φορτηγοῖς ἀκάτοις, *δεκαταῖοι κατῆραν εἰς τὸν Ῥοδίων λιμένα· ἀφ' ὧν ὑπὸ τὸν αὐτὸν καιρὸν τεταρταῖοι μὲν ἀφίκοντο εἰς τὴν Ἀλεξάνδρειαν· ἐκ δὲ ταύτης, ἀνατρέψαντες ῥεῦμα πλέοντες ἀνὰ τὸν ποταμὸν, ἐν ἄλλαις δέκα παραγένοιντ' ἂν οὐ χαλεπῶς εἰς Αἰθιοπίαν

*al. ἐνναταῖοι.

ὥστε ἀπὸ τῆς ὑπερβολῆς τῆς ψύχους εἰς ἄκραν τοῦ καύματος τὴν ἀκμὴν μὴ πλείους εἴκοσι γίνεσθαι καὶ πέντε τοῖς κομιζομένοις ἐνδελεχῶς ἡμέραις. ἀλλ' ὅμως, τοσαύτης οὔσης τῆς τοπικῆς διαστάσεως, ἀνυπέρβλητον ἔχουσι πρὸς ἀλλήλους οἱ ἄνθρωποι * τήν τε βίων καὶ τῶν * ἐθῶν καὶ τοῦ ἀέρος τὴν διαφοράν· ὥστε μηδὲ πιστεύεσθαι παρ' ἑτέροις τὰ παρ' * ἀλλήλοις συνήθη τε καὶ ὁμολογούμενα, μηδὲ στέγειν ὅλως δύνασθαι ὧν χωρὶς ἕτεροι οὐδὲ ζῆν ἂν ἕλοιντο. οὕτως ἔχει τι φίλτρον μέγα πᾶσα συνήθεια· καὶ νικᾷ τὴν ἀπὸ τοῦ περιέχοντος δυσχέρειαν ὁ χρόνος, ὁ τὴν πρώτην διξάμενος εἰς τὸν βίον ἡλικίαν.

* τῶν τε βίων
* al. ἰδῶν.
* ἴσως.

A summo igitur frigore ad extremum æstus vigorem continuum iter facientibus, intercedunt non plures viginti quinque dies. Tam exigua vero quamuis sit locorum distantia, tanta inter se homines tamen vitæ, morumq; & aëris discrimina habent, vt maiora esse non possint, adeo vt alteri non credant, quæ apud alteros more & vsu sunt trita; itaque passim, nec omnino sufferre valeant, sine quibus alij vitam quoque acerbam sibi putent. Sic magno sui amore percellit omnis adsuetudo, & circumfusi aëris locique difficultatem tempus, primam vitæ ætatem suscipiens vincit.

AGATHARCHIDES.

Περὶ τῶν κατὰ τὴν Ἀραβίαν λεόντων.

Ὅτι οἱ κατὰ τὴν Ἀραβίαν λέοντες, φησὶ, ψιλότεροι μέν εἰσι καὶ θρασύτεροι· τῷ χρώματι δὲ ὁμαλοὶ, καθάπερ οἱ γινόμενοι περὶ τὴν Βαβυλωνίαν. οὕτω δὲ ταῖς θριξὶ στίλβοντες, ὥστε ἀπὸ τῶν αὐχένων ξανθότητα ἀπολάμπειν χρυσῷ παραπλησίαν.

De Arabiæ Leonibus.

Arabiæ leones sunt minus hirsuti & feroces, sed colore assimiles iis quos fert Babylonia. Pilis vero vsque adeo rutilis, vt ceruicum iubæ auri instar refulgeant.

CAP. xxxiii. De Arabia leonibus fulgidis.

Περὶ μυρμηκολεόντων.

* μυρμηκολεόντων.

Τῶν δὲ καλουμένων * μυρμήκων, οἱ μὲν πλεῖστοι κατὰ τὴν ἰδέαν, τῶν λοιπῶν οὐδὲν παραλλάττουσι· τὴν δὲ τῶν αἰδοίων φύσιν ἀπεστραμμένην ἔχουσιν, ἐναντίαν τοῖς ἄλλοις.

De Myrmecoleonibus.

At eorum qui Myrmecoleones appellantur, plerique specie à cæteris nihil differunt. Genitalia tamen his sunt auersa, contra quam aliis.

CAP. xxxiv.

Περὶ παρδάλεων.

Ὅτι αἱ παρδάλεις οὐκ εἰσὶ καθάπερ ἐν τοῖς τόποις τοῖς περὶ Καρίαν καὶ Λυκίαν· μακραὶ δὲ τῷ σώματι, καὶ κακοπαθεῖν ἐν τραύμασι καὶ πόνοις δυνάμεναι πολὺ μᾶλλον· τῇ δὲ ἀλκῇ * τοσοῦτον διαφέρουσι τῶν ἄλλων, ὅσον ἄγριοι ἡμέρων.

* al. τοσοῦτο.

De Pardalibus.

Pardales hîc non sunt quales in Cariæ & Lyciæ tractibus, sed corpore prolixo. Et vulnerum laborúmque molestias perferre norunt multo constantius, viribusque tanto præstant aliis, quanto cicuribus agrestes & indomitæ.

CAP. xxxv.

Περὶ * ῥινοκέρωτος.

* al. ῥινοκέρωτος.

Ὅτι ὁ ῥινόκερως, ἐλέφαντος μὲν οὐ λείπεται, τῷ δὲ ὕψει καταδεέστερος ὑπάρχει. χρῶμα δὲ ἔχει πύξῳ παρεμφερὲς * ἀπολεῖ, καὶ τὴν ἀφὴν τοῦ δέρματος σιμὸν δὲ ἐπ' ἄκρον φορεῖ τῶν μυκτήρων κέρας, σιδήρου τὴν βίαν παραπλήσιον· * ὃ τὴν μὲν ἄλλον χρόνον, πρὸς ἃς ἂν πέτρας παρατύχῃ, ῥινᾷ· προσβαλὼν τὰ στέρνα· συμπεσὸν δὲ ἐλέφαντι (τούτῳ γὰρ τὸν πάντα περὶ τῆς νομῆς διαμιλλᾶται βίον) ὑποδὺς τὴν κοιλίαν, καὶ τῷ κέρατι τὸ κύκλωμα τῆς σαρκὸς ἀναρρήξας, ἔξαιμον εὐθὺς ποιεῖ. καὶ πλείστους ἐστὶν ἐλέφαντας ἰδεῖν οὕτω τετελευτηκότας. ἂν μέντοι συμβῇ τῷ ῥινοκέρωτι τῆς κοιλίας μὴ ἅψασθαι, τοὐναντίον αὐτὸς ὑπὸ τῆς προβοσκίδος καὶ τῶν ὀδόντων τυπτόμενος, πολλαχῶς ἐξαδυνατεῖ, καὶ παραλύεται, μεγάλης ὑπαρχούσης κατὰ τὴν ἰσχὺν καὶ βίαν τῆς παραλλαγῆς.

* Ξυστὸν δὲ ἢ H. St.
* ὃ H. St.

De Rhinocerote.

Rhinoceros vastitate quidem non minor, sed altitudine inferior est elephanto, buxique refert colorem, pellis etiam contactu tenuior. Is repandum in naribus fert cornu ad ferri vim & rigorem proximè accedens. Quo, cætero quidem tempore, ad quamcumq; approximet cautem, limato, præcordia verberat impetens. sed in dimicatione cum elephanto (cum hoc enim de pascuis æternas habet côflictationes) ventré subit, & pertrupto carnium ambitu exsanguem facit. Plurimique elephantum ita exanimati cernuntur. At si aluum contingendi copia non datur, contra ipse à probo scide & dentibus ictus variis modis, amittit vires & deficit, quia robore & vi ab illo permultum differt.

CAP. xxxvi. De Rhinocerote & elephanti pugna.

Περὶ καμηλοπαρδάλεως.

Ὅτι παρὰ τοῖς Τρωγλοδύταις * ἐστὶν ἡ λεγομένη παρ' Ἕλλησι καμηλοπάρδαλις, σύνθετον τρόπον τινὰ * κατὰ τὴν φύσιν λαχοῦσα. τὴν μὲν γὰρ ποικιλίαν, ἔχει παρδάλεως· τὸ μέγεθος δὲ, καμήλου· τὸ πάχος δὲ ὑπερφυές· τὴν δὲ αὐχένα, τοιοῦτον, ὥστε ἀπ' ἄκρων ἀμέλγεσθαι τῶν δένδρων τὴν τροφήν.

* ἐστὶ δὲ.
* al. ἢ τὴν.

De Camelopardali.

Apud Troglodytas bestia est, quæ camelopardalis Græcis dicitur. Nam vt nomen ita & natura quodammodo composita est. Varietatem enim pardale habet, magnitudinem à camelo. Monstrosa ei crassities, collumque adeo prælongum, vt à summis arboribus pabulum carpat.

CAP. xxxvii. De Camelo Pardali prægrandi belua.

Περὶ σφιγγὸς, κυνοκεφάλου, καὶ κήπου.

Ὅτι αἱ σφίγγες, φησὶ, καὶ οἱ κυνοκέφαλοι καὶ κῆποι παραπέμπονται εἰς τὴν Ἀλεξάνδρειαν ἐκ τῆς Τρωγλοδυτικῆς καὶ τῆς Αἰθιοπίας. εἰσὶ δὲ αἱ μὲν σφίγγες, ταῖς γραφομέναις παρόμοιαι· πλὴν ὅτι πᾶσαν δασεῖαι καὶ ταῖς ψυχαῖς ἥμεροι καὶ

De Sphinge & Cynocephalo & Cepo.

Sphinges, & Cynocephali, & Cepi, Alexandriam ex Troglodytarum solo, & cætera Æthiopia, transmittúntur. Sunt autem Sphinges iis quæ à pictoribus adúbrantur cősimiles, nisi quod totæ hirsutæ, lenes & placidos animos

CAP. xxxviii.

AGATHARCHIDES.

habent. Plurimum eis versutiæ inest, ideoq; ad aliquam, doctrinæ compendio, scientiam perducuntur. concinnitatem in omnibus quam seruant, non abs re quis admiretur.

In Cynocephalo hominis corpus, specie turpis, adumbratur. Canina ei facies, vocem stridori muris non dissimilem exprimit. Sed immodicè ferum est animal, nec vllo modo cicuratur: vultumque à superciliis & oculis austerum prodit. Ita mas comparatus est. Fœmineo generi hoc est proprium, vt vterum extra corpus gestet, eoque habitu totam exigat vitam.

Cepus facie leonem, corpore Pantheram, & magnitudine Dorcadem (*capream seu damam*) imitatur. Prout varius est, ita & nomen (*Cepus enim, hortus est Græcis*) sibi inditum habet.

CAP. XXXIX. De Tauro carniuoro.

OMNIVM quæ adhuc commemoraui immanissimum & maximè indomitum est Taurorum genus, quod carnes vorat, magnitudine crassius domesticis, & pernicitate antecellens, insigniter rufum. Os ei ad aures vsque diductum. Visus glauco colore magis rutilat quam leoni. Cornua aliàs non secus atque aures mouet, sed in pugna, vt firmo tenore consistant, facit. Ordo pilorum inuersus contra quam aliis animantibus. Bestias etiam validissimas aggreditur, & cæteras omnes venatur, maximéque greges incolarum infestos reddit maleficio. Solum est lancea & arcu invulnerabile. Quod causæ est, vt nemo id subigere (quamuis multi id tentarint) valuerit. In fossam tamen, aut similem ei dolum, si quando incidit, præ animi ferocia cito suffocatur. Ideo rectè putatur etiam à Troglodytis, fortitudine leonis, & velocitate equi, & robore tauri præditum, ferroque cedere nescium.

De Crocotta fera.

CAP. XL. De Crocotta, vocem humanam imitante.

QVI Crocottas apud Æthiopes vocatur, inde nomen habet, quod ex lupo & cane natura eius constat, sed vtroque multo sæuior est, & tum facie tum summis pedibus longè grauior, & ventre & dentibus antepollet omnes. Etenim quodlibet genus ossis frangit haud difficulter, & dilacerata protinus consumit. Nec facile dictu quam leuiter conficiat ventre & digerat. Hoc quoque vocem effingere humanam qui perhibent, nobis fidem non faciunt. Insuper & hoc addunt, quod nominatim homines noctu euocet, hósque velut ad vocem humanam egressos, concitato irruens impetu, deuoret.

De Serpentibus stupendæ magnitudinis.

CAP. XLI. De serpentibus, & quo modo cicurentur.

SERPENTES etiam magnitudine stupendos, & genere mirum in modum varios, illis in locis esse narratur, qui omnes vitæ nutrimenta ex venatu captent. Enimuero maximus illorum, qui nostris exhibitus est oculis, triginta cubitorum videbatur. Omnis serpens, etiam vastissimus, mansuefactioni se accommodum præbet, si inopia nutrimenti premitur & maceratur. Nam vidisse se auctor testatur, qui cibi inopia, semper tamen oculis obiecti, cum in canistro victimas ad desiderium eius vndique circomponerent, simul & animi virulentiam submitteret, & vehementiorem escæ appetitum conciperet,

φρᾶσαι· καὶ πανουργίας κοινωνοῦσι πλείστης, διδασκαλίας τε μαθηματικῆς ἐπὶ ποσὸν ἅπτονται, ὥστε τὴν εὐρυθμίαν ἐν πᾶσι θαυμάζειν. ὁ δὲ κυνοκέφαλος τὸ μὲν σῶμα ἀνθρώπου δυσειδοῦς ὑπογράφει, τὸ πρόσωπον δὲ κυνός· φωνὴν δὲ ἀφίησι μυγμῷ παραπλησίαν· ἄγριον δὲ ὑπερβολῇ καὶ τελείως ἀτιθάσευτον, καὶ τὴν ὄψιν ἐμφαῖνον ἀπό τε τῶν ὀφρύων καὶ τῶν ὀμμάτων αὐστηράν. περὶ μὲν τὸν ἄρρενα ταῦτα· τῇ δὲ θηλείᾳ προσκεῖται καὶ τὸ τὴν μήτραν ἔξω τοῦ σώματος φορεῖν, καὶ οὕτω *διαζῆν πάντα τὸν βίον. Ὁ δὲ κῆπος ἔχει τὸ μὲν πρόσωπον λέοντι, τὸ δὲ σῶμα πανθήρᾳ, τὸ δὲ μέγεθος δορκάδι, κατὰ τὴν ποικιλίαν καὶ τὴν προσηγορίαν λαβών. Πάντων δὲ τῶν εἰρημένων ἀγριώτατον καὶ *δυσκατεργαστότατον τὸ τῶν ταύρων τῶν σαρκοφάγων γένος· ὁ τῷ μεγέθει μὲν ὑπάρχει τῶν ἡμέρων ἁδρότερον, τάχει δὲ ὑπερβάλλον, πυρρὸν δὲ ἐξαισίως. καὶ τὸ μὲν στόμα μέχρι τῶν ὤτων καὶ αὐτὸ διέστηκεν· ὄμμα δὲ ὑποφαίνει γλαυκότερον λέοντος. τὰ δὲ κέρατα τὸν μὲν ἄλλον χρόνον τοῖς ὠσὶ παραπλησίως κινεῖ· μάχῃ δὲ χρώμενον, ἵστησιν ἀραρότως. τὴν δὲ ἐπαγωγὴν τῆς τριχὸς ἐναντίαν ἔχει τοῖς ἄλλοις. τοῦτο δὲ τοῖς τε ἀλκιμωτάτοις ἐπιτίθεται, καὶ κυνηγεῖ τὰ λοιπὰ τῶν ζώων· καὶ τὰς ποίμνας τῶν ἐπιχωρίων μάλιστα κακοποιεῖ· καὶ μόνον ἐστὶν ἄτρωτον λόγχῃ καὶ τόξῳ· διὸ καὶ ποιῆσαι μὲν ὑποχείριον οὐδείς, πολλῶν ἐπιβεβλημένων, κατίσχυσε. τὸ δὲ εἰς ὄρυγμα ἐμπεσόν, ἤ τινα δόλον τοιοῦτον παραπλήσιον, ὑπὸ τοῦ θυμοῦ συντόμως γίνεται περίπνιγες. καὶ τὸ μὲν θηρίον εἰκότως κρίνεται [καὶ] παρὰ Τρωγλοδύταις ἀλκὴν μὲν ἔχειν λέοντος, τάχος δὲ ἵππου, ῥώμην δὲ ταύρου, σιδήρῳ δὲ οὐχ ὑπεῖκον.

* διάγειν.

*al. δυσοργητ[illegible]

Περὶ κροκόττα θηρίου.

ΟΤι κατὰ τὴν Αἰθιοπίαν κροκόττας ἐστὶ μὲν ὀνομαζόμενος ὡς ἐκ λύκου καὶ κυνὸς σύνθετος, ἀμφοῖν δὲ ἀγριώτερος, καὶ πολλῷ βαρύτερος ἀπό τε τοῦ προσώπου καὶ τῶν *ἄκρων ποδῶν· ἀλκῇ δὲ θαυμαστόν· ὀδοῦσι δὲ καὶ κοιλίᾳ δυνατώτατον τῶν ἄλλων. καὶ γὰρ κατάγνυσιν εὐπόρως πᾶν ὀστοῦ γένος, καὶ τὸ διαιρεθὲν εὐθέως διαπέπτηται· καὶ περὶ τὰς πέψεις ἀδιήγητον. τοῦτο δὲ καὶ μιμεῖσθαί τινες τὴν ἀνθρωπίνην διάλεκτον διηγούμενοι, ἡμᾶς μὲν οὐ πείθουσιν· ἐκεῖνοι δὲ καὶ τοῦτο προστιθέασιν, ὡς καὶ ἐξ ὀνόματος κατὰ τὰς νύκτας καλοῦντες, τοὺς δὲ ὡς ἐπ' ἀνθρώπου φωνῇ προσιόντας· οἱ δὲ ἀθρόον ἐπεισπίπτοντες, κατεσθίουσι.

* al. ἀκρωτηρίων ἰδίᾳ δὲ θαυμαστὸν τῶν ἄλλων.

Περὶ ὄφεων παραδόξων τῷ μεγέθει.

ΟΤι ὄφεων, φησι, λέγεται μεγέθη παράδοξα ἐν τοῖς τόποις εἶναι, καὶ γένει θαυμαστά, καὶ πάντα ἀπὸ κυνηγίας ἔχοντα τὸν βίον. τῶν μέντοι ὑπὸ τὴν ἡμετέραν, φησίν, ὄψιν πεπτωκότων ὁ μέγιστος ἐφάνη πηχῶν τριάκοντα. γίνεται δέ, φησι, πᾶς ὄφις, καὶ ὁ μέγιστος, χειροήθης, ἐνδείᾳ τῶν ἀναγκαίων πιεζόμενός τε καὶ κακουχούμενος. καὶ γὰρ καὶ ὃν ἰδεῖν ἐκεῖνός φησιν, ὁπότε τῆς τροφῆς ἀπορίᾳ *προσκεχ[illegible] συνεχῶς, ἅμα τὸν θυμὸν ἐταπείνου, καὶ τροφῆς ὄρεξιν ἐνεποίει σφοδροτέραν· τηνικαῦτα ἐντὸς τοῦ πλέγματος περιβαλόντες ἱερεῖα πρὸς τὴν ἐπιθυμίαν.

* al. [illegible]

ὑπο

ὑπὸ παρεστώτων χειροήθη καὶ πρᾶον τὸ ἄγριον, ὥστε μηδὲν τῶν ἄλλων νομίζειν μήτε ἡμερώτερον μήτε φοβερώτερον. εἰκότως, οἶμαι, τοῖς ὑποχειρίοις τῶν ζώων τοῦτο συναντᾶται. τὸ μὲν γὰρ ἀντιβαῖνον κακοῦται, τὸ δὲ συγχωροῦν τρέφεται. πᾶν δὲ θηρίον διδάσκεται σωφρονεῖν, οὐ λόγῳ τὴν ἐκδοχὴν τοῦ κρείττονος μανθάνον, παραπεπλεγμένης δὲ ἐναλλὰξ τοῖς πάθεσι τῆς μνήμης.

περὶ θερμῶν ὑδάτων αὐτοφυῶν.

ΟΤι, φησί, πολλῶν ὑπαρχόντων θαυμασίων, καὶ πόρρω κειμένων ἀπὸ τῆς συνηθείας, αὐτοὺς ἐπελεύσομαι τῶν τόπων τοὺς μνήμης ἀξίους. πρῶτον μὲν ἀπ' Ἀρσινόης παραθέοντι τὴν δεξιὰν ἤπειρον θερμὰ πλείοσιν αὐλοῖς ἐκ πέτρας ὑψηλῆς εἰς θάλατταν διηθεῖται, στενοὺς ἔχοντα πόρους, οὐ γλυκέος ὕδατος, ἀλλὰ πικρᾶς ἁλμυρίδος τε καὶ πηγῆς φύσιν ἐχούσης τοιαύτην. εἶτα ἀπὸ τῆς λίμνης * συμβέβηκεν ὁ Νεῖλος, ὀχετοῦ διά τινων ἀραιωμάτων εἰς τὸν κοιλότατον ὑποδεδυκότος τόπον. πλησίον δὲ τῆς λίμνης εὐμεγέθει πεδίῳ βεβηκὸς ὄρος ἀναφαίνεται μιλτῶδες, ἄλλην μὲν οὐδεμίαν ὑποδεικνύον ἰδιότητα, χροιὰν δὲ τοιαύτην ἀπὸ τῆς κορυφῆς σημαῖνον τῆς ἄκρας, ὥστε τῶν ἀτενιζόντων τὰς ὄψεις ἐπὶ πλέον βλάπτεσθαι. ἐφεξῆς δὲ λιμὴν μέγας ἐκδέχεται, ὃς πρότερον μὲν Μυὸς ἐκαλεῖτο ὅρμος, ἔπειτα δὲ Ἀφροδίτης ὠνομάσθη. ἐν οἷς καὶ νῆσοι τρεῖς εἰσὶ * προκείμεναι, ὧν αἱ μὲν ἐλαίαις πεπύκνωνται, μία δὲ * ἧττον μὲν δασεῖα, τῶν δὲ καλουμένων μελεαγρίδων ἐκτρέφουσα πλῆθος. τούτοις δὲ ἐγγίζει κόλπος, ὃν καλοῦσιν ἀκάθαρτον· ὃν παραπλεύσαντι νῆσος ἔγκειται, τῇ μὲν θέσει πελαγία, μῆκος ἔχουσα σταδίων ὡς ὀγδοήκοντα, ἣν καλοῦσιν ὀφιώδη, πρότερον μὲν * γέμουσαν παντοίων ἑρπετῶν, ἐφ' ἡμῶν δὲ * ἐλευθέραν τούτων. ἐν δὲ ταύτῃ γίνεται τῇ νήσῳ, φησί, καὶ τὸ καλούμενον τοπάζιον. ἔστι δὲ τοῦτο λίθος διαφαινόμενος, ὑάλῳ προσεμφερής, ἡδεῖαν ἐν χρυσῷ θεωρίαν ἀποδιδούς. τοῦτον τὸν λίθον οἱ τὴν νῆσον οἰκοῦντες, καὶ τὸν λίθον βασιλικῷ φυλάσσοντες καὶ συλλέγοντες προστάγματι, οὕτω λαμβάνουσιν· ἐν τῇ νυκτὶ πρὸς μέρος περιπλέουσιν, ἔχοντες παντοίας τοῖς μεγέθεσι σκαφίδας. ὁ δὲ ἐν ταῖς πέτραις λίθος, τὴν μὲν ἡμέραν ὑπὸ τοῦ φέγγους κρατούμενος, διὰ τὸ πνῖγος οὐ γίνεται σύνδηλος· * σκότου δὲ ἐπιστάντος, ἐν ᾧ ποτ' ἂν ᾖ πεφυκώς, διαλάμπει πάντοθεν. ὁ δὲ συνιδὼν φύλαξ τηλικοῦτον περιέθηκεν ἄγγος σημείου χάριν περὶ τὸ διαστίλβον, ἡλίκον ἂν ᾖ τοῦ θεωρουμένου φαντάσματος τὸ μέγεθος· εἶτα τὴν ἡμέραν ἐπερχόμενος, ἰσοπληθῆ τῇ προειρημένῃ περιτεμὼν πέτραν, τοῖς ἐκλεαίνειν δυναμένοις τεχνίταις παραδίδωσι. μετὰ δὲ ταῦτα τὸ πέλαγος οὕτως ἐστὶ ταπεινόν, ὥστε μήτε πλεῖον δυεῖν ὀργυιῶν ἀναμετρεῖσθαι καὶ χλωρὸν πάντοθεν, οὐ τῇ φύσει τῶν ὑγρῶν, ἀλλ' ὑπὸ τοῦ διαφαινομένου μνίου τε καὶ φύκους. ὅθεν καὶ κυνῶν ἔχει θαλαττίων ἀναρίθμητον πλῆθος. δι' ἣν αἰτίαν ὁ ῥηθεὶς πόρος ναυσὶ μὲν μακραῖς καὶ τοῖς * ἐπήρεσι πλοίοις γίνεται εὐάρμοστος. ἀκύμων τε γάρ ἐστι, οὔτε ἐκ πολλοῦ κυλίων τὸν κλύδωνα, καὶ θήραν ἰχθύων παραδίδωσιν ἄπιστον.

* συμβέβληκεν H. St.
* al. [illegible]
* ἧττα.
* γέμουσα & ἐλευθέρα H. St.
* al. σκότους.
* [illegible]

tandémque beluam quantumuis ferocem & sæuam, tam cicurem & placidam esse factam, vt nec mitius inter alia cuncta, nec terribilius quicquam esse iudicetur. Consentaneum hoc est, arbitror, bestiis contingere mansuefactis. Nam quod contra tendit malè tractatur, quod vero cedit, nutritur. Quæuis etiam bestia sapere discit, non ratione melioris electionem docta, sed implicata est per vices affectioni memoria.

De calidis aquis sponte nascentibus.

CVm multa sint admirationis plena, & à vulgari consuetudine procul seiuncta, ad ipsa quæ commemoratione digna habentur loca (inquit) me conferam. Primo igitur, si quis ab Arsinoë continentem prætercurrit dextram, Thermæ, pluribus ceu fistulis, ex sublimi petra in mare percoluntur, quæ angustos habent meatus, non dulcis aquæ, sed amaræ salsilaginis, & fontis talem sortiti naturam. Postea à lacu obuius est Nilus, dum riuus eius per laxa & spongiosa quædam in locum maximè humilem & concauum transcurrit. Iuxta lacum in campo satis spatioso mons assurgere videtur, rubricæ metallo fœcundus, qui, vt nihil aliud exhibeat singulare, eiusmodi tamen colorem à summo vertice ostendit, vt oculi intentè ad tempus contuentium lædantur. Hinc portus excipit magnus, qui primò Muris, deinde Veneris cognomentum fuit attributum. Vbi tres etiam insulæ extant, quarum duæ oliuas habent crebras & densas: vna minus quidem syluosa est, sed auium, quas Meleagridos vocant, copiam nutrit. His propinquus est sinus, quem impurum nominant. Quem vbi prænauigaris, insula exporrigitur, in pelago sita, longitudine stadiorum xxc. circiter, nomine Serpentinæ. Nam omnis generis serpentibus quondam referta erat, sed ætate nostra libera est. In hac lapillus nascitur, Topazij nomine celebris. Pellucidus est & vitro similis, iucundúmque in auro contuitum sui præbet. Hoc insulæ habitatores, qui etiam regio lapidem edicto custodiunt & colligunt, isto modo potiuntur. Noctu per vices circumuagantur, ligonibus variæ magnitudinis instructi. Nam intra petras lapis, quia interdiu à luce superatur, propter æstum non fit manifestus, sed ingruente noctis vmbra, vbicunque loci nascitur, ab omni parte resplendet. Quo obseruato, custos signi causa id quod splendet tanto circundat vase, quantam visæ imaginis magnitudinem esse arbitratur. Per diurnam postea lucem accedens, cùm æqualem priori designationi partem saxi excidit, magistris lævigandi peritis segmentum tradit. Post hæc mare adeò humile est & exiguæ profunditatis, vt nec binas orgyas mensura superet, circumquaque etiam viride, non aquarum natura, sed à musco & alga, colorem suum trahsmittente: Vnde & canum marinorum innumerabilis illic est multitudo. Quam ob causam naui longa, & his quæ remigio promouentur, iter illac percommodum est & aptum, tempestates enim ignorat, nec fluctus è longinquo aduoluitur, & incredibilem piscium sufficit prædam.

AGATHARCHIDES.

CAP. XLII. Locorum insignium notatio, transeuntis in Aethiopiam, vbi de ins. Serpentina, Topazio, & interitu naturarum circa Syrtes.

AGATHARCHIDES.

Circa hæc loca, nauibus quæ elephantos vehunt accidens infortunium, ad magnam spectantes misericordiam erga afflictos prouocat. Nauigia enim fluctus repente scopulo illidit, aut in angustias arenarum, veluti carceres, compingit, omnémq; salutis viam nautis præcludit. Ideò prolixus initio conquestus eò delatos occupat, melioris tamen fortunæ spe non abiecta. Iam enim nonnullos, eò discriminis redactos, æstus, intumescente ex mari fluctu, repentè susceptos seruauit. Quando verò alimenta deficiunt, innumeræ succedunt anxietates: donec ad vltimum omnes absumuntur, aut fame, aut, si diuturnam famis tabem non perferunt, ense confecti, aut spontaneo impulsu in æquor præcipitati.

CAP. XLIII. *De locis supra Ptolemaidem & ingentibus belluis.*

LOCA ad Tauros & Ptolemaidem vsq; explicata sunt. His autem superiora transitum non ita vulgarem admittunt. Vlteriora enim non ad meridiem ampliùs iacent, sed magis ac magis ad ortum se reflectunt, & vmbras intra horas binas (anni partes) proiiciunt in oppositam septentrionibus plagam. Fontes etiam edunt è Psebæis (quos vocant) montibus scaturientes. Eius regionis tractus, qui mediterranea spectat, plenus est elephantis ac rhinocerotibus, taurisque & suibus. Quæ verò ad sinum pertingunt, conferta sunt insulis: sed hæ fructuum inopes, auibus, quarum species nec dum compertæ, frequentantur. Mare exinde profundum est & nauigabile, vbi tantæ vastitatis sunt cete, vt horrorem incutiant videnti. Nautas tamen haud vexant, nisi si qui inuiti in vertices incurrunt, imperitia locorum. Non enim consectari possunt audacius nauigantes, cùm obtusa oculorum sit acies, è mari eminentibus.

CAP. XLIV. *De Nessa anatum multitudine.*

PALMETI illic superiora, quæ oculis se offerunt, obtinentur à petris celsitudin[illegible] variis. Porrectis autem ad mare littus subiectum est angustum & longùm. Mare illud attingens locus, quem Nessam (Anatem) ab animalium multitudine, nuncupant. Iacet hæc iuxta promontorium apprimè syluosum, & si directè spectetur, ad petram (huius nominis locum) & Palæstinam vsq; expanditur. In hanc Gerrhæi & Minæi, & omnes in propinquo Arabes, thus (vt ferunt) & rerum fragrantium sarcinas, è superiori prouincia deportant.

CAP. XLV. *Bythemanensium terra, pascuis felix: sed noxiorum animalium copia infelix.*

POST Læanitem (vt vocant) sinum, quem circumhabitant Arabes, Bythemanensium terra exsistit, spaciosa & plana, totáque irrigua & profunda. Gramine tantùm & medica atque loto, ad viri staturam assurgente, omnis ei fructus definitur; nec præterea quicquam agricolatur. Ideoque multæ in ea cameli agrestes, multæ ceruorum & dorcadum cateruæ, multi etiam ouium greges, & infinita mulorum atque boum armenta. His autem sortis beatæ commodis infortunium hoc annexum est, vt leonum luporumque & pardalium copiam tellus producat. Quod igitur regioni felicitatem efficit, habitatoribus causa est infelicitatis.

Nihil est ab omni parte beatum.

τὸ δὲ περὶ τὰς ἐλεφαντηγοὺς κακὸν, πολλοῦ ἔλεον τοῖς πάσχουσιν ἀπὸ τῶν ὁρώντων ἐκκαλεῖται. τὰ γὰρ πλοῖα τὸ κῦμα ἐξαίφνης ἢ τῇ πέτρᾳ περιέθηκεν, ἢ πρὸς ἀμμώδη συνήλασε περιοχὴν, καὶ ἄπορον τὴν σωτηρίαν παρέσχε τοῖς ἐμπλέουσι. διὸ τὰ μὲν πρῶτα ὀδυρμὸς τοὺς ἐπιπλέοντας συνέχει πολὺς μὲν, οὐκ ἀπογνώσει δὲ τῆς ἀμείνω προσδοκίας. ἤδη γάρ τινας οὕτως ἀπενεχθέντας σέσωκε πλημμυρὶς *ὑπολαβοῦσα τοῖς ἀνοιδοῦσιν αἰφνιδίως ἐκ τῆς θαλάττης ὄγκοις. ἐπὰν δὲ λήγῃ τὰ τῆς τροφῆς, μυρία μὲν ἀναδέχονται πάθη, τέλος δὲ *ἀναλίσκονται πάντες ἢ λιμῷ, ἢ (τοῦ λιμοῦ τὸ μακροχρόνιον οὐ φέροντες) ξίφει, ἢ αὐτῇ θαλάσσῃ σφᾶς αὐτοὺς ἐπιρρίπτοντες.

*al. ἐπιλαβοῦσα *al. ἀλίσκονται

ΟΤι, φησὶ, τὰ μέχρι τῶν ταύρων καὶ Πτολεμαΐδος, ἡρμήνευται· τὰ δὲ ἀνωτέρω τούτων οὐ τὴν τυχοῦσαν* λαμβάνει μετάβασιν. κεῖται γὰρ οὐκέτι τὰ ἐπέκεινα πρὸς μεσημβρίαν τῆς χώρας, εἰσὶ δὲ παρὰ τὴν ἀνατολὴν ἀναστρέφει μᾶλλον, καὶ τὰς σκιὰς βάλλει τέως δυεῖν ὡρῶν, εἰς τὸν ἀντικείμενον τόπον τῆς ἄρκτου. ἔτι δὲ [ποταμοῖς] *κατορρεῖται· τὰς πηγὰς ἀναφαίνουσιν ἀπὸ τῶν *ψεβαιῶν καλουμένων ὀρῶν. τῆς δὲ χώρας ἡ μὲν εἰς τὴν μεσόγειαν ἀνατείνουσα, πλήρης ἐλεφάντων καὶ ῥινοκερώτων καὶ ταύρων καὶ ὑῶν. τὰ δὲ εἰς τὸν πόρον καθήκοντα, νήσοις ἅπαντα πυκνοῦται· τῇ φύσει μὲν ἀκάρποις, γεμούσαις δὲ *ἀνιστορήτων ὀρνέων ἰδέας ἐχόντων. τὸ δὲ ἀπὸ τοῦδε, ἡ μὲν θάλαττα, βαθεῖά τε καὶ *πλόϊμος· κήτη δὲ ἔχει τηλικαῦτα, ὥστε ἀγωνιᾶν τὸν *ἰδόντα· οὐ μέντοι διαπεφώνηκεν οὐδεὶς, πλὴν τῶν περιπεπτωκότων *ἀκουσίως ταῖς λοφιαῖς, διὰ τὴν τῶν εἰρημένων ἄγνοιαν. καὶ γὰρ οὐδὲ διώκειν δύναται θρασύτερον τοὺς πλέοντας, τῶν ὀμμάτων τοῖς θηρίοις ἀμαυρουμένων, ὅταν ἐκ τῆς θαλάττης τὰ πρόσωπα ἀναφλύωσιν.

*al. μεταλαμβάνει. *κατορρέουσα. H. St. *ψεβαίων. H. St. *ἀνιστορήτων. H. St. *πλώϊμος. H. St. *ἰδόντα M. M. *ἐκουσίως. M. M.

ΟΤι τοῦ φοινικῶνος τὰ μὲν ἄνωθεν ὀρώμενα, πέτραις ὕψεσι ποικίλαις κατέχεται. καὶ τοῖς δὲ πρὸς θάλασσαν διήκουσιν ἠϊὼν ὑπόκειται στενή τε καὶ μακρά· τῇ δὲ εἰρημένῃ παραλίᾳ συνάπτει μὲν τόπος, ὃν προσηγόρευσαν νήσσας, ἀπὸ τῆς τῶν ζώων πολυπληθίας· αὕτη δὲ ἡ νῆσσα κεῖται μὲν ἐγγὺς ἀκρωτηρίου καθ' ὑπερβολὴν ὑλώδους, διατείνει δὲ ἐπ' εὐθείας θεωρουμένη πρός τε τὴν πέτραν καλουμένην καὶ τὴν παλαιστίνην, εἰς ἣν γερραῖοι, καὶ *μιναῖοι, καὶ πάντες οἱ πλησίον ἔχοντες τὰς οἰκήσεις ἄραβες, τόν τε λιβανωτὸν ὡς λόγος, καὶ τὰ φορτία τὰ πρὸς εὐωδίαν ἀνήκοντα, ἀπὸ τῆς χώρας τῆς ἄνω κατάγουσιν.

*al. μινναῖοι.

ΟΤι μετὰ τὸν καλούμενον λαιανίτην κόλπον, ὃν ἄραβες περιοικοῦσιν, ἡ *βυθημανέων ἐστὶ γῆ, πολλή τε καὶ πεδιὰς, καὶ πᾶσα κατάρρυτος καὶ βαθεῖα. ἀγρώστει δὲ μόνον καὶ μηδικῇ καὶ λωτῷ βάθος ἀνδρομήκης ἔχοντι πᾶς ὁ καρπὸς αὐτῇ περιγράφεται· ἕτερον δὲ γεωργεῖ οὐδέν. διὸ πολλαὶ μὲν ἐν αὐτῇ ἄγριαι κάμηλοι, πολλαὶ δὲ ἐλάφων καὶ δορκάδων ἀγέλαι, συχναὶ δὲ ποίμναι προβάτων, καὶ ἀμύθητος ἀριθμὸς ἡμιόνων καὶ βοῶν. τούτοις δὲ τοῖς *ἐκπληρώμασιν ἀντικείμενον παραπέπλεκται κακόν. λεόντων γὰρ καὶ λύκων καὶ παρδαλέων συναναφέρει πλῆθος ἡ γῆ· ὡς εἶναι τὸ τῆς χώρας ἐπίτευγμα τοῖς οἰκηταῖς αἴτιον ἀκληρίας.

*al. Βυθημανίων. *al. ἐγκλήμασιν

Ἀπὸ

Ἀπὸ δὲ τῶν ἐφεξῆς αἰγιαλῶν κόλπος ἐστὶ, τεθεικὼς μὲν εἰς τὸν μυχὸν τῆς χώρας, οὐκ ἔλαττον δὲ σταδίων πεντακοσίων ὑποδείκνυσι τὸ βάθος. οἱ δὲ τὸν ἐντὸς τοῦ κόλπου κατοικοῦντες, καλοῦνται μὲν Βατμιζομανεῖς· εἰσὶ δὲ κυνηγοὶ τῶν (τε) χερσαίων ζώων. τὴν δὲ εἰρημένην χώραν νῆσοι τρεῖς ἐκδέχονται, λιμένας ποιοῦσαι πλείους· ὧν τὴν πρώτην Ἴσιδος ἱερὰν ὠνόμασαν· τὴν δὲ δευτέραν, *Σουκαβύαν· τὴν δὲ τρίτην, Σαλυδώ. ἐρήμους δὲ πάσας καὶ συσκίους ἐλαίαις οὐ ταῖς παρ' ἡμῖν, ἀλλὰ ταῖς ἐν ἐκείνοις τοῖς τόποις φυομέναις.

* Σούγαβον & Σούκαβον.

Μετὰ δὲ τὰς νήσους τὰς ἐκκειμένας ἐστὶν ἰδεῖν αἰγιαλὸν λιθώδη καὶ μακρόν· ἡ δὲ χώρα, *Θαμουδηνῶν Ἀράβων· ὁ δὲ πρὸς ταύτην παράπλους, ἐπὶ σταδίους τοὺς χιλίους πλείους πάντων χαλεπώτατος. οὐ γὰρ (ἐστὶν) οὐκ ἔτι λιμὴν ἔφορμος, οὐ σάλος ἐπ' ἀγκύρας, οὐ κόλπος *ἐπισκεπὴς, οὐ χηλὴ ἐντύπωμα, ἀναγκαία καταφυγὴ, τῶν *ναυτιλλομένων δεχόμενον. μετὰ ταῦτα δὲ οὐκ εὐθὺς ἐφεξῆς, ἀλλὰ μεθ' ἕτερά τινα, ἐστὶν αἰγιαλὸς εἰς ὑπερβολὴν κάθυδρος ἐκτεινόμενος, καὶ τὸ περιηγορευμένον *Λαιμὸν ὄρος· ἀμύθητον μὲν ἀναφαῖνον τῆς περιμέτρου τὸ μέγεθος, παντοίας δὲ ὕλης δρυμοῖς διεζωσμένον.

* Θαμουδηνῶν, H. St.
* ἐπὶ σκέπη, H. St.
* ναυτίλων, H. St.
* Λαιμὸν ὄρος.

Περὶ ἔθνους τῶν Δεδεβῶν.

Ὅτι τὴν ἀστυγείτονα τῆς ὀρεινῆς χώρας *Δεδεβαὶ κατοικοῦσιν οἱ μὲν νομάδες, οἱ δὲ γεωργοί. ὧν κατὰ μέσην τὴν χώραν ποταμὸς διαφέρεται τριμερὴς μὲν τῇ φύσει, ψῆγμα δὲ χρυσοῦ καταγαγὼν, ὥστε σύνδηλον τὴν δαψίλειαν ἔχειν, ὥστε τὴν ἰλὺν τὴν πρὸς ταῖς ἐκβολαῖς συνηγμένην, πόρρωθεν ἀποστίλβειν. οἱ δὲ τὸν τόπον οἰκοῦντες, τῆς μὲν ἐργασίας εἰσὶ τῆς τοιαύτης ἄπειροι· φιλόξενοι δὲ εἰς ὑπερβολὴν οὐ πᾶσιν ἀνθρώποις, ἀλλὰ τοῖς ἀπὸ Πελοποννήσου διεκβάλλουσι καὶ Βοιωτίας, διά τινα μυθικὴν ἀφ' Ἡρακλέους ἱστορίαν.

* ἴσ. Δέβαι.

Τούτων ἀστυγείτονές εἰσιν Ἀλιλαῖοι καὶ Κασανδρεῖς καλοῦνται· γῆν δὲ οὐδαμῶς ἐοικυῖαν τῇ προειρημένῃ. οὔτε γὰρ ἐψυγμένος ὁ ἀὴρ, οὔτε ξηρὸς, οὔτε ἔμπυρος· μαλακὴν δὲ καὶ δασεῖαν νεφέλην ὑποδεικνύων· ἀφ' ἧς (ὑετοὶ) καὶ χειμῶνες γίνονται καὶ θέρους ἐν καιρῷ. τὸ τε χώρας ἡ πλείστη πάμφορος μέν ἐστιν· οὐ πᾶσα δὲ τυγχάνει θεραπείας, τῶν ἄλλων ἀπειροτέρων ὄντων. τὸν μέν τοι χρυσὸν ὀρύσσοντες, ἐν τοῖς πλακώδεσι τῆς χώρας ὑπονόμοις εὑρίσκουσι πολύν· οὐ τὸν συντηκόμενον μετ' ἐπιστήμης καὶ τέχνης (ἐκ) τοῦ ψήγματος, ἀλλὰ τὸν αὐτοφυῆ καλούμενον δὲ, διὰ τὸ συμβαῖνον, παρ' Ἕλλησιν, ἄπυρον. οὗ τὸ μὲν ἐλάχιστον ἔχει μέγεθος πυρῆνος· τὸ δὲ μέσον, μεσπίλου· τὸ δὲ μέγιστον, ὥστε βασιλικοῖς παραβάλλεσθαι καρύοις. ὃν τρήσαντες ἐναλλὰξ διαφανέσι λίθοις, περί τε τοὺς καρποὺς φοροῦσι τῶν χειρῶν, καὶ περὶ τοὺς αὐχένας. πρός τε τοὺς ἀστυγείτονας μετάγοντες, πωλοῦσιν εὐτελῶς. τὸν μὲν γὰρ χαλκὸν πρὸς τὸν χρυσὸν, τρισταθμον ἀλλάττονται· τὸν δὲ σίδηρον, πρὸς διπλοῦν χρυσίον. ὁ δὲ ἄργυρος τοῦ χρυσοῦ δέκα δύναται μοίρας, τῇ δαψιλείᾳ καὶ σπάνει τῆς ἀξίας παραμετρουμένης, ἐν οἷς ἀποβλέπει πᾶς ὁ βίος οὐ πρὸς τὴν φύσιν, ἀλλὰ πρὸς τὴν χρείαν. τούτων δὲ τῶν ἀνθρώπων συνεχεῖς *Καρβαὶ κατοικοῦσι τὴν ἤπειρον ἐκδεχομένου λιμένος ἀγχιβαθοῦς, ἐν ᾧ κρῆναι πλείους ἀναβάλλουσι.

* ἴσ. Κάρβαι.

AGATHARCHIDES. CAP. XLVI. *De Batizomanensi terra.*

A Proximis inde littoribus sinus est, ad regionis illius interiora deuergens, qui profunditate ad minimum D. stadiorum deprehenditur. Intra complexum huius qui habitant, Batmizomanensium habent nomẽ, bestiarum terrestrium venatores. Hanc terram tres sequuntur insulæ, pluribus obuiæ portubus. Prima Isidi sacra: altera Succaba: tertia Salydo nominatur. Desertæ omnes, & oliuis vmbrosæ: non quales apud nos, sed illis in locis, crescunt.

CAP. XLVII. *De difficili quodam traiectu.*

POST expositas iam insulas, littus patet lapidosum & magnum. Terra est Arabum Thamudenorum, propter quam nauigantibus iter est, vltra CIↃ. stadia, omnium molestissimum. Non enim portus ibi est, accessui & stationi commodus: non solum ancoris opportunum, non portus ad protectionem, non vngulæ vestigium, quo ceu necessario nauta perfugio recipiatur. Post hæc, non continenter, sed per interualla, littus extenditur nimis quàm lapidosum: & mons Læmus inexplicabilem circuitus magnitudinem ostentans, & arborum omnis generis saltubus amictus.

De gente Dedebarum.

CAP. XLVIII. *De amni Dedebarum aurifero.*

INITIUM A desertis his montanis Dedebæ incolunt, partim armentarij, partim agricolæ, quorum per mediam regionem amnis labitur natura tripartitus, & ramenta auri defert, tam conspicua vbertate, vt limus ad ostia coaceruatus, procul inde rutilet. Loci possessores ignari sunt id genus operationis, sed eximiè hospitales, non quidem erga homines vniuersos, sed eos præcipuè, qui ex Peloponneso & Bœotia illac traiiciunt: propter fabulosam quandam ab Hercule inde vsque narrationem.

CAP. XLIX. *De auri ramentis apud Alilæos.*

HIs contermini sunt Alilæi & Casandrini, qui terram obtinent superioribus nequaquam similem. Nec enim frigidus est hic aër, nec siccus nec feruidus, sed mollem & spissam refert nubem, à qua tempestiuè existunt etiam in æstate hyemes. Pleraque regionis feracissima sunt, sed non vbique cultu suo adficitur, ob imperitiam cæterorum. Aurum sanè in crustosis terræ illius cuniculis ad magnam inueniunt copiam, non quale adhibita scientia & arte colliquescit è ramentis, sed sponte natum, quod Apyron Græci, [*ignis nescium*] ab euentu denominant, cuius portio minima non minor est oliuæ ossiculo, media granum mespili adæquat, maxima cum nucibus regiis comparari meretur. Hoc perforatum inter lapillos pellucidos alternatim, circa radices manuum gestant & colla. Et ad finitimos translatum vili precio vendunt. Cum triplo enim ære aurum commutant: & pro ferro duplum reddunt, & argentum auri decuplum valet. Modus enim æstimationis comparatur ad rationem abundantiæ & raritatis. Quibus in rebus tota hominum vita non tam ad naturam rei, quàm vsus necessitatem respicit. His porro mortalibus contigui habitant Carbæ, in continente quam portus excipit vicinus, in quo plurimi erumpunt fontes.

AGATHARCHIDES.

CAP. L. De Sabæorum terra odorifera & beata, vbi de Saba eiusque regimine, magnificentia & opibus.

SABÆORVM deinceps gens adhæret per Arabiam omnium maxima, & nullius non generis felicitatem in potestate & arbitrio habens. Namque tellus omnia fert quæ ad commoda vitæ apud nos proueniunt: & corpora sunt spectabiliora, quàm alibi: pecorum multitudo innumerabilis suppetit: amœnitas & fragrantia totam hanc oram obtinens, voluptatem præbet aduenis visu & dictu maiorem. Nam ad ipsas littorum crepidines largum nascitur balsamum & casia: longè alia quàm alibi habetur, recens nimirum: ideoque iucundissimam oculis voluptatem exhibens, quæ postea longinquitate temporis prorsus exolescit, dum stirpis vsus hebetatur, priusquam vis eius ad nos transmittatur. In mediterraneis frequentes & magnæ se attollunt syluæ. Nam arbores præcelsæ, myrrhæ ac thuris, nec non cinnamomi, & palmæ & calami, & id genus aliorum, exsurgunt. Adeò vt nulla ratione explicare queat voluptas illorum qui sensibus suis periculum de his fecerunt. Non enim in cellas abditus & exoletus aromatum illis fructus est, nec à materia procreante & nutriente separatus, sed à diuina illa maturitate adhuc florens, & à familiari proprióque & genuino vigore vim illam admirabilem emittens, vsque adeò, vt multi in obliuionem mortalis delati felicitatis, de ambrosia se percipere nonnihil opinentur, dum res nomen ad summam prædicationem idoneum & par sibi quærit.

Malum bono admistum.

IN saltibus rerum odoratarum serpentis genus est omnium insolentissimum, quasi fortuna tam largis terræ commodis inuideat, & bono attexat nocumentum, ne quis bonis prosperè affluentibus animo efferatur superbo, & ad finem vsque flagitiis perpetrandis indulgeat, numénque aspernetur, sed adiectione & memória aduersorum commonefactus, vitam modestius agat. Genus id serpentis colore est puniceo, & longitudine spithamæ, morsuque insanabili, quando super ilia hominem sauciauit. Plagam enim infert assiliens in altum.

CÆTERVM apud Sabæos stirpium fragrantium odor summus quidem est, sed voluptas minor. Nam quod à puero assiduum est, sensum minus afficit mouétque, imo obtusiorem reddit, nulla vitæ commutatione adiuncta. Veruntamen cúm non ita informare ac regere vitam possint, vt in bono semper statu permaneat: (immixtus enim spiritus facultate incisoria corpus perflat, & constipationem eius moderatam sic in plura diducit, vt ad extremam tandem laxationem redigatur) huic vitio vt medeantur, pauxillum bituminis & hirci barbam, ægrotis succendunt. Atque ita nimium fragrantiæ perpetuo aspirantis excessum amoliuntur, & quod voluptati noxium est, attemperatione eius quod molestum huic esse videtur, reprimunt. Adeò omnis felicitas, si mediocritate & bono ordine gubernatur, vitam optimè transmittit: at si moderatione & opportunitate destituitur, inutilis eius possessio.

SABA oppidum, totius gentis appellationem indicans, monti incumbit non magno, omnium in Arabia pulcherrimum.

Ἐφεξῆς δὲ τὸ τῶν Σαβαίων ἐπισυνάπτει γένος, μέγιστον τῶν κατὰ τὴν Ἀραβίαν, καὶ παντοίας κύριον εὐδαιμονίας. καὶ γὰρ ἡ γῆ πάντα φέρει τὰ παρ' ἡμῖν νομιζόμενα πρὸς τὸν βίον· καὶ τὰ σώματα ἐστὶ τῶν κατοικούντων ἀξιολογώτερα. βοσκημάτων κεχορήγηνται πλήθεσιν ἀμυθήτοις. ὀσμὴ τε πᾶσαν ἐπέχει τὴν παραλίαν, θείας τε καὶ λόγου κρείττω τέρψιν τοῖς ἀφικνουμένοις παρασκευάζουσα. παρὰ μὲν γὰρ αὐτὴν °πέφυκε τὴν θάλασσαν τό, τε βάλσαμον πολὺ καὶ °κασία, καί τις ἄλλη πρόσφατος μὲν, ἡδίστην δὲ ἔχουσα τὴν ὀμμάτων τέρψιν· ἐν δὲ τῷ χρονίζειν, γινομένη συντόμως ἐξίτηλος· ὥστε πρότερον ἀπομαραίνεσθαι τοῦ φυτοῦ τὴν χρείαν, ἢ πρὸς ἡμᾶς παραπέμπεσθαι τοῖς γινομένοις τὴν δύναμιν. ἐπὶ δὲ τῆς μεσογαίου, δρυμοὶ συνεχεῖς ὑπάρχουσι καὶ μεγάλοι. °δένδρα γὰρ ἠλίβατα σμύρνης τε καὶ λιβανωτοῦ, πρὸς δὲ καὶ κινναμώμου, φοίνικός τε καὶ καλάμου, καὶ τῶν ἄλλων αἴρεται τῶν τοιούτων· ὥστε εἶναι μηδενὶ λόγῳ τὸ πρᾶγμα δηλωτόν, ὃ συμβαίνει τοῖς περὶ τὰς αἰσθήσεις εἰληχόσι τοῖς γινομένοις τὴν δοκιμασίαν. οὐ γὰρ τὴν τεθησαυρισμένην καὶ παλαιὰν ἔχει τῶν ἀρωμάτων ἀπόλαυσιν, οὐδὲ τὴν ἀπὸ τοῦ γεννῶντος καὶ τρέφοντος ὄγκου διακεχωρισμένην· ἀλλὰ τὴν αἰθοῦσαν ἀπὸ τῆς θείας ἀκμῆς, καὶ τὴν ἀπὸ τῆς οἰκείας καὶ φυσικῆς τὸ θαυμαζόμενον ἀποπέμπουσαν· ὥστε πολλοὺς εἰς λήθην ἀφικνουμένους τῶν θνητῶν ἀτυχημάτων, τῆς ἀμβροσίας ὑπονοεῖν ἀπολαμβάνειν, ὄνομα τοῦ πράγματος ἐπιζητοῦντας οἰκεῖον τῆς ὑποβολῆς. περὶ δὲ τοὺς δρυμοὺς τῶν εὐωδῶν, γένος ἐστὶν ὄφεων ἰδιαίτατον πάντων, οἱονεὶ φθονούσης τοῖς ἁδροῖς ἐπιτεύγμασι τῆς τύχης, καὶ παραπλεκούσης τἀγαθοῖς τὸ βλαβερόν· ὅπως μηδεὶς εἰς τέλος ἐξυβρίζων τι παντελὲς, καὶ καταγνωκὼς τοῦ θείου, τὸ φρόνημα λαμβάνῃ τῶν ἀγαθῶν ἀτυχούντων· παιδεύηται δὲ τῇ παραθέσει καὶ μνήμῃ τῶν ἐναντίων. τὸ δὲ γένος τῶν ὄφεων, χρῶμα μὲν ἔχει φοινικοῦν, μῆκος δὲ ὅσον σπιθαμῆς· δῆγμα δὲ ἀνίατον, αἱ τῆς λαγόνος ἄνωθεν αἱμάξῃ· τὴν πληγὴν δὲ δίδωσι παλλόμενοι εἰς ὕψος. παρ' αὐτοῖς δὲ τοῖς Σαβαίοις ἡ μὲν ὀσμὴ τῶν εὐωδῶν, ἀκρατάτη· ἡ δὲ χάρις, ἐλλιπής. τὸ γὰρ ἐνδελεχὲς ἐκ νηπίου κινεῖ μὲν τὴν αἴσθησιν ἧττον, ἀμβλυτέραν δὲ κατασκευάζει, μεταβολῆς τοῖς βίοις οὐχ ὑποκειμένης. οὐ μὴν ἀλλὰ κἀπειδὰν οὐ δύνανται τὴν ζωὴν παιδαγωγεῖν παραπλησίως ἀσταθῆ, διαπνεομένου τοῦ σώματος ὑπ' ἀκράτου καὶ τμητικῆς δυνάμεως, καὶ τὴν σύμμετρον πύκνωσιν ἐπὶ πλεῖον ἀγούσης, ὥστε ἄγειν εἰς ἔκλυσιν ἐσχάτην· τότε °δὴ ἀσφάλτου παραθυμιῶντες βραχὺ, καὶ τράγου πώγωνα, τοῖς τοιούτοις ἀφαιροῦνται τὴν ἄγαν εὐωδίαν τῆς °ἐπιφορᾶς ὑπερβολήν· καὶ τῇ μίξει τοῦ δοκοῦντος λυπεῖν τὸ τῆς ἡδονῆς βλαβερὸν ὑποκαταστέλλουσιν. οὕτως ἅπαν ἐπίτευγμα μεσότητι μὲν καὶ τάξει κυβερνώμενον, παραπέμπει τὸν βίον· συμμετρίας δὲ καὶ καιροῦ στερηθὲν, οὐκ ἔχει τὴν κτῆσιν ὀνησιφόρον. τὸ δὲ τῶν Σαβαίων ἄστυ τοῦ παντὸς ἔθνους προσηγορίαν δηλοῦν, ἐπ' ὄρους ἐστὶν οὐ μεγάλου, πολὺ κάλλιστον τῶν κατὰ τὴν Ἀραβίαν, ὃ καλεῖται °Σαβαί. ὁ δὲ

° al. [illegible]
° al. [illegible]
° al. [illegible]
° [illegible]
° Is. ἐπιφορᾶς
° al. Σαβαί ἢ Σάββαι.

ὁ δὲ βασιλεύων τοῦ παντὸς ἔθνους, προεδρείαν ἔχει παρὰ τοῦ λαοῦ, τῇ μὲν ἔντιμον, τῇ δὲ ἀκληροτάτην· ἔντιμον μὲν, ὅτι πολλοῖς ἐπιτάττει, καὶ κρίσιν ἀνυπεύθυνον ὃ βούλεται πράττων· ἀκληρον δὲ, ὅτι παραλαβὼν τὴν ἐπιμέλειαν, οὐ δύναται πάλιν ἐκ τῶν βασιλείων ἐξελθεῖν· εἰ δὲ μὴ, λιθόλευστος ὑπὸ πάντων γίνεται κατὰ χρησμὸν ἀρχαῖον. ὥστε αὐτῷ τὴν ὑπεροχὴν βλαβεράν.

Τῶν δὲ ἀνδρῶν οἱ μὲν καταγινόμενοι (πρὸς τὸ οἴκοι ἐνδιατρίβειν) βραχύ τι τοῦ θήλεος γένους ἀλκιμώτεροι εἰσίν, ὑπὸ τῆς συνεχοῦς ἀπογυναικουμένης ῥαστώνης· οἱ δὲ ἄλλοι τά τε πρὸς πόλεμον μελετῶσι, καὶ τὴν χώραν ἅπασαν ἐργάζονται, καὶ στέλλουσιν ἀποικίας, ταῖς μείζοσι χρώμενοι σχεδίαις. κομίζουσι δὲ ἄλλα τε, καὶ μάλιστα τὸν εὐώδη καρπὸν, τὸν ἐν τῇ πέραν φυόμενον· ἀραβιστὶ δὲ λέγεται λαρίμνα, μάλιστα ἔχων τῶν ἄλλων * θυμιαμάτων, εὐωδίαν· ὧν κρατεῖν λέγεται γένος ἀρρωστίας ὡς ἐπὶ τὸ πολὺ σωματικῆς. οὐδεμίαν δὲ τῆς γῆς ἄλλην ὕλην φερούσης, ἀναγκάζονται πρὸς τὰ καθ' ἡμέραν τὸ κιννάμωμον καὶ τὴν κασσίαν καίειν, καὶ πρὸς τὰς ὑπολοίπους ἐν τῷ βίῳ χρείας. οὕτως ἀνίσως * ἑαυτῆς ἡ τύχη μεμέρικε· τοῖς μὲν σπάνιν τῶν σπουδαίων, τοῖς δὲ πλῆθος διδοῦσα. τῶν δὲ Σαβαίων χρῶνται καὶ τοῖς δερματίνοις οὐκ ὀλίγοι πορθμείοις, διδασκούσης τὴν χρείαν τῆς ἀναπνοῆς, καίπερ ἐν τρυφῇ καταγινομένους. οὐδὲν γὰρ εὐπορώτερον Σαβαίων καὶ Γερραίων εἶναι δοκεῖ γένος, ἐναποταμιευομένων πᾶν τὸ πίπτον εἰς διαφορᾶς λόγον ἀπὸ τῆς Ἀσίας καὶ τῆς Εὐρώπης. οὗτοι πολύχρυσον τὴν Πτολεμαίου Συρίαν πεποιήκασιν, οὗτοι * τῇ Φοινίκων φιλεργίᾳ κατεσκευάκασι λυσιτελεῖς ἐμπορείας, καὶ μυρία ἄλλα. ἔστι δὲ πολυτέλεια παρ' αὐτοῖς οὐ μόνον ἐν * τορεύμασι θαυμαστοῖς, καὶ ποτηρίων ποικιλίαις, ἔτι δὲ κλινῶν καὶ τριπόδων μεγέθεσι, καὶ τῶν ἄλλων, τῶν κατ' οἰκίαν παρ' ἡμῖν ἐκτεινομένων λαμβάνει τὴν ὑπερβολήν· πολλῶν, ὡς ἔοικε, κεκτημένων χορηγίας βασιλικάς. κίονάς τε πολλοὺς αὐτοῖς (φησὶ) κατεσκευάσθαι ἐπιχρύσους τε καὶ ἀργυροῦς. πρὸς δὲ, καὶ τὰς ὀροφὰς καὶ θύρας φιάλαις λιθοκολλήτοις διειλῆφθαι πυκναῖς· ὡσαύτως καὶ τὰ μεσοστύλια θέαν ἔχειν εὐπρεπῆ· καὶ καθόλου, τὰς παρὰ τῶν ἄλλων * πλούτους ἐκκαλεῖ τὴν διαφορὰν μεγάλην. ἀλλὰ ταῦτα μὲν ἕως τοῦ καθ' ἡμᾶς παρ' αὐτοῖς * ἐπαγγέλλεται βίου. εἰ δὲ μὴ πόρρω διεσπασμένην τὴν οἴκησιν κατεῖχον τῶν ἐπὶ πάντα τόπον τὰς δυνάμεις * φερόντων, οἰκονόμοι τῶν ἀλλοτρίων ἂν ὑπῆρχον, οἱ κύριοι τῆς ἰδίας ἆθλον· τῆς ῥᾳθυμίας ἀδυνατούσης τὸ ἐλεύθερον πλείω χρόνον διατηρεῖν.

* al. ἀρωμάτων.
* τὰ ἑαυτῆς, H. S.
* al. τὴν.
* al. τορνεύμασι
* ἐν τῷ
* πλούτῳ.
* ἐπαγγέλλει.
* φερόντων.

Πέραν δὲ τῆς χώρας ταύτης μὲν θάλαττα λευκὴ φαίνεται τὸ χρῶμα ποταμῷ ἐμφερὴς, ὥστε παράλογον ζητεῖν τοῦ γινομένου τὴν αἰτίαν. νῆσοι δὲ εὐδαίμονες παράκεινται· ἐν αἷς βοσκήματα λευκὰ μέν ἐστι πάντα, οὐδενὶ δὲ τῶν θηλειῶν ἐπιφύεται κέρας. ἐν ταύταις τῶν νήσοις ἰδεῖν ἐστιν ὁρμούσας (ἐμπορικὰς) τῶν προσχώρων σχεδίας, πλείστας μὲν ἐκεῖθεν, οὗ κατέστησε παρὰ τὸν Ἰνδὸν ποταμὸν ὁ Ἀλέξανδρος ναύσταθμον,

AGATHARCHIDES.

Rex toti genti imperans, prærogatiuam habet in consessu à populo scitam, quâ honore suo præditam, quâ muneris omnino expertem: Honore enim regem dignantur, quòd multis imperitat, & libero quæ decernit arbitrio agit, nulli subiectus censuræ: Exsors verò est, & quolibet priuato inferior, quòd accepta regni cura, regale egredi palatium ei nefas. Secus si fiat, lapidibus à populo obruitur. Ita enim antiquum iubet oraculum. Honorum igitur eminentia illic nociua. E virorum numero ad hoc destinati, vt domum seruent, exiguo fortius se gerunt quàm fœminæ. Continuo namque otio in fœminas degenerant. Cæteri & rebus bellicis dant operam, & totam regionem opere exercent, & colonias deducunt. Maiorum enim schediarum [*nauicularum minorum & vulgarium*] his est vsus. Vehunt cum alia, tum fructum odoratum maximè, in vlteriore terra natum: Arabicè Larimna dicitur. Maxima inter cætera thymiamata fragrantia præditus est: quorum genus infirmitatem corporis plerumque vincere perhibetur. Porrò cùm nulla solum hoc alia ferat ligna ad vsus quotidianos, cinnamomum & cassiam vtere, & ad cæteros vitæ vsus applicare, necesse habent. Quàm inæqualiter bona sua diuina sors distribuit! His rerum appetendarum vix paucitatem concedit: illis redundantiam largitur. Sabæorum non pauci coriaceis vtuntur nauiculis, docente hunc eos vsum refluxu maris, quamuis in luxu & deliciis viuentes. Nulla enim Sabæis opulentior esse, & Gerrhæis, hominum natio videtur. Qui quicquid sub calculum transportationis cadit, ex Asia & Europa, dispensant. Hi auri ditissimam Ptolemæi Syriam fecerunt. Hi sedulitati Phœnicum lucrosissimas negotiationes dederunt, vt sexcenta alia prætercam. Magnos impendunt sumptus, non solùm in toreumata, & sculpturas admirabiles, & poculorum varietatem, sed magnificentia illa etiam in lectorum & tripodum, [*mensæ genus est*] aliorúmque, quæ apud nos per ædes extenduntur, magnitudine ad summum gradum adscendit. Siquidem multi, vt æstimare est, sumptus faciunt regios. Huc accedit, quòd columnæ illis deauratæ & totæ argento constant, foresque & fastigia domorum crebræ è gemmis & preciosis lapidibus phialæ excipiunt. Consimiliter etiam mesostylio (in mediis ædibus columnæ) decentissimam præbet sui contemplationem. Quodque caput rei, quicquid apud alios diuitiarum est, id omne hic magna varietate expositum est. At enimuerò hæc ad nostram vsque ætatem de illis ita prædicantur. Nisi verò longè summotas haberet sedes ab his qui ad omnem ferè locum copias alunt, alienarum curatores opum forent, qui nunc in sua quasi præmia dominium retinent. Siquidem ignauia libertatem ad prolixius inde tempus conseruare nequit.

CAP. LI. De fortunatis Arabiæ insulis, & mirabili colo ratione.

PRÆTER hanc regionem mare conspicitur album ad fluuij speciem, ita vt effectus huius causam quis non sine stupore demiretur. Adiunctæ autem sunt insulæ fortunatæ, in quibus niueo sunt colore pecora vniuersa, nec vlli fœminarũ cornu adnascitur. In his mercatorias accolarum naues stationem habere videas, plerasque inde profectas, vbi iuxta Indum amnem nauale instituit Alexander,

AGATHARCHIDES. nec paucas è Perside & Carmania, & tota continente finitima.

Cœlestia etiam illis mirabiliter se habent. Inter quæ est quod circa vrsam contingit. Nam à Mæmacterione [*cum Septembri hic ex parte congruit*] mense Atheniensium, nulla de septem eius stellis conspicitur, vsque ad vigiliam noctis primam. In Posideone [*Decembri quodammodo respondet*] ad secundam vsque: & eadem ratione in cæteris mensibus deinceps. Tum de aliis stellis, erraticæ non videntur: nonnullæ autem globos habent maiores. Sunt quæ non stata & legitima sibi tempora ad occidendum vindicant, & oriendum. Peculiari etiam & diuerso narrant modo Solem exhiberi vltra Ptolemaidem. Primò (aiunt) non, vt apud nos, lucem absque Sole mane vident, ad tempus mediocre, & tum demum sideris exortum, sed cùm tota immersa tenebris nox transiit, continuò Sol affulget, nec vnquam ibi fit dies, priusquam totum conspexerunt Solem. Deinde Sol ex medio pelago ascendere videtur. Tertiò offert se carboni ignitissimo persimilis, & grandes proiicit scintillas, aliquas in orbem tractus à se illustrati, aliquas etiam longinquius. Quartò, nec Sol ad disci formam se habet, sed crassam refert columnam principio, cuius à summo species aliquanto plenior, quasi caput, appareat. Quintò, nec iubar, nec radium inde resplendere, tam in mari quàm in terra, perhibent, vsque ad exitum horæ primæ, sed interim ceu ignem esse non lucidum, caligine inuolutum. Secunda autem hora, sidus totum ascendere, clypei effigiem repræsentans, & terræ marique lucem immittere, tam insolentem & igneam, vt vtriusque immodicam esse magnitudinem existimetur. Sexto, ad occasum contrario affectum modo Solem conspici affirmant. Postquam enim demersionem infra terram ostendit, non angustiore deinceps spacio tribus horis, lumen retro mittit. Quod tempus vesperæ iucundissimum apud se esse arbitrantur.

De maris reciprocationibus.

CAP. LII. *De maritimis natura, excusatio auctoris.* HINC postquam varias reciprocationis causas auctor percensuit, omnésque vt quæ nihil veri contineant, improbatas reiecit, deinceps infert: Quòd hæc nugis constent, & à nullius rei veritate, quæ recitatis opituletur, sint desumpta, cognitu facile est. Tum quibusdam aliis in eam sententiam adiectis, iterum subdit. Ideo de recursu maris, terræque motu, ac ventis & fulminibus, & id genus vniuersis, disputationem, quibus videlicet causis exsistant concedimus aliis, qui ad expediendum ista quàm nos sunt paratiores. At affectiones, quibus manifestæ calamitates generentur, exposuimus, à gnaris & intelligentibus acceptas. Verisimiliora autem hisce inuenire, ad argumentum quidem insolens, enixè cupimus, sed ad veræ possessionem historiæ tale quiddam à nobis admitti non potest.

CAP. LIII. *De oliuis, & similis capite.* IN freto supra memorato circa oliuas nouũ hoc accidere tradit. Æstu maris exundante, omnes operiuntur, mariq; vndas resorbente,

οὐκ ὀλίγας δὲ ἀπὸ τῆς περσίδος καὶ καρμανίας, καὶ τῆς συνόρου πάσης. ἔστι δὲ αὐτοῖς καὶ τὰ κατὰ τὸν οὐρανὸν θαυμασίως ἔχοντα· ὧν ἐστι καὶ τὸ περὶ τὴν ἄρκτον συμβαῖνον. ἀπὸ γὰρ μαιμακτηριῶνος, ὃς ἄγεται παρὰ τοῖς ἀθηναίοις, οὐδεὶς ἀστὴρ τῶν ἑπτὰ φαίνεται μέχρι φυλακῆς πρώτης· ἐν δὲ ποσειδεῶνι, μέχρι δευτέρας· ἐν δὲ τοῖς ἑξῆς τῶν μηνῶν, κατὰ λόγον. τῶν δ' ἄλλων ἀστέρων οἱ μὲν πλάνητες, ἀόρατοι· τινὲς δὲ τοῖς ὄγκοις μείζονες. οἱ δὲ οὐδὲ κατὰ τοὺς ὑφεστῶτας καιροὺς τὰς δύσεις ποιούμενοι καὶ τὰς ἐπιτολάς. τοῦ δὲ ἡλίου τὴν ἔκφασιν ἐν τοῖς ἐπέκεινα πτολεμαΐδος ἰδίαν λέγουσι καὶ παρηλλαγμένην. πρῶτον μὲν γὰρ οὐ καθάπερ παρ' ἡμῖν φῶς ἀνήλιον ἕωθεν ὁρῶμεν ἐπὶ χρόνον οὐκ ὀλίγον, εἶτα τὴν ἀνατολήν· ἀλλὰ νυκτὸς σκοτίας ὑπαρχούσης, ἐξαίφνης ἀπέλαμψεν ἥλιος· ἡμέρα δὲ οὐδέποτε γίνεται ἐκεῖσε, πρὶν τὸν ἥλιον ἰδεῖν. δεύτερον· ὁ ἥλιος ἀναφερόμενος, φαίνεται ἐκ μέσου τοῦ πελάγους. τρίτον· ποιεῖ δὲ τοῦτο ἄνθρακι μὲν ὢν τῶν πυρωδεστάτων παρόμοιος, σπινθῆρας δὲ μεγάλους ἀπορρίπτων, τοὺς μὲν εἰς τὸν κύκλῳ τόπον τοῦ φωτίζοντος, τοὺς δὲ εἰς τὸ ἀπωτέρω. τέταρτον καὶ τὸ σχῆμα δὲ οὐ δισκοειδὲς ἔχειν τὸν ἥλιον, φασιν, ἀλλὰ *κίονι παχεῖ τά γε πρῶτα ἐμφερῆ, μικρὸν ἐμβριθέστερον ἔχοντι τὴν ἀπὸ τῶν ἄκρων φαντασίαν, οἱονεὶ κεφαλήν. πέμπτον· ἔτι τοίνυν οὔτε αὐγὴν οὔτε ἀκτῖνα ἀπολάμπειν οὐδεμίαν, οὔτε ἐπὶ τὴν γῆν, οὔτε ἐπὶ τὴν θάλατταν, ἕως πρώτης ὥρας· ἀλλ' *ἐπὶ σκότει πῦρ ἀλαμπές. δευτέρας δ' ἐνισταμένης τὸ ὅλον ἄστρον ἀναβαῖνον ἀσπιδοειδὲς καθιστάμενον, τοῦ σχήματος τὸν τύπον καὶ τὸ φῶς ἐπί τε τὴν γῆν καὶ τὸ πέλαγος βάλλει, οὕτως ἄτοπον καὶ *πυρρῶδες, ὥστε ἀμφοῖν νομίζεσθαι παμμεγέθεις τὰς ἀκροβολάς. ἕκτον· εἰς δὲ τὴν ἑσπέραν ἐναντίον (τὸ) περὶ τὸν ἥλιον πάθος φασὶν ὁρᾶσθαι. ὑποδείξαντα γάρ, ὅτι δέδυκε κατὰ (τῆς) γῆς, οὐκ ἐλάττω χρόνον ὡρῶν τριῶν μετὰ ταῦτα φωτίζειν· ὃν καὶ νομίζουσι παρ' αὐτοῖς καιρὸν εἶναι τῆς ἡμέρας τὸν ἥδιστον.

* al. μακροχεῖ.

* al. ἀνεπαύστου & ἀνεκαύστου.

* al. πυρώδη.

Περὶ ἀμπώτεων.

ὍΤι εἰπὼν περὶ ἀμπώτεων ὁ συγγραφεὺς διαφόρους αἰτίας, καὶ πάσας ὡς οὐδὲν ἐχούσας ἀληθὲς ἀποδοκιμάσας, ἐπάγει· ὅτι δὲ ταῦτα πάντα λαλιὰν μὲν ἔχει σιγᾶν αἰσχυνομένην, πράγματος δὲ οὐδενὸς ἀντίληπτον βοήθειαν δυναμένην τοῖς εἰρημένοις παρασχεῖν, ἀχαρίς ἐστι μαθεῖν· εἶτα *προσθεὶς καὶ ἕτερα, τῆς αὐτῆς ἐννοίας ἐχόμενα· πάλιν ἐπιφέρει· διὸ περὶ μὲν ἀμπώτιδος, καὶ σεισμοῦ, καὶ πνευμάτων, καὶ κεραυνῶν, καὶ τῶν τοιούτων ἁπάντων, τὰς μὲν αἰτίας, δι' ἃς γίνεται, παραχωροῦμεν τοῖς ἑτοιμότερον ἔχουσι πρὸς εὐκολίαν, ἡμεῖς δὲ τὰ πάθη, τὰ γεννῶντα τὰς φανερὰς συμφοράς, δεδηλώκαμεν, μαθόντες παρὰ τῶν εἰδότων. εὑρίσκειν δὲ πιθανώτερα τούτων, εἰς μὲν ὑπόθεσιν παράδοξον, φιλοτιμούμεθα· ἱστορίαν δὲ ἀπαγγέλλοντες ἀληθινήν, οὐκ ἂν ὑπομείναιμεν.

* al. προσθεὶς.

ὍΤι ἐν τῷ προειρημένῳ πόρῳ, φησί, περὶ τὰς ἐλαίας τοιοῦτόν τι ξένον συμβαίνει· πλημμυρίδος ὑπαρχούσης, πᾶσαι καλύπτονται· τῆς δ' ἀμπώτεως γινομένης ἐν τῇ θαλάσσῃ

πάντη

AGATHARCHIDES.

πάντα τὸν χρόνον θάλλουσιν. ἔστι δέ τι φυόμενον αὐτόθι κατὰ βάθος ἐν ταῖς βραχέαις, μέλανι σχοίνῳ παραπλήσιον. ὃ φασιν οἱ ἐκεῖσε κατοικοῦντες Ἴσιδος εἶναι τρίχωμα, μυθώδει πλάσματι πίστιν ἁπλῆν περιτιθέναι ζητοῦντες. συμβέβηκε δὲ αὐτῷ, τυπτομένῳ μὲν ὑπὸ τοῦ κύματος, κάμπτεσθαι πολλαχῶς, ἁπαλῆς οὔσης τῆς ὅλης περιοχῆς, καὶ τοῖς ἄλλοις παραπλησίως φυτοῖς. ἐὰν δέ τις ἀποκόψας εἰς τὸν ὕπαιθρον ἀναφέρῃ τόπον, σιδήρου παραχρῆμα γίνεται τὸ διῃρημένον, σκληρότερον.

Περὶ αἰθίοπος τοῦ ἰχθύος.

Ὅτι καὶ ἄλλοι μὲν πολλοί, φησιν, ἰχθύες περὶ τοὺς προειρημένους τίκτονται τόπους, παρηλλαγμένην ἔχοντες τὴν φύσιν· γίνεται δέ τις ἰχθῦς ὑπερβαλλόντως μέλας, ἀνδρὸς ἔχων μέγεθος, ὃν καλοῦσιν αἰθίοπα, διὰ τὸ καὶ τοῦ προσώπου σιμὸν ἔχειν τὸν τύπον. τοῦτο κατ' ἀρχὰς μὲν οἱ θηρεύσαντες, διὰ τὴν ὁμοιότητα, οὔτε πωλεῖν ἠξίουν, οὔτε καταναλίσκειν. τοῦ δὲ χρόνου προϊόντος, ἀμφότερα πράττοντες, οὐδὲν ἁμαρτάνουσιν.

Τὰ μὲν οὖν ὑπὲρ τῶν ἐθνῶν τῶν ἐγκεκλιμένων πρὸς μεσημβρίαν, ὡς ἦν ἐφ' ἡμῖν, ἐν πέντε βιβλίοις ἐπιμελῶς ἱστορήκαμεν· ὑπὲρ δὲ τῶν ἐν τῷ πελάγει νήσων ὕστερον τεθεωρημένων, καὶ τῶν ἑξῆς ἐθνῶν, καὶ τῶν εὐωδιῶν ὅσα φέρειν συμβαίνει τὴν τρωγλοδύτιν χώραν, ἡμεῖς παραιτησάμενοι τὴν ἐξήγησιν, ἄρδην ἀπολελοίπαμεν. οὔτε τὸν πόνον τῆς ἡλικίας ὁμοίως ὑποφέρειν δυναμένης, πολλῶν ἡμῖν ὑπέρ τε τῆς εὐρώπης καὶ τῆς ἀσίας ἀναγεγραμμένων· οὔτε τῶν ὑπομνημάτων, διὰ τὰς κατ' αἴγυπτον ἀποστάσεις, ἀκριβῆ παραδιδόντων σκέψιν. ὁ δὲ καὶ πῖς κατὰ μέρος* πράγμασιν ἐντετυχηκὼς, καὶ λόγοις κατεσκευασμένος ἱστορίας ἀξίοις, καὶ προαίρεσιν ἔχων δυναμένην δόξαν πόνῳ θηρεύειν, οὐκ ἀφέξεται.

* al. ἀσέπτων.

omni tempore florent. Nascitur hîc quippiam in littoribus profundè se demittens, iunco nigro non dissimile, quod Isidis capillum vocant incolæ, fabuloso commento simplicem adstruere fidem conati. Hinc accidit, vt impulsum à fluctu variis agitetur flexibus, cùm tota eius substantia sit mollis, cæterisque in hoc genere virgultis respondeat. At si quis auulsum in lucem efferat subdialem, pars illa ablata, continuò rigescens, durior ferro euadit.

De Aethiope pisce.

CAP. LIV.

Locis, quæ recensui, cùm alij multi, variòque naturæ discrimine pisces nascuntur, tum quidam offertur immodicè niger, ad magnitudinem viri, cui Æthiopis nomen imponunt, quod simam imagine sua faciem imitatur. Hoc monstrum piscatores initio, propter similitudinem, nec vendendum, nec in cibo absumendum iudicabant. Sed temporis progressu vtrumque factitantes, nihil peccant.

CAP. LV. *Epilogus, quo reliquum historiam ad alios remittit.*

Iam quæ memorabilia sunt de gentibus ad meridiem summotis, pro facultate nostra, quinque libris accuratè sunt exposita. Cætera de insulis in pelago serius repertis & cognitis, populisque vlterioribus, & gratis odoribus, quos Troglodyta edit prouincia, commemoratione abdicata, attexere omnino supersedemus. Cùm ætas laborem perinde sufferre nequeat, multáque de Europa & Asia à nobis sint literis prodita, nec commentarij, propter Ægyptiorum defectiones, disquisitionem exactam tradant. Qui vero & particulatim rebus interfuerit, & verbis historia dignis instructus studium adhibeat, gloriæ per laborem venandæ par & sufficiens, ab hoc se negotio non abstinebit.

Arrhiani opusculum.

Arrhianus in libello de cometarum natura, & constitutione meteororum, enixe conatur ostendere haud quidquam eorum quæ bona *per se* aut mala sunt huiusmodi apparitionibus portendi.

Ἀρριανοῦ σύγγραμμα.

Arriani philosophi liber de Meteoris.

Ὅτι Ἀρριανὸς περὶ κομητῶν φύσεώς τε καὶ συστάσεως καὶ φασμάτων βιβλιδάριον γράψας, πολλοῖς ἀγωνίσμασι πειρᾶται δεικνύναι, ὅτι μηδὲν μήτε τῶν ἀγαθῶν μήτε τῶν φαύλων τὰ τοιαῦτα φάσματα ἀποσημαίνουσιν.

SCHOLION.

EX AGATHARCHIDE.

Apud Athenæum, libro sexto.

Agatharchides *scribit, è Dardanis aliquem seruos mille possedisse, quemdam etiam plures: ac eorum vnumquemque pacis tempore agrum colere: belli verò, militiæ nomen dare, suosque illis duces esse dominos.*

Apud eundem, libro septimo.

Agatharchides tradit, Bœotos anguillas Copaidas inusitatæ magnitudinis hostiarum modo coronare, aspersaque mola cum precibus, Diis immolare: ac quum peregrinus quispiam, inopinato sacri genere obstupescens, cur id fieret sciscitaretur, Bœotos aliud nihil potuisse respondere, quam seruanda esse maiorum instituta, nec decere rationem aliis se consuetudinis patriæ reddere.

EX AGATHARCHIDE.

Apud eundem Athenæum, libro octauo.

Agatharchides libro decimosexto rerum Europæ scribit, Magan, qui regnauit annos quinquaginta Cyrenis, cùm bellis non occuparetur, & luxu difflueret, immensa carnis mole auctum fuisse, vt sub vitæ finem prodigiosus esset corporis tumor: tandémque pinguedinis copia exanimatum, partim ob ignauiam & segnitiem, partim ob ingluuiem, & nimiam cibi voracitatem. Idem scribit libro vigesimo septimo, apud Lacedæmonios insigne probrum fuisse si cui minus esset virilis forma, aut corporis tumor in aqualiculum proiectus & propensus conspiceretur, cùm decimo quoque die nudos se iuuenes Ephoris contemplandos sisterent, qui & iuuenum quotidie tum cubilia, tum vestitum obseruabant, & merito quidem, quoniam Lacedæmone qui carnem ad obsonium præpararent, fuerunt, aliarum præterea cupediarum nihil. Idem auctor libro vigesimoseptimo tradit, Naucleidem Polybiadis filium supra modum corpulentum, & ob delicias crassum, à Lacedæmoniis in mediam concionem productum fuisse, & publicè à Lysandro acerbè obiurgatum vt voluptuarium, minimúmque abfuisse, quin in exilium ageretur, idque futurum minitatus Lacedæmonios, nisi vitam corrigeret: Lysandrúmque tum recitasse, Agesilaum, quum ad Hellespontum barba-

AGATHARCHIDES. *vos bello premeret, Asiaticos homines sumptuosis stolis excultos, sed imbelles & inutiles corporibus esse intueretur, captiuos omnes iussisse vestibus exutos ad præconem duci, qui venales prædicaret: indumenta verò seorsum vendi, vt socij & fœderati cognoscerent, præmiorum ampla spe aduersus homines nihil bellum susceptum esse, ideoque animo promptiore & alacriore cum hostibus dimicarent.*

EX AGATHARCHIDE.

Apud eundem Athenæum, XIV.

Sidas à Bœotis Punica nominari, scribit Agatharchides libro decimonono Europicorum, his verbis: Athenienses cum Bœotis de regionis finibus litigabant, quam Sidas appellant. Epaminondas in ea controuersia partes suas defendens, allegánsque iura sua, statim è sinistra manu, quod occultum gerebat punicum, dextra cepit, & Athenienses rogauit, quo nomine vocarent, responderunt illi, ῥόαν sese nominare: at nos, inquit, Sidan appellamus. In eo tractu de quò fuit contentio, plurima sunt mali Punica, indéque principio nomen est inditum. Sic Epaminondas causam obtinuit.

EX AGATHARCHIDE.

Apud Plutarchum Parallelis.

Xerxes 1ↄↄↄↄↄ *hominum exercitu instructus, ad Artemisium appulit, eiusque regionis incolas tum hostilia abs se exspectare iussit. Athenienses conturbatis animis, Agesilaum Themistoclis fratrem misere exploratum, quamquam pater eius Neocles in somnis vidisset illum ambabus truncatum manibus. Is Agesilaus vbi peruenit habitu Persico ad barbaros, Mardonium quendam de regis stipatoribus, Xerxem ratus esse, interfecit, comprehensusque à circumstantibus, vinctus ad regem est adductus. Boue tum litaturus erat rex ad Aram Solis. Ibi Agesilaus igni in ara excitato, dextram imposuit manum, cruciatumque absque vllo pertulit gemitu. Vinculis proinde solutus dixit: Tales sunt omnes Athenienses: quod si non credis, etiam sinistram imposuero. Xerxes metu concepto in custodia eum iussit asseruari. Narratio est Agatharchidæ Samij, libro Persicarum rerum secundo.*

EX AGATHARCHIDE.

Apud eundem Plutarchum Sympos. lib. VIII. quæst. IX.

Circa rubrum vero mare correpti (vt Agatharchides narrat) cum aliis inauditis accidentibus sunt vexati, tum angues exigui nati sunt, qui exertis capitibus crura & brachia perderent, & tacti rursum carnem subirent, ac per musculosa serpentes, inflammationum vim intolerabilem excitarent. Idque morbi genus prius aut posterius vllis aliis obtigisse, nemo comperit, vt & multa alia.

HIEROCLES *De Prouidentia.*

CCLI. LECI Hieroclis librum de Prouidentia. Cur, inquit, hæc tibi colligo, quando Platonici quidam non rectam de conditore Deo opinionem tuentur? Non enim satis posse Deum sustinere mundum propria virtute & sapientia ab æterno operantem putarunt. Sed cooperatione ingenitæ materiæ, & natura ab eo non dependente, vtentem solum creare posse. Siquidem omnia prius in dicta materia prima sunt potentia, eaque Deus velut delineet, ac solum digerat, atque ex ipsa materia educat, quod superuacaneæ potius esset diligentiæ, quàm bonitatis Dei. Quorsum enim ea, quæ non condidit, digerere conatur, cùm omnino bona ordinatio in natura eorum ingenita consistat. Si quid enim ingenito, ac per se subsistenti addatur, præter naturam fiet. Quod autem præter naturam efficitur, vitiatur: quare dictam materiam ornari minimè bonum, siquidem non solum in tempore, sed & absque caussa ingenita sit: qua significatione & Deum ingenitum dicimus. Sed neque Deus ipse innoxius erit, initium creationis à quodam maleficio inchoans, quod præter naturam afficere æqualem sibi ingenitam substantiam conetur: & sororem, quam spontanea voluntate sibi coniunxit, non sinat permanere in ordine ingenito, quod non possit res æquè ingenita contineri. Siue ab æterno hanc sibi potentiam, siue in tempore facere cœperit, & potius à veritate recederet, si ob indigentiam materiatæ operationis, & alicuius temporis ornare cœpisset, nec manere illam in suo statu permisisset,

ΙΕΡΟΚΛΕΟΥΣ Ο ΠΕΡΙ ΠΡΟΝΟΙΑΣ.

ΑΝΕΓΝΩΣΘΗ Ἱεροκλέους ὁ περὶ προνοίας. Καὶ τί, φησι, καταλέγω σοι τούτους, ὅπου γε καὶ τῶν πλατωνικῶν τινες οὐκ ὀρθὴν τὴν περὶ τοῦ δημιουργοῦ θεοῦ διασώζουσιν ἔννοιαν; οὐ γὰρ ἱκανὸν αὐτὸν εἶναι ᾠήθησαν αὐτοτελῶς *ὑποστῆσαι δύνασθαι κόσμον οἰκείᾳ δυνάμει καὶ σοφίᾳ ἐξ ἀϊδίου ἐνεργοῦντα· ἀλλ' ἀγενήτου ὕλης συνεργίᾳ, καὶ τῇ μὴ παρ' αὐτοῦ ὑποστάσῃ φύσει καταχρώμενον μόνως δημιουργεῖν δύνασθαι. πάντων μὲν δυνάμει προϋποκειμένων ἐν τῇ λεγομένῃ ὕλῃ, αὐτοῦ δὲ οἱονεὶ διαζωγραφοῦντος αὐτά, καὶ τάττοντος μόνον, καὶ διακρίνοντος (μόνον) ἐκ τοῦ ὑλικοῦ χύματος. ὃ περιεργία μᾶλλον ἂν εἴη, ἢ ἀγαθότητος θεοῦ. τί γὰρ δὴ μαθὼν ἃ μὴ ὑπέστησε διατάττειν πειρᾶται, πάντως που τῆς ἀταξίας αὐτοῖς ἐν τῇ *ἀγενησίᾳ τῆς ἑαυτῶν φύσεως κειμένης; τὸ γὰρ ἀγενήτως καθ' ἑαυτὸ ὑφεστὼς εἴ τι προσλάβοι, παρὰ φύσιν προσλήψεται. τὸ δὲ παρὰ φύσιν διατεθῆναι, κακὸν τοῦ μεταξενουμένου· ὥστε οὐκ ἀγαθὸν τῇ λεγομένῃ ὕλῃ τὸ κοσμεῖσθαι, εἴπερ ἀγένητος εἴη μὴ ἀπὸ χρόνου μόνον, ἀλλὰ καὶ τὸ ἀπὸ αἰτίου καθ' ὃ σημαινόμενον καὶ τὸν θεὸν ἀγένητον λέγομεν. ἀλλ' οὐδὲ ὁ θεὸς *αὐτὸς κακῶν ἀναίτιος ἔσται, τὴν ἀρχὴν τῆς δημιουργίας ἀπό τινος κακοποιΐας ἐνστησάμενος. τοῦ παρὰ φύσιν διατιθέναι τὴν ἐπίσης αὐτῷ ἀγένητον οὐσίαν πειρᾶσθαι, καὶ τὴν ἀδελφήν, ἣν τὸ αὐτόματον αὐτῷ συνήγαγε, μὴ ἐᾶν μένειν ἐπὶ τῆς ἀγενήτου τάξεως. πρὸς τοῦ μὴ δυνατὸν εἶναι κατασχῆσαι πρᾶγμα ἰσοτίμως ἀγενήτου τυγχάνοντος· εἴτε ἐξ ἀϊδίου ποιεῖσθαι τὴν τοιαύτην ἐπικράτειαν, εἴτε ἀπὸ χρόνου ἐπιχειρεῖν. καὶ μᾶλλον ἂν εἴη τῆς ἀληθείας ἀφεστώς, εἰ πρὸς τὴν ἔνδειαν τῆς ὑλικῆς ἐνεργείας, καὶ χρόνου τινός, κοσμεῖν ἤρξατο, ὅπερ οὐκ ἐᾷ μένειν αὐτὴν ἐν τῷ αὐτῆς ἤθει. οἱ γὰρ

σνά. Hierocles de prouidentia.

* al. ὑποστῆναι

* al. ἀπὸ γενητῆς ἐκ ἀγενήτου

A'.

* al. ἀγενησίᾳ

B'.

* al. ἀναίτι.

Γ'.

HIEROCLES

εἰ γὰρ ἄμεινον μὴ ποιεῖν, πῶς εἰς τὸ ποιεῖν μεταβέβηκεν; εἰ δὲ τὸ ποιεῖν, τί μὴ ἐξ ἀϊδίου ἐπεποιήκει; εἰ δὲ ἀδιάφορον, αὐτῷ καὶ τὸ ἐξ ἀϊδίου ποιῆσαι ἐφάνη, εἰ μὴ ἄρα φύσεως αὐτὸν εἴποι τις ἀνὰ μέρος ποιεῖν τι καὶ φθείρειν δυναμένης, αἰώνια δὲ δημιουργεῖν ἀσθενούσης. διότι ἡ τῆς ὕλης κακία, ᾗ προσχρῆται, τὴν ἐπίθετον καὶ ἐπεισόδιον τάξιν ἀποσείεται) συνεχῶς, εἰς τὴν ἀγένητον αὐτοῖς (ὡς ἂν εἴποιμι) ἀταξίαν ἀνατρέχουσα· καὶ οὕτως ἀνὰ μέρος τοῖς χρόνοις κόσμον καὶ ἀκοσμίαν ἐπικρατεῖν, ἢ, ἀληθέστερον εἰπεῖν, ἀεὶ ἀκοσμίαν· ἐπεὶ καὶ ἡ κόσμησις παρὰ φύσιν οὖσα διάθεσις, ἀκοσμία τοῖς ὀρθῶς λογιζομένοις φανήσεται).

Ὅτι σύμφωνοι ἐν τοῖς δόγμασι Πλάτων καὶ Ἀριστοτέλης.

Ὅτι πολλοὶ τῶν ἀπὸ Πλάτωνος καὶ Ἀριστοτέλους *συγκροτεῖν ἀλλήλοις τοὺς σφῶν διδασκάλους κατὰ τὰ καίρια, *φησι, τῶν δογμάτων, σπουδὴν καὶ μελέτην εἰσενηνοχότες, μέχρι τούτου φιλονεικίας καὶ τόλμης ἤλασαν, ὡς καὶ τὰ συγγράμματα τῶν οἰκείων νοθεῦσαι διδασκάλων, εἰς τὸ μᾶλλον ἐπιδεῖξαι τοὺς ἄνδρας ἀλλήλοις μαχομένους. καὶ διέμεινε τοῦτο τὸ πάθος ταῖς φιλοσόφοις διατριβαῖς ἐνσκῆψαν, ἕως Ἀμμωνίου τοῦ θεοδιδάκτου. οὗτος γὰρ πρῶτος ἐνθουσιάσας πρὸς τὸ τῆς φιλοσοφίας ἀληθινὸν, καὶ τὰς τῶν πολλῶν δόξας ὑπεριδὼν, τὰς πλεῖστον ὄνειδος φιλοσοφίᾳ προστριβομένας, εἶδε καλῶς τὰ ἑκατέρου, καὶ συνήγαγεν εἰς ἕνα καὶ τὸν αὐτὸν νοῦν, καὶ ἀστασίαστον τὴν φιλοσοφίαν παραδέδωκε πᾶσι τοῖς αὐτοῦ γνωρίμοις, μάλιστα δὲ τοῖς ἀρίστοις τῶν αὐτῷ συγγεγονότων, Πλωτίνῳ καὶ Ὠριγένει, καὶ τοῖς ἑξῆς ἀπὸ τούτων.

* al. συγκρούειν.
* al. φησὶ.
Ammonius Alexandrinus.
Plotinus. Origenes.

Ὅτι Πλάτωνά, φησι, τὰς ἀνθρωπίνας μόνας ψυχὰς μετενσωματοῦσθαι, καὶ ταύτας οὐχ ἁπλῶς, ἐξ ἀνθρώπων δὲ μόνων εἰς ἀνθρώπους· ἐξ ἀλόγων δὲ ζώων εἰς ἀνθρώπους μετάβασιν ἢ εἰς ἄλογα ἐξ ἀνθρώπων, οὐδαμῶς αὐτόν φησι δοξάζειν.

Ὅτι δημιουργὸν θεόν, φησι, προϋφίστησιν ὁ Πλάτων *ἐφεστῶτα πάσης ἐμφανοῦς τε καὶ ἀφανοῦς διακοσμήσεως, ἐκ μηδενὸς προϋποκειμένου γεγενημένης· ἀρκεῖν γὰρ τὸ ἐκείνου βούλημα εἰς ὑπόστασιν τῶν ὄντων. τῇ δὲ σωματικῇ φύσει συντεταγμένης τῇ *ἀσωμάτῳ δημιουργίᾳ, κόσμον ἐξ ἀμφοῖν ἵστασθαι *τελεώτατον, διπλοῦν ἅμα καὶ ἕνα· ἐν ᾧ ἄκρα εἶναι, καὶ μέσα, καὶ τελευταῖα. ὧν τὰ μὲν πρῶτα, οὐράνια καλεῖ καὶ θεούς· τὰ δὲ μέσα, λογικὰ, αἰθέρια, καὶ δαίμονας ἀγαθοὺς, ἑρμηνευτάς τε καὶ ἀγγέλους τῶν συμφερόντων ἀνθρώποις γινομένους· τὰ δὲ τελευταῖα, λογικὰ καὶ περίγεια, καὶ ἀνθρωπίνας ψυχὰς, ἢ ἀθανάτους ἀνθρώπους. καὶ τῶν μὲν ὑποβεβηκότων τὰ προηγούμενα ἀεὶ ἡγεῖσθαι, πάντων τε βασιλεύειν τὸν ποιητὴν αὐτῶν θεὸν καὶ πατέρα· καὶ ταύτην τὴν πατρονομικὴν βασιλείαν αὐτοῦ, πρόνοιαν εἶναι τὴν ἑκάστῳ γένει τὰ προσήκοντα νομοθετοῦσαν. τὴν δὲ *αὐτῇ ἑπομένην δίκην, εἱμαρμένην καλεῖσθαι. οὐ γὰρ δὴ τὴν γενεθλιαλόγων ἀπεριλόγιστον ἀνάγκην, οὐδὲ τὴν στωϊκὴν βίαν, οὐδ' ἣν Ἀλέξανδρος ὁ Ἀφροδισιεὺς οἴεται, εἰς *ταὐτὸ τῇ πλατωνικῇ τῶν σωμάτων φύσει ταύτην περιάγων, οὐδὲ τὴν ἐπῳδαῖς καὶ θυσίαις παρατρεπομένην γένεσιν, ὡς οἴονταί τινες·

* al. ἐφεστῶτα.
* al. ἀσωμάτῳ.
* τελειότατα, τόν.
* al. ταύτῃ.
* al. ταὐτὸν.

Si enim præstantius erat non fecisse, quare ergo facere incœpit? si verò fecisse melius erat, cur non ab æterno fecit? si verò indifferens ei ab æterno facere (nisi forte quis dixerit natura sua eum singulatim facere & destruere posse, æterna autem facere non posse:) quare materiæ improbitas, qua vtitur, impositum & superfluum ordinem reiicit continuò, in ingenitam illis (vt ita dixerim) in-ordinationem declinans vt per partes alio atque alio tempore pulchritudo, aut deformitas superet: aut, vt verius dicam, semper vincat deformitas, quandoquidem materia præter naturam ornata, bene ratiocinanti deformis videatur.

Plato & Aristoteles doctrina concordant.

Platonis & Aristotelis consensus. Strabo lib. 13.

MVLTI Platonici & Aristotelei suos inter se præceptores aliquando contendere impulerunt, allato à singulis in medium quid cuique meditato videretur, & eo vsque audaciæ & contentionis processerunt, vt & scripta præceptorum suorum deprauarent, quo magis viros inter se pugnantes exhiberent. Atque ea perturbatio perdurauit philosophicis exercitationibus illapsa, vsque ad diuinum Ammonium. Hic enim primus æstu quodam raptus ad Philosophiæ veritatem, multorumque opiniones, qui magnum dedecus Philosophiæ afferrent, contemnens, vtramque sectam probè calluit, & in concordiam adduxit, & à contentionibus liberam Philosophiam tradidit omnibus suis auditoribus, & maximè doctissimis æqualibus suis Plotino, & Origeni, & successoribus.

Ammonius. Alexandrinus Philosophus.

Plotinus, & Origenes.

Ait secundum Platonem solos hominum animos in corpus transmigrare, & illos non simpliciter, sed ex solis hominibus in homines: ex brutis verò in homines transitionem, vel in bruta ex hominibus, nequaquam illum ait dicere.

Plato opificem Deum censuit sustinere omnem aspectabilem & inaspectabilem mundum, nulla prius existente materia productum. Sufficere enim illis voluntatem ad sustinendum vniuersum. Ex corporea verò natura incorporeæ coniuncta, mundum perfectissimum statui, duplicem simul & vnum: in quo summa esse media, & infima: quorum prima quidem cœlestia vocat, & Deos: media verò ratione prædita, aëria, dæmones bonos, interpretes & nuncios eorum quæ hominibus conducunt. Infima denique ratione prædita, & terrestria, & humanas animas, vel immortales homines. Et inferioribus superiora semper dominari: omnibus verò Deum eorum architectum & patrem, & hoc paternum eius imperium prouidentiam esse, vnicuique generi conuenientia distribuentem. Iustitiam verò subsequentem illam Fatum vocari. Non enim genethliacorum temerariam necessitatem, non Stoicam violentiam, nec quam Alexander Aphrodisieus putat, eandem illi conditionem, quàm corporum naturæ attribuens, neque incantationibus & litationibus inauspicatum natiuitati sidus, vt quidam sentiunt,

Plato.

Prouidentia.

Fatum.

Alexander Aphrodisieus. Eius περὶ εἱμαρμένης quædam exstant Græcè.

HIEROCLES sed veterem prouidentiæ legem transeat, iudicialem Dei operationem, ordine ac serie iuxta causarum liberarum proposita res nostras dirigentem atque consilia.

Quæ sit prouidentia & ordo.

COMMVNITER quidem prouidentia & ordo à creatore D[e]o extenditur in omnia immortalium genera, maximè verò & coniunctius ad prima, ac summa, & continenter ab ipso ortum ducentia, & deinceps quę ab illo condita sunt, quæque intelligibilium bonorum optima communione fruuntur. Cùm enim tria sint genera in mundo ratione prædita: summum & primum communicans sine vlla commutatione cum diuina imagine, diuinum omnino ordinem compositionémque habet, qualem cœlestibus inesse diximus. Secundum verò consequenter diuinum ordinem admittens, non incommutabiliter, nec indiuisè creatoris similitudinem sortitur, sed sine errore ac vitio paternis voluitur legibus, quod ætheriis assignauimus. Tertium verò tanquam postremum, non solum cœlesti dignitate quomodocunque vertitur, sed & ab ætheriis interdum vitiatur. Et quidem semper Deum intelligere, & adhærendo illius cognitionem habere, cœlestibus inest. Illud verò semper fusè ætheriis secundùm essentiam subest. Non semper autem intelligere, atque intelligendo diuisum esse, humanis animis tanquam proprium datum est, non assequentibus in natura indiuisam intelligentiam cœlestium, nec in ordine suo plenam cognitionem ætheriorum. Siquidem nec continenter, nec perpetuò animi cognoscunt. Sed cùm ad cognitionis præstantiam ducunt, ætherium ordinem imitatur, cúmque concomitantes, intelligibilium visionem percipiunt. Post tertium autem intellectuale genus aliquando quidem intelligens, aliquando non intelligens, esset nunquã intelligẽs, secundùm rationem perfectæ diuisionis. Quod certè natura est non-intelligens, veritatis & virtutis nequaquam potest esse particeps: quare & hoc genus reiicitur. Quomodo enim imago intelligibilis Dei ratione & non intellectu careat? Omnis enim illius imago intelligens & rationalis, cognoscere seipsam & sui factorem solet.

Consentaneum, inquit, est actiones nostras humanas subesse iis, quæ mediam regionem sortitæ sunt, tanquam custodibus & inspectoribus nostri. Omnem enim operationem eorum in nobis Fatum vocari, iustitiæ legibus nostra dirigens. Si verò, inquit, custodes vitæ pro merito definiti sunt, constat & vitæ tempus, quod singuli sortiti fuerint, impleturos. Non enim licet vitam seruare tempus indefinitum habentem. Quare oportet tempus definiri, vt fatalis vita conseruetur. Modum verò mortis simul determinari cum tempore, tanquam partem vltimam vitæ pro merito distributæ. Etenim ortu definito, necesse est & finem definitum esse. Initium ortus definit Fatum migrationis è vita, quod Fatum diuina voluntas est, & lex iustitiæ Dei. Fatum.

ἀλλὰ τῶν ἐκβαινόντων τὸν τῆς προνοίας θεσμὸν, δικαστικὴν τοῦ θεοῦ ἐνέργειαν, τάξει καὶ εἱρμῷ πρὸς τὰς προαιρετικὰς ὑποθέσεις τῶν αὐτεξουσίων ἐπανορθουμένην τὰ καθ' ἡμᾶς.

Τίς ἡ πρόνοια καὶ τάξις;

ΟΤι κοινῶς μὲν ἡ πρόνοια καὶ τάξις ἀπὸ τοῦ δημιουργοῦ θεοῦ διήκει ἐπὶ πάντα τὰ ἀθάνατα γένη, μάλιστα δὲ καὶ προσεχέστερον ἐπὶ τὰ πρῶτα καὶ προσεχῶς ἀπ' αὐτοῦ τὴν γένεσιν ἔχοντα, καὶ *ἐφεξῆς ὄντα ἐκείνῳ, καὶ τῆς τῶν νοητῶν ἀγαθῶν ἀρίστης μετουσίας ἀπολαύοντα. τριῶν γὰρ ὄντων τῶν ἐγκοσμίων λογικῶν γενῶν· τὸ μὲν ἀκρότατον καὶ πρῶτον τῶν τοῦ δημιουργοῦ γεννημάτων ἀτρέπτως καὶ ἀμεταβλήτως τῆς πρὸς αὐτὸν ὁμοιώσεως τυγχάνον, ἐν πάσῃ ἐστὶ θεοειδεῖ διατάξει, οἷον τὸ τῶν οὐρανίων ἔφαμεν γένος. τὸ δὲ δεύτερον, δευτέρως καὶ ὑφειμένως τὴν θείαν τάξιν παραδεχόμενον, οὐκ ἀτρέπτως μὲν, οὐδ' ἀμερίστως τῆς δημιουργικῆς ὁμοιώσεως μεταλαγχάνει, ἀναμαρτήτως δὲ καὶ *ἀκακώτως τῶν πατρικῶν ἐπιστρέφεται νόμων, ὃ τοῖς αἰθερίοις ἀποδεδώκαμεν. τὸ δὲ τρίτον, ὡς ἔσχατον τῶν θείων γενῶν, οὐ μόνον τὸ ὁπωσοῦν τρέπεσθαι τῆς ὑπεροχῆς τῶν οὐρανίων ὑπέβη, ἀλλὰ καὶ τὸ ποτε κακοῦσθαι τῆς τῶν αἰθερίων ἀξίας ὑπέστη. τὸ μὲν γὰρ ἀεὶ νοεῖν τὸν θεὸν, καὶ ἡνωμένως αὐτοῦ τὴν γνῶσιν ἔχειν, τοῖς οὐρανίοις πρόσεστι. τὸ δὲ, ἀεὶ μὲν, διεξοδικῶς δὲ, τοῖς αἰθερίοις κατ' οὐσίαν ὑπάρχει. τὸ δὲ, μήτε ἀεὶ νοεῖν, καὶ ἐν αὐτῷ τῷ νοεῖν μεμερισμένως νοεῖν, ταῖς ἀνθρωπίναις ψυχαῖς ὡς ἴδιον ἀποδέδοται, ἀπολειπομέναις κατὰ φύσιν τῆς τε ἀμερίστου νοήσεως τῶν οὐρανίων, καὶ τῆς ἐν τάξει πληθυνομένης γνώσεως τῶν αἰθερίων. ἐπεὶ μήτε ἑνιαίως μήτε ἀϊδίως νοοῦσιν αὗται· ἀλλὰ καὶ ὅταν πρὸς τὴν τοῦ νοεῖν ἀξίαν ἀνάγωνται, τὴν αἰθερίαν μιμοῦνται [τάξιν] γνῶσιν, καὶ ταύτῃ συνεπόμεναι, τῶν νοητῶν καρποῦνται τὴν θέαν. μετὰ δὲ τὸ τρίτον νοερὸν γένος, τὸ ποτε μὲν νοοῦν, ποτὲ δὲ μὴ νοοῦν, εἴη ἂν *τὸ μηδέποτε νοοῦν, κατὰ τὸν τῆς τελείας διαιρέσεως λόγον· ὃ δὴ φύσει ἐστὶν ἀνόητον, ἀληθείας τε καὶ ἀρετῆς *οὐδαμῶς μετέχειν δυνάμενον. διὸ καὶ τὸ τοιοῦτον γέννημα ἐκείνου ἐκβάλλεται. πῶς γὰρ εἰκὼν τοῦ νοητοῦ θεοῦ τὸ ἄλογον, καὶ ἀνόητον; πᾶσα γὰρ ἐκείνου εἰκὼν ἔννους καὶ λογικὴ, γινώσκειν ἑαυτὴν καὶ τὸν ποιήσαντα πέφυκεν.

Ὅτι τῶν ἐνθάδε πεπραγμένων ἡμῖν, λόγον ἡμᾶς ἐπιτετάχθαι, φησὶν, ὑπέχειν τοῖς τὴν μέσην λῆξιν λαχοῦσιν, ἅτε δὴ φύλαξι καὶ ἐφόροις οὖσιν ἡμῶν. πᾶσαν δὲ τὴν περὶ ἡμᾶς αὐτῶν ἐνέργειαν εἱμαρμένην καλεῖσθαι, δίκης νόμοις τὰ ἡμέτερα *διατάττουσαν. εἰ δὲ φύλακές εἰσι, φησι, τοῦ πρὸς τὴν ἀξίαν ἀφοριζομένου βίου· δηλονότι καὶ τοῦ χρόνου εἶεν ἂν *ἀποπληρωταὶ, ὃν ἕκαστος βίον ἐκληρώσατο. οὐ γάρ ἐστι τὸν βίον τηρεῖν, τοῦ χρόνου τὸ ἀόριστον ἔχοντος. ὥστε δεῖ τὸν μὲν χρόνον ὡρίσθαι, διὰ τὸ *σώζεσθαι τὸν εἱμαρμένον βίον. τὸν δὲ τρόπον τῆς τελευτῆς συνδιαιρεῖσθαι τῷ χρόνῳ, ὡς μέρος ὄντα τὸ ἔσχατον τοῦ *πρὸς τὴν ἀξίαν ἀπονεμηθέντος βίου. καὶ γὰρ τῆς γενέσεως ὁρισθείσης, ἀνάγκη καὶ τὸν θάνατον ὡρίσθαι. τὴν δὲ ἀρχὴν τῆς γενέσεως ὁρίζει ἡ τῆς ἐκεῖθεν ἐκπομπῆς εἱμαρμένη, θεία βούλησις οὖσα, καὶ *νόμος τῆς τοῦ θεοῦ δίκης.

* al. ἑξῆς. * ἀκάκως. * al. τὸ μηδέποτε νοοῦν. * al. ὑδαμινόν. * al. διαιτῶσαν. * fo. ἀποπληρωταί. M. M. * al. αὔξεσθαι. * πρὸς τὸ τέλος. * al. νόμου.

αὕτη

HIEROCLES

* al. ἐνταῦθα. ὥστε καὶ τὸν θάνατον ὡρισμένον τηρήσει ἡ τῆς * ἐντεῦθεν ἐκεῖ τε μεταστάσεως εἱμαρμένη. διὸ ὥρισται καὶ τὸ διὰ τῶνδε μὲν παρελθεῖν εἰς τὸν βίον, διὰ τῶνδε δὲ ἐκ τοῦ βίου ἀπελθεῖν. εἰ γὰρ ἀόριστα ταῦτα· καὶ ὁ βίος ἅπας ἀόριστος, καὶ τῆς κρείττονος ἐπιστασίας ἄμοιρος. ποῦ γὰρ ἔτι, ἢ ἐν τίσι, τῆς θείας κρίσεως καὶ τῆς πρὸς ἀξίαν διανομῆς ἔσται ἡ ἐπιμέλεια, τῶν περὶ τὸ σῶμα καὶ τὰ ἐκτὸς εἰκῆ καὶ ὡς ἔτυχεν ἡμῖν συμπιπτόντων; εἰ γὰρ ταῦτα μὲν ἄτακτα καταλείψομεν· τὰς δὲ * ψυχῆς προαιρέσεις καὶ κρίσεις καὶ ὁρμὰς ἀπὸ κρείττονος ἀνάγκης * ἐξηγεῖσθαι φήσομεν. οὕτω γὰρ ἀρετῆς καὶ κακίας οὐχ ἡμᾶς αὐτούς, ἀλλ᾽ ἐκείνην αἰτιασαίμεθα. οὐδὲ μὴν πάντα τῇ παρ᾽ ἐκείνων ἀνάγκῃ εὔλογον ἀνατιθέναι, τὰ τῆς ψυχῆς λέγω καὶ σώματος, καὶ τῶν ἐκτός· ἀλλ᾽ οὐδὲ πάντα εἰκῆ ταῖς ἀλόγοις καὶ αὐτομάτοις φοραῖς, νοῦ τῶν πάντων ἡγουμένου, καὶ θεοῦ τῶν ὅλων ὄντος αἰτίου. ἀναγκαῖον δὴ τὸ λειπόμενον, τὰς μὲν προαιρέσεις ἐφ᾽ ἡμῖν εἶναι· τὰς δὲ ἐπὶ ταῖς προαιρέσεσι δικαίας ἀμοιβὰς, ἐπὶ τοῖς αἰθερίοις κεῖσθαι, καὶ ὑπὸ θεοῦ τεταγμένοις δικασταῖς, καὶ πεφυκόσιν ἡμῶν ἐπιμελεῖσθαι. ζητῶν γὰρ ὄντων τῶν καθ᾽ ἡμᾶς, καὶ τὸ πάντα ἠναγκάσθαι, καὶ τὸ μηδὲν, τὸ ἐπηλλαγμένως ἢ ὡς δεῖ· τὴν ἴσην ἀτοπίαν ἔχει, καὶ προνοίας πάσης ἐπίσης ἐστὶν ἀναιρετικόν. ἥ τε γὰρ τῆς πρὸς ἀξίαν ὑπόθεσις, πάντως συνεισάγει τὴν πρόνοιαν, καὶ τὴν ἀπ᾽ αὐτῆς εἱμαρμένην· καὶ ἡ προνοητικὴ κρίσις, δίκη καὶ νόμῳ τὰ ἀνθρώπινα τάττουσα, τῆς αὐτεξουσίου ἡμῶν καὶ προαιρετικῆς ἀρχῆς δεῖται. ὥστε μέρος ἐστὶ τῆς ὅλης προνοίας ἡ εἱμαρμένη, τὸ πρὸς τὰς ἀνθρωπίνας ψυχὰς δικαστικῶς ἁρμοζόμενον. ἀνθρωπίνων δὲ ψυχῶν ἐνέργεια ἡ αὐτοκίνητος προαίρεσις, καὶ τὸ λεγόμενον ἐφ᾽ ἡμῖν· ὃ δὴ τοῖς θείοις δικασταῖς ὑπόθεσις εὔλογος γίνεται τῆς ἀνίσου διανομῆς· τὸ δὲ τυχαῖον, ὅλον τοῖς θνητοῖς καὶ ἀλόγοις ἀποδίδοται * γενέσεσιν. οὐ γὰρ καθ᾽ ἕκαστον τεταγμένως, οὐδὲ κατά τινα λελογισμένην ἀξίαν, ἐκ μὲν τοῦδε τοῦ πυρὸς σβεννυμένου, ἀὴρ γίνεται· ἐκ δὲ τοῦ ἀέρος παχυνομένου, ὕδωρ· οὐδὲ ἐκ τῶνδε μὲν τῶν σιτίων, ἵππου σῶμα ἢ κυνός· ἐκ τῶνδε δὲ, ἄλλο τι· ἀλλὰ πάντα ἐκ πάντων ταῖς * προσπιπτούσαις μεταβολαῖς δύναται γίνεσθαι, διὰ τὸ κοινὸν τῆς ὕλης, καὶ πρὸς πάντα ἐπιτήδειον· τοσοῦτον τάξεως μετέχοντα καὶ θείας ἀνάγκης, ὥστε κατὰ γένος ἕκαστα διασώζεσθαι, καὶ συμπαραθεῖν πρὸς τὸ ἀΐδιον τῇ διαδοχῇ ταῖς ὑποστάσεσιν αὐτὰ αἰτίοις. ἐν δὲ τοῖς κατὰ μέρος ζώοις τε καὶ φυτοῖς, καὶ αὐτοῖς τοῖς ἀψύχοις, οὐδὲν διώρισται, οὐδὲ τέτακται, ὡς πρὸς ἀξίαν ἀποδιδόμενον πάθος· τῷ μήτε ἐκ * προβιοτῆς ἀμοιβάς τινας αὐτοῖς ὀφείλεσθαι, μήτ᾽ ἐπὶ τοῖς νῦν δρωμένοις προσδοκᾶσθαι δίκας. οὐ γὰρ ἐπεισῆλθέ τι ἐν ἐκείνοις, ἐκ τοῦ αἰθερίου τόπου τὴν ὑπόβασιν ποιησάμενον, ἵνα καὶ τῇ θείᾳ κρίσει παιδαγωγηθῇ πρὸς ἐπάνοδον· ὡς ἐν τοῖς καθ᾽ ἕκαστα ἀνθρώποις τὰς λογικὰς καὶ ἀθανάτους ψυχὰς ἐκεῖθεν κατιούσας, ἀνάγκη πλείστης ἐπιστροφῆς καὶ κηδεμονίας τυγχάνειν διὰ τὴν συγγένειαν πρὸς ἐπανόρθωσιν τῆς εἰς κακίαν ὑποφορᾶς. διὸ πάσχουσί τε καὶ αἱροῦνται, ἐν αὐτοῖς τοῖς πάθεσι· καὶ πάλιν * αἱροῦνται καὶ πάσχουσι πρὸς τὴν ἀξίαν τῶν αἱρεθέντων. διὰ τοῦτο οὖν πολὺ τὸ ὡς ἔτυχεν ἐν τοῖς ἀλόγοις, καὶ τὸ θείας κρίσεως ἄμοιρον.

* al. τύχαις.
* al. ἐπιζεῦξ.
* al. ἐν τοῖς.
* al. φύσει.
* al. προσπιπτ-ούσαις.
* al. προβιωτῆς.
* al. παιδεύσ.
* al. ἁμαρτάν.

Quare etiam mortem definitam seruabit Fatum transitionis hinc illuc. Quare definitum est, quibus ad vitam, & ad mortem veniemus. Si enim hæc destinata non sint, & omnis vita infinita, nec melioris sortis particeps. Vbi enim, aut in quibus, iudicij diuini, & distributionis secundùm merita erit cura, eorum quæ in corpore & externis temerè, ac fortuitò nobis accidunt? Non enim hæc inordinata relinquemus, animi consilia & iudicia, & impetus à meliori necessitate fieri dicemus. Sic enim virtutis & malitiæ non nos ipsos, sed illam accusauerimus. Neque enim æquum est fatali necessitati adscribere, quæ animo vel corpori, vel externis accidunt. Sed neque omnia ferri temerariis aut fortuitis casibus par est: Mente principatum omnium tenente, & Deo omnium exsistente causa. Necessariò itaque relinquitur arbitrium liberum in nobis esse, & iustas retributiones liberis actionibus penes ætherios esse à Deo iudices ordinatos, & nostri curam gerentes. Cùm enim tria sint in nobis, omnia nimirum necessario fieri, aut nihil, aut vicissim, vel vt oportet, æquè absurdum est, & æqualiter omnem tollit prouidentiam. Merita enim præuisa vna secum omnino inducunt prouidentiam, & deinde Fatum & iudicium prouidens, iustitia & lege humana ordinans, libero ac voluntario indiget principio. Quare pars est totius prouidentiæ Fatum ad humanas animas iudiciaria lege accommodatum. Humanorum verò animorum operatio, libera actio est, &, quod dicitur in nostra esse potestate, id diuinis iudicibus rationi consentanea occasio est inæqualis distributionis. Fortuitum verò totum mortalibus, & brutis tribuitur generationibus. Non enim in singulis ordinatè, neque iuxta præuisa merita procedit: siquidem ex igne extincto aër fit: ex aëre condensato aqua; neque ex his cibis equi vel canis corpus; ex aliis verò aliud quid exsistit. Sed omnia ex omnibus temerè possunt produci propter communem materiam, & omnia in se suscipientem, eumque ordinis, diuinæque necessitatis modum participat, vt singula suo quæque genere conseruentur, & occurrere ad æternitatem successione quadam, causis subsistentibus. In animalibus singulis, & plantis, & aliis inanimatis, nihil definitum, neque ordinatum est, quasi pro meritis merces, quod ex priore vita renumeratio nulla illis debeatur, nec pro iis, quæ nunc faciunt, pœna exspectanda. Non enim iis aliquid accessit ex locis ætheriis, quod basim constituat, vt diuino iudicio ad reditum ducerentur: quemadmodum in singulis hominibus animos rationis participes, & immortales inde aduenientes, necesse est maximæ curæ ac solicitudini cognatis esse, ne in malum, id quod proni sunt, dilabantur: propterea patiantur quidem, & simul patiendo acquiescunt: & rursum liberè volunt, ac patiuntur ad meritum liberi arbitrij consequendum. Quapropter fortuitum, & carentia diuini iuditij brutis conuenit.

Vide Iolrium Enchiridij Epicteti.

HIEROCLES

In nostris autem actionibus, etiam quod fortuitum videtur, prauiso Fato inseruit: adeò vt Fortuna nobis, non secus atque brutis, dominari videatur, eáque nobis accidant in corporis atque externis bonis, quæ iudicium præsidis instar definiuit. Remissione enim, & intentione, variisque mutationibus eorum quæ nobis accidunt, libera animi voluntas ad moderatum statum dedu-tur: citius quidem, si aduersa quæ circa hæc accidunt, constanter ferat: longiore verò tempore, si impotenti atque amenti animo illa toleret. Tunc enim perfidiæ pœnas dat, & nihilominus quæ patitur ferat necesse est.

Animam liberos habere motus, & de Prouidentia.

CVm anima, inquit, quibuscunque in actionibus liberis crimine non vacet, & digna sit, quæ à potestate sublimiore continenter regatur, pœnam, purgationem, atque supplicium pro meritis adipiscitur. Atqui libera electio ab ea pendet, quæ verò liberis contingunt actionibus, Prouidentiæ iudicio affectus animi pro meritis compensante, definita sunt: & sic eligere, atque vna sortiri viuendi genus dicimur. Compensatio autem meritis nostris definita, diuinam ostendit Prouidentiam. Itaque ab initio ad extremum vsque, liberos animi motus habemus, alij plus quidem, minus alij; nec ipsi similiter semper in nobis illam libertatem seruamus, nec mercedem æquam omnes consequimur. Atque id quod nos huc ducit, & hinc rursum abducit, nexus videlicet & concursus voluntatis humanæ, atque diuini iudicij, Fatum est. Quo fit vt libertate arbitrij nostri, quæ volumus agentes, frequenter propter certum Dei iudicium, quæ nolimus patiamur. Generali itaque decreto cum ea quæ vitam humanam participant contineantur, tum tempus, ac mortis genus, vna cum Fati decreto ordinata sunt. Operæ prætium est, inquit, scire, animam neque tum cum ad mentem conuertitur, imbecillitate aliquando intelligendi priuari, neque in extrema malitia rursus, intelligendi atque resipiscendi facultate. Sic enim anima humana natura sua condita est, vt partim ad diuinam felicitatem, partim ad humanos casus accommodata sit, ac per vices vtramque facultatem promat, siquidem iuxta Dei Prouidentiam ad vtrumque apta est. Sua enim natura sic regitur. Quod autem diutius in summis quam in infimis degat, id arbitrij sui libertate consequitur. Quocirca aliæ intra decem millia annorum, aliæ intra tria millia cursum conficere dicuntur, virtute errorem recidente, & vehementi bonorum studio terreni obsidij diuturnitatem tollente.

E LIBRO SECVNDO,

Quænam dicantur per se agere.

ILLA, inquit, per se agere dicuntur, quæ cum sine mutatione in sua essentia atq; operatione maneant, & sine vlla sui mutatione ad eorú quæ generantur sustentationem moueantur,

ἐν δὲ τοῖς καθ' ἡμᾶς καὶ τὸ δοκοῦν εἶναι τυχαῖον, εἰς τὴν τῆς προνοητικῆς εἱμαρμένης ὑπηρεσίαν τελεῖ. ὥστε δοκεῖν μὲν ἀπὸ ταὐτομάτου πάσχειν ἡμᾶς, καὶ ὁμοίως τοῖς ἀλόγοις ζώοις. τοῦτο δὲ πάσχειν, περί τε σῶμα, καὶ τὰ ἐκτός, ὃ ἡ ἔφορος κρίσις ὥρισε. τῇ γὰρ τῶν περὶ ἡμᾶς ἐπιτάσει τε καὶ ἀνέσει, καὶ ταῖς παντοίαις τούτων μεταβολαῖς, τὸ αὐτεξούσιον τῆς ψυχῆς παιδαγωγεῖται πρὸς * εὐταξίαν. θᾶττον μὲν, ἐὰν εὐγνωμόνως ὑποδέχηται τὰ περὶ ταῦτα συμβαίνοντα πάθη· ἐν πολλαῖς δὲ καὶ μακραῖς χρόνου περιόδοις, ὅταν ἰταμῶς καὶ ἀνοήτως πρὸς αὐτὰ διατεθῇ. τότε γὰρ δίκας μὲν ὑπέχει τῆς ἀγνωμοσύνης, οὐδὲν δὲ ἧττον δι' ὧν πάσχει, φέρεται πρὸς τὸ δέον. * al. τάξιν.

Ὅτι αὐτεξουσίους ἔχει ἡ ψυχὴ τὰς κινήσεις· καὶ περὶ τῆς προνοίας.

ΟΤι ἡ ψυχή, φησιν, οὐκ ἀναίτιον ἔχουσα τὴν ὁποιασοῦν αἱρέσεως ὁρμήν, καὶ ὑπὸ τῆς περιοχῆς κρείττονος γένους ἐπιστασίας ἀξιοῦται, δίκης καὶ καθάρσεως καὶ τιμωρίας τυγχάνουσα ἀεὶ πρὸς τὴν ἀξίαν τῆς ἑαυτῆς διαθέσεως. καὶ τὸ μὲν ἑλέσθαι, ἐπ' αὐτῇ κεῖται· τὰ δὲ ἐπισυμβαίνοντα ταῖς αἱρέσεσι, τῇ τῆς προνοίας κρίσει ὥρισται, πρὸς ἀξίαν ἀμειβομένῃ τὰς ψυχικὰς διαθέσεις· καὶ οὕτως αἱρεῖσθαί τε ἅμα καὶ κληροῦσθαι τὸν αὐτὸν βίον λεγόμεθα. ἡ γὰρ ἐπὶ τοῖς εἰργασμένοις ἡμῖν τεταγμένη ἀμοιβή, καὶ τὴν θείαν ἐπιστασίαν ἐμφαίνει. ὥστε ἀπ' ἀρχῆς εἰς τέλος αὐτεξουσίους [μὲν] ἔχειν ἡμᾶς τὰς κινήσεις, εἰ καὶ ἄλλοι ἄλλων μᾶλλον καὶ ἧττον. καὶ αὐτοὶ δὲ οὐχ ὁμοίως ἀεὶ τὸ ἐφ' ἡμῖν διασῴζομεν, οὐκ ἀδιαπτώτους δὲ τὰς πρὸς τὴν ἀξίαν ἀντιδόσεις. καὶ τοῦτο [εἶναι] τὴν ἄγουσαν ἡμᾶς πρὸς τὰ τῇδε, καὶ πάλιν ἐντεῦθεν ἀπάγουσαν εἱμαρμένην, πλέγμα οὖσαν καὶ συνδρομὴν ἀνθρωπίνης προαιρέσεως καὶ θείας κρίσεως· ὥστε ἑλομένους ἡμᾶς ἃ βουλόμεθα, διὰ τὸ τῆς προαιρέσεως ἀδούλωτον, πάσχειν πολλάκις ἃ μὴ βουλόμεθα, διὰ τὸ τῆς * προαιρέσεως ἀδιάπτωτον. ἐν ὅλῳ δὲ τῷ ἀφοριζομένῳ τά τε ἄλλα κεῖται, ὅσα συνεκτικὰ τῆς ἀνθρωπίνης ζωῆς· καὶ ὁ καιρός, καὶ ὁ τρόπος τοῦ θανάτου τῷ τῆς εἱμαρμένης ψηφίσματι συνδιατέτακται. * al. κρίσεως.

Ὅτι, φησὶν, ἐπιστῆσαι ἄξιον, ὡς ἡ ψυχὴ οὔτε ἐν τῇ πρὸς νοῦν στροφῇ τὴν τοῦ ποτὲ ἀνοηταίνειν ἀσθένειαν ἀφῄρηται, οὔτε ἐν τῇ ἐσχάτῃ κακίᾳ τὴν τοῦ αὖθις νοεῖν δύναμιν καὶ ὀρθῶς μετανοεῖν. φύσει γὰρ ἡ ἀνθρωπίνη ψυχὴ τοιαύτη δημιουργηθεῖσα, καὶ πρὸς τὴν θείαν εὐζωΐαν, καὶ πρὸς τὴν θνητὴν γένεσιν ἐπιτηδείως ἔχει, ἀνὰ μέρος ἑκατέραν προβάλλουσα δύναμιν. ἐπεὶ καὶ κατὰ πρόνοιαν θεοῦ πρὸς ἄμφω γεγένηται. ἔστι γὰρ τὸ μὲν δύνασθαι αὐτὴν πολιτεύεσθαι κατ' οὐσίαν κέκτηται· τὸ δὲ πλείονα χρόνον ἄνω διάγειν ἢ κάτω, πρὸς τὸ αὐτοκίνητον αὐτῆς συμβαίνει διάθεσιν. διὸ αἱ μὲν, μυριετεῖς, αἱ δὲ τρισχιλιετεῖς περιόδους λέγονται ποιεῖσθαι, τῆς ἀρετῆς ἐπιτεμνομένης τὴν πλάνην, καὶ τοῦ συντόνου τῶν ἀγαθῶν ἔρωτος ὑφαιρουμένου τῆς περιγείου λειτουργίας τὸ πολυχρόνιον.

Ἐκ τοῦ β΄ λόγου· τίνα κατ' οὐσίαν λέγεται ποιεῖν;

ΟΤι, φησί, κατ' οὐσίαν ἐκεῖνα λέγεται ποιεῖν, ὅσα μένοντα ἀτρέπτως ἐν τῇ * αὐτῶν οὐσίᾳ καὶ ἐνεργείᾳ, καὶ μηδὲν ἑαυτῶν ἀπομερίζοντα, μηδὲ κινούμενα πρὸς τὴν τῶν γινομένων ὑπόστασιν, * al. αὐτῇ.

κατ'

κατ᾽ αὐτὸ μόνον τὸ εἶναι ὅ ἐστι παράγει τὴν διαφέρουσαν γένεσιν. οἷς ἕπεται μήτε ὕλῃ προσχρῆσθαι, μήτε ἀπὸ χρόνου ποιεῖν, μήτε εἰς χρόνον παύεσθαι, μήτε ἔξω τῆς τοῦ ποιοῦντος ἐνεργείας κεῖσθαι τὸ γινόμενον. ταῦτα γὰρ πάντα τῇ κατὰ συμβεβηκὸς ἐνεργείᾳ παρέπεται, ἐπὶ τοῦ οἰκοδόμου καὶ τῶν ὁμοίων.

Ὅτι, φησίν, ὁ Πλάτων ἐν Φαίδρῳ λέγων· τὸν δὲ ὑπερουράνιον τόπον οὔτε τις ὕμνησέ που τῶν τῇδε ποιητὴς, οὔτε ποτὲ ὑμνήσει κατ᾽ ἀξίαν. τόπον νῦν οὐ τὸν κυρίως φησίν, οὐδὲ γὰρ σωμάτων ἐστὶ περιεκτικὸς τόπος δὲ νῦν αὐτὴ τῆς οὐσίας ἡ τοιάδε, καὶ γένος τοιόνδε, λέγει· οἷον ὑπερκόσμιον καὶ νοητὸν, ὥσπερ εἰώθαμεν περὶ γραμμάτων τινῶν διηγέμενοι λέγειν.

Ὅτι κατ᾽ ἐκεῖνον τὸν τόπον τοῦ λόγου γινόμενοι, ἐροῦμεν· τὸ κεφάλαιον ἐκεῖνο καὶ τὸ εἶδος τῶν πραγμάτων, τόπον καλοῦντες.

Ὅτι ἐν τοῖς νόμοις Πλάτων (φησὶ) τὸ διαφέρον τῆς περὶ ἡμᾶς τοῦ θεοῦ προνοίας ἐνδείκνυται, λέγων· ὡς θεὸς μὲν πάντα, καὶ μετὰ θεοῦ τύχη καὶ καιρὸς τὰ ἀνθρώπινα διακυβερνῶσι ξύμπαντα. δι᾽ ὧν * δῆλόν ἐστι τοῖς μὲν ἀπαθέσι καὶ ἀεὶ τελείοις καὶ διὰ τοῦτο ἀναμαρτήτοις τὴν καθαρὰν καὶ μονοειδῆ τοῦ θεοῦ ἐπιστήσας πρόνοιαν· τοῖς δὲ καὶ εἰς ἄνοιαν ποτὲ ὑποφερομένοις λογικοῖς, καὶ διὰ τοῦτο κακίας ἀναπιμπλαμένοις, τὴν συμμιγῆ καιροῖς καὶ τύχαις πρόνοιαν ἀποδιδούς. ἔστι γὰρ ἡ μὲν τῶν ἀγαθῶν προηγουμένη δόσις, καὶ ἡ τῶν κατὰ φύσιν * προσιόντων τήρησις, ἴδιον ἔργον τῆς καθαρᾶς προνοίας· ἡ δὲ τῶν παρὰ φύσιν διατεθέντων διόρθωσις, καὶ αἱ τῶν ἁμαρτημάτων εὐθύναι, τῆς ἐνύλου καὶ τύχῃ καὶ καιρῷ προσκεχρωμένης. οὐ γὰρ κατὰ τὸν προηγούμενον λόγον ἡ θεία κρίσις τοῖσδε μὲν ἡμῶν * ἐμφέρει τὰ δεινά, τοῖσδε δὲ τὰς εὐπαθείας ἀποδίδωσιν· ἀλλ᾽ ἐξ ὑποθέσεως τῆς τῶν προβεβιωμένων ἀξίας. ἐπεὶ καὶ ἔοικεν ἡ κρίσις τῶν ἐφεστώτων ἡμῖν δικαστῶν τῇ ἰατρικῇ τέχνῃ, ἣ παραλαβοῦσα τοὺς ἀφ᾽ ἑαυτῶν νοσήσαντας, πάντα πρὸς τὸ δέον αὐτοῖς συντάττει κατὰ καιρὸν, ὃν ἂν αὐτοῖς τοῖς θεραπευομένοις εἴη λυσιτελές. καὶ διὰ τοῦτο ἡ μὲν ἀξία τῶν κρινομένων ἄλλοτε ἄλλη τυγχάνουσα, καὶ ταῖς αὐτεξουσίοις κινήσεσιν ἐναλλαττομένη, τύχην τῇ περὶ ἡμᾶς προνοίᾳ συμμίγνυσιν· ἡ δὲ προσήκουσα ἑκάστοις τάξις, τὸν τῆς τιμωρίας καὶ τῆς καθάρσεως καιρὸν συνεισάγει. τύχης δὲ καὶ καιροῦ τῇ θείᾳ προνοίᾳ συνταττομένων, τὸ ὅλον * πλέκεται εἱμαρμένη· ἐκ μὲν τῆς ἀνθρωπίνης προαιρέσεως, τὴν τύχην προσλαβοῦσα, ἐκ δὲ τῆς θείας κρίσεως ἀφορίζουσα τὸν καιρόν. καὶ γὰρ τῆς τέχνης ἐστὶν ἀφορίσαι τὰ μέτρα τῆς θεραπείας· τοῦ δὲ ἀνθρώπου, διατεθῆναι οὕτως, ὥστε τομῆς δεηθῆναι ἢ καύσεως, ἢ ἄλλης τινὸς ἀλγεινῆς θεραπείας. πολλαχοῦ δέ (φησι) καὶ ἄλλοθι ὁ Πλάτων τὰ τοιαῦτα φιλοσοφεῖ περί τε τῆς ἀνθρωπίνης οὐσίας, καὶ τῆς * ἀπευθυνούσης ἡμᾶς προνοητικῆς εἱμαρμένης.

HIEROCLES

eo solum, quo sunt, id quod sunt, res à se diuersas producunt. Ex quibus efficitur, illa neque materia vti, neq; ab aliquo tempore incipere, neque in aliquod tempus desinere, neque extra agentis operationem, id quod fit, consistere. Hæc enim omnia secundum accidens operantem comitantur, verbi gratia, in ædificante, & id genus aliis.

Plato in Phædro ai[t] locum cœlestem, Poëtarum vllum neque laudasse hactenus pro dignitate, neque laudaturum: de proprio autem loco non loquitur, qui corporum est capax. Sed per locum talem essentiam, aut tale genus intelligi, qualis cœlestis est, quæque intellectu percipitur, vti solemus de scriptis quorumdam loquendo dicere. Quo etiam modo loquendi dicimus, caput & formam rerum locum appellantes.

Idem Plato de Legibus, discrimen diuinæ erga nos prouidentiæ ostendens, ait Deum omnia, vnaque Fortunam, & Occasionem humana cuncta gubernare. Hinc constat assignasse illum Dei Prouidentiam puram, & sui similem rebus affectione carentibus, sempérque perfectis, ideoque non aberrantibus, iis vero, quæ aliquando in amentiam incidunt, ratione prædita, ideoque malitia implentur, Occasione atque Fortunæ mixtam Prouidentiam attribuisse. Præcedens enim bonorum largitio, & ex natura accedentium conseruatio, puræ proprium est opus Prouidentiæ. Eorum, quæ præter naturam composita sunt; correctio, erratorumque pœnæ, materiatæ est opus Prouidentiæ, vtentis Fortuna, & Occasione. Non enim, vt ex prædictis colligitur, diuinum iudicium hominum quosdam calamitate afficit, alios vero prosperos reddit, sed ex cuiusque antecedente merito. Cum autem medicinæ simile sit iudicium iudicum nobis præsidentium quæ ars ægrotantium curam suscipiens, omnia illis, vt par est, opportunè præscribit, prout infirmis expedit: propterea meritum eorum, qui iudicantur, cum alias aliud sit, atque arbitrij libertate mutetur, Fortunam diuinæ erga nos Prouidentiæ commiscet. Ordo autem singulis conueniens, atque expiationis, Occasionem secum inducit: Fortuna autem, & Occasio diuinæ Prouidentiæ coniuncta, generale Fatum efficiunt; ex humana voluntate Fortunam accipiens, ex diuino autem iudicio Occasionem. Etenim artis est curandi modum definire, hominis vero sic affici, vt sectione indigeat; vel vstione, vel alia quadam molesta curatione. Passim vero & aliquid hoc modo Plato de humana natura, & Fato, prouidentia quadam nostra regente, philosophatur.

Differentia Philosophi, & amatoris.

PLATO discrimen ponens, inquit, inter Philosophum, & amantem, & quomodo honore inter se pares dicatur, philosophari quidem eũ dicit, qui soli deditus cõtẽplationi, ab aliis omnibus abstinet; purisq; virtutibus se dedicat,

Plato in Phædro.

Plato lib. 4. de Leg.

* Ισ. δῆλον ὅτι.

* al. κρειττόνων.

* συμφέρει

* πλέκεται

* ἀπευθυνούσης

Τίς ἡ φιλοσόφου καὶ ἐρωτικοῦ διαφορά.

ΟΤι ἀποδιδούς, φησιν, ὁ Πλάτων φιλοσόφου καὶ ἐρωτικοῦ διαφορὰν, καὶ πῶς ἰσοτίμως οὗτοι ἀγαθοὶ λέγονται· φιλοσοφῆσαι μὲν ἀδόλως λέγει τὸν θεωρίαν πρὸ πράξεως πολιτικῆς ἀγαπήσαντα, καὶ πάντα τὰ ἄλλα παρ᾽ οὐδὲν θέμενον, καὶ ταῖς καθαρτικαῖς ἀρεταῖς ἑαυτὸν παραδόντα,

HIEROCLES

vt tandem perfectus euadat, quemadmodum in Theæteto ait. Atque hic absolutè Platoni Philosophus est. Amatorius vero ei vocatur, qui vt cum philosophia liberos amet, propter ipsam honestatem ac diuinitatem exercitatus, & spiritalium bonorum vsum adeptus, ciuilem vitæ rationem, educationésque liberorum sectatur: quod in libris de Repub. tradit: Philosophos potissimum ciuitatum esse principes, vt eas aliquando malis eripiant, neque florentes vnquam fore Resp. nisi diuino vtentes exemplari, eas desinant. Quæ autem definitionis aut descriptionis huius ratio est, nimirû sumptam ciuitatem, moresque hominum veluti tabulas puras imprimis reddant: deinde Reip. formam pingant. Denique eo confecto, frequenter, & vndique ad id quod natura iustum est, & honestum, & his similia respectum habeant, rursumque ad eam, quæ hominibus insita est, vt Homerus ait, Dei similitudinem, ac formam, & aliud quidem expungant, aliud vero inculpant quod moribus Deo maximè caros mortales reddat. Talis est Rerumpub. pictor amans cum Philosophia, hoc est, qui vna cum speculatione in Repub. versatur, cui pro liberis Sensus sint, quodq; in iis honestum elucet, & his longe antiquior ac maior, veluti Sensuum Pædagogus, Mens sit. Propterea eum, qui sola mente vtendo, in rerum humanarum despicientia moderate versatur, perfectè philosophari, hoc est, sine labore, à materia seiûctum, ac sine præstigiis affirmat. Sensus enim Menti coniunctus, fascinare Rationem, atque flectere studet, vt quod materiæ coniunctum est, bonum sibi proprium existimet. Qui vero Sensus mente gubernat, eum demum liberorum cum Philosophia amantem appellat: cui Mens contemplationi dedita pro custodia sit, ac munimento, ne Sensibus operando fallatur, cuius quidem mentis imagines pingere publicè priuatimque amat, mores hominum dirigens, dum, quoad eius fieri potest, Dei amantes, hoc est, pios reddat. Quod autem in imagine pictor perspectum habuit, diuino vsus exemplari, id aliis quoque insculpere conatur, nihilo quidem hic altero Philosopho mente inferior, cum humanitate superior appareat, quemadmodum ille huic priuatis commodis antecellit. Atque hoc quidem inter se discrimine differunt, Philosophus quidem perfectè, hoc est, parum aut nihil humana curans negotia; amatorius vero, hoc est, cognatorum, atq; affinium negotia gerendo, in eos beneficus, nihilominus quia æqualiter Philosophiam adepti sunt, pari quoque perfectionis gradu censentur, pari tempore veluti alis sublati, & eadem euectione digni habiti.

E LIBRO TERTIO

CAPITE X.

Leges, rationes, virtutes, & si quæ similia, Prouidentiam inducere.

NON frustra, inquit Hierocles, Leges conduntur hominibus, neque Ratio iis temere data, neque voluntas frustra est, nec vota facere superuacaneum, si res humanæ Prouidentia regantur. Iustitia & Lege mercedem liberis actionibus tribuente.

τῇ πρὸς μόνην τὴν ἱερὰν τελείωσιν * ἀναγωγῇ, ὡς ἐν Θεαιτήτῳ διέξεισιν. ἀλλ' ὁ μὲν * ἀΰλως φιλόσοφος κατὰ Πλάτωνα τοιοῦτος. ὁ δὲ ἐρωτικὸς λέγεται παρ' αὐτῷ, ὃς καὶ παιδεραστήσει μετὰ φιλοσοφίας, ὁ ταῖς * πραγματικαῖς ἀρεταῖς διὰ τὸ θεῖον καὶ [τὸ] αὐτοκαλὸν ἐνασκηθεὶς, καὶ τὴν τῶν νοητῶν ἀγαθῶν τὴν μετάδοσιν ἐπιτηδεύσας, πολιτικὸν τῷ ὄντι καὶ παιδευτικὸν τρόπον τοῦ βίου μεταχειριζόμενος. καὶ τοῦτο ἐν πολιτείᾳ παραδίδωσι, τοὺς φιλοσόφους λέγων ἄρχοντας ταῖς πόλεσιν ἐφεστάναι, ἵνα λήξωσί ποτε τῶν κακῶν. καὶ ὡς οὐκ ἄν ποτε * εὐδαιμονήσειε πόλις, εἰ μὴ αὐτὴν διαγράψαιεν οἱ τῷ θείῳ παραδείγματι χρώμενοι. τίς δὲ ὁ τρόπος τῆς διαγραφῆς; ὅτι λαβόντες, ὥσπερ πίνακα, πόλιν τε καὶ ἤθη ἀνθρώπων, πρῶτον μὲν καθαρὰν ποιήσαιεν, καὶ μετὰ τοῦτο ὑπογράψαιντο αὖ τὸ σχῆμα τῆς πολιτείας. ἔπειτα, οἶμαι, ἀπεργαζόμενοι αὐτὴν, πυκνὰ * ἂν ἑκατέρωσε ἀποβλέποιεν, πρός τε τὸ φύσει δίκαιον, καὶ καλὸν, καὶ σῶφρον, καὶ πάντα τὰ τοιαῦτα καὶ * πρὸς ἐκεῖνο αὖ, ὃ ἐν τοῖς ἀνθρώποις ἐμποιεῖ, * καὶ, ὡς Ὅμηρος ἔφη, τὸ θεοειδές * τε καὶ θεοείκελον. καὶ τὸ μὲν ἐξαλείφοιεν, τὸ δὲ πάλιν ἐγγράφοιεν, ἕως * ὅ, τι μάλιστα τὰ ἀνθρώπινα ἤθη θεοφιλῆ ποιήσαιεν. τοιοῦτός ἐστι πολιτειῶν ζωγράφος ὁ παιδεραστῶν μετὰ φιλοσοφίας, τουτέστιν, ὁ μετὰ θεωρητικοῦ νοῦ πολιτευόμενος. παῖδα γὰρ εἶναι τὴν αἴσθησιν καὶ τὸ ἐν αἰσθήσει καλὸν, * ὡς πρεσβύτην καὶ παιδαγωγὸν τῆς αἰσθήσεως, τὸν νοῦν. διὸ τὸν τῷ μόνῳ χρώμενον ἐν ἀκροφυΐᾳ τὴν τῇδε σύνεσιν ἀΰλως φιλοσοφεῖν ἀποφαίνεται), τουτέστιν, ἀπεριεργάστως καὶ ἀΰλως καὶ ἀγοητεύτως. γοητεύει γάρ πως ἡ αἴσθησις ἐθέλει συνοῦσα, καὶ ἀναπείθειν τὸν λογισμὸν, τὸ ἔνυλόν τι ἀγαθὸν ὑπολαμβάνειν οἰκεῖον. τὸν δὲ τὴν αἴσθησιν κατὰ νοῦν διατάττοντα, παιδεραστεῖν λέγει μετὰ φιλοσοφίας, φυλακτήριον ἔχοντα μέγιστον τοῦ ἀνεξαπατήτως κατὰ τὴν αἴσθησιν ἐνεργεῖν, τὸν θεωρητικὸν νοῦν. οὗ εἰκόνας ἰδίᾳ καὶ δημοσίᾳ γράφειν ἐρᾷ, τὰ τῶν ἀνθρώπων ἐπανορθούμενος ἤθη, ἕως εἰς ὅσον ἐνδέχεται θεοφιλῆ ποιήσειεν. ἃ * δὲ ἐκεῖ ὁρᾷ, ἐγγράφειν ἐν ἄλλοις πειρᾶται) ὁ τῷ θείῳ χρώμενος παραδείγματι ζωγράφος. οὐδὲν μὲν τῷ φρονεῖν κατὰ νοῦν ἀπολειπόμενος, * φιλανθρωπίᾳ δὲ αὐτοῦ δοκῶν διαφέρειν, ὥσπερ αὖ ἐκεῖνος τούτου τῇ ἰδιοπραγίᾳ κρατεῖ. τοιαύτας δὲ πρὸς ἀλλήλους ἔχοντες διαφοράς· ὁ μὲν, τὸ ἀΰλως τουτέστιν, ἐνδεῶς καὶ ἀνεπιστρόφως τῶν ἀνθρωπίνων πραγμάτων· ὁ δὲ, τὸ ἐρωτικῶς, ὃ ταὐτόν ἐστι τῷ φιλανθρώπως καὶ κοσμητικῶς τῶν συγγενῶν· ὅμως διὰ τὸ μίαν αὐτοὺς καὶ τὴν αὐτὴν φιλοσοφίαν κεκτῆσθαι, τῆς ἀποκαταστάσεως ἰσοτίμως τυγχάνειν λέγονται, ἰσοχρονίως πτερούμενοι, καὶ τῆς αὐτῆς ἀναγωγῆς ἀξιούμενοι.

* ἐποπτικῇ. * ἔνυλος. * al. ὡς. * πραγματικῶν. * al. εὐδαιμονήσειε. * al. ἀπεργαζόμενοι. * al. ὅτι. * al. ὡς ἡ. * al. τό. * al. ὅτου. * al. πρεσ. * al. γάρ. * al. φιλανθρωπίας.

ἐκ τοῦ γ' λόγου, κεφαλ. ι.

Ὅτι νόμοι, καὶ λογισμοὶ, καὶ ἀρεταὶ, καὶ ὅσα τοιαῦτα, τὴν πρόνοιαν συνεισάγουσιν.

ΟΥ μάτην οὖν, φησὶ, νόμοι κεῖνται τοῖς ἀνθρώποις, οὐδὲ λογισμὸς εἰκῆ δίδοται, οὐδὲ τὸ βούλεσθαι παρέλκει, οὐδὲ τὸ εὔχεσθαι περιττὸν, εἰ πρόνοια τῶν ἀνθρωπίνων πραγμάτων ἡγοῖτο, νόμῳ τε δίκῃ τὰς ἀμοιβὰς τῶν προαιρέσεων ταττούσης. οὐδὲ

HIEROCLES

οὐδὲ μὴν, εἰ ταῦτα ἀναγκαῖα καὶ καλὰ καὶ σωτήρια, ἡ τῆς προνοητικῆς εἱμαρμένης τάξις ἀναιρεῖται, ἢ τὸ ἐφ' ἡμῖν τοῖς οὐκ ἐφ' ἡμῖν παραδίδωσι πάθεσι. δι' ἀλλήλων δὲ ταῦτα βεβαιοῦται μᾶλλον, ἢ διὰ θατέρου θάτερον ἀναιρεῖται. προνοίας γὰρ οὔσης· ἀνάγκη καὶ νόμους, καὶ λογισμούς, καὶ εὐχὰς *πλεῖστα ἡμᾶς ὠφελεῖν. μὴ οὔσης δὲ (οὐ) μόνον ἀνόνητα παντελῶς ταῦτα, ἀλλ' οὐδὲ τὴν ἀρχὴν ὑποστῆναι δυνάμενα. διὸ καὶ τὸ ἐφ' ἡμῖν, τὴν πρόνοιαν συνεισάγει· καὶ ἡ πρόνοια, τὸ ἐφ' ἡμῖν. ἡ γὰρ ἡμετέρα προαίρεσις, τὴν δικαίαν εἱμαρμένην κρατύνει, καὶ αὐτὴ τὴν αὐτεξούσιον ἡμῶν κίνησιν βεβαιοῦται. ἣν εἰ μὲν καθαρὰν καὶ λελογισμένην προσάγοιμεν τῷ θεῷ, νόμοις ἐμμένοντες, καὶ εὐχαῖς χρώμενοι, καὶ *εὐβουλίαν τιμῶντες, καὶ διὰ πάντων ἐπιμέλειαν ἑαυτῶν ποιούμενοι· τῶν μεγίστων ἀγαθῶν τευξόμεθα. εἰ δὲ τἀναντία· πάντως που τῶν ἐπὶ τούτοις τεταγμένων δικῶν τὰς ἰατρικὰς οἴσομεν ἀλγηδόνας, πείρᾳ τὸ δέον μεταμανθάνοντες. πρὸς αὐτὸ δὲ τὸ εὖ καὶ καλῶς ἡμᾶς διατεθῆναι, τῆς χείρονος καθαρθείσης προαιρέσεως, πλείστην φέρει συντέλειαν εὐχὴ καὶ νόμος καὶ συμβουλή, καὶ τὰ τοιαῦτα, εἰς τάξιν ἄγοντα καὶ συμφωνίαν θεοπρεπῆ τὴν ἡμετέραν διάνοιαν.

* al. πλεῖστα.
* al. εὐβουλίαν.

Ποταπόν ἐστι τὸ ἡμέτερον αὐτεξούσιον;

Ὅτι οὐ τοιοῦτόν ἐστι, φησί, τὸ ἡμέτερον αὐτεξούσιον, ὡς ταῖς ἑαυτοῦ προαιρετικαῖς κινήσεσι πάντα μετατιθέναι δύνασθαι, τὰ ὄντα, καὶ τὰ γινόμενα. οὕτω γὰρ ἂν οὐ μόνον καθ' ἕνα ἕκαστον ἄνθρωπον κόσμος ἄλλος ἐγένετο, καὶ ἄλλη βίου κατασκευή· μὴ τὰ αὐτὰ βουλομένων ἁπάντων ἡμῶν· ἀλλὰ καὶ τῶν ἑκάστου διαθέσεων, εἴπερ δραστήριοι ἦσαν καὶ οὐσιοποιοί, συμμετέβαλε τὰ πάντα, ταῖς ὀξυρρόποις μεταβολαῖς τῶν ἀνθρωπίνων προαιρέσεων συναλλοιούμενα. διὸ εὐλόγως ἡ δύναμις τοῦ *ἀνθρώπου αὐτεξουσίου, εὐκίνητος οὖσα καὶ ἐφημέρου, ἀδρανής ἐστι παντελῶς πρὸς ὑπόστασίν τινος ἢ μετάθεσιν, μὴ συνεργουμένη ἔξωθεν. ἀλλὰ δὴ τὰ ὄντα, φησί, μὴ μετατιθέτω ἡ ἀνθρωπίνη προαίρεσις· ἐπειδὴ θεῖος νόμος αὐτὰ φρουρεῖ, μηδὲ τῶν γινομένων ὅσα εἰς κοσμικὰς ἐνεργείας συντελεῖ.

* ἀνθρωπίνου.

Διὰ τί μὴ τὰ ἀνθρώπινα διατίθεται ὡς βούλεται;

Ὅτι οὐδενός ἐστι κυρία, πλὴν ἑαυτῆς, καὶ τοῦ ἑαυτὴν ἀμείνονα ἢ χείρονα ταῖς διαθέσεσιν ἀπεργάζεσθαι· κριτικὴ μόνον οὖσα τῶν ὄντων, καὶ ἀποδεκτικὴ τῶν γινομένων· καὶ οὕτως ἀρετὴν ἢ κακίαν κτωμένη πρὸς εὖ ἢ κακῶς ἐν ταῖς οἰκείαις ἐνεργείαις διατεθῆναι. τὸ γὰρ αὐτεξούσιον, τοῦτο μόνον *ἐφ' ἡμῖν εἶναι δηλοῖ, τὴν μετάθεσιν ἡμῶν αὐτῶν πρὸς τὸ δοκοῦν ἡμῖν τοῦ προκειμένου σώματος, καὶ τῶν ἐκτὸς οὐ συνελευθερουμένων τῷ αὐτεξουσίῳ. εἰ γὰρ τὸ λεγόμενον ἐφ' ἡμῖν παρελθὸν τὴν οὐσίαν, ἐν ᾗ ἵδρυται, καὶ ὥσπερ ἐν ἀλλοτρίᾳ χώρᾳ γινόμενον, ἄλλα ἐπ' αὐτῷ εἶναι βουληθῇ, οἷον τὸ σῶμα, ἢ τὴν κτῆσιν· μυρίων ἐναντιωμάτων πειράσεται, μὴ κατὰ σκοπὸν προβαινόντων αὐτῷ τῶν πραγμάτων· καὶ μυρίων δεήσεται (τῶν) συνεργούντων, εἰ μέλλοι τι τούτων κατὰ νοῦν αὐτῷ γενήσεσθαι. τὸ δὲ τὰ ἐναντιούμενα μὴ συμβῆναι, καὶ τὰ συνεργοῦντα, οὐκ ἦν ἐφ' ἡμῖν· ἀλλ' ἄλλης τινὸς καὶ μακρᾶς ὑποθέσεως, καὶ τῆς ἑπομένης ταύτῃ τάξεως.

* al. ὧν.

Neque verò si hæc necessaria, honesta & vtilia sunt, idcirco Fati prouidentis vis tollitur, quod Fatum externis malis id quod in nostra est potestate, corrigit: sed hæc per se magis inuicem confirmant, quam mutuo se destruunt. Prouidentia enim existente, etiam Leges necesse est, Rationes, & Vota plurimum nobis prodesse: illa ... ro sublata, non solum nihil profuerint, sed nec tueri quidem Remp. imperiúmque poterunt. Propterea quod in nostra est potestate, Prouidentiam inducit, & vicissim Prouidentia, id quod in nostra potestate est. Nostra enim voluntas iustum Fatum corroborat, & rursus Fatum liberum arbitrium confirmat. quod si purum ac meditatum Deo adiunxerimus, Legibus stantes, Votísque vsi, & Prudentiam sectantes, ac per omnia curam eorum gerentes, maximis fruemur bonis: contra vero, dolores perferemus, his præfixos, sed qui medicinam adferant, experimento officium edocti. vt autem benè aut malè afficiamur à deteriore voluntate purgatione liberi, plurimum conducunt Lex, Votum, Consilium, & id genus alia, quæ nos pios, Deóque consentientes efficiunt.

Arbitrij nostri libertas qualis sit.

Non tale est, inquit, liberum nostrum arbitrium, vt suis liberis actionibus omnia quæ sunt, quæque fiunt, transferre possit. Sic enim singulis hominibus nouus mundus conderetur, aliúsque vitæ apparatus esset, quandoquidem non omnes eadem cupiunt, sed pro singulis cuiusque affectibus (siquidem essentiam constituere possent) omnia traducerentur, mutata subitis humanarum voluntatum commutationibus. Merito igitur potestas hominis libera, facile mobilis, idque quotidie, impotens omnino est ad aliquid vel conficiendum, vel transferendum, nisi aliunde iuuetur. Itaque res conditas, inquit, humana non transferat voluntas, cum Lex diuina illa conseruet, neque eorum quæ fiunt, conferat quidquam ad mundum fabricandum.

Cur res humanæ non fluunt ex voto.

Libera voluntas in nullum habet imperium, præterquam in se, vtque se ipsam meliorem peioremve affectionibus reddat, res solum iudicans externas, factáq; recipiens. Quo fit, vt pro virtutibus aut vitiis acquisitis, bene aut malè in suis actionibus dirigatur. Libertas enim hoc solum penes nos esse demonstrat, nimirum vt nos applicemus, prout visum fuerit, vicino corpori, externísque rebus, quæ libera minimè sunt. Si enim arbitrium, (quo de hactenus) essentiam, in qua situm habet, transcenderet, ac veluti in aliena regione alia penes se esse vellet, verbi gratia, corpus, aut possessionem: sexcenta aduersantia haberet, rebus ei ex animi sententia non succedentibus, infinitísque auxiliantibus indigeret, vt aliquid ex voto flueret. Non est autem in nostra manu positum, ne nobis aduersa accidant, aut vt auxiliantia nanciscamur, sed alicuius alterius in potestate est: longeque antea propositi, & qui hoc cõsequitur, ordinis.

HIEROCLES quæ Fatum complere dicitur. Quod Fatum diuinum quoddam est iudicium in iis, quæ in nostra potestate non sunt, ad iustam eorum, quæ in nostra sint potestate, mercedem. Non enim arbitrij tollitur libertas, si penes Deum sit, externa prout vult distribuere, ac singulis pro meritis præmia dare. Maximè enim ad virtutem, aut vitium libertate nostra prouidens Fatum indiget, alioqui iusta non esset inæqualis illa rerum distributio, nisi occasionem ei arbitrium nostrum præberet.

Plato in extremo Timæo de corporis differens affectionibus, earumque curationibus, vetat iis vti temere purgationibus, quas medica ars adhibet, quod naturalem morborum maturitatem exspectare, ne sectionibus violentis illi augeantur, oporteat. Et sic serie quadam procedens singulis morbis tempus aliquod à natura præscriptum, ab simili animalium compositione ostendit, quorum congressus ordinatè fit, vitæ continens tempus, atque in suo quæque genere. Verbi gratia, equus quidem tot annos vixerit diutissime, bos autem tot, & sic de cæteris, vt bos decem vixerit annos nisi fera, aut alia aliqua externa calamitas accedens prius illum necarit. A natura enim singulis præfinitum tempus est, ad quem terminum, nec vltra peruenire potest. Non omnes autem ad terminum vsque pertingere possunt, impediente extrinsecus casu aliquo violento, quem Dei erga nos Prouidentiam ordinare, in brutis autem fortuito accidere, diximus. Neque enim mortis ratio, iuxta cuiusque merita attributa, eodem modo est metienda, quo brutorum ac plantarum interitus, quando nec illa, eodem quo nos modo nascuntur. Homines enim parentum meritis, Deorum iudicio generantur, vitamque accipiunt, qua hæc continentur, natio, ciuitas, parentes, natalis dies, corpus denique, & educatio, Fortunæ bona ad vitam tuendam, mortis genus, tempus destinatum, horumque omnium custos, ac minister Genius: quorum omnium brutis nihil accidit. Nam quæ ratione præditis, quâ prædita sunt, accidunt, ea omnino à brutis aliena sunt. Non igitur æquum est eandem rationem haberi animalium Rationis expertium, atque præditorum: siquidem illa Prouidentiæ tantum adipiscuntur, quantum ad speciem conseruandam satis est, quæ æterna est, & immortalis. Nisi enim prouidentiam singulatim experiamur, vt nihil non ab ea regatur, non debita erga nos sollicitudo apparebit. Decet enim nos à Deo certo aliquo ac definito numero conditos, iuxta ortus productionem Prouidentiam eius singulatim sortiri. Neque enim vnicam côdidit animam Deus, à qua singulæ partem mutuarentur, aut in quam vicissim resoluerêtur, sed singulas animas terminis suis circumscripsit. Quamobrem etiam singularum est Prouidentia, & iudicium, & pœna, & expiatio, & ad orcum missio, vitæque terminis conueniens, mors quoque non fortuita,

ἣν ἡ εἱμαρμένη ἐπιτελεῖν λέγεται· κρίσις θεία οὖσα τῶν οὐκ ἐφ' ἡμῖν, πρὸς τὴν ἀξίαν ἀμοιβὴν τῶν ἐφ' ἡμῖν. οὐ γὰρ ἀναιρεῖται τὸ αὐτεξούσιον τῆς ἀνθρωπίνης ψυχῆς, εἰ τὰ ἐκτὸς αὐτῆς ἐπὶ τῷ θεῷ εἴη διανέμειν, καὶ ἀποδιδόναι ἑκάστῳ πρὸς τὴν ἀξίαν τῶν διαθέσεων. μάλιστα γὰρ πρὸς ἀρετὴν καὶ κακίαν αὐτοκινησίας ἡμῶν ἡ προνοητικὴ εἱμαρμένη δεῖται· οὐ γὰρ ἄλλως ἔσται δικαία ἡ ἄνισος διανομή, μὴ ὑπόθεσιν λαβοῦσα τὸ ἡμέτερον αὐτεξούσιον. τί ἡ εἱμαρμένη κατὰ [illegible]

ἣν αὐτὸς ᾠκοδόμησε, διὰ τῆς αὐτοῦ παρουσίας καὶ εὐχῆς τὸ τοῦ κτίσαντος ὄνομα ἐγκαινισθῆναι. ἐπισκοπούμενον δὲ τὸν ἀρχιερέα τὸν ἀοιδιμώτατον Μητροφάνην, ἡμέρας κυριακῆς ἐνισταμένης, καὶ τοῦ βασιλέως συμπαρόντος· ἄλλοι τέ τινες προῆλθον λόγοι, καὶ ὁρῶ σε (φησὶν ὑπολαβὼν ὁ βασιλεὺς) ὦ πάτερ ἐμοὶ τιμιώτατε, καὶ γήρᾳ καὶ νόσῳ κάμνοντα, καὶ δυσωπῶ αἰτεῖν τε καὶ ἀναδεῖξαι ἡμῖν τὸν μετά σε τοῦ ποιμνίου ἡγησόμενον. ὁ δὲ πρὸς τὸν βασιλέα εὐθυμοτέρῳ προσώπῳ, πέπεισμαι, φησὶν, ἐν κυρίῳ, ὅτι νῦν τὸ πανάγιον πνεῦμα διὰ γλώσσης, ὦ τέκνον, εἶπε τῆς σῆς. φροντίζοντι γάρ μοι περὶ τούτου, ἐφανέρωσεν ὁ κύριος πρὸ τῶν ἑπτὰ τούτων ἡμερῶν, καὶ ὅτι μετὰ δεκάτην ἡμέραν μεταλλάξω τὸν βίον, καὶ ὡς τὸ ἱερὸν ἀξίωμα ἀναδέξοιτο, καὶ ἔστιν οὗτος ὁ συμπρεσβύτερός μου Ἀλέξανδρος ἄξιος, ὡς ἀληθῶς, τῆς ἐκλογῆς ὑπάρχων, καὶ τῆς τοῦ ἁγίου προρρήσεως πνεύματος. ἔτι δὲ καὶ τοῦτον ὡς τὸ παιδίον Παῦλος ὁ ἀναγνώστης διαδέξεται. ἀποβλέψας δὲ καὶ πρὸς τὸν Ἀλεξανδρείας θεῖον Ἀλέξανδρον· καὶ σὺ, φησιν, ὦ ἀδελφὲ, καλὸν σεαυτοῦ διάδοχον καταλείψεις. καὶ τῆς χειρὸς Ἀθανασίου τοῦ ἀρχιδιακόνου λαβόμενος· ἰδὲ, ὁ γενναῖος ἔφη στρατιώτης τοῦ Χριστοῦ, οὗτός σε διαδέξεται· ὃς οὐ μόνον νῦν Ἀλεξάνδρῳ κατὰ τῆς δυσσεβείας Ἀρείου τῷ ἐμῷ συνηγωνίσατο ἀδελφῷ, ἀλλ' ἔτι σὺν αὐτῷ μεγάλοις ἄθλοις καὶ πολλοῖς ἀγωνιεῖται. οὐ μόνον δὲ δεύτεροι αὐτὸν ἐκδέξονται ἀγῶνες, ἀλλὰ καὶ τρίτους σὺν τῷ γενναίῳ ὑποστήσεται Παύλῳ. ταῦτα εἰπὼν, καὶ ὥσπερ ἀναζωπυρήσας τῷ πνεύματι, κάτεισι σὺν τοῖς ἐπισκόποις εἰς τὴν ἐκκλησίαν. καὶ μετὰ τὴν τοῦ εὐαγγελίου ἀνάγνωσιν, ὀλίγα προσομιλήσας τῷ πλήθει, καὶ συνταξάμενος· ἀνακηρύττει καὶ μὴ παρόντα τὸν πρεσβύτερον Ἀλέξανδρον, ἀρχιερέα καὶ τοῦ θρόνου διάδοχον. καὶ ὁ λαὸς μιᾷ φωνῇ σὺν αὐτῷ βασιλεῖ ἐπὶ πλείους ὥρας ἐβόα τὸ ἄξιος. εἶτα τὸ ὠμοφόριον τῇ ἁγίᾳ ἐναποτίθησι τραπέζῃ, ἐντειλάμενος αὐτὸ φυλάττεσθαι τῷ διαδόχῳ, ἥξειν δὲ αὐτὸν προειπὼν οὐκ εἰς μακρὰν, μετὰ δὲ ἑβδόμην ἡμέραν τῆς αὐτοῦ πρὸς Χριστὸν ἀναλύσεως. γίνεται οὖν, ὡς προερρέθη, καὶ ἐνετείλατο ἅπαντα. ἐτῶν δὲ ἀνεπαύσατο ἑπτακαίδεκα καὶ ἑκατὸν, Ἰουνίου μηνὸς τετάρτην ἄγοντος.

Ὅτι Κωνσταντία ἡ τοῦ εὐσεβοῦς βασιλέως Κωνσταντίνου ἀδελφὴ, γυνὴ δὲ τοῦ δυσσεβοῦς χρηματίσασα Λικιννίου, μέλλουσα τελευτᾶν, τῷ ἀδελφῷ, μίαν, φησὶ, καὶ τελευταίαν αἰτῶ σε χάριν, τῆς ὑπερορίας Ἄρειον ἀνακληθῆναι, συκοφαντίαν ἄδικον ὑποστάντα· σύμφρων γάρ ἐστι τῆς συνόδου. ἦν γάρ τις παρ' αὐτῇ, τῶν τῆς Ἀρείου σπουδαστῶν αἱρέσεως, πρεσβύτερος· ὃς ἑαυτὸν πρότερον τοῖς τῆς Κωνσταντίας εὐνούχοις οἰκειώσας, δι' αὐτῶν καὶ πρὸς αὐτὴν εἴσοδον· καὶ λόγοις ἔπειθεν ἐπαγωγοῖς, καὶ πολλὴν προσφαίνουσι τὸν θῶπα, ὡς Ἄρειος φθόνῳ ἐβλήθη· τὸ γὰρ ὀρθὸν τῆς ἐκκλησίας δόγμα πρεσβεύει. οἷς κἀκείνη, πρὸς τὸν βασιλέα τοιαῦτα εἰποῦσα, δέεται· καὶ αὐτίκα γράφει τῆς ὑπερορίας τὸν Ἄρειον ἀνεῖναι. παραπέμπεται δὲ ὁ ἀδελφῷ καὶ τὸν οὐδὲν ἧττον τῆς αἱρέσεως ἢ τῆς κολακείας πρεσβύτερον· καὶ τοῖς ἐπικόλποις ἤθεσι καὶ λόγοις οὐκ εἰς μακρὰν παρρησίαν πρὸς τὸν εὐσεβῆ λαμβάνει βασιλέα· καὶ κινεῖ περὶ Ἀρείου λόγους, ὀρθόδοξον ποιούμενος αὐτόν. καὶ ὁ βασιλεύς· εἰ Ἄρειος, φησὶ, τὰ τῆς συνόδου φρονεῖ, ὄψομαί τε αὐτὸν ἀσμένως, καὶ σὺν τιμῇ τῇ τῶν Ἀλεξανδρέων ἐγκαταστήσω ἐκκλησίᾳ.

* al. ἐφόρα

quam ipse fundasset, sua præsentia & precibus conditoris nouum nomen inderent. Inuisentibus autem Episcopis clarissimum Metrophanem, die dominica, & Imperator præsens inter alia dixit: Video te, pater maxime venerande, & senectute, & morbo defessum, & creari atque designari nobis post te gregis pastorem postulo. Ille ad Imperatorem alacri vultu conuersus: annuo, inquit, in Domino, quia nunc Spiritus sanctus, ô fili, per linguam tuam loquitur. Mihi enim hæc de te sollicito indicauit Dominus ante septem hos ipsos dies, moriturum me intra decem dies, & dignitatem sacrã suscepturum sacerdotij dignitate parem Alexandrum, & dignum, vt vere loquar, electione, & sancti Spiritus denunciatione. Ad hæc verò hunc veluti filius Paulus lector excipiet. Respiciens autem ad Alexandrum Alexandriæ Episcopum: Et tu, inquit, frater egregium successorem tui relinques, & manu Athanasij Archidiaconi apprehensa: En, inquit, strenuus Christi miles, hic te sequetur, qui non solum cum fratre meo Alexandro contra Arij hæresim decertauit, sed & cum illo magna certamina, & multa subibit: non solùm autem secunda excipient certamina, sed & tertium cum strenuo Paulo sustinebit. Hæc dixit, & tanquam alios Spiritu suo recreans, venit cũ Episcopis in templum: ac post Euangelij lectionem nonnulla ad populum locutus, & disserens, Alexandrum sacerdotem absentem archiepiscopalis sedis successorem renunciat. Populus vno ore cùm ipso Imperatore horis aliquot exclamauit: Dignus est. Deinde sacræ mensæ altaris humerale imponit, præcipiens hoc successori seruari: venturum autem illum post non diu prædixit, post septimum videlicet diem eius resoluti corporis in Domino. Acciderunt igitur, vt prædixerat & præceperat, omnia. Moritur centesimo & decimo septimo ætatis anno, quarto Iunij.

Constantia soror Imp. Constantini pij, vxor quæ erat impij Licinij, moritura fratri dixit: Vnum, & vltimum à te peto beneficium, vt ab exilio reuoces Arium falsò accusatum: consentit enim cum Synodo. Erat enim apud illam sacerdos quidam Arianus, qui seipsum primò Constantiæ eunuchis insinuauit, per quos & ad illam accessum habuit, verbisque blandis, atque assentationibus persuasit, Arium inuidia eiectum esse: rectam enim Ecclesiæ doctrinam tueri. Quibus ipsa ad Imperatorem illa referens, permouit, statimque scribit, vt Arius ab exilio reuocetur. Allegabat verò vnà ad fratrem sacerdotem, qui adulationis vitio non minus quàm hæreseos laborauit, & irrepente ingenio, ac verbis blandiloquis, post non diu liberè cum Imperatore agere cœpit: ac de Ario sermonem iniecit, quibus illum rectè sentire demonstret. Tum Imperator: Si Arius, inquit, cum Synodo consentit, videbo illum libenter, magnoque honore habito, cum Alexandrinæ restituam Ecclesiæ.

ACTA Metrophanis & Alex. &c.

Alexander.

S. Athanasius.

Constantia Constantini P.

ACTA Metrophanis & Alex. &c.

His dictis illum per literas accersendum curat. Arius cum execrando Eusebio Constantinopolim venit, & suscipit illos Imperator benignè, & quid sentiant interrogans audit dicentes, non aliud se sentire quam quæ trecenti & octodecim sancti Patres decreuerint: quin & iusiurandum miseri falsæ confessioni addiderunt. Imperator scriptam ab illis iubet dari fidei professionem. Illi autem promptè mendacia scripserunt. Credere enim se, & suos scripto testantur, lingua negant. Mutauit autem decretum Cæsar, quod pietatem confessi essent, & statim Alexandriam illum, & qui cum eo erant, honorificè mittit. Alexander verò Alexandrinus Archiepiscopus, conspirante cum eo Athanasio, apostatam non admittit, & iterum Arius hæresin detexit, Ægyptumque turbauit. Imperator verò ad se Arium accersit, & interrogat, an maneret in sententia, quam coram illo confessus esset. Ipse vero iterum expeditè iisdem se inhærere testatus est, & iureiurando confirmauit. Omnia autem ficta erant, magisque ipsa theatri scena ex composito facta. Aiunt enim occultè cum scripsisse librum, & sub axilla ferentem (qui liber impudenter impietatem eius continebat) iurasse se sic credere: chartam verò piæ doctrinæ, cui iam subscripserat, protulisse. Paulò post Imperator caducam hanc vitam cum immortali commutauit, cum annos triginta & vnum imperasset, sexaginta quinque ipsos vixisset.

Moriens autem sacerdoti hæretico testamentum committit, mandans id tradi Constantino filio, quem testamenti tabulis paternæ sortis & imperij successorem, Imperatorémque designabat. Sacerdos neque Deo, nec hominibus seruans fidem, dat occultè testamentum Constantio, & simul proditor patris, & testamenti, & hæreditatis filij apparuit. Adiuuabat & in ea proditione & Eusebius impius Episcopus, & alij nonnulli, & impietatis, & semiuiri sodales. Tradit ille sacerdos Constantio commendatum sibi testamentum, & infidelitatis suæ erga homines petit mercedem à Constantio, proditionem nimirum synceræ fidei præmio postulans, & Eusebium Nicomediæ Episcopum socium adiungit, & hoc agunt, vt Arius non Alexandriæ, sed Constantinopoli causam dicat, facile rati fore vincere, Athanasio non præsente, & simul Imperatoris auctoritatem sibi vnientes. Multa cum Alexandro Constantinopolitano Patriarcha disserentes de pactis, quæ pietatis doctrinam corruptura erant. Cùm non persuaderent, mandatum Imperatoris proferunt, vel susciperet Arium cum sua hæresi, vel sede exturbaretur. Si vtrumque detrectet, sciat se in exilium depellendum. Persuaserunt autem Constantio, vt accersito Alexandro, nisi iisdem pareret mandatis, etiam seruitutem minaretur, & malorum memoria, non pietatis studio, odio Arium habiturum. Qui Christi virtuti, & inculpatæ vitæ, & conscientiæ confidens,

ταῦτα ἔλεγε· καὶ πρὸς ἑαυτὸν μεταπέμπεται γράφων. καὶ ὁ Ἄρειος, ἅμα τῷ συγκατηριθμημένῳ Εὐζωΐῳ, πρὸς τὴν πόλιν Κωνσταντίνου παραγίνεται· καὶ δέχεται αὐτοὺς φιλοφρόνως ὁ βασιλεύς. καὶ τὸ φρόνημα ἐπερωτῶν, ἀκούει λεγόντων· μὴ ἄλλο τι φρονεῖν παρὰ τὴν ἔκθεσιν τῶν * τιη' ἁγίων πατέρων. ἀλλὰ καὶ ὅρκον οἱ δείλαιοι τῇ πεπλασμένῃ ἐπεθέσαν ὁμολογίᾳ. ὁ δὲ βασιλεὺς ἐγγράφως αὐτοὺς ἐπιδοῦναι τὸ φρόνημα κελεύει. οἱ δὲ προθύμως * ἐγγράφουσι τὰ ψευδῆ· πιστεύειν γὰρ αὐτοί τε, καὶ τοὺς σὺν αὐτοῖς, τοῖς γράμμασιν ἔλεγον, ὅσα καὶ τῇ γλώττῃ ἐπλάττοντο. ἐξίσατο τοίνυν ὁ βασιλεύς, οἷς διωμολόγουν τὴν εὐσέβειαν· καὶ παραχρῆμα πρὸς τὴν Ἀλεξάνδρειαν αὐτόν τε καὶ τοὺς σὺν αὐτῷ μετὰ τιμῆς ἐκπέμπει. Ὁ δὲ τῆς Ἀλεξανδρείας ἀρχιερεὺς Ἀλέξανδρος, συμπνέοντος αὐτῷ Ἀθανασίου, τὸν ἀποστάτην οὐ δέχεται. καὶ αὖθις Ἄρειος τὴν αἵρεσιν ἀνεκάλυπτε, καὶ τὰ τῆς Αἰγύπτου ἐταράττετο, καὶ ὁ βασιλεὺς μετάπεμπτον ποιεῖται τὸν Ἄρειον· καὶ ἀναπυνθάνεται, εἰ διαμένοι οἷς * αὐτῷ συνωμολόγησε κατὰ πρόσωπον. ὁ δὲ πάλιν ἑτοίμως τοῖς αὐτοῖς ἐμμένειν συγκατετίθετο, καὶ [τὸν] ὅρκον τοῖς λόγοις ἐπέβαλλεν. ἦν δὲ σκηνὴ ταῦτα πάντα, καὶ σκηνῆς δραματικώτερα. φασὶ δ' ὡς ἐν μυστηρίῳ γράψας Ἄρειος βιβλίον, καὶ ὑπὸ μάλης φέρων) τὸ δὲ βιβλίον ἀναιδῶς ἐλάλει τὴν δυσσέβειαν) ὤμνυεν οὕτω φρονεῖν, τὸν τῆς εὐσεβείας εἰς τὸ ἐμφανὲς προτείνων χάρτην, ᾧ καὶ ὑπογράψειε. μετὰ δὲ βραχὺν χρόνον ὁ βασιλεὺς τὸν ἐπίκηρον εἰς τὸν ἀκήρατον μεταλλάττει βίον, ἕνα μὲν ἐνιαυτὸν καὶ τριάκοντα βασιλεύσας, πέντε δὲ καὶ ἑξήκοντα τὸν ὅλον διαπερανάμενος βίον. τελευτῶν δέ, τῷ τῆς αἱρέσεως πρεσβυτέρῳ τὴν διαθήκην παρατίθησιν, ἐντειλάμενος ἐγχειρίσαι * Κωνσταντίνῳ ταύτην τῷ παιδί· ὃν καὶ ἡ διαθήκη τῆς πατρῴας μοίρας καὶ ἀρχῆς διάδοχον καὶ βασιλέα ἔγραφεν. ὁ δὲ [καὶ] πρὸς Θεὸν καὶ πρὸς ἀνθρώπους τὸ πιστὸν οὐκ ἔχων πρεσβύτερος, ἐπιδίδωσιν ἐν κρυφῇ τὴν διαθήκην Κωνσταντίῳ, προδότης φανεὶς ἅμα πατρός τε καὶ διαθήκης, καὶ παιδὸς κληρονομίας. συνέπραττον δὲ τῇ προδοσίᾳ Εὐσέβιός τε ὁ δυσσεβὴς πρόεδρος, καὶ ἄλλοι τινές, καὶ τῆς δυσσεβείας καὶ τῆς ἀνδρογύνου φύσεως συνθιασῶται. ἀλλὰ γὰρ προδίδωσι μὲν τὰ πιστευθέντα Κωνσταντίῳ· τῆς δὲ πρὸς ἀνθρώπους αὐτοῦ ἀπιστίας αἰτεῖ μισθαποδοσίαν Κωνστάντιον τὴν ὀρθῆς αὐτοῦ πίστεως προδοσίαν, καὶ συντάττεται τὸν Νικομηδείας Εὐσέβιον· καὶ διαμηχανῶνται τὸν Ἄρειον, μὴ ἐν Ἀλεξανδρείᾳ, ἀλλ' ἐν Κωνσταντίνου πόλει ἀκουσθῆναι· ῥᾷστα οἰόμενοι περιέσεσθαι, Ἀθανασίου μὴ παρόντος, καὶ ἅμα τὴν τοῦ βασιλέως αὐθεντίαν μεθ' ἑαυτῶν φέροντες. πολλὰ δὲ τῷ Κωνσταντινουπόλεως Ἀλεξάνδρῳ διαλεχθέντες περὶ συμβάσεως τὰ τῆς εὐσεβείας παρακρουούσης δόγματα· ὡς οὐκ ἔπειθον, προτείνουσι δῆθεν βασιλικὸν πρόσταγμα· ἢ μετὰ τοῦ φρονήματος δέχεσθαι Ἄρειον, ἢ τοῦ θρόνου ὑποχωρεῖν. εἰ δὲ μηδέτερον ἕλοιτο, γνώσεσθαι αὐτὸν εἰς ὑπερορίαν ἐκπεμφθησόμενον. ἔπειθον δὲ καὶ Κωνστάντιον, τὸ ἀνδράποδον, * τοῖς ὁμοίοις λόγοις μεταπεμψάμενον τὸν ἱερὸν Ἀλέξανδρον, ἀπειλαῖς τε ὑποβαλεῖν· καὶ μνησικακίας, ἀλλ' οὐκ εὐσεβείας λόγῳ, τὸ πρὸς Ἄρειον [illegible] ἀπεχθέσθαι. ὁ δὲ τῇ τοῦ Χριστοῦ δυνάμει, καὶ τῷ ἀνεπιλήπτῳ καὶ τοῦ βίου καὶ τῆς συνειδήσεως θαρρῶν, ἀμεί-

* τριακοσίων δέκα ὀκτὼ

* al. γράφουσι.

* al. αὐτοῦ.

* al. Κωνσταντίῳ.

* al. ὁ νοῦ.

ἀμείβε(ται) τῷ βασιλεῖ· τῶν μὲν αἰτιαθέντων τὴν ἀλήθειαν ὁ ἐκεῖθεν ἡμέρα δηλώσει, ἐγὼ δὲ τὸν ἐπὶ τοσαύτῃ δυσσεβείᾳ ἁλόντα, καὶ παρὰ τοσούτων ἀρχιερέων καθαιρεθέντα, οὐχ οἷός τέ εἰμι τῶν φρικτῶν μυστηρίων λαβεῖν κοινωνόν. ὁ δὲ Κωνστάντιος, ὅρα, φησὶν, ὦ ἐπίσκοπε (καὶ γὰρ σύνοδος ἐπισκόπων ἀθροίζε(ται)) μὴ καὶ ἄκων * δέξῃ αὐτόν. ἐφ᾽ οἷς ὁ ἀρχιερεὺς ἀναστὰς, ἐξῆλθε· καὶ πρὸς τὴν τοῦ Θεοῦ παραγενόμενος ἐκκλησίαν, στεναγμοῖς καὶ δακρύοις ἐβόα πρὸς τὸν Θεὸν, μὴ διὰ τὴν παρείσδυσιν Ἀρείου ἀνασχέσθαι διασκεδασθῆναι τὴν ποίμνην αὐτοῦ. καὶ ἡ εὐχὴ παννύχιος ὑπὸ * τὸ θυσιαστήριον κειμένου τοῦ ἀρχιερέως ἐπετελεῖτο· ὁ δὲ Εὐσέβιος, οἷα τῆς ἀσεβείας θερμὸς ἐραστὴς, παραγίνεται μετὰ τῆς αἱρετικῆς φάλαγγος πρὸς τὸν Ἄρειον· καὶ προσιέναι καλεῖ πρὸς τὴν σύνοδον, ἥτις * αὐτὸν καὶ ἄκοντος Ἀλεξάνδρου ἀποδώσει τὸ παρὰ δίκην ἀφῃρημένον τῆς ἱερωσύνης ἀξίωμα. ἐπεῖχεν οὖν θόρυβος καὶ ταραχὴ ἐπὶ τοῖς κινουμένοις πᾶσαν τὴν πόλιν· τῶν μὲν ὑπὲρ Ἀρείου σπουδαζόντων, τῶν δὲ τῆς εὐσεβείας τὴν προδοσίαν οὐκ ἀνεχομένων. ἠθροίζετο δ᾽ οὖν ἐν τῇ ἐκκλησίᾳ ὁ σύλλογος. καὶ τοῖς * ὁμοδόξοις συμπορευόμενος ὁ Ἄρειος, ἀποβὰς τοῦ ἵππου, ἔν τινι ἀφεδρῶνι δημοσίῳ, ὃς ὄπισθεν κατεσκεύαστο τοῦ Κωνσταντίνου φόρου, εἴσεισι· καὶ ἐν τῷ ἀποπατεῖν, τοῖς σκυβάλοις μὲν τὰ ἔντερα, τοῖς ἐντέροις δὲ τὴν ψυχὴν ὁ δείλαιος συναποβάλλει. ἐπεὶ δὲ ἐβράδυνε, καὶ τὸ πραχθὲν ἐκάλυπτεν ἄγνοια· ἐπιστῆναι λόγος τὸν Εὐσέβιον· καὶ ἐξονειδίζειν μὲν τῆς βραδυτῆτος, ἐξονειδίζειν δὲ τὰς εἰς αὐτοὺς ὕβρεις· ἐν ἀνδραπόδων γὰρ μοίρᾳ τὸ ἄλογον αὐτοὺς ἐκπέμπειν βραδύς. ὁ δὲ τῷ ἀφώνῳ μᾶλλον αὐτοὺς ἢ τῷ βραδεῖ καταισχυνῶν, τέως διελάνθανεν. ἀλλ᾽ ὁ Εὐσέβιος μεταβαλλόμενος, ἀναστῆναι παρεκάλει θαρροῦντα· προσδόκιμον γὰρ εἶναι ἐπὶ ἀθωότητι πάσῃ τῇ συνόδῳ. ὁ δὲ τὴν ἀεὶ τὴν ἐσίγα σιγήν. καὶ μόλις ὁ κακοδαίμων Εὐσέβιος συνῆκεν, ὅτι τέθνηκεν ὁ σπουδαζόμενος. διαλύε(ται) τοίνυν ἡ σύνοδος, καὶ οἱ τὸν Ἀλέξανδρον ὑπερορίᾳ καταδικάζοντες, ῥίψαντες τὰς * ἀνοσίους ψήφους, τὸν τῆς αἱρέσεως αὐτῶν ἀρχιστράτηγον, ζῶντα εἰς ᾅδην βλέποντες καταβεβηκότα, πένθει μεγάλῳ συνείχοντο. ἐπ᾽ ὀλίγον δὲ τῇ θεηλάτῳ πληγῇ αἰσχυνθέντες, πάλιν εἰς φατρίας συνετάττοντο, καὶ τὴν κατὰ Ἀρείου θεομηνίαν, εἰς τὸν κοινὸν ἐφιλονείκουν ἀναφέρειν θάνατον. καίτοι καὶ ὁ κοινὸς αὐτοῖς κατ᾽ ἐκεῖνο καιροῦ συνενεχθεὶς, ὅτε τῆς ἐκκλησίας ἐπιβαίνειν αὐτὸν διεσπούδαζον, εἰς τὸν κοινὸν καὶ θεήλατον μεταβάλλε(ται) θάνατον· ὅμως Κωνστάντιον τὸ ἀνδράποδον ἔπειθον, ὡς τὸ τῆς φύσεως χρέος ἀπέδωκεν, ἀλλ᾽ οὐ θείας ὀργῆς δίκην ἀπέτισεν Ἄρειος. ἀλλ᾽ ὁ μὲν ἄθλιος ἐκεῖνος, ταῖς Ἀλεξάνδρου προσευχαῖς, ἀλεγεινῶς οὕτω τὸν βίον κατέστρεψεν. ὁ δὲ θεῖος Ἀλέξανδρος ὁσιοπρεπῶς τε καὶ ἁγίως μετ᾽ ὀλίγον ἀντὶ τῆς ἐπιγείου τὰς οὐρανίους σκηνὰς ἐκληρώσατο· τρία μὲν καὶ εἴκοσι ἐν τῇ ἐπισκοπῇ διατελέσας ἔτη, βιοὺς δὲ ὀκτὼ καὶ ἐνενήκοντα.

Imperatori respondit, veritatem eorum qui accusantur tempus deinceps ostendet. Ego verò tantæ impietatis conuictum, & à tot Episcopis iudicatum, non possum in communionem venerandorum mysteriorum admittere. Constantius verò: Vide, inquit, Episcope, (conuocatur enim concilium Episcoporum) ne vel inuitus illum admittere cogaris. Hinc assurgens Archiepiscopus, egressus est, & ad Dei Ecclesiam se conferens, gemitibus, lacrymisque inuocabat Deum, ne pateretur ingressu Arij gregem suum vastari: & preces Episcopi prostrati ante altare tota nocte peractæ. Eusebius vt erat feruidus impietatis sectator, accedit cum turba hæreticorum ad Arium, & iubet in concilium prodire, quo sibi, inuito etiam Alexandro, redderet ablatam iniustè sacerdotij dignitatem. Igitur tumultus oritur, & seditio his motibus per totam vrbem: his quidem ab Ario stantibus, illis quidem veritatis proditionem non ferentibus, fit conuentus in Ecclesia, & cum suis asseclis præcedens Arius, & descendens ex equo, secessum publicum ingreditur, qui erat ad forum Constantini, & exonerando ventrem cum excrementis intestina, cum intestinis & animam miser exhalauit. Quo moram trahente, & quid factum esset cùm ignoraretur, aiunt accessisse Eusebium, & reprehendisse tantum moram, & increpuisse hanc in suos iniuriam, seruilique conditioni hanc moram attribuisse. Ille autem silentio magis eos offendit, quàm tarditate quamdiu ignorabatur. Sed Eusebius accedens, surgere bono animo iubet: expectari enim à tota Synodo, vt absoluatur. Sed ille in æternum silet. Et tandem infelix ille Eusebius mortuum esse intellexit: sic Synodus dissoluitur: & qui Alexandrum exilio condemnaturi erant, abrogantes, abiectis impiis suffragiis, hæreticorum ducem viuum ad inferos detrudi videntes, magnum inde capiunt dolorem. Post diuinitus immissa plaga pudore confusi, sed non diu, rursum conciliabulum indicunt, Deique iram in Arium ad communem hominum sortem referre conantur. At si tempus spectes, quo Ecclesiam Dei inuadere tentabat, non tam fatali morte, quàm Dei vltione extinctum interpretaberis. Illi tamen Constátio persuadent Arium naturæ debitum persoluisse, neque diuinæ vltionis pœnam subiisse. Sic miser Alexandri precibus tam fœdè vitam finiit, beatus contra Alexander piè & sanctè paulo post pro terrestri, cœleste domicilium adeptus est. Tres quidem & viginti in Episcopatu exegit annos, ætatis verò nonaginta octo.

Hæc historia, vnde ista excerpsimus, non omnino elaborata, ac docta elocutione ac sententiis, neque prorsus vilis, aut neglecta. Si qua contra atque alij narret, hoc alterius instituti & iudicij est, non excerpentis & contrahentis.

[Ὅτι ἡ συγγραφὴ, ἐξ ἧς ἡ παροῦσα προῆλθεν ἐκλογὴ, οὔτε παντελῶς εἰς τὸ διηκριβωμένον καὶ σοφὸν τῆς * φράσεως καὶ τῆς διανοίας ἐκμεμόρφωται, οὔτε πρὸς τὸ χυδαῖον καὶ ἠμελημένον διαπέπτωκεν. εἰ δέ τινα παρὰ τοὺς ἄλλους ἱστορεῖ, τοῦτο διαίτης καὶ κρίσεως ἄλλης, ἀλλ᾽ οὐκ ἐκλογῆς οὐδὲ συντομίας.]

Marginalia: * al. δίδω. — * θυσιαστηρίου. — * αὐτῷ. — * al. ὁμοδοξοῦσι. — * ἀνοσίους. — * φρονήσεως. — ACTA Metrophanis & Alex. &c. — Arij hæretici infelix exitus. — B. Alexandri mors.

EXCERPTA è Pauli Episc. Const. mart.

Vita Pauli Episcopi Constantinopolitani Confessoris.

CCLVII. LEGI librum qui inscribitur: Vita, seu certamen S. Patris Pauli Episcopi Constantinopolitani Confessoris, ad eundem modum excerptum.

CONSTANTIVS Romani imperij ad Orientem regebat sceptra, proditione hæretici sacerdotis, & consensu eunuchorum irrepens. Ariani autem iterum pios persequuntur, & Athanasium statim Occidens suscipit. Diuinus verò Alexander morti vicinus, nullum Constantinopolitanæ Ecclesiæ sibi successorem designat. Duos inter alios delegit, suam contra hæresim populo hanc sententiam exponens, vt eligerent, si vellent, doctum & pium Paulum, quem ipse sacerdotem ordinauerat: si verò formæ & exterioris ornamenti habita ratione cuperent, Macedonium, olim ordinatum Diaconum, & iam senescentem acciperent. Hæc referens post moritur, Episcopatum tres & viginti annos cùm gessisset, annos natus nonaginta octo. Orta autem contentio est in duobus illis eligendis. Ariani ad Macedonium inclinabant, at fideles Paulum malebant. Vicit piorum sententia, & ordinatur Paulus Episcopus in Ecclesia S. Irenes nominata, quam temporis successu, vt à noua distingueretur, veterem appellare placuit. Constantius verò non multo post Antiochia Constantinopolim veniens, iram in Paulum concepit, quòd non illius suffragio electus esset, & Arianorum indicto concilio, Paulum abdicare coëgit. Eusebium, iam tertiò sedem mutantem, ex Nicomedia, Constantinopolis creat Episcopum. Quibus impiè patratis, Antiochiam reuertit. Eusebius autem omnem mouebat lapidem, vt Symbolo eximeretur illud ὁμοούσιον CONSVBSTANTIALE. Erat tunc Antiocheni templi dedicatio, quod Constantinus pius exædificarat: Constantius verò consecrandum curauit, & prætextu dedicationis nonaginta conuocantur Episcopi. Maximus Hierosolymitanorum præsul vir pius non aderat: sed neque Romanus Pontifex Iulius, nec per se, nec per alium legatum. Congregatur Synodus, præsente Constantio. Contendunt Eusebiani vt primò Athanasius deponatur. Initio accusant quasi contra Canonem egerit, quem ipsi tunc ediderant. Rediens enim aiunt ab exilio, non omnium iudicio, sed suo arbitratu Episcopatum assumpsit. Secundò quod eius ingressu, seditione concitata, multi periissent. Tertiò ob ea quæ Tyri acta essent. Vnde & condemnantes strenuum athletam, illi Gregorium, eiusdem sectæ, sufficiunt. Et hæc ausi, ausi sunt & fidem permutare, nihil eorum reprehendentes vel verbo, quæ in Nicæa Synodo tractata essent, improbo & fraudulēto animo semina iaciētes,

Synodus Antiochena.

Calumnia Arianorum in B. Athanasium.

ΒΙΟΣ ΠΑΥΛΟΥ ΤΟΥ ΚΩΝΣΤΑΝτινουπόλεως ἐπισκόπου τοῦ ὁμολογητοῦ.

σνζ. *Excerpta e vita Pauli episcopi Constant. mart.*

ΑΝΕΓΝΩΣΘΗ ἐκ τοῦ ἐπιγραφομένου λόγου, βίος ἢ ἄθλησις τοῦ ὁσίου πατρὸς ἡμῶν Παύλου, τοῦ Κωνσταντινουπόλεως ἐπισκόπου, τοῦ ὁμολογητοῦ, ἐφ' ὁμοίᾳ συστελλόμενος ἐκδόσει.

Κωνστάντιος τὴν ῥωμαϊκὴν ἀρχὴν, ἢ τὰ τῆς ἀνατολῆς *ἐχειρίζετο σκῆπτρα, προδοσίᾳ τοῦ τῆς αἱρέσεως πρεσβυτέρου, καὶ συνδρομῇ τῶν εὐνούχων, ὑποδέχει· καὶ οἱ ἐξ Ἀρείου διωγμὸν (κατὰ τῶν εὐσεβούντων) πάλιν κινοῦσι, καὶ Ἀθανάσιον αὖθις δέχεται ἡ ἑσπερία. ὁ δὲ θεῖος Ἀλέξανδρος, τῷ τοῦ βίου πλησιάσας τέλει, οὐδένα μὲν τῆς Κωνσταντινουπόλεως διάδοχον αὐτοῦ χειροτονεῖ· λογάδας δὲ τῶν ἄλλων δύο ποιεῖται, γνώμην τοιαύτην εἰς αἵρεσιν τῷ πλήθει διδούς· ὡς εἰ μὲν βούλοιτο διδασκαλικόν τε ἅμα καὶ ταῖς ἀρεταῖς ἀστράπτοντα Παῦλον αἱρήσονται, ὃν αὐτὸς ἐχειροτόνησε πρεσβύτερον· εἰ δ' ἐν τῷ σχήματι σεμνὸν, καὶ κόσμιον τῇ ἔξωθεν περιβολῇ, Μακεδόνιον, πάλαι χειροτονηθέντα διάκονον, καὶ πρὸς γῆρας ἀποκλίνοντα. ταῦτα εἰσηγησάμενος, εἰς τὴν ἀμείνω λῆξιν μεταβαίνει· ἀρχιερατεύσας μὲν τρία καὶ εἴκοσι ἔτη, βιοὺς δὲ τὸν πάντα βίον ὀκτὼ καὶ ἐνενήκοντα. γίνεται δὲ φιλονεικία περὶ τὴν αἵρεσιν τῶν προειρημένων ἀνδρῶν. οἱ μὲν γὰρ ἐξ Ἀρείου, πρὸς Μακεδόνιον ἔβλεπον· τὸ δὲ ὀρθόδοξον, τὸν Παῦλον προυτίθεσαν. κρατεῖ δ' οὖν ἡ τῶν ὀρθοδόξων ψῆφος, καὶ χειροτονεῖται ὁ Παῦλος ἐπίσκοπος ἐν τῇ τῆς ἁγίας εἰρήνης ἐπωνύμῳ ἐκκλησίᾳ· ἣν ὁ χρόνος ἀντιδιαστέλλων τῆς νέας ἔδωκε καλεῖσθαι παλαιάν. Κωνστάντιος δὲ *οὐ μετὰ πολὺ ἐκ τῆς Ἀντιοχέων πόλεως ἐν τῇ Κωνσταντινουπόλει γεγονὼς, δι' ὀργῆς εἶχε τὸν χειροτονηθέντα· ὅτι μὴ (σὺν) γνώμῃ τῇ αὐτοῦ προῆλθεν ἡ χειροτονία. καὶ ἀρειανῶν καθίσας συνέδριον, τὸν μὲν Παῦλον σχολάζειν κατεψηφίσατο· Εὐσέβιον δὲ τρίτον θρόνον ἀμείβοντα ἐκ Νικομηδείας, τῆς βασιλίδος ἐπίσκοπον ἀναδείκνυσιν. ἀλλ' ὁ μὲν δυσσεβῶς ταῦτα πράξας, ὑπέστρεφε πρὸς Ἀντιόχειαν. Εὐσέβιος δὲ πάντα λίθον ἐκίνει, ὡς ἂν περιέλοι τοῦ ἱεροῦ συμβόλου τὸ ὁμοούσιον. ἄγεται δὴ τὰ ἐγκαίνια τῆς ἐν Ἀντιοχείᾳ ἐκκλησίας, ἣν Κωνσταντῖνος μὲν ὁ εὐσεβὴς ἐκ βάθρων ἤγειρεν, ὁ δὲ Κωνστάντιος καθιερωθῆναι γνώμην ἔθετο. καὶ τῇ τῶν ἐγκαινίων προφάσει, ἐπίσκοποι συλλέγονται ἐνενήκοντα. Μάξιμος δ' ὁ τῶν Ἱεροσολύμων ἔφορος, ἀνὴρ εὐσεβὴς, οὐ παρῆν· ἀλλ' οὐδ' ὁ Ῥώμης Ἰούλιος, οὔτ' *αὐτοπρόσωπος, διά τινος τῶν ὑποτελῶν. συγκροτεῖται μὲν ἡ σύνοδος παρόντος καὶ Κωνσταντίου. οἱ δὲ περὶ Εὐσέβιον σπουδὴν ἄγουσι, πρὸ τῶν ἄλλων ἀποσκευάσασθαι Ἀθανάσιον. ἐπάγουσιν οὖν πρώτην αὐτῷ αἰτίαν, *τὸ παρὰ κανόνα πρᾶξαι· κανόνα λέγοντες, ὃν αὐτοὶ τηνικαῦτα ἐξέθεσαν. ἐπανελθὼν γὰρ, ἔφασκον, τῆς ὑπερορίας, οὐχὶ τῇ τοῦ κοινοῦ γνώμῃ, ἀλλ' αὐτὸς ἑαυτῷ τὴν ἀρχιερωσύνην ἐπέψηφε. δευτέραν, ὅτι κατὰ τὴν εἴσοδον αὐτοῦ στάσεως συρραγείσης, πολλοὶ ἀπέθανον· καὶ τρίτην, τὰ ἐν Τύρῳ πεπραγμένα. ἐξ ὧν καὶ καταψηφισάμενοι *τοῦ τῆς εὐσεβείας ἀθλητοῦ, Γρηγόριον ἀντικαθιστῶσι τὸν ὁμόφρονα. καὶ τολμήσαντες ταῦτα, ἐπιτολμῶσι καὶ τὸν μεταπλασμὸν τῆς πίστεως· οὐδὲν μὲν κατὰ φωνὴν τῶν ἐν Νικαίᾳ μεμψάμενοι, τῷ δὲ ὑφάλῳ καὶ κακομηχάνῳ τῆς διανοίας σπέρματα προκαταβάλλοντες

πρὸς

* al. ἐχειρίζετο. F. ἐνεχειρίζετο.

* μετ' οὐ πολύ.

* αὐτοπρόσωπος.

* al. τί.

* al. τὸν τῆς εὐσεβείας ἀθλητήν.

πρὸς τὴν τοῦ ὁμοουσίου καθαίρεσιν. καὶ ἡ μὲν κατὰ Ἀντιόχειαν σύνοδος, ταῦτά τε καὶ τοιαῦθ' ἕτερα τολμήσασα, καί τινα κανονίσασα, διαλέλυται. Εὐσέβιος δὲ πρὸς τὴν Ῥώμην, Ἰούλιον διαπρεσβεύεται, τὴν κατὰ Ἀθανασίου ψῆφον κυρωθῆναι τεχναζόμενος. ἀλλ' οὐδὲν, ὧν ἤλπιζεν, ἤνυσε. Παῦλος δὲ ὁ ἀρχιερεὺς τὴν Ῥώμην καταλαβών· καὶ ἕτεροι δὲ οὐκ ὀλίγοι ἐπίσκοποι κατὰ συσκευὴν ἐκδιωχθέντες Εὐσεβίου, ἀλλὰ καὶ Ἀθανάσιος, ὁμοῦ διῆγον ἐν τῇ Ῥώμῃ. ὁ δὲ ἱερὸς Ἰούλιος συκοφαντίαν εἶναι μαθὼν τὰ περὶ τὴν ἀρχιερέων πεπραγμένα· γράμμασιν αὐτοὺς ὀχυρώσας, ἐπὶ τὴν ἀνατολὴν ἀποστέλλει, τὸν οἰκεῖον ἑκάστῳ θρόνον ἀποδιδοὺς, καὶ σὺν δίκῃ αἰτιώμενος τοὺς καθελόντας. καὶ τὰς μὲν οἰκείας ἐκκλησίας ἀναλαμβάνουσιν. ἀλλὰ καὶ τὰς ἐπιστολὰς οἷς ἐγράφησαν διαπέμπονται· καὶ Εὐσεβίου μὲν ἀποφθαρέντος, Παῦλος εἰς τὸν οἰκεῖον θρόνον ἀποκαθίσταται· οἱ δ' ἀρειανίζοντες ἐν τῇ νεῷ λεγομένῃ ἐπὶ Παῦλον ἐκκλησίᾳ χειροτονοῦσι τὸν Μακεδόνιον· ὃς τὸν υἱὸν μὲν τῷ πατρὶ ἀνόμοιον ἐβλασφήμει, περιγραφόμενος τὸ ὁμοούσιον· τὸ δὲ ἅγιον πνεῦμα παντελῶς ἀλλότριον τῆς θεότητος. Ἀθανασίου δὲ τὴν ἰδίαν ἀναλαβόντος ἐκκλησίαν, οἱ ἐν Ἀντιοχείᾳ πάλιν συνεδρεύοντες (καὶ γὰρ συνήεσαν ἀντεγκαλεῖν ἐπιχειροῦντες Ἰουλίῳ τῷ Ῥώμης) τὸν δυσσεβῆ Γρηγόριον διὰ τάχους, ὃν αὐτοὶ παρανόμως ἐχειροτόνησαν, εἰς τὴν Ἀντιόχου ἀποστέλλουσι. καὶ κατῆγεν αὐτὸν ὁ τῆς Ἀλεξανδρείας στρατηγὸς, ἑπτακισχιλίους στρατὸν ἐπαγόμενος. ὃ μαθὼν Ἀθανάσιος, εἰς τὴν Ῥώμην πάλιν ἀπέπλευσεν. ὁ δὲ τῶν Ἀλεξανδρέων λαὸς οὐκ ἐνεγκὼν τὸ ἔκθεσμον, τὴν καλουμένην Διονυσίου ἐκκλησίαν, οὐκ ὀρθῶς ποιοῦντες, (τί γὰρ, εἰ μεμήνασιν ἄνθρωποι, κατὰ τοῦ μηδὲν ἠδικηκότος δεῖ τὴν ἄμυναν φέρειν;) ἐνέπρησαν. μανθάνει δ' ὁ Κωνστάντιος, ἐν Ἀντιοχείᾳ διάγων, ὡς Παῦλος ὁ τῆς ἀληθείας κῆρυξ, εἰς τὸν ἴδιον *ἀποκατέστη θρόνον· καὶ Ἑρμογένει τῷ στρατηλάτῃ ἐντέλλεται, ἐπὶ τὰ τῆς Θρᾴκης ἐκπεμπομένῳ μέρη, ἐξωθῆσαι τὸν ὅσιον τῆς ἐκκλησίας. καὶ ὁ μὲν τὴν Κωνσταντίνου *φθάσας πόλιν, ἐσπούδαζεν, ἣ προσετέτακτο, πράττειν τὸ ἔκθεσμον. τὸ δὲ πλῆθος οὐκ ἠνείχετο· ἀλλὰ καὶ τὴν οἰκίαν αὐτοῦ κατακαίουσι, καὶ αὐτὸν σύροντες διαφθείρουσι. μαθὼν δὲ τοῦτο Κωνστάντιος, αὐτὸς καταλαμβάνει τὴν πόλιν. καὶ τὸν μὲν ὅσιον Παῦλον ταύτης ἀπελαύνει· ζημιοῖ δὲ καὶ τὴν πόλιν, τὸ σιτηρέσιον ἀφελὼν αὐτῆς, τὸ ἥμισυ τῆς δωρεᾶς, ἣν ὁ φιλάνθρωπος Κωνσταντῖνος αὐτῇ ἐδωρήσατο. ἦν δὲ τὸ ὅλον τῆς δωρεᾶς, ἡμερήσιοι ἄρτοι μυριάδες ὀκτώ. ὠργίζετο δὲ καὶ κατὰ Μακεδονίου, οὐ μόνον ὅτι παρὰ γνώμην αὐτοῦ κεχειροτόνητο· ἀλλὰ καὶ διὰ τοὺς φόνους, ὧν αὐτὸς στασιάζων γέγονεν αἴτιος. ὅμως οὖν ἐάσας αὐτὸν ἐν ᾗ ἐκκλησίᾳ τὴν χειροτονίαν ὑπέδυ, εἰς τὴν Ἀντιόχου ἐξώρμησεν. ὁ μέντοι θεσπέσιος Παῦλος πάλιν τὸ δεύτερον καταλαμβάνει τὴν Ῥώμην, καὶ Ἀθανασίῳ συνῆν· ἀναφέρει γοῦν ἃ πεπόνθοι, τῷ Ῥώμης, καὶ αὖθις τοῖς παρ' *αὐτοῦ, ἔτι δὲ καὶ τοῖς *Κωνσταντίου τοῦ βασιλέως καθοχυρωθεὶς γράμμασι, παραυτίκα τε ἐπάνεισι, καὶ τῷ οἰκείῳ θρόνῳ, μετὰ πολλῆς αὐτὸν θυμηδίας τῆς πόλεως ὑποδεξαμένης, ἐγκαθιδρύεται. καὶ πάλιν περιοργὴς ὁ Κωνστάντιος, καὶ πάλιν πρόσταγμα εἰς ὑπερορίαν ἄγον τὸν ἀοίδιμον. καὶ γὰρ τοῦτο δεξάμενος ὁ ὕπαρχος Φίλιππος ἐξορίζει μὲν τὸν ὅσιον, ἀντικαθίστησι δὲ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ τὸν πνευματομάχον Μακεδόνιον.

Μακεδόνιος ὁ πνευματομάχος.

* al. ἀποκατεστάθη.

* al. φθάσας πόλιν ἐσπούδαζεν.

* αὐτῷ.
* Κώνσταντος.

EXCERPTA è Pauli Episc. Const. mart.

vt ὁμοούσιον tollatur. Antiochena Synodus hæc & alia similia ausa, & nonnulla decernens, dissoluitur. Eusebius ad Rom. Pontificem Iulium legatos mittit, hoc moliens, vt quæ aduersus Athanasium decreta essent, rata haberet, sed spe sua frustratus est. Paulus verò Archiepiscopus Romam profectus, & alij nonnulli Episcopi, vna cum Athanasio Eusebij dolo expulsi, simul Romæ agebant. Iulius vero audito omnia quæ de Episcopis acta essent, calumnias esse, epistolis illos confirmans in Orientem remittit, propriam vnicuique tradens sedem, eósque qui damnassent, meritò accusans. Omnes hinc Ecclesias suas recipiunt, sed & epistolæ iis quibus scriptæ erant, destinantur. Eusebio mortuo, Paulus suæ sedi restituitur. Ariani pro hac Ecclesia pro Paulo Macedonium creant, qui Filium Patre minorem esse blasphemabat, damnans & ὁμοούσιον *Consubstantiale*, & Spiritum sanctum omnino à diuinitate remouebat. Athanasio quoque suam recipiente Ecclesiam, Antiochiæ iterum conuenientes (conuenerant enim Iulium Rom. vicissim criminari volentes) impium Gregorium statim, quem ipsi præter fas & æquum ordinauerant, * Antiochiam mittunt, & Alexandriæ Præfectus illum septem millibus militum adduxit. Quo cognito, Athanasius Romam iterum adnauigauit. Alexandrini non ferentes hanc iniuriam, B. Dionysij templum, non rectè tamen (quid enim, si insaniant homines, contra culpæ expertem sumenda pœna est?) incenderunt. Constantius Antiochiæ degens intellecto Paulum veritatis præconem propriæ sedi restitutum esse, Hermogeni duci in Thraciam misso mandat, vt Ecclesia sanctum virum expelleret: & ille quidem Constantinopolim veniens conatus est, quod mandatum erat, nefandum imperium exequi. Populus vero non patiebatur, quin & domum illius incendit, & pedibus tractum interficit. Quo cognito, Constantius vrbem ingreditur, sanctúmque Paulum expellit. Mulctat vrbem frumento, auferens illis doni dimidium, quod Constantinus clemens illis dederat. Erat verò summa muneris, panes diarij octogies mille. Iratus est & Macedonio, non solùm quòd se inuito ordinatus esset, sed etiam ob cædes, quarum ipse seditiosus auctor exstiterat. Tamen relinquens illum in Ecclesia, in qua ordinatus erat, Antiochiam reuertit. Diuinus Paulus quidem iterum Romam proficiscitur, & Athanasium conuenit. Refert igitur Romano Pontifici, quæ passus esset, & rursum eius, & Constantis Imp. munitus litteris, statim reuertit, & sedi suæ cum magna vrbis eum recipientis voluptate restituitur. Constantius rursum indignatus, iterum exsulare perpetuò iubet. Etenim Philippus Præfectus hoc admittens, sanctum virum in exsilium ablegauit, & Macedonium S. Spiritus impugnatorem in Ecclesia reponit.

Macedonius hæreticus.

* *Alexandriam lege.*

EXCERPTA è Pauli Episc. Const. mart.

Exsilio autem pulsus est non apertè, sed occultè. Nam Hermogenis interitus prudentius rem gerere Philippum docuerat. Honorificè enim Dei Episcopum Paulum ad balneum vocat, quod Zeuxippi appellatur, tanquam de rebus publicè profuturis, & arcanis consulturi essent. Inde ad Imperatoris palatium mittit, & exinde Thessalonicam in eius maiorúmque patriam. Hinc ad Orientis partes redire vnquam vetuit, nec ad vicinas vrbes. Impius Macedonius armata vi adiutus, & vnà cum Præfecto vectus, Dei Ecclesiam inuadit. Multa editur strages, & tria millia ac quinquaginta occiduntur, & Catholicorum cædibus ter execrandus inauguratur. Eodem tempore Constantius magnum templum, cui nomen *Dei Sophia*, exædificarat. Et diuinus Paulus paulò post in Italiam tertium contendit, & Athanasium commilitonem sibi adiungens, Constanti Imp. Occidentis omnia, quæ passi essent, narrant. Hic atrocia quæ sustinuissent attentius cùm audisset, fratri scribit, tres vt ad se Orientis Episcopi venirent, qui rationem redderent eorum, quæ aduersus Athanasium & Paulum ausi fuissent, & scriptam fidei professionem vnà adferrent. Mittuntur verò Episcopi quatuor, Narcissus Cilix, Theodorus Thrax, Maris Calchedonius, * Maras Syrus. Hi non ausi fuerunt conferre sermones cum Athanasio & Paulo, fidem verò quam erant Antiochiæ professi occultantes, aliámque componentes, quæ apertam reprehensionem effugeret, sed tamen τὸ ὁμοούσιον *Consubstantiale* non confiterentur, regi tradunt, & nihil amplius neque agentes, neque passi, recesserunt. Triennio euoluto, rursum Orientis Episcopi conueniunt, aliámque fidem decernunt, & Italicis mittunt. Ministri Synodi erant tunc Eudoxius Germaniæ Episcopus, Martyrius, Macedonius Mopuestiæ. Declaratio eorum fidei eadem erat cum priore, additis tamen nonnullis absurdis in fine, longius extendebatur. Conuentus Patrum Romæ hanc non suscepit, dicens sufficere sibi Symbolum fidei, quod Nicææ decretum esset. Sic cùm omnia tumultu occuparentur, & indiscussa contentione, conuocatur generalis Synodus, sententia duorum Imperatorum vndecimo anno á morte Constantini. Conuenerunt igitur Sardicem ex Occidente supra trecentos, Episcopi: ex Oriente solùm sex & septuaginta, & Orientales cum Occidentalibus conuenire noluerunt, idque hac de causa, quòd Paulus & Athanasius veritatis defensores cum illis congregati essent. Cùm verò neque pij Athanasianos reiicerent, neque illi inimicitias contra fidei propugnatores deponerent, à se inuicem disiuncti sunt. Orientales omnes Philippos Macedoniæ vrbem accedentes, publicè rursum congregantur, & ibi apertè ὁμοούσιον *Consubstantiale* execrantur. Sardicenses verò absentes illos condemnant, accusatores Athanasij,

* *Marcus Syrus est in Metaphraste.*

Synodus Sardicensis.

τὸ δὲ τῆς ὑπερορίας, οὐκ ἐκ τοῦ ἐμφανοῦς, ἀλλ' ἐξ ἐνέδρας περιῆλθεν. ὁ γὰρ τοῦ * Ὁρίστου φθόρος σοφώτερον κακουργῆσαι τὸν Φίλιππον ἀπειργάσατο. καὶ καλεῖ μὲν σὺν τιμῇ τὸν τοῦ Θεοῦ ἀρχιερέα εἰς τὸ λουτρὸν, ᾧ ἐπώνυμον ὁ Ζεύξιππος, ὡς ἐπὶ κοινωφελέσι δῆθεν καὶ μυστικοῖς βουλεύμασι· κἀκεῖθεν εἰς τὰς βασιλείους ἐκπέμπει αὐλὰς, καὶ δι' αὐτῶν ἐν τῇ Θεσσαλονίκῃ, ἣν καὶ οἱ αὐτοῦ πρόγονοι πατρίδα εἶχον. καὶ τοῖς μὲν τῆς ἀνατολῆς ἐπιβαίνειν μέρεσιν ἐκεκώλυτο, ταῖς δὲ πλησιαζούσαις πόλεσιν οὐκέτι. καὶ ὁ δυσσεβὴς Μακεδόνιος, στρατιωτικῆς χειρὸς ὑπηρετούσης, καὶ συνεποχούμενος τῷ ὑπάρχῳ, εἰς τὴν τοῦ Θεοῦ ἐκκλησίαν παρεισδύεται. καὶ φόνος γίνεται πολὺς, τῆς διαφθορᾶς εἰς πεντήκοντα καὶ τρισχιλίους παραταθείσης, καὶ ταῖς τῶν Χριστιανῶν σφαγαῖς ὁ τρισαλιτήριος ἐνθρονίζεται. καθ' ὃν δὴ καιρὸν καὶ ὁ Κωνστάντιος τὴν μεγάλην ἐκκλησίαν, ἐπώνυμον δ' αὐτῇ ἡ τοῦ Θεοῦ σοφία, νεουργεῖ. καὶ Παῦλος τὸ τρίτον ὁ θεσπέσιος μετ' ὀλίγον εἰς τὴν Ἰταλίαν παραγίνεται καὶ Ἀθανάσιον τὸν συνάθλον λαβὼν ἅμα διδάσκουσιν ἃ * πεπόνθασι Κώνσταντα τῆς ἑσπέρας βασιλεύοντα. ὁ δὲ τὰ ἔκθεσμα ὧν ὑπέστησαν ἀκριβέστερον ἐκμαθὼν, γράφει τἀδελφῷ, τρεῖς παρ' αὐτὸν ἀπὸ τῆς ἀνατολῆς ἐπισκόπους, οἳ λόγον δώσουσι τῶν τε περὶ Ἀθανάσιον καὶ Παῦλον τολμημάτων, καὶ τὴν τῆς πίστεως ἔγγραφον ἔκθεσιν παραγυμνώσωσι. ἐκπέμπονται δὴ τέσσαρες, Νάρκισσος ὁ Κίλιξ, Θεόδωρος ὁ Θρᾷξ, Μάρις ὁ * Χαλκηδόνιος, καὶ Μαρᾶς Σύρος. οὗτοι τοῖς περὶ Ἀθανάσιον καὶ Παῦλον εἰς λόγους ἐλθεῖν οὐκ ἐθάρρησαν· τὴν δ' ὑπ' αὐτῶν ἐν τῇ Ἀντιόχου ἐκτεθεῖσαν πίστιν ἀποκρύψαντες, ἑτέραν δὲ συνθέντες, τὸ μὲν ἐμφανὲς τῆς βλασφημίας φεύγουσαν, τὸ δ' ὁμοούσιον οὐ προσβαλοῦσαν, ἐπιδιδόασι τῷ βασιλεῖ, καὶ * πλεῖον οὐδὲν οὔτε δράσαντες, οὔτε παθόντες, ἀνεχώρησαν. τριετίας δὲ διαδραμούσης, πάλιν οἱ τῆς ἀνατολῆς συναθροίζονται, καὶ πίστιν ἄλλην συντάττουσι, καὶ τοῖς ἐν Ἰταλίᾳ ἐκπέμπουσι. διάκονοι δ' ἦσαν τοῦ συντάγματος Εὐδόξιος ὁ τηνικαῦτα * Γερμανίας ἐπίσκοπος, καὶ Μαρτύριος, ὅ τε Μοψουεστίας Μακεδόνιος. ἡ δὲ τῆς πίστεως αὐτῶν ἔκθεσις ἡ αὐτὴ μὲν ἦν τὰ ἄλλα τῇ προεκτεθείσῃ, προσθήκαις δέ τισι ταῖς κατὰ τὸ τέλος ἀλλοκότοις εἰς τὸ μακρότερον ἐξετείνετο. ὁ δὲ κατὰ τὴν Ῥώμην τῶν ἀρχιερέων σύλλογος ταύτην οὐ * προσεδέξατο, ἀρκεῖσθαι φάμενοι τῷ συμβόλῳ τῆς πίστεως, ὃ ἡ ἐν Νικαίᾳ ὑπηγόρευσε σύνοδος. Οὕτω δὲ πάντα ταραχῆς κατεχούσης, καὶ ἀδιακρίτου ἔριδος· κηρύσσεται σύνοδος οἰκουμενικὴ, γνώμῃ τῶν δύο βασιλέων, μετ' ἑνδέκατον ἔτος τῆς τοῦ εὐσεβεστάτου Κωνσταντίνου τελευτῆς. συνῆλθον οὖν ἐν Σαρδικῇ, ἐκ μὲν ἑσπέρας, ὑπὲρ τοὺς τριακοσίους ἐπισκόπους. ἐκ δὲ τῆς ἀνατολῆς, ἓξ μόνοι καὶ ἑβδομήκοντα. καὶ οἱ τῆς ἑῴας τοῖς ἐκ δύσεως εἰς ὁμιλίαν συνελθεῖν οὐκ * ἐπένευον· καὶ τὸ αἴτιον, ὅτι Παῦλος αὐτοῖς καὶ Ἀθανάσιος, οἱ τῆς εὐσεβείας ἀθληταὶ, συνεδρίαζον. ὡς δ' οὔτε οἱ τῆς Εὐσεβείας τοὺς περὶ Ἀθανάσιον ἀπεσκεύαζον, οὔτε οἱ τῆς πρὸς τοὺς ἀθλητὰς ἔχθρας * ὑπέληγον: διαχωρίζονται ἀπ' ἀλλήλων. καὶ τὴν ἐν Μακεδονίᾳ Φιλίππου οἱ ἐξ ἀνατολῆς καταλαβόντες, συναθροίζονται· τηνικαῦτα εἰς τὸ ἐμφανὲς ἀναθεματίζουσι τὸ ὁμοούσιον. οἱ δὲ ἐν Σαρδικῇ τούτους μὲν ἐρήμῃ δίκῃ καταδικάζουσι· τοὺς δὲ κατηγόρους Ἀθανασίου, ὡς συ-

* al. Ἑρμογένους.
* πεπόνθεισαν.
* al. Χαλκηδόνιος.
* πλέον.
* Γερμανικείας.
* al. προσεδέξαντο.
* al. ἐπένευσαν.
* ἀπέληγον.

ὡς συκοφάντας, καταλύοντες τήν τε ἐν Νικαίᾳ κυρωθεῖσαν πίστιν ἐπικρατύνουσι, καὶ τὸ ἀνόμοιον ἀναθεματίζουσιν. ὧν τὴν γνῶσιν ὁ τῶν ἑσπερίων βασιλεὺς Κώνστας λαβὼν, ἀναδιδάσκει τε διὰ γραμμάτων τὸν ἀδελφὸν Κωνστάντιον, καὶ παραινεῖ εὐμενῶς διακεῖσθαι πρὸς Παῦλον καὶ Ἀθανάσιον, καὶ μηδαμῶς αὐτοῖς ἐμποδὼν ἵστασθαι πρὸς τὴν τῶν οἰκείων ἀποκατάστασιν θρόνων· προστιθεὶς, ὡς εἰ μὴ (καὶ) ἑκὼν τοῖς δικαίοις κατανεύσοι, αὐτὸς δὴ παραγενόμενος, καὶ ἄκοντος τὸ δίκαιον τοῖς ἠδικημένοις ἀποδοίη. δείσας οὖν τὴν τοῦ ἀδελφοῦ ἀπειλὴν ὁ Κωνστάντιος, τὸν μὲν ὅσιον Παῦλον τῇ ἰδίᾳ ἐπισκοπῇ οὐκ ἐπέσχεν ἐνιδρύεσθαι. τὸν δὲ συνάθλον Ἀθανάσιον διαφόροις ἐπιστολαῖς καλεῖ παρ' αὐτόν· καὶ εὐμενῶς ἐλθόντα προσδέχεται, καὶ τῷ οἰκείῳ θρόνῳ ἀποκαθίστησιν. οὕτω μὲν ὁ πολὺς τάραχος ἐγαλήνια, καὶ ἡ ἐκκλησία τοὺς τῆς Εὐσεβείας ἔχαιρεν ἔχουσα προμάχους. Μαγνεντίου δὲ τυραννίδι ἐπιθεμένου καὶ Κώνσταντα τὸν τῆς ἑσπέρας βασιλεύοντα ἀνελόντος, πάλιν ἡ τῆς Ἀρείου λύσσης καταιγὶς τὰς τῆς οἰκουμένης ἐκκλησίας ἐτάραττε. καὶ φεύγει μὲν πάλιν Ἀθανάσιος, ἁρπάζει δὲ τὸν αὐτοῦ θρόνον Γρηγόριος· καὶ ὑπερορίζεται Παῦλος ἐν Κουκουσῷ τῆς Ἀρμενίας, ὁ τῆς Εὐσεβείας ὑπέρμαχος, καὶ τῇ δι' ἀγχόνης, τῶν δυσσεβῶν νύκτωρ ἐπεισπεσόντων, τελειοῦται μαρτυρίῳ· καὶ ἐγκαθίσταται τῇ Κωνσταντινουπόλει ὁ δυσσεβὴς Μακεδόνιος. καὶ ἐξωθοῦνται μὲν καὶ τῶν ἄλλων ἐκκλησιῶν οἱ ποιμένες, ἐπεισπηδῶσι δὲ οἱ λύκοι· καὶ τὴν κατὰ τῶν χριστιανῶν ἑλλήνων ὠμότητα ἡ Μακεδονίου μανία ἐφιλονείκει ἀποκρύψασθαι. καὶ πᾶσα μὲν ἡ ἀνατολὴ τοῖς δεινοῖς διεφθείρετο, ἡ πόλις δὲ Κωνσταντίνου κατὰ τὸ ἐξαίρετον, ὅτε καὶ Ἀγέλιος ὁ τῶν Ναυατιανῶν ἐπίσκοπος, οἷα δὴ καὶ αὐτὸς τὸ ὁμοούσιον πρεσβεύων, ὑπερορίζεται. καὶ ἦν ἀδιήγητον τὸ κακόν· ὅπερ οὐ μέχρις ἀρχιερέων ἐκέχυτο, ἀλλὰ καὶ γυναῖκας καὶ παῖδας, ὅσοι τὴν Μακεδονίου κοινωνίαν ἀπεστρέφοντο, *ἐπινέμετο. μαστοὶ γυναικῶν, ὢ τῆς μανίας, κιβωτῶν καλύμμασιν ἐμβαλλόμενοί τε καὶ συμπιεζόμενοι, ἀπεπρίζοντο· οἱ δὲ σιδήρῳ, τοὺς δὲ καὶ ὠοῖς πεπυρακτωμένοις, ταινίαις αὐτὰ τοῖς μορίοις ἐνειλίττοντες, κατέκαιον· ἧκε γὰρ τοῖς δυσσεβέσιν ἐπινοεῖν, καὶ ἃ τοὺς ἀθέους Ἕλληνας κατὰ τῆς φύσεως ἐπινοεῖν αἰδὼς ἀνθρώπινος ἀνεχαίτιζεν. ἐκτείνει δὲ τὴν λύσσαν Μακεδόνιος καὶ ἐπὶ τὴν τῶν *Παφλαγόνων χώραν· πολλοὺς γὰρ ἠκηκόει καὶ τῶν ὀρθοδόξων καὶ τῶν ἀπὸ Ναυάτου ἐν αὐτῇ διατρίβειν· καὶ τέσσαρας φάλαγγας στρατιωτῶν ἐνόπλων *παρασκευάζει σταλῆναι κατ' αὐτῶν, καὶ τοῖς ὅπλοις βιάζεσθαι πρὸς τὴν ἀσέβειαν. οἱ δὲ κατὰ τὸ Μαντίνειον οἰκοῦντες, εἰς πλῆθος συστάντες, καὶ ζήλῳ τῆς εὐσεβείας δρέπανα, καὶ ἀξίνας, καὶ τὸ παρατυχὸν ὅπλα ποιησάμενοι, ἀντιπαρατάττονται τοῖς στρατιώταις. καὶ συμβολῆς γινομένης, πολλοὶ μὲν διαφθείρονται τῶν Παφλαγόνων, τῶν δὲ στρατιωτῶν πλὴν ὀλίγων ἅπαντες. αὕτη τοίνυν ἡ *μιαιφόνος καὶ ἀναίσχυντος πρᾶξις, οὐ παρὰ τῶν ἠδικημένων μόνον, ἀλλὰ καὶ παρὰ τῶν οἰκείως δοκούντων ἔχειν, Μακεδονίῳ μῖσος εὐήγειρε δίκαιον. ἀλλὰ καὶ αὐτὸν τὸν βασιλέα διίστησι πρὸς ἀπέχθειαν. οὐ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι καὶ τὸ σῶμα Κωνσταντίνου, τοῦ βασιλέως εὐσεβεστάτου (ἐδόκει γὰρ ὁ ναὸς, ἐν ᾧ κατέκειτο, ἰσχὺς εἶναι τοῦ καταπεσεῖν) λαβὼν, οὐδὲ γνώμης αὐτοῦ εἰς τὸν τοῦ ἁγίου Ἀκακίου ναὸν μετεκόμισε.

Magnentius.

Agelius.

*al. ἐπενέμετο.

*al. Παφλαγόνων.

*al. στρατευ-σάζει.

*al. μιαιφόνον.

EXCERPTA è Pauli Episc. Const. mart.

quasi calumniatores deponentes fidem, Nicæna Synodo confirmatam stabiliunt, contrariámque anathemati subdunt. Quibus auditis Occidentis Imperator Constans edocet per litteras fratrem suum Constantium, & monet, vt amicè Paulum & Athanasium tractet, neque impediat, quo minus suis sedibus restituantur, addens, nisi volens iusta petenti annuat, se venturum, & illo inuito ius & æquum iniuria affectis redditurum. Metuens igitur minas fratris Constantius, diuinum Paulum non prohibuit in proprio Episcopatu residere, eiúsque commilitonem Athanasium multis literis ad sese vocat, & veniétem libenter suscipit, ac suæ dignitati restituit. Sic magnus tumultus sedatus est, & Ecclesia suos pietatis propugnatores adepta lætata est. Cùm autem Magnentius tyrannide occuparet omnia, & Constantem Occidentis Imperatorem interemisset, iterum Arianæ impietatis procella omnes Ecclesias perturbauit, & Athanasius rursum fugit eiúsque sedem Gregorius rapit, & ablegatur Paulus Cuccusum Armeniæ, pietatis propugnator, & inuadentibus noctu impiis laqueo martyrem efficiunt. Macedonius Constantinopolitanæ Ecclesiæ præsul constituitur, & expelluntur etiam aliarum Ecclesiarum pastores, inuadunt lupi, atque Ethnicorum in Christianos immanitatem Macedonij furor obscurare nititur, totúsque Oriens graui calamitate inuoluitur, & maximè Constantinopolis. Quando etiam * Agelius Nouatianorum Episcopus, quòd ὁμούσιον confiteretur, in exsilium pellitur, & malum erat incredibile, quod non solùm ad Episcopos extenderetur, sed & ad mulieres & pueros, quicunque Macedonij communionem non admitterent, se effudit. Vbera mulierum (ô impietatem) operculis cistarum includentes, & comprimentes, exscindebant, alia ferro, alia autem ouis ignitis, quorum fragmenta fasciis inuoluebant, exusserunt. Venit enim impiis in mentem, etiam quæ impios gentiles contra naturam excogitari pudor humanus prohibuit. Extendit & crudelitatem in Paphlagoniam: multos enim audierat cum orthodoxos tum Nouatianos illic agere: & quatuor cohortes militum armatorum parat, vt aduersus illos mitterentur, & ad impietatem suscipiendam vi cogerent. Mantinæi congregati, & zelo pietatis falces, secures, & obuia quæ ue pro armis arripientes, militibus se obiiciunt, & pugna commissa multi è Paphlagonibus occiduntur: ac milites penè omnes. Hæc strages, & illud impudens factum non solùm apud eos qui violati essent, sed etiam qui eiusdem sectæ essent, Macedonio iure optimo odium conciliauit: quin & ipsum Imperatorem ad inimicitias commouit. Neque ob eam solùm caussam, verùm etiam quod corpus Imperatoris Constantini piissimi (videbatur enim templum, in quo iacebat, ruinam minari) accipiens, sine illius consilio in templum S. Acacij transtulisset.

Magnentius tyrannus.

Paulus martyr.

Arianorum hæreticorum sæuitia.

* Agelius habet Metaph.

EXCERPTA è Pauli Episc. Const. mart.

Cúmque omnibus hæc translatio non placeret, verùm multis impium videretur mortuorum corpora effodere, maximéque Imperatoris pietate illustris, magna editur strages, & multorum atque adeò grauium malorum, quæ ausus fuerat Macedonius, parua pœna multatus est, dignitatis nimirum priuatione. Inualescebat tamen Ariana impietas, quamdiu Constantius imperauit: amplius verò temporibus impij Valentis, donec illum diuina vltio puniuit. Theodosium autem Hispanum iustum suffragium Gratiani, Occidentis imperium administrantis, ad sedem Imperatoriam prouexit Orientis, & orthodoxæ fidei per illum confirmatio inualuit. Sic quidem Ariana hæresis Ecclesias XL annos vexans, pietate Theodosij exterminatur, & suus orthodoxæ fidei honos redditus. Conuocat igitur concilium pius Imperator, meditans & Macedonianos conciliare orthodoxis, & qui Consubstantialitatem confiterentur. Quamobrem capita hæreticorum conuocat, & conuenerunt è Catholicis, Alexandria quidem Timotheus, Hierosolymis verò Cyrillus, Antiochia Meletius, Gregorius Nazianzenus, Thessalonica Achillius, Nyssa Gregorius, & alij plurimi, quorum numerus ad centum quinquaginta excreuit. Hæreticæ verò turbæ præerat Eleusius Cyzicenus, Marcianus Lampsacenus & Euethius Ephesius, aliique nonnulli, quorum numerum sex & triginta complebant. Hortabantur Imperator ipse, & alij orthodoxi hæreticos, vt illa factione relicta ad vnionem conuenirent, & ὁμοούσιον Consubstantiale, amplecterentur, quemadmodum & antea, nemine hortante, missis ad Liberium legatis, polliciti erant confessuros se vnà ὁμοούσιον in memoriam interim redigentes, vltro ipsos communionem cum orthodoxis admisisse. Hæretici verò iustæ reprehensionis, & bonæ admonitionis nulla habita ratione, suam impietatem non reliquerunt. Ideòque concilio eiiciuntur, & vrbe, conciliúmque creat Nectarium, senatorij quidem sanguinis, Episcopum, moribus facillimis, ob quos maximè colebatur. Hæc autem Synodus fidem in Nicæna publicatam confirmat. Probat omnia Imperator, & perferri curat magna cum reuerentia reliquias S. Pauli confessoris: & Episcopi quotquot aderant vnà cum Nectario, longè extra Chalcedonem obuiam procedunt, multóque cantu, & comitatu suscipiunt, & per mediam vrbem corpus ferentes, collocarunt in Ecclesia S. Irenes nominis antiqui, quam Constantius Imp. in latitudinem & magnitudinem è parua excitauit, cui & Paulus aliquamdiu præfuerat, & totam noctem cantibus transigentes, manè iterum tota ciuitas æquali honore & gloria, in Ecclesiam, quæ nunc ab illo cognominata est, omnibus Episcopis, & Clero, & ipso præsente Imperatore, sacro tumulo imponunt.

Theodosius pius Imp.

Concilium Constantinopolitanum contra Macedonium.

Nectarius.

καὶ ἐπειδὴ πᾶσιν ἡ μετάθεσις οὐ συνεδόκει, ἀλλὰ πολλοῖς ἀνόσιον ἐνομίζετο, τὰ τῶν ἀποιχομένων ἀνορύττεσθαι σώματα· καὶ τότε βασιλέως εὐσεβείᾳ διαλάμψαντος, φόνος * ἐρρύη πολύς· καὶ τῶν πολλῶν καὶ ἀνηκέστων κακῶν, ὧν ἐτόλμα Μακεδόνιος, μικράν τινα δίκην ἀπέτισε τὴν καθαίρεσιν τοῦ ἀξιώματος. ἐκράτει δ' οὖν ὅμως τὰ Ἀρείου δι' ὅλης τε τῆς Κωνσταντίου βασιλείας, καὶ ἔτι μᾶλλον κατὰ τοὺς (τοῦ) Οὐάλεντος τοῦ δυσσεβοῦς χρόνους· ἕως αὖ ἐκεῖνον μὲν ἡ θεία μετῆλθε δίκη, Θεοδόσιον δὲ τὸν * ἐξ Ἱσπανίας ψήφῳ δικαίᾳ Γρατιανοῦ τοῦ τὰ ἑσπέρια διέποντος, εἰς τὸν βασίλειον τῆς ἀνατολῆς θρόνον ἀνεβίβασε, καὶ τῇ ὀρθοδοξίᾳ δι' αὐτοῦ τὸ κράτος ἐβράβευσεν. ἀλλ' οὕτω μὲν ἡ Ἀρείου αἵρεσις τὰς ἐκκλησίας ἐπὶ τεσσαράκοντα ἔτη κατανεμηθεῖσα, τῇ Θεοδοσίου εὐσεβείᾳ ἐξωστράκισται, καὶ τὸ ὀρθόδοξον τοῖς οἰκείοις ἐνεκαλλωπίζετο δικαιώμασιν. συγκροτεῖ τοίνυν ὁ αὐτὸς θεοφιλέστατος βασιλεὺς σύνοδον, μελέτην ἔχων καὶ τοὺς ἀπὸ Μακεδονίου πρὸς ἕνωσιν συναγαγεῖν τοῖς ὀρθοδοξοῦσι καὶ πρεσβεύουσι τὸ ὁμοούσιον· διὸ καλεῖ καὶ τοὺς προεστῶτας αὐτῶν τῆς αἱρέσεως. καὶ συνῆλθον, τῶν ὀρθοδοξούντων, ἀπὸ μὲν Ἀλεξανδρείας, Τιμόθεος· ἐξ Ἱεροσολύμων δὲ ὁ Κύριλλος· Μελέτιος δ' ἐξ Ἀντιοχείας· Γρηγόριός τε παρῆν ὁ Θεολόγος, καὶ Ἀχίλλιος ὁ Θεσσαλονίκης· καὶ ὁ Νύσσης Γρηγόριος· καὶ ἄλλοι πολλοί· πεντήκοντα καὶ ἑκατὸν ἦσαν αὐτῶν ὁ πᾶς σύλλογος· τοῦ δ' αἱρετικοῦ στίφους ἡγεῖτο μὲν ὁ Κυζίκου Ἐλεύσιος, καὶ Μαρκιανὸς ὁ Λαμψάκου· καὶ ὁ Ἐφέσου Εὐήθιος, καὶ ἄλλοι τινές, εἰς τὸν ἓξ καὶ * τριάκοντα συγκεφαλαιούμενοι ἀριθμόν. παρῄνουν δὴ βασιλεύς τε αὐτός, καὶ ὅσον ὀρθόδοξον, τοὺς τῆς αἱρετικῆς μοίρας συνελθεῖν εἰς ὁμοφροσύνην, καὶ ἀσπάσασθαι τὸ ὁμοούσιον· ὡς καὶ χωρὶς παραινέσεως διαπρεσβευσαμένους * αὐτοὺς οἴκοθεν πρὸς Λιβέριον πρότερον, καὶ ἀνομολογεῖν ὑποσχομένους τὸ ὁμοούσιον· ὑπομιμνήσκοντες, ὡς καὶ τὴν τῶν ὀρθοδόξων κοινωνίαν αὐτεπάγγελτοι προσεδέχοντο. τὸ δὲ αἱρετικόν, τῶν δικαίων ἐλέγχων καὶ φιλανθρώπων παραινέσεων οὐδένα ποιησάμενοι λόγον, τῆς οἰκείας δυσσεβείας οὐ μεθίεντο. ἐκβάλλονται οὖν διὰ τοῦτο καὶ τοῦ συνεδρίου καὶ τῆς πόλεως· καὶ ἡ σύνοδος χειροτονεῖ τὸν Νεκτάριον, συγκλητικοῦ μὲν αἵματος ὄντα, τὴν τοῦ πραίτωρος δὲ χειρίζοντα ἀρχήν, τὸν τρόπον δὲ ἐπιεικέστατον, δι' ὃν καὶ μάλιστα ἐθαυμάζετο. βεβαιοῖ δ' ἡ ἁγία σύνοδος αὕτη καὶ ἣν ἡ ἐν Νικαίᾳ διετυπώσατο πίστεως ἔκθεσιν· καὶ σύμψηφος πᾶσιν ὁ βασιλεὺς γίνεται, καὶ ἀνακομίζει μετὰ πολλοῦ τοῦ σεβάσματος καὶ Παύλου τοῦ ὁμολογητοῦ τὸ λείψανον. καὶ ἀπαντῶσι τῶν ἐπισκόπων (σὺν) αὐτῷ Νεκταρίῳ πρὸ πολλοῦ τῆς Χαλκηδόνος ὅσοι παρῆσαν· καὶ μετὰ πολλῆς ὑμνολογίας, καὶ τῆς ἄλλης δορυφορίας, ὑποδέχονται. καὶ διὰ μέσης τῆς πόλεως τὸ σῶμα κομίζοντες, εἰς τὴν ἐκκλησίαν τῆς ἁγίας Εἰρήνης (τῆς ἀρχαίας καλουμένης, ἣν Κωνστάντιος ὁ βασιλεὺς εἰς πλάτος καὶ μέγεθος ἐκ βραχυτέρας ἀνήγειρεν, ἧς καὶ προεδρεύσε πρὸς ὀλίγον) ἀπέθεντο. καὶ παννύχιον ὑμνῳδίαν τελεσάμενοι, ὄρθρου πάλιν ἡ πόλις πᾶσα μετὰ τῆς ἴσης καὶ ὁμοίας τιμῆς καὶ δόξης εἰς τὴν νῦν ἐπώνυμον αὐτοῦ ἐκκλησίαν, πάντων τε τῶν ἀρχιερέων, καὶ τοῦ κλήρου, καὶ αὐτοῦ συμπαρόντος τοῦ βασιλέως, τῷ ἁγιοδόχῳ τάφῳ κατατίθενται.

* al. ἐξζώ.

Valens.

Theodosius Imp.

* al. ἐκ σπανίας.

* τριακοντα.

* αὐτοῖς.

Nectarius.

[Oτι

[Ὅτι καὶ ἡ παροῦσα συγγραφή, ἐξ ἧς ἡ προκειμένη συνελέγη ἐκλογή, τῇ αὐτῆς ἐστι κατὰ τὴν φράσιν καὶ τέχνης καὶ δυνάμεως, βραχύ τι πρὸς τὸ ἄμεινον ἀναφέρουσα.]

ΕΚΛΟΓΑΙ ΕΚ ΤΟΥ ΒΙΟΥ τοῦ Ἀθανασίου.

Excerpta ex Athanasii vita.

ΑΝΕΓΝΩΣΘΗ ἐκ τοῦ λόγου, ὃς ἐπιγράφεται βίος, ἤτοι ἄθλησις τοῦ [ἐν ἁγίοις πατρὸς ἡμῶν ἐπισκόπου Ἀλεξανδρείας, τοῦ] μεγάλου Ἀθανασίου· τὸν ἴσον διαγεγραμμένος τρόπον.

Ὁ δὲ ἑορτῆς καιρὸς τοῦ ἀρχιερέως θεοῦ καὶ μάρτυρος ἐνειστήκει Πέτρου· καὶ ἡ Ἀλεξάνδρεια πᾶσα τὴν μνήμην ἐγέραιρε· καὶ ὁ τούτου διάδοχος ὁ ἱερὸς Ἀλέξανδρος, μετὰ τὰς θείας τελετάς, καὶ τραπέζῃ τοὺς ἐν τῷ κλήρῳ λογάδας ἐδεξιοῦτο. ὅτε ὧ δὴ ταῦτα ἐξενίζετο, ὁρᾷ τινος ἐξ ἀπόπτου περὶ τὰς ὄχθας τῆς θαλάττης παῖδας ἀπλάστῳ γνώμῃ παίζοντας· καὶ τὸ παίγνιον, μίμησις ἦν ἱερατικῶν καὶ φρικτῶν μυστηρίων, οὐκ εἰς ὕβριν αὐτὰ παρεξάγουσα, τῷ πόθῳ δὲ τοῦ θεάματος τολμῶσα καὶ τὰ ἀτόλμητα. ἀλλὰ γὰρ τὸν μὲν Ἀθανάσιον, ἐπίσκοπον ἐποίει ἡ μίμησις· τὸ δὲ λοιπὸν [πλῆθος] εἴς τε κατηχουμένους καὶ βαπτιζομένους, καὶ δὴ καὶ εἰς πρεσβυτέρους καὶ διακόνους ἐσχημάτιζεν. ἐκπλαγεὶς οὖν τοῖς τελουμένοις ὁ Ἀλέξανδρος, ἄγει πρὸς ἑαυτὸν τοὺς παῖδας. καὶ γνούς, οὐ χλεύῃ ταῦτα γενόμενα, ἀλλ' ὡς ἄν τις ἐκ τῶν ἐκβεβηκότων φαίη, ἐπιπνοίᾳ τινὶ καὶ ψυχῆς ἁπλότητι εἰς ἱερὰ προδιανισταμένης τοῦ κρείττονος. ὅσοι μὲν αὐτῶν ἐβαπτίσαντο, τούτους ἐπιχρίσας, διὰ τῆς ἐν Χριστῷ σφραγῖδος, ἐτελείωσεν· Ἀθανάσιον δὲ ἐκείνου παρατίθησιν ἐντολὰς δεδωκώς, παιδεύειν μὲν τοῖς μαθήμασιν, ἡβῶντα δὲ ἀποδοῦναι αὐτῷ, μᾶλλον δὲ τῇ ἐκκλησίᾳ, ὡς ἄλλον τινὰ Σαμουὴλ παρ' αὐτῶν θεῷ προσαγόμενον. πράττουσιν οὖν οἱ γονεῖς, ὡς αὐτοῖς τὸ ἀρχιερατικὸν ἐκέλευε πρόσταγμα· καὶ τοῦ καιροῦ καλοῦντος, τὸν παῖδα προσφέρουσιν. ὁ δὲ δέχεται, καὶ ὁμωρόφιον εἶχε, καὶ κοινωνὸν βουλῆς, καὶ τῆς εὐσεβείας συλλήπτορα. τῆς δὲ Ἀρείου λύσσης μικροῦ τὴν οἰκουμένην λυμαινομένης· πολλοὺς ἀγῶνας, ἀρχομένης μὲν, σὺν Ἀλεξάνδρῳ τῷ θεσπεσίῳ. ὕστερον δὲ καὶ καθ' ἑαυτὸν ὑπὲρ τῆς εὐσεβείας διήθλησεν. καὶ γὰρ Ἄρειον μετὰ τὴν καθαίρεσιν, καὶ τὸ ἀνάθεμα, * ὑποκρινόμενον μὲν τὰ τῆς εὐσεβείας, κρατύνειν δὲ τῇ πρὸς ὀλίγον ὑποκρίσει μηχανώμενον τὰ τῆς ἀσεβείας, ἐφώρασέ τε ὁ σοφὸς Ἀθανάσιος, καὶ ἀποσταλέντα * τὸν Ἀλέξανδρον τὸν Ἀλεξανδρείας παρὰ τοῦ εὐσεβοῦς βασιλέως Κωνσταντίνου (οἶδε γὰρ πολλάκις μεμηχανημένος δόλος καὶ τοὺς συνετοὺς ἐκκλέπτειν) μὴ παραδέξασθαι συνηγωνίσατο. εἶτα [δὲ] τοῦ ἐν ἁγίοις τελευτήσαντος Ἀλεξάνδρου, αὐτὸς καταστὰς διάδοχος, πρὸς πολλῷ μείζους ἀγῶνας * ἐναπεδύετο· διὸ καὶ ἅπαν τὸ αἱρετικὸν σύνταγμα, σκοπὸν αὐτὸν τῆς οἰκείας προὐτίθεσαν γλωσσαλγίας τε καὶ συκοφαντίας. συμφράττονται δὴ μάλιστα κατ' αὐτοῦ οἱ περὶ Εὐσέβιον τὸν Νικομηδείας, καὶ μισθοῦνταί τινας τῆς Μελετίου αἱρέσεως, καὶ δι' αὐτῶν κατηγορίας συρράπτουσιν. ὧν ἡ μὲν προτέρα, λινῆν ἐσθῆτα τοὺς Αἰγυπτίους τελεῖν τῇ Ἀλεξανδρέων ἐκ τῆς Ἀθανασίου πλεονεξίας, συνέπλαττεν· ἡ δευτέρα δέ, ὡς τοῖς βασιλέως ἐνεδρεύει πράγμασι. Φιλουμένῳ γάρ τινι, ἐπιθέσθαι τυραννίδι ῥώμην λαβόντι, χρυσίου πλῆρες ἐξαποστεῖλαι γλωσσόκομον, ὑποτίθεται.

* al. ὑποκρινόμενον.

* al. περὶ Ἀλέξανδρον.

* al. ἀπεδύετο.

Vita, vnde hæc excerpsimus, eiusdem est in elocutione artificij, & in mouendo facultatis, paulò tamen est melior.

PAVLVS Confessor.

EXCERPTA

CCLVIII.

Ex Athanasij vita.

LEGI librum, qui inscribitur: Vita & certamen [sancti Patris nostri Episcopi Alexandriæ] Magni Athanasij, eodem modo conscriptum.

Aderat tempus festi sancti Petri Episcopi & Martyris, totaque Alexandria memoriam colebat, huiusque successor Alexander, post sancta sacrificia, mensâ primores Cleri susceperat. Quo tempore vidit ex edito loco in littore pueros syncero animo ludentes, lusuque puerili sacra & veneranda mysteria imitantes, non illa irridentes, sed spectandi gratia, ausi sunt quæ audere eos non oportuit. Hoc in lusu creatur Athanasius à pueris Episcopus: reliqui partim catechumenorum, & baptizandorum, partim sacerdotum & Diaconorum speciem repræsentabant. His finitis perculsus Alexander, pueros ad se vocat, auditque non illos sacra irrisisse, sed vt ex euentu colligas, fecisse diuino quodam instinctu, animiq; simplicitate ad bonum illos iam tum erigente. Qui enim baptizati fuerant, Alexander iunctus Christi signaculo confirmauit. Athanasium autem parentibus tradit, mandans illis, vt disciplinis eum imbuerent, & iam adultum sibi traderent, vel potius Ecclesiæ, tanquam alterum Samuelem ab illis Deo oblatum. Faciunt itaque parentes, vt Archiepiscopus illis mandauerat, & tempore iam euoluto, puerum illi tradunt. Ille recipit, & contubernalem illum habuit, participem consilij, & pietatis adiutorem. Ariana autem rabies cum orbem inuaderet, multa certamina initio vnà cum diuino Alexandro; postea verò & in se pietatis causa suscepit contentiones. Etenim Arium, post damnationem & excommunicationem fictè quidem Catholicum se mentientem, & hac larua suam hæresim confirmantem, comperit sapiens ille Athanasius, & ad Alexandrum Alexandriæ Episcopum à Constantino Imperatore pio missum (nouit enim ficta fraus etiam prudentes sæpe decipere) recipere noluit. Deinde mortuo sancto Alexandro, ipse successor ordinatus, paulò post multa certamina subiit. Quare hæretici in illum solùm linguas vibrabant, & eum calumniabantur. Moliuntur & struunt insidias in illum maximè Episcopus Nicomediæ Eusebius, & asseclæ, & conducunt quosdam Meletij, & per illos accusationes multas consuunt. Primò, lineam vestem Ægyptios suppeditare Alexandrinæ Ecclesiæ ex auaritia Athanasij confinxerunt. Secundò Imperatori insidias moliri. Philumeno enim cuidam imperium affectanti collectam pecuniam suppeditasse dicunt.

Hæc Metaphrastes expressit.

ATHANASII VITA.

Tertio Ischyram, & euersam mensam, & poculum mysticum confractum, & Mareotem, & Macarium presbyterum, & instar latronum ingressum, & quod toto orbe fabulam notoriam concitasset, obiiciunt. Hæc & similia Imperatorem edocent asseclæ Eusebij, quibus ad iram contra Athanasium concitant, accusantes, quod virum Imperatoris mandatis parentem, rectaque sentientem non admisisset. Eodem tempore ad Encænia Hierosolymorum omnes ferè Episcopi conuenerant; & Constantinus pius Imperator scripsit Synodum rursus congregandam ad ea discutienda, quæ de sancto Athanasio dicebantur, & ad Arium in fide stabiliendum. Quod si inuidia Arium ab Ecclesia disiunxerat, vt studerent vtrosque conciliare: si verò visus esset ficta quadam fraude Arius, Alexandriam veniret, & ibi iudicium de eo, & examen accuratum fieret. Diuertentes igitur à via, prius Tyri congregatos Episcopos ea quæ contra Athanasium erant, obiter disputare, & quæ contra Arium, iussit. Tricesimus autem hic erat annus regni Constantini. Aderant verò Tyri ex diuersis ciuitatibus Episcopi sexaginta, Dionysio consulari conuocante illos, cum quo & Præfectus oræ illius, & quidam magistratus ad Synodum conuenerunt. Adsuit & Athanasius, quin & Macarius presbyter Alexandria ferreis catenis vinctus copiis militum adducebatur. Primum itaq; accusatores de veste linea calumniati sunt, sed illam calumniam non solùm Tyri motam, sed & prius Nicomediæ ab Imperatore intellectam, Apis & Macarius presbyter ciuitatis Alexandriæ, qui tum illuc casu aduenerant, facile refutarunt. Hinc quidem accusatores Imperator per litteras perstrinxit: Athanasium verò ad se venire iussit. Litteræ ad Synodum Tyri congregatam venerunt: quibus lectis Eusebiani eum dolorem contraxerunt, quem Athanasio antea intulerant. Quod Imperator illos grauiter accusasset, deinde quod calumnia de linea veste, Imperatoris aures antea occupasset. Hæc calumnia cùm minus procederet, Ischyram, & Macarium producunt. Magnus verò Athanasius asseclas Eusebij, vt hostes, legitima exceptione reiecit. In primis autem demonstrari volebat, an Ischyras verè esset sacerdos, in quem sacris operantem irruisse fingunt Macarium, vimque intulisse missum ab Athanasio, sacram mensam euertisse, calicem fregisse, & sacra Biblia combussisse. Sed hic illa duo communi legi opponit. Iudices autem iudicare detrectarunt, & calumniis confirmandis tépus traxerunt. Quamobrem eorum quæ iustè dicta erant, rationem nullam habuerunt. Accedunt ad accusationem Macarij & Ischyræ, & promptitudo calumniantium erat intolerabilis: inopia verò in demonstrando ac probando, alacritatem illorum fraudem esse, ac maleficium impietatis atque inuidiæ ostendebat. Mora autem ac dolo, repulsæ dedecus tegentes, mittunt in Mareotem factionis eiusdem homines,

Synodus Tyri.

καὶ ἡ τρίτη * Ἰσχύραν, καὶ τὴν ἀναστραφεῖσαν τράπεζαν, καὶ τὸ καταγὲν μυστικὸν ποτήριον, καὶ τὸν Μαρεώτην, καὶ Μακάριον τὸν πρεσβύτερον, καὶ τὴν λῃστρικὴν αὐτοῦ ἔφοδον, καὶ τὸ ἀνὰ πᾶσαν τὴν οἰκουμένην θεατριζόμενον δρᾶμα σκηνοποιεῖ. Ταῦτα καὶ τοιαῦθ᾽ ἕτερα οἱ περὶ Εὐσέβιον δραματουργήσαντες, εἰς ἀκοὰς ἐνηχοῦσι τὰς βασιλικάς· καὶ κινοῦσιν εἰς ὀργήν, αἰτιώμενοι, ὅτι καὶ προστάγμασι πειθόμενον, καί τοι τὰ ὀρθὰ φρονοῦντα, οὐκ ἠνέσχετο δέξασθαι. κατ᾽ ἐκεῖνο δὲ καιροῦ καὶ ἐπὶ τὰ τῶν ἱεροσολύμων ἐγκαίνια σχεδὸν πάντες συνήεσαν οἱ ἐπίσκοποι· καὶ γράφει Κωνσταντῖνος, ὁ εὐσεβὴς βασιλεύς, πάλιν συλλεγῆναι σύνοδον, ἐπιψηφιουμένην ἃ διέβαλλέ τε Ἀθανάσιον, καὶ ἃ συνίστη τὸν Ἄρειον. καὶ εἰ μὲν φθόνος ὀρθοδοξοῦντα τὸν Ἄρειον τῆς ἐκκλησίας διίστησιν, εἰς εἰρήνην συμβιβάσαι τὴν διάστασιν: εἰ δ᾽ αὐτὸς ἀπάτῃ κέχρηται, εἰς Ἀλεξάνδρειάν τε διαπεμφθῆναι, κἀκεῖ δι᾽ ἀκριβείας ὑπ᾽ ἐξέτασιν * ἄγεσθαι. τὴν δὲ διάσκεψιν τὴν περὶ Ἀθανάσιον καὶ Ἄρειον προϊομένους ἐπὶ τὰ ἱεροσόλυμα, ὁδοῦ πάρεργον ἐν τύρῳ ποιήσασθαι. τριακοστὸν δὲ τότε ἠνύετο ἔτος τῆς Κωνσταντίνου βασιλείας· ἑξήκοντα δὲ ἐπίσκοποι τὴν ἐν τύρῳ σύνοδον ἐπλήρουν, Διονυσίου τοῦ ὑπατικοῦ συνάγοντος αὐτούς, μεθ᾽ οὗ καὶ ὁ τῆς ἐπαρχίας ἄρχων, καί τινες τῶν ἐν τέλει τῇ συνόδῳ συνήδρευον, παρῆν δὲ καὶ Ἀθανάσιος· ἀλλὰ καὶ Μακάριος ὁ πρεσβύτερος, στρατιωτικῆς χειρὸς ἀπὸ Ἀλεξανδρείας, σιδηροδέσμιον αὐτὸν * ἀγούσης. πρώτην οὖν κατηγορίαν οἱ συκοφάνται τὴν περὶ τῆς λινῆς ἐσθῆτος προβάλλονται· ἀλλὰ ταύτην τὴν διαβολήν, οὐκ ἐν τύρῳ μόνον κινηθεῖσαν, ἀλλὰ καὶ πρότερον ἐν νικομηδείᾳ ταῖς τοῦ βασιλέως ἐνηχηθεῖσαν ἀκοαῖς, Ἄπις τε καὶ Μακάριος οἱ τῆς Ἀλεξανδρείας πρεσβύτεροι, ἐκεῖσε παρατυχόντες, ῥᾳδίως διήλεγξαν. διὸ τῶν μὲν συκοφαντῶν ὁ βασιλεὺς καθήψατο γράμμασιν· Ἀθανάσιον δὲ πρὸς ἑαυτὸν ἐλθεῖν προσέταξε. καὶ τὰ γράμματα ἧκε πρὸς τὴν ἐν τύρῳ σύνοδον, καὶ εἰς κατήφειαν τὴν περὶ τὸν Εὐσέβιον φατρίαν συνέστελλεν, ἰδεῖν πολλὴν ῥέουσαν κατὰ Ἀθανασίου· ὅτι τε αὐτοὺς ὁ βασιλεὺς ᾐτιάσατο, καὶ ὅτι ἡ κατὰ τὴν λινῆν ἐσθῆτα συκοφαντία προέφθασε δοῦναι τὸν ἔλεγχον. τῆς δὲ διαβολῆς ταύτης ἐκπεσόντες· τὰ περὶ Ἰσχύραν καὶ Μακάριον τὸν πρεσβύτερον προτείνουσιν. ὁ δὲ σοφὸς Ἀθανάσιος * παρεγράφετο μὲν κατὰ νόμους πρῶτον τοὺς προφανεῖς ἐχθρούς, Εὐσέβιον, φημί, καὶ τοὺς ὁμόφρονας· ἠξίου δὲ πρὸ πάντων Ἰσχύραν * ἀποδειχθῆναι πρεσβύτερον. οὗ λειτουργοῦντος, ἐπεισπεσεῖν ἔπλαττεν ἡ κατηγορία τὸν Μακάριον, κατὰ λῃστρικὴν ἔφοδον, ἐξ ἀποστολῆς Ἀθανασίου· καὶ ἀνατρέψαι τὴν ἱερὰν τράπεζαν, καὶ τὸ μυστικὸν κατεάξαι ποτήριον, καὶ τὰ τῆς θείας γραφῆς ἡμῶν βιβλία πυρὶ παραδοῦναι. ἀλλ᾽ ὁ μὲν τὰ δύο ταῦτα νόμῳ κοινῷ ἀντιπαρετίθει καὶ * ἀντιπροὐβάλλετο· οἱ δὲ κριταὶ οὐχὶ κρίνειν, εἰς δὲ τὸ κρατύνειν τὴν συκοφαντίαν, ὅλον ἔτεινον τὸν λογισμόν. διὸ λόγον μὲν τῶν δικαίως λεγομένων οὐδένα εἶχον. εἰσάγεται δὲ ἡ περὶ τὸν Μακάριον καὶ Ἰσχύραν κατηγορία· καὶ τὸ μὲν πρόθυμον ἦν τῶν συκοφαντῶν ἀφόρητον, τὸ δὲ τῆς ἀποδείξεως ἄπορον, τὴν προθυμίαν ἐδείκνυ δυσσεβείας καὶ φθόνου κακούργημα. ὑπερθέσει δὲ καὶ τέχνῃ τὴν τῆς ἀποτυχίας αἰσχύνην * σκιάζοντες, πρὸς τὸν Μαρεώτην τῆς αὐτῶν συμμορίας ἀποστέλλουσιν ἐκεῖσε

* Ἰσχ ... κ ... ὁ ... μαγ... ...

* al. ἄγεσθαι.

* ἀγούσης.

* παρεγράφετο H. St.

* ἐπιδειχθῆναι H. St.

* al. ἀντιπροβάλλετο.

* al. συνιστάντι.

ἐκεῖσε

ἐκεῖσε τὴν ἐξέτασιν, ἐν ᾧ ἡ πρᾶξις προῆλθε, δεῖν γενέσθαι προφασισάμενοι. ὡς δ' εἶδεν ὁ Ἀθανάσιος ὡς *παραγράψαντο κριτὰς στελλομένους (Θεογνίος γὰρ ἦν, καὶ Μάρις, καὶ Θεόδωρος, καὶ Μακεδόνιος, Οὐρσάκιος) διεμαρτύρατο πᾶσι τὸ περιφανέστατον τοῦ ἀδικήματος· καὶ ὅτι Μακάριος μὲν, ὁ πρῶτος τὴν *γραφὴν ὑποστάμενος, ἐν σιδήροις ἦν· Ἰσχύρας δὲ ὁ κατήγορος τοῖς ἐκθέσμοις κριταῖς συνετέτακτο. ὡς δ' οὐ προσεῖχεν ἡ σύνοδος, ἐς ἣ παῦτο καὶ διεμαρτύρατο· διαλαθὼν πρὸς βασιλέα, ἅτε δὴ καὶ μετακληθεὶς, ἀνεχώρησεν. οἱ δὲ τοῦ Μαρεώτου κριταὶ, ἐκ *μονομερείας, ὡς αὐτοῖς τὸ ψεῦδος καὶ ὁ φθόνος ἐπέταττεν, ὑπομνήματα συνταξάμενοι, πρὸς τὴν σύνοδον ἐπανήεσαν. αὕτη δὲ, πρὶν ἢ παραγενέσθαι τούτους, ἐρήμην Ἀθανασίου κατεδίκασε. παραγενομένων δὲ τήν τε καθαίρεσιν ἐπεκύρωσαν, καὶ λοιδορίαις ἐπηύξησαν. καὶ παραυτίκα πρὸς τὴν καθιέρωσιν τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας οἱ τὸ ἱερουργικὸν δι' ὧν ἔπραξαν ἀνοσιουργήσαντες, σπουδῇ παραγίνονται· καὶ τὸν Ἄρειον ἐπιστάντα, οἱ μὲν περὶ Εὐσέβιον ἀσμένως προσδέχονται, οἱ δὲ τῆς ὀρθῆς ἀπεστράφησαν πίστεως· ὁρίσαντες ἐν Ἀλεξανδρείᾳ τὸν λόγον ὑπέχειν ὧν ἐν αἰτίᾳ καθίσταται· ἐν ᾗ καὶ παραγενόμενος, ἑάλω. ἐν τούτοις δὲ τῶν πραττομένων κινουμένων, φθάνει γράμματα τοῦ βασιλέως· καὶ Ἀθανάσιον πρὸς αὐτὸν ἀπαγγέλλοντα ἥκειν, καὶ αὐτοὺς ἐπὶ τὴν βασιλίδα παραγενέσθαι· καὶ εἰς ἀγωνίαν ἐμβάλλει τὴν σύνοδον. διὸ οἱ πλείους μὲν αὐτῶν εἰς τὰ οἰκεῖα ἐπανῄεσαν· οἱ δὲ περὶ Εὐσέβιον καὶ Θεογνίον τέως αὐτόθι χρονίζειν ἔγνωσαν, τῇ παρολκῇ τοῦ καιροῦ τὴν ἀγωνίαν λύειν μηχανώμενοι. ἐν δὲ τῷ μεταξὺ καὶ τὸ *ἕτερον τῶν ἐγκλημάτων, ὃ τῷ Φιλουμένῳ χρυσίον ἔλεγον Ἀθανάσιον *διαπέμψαι, κατὰ πρόσωπον διαλύεται, τοῦ βασιλέως ἐν προαστείῳ τῆς Νικομηδείας *Ψαμαθίῳ καλουμένῳ διατρίβοντος. καὶ ἀποστέλλεται εἰς Ἀλεξάνδρειαν μετὰ τιμῆς Ἀθανάσιος, γραμμάτων βασιλικῶν τὴν ἀθῴωσιν αὐτοῦ πρὸς τοὺς ἐκεῖσε ἀνακηρυττόντων. παρῆν δὲ καὶ Ἄρειος, ἀποσταλεὶς (ὥς μοι προείρηται) ὑπὸ τῶν ἐν Ἱεροσολύμοις· καὶ ταραχὴν ἡ Αἴγυπτος δέχεται πάλιν· καὶ γράφει ταῦτα τῷ βασιλεῖ Ἀθανάσιος, καὶ μεταπέμπεται ὁ βασιλεὺς αὖθις τὸν Ἄρειον· ὁ δὲ τοῖς περὶ Εὐσέβιον κατὰ τὴν ὁδὸν ἐν Καισαρείᾳ συμβάλλει, καὶ ἄλλα πάλιν κατὰ Ἀθανασίου συκοφαντήματα ῥάπτεται. ὡς δ' ὀψὲ καὶ μόλις οἱ περὶ Εὐσέβιον τῇ βασιλίδι παρεγένοντο· τὰ μὲν ἄλλα τῶν ἐγκλημάτων ἔλεγον, ὑπ' ἐξέτασιν μὴ ἀγαγεῖν· τὰ δὲ περὶ Ἰσχύραν καὶ ἐξετάσαι, καὶ σαφῶς εἰδέναι ὑπ' Ἀθανασίου τετολμῆσθαι. αἰτιῶνται καὶ *ὡς τὴν σιτοπομπίαν, τὴν ἐξ ἔθους δι' Ἀλεξανδρείας τῇ Κωνσταντινουπόλει φερομένην, *κωλύσειεν· ἐν οἷς καὶ φωραθεὶς ἔνοχος Ἀθανάσιος, λαθραίως ἀναχωρήσας, τὴν δίκην ἔφυγε. συναρπαγεὶς οὖν τοῖς πλάσμασιν ὁ βασιλεὺς, εἰς τὰς *Γαλλίας οἰκεῖν ἐν Τριβερεῦσιν ὑπερόριον ἐκπέμπει τὸν πολύαθλον Ἀθανάσιον. θορύβου δὲ καὶ ζάλης τὴν Αἴγυπτον ἐκκυμαινόντων, καὶ λοιμοῦ δίκην τῆς αἱρέσεως τὰ τῶν ἐκκλησιῶν λυμαινομένης· ὁ βασιλεὺς Κωνσταντῖνος κατά τι προάστειον τῆς Νικομηδείας, ἓν καὶ τριακοστὸν ἐν τῇ βασιλείᾳ διανύσας ἔτος μάλιστα, τὸν ἐνταῦθα, ἄγων ἀπὸ γενέσεως πέμπτον καὶ ἑξηκοστόν.

* al. προετρέψατο
* συγγραφὴν M. M.
* al. μονομερείαι & μονομερῶς.
* ἕτερον M. M.
* al. διαπέμπεται.
* al. Ψαμαθίᾳ.
* al. ὡς τὴν.
* al. κωλῦσαι ὁ.
* al. Γαλλίων & Τρεβηρίᾳ.

simulantes eo in loco examen eorum, quæ ibi gesta essent, fieri oportere. Cùm autem Athanasius videret eos mitti, quos reiecerat iudices, Theogonium, Marin, Theodorum, Macedonium, Vrsacium, proclamauit, & contestatus est omnibus, maximè manifestam esse iniuriam: Macarium quoque presbyterum in vinculis haberi, qui prior accusationem instituisset, accusatorem verò Ischyram illegitimis adiungi iudicibus. Cùm videret nullam sui rationem à Patribus in Synodo haberi, clam ipsis decessit, & ad Imperatorem quasi accersitus accessit. Qui verò missi erant in Mareotem ex vna solùm parte (quemadmodum illis mendacium, atque inuidia imperabat) facto accusationis libello, ad Synodum reuersi sunt, quæ Synodus antea iam absentiæ caussa S. Athanasium condemnarat. Cùm autem rediissent, condemnationem confirmarunt multis calumniis additis, & festinantes Tyro Hierosolymam ad festum consecrationis Ecclesiæ, nefariis nimirum, ac pollutis manibus iuerunt, qui statim eo venerunt, & Eusebiani Arium Præfecti loco recipiunt. Fideles autem auersati sunt deficientes, vt Alexandriæ Arius eorum, de quibus accusaretur, rationem redderet, quam vbi accessit, captus est. Dum hæc ita geruntur, redditæ sunt Imperatoris litteræ, vt Athanasius ad ipsum veniret; iubentes, & Ariani quoque quamprimum Constantinopolim venirent. Hæ litteræ mœstitiam Synodo pepererunt. Quamobrem plurimi domum regressi sunt, Eusebius verò, & Theogonius interim ibi moram trahere decreuerunt, temporis mora soluere mœrorem cogitantes. Interea temporis alterum crimen, de auro ad Philomenum misso, S. Athanasius diluit coram Imperatore, in Psamathia in suburbio Nicomediæ agente, & cum honore mittitur Alexandriam, cum Imperatoris litteris, innocentiam eius populo declarantibus. Aderat etiam Darius missus, vt diximus, ab Hierosolymitanis, & iterum turbatur Ægyptus, quod Athanasius Imperatori significauit, qui Arium mox euocandum curat. Eusebius & Arius in via Cæsareæ conueniunt, & alias rursum in sanctum virum calumnias confingunt. Vt autem serò tandem, & ægrè Eusebiani Constantinopolim venerunt, cætera crimina dicebant in examen non venisse: de Ischyra verò examinasse, & apertè cognouisse quæcunque Athanasius ausus esset. Similiter quod rei frumentariæ procurationem inhibuisset, quæ de more Alexandria Constantinopolim importabatur, cuius furti Athanasius reus occultè fugisset. Itaque persuasus Cæsar, & ad iram commotus, exsilio multat Athanasium, in Galliam ad Treuiros abire iussum. Turbis igitur & seditione non vulgari orta in vniuersa Ægypto, & hæresi instar pestis omnes Ecclesias inficiente, Constantinus finem viuendi fecit in quodam suburbio Nicomediæ, triginta vno annis in regno consumptis, totum vitæ eius tempus sexaginta quinque annis completum.

ATHANASII VITA.

Athanasius apud Treuiros exsulat.

ATHANASII VITA.

Reliquit autem testamentum cuidam sacerdoti Ariano, præcipiens illud Constantino cognomini reddi. Hoc enim testamento paternum pro Occidente, Orientis imperium pro hæreditate obueniebat. Sed fraudulentus ille, multis interrogantibus, an Imperator testamentum fecisset, factum esse negauit, habens doli mali adiutores eunuchos. Paulò post venit ad eum Constantius, cui presbyter occultè patris testamentum exhibet, quam gratiam hanc postulans, vt cum Ario sentiret, Eusebiani per hunc presbyterum aditum ad Constantium adepti, Eusebiúmque Præpositum, & per illum reliquos eunuchos: quin & reginam ad Arianam hæresim conuertunt, & Arij res rursum confirmantur. Hac autem tempestate Maximus Ecclesiæ Hierosolymitanæ præerat, & Alexander Constantinopolitanæ: Athanasius verò exsulabat. Arius autem veniens Constantinopolim, Dei Ecclesiam corrumpere satagebat, sed dignum factis suis finem consecutus est. Precibus enim sancti Alexandri Episcopi Constantinopolitani, in secessu regiæ vrbis viscera sua deiecta confestim emittit. Statim igitur Ariani paulò antea quieti, post omnia conturbant, opportunam se nactos occasionem rati tempore exsilij Athanasij. Sed Dei prouidentia præuertit eos, Athanasium ab exsilio reuocans regiis litteris: quibus illum Constans Occidentis Imperator Alexandriæ, commeatu dato, restituit, & quotquot Orthodoxi erant libenter pastorem susceperunt. Hæretici contra seditiones mouent, quæ caussam exhibuerunt Eusebij asseclis, calumniandi eum apud Imperatorem Constantium, & calumniis adeò Imperatorem ad iram prouocarunt, vt eum iterum exsilio damnaret. Hi mortui cuiusdam manu resecta ad calumniam sancto viro faciendam abusi sunt. Arsenio enim cuidam dicebant ab Athanasio amputatam esse, qua ad veneficium vteretur. Atqui exsilij decretum nondum fertur, sed concilium Tyri, mandante Constantio, agitur. Igitur Archelaum Domesticum, eadémque sentientem mittit Tyrum cum Præside * Phœniciæ, vt concilio cum Eusebianis intersint, & quæ aduersus Athanasium dicerentur, expendant. Tempus itaque Tyri extraxerunt, moræ colorem impij prætexentes, quasi Alexandria accusatores exspectarent, quorum in conspectu crimen commissum esset, & Arsenium probè nossent. Sic autem dispensante diuina prouidentia res gesta est. Erat enim Arsenius ille lector Alexandrinæ Ecclesiæ, qui cùm ob flagitium aliquod pœnas dare deberet, à beato Athanasio liberatus, fuga salutem sibi quæsierat. Cúmque exsul non appareret, hinc calumniandi audaciam impij rapiunt. Sed commiseratione ductus Arsenius, quod qui se liberarat, pateretur (accusationis fama vbique vagante, dum cunctatur Synodus) Tyrum aduolauit,

Arij vindicta. Sancti Alexander Episc. Constant.

** Nuntius est Metaphrastæ.*

καταλείπει δὲ τὴν διαθήκην πρεσβυτέρῳ τινὶ, τὴν Ἀρείου λύσσαν νοσοῦντι, προστάξας τῷ ὁμωνύμῳ ταύτην ἐγχειρίσαι Κωνσταντίνῳ. * δι' αὐτῆς γὰρ αὐτῷ καὶ ἡ τοῦ πατρὸς βασιλεία ἀρχὴ εἰς κλῆρον ἀντὶ τῆς * ἑσπερίας ἀφωρίζετο. ἀλλ' ὁ δείλαιος, πολλῶν πυνθανομένων, εἰ βασιλέως διαθήκη προσελήλυθε; μὴ γενέσθαι διετείνετο, συνεργοὺς ἔχων τοῦ ψεύδους τοὺς ἀνδρογύνους εὐνούχους. μετ' ὀλίγον δὲ, πρὸ τῶν ἄλλων παραγεγονότι Κωνσταντίῳ τὴν τοῦ βασιλέως ἐγχειρίζει διαθήκην λάθρα· καὶ χάριν ἀντὶ τῆς προδοσίας αἰτεῖ τῆς πατρικῆς αὐτοῦ καὶ ὀρθῆς πίστεως τὴν προδοσίαν. οἱ δὲ περὶ Εὐσέβιον παρείσδυσιν διὰ τοῦ πρεσβυτέρου πρὸς Κωνστάντιον λαβόντες, Εὐσέβιόν τε τὸν πραιπόσιτον, καὶ δι' αὐτοῦ τοὺς ἄλλους εὐνούχους, καὶ δὴ καὶ τὴν βασιλίδα τῆς αἱρέσεως παρασκευάζουσιν ἐραστάς· καὶ τὰ Ἀρείου πάλιν ἐκρατύνετο. τῶν δὲ ἀρχιερατικῶν θρόνων κατ' ἐκεῖνο καιροῦ Μάξιμος μὲν τῶν Ἱεροσολύμων εἶχε τὴν ἐφορείαν, Ἀλέξανδρος δὲ τῆς βασιλίδος, Ἀθανάσιος δὲ ἦν ὑπερόριος. Ἄρειος δὲ παραγεγονὼς ἐν Κωνσταντινουπόλει, τὴν τοῦ Θεοῦ διαφθείρειν ἐφρυάττετο ἐκκλησίαν. ἀλλ' ἡ φιλάνθρωπος οὐκ ἐμακροθύμησε δίκη· ταῖς δὲ τοῦ ἱεροῦ Ἀλεξάνδρου παροξυνθεῖσα προσευχαῖς, αὐτῇ ἀφέδρῳ ἐκκόπτει τὸν Ἄρειον, καὶ, τῶν σπλάγχνων αὐτοῦ ἀθρόον διαπεσόντων κάτωθεν, τῆς ζωῆς ἀπελαύνεται. μικρὸν δὲ τῶν ἐξ Ἀρείου ἐφησυχασάντων, αὖθις ἅπαντα κινοῦσι. τὸ ὑπερόριον Ἀθανασίου μέγα ὅπλον αὐτοῖς, εἰς τὸ καταπράξασθαι ἃ διενοοῦντο, νομίζοντες. ἀλλ' ἡ θεία πρόνοια τὴν αὐτῶν σπουδὴν προφθάνουσα, Ἀθανάσιον ἐπανάγει τῆς ὑπερορίας, γράμμασιν ὠχυρωμένον βασιλικοῖς. οἷς αὐτὸν ὁ τῆς δύσεως ἔχων τὸ σκῆπτρον Κώνστας ἐφοδιάζων, εἰς Ἀλεξάνδρειαν ἐξαπέστειλε. καὶ ἥδιστα μὲν τὸν ποιμένα, ὅσοι τῆς ὀρθοδοξίας ἦσαν, ἐδέχοντο· τὸ δὲ αἱρετίζον στάσεις ἀνεκίνει, καὶ * τοῖς περὶ Εὐσέβιον ἀφορμὰς παρεῖχον ἐνδιαβάλλειν πάλιν τὸν Ἀθανάσιον πρὸς Κωνστάντιον. καὶ τοσοῦτον ταῖς διαβολαῖς εἰς ὀργὴν τὸν εὐρίπιστον ἀνερρίπισαν, ὡς αὐτίκα πάλιν ὑπερορίαν κατὰ τοῦ ἁγίου ψηφίσασθαι. οὗτοι καὶ νεκροῦ τινος χεῖρα εἰς ὅπλον συκοφαντίας κατὰ τοῦ ὁσίου ἐκκόψαντες, καθωπλίσαντο. Ἀρσενίου δὲ ταύτην ἐφήμιζον καὶ ὑπὸ Ἀθανασίου μὲν ἐκκεκόφθαι, εἶναι δὲ αὐτῷ ταύτην μαγικῆς τέχνης ὄργανον. καὶ ἡ μὲν τῆς ὑπερορίας ψῆφος οὐ λύεται. συνέδριον δὲ ἐν Τύρῳ, βασιλέως προστάττοντος, συναθροίζεται καὶ προχειρίζεται τὸ βασιλικὸν βούλημα ἄνδρα συνίστορα καὶ ὁμόφρονα, Ἀρχέλαον ὄνομα, καὶ σὺν αὐτῷ τὸν Φοινίκης ἄρχοντα· συνεδρεῦσαί τε τοῖς περὶ Εὐσέβιον, καὶ συνδιασκέψασθαι, ἃ κατὰ τοῦ Ἀθανασίου συνεσκευάζοντο.

** διὰ ταύτης* — ** al. ἑσπέρας.* — ** al. τοῦ.*

ἐχρόνιζον οὖν οἱ ἐν Τύρῳ, ὡς μὲν οἱ δυσσεβεῖς ἐπλάττοντο, τοὺς ἀπὸ Ἀλεξανδρείας κατηγόρους ἀναμένοντες· οὓς καὶ τοῦ μύσους αὐτόπτας, καὶ τὸν Ἀρσένιον καλῶς ἐπιγινώσκειν, διέβαλλον. ὡς δὲ τὸ ἐκβεβηκὸς ἔδειξε κατὰ θείαν πρόνοιαν. ἦν μὲν γὰρ ὁ Ἀρσένιος τῆς ἐν Ἀλεξανδρείᾳ ἐκκλησίας ἀναγνώστης, καί ποτε δίκην αἰσχρᾶς αἰτίας μέλλων ὑπέχειν, ἐξαρπάζεται μὲν ὑπὸ Ἀθανασίου, δρασμῷ δὲ τὴν σωτηρίαν καρποῦται, καὶ τὸ ἀφανὲς τοῦ φυγάδος θαρρεῖν τῷ πλάσματι * τοὺς δυσσεβεῖς ὑπετίθετο. ἀλλ' οἶκτον λαβὼν τοῦ σωτῆρος ὁ Ἀρσένιος· ἐν γὰρ τῷ βραδύνειν τὸ συνέδριον, ἡ τῆς συκοφαντίας φήμη πανταχοῦ διέδραμε· πρὸς τὴν * Τύρον παραγίνεται,

** τῆς δυσσεβείας.* — ** al. Τύρῳ.*

κρεῖσσον

κρεῖσσον λογιζόμενος, εἰ δέοι, αὐτὸς καὶ τεθνάναι, ἢ δι' αὐτοῦ τὴν οἰκουμένην περὶ τηλικούτου ἀνδρὸς σκανδαλίζεσθαι. ἐμφανίζεται δὴ κατὰ μυστικὴν ὁμιλίαν τῷ σεβασμίῳ Ἀθανασίῳ, καὶ δέχεται βουλὴν λανθάνειν πάντας πρὸ τῆς δίκης· ἵνα μή τι κακὸν αὐτὸς παρὰ τῶν συκοφαντῶν πάθοι, ἢ τὸν ἔλεγχον ἄφυκτον τοῦ * δράματος συνιδόντες, εἰς ὑπέρθεσιν τὸ ἔγκλημα διαλύσωσιν· ἀθροίζεται οὖν τὸ συνέδριον· καὶ πρώτη συκοφαντία, γύναιον αὐτοῦ ἐπαφιᾶσι μοιχείαν ἀνακαλούμενον. ἐβόα δὲ τὸ ἀναιδὲς ἐκεῖνο καὶ μεμισθωμένον γύναιον, νύκτωρ ἄκουσα φθορὰν ὑποστῆναι ἐπιπεσόντος αὐτῇ Ἀθανασίου. συνῆν δὲ τῆς παρθενίας ἐραστῇ καὶ Τιμόθεος, ὁ αὐτοῦ πρεσβύτερος, καὶ βουλὴν σοφίας, μᾶλλον δὲ θείας ἐπινοίας βουλεύονται· δι' ἧς τὸ κακομήχανον τῶν δυσσεβῶν ῥᾳδίως ἔμελλεν ἀπαιτεῖσθαι τὸν ἔλεγχον· ἐπεὶ γὰρ εἰς πρόσωπον ἤχθησαν τοῦ γυναίου· ὁ μὲν κατηγορούμενος, ἡσυχῇ θεὸν ἐδυσώπει· Τιμόθεος δὲ ἀναιδευομένης τῆς μαινάδος, καὶ τὸν Ἀθανάσιον (ὡς ἐδιδάχθη) φθορέα καλούσης· ὁ πρεσβύτερος, ὡς δῆθεν Ἀθανάσιος, εἰπέ μοι, ὦ γύναι, φησίν, ἐγὼ παρὰ σοὶ ἔμεινα; ἢ σύ με ἐν οἴκῳ τῷ σῷ ὑπεδέξω; ἢ νύκτωρ σε ἐβιασάμην; ἡ δὲ οἷα γύναιον ἐκ δημοσίου τέγους, ἀναιδεῖ προσώπῳ καὶ ἀτενέσιν ὀφθαλμοῖς πρὸς τὸν Τιμόθεον ἀποβλέψασα, σὺ εἶ ὁ τὴν βίαν μοι ἐπενεγκὼν καὶ τὴν φθορὰν νύκτωρ, ἀνεβόα· καὶ πρὸς τοὺς κριτὰς ἐπιστραφεῖσα, τοὺς φρικτοτάτους ὅρκους ταῖς διαβολαῖς συνῆπτεν· ὡς οὗτος, τὸν Τιμόθεον πάλιν δακτυλοδεικτοῦσα καὶ ἕλκουσα, οὗτός ἐστιν, καὶ οὐκ ἄλλος ὁ ἐμὸς φθορεύς. οἱ δὲ κριταὶ σὺν τοῖς δορυφόροις, τῆς μαχλάδος μὲν κατεγέλων· Ἀθανάσιον δέ, τῆς συνέσεως ἐθαύμαζον, ὅπως σιγῶν τὸ κατ' αὐτοῦ ἔγκλημα εἰς τοὺς κατηγόρους ἐπιστρέψας, ἀναιδεστάτους συκοφάντας ἀπέδειξεν. αὐτοὶ δὲ ἑαυτῶν οὐδὲν ἀμείνους εἰς τὸ φροντίσαι τοῦ δικαίου γεγόνασιν. οἱ δὲ κατήγοροι, δέον στένειν, καὶ χάριν εἰδέναι, εἴ τις αὐτοὺς μὴ ἀπαιτοίη τὴν τῆς συκοφαντίας δίκην· * οἱ δὲ καὶ πρὸς τὴν Ἀρσενίου δεξιὰν τὴν γλῶσσαν ὁπλίζουσι καὶ φόνον ἅμα καὶ γοητείαν τῷ τῆς εὐσεβείας ἀγωνιστῇ προσάπτουσιν· ἀλλ' ἐκεῖνος ἐν τῷ ἀταράχῳ καὶ τῆς φωνῆς καὶ τῆς γνώμης, καὶ τίς γάρ ἐστι φησὶν ἐξ ὑμῶν, ὁ γινώσκων τὸν Ἀρσένιον, ἢ τὴν αὐτοῦ δεξιάν; φαμένων δὲ οὐκ ὀλίγων, οὓς εἶχε τὸ συνέδριον σὺν τοῖς κατηγόροις, ὡς σαφῶς εἰδεῖεν τὸν Ἀρσένιον. καὶ ἐπεὶ βεβαίως καὶ ἀκριβῶς, ὁ Ἀθανάσιος ἔφησε, γινώσκειν οὗτοι συνωμολόγησαν τὸν Ἀρσένιον, ὅδε πάρεστιν· εἰσίτω. εἰσελθόντος δέ, πάλιν ἐπηρώτα, εἰ τὸν εἰσαχθέντα ἴσασιν, ὡς εἴη Ἀρσένιος; τῶν δὲ οὐκ ἐχόντων ἀρνήσασθαι, ἕλκει τε αὐτὸν μᾶλλον τοῦ βήματος ἐγγύτερον. καὶ * πρῶτον τὴν δεξιὰν ἀνατεῖναι κελεύσας χεῖρα, εἶτα καὶ τὴν ἀριστεράν, ἀνέκραγεν· ἰδοὺ Ἀρσένιος, ἄνδρες πολῖται· ἰδοὺ καὶ αἱ δύο τούτου χεῖρες, ὦ θαυμάσιοι δικασταί. εἰπάτωσαν οὖν οἱ κατήγοροι, τίνος ἐστὶν ἡ χείρ, καὶ πόθεν αὐτὴν ἐξέκοψαν; ἐφ' ᾧ γὰρ ταύτῃ ἐχρήσαντο, οὐκέτι λοιπὸν οὐδενὶ ἀμφισβήτησις· ἐχειροκόπησαν γὰρ ἄνθρωπον, ὡς ἂν ἡμᾶς θανατώσωσιν. ἀλλ' ὁ μὲν οὕτω τὰ τῶν ἀντιπάλων πάντα διέλυε μηχανήματα. οἱ δὲ κριταὶ τυφλοὶ καὶ κωφοὶ ἔκ τε τοῦ ζητεῖν ἀρέσκειν Κωνσταντίῳ γεγονότες, καὶ ἐξ ὧν ἀπέκλινον τοῖς αἱρετίζουσιν· ἀπέλιπόν τε τὸ βῆμα, καὶ σιγῇ διδόναι τὰ ἐληλεγμένα ἐπεχάζοντο. ὑποχωρησάντων δὲ τούτων

Marginalia: * πλέγματος τοῦ δραματουργ. — Timotheus presbyter Athanasij. — * al. εἶδε. — * al. πρόσω.

ATHANASII VITA.

ratus sibi potius moriendum esse, si necesse sit, quàm vt Athanasij causa Ecclesiam prodat. Itaque secreto se exhibet S. Athanasio, cui is consilium dedit, ne ante sententiam spectandũ se exhibeat, ne quid mali ab inimicis patiatur, aut solliciti cogitarent de dilatione, & soluerent hanc accusationem. Conuocato itaque concilio, primum accusationem illi de adulterio intenderunt, adducta muliere quadam impudica, quæ impudens, & mercede conducta, ingenti clamore iactaret, se noctu ab Athanasio per vim constupratam. Erat autem cum illo Timotheus presbyter, & cõsilium sapiens planè ac diuinum capiunt, quo statim accusatorum calumnia concidit. Cùm in conspectum mulieris venissent, Athanasius quidem tacitè DEVM precatur: Timotheus verò (impudente muliere Athanasium illum illum, vt edocta erat, corruptorem suum vocante) presbyter, quasi Athanasius esset: Dic mihi, inquit, mulier, egone apud te diuersatus sum, vel tu me domum tuam admisisti, vel noctu te violaui? Ipsa verò, vt meretrix vulgaris, impudenti vultu, & fixis oculis Timotheum aspiciens: Tu es, qui noctu me inuitam compressisti, & ad iudices irata vociferabatur, Timotheum digito ostendens, ac trahens: Hic est, non alius, qui me corrupit. Cognita insani scorti temulentia, Iudices cum satellitibus ridebant, & prudentiam sancti Athanasij mirabantur, quod tacendo accusationem in aduersarios retorquens impudentem esse calumniam demonstrasset. Ipsi verò seipsis meliores non sunt redditi, vt ius, & æquum seruarent. Accusatores verò, quos beneficij loco ducere oportebat, quod calumniæ pœnam effugerent, mox ad dextram Arsenij se conuertunt, & cædem simul & præstigias illi obiiciunt. Tum Athanasius interrita voce ac mente ad eos: Quis vestrum nouit Arsenium, aut hanc esse ipsius dextram scit? Respondentibus autem plurimis ex accusatoribus, se probè nosse Arsenium. Tum Athanasius: Quandoquidem, ait, constanter ac firmiter confessi sunt, se nosse Arsenium, adest ille, ingrediatur. Vt autem Arsenius aduenit, interrogat iterum, an adductum nossent? an esset Arsenius? Cum illi negare non possent, traxit illum propius in iudicium, & primum dexteram tendere iubens manum, deinde & sinistram, clamauit: Ecce Arsenius, ô ciues: ecce etiam manus hominis: ô mirandos iudices! Dicant igitur aduersarij, cuius sit illa manus, & vnde illam resecuerint? quo enim fine hac vsi sunt, nemini amplius dubium esse potest. Homini enim manum amputarunt, vt nos occiderent. Sic ille iterum dolos eorum euertit. Sed iudices cæci & muti, cùm quia Constantio placere studebant, tum quia hæreticis addicti erant, deserentes iudicium, confutatam calumniam tegere nitebantur. Decedentibus illis:

ATHANASII VITA.

calumniæ non amplius ab aduersariis intenduntur, sed impudenter cædem tertiùm iam victori intentant. Hi quidem verbis, illi verò manibus eum pulsabant: alij comminabantur ei mortem ab Imperatore illatum iri. Itaque Archelaus Athanasium, quem iam impij dilaceraturi erant, vix domo egressus (tametsi concilij respectum non haberet, naturali tamen quadam verecundia tenebatur,) satellitibus periculo eripit, occultámque fugam apparat, ac suadet. Rursus igitur aduersarij eius Concilium cogentes, nefanda, atque conficta crimina ei, vt capiatur, obiiciunt. Quæ mendacia diuersis libellis descripta Constantio mittunt, ac toto penè terrarum orbe spargunt. Itaque sancto Athanasio omnis locus perfugium præbuit, quia valde quærebatur, adeò vt scienti, & non indicanti Athanasium capitale foret: præmia verò proponerentur iis, qui aut viuum adducerent, aut caput afferrent. Qua re cognita, adamantinæ homo patientiæ in fouea aquam non habente, totos sex annos latens contriuit. Pridie verò eius diei qua prodendus erat ille locus, reuelatione quadam diuina in alium locum profugit, & in Occidentem venit, imperante ibi Constante, suo & fratris sui Constantini imperio. Etenim illum exercitus affectato imperio interfecerat. Tum Athanasius profectus Romam ad Iulium Pont. commemoratis ipsi omnibus, quæ ab Arianis passus esset, in conspectu Constantis Imperatoris, & Synodum Antiochiæ ad euersionem Orthodoxæ fidei coactam esse, & Georgium sibi successorem illos contra legem dedisse, & pro illo etiam Gregorium. Eusebius quidem iis peractis quæ volebat, legationem ad venerandum Iulium Pont. Rom. legauit, hoc agens, vt Athanasium vna damnaret. Iulius vero, acceptis ab Eusebio litteris, tantum abest vt damnandum, etiam absoluendum comperit, iniuria affectum litteris confirmatum Alexandriam mittit, & postliminio restituit, non parum reprehendens eos, qui iniustè eum loco deturbassent. Ariani Constantium magis magísque deprauantes, Gregorium, quem illi ordinauerant, Alexandriam armata vi deducendum curant (quibus præerat copiis Syrianus) quæ quinque millium erant. Igitur S. Athanasius exercitum fugit, & milites, qui in eius necem conspirarant: & iterum Romam se contulit. Gregorius autem impius Ecclesiam occupauit. Alexandrini id factum non ferentes, Ecclesiam S. Dionysij incenderunt. Igitur S. Paulus Constantinopoleos Episcopus vna cum Athanasio exsulans Romæ erat, & palmæ socius fuit. Constans autem scribit fratri Constantio, vrgente simul ipsum Iulio Pontif. vt proprios Episcopatus reciperent affecti iniuriâ. sed vt nihil effectum est, postulant igitur Athanasius, & Paulus, vt Oecumenica Synodo decernantur, quæ ad fidem Orthodoxam, & eos pertinerent: [quod iis violatis simul fides etiam casura esset.]

κίνησις οὐκέτι συκοφαντῶν, ἀλλ' ἀναιδῶς μιαιφονίας κατὰ τοῦ τρισαριστέως ἀναρρήγνυται. καὶ οἱ μὲν λόγοις· οἱ δὲ, καὶ χερσὶ τὸν νικητὴν περιϋπλάκιζον· οἱ δὲ καὶ τὸν ἐκ τοῦ βασιλέως ἐπίστον θάνατον. ὁ δὲ Ἀρχέλαος μέλλοντα διασπᾶσθαι τὸν ὅσιον ὑπὸ τῶν δυσσεβῶν, μόλις τῆς οἰκίας καταβαὶς (εἰ γὰρ καὶ πρὸς τὸ κρεῖσσον οὐχ ἑώρα, ἀλλ' οὖν εἶχέ τινα τῆς φύσεως αἰδῶ) μετὰ τῶν δορυφόρων ἐξαρπάζει, καὶ δρασμὸν κρύφιον αὐτῷ παρασκευάζει, καὶ ὑποτίθεται. τὸ δὲ δυσσεβὲς συνεδρεύσαντες αὖθις γράφουσί τε τὸν ἀναίτιον αἰτίαις ἀτόποις, ἃς αὐτοὶ συνέπλασαν ἁλῶναι· καὶ διαφόροις βιβλιδίοις ἐγκαταθέμενοι τὰ τοῦ ψεύδους, τῷ τε Κωνσταντίῳ καὶ πάσῃ διαπέμπονται τῇ οἰκουμένῃ· καὶ γίνεται τῷ πολυάθλῳ πᾶσα χώρα φυγὴ σφόδρα ζητουμένῳ. [καὶ] ἡ ζήτησις τοῖς μὲν συνειδόσι, καὶ μὴ καταμηνύουσι, ζωῆς ἀφαίρεσιν ἐπέβαλε τὴν ζημίαν· τοῖς δὲ κομίζουσιν ἢ ζῶντα, ἢ τὴν αὐτοῦ κεφαλὴν, δωρεαὶ προὐτείνοντο μεγάλαι· ἃ συνιδὼν ὁ τῆς ὑπομονῆς ἀδάμας, ἐν λάκκῳ ὕδωρ μὴ ἔχοντι ἐπὶ ἓξ ἔτεσι λαθὼν, ἐκαρτέρει. ὡς δὲ καὶ τὸ χωρίον ἐκεῖνο προδίδοσθαι ἔμελλε· θείας ὄψεως τὴν προδοσίαν τῷ θεράποντι πρὸ μιᾶς ἡμέρας μηνυσάσης: κἀκεῖθεν ἀποδιδράσκει, καὶ πρὸς τὴν δύσιν ἀπαίρει· τοῦ Κώνσταντος ἤδη τὴν ἀρχὴν ἔχοντος, οὐ τὴν ἑαυτοῦ μόνον, ἀλλὰ καὶ τὴν τοῦ ἀδελφοῦ Κωνσταντίνου. καὶ γὰρ αὐτὸν τὸ στρατιωτικὸν τυραννίδι ἐπιθέμενοι ἀνεῖλον. διδάσκει τοίνυν διὰ συνδρομῆς Ἰουλίου τοῦ Ῥώμης τὸν βασιλέα Κώνσταντα τὰς σκευωρίας, αἷς ὑπὸ τῶν ἀρειανῶν ὑπέστη· καὶ τὴν σύνοδον τὴν ἐν Ἀντιοχείᾳ ἐπὶ διαστροφῇ τῆς πίστεως συγκροτηθεῖσαν· καὶ ὡς Γεώργιον εἰς τὸν αὐτοῦ θρόνον ἐκθέσμως χειροτονήσαντες, ἐγκαθίδρυσαν· καὶ οὐκ ἐκεῖνον μόνον, ἀλλὰ καὶ πρὸ ἐκείνου Γρηγόριον. Εὐσέβιος μὲν τοι διαπραξάμενος ἃ ἐσπούδαζε, διαπρεσβεύεται πρὸς τὸν ὅσιον Ἰούλιον, κοινωνὸν λαβεῖν τῆς Ἀθανασίου καταχρίσεως μηχανώμενος. ὁ δὲ, ἐξ ὧν ἐκεῖνος ἔγραφεν, οὐ κατάκρισιν, ἀθώωσιν δὲ μᾶλλον Ἀθανασίου συνορῶν, γράμμασι τὸν ἠδικημένον ἐπιρρώσας, εἰς Ἀλεξάνδρειαν ἀποστέλλει· ἐν οἷς καὶ τοὺς αὐτὸν καθελόντας δικαία καὶ οὐ μικρὰ μέμψις μετήρχετο. ἀλλ' οἱ τῆς Ἀρείου λύσσης *ὑποφθείραντες ἐπὶ πλέον τὸν Κωνστάντιον, ὃν αὐτοὶ κεχειροτονήκασι Γρηγόριον ἐπὶ τὴν Ἀλεξάνδρειαν στρατιωτικῇ χειρὶ ἐκπεμφθῆναι κατεπράττον) (Συριανὸς ἦν στρατηγὸς τῆς τοιαύτης παρατάξεως) καὶ ὁ στρατὸς εἰς πέντε χιλιάδας ἀπηρτίζετο. διαφεύγει δ' οὖν ὁ σοφὸς Ἀθανάσιος τόν τε στρατηγὸν, καὶ τοὺς στρατιώτας, πνέοντας κατ' αὐτοῦ τὸν φόνον, καὶ τὸ δεύτερον ἐπὶ τὴν Ῥώμην ἀνατρέχει. ὁ δὲ δυσσεβὴς Γρηγόριος τῆς Ἀλεξανδρέων ἐκράτησε· καὶ ἡ πόλις τὸ συνενεχθὲν οὐκ ἐν τῷ ἀνεκτῷ θεμένη, τὴν καλουμένην Διονυσίου ἐκκλησίαν ἐνέπρησαν. συνῆσαν οὖν ἀλλήλοις φυγάδες ὄντες ὅ τε σεβάσμιος Ἀθανάσιος, καὶ Παῦλος, τοῖς ἴσοις ἀριστείοις κοσμούμενοι. γράφει δὲ Κώνστας τῷ ἀδελφῷ Κωνσταντίῳ, συμπαρορμῶντος αὐτὸν καὶ τοῦ ἀρχιερέως Ἰουλίου, ὥστε τὰς ἰδίας ἐπισκοπὰς ἀναλαβεῖν τοὺς ἠδικημένους. ὡς δ' οὐδὲν ἤνυεν· ἀξιοῦσιν αὐτὸν οἱ περὶ Ἀθανάσιον οἰκουμενικῇ συνόδῳ τὰ περὶ αὐτούς τε καὶ τῆς συνεπηρεαζομένης πίστεως ἐπικριθῆναι καὶ κη-

ὅτι ὁ ἅγιος Ἀθανάσιος ἔτεσιν ἓξ ἐν τῷ λάκκῳ.

* ἐπιφθείραντες, M. M.

καὶ κηρύσσεται) γνώμῃ τῶν δύο βασιλέων κατὰ σαρδικὴν οἰκουμενικὴ σύνοδος· ἑνδέκατον δ' ἦν ἔτος ἀπὸ τῆς τελευτῆς Κωνσταντίνου τοῦ πατρὸς τῶν βασιλέων. ἐκ μὲν δὴ τῆς ἑσπερίας, ὑπὲρ τοὺς τριακοσίους συνῆλθον ἐπίσκοποι· ἐκ δὲ τῆς ἀνατολῆς, ἓξ μόνοι καὶ ἑβδομήκοντα, ἐν οἷς καὶ ὁ τοῦ μαρεώτου Ἰσχύρας ἠριθμεῖτο ὡς ἐπίσκοπος. ὡς οὖν ἐν τῇ σαρδικῇ συνήεσαν ἅπαντες· οἱ τῆς ἀνατολῆς εἰς ὄψιν τῶν ἑσπερίων ἐλθεῖν ἀπηρίσκοντο, εἰ μὴ πρότερον τοὺς περὶ Ἀθανάσιον καὶ Παῦλον τοῦ συλλόγου ἀπελάσωσι. Πρωτογένης δὲ ὁ σαρδικῆς ἐπίσκοπος, καὶ Ὅσιος ὁ Κουδρούβης, καὶ οἱ λοιποὶ * ἑπόμενοι, οὐδ' εἰς ἀκοὴν τὴν ἔκθεσμον αὐτῶν ἀξίωσιν παρεδέξατο, ἄνδρας οὓς συνῆλθον κρῖναι, ἀκρίτως κατακρῖναι, καὶ ἀπελάσαι. ἐξ ὧν, οἱ μὲν τῆς ἀνατολῆς σχισθέντες τῶν ἐν σαρδικῇ, ἐν τῇ Φιλίππου πόλει συναθροίζονται· καὶ τὸ ὁμοούσιον οὐκέτι γνώμῃ ὑφάλῳ, ἀλλ' ἐμφανεστάτῃ καὶ γλώσσης θρασύτητι ἀναθεματίζουσι, καὶ τὸ ἀνόμοιον δογματίζουσι, καὶ τὰ δυσσεβῆ ψηφίσματα πανταχοῦ διαπέμπονται. οἱ δὲ ἐν σαρδικῇ, πρῶτον μὲν τῶν ἀποσχισάντων ἐρήμην κατεψηφίσαντο· εἶτα, τοὺς Ἀθανασίου κατηγόρους συκοφαντίας ἁλόντας, καθαιροῦσι τοῦ ἀξιώματος· καὶ τρίτον, τῆς ἐν νικαίᾳ συνόδου τὸν ὅρον κρατύνουσι, καὶ * ἀνακηρύττουσι τὸ ὁμοούσιον ἐπὶ πᾶσι, τὸ ἀνόμοιον δὲ ἀποκηρύττουσι· καὶ γράμματα πρὸς πάσας τὰς οἰκουμένης ἐκκλησίας διαπέμπονται. γνοὺς δ' ὁ τῶν ἑσπερίων βασιλεὺς τὰ κατὰ τὴν σαρδικὴν συνενεχθέντα· διδάσκει μὲν παραυτίκα τὸν ἀδελφὸν, ἀποδοθῆναι δὲ Παύλῳ, καὶ Ἀθανασίῳ, καὶ τοῖς περὶ αὐτοὺς, τοὺς οἰκείους θρόνους. ἅμα μὲν παραινεῖ, ἅμα δὲ καὶ * παρεκελεύετο. καὶ Ἀθανάσιος μὲν ὑπεστέλλετο τὰς τῶν Ἀρειανῶν ἐπιβουλὰς, καὶ τῇ ῥώμῃ προσέδραμεν· ὁ δὲ τῆς δύσεως βασιλεὺς πάλιν γράφει τἀδελφῷ, ὡς εἰ μὲν (προθύμως) προσδέξοιτο τὸν ἄνδρα, καὶ τὸν ἀρχιερατικὸν ἀποδίδωσι θρόνον, ἕτοιμός ἐστιν ἐκπέμπειν τὸν Ἀθανάσιον· εἰ δὲ μὴ βούλοιτο, αὐτὸς δι' ἑαυτοῦ τοῦ δικαίου γενήσοιτο τιμωρός. καθίσταται δὴ ὁ Κωνστάντιος εἰς δέος· καὶ διὰ γραμμάτων, οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς, σταλέντων ἐπαγωγῶν τε καὶ θελκτηρίων, καλεῖ πρὸς ἑαυτὸν τὸν πολύαθλον Ἀθανάσιον· καὶ μετὰ πολλῆς δορυφορίας ἀποστέλλει τοῦτον ὁ τῆς ἑσπέρας βασιλεὺς, καὶ Ἰουλίου τοῦ ἀρχιερέως γράμμασιν αὐτὸν διαφόροις ἐφοδιάζοντος. Κωνστάντιος δὲ παραγενόμενον εἰς τὸν οἰκεῖον θρόνον ἀποκαθίστησιν, ὑφειμένῳ πρότερον ὀνειδισμῷ καθυποβαλών. ἀποδρὰς γὰρ, ἔλεγε, μεγάλην ἐμοῦ λοιδορίαν * κατέχεις, καί τοι γε περὶ σοῦ φιλανθρωπότερα μελετῶντος. πλὴν ἀλλά γε νῦν μίαν μοι δίδου χάριν. ὁ δὲ τὴν κατὰ δύναμιν ἕτοιμος εἶναι διωμολόγει χαρίζεσθαι· καὶ ὁ Κωνστάντιος μίαν ἐκκλησίαν τῶν ἐν Ἀλεξανδρείᾳ ἐπιζητεῖ τοῖς Ἀρειανοῖς δοθῆναι συνακτήριον. ὁ δὲ οὐκ ἀπεῖπεν. συνάπτει δὲ τῇ καταθέσει, εἰ καὶ Κωνστάντιος ἐν κωνσταντίνου πόλει μίαν τοῖς ὁμοδόξοις, ἣν οὐκ εἶχον, ἰσχύσει. Κωνστάντιος δὲ προθύμως τε καὶ σὺν ἡδονῇ ἐπηγγείλατο. ἠγνόει δὲ ἄρα λυπῶν τὰ μέγιστα τοὺς ὁμόφρονας. πλὴν καταπλαγεὶς τὴν τοῦ Ἀθανασίου σύνεσίν τε καὶ ἀγχίνοιαν, ὡς προείρηται, μετὰ πάσης δόξης καὶ τιμῆς ἐκπέμπει, γράφων καὶ πρὸς τὸν Αὐγουστάλιον.

* ἑπόμενοι M. M.

* ἀνακηρύττουσι τὸ ἀνόμοιον, ἐπὶ πᾶσι δὲ τὸ ὁμοούσιον ἀποκηρύττουσι. H. St.

* ἴσχεις.

ATHANASII VITA.

Inducitur ergo iterum Synodus Sardicæ consensu vtriusque Imperatoris, vndecimo anno à morte Constantini, horum patris. Itaque è partibus Occidentis supra trecentos conuenerunt Episcopi, ex Oriente vero tantum septuaginta sex, in quibus & ipse Ischyras Mariotis, quasi Episcopus numerabantur. Igitur dum conuenissent Sardicæ, Orientales in conspectum venire Occidentalium recusabat, nisi prius Paulum & Athanasium Concilio eiecissent. Protogenes autem Sardicensis Episcopus, & Hosius Cordubensis, aliique Episcopi postulatis non annuerunt: nimirum viros, quos iudicaturi venerant, indicta causa damnari ac repelli. Secessione itaque facta, Orientalium Episcoporum ab Occidentis Episcopis, Philippis congregantur, neque amplius tecta sententia, sed apertè & audacter ὁμοούσιον condemnantes, inæqualitatem decernunt, & impiam hæresim vbique disseminant. Sed in Sardicensi qui erant, primum quidem priuatam illam Synodum condemnarunt. Deinde accusatores S. Athanasij calumniæ reos dignitate priuarunt: & tertium iam Nicænæ Synodi decretum confirmant, & promulgant omnibus ὁμοούσιον inæquale vero in Trinitate condemnant, atque repudiant, conscriptásque & ipsi epistolas vbique diuulgant. Cum autem intellexisset Occidentis Imperator, quæ in Sardicensi Concilio acta fuerant, statim fratrem certiorem reddidit, & Paulo, & Athanasio, & suis, proprias reddi sedes partim monebat, partim mandabat. Athanasio autem iterum sustinente insidias Arianorum, & Romam veniente, Occidentis Imperator rursum scribit fratri, si virum libenti animo susciperet, & in sede sua collocaret, se promptè eum missurum, sin minus, se vindicem fore. Metuens itaque Constantius, vocat. Athanasium, propriis litteris non semel, sed iterum, atque etiam tertio scribens, mittensque qui allicerent, & adducerent. Confestim autem Imperator Constans adiunctis multis satellitibus dimittit magnum Athanasium, & Iulius Pont. multis cum litteris muniuit. Venientem igitur S. Athanasium accipit Constantius Imperator, & suæ eum Ecclesiæ restituit, comitate exprobrationi adiuncta. Nam in contumeliam meam, inquit, eiusmodi fuga vsus es, cum ego paratus essem humanius te complecti. Verum mihi vna re gratificare. Ille autem ad eum: Libenter, inquit, præstabo, Imperator, quantum possum, quod rogas. Constantius autem: Vnam Ecclesiam ex iis quæ Alexandriæ sunt, Arianis concedas. Ille vero dixit: Faciam, Imperator, vt iubes, si & tu mihi vicissim Constantinopoli præbueris Ecclesiam, qua carent, ad conuentum Orthodoxorum. Constantius autem promptè promisit, ignarus Arianos, qui secum sentirent, summo dolore sese affecturum. Itaque Imperator viri prudentiam admiratus, ac sollertiã, eum, magno honore habito, dimittit: scribens etiam (Nestorio) Augustali,

ATHANASII VITA.

inter cætera vt magno honore eum deduceret, & omnia quæ ipse Constantius, & Ariani contra illum statuissent, irrita haberet: quin & clerum eius eandem iubet obtinere dignitatem, libertatémque res sacras publice administrandi. Athanasius itaque cum peruenisset Hierosolymam, Maximo Episcopo & Confessori, nota facit acta Sardicensis Concilij, quodque Constantius Imp. erga se bene animatus sit. Deinde congregat Synodum Episcoporum, quæ B. Athanasio & communionem, & dignitatem Episcopalem decernit, & scribit ipsa Synodus Alexandrinis, & omnibus in Ægypto, & Libya Episcopis, quæ de Athanasio decreta essent, & gesta. Athanasius autem Alexandriam cum venisset, conuentus Episcoporum in Ægypto egit, quæ Synodus consentiebat iis, quæ in Sardicensi & Hierosolymitana Synodo decreta essent. Sed Magnentio tyrannidem affectante, & Constante interempto, Ariani iterum dolosè contra Athanasium concitarunt Constantium, ac rursus impia decreta, rursus fuga, rursus inquisitio, & Sancti fit indagatio. Georgius vero Alexandrinæ Ecclesiæ inuasor, item Acacius, & Patrophilus sectatores Arij, S. Maximum Hierosolymitanum expulerunt, & Cyrillum substituerunt. Georgius vero tot mala Alexandriæ intulit, vt ea quæ in Christianos fecerunt Ethnici, humana putes. Nouæ excogitantur pœnæ, igni virgines nudæ apponebantur, & mors multos alios, & vita & pœna eripuit. Exsulabant in Ægypto triginta duo Episcopi, & sacerdotes. Constantius cum videret se iam fratris imperium nactum, Episcopos Occidentales conatur inducere, vt Athanasium condemnarent, & Arianam sectam susciperent, & propterea Concilium conuocabat. Mediolani in Italiæ ciuitate, etiam multos in suam sententiam traduxit. Dionysius autem, & Eusebius, Rhodanus, Paulinus, Lucifer, piam sententiam cum deserere nollent, neque damnari Athanasium sustinerent (Videbant enim interitum fidei cum Athanasij interitu esse coniunctum (Ariminum in exsilium ablegantur. S. autem Athanasius cum iterum comperisset Arianos in se quærendo amplius grassari, atque crudelius, clam omnibus in vrbe ad virginem quandam fugit, nulla suspicione illic latitans. Erat enim iuuencula & formosissima, vt cohabitare illi virum aliquem, aut Episcopum nemo suspicaretur, quæ annorum viginti erat. Igitur ei virginitatis custos, & magister Athanasius armatos commemorat ad cædem Arianos, extra vrbem in omnibus se locis quæsitum, & Dei monitis salutem ei procurantis, se ad illam venisse. Illa gaudens hominē suscepit, & apud illam sex annos delituit, donec mors Constantij Athanasium liberauit.

τά τε ἄλλα διὰ σεβασμιότητος ἦγεν αὐτὸν, καὶ πάντα, οἷς αὐτὸν αὐτός τε καὶ οἱ σὺν αὐτῷ κατεψηφίσαντο, τὸ ἄκυρον καὶ ἀνενέργητον ἔχειν· ἀλλά γε δὴ καὶ τὸν ὑπ' αὐτῷ κλῆρον τὴν προτέραν τιμὴν καὶ πάσης δημοσίου ὑπηρεσίας ἀναλαβεῖν τὴν ἐλευθερίαν. καταλαβὼν οὖν ὁ Ἀθανάσιος τὰ Ἱεροσόλυμα, καὶ Μαξίμῳ τῷ ἀρχιερεῖ τοῦ θεοῦ καὶ ὁμολογητῇ συνῆλθεν εἰς ὄψιν τε καὶ ὁμιλίαν· τά τε ἐν Σαρδικῇ διαπεπραγμένα, καὶ ὡς πρὸς αὐτὸν Κωνστάντιος διετέθη ἀναδιδαξάμενος: σύνοδον ἀθροίζεσθαι τὸν ὁμολογητὴν καταπράττεται. καὶ ἡ σύνοδος τῷ θαυμαστῷ Ἀθανασίῳ καὶ τὴν κοινωνίαν, καὶ τὸ ἀρχιερατικὸν ἀξίωμα * ἐπιψηφίζεται· καὶ γράφει τοῖς ἐν Ἀλεξανδρείᾳ καὶ πάσῃ τῇ τε Αἰγύπτῳ καὶ Λιβύῃ, ἃ περὶ Ἀθανασίου ἔγνω τε καὶ διεπράξατο. ὁ δὲ γενναῖος οὗτος ἀθλητὴς τῇ Ἀλεξανδρείᾳ ἐπιστὰς, καθίζει καὶ αὐτὸς ἀρχιερέων ἐξ Αἰγύπτου τε καὶ Λιβύης σύλλογον· καὶ * αὐτὴ τὰς ὁμοίας καὶ ἀπαραλλάκτους ψήφους τῶν ἐν Σαρδικῇ καὶ Ἱεροσολύμοις συνόδοις ψηφίζεται. ἀλλὰ γὰρ Μαγνεντίου τυραννίδι ἐπιθεμένου, καὶ τὸν βασιλεύοντα τῆς δύσεως διαφθείραντος· οἱ ἐξ Ἀρείου πάλιν τὸν κονιορτὸν Κωνστάντιον κατὰ τοῦ πολυάθλου ἀναρριπίζουσι· καὶ πάλιν τὰ τῆς ἀσεβείας ψηφίσματα, καὶ πάλιν φυγὴ, καὶ πάλιν ἔρευνα, καὶ πάλιν ἀναζήτησις. καὶ δὴ καὶ Γεώργιος ὁ τῆς * Ἀλεξανδρέων πόλεως ἁρπάσας τὸν θρόνον, ἅμα τοῖς περὶ Ἀκάκιον καὶ Πατρόφιλον, οἱ τῆς Ἀρείου φατρίας ἐξωθήσαντες Ἱεροσολύμων τὸν ὁμολογητὴν Μάξιμον, ἀντεισάγουσι Κύριλλον· ὁ δυσσεβὴς Γεώργιος, τοσούτων τὴν Ἀλεξανδρέων ἐνέπλησε κακῶν, ὡς τὰ τοῖς Ἕλλησι κατὰ Χριστιανῶν τολμηθέντα φιλανθρωπίας νομίζεσθαι. αἰκισμοί τε γὰρ σωμάτων καιναῖς ἐπινοίαις ἀφορήτους φέροντες τὰς ἀλγηδόνας κατέξαινον, καὶ πῦρ γυμναῖς ταῖς παρθένοις * προσεφέρετο· καὶ θάνατος πολλοὺς ἄλλους καὶ τοῦ ζῆν καὶ τῆς τιμωρίας (ἅμα) ἐξήρπαζε. γεγόνασι καὶ ὑπερόριοι τῶν κατὰ τὴν Αἴγυπτον ἱερέων τε καὶ ἀρχιερέων δύο καὶ τριάκοντα. ὁ δὲ Κωνστάντιος προσλαβὼν καὶ τὴν τἀδελφοῦ ἀρχὴν, καὶ τοὺς ἑσπερίους ἐπισκόπους μεθέλκειν εἴς τε τὴν Ἀθανασίου κατάκρισιν, καὶ εἰς τὴν ἰδίαν ἐσπούδαζεν αἵρεσιν· διὸ καὶ σύνοδον διὰ ταῦτα κατὰ Μεδιόλανον πόλιν τῆς Ἰταλίας ἀθροίζει. καὶ τινας μὲν πρὸς τὸ οἰκεῖον διαστρέφει βούλημα· Διονύσιος δὲ καὶ Εὐσέβιος, καὶ Ῥοδανὸς, Παυλῖνός τε καὶ Λυκίφερ, τὸ οἰκεῖον καὶ τῆς εὐσεβείας μὴ καθυφεῖσαντες φρόνημα, καὶ οὐδ' Ἀθανασίου καταγνῶναι ἀναγκαζόμενοι (ᾔδεσαν γὰρ τὴν Ἀθανασίου κατάκρισιν τὴν τῆς πίστεως προοιμιάζεσθαι καθαίρεσιν) * ἐν Ἀριμίνῳ ὑπερορίζονται. γνοὺς δὲ ὁ τοῦ θεοῦ θεράπων Ἀθανάσιος, ὡς πάλιν κατ' αὐτοῦ πικρότερόν τε καὶ φονικώτερον τὸ αἱρετικὸν παροξύνεται ξίφος· λαθὼν ἅπαντας τοὺς ἐν τῇ πόλει, παρθένῳ τινὶ καταφεύγει, τῷ ἀνυπόπτῳ τῆς κόρης κλέπτων τὴν εὕρεσιν. ἦν γὰρ ἡ νεᾶνις καὶ τὴν ὄψιν ὡραία, καὶ συνοικεῖν αὐτῇ μηδὲ τὸν τυχόντα ἄνδρα, μήτι γε ἀρχιερέα, πολλὴν καὶ βεβαίαν τὴν πληροφορίαν (πᾶσι) παρέχουσα. ἔτος δὲ τῆς ἡλικίας εἰκοστὸν * ἠνύετο αὐτῇ ἀπὸ γενέσεως. ἀνατίθησιν οὖν αὐτῇ ὁ τῆς παρθενίας καὶ διδάσκαλος καὶ φύλαξ τὰ καθ' ἑαυτὸν, ὅτι πρὸς μιαιφονίαν αὐτοῦ ἐξοπλίζοιτο τὸ αἱρετικόν. καὶ ὡς πάντα τὰ ἔξω τῆς πόλεως περικατείληπται ἐρευναῖς· καὶ ὡς ἐκ θείας ὄψεως τὴν σωτηρίαν αὐτοῦ πρυτανευούσης πρὸς αὐτὴν ἥκοι. ἡ δὲ μετὰ χαρᾶς ἀνεκλαλήτου καὶ ὑποδέχεται, καὶ ἐπὶ ἓξ ἔτη κατακρύπτει. καὶ ἡ Κωνσταντίου τελευτὴ, λύσις γίνεται τῆς ἀποκρυφῆς.

ἐν πᾶσι

* ἐπιψηφίζεται
* al. αὕτη
* al. Κωνσταντινουπολιτῶν.
* al. [illegible]
* fo. εἰς Ἀρμένιον.
* fo. ἦν ἀπὸ γενέσεως, H. St.
[illegible]

ATHANASII VITA.

ἐν πᾶσι δὲ προθύμως καὶ σεβασμίως ἡ παρθένος ἐξυπηρέτει τὸν ὅσιον, πάντας τοὺς ἐν τῇ πόλει μικρούς τε καὶ μεγάλους, καὶ τοὺς φιλοῦντας καὶ τοὺς * διώκτας, διαλανθάνουσα. προστάττει δ' οὖν ὁ Κωνστάντιος τοὺς μὴ βουλομένους τῶν κατὰ τὴν Ἰταλίαν ἀρχιερέων τῇ Ἀρείου * καθυπογράφειν, ἐξωθεῖσθαι τῶν ἐκκλησιῶν, (καὶ) ἀντ' ἐκείνων τοὺς δυσσεβεῖς ἐγκαθίστασθαι. ὑπερορίζετο καὶ Λιβέριος τότε, ὁ μετὰ Ἰούλιον τὸν θρόνον Ῥώμης ἰθύνων· καὶ ἀντιχειροτονεῖται * Φίλιξ, ὃς παραχρῆμα μὲν ποινῇ θεηλάτῳ τῇ τῶν ὀφθαλμῶν πηρώσει ὑποβάλλεται, ὕστερον δὲ καὶ λοιμικῇ νόσῳ καταχεθεὶς διαφθείρεται. τὰ αὐτὰ δὲ καὶ Μελέτιος ὁ Ἀντιοχείας ὑφίσταται· καὶ ἀντικαθίστησιν ἡ αἵρεσις τὸν Εὐζώϊον, ἐν Κωνσταντινουπόλει δὲ τὸν Εὐδόξιον, ἄνδρας δυσσεβεῖς καὶ τὸν βίον ἐπαξίους τῆς αἱρέσεως. κατ' ἐκεῖνο καιροῦ καὶ Ἰουλιανὸν ὁ Κωνστάντιος ἀναγορεύει Καίσαρα, καὶ πρὸς τὰς * Γαλλίας ἐκπέμπει. ἐγκαινίζει δὲ καὶ τὴν ἐν Κωνσταντινουπόλει παρ' αὐτοῦ νεουργηθεῖσαν ἐκκλησίαν, ἐπώνυμον αὐτῇ ἡ τοῦ θεοῦ σοφία. καὶ ὁ δυσσεβὴς Εὐδόξιος, κατὰ τὰ ἐγκαίνια ἐνθρονισθείς, πρώτην ἐκείνην τὴν τολμηρὰν καὶ ἀφρονεστάτην ἀφῆκε φωνήν, ὁ πατὴρ ἀσεβής, ὁ υἱὸς εὐσεβής. θορύβου δὲ δικαίως τὸ πλῆθος περιλαβόντος, κακῷ τὸ κακὸν ἐπινοεῖ κατευνάζειν· καὶ, μηδὲν ὑμᾶς, φησι, ταραττέτω· ὁ μὲν γὰρ (πατὴρ) ἀσεβής, ὅτι οὐδένα σέβει· ὁ δὲ υἱὸς εὐσεβής, ὅτι σέβει τὸν πατέρα. ταῦτα δὲ τοῦ δυσσεβοῦς εἰπεῖν ἐπιμανέντος, ὁ θόρυβος εἰς χλεύην καὶ μυκτηρισμὸν ἐκλυθείς, τοὺς πολλοὺς τῶν συνειλεγμένων διεσκέδασε τῆς ἐκκλησίας. ὁ μέν τοι γε Ἰουλιανὸς κατὰ τὰς * Γαλλίας διατρίβων, καὶ νίκας ἀναδησάμενος κατὰ βαρβάρων, ὑπὸ τῶν στρατιωτῶν ἀνακηρύττεται βασιλεύς. καὶ Κωνστάντιος, μαθὼν τὴν ἀνάρρησιν, βαπτίζεται μὲν τῇ θεομάχῳ χειρὶ Εὐζωΐου, ἐξοπλίζεται δὲ κατὰ τοῦ ἐπαναστάντος. γενόμενος δὲ ἐν * Μόψου κρήνῃ (πολίχνιον δὲ τοῦτο τῆς Κιλικίας) ὑπὸ φροντίδων, ὡς αὐτὸν ὁ πόλεμος συνεῖχεν, ἀποπληξίᾳ ληφθεὶς τελευτᾷ· ἔτος μὲν ἄγων ἀπὸ γενέσεως πέμπτον καὶ τεσσαρακοστόν, βασιλεύσας δὲ μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἔτη πέντε καὶ εἴκοσι. Γεώργιος δὲ ὁ ἐν * Ἀλεξανδρείᾳ, ναὸν * ἑλληνικὸν δὴ κατηρειπωμένον, (ἐν ᾧ τὸ παλαιὸν οἱ Ἕλληνες τελετὰς ἐτέλουν τῷ Μίθρᾳ, θύοντές τε ἄνδρας καὶ παῖδας καὶ γυναῖκας, τοῖς σπλάγχνοις αὐτῶν μαντευόμενοι) τοῦτον ἀνακαθαίρειν ἐπεμελεῖτο ἐπὶ * τῷ ἀνοικοδομῆσαι εὐκτήριον. ἀνακαθαιρομένου δέ, εὕρηνται πολλὰ κρανία τῶν ἀνῃρημένων. καὶ τῶν χριστιανῶν οἱ ζηλωταὶ ἐκπομπεύοντες τὰ τῶν Ἑλλήνων μυστήρια εἰς γέλωτα τοῦ δήμου καὶ χλεύην, τὰ κρανία προφέρουσι. τὸ δὲ ἑλληνικὸν τὴν ὕβριν οὐκ ἐνεγκόντες, ὀργῆς αὐτοῖς ἀθέου στρατηγούσης, ὁρμῶσι κατὰ τῶν χριστιανῶν. καὶ τοὺς μὲν ξίφεσι, τοὺς δὲ ῥοπάλοις, τινὰς δὲ λίθοις, ἄλλους δὲ τοῖς παρατυχοῦσιν ἀπέκτειναν, ἐνίους δ' αὐτῶν καὶ ἀνεσταύρωσαν· τὸν δὲ Γεώργιον τῆς ἐκκλησίας ἐξελκύσαντες, καμήλῳ τε προσέδησαν, καὶ διασπαραχθέντα σὺν αὐτῇ πυρὶ παρέδοσαν. Ἰουλιανός γε μὴν τὸ τῆς βασιλείας κράτος λαβών, τὰ μὲν ἑλληνικὰ ἐσπούδαζεν· ἃ δὲ Κωνσταντίῳ κατὰ τῶν τοῦ θεοῦ ἀρχιερέων πεπαρῴνητο, στέργειν οὐ προῃρεῖτο, διὸ τοὺς ἐν ὑπερορίαις πάντας φωναῖς φιλανθρώποις ἀνεκαλέσατο. ἐξ οὗ καὶ Ἀθανάσιος θαρρήσας ἔξεισι μὲν τῆς οἰκίας, (ἐν) ᾗ κατεκρύπτετο τῆς παρθένου· κατὰ νύκτα δὲ ἔνδον ὤφθη τῆς ἐκκλησίας. καὶ ὁ Ἀλεξανδρέων δῆμος ἀσμένως αὐτόν, καὶ ὡς ἐκ νεκρῶν ζῶντα κατὰ ἑορτῆς φαιδρότητα ὑπεδέξατο

* διώκοντας.
* καθυπογράφειν ἐξελ.
* al. Φίλιξ.
* al. Γαλλίας.
* al. Γαλλίαν.
* al. Μόψου.
* Ἀντιοχείᾳ.
* ἑλληνικῶν ...
* al. τό.

Toto enim tempore prompte & religiose sancto viro illa ministrauit, quod parui & magni, amici inimicique iuxta ignorabant. Quare Constantius eos qui nollent per Italiam Arianæ sectæ subscribere, Ecclesia eiiciendos, & alios eorum loco subrogandos esse censet. Exsulauit tunc etiam Liberius, qui post Iulium Ecclesiam Pontifex tenuit, & pro illo creatur Felix, qui statim oculorum priuatione diuinitus immissa torquetur, postea pestilenti morbo consumptus periit. Eadem Meletius Antiochiæ Præsul patitur, & eius loco Euzoium hæretici sufficiunt, Constantinopoli Eudoxium, viros impios, & ob flagitiosam vitã hæresi dignissimos. Eodem tempore Constantius Imp. Iulianum Cæsarem creat, & in Gallias mittit. Eodem tempore & Ecclesiæ nuper ædificatæ, cui nomen *Sophia*, dedicationem innouauit. Impius Eudoxius cum thronum Constantinopoli suscepisset, in ipsa dedicatione primam illam audacem, atque impudentem emisit vocem, *Pater impius: Filius pius.* Tumultu igitur magno, & seditione super hac re orta, malo malum restinguere conatur: Ne turbet, inquit, vos dictum meum. Pater enim ἀσεβὴς est, quia neminem colit: Filius autem εὐσεβὴς quia colit patrem. Dicente hæc impio Eudoxio, tumultus quidem sedatus est, risus vero multus pro tumultu subsecutus est, adeo vt multi eorum ridentes ex Ecclesia decederent. Verum in Galliis Iulianus agens, partis multis de Barbaris victoriis coronatus, à militibus Augustus creatur. Quod cum rescisceret Constantius, baptizatus ab Euzoio Dei aduersario, ad bellum contra illum, qui exurgebat, accinxit. At cum esset in Ciliciæ oppidulo Mopsocrene nomine, præ sollicitudine ob bellum apoplexia correptus exspirat, viginti quinque annis post mortem patris superstes, natus annos quadraginta quinq;. Georgius Alexandriæ templũ desertũ (in quo gentes olim Mithræ sacrificia facientes viros, fœminas, & pueros mactabant, extis inspectis diuinantes) expiare volebat, vt oratorium construeret. Expiato autem loco inueniuntur multorum capita occisorum. Christiani igitur hisce inuentis, ostentãtes Gentium mysteria veluti in pompa, nudas populo calumnias exhibebant in ludibrium. Græci pagani non ferentes opprobrium, ira accenduntur, & quidquid ad manum erat pro telis rapientes, impetum faciunt in Christianos. Hósque gladiis, illos lapidibus, alios clauis, alios obuiis quibuscunque interfecerunt, quosdam etiam in crucem egerunt. Georgium vero Ecclesia eductum, & camelo alligatũ, & discerptũ, cum illo combusserunt. Iulianus autem imperio potitus, adhuc gentilis studuit omnia Constantij facta abrogare, ac relegatos omnes reuocauit. Athanasius concepta spe exit è domo virginis, vbi latuerat, & nocte inuentus est in Ecclesia, quem Alexandrini festum agentes libẽter acceperũt, veluti ex mortuis reuiuiscẽtẽ.

Iulianus Cæsar creatus.

Baronius Card. Tomo III. Annal. Eccles. pag. 673.

Mithra.

ATHANASII VITA.

Iulianus apostata.

Quicunque Ariani in vrbe reliqui erant, pro Georgio Lucium creant. At Iulianus, qui idolis delectabatur, sacrificia Constantinopoli Fortunæ offerebat publicè. Quo tempore etiam Mares Chalcedonis Episcopus manu ductus (laborabat enim præ senectute oculorum hebetudine) Imperatorem apostatam iurgio lacessiuit. Ille vero vicissim conuicia regerebat, cœcum & improbum eum vocans, nec posse ei Galilæum Deum mederi exprobrabat. Mares vero liberè Regi respondit: Gratias ago, inquit, Deo, qui occœcauit me, ne tuum impudens os, ac tenebricosum viderem. Tunc sanè & Iouinianus, & Valentinianus, qui post hunc etiam imperarunt, solutas zonas proiecerunt Tyranno ante pedes, dicentes: Accipe zonas, habe tibi honores tuos: exposita tibi etiam sunt corpora nostra, si punire vis. Imperator ergo cum sociis deliberauit, vt Athanasium eiiceret, ratus Christianos aliter ad impietatem minimè traduci posse, nisi Alexandria ille pelleretur. Quare iterum oriuntur accusatores, iterum dux, & milites: rursum Athanasius quæritur, & fugit. Furtim itaque ex vrbe fugiens conscendit nauem, in Thebaidem venit. Satrapa illum à tergo secutus est: quod cum ille intelligeret, diuina voluntate vertit nauigium, & obuiam insequenti nauigat. Illis vero, qui Sancto aderant inhibentibus, quin etiam plorantibus, ne in apertum discrimen se suosque coniiceret, ait S. Athanasius: Confidite, nolite timere, Deus enim vnà nobiscum pugnat. Itaque conuerso cursu retro feruntur Alexandriam versus. Occurrunt persecutores, & rogant num Athanasium fugientem viderint. Illi autem responderunt se vidisse, nec procul abesse: si maturarent assecuturos, sic illos errantes dimiserunt. Ipsi vero celeriter Alexandriam nauem appulerunt. Paruóque tempore latitans Athanasius, Iuliano in Persia diuinitus interempto, cum libertate verbum Dei prædicabat, & salutarem fidem enuntiauit. Iulianus enim in Perside sublatus est, aliis quidem Persæ cuidam transfugæ mortem imputantibus, aliis vero alicui è militibus. Sed verisimilius est, à pluribusque creditum diuinitus illum interfectum esse. Itaque viginti tantum menses in imperij fastigio fuit Iulianus: vixit autem annos vnum & triginta. A morte igitur Iuliani, consensu totius exercitus Iouianus regnum capessit, cuius paulo ante meminimus. Sed ille octo menses tantum imperio potitus in Bithynia obiit: cui Valentinianus succedit, pietatis propugnator, & regni socium fratrem Valentem (quod vtinam minime factum) accipit. Sed Valentinianus triginta tantum dies Constantinopoli subsistens, Valenti Orientem concessit, ipse ad Occidentem se recepit. Cúmque in Occidentem venisset, frater eius vterinus quidem, sed fide hostis, implacabile bellum Orthodoxæ Ecclesiæ mouit.

Mares Episc. cæcus D. Baronius Tomo IV. Annalium Eccles. ad annum Chr. 362.

Iuliani apostatæ cædes.

Valens Imp. impius.

ὅσοι δὲ ἀρειανίζον ἐν τῇ πόλει ὑπελείποντο, εἰς τὸ Γεωργίου τόπον Λούκιον προχειρίζονται. Ἰουλιανὸς δὲ πανταχοῦ μὲν ἔσπευδε τὰ ἑλλήνων, ἔθυε δὲ κατὰ τὴν κωνσταντινούπολιν δημοσίᾳ τῷ τῆς τύχης ἀγάλματι· ἡνίκα καὶ Μάρις ὁ * καλχηδόνος χειραγωγούμενος (ἦν γὰρ ὑπὸ τοῦ γήρως ὑπόχυσιν ἔχων ἐν τοῖς ὀφθαλμοῖς) πολλὰ τὸν ἀποστάτην ἐνάκιζεν. ὁ δὲ τυφλὸν καὶ πονηρὸν ἀντιλοιδορεῖτο, καὶ ὡς ὁ γαλιλαῖος αὐτοῦ θεὸς οὐκ ἐνθεραπεύσοιεν αὐτὸν, κατωνείδιζεν. ὁ δὲ Μάρις· τοῦτό γε πρὸς τὴν μεγίστην εὐχαριστίαν κινεῖ τοῦ θεοῦ, ὅτι με τυφλὸν (ἔθετο,) ἵνα τὸ σὸν ἀναιδὲς οὕτω δι' ἀσεβείας ἀμαυρωθὲν μὴ θεάσωμαι πρόσωπον. τότε δὴ τότε καὶ Ἰωβιανὸς καὶ Οὐαλεντινιανὸς, οἱ μετὰ ταῦτα κατὰ διαδοχὴν βασιλεύσαντες, λύσαντες αὐτῶν τὰς ζώνας, τῷ τυράννῳ προσέρριψαν, ἔχε, λέγοντες, καὶ τὰς ζώνας καὶ τὰς τιμάς. εἰ βούλει δὲ καὶ κολάζειν, προθύμως σοι (τῷ Ἰουλιανῷ * διαρασάντες ἔφασαν) παρέχομεν καὶ τὰ σώματα. ὁ μὲν τοι ἀποστάτης σὺν τοῖς ὁμόφροσι * βουλὴν * βουλεύεται Ἀθανάσιον ἐκποδὼν ποιῆσαι, * ἐννοούμενος ὡς, εἴπερ ἡ Ἀλεξάνδρου πόλις ἐκείνου ἀπαλλαγείη, ῥᾳδίως τοὺς ἐν αὐτῇ χριστιανοὺς εἰς τὸ οἰκεῖον μεθελκύσει δυσσέβημα. διὸ πάλιν συκοφάνται, καὶ πάλιν στρατηγὸς, καὶ πάλιν στρατὸς· καὶ πάλιν Ἀθανάσιος ἐκζητούμενος, καὶ πάλιν φυγή. καὶ τῆς ἐκκλησίας (λάθρα) διαδρὰς, ὁλκάδος ἐπιβαίνει, καὶ ἐπὶ τὴν θηβαΐδα ἰθύνεται. καὶ ὁ σατράπης ἐπιθεν κατεδίωκε· καὶ μηνύει τοῦτο ὁ διωκόμενος. καὶ ὄψις αὐτὸν θεία παρακαλεῖ) ἀντιστρέψαι τὸ πλοῖον, καὶ τὴν ἐναντίαν * πλωΐζεσθαι. τῶν δὲ συνόντων κωλυόντων οὐ λόγοις μόνον, ἀλλὰ καὶ δάκρυσι, μηδ' εἰς ὄλεθρον οὕτω προφανῆ ἑαυτόν τε κἀκείνους ἐκδοῦναι· θαρρεῖν τε μὴ δεδιέναι, καὶ ἀνεδίδασκεν, ὡς τὸ θεῖον αὐτοῖς εἴη σύμμαχον. ἐξ ὑποστροφῆς οὖν πρὸς τὴν Ἀλεξάνδρειαν ἀναγομένοις, συναντῶσιν οἱ διώκοντες, καὶ ἐπερωτῶσιν, εἴ που ἴδοιεν Ἀθανάσιον φεύγοντα; οἱ δὲ ἠμείβοντο καὶ ἰδεῖν αὐτὸν, καὶ ὡς εἰ ἐπιταχύνειαν τοῦτον καταλήψεσθαι. καὶ τούτους μὲν πλανωμένους ἀπέπεμπον, αὐτοὶ δὲ θᾶττον εἰς τὴν Ἀλεξάνδρου κατήχθησαν. καὶ βραχὺν χρόνον ἀποκρυβεὶς ὁ θαυμάσιος, Ἰουλιανοῦ τοῦ ἀποστάτου τὴν δίκην ἐν πέρσαις ἀπαιτηθέντος, ἐπαρρησιάσατό τε, καὶ τὴν τῆς σωτηρίας πίστιν ἐδογμάτιζέ τε καὶ ἀνεκήρυττεν· ἀλλὰ γὰρ Ἰουλιανὸς μὲν ἐν περσίδι ἀνῃρέθη, τῶν μὲν, εἰς πέρσην τινὰ τῶν αὐτομόλων τὴν ἀναίρεσιν ἀναφερόντων· τῶν δὲ, εἰς τινα τῶν ὑποτελῶν στρατιωτῶν. ὁ δὲ πολὺς καὶ τῆς ἀληθείας ἐγγύτερος λόγος, θεήλατον αὐτὸν ὑποστῆναι τὴν σφαγὴν, ἐνδείκνυσι. καταστρέφει γοῦν τὸν βίον, ἓν καὶ τριακοστὸν διαβιοὺς ἔτος· ἐν δὲ τῇ βασιλείᾳ μῆνας εἴκοσι. καὶ διαδέχεται τὴν ῥωμαϊκὴν βασιλείαν, ψήφῳ τοῦ παντὸς στρατεύματος, Ἰωβιανὸς· οὗ καὶ τὴν μνήμην ὁ λόγος ἔχειν ἔμπροσθεν. ἀλλ' οὗτος, ὀκτὼ μῆνας μόνους ἐν τῇ βασιλείᾳ διαρκέσας, κατὰ βιθυνίαν ἀπολείπει τὰ ἀνθρώπινα. μετ' ἐκεῖνον δὲ, Οὐαλεντινιανὸς, ἀνὴρ, ὥσπερ ὁ πρὸ αὐτοῦ, τῆς εὐσεβείας ὑπέρμαχος· καὶ λαμβάνει κοινωνὸν (ὡς εἴθε μὴ ὤφελε) τῶν ῥωμαϊκῶν σκήπτρων Οὐάλεντα τὸν ἀδελφόν. καὶ μῆνα ἡμερῶν ἐν Κωνσταντινουπόλει διατρίψας, ἀφορίζει μὲν Οὐάλεντι τὴν ἀνατολήν· αὐτῷ δὲ λείπει τὴν δύσεως τὴν ἀρχήν. ἐπεὶ δὲ οὗτος εἰς δύσιν ἀπῆρεν, ὁ ἀδελφὸς μὲν ταῖς μητρικαῖς ὠδῖσιν, οὐκ ἀδελφὸς δὲ, ἀλλὰ καὶ ἀντίπαλος τὴν πίστιν, πόλεμον ἄσπονδον κατὰ τῆς ἐκκλησίας ἤγουν τῆς ὀρθοδοξίας κινεῖ. καὶ προ-

** χαλκηδόνος.*

** προσθέντες. M. M*

** βουλεύεται. * ἐννοούμενος.*

** al. πλωΐζεσθαι.*

Iouianus.

Valentinianus imp. Valens.

Meletius in exilium pellitur.

καὶ πρῶτον μὲν τὸν θαυμαστὸν Μελέτιον ὑπὸ Ἰουλιανοῦ ἀνακληθέντα, καὶ τὸν οἰκεῖον ἀπειληφότα θρόνον, ὑπερορίζει, μετὰ καὶ πολλῶν ἄλλων ἀρχιερέων τε καὶ τῶν ἐν κλήρῳ λογάδων· ἔπειτα δὲ καὶ τὴν Αἴγυπτον * ἐκταράσσει. καὶ στάσεις, καὶ θόρυβοι χαλεπώτεροι τῶν φθασάντων δίεισι τὴν Ἀλεξανδρέων πόλιν. δεδιὼς δὲ ὁ θεόληπτος, μὴ ἄρα τῆς ἐν τῷ πλήθει στάσεως αὐτὸν τὴν αἰτίαν λάβοι, τέσσαρας ὅλους μῆνας ἑαυτὸν ἐν πατρῴῳ τάφῳ κατακρύπτει. ὁ δὲ τοὺς κατὰ τὴν Αἴγυπτον φόνοις παλαμώμενος, Τατιανὸς ἦν, ὁ ταύτης ἔπαρχος, ὃν ἡ θεία δίκη καὶ τῆς μιαιφονίας καὶ τῆς δυσσεβείας θᾶττον μετῆλθε· τοῦ τε γὰρ ἀξιώματος, καὶ τῶν πολλῶν ἐκπίπτει χρημάτων, καὶ τῆς τροφῆς αὐτῆς ἐπαίτης ἦν. ἀλλὰ καὶ τοὺς ὀφθαλμοὺς ἀποβαλὼν, τὸν βίον ἀλγεινῶς τε καὶ αἰσχρῶς καταστρέφει. ἐν τούτοις δὲ, κυμαινομένων τῶν ὅλων, * σεισμὸς ἐπισκήπτει τῶν πώποτε γεγενημένων ὁ μέγιστος, καὶ πολλὰς ἐδαφίζει τῶν πόλεων. ἀτὰρ δὴ καὶ τῆς Κρήτης τὰς δέκα πόλεις καταρρίπτουσι· καὶ ἡ θάλασσα τῶν ἰδίων ὅρων ὑπερχυθεῖσα, πολλὴν μὲν τῆς ἠπείρου ἀποτεμομένη θάλασσαν νέαν ἔδειξε, πολλὴν δὲ τῆς ὑποβρυχίου ἀρόσιμον ὑπέθηκεν. ἀλλ' οὐδὲν τούτων ἐσωφρόνισε τὸν Οὐάλεντα. ἐπεὶ δὲ ὁ Ἀλεξανδρέων δῆμος, πόθῳ καὶ πίστει τοῦ ποιμένος, ἐστασίαζέ τε, καὶ πάντα πράξειν ἠπείλει· καὶ τά τε σκάφη τῶν πλοίων, καὶ αὐτοὺς τοὺς δημοσίους οἴκους ἐμπυρβολήσειν, εἰ μὴ τὸν διδάσκαλον ἀπολήψοιντο, πυρὶ παραδοῦναι διετείνοντο. γνοὺς ταῦτα ὁ δυσσεβὴς Οὐάλης, διὰ γραμμάτων δίδωσιν Ἀθανασίῳ πᾶσαν ἄδειαν τὰς ἐκκλησίας ἰθύνειν. ἐξορμᾶν δὲ μέλλων εἰς Ἀντιόχειαν, ἐπεὶ Εὐδόξιος ὁ μισόχριστος δώδεκα καὶ ἐννέα ἔτη κατὰ τῶν εὐσεβῶν ἄσπονδον πόλεμον ἀναλαβὼν, ἀπεφθάρη· τῆς ὁδοιπορίας κατὰ τὴν Νικομήδειαν ἐπεσχέθη. καὶ οἱ μὲν ἐξ Ἀρείου Δημόφιλον χειροτονοῦσιν· οἱ δὲ τὸ ὁμοούσιον πρεσβεύοντες Εὐάγριόν τινα, τοῦ μακαρίου Εὐσταθίου τὴν τελεσιουργίαν χειρισαμένου, ὃς πρὸ Μελετίου τὴν Ἀντιοχέων ἐκκλησίαν * ποιμαίνειν ὑπὸ τῶν ἀρειανῶν συνεσκευάσθη, καὶ τῆς ὑπερορίας ψηφίσματι τοῦ εὐσεβοῦς * Ἰοβιανοῦ ἀνακληθεὶς ἐν Κωνσταντινουπόλει διέτριβεν. ὁ δὲ δυσσεβὴς Οὐάλης, μαθὼν τὰ πραχθέντα, οἷς μὲν οἱ ἐξ Ἀρείου ἔπραξαν, συνήσθη τε καὶ ἠγάπησε· τῶν κηρύκων τῆς εὐσεβείας Εὐστάθιον μὲν τὸν χειροτονήσαντα διὰ στρατιωτικῆς χειρὸς ἐν Βιζύῃ πόλει τῆς Θρᾴκης περιορίζει· Εὐάγριον δὲ τὸν χειροτονηθέντα ἄλλη συνεῖχεν ὑπερορία, καὶ ταῦτα πράξας ὁ δυσσεβὴς, ἐπὶ τὴν Ἀντιόχου ἀφικνεῖται, τὰ αὐτὰ κατὰ τῶν εὐσεβούντων καὶ πράττων καὶ διανοούμενος, μᾶλλον δὲ πολὺ χείρονα. καὶ γὰρ διαφόροις θανάτοις τοὺς εὐσεβοῦντας ὑπῆγε· μάλιστα δὲ τῶν φόνων αὐτοῦ τὸ προχειρότατον ποταμὸς ὁ Ὀρόντης. τῆς συγχύσεως οὖν καὶ ταραχῆς ταύτης τὴν οἰκουμένην ἀναζεούσης, μετὰ τοὺς πολλοὺς καὶ μακροὺς ὑπὲρ τῆς εὐσεβείας ἄθλους καὶ καμάτους, εἰς τὸν κοινὸν δεσπότην, ὃν ἐφίλει, καὶ ὑπὲρ οὗ ἔπαθε, χαίρων ὁ ἀθλητὴς, ἵνα τύχῃ τῶν ἐπάθλων, ἀπεδήμησεν, ἔτη διαρκέσας ἐν τῇ ἀρχιερατικῇ τελετῇ, μᾶλλον δὲ ἐν τοῖς ὑπὲρ αὐτῆς ἀγωνίσμασι, τεσσαράκοντα.

** al. συνταράσσει.* — *Tatianus.* — ** al. σεισμὸς.* — *Eudoxius.* — ** al. ποιμαίνειν.* — ** al. Ἰωάννου.*

[Ὅτι ἡ συγγραφὴ ἐξ ἧς ἡ προκειμένη παρελήφθη ἐκλογὴ μᾶλλον ἐπὶ τὸ ἠμελημένον ἢ τὸ διηκριβωμένον ἔχει τὴν ῥοπήν· μάλιστα δὲ ἐν τῇ τῶν νοημάτων οἰκονομίᾳ πολλοῖς κεφαλαίοις καινότερα παρὰ τοὺς ἄλλους ἱστορεῖ.]

ATHANASII VITA.

Ac primum quidem sanctum Melitum à Iuliano reuocatum, & propriæ sedi restitutum & alios multos Episcopos, & cleri præcipuos exsilio multat. Deinde totam etiam Ægyptum turbat, tumultus, persecutióque maior, quam antea vnquam, Alexandriam inuadit. Metuens itaque Athanasius, ne in se seditio transferretur, totos quatuor menses in patrium monumentum seipsum abdidit. Tatianus tunc Ægypti Præses cædium, quibus multis Ægyptios afflixerat, statim pœnas diuina vindicta dedit. Simul enim dignitate, & pecuniis priuatus stipem petiit, & cæcus ignominiose mortuus est. Tantis igitur malis vbique grassantibus, terræmotus superueniens vniuersalis, multas vrbes euertit, & *decem in Creta: mare etiam terminos excessit. Quædam enim loca adeo inundauit, vt quæ consita ante fuerant, nauigarentur. Aliis autem locis tantum recessit, vt in sicco reperti sint nauigantes. Sed his omnibus non resipuit Valens. Quoniam autem propter absentiam S. Athanasij totus populus Alexandriæ eius desiderio tumultuabatur, dicebatque non tantum se onerarias naues, verum etiam publica ædificia igne consumpturum, nisi Athanasium reciperet, cum resciscet impius Valens, per litteras significauit, vt intrepide Ecclesias regeret Athanasius. Antiochiam autem profecturus Imperator, cum impius Eudoxius, qui * nouendecim annos contra pios implacabile gesserat bellum, mortuus esset, in via ad Nicomediam detinetur: tum vero Ariani in mortui locum Demophilum subrogant. Orthodoxi vero Euagrium quendam, cui manus B. Eustathius ordinando imponit, qui olim ante Meletium Alexandrinæ præfuisset Ecclesiæ, & ab Arianis eiectus, ab exsilio autem reuocatus, à Ioviano pio Constantinopoli tunc morabatur. Quibus cognitis, Valens facta Arianorum cum gaudio probauit: præcones autem pietatis, Eustathium quidem qui ordinauerat, armata manu Bizyen Thraciæ vrbem in exsilium pellit, Euagrium vero ordinatum alio ablegat. His ita confectis, Valens impius Antiochiam venit, eadem in pios faciens, & excogitans, & his multo deteriora. Diuersa enim morte Christianos afficit, & multos in fluuium Orontem mergit. Seditione itaque hanc oram occupante, post multa, & diuturna pro pietate certamina, & labores, ad communem dominum, quem dilexerat, & pro quo passus erat gaudens athleta, vt coronas consequatur, Athanasius commigrauit, consumptis * quadraginta annis in sacerdotio, vel potius in labore pro fide Orthodoxa.

Liber, vnde hæc excerpsimus, negligentiam potius quam diligentiam redolet, maximè vero distributione sensuum multis capitibus recentia præ aliis narrat,

Prodigia. — ** Centum habet Metaphrastes.* — ** Neq; ... [illegible] ... Metaphrastes legit.* — *B. Athanasij mors.* — ** Sex & quadraginta, Simeon Metaphrastes.*

ANTIPH. ORAT.

ORATIONES DECEM GRÆCIÆ ORATORVM,

Antiphontis.	*Aeschinis.*
Isocratis.	*Demosthenis.*
Andocidæ.	*Hyperidis.*
Lysiæ.	*Dinarchi.*
Isæi.	*Lycurgi.*

CCLIX.

ANTIPHONTIS ORATIONES.

Decem Græcia Oratorum hac Elogia, Plutarchi nomine magnam partem, Opusculis, vt vocant, Moralibus circumferuntur, at hic longe, quam ibi castiora. Certe vtrobique collectanea verius, quam integra scriptio, apparet, quæ Photius si Plutarchi esse putasset, cum non longe bene è Parallelis excerpta dederit, haud dubie non præteriisset. Lampria tamen ne quid dissimulẽ, in censum Plutarchi recipit, etsi quædam in Demosthene hic quam in eius Vita, diuerse narrentur.

LECTÆ sunt Antiphontis variæ Orationes: quæ accusationem, persuasionem, & in inueniendo grauitatem continent. In quæstionibus dubiis artificiosus, & ex obscuris ratiocinans, & ad leges, & affectus orationes conuertens, decoro maximè studet. Cæcilius quidem Siculus ait non vti hunc Oratorem figuris sententiarum, sed directè ab illo non fictè animi cogitata efferri. Conuersionem vero callidam & mutationem, neque illum quærere, nec vti, sed per ipsos sensus, & naturalem eorum consequentiam, quo velit auditorem trahere. Antiqui enim Oratores sufficere sibi arbitrabantur, inuenire Enthymemata, & phrasi eximia pronunciare. Toti enim circa dictionem occupabantur, & eius ornatum. Primum quidem, qua ratione esset significatiua, & venusta: deinde modulata eorum compositio. In hoc enim se ab idiotis differre ac præstare credebant. Deinde cum dixisset sine Figuris sententiarum esse Antiphontis orationem, tanquam corrigens seipsum: Non hoc, inquit, dico, quasi nulla in Antiphonte figura sententiarum inueniatur (etenim interrogatio & responsio, & alia similia apparent in eius orationibus) sed quia non de industria, neque continenter vsus est illis, sed quo natura ipsa sine aliqua methodo duxit. Quod videre est in orationibus passim obuiis imperitorum. Ideo & cum aliquis sine figuris dixerit esse orationes, non omnino putet illas Figuris carere, (hoc enim fieri nequit) sed quia artificium perpetuúsque ductus ac vehementia figurarum in ipsis non apparent. Dicuntur illius orationes sexaginta, quarum Cæcilius viginti quinque falso illi adscribi ait, vt restent tantum triginta quinque. Hic patri suo Sophilo operam in studiis dedit. Cæcilius vero huius Oratoris magistrum facit historicum Thucydidem. Dissensisse vero illum à Socrate non contentionis, sed inuestigandæ veritatis gratia. Primum autem condidisse dicit orationes iudiciales. Præcedentium enim nemo hoc genere orationis vsus esse deprehenditur: neque reperias iudicialem orationem scriptam ante tempora Antiphontis. Primum quoque artem Rhetoricæ referunt tradidisse, sollers cum esset, & inde Nestoris cognomen sortitum. Plato in Pisandro illum vt auarum incessit. Fama est illum etiam Tragœdias composuisse, priuatim quidem, & cum Dionysio Tyranno cohabitantem. Studentem vero prius poësi, artem aiunt illum reperisse qua tristitia depelleretur, & iuxta forum Corinthi

ΛΟΓΟΙ ΤΩΝ ΔΕΚΑ ΡΗΤΟΡΩΝ τῆς Ἑλλάδος,

Ἀντιφῶντος.	Αἰσχίνου.
Ἰσοκράτους.	Δημοσθένους.
Ἀνδοκίδου.	Ὑπερίδου.
Λυσίου.	Δεινάρχου.
Ἰσαίου.	Λυκούργου.

ΑΝΤΙΦΩΝΤΟΣ ΛΟΓΟΙ.

σνθ'.

Antiphontis orationes.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Ἀντιφῶντος λόγοι διάφοροι. εἰσὶ δ' αὐτοῦ οἱ λόγοι τὸ ἀκριβὲς καὶ πιθανὸν καὶ περὶ τὴν εὕρεσιν δεινὸν οἰκειούμενοι. ἔστι δὲ ὁ ἀνὴρ καὶ ἐν ταῖς ἀπορίαις τεχνικὸς, καὶ τὰς ἐπιχειρήσεις ἐξ ἀδήλου ποιούμενος· καὶ ἐπὶ τοὺς νόμους καὶ τὰ πάθη τρέπων τοὺς λόγους, τοῦ εὐπρεποῦς μάλιστα στοχαζόμενος. ὁ μέν τοι Σικελιώτης Κεκίλιος μὴ κεχρῆσθαί, φησι, τὸν ῥήτορα τοῖς κατὰ διάνοιαν σχήμασιν, ἀλλὰ κατ' εὐθὺ αὐτοῦ καὶ ἀπλάστους τὰς νοήσεις ἐκφέρεσθαι. τροπὴν δὲ ἐκ τοῦ πανούργου καὶ ἐνάλλαξιν οὔτε ζητῆσαι τὸν ἄνδρα οὔτε χρήσασθαι· ἀλλὰ δι' αὐτῶν δὴ τῶν νοημάτων, καὶ τῆς φυσικῆς αὐτῶν ἀκολουθίας, ἄγειν τὸν ἀκροατὴν πρὸς τὸ βούλημα. οἱ γὰρ πάλαι ῥήτορες ἱκανὸν αὐτοῖς ἐνόμιζον εὑρεῖν τε τὰ ἐνθυμήματα, καὶ τῇ φράσει περιττῶς ἀπαγγεῖλαι. ἐσπούδαζον γὰρ τὸ ὅλον περί τε τὴν λέξιν, καὶ τὸν ταύτης κόσμον· πρῶτον μὲν ὅπως εἴη σημαντικὴ καὶ εὐπρεπὴς, εἶτα καὶ ἐναρμόνιος ἡ τούτων σύνθεσις· ἐν τούτῳ γὰρ αὐτοῖς καὶ τὴν πρὸς τοὺς ἰδιώτας διαφορὰν ἐπὶ τὸ κρεῖττον περιγίνεσθαι. εἶτα εἰπὼν, ὡς ἀσχημάτιστος εἴη κατὰ διάνοιαν ὁ τοῦ Ἀντιφῶντος λόγος, ὥσπερ ἐπιδιορθούμενος ἑαυτόν· οὐ τοῦτο, λέγω φησὶν, ὡς οὐδὲν εὑρίσκεται διανοίας παρὰ Ἀντιφῶντι σχῆμα· (καὶ γὰρ ἐρώτησίς τις καὶ παράληψις, καὶ ἕτερα τοιαῦτα, ἔνεισιν αὐτοῦ τοῖς λόγοις·) ἀλλὰ τί φημι. Ὅτι μὴ κατ' ἐπιτήδευσιν, μήτε συνεχῶς ἐχρήσατο τούτοις· ἀλλ' ἔνθα ἂν ἡ φύσις αὐτὴ μεθοδείας τινὸς χωρὶς ἀπήγαγεν· ὃ δὴ καὶ περὶ τοὺς τυχόντας τῶν ἰδιωτῶν ἔστιν ὁρᾶν. διὰ τοῦτο καὶ ὅταν τις ἀσχηματίστους (εἶναι) λέγῃ λόγους, οὐ καθάπαξ * οἴονται τῶν σχημάτων αὐτοὺς ἀπεστερημένους εἶναι· τοῦτο γὰρ ἀδύνατον· ἀλλ' ὅτι τὸ ἐμμέθοδον καὶ συνεχὲς καὶ ἐρρωμένον τῶν σχημάτων οὐκ ἔστιν ὁρώμενον ἐν αὐτοῖς. φέρονται δὲ αὐτοῦ λόγοι ἑξήκοντα, ὧν ὁ Κεκίλιος εἴκοσι καὶ πέντε φησὶν αὐτοῦ καταψεύδεσθαι· ὡς εἶναι τοὺς διατυγχάνοντας τὸ νόθον, πέντε καὶ τριάκοντα. οὗτος τῷ οἰκείῳ πατρὶ Σοφίλῳ σοφιστεύοντι μαθητεῦσαι λέγεται. Κεκίλιος δὲ Θουκυδίδην τὸν συγγραφέως μαθητὴν γεγονέναι φησὶ τὸν ῥήτορα· διενεχθῆναι δέ φασιν αὐτὸν καὶ Σωκράτει τῷ φιλοσόφῳ, οὐ πρὸς φιλονεικίαν, ἀλλὰ πρὸς ἔλεγχον ὁρῶντα. συντάξαι δὲ αὐτὸν καὶ πρῶτον, φασι, τοὺς ἐν τοῖς δικαστηρίοις ἀγωνιστικοὺς λόγους. τῶν γὰρ πρὸ αὐτοῦ, οὐδεὶς φαίνεται καθεὶς ἑαυτὸν εἰς τοῦτον τὸν ἀγῶνα· οὐδ' ἔστι λαβεῖν δικανικὸν λόγον τῶν Ἀντιφῶντι πρότερον γεγραμμένων. πρῶτον δὲ αὐτὸν καὶ ῥητορικὰς συντάξασθαί φασι τέχνας, ἀγχίνουν γεγονότα. διὰ τοῦτο λαβεῖν ἐπώνυμον καὶ τὸν Νέστορα. κωμῳδεῖ δὲ αὐτὸν εἰς φιλαργυρίαν Πλάτων ἐν Πεισάνδρῳ. λόγος δὲ αὐτὸν καὶ τραγῳδίας συνθεῖναι, ἰδίᾳ τε, καὶ Διονυσίῳ συνδιατρίβοντα τῷ τυράννῳ. σχολάζοντα δὲ πρότερον τῇ ποιήσει, τέχνην φασὶν αὐτὸν ἐξευρεῖν ἀλυπίας· καὶ κατά τινα ἀγορὰν ἐν Κορίνθῳ οἰκημά-

περὶ τῶν παλαιοτέρων.

* *οἰητέον τὰς. H. St.*

Sophilus.

Thucydides.

Socrates.

οἴκημά τι πρὸς τῷ οἰκοδομησάμενος ἐπιγράψαι, δύνασθαι αὐτὸν τοὺς λυπουμένους διὰ λόγων θεραπεύειν. καὶ δὴ καὶ πυνθανόμενος τὰς αἰτίας τῆς λύπης, τοὺς κάμνοντας παρεμυθεῖτο. τοῦτο δὲ τὸ ἐπιτήδευμα ἧττον εἶναι νομίσας τῆς ἑαυτοῦ μεγαλονοίας, ἐπὶ ῥητορικὴν ἐτράπη. συνεγράψατο δὲ καὶ κατὰ Ἱπποκράτους τοῦ ἰατροῦ λόγον, καὶ εἷλεν αὐτὸν ἐξ ἐρήμου. ὁ δὲ χρόνος ἦν, καθ' ὃν ἤκμαζεν, ἐν ᾧ διεπέπρακτο τὰ Περσικά, ὀλίγῳ πρότερον Γοργίου τοῦ σοφιστοῦ γεγονώς. παρέτεινε δὲ τὸν βίον ἕως τῆς ὑπὸ τῶν * υ' γενομένης καταλύσεως τῆς δημοκρατίας, ἧς καὶ αὐτὸν αἰτίαν μετεσχηκέναι * φασὶ παρασχεῖν· διὸ καὶ μετὰ τὴν κατάλυσιν τῶν τετρακοσίων εἰσαγγελθεὶς ἑάλω, καὶ τοῖς τῶν προδοτῶν ἐπιτιμίοις ὑποβληθείς, ἄταφος ἐρρίφη· καὶ γέγονεν ἄτιμος, οὐκ αὐτὸς μόνον, ἀλλὰ καὶ οἱ ἐξ αὐτοῦ φύντες. Λυσίας δὲ τοὐναντίον ἱστορεῖ. φησὶ γὰρ μᾶλλον αὐτὸν ὑπὸ τῶν τετρακοσίων ἀναιρεθῆναι. οἱ δέ φασιν, αὐτὸν πρεσβευτὴν πρὸς Διονύσιον τὸν τύραννον παραγεγονότα, καὶ ζητήσεώς τινος παραπεσούσης, τίς ἄριστός ἐστι χαλκός; αὐτὸν ἄριστον εἶναι φάναι, ἐξ οὗ αἱ στῆλαι Ἁρμοδίου πεποίηνται καὶ Ἀριστογείτονος. ἀκούσαντα δὲ τὸν Διονύσιον, καὶ εἰς αὐτὸν ὑπονοήσαντα τὸν λόγον ἀπερρίφθαι, καὶ προτροπὴν εἶναι τῆς αὐτοῦ καταλύσεως· τὸν ἐπὶ θανάτῳ τὸν ῥήτορα καταδικάσαι. οἱ δὲ διότι φασὶ τὰς τραγῳδίας αὐτοῦ διασύρων ἐπαρρησιάζετο.

* τετρακοσίων.

* al. φασὶ

ΙΣΟΚΡΑΤΟΥΣ ΛΟΓΟΙ.

σξ'.
Isocratis Orationes.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Ἰσοκράτους λόγοι διάφοροι. φέρονται δὲ αὐτοῦ τὸν ἀριθμὸν ἑξήκοντα. ὧν ἐκρίθησαν γνήσιοι κατὰ μὲν Διονύσιον, ἐπὶ τοῖς πέντε καὶ εἴκοσι· κατὰ δὲ Καικίλιον ὀκτὼ καὶ εἴκοσι. γεγραφέναι δὲ αὐτὸν τέχνην ῥητορικὴν λέγουσιν, ἣν καὶ ἡμεῖς ἴσμεν τοῦ ἀνδρὸς ἐπιγραφομένην τῷ ὀνόματι. οἱ δὲ συνασκήσει μᾶλλον, ἢ τέχνῃ χρήσασθαι κατὰ τοὺς λόγους τὸν ἄνδρα φασί. γέγονε δὲ κατὰ τὴν ὀγδοηκοστὴν καὶ ἕκτην ὀλυμπιάδα· νεώτερος μὲν Λυσίου ἐπὶ δυσὶν ἔτεσι καὶ εἴκοσι· Πλάτωνος δὲ πρεσβύτερος δέκα, δεόντων γ'. ἦν δὲ παῖς Θεοδώρου * Ἐρχιέως ἑνὸς τῶν μετρίων πολιτῶν. ἐν παισὶ μὲν οὖν τελῶν, ἠκροάσατο Προδίκου τε τοῦ Κείου, καὶ Γοργίου τοῦ Λεοντίνου, καὶ Τισίου τοῦ Συρακουσίου, καὶ τοῦ ῥήτορος Θηραμένους. εἰς ἄνδρας δὲ τελέσας, πραγμάτων μὲν ἀναχωρεῖ τῶν πολιτικῶν· (ὅτι τε τὴν φωνὴν ἰσχνὸς ἦν, καὶ τὸν τρόπον εὐλαβής. τὰ πατρῷα μέν τοι ἀποβεβληκώς, ἐν τῷ πρὸς Λακεδαιμονίους πολέμῳ, ἕνα μόνον τὸν τῆς ἀντιδόσεως λόγον εἰπών, ἀπέστη τῆς τοιαύτης προαιρέσεως.) ἰδίαν δὲ διατριβὴν ὑποστησάμενος, ἐπὶ τὸ φιλοσοφεῖν καὶ γράφειν ὥρμησε· καὶ ὅ, τε πανηγυρικὸς αὐτοῦ λόγος συνετάγη, καί τινες ἄλλοι τῶν συμβουλευτικῶν, ἡγούμενος ταῖς παραινέσεσι τοὺς Ἕλληνας φρονεῖν ἐκδιδάξαι τὰ συμφέροντα. ἀποτυχὼν δὲ τῆς γνώμης τούτου μὲν ἀπέστη τοῦ ἐπιτηδεύματος, σχολῆς δὲ σοφιστικῆς ἤρξατο. ὥς μέν τινές φασι τὰ πρῶτα ἐπὶ Χίου μαθητὰς ἔχων ἐννέα· ὅτε καὶ τὸν μισθὸν ἰδὼν τῆς διδασκαλίας ἀριθμούμενον, φάναι δακρύσαντα· ὡς νῦν ἐμαυτὸν ἔγνων τούτοις πεπραγμένον. ἐχρήσαντο δὲ αὐτῷ ἄλλοι τε πολλοί, ὡς καὶ εἰς ἑκατὸν συντελέσαι, καὶ δὴ καὶ Τιμόθεος ὁ Κόνωνος. μεθ' οὗ καὶ πολλὰς ἐπῆλθε πόλεις, τὰς πρὸς Ἀθηναίους ἐπιστολὰς * συντιθείς, ἃς ὁ Τιμόθεος ἀπέγραφεν·

* al. Ἐρχηρέων.

ANTIPH. ORAT.

domunculæ cuidam à se constructæ sic inscripsisse, Se oratione sua dolorem posse pellere. Etenim interrogando mœroris causas tristes consolabatur. Hoc studium minus esse putans, quam ingenij sui præstantiam deceret, ad oratoriam iterum se conuertit. Scripsit etiam orationem contra Hippocratem Medicum, & illum indicta causa damnauit. Floruit autem ea tempestate qua bellum gestum cum Persis paulo ante Gorgiam Sophistam natus. Extendit vero vitam vsque in id tempus, quo popularis status est à * CCCC. Tyrannis sublatus, cuius mutationis & ipsum causam vna fuisse aiunt. Quamobrem & soluta horum tyrannide, in ius vocatus damnatur, & proditorũ pœna insepultus proiectus est, & infamia notatus non modo ipse, sed eius etiam omnes posteri. Lysias vero contra narrat, illum potius à quadringentis Tyrannis interfectum esse. Alij ferunt illum legatum ad Dionysium tyrannum profectum, & quæstione quadam proposita, quodnam esset optimum æs, illud optimum esse dixisse, ex quo statuæ Hermodio, & Aristogitoni factæ essent. Audientem vero Dionysiũ, & in se hæc dici suspicantem, & necis suæ incitamentum esse, capitis Oratorem condemnasse. Alij vero propterea occisum commemorant, quod Dionysii illius Tragœdias liberius perstrinxisset.

* Quadraginta habet Plutarch ut ibi numeri nota peccatum appareat, & υ, pro μ, reponendum.

ISOCRATIS ORATIONES.

CCLX.

LEGIMVS varias orationes Isocratis. Dicuntur numero sexaginta, quarum quinque & viginti Dionysio legitimæ sunt, Cæcilio viginti octo. Scripsisse autem illum artem Rhetoricæ tradunt, quam & eius nomine inscriptam scimus. Alij vero tradunt hunc in orationibus magis exercitatione quã arte vsum esse. Natus est circa Olympiadem octogesimã sextam. Iunior Lysia annis viginti & duobus, Platone septem annis antiquior. Erat autem filius Theodori sacerdotis inter mediocres ciues. Etiamnum puer audiuit Prodicum Chium, & Gorgiam Leontinum, & Tisiam Syracusanum, & Theramenem Rhetorem. Iam vir Reip. curam non admisit: quia gracili voce erat, ac timidus: paternásque respiciens calamitates bello Laconico acceptas, vnam solam * de Retributione orationem habuit, & à dicendo deinceps abstinuit: Institutoque ludo, philosophari, & scribere est aggressus, ac Pagenyricum, & quasdam in genere deliberatiuo scripsit orationes, ratus ita Græcos ad ea quæ officio honestatique sunt consentanea, posse incitari. Quod institutum cum minime feliciter succederet, distitit postea alias orationes scribere. Ludum autem tenuit primo in Chio, cum; vt nonnulli tradunt nouẽ haberet auditores: ex quo cum videret numeratã mercedem, collacrimans ait: Vt meipsum his præbui vendendum. Auditores postea habuit centum; multos quidem alios, sed imprimis Timotheum Cononis filium, quocum multas adiit ciuitates, cum illas scriberet epistolas, quæ sunt à Timotheo missæ ad Athenienses:

* alij ἀντιδόσεως.

ISOCRATIS ORAT.

inde talentum dono accepit. Dedit se quoque illi ad audiendum Xenophon Grylli F. Theopompus Chius, & Ephorus Cumæus, quos ad scribendam historiam incitauit, ad captum cuiusque apte argumenta historiæ distribuens: adhæc & Asclepiades, qui Tragœdias scripsit, & Theodectes Phaselites, qui etiam postea Tragœdias composuit. Quin etiam Leodamas Atheniensis, & Lacritus, qui auctor legum Atheniensibus ferendarum fuit. Ferunt autem nonnulli & Hyperidem & Isæum auditores fuisse, & Demosthenem ad eum studiosè accessisse, dixisseque se mille drachmas, quo pretio ille docebat, præbere non posse, daturum vero ducentas, vt quintam artis partem disceret. Isocratem autem respondisse: Artem non in frusta dissecamus, sed si discere voles, totam bene dicendi artem tibi vendam. Itaq; orationem de Retributione, Panegyricum, & alias in Suasorio genere, vt diximus, quasdam composuit: Panegyricum aiunt decem annis alij, alij quinque annis elaborasse, quamquam à Gorgiæ Leontini, & Lysiæ Enthymematis, & Epicherematis parum mutata est oratio Panegyrica Isocratis. Credat iure aliquis tam longo tempore orationem hanc edolasse Oratorem, dum inhæret compositioni, propter ornatum orationis, & abundantiam, & propter sedulam electionem in verbis, & mutuam partium concinnitatem, imo accuratam incisorum ac membrorum constructionem, tantum temporis exigere arbitrabitur. Maximè vero rerum inuentio & dispositio, hanc occupationem præbuit. Capita enim & Epicheremata, quibus oratio directa perficitur, si quis diligenter & singulas partes attenderit, inueniet eam nonnisi longo tempore absolui potuisse. Quare & multas multis iudiciales orationes præbuit, propter mutuas inter se dissensiones, cum alii exercitationi & curæ Orationum incumberent, alij specie tenus recitabant. Licebat autem videre alios ad iudiciales causas aptos esse, alios autem dicendo his* inferiores esse. Panathenaicum anno ante obitum, vel vt nonnulli ferunt, quarto conscripsit: illas ad Philippum paulo antequam est mortuus. Vixit, vt nonnullis placet, annos cētum: vt aliis, octo & nonaginta. Mortuus autem est nunciata illi clade Chæronensi, quum quatriduũ cibo abstinuisset, vt qui nollet iam quarto Græciam seruitute oppressam videre. Satis vberes magnasque diuitias tenuit, non solũ quod à familiaribus & ipsis notis exigeret pecuniam, verum etiam quod à Nicocle rege Cypri, qui ipse erat Euagoræ filius, viginti talenta pro scripta ad illum oratione recepit. Quæ res cum illi magnam conflaret inuidiam, ter ad trierarchicum munus designatus, bis quidē filij opera, imbecillitatis excusatione deprecatus est: tertio vero cũ suscepisset, cōsumpsit nō pauca. Et cũ interrogaretur, cur ipse, qui doceret alios, sibi docēdo non esset satis: respōdit * coticulas quidē ipsas secare nō posse, eas tamē ferro secādi vim ac facultatē dare.

Panegyricus Isocratis.

* [illegible]

* *Horatius expressit in arte Poet.*
- Fungor vice cotis, acutum Reddere quæ ferrum valet, exsors ipsa secandi.

ὅθεν ἐκεῖνος ταλάντῳ αὐτὸν ἐδωρήσατο. γεγόνασι δὲ αὐτοῦ ἀκροαταὶ καὶ Ξενοφῶν ὁ Γρύλλου, καὶ Θεόπομπος ὁ Χῖος, καὶ Ἔφορος ὁ Κυμαῖος· οἷς καὶ ταῖς ἱστορικαῖς συγγραφαῖς προὐξένησατο χρήσασθαι, πρὸς τὴν ἑκάστου φύσιν ἀναλόγως καὶ τὰς ὑποθέσεις τῆς ἱστορίας αὐτοῖς διανειμάμενος. ἐπὶ τούτοις καὶ Ἀσκληπιάδης, ὃς τὰ τραγῳδούμενα συνεγράψατο. Θεοδέκτης δὲ ὁ Φασηλίτης καὶ αὐτὸς ὕστερον τραγῳδίας συνταξάμενος· ἀλλὰ καὶ Λεωδάμας ὁ Ἀθηναῖος, καὶ Λάκριτος ὁ νομοθετήσας Ἀθηναίοις· ὡς δέ φασιν ἄλλοι, καὶ Ὑπερείδης, καὶ Ἰσαῖος. Δημοσθένης δὲ προσῆλθε μὲν αὐτῷ μετὰ σπουδῆς, καὶ χιλίας μὲν, ἃς εἰσεπράττετο, οὐκ ἔχειν * παρέχειν, διακοσίας δὲ [μόνας] ἐφ' ᾧ τὸ πέμπτον μέρος ἐκμαθεῖν, δοῦναι. πρὸς δὲ ταῦτα τὸν Ἰσοκράτην ἀποκρίνασθαι· ὡς οὐ τεμαχίζομεν τὴν πραγματείαν· ἀλλ', εἰ βούλοιο, ὁλόκληρόν σοι ἀποδωσόμεθα τὴν τέχνην. τὸν μὲν οὖν περὶ τῆς ἀντιδόσεως, καὶ τὸν πανηγυρικὸν, καί τινας τῶν συμβουλευτικῶν, εἴρηταί μοι, ὅπως τε καὶ ὅτι συνέταξεν. συνέθηκε μέν τοι τὸν πανηγυρικὸν, οἱ μὲν ἔτεσί φασι δέκα· οἱ δὲ ἐπὶ τούτοις ἔτεσι πέντε. καί τοιγε Γοργίου τοῦ Λεοντίνου καὶ Λυσίου τῶν ἐνθυμημάτων, καὶ ἐπιχειρημάτων, μικροῦ μεταβολὴ καθέστηκε καὶ μετάθεσις ὁ πανηγυρικὸς Ἰσοκράτους λόγος. διεξιέναι δ' ἄν τις οἰηθείη μακρὸν οὕτω χρόνον τοῦ πανηγυρικοῦ, προσεδρεύοντα τὸν ῥήτορα τῇ συνθήκῃ, διὰ τὸ τῆς λέξεως κατεσκευασμένον, καὶ περιττὸν, καὶ διὰ τὴν εἰς ἀκρίβειαν τῶν ὀνομάτων ἐκλογὴν, καὶ δὴ καὶ τῆς πρὸς ἄλληλα τούτων συνθήκης. ἀλλὰ καὶ ἡ τῶν κώλων καὶ περιόδων ἐπὶ τοσοῦτον ἀκρίβεια ἱκανὴ καταναλῶσαι χρόνον. μάλιστα δὲ αὐτῷ ἡ τῶν πραγμάτων εὕρεσις καὶ διοίκησις [καὶ] τὴν τοσαύτην ἀσχολίαν ἐνεποίησε. τὰ γὰρ κεφάλαια, καὶ τὰ ἐπιχειρήματα, οἷς ὁ λόγος οἰκονομούμενος ἀπαρτίζεται, εἴ τις ἐπιμελῶς καὶ καθ' ἕκαστον μέρος ἐπισκέψοιτο, εὕρηκε συντελεσθῆναι πολλοῦ δεόμενα χρόνου. διὸ καὶ πολλοὺς πολλοῖς παρέσχε τῶν κριτικῶν διαφέρειν μὲν καθ' ἑαυτοὺς, διαφωνίας δὲ πρὸς ἀλλήλους· τῶν μὲν ἐμβαθυνομένων τῇ μελέτῃ καὶ διασκέψει τοῦ λόγου, τῶν δὲ κατὰ τὸ ἐπιπόλαιον τὴν ἀνάγνωσιν ποιουμένων. ἔστι δ' εἰπεῖν, καὶ διότι τοῖς μὲν ἑτέρα φύσις, ἣν ἔχουσι πρὸς τὰς κρίσεις· τοῖς δὲ ὁ ἐλαττούμενος ἐπιγινώσκει λόγος. τὸν δὲ λεγόμενον παναθηναϊκὸν, πρὸ ἐνιαυτοῦ τῆς τελευτῆς αὐτοῦ ἔγραψεν, ἢ (ὥς τινές φασι) πρὸ τεσσάρων. καὶ τοὺς πρὸς Φίλιππον δὲ ὀλίγῳ πρότερον τοῦ θανάτου. ἐβίω δὲ, ὡς μέν τινές φασιν, ἔτη ἑκατόν· ὡς δ' ἕτεροι, δυοῖν δεόντων μόνον, ἐτελεύτησε δὲ, ἀπαγγελθέντος αὐτῷ τοῦ περὶ Χαιρώνειαν πάθους, ἐξαγαγὼν ἑαυτὸν τοῦ βίου τέτρασιν ἡμέραις ἀσιτήσας· ἅτε δὴ μὴ ὑπομείνας ἰδεῖν τετράκις δουλουμένην τὴν Ἑλλάδα. εὐπόρησε δὲ ἀργύριον ἱκανὸν, οὐ τοὺς γνωρίμους εἰσπράττων μόνον, ἀλλὰ καὶ παρὰ Νικοκλέους, ὃς ἐβασίλευε * τῶν Κυπρίων (Εὐαγόρου δὲ ἦν οὗτος ὁ υἱὸς) ὑπὲρ τοῦ πρὸς αὐτὸν γραφέντος συμβουλευτικοῦ λόγου τάλαντα λαβὼν εἴκοσιν. ἐφ' οἷς φθόνον ἐφελκύσας, τριηραρχεῖν προεβλήθη. καὶ δὶς μὲν ἀσθένειαν σκηψάμενος, διὰ τοῦ παιδὸς παρῃτήσατο· τὸ δὲ τρίτον ἀναστὰς, ἀνήλωσεν οὐκ ὀλίγα. οὗτος πρὸς τὸν διαπυνθανόμενον διὰ τί μὴ δυνατὸς ὢν δημηγορεῖν, ἄλλους ποιεῖ δημηγόρους; ὅτι καὶ αἱ ἀκόναι, ἔφη, * αὗται μὲν τέμνειν οὐ δύνανται, τὸν δὲ σίδηρον τμητικὸν ποιοῦσι.

* [illegible]
* al. τῶν
* al. [illegible]

καὶ πρὸς

καὶ πρὸς τὸν εἰπόντα δὲ πατέρα, ὡς οὐδὲν ἄλλο ἢ ἀνδράποδον συνέπεμψε τῷ οἰκείῳ παιδί· τοιγαροῦν ἄπιθι, ἔφη· δύο γὰρ ἀνθ' ἑνὸς ἕξεις ἀνδράποδα. ἐπὶ δὲ τῷ Σωκράτους θανάτῳ λίαν ἐλυπήθη· καὶ μελανειμονῶν προῆλθε τῇ ὑστεραίᾳ. δύο δὲ ἐν ἅπαντι τῷ βίῳ συνέστησαν αὐτῷ ἀγῶνες· πρότερος μὲν εἰς ἀντίδοσιν *προσκαλεσαμένου αὐτὸν Μεγακλείδου. πρὸς ὃν οὐκ ἀπήντησε διὰ νόσον· τὸν δὲ θετὸν υἱὸν ἀνθ' αὐτοῦ προβαλλόμενος Ἀφαρέα, ἐνίκησε· δεύτερος δέ, Λυσιμάχου προσκαλεσαμένου αὐτὸν περὶ τριηραρχίας εἰς ἀντίδοσιν· ἐν ᾧ καὶ ἡττηθείς, τὴν τριηραρχίαν ὑπέστη. τῶν δὲ λόγων αὐτοῦ τὸ διακριτὸς καὶ σαφὲς καὶ μεμελετημένον, πᾶσι δῆλον· καὶ ὡς ἐπανθεῖ αὐτοῖς οὐ μόνον ἔμφυτον, ἀλλὰ καὶ κομμωτικὸν κάλλος. οὐ μὲν τοίγε πολυσχήμων ὁ ἀνήρ, οὐδὲ ταῖς κατὰ τὸ σχῆμα τροπαῖς ποικιλλόμενος· διὸ καὶ δι' ἔνδειαν τῆς ἐν τούτοις μεταβολῆς, οὐδὲ ἐναγώνιος. Ἰσοκρατικὴ δὲ καὶ τῶν ἐν τοῖς λόγοις ὑποστάσεων ἡ συνέχεια. τάχα δὲ ἄν τις αὐτὸν αἰτιάσαιτο κλοπῆς, ἐξ ὧν ἐν τῷ πανηγυρικῷ λόγῳ αὐτοῦ πολλὰ τῶν κατὰ τοὺς ἐπιταφίους λόγους εἰρημένων Ἀρχίνῳ τε καὶ Θουκυδίδῃ καὶ Λυσίᾳ ὑπεβάλετο. ἀλλ' οὐδὲν κωλύει, παραπλησίων ἀνακυπτόντων πραγμάτων, ταῖς ὁμοίαις ἐξεργασίαις *χρῆσθαι καὶ τοῖς ἐνθυμήμασιν· οὐχ ὑποβαλλόμενον τὰ ἀλλότρια, ἀλλὰ τῆς τῶν πραγμάτων ἀναβλαστανούσης φύσεως τοιαῦτα, οἷα καὶ τοῖς προλαβοῦσι προβαλλομένης ἐπιδείκνυται. ἐτάφη δὲ τελευτήσας λαμπρῶς ἅμα πατρὶ καὶ μητρὶ καὶ ἀδελφῇ καὶ τῇ ἄλλῃ συγγενείᾳ. ἀνάκειται δὲ αὐτοῦ καὶ ἐν Ἐλευσῖνι εἰκὼν χαλκῆ, ἐπιγραφὴν ἔχουσα·

* al. προσκαλεσαμένου.

* al. κεχρῆσθαι.

ΤΙΜΟΘΕΟΣ ΦΙΛΙΑΣ ΤΕ ΧΑΡΙΝ, ΞΥΝΕΣΙΝ ΤΕ ΠΡΟΤΙΜΩΝ, ΙΣΟΚΡΑΤΟΥΣ ΕΙΚΩ ΤΗΝΔ' ΑΝΕΘΗΚΕ ΘΕΩΙ ΚΛΕΟΧΑΡΟΥΣ ΕΡΓΟΝ.

Καὶ ἑτέραν δὲ εἰκόνα ἔστησεν αὐτοῦ πρὸς τῷ Ὀλυμπίῳ ἐπὶ κίονος χαλκῆν ὁ θετὸς παῖς Ἀφαρεύς, υἱὸς γεγονὼς Λαγίσκης ἑταίρας τινός· ἣν ἔχουσαν τρεῖς παῖδας ὕστερον Ἰσοκράτης ἠγάγετο, ὧν εἷς ἦν καὶ ὁ Ἀφαρεὺς ὁ τὴν εἰκόνα στησάμενος, καὶ ἐπιγράψας·

Ἰσοκράτους Ἀφαρεὺς πατρὸς εἰκόνα τήνδ' ἀνέθηκε
Ζηνί, θεούς τε σέβων, καὶ γονέων ἀρετήν.

Cum pater quidam diceret, se solùm seruum cum filio misisse: Ergo discede, inquit: nam pro vno duos habiturus es seruos. Socratis mortem immoderate ferre visus est, vt atratus ipse sequenti die in publicum prodiret. Bis tota vita in certamen est vocatus: primum quidē, cum ad retributionem illum Megaclides conuocauit, cui respondenti facultatem morbus præcidit, sed misso filio Aphareo superior fuit in causa: secundo vero, cum ad retributionem triremium causa suscepta est à Lysimacho vocatus: à quo cum victus esset, Trierarchiæ onus subiit. Puritatem, perspicuitatem, & curā orationum eius omnes norunt, & illas non venustatem modo innatam, sed quæ etiam in incisis versetur, condecorare. Quanquam figuris non abundaret, nec etiam varitate earum ornetur. Ideoque propter raram figurarum mutationem in oratione, non est contentioni aptus. Continuatio vero in orationibus argumentorum propria illius. Forte vero quis illum furti redarguat, quod multa in oratione Panegyrica ex epitaphiis sermonibus Archini, Thucydidis, & Lysiæ sit mutuatus: verum nihil prohibet iisdem vti argumentis. cum eædem res incidant, nec supponere aliena, cum res argumenta talia producant, qualia & priores habuerunt, ostenditur. Mortuus honorifice sepultus est cum patre, matre, sorore, aliisque amicis. Est & illius in Eleusine ænea statua erecta, cui ita inscribitur.

ISOCRATIS ORAT.

TIMOTHEVS HONORIS, AMICITIÆ, ATQVE HOSPITALITATIS DEABVS, IMAGINEM ISOCRATIS DEDICAVIT.

Quod opus Cleocharem auctorem agnoscebat. Aliam illi statuam æneam adoptatus filius Aphareus statuit ad Olympium in columna; qui natus est ex amica Lagisca, quam trium liberorum matrem Isocrates duxit, quorum vnus erat Aphareus, qui illi statuam posuit, & inscripsit.

APHAREVS PATRIS ISOCRATIS HANC STATVAM HONORI IOVIS PARENTVMQVE VIRTVTI POSVIT.

ΑΝΔΟΚΙΔΟΥ ΛΟΓΟΙ.

σξα'. Andocidæ orationes.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Ἀνδοκίδου λόγοι τέσσαρες, οὓς τέως εἴδομεν· ὁ περὶ τῶν μυστηρίων, ὁ περὶ τῆς ἑαυτοῦ καθόδου, ὁ περὶ τῆς πρὸς Λακεδαιμονίους εἰρήνης, καὶ τέταρτος, ὁ κατὰ Ἀλκιβιάδου. ἔστι δὲ ἐν τούτοις ὁ ἀνὴρ ἁπλοῦς τε καὶ ἀκατάσκευος, ἀφελείας τε φίλος, καὶ τοῦ ἀσχηματίστου σχηματιζόμενος. συνακμάσαι δὲ Σωκράτει τῷ φιλοσόφῳ λέγεται, καὶ ἀρχὴν αὐτοῦ τῆς γενέσεως γενέσθαι ὀγδόην καὶ ἑβδομηκοστὴν ὀλυμπιάδα. παῖς δὲ ἐχρημάτιζε Λεωγόρου, ἐξ εὖ γεγονότων καταγόμενος. Ἑλλάνικος δέ φησι καὶ τοὺς πόρρω τῆς γενέσεως ὀχετοὺς ἥκειν εἰς αὐτὸν ἐξ Ἑρμοῦ. αἰτίαν δὲ λαβὼν τῆς ἀσεβείας ἐπί τε τῇ τῶν Ἑρμῶν περικοπῇ, καὶ τῇ τῶν μυστηρίων τῆς Δήμητρος ὕβρει, ἀπέφυγε κριθεὶς ἐπὶ τῷ μηνύσειν τοὺς ἀδικοῦντας. σπουδὴν δὲ πᾶσαν εἰσενεγκάμενος, εὗρέ τινας εἰς τὰ ἱερὰ ἁμαρτήσαντας, οἷς καὶ τὸν ἑαυτοῦ πατέρα συγκατεμήνυσεν.

Andocidæ Orationes.

CCLXI.

LEGIMVS quatuor orationes Andocidæ, quas quidem hactenus vidimus: vnam De mysteriis, De reditu suo secundam, tertiam De pace cum Atheniensibus, quartam in Alcibiadem. In his sine ornatu & admodum tenuis, simplicia sectatur, & quia ornatum non adhibet, ornatus. Floruisse autem tempore Socratis dicitur, & natus circa Olympiadem septuagesimam octauam, patre natus Leogora, qui bono natus loco erat. Scribit Hellanicus altius eum genus suum vsque ad Mercurium retulisse. Postea vero impietatis accusatum, quod etiam ipse Mercuriales statuas concidisset, ac mysteria Cereris violasset. His de rebus cum esset factū iudiciū, elapsus est, cum se sceleris auctores indicaturū promitteret. Itaq; omni cura studioque intentus, eos reperit, qui in sacra iniuriosi fuissent, in quibus patrē etiā indicauit.

ISOCRATIS ORAT.

Cumque cæteros omnes conuicisset, perfecit vt extremo supplicio afficerentur: patrem vero licet iam vinctum liberauit, cum illum multas vtilitates ciuitati allaturum polliceretur, nec fefellit opinio. Multos enim Leogoras conuicit, qui pecunias publicas in priuatum vsum converterẽt, & aliis quibusdam flagitiis essent obnoxij. Cum vero Andocides ob eas res, quas in Rep. gessisset, magnam gloriam esset consecutus, nauium & ipse gubernator, & administrator factus est, ac Cypri regibus, multisque aliis illustribus hospitio fuit coniunctus, cum Aristidis filiam, vnam ex ciuibus consobrinam suam, clam domesticis & familiaribus eduxit, & ad Cypri regem dono misit. Cuius rei causa cum videret se in ius mox vocatum iri, rursus illam è Cypro est furatus, eumque deprehensum Rex in vincula coniicit. Cum vero aufugisset, venit in ciuitatem quo tempore quadringenti viri Remp. administrabant: a quibus cum esset vinctus, aufugit, ac rursus euerso illo paucorum dominatu in exilium pulsus est. Hoc exilij tempore Elidem incoluit, & cum Thrasybuli familiares in ciuitatem redirent, ipse quoque est reuersus. Missus vero pro Pace ad Lacedæmonios cum improbe videretur in hoc studio versatus, fugit. Porro ab illo denominatur etiam Mercurij statua. Ea enim quamuis à tribu Aegeide posita ac dedicata sit, ab Andocide tamen nomen habet, quod ille statuæ proxime habitaret.

ἀλλὰ [γὰρ] τοὺς μὲν ἄλλους πάντας ἐλέγχοις φωράσας, ἀπολέσθαι κατειργάσατο. τὸν δὲ πατέρα, καί τοι δεδεμένον ἤδη, ἐξείλετο· ὑποσχόμενος, ἐν πολλοῖς αὐτὸν *λυσιτελέσι γενέσθαι τῇ πόλει. καὶ οὐκ ἐψεύσατο. ὁ γὰρ Λεωγόρας πολλοὺς διήλεγξε χρήματα δημόσια νοσφισαμένους, καὶ ἕτερα τοιαῦτα παραπομένους. εὐδοκιμῶν δὲ ἐπὶ τοῖς πολιτεύμασιν ὁ Ἀνδοκίδης, ἐπετέθη ναυκληρείαις· καὶ τοῖς τε κυπρίων βασιλεῦσι ξένος ἐγένετο, καὶ πολλοῖς ἄλλοις δοκίμοις· ἡνίκα καὶ θυγατέρα μὲν Ἀριστείδου, ἀνεψιὰν δὲ αὐτοῦ, τῶν οἰκείων ὑπεκκλέψας δῶρον ἔπεμψε τῷ κυπρίων βασιλεῖ. μέλλων δὲ εἰς δικαστήριον ἐπὶ τῇ κακουργίᾳ εἰσάγεσθαι· πάλιν αὐτὴν ἀπὸ κύπρου κλέπτει. καὶ ἁλοὺς ὑπὸ τοῦ κυπρίων βασιλέως, δεσμοῖς παρεδόθη· κἀκεῖθεν δὲ διαδρὰς, ἐπεδήμησε τῇ πόλει κατ' ἐκεῖνο καιροῦ, ἡνίκα τοῖς τετρακοσίοις τὰ πολιτικὰ μετεχειρίζετο πράγματα. δεθεὶς δὲ καὶ ὑπὸ τούτων, πάλιν διέφυγεν. ἡνίκα δὲ ἡ ὀλιγαρχία κατελύθη, ἐφυγαδεύθη τῆς πόλεως· καὶ ἐν ἤλιδι τὸν τῆς φυγῆς χρόνον διατρίψας, τῶν περὶ Θρασύβουλον κατεληλυθότων, καὶ αὐτὸς συγκατελήλυθεν. αἱρεθεὶς δὲ περὶ τῆς εἰρήνης εἰς λακεδαίμονα πρεσβεύειν, καὶ ἀδικεῖν δόξας, ἔφυγε. τούτου δέ ἐστιν ἐπώνυμος καὶ Ἑρμῆς. ἀνάθημα μὲν *φυλῆς αἰγηΐδος. ἐπικληθεὶς δὲ Ἀνδοκίδου· διότι πλησίον αὐτοῦ Ἀνδοκίδης ᾤκει.

*λυσιτελῶ H. St.

*φυλῆς M. M.

CCLXII.

Lysiæ orationes.

Legi varias Lysiæ orationes, quæ dicuntur esse numero trecentæ & viginti quinque, quarum legitimæ sunt, ducētæ & triginta tres. In quibus bis tantum solum dicendo victus dicitur, cum tamen sæpius cum aduersariis contenderit. Est in orationibus suis breuissimus, & ad persuadendum perappositus, & si quis alius grauiter dicendi peritus, tametsi non appareat. Etenim quanquam facilis videtur esse, nihilominus tamen imitatu est difficilis. Multas orationes priuatis hominibus dedisse dicitur. Scripsit item in genere orationis, conciones, epistolas, laudationes, epitaphia, amatoria, & Socratis defensionem. In plerisque orationibus est moralis, & quidem ad intelligentiam cum bonum sortitur argumentum, & quod ad meliora contendat. Vnde non tenuiter dicendum, quid rei gestum, sed & ratio addenda, ob quam singula sint gesta; verbi gratia, si difficilia dixerit; causari necessitatem erga amicos, aut alios moderatos: sin vero meliora, voluntatem prætendere. Hæc vero maxime probabilis est, si causam addas. Causas vero non oportet vtilitatis gratia assumere. Prudentis. n. hoc magis est viri quam frugi ac probi. Difficilis hic est seruandi modus, in quo & Lysias sæpe videtur peccasse. Maxime celebres habētur cũ alię orationes eius, tum de tutela contra Diogitonem, probabilem namque & puram narrationem facit, sed non recta ad amplificationes, & aggerationes, vt multi faciunt, conuertitur. Etenim non sunt hæc propria primæ rei explicationis, sed locum habent in sequentibus.

σξβ'. Lysiæ orationes

ΛΥΣΙΟΥ ΛΟΓΟΙ.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Λυσίου λόγοι διάφοροι· φέρονται δὲ αὐτοῦ εἰκοσιπέντε καὶ τριακόσιοι, ὧν τοῖς γνησίοις τρεῖς καὶ τριάκοντα καὶ διακόσιοι ἐγκρίνουσιν. ἐν οἷς δὶς μόνον τοῦ ἐλαττοῦν ἐνεγκεῖν τῇ λέξει, πρὸς τοὺς ἀνταγωνιστὰς πολλάκις ἀγωνισάμενος, λέγεται. ἔστι δὲ τοῖς λόγοις βραχύτατός τε καὶ πιθανώτατος, καὶ τῷ δοκεῖν μὴ δεινῶς λέγειν, εἴπερ τις ἄλλος, δεινότατος. ἀλλὰ γὰρ καὶ εὔκολος εἶναι δοκῶν, οὐδὲν ἐλαττὸν δυσμίμητος ἐπιδείκνυται. τοὺς μὲν τοίγε τῶν λόγων πλείους ἰδιώταις ἐκδεδωκέναι λέγεται. συγκεφαλαιοῦσι δὲ τοὺς λόγους αὐτοῦ δημηγορίαι, ἐπιστολαὶ, ἐγκώμια, ἐπιτάφιοι, ἐρωτικοὶ, καὶ Σωκράτους ἀπολογία. ἔστι μὲν ἐν οὐκ ὀλίγοις αὐτοῦ λόγοις ἠθικός· γίνεται δὲ κατὰ τὴν διάνοιαν ὁ ἠθικὸς, ὅταν χρηστὴν ἔχῃ προαίρεσιν, καὶ πρὸς τὰ βελτίω ῥέπουσαν. ὅθεν οὐ χρὴ ψιλῶς τὰ πραχθέντα λέγειν, ἀλλὰ καὶ τὴν γνώμην συνάπτειν, μεθ' ἧς ἐπράττετο ἕκαστον. οἷον, εἰ μὲν χαλεπὰ *εἴη, καὶ πρὸς φίλους ἢ ἄλλως μετρίους, τὴν ἀνάγκην αἰτιᾶσθαι· εἰ δὲ ἀμείνω, τὴν προαίρεσιν. αὕτη δὲ μάλιστα πιθανὴ γίνεται, εἰ τὰς αἰτίας προσλάβοι. τὰς μέν τοι γε αἰτίας οὐ χρὴ τοῦ λυσιτελοῦς ἕνεκα παραλαμβάνειν. φρονίμου γὰρ μᾶλλον, ἢ χρηστοῦ καὶ εὐγνώμονος, τὰ τοιαῦτα. χαλεπὸς δὲ ὁ τρόπος φυλάξαι: διὸ καὶ Λυσίας ἐν αὐτῷ φαίνεται πολλάκις διαμαρτάνων. θαυμάζονται μέν τοι γε αὐτοῦ ἄλλοι λόγοι, καὶ δὴ καὶ ὁ πρὸς Διογείτονα ἐπιτροπῆς· πιθανήν τε γὰρ καὶ καθαρὰν τὴν διήγησιν ποιεῖται, ἀλλ' οὐκ εὐθὺς ἐπὶ τὰς αὐξήσεις καὶ τὰς δεινώσεις, ὥσπερ πολλοὶ πάσχουσιν, ὑπάγεται. καὶ γὰρ οὐδ' ἔστιν οἰκεῖα τὰ τοιαῦτα τῆς πρώτης διδασκαλίας τοῦ πράγματος, ἀλλ' ἐν τοῖς μετὰ ταῦτα χώραν ἔχει καταλέγεσθαι.

*ᾖ M. St. *εἴη M. M.

καὶ πολ-

καὶ πολλὴν δὲ καθαρότητα καὶ σαφήνειαν ἔν τε τοῖς πράγμασι καὶ ταῖς λέξεσιν ἀπ' αὐτῆς τῆς τοῦ λόγου προβάλλεται ἀρχῆς, ὥσπερ καὶ τὸ σχῆμα τὸ καθ' εὐθεῖαν ἁρμόζον ἀφηγήσει, καὶ τὸ * μηδὲν τῶν ἔξωθεν συνεφέλκεσθαι. τὸ δὲ τῆς ἁρμονίας αὐτοῦ κάλλος οὐ παντός ἐστιν αἰσθάνεσθαι· καὶ γὰρ δοκεῖ μὲν ἁπλῶς καὶ ὡς ἔτυχε συγκεῖσθαι, εἰς ὑπερβολὴν δὲ κόσμου κατεσκεύασται. καὶ ἁπλῶς ὁ λόγος ἄξιος θαυμάσαι κατά τε τὰ σχήματα, καὶ τὰ νοήματα, καὶ τὰ ὀνόματα, καὶ τὴν ἐναρμόνιον τούτων συνθήκην, καὶ τὴν εὕρεσιν καὶ τάξιν τῶν ἐνθυμημάτων τε καὶ ἐπιχειρημάτων. ἀμφιβάλλεται μὲν ὁ παρ' ἐνίοις περὶ τοῦ σηκοῦ λόγος· ὁ σηκὸς δὲ, νῦν εἶδός ἐστιν ἱερᾶς ἐλαίας. ἀλλ' ὅτι μὲν γνήσιος Λυσίου, ἔκ τε τῶν κεφαλαίων δῆλον, καὶ ἐκ τῶν περὶ αὐτὸ ἐπιχειρημάτων, ἐξ αὐτοῦ γε τοῦ προοιμίου, τῆς τε διηγήσεως, καὶ τοῦ ἐπιλόγου· πάνυ γὰρ δαιμονίως, καὶ κατὰ τὴν εἰθισμένην τῷ ἀνδρὶ ἐν τῇ ἁπλότητι δεινότητα, ἐστὶν ἐξειργασμένα ταῦτα, καὶ τὸ κατ' ἐνθύμημα, ἀλλὰ μὴ κατ' ἐπιχείρημα, * προάγειν τὰς ἀποδείξεις, τοῦ Λυσίου μάλιστα τὸ ἰδίωμα ἀπαγγέλλει. ἀλλὰ καὶ τὸ μὴ * καθὲν διατρίβοντα μηκύνειν τὸν λόγον, τῆς τοῦ Λυσίου ἐστὶν ἀκριβείας· καὶ τὸ ἐμπαγὲς τῶν λόγων, καὶ τὸ διὰ βραχύτητος πολλὴν παρέχειν ἡδονήν· ὃ μετά γε Δημοσθένην τοῦτο μόνος τῶν ἄλλων ῥητόρων φαίνεται κατορθώσας· καὶ τὸ κάλλος δὲ τῆς διατυπώσεως· ἐν ᾧ μήτε Πλάτωνος, μήτε Δημοσθένους, μήτε Αἰσχίνου τὸ ἔλαττον ἐστὶν ἀπενηνεγμένος. ἰδίωμα δὲ Λυσίου, καὶ τὸ τὰς ἀντιθέσεις προάγειν, μηδαμῶς μὲν ἐμφαινούσας τὸ ἐπιβεβουλευμένον, τὸ δὲ ὑπ' αὐτῶν τῶν πραγμάτων ἐπεσπασμένον δεικνύειν. τεκμήριον δὲ τῆς λυσιακῆς δυνάμεως, καὶ τὸ ἐν πάσῃ τῇ περιόδῳ τῶν κώλων εὐάρμοστον καὶ μετὰ καθαρότητος ἀνθηρόν. Παῦλος δέ γε, ὁ ἐκ Μυσίας, τόν τε περὶ τοῦ σηκοῦ λόγον, οὐδὲν τῶν εἰρημένων συνιείς, τῆς τε γνησιότητος τῶν λυσιακῶν ἐκβάλλει λόγων· καὶ πολλοὺς καὶ καλοὺς ἄλλους εἰς νόθους ἀπορριψάμενος, πολλῆς καὶ μεγάλης τοὺς ἀνθρώπους ὠφελείας ἀπεστέρησεν, οὐχ εὑρισκομένων ἔτι τῶν ὑπὸ διαβολὴν πεσόντων· ἅπαξ γὰρ ἀποκριθέντες, παρεωράθησαν ἐπικρατεστέρας τῆς διαβολῆς. ὥσπερ καὶ ἐπ' ἄλλων πολλῶν, ἢ τῆς ἀληθείας γεγυμνωμένης. ἔστι δὲ ὁ Λυσίας δεινὸς μὲν παθητικεῦσαι, ἐπιτήδειος δὲ τῆς πρὸς αὔξησιν διαθεῖναι λόγους. τινὲς μὲν οὖν τῶν περὶ τὰς ῥητορικὰς διατριβόντων λόγους, οὐκ ὀρθῶς ὑπήχθησαν εἰπεῖν περὶ Λυσίου ὡς ἀποδεῖξαι μὲν τὰ ἐγκλήματα παρ' ὅντινα οὖν τῶν παλαιῶν ἀνδρῶν, τὸ προκεχειρισμένον ἔχει· αὐξῆσαι δὲ ταῦτα πολλῶν ἐνδεής. καὶ γὰρ ἐλέγχονται φανερῶς ὑπὸ τῶν αὐτοῦ λόγων πολὺ τὸ ἐπ' αὐτὸ διασφαλλόμενοι κρίσεως· καὶ μάλιστά γε τούτοις ὁ κατὰ Μνησιπτολέμου διελέγχει. θαυμαστῶς γὰρ τὴν * κατηγορίαν πρὸς μέγεθος ηὔξησε. Καικίλιος * δὲ ἁμαρτάνει, εὑρετικὸν μὲν τὸν ἄνδρα, εἴπερ ἄλλον τινὰ, συνομολογῶν· οἰκονομῆσαι δὲ τὰ εὑρεθέντα οὐχ οὕτως ἱκανόν. καὶ γὰρ καὶ τούτῳ τῷ μέρει τῆς ἀρετῆς τοῦ λόγου οὐδενὸς ὁρᾶται φαυλότερος. εἶδε δὲ * μειράκιον Δημοσθένην ὄντα. παῖς δὲ γέγονεν ὁ Λυσίας Κεφάλου τοῦ Λυσανίου τοῦ Κεφάλου, γένος μὲν Συρακούσιος, μεταναστὰς δὲ γεγονὼς εἰς Ἀθήνας, πόθῳ * τε τῆς πόλεως, καὶ τῆς Περικλέους τοῦ Ξανθίππου φήμης. ἐν ᾗ τὰ μὲν πρῶτα συνεπαιδεύετο τοῖς ἐπιφανεστάτοις τῶν Ἀθηναίων· ὕστερον δὲ, τὴν εἰς Σύβαριν ἀποικίαν στελλούσης τῆς πόλεως,

* καθίστησι συνεφέλκεσθαι. H. οἱ.

* προάγει.

* al. καθ' ἓν.

* πρὸς ὑπερβολήν.
* al. μὲν.

* al. Δημοσθένη.
μειράκ. ὄντα.
* al. δὲ.

LYSIÆ ORAT.

Magnam autem puritatem & perspicuitatem in rebus & verbis, etiam in principio orationis ostendit, vt in narrando sine ambagibus, & nihil externum aliunde adsciscendo. Venustatem autem compositionis non quiuis facile animaduertit. Nã simpliciter & casu vt res dat se, dicere videtur, assurgit tamen ornatu in immensum, estque oratio eius & propter schemata digna admiratione, & propter sensum, & verba, & concinnam horum compositionem, & inuentionem, & ordinem enthymematum, & epicherematum. In dubium autem à nonnullis vocatur oratio περὶ τοῦ σηκοῦ quæ est species sacræ oleæ. Sed verum eius esse auctorem Lysiam è capitibus apparet, & ex argumentis, à procemio, narratione & epilogo. Felicissime enim, & consueta huic grauitate in simplicitate sunt illa composita. & secundum enthymemata, & non epicherematis singula demonstrare, Lysiæ tenorem maxime indicat, quin etiam orationem, non vni immorando producere, solertiæ Lysiæ est: vt & soliditas orationum; denique magnam breuitate voluptatem adferre (in quo post Demosthenem solus inter cæteros Oratores excelluisse videtur) & pulchritudo descriptionis, quo in genere neque Platoni, nec Æschini, nec Demostheni cedit. Proprium autem Lysiæ est antithera proferre, quæ non ostendant captiosum quid, sed à rebus ducta demonstrent. Signum Lysianæ facultatis est, & in omni periodo membrorum concinnitas, & cum puritate floridum. Paulus Mysus orationem eandem περὶ τοῦ σηκοῦ cum dicta non intelligeret, à genuinis Lysiæ orationibus exterminat, & multas pulchrasque alias orationes tanquã alienas reiiciens, magnam vtilitatem hominibus eripuit: non inuentis amplius his quæ ab eo in reprehensionem ceciderunt. Semel enim seclusæ, neglectæ sunt, quod reprehensio fortior esset, quemadmodum in aliis multis, veritate detecta. Dexter autem & acer fuit Lysias ad commouendos affectus, & orationis amplificandæ egregiè peritus. Nonnulli igitur Rhetores non rectè de Lysia dixerunt, ostendere crimina præ cæteris, qui antecellerunt, posse, amplificandis vero iis multo inferiorem esse. Etenim apertè refelluntur eius orationibus, quibus indicium eorum falsum esse conuincitur, & maxime orationę contra Mnesiptolemon. Mirum enim in modum accusationem auget. Errat & Cæcilius, qui cum hunc inter alios inuentione præstare asserat, inuenta tamen disponere perinde posse negat, licet hac virtutis dicendi parte nemini cedere videatur. Vidit Demosthenem adolescentem Lysias, patremque habuit Cephalum Lysaniam Cephali filium. Is natione Syracusanus fuit. Athenas cum migrasset, partim vrbis desiderio captus, partim Periclis Xãthippi F. fama excitatus; ibi primo quidem cum clarissimis Atheniensibus erudiebatur: postquam vero ciuitas coloniam Sybarim misit,

LYSIÆ ORAT.

abiit vnà cum fratre Polemarcho natu maximo, vt hæreditatis paternæ particeps fieret. Cum iam quindecimum annum ageret, apud Tisiam, & Niciam Syracusanos instituitur, cumque domum comparasset, atque hæreditatem esset consecutus, vixit in summa abundantia vsque ad Clearchi Præturam, sequenti anno accusatus, quod partes Atheniensium sequeretur, cum aliis tribus, est patria expulsus. Athenas vero cum venisset, cum iam quadringenti viri Remp. in suam ditionem redegissent, in ea egit. Cum vero triginta viri Remp. recepissent, mansit annos septem: priuatus vero facultatibus, ac fratre Polemarcho amisso, ipse ægrè effugiens imminentem interitum, egit Megaris. Tribulibus vero illius reditum vrgentibus, vtilissimus omnium fuit, data mille drachmarum pecunia, & clypeis ducentis, missúsque cum Hermone subsidiarios milites mercede conduxit trecentos & duos, persuasitque Thrasybulo Eliensi hospiti, vt duo talenta daret. His de causis cum scripsisset Thrasybulus ius ciuitatis illi post reditum dandum esse, populus Atheniensis donum ratum habuit. Archinus vero eum accusat violatarum legum, quod nondum facto Senatusconsulto, donum accepisset. Postquam vero decretum abrogatum est, iure ciuitatis, & reliquum tempus perinde ac si ciuis fuisset, transegit, obiitque ibidem annos natus tres & octoginta, alij septem subtrahunt.

ᾤχετο καὶ αὐτὸς σὺν τῷ πρεσβυτάτῳ τῶν ἀδελφῶν Πολεμάρχῳ, ἐφ᾽ ᾧ τοῦ πατρῴου μεταλαχεῖν κλήρου. ἔτος δὲ * πέντε καὶ δέκατον ἦγε. καὶ διέτριβεν, ἀκροώμενος Τισίου τε καὶ Νικίου τῶν Συρακουσίων. οἰκίαν δὲ κατασκευασάμενος, καὶ κλήρου τυχὼν ἐπολιτεύετο τῶν πολλῶν οὐκ ἐνδεέστερον, ἕως Κλεάρχου τοῦ Ἀθήνησιν ἄρχοντος. τῷ δὲ ἑξῆς ἐνιαυτῷ ἀττικίζειν αἰτιαθεὶς, μετ᾽ ἑτέρων τριῶν ἐξέπεσε τῆς πατρίδος. Ἀθήνησι δὲ παραγεγονὼς, τῶν τετρακοσίων τὴν πόλιν ἐχόντων, διέμεινεν αὐτόθι. τῶν τριάκοντα δὲ τὴν πόλιν αὖτις παραλαβόντων· ἑπτὰ μὲν ἔτη διέμεινεν. ἀφαιρεθεὶς δὲ τῆς οὐσίας, καὶ τὸν ἀδελφὸν Πολέμαρχον ἀποβαλὼν, αὐτὸς μόλις διαδρὰς τὸν ἐπικρεμάμενον ὄλεθρον, διῆγεν ἐν Μεγάροις. τῶν δὲ ἀπὸ φυλῆς ἐπιθεμένων τῇ καθόδῳ, χρησιμώτατος ἁπάντων γέγονε τῇ πράξει. χρήματά τε γὰρ αὐτὸς * δραχμὰς δισχιλίας παρέσχε, καὶ ἀσπίδας διακοσίας. σταλεὶς δὲ σὺν Ἕρμωνι, ἐπικούρους τε ἐμισθώσατο τριακοσίους, καὶ Θρασύδαιον τὸν Ἠλεῖον ἔπεισε, ξένον ὄντα, αὐτῷ δύο τάλαντα παρασχεῖν. ἐφ᾽ οἷς γράφει μὲν μετὰ τὴν κάθοδον ὁ Θρασύβουλος πολιτείαν αὐτῷ, ὁ δὲ δῆμος ἐκύρωσε τὴν δωρεάν. Ἀρχῖνος δὲ διὰ τὸ ἀπροβούλευτον εἰσαχθῆναι τὸ ψήφισμα, γράφεται γραφὴν παρανόμων τὴν δωρεάν. καὶ ἐπεὶ κατεγνώσθη τὸ ψήφισμα, τῆς μὲν πολιτείας ὁ Λυσίας ἀπελαύνεται, τὸν λοιπὸν * δὲ χρόνον κατεβίω ἰσοτελὴς ὢν· καὶ τελευτᾷ αὐτόθι, τρία καὶ ὀγδοήκοντα ἔτη γεγονώς. οἱ δὲ, ἀφαιροῦσιν αὐτοῦ ἑπτά.

* ἐξ H. δε.

* παρέσχε δραχμὰς δισχιλίας H. δε.

* δὲ βίον.

CCLXIII.

Isæi Orationes.

Legimvs varias orationes Isæi: quarum numerus, vt semel dicam, sexaginta quatuor: quarum germanæ solum quinquaginta. Lysiam autem potissimùm imitatus est, cuius & discipulus fuit. Imitatum vero illum fuisse arguit nominum concinnitas, & rerum grauitas. Sic enim orationes illius Lysiam imitantur, vt nisi quis diligenter attendat, vtriusque styli differentiam vix dignoscat, schemata si excipias. Etenim primus Isæus schemata adhibuit, & animum ad ciuilem artem conuertit, quod maximè Demosthenes, illius discipulus, imitatus est. Genere erat Chalcidensis. Athenas vero missus Lysiæ præceptori, vt diximus, operam dedit. Floruit vero post Peloponesiacum bellum, & vsque ad Philippi imperium peruenit. Hic relicto ludo suo, Demosthenem decem millium drachmarum pre. . instituit; ob idq; maxime excelluit. Ipsi etiam Demostheni de tutoribus scripsisse ferunt orationes.

ΙΣΑΙΟΥ ΛΟΓΟΙ.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Ἰσαίου διάφοροι λόγοι· οὗτοι δὲ, ἁπλῶς εἰπεῖν, εἰς τέσσαρας καὶ ἑξήκοντα συναριθμοῦνται. τούτων δὲ οἱ τὸ γνήσιον μαρτυρηθέντες, πεντήκοντα καταλείπονται μόνοι. * Λυσίου δὲ γέγονε μιμητὴς· οὗ καὶ μαθητὴς ἐχρημάτισε. τὴν μίμησιν δὲ αὐτοῦ παρίστησι, τῶν τε ὀνομάτων ἡ ἁρμονία, καὶ ἡ ἐν τοῖς πράγμασι δεινότης. οὕτω γὰρ αὐτοῦ οἱ λόγοι πρὸς ἐκείνους τὴν ὁμοιότητα φέρουσιν· ὡς, εἰ μή τις πολλὴν αὐτῶν ποιήσαιτο τὴν διάσκεψιν καὶ μελέτην, οὐκ ἂν ἑκατέρου λόγου τοῦ χαρακτῆρος τὴν διαφορὰν διαγνοίη, πλήν κατά γε τοὺς σχηματισμούς. καὶ γὰρ πρῶτος Ἰσαῖος σχηματίζειν ἤρξατο, καὶ τρέπειν ἐπὶ τὸ πολιτικὸν τὴν διάνοιαν· ὃ μάλιστα καὶ Δημοσθένης, μαθητὴς αὐτοῦ γεγονὼς, ἐμιμήσατο. Χαλκιδεὺς γέγονε τὸ γένος ὁ Ἰσαῖος· εἰς Ἀθήνας δὲ μετελθὼν ἐσχόλασεν (ὡς προείρηται) Λυσίᾳ· ἤκμασε δὲ μετὰ τὸν Πελοποννησιακὸν πόλεμον, καὶ μέχρι τῆς Φιλίππου διήρκεσεν ἀρχῆς. * ἀποστὰς δέ ποτε τῆς σχολῆς, ἐπὶ δραχμαῖς μυρίαις καθηγήσατο Δημοσθένους· διὸ καὶ μάλιστα γέγονεν ἐπιφανής. φασὶ δὲ αὐτὸν καὶ τοὺς ἐπιτροπικοὺς λόγους Δημοσθένει * συντάξαι.

σξγ'. Isæi orationes LXIV.

* al. Λυσίαν

* [illegible]

* διατάξαι M

CCLXIV.

Æschinis Orationes.

Lectæ sunt orationes Æschinis: quarum tres numero sunt, & epistolæ nouem. Nam Deliaca non est Æschinis. In orationibus suis suauis, purus, distinctus, & Enthymematum perspicuitate excellens.

ΑΙΣΧΙΝΟΥ ΛΟΓΟΙ.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Αἰσχίνου λόγοι· ὧν τὸ πλῆθος ὁ τρεῖς ἀριθμὸς περιορίζει, καὶ ἐπιστολαὶ ἐννέα. ὁ δὲ Δηλιακὸς ἐπιγραφόμενος, οὐκ ἔστιν Αἰσχίνου. ἔστι δὲ τοῖς λόγοις αὐτοῦ γλυκύς τε, καὶ καθαρὸς, καὶ εὐκρινὴς, καὶ τῇ τῶν ἐνθυμημάτων σαφηνείᾳ σημειούμενος.

σξδ'. Æschinis orationes & epist.

ὁ μὲν

ὁ μὲν γὰρ κατὰ Τιμάρχου λόγος ἑταιρήσεως τὸν Τίμαρχον γράφεται· καὶ ὁ Τίμαρχος καταπλαγεὶς καὶ λιπὼν τὸν ἀγῶνα, ἑαυτὸν ἀπήρτησεν. ἐπήγγελλε δὲ καὶ τὴν ἐν Ταμύναις νίκην πρῶτος Ἀθηναίοις τὸ δεύτερον· διὸ καὶ ἐστεφανώθη. φασὶ δὲ τὰ μὲν πρῶτα εἰπεῖν αὐτὸν ἐν τῷ δήμῳ κατὰ Φιλίππου. εὐδοκιμήσαντα δὲ τῷ λόγῳ, πρεσβευτὴν πρὸς Ἀρκάδας χειροτονηθῆναι· εἰς οὓς παραγεγονὼς, συνεστήσατο τοὺς μυρίους ἐπὶ Φίλιππον. ἔστι δὲ ὁ Αἰσχίνης παῖς γεγονὼς Ἀτρομήτου, φυγόντος μὲν ἐπὶ τῶν τριάκοντα, συγκατάγοντος δὲ τὸν δῆμον. τοῦτο δὴ καὶ Γλαυκοθέας γίνεται υἱός· Κοθωκίδης μὲν τὸν δῆμον· οὔτε δὲ τῶν ἐπὶ γένει περιφανῶν, οὔτε δὲ τῶν ἐπὶ χρήμασι λαμπρῶν. ἐν δὲ τῷ νέῳ τῆς ἡλικίας τὸ σῶμα φέρων ἐρρωμένον, τὰ γυμνάσια ἐπονεῖτο. λαμπροφωνότερος δὲ * πεφυκὼς, τραγῳδίαν ἤσκησε μετὰ ταῦτα· ὡς δὲ λέγει Δημοσθένης, ὑπογραμματεύων καὶ τριταγωνιστῶν Ἀριστοδήμῳ ἐν τοῖς κατὰ δήμους Διονυσίοις. καὶ παῖς μὲν ὢν, ἐδίδασκε σὺν τῷ πατρὶ γράμματα· εἰς τὸ μειράκιον δὲ προελθὼν, ἐστρατεύετο. ἠκροάσατο δὲ, οἱ μέν φασιν, Ἰσοκράτους καὶ Πλάτωνος· Καικίλιος δὲ, Λεωδάμαντος, λέγει. πολιτευόμενος μέντοι γε οὐκ ἀφανῶς ἐκ τῆς ἐναντίας μερίδος, συνεπρέσβευε τοῖς περὶ Δημοσθένην ἄλλας τε πρεσβείας πολλὰς, καὶ πρὸς Φίλιππον ὑπὲρ [illegible] ἐφ' ᾗ καὶ παρὰ Δημοσθένους κατηγορ[illegible] μὴ μηδὲ [illegible] πόλεμον εἰσα-[illegible]λῆσθαι [illegible] ψήφει πυλαγόρας αἱρεθεὶς, πρὸς [illegible]τοῖς ἀμφικτύοσι, καὶ τὸν λιμένα ἐργαζομένοις· ἐξ ἧς πράξεως συνέβη Φίλιππον προσφυγεῖν ἀμφικτύονας, τὸν δὲ ὑπὸ τοῦ Αἰσχίνου συνεργούμενον, ἐπιθέσθαι τοῖς πράγμασι, καὶ τὴν Φωκίδα λαβεῖν. συνειπόντος μέντοι γε αὐτῷ Εὐβούλου τοῦ Σπινθάρου, Προβαλυσίου δημαγωγοῦντος, ψήφοις μόναις τριάκοντα ἀπέφυγε. χρόνῳ δὲ ὕστερον, Φιλίππου μὲν τετελευτηκότος, Ἀλεξάνδρου δὲ διαβαίνοντος εἰς τὴν Ἀσίαν, ἐπὶ ταῖς Δημοσθένους τιμαῖς Κτησιφῶντα παρανόμων ἐγράψατο. οὐ μεταλαβὼν δὲ τὸ πέμπτον μέρος, Σισύφῳ εἰς Ῥόδον ἔφυγε, δραχμὰς χιλίας οὐ βουληθεὶς ὑπὲρ τῆς ἥττης καταβαλεῖν. ἐν δὲ τῇ Ῥόδῳ σχολὴν κατασησάμενος, ἐδίδασκεν, ἐν ᾧ τοῖς Ῥοδίοις τὸν κατὰ Κτησιφῶντος ἐπεδείξατο λόγον. θαυμαζόντων δὲ, εἰ ταῦτα δημηγορήσας ἡττήθη, οὐκ ἂν εἶπεν θαῦμα κατεῖχεν ὑμᾶς, ὦ Ῥόδιοι, εἰ Δημοσθένους ἀντιδημηγοροῦντος ἠκούσατε. ἐκεῖθεν δὲ πλεύσας εἰς Σάμον, καὶ διατρίψας ἐπὶ τῆς νήσου, ὀλίγον ὕστερον ἐτελεύτησεν.

Oratio vero in Timarchum habita, *quod meretriciam factitaret*, accusat. Timarchus vero territus, iudiciúmque defugiens se suspendit. Nunciauit primus secundam victoriam in Tamynis Atheniensibus, quamobrem corona donatus est. Ferunt autem primum ipsum ad populum contra Philippum orasse, cúmque oratione gratiam comparasset, legatum ad Arcadas missum esse, ad quos cum venisset, decem millia contra Philippum armasse.

Æschines hic patre natus est Atrometo, qui initio cum sub triginta Tyrannis exsularet, ipse postea populum ad libertatem reuocauit: Glaucothea matre, tribu vero Cothocides, neque genere, neque opibus celebris. Adolescens cum esset ac robustus viribus, ad Gymnasia studium laborémque contulit. Postea cum vocis firmitate ac robore valeret, se Tragœdiis agendis exercuit: &, vt Demosthenes scribit, scribæ vicarius, ac * tertias agens partes in Bacchanalib. Aristodemi arbitratu semper fuit: & iuuenis etiam num litteras vnà cum parente docuit: prouectior autem militauit. Nonnulli etiam Socratem & Platonem audisse ferunt. Cæcilius vero† Leodamantis discipulum facit. Versatus in Rep. est non inglorius: quod Demostheni, eiúsque suffragatoribus aduersaretur, cum quo Legationes obiit cum multas alias, tum de Pace ad Philippum, in qua accusatus à Demosthene est: quodque ipse Pylagoras existens auctor belli introducendi fuisset, cum ab Amphictyonibus ad Amphissæos legatus est creatus, ipsique Amphictyones portum struxissent, quo facto ad Philippum confugerunt, & Philippus, auctore Æschine, res ipsas est aggressus, & Phocidem cepit. Eius sententiæ patrocinante Eubulo Spinthari F. & Pronallusio, qui tum summam apud populum potestatem obtinebat, subleuatus, triginta suffragiis euasit. Postea vero, cum Philippo mortuo, Alexander transiret in Asiá, Ctesiphontem in ius vocauit, quod decernendis Demostheni honoribus ipse contra leges fecisset. Quo in certamine cum quintam suffragiorum partem non obtinuisset, Rhodum confugit, cum à multa mille drachmarum persoluenda, ad quam fuerat damnatus, animo ac voluntate abhorreret. Ludúque Rhodi aperto docuit, vbi cum Rhodiis orationem à se habitam contra Ctesiphontem ostendisset, cúmque omnes mirarentur, potuisse illum bis pro se dictis in iudicio superari. *Minime sane*, inquit, *miraturi fuissetis, Rhodij, si contra ea dicentem Demosthenem audiissetis.* Inde autem Samum nauigans, atque in insula habitans, non in multo post mortuus est.

* γεγωνὼς, M M.

* Cic. Diolast. in Verrem, vt in actoribus Græcis ferè videmus sæpe illum qui est secundarum.

* Sic & Plutar. in X. Orator. Alcidamantis Eleatæ. Suidas in Æschine.

DEMOST.

ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΙ.

σξε'. Demosthenis orationes.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Δημοσθένους λόγοι μικροῦ σύμπαντες· φέρονται δὲ αὐτοῦ οἱ γνήσιοι, πέντε καὶ ἑξήκοντα, * ὧν οἱ δημόσιοι μᾶλλον εἰς τὸ ἄριστον κατεσκευάσθαι τοῖς πλείοσι κρίνονται. τινὲς μὲν οὖν τὸν περὶ Ἁλοννήσου λόγον (ὃς καὶ κατὰ Φιλίππου ἐπιγράφεται) δεύτερος· καὶ γὰρ πρὸς τὴν ἐπιστολὴν ὁ ῥήτωρ ἀνταγωνίζεται * τοῦ Φιλίππου) τοῦτον οὔ φασιν εἶναι γνήσιον Δημοσθένους· καὶ τεκμηριοῦσθαι τὴν δόξαν αὐτῶν ἐπιχειροῦσι τοῖς ῥήμασί τε καὶ ὀνόμασι, καὶ τῇ τῆς συνθέσεως ἁρμονίᾳ· πολὺ γὰρ ταῦτα λείπεσθαι τοῦ δημοσθενικοῦ τύπου.

* al. ὡς.

* al. τά.

DEMOSTHENIS *Orationes*. CCLXV.

LEGI omnes pene Orationes Demosthenis. Dicuntur illius germanæ sexaginta quinque: quarum elegantiores quæ ad populum, quàm quæ ad Senatum habitæ, à pluribus iudicantur. Nonnulli orationem de Halonesо (quæ contra Philippum secunda inscribitur,) quia cum ea pugnat oratione, quam contra Philippi epistulam dixit, illius propriam esse negant, & confirmare opinionem suam conantur nominibus & verbis, & compositionis modulatione: multum enim à Demosthenis stylo abhorrere.

Parallela nostra, illarum Demosthenis atque Aristotelis cum his compares licet.

Oratio de Halonesо

DEMOSTH.

Attenuatam enim & dissolutam huius orationis esse phrasim, & oratoris facultate inferiorem: alij verò abiudicantes Demostheni, Hegesippo tribuunt. Equidem cùm obseruarim diuersorum orationes oratorum similes interdum exsistere, & contra eiusdem auctoris dissimiles nonnunquam euadere orationes (non enim in dicendo facultas, præsertim in propriis ac maximè opportunis orationibus, vt nec in aliis rebus omnibus, immutabilis est, ac sui perpetuò similis) cúmque hanc diuersitatem hic animaduertam, pronuntiare non ausim, sitne Hegesippi hæc, an Demosthenis oratio. Similiter & orationem, quæ inscribitur de Conditionibus ad Alexandrum, Hyperidi potius quàm Demostheni attribuunt, quod cum multis aliis Demosthenes artibus reliquos oratores vicerit, tum potissimum verborum delectu superarit. At hæc oratio habet nonnullas voces non oratorias, vt νεόπλουτος, βδελυρεύεσθαι & alia similia. Sunt etiam qui duas in Aristogitonem orationes quasi non germanas reiiciant: sed tamen non indicant auctorem earum, inter quos vnus est Dionysius Halicarnasseus, non magnum sententiæ proferens testimonium, nec inuestigare studens, vt pluris fieri debeat Aristogiton contra se Demosthenem dixisse confessus, quàm Dionysij negatio. Etenim defendentem se non obiter, sed accuratè exaduersum contendisse ea oratione apparet, quæ inscribitur Apologia contra demonstrationem Lycurgi, & Demosthenis. Oratio quoque contra Midiam, & contra Æschinem caussæ fuit, cur Demosthenis esse non dicerentur, quod non idem stylus. Etenim in his duabus orationibus ex interiectis quibusdam vrgens, iisdem argumentis, secum ipse pugnare videtur, quasi dimicans & non reuera pugnans. Hinc & nonnulli dixerunt vtramque orationem in aduersariis dumtaxat relictam, neque integrè ad editionem relictam. Hoc enim timidius ac circumspectius agere videntur. Sed qui has damnant, quid illi de Aristide indicent? qui ad nauseam vsque hoc stylo vtitur, vt qui in opere modum excedat, & superfluitate magis, quàm mediocritate vtatur? Maximè verò oratio contra Æschinem asserendi ansam dedit in aduersariis relictam esse, nondum tamen perfectam. Quamobrem quæ in accusatione magnam habent obscuritatem & leuitatem, extrema oratione afferuntur, quod orator non attendit, magis de propriis verbis sollicitus. Etenim non talis oratio Lysiæ in Mnesiptolemum, sed in omnibus, quibus oportet, partibus affectum seruans, nec impetum reprimit, nec desinit auditores ad extremum vsque excitare. Quanquam & orationem de falsa legatione nonnulli aiunt in commentariis relictam esse, neque ad edendum, neque integrè conscriptam esse. Quamobrem quæso:

Oratio de Conditionibus seu fœdere Alexandro.

Orationes duæ contra Aristogitonem.

Dionysius Halicarnass. pag. Orat. 197. quæ cum his conferas licet.

Aristides orator.

Lysia in Mnesiptolemum oratio.

Oratio Demosthenis falsa legationis.

ἀνειμένην τε γὰρ εἶναι ταύτην καὶ λελυμένην, καὶ τῆς τοῦ ῥήτορος περὶ ταῦτα δυνάμεως ἐλαττουμένην τὴν φράσιν. καὶ οἵ γε αὐτὸν ἀφαιρούμενοι τοῦ Δημοσθένους, εἰς Ἡγήσιππον ἀναφέρουσιν. ἐγὼ δὲ εἰδὼς πολλάκις καὶ λόγους διαφόρων γνησιωτέρων πολλὴν ἔχοντας τὴν ὁμοιότητα, καὶ διαφόρου ἐργασίας λόγον τὸν αὐτὸν ἐγνωκότα γνήσιον (οὐ γὰρ ἀεὶ καθέστηκεν ἄτρεπτος καὶ ἀναλλοίωτος κατὰ πάντα, ὥσπερ οὐδὲ ἐν τοῖς ἄλλοις, οὕτως οὐδὲ κατὰ τοὺς λόγους ἡ ἀνθρωπίνη δύναμις· ἄλλως τε δὲ οὐδὲ ἐν τοῖς καιριωτάτοις τῶν ἰδιωμάτων τοῦ ῥήτορος) ἀλλὰ καὶ ταύτην ἐπ' ὀλίγον ὁρῶν τὴν διαφορὰν, οὐκ ἔχω θαῤῥεῖν ἀποφήνασθαι, εἴτε Ἡγησίππου πόνος ὁ περὶ Ἀλοννήσου λόγος, εἴτε τῆς Δημοσθενικῆς ἐλάττωμα καθέστηκε φύσεως. ὡσαύτως δὲ καὶ τὸν λόγον, ὃς ἐπιγράφεται περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν, Ὑπερείδῃ μᾶλλον, ἢ Δημοσθένει προσνέμουσιν: ὅτι περ πολλοῖς τε ἄλλοις ὁ Δημοσθένης πλεονεκτῶν τῶν λοιπῶν ῥητόρων, καὶ τῇ τῶν ὀνομάτων ἐκλογῇ ἐπὶ ἄμεινον διενήνοχεν. ὁ δὲ νῦν λόγος ἔχει τινὰ καὶ τῶν οὐ λογάδων φωνῶν, ὥσπερ τὸ νεόπλουτος, καὶ τὸ βδελυρεύεσθαι, καὶ ἕτερα τινὰ τοιαῦτα. εἰσὶ δὲ οἱ καὶ τοὺς δύο κατὰ Ἀριστογείτονος, ὡς νόθους παραγράφονται. ἀλλ' οὐ τὸν γραφέα ἐμφανῆς αὐτοῖς ἀφιᾶσιν, οὐκ ἔχοντες εἰπεῖν τὸν γράψαντα τίνας. ὧν εἷς γέγονε καὶ Διονύσιος ὁ Ἁλικαρνασσεὺς, οὐδὲν μέγα τεκμήριον τῆς ἰδίας ὑπολήψεως παρεχόμενος, οὐδὲ ἐκεῖνο συνιδεῖν ἐθελήσας, ὡς πολλῷ μεῖζόν ἐστιν, ἤπερ ἡ ἐκείνου ἀπόφασις, αὐτὸς Ἀριστογείτων ὁμολογῶν, Δημοσθένην κατ' αὐτοῦ γεγραφέναι. καὶ γὰρ * ἀπολογούμενος οὐκ ἐν τῷ παρέργῳ λέγων, ἀλλ' ἐπιμελῶς ἀνταγωνιζόμενος, ἐν τῷ λόγῳ δείκνυται, ὃς ἐπιγέγραπται ἀπολογία πρὸς τὴν ἔνδειξιν Λυκούργου καὶ Δημοσθένους. καὶ ὁ κατὰ Μειδίου δὲ, καὶ κατ' Αἰσχίνου λόγος, αἰτίαν ἔσχε * τοῦ μὴ τὴν αὐτὴν κατὰ πάντα ἀρετὴν τῷ Δημοσθενικῷ συνδιασώσασθαι χαρακτῆρι. καὶ γὰρ ἐν τοῖς δυσὶ τούτοις λόγοις ἐκ διαλειμμάτων τινῶν ταῖς αὐταῖς ἐννοίαις ἐπιβάλλων, ἁμιλλᾶσθαι δοκεῖ πρὸς ἑαυτὸν, ὥσπερ ἀσκούμενος, ἀλλ' οὐκ ἐπ' αὐτοῖς ἀγωνιζόμενος τοῖς ἔργοις. διὸ καί τινες ἔφησαν, ἑκάτερον λόγον ἐν τύποις καταλειφθῆναι, ἀλλὰ μὴ πρὸς ἔκδοσιν διακεκαθάρθαι. καί τοι καὶ τοῦτο εὐλαβέστερον οἱ ῥηθέντες λόγοι ποιοῦσιν. ἀλλ' οἵ γε τούτους αἰτιώμενοι, τί αὖ φαῖεν περὶ Ἀριστείδου; ὃς καὶ κατακόρως τῷ ἰδιώματι τούτῳ φαίνεται κεχρημένος· ὥσπερ καὶ τῷ * περιεῖναι κατὰ τὰς ἐργασίας πέρα τοῦ μετρίου, κατὰ τὸ περιττὸν μᾶλλον, ἢ τὸ μέτρον τῆς χρείας συμπαρεκτείνεσθαι; μάλιστα δὲ ὁ κατ' Αἰσχίνου λόγος παρέσχεν αἰτίαν, ἐν ὑπομνήμασι καταλελεῖφθαι, οὔπω τὴν ἐργασίαν ἀπειληφὼς τελείαν. διότι καὶ ἃ πρὸς τὴν κατηγορίαν πολλὴν ἔχει τὴν ἀμυδρότητα καὶ κουφότητα, ἐπὶ τῇ τελευτῇ τοῦ λόγου παρέθετο. ὅπερ οὐκ ἂν περιεῖδεν ὁ ῥήτωρ, εἰς ἐξέτασιν ἀκριβεστέραν τῶν ἰδίων λόγων καταστάς. ἀλλὰ γὰρ οὐχ οὕτως πρόεισιν ὁ Λυσίου κατὰ Μνησιπτολέμου λόγος· ἐν πᾶσι δὲ τοῖς δεομένοις μέρεσι τὸ παθητικὸν φυλάξας, οὐ δὲ παυόμενος τῆς ἐπιφορᾶς ἀπέστη, ἐπιτείνει δὲ μᾶλλον οὐδὲ κατὰ τὸ τέλος τοὺς ἀκροατὰς ἀποστὰς παροξύνειν. καὶ μὲν τοι καὶ τὸν περὶ παραπρεσβείας τινὲς ἐν ὑπομνήμασί φασι καταλειφθῆναι, ἀλλ' οὐ πρὸς ἔκδοσιν, οὐδὲ πρὸς τὸ τῆς ἐργασίας ἀπηρτισμένον, γεγράφθαι. διά τις

διότι

* al. ὁμολογούμενος.

* al. τὸ

* al. περιεῖναι.

διότι μετὰ τὰ ἐπιλογικὰ, πολλά τε ὄντα, καὶ σχεδὸν τὸ πλεῖστον μέρος ἐπέχοντα, πολλὰς περὶ αὐτῶν ἀντιθέσεις εἰπὼν, πάλιν ἐπὶ ἀντιθέσεις ἐτράπετο· ὅπερ ἀνοικονόμητόν τέ ἐστι καὶ διερριμμένον. καὶ τὸν ὑπὲρ Σατύρου δὲ λόγον τῆς ἐπιτροπῆς πρὸς Χαρίδημον, *οἱ μὲν πρὸς τὸ κρίνειν *ἔχοντες τὸ ἀσφαλὲς, Δημοσθένους λέγουσιν εἶναι· ὁ δὲ Καλλίμαχος, οὐδ' ἱκανὸς ὢν κρίνειν, Δεινάρχου νομίζει. τινὲς δὲ αὐτὸν ὑπεβάλοντο Λυσίᾳ· καί τοι καὶ τὸν χρόνον ἔχοντες αὐτοῖς διαμαχόμενον, καὶ τὸν τύπον ἅπαντα τῆς ἐργασίας, καὶ τὰ πράγματα, καὶ τὴν ἑρμηνείαν. μαρτυρεῖ δὲ τοῦ δημοσθενικὸν εἶναι τὸν λόγον, καὶ ὁ πλαγιασμὸς, καὶ ἡ συνέχεια τῶν περιόδων, καὶ ἡ εὐτονία· ἐξ αὐτοῦ γὰρ τοῦ προοιμίου τούτοις ὁ λόγος διαποικίλλεται. καὶ μὴν καὶ ἡ περὶ τῶν ὀνομάτων ἐκλογὴ εἰς τὸ ἄριστον *ἀνῆχθαι, καὶ ἡ σύνθεσις εὖ ἔχειν πεφιλοτίμηται. μαρτυρεῖ δὲ καὶ τὰ σχήματα· ἔστι γὰρ συνεστραμμένα μετὰ γοργότητος, καὶ ποικιλίαν τῷ λόγῳ παρεχόμενα. καὶ γὰρ ἐρωτήσεις προβάλλεται, καὶ ὑποστροφὰς, καὶ τὸ ἀσύνδετον. οἷς μάλιστα Δημοσθένης χαίρει χρώμενος. ἀλλὰ καὶ ἡ σύνθεσις ἐπιμελὴς, καὶ τὴν ἐνάργειαν τῷ κόσμῳ οὐ διαφθείρουσα, αἵ τε περίοδοι τῷ ἀπηρτισμένῳ συναγόμεναι καὶ τὸ πρέπον πανταχοῦ διασώζουσι. τὸ μὲν οὖν μηδενὸς φείσασθαι συνθέσεως, ἀλλὰ πάντα διειλῆφθαι περιόδοις, ἔστι μὲν Ἰσοκράτους καὶ Λυσίου πρὸς Δημοσθένην κοινόν· ἡ δὲ κατὰ τὰς περιόδους ἐν τοῖς μεγέθεσι ποικιλία συμπληροῦσα τὰ κῶλα λαμβανομένη, τὴν πρὸς ἐκείνους διαφορὰν ἀπεργάζεται. τοῦ μὲν Ἰσοκράτους ὡς τὰ πολλὰ μηκύνοντος τὴν ἐργασίαν αὐτῶν, τοῦ δὲ Λυσίου συντέμνοντος· ἐξ ἑκατέρου δὲ τούτων τῷ Δημοσθένει τὸ πρέπον διασώζεται. ὁ δὲ περὶ τῆς εἰρήνης λόγος, καὶ ἄλλοις μὲν, μάλιστα δὲ Λιβανίῳ τῷ σοφιστῇ παρεσκευάσθαι μὲν, οὐ μὴν εἰρῆσθαι δοκεῖ. κατηγορῶν γὰρ ὁ ῥήτωρ Αἰσχίνης, οὐδὲν ἔλαττον (τὸν) αὐτὸν καὶ ἐπὶ *τούτῳ αἰτιᾶται, ὅτι συνεβούλευεν Ἀθηναίοις ἀμφικτύονα εἶναι ψηφίσασθαι Φίλιππον. ἐν ᾧ οὖν ἐκεῖνον πικρῶς διέβαλε, πῶς ἂν αὐτὸς ἐθάρρησε γενέσθαι σύμβουλος; καὶ γὰρ ὁ περὶ τῆς εἰρήνης λόγος δῆλον ὅτι τὸν Φίλιππον ἀμφικτύονα εἶναι συμβουλεύει. καὶ τὸν κατὰ Νεαίρας δὲ λόγον ὑποπτεύσαντές τινες αἰτιώμενοι, τῶν δημοσθενικῶν ἀποκρίνουσι λόγων· ὥσπερ καὶ τὸν περὶ ἔρωτος αὐτῷ γεγραμμένον, καὶ τὸν ἐπιτάφιον. φασὶ δὲ τὸν Δημοσθένην τέσσαρα καὶ εἴκοσι γεγονότα ἔτη τὸν περὶ τῶν ἀτελειῶν ἤτοι τὸν πρὸς Λεπτίνην φιλοπονήσασθαι λόγον. οὗ τὸ προοίμιον Λογγῖνος μὲν ὁ κριτικὸς ἀγωνιστικὸν νομίζει (ἐπὶ Κλαυδίου δὲ οὗτος ἤκμαζε. καὶ τὰ πολλὰ συνηγωνίζετο Ζηνοβίᾳ τῇ τῶν Ὀσροηνῶν βασιλίδι, τὴν ἀρχὴν κατεχούσῃ *Ὀδενάθου τοῦ ἀνδρὸς αὐτῆς τετελευτηκότος, ἣν καὶ μεταβαλεῖν εἰς τὰ Ἰουδαίων ἔθη ἀπὸ τῆς ἑλληνικῆς δεισιδαιμονίας, παλαιὸς ἀναγράφει λόγος) ἀλλὰ γὰρ ὁ μὲν Λογγῖνος τοιαύτην περὶ τοῦ προκειμένου προοιμίου τὴν ψῆφον ἐξάγει· ἕτεροι δὲ οὐκ ὀρθῶς ἔφασαν τὸ προοίμιον ἠθικὸν εἶναι· καὶ πολλοῖς οὗτος ὁ λόγος παρέσχεν ἀγῶνα, κρίνεσθαι προτεθεὶς, ὥσπερ καὶ Ἀσπασίῳ τῷ ῥήτορι, ἅτε μηδ' ἀφισταμένῳ τοῦ τὸν λόγον θεωρίας εἰς ἀκρίβειαν. ὡσαύτως δὲ καὶ ὁ κατὰ Μειδίου. καὶ γὰρ καὶ οὗτος οὐκ ὀλίγοις γέγονεν ἐν σπουδῇ, καὶ τῆς πρὸς ἀλλήλους ἀμφισβητήσεως ἀφορμὰς παρέσχε. καὶ οἱ μὲν τοῦ παθητικοῦ χαρακτῆρος εἶναί φασιν αὐτὸν, μετὰ δεινώσεως ἐξειργασμένον· οἱ δὲ τοῦ πραγματικοῦ· καὶ ἁπλῶς τῶν τε ῥημάτων αὐτοῦ τὸ σφοδρὸν

Quia post Epilogos, qui multi sunt, & maximam occupant orationis partem, cùm antea obiectiones multas refutarit, hic rursum easdem refellit, quod contra artificium est, ac leges dicendi. Et orationem pro Satyri tutela contra Charidemum, recti censores Demosthenis esse dicunt. Callimachus, censor non bonus, Dinarchi esse putat, nonnulli Lysiæ: pugnat tamen temporum ratio, totiusque adeò orationis stylus, & res, & elocutio, Demosthenis verò esse arguunt obliqua enuntiatio, continuatióque periodorum, ac vehementia. Ab ipso enim principio his oratio exornatur, adhibetúrque bonus verborum delectus, & concinna compositio enitet. Testantur id etiam figuræ: sunt enim cum acrimonia coniunctæ, & varietatem orationi adferunt. Etenim addit interrogationes, redditiones, asyndeta, quæ maximè Demostheni familiaria, sed & accurata constructio, quæ suo ornatu efficaciam tamen non tollit, ipsæque periodi vndique perfectè, decorum vbique seruant. Nullam enim compositionem prætermittere, sed periodis omnia complecti, Demostheni est cum Isocrate, ac Lysia commune. At periodorum varietas in magnitudine membra adimplens, diuersitatem inter illos parit, cùm Isocrates plerumque ambitum producat: Lysias verò contrahat, in vtroque decorum seruet Demosthenes. Oratio autem quæ de Pace est, composita quidem, sed non habita existimatur ab aliis, & maximè à Libanio sophista. Orator enim Æschines accusans, nihilominus se etiam accusat, quod suasisset Atheniensibus Amphictyonem esse Philippum decreto renuntiandum, qua illum acerbè reprehendit, quod eius rei auctor, suasorque extitisset. Nam suasisse illum vt Amphictyon Philippus crearetur, clarum est. Orationem verò contra Neæram, vt languidiorem ac remissiorem, Demosthenis nonnulli è familia eiiciunt, vt & amatoriam, & funebrem laudationem. Aiunt & Demosthenem quatuor & viginti annos natum orationem de Immunitate contra Leptinem conscripsisse, cuius prooemium agonisticon esse putat Longinus criticus: qui Claudio imperante floruit, caussásque plurimas egit, Zenobia Osroënorum regina imperium tenente, mortuo iam Odenatho marito, quem prisci tradunt scriptores ab impietate gentium ad Iudæorum mores traductum. Verùm Longinus sic quidem de hoc prooemio iudicauit, cæteri enim morale esse non rectè pronuntiant. Pluribus autem hæc oratio in iudicando contentionis materiam præbuit, (in his Aspasio rhetori, qui exordium satis accuratum esse negat,) vt & oratio contra Midiam. nam & de hac non pauci certarunt, multisque altercandi ansam præbuit. Alij enim formam illi * affectionis plenam & grauitatis: nonnulli † negotialem characterem attribuût, & omnino verborum grauitas hic est,

* al. ὅτι μὲν.
* al. ἔχοντα.
* ἀνύεται.
* al. τοῦτο.
Longinus.
* al. δὲ Ναθ.

DEMOST.
Oratio contra Charidemum: Callimachus criticus.
Oratio de pace: quæ Halicarnasseo sexta Philippica est.
Oratio contra Neæram & alia.
Oratio contra Leptinem.
Huius Longini Dionysius meminit & Eunapius Sardianus, & extat libellus περὶ ὕψους. De sublimi dicendi genere.
Aspasius rhetor. Oratio contra Midiam.
* παθητικόν.
† πραγματικόν.

DEMOSTH. & compositionis modulatio, & rursum argumentis & enthymematis affectu plenis, patheticam quoque pronunciationem accommodat, pragmaticis vicissim quæ ipsis conueniunt, adaptat. Seruat & affectus leniores, non in hac modo oratione, sed & in aliis. Verùm difficilimum est oratori, in contentioso dicendi genere leniores perpetuò retinere in aduersarium affectiones, ei præsertim, cui vehementius atque acrius ingenium obuenit: quale Demostheni atque Aristidi obtigit. Hinc fit, vt efferantur sæpenumero, natura longe argumentum superante. Neque enim ars voluntatem dirigere valet, nisi & subsidium ingenij accesserit. Annos natus octo & triginta Atheniensi populo persuasit, Olynthiis auxilium contra Philippum mitterent.

Olynthiaca tres.

Ex Plutarcho X. Oratorum libello.

DEMOSTHENES Demosthenis, & Cleobulæ F. tribu Pæaniensis, relictus à patre cùm esset annos natus septem, & soror quinque, totum illud tempus quo patre orbatus fuit, apud matrem egit, cùm se Isocrati ad audiendum daret, vt quidam aiunt: vt autem plurimi, Isæo Chalcidensi, qui & ipse Isocratis erat discipulus, studio æmulandi Thucydidis & Platonis philosophi incensus: alij enim aliter de oratoris institutione ac doctoribus narrant. Cùm verò ad ætatem maturam peruenisset, ac pauciora, quàm esset æquum, à tutoribus accepisset, qui tres erant, nimirum Aphobus, Theripides & Demophon, qui aliis Demeas est, à singulis talenta decem multæ caussa postulauit, ipsósque vicit. Ipsam verò condemnationem parui fecit, aliis quidem pecunia, aliis verò etiam * obsequio liberatis. Choragus factus Midiam Anagyrasium, qui illum præbitoris officio fungentem percusserat, in ius vocauit, acceptisque tribus drachmarum millibus, ab accusatione destitit. Nec desunt qui dicant, eum multa naturæ vitia exercitatione vicisse, & adhuc iuuenem in speluncam descendere solitum, in eáque eloquentiam exercere, abrasa dimidia capitis parte, quo sibi excundi facultatem eriperet. Deinde lecto cubare angusto, vt citius excitaretur, & ῥῶ litteram, cùm naturâ pronuntiare non posset, labore didicisse. Et cùm humerum exercendo indecore moueret, obelisco, vel, vt nonnullis videtur, gladiolo è laquearibus suspenso coërcebat, vt timore ab ea deformitate cessaret, seque in dicenti gestu contineret. Ipse ad Phalericum se conferens iuxta fluctuum impetus exercebatur, vt assuetudine naturam corrigeret. Quin & speculum iustæ magnitudinis sibi comparauit, in quo se ipse contemplans gestus obseruabat, vt si quid in actione vitij esset, hoc animaduersum ad rectum dirigeret. Cúmque angusto esset spiritu, vt longiores ambitus vno ductu efferre non posset, Neoptolemo histrioni decem millia drachmarum dedit, quo illum spiritus extensionem doceret: & cum angustis esset ad vium meatibus (quibus attrahētibus per palatū

** χάριτι gratia.*

καὶ κατὰ τὴν σύνθεσιν ἐναρμόνιον. καὶ ὡς τοῖς παθητικοῖς μὲν τῶν ἐπιχειρημάτων καὶ ἐνθυμημάτων, παθητικὴν καὶ τὴν ἀπαγγελίαν περιάπτει· τοῖς πραγματικοῖς δὲ, ὅσα τούτοις ἐναρμόττει. *ἔχεται μὲν οὖν καὶ τοῦ ἤθους, οὐκ ἐν τούτῳ μόνον τῷ λόγῳ, ἀλλὰ καὶ ἐν πολλοῖς ἄλλοις. ἀλλά γε χαλεπώτατόν ἐστι λόγων ἀγωνιστικῶν ἐργάτῃ διὰ τέλους φυλάξαι πρὸς τὸν ἀνταγωνιστὴν τὸ ἦθος· μάλιστα δὲ τοῖς ὅσοι φύσεως ἔτυχον πικροτέρας τε καὶ παθητικωτέρας· ἧς οὐχ ἥκιστα Δημοσθένης τε καὶ Ἀριστείδης μετέχει. διόπερ πολλάκις ἐξάγονται, καὶ τῆς προθέσεως ἐλαττουμένης ὑπὸ τῆς φύσεως. οὐδὲ γὰρ οὐδ᾽ ἔστιν ἱκανὴ τέχνη κατορθῶσαι τὸ βούλημα, μὴ συνεργὸν ἔχουσα καὶ τὴν τῆς φύσεως ἰδιότητα. ἐτῶν μέν τοι γεγονὼς ὁ ῥήτωρ ὀκτὼ καὶ τριάκοντα, ἔπεισε δημηγορήσας τὸν δῆμον βοήθειαν Ὀλυνθίοις ἀποστεῖλαι, πρεσβευσαμένοις κατὰ Φιλίππου. Οὗτος ὁ Δημοσθένης, υἱὸς μὲν γέγονεν ἐκ Κλεοβούλης Δημοσθένους, τὸν δῆμον Παιανιεύς. καταλειφθεὶς δὲ ὑπὸ τοῦ πατρὸς ἑπταέτης σὺν ἀδελφῇ μεταγενεστέρᾳ δυοῖν ἔτεσι· τὸν μὲν χρόνον τῆς ὀρφανίας παρὰ τῇ μητρὶ διῆγε, Ἰσοκράτει σχολάζων τῷ ῥήτορι, ὡς δὲ οἱ πλείους λέγουσιν, Ἰσαίῳ τῷ Χαλκιδεῖ ἐν Ἀθήναις σοφιστεύοντι. ὁ δὲ Ἰσαῖος, Ἰσοκράτους γέγονε μαθητὴς, Θουκυδίδην ζηλῶν, καὶ Πλάτωνα τὸν φιλόσοφον. ἄλλοι δὲ ἄλλα περί τε παιδεύσεως Δημοσθένους, καὶ τῶν αὐτοῦ διδασκάλων, ἱστοροῦσιν. εἰς ἡλικίαν δὲ καταστὰς, καὶ ἐλάττω τὴν οὐσίαν παρὰ τῶν ἐπιτρόπων λαβὼν, ἐγράψατο αὐτοὺς ἐπιτροπῆς τρεῖς ὄντας, Ἄφοβον, Θηριππίδην καὶ Δημοφῶντα (οἱ δὲ ἀντὶ Δημοφῶντος, Δημέαν εἰσάγουσι) τίμημα δέκα ταλάντων ἑκάστῃ δίκῃ ἐπιγραψάμενος. τῆς μέντοι καταδίκης οὐδὲν εἰς αὐτοὺς εἰσεπράξατο· τοὺς μὲν (ἀφεὶς) ἀργυρίου, τοὺς δὲ καὶ χάριτος. αἱρεθεὶς δὲ χορηγὸς, Μειδίαν τε τὸν Ἀναγυράσιον πλήξαντα αὐτὸν, ἐν τῷ θεάτρῳ χορηγοῦντα γραψάμενος, εἰς κρίσιν κατέστησε. τρισχιλίας δὲ λαβὼν παρ᾽ αὐτοῦ, τῆς δίκης ἀπέλυσε. λέγουσι δὲ αὐτὸν πολλὰ τῆς φύσεως ἐλαττώματα μελέτῃ διορθώσασθαι. ὁ νέος μὲν οὖν, εἰς σπήλαιον ἑαυτὸν ἐναπέκλεισε, κἀκεῖ διῆγε φιλοσοφῶν, τῆς κεφαλῆς ξυρώμενος τὸ ἥμισυ, ἵνα μὴ αὐτῷ ἐξῇ, τῆς ἀσχημοσύνης κωλυούσης, ποιεῖσθαι μηδὲ βουλομένῳ τὴν πρόοδον. δεύτερον δὲ, ἐπὶ στενῆς αὐτόν φασι κλίνης κοιμᾶσθαι, ὡς ἔχειν διὰ ταχέων ἀνίστασθαι. τὸ δὲ στοιχεῖον, τὸ Ῥῶ τῇ γλώττῃ μὴ πεφυκότα λέγειν, πόνῳ προςλαβεῖν τὸ δύνασθαι. ἀλλὰ καὶ τὸν ὦμον *ἀπρεπῶς ἐν τῷ μελετᾶν κινοῦντα, ὀβελὸν ἐκ τῆς ὀροφῆς ἀπαρτήσαντα ἐν χρῷ τοῦ σώματος, ἢ (ὥς ἔνιοι) ξιφίδιον, ὡς ἂν φόβῳ τοῦ παθεῖν τὴν ἠρεμίαν ἄγοι, ἀπαλλαγῆναι τοῦ συμπτώματος. πρὸς δὲ τοὺς τοῦ δήμου θορύβους παρατιθέμενος, ἵνα μὴ τοῦτο πάσχοι, ἐπὶ τὸ Φαληρικὸν κατιὼν, πρὸς τοὺς τῶν κυμάτων ἤχους τὰς μελέτας ἐποιεῖτο, τῷ ἔθει τὴν φύσιν ἐπανορθούμενος. ἀλλὰ καὶ κάτοπτρον ἑαυτῷ κατεσκευάσατο, ἴσον αὐτῷ τῷ μεγέθει, εἰς ὃ τὰς σκέψεις ἀφορῶν ἐποιεῖτο, ἵνα εἴ τι εἴη παρημελημένον ἐν τῷ σχήματι λέγοντος, τοῦτο μανθάνων *ἐπανάγοι πρὸς τὸ εὔσχημον. ἐνδεῶς δὲ τοῦ πνεύματος ἔχοντος αὐτῷ, ὥστε μηδὲ δύνασθαι τὰς μακροτέρας τῶν περιόδων ἀπνευστὶ λέγειν, Νεοπτολέμῳ τῷ ὑποκριτῇ *μυρίας ἔδωκεν, ἵνα αὐτῷ συνασκήσῃ τὸν τόνον τοῦ πνεύματος. καὶ τῶν λεπτῶν δὲ *ῥημάτων, δι᾽ ὧν ἀναπνέοντες τὸν ἀέρα διὰ

** al. ἔρχεται.*

Isocrates Demosthenis magister.

** al. ὦ τοῦ μὴ πρεπῶν.*

** ἐπανάγοιτο*

** al. μυρία*

** al. τρημάτων*

διὰ τῶν ἐκπνοῶν ἀναψύχομεν, ὥσπερ αὔρας τινὸς τὸν θώρακα * διαθερμαινόμενον, καὶ τὸ λιγυρῶδες ἐκεῖθεν ἐκφερόμενον, στενομένων αὐτοῦ παρὰ τὴν χρείαν κατεσκευασμένων. ἐπεὶ καὶ τοῦτο μέγα μέρος ἐστὶ τῆς λαμπροφωνίας· εἰς τὸ εὐρύτερόν τε καὶ κατὰ φύσιν ἐπανήγαγεν· ἔλαιον μὲν ἐμβάλλων τῷ στόματι, ἀνάγων δὲ πρὸς τὰ τῶν χωρίων ἀνάντη· δι' ὧν τὸ ἔλαιον τῇ βίᾳ τῆς κινήσεως πρὸς τοὺς μυκτῆρας * ἀναρροιβδούμενον, τὴν παρὰ φύσιν τῶν πόρων συνίζησιν εἰς τὴν κατὰ φύσιν ἀποκατέστησε χρείαν. ἐπιδοὺς δὲ αὑτὸν εἰς τὸ πολιτεύεσθαι· ἐπεὶ τοὺς μὲν ἑώρα τῶν πολιτῶν φιλιππίζοντας, τοὺς δὲ πρὸς τὴν τῆς πόλεως ἐλευθερίαν δημηγοροῦντας· τῆς * ἀμείνω μοίρας γίνεται· καὶ συνεπολιτεύετο Ὑπερείδῃ καὶ Ναυσικλεῖ καὶ * Πολυεύκτῳ, καὶ Διοτίμῳ. διὸ Θηβαίους μὲν Ἀθηναίοις συμμάχους κατέστησεν· ἀλλὰ καὶ Εὐβοεῖς, καὶ Κερκυραίους, καὶ Κορινθίους, καὶ Βοιωτοὺς, καὶ πολλοὺς ἄλλους. ἐπεὶ δέ ποτε δημηγορῶν ἐξέπεσε τοῦ θεάτρου, καὶ ἀθυμῶν οἴκαδε ἀπῄει· Εὔνομος μὲν αὐτῷ ὁ Θριάσιος, ἤδη * πρεσβύτης ὢν κατὰ τὴν ὁδὸν συνεκύρησε· καὶ μαθὼν τῆς ἀθυμίας τὸ αἴτιον, θαρρεῖν τε προυτρέψατο, καὶ ἀνεκτήσατο· καὶ τούτου πλέον Ἀνδρόνικος ὁ ὑποκριτής, τοὺς μὲν λόγους εὖ ἔχειν καὶ ὡς ἄριστα, φάμενος· ἐνδεῖν δὲ αὐτοῖς τὰ τῆς ὑποκρίσεως. ὁ δὲ παραδίδωσί τε * αὐτὸν τῷ Ἀνδρονίκῳ, καὶ τὴν τῆς ὑποκρίσεως τέχνην ἐκεῖθεν ἐξήσκησε. διόπερ ἐρομένου ποτέ τινος αὐτόν, τί πρῶτον ἐν ῥητορικῇ; εἶπεν ὑπόκρισις· καὶ τί δεύτερον; ὑπόκρισις· τί δὲ τρίτον; ὑπόκρισις. δηλῶν, μέγα μέρος εἶναι τὸ ἐν τῷ δῆμον πεῖσαι τὴν ὑπόκρισιν. * ὤμνυε δέ, ὡς ὁ Φαληρεύς φησι,

μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα.

καὶ δή ποτε ὀμόσας τοὺς ὅρκους τούτους, τῷ δήμῳ θόρυβον ἐνεποίησεν· ὥσπερ καὶ ἐπὶ * τῷ ὀμνύναι τὸν Ἀσκληπιόν, χρώμενος τῇ φωνῇ προπαροξυτόνως. ὅμως οὖν σχολάσας τῷ Μιλησίῳ Εὐβουλίδῃ, ὃς τῶν διαλεκτικῶν οὐδενὸς τὰ δεύτερα ἔφερεν, * ἐπηνωρθώσατο πάντα, ὅσα παρεῖχεν αἰτίας ἁμαρτήματος.

Φασὶ δὲ τὸν Μακεδόνα Φίλιππον, ἐπεὶ τὰς κατ' αὐτοῦ δημηγορίας τοῦ Δημοσθένους ἐδέξατο καὶ ἀνέγνω, μέγα θαυμάσαντα, εἰπεῖν· Ὡς καὶ αὐτὸς ἄν, εἴπερ ἤκουσα κατ' ἐμοῦ δημηγοροῦντος Δημοσθένους, ἐχειροτόνησα ἂν τὸν ἄνδρα πρὸς τὸν κατ' ἐμοῦ πόλεμον. ἐρομένου δὲ αὐτόν τινος τῶν συνήθων, τίνες ἂν εἶεν πιθανώτεροι καὶ δυνατώτεροι λόγοι, Δημοσθένους ἢ Ἰσοκράτους; ἔφη, ὡς οἱ μὲν Δημοσθένους τοῖς στρατιώταις ἐοίκασι, * πολεμικὴ γὰρ αὐτῶν καὶ σφοδρὰ ἡ δύναμις· οἱ δὲ Ἰσοκράτους τοῖς ἀθληταῖς· θεατρικὴν γὰρ αὐτοὺς παρέχειν τέρψιν. ἐπεὶ δὲ ἡ καταδίκη φυγὴν τῆς πατρίδος ἐπέβαλε τῷ Αἰσχίνῃ, ἔφιππος καταδιώξας αὐτόν, τά τε ἄλλα παρεμυθήσατο, καὶ τάλαντον ἀργυρίου δέδωκε, τἀναντία προσδοκῶντι Αἰσχίνῃ. καὶ γὰρ ὑπονοούμενος αὐτὸν ὁ Αἰσχίνης ἐπελαύνοντα, καὶ συλλαβεῖν αὐτὸν ἐπὶ κακῷ νομίσας, προσέπεσέ τε, καὶ συγκαλυψάμενος ἐδεῖτο σωτηρίας. ὁ δέ, καθάπερ ἔφημεν, οὐ ῥήτορι μᾶλλον, ἀλλ' ἀνδρὶ πρέπον φιλοσόφῳ ἔργον εἰς αὐτὸν ἐπεδείξατο. φέρειν δὲ γενναίως ὑποτιθεμένου αὐτῷ τὴν φυγὴν Δημοσθένους· καὶ πῶς ἂν δυναίμην,

* al. διαθερμαινομένη. * ἀναρροιβδού-μενον. * ἴσ. ἀμείνονος. * α. Πολυεύκτου. * al. πρεσβύτης. * al. ἑαυτὸν. * al. ὤμνυε. * al. τῷ. * al. ἐπανωρθώσατο. * al. πομπικὰ.

aërem veluti aura quadam pectus calefactum refrigeramus, atque inde halitus fumosos educimus, & in eo maximè claræ vocis sonus consistit) oliuam ori inserens, & per accliuia decurrens latiores reddidit, ac naturæ aptiores: quo motu oliua ad nares illisa & absorpta, tenuiores illos angustioréfque meatus naturæ functioni idoneos redderet.

Cùm verò sese ad Rempubl. contulisset, & in duas partes ciues diuisi essent, vt alij pro Philippo starent, alij populi, bonorúmque omnium vtilitati studerent, eam partem delegit, quæ Philippo aduersaretur, eandem rationem administrandæ Reipub. secutus, quam & Hyperides, & Nausicles, & Polyeuctus, & Diotimus. Ex quo etiam ciuitati socios fecit Thebanos, Eubœenses, Corcyræos, Corinthios, Bœotios, multos præterea alios. Cùm verò aliquando concionando indecore in theatro explosus esset, tristis domum abiit: cui cùm forte Eunomus Thriasius iam senex, factus esset obuius, cognita mœroris caussa, bono esse animo iussit, ac recreauit, imprimísque Andronicus histrio, cùm ita diceret, orationes illius pulchras & splendidas esse. Cuius rei gratia permotus Demosthenes, seipsum Andronico tradidit, ibique actionis artem didicit. Hinc etiam interrogatus, quid primum in dicendo esset, respondit Actionem: quid secundum & tertium, similiter Actionem respondit, ostendens magnam esse partem eloquentiæ ad populo persuadendum, actionem. Iurabat autem, vt Phalereus ait, per terram, per fontes, per fluuios, per latices, quo pacto cùm iurasset, apud populum tumultum consciuit. Iurauit quoque pro Asclepiòn, antepenultima acuta Asclépion. Cùm verò otium ac studium audiendo Eubulidem Milesium, qui in Dialecticis secundus erat nemini, consumeret, omnia in quibus ipse deficere & claudicare videretur, emendauit. Cùm autem essent, qui habitas à Demosthene contra Philippum conciones ad eum ipsum deferrent, dixisse admirabundum narrant: Equidem si orantem audiuissem, non alium qui contra me bellum gereret, ducem delegissem. Cùm autem quidam illum interrogaret, vtrius orationes essent fortiores, & ad persuadendum aptiores, Demosthenis, vel Isocratis, ipsius orationes militibus propter bellicam virtutem, Isocratis verò athletis similes esse dicebat, quod hæ quandam talem delectationem adferrent, qualem in theatris percipere homines solent. Cùm post condemnationem (actionis de Corona contra Ctesiphontem) Æschines fugeret, illum equo Demosthenes est prosecutus, & aliis rebus consolatus, argenti talentum, alia omnia exspectanti inopinato donauit. Etenim insequentem intuitus Æschines, ratúsque ad iniuriam calamitatémque rapi, genibus accidit, & capite obuoluto salutem deprecabatur. Hic verò, vt iam diximus, officium non tam oratore, quàm philosopho dignum præstitit. Hortante autem Demosthene, vt exsilium æquo animo ferret, subiecit ille: Qui possem,

DEMOSTH.

inquit, cum eam relinquo vrbem, in qua eos inueni hostes, qui benignitate amicos alibi longè superét. Hic etiam Demosthenes annonæ præfectus furtique accusatus, absolutus est. Cùm verò Elateam Philippus occuparet, ipse cum iis, qui pugnauerant in Chæronea, militauit, in quo prœlio ordinem fuga deseruisse visus est. Cùm autem fugientis chlamydem rubus retinuisset, tum Demosthenes conuersus imprecabatur, ζώγρει, serua: viuum, inquit, cape. Notatum hoc in clypeo habuit, & signatum: BONA FORTVNA. orationémque habuit in funere eorum, qui in bello cecidissent, quæ si fortunæ tunc statum, conditionémque spectes, fortè non indigna Demosthene videatur, at si cum aliarum virtutibus orationum componas, non parum deterior. Postea verò cùm ad vrbis refectionem studio curáque intentus esset, murorum curator factus de sua pecunia ad eã rẽ impendit minas centum: ad spectacula autem decem minarum millia contulit, triremésque conscendit, & vndique ad socios nauigans pecunias coëgit, quas ob res persæpe ipse aurea corona est donatus, primum quidem à * Demotele, Aristonico, & Hyperide: postremum verò à Ctesiphonte. Cùmque decretum hoc tanquam contra leges factum, Diodotus atque Æschines accusassent, ipse pro se defensione vsus vicit. Postea verò cum Alexander in Asiam exercitum ductaret, Harpalúsque Athenas cum facultatibus pecuniisque fugeret, hunc quidem primò recipi orator prohibuit: deinde postquam nauigio est ingressus, acceptis mille Daricis acquieuit. Cúmque Athenienses hominem Antipatro dedere vellent, repugnauit, scripsitque vt ea, quam secum attulerat Harpalus, pecunia in summa arce deponeretur, vtque Harpalus eius ipsius pecuniæ numerum ac summam diceret, neque populo pecuniæ summam indicauit. Cùm autem dixisset Harpalus septingenta talenta à se allata, & in arce collocata, octo tantùm & trecenta, aut paulò amplius reperta sunt. Postea cùm Harpalus è carcere aufugisset, atque in Cretam, vel, vt alij volunt, in Tænarum agri Laconici oppidum venisset, accusatus Demosthenes acceptorum donorum est, vocatúsque in iudicium ab Hyperide, Pythæa, Menesæchmo, Himeræo, Procle: quorum opera effectum est, vt Areopagitarum sententia condemnatus exsulatum abiret, cùm multæ in quintuplam soluendæ non esset futurus satis. Accusabant autem quòd triginta talenta accepisset, vel, vt nonnulli dicunt, non exspectato iudicio illum fugisse, iam iudicibus sententiam ferre parantibus. Postea verò cum Athenienses Polyeuctum legatum ad Arcadas misissent, vt eos à Macedonum societate abducerent, neque Polyeuctus persuadere potuisset, prodiens Demosthenes, & vna dicendi partes assumens, persuasit. Cuius rei caussa cum eum admirandum quendam hominem omnes ducerent, paucis elapsis diebus decretum de illo reuocando est factum, ex eóque missa est triremis quæ illum adueheret, decreuerúntque Athenienses, vt triginta illa talenta, quibus mulctatus fuerat Demosthenes, ex ærario ad struendam aram Ioui in Piræeo conferrentur, atque ita liberaretur. Et rursum Rempublicam administrauit.

Funeris laudatio.

* Δημοτέλους. est in Plutarch.

Polyeuctus.

Αἰσχίνης ἔφη, τοιαύτης ἀποστερούμενος πόλεως, ἐν ᾗ καὶ τοὺς δοκοῦντας ἐχθροὺς εἶναι τῶν ἀλλαχόθι φίλων χρηστότητι καὶ καλοκαγαθίᾳ εὑρεῖν ἔστι διαφέροντας. σιτώνης μέν τοι γε καταστὰς ὁ Δημοσθένης, καὶ κλοπῆς αἰτιαθεὶς, ἀπελύθη. Φιλίππου μέν τοι τὴν Ἐλάτειαν καταλαμβανομένου, τοῖς ἐν Χαιρωνείᾳ καὶ αὐτὸς συνεστρατεύσατο * μαχεσαμένοις. ἐν ᾗ καὶ λιπὼν ἐφάνη τὴν τάξιν. ἐπεὶ δὲ φεύγοντος αὐτοῦ, τὸ φυτὸν ὁ βάτος ἐπελάβετο τῆς χλαμύδος, * ἐπιστραφέντα λοιδορεῖσθαι * εἰπεῖν ζώγρει. ἡ δὲ ἀσπὶς αὐτοῦ ἐπίσημον ἔφερε τὴν Τύχην. τοὺς πεπτωκότας δὲ ἐν τῇ μάχῃ ἐκόσμησεν ἐπιταφίῳ· τοῦ μὲν συμβάσης τύχης ἴσως οὐδὲν ἐνδεέστερον, τῆς δ' ἄλλης αὐτοῦ περὶ λόγους δυνάμεως οὐκ ὀλίγῳ ἐνδεέστερον. εἶτα τὰ τῆς πόλεως ἐπεσκεύασε τείχη. ἐπιμελητὴς δὲ τούτων καταστὰς, ἀπὸ τῆς ἰδίας οὐσίας * καταβάλλετο τὸ ἀνάλωμα ἀργυρίου μνᾶς ἑκατόν. καὶ θεωρικὰς δὲ μυρίας ἐπέδωκεν. ἀλλὰ καὶ τριήρους ἐπιβὰς, τοὺς συμμάχους ἀργυρολογῶν περιέπλευσεν· ἐφ' οἷς καὶ χρυσῷ πολλάκις ἐστεφανώθη στεφάνῳ, τὰ πρῶτα μὲν ὑπὸ Δημοτέλους, καὶ Ἀριστονίκου, καὶ Ὑπερείδου, τελευταῖον δὲ ὑπὸ Κτησιφῶντος. γραφέντος δὲ τοῦ ὑστέρου ψηφίσματος παρανόμων ὑπὸ Διοδότου καὶ Αἰσχίνου· εἰς ἀπολογίαν καταστὰς, ἐνίκησεν. χρόνῳ δὲ ὕστερον ἐπὶ τὴν * Ἀσίαν Ἀλεξάνδρου διαβεβηκότος, καὶ φυγόντος Ἀθήναζε μετὰ χρημάτων Ἁρπάλου· τὰ μὲν πρῶτα δημηγορῶν, οὐκ εἴα τὸν ἄνδρα παραδέχεσθαι. ἐπεὶ δὲ εἰσέπλευσε· δαρεικοὺς χιλίους (ὥς φασι) λαβὼν, πρὸς τοὺς ὑπὲρ αὐτοῦ λέγοντας μετετάξατο. καὶ βουλομένων Ἀθηναίων Ἀντιπάτρῳ προδοῦναι τὸν ἄνθρωπον ἀντεῖπεν, τά τε Ἁρπάλεια χρήματα εἰς ἀκρόπολιν ἔγραψεν ἀποθέσθαι, μηδὲ τῷ δήμῳ τὸν ἀριθμὸν αὐτῶν ἀποσημηνάμενος. λέγοντος δὲ Ἁρπάλου ἑπτακόσια συγκατακομίσαι τάλαντα, τὰ ἀνενεχθέντα εἰς τὴν ἀκρόπολιν ὀκτὼ καὶ τριακόσια ἢ ὀλίγῳ πλείονα εὑρέθη. φυγόντος δὲ ἐκ τοῦ δεσμωτηρίου Ἁρπάλου· οἱ μὲν εἰς Κρήτην φασὶν, οἱ δὲ εἰς Ταίναρον τῆς Λακωνικῆς: δωροδοκίας αἰτίας παρέσχεν ὁ Δημοσθένης. ἐπὶ ταύτῃ δὲ καταστὰς εἰς κρίσιν ὑπὸ Ὑπερείδου, Πυθαίου, Μενεσαίχμου, Ἱμεραίου, καὶ Προκλέους· οἳ καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν κατεσκεύασαν αὐτοῦ καταγνῶναι. ἑάλω καὶ ἁλοὺς ἔφυγε, μὴ δυνάμενος ἀποτῖσαι πενταπλάσια. ᾐτιῶντο δὲ αὐτοῦ δωροδοκίας τάλαντα τριάκοντα. ἔστι δὲ καὶ ἄλλος λόγος, ὃς οὐδὲ τὴν κρίσιν αὐτοῦ ὑπομεῖναι λέγει· ἀλλὰ * φυγεῖν, τῶν μελλόντων κρίνειν αὐτὸν * παρασκευαζομένων. χρόνῳ δὲ ὕστερον ὀλίγῳ Πολύευκτον ἔπεμψαν Ἀθηναῖοι πρὸς τὸ κοινὸν πρεσβεύσασθαι τῶν Ἀρκάδων, ἐφ' ᾧ αὐτοὺς ἀποστῆναι τῆς τῶν Μακεδόνων συμμαχίας. μηδὲν δὲ ἀνύοντος τοῦ Πολυεύκτου ἐπιφανεὶς Δημοσθένης, καὶ συνειπὼν, ἔπεισε. διὸ καὶ θαυμασθέντα τῇ πράξει παρὰ τῶν Ἀθηναίων, καθόδου τυχεῖν αὐτὸν, ψηφίσματός τε γραφέντος, καὶ τριήρους ἀποσταλείσης. ἐψηφίσαντο δὲ καὶ ἀντὶ τῶν τριάκοντα ταλάντων, ἃ ὤφειλε, τὸν τοῦ Διὸς βωμὸν, τὸν ἐν Πειραιεῖ, ἐπισκευάσασθαι. καὶ ἦν πάλιν κατὰ τὸ πρότερον πολιτευόμενος.

* al. μαχεσάμενος.

* Ἴσ. ἐπιστραφεὶς τε καὶ...

* κατεβάλετο.

* βασιλέως.

* al. φευγόντων & παρασκευαζομένων.

ἐπεὶ

DEMOSTH.

ἐπεὶ δὲ Ἀντίπατρος Φάρσαλον μὲν εἷλεν, ἠπείλει δὲ πολιορκήσειν τοὺς Ἀθηναίους, εἰ μὴ παραδοῖεν αὐτῷ τοὺς ῥήτορας· καταλιπὼν ὁ ῥήτωρ τὴν μηδὲ ἑαυτὸν δυναμένην σῶσαι πόλιν, ἔφυγε. καὶ πρῶτον μὲν Αἰγίνης ἐπέστη· εἶτα κἀκεῖ τὴν ὀργὴν * Φιλίππου δεδιὼς, εἰς Καλαύρειαν μετέστη. ψῆφον δὲ θεμένων Ἀθηναίων, ἐκδοῦναι τοὺς ῥήτορας· ἱκέτης ἐν τῷ τοῦ Ποσειδῶνος προσήδρευεν ἱερῷ. Ἀρχίου δὲ τοῦ ἐπίκλην φυγαδοθήρα προσελθόντος αὐτῷ, καὶ πείθειν ἐπιχειροῦντος, ἀνίστασθαί τε τοῦ ἱεροῦ καὶ χρηστὰς ἐλπίδας ἔχειν ἐπ' Ἀντιπάτρῳ· ἀλλ', ὦ βέλτιστε, εἶπεν, οὔτε τραγῳδῶν ἔπεισάς με, οὔτε νῦν συμβουλεύων πείσεις. ἐπιχειροῦντος δὲ αὐτὸν βιάζεσθαι, οἱ τῆς πόλεως αὐτὸν ἐπέσχον. καὶ ὁ Δημοσθένης μάλα γενναίως καὶ φαιδρῶς ἔφη· οὐ σωτηρίας δεόμενος κατέφυγον εἰς Καλαύρειαν, ἀλλ' ἐλέγξαι Μακεδόνας βουλόμενος, ὡς καὶ τὰ τῶν θεῶν εἰσὶ βιάσασθαι παλαμναῖοι. καὶ γραμματεῖον αἰτήσας, γράψαι λέγεται τὸ ἐπὶ τῆς εἰκόνος αὐτοῦ ἐλεγεῖον, ὅπερ ὕστερον ὑπὸ τῶν Ἀθηναίων ἐνεκολάφθη.

* Ἰσ. Ἀντιπάτρου Η. St.

> Εἴπερ ἴσην γνώμῃ ῥώμην, Δημόσθενες, εἶχες,
> οὔ ποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

Ἀλλὰ τοῦτο μὲν Δημήτριος ὁ Μάγνης λέγει· εἰσὶ δὲ οἵ φασι, τὸ γραμματεῖον εὑρεθῆναι γράφον ἕτερον [μὲν] οὐδὲν, πλὴν ὅτι Δημοσθένης Ἀντιπάτρῳ χαίρειν. ἀποθανεῖν δὲ τὸν ῥήτορά φασιν, οἱ μὲν φάρμακον ἐκπιόντα· οἱ δὲ, γευσάμενον τοῦ ἐν τῷ καλάμῳ φαρμάκου· καὶ γὰρ παρεσκεύαστο δι' οὗ τὴν ἐπιστολὴν ἔγραφεν. ἄλλοι δὲ κρίκον αὐτοῦ τῷ βραχίονι περιάπτουσιν, ἐν ᾧ τὸ φάρμακον ἐναπέκειτο. καὶ συσχόντα * δὲ αὐτοῦ τὸ πνεῦμα, ἄλλος λόγος ἀποθανεῖν λέγει. ὥσπερ ἄλλος, διὰ τοῦ φαρμάκου, ὃ τῇ σφενδόνῃ τοῦ δακτυλίου ἐναπεθησαύριστο. ἐβίω δὲ, ὡς μὲν οἱ τὰ πλείω λέγουσιν, ἔτη ἑβδομήκοντα· ὡς δὲ οἱ τὰ ἐλάττω, ἑπτὰ καὶ ἑξήκοντα. ἐπολιτεύσατο δὲ δύο καὶ εἴκοσιν ἔτη. κατέλιπε δὲ δύο παῖδας ἐκ μιᾶς γυναικὸς τῶν ἐπιφανῶν. ἔστι δὲ αὐτοῦ εἰκὼν ἐν τῷ πρυτανείῳ περιεζωσμένη ξίφος· οὕτω γὰρ αὐτὸν σκευασάμενον δημηγορῆσαι λέγεται κατὰ Ἀντιπάτρου, ὅτε τοὺς ῥήτορας λαβεῖν ἐξ Ἀθηνῶν ἐβιάζετο. χρόνῳ μέντοι ὕστερον, σίτησιν ἡ πόλις ἐν τῷ πρυτανείῳ τοῖς τοῦ ῥήτορος συγγενέσιν ἐδωρήσατο· καὶ ἄλλαις τιμαῖς ἐτίμησαν τελευτήσαντα· καὶ τὴν εἰκόνα ἀνέθεσαν ἐν τῇ ἀγορᾷ. φέρονται δέ αὐτοῦ ἀποφθέγματα τὰ πλεῖστα, καὶ γνωμολογίαι, ἅπερ αὐτὸς μὲν ἑκάστοτε πρὸς τὴν ἀνακύπτουσαν χρείαν ἁρμοττόμενος ἔλεγεν, οἱ δὲ ἀκούοντες, μνήμῃ τε καὶ γραφῇ διεσώσαντο. ἤ πώς ποτε κωλυόμενος ὑπ' Ἀθηναίων ἐν ἐκκλησίᾳ λέγειν βραχύ τι προσδιαλεχθῆναι αὐτοῖς ἔφη βούλεσθαι. τῶν δὲ δεξαμένων· Νεανίας τις ἔφησεν, ὥρᾳ θέρους ἐξ ἄστεος ὄνον ἐμισθώσατο Μέγαράδε. τῆς δὲ φλογὸς κατὰ τὸ μέσον τῆς ἡμέρας ἐπιπλέον ἀναπτομένης, ἑκάτερος αὐτῶν ἐσπούδαζεν ὑπὸ τὴν τοῦ ὄνου γενέσθαι σκιάν· ὁ μὲν λέγων μεμισθωκέναι τὸν ὄνον, ἀλλ' οὐκ ἐν σκιᾷ· ὁ δὲ μεμισθωμένος, ὡς αὐτὸν κύριον τοῦ σώματος ἀποφαίνῃ τὸ μίσθωμα. καὶ τὴν ἄλλην ἔχειν ἐξουσίαν τῶν συμβαινόντων διὰ τοῦ σώματος. καὶ ταῦτα εἰπὼν, ἀπῄει, ὀργώσας αὐτῶν τὰς ἀκοὰς πρὸς τὴν τῶν λοιπῶν διήγησιν ἀπολιπών.

* al. Δ' ἑαυτοῦ.

Cumque Pharsalum cepisset Antipater, minaretur que nisi Athenienses oratores dederent, se vrbem obsessurum: Demosthenes, relicta ciuitate, sibi salutem fuga quæsiit, ac primum quidem in Æginam confugit. Sed cum vereretur Antipatri iram, se in Calauriam transtulit. Cum autem Athenienses oratores, ipsumque Demosthenem dedere statuissent, in Neptuni templo supplex consedit. Cumque ad eum Archias, qui Phygadotheres (quasi exsulum venator) cognomento dicebatur, accederet, eique suaderet, vt exiret, benéque de Antipatro speraret. Tunc Demosthenes: Neque cum tragœdias, inquit, ageres, mihi persuasisti, neque hoc nunc suadens, persuadebis. Et cum Archias vim inferre conaretur, prohibuerant illi, qui ad vrbis custodiam erant constituti. Tum Demosthenes strenuè & fortiter: Non salutis, inquit, egens in Calauriam confugi, sed vt impietatis & violentiæ in Deos, Macedones conuincerem. Et codicillum postulans inscripsisse fertur, statuæ inscribendum distichon, quod postea ab Atheniensibus inscriptum:

SI PARIA ELOQVIO DEMOSTHENES ARMA TVLISSES,
NON CADERET MACEDVM GRAIA VICTA MANV.

vt refert Demetrius Magnus: aut, vt nonnullis videtur, repertum est hoc scriptum: *Demosthenes Antipatro salutem dicit.*

Genus vero mortis quo obiit, varij tradunt: alij epoto veneno obiisse: alij calamum veneno infectum momordisse, quo epistolam scribere cœperat, eóque gustato, mortuum esse: alij in circulo concauo quem circum brachium ferebat, venenum seruasse. Sunt verò qui eum compresso spiritu, mortem sibi consciuisse dicant: alij venenum, quod in annuli pala condiderat, hausisse. Vixit annos, vt multi dicunt, septuaginta: vt alij, sexaginta septem. Rempublicam duos & viginti annos gessit. Liberos ex vxore nobili reliquit duos. Est autem ipsius imago in Prytaneo, gladio cincta: eo enim habitu orationem habuisse fertur, cum Antipater oratores ab Atheniensibus dedi sibi postulauit. Post paulò Athenienses in Prytaneo victum propinquis Demosthenis præbuerunt, aliisque honoribus mortuũ exornarunt, eique statuam in foro statuerunt. Feruntur plurima illius Apophthegmata, ac sententiæ, quæ identidem appositè proferebat; audientes verò memoriæ ac scriptis mandarunt. Cum aliquando in concione ab Atheniensibus dicere esset prohibitus, dixit pauca habere se quæ illis dicere optaret. Itaque facto ab Atheniensibus silentio: Adolescens, inquit, æstate asinum conducit, quo ex vrbe Megaram proficisceretur. Cum autem dies medius esset, ac Sol vehementer efferuesceret, locator & conductor sub vmbra asini quiescere cupiebant. Vrgebat alter alterum: locator quidem cum diceret, se asinum non vmbram locasse: conductor verò cum se circa asinum omnem potestatem habere confirmaret, & hęc cum dixisset, abiit orator, aures eorum ad reliqua cupidè audienda exacuens

De asini vmbra fabula & prouerbium.

ANTIPH. OR. ET.

ORATIONES DECEM GRÆCIÆ ORATORVM,

Antiphontis.	*Aeschinis.*
Isocratis.	*Demosthenis.*
Andocidæ.	*Hyperidis.*
Lysiæ.	*Dinarchi.*
Isæi.	*Lycurgi.*

CCLIX.

ANTIPHONTIS ORATIONES.

LECTÆ sunt Antiphontis variæ Orationes: quæ accusationem, persuasionem, & in inueniendo grauitatem continent. In quæstionibus dubiis artificiosus, & ex obscuris ratiocinans, & ad leges, & affectus orationes conuertens, decoro maximè studet. Cæcilius quidem Siculus ait non vti hunc Oratorem figuris sententiarum, sed directè ab illo non fictè animi cogitata efferri. Conuersionem vero callidam & mutationem, neque illum quærere, nec vti, sed per ipsos sensus, & naturalem eorum consequentiam, quo velit auditorem trahere. Antiqui enim Oratores sufficere sibi arbitrabantur, inuenire Enthymemata, & phrasi eximia pronunciare. Toti enim circa dictionem occupabantur, & eius ornatum. Primum quidem, qua ratione esset significatiua, & venusta: deinde modulata eorum compositio. In hoc enim se ab idiotis differre ac præstare credebant. Deinde cum dixisset sine Figuris sententiarum esse Antiphontis orationem, tanquam corrigens seipsum: Non hoc, inquit, dico, quasi nulla in Antiphonte figura sententiarum inueniatur (etenim interrogatio & responsio, & alia similia apparent in eius orationibus) sed quia non de industria, neque continenter vsus est illis, sed quo natura ipsa sine aliqua methodo duxit. Quod videre est in orationibus passim obuiis imperitorum. Ideo & cum aliquis sine figuris dixerit esse orationes, non omnino putet illas Figuris carere, (hoc enim fieri nequit) sed quia artificium perpetuúsque ductus ac vehementia figurarum in ipsis non apparent. Dicuntur illius orationes sexaginta, quarum Cæcilius viginti quinque falso illi adscribi ait, vt testent tantum triginta quinque. Hic patri suo Sophilo operam in studiis dedit. Cæcilius vero huius Oratoris magistrum facit historicum Thucydidem. Dissensisse vero illum à Socrate non contentionis, sed inuestigandæ veritatis gratia. Primum autem condidisse dicit orationes iudiciales. Præcedentium enim nemo hoc genere orationis vsus esse deprehenditur: neque reperias iudicialem orationem scriptam ante tempora Antiphontis. Primum quoque artem Rhetoricæ referunt tradidisse, sollers cum esset, & inde Nestoris cognomen sortitum. Plato in Pisandro illum vt auarum incessit. Fama est illum etiam Tragœdias composuisse, priuatim quidem, & cum Dionysio Tyranno cohabitantem. Studentem vero prius posse, artem aiunt illum reperisse quatristitia depelleretur, & iuxta forum Corinthi

Decem Græciæ Oratorum hæc Elogia, Plutarchi nomine magnam partem, Opusculis, vt vocant, Moralibus circumferuntur. at hic longe, quam ibi auctiora. Certe vtrobique collectanea verius, quam integra scriptio, apparet, quæ Photius si Plutarchi esse putasset, cum non longe hinc è Parallelis excerpta dederit, haud dubie non præteriisset. Lõpreus tamen ne quid dissimulẽ, in censum Plutarchi recipit, etsi quædam in Demosthene hic aliter quam in eius Vita, diuerse narrentur.

ΛΟΓΟΙ ΤΩΝ ΔΕΚΑ ΡΗΤΟΡΩΝ τῆς Ἑλλάδος.

Ἀντιφῶντος.	Αἰσχίνου.
Ἰσοκράτους.	Δημοσθένους.
Ἀνδοκίδου.	Ὑπερίδου.
Λυσίου.	Δεινάρχου.
Ἰσαίου.	Λυκούργου.

σνθ'.

ΑΝΤΙΦΩΝΤΟΣ ΛΟΓΟΙ.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Ἀντιφῶντος λόγοι διάφοροι. εἰσὶ δ' αὐτοῦ οἱ λόγοι τὸ ἐλεγκτικὸν καὶ πιθανὸν καὶ περὶ τὴν εὕρεσιν δυνατὸν οἰκειούμενοι. ἔστι δὲ ὁ ἀνὴρ καὶ ἐν ταῖς ἀπορίαις τεχνικὸς, καὶ τὰς ἐπιχειρήσεις ἐξ ἀδήλου ποιούμενος· καὶ ἐπὶ τοὺς νόμους καὶ τὰ πάθη τρέπων τοὺς λόγους, τοῦ εὐπρεποῦς μάλιστα στοχαζόμενος. ὁ μέν τοι Σικελιώτης Κεκίλιος μὴ κεχρῆσθαί, φησι, τὸν ῥήτορα τοῖς κατὰ διάνοιαν σχήμασιν, ἀλλὰ κατευθὺ αὐτοῦ καὶ ἀπλάστους τὰς νοήσεις ἐκφέρεσθαι. τροπὴν δὲ ἐκ τοῦ πανούργου καὶ ἐνάλλαξιν οὔτε ζητῆσαι τὸν ἄνδρα οὔτε χρήσασθαι· ἀλλὰ δι' αὐτῶν δὴ τῶν νοημάτων, καὶ τῆς φυσικῆς αὐτῶν ἀκολουθίας, ἄγειν τὸν ἀκροατὴν πρὸς τὸ βούλημα. οἱ γὰρ πάλαι ῥήτορες ἱκανὸν αὐτοῖς ἐνόμιζον εὑρεῖν τε τὰ ἐνθυμήματα, καὶ τῇ φράσει περιττῶς ἀπαγγεῖλαι. ἐσπούδαζον γὰρ τὸ ὅλον περί τε τὴν λέξιν, καὶ τὸν ταύτης κόσμον· πρῶτον μὲν ὅπως εἴη σημαντικὴ καὶ εὐπρεπὴς, εἶτα καὶ ἐναρμόνιος ἡ τούτων σύνθεσις· ἐν τούτῳ γὰρ αὐτοῖς καὶ τὴν πρὸς τοὺς ἰδιώτας διαφορὰν ἐπὶ τὸ κρεῖττον περιγίνεσθαι. εἶτα εἰπὼν, ὡς ἀσχημάτιστος εἴη κατὰ διάνοιαν ὁ τοῦ Ἀντιφῶντος λόγος, ὥσπερ ἐπιδιορθούμενος ἑαυτὸν· οὐ τοῦτο, λέγω φησὶν, ὡς οὐδὲν εὑρίσκεται διανοίας παρ' Ἀντιφῶντι σχῆμα· (καὶ γὰρ ἐρώτησίς τις καὶ ὑπόληψις, καὶ ἕτερα τοιαῦτα, ἔνεστιν αὐτοῦ τοῖς λόγοις:) ἀλλὰ τί φημι. Ὅτι μὴ κατ' ἐπιτήδευσιν, μήτε συνεχῶς ἐχρήσατο τούτοις· ἀλλ' ἔνθα ἂν ἡ φύσις αὐτὴ μεθοδείας τινὸς χωρὶς ἀπήγαγεν· ὃ δὴ καὶ περὶ τοὺς τυχόντας τῶν ἰδιωτῶν ἐστὶν ὁρᾶν. διὰ τοῦτο καὶ ὅταν τις ἀσχηματίστους (εἶναι) λέγῃ λόγους, οὐ καθάπαξ* οἴεται τῶν σχημάτων αὐτοὺς ἀπεστερημένους εἶναι· τοῦτο γὰρ ἀδύνατον: ἀλλ' ὅτι τὸ ἐμμέθοδον καὶ συνεχὲς καὶ ἐρρωμένον τῶν σχημάτων οὐκ ἔστιν ὁρώμενον ἐν αὐτοῖς. φέρονται δὲ αὐτοῦ λόγοι ἑξήκοντα, ὧν ὁ Κεκίλιος εἴκοσι καὶ πέντε φησὶν αὐτοῦ καταψεύδεσθαι· ὡς εἶναι τοὺς διαφυγόντας τὸ νόθον, πέντε καὶ τριάκοντα. οὗτος τῷ οἰκείῳ πατρὶ Σοφίλῳ σοφιστεύοντι μαθητεῦσαι λέγεται. Κεκίλιος δὲ Θουκυδίδην τὸν συγγραφέως μαθητὴν γεγονέναι φησὶ τὸν ῥήτορα· διενεχθῆναι δέ φασιν αὐτὸν καὶ Σωκράτῃ τῷ φιλοσόφῳ, οὐ πρὸς φιλονεικίαν, ἀλλὰ πρὸς ἔλεγχον ὁρῶντα. συντάξαι δὲ αὐτὸν καὶ πρῶτόν, φασι, τοὺς ἐν τοῖς δικαστηρίοις ἀγωνιστικοὺς λόγους. τῶν γὰρ πρὸ αὐτοῦ, οὐδεὶς φαίνεται καθεὶς ἑαυτὸν εἰς τοῦτον τὸν ἀγῶνα· οὐδ' ἔστι λαβεῖν δικανικὸν λόγον τῶν Ἀντιφῶντι πρότερον γεγραμμένον. πρῶτον δὲ αὐτὸν καὶ ῥητορικὰς συντάξασθαί φασι τέχνας, ἀγχίνουν γεγονότα. διὰ τοῦτο λαβεῖν ἐπώνυμον καὶ τὸν Νέστορα. κωμῳδεῖ δὲ αὐτὸν εἰς φιλαργυρίαν Πλάτων ἐν Πεισάνδρῳ. λόγος δὲ αὐτὸν καὶ τραγῳδίας συνθεῖναι, ἰδίᾳ τε, καὶ Διονυσίῳ συνδιατρίβοντα τῷ τυράννῳ. σχολάζοντα δὲ πρότερον τῇ ποιήσει, τέχνην φασὶν αὐτὸν ἐξευρεῖν ἀλυπίας· καὶ κατὰ τὴν ἀγορὰν ἐν Κορίνθῳ οἰκημά-

Antiphontis orationes.

περὶ τῶν κατὰ διάνοιαν.

* *εἶναι τὰς, H. St.*

Sophilus. Thucydides.

Socrates.

ANTIPH. ORAT.

οἰκημάτιόν τι οἰκοδομησάμενος ἐπιγράψαι, δύνασθαι αὐτὸν τοὺς λυπουμένους διὰ λόγων θεραπεύειν. καὶ δὴ καὶ πυνθανόμενος τὰς αἰτίας τῆς λύπης, τοὺς αἰτιωμένους παρεμυθεῖτο. τοῦτο δὲ τὸ ἐπιτήδευμα, ἔλαττον εἶναι νομίσας τῆς ἑαυτοῦ μεγαλονοίας· ἐπὶ ῥητορικὴν ἐτράπη. συνεγράψατο δὲ καὶ κατὰ Ἱπποκράτους τοῦ ἰατροῦ λόγον, καὶ εἷλεν αὐτὸν ἐξ ἐρήμου. ὁ δὲ χρόνος ἦν, καθ' ὃν ἤκμαζεν, ἐν ᾧ διεπέπρακτο τὰ περσικά, ὀλίγῳ πρότερον Γοργίου τοῦ σοφιστοῦ γεγονώς. παρέτεινε δὲ τὸν βίον ἕως τῆς ὑπὸ τῶν * υ γεγενημένης καταλύσεως τῆς δημοκρατίας, ἧς καὶ αὐτὸν αἰτίαν μετεσχηκέναι * φασὶ παρασχεῖν· διὸ καὶ μετὰ τὴν κατάλυσιν τῶν τετρακοσίων εἰσαγγελθεὶς ἑάλω, καὶ τοῖς τῶν προδοτῶν ἐπιτιμίοις ὑποβληθεὶς, ἄταφος ἐρρίφη καὶ γέγονεν ἄτιμος, οὐκ αὐτὸς μόνον, ἀλλὰ καὶ οἱ ἐξ αὐτοῦ φύντες. Λυσίας δὲ τοὐναντίον ἱστορεῖ. φησὶ γὰρ μᾶλλον αὐτὸν ὑπὸ τῶν τετρακοσίων ἀναιρεθῆναι. οἱ δέ φασιν, αὐτὸν πρεσβευτὴν πρὸς Διονύσιον τὸν τύραννον παραγεγονότα, καὶ ζητήσεώς τινος παραπεσούσης, τίς ἄριστός ἐστι χαλκός; αὐτὸν ἄριστον εἶναι φάναι, ἐξ οὗ στῆλαι Ἁρμοδίῳ πεποίηνται καὶ Ἀριστογείτονι. ἀκούσαντα δὲ τὸν Διονύσιον, καὶ εἰς αὐτὸν ὑπονοήσαντα τὸν λόγον ἀπερρίφθαι, καὶ προτροπὴν εἶναι τῆς αὐτοῦ καταλύσεως· τῷ ἐπὶ θανάτῳ τὸν ῥήτορα καταδικάσαι. οἱ δὲ ὅτι φασὶ τὰς τραγῳδίας αὐτοῦ διασύρων ἐπαρρησιάζετο.

* τετρακοσίων.

* al. quod

domunculæ cuidam à se constructæ sic inscripsisse, Se oratione sua dolorem posse pellere. Etenim interrogando mœroris causas tristes consolabatur. Hoc studium minus esse putans, quam ingenij sui præstantiam deceret, ad oratoriam iterum se conuertit. Scripsit etiam orationem contra Hippocratem Medicum, & illum indicta causa damnauit. Floruit autem ea tempestate qua bellum gestum cum Persis paulo ante Gorgiam Sophistam natus. Extendit vero vitam vsque in id tempus, quo popularis status est à * CCCC. Tyrannis sublatus, cuius mutationis & ipsum causam vna fuisse aiunt. Quamobrem & soluta horum tyrannide, in ius vocatus damnatur, & proditorũ pœna insepultus proiectus est, & infamia notatus non modo ipse, sed eius etiam omnes posteri. Lysias vero contra narrat, illum potius à quadringentis Tyrannis interfectum esse. Alij ferunt illum legatum ad Dionysium tyrannum profectum, & quæstione quadam proposita, quodnam esset optimum æs, illud optimum esse dixisse, ex quo statuæ Hermodio, & Aristogitoni factæ essent. Audientem vero Dionysiũ, & in se hæc dici suspicantem, & necis suæ incitamentum esse, capitis Oratorem condemnasse. Alij vero propterea occisum commemorant, quod Dionysii illius Tragœdias liberius perstrinxisset.

* Quadraginta habet Plutarch. vt ibi numeri nota peccatum appareat, & v. pro μ. repenendum,

ΙΣΟΚΡΑΤΟΥΣ ΛΟΓΟΙ.

σξ'. Isocratis Orationes,

ἈΝΕΓΝΩΣΘΗΣΑΝ Ἰσοκράτους λόγοι διάφοροι. φέρονται δὲ αὐτοῦ τὸν ἀριθμὸν ἑξήκοντα. ὧν ἐκρίθησαν γνήσιοι κατὰ μὲν Διονύσιον, ἐπὶ τοῖς πέντε καὶ εἴκοσι· κατὰ δὲ Κεκίλιον, ὀκτὼ καὶ εἴκοσι. γεγραφέναι δὲ αὐτὸν τέχνην ῥητορικὴν λέγουσιν, ἣν καὶ ἡμεῖς ἴσμεν τῷ ἀνδρὸς ἐπιγραφομένην τῷ ὀνόματι. οἱ δὲ συνασκήσει μᾶλλον, ἢ τέχνῃ χρήσασθαι κατὰ τοὺς λόγους τὸν ἄνδρα φασί. γέγονε δὲ κατὰ τὴν ὀγδοηκοστὴν καὶ ἕκτην ὀλυμπιάδα· νεώτερος μὲν Λυσίου ἐπὶ δυσὶν ἔτεσι καὶ εἴκοσι· Πλάτωνος δὲ πρεσβύτερος δέκα, δέοντος γ'. ἦν δὲ παῖς Θεοδώρου * Ἐρχιέως ἑνὸς τῶν μετρίων πολιτῶν. ἐν παισὶ μὲν οὖν τελῶν, ἠκροάσατο Προδίκου τε τοῦ Κείου, καὶ Γοργίου τοῦ Λεοντίνου, καὶ Τισίου τοῦ Συρακουσίου, καὶ τοῦ ῥήτορος Θηραμένους. εἰς ἄνδρας δὲ τελέσας, πραγμάτων μὲν ἀναχωρεῖ τῶν πολιτικῶν· (ὅτι τε τὴν φωνὴν ἰσχνὸς ἦν, καὶ τὸν τρόπον εὐλαβής. τὰ πατρῷα μέντοι ἀποβεβληκώς, ἐν τῷ πρὸς Λακεδαιμονίους πολέμῳ, ἕνα μόνον τὸν τῆς ἀντιδόσεως λόγον εἰπὼν, ἀπέστη τῆς τοιαύτης προαιρέσεως.) ἰδίαν δὲ διατριβὴν ὑποστησάμενος, ἐπὶ τὸ φιλοσοφεῖν καὶ γράφειν ὥρμησε· καὶ ὅ, τε πανηγυρικὸς αὐτοῦ λόγος συνετάγη, καί τινες ἄλλοι τῶν συμβουλευτικῶν, ἡγούμενος ταῖς παραινέσεσι τοὺς Ἕλληνας φρονεῖν ἐκδιδάξαι τὰ συμφέροντα. ἀποτυχὼν δὲ τῆς γνώμης τούτου μὲν ἀπέστη τοῦ ἐπιτηδεύματος, σχολῆς δὲ σοφιστικῆς ἤρξατο. ὥς μέν τινές φασι τὰ πρῶτα ἐπὶ Χίου μαθητὰς ἔχων ἐννέα· ἡνίκα καὶ τὸν μισθὸν ἰδὼν τῆς διδασκαλίας ἀριθμούμενον, φάναι δακρύσαντα, ὡς νῦν ἐμαυτὸν ἔγνων τούτοις πεπραγμένον. ἠκροάσαντο δὲ αὐτοῦ ἄλλοι τε πολλοί, ὡς καὶ εἰς ἑκατὸν συντελέσαι, καὶ δὴ καὶ Τιμόθεος ὁ Κόνωνος. μεθ' οὗ καὶ πολλὰς ἐπῄει πόλεις, τὰς πρὸς Ἀθηναίους ἐπιστολὰς * συντιθεὶς, ἃς ὁ Τιμόθεος ἐπέγραφε τῷ

* al. αὐλ[illegible]ρίου.

ISOCRATIS ORATIONES.

CCLX.

LEGIMVS varias orationes Isocratis. Dicuntur numero sexaginta, quarum quinque & viginti Dionysio legitimæ sunt, Cæcilio viginti octo. Scripsisse autem illum artem Rhetoricæ tradunt, quam & eius nomine inscriptam scimus. Alij vero tradunt hunc in orationibus magis exercitatione quã arte vsum esse. Natus est circa Olympiadem octogesimã sextam. Iunior Lysia annis viginti & duobus, Platone septem annis antiquior. Erat autem filius Theodori sacerdotis inter mediocres ciues. Etiamnum puer audiuit Prodicum Chium, & Gorgiam Leontinum, & Tisiam Syracusanum, & Theramenem Rhetorem. Iam vir Reip. curam non admisit: quia gracili voce erat, ac timidus: paternásque respiciens calamitates bello Laconico acceptas, vnam solam * de Retributione orationem habuit, & à dicendo deinceps abstinuit: Instituto que ludo, philosophari, & scribere est aggressus, ac Pagenyricum, & quasdam in genere deliberatiuo scripsit orationes, ratus ita Græcos ad ea quæ officio honestatique sunt consentanea, posse incitari. Quod institutum cum minime feliciter succederet, distitit postea alias orationes scribere. Ludum autem tenuit primo in Chio, cum, vt nonnulli tradunt nouẽ haberet auditores: ex quo cum videret numeratã mercedem, collacrimans ait: Vt meipsum his præbui vendendum. Auditores postea habuit centum, multos quidem alios, sed imprimis Timotheum Cononis filium, quocum multas adiit ciuitates, cum illas scriberet epistolas, quæ sunt à Timotheo missæ ad Athenienses:

* ali. ἀντιδόσεως.

ISOCRATIS ORAT.

inde talentum dono accepit. Dedit se quoque illi ad audiendum Xenophon Grylli F. Theopompus Chius, & Ephorus Cumæus, quos ad scribendam historiam incitauit, ad captum cuiusque apte argumenta historiæ distribuens: adhæc & Asclepiades, qui Tragœdias scripsit, & Theodectes Phaselites, qui etiam postea Tragœdias composuit. Quin etiam Leodamas Atheniensis, & Lacritus, qui auctor legum Atheniensibus ferendarum fuit. Ferunt autem nonnulli & Hyperidem & Isæum auditores fuisse, & Demosthenem ad eum studiosè accessisse, dixisseque se mille drachmas, quo pretio ille docebat, præbere non posse, daturum vero ducentas, vt quintam artis partem disceret. Isocratem autem respondisse: Artem non in frusta dissecamus, sed si discere voles, totam bene dicendi artem tibi vendam. Itaq; orationem de Retributione, Panegyricum, & alias in Suasorio genere, vt diximus, quasdam composuit: Panegyricum aiunt decem annis alij, alij quinque annis elaborasse, quamquam à Gorgiæ Leontini, & Lysiæ Enthymematis, & Epicherematis parum mutata est oratio Panegyrica Isocratis. Credat iure aliquis tam longo tempore orationem hanc edolasse Oratorem, dum inhæret compositioni, propter ornatum orationis, & abundantiam, & propter sedulam electionem in verbis, & mutuam partium concinnitatem, imo accuratam incisorum ac mébrorum constructionem, tantum temporis exigere arbitrabitur. Maximè vero rerum inuentio & dispositio, hanc occupationem præbuit. Capita enim & Epicheremata, quibus oratio directa perficitur, si quis diligenter & singulas partes attenderit, inueniet eam nonnisi longo tempore absolui potuisse. Quare & multas multis iudiciales orationes præbuit, propter mutuas inter se dissensiones, cum alii exercitationi & curæ Orationum incumberent, alij specie tenus recitabant. Licebat autem videre alios ad iudiciales causas aptos esse, alios autem dicendo his* inferiores esse. Panathenaicum anno ante obitum, vel vt nonnulli ferunt, quarto conscripsit: illas ad Philippum paulo antequam est mortuus. Vixit, vt nonnullis placet, annos cētum: vt aliis, octo & nonaginta. Mortuus autem est nunciata illi clade Chæronensi, quum quatriduū cibo abstinuisset, vt qui nollet iam quarto Græciam seruitute oppressam videre. Satis vberes magnasque diuitias tenuit, non solū quod à familiaribus & ipsis notis exigeret pecuniam, verum etiam quod à Nicocle rege Cypri, qui ipse erat Euagoræ filius, viginti talenta pro scripta ad illum oratione recepit. Quæ res cum illi magnam conflaret inuidiam, ter ad trierarchicum munus designatus, bis quidē filij opera, imbecillitatis excusatione deprecatus est: tertio vero cū suscepisset, cōsumpsit nō pauca. Et cū interrogaretur, cur ipse, qui doceret alios, sibi docēdo non esset satis: respōdit* coticulas quidē ipsas secare nō posse, eas tamē ferro secādi vim ac facultatē dare.

Panegyricus Isocratis.

* ἐλαττούμενοι.

* Horatius expressit in arte Poet. — Fungor vice cotis, acutum Reddere quæ ferrum valet, exsors ipsa secandi.

ὅθεν ἐκεῖνος ταλάντῳ αὐτὸν ἐδωρήσατο. γεγόνασι δὲ αὐτοῦ ἀκροαταὶ καὶ Ξενοφῶν ὁ Γρύλλου, καὶ Θεόπομπος ὁ χῖος, καὶ Ἔφορος ὁ κυμαῖος· οἷς καὶ ταῖς ἱστορικαῖς συγγραφαῖς προὔτρεψατο χρήσασθαι, πρὸς τὴν ἑκάστου φύσιν ἀναλόγως καὶ τὰς ὑποθέσεις τῆς ἱστορίας αὐτοῖς διανειμάμενος. ἐπὶ τούτοις καὶ Ἀσκληπιάδης, ὃς τὰ τραγῳδούμενα συνέγραψατο. Θεοδέκτης δὲ ὁ φασηλίτης καὶ αὐτὸς ὕστερον τραγῳδίας συνταξάμενος· ἀλλὰ καὶ Λεωδάμας ὁ ἀθηναῖος, καὶ Λάκριτος ὁ νομοθετήσας ἀθηναίοις· ὡς δέ φασιν ἄλλοι, καὶ Ὑπερείδης, καὶ Ἰσαῖος. Δημοσθένης δὲ προσῆλθε μὲν αὐτῷ μετὰ σπουδῆς, καὶ χιλίας μὲν, ἃς εἰσεπράττετο, οὐκ ἔχειν *ἀργυρίου, διακοσίας δὲ [μόνας] ἐφ' ᾧ τὸ πέμπτον μέρος ἐκμαθεῖν, δώσειν. πρὸς δὲ ταῦτα τὸν Ἰσοκράτην ἀποκρίνασθαι· ὡς οὐ τεμαχίζομεν τὴν πραγματείαν· ἀλλ', εἰ βούλοιο, ὁλόκληρον σοι ἀποδωσόμεθα τὴν τέχνην. τὸν μὲν οὖν περὶ τῆς ἀντιδόσεως, καὶ τὸν πανηγυρικὸν, καί τινας τῶν συμβουλευτικῶν, εἴρηταί μοι, ὅπως τε καὶ ὅτι συνέταξεν. συνέθηκε μέν τοι τὸν πανηγυρικὸν, οἱ μὲν ἔτεσί φασι δέκα· οἱ δὲ ἐπὶ τούτοις ἔτεσι πέντε. καίτοιγε Γοργίου τοῦ Λεοντίνου καὶ Λυσίου τῶν ἐνθυμημάτων, καὶ ἐπιχειρημάτων, μικροῦ μεταβολὴ καθέστηκε καὶ μετάθεσις ὁ πανηγυρικὸς Ἰσοκράτους λόγος. διατρῖψαι δ' αὖ τις οἰηθείη μακρὸν οὕτω χρόνον τοῦ πανηγυρικοῦ, προσεδρεύοντα τὸν ῥήτορα τῇ συνθήκῃ, διὰ τὸ τῆς λέξεως κατεσκευασμένον, καὶ περιττὸν, καὶ διὰ τὴν εἰς ἀκρίβειαν τῶν ὀνομάτων ἐκλογὴν, καὶ δὴ καὶ τὴν πρὸς ἄλληλα τούτων συνθήκης. ἀλλὰ καὶ ἡ τῶν κώλων καὶ περιόδων ἐπὶ τοσοῦτον ἀκρίβεια ἱκανὴ καταναλῶσαι χρόνον. μάλιστα δὲ αὐτῷ ἡ τῶν πραγμάτων εὕρεσις καὶ διοίκησις [καὶ] τὴν τοσαύτην ἀσχολίαν ἐνεποίησε. τὰ γὰρ κεφάλαια, καὶ τὰ ἐπιχειρήματα, οἷς ὁ λόγος οἰκονομούμενος ἀπαρτίζεται, εἴ τις ἐπιμελῶς καὶ καθ' ἕκαστον μέρος ἐπισκέψοιτο, εὕροι ἂν συντελεσθῆναι πολλοῦ δεόμενα χρόνου. διὸ καὶ πολλὰς πολλοῖς παρέσχε τῶν κριτικῶν διατριβὰς μὲν καθ' ἑαυτοῖς, διαφωνίας δὲ πρὸς ἀλλήλους· τῶν μὲν ἐμβαθυνομένων τῇ μελέτῃ καὶ διασκέψει τοῦ λόγου, τῶν δὲ κατὰ τὸ ἐπιπόλαιον τὴν ἀνάγνωσιν ποιουμένων. ἔστι δ' εἰπεῖν, καὶ διότι τοῖς μὲν ἔνεστι φύσις, εὖ ἔχουσα πρὸς τὰς κρίσεις· τοὺς δὲ ὁ ἐλαττούμενος ἐπηχιάσει λόγος. τὸν δὲ λεγόμενον παναθηναϊκὸν, πρὸ ἐνιαυτοῦ τῆς τελευτῆς αὐτοῦ ἔγραψεν, ἢ (ὥς τινές φασι) πρὸ τεσσάρων. καὶ τοὺς πρὸς Φίλιππον δὲ ὀλίγῳ πρότερον τοῦ θανάτου. ἐβίω δὲ, ὡς μέν τινές φασιν, ἔτη ἑκατὸν· ὡς δ' ἕτεροι, δυοῖν δεόντων μόνον, ἐτελεύτησε δὲ, ἀπαγγελθέντος αὐτῷ τοῦ περὶ χαιρώνειαν πάθους, ἐξαγαγὼν ἑαυτὸν τοῦ βίου τέτρασιν ἡμέραις ἀσιτήσας· ἅτε δὴ μὴ ὑπομείνας ἰδεῖν τετράκις δουλουμένην τὴν ἑλλάδα. εὔπορος δὲ ἀργύριον ἱκανὸν, οὐ τοὺς γνωρίμους εἰσπράττων μόνον, ἀλλὰ καὶ παρὰ Νικοκλέους, ὃς ἐβασίλευε *τῶν κυπρίων (Εὐαγόρου δὲ ἦν οὗτος ὁ υἱὸς) ὑπὲρ τοῦ πρὸς αὐτὸν γραφέντος συμβουλευτικοῦ λόγου τάλαντα λαβὼν εἴκοσιν. ἐφ' οἷς φθόνον ἐφελκύσας, τριηραρχεῖν προεβλήθη. καὶ δὶς μὲν ἀσθενήσας σκηψάμενος, διὰ τοῦ παιδὸς παρῃτήσατο· τὸ δὲ τρίτον ἀναστὰς, ἀνήλωσεν οὐκ ὀλίγα. οὗτος πρὸς τὸν διαπυνθανόμενον διὰ τί μὴ δυνατὸς ὢν δημηγορεῖν, ἄλλους ποιεῖ δημηγόρους; ὅτι καὶ αἱ ἀκόναι, ἔφη, *αὐταὶ μὲν τέμνειν οὐ δύνανται, τὸν δὲ σίδηρον τμητικὸν ποιοῦσι.

* ἀύνατ.* ἀσ. τ.

* al. τῶν.

* al. δυναί.

καὶ πρὸς

καὶ πρὸς τὸν εἰπόντα δὲ πατέρα, ὡς οὐδὲν ἄλλο ἢ ἀνδράποδον συνέπεμψε τῷ οἰκείῳ παιδί· τοιγαροῦν ἄπιθι, ἔφη· δύο γὰρ ἀνθ' ἑνὸς ἕξεις ἀνδράποδα. ἐπὶ δὲ τῷ Σωκράτους θανάτῳ λίαν ἐλυπήθη· καὶ μελανειμονῶν προῆλθε τῇ ὑστεραίᾳ. δύο δὲ ἐν ἅπαντι τῷ βίῳ συνέστησαν αὐτῷ ἀγῶνες· πρότερος μὲν εἰς ἀντίδοσιν *προκαλεσαμένου αὐτὸν Μεγακλείδου. πρὸς ὃν οὐκ ἀπήντησε διὰ νόσον· τὸν δὲ θετὸν υἱὸν ἀνθ' αὐτοῦ προβαλλόμενος Ἀφαρέα ἐνίκησε· δεύτερος δὲ, Λυσιμάχου προκαλεσαμένου αὐτὸν περὶ τριηραρχίας εἰς ἀντίδοσιν· ἐν ᾧ καὶ ἐπιτηθεὶς, τὴν τριηραρχίαν ὑπέστη. τῶν δὲ λόγων αὐτοῦ τὸ εὐκρινὲς καὶ σαφὲς καὶ μεμελετημένον, πᾶσι δῆλον· καὶ ὡς ἐπανθεῖ αὐτοῖς οὐ μόνον ἔμφυτον, ἀλλὰ καὶ κομμωτικὸν κάλλος. οὐ μὲν τοίγε πολυσχήμων ὁ ἀνήρ, οὐδὲ ταῖς κατὰ τὸ σχῆμα τροπαῖς ποικιλλόμενος· διὸ καὶ δι' ἔνδειαν τῆς ἐν τούτοις μεταβολῆς, οὐδὲ ἐναγώνιος. Ἰσοκρατικὴ δὲ καὶ τῶν ἐν τοῖς λόγοις ὑποστάσεων ἡ συνέχεια. τάχα δὲ ἄν τις αὐτὸν αἰτιάσαιτο κλοπῆς, ἐξ ὧν ἐν τῷ πανηγυρικῷ λόγῳ αὐτοῦ πολλὰ τῶν κατὰ τοὺς ἐπιταφίους λόγους εἰρημένων Ἀρχίνῳ τε καὶ Θουκυδίδῃ καὶ Λυσίᾳ ὑπεβάλετο. ἀλλ' οὐδὲν κωλύει, παραπλησίων ἀνακυπτόντων πραγμάτων, ταῖς ὁμοίαις ἐξεργασίαις *χρῆσθαι καὶ τοῖς ἐνθυμήμασιν· οὐχ ὑποβαλλόμενοι τὰ ἀλλότρια, ἀλλὰ τὴν τῶν πραγμάτων ἀναβλαστανούσης φύσεως τοιαῦτα, οἷα καὶ τοῖς προλαβοῦσι προβαλλομένη ἐπιδείκνυται. ἐτάφη δὲ τελευτήσας λαμπρῶς ἅμα πατρὶ καὶ μητρὶ καὶ ἀδελφῇ καὶ τῇ ἄλλῃ συγγενείᾳ. ἀνάκειται δὲ αὐτοῦ καὶ ἐν Ἐλευσῖνι εἰκὼν χαλκῆ, ἐπιγραφὴν ἔχουσα·

*al. προσκαλεσαμένου. | *al. χρῆσθαι.

ΤΙΜΟΘΕΟΣ ΦΙΛΙΑΣ ΤΕ ΧΑΡΙΝ, ΞΥΝΕΣΙΝ ΤΕ ΠΡΟΤΙΜΩΝ, ΙΣΟΚΡΑΤΟΥΣ ΕΙΚΩ ΤΗΝΔ' ΑΝΕΘΗΚΕ ΘΕΟΙ ΚΛΕΟΧΑΡΟΥΣ ΕΡΓΟΝ.

Καὶ ἑτέραν δὲ εἰκόνα ἔστησεν αὐτοῦ πρὸς τῷ Ὀλυμπίῳ ἐπὶ κίονος χαλκῆν ὁ θετὸς παῖς Ἀφαρεὺς, υἱὸς γεγονὼς Λαγίσκης ἑταίρας τινός· ἣν ἔχουσαν τρεῖς παῖδας ὕστερον Ἰσοκράτης ἠγάγετο, ὧν εἷς ἦν καὶ ὁ Ἀφαρεὺς ὁ τὴν εἰκόνα στησάμενος, καὶ ἐπιγράψας·

Ἰσοκράτους Ἀφαρεὺς πατρὸς εἰκόνα τήνδ' ἀνέθηκε
Ζηνὶ, θεούς τε σέβων, καὶ γονέων ἀρετήν.

ΑΝΔΟΚΙΔΟΥ ΛΟΓΟΙ.

σξα'. Andocidæ orationes.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Ἀνδοκίδου λόγοι τέσσαρες, ὡς τέως εἴδομεν· ὁ περὶ τῶν μυστηρίων, ὁ περὶ τῆς ἑαυτοῦ καθόδου, ὁ περὶ τῆς πρὸς Λακεδαιμονίους εἰρήνης, καὶ τέταρτος, ὁ κατὰ Ἀλκιβιάδου. ἔστι δὲ ἐν τούτοις ὁ ἀνὴρ, ἁπλοῦς τε καὶ ἀκατάσκευος, ἀφελείας τε φίλος, καὶ τοῦ ἀσχηματίστου σχηματιζόμενος. συνακμάσαι δὲ Σωκράτει τῷ φιλοσόφῳ λέγεται, καὶ ἀρχὴν αὐτοῦ τῆς γενέσεως γενέσθαι ὀγδόην καὶ ἑβδομηκοστὴν ὀλυμπιάδα. πατρὸς δὲ ἐχρημάτιζε Λεωγόρου, ἐξ εὐγενῶν γονέων καταγόμενος. Ἑλλάνικος δέ φησι καὶ τοὺς πόρρω τῆς γενέσεως ὀχετοὺς ἥκειν εἰς αὐτὸν ἐξ Ἑρμοῦ. αἰτίαν δὲ λαβὼν τῇ ἀσεβεῖν ἐπὶ τῇ τῶν ἑρμῶν περικοπῇ, καὶ τῇ τῶν μυστηρίων τῆς Δήμητρος ὕβρει, ἀπέτυχε κριθεὶς ἐπὶ τῷ μηνύσειν τοὺς ἀδικοῦντας. σπουδὴν δὲ πᾶσαν εἰσενεγκάμενος, εὗρέ τινας εἰς τὰ ἱερὰ ἁμαρτήσαντας, οἷς καὶ τὸν ἑαυτοῦ πατέρα συγκατεμήνυσεν.

Cum pater quidam diceret, se solum seruum cum filio misisse: Ergo discede, inquit: nam pro vno duos habiturus es seruos. Socratis mortem immoderate ferre visus est, vt atratus ipse sequenti die in publicum prodiret. Bis tota vita in certamen est vocatus: primum quidẽ, cum ad retributionem illum Megaclides conuocauit, cui respondenti facultatem morbus præcidit, sed misso filio Aphareo superior fuit in causa: secundo vero, cum ad retributionem triremium causa suscepta est à Lysimacho vocatus: à quo cum victus esset, Trierarchiæ onus subiit. Puritatem, perspicuitatem, & curá orationum eius omnes norunt, & illas non venustatem modo innatam, sed quæ etiam in incisis versetur, condecorare. Quanquam figuris non abundaret, nec etiam varitate earum ornetur. Ideoque propter raram figurarum mutationem in oratione, non est contentioni aptus. Continuatio vero in orationibus argumentorum propria illius. Forte vero quis illum furti redarguat, quod multa in oratione Panegyrica ex epitaphiis sermonibus Archini, Thucydidis, & Lysiæ sit mutuatus: verum nihil prohibet iisdem vti argumentis. cum eædem res incidant, nec supponere aliena, cum res argumenta talia producant, qualia & priores habuerunt, ostenditur. Mortuus honorifice sepultus est cum patre, matre, sorore, aliisque amicis. Est & illius in Eleusine ænea statua erecta, cui ita inscribitur.

ISOCRATIS ORAT.

TIMOTHEVS HONORIS, AMICITIÆ, ATQVE HOSPITALITATIS DEABVS, IMAGINEM ISOCRATIS DEDICAVIT.

Quod opus Cleocharem auctorem agnoscebat. Aliam illi statuam æneam adoptatus filius Aphareus statuit ad Olympium in columna; qui natus est ex amica Lagisca, quam trium liberorum matrem Isocrates duxit, quorum vnus erat Aphareus, qui illi statuam posuit, & inscripsit.

APHAREVS PATRIS ISOCRATIS HANC STATVAM HONORI IOVIS PARENTVMQVE VIRTVTI POSVIT.

ANDOCIDÆ ORATIONES.

CCLXI.

LEGIMVS quatuor orationes Andocidæ, quas quidem hactenus vidimus: vnam De mysteriis, De reditu suo secundam, tertiam De pace cum Atheniensibus, quartam in Alcibiadem. In his sine ornatu & admodum tenuis, simplicia sectatur, & quia ornatum non adhibet, ornatus. Floruisse autem tempore Socratis dicitur, & natus circa Olympjadem septuagesimam octauam, patre natus Leogora, qui bono natus loco erat. Scribit Hellanicus altius eum genus suum vsque ad Mercurium retulisse. Postea vero impietatis accusatum, quod etiam ipse Mercuriales statuas concidisset, ac mysteria Cereris violasset. His de rebus cum esset factũ iudiciũ, elapsus est, cum se sceleris auctores indicaturũ promitteret. Itaq; omni cura studioque intentus, eos reperit; qui in sacra iniuriosi fuissent, in quibus patrẽ etiã indicauit.

ISOCRATIS ORAT.

Cumque cæteros omnes conuicisset, perfecit vt extremo supplicio afficerentur: patrem vero licet iam vinctum liberauit, cum illum multas vtilitates ciuitati allaturum polliceretur, nec fefellit opinio. Multos enim Leogoras conuicit, qui pecunias publicas in priuatum vsum conuerterēt, & aliis quibusdam flagitiis essent obnoxij. Cum vero Andocides ob eas res, quas in Rep. gessisset, magnam gloriam esset consecutus, nauium & ipse gubernator, & administrator factus est, ac Cypri regibus, multisque aliis illustribus hospitio fuit coniunctus, cum Aristidis filiam, vnam ex ciuibus consobrinam suam, clam domesticis & familiaribus eduxit, & ad Cypri regem dono misit. Cuius rei causa cum videret se in ius mox vocatum iri, rursus illam è Cypro est furatus, eumque deprehensum Rex in vincula coniicit. Cum vero aufugisset, venit in ciuitatem quo tempore quadringenti viri Remp. administrabant à quibus cum esset vinctus, aufugit, ac rursus euerso illo paucorum dominatu in exilium pulsus est. Hoc exilij tempore Elidem incoluit, & cum Thrasybuli familiares in ciuitatem redirent, ipse quoque est reuersus. Missus vero pro Pace ad Lacedæmonios cum improbe videretur in hoc studio versatus, fugit. Porro ab illo denominatur etiam Mercurij statua. Ea enim quamuis à tribu Aegeide posita ac dedicata sit, ab Andocide tamen nomen habet, quod ille statuæ proxime habitaret.

ἀλλὰ [γὰρ] τοὺς μὲν ἄλλους πάντας ἐλέγχοις φωράσας, ἀπολέσθαι κατεπράξατο. τὸν δὲ πατέρα, καί τοι δεδεμένον ἤδη, ἐξείλετο ὑποσχόμενος, ἐν πολλοῖς αὐτὸν * λυσιτελεῖσθαι γενέσθαι τῇ πόλει· καὶ οὐκ ἐψεύσατο. ὁ γὰρ Λεωγόρας πολλοὺς διήλεγξε χρήματα δημόσια νοσφισαμένους, καὶ ἕτερα τοιαῦτα παρανομοῦντας. εὐδοκιμῶν δὲ ἐπὶ τοῖς πολιτεύμασιν ὁ Ἀνδοκίδης, ἐπέθετο ναυκληρίαν· καὶ τοῖς τε Κυπρίων βασιλεῦσι ξένος ἐγένετο, καὶ πολλοῖς ἄλλοις δοκίμοις· ἡνίκα καὶ θυγατέρα μὲν Ἀριστείδου, ἀνεψιὰν δὲ αὐτοῦ, τῶν οἰκείων ὑπεκκλέψας δῶρον ἔπεμψε τῷ Κυπρίων βασιλεῖ. μέλλων δὲ εἰς δικαστήριον ἐπὶ τῇ κακουργίᾳ εἰσάγεσθαι· πάλιν αὐτὴν ἀπὸ Κύπρου κλέπτει. καὶ ἁλοὺς ὑπὸ τοῦ Κυπρίων βασιλέως, δεσμοῖς παρεδόθη· κἀκεῖθεν δὲ διαδρὰς, ἐπεδήμησε τῇ πόλει κατ' ἐκεῖνο καιροῦ, ἡνίκα τοῖς τετρακοσίοις τὰ πολιτικὰ μετεχειρίζετο πράγματα. δεθεὶς δὲ καὶ ὑπὸ τούτων, πάλιν διέφυγεν. ἡνίκα δὲ ἡ ὀλιγαρχία κατελύθη, ἐφυγαδεύθη τῆς πόλεως· καὶ ἐν Ἤλιδι τὸν τῆς φυγῆς χρόνον διατρίψας, τῶν περὶ Θρασύβουλον κατεληλυθότων, καὶ αὐτὸς συγκατελήλυθεν. αἱρεθεὶς δὲ περὶ τῆς εἰρήνης εἰς Λακεδαίμονα πρεσβεύειν, καὶ ἀδικεῖν δόξας, ἔφυγε. τούτου δὲ ἐστὶν ἐπώνυμος καὶ Ἑρμῆς, ἀνάθημα μὲν * φυλῆς αἰγηΐδος, ἐπικληθεὶς δὲ Ἀνδοκίδου· διότι πλησίον αὐτοῦ Ἀνδοκίδης ᾤκει.

* λυσιτελῶ H. St.

* φυλῆς M.M

CCLXII.

Lysiæ orationes.

LEGI varias Lysiæ orationes, quæ dicuntur esse numero trecentæ & viginti quinque, quarum legitimæ sunt, ducētæ & triginta tres. In quibus bis tantum solum dicendo victus dicitur, cum tamen sæpius cum aduersariis contenderit. Est in orationibus suis breuissimus, & ad persuadendum perappositus, & si quis alius grauiter dicendi peritus, tametsi non appareat. Etenim quanquam facilis videtur esse, nihilominus tamen imitatu est difficilis. Multas orationes priuatis hominibus dedisse dicitur. Scripsit item in genere orationis, conciones, epistolas, laudationes, epitaphia, amatoria, & Socratis defensionem. In plerisque orationibus est moralis, & quidem ad intelligentiam cum bonum sortitur argumentum, & quod ad meliora contendat. Vnde non tenuiter dicendum, quid rei gestum, sed & ratio addenda, ob quam singula sint gesta; verbi gratia, si difficilia dixerit; causari necessitatem erga amicos, aut alios moderatos: sin vero meliora, voluntatem prætendere. Hæc vero maxime probabilis est, si causam addas. Causas vero non oportet vtilitatis gratia assumere. Prudentis .n. hoc magis est viri quam frugi ac probi. Difficilis hic est seruandi modus, in quo & Lysias sæpe videtur peccasse: Maxime celebres habētur cū aliæ orationes eius, tum de tutela contra Diogitonem, probabilem namque & puram narrationem facit, sed non rectà ad amplificationes, & aggerationes, vt multi faciunt, conuertitur. Etenim non sunt hæc propria primæ rei explicationis, sed locum habent in sequentibus.

ΛΥΣΙΟΥ ΛΟΓΟΙ.

σξβ'. Lysiæ orationes

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Λυσίου λόγοι διάφοροι· φέρονται δὲ αὐτοῦ εἰκοσιπέντε καὶ τετρακόσιοι, ὧν τοὺς γνησίους τρεῖς καὶ τριάκοντα καὶ διακόσιοι ἐγκρίνουσιν. ἐν οἷς δὶς μόνον τὸ ἔλαττον ἐνεγκεῖν τῇ λέξει, πρὸς τοὺς ἀνταγωνιστὰς πολλάκις ἀγωνισάμενος, λέγεται. ἔστι δὲ τοῖς λόγοις βραχύτατός τε καὶ πιθανώτατος, καὶ τῷ δοκεῖν μὴ δεινῶς λέγειν, εἴπερ τις ἄλλος, δεινότατος. ἀλλὰ γὰρ καὶ εὔκολος εἶναι δοκῶν, οὐδὲν ἔλαττον δυσμίμητος ἐπιδείκνυται· τοὺς μὲν τοίγε τῶν λόγων πλείους ἰδιώταις ἐκδεδωκέναι λέγεται. συγκεφαλαιοῦσι δὲ τοὺς λόγους αὐτοῦ δημηγορίαι, ἐπιστολαὶ, ἐγκώμια, ἐπιτάφιοι, ἐρωτικοὶ, καὶ Σωκράτους ἀπολογία. ἔστι μὲν ἐν οὐκ ὀλίγοις αὐτοῦ λόγοις ἠθικός· γίνεται δὲ κατὰ τὴν διάνοιαν ὁ ἠθικὸς, ὅταν χρηστὴν ἔχῃ προαίρεσιν, καὶ πρὸς τὰ βελτίω ῥέπουσαν. ὅθεν οὐ χρὴ ψιλῶς τὰ πραχθέντα λέγειν, ἀλλὰ καὶ τὴν γνώμην συνάπτειν, μεθ' ἧς ἐπράττετο ἕκαστον. οἷον, ἂν μὲν χαλεπὰ * εἴη, καὶ πρὸς φίλους ἢ ἄλλως μετρίους, τὴν ἀνάγκην αἰτιᾶσθαι· ἂν δὲ ἀμείνω, τὴν προαίρεσιν. αὕτη δὲ μάλιστα πιθανὴ γίνεται, εἰ τὴν αἰτίαν προσλάβοι. τὰς μέν τοι γε αἰτίας οὐ χρὴ τοῦ λυσιτελοῦς ἕνεκα παραλαμβάνειν. φρονίμου γὰρ μᾶλλον, ἢ χρηστοῦ καὶ εὐγνώμονος, τὰ τοιαῦτα. χαλεπὸς δὲ ὁ τρόπος φυλάξαι· διὸ καὶ Λυσίας ἐν αὐτῷ φαίνεται πολλάκις διαμαρτάνων. θαυμάζονται μέν τοι γε αὐτοῦ ἄλλοι λόγοι, καὶ δὴ καὶ ὁ πρὸς Διογείτονα ἐπιτροπῆς· πιθανήν τε γὰρ καὶ καθαρὰν τὴν διήγησιν ποιεῖται, ἀλλ' οὐκ εὐθὺς ἐπὶ τὰς αὐξήσεις καὶ τὰς δεινώσεις, ὅπερ πολλοὶ πάσχουσιν, ὑπάγεται. καὶ γὰρ οὐδὲ ἔστιν οἰκεῖα τὰ τοιαῦτα τῆς πρώτης διδασκαλίας τοῦ πράγματος, ἀλλ' ἐν τοῖς μετὰ ταῦτα χώραν ἔχει καταλέγεσθαι.

* ἢ … St. … M. M.

καὶ πολ-

καὶ πολλὴν δὲ καθαρότητα καὶ σαφήνειαν ἔν τε τοῖς πράγμασι καὶ ταῖς λέξεσιν ἀπ' αὐτῆς τῆς τοῦ λόγου προβάλλεται ἀρχῆς, ὥσπερ καὶ τὸ σχῆμα τὸ καθ' αὑτὴν ἁρμόζον ἀφηγήσεως, καὶ τὸ * μηδὲν τῶν ἔξωθεν συνεφέλκεσθαι. τὸ δὲ τῆς ἁρμονίας αὐτοῦ κάλλος οὐ παντός ἐστιν αἰσθάνεσθαι· καὶ γὰρ δοκεῖ μὲν ἁπλῶς καὶ ὡς ἔτυχε συγκεῖσθαι, εἰς ὑπερβολὴν δὲ κόσμου κατεσπουδάσθαι. καὶ ἁπλῶς ὁ λόγος ἄξιος θαυμάσαι κατά τε τὰ σχήματα, καὶ τὰ νοήματα, καὶ τὰ ὀνόματα, καὶ τὴν ἐναρμόνιον τούτων συνθήκην, καὶ τὴν εὕρεσιν καὶ τάξιν τῶν ἐνθυμημάτων τε καὶ ἐπιχειρημάτων. ἀμφιβάλλεται μὲν ὁ παρ' ἐνίοις περὶ τοῦ σηκοῦ λόγος· ὁ σηκὸς δὲ, γένος εἶδός ἐστιν ἱερᾶς ἐλαίας. ἀλλ' ὅτι μὲν γνήσιος Λυσίου, ἔκ τε τῶν κεφαλαίων δῆλον, καὶ ἐκ τῶν περὶ αὐτοῦ ἐπιχειρημάτων, ἐξ αὐτοῦ γε τοῦ προοιμίου, τῆς τε διηγήσεως, καὶ τοῦ ἐπιλόγου· πάνυ γὰρ δαιμονίως, καὶ κατὰ τὴν εἰθισμένην τῷ ἀνδρὶ ἐν τῇ ἁπλότητι δεινότητα, ἐστὶν ἐξειργασμένα ταῦτα, καὶ τὸ κατ' ἐνθύμημα, ἀλλὰ μὴ κατ' ἐπιχείρημα, * προάγειν τὰς ἀποδείξεις, τοῦ Λυσίου μάλιστα τὸ ἰδίωμα ἀπαγγέλλει. ἀλλὰ καὶ τὸ μὴ * καθὲν διατρίβοντα μηκύνειν τὸν λόγον, τῆς τοῦ Λυσίου ἐστὶν ἀκριβείας· καὶ τὸ συμπαγὲς τῶν λόγων, καὶ τὸ διὰ βραχύτητος πολλὴν παρέχειν ἡδονήν· ὃ μετά γε Δημοσθένην οὗτος μόνος τῶν ἄλλων ῥητόρων φαίνεται κατορθώσας· καὶ τὸ κάλλος δὲ τῆς διατυπώσεως· ἐν ᾧ μήτε Πλάτωνος, μήτε Δημοσθένους, μήτε Αἰσχίνου τὸ ἔλαττον ἐστὶν ἀπενηνεγμένος. ἰδίωμα δὲ Λυσίου, καὶ τὸ τὰς ἀντιθέσεις προάγειν, μηδαμῶς μὲν ἐμφαινούσας τὸ ἐπιβεβουλευμένον, τὸ δὲ ὑπ' αὐτῶν τῶν πραγμάτων ἐπικατασκευασμένον δεικνύειν. τεκμήριον δὲ τῆς λυσιακῆς δυνάμεως, καὶ τὸ ἐν πάσῃ τῇ περιόδῳ τῶν κώλων διάρμοστον καὶ μετὰ καθαρότητος διανθές. Παῦλος δέ γε, ὁ ἐκ Μυσίας, τόν τε περὶ τοῦ σηκοῦ λόγον, οὐδὲν τῶν εἰρημένων συνιεὶς, τῆς τε γνησιότητος τῶν λυσιακῶν ἐκβάλλει λόγων· καὶ πολλοὺς καὶ καλοὺς ἄλλους εἰς νόθους ἀπορριψάμενος, πολλῆς καὶ μεγάλης τοὺς ἀνθρώπους ὠφελείας ἀπεστέρησεν, οὐχ εὑρισκομένων ἔτι τῶν ὑπὸ διαβολὴν πεσόντων· ἅπαξ γὰρ ἀποκλεισθέντες, παρεωράθησαν ἐπικρατεστέρας τῆς διαβολῆς. ὥσπερ καὶ ἐπ' ἄλλων πολλῶν, ἢ τῆς ἀληθείας γεγυμνωμένης. ἔστι δὲ ὁ Λυσίας δεινὸς μὲν παθήνασθαι, ἐπιτήδειος δὲ πρὸς αὔξησιν διαθεῖναι λόγους. τινὲς μὲν οὖν τῶν περὶ τὰς ῥητορικὰς διατριβόντων λόγους, οὐκ ὀρθῶς ὑπήχθησαν εἰπεῖν περὶ Λυσίου ὡς ἀποδεῖξαι μὲν τὰ ἐγκλήματα παρ' ὅντινα οὖν τῶν πάλαι ἀνδρῶν, τὸ προκείμενον ἔχει· αὐξῆσαι δὲ ταῦτα πολλῶν ἐνδεής. καὶ γὰρ ἐλέγχονται φανερῶς ὑπὸ τῶν αὐτοῦ λόγων πολὺ τοῦ ἐπ' αὐτὸ διασφαλλόμενοι κρίσεως· καὶ μάλιστά γε τούτοις ὁ κατὰ Μνησιπτολέμου διελέγχει. θαυμαστῶς γὰρ τὴν * κατηγορίαν πρὸς μέγεθος ηὔξησε. Καικίλιος * δὲ ἁμαρτάνει, εὑρετικὸν μὲν τὸν ἄνδρα, εἴπερ ἄλλον τινὰ, συνομολογῶν· οἰκονομῆσαι δὲ τὰ εὑρεθέντα οὐχ οὕτως ἱκανόν. καὶ γὰρ κἀν τούτῳ τῷ μέρει τῆς ἀρετῆς τοῦ λόγου οὐδενὸς ὁρᾶται φαυλότερος. εἶδε δὲ * μειράκιον Δημοσθένην ὄντα. παῖς δὲ γέγονεν ὁ Λυσίας Κεφάλου τοῦ Λυσανίου τοῦ Κεφάλου, γένος μὲν Συρακούσιος, μεταναστὰς δὲ γεγονὼς εἰς Ἀθήνας, πόθῳ * τε τῆς πόλεως, καὶ τῆς Περικλέους τοῦ Ξανθίππου φήμης. ἐν ᾗ τὰ μὲν πρῶτα συνεπαιδεύετο τοῖς ἐπιφανεστάτοις τῶν Ἀθηναίων· ὕστερον δὲ, τὴν εἰς Σύβαριν ἀποικίαν στελλούσης τῆς πόλεως,

* μηδέν τι συνεφελκυσθ. H. 6r.
* προάγ.
* al. καθ' ἕν.
* al. κατηγορίας.
* al. ἁμ.
* al. Δημοσθ. μειράκ. ὄντα.
* al. δὲ.

LYSIÆ ORAT.

Magnam autem puritatem & perſpicuitatem in rebus & verbis, etiam in principio orationis oſtendit, vt in narrando ſine ambagibus, & nihil externum aliunde adſciſcendo. Venuſtatem autem compoſitionis non quiuis facile animaduertit. Nã ſimpliciter & caſu vt res dat ſe, dicere videtur, aſſurgit tamen ornatu in immenſum, eſtque oratio eius & propter ſchemata digna admiratione, & propter ſenſum, & verba, & concinnam horum compoſitionem, & inuentionem, & ordinem enthymematum, & epicheramatum. In dubium autem à nonnullis vocatur oratio περὶ τοῦ σηκοῦ quæ eſt ſpecies ſacræ oleæ. Sed verum eius eſſe auctorem Lyſiam è capitibus apparet, & ex argumentis, à procemio, narratione & epilogo. Feliciſſime enim, & conſueta huic grauitate in ſimplicitate ſunt illa compoſita. & ſecundum enthymemata, & non epicheramatis ſingula demonſtrate, Lyſiæ tenorem maxime indicat, quin etiam orationem, non vni immorando producere, ſolertiæ Lyſiæ eſt: vt & ſoliditas orationum; denique magnam breuitate voluptatem adferre (in quo poſt Demoſthenem ſolus inter cæteros Oratores excelluiſſe videtur) & pulchritudo deſcriptionis, quo in genere neque Platoni, nec Æſchini, nec Demoſtheni cedit. Proprium autem Lyſiæ eſt antitheta proferre, quæ non oſtendant captioſum quid, ſed à rebus ducta demonſtrent. Signum Lyſianæ facultatis eſt, & in omni periodo membrorum concinnitas, & cum puritate floridum. Paulus Myſius orationem eandem περὶ τοῦ σηκοῦ cum dicta non intelligeret, à genuinis Lyſiæ orationibus exterminat, & multas pulchraſque alias orationes tanquã alienas reiiciens, magnam vtilitatem hominibus eripuit: non inuentis amplius his quæ ab eo in reprehenſionem ceciderunt. Semel enim ſecluſæ, neglectæ ſunt, quod reprehenſio fortior eſſet, quemadmodum in aliis multis, veritate detecta. Dexter autem & acer fuit Lyſias ad commouendos affectus, & orationis amplificandæ egregiè peritus. Nonnulli igitur Rhetores non rectè de Lyſia dixerunt, oſtendere crimina præ cæteris, qui antecellerunt, poſſe, amplificandis vero iis multo inferiorem eſſe. Etenim aperte refelluntur eius orationibus, quibus iudicium eorum falſum eſſe conuincitur, & maxime oratione contra Mneſiptolemon. Mirum enim in modum accuſationem auget. Errat & Cæcilius, qui cum hunc inter alios inuentione præſtare aſſerat, inuenta tamen diſponere perinde poſſe negat, licet hac virtutis dicendi parte nemini cedere videatur. Vidit Demoſthenem adoleſcentem Lyſias, patremque habuit Cephalum Lyſaniam Cephali filium. Is natione Syracuſanus fuit. Athenas cum migraſſet, partim vrbis deſiderio captus, partim Periclis Xãthippi F. fama excitatus, ibi primo quidem cum clariſſimis Athenienſibus erudiebatur: poſtquam vero ciuitas coloniam Sybarim miſit,

LYSIÆ ORAT. abiit vnà cum fratre Polemarcho natu maximo, vt hæreditatis paternæ particeps fieret. Cum iam quindecimum annum ageret, apud Tisiam, & Niciam Syracusanos instituitur, cumque domum comparasset, atque hæreditatem esset consecutus, vixit in summa abundantia vsque ad Clearchi Præturam, sequenti anno accusatus, quod partes Atheniensium sequeretur, cum aliis tribus, est patria expulsus. Athenas vero cum venisset, cum iam quadringenti viri Remp. in suam ditionem redegissent, in ea egit. Cum vero triginta viri Remp. recepissent, mansit annos septem: priuatus vero facultatibus, ac fratre Polemarcho amisso, ipse ægrè effugiens imminentem interitum, egit Megaris. Tribulibus vero illius reditum vrgentibus, vtilissimus omnium fuit, data mille drachmarum pecunia, & clypeis ducentis, missúsque cum Hermone subsidiarios milites mercede conduxit trecentos & duos, persuasitque Thrasybulo Eliensi hospiti, vt duo talenta daret. His de caulis cum scripsisset Thrasybulus ius ciuitatis illi post reditum dandum esse, populus Atheniensis donum ratum habuit. Archinus vero eum accusat violatarum legum, quod nondum facto Senatusconsulto, donum accepisset. Postquam vero decretum abrogatum est, iure ciuitatis, & reliquum tempus perinde ac si ciuis fuisset, transegit, obiitque ibidem annos natus tres & octoginta, alij septem subtrahunt.

ᾤχετο καὶ αὐτὸς σὺν τῷ πρεσβυτάτῳ τῶν ἀδελφῶν Πολεμάρχῳ, ἐφ' ᾧ τῶν πατρῴων μεταλαχεῖν κλήρου. ἔτος δὲ * πέμπτον καὶ δέκατον ἦγε. καὶ διέτριβεν, ἀκροώμενος Τισίου τε καὶ Νικίου τῶν Συρακουσίων. οἰκίαν δὲ κατασκευασάμενος, καὶ κλήρου τυχὼν ἐπολιτεύετο τῶν πολλῶν οὐκ ἐνδεέστερον, ἕως Κλεάρχου τοῦ Ἀθήνησιν ἄρχοντος. τῷ δὲ ἑξῆς ἐνιαυτῷ ἀττικίζειν αἰτιαθεὶς, μετ' ἑτέρων τριῶν ἐξέπεσε τῆς πατρίδος. Ἀθήνησι δὲ παραγενόμενος, τῶν τετρακοσίων τὴν πόλιν ἐχόντων, διέμεινεν αὐτόθι. τῶν τριάκοντα δὲ τὴν πόλιν αὐτίκα καταλαβόντων· ἑπτὰ μὲν ἔτη διέμεινεν. ἀφαιρεθεὶς δὲ τὴν οὐσίαν, καὶ τὸν ἀδελφὸν Πολέμαρχον ἀποβαλὼν, αὐτὸς μόλις διαδρὰς τὸν ἐπικρεμάμενον ὄλεθρον, διῆγεν ἐν Μεγάροις. τῶν δ' ἀπὸ φυλῆς ἐπιθεμένων τῇ καθόδῳ, χρησιμώτατος ἁπάντων γέγονε τῇ πράξει. χρήματά τε γὰρ αὐτὸς * δραχμὰς δισχιλίας παρέσχε, καὶ ἀσπίδας διακοσίας, σταλεὶς δὲ σὺν Ἕρμωνι, ἐπικούρους τε ἐμισθώσατο τριακοσίους, καὶ Θρασύδαιον τὸν Ἠλεῖον ἔπεισεν, ξένον ὄντα, αὐτῷ δύο τάλαντα παρασχεῖν. ἐφ' οἷς γράφει μὲν μετὰ τὴν κάθοδον ὁ Θρασύβουλος πολιτείαν αὐτῷ, ὁ δὲ δῆμος ἐκύρωσε τὴν δωρεάν. Ἀρχῖνος δὲ, διὰ τὸ ἀπροβούλευτον εἰσαχθῆναι τὸ ψήφισμα, γράφεται γραφὴν παρανόμων τὴν δωρεάν. καὶ ἐπεὶ κατεγνώσθη τὸ ψήφισμα· τῆς μὲν πολιτείας ὁ Λυσίας ἀπελαύνεται, τὸν λοιπὸν * δὲ χρόνον κατεβίω ἰσοτελὴς ὤν· καὶ τελευτᾷ αὐτόθι, τρία καὶ ὀγδοήκοντα ἔτη γεγονώς. οἱ δὲ, ἀφαιροῦσιν αὐτοῦ ἑπτά.

* ἐξ H. b.

* ταλάντου δραχμὰς δισχιλίας H. δε.

* δὲ λοιπ.

CCLXIII.

ISÆI ORATIONES.

LEGIMVS varias orationes Isæi: quarum numerus, vt semel dicam, sexaginta quatuor: quarum germanæ solum quinquaginta. Lysiam autem potissimum imitatus est, cuius & discipulus fuit. Imitatum vero illum fuisse arguit nominum concinnitas, & rerum grauitas. Sic enim orationes illius Lysiam imitantur, vt nisi quis diligenter attendat, vtriusque styli differentiam vix dignoscat, schemata si excipias. Etenim primus Isæus schemata adhibuit, & animum ad ciuilem artem conuertit, quod maximè Demosthenes, illius discipulus, imitatus est. Genere erat Chalcidensis. Athenas vero missus Lysiæ præceptori, vt diximus, operam dedit. Floruit vero post Peloponesiacum bellum, & vsque ad Philippi imperium peruenit. Hic relicto ludo suo, Demosthenem decem millium drachmarum pre[illegible] instituit; ob idq; maxime excelluit. Ipsi etiam Demostheni de tutoribus scripsisse ferunt orationes.

ΙΣΑΙΟΥ ΛΟΓΟΙ.

σξγ'. Isæi orationes LXIV.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Ἰσαίου διάφοροι λόγοι· οὗτοι δὲ, ἁπλῶς εἰπεῖν, εἰς τέσσαρας καὶ ἑξήκοντα συναριθμοῦνται. τούτων δὲ οἱ τὸ γνήσιον μαρτυρηθέντες, πεντήκοντα καταλείπονται μόνοι. * Λυσίου δὲ γέγονε μιμητὴς· οὗ καὶ μαθητὴς ἐχρημάτισε. τὴν μίμησιν δὲ αὐτοῦ προσάπτει, τῶν τε ὀνομάτων ἡ ἁρμονία, καὶ ἡ ἐν τοῖς πράγμασι δεινότης. οὕτω γὰρ αὐτοῦ οἱ λόγοι πρὸς ἐκείνους τὴν ὁμοιότητα φέρουσιν· ὡς, εἰ μή τις πολλὴν αὐτῶν ποιήσαιτο τὴν διάσκεψιν καὶ μελέτην, οὐκ ἂν ἑκατέρου λόγων τοῦ χαρακτῆρος τὴν διαφορὰν διαγνοίη, πλὴν κατά γε τοὺς σχηματισμούς. καὶ γὰρ πρῶτος Ἰσαῖος σχηματίζειν ἤρξατο, καὶ τρέπειν ἐπὶ τὸ πολιτικὸν τὴν διάνοιαν· ὃ μάλιστα καὶ Δημοσθένης, μαθητὴς αὐτοῦ γεγονὼς, ἐμιμήσατο. Χαλκιδεὺς γέγονε τὸ γένος ὁ Ἰσαῖος· εἰς Ἀθήνας δὲ μετελθὼν ἐσχόλασεν (ὡς προείρηται) Λυσίᾳ· ἤκμασε δὲ μετὰ τὸν Πελοποννησιακὸν πόλεμον, καὶ μέχρι τῆς Φιλίππου διήρκεσεν ἀρχῆς. * ἀποστὰς δέ ποτε τῆς σχολῆς, ἐπὶ δραχμαῖς μυρίαις καθηγήσατο Δημοσθένους· διὸ καὶ μάλιστα γέγονεν ἐπιφανής. φασὶ δὲ αὐτὸν καὶ τοὺς ἐπιτροπικοὺς λόγους Δημοσθένει * συντάξαι.

* al. Λυσία.

* ἀποστάς.

* συντάξαι M. M.

CCLXIV.

ÆSCHINIS ORATIONES.

LECTÆ sunt orationes Æschinis: quarum tres numero sunt, & epistolæ nouem. Nam Deliaca non est Æschinis. In orationibus suis suauis, purus, distinctus, & Enthymematum perspicuitate excellens.

ΑΙΣΧΙΝΟΥ ΛΟΓΟΙ.

σξδ'. Æschinis orationes

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Αἰσχίνου λόγοι· ὧν τὸ πλῆθος ὁ τρεῖς ἀριθμὸς περιορίζει, καὶ ἐπιστολαὶ ἐννέα. ὁ δὲ Δηλιακὸς ἐπιγραφόμενος, οὐκ ἔστιν Αἰσχίνου. ἔστι δὲ τοῖς λόγοις αὐτοῦ γλυκύς τε, καὶ καθαρὸς, καὶ εὐκρινὴς, καὶ τῇ τῶν ἐνθυμημάτων σαφηνείᾳ σεμνυνόμενος.

ὁ μὲν

ὁ μέντοι κατὰ Τιμάρχου λόγος ἑταιρήσεως τὸν Τίμαρχον γράφεται· καὶ ὁ Τίμαρχος καταπλαγεὶς, καὶ λιπὼν τὸν ἀγῶνα, ἑαυτὸν ἀνήρτησεν. ἐπήγγελε δὲ καὶ τὴν ἐν Ταμύναις νίκην πρῶτος Ἀθηναίοις τὸ δεύτερον· διὸ καὶ ἐστεφανώθη. φασὶ δὲ τὰ μὲν πρῶτα εἰπεῖν αὐτὸν ἐν τῷ δήμῳ κατὰ Φιλίππου. εὐδοκιμήσαντα δὲ τῷ λόγῳ, πρεσβευτὴν πρὸς Ἀρκάδας χειροτονηθῆναι· εἰς οὓς παραγεγονὼς, συνεστήσατο τοὺς μυρίους ἐπὶ Φίλιππον. Οὗτος ὁ Αἰσχίνης πατρὸς γέγονεν Ἀτρομήτου, φυγόντος μὲν ἐπὶ τῶν τριάκοντα, συγκαταγαγόντος δὲ τὸν δῆμον. τούτου δὴ καὶ Γλαυκοθέας γίνεται υἱός· Κοθωκίδης μὲν τὸν δῆμον· οὔτε δὲ τῶν ἐπὶ γένει περιφανῶν, οὔτε τῶν ἐπὶ χρήμασι λαμπρῶν. ἐν δὲ τῷ νέῳ τῆς ἡλικίας τὸ σῶμα φέρων ἐρρωμένον, τὰ γυμνάσια ἐπονεῖτο. λαμπρόφωνος δὲ * πεφυκώς, τραγῳδίας ἤσκησε μετὰ ταῦτα· ὡς δὲ λέγει Δημοσθένης, ὑπογραμματεύων καὶ τριταγωνιστῶν Ἀριστοδήμῳ ἐν τοῖς κατὰ δήμους Διονυσίοις. καὶ παῖς μὲν ὢν, ἐδίδασκε σὺν τῷ πατρὶ γράμματα· εἰς τὸ μειράκιον δὲ προελθὼν, ἐστρατεύετο. ἠκροάσατο δὲ, οἱ μέν φασιν, Ἰσοκράτους καὶ Πλάτωνος· Καικίλιος δὲ, Λεωδάμαντος, λέγει. πολιτευόμενος μέντοι γε οὐκ ἀφανῶς ἐκ τῆς ἐναντίας μερίδος, συνεπρέσβευε τοῖς περὶ Δημοσθένην ἄλλας τε πρεσβείας πολλάς, καὶ πρὸς Φίλιππον ὑπὲρ [illegible] ἐφ' ᾗ καὶ παρὰ Δημοσθένους κατηγορ[illegible] πόλεμον ἐξάψαι πυλαγόρας αἱρεθεὶς, πρὸς [illegible]ς ἀμφικτύοσι, καὶ τὸν λιμένα ἐργαζομένοις· ἐξ ἧς πράξεως συνέβη Φιλίππῳ προσφυγεῖν Ἀμφικτύονας, τὸν δὲ ὑπὸ τοῦ Αἰσχίνου συνεργούμενον, ἐπιθέσθαι τοῖς πράγμασι, καὶ τὴν Φωκίδα λαβεῖν. συνειπόντος μέντοι γε αὐτῷ Εὐβούλου τοῦ Σπινθάρου, Προβαλυσίου δημαγωγοῦντος, ψήφοις μόναις τριάκοντα ἀπέφυγε. χρόνῳ δὲ ὕστερον, Φιλίππου μὲν τετελευτηκότος, Ἀλεξάνδρου δὲ διαβαίνοντος εἰς τὴν Ἀσίαν, ἐπὶ ταῖς Δημοσθένους τιμαῖς Κτησιφῶντα παρανόμων ἐγράψατο. οὐ μεταλαβὼν δὲ τὸ πέμπτον μέρος τῶν ψήφων εἰς Ῥόδον ἔφυγε, δραχμὰς χιλίας οὐ βουληθεὶς ὑπὲρ τῆς ἥττης καταβαλεῖν. ἐν δὲ τῇ Ῥόδῳ σχολὴν καταστησάμενος, ἐδίδασκεν, ἐν ᾧ τοῖς Ῥοδίοις τὸν κατὰ Κτησιφῶντος ἐπεδείξατο λόγον. θαυμαζόντων δὲ, εἰ ταῦτα δημηγορήσας ἡττήθη· οὐκ ἂν εἶπεν θαῦμα κατεῖχεν ὑμᾶς, ὦ Ῥόδιοι, εἰ Δημοσθένους ἀντιδημηγοροῦντος ἠκούσατε. ἐκεῖθεν δὲ πλεύσας εἰς Σάμον, καὶ διατρίψας ἐπὶ τῆς νήσου, ὀλίγον ὕστερον ἐτελεύτησεν.

* γεγωνώς, M. M.

ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΙ.

σξε'. Demosthenis orationes.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Δημοσθένους λόγοι μικροῦ σύμπαντες· φέρονται δὲ αὐτοῦ οἱ γνήσιοι, πέντε καὶ ἑξήκοντα, * ὧν οἱ δημόσιοι μᾶλλον εἰς τὸ ἄριστον κατεσκευάσθαι τοῖς πλείοσι κρίνονται. τινὲς μὲν οὖν τὸν περὶ Ἁλοννήσου λόγον (ὃς καὶ κατὰ Φιλίππου ἐπιγράφεται δεύτερος· καὶ γὰρ πρὸς τὴν ἐπιστολὴν ὁ ῥήτωρ ἀνταγωνίζεται * τοῦ Φιλίππου) τοῦτον οὔ φασιν εἶναι γνήσιον Δημοσθένους· καὶ τεκμηριοῦσθαι τὴν δόξαν αὐτῶν ἐπιχειροῦσι τοῖς ῥήμασί τε καὶ ὀνόμασι, καὶ τῇ τῆς συνθέσεως ἁρμονίᾳ· πολὺ γὰρ ταῦτα λείπεσθαι τοῦ Δημοσθενικοῦ τύπου.

* al. ὡς.
* al. τά.

DEMOST.

Oratio vero in Timarchum habita, *quod meretriciam factitaret*, accusat. Timarchus vero territus, iudiciúmque defugiens se suspendit. Nunciauit primus secundam victoriam in Tamynis Atheniensibus, quamobrem corona donatus est. Ferunt autem primum ipsum ad populum contra Philippum orasse, cúmque oratione gratiam comparasset, legatum ad Arcadas missum esse, ad quos cum venisset, decem millia contra Philippum armasse.

Æschines hic patre natus est Atrometo, qui initio cum sub triginta Tyrannis exsularet, ipse postea populum ad libertatem reuocauit: Glaucothea matre, tribu vero Cothocides, neque genere, neque opibus celebris. Adolescens cum esset ac robustus viribus, ad Gymnasia studium laborémque contulit. Postea cum vocis firmitate ac robore valeret, se Tragœdiis agendis exercuit: &, vt Demosthenes scribit, scribæ vicarius, ac * tertias agens partes in Bacchanalib. Aristodemi arbitratu semper fuit: & iuuenis etiam num litteras vnà cum parente docuit: prouectior autem militauit. Nonnulli etiam Socratem & Platonem audisse ferunt. Cæcilius vero† Leodamantis discipulum facit. Versatus in Rep. est non inglorius: quod Demostheni, eiúsque suffragatoribus aduersaretur, cum quo Legationes obiit cum multas alias, tum de Pace ad Philippum, in qua accusatus à Demosthene est: quodque ipse Pylagoras existens auctor belli introducendi fuisset, cum ab Amphictyonibus ad Amphissæos legatus est creatus, ipsique Amphictyones portum struxissent, quo facto ad Philippum confugerunt, & Philippus, auctore Æschine, res ipsas est aggressus, & Phocidem cepit. Eius sententiæ patrocinante Eubulo Spinthari F. & Proualusio, qui tum summam apud populum potestatem obtinebat, subleuatus, triginta suffragiis euasit. Postea vero, cum Philippo mortuo, Alexander transiret in Asiá, Ctesiphontem in ius vocauit, quod decernendis Demostheni honoribus ipse contra leges fecisset. Quo in certamine cum quintam suffragiorum partem non obtinuisset, Rhodum confugit, cum à multa mille drachmarum persoluenda, ad quam fuerat damnatus, animo ac voluntate abhorreret. Ludúque Rhodi aperto docuit, vbi cum Rhodiis orationem à se habitam contra Ctesiphontem ostendisset, cúmque omnes mirarentur, potuisse illum his pro se dictis in iudicio superari. *Minime sane, inquit, miraturi fuissetis, Rhodij, si contra ea dicentem Demosthenem audiissetis.* Inde autem Samum nauigans, atque in insula habitans, non in multo post mortuus est.

* *Cic. Diuinat. in Verrem, vt in actoribus Græcis fieri videmus sæpe illum qui est secundarum.*
* *Sic & Plutar. in X. Orator: Alcidamantis Eleata. Suidas in Æschine.*

DEMOSTHENIS *Orationes.* CCLXV.

LEGI omnes pene Orationes Demosthenis. Dicuntur illius germanæ sexaginta quinque: quarum elegantiores quæ ad populum, quàm quæ ad Senatum habitæ, à pluribus iudicantur. Nonnulli orationem de Halonefo (quæ contra Philippum secunda inscribitur,) quia cum ea pugnat oratione, quam contra Philippi epistolam dixit, illius propriam esse negant, & confirmare opinionem suam conantur nominibus & verbis, & compositionis modulatione: multum enim à Demosthenis stylo abhorrere.

Parallela nostra, vitarum Demosthenis atque Aristotelis cum his compares licet.

Oratio de Halonefo.

DEMOSTH.

Attenuatam enim & dissolutam huius orationis esse phrasim, & oratoris facultate inferiorem: alij verò abiudicantes Demostheni, Hegesippo tribuunt. Equidem cùm obseruarim diuersorum orationes oratorum similes interdum exsistere, & contra eiusdem auctoris dissimiles nonnunquam euadere orationes (non enim in dicendo facultas, præsertim in propriis ac maximè opportunis orationibus, vt nec in aliis rebus omnibus, immutabilis est, ac sui perpetuò similis) cúmque hanc diuersitatem hic animaduertam, pronuntiare non ausim, sitne Hegesippi hæc, an Demosthenis oratio. Similiter & orationem, quæ inscribitur de Conditionibus ad Alexandrum, Hyperidi potius quàm Demostheni attribuunt, quod cum multis aliis Demosthenes artibus reliquos oratores vicerit, tum potissimum verborum delectu superarit. At hæc oratio habet nonnullas voces non oratorias, vt νεόπλουτος, βδελυρεύεσθαι & alia similia. Sunt etiam qui duas in Aristogitonem orationes quasi non germanas reiiciant: sed tamen non indicant auctorem earum, inter quos vnus est Dionysius Halicarnasseus, non magnum sententiæ proferens testimonium, nec inuestigare studens, vt pluris fieri debeat Aristogiton contra se Demosthenem dixisse confessus, quàm Dionysij negatio. Etenim defendentem se non obiter, sed accuratè exaduersum contendisse ea oratione apparet, quæ inscribitur Apologia contra demonstrationem Lycurgi, & Demosthenis. Oratio quoque contra Midiam, & contra Æschinem caussæ fuit, cur Demosthenis esse non dicerentur, quod non idem stylus. Etenim in his duabus orationibus ex interiectis quibusdam vrgens, iisdem argumentis, secum ipse pugnare videtur, quasi dimicans & non reuera pugnans. Hinc & nonnulli dixerunt vtramque orationem in aduersariis dumtaxat relictam, neque integrè ad editionem relictam. Hoc enim timidius ac circumspectius agere videntur. Sed qui has damnant, quid illi de Aristide indicent? qui ad nauseam vsque hoc stylo vtitur, vt qui in opere modum excedat, & superfluitate magis, quàm mediocritate vtatur? Maximè verò oratio contra Æschinem asserendi ansam dedit in aduersariis relictam esse, nondum tamen perfectam. Quamobrem quæ in accusatione magnam habent obscuritatem & leuitatem, extrema oratione afferuntur, quod orator non attendit, magis de propriis verbis sollicitus. Etenim non talis oratio Lysiæ in Mnesiptolemum, sed in omnibus, quibus oportet, partibus affectum seruans, nec impetum reprimit, nec definit auditores ad extremum vsque excitare. Quanquam & orationem de falsa legatione nonnulli aiunt in commentariis relictam esse, neque ad edendum, neque integrè conscriptam esse. Quamobrem quæso?

Oratio de Conditionibus seu foedere Alexandri.

Orationes duæ contra Aristogitonem.

Dionysius Halicarnass. pag. Orat. 197. qui cum his conferas licet.

Aristides orator.

Lysiæ in Mnesiptolemum oratio.

Oratio Demosthenis falsa legationis.

εἰρημένην τε γὰρ εἶναι ταύτην καὶ λελυμένην, καὶ τῆς τοῦ ῥήτορος περὶ ταῦτα δυνάμεως ἐλαττουμένην τὴν φράσιν. καὶ οἵ γε αὐτὸν ἀφαιρούμενοι τοῦ Δημοσθένους, εἰς Ἡγήσιππον ἀναφέρουσιν. ἐγὼ δὲ εἰδὼς πολλάκις καὶ λόγους διαφόρων ῥητόρων πολλὴν ἔχοντας τὴν ὁμοιότητα, καὶ διάφορον ἐργασίαν λόγων τὸν αὐτὸν ἐγνωκότα ῥήτορα (οὐ γὰρ ἀεὶ καθέστηκεν ἄτρεπτος καὶ ἀναλλοίωτος κατὰ πάντα, ὥσπερ οὐδὲ ἐν τοῖς ἄλλοις, οὕτως οὐδὲ κατὰ τοὺς λόγους ἡ ἀνθρωπίνη δύναμις· ἄλλως τε δὲ οὐδὲ ἐν τοῖς κυριωτάτοις τῶν ἰδιωμάτων τοῦ ῥήτορος) ἀλλὰ καὶ ταύτην ἐπ' ὀλίγον ὁρῶν τὴν διαφορὰν, οὐκ ἔχω θαρρεῖν ἀποφήνασθαι, εἴτε Ἡγησίππου ποῖος ὁ περὶ Ἁλοννήσου λόγος, εἴτε τῆς Δημοσθενικῆς ἐλάττωμα καθέστηκε φύσεως. ὡσαύτως δὲ καὶ τὸν λόγον, ὃς ἐπιγράφεται περὶ τῶν πρὸς Ἀλέξανδρον συνθηκῶν, Ὑπερείδῃ μᾶλλον, ἢ Δημοσθένει προσνέμουσιν: ὅτι περ πολλοῖς τε ἄλλοις ὁ Δημοσθένης πλεονεκτῶν τῶν λοιπῶν ῥητόρων, καὶ τῇ τῶν ὀνομάτων ἐκλογῇ ἐπὶ ἄμεινον διενήνοχεν. ὁ δὲ νῦν λόγος ἔχει τινὰς τῶν οὐ λογάδων φωνῶν, ὥσπερ τὸ νεόπλουτος, καὶ τὸ βδελυρεύεσθαι, καὶ ἕτερά τινα τοιαῦτα. εἰσὶ δὲ οἳ καὶ τοὺς δύο κατὰ Ἀριστογείτονος, ὡς νόθους παραγράφονται. ἀλλ' οὐ [illegible] φανὲς αὐτοῖς ἀφιᾶσιν, οὐκ ἔχοντες εἰπ[illegible]ας. ὧν εἷς γέγονε καὶ Διονύσιος [illegible] Ἁλικαρνασεὺς, οὐδὲν μέγα τεκμήριον τῆς ἰδίας ὑπολήψεως παρεχόμενος, οὐδὲ ἐκεῖνο συνιδεῖν ἐθελήσας, ὡς πολλῷ μείζων ἐστὶν, ἤπερ ἡ ἐκείνου ἀπόφασις, αὐτὸς Ἀριστογείτων ὁμολογῶν, Δημοσθένην κατ' αὐτοῦ γεγραφέναι. καὶ γὰρ *ἀπολογούμενος οὐκ ἐν τῷ παρέργῳ λέγων, ἀλλ' ἐπιμελῶς ἀνταγωνιζόμενος, ἐν τῷ λόγῳ δείκνυται, ὃς ἐπιγέγραπται ἀπολογία πρὸς τὴν ἔνδειξιν Λυκούργου καὶ Δημοσθένους. καὶ ὁ κατὰ Μειδίου δὲ, καὶ κατ' Αἰσχίνου λόγος, αἰτίαν ἔχει *τοῦ μὴ τὴν αὐτὴν κατὰ πάντα ἀρετὴν τῷ Δημοσθενικῷ συνδιασώσασθαι χαρακτῆρι. καὶ γὰρ ἐν τοῖς δυσὶ τούτοις λόγοις ἐκ διαλειμμάτων τινῶν ταῖς αὐταῖς ἐννοίαις ἐπιβάλλων, ἁμιλλᾶσθαι δοκεῖ πρὸς ἑαυτὸν, ὥσπερ ἀσκούμενος, ἀλλ' οὐκ ἐπ' αὐτοῖς ἀγωνιζόμενος τοῖς ἔργοις. διὸ καί τινες ἔφησαν, ἑκάτερον λόγον ἐν τύποις καταλειφθῆναι, ἀλλὰ μὴ πρὸς ἔκδοσιν διακεκαθάρθαι. καί τοι καὶ τοῦτο εὐλαβέστερον οἱ ῥηθέντες λόγοι ποιοῦσιν. ἀλλ' οἵ γε τούτους αἰτιώμενοι, τί αὖ φαῖεν περὶ Ἀριστείδου; ὃς καὶ κατακόρως τῷ ἰδιώματι τούτῳ φαίνεται κεχρημένος· ὥσπερ καὶ τῷ *προϊέναι κατὰ τὰς ἐργασίας πέρα τοῦ μετρίου, κατὰ τῷ περιττῷ μᾶλλον, ἢ τῷ μέτρῳ τῆς χρείας συμπαρεκτείνεσθαι; μάλιστα δὲ ὁ κατ' Αἰσχίνου λόγος παρέσχεν αἰτίαν, ἐν ὑπομνήμασι καταλελεῖφθαι, οὔπω τὴν ἐργασίαν ἀπειληφὼς τελείαν. διότι τὰ πρὸς τὴν κατηγορίαν πολλὴν ἔχει τὴν ἀμυδρότητα καὶ κουφότητα, ἐπὶ τῇ τελευτῇ τοῦ λόγου παρέθετο. ὅπερ οὐκ ἂν περιεῖδεν ὁ ῥήτωρ, εἰς ἐξέτασιν ἀκριβεστέραν τῶν ἰδίων λόγων καταστάς. ἀλλὰ γὰρ οὐχ οὕτω πρόεισιν ὁ Λυσίου κατὰ Μνησιπτολέμου λόγος· ἐν πᾶσι δὲ τοῖς δεομένοις μέρεσι τὸ παθητικὸν φυλάξας, οὐ δὲ παυόμενος τῆς ἐπιφορᾶς ἀπέστη, ἐπέτεινε δὲ μᾶλλον οὐδὲ κατὰ τὸ τέλος τοὺς ἀκροατὰς ἀποστὰς παροξύνειν. καὶ μέν τοι καὶ τὸν περὶ παραπρεσβείας τινὸς ἐν ὑπομνήμασί φασι καταλειφθῆναι, ἀλλ' οὐ πρὸς ἔκδοσιν, οὐδὲ πρὸς τὸ τῆς ἐργασίας ἀπηρτισμένον, γεγράφθαι. διὰ τί;

* al. ὁμολογούμενος.

* al. [illegible]

* al. προσιέναι

διότι

διότι μετὰ τὰ ἐπιλογικά, πολλά τε ὄντα, καὶ σχεδὸν τὸ πλεῖστον μέρος ἐπέχοντα, πολλαῖς πρὸ αὐτῶν ἀντιθέσεσιν εἰπών, πάλιν ἐπὶ ἀντιθέσεις ἐτράπετο· ὅπερ ἀντικονόμητόν τέ ἐστι καὶ διερριμμένον. καὶ τὸν ὑπὲρ Σατύρου δὲ λόγον τῆς ἐπιτροπῆς πρὸς Χαρίδημον, *οἱ μὲν πρὸς τὴν κρίσιν *ἔχοντες τὸ ἀσφαλές, Δημοσθένους λέγουσιν εἶναι· ὁ δὲ Καλλίμαχος, οὐδ' ἱκανὸς ὢν κρίνειν, Δεινάρχου νομίζει. τινὲς δὲ αὐτὸν ὑπεβάλοντο Λυσίᾳ· καί τοι καὶ τὸν χρόνον ἔχοντες αὐτοῖς διαμαχόμενον, καὶ τὸν τύπον ἅπαντα τῆς ἐργασίας, καὶ τὰ πράγματα, καὶ τὴν ἑρμηνείαν. μαρτυρεῖ δὲ τοῦ δημοσθενικὸν εἶναι τὸν λόγον, καὶ ὁ πλαγιασμός, καὶ ἡ συνέχεια τῶν περιόδων, καὶ ἡ εὐτονία· ἐξ αὐτοῦ γὰρ τοῦ προοιμίου τούτοις ὁ λόγος διαποικίλλεται. καὶ μὴν καὶ ἡ περὶ τῶν ὀνομάτων ἐκλογὴ εἰς τὸ ἄριστον *αἰδυνέχθαι, καὶ ἡ σύνθεσις εὖ ἔχειν πεφιλοτίμηται. μαρτυρεῖ δὲ καὶ τὰ σχήματα· ἔστι γὰρ συνεστραμμένα μετὰ γοργότητος, καὶ ποικιλίαν τῷ λόγῳ παρεχόμενα. καὶ γὰρ ἐρωτήσεις προβάλλεται, καὶ ὑποστροφάς, καὶ τὸ ἀσύνδετον. οἷς μάλιστα Δημοσθένης χαίρει χρώμενος. ἀλλὰ καὶ ἡ σύνθεσις ἐπιμελής, καὶ τὴν ἐνάργειαν τῷ κόσμῳ οὐ διαφθείρουσα, αἵ τε περίοδοι τῷ ἀπηρτισμένῳ συναγόμεναι καὶ τὸ πρέπον πανταχοῦ διασώζουσι. τὸ μὲν οὖν μηδενὸς φείδεσθαι συνθέσεως, ἀλλὰ πάντα διειλῆφθαι περιόδοις, ἔστι μὲν Ἰσοκράτους καὶ Λυσίου πρὸς Δημοσθένην κοινόν· ἡ δὲ κατὰ τὰς περιόδους ἐν τοῖς μεγέθεσι ποικιλία συμπληροῦσα τὰ κῶλα λαμβανομένη, τὴν πρὸς ἐκείνους διαφορὰν ἀπεργάζεται. τοῦ μὲν Ἰσοκράτους ὡς τὰ πολλὰ μηκύνοντος τὴν ἐργασίαν αὐτῶν, τοῦ δὲ Λυσίου συντέμνοντος· ἐξ ἑκατέρου δὲ τούτων τῷ Δημοσθένει τὸ πρέπον διασώζεται. ὁ δὲ περὶ τῆς εἰρήνης λόγος, καὶ ἄλλοις μέν, μάλιστα δὲ Λιβανίῳ τῷ σοφιστῇ παρεσκευάσθαι μέν, οὐ μὴν εἰρῆσθαι δοκεῖ. κατηγορῶν γὰρ ὁ ῥήτωρ Αἰσχίνου, οὐδὲν ἔλαττον (τὸν) αὐτὸν καὶ ἐπὶ *τούτῳ αἰτιᾶται, ὅτι συνεβούλευσεν Ἀθηναίοις ἀμφικτύονα εἶναι ψηφίσασθαι Φίλιππον. ἐν ᾧ οὖν ἐκεῖνον πικρῶς διέβαλε, πῶς ἂν αὐτὸς ἐθάρρησε γενέσθαι σύμβουλος; καὶ γὰρ ὁ περὶ τῆς εἰρήνης λόγος δῆλον ὅτι τὸν Φίλιππον ἀμφικτύονα εἶναι συμβουλεύει. καὶ τὸν κατὰ Νεαίρας δὲ λόγον ὑπτιότητός τινες αἰτιώμενοι, τῶν δημοσθενικῶν ἀποκρίνουσι λόγων· ὥσπερ καὶ τὸν περὶ ἔρωτος αὐτῷ γεγραμμένον, καὶ τὸν ἐπιτάφιον. φασὶ δὲ τὸν Δημοσθένην τέσσαρα καὶ εἴκοσι γεγονότα ἔτη τὸν περὶ τῶν ἀτελειῶν ἤτοι τὸν πρὸς Λεπτίνην φιλοπονήσασθαι λόγον. οὗ τὸ προοίμιον Λογγῖνος μὲν ὁ κριτικὸς ἀγωνιστικὸν νομίζει (ἐπὶ Κλαυδίου δὲ οὗτος ἤκμαζε, καὶ τὰ πολλὰ συνηγωνίζετο Ζηνοβίᾳ τῇ τῶν Ὀσροηνῶν βασιλίδι, τὴν ἀρχὴν κατεχούσῃ *Ὀδενάθου τοῦ ἀνδρὸς αὐτῆς τετελευτηκότος, ἣν καὶ μεταβαλεῖν εἰς τὰ Ἰουδαίων ἔθη ἀπὸ τῆς ἑλληνικῆς δεισιδαιμονίας, παλαιὸς ἀναγράφει λόγος) ἀλλὰ γὰρ ὁ μὲν Λογγῖνος τοιαύτην περὶ τοῦ προκειμένου προοιμίου τὴν ψῆφον ἐξάγει· ἕτεροι δὲ οὐκ ὀρθῶς ἔφασαν τὸ προοίμιον ἠθικὸν εἶναι. καὶ πολλοῖς οὗτος ὁ λόγος παρέχει ἀγῶνα, κρίνεσθαι προτεθείς, ὥσπερ καὶ Ἀσπασίῳ τῷ ῥήτορι, ἅτε μηδ' ἀφιγμένῳ τῆς λέξεως θεωρίας εἰς ἀκρίβειαν. ὡσαύτως δὲ καὶ ὁ κατὰ Μειδίου. καὶ γὰρ καὶ οὗτος οὐκ ὀλίγοις γέγονεν ἐν σπουδῇ, καὶ τῆς πρὸς ἀλλήλους ἀμφισβητήσεως ἀφορμὰς παρέσχε. καὶ οἱ μὲν τοῦ παθητικοῦ χαρακτῆρος εἶναί φασιν αὐτόν, μετὰ δεινώσεως ἐξειργασμένον· οἱ δὲ τοῦ πραγματικοῦ καὶ ἁπλῶς τῶν τε ῥημάτων αὐτοῦ τὸ σφοδρὸν

* al. ὡς μή. * al. ἔχοντα. * αἰδύναται. * al. νῦν. Longinus. * al. δὲ Ν...

Quia post Epilogos, qui multi sunt, & maximam occupant orationis partem, cùm antea obiectiones multas refutarit, hic rursum easdem refellit, quod contra artificium est, ac leges dicendi. Et orationem pro Satyri tutela contra Charidemum, recti censores Demosthenis esse dicunt. Callimachus, censor non bonus, Dinarchi esse putat, nonnulli Lysiæ: pugnat tamen temporum ratio, totiusque adeò orationis stylus, & res, & elocutio, Demosthenis verò esse arguunt obliqua enuntiatio, continuatióque periodorum, ac vehementia. Ab ipso enim principio his oratio exornatur, adhibetúrque bonus verborum delectus, & concinna compositio enitet. Testantur id etiam figuræ: sunt enim cum acrimonia coniunctæ, & varietatem orationi adferunt. Etenim addit interrogationes, redditiones, asyndeta, quæ maximè Demostheni familiaria, sed & accurata constructio, quæ suo ornatu efficaciam tamen non tollit, ipsæque periodi vndique perfectè, decorum vbique seruant. Nullam enim compositionem prætermittere, sed periodis omnia complecti, Demostheni est cum Isocrate, ac Lysia commune. At periodorum varietas in magnitudine membra adimplens, diuersitatem inter illos parit, cùm Isocrates plerumque ambitum producat: Lysias verò contrahat, in vtroque decorum seruet Demosthenes. Oratio autem quæ de Pace est, composita quidem, sed non habita existimatur ab aliis, & maximè à Libanio sophista. Orator enim Æschinem accusans, nihilominus se etiam accusat, quod suasisset Atheniensibus Amphictyonem esse Philippum decreto renuntiandum, qua illum acerbè reprehendit, quod eius rei auctor, suasorque extitisset. Nam suasisse illum vt Amphictyon Philippus crearetur, clarum est. Orationem verò contra Neæram, vt languidiorem ac remissiorem, Demosthenis nonnulli è familia eiiciunt, vt & amatoriam, & funebrem laudationem. Aiunt & Demosthenem quatuor & viginti annos natum orationem de Immunitate contra Leptinem conscripsisse, cuius procemium agonisticon esse putat Longinus criticus: qui Claudio imperante floruit, caussásque plurimas egit, Zenobia Osroënorum regina imperium tenente, mortuo iam Odenatho marito, quem prisci tradunt scriptores ab impietate gentium ad Iudæorum mores traductum. Verùm Longinus sic quidem de hoc procemio iudicauit, cæteri enim morale esse non rectè pronuntiant. Plutibus autem hæc oratio in iudicando contentionis materiam præbuit, (in his Aspasio rhetori, qui exordium satis accuratum esse negat,) vt & oratio contra Midiam. nam & de hac non pauci certarunt, multísque altercandi ansam præbuit. Alij enim formam illi * affectionis plenam & grauitatis: nonnulli † negotialem characterem attribuût, & omnino verborum grauitas hic est,

DEMOST.

Oratio contra Charidemum: Callimachus criticus.

Oratio de pace quã Halicarnasses secta Philippicã est.

Oratio contra Neæra & alia.

Oratio contra Leptinem.

Huius Longini Dionysij meminit & Eunapius Sardianus, & extat libellus περὶ ὕψους. De sublimi dicendi genere.

Aspasius rhetor. Oratio contra Midiam.

* παθητικόν. † πραγματικόν.

DEMOSTH. & compositionis modulatio, & rursum argumentis & enthymematis affectu plenis, patheticam quoque pronunciationem accommodat, pragmaticis vicissim quæ ipsis conueniunt, adaptat. Seruat & affectus leniores, non in hac modo oratione, sed & in aliis. Verùm difficillimum est oratori, in contentioso dicendi genere leniores perpetuò retinere in aduersarium affectiones, ei præsertim, cui vehementius atque acrius ingenium obuenit: quale Demostheni atque Aristidi obtigit. Hinc fit, vt efferantur sæpenumero, natura longe argumentum superante. Neque enim ars voluntatem dirigere valet, nisi & subsidium ingenij accesserit. Annos natus octo & triginta Atheniensi populo persuasit, Olynthiis auxilium contra Philippum mitterent.

Olynthiaca tres.

Ex Plutarcho X. Oratorum libello.

Demosthenes Demosthenis, & Cleobulæ F. tribu Pæaniensis, relictus à patre cùm esset annos natus septem, & soror quinque, totum illud tempus quo patre orbatus fuit, apud matrem egit, cùm se Isocrati ad audiendum daret, vt quidam aiunt: vt autem plurimi, Isæo Chalcidensi, qui & ipse Isocratis erat discipulus, studio æmulandi Thucydidis & Platonis philosophi incensus: alij enim aliter de oratoris institutione ac doctoribus narrant. Cùm verò ad ætatem maturam peruenisset, ac pauciora, quàm esset æquum, à tutoribus accepisset, qui tres erant, nimirum Aphobus, Theripides & Demophon, qui aliis Demeas est, à singulis talenta decem mulctæ caussâ postulauit, ipsósque vicit. Ipsam verò condemnationem parui fecit, aliis quidem pecunia, aliis verò etiam * obsequio liberatis. Choragus factus Midiam Anagyrasium, qui illum præbitoris officio fungentem percusserat, in ius vocauit, acceptísque tribus drachmarum millibus, ab accusatione destitit. Nec desunt qui dicant, eum multa naturæ vitia exercitatione vicisse, & adhuc iuuenem in speluncam descendere solitum, in eáque eloquentiam exercere, abrasa dimidia capitis parte, quo sibi exeundi facultatem eriperet. Deinde lecto cubare angusto, vt citius excitaretur, & ῥῶ litteram, cùm naturâ pronuntiare non posset, labore didicisse. Et cùm humerum exercendo indecore moueret, obelisco, vel, vt nonnullis videtur, gladiolo è laquearibus suspenso coërcebat, vt timore ab ea deformitate cessaret, seque in dicenti gestu contineret. Ipse ad Phalericum se conferens iuxta fluctuum impetus exercebatur, vt assuetudine naturam corrigeret. Quin & speculum iustæ magnitudinis sibi comparauit, in quo se ipse contemplans gestus obseruabat, vt si quid in actione vitij esset, hoc animaduersum ad rectum dirigeret. Cúmque angusto esset spiritu, vt longiores ambitus vno ductu efferre non posset, Neoptolemo histrioni decem millia drachmarum dedit, quo illum spiritus extensionem doceret: & cum angustis esset ad vium meatibus (quibus attrahétibus per palatū

** χάριτος gratia.*

καὶ κατὰ τὴν σύνθεσιν ἐναρμόνιον. καὶ ὡς τοῖς παθητικοῖς μὲν τῶν ἐπιχειρημάτων καὶ ἐνθυμημάτων, παθητικὴν καὶ τῆς ἀπαγγελίας περιάπτει· τοῖς πραγματικοῖς δὲ, ὅσα τούτοις ἐναρμόττει. *ἔχει δὲ μὲν καὶ τοῦ ἤθους, οὐκ ἐν τούτῳ μόνον τῷ λόγῳ, ἀλλὰ καὶ ἐν πολλοῖς ἄλλοις. ἀλλά γε χαλεπώτατόν ἐστι λόγων ἀγωνιστικῶν ἐργάτῃ διὰ τέλους φυλάξαι πρὸς τὸν ἀνταγωνιστὴν τὸ ἦθος· μάλιστα δὲ τοῖς ὅσοι φύσεως ἔτυχον πικροτέρας τε καὶ παθητικωτέρας· ἧς οὐχ ἥκιστα Δημοσθένης τε καὶ Ἀριστείδης μετέσχε. διόπερ πολλάκις ἐξάγονται, καὶ τῆς προθέσεως ἐλαττουμένης ὑπὸ τῆς φύσεως. οὐδὲ γὰρ οὐδ᾽ ἔστιν ἱκανὴ τέχνη κατορθῶσαι τὸ βούλημα, μὴ συνεργὸν ἔχουσα καὶ τὴν τῆς φύσεως ἰδιότητα. ἐτῶν μέν τοι γεγονὼς ὁ ῥήτωρ ὀκτὼ καὶ τριάκοντα, ἔπεισε δημηγορήσας τὸν δῆμον βοήθειαν Ὀλυνθίοις ἀποστεῖλαι, πρεσβευσαμένοις κατὰ Φιλίππου. περὶ ὁ Δημοσθένης. υἱὸς μὲν γέγονεν ἐκ Κλεοβούλης Δημοσθένους, τὸν δῆμον Παιανιεύς. καταλειφθεὶς δὲ ὑπὸ τοῦ πατρὸς ἐτῶν ἑπτὰ σὺν ἀδελφῇ πενταετεῖ, ἐπιτροπευθεὶς δυσὶν ἔτεσι· τὸν μὲν χρόνον τῆς ὀρφανίας παρὰ τῇ μητρὶ διῆγε, Ἰσοκράτει σχολάζων τῷ ῥήτορι, ὡς δὲ οἱ πλείους λέγουσιν, Ἰσαίῳ τῷ Χαλκιδεῖ ἐν Ἀθήναις σοφιστεύοντι. ὁ δὲ Ἰσαῖος, Ἰσοκράτους γέγονε μαθητὴς, Θουκυδίδην ζηλῶν, καὶ Πλάτωνα τὸν φιλόσοφον. ἄλλοι δὲ ἄλλα περί τε παιδεύσεως Δημοσθένους, καὶ τῶν αὐτοῦ διδασκάλων, ἱστοροῦσιν. εἰς ἡλικίαν δὲ καταστὰς, καὶ ἐλάττω τὴν οὐσίαν παρὰ τῶν ἐπιτρόπων λαβὼν, ἐγράψατο αὐτοὺς ἐπιτροπῆς τρεῖς ὄντας, Ἄφοβον, Θηριππίδην καὶ Δημοφῶντα (οἱ δὲ αὐτὸν Δημοφῶντα, Δημέαν εἰσάγουσι) τίμημα δέκα ταλάντων ἑκάστῃ δίκῃ ἐπιγραψάμενος. τῆς μέν τοι καταδίκης οὐδὲν εἰς αὐτοὺς εἰσεπράξατο· τοὺς μὲν (ἀφεὶς) ἀργυρίου, τοὺς δὲ καὶ χάριτος. αἱρεθεὶς δὲ χορηγὸς, Μειδίαν τε τὸν Ἀναγυράσιον πλήξαντα αὐτὸν, ἐν τῷ θεάτρῳ χορηγοῦντα γραψάμενος, εἰς κρίσιν κατέστησε. τρισχιλίας δὲ λαβὼν παρ᾽ αὐτοῦ, τῆς δίκης ἀπέλυσε. λέγουσι δὲ αὐτὸν πολλὰ τῆς φύσεως ἐλαττώματα μελέτῃ διορθώσασθαι. ὁ νέος μὲν οὖν, εἰς σπήλαιον ἑαυτὸν ἐναπέκλεισε, κἀκεῖ διῆγε φιλοσοφῶν, τῆς κεφαλῆς ξυράμενος τὸ ἥμισυ, ἵνα μὴ αὐτῷ ἐξῇ, τῆς ἀσχημοσύνης κωλυούσης, ποιεῖσθαι μηδὲ βουλομένῳ τὴν πρόοδον. δεύτερον δὲ, ἐπὶ στενῆς αὐτόν φασι κλίνης κοιμᾶσθαι, ὡς ἔχειν διὰ ταχέων ἀνίστασθαι. τὸ δὲ στοιχεῖον, τὸ Ῥῶ τῇ γλώττῃ μὴ πεφυκότα λέγειν, πόνῳ προσλαβεῖν τὸ δύνασθαι. ἀλλὰ καὶ τὸν ὦμον *ἀπρεπῶς ἐν τῷ μελετᾶν κινοῦντα, ὀβελὸν ἐκ τῆς ὀροφῆς ἀπαρτήσαντα ἐν χρῷ τοῦ σώματος, ἢ (ὥς ἔνιοι) ξιφίδιον, ὡς ἂν φόβῳ τὸ πάθος τὴν ἠρεμίαν ἄγοι, ἀπαλλαγῆναι τοῦ συμπτώματος. πρὸς δὲ τοὺς τοῦ δήμου θορύβους παρατιθέμενος, ἵνα μὴ τοῦτο πάσχοι, ἐπὶ τὸ Φαληρικὸν κατιὼν, πρὸς τοὺς τῶν κυμάτων ἤχους τὰς μελέτας ἐποιεῖτο, τῷ ἔθει τὴν φύσιν ἐπανορθούμενος. ἀλλὰ καὶ κάτοπτρον ἑαυτῷ κατεσκεύασε, ἴσον αὐτῷ τῷ μεγέθει, εἰς ὃ τὰς σκέψεις ἀφορῶν ἐποιεῖτο, ἵνα εἴ τι εἴη παρημελημένον ἐν τῷ σχήματι λέγοντος, τοῦτο μανθάνων *ἐπανάγοι πρὸς τὸ εὔσχημον. ἐνδεῶς δὲ τοῦ πνεύματος ἔχοντος αὐτῷ, ὥστε μηδὲ δύνασθαι τὰς μακροτέρας τῶν περιόδων ἀπνευστὶ λέγειν, Νεοπτολέμῳ τῷ ὑποκριτῇ *μυρίας ἔδωκεν, ἵνα αὐτῷ συνασκήσῃ τὸν τόνον τοῦ πνεύματος. καὶ τῶν λεπτῶν δὲ *ῥημάτων, δι᾽ ὧν ἀναπνέοντες τὸν ἀέρα διὰ

** al. ἔχεται.*

Isocrates Demosthenis magister.

** al. ὡς τοῦ μὴ ἀπρεπῶς.*

** ἐπανάγοιτο.*

** al. μυρία.*

** al. τρημάτων.*

διὰ τῆς ἀρτηρίας ἀναψύχομεν, ὥσπερ αὔραις τισὶ τὸν θώρακα *διαθερμαινόμενον, καὶ τὸ λιγνυῶδες ἐκεῖθεν ἐκφέρομεν, συνισταμένων αὐτῷ παρὰ τὴν χρείαν κατασκευασμένων. ἐπεὶ καὶ τοῦτο μέγα μέρος ἐστὶ τῆς λαμπροφωνίας: εἰς τὸ εὐρύτερόν τε καὶ κατὰ φύσιν ἐπανήγαγεν· ἔλαιον μὲν ἐμβάλλων τῷ στόματι, ἀνατρέχων δὲ πρὸς τὰ πρὸς ὄρθιον ἀνάντη· δι᾽ ὧν τὸ ἔλαιον τῇ βίᾳ τῆς κινήσεως πρὸς τοὺς μυκτῆρας *ἀναρροιβδούμενον, τὴν παρὰ φύσιν τῶν πόρων στενότητα εἰς τὴν κατὰ φύσιν ἀπεκατέστησε χρείαν. ἐπιδοὺς δὲ αὐτὸν εἰς τὸ πολιτεύεσθαι· ἐπεὶ τοὺς μὲν ἑώρα τῶν πολιτῶν φιλιππίζοντας, τοὺς δὲ πρὸς τὴν τῆς πόλεως ἐλευθερίαν δημηγοροῦντας: τῆς *ἀμείνω μοίρας γίνεται· καὶ συνεπολιτεύετο Ὑπερείδῃ καὶ Ναυσικλεῖ καὶ *Πολυεύκτῳ, καὶ Διοτίμῳ. διὸ Θηβαίους μὲν Ἀθηναίοις συμμάχους κατέστησεν· ἀλλὰ καὶ Εὐβοεῖς, καὶ Κερκυραίους, καὶ Κορινθίους, καὶ Βοιωτούς, καὶ πολλοὺς ἄλλους. ἐπεὶ δέ ποτε δημηγορῶν ἐξέπεσε τοῦ θεάτρου, καὶ ἀθυμῶν οἴκαδε ἀπῄει: Εὔνομος μὲν αὐτῷ ὁ Θριάσιος, ἤδη *πρεσβύτης ὢν κατὰ τὴν ὁδὸν συνεχώρησε· καὶ μαθὼν τὸ τῆς ἀθυμίας αἴτιον, θαρρεῖν τε προὐτρέψατο, καὶ ἀνεκτήσατο· καὶ τούτου πλέον Ἀνδρόνικος ὁ ὑποκριτής, τοὺς μὲν λόγους εὖ ἔχειν καὶ ὡς ἄριστα, φάμενος· ἐνδεῖν δὲ αὐτοῖς τὰ τῆς ὑποκρίσεως. ὁ δὲ παραδίδωσί τε *αὐτὸν τῷ Ἀνδρονίκῳ, καὶ τὴν τῆς ὑποκρίσεως τέχνην ἐκεῖθεν ἐξήσκησε. διόπερ ἐρομένου ποτέ τινος αὐτόν, τί πρῶτον ἐν ῥητορικῇ; εἰπεῖν ὑπόκρισις· καὶ τί δεύτερον; ὑπόκρισις· τί δὲ τρίτον; ὑπόκρισις. δηλῶν, μέγα μέρος εἶναι τὴν ἐν τῷ δήμῳ πειθοῦς τὴν ὑπόκρισιν. *ὤμνυε δέ, ὡς ὁ Φαληρεύς φησι,

μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα.

καὶ δή ποτε ὀμόσας τοὺς ὅρκους τούτους, τῷ δήμῳ θόρυβον ἐνεποίησεν· ὥσπερ καὶ ἐπὶ *τῷ ὀμνύναι τὸν Ἀσκληπιόν, χρώμενος τῇ φωνῇ προπαροξυτόνως. ὅμως οὖν σχολάσας τῷ Μιλησίῳ Εὐβουλίδῃ, ὃς τῶν διαλεκτικῶν οὐδενὸς τὰ δεύτερα ἔφερεν· *ἐπηνωρθώσατο πάντα, ὅσα παρεῖχεν αἰτίαν ἁμαρτήματος.

φασὶ δὲ τὸν Μακεδόνα Φίλιππον, ἐπεὶ τὰς κατ᾽ αὐτοῦ δημηγορίας τοῦ Δημοσθένους ἐδέξατο καὶ ἀνέγνω, μέγα θαυμάσαντα, εἰπεῖν· Ὡς καὶ αὐτὸς ἄν, εἴπερ ἤκουσα κατ᾽ ἐμοῦ δημηγοροῦντος Δημοσθένους, ἐχειροτόνησα ἂν τὸν ἄνδρα πρὸς τὸν κατ᾽ ἐμοῦ πόλεμον. ἐρομένου δὲ αὐτόν τινος τῶν συνήθων, τίνες ἂν εἶεν πιθανώτεροι καὶ δυνατώτεροι λόγοι, Δημοσθένους ἢ Ἰσοκράτους; ἔφη, ὡς οἱ μὲν Δημοσθένους τοῖς στρατιώταις ἐοίκασι, *πολεμικὴ γὰρ αὐτῶν καὶ σφόδρα ἡ δύναμις: οἱ δὲ Ἰσοκράτους τοῖς ἀθληταῖς· θεατρικὴν γὰρ αὐτοὺς παρέχειν τέρψιν. ἐπεὶ δὲ ἡ καταδίκη φυγὴν τῆς πατρίδος ἐπέβαλε τῷ Αἰσχίνῃ, ἔφιππος καταδιώξας αὐτόν, τά τε ἄλλα παρεμυθήσατο, καὶ τάλαντον ἀργυρίου δέδωκε, τἀναντία προσδοκῶντι Αἰσχίνῃ. καὶ γὰρ θεασάμενος αὐτὸν ὁ Αἰσχίνης ἐπελαύνοντα, καὶ συλλαβεῖν αὐτὸν ἐπὶ κακῷ νομίσας· προσέπεσέ τε, καὶ συγκαλυψάμενος ἐδεῖτο σωτηρίας. ὁ δέ, καθάπερ εἰρημένον, οὐ ῥήτορι μᾶλλον, ἀλλ᾽ ἀνδρὶ πρέπον φιλοσόφῳ ἔργον εἰς αὐτὸν ἐπεδείξατο. φέρειν δὲ γενναίως ὑποτιθεμένου αὐτῷ τὴν φυγὴν Δημοσθένους· καὶ πῶς ἂν δυναίμην,

*al. διαθερμαινόμενον. *ἀναρροιβδούμενον. *Sc. ἀμείνω μοίρας. *al. Πολυεύκτῳ. *al. πρεσβύτης. *al. ἑαυτόν. *al. ὤμνυε. *al. τό. *al. ἐπανωρθώσατο. *al. πορικὴ.

aërem veluti aura quadam pectus calefactum refrigeramus, atque inde halitus fumosos educimus, & in eo maximè claræ vocis sonus consistit) oliuam ori inserens, & per accliuia decurrens latiores reddidit, ac naturæ aptiores: quo motu oliua ad nares illisa & absorpta, tenuiores illos angustioresque meatus naturæ functioni idoneos redderet. DEMOST.

Cùm verò sese ad Rempubl. contulisset, & in duas partes ciues diuisi essent, vt alij pro Philippo starent, alij populi, bonorúmque omnium vtilitati studerent, eam partem delegit, quæ Philippo aduersaretur, eandem rationem administrandæ Reipub. secutus, quam & Hyperides, & Nausicles, & Polyeuctus, & Diotimus. Ex quo etiam ciuitati socios fecit Thebanos, Eubœenses, Corcyræos, Corinthios, Bœotios, multos prætere alios. Cùm verò aliquando concionando indecore in theatro explosus esset, tristis domum abiit: cui cùm forte Eunomus Thriasius iam senex, factus esset obuius, cognita mœroris caussa, bono esse animo iussit, ac recreauit, imprimísque Andronicus histrio, cùm ita diceret, orationes illius pulchras & splendidas esse. Cuius rei gratia permotus Demosthenes, seipsum Andronico tradidit, ibique actionis artem didicit. Hinc etiam interrogatus, quid primum in dicendo esset, respondit Actionem: quid secundum & tertium, similiter Actionem respondit, ostendens magnam esse partem eloquentiæ ad populo persuadendum, actionem. Iurabat autem, vt Phalereus ait, per terram, per fontes, per fluuios, per latices, quo pacto cùm iurasset, apud populum tumultum consciuit. Iurauit quoque pro Asclepiòn, antepenultima acuta Asclépion. Cùm verò otium ac studium audiendo Eubulidem Milesium, qui in Dialecticis secundus erat nemini, consumeret, omnia in quibus ipse deficere & claudicare videretur, emendauit. Cùm autem essent, qui habitas à Demosthene contra Philippum conciones ad eum ipsum deferrent, dixisse admirabundum narrant: Equidem si orantem audiuissem, non alium qui contra me bellum gereret, ducem delegissem. Cùm autem quidam illum interrogaret, vtrius orationes essent fortiores, & ad persuadendum aptiores, Demosthenis, vel Isocratis, ipsius orationes militibus propter bellicam virtutem, Isocratis verò athletis similes esse dicebat, quod hæ quandam talem delectationem adferrent, qualem in theatris percipere homines solent. Cùm post condemnationem (actionis de Corona contra Ctesiphontem) Æschines fugeret, illum equo Demosthenes est prosecutus, & aliis rebus consolatus, argenti talentum, alia omnia exspectanti inopinato donauit. Etenim insequentem intuitus Æschines, ratúsque ad iniuriam calamitatémque rapi, genibus accidit, & capite obuoluto salutem deprecabatur. Hic verò, vt iam diximus, officium non tam oratore, quàm philosopho dignum præstitit. Hortante autem Demosthene, vt exsilium æquo animo ferret, subiecit ille: Qui possem,

DEMOSTH. inquit, cum eam relinquo vrbem, in qua eos inueni hostes, qui benignitate amicos alibi longè superẽt. Hic etiam Demosthenes annonæ præfectus furtique accusatus, absolutus est. Cùm verò Elateam Philippus occuparet, ipse cum iis, qui pugnauerant in Chæronea, militauit, in quo prœlio ordinem fuga deseruisse visus est. Cùm autem fugientis chlamydem rubus retinuisset, tum Demosthenes conuersus imprecabatur, ζώγρει, serua: viuum, inquit, cape. Notatum hoc in clypeo habuit, & signatum: BONA FORTVNA, orationémque habuit in funere eorum, qui in bello cecidissent, quæ si fortunæ tunc statum, conditionémque spectes, fortè non indigna Demosthene videatur, at si cum aliarum virtutibus orationum componas, non parum deterior. Postea verò cùm ad vrbis refectionem studio curáque intentus esset, murorum curator factus de sua pecunia ad eã rẽ impendit minas centum: ad spectacula autem decem minarum millia contulit, triremésque conscendit, & vndique ad socios nauigans pecunias coëgit, quas ob res persæpe ipse aurea corona est donatus, primum quidem à * Demotele, Aristonico, & Hyperide: postremum verò à Ctesiphonte. Cúmque decretum hoc tanquam contra leges factum, Diodotus atque Æschines accusassent, ipse pro se defensione vsus vicit. Postea verò cum Alexander in Asiam exercitum ductaret, Harpalúsque Athenas cum facultatibus pecuniisque fugeret, hunc quidem primò recipi orator prohibuit: deinde postquam nauigio est ingressus, acceptis mille Daricis acquieuit. Cúmque Athenienses hominem Antipatro dedere vellent, repugnauit, scripsitque vt ea, quam secum attulerat Harpalus, pecunia in summa arce deponeretur, vtque Harpalus eius ipsius pecuniæ numerum ac summam diceret, neque populo pecuniæ summam indicauit. Cùm autem dixisset Harpalus septingenta talenta à se allata, & in arce collocata, octo tantùm & trecenta, aut paulò amplius reperta sunt. Postea cùm Harpalus è carcere aufugisset, atque in Cretam, vel, vt alij volunt, in Tænarum agri Laconici oppidum venisset, accusatus Demosthenes acceptorum donorum est, vocatúsque in iudicium ab Hyperide, Pythæa, Menesæchmo, Himeræo, Procle: quorum opera effectum est, vt Areopagitarum sententia condemnatus exsulatum abiret, cùm multæ in quintuplam soluendæ non esset futurus satis. Accusabant autem quòd triginta talenta accepisset, vel, vt nonnulli dicunt, non exspectato iudicio illum fugisse, iam iudicibus sententiam ferre parantibus. Postea verò cum Athenienses Polyeuctum legatum ad Arcadas misissent, vt eos à Macedonum societate abducerent, neque Polyeuctus persuadere potuisset, prodiens Demosthenes, & vna dicendi partes assumens, persuasit. Cuius rei caussa cum eum admirandum quendam hominem omnes ducerent, paucis elapsis diebus decretum de illo reuocando est factum, ex eóque missa est triremis quæ illum adueheret, decreueruntque Athenienses, vt triginta illa talenta, quibus mulctatus fuerat Demosthenes, ex ærario ad struendam aram Ioui in Piræeo conferrentur, atque ita liberaretur. Et rursum Rempublicam administrauit.

Funebris laudatio.

** Δημοτέλους. est in Plutarch.*

Polyeuctus.

Αἰσχίνης ἔφη, ὅτι αὐτὸς ἀποστερούμενος πόλεως, ἐν ᾗ καὶ τοὺς δοκοῦντας ἐχθροὺς εἶναι, τῶν ἀλλαχόθι φίλων χρηστότητι καὶ καλοκαγαθίᾳ εὑρεῖν ἐστι διαφέροντας. σιτώνης μέντοι γε καταστὰς ὁ Δημοσθένης, καὶ κλοπῆς αἰτιαθεὶς, ἀπελύθη. Φιλίππου μέντοι τὴν Ἐλάτειαν καταλαμβάνοντος, τοῖς ἐν Χαιρωνείᾳ καὶ αὐτὸς συνεστρατεύσατο * μαχεσαμένοις. ἐν ᾗ καὶ λιποτάκτης ἐφάνη τὴν τάξιν. ἐπεὶ δὲ φεύγοντος αὐτοῦ, τὸ φυτὸν ὁ βάτος ἐπελάβετο τῆς χλαμύδος, * ἐπιστραφέντα λοιδορεῖται * εἰπεῖν, ζώγρει. ἡ δὲ ἀσπὶς αὐτοῦ ἐπίσημον ἔφερε τὴν Τύχην. τοὺς πεπτωκότας δὲ ἐν τῇ μάχῃ ἐκόσμησεν ἐπιταφίῳ· τὸ μὲν συμβάσης τύχης ἴσως οὐδὲν ἐνδεέστερον, τὸ δ' ἄλλης αὐτοῦ περὶ λόγους δυνάμεως οὐκ ὀλίγῳ ἐνδεέστερον. εἶτα τὰ τῆς πόλεως ἐπεσκεύασε τείχη. ἐπιμελητὴς δὲ τούτων καταστὰς, ἀπὸ τῆς ἰδίας οὐσίας * κατεβάλλετο τὸ ἀνάλωμα ἀργυρίου μνᾶς ἑκατόν. καὶ θεωρικὰ δὲ μυρίας ἐπέδωκεν. ἀλλὰ καὶ τριήρεις ἐπιβὰς, τοὺς συμμάχους ἀργυρολογῶν περιέπλευσεν· ἐφ' οἷς καὶ χρυσῷ πολλάκις ἐστεφανώθη στεφάνῳ, τὰ πρῶτα μὲν ὑπὸ Δημοτέλους, καὶ Ἀριστονίκου, καὶ Ὑπερείδου, τελευταῖον δὲ ὑπὸ Κτησιφῶντος. γραφέντος δὲ τοῦ ὑστέρου ψηφίσματος παράνομον ὑπὸ Διοδότου καὶ Αἰσχίνου· εἰς ἀπολογίαν καταστὰς, ἐνίκησεν. χρόνῳ δὲ ὕστερον ἐπὶ τὴν * Ἀσίαν Ἀλεξάνδρου διαβεβηκότος, καὶ φυγόντος Ἀθήναζε μετὰ χρημάτων Ἁρπάλου· τὰ μὲν πρῶτα δημηγορῶν, οὐκ εἴα τὸν ἄνδρα παραδέχεσθαι. ἐπεὶ δὲ εἰσέπλευσε· δαρεικοὺς χιλίους (ὥς φασι) λαβὼν, πρὸς τοὺς ὑπὲρ αὐτοῦ λέγοντας μετετάξατο. καὶ βουλομένων Ἀθηναίων Ἀντιπάτρῳ προσδοῦναι τὸν ἄνθρωπον· ἀντεῖπεν, τά τε Ἁρπάλεια χρήματα εἰς ἀκρόπολιν ἔγραψεν ἀποθέσθαι, μηδὲ τῷ δήμῳ τὸν ἀριθμὸν αὐτῶν ἀποσημηνάμενος. λέγοντος δὲ Ἁρπάλου ἑπτακόσια συγκατακομίσαι τάλαντα, τὰ ἀνενεχθέντα εἰς τὴν ἀκρόπολιν· ὀκτὼ καὶ τριακόσια ἢ ὀλίγῳ πλείονα εὑρέθη. φυγόντος δὲ ἐκ τοῦ δεσμωτηρίου Ἁρπάλου· οἱ μὲν εἰς Κρήτην φασὶν, οἱ δὲ εἰς Ταίναρον τῆς Λακωνικῆς: δωροδοκίας αἰτίαν παρέσχεν ὁ Δημοσθένης. ἐπὶ ταύτῃ δὲ καταστὰς εἰς κρίσιν ὑπὸ Ὑπερείδου, Πυθαίου, Μενεσαίχμου, Ἱμεραίου, καὶ Προκλέους· οἳ καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν κατεσκεύασαν αὐτοῦ καταγνῶναι. ἑάλω· καὶ ἁλοὺς ἔφυγε, μὴ δυνάμενος ἀποτίσαι πενταπλάσια. ἦσαν δὲ αὐτοῦ δωροδοκίας τάλαντα τριάκοντα. ἔστι δὲ καὶ ἄλλος λόγος, ὃς οὐδὲ τὴν κρίσιν αὐτοῦ ὑπομεῖναι λέγει· ἀλλὰ * φυγεῖν, τῶν μελλόντων κρίνειν αὐτὸν * παρασκευαζομένων. χρόνῳ δὲ ὕστερον ὀλίγῳ Πολύευκτον ἔπεμψαν Ἀθηναῖοι πρὸς τὸ κοινὸν πρεσβεύσασθαι τῶν Ἀρκάδων, ἐφ' ᾧ αὐτοὺς ἀποστῆναι τῆς τῶν Μακεδόνων συμμαχίας. μηδὲν δὲ ἀνύοντος τοῦ Πολυεύκτου ἐπιφανεὶς Δημοσθένης, καὶ συνειπὼν, ἔπεισεν. διὸ καὶ θαυμασθέντα τῇ πράξει παρὰ τῶν Ἀθηναίων, καθόδου τυχεῖν αὐτὸν, ψηφίσματός τε γραφέντος, καὶ τριήρους ἀποσταλείσης. ἐψηφίσαντο δὲ καὶ ἀντὶ τῶν τριάκοντα ταλάντων, ἃ ὤφειλε, τὸν τοῦ Διὸς βωμὸν, τὸν ἐν Πειραιεῖ, ἐπισκευάσασθαι. καὶ ἦν πάλιν κατὰ τὸ πρότερον πολιτευόμενος.

** al. μαχεσαμένων.*

** Γρ. ἐπιστραφέντα ut vid.*

** κατεβάλετο.*

** Βασιλέως.*

** al. φυγεῖν τῶν ... παρασκευαζομένων.*

ἐπεὶ δὲ Ἀντίπατρος Φάρσαλον μὲν εἷλεν, ἠπείλει δὲ πολιορκήσειν τοὺς Ἀθηναίους, εἰ μὴ παραδοῖεν αὐτῷ τοὺς ῥήτορας· καταλιπὼν ὁ ῥήτωρ τὴν μηδὲ ἑαυτὸν δυναμένην σῶσαι πόλιν, ἔφυγε. καὶ πρῶτον μὲν Αἴγινης ἐπέστη· εἶτα κἀκεῖ τὴν ὀργὴν * Φιλίππου δεδιὼς, εἰς Καλαύρειαν μετέστη. ψῆφον δὲ θεμένων Ἀθηναίων, ἐκδοῦναι τοὺς ῥήτορας· ἱκέτης ἐν τῷ τοῦ Ποσειδῶνος προσεκάθητο ἱερῷ. Ἀρχίου δὲ τοῦ ἐπίκλην φυγαδοθήρα προσελθόντος αὐτῷ, καὶ πείθειν ἐπιχειροῦντος, ἀνίστασθαί τι τοῦ ἱεροῦ καὶ χρηστὰς ἐλπίδας ἔχειν ἐπ' Ἀντιπάτρῳ: ἀλλ', ὦ βέλτιστε, εἶπεν, οὔτε τραγῳδῶν ἔπεισάς με, οὔτε νῦν συμβουλεύων πείσεις. ἐπιχειροῦντος δὲ αὐτὸν βιάζεσθαι, οἱ τῆς πόλεως αὐτὸν ἐπέσχον. καὶ ὁ Δημοσθένης μάλα γενναίως καὶ φαιδρῶς ἔφη· οὐ σωτηρίας δεόμενος κατέφυγον εἰς Καλαύρειαν, ἀλλ' ἐλέγξαι Μακεδόνας βουλόμενος, ὡς καὶ τὰ τῶν θεῶν εἰσὶ βιάσασθαι παλαμναῖοι. καὶ γραμματεῖον αἰτήσας, γράψαι λέγεται τὸ ἐπὶ τῆς εἰκόνος αὐτοῦ ἐλεγεῖον, ὅπερ ὕστερον ὑπὸ τῶν Ἀθηναίων ἐνεκολάφθη.

Εἴπερ ἴσην γνώμῃ ῥώμην, Δημόσθενες, εἶχες·
οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

Ἀλλὰ τοῦτο μὲν Δημήτριος ὁ Μάγνης λέγει· εἰσὶ δὲ οἵ φασι, τὸ γραμματεῖον εὑρεθῆναι γράφον ἕτερον [μὲν] οὐδὲν, πλὴν ὅτι Δημοσθένης Ἀντιπάτρῳ χαίρειν. ἀποθανεῖν δὲ τὸν ῥήτορά φασιν, οἱ μὲν φάρμακον ἐκπιόντα· οἱ δὲ, γευσάμενον τοῦ ἐν τῷ καλάμῳ φαρμάκου· καὶ γὰρ παρεσκεύαστο δι' οὗ τὴν ἐπιστολὴν ἔγραφεν. ἄλλοι δὲ κρίκον αὐτῷ τῷ βραχίονι περιάπτουσιν, ἐν ᾧ τὸ φάρμακον ἐναπέκειτο. καὶ συσχόντα * δὲ αὐτοῦ τὸ πνεῦμα, ἄλλος λόγος ἀποθανεῖν λέγει. ὥσπερ ἄλλος, διὰ τοῦ φαρμάκου, ὃ τῇ σφενδόνῃ τοῦ δακτυλίου ἐναπεθησαύριστο. ἐβίω δὲ, ὡς μὲν οἱ τὰ πλείω λέγουσιν, ἔτη ἑβδομήκοντα· ὡς δὲ οἱ τὰ ἐλάττω, ἑπτὰ καὶ ἑξήκοντα. ἐπολιτεύσατο δὲ δύο καὶ εἴκοσιν ἔτη. κατέλιπε δὲ δύο παῖδας ἐκ μιᾶς γυναικὸς τῶν ἐπιφανῶν. ἔστι δὲ αὐτοῦ εἰκὼν ἐν τῷ πρυτανείῳ περιεζωσμένη ξίφος· οὕτω γὰρ αὐτὸν σκευασάμενον δημηγορῆσαι λέγεται κατὰ Ἀντιπάτρου, ὅτε τοὺς ῥήτορας λαβεῖν ἐξ Ἀθηνῶν ἐβιάζετο. χρόνῳ μέν τοι ὕστερον, σίτησιν ἡ πόλις ἐν τῷ πρυτανείῳ τοῖς τοῦ ῥήτορος συγγενέσιν ἐδωρήσατο· καὶ ἄλλαις τιμαῖς ἐτίμησαν τελευτήσαντα· καὶ τὴν εἰκόνα ἀνέθεσαν ἐν τῇ ἀγορᾷ. φέρονται δὲ αὐτοῦ ἀποφθέγματα πλεῖστα, καὶ γνωμολογίαι, ἅπερ αὐτὸς μὲν ἑκάστοτε πρὸς τὴν ἀνακύπτουσαν χρείαν ἁρμοττόμενος ἔλεγεν, οἱ δὲ ἀκούοντες, μνήμῃ τε καὶ γραφῇ διεσώσαντο. ἤ πώς ποτε κωλυόμενος ὑπ' Ἀθηναίων ἐν ἐκκλησίᾳ λέγειν βραχύ τι προσδιαλεχθῆναι αὐτοῖς ἔφη βούλεσθαι. τῶν δὲ δεξαμένων· Νεανίας τις ἔφησεν, ὥρᾳ θέρους ἐξ ἄστεος ὄνον ἐμισθώσατο Μέγαράδε. τῆς δὲ φλογὸς κατὰ τὸ μέσον τῆς ἡμέρας ἐπιπλέον ἀναπτομένης, ἑκάτερος αὐτῶν ἐβούλετο ὑπὸ τὴν τοῦ ὄνου γενέσθαι σκιάν· ὁ μὲν λέγων μεμισθωκέναι τὸν ὄνον, ἀλλ' οὐκ ἐν σκιᾷ· ὁ δὲ μεμισθωμένος, ἴσως ἂν αὐτὸν κύριον τοῦ σώματος ἀποφαίνῃ τὸ μίσθωμα. καὶ τὴν ἄλλην ἔχειν ἐξουσίαν τῶν συμβαινόντων διὰ τοῦ σώματος. καὶ ταῦτα εἰπὼν, ἀπῄει, ὀργώσας αὐτῶν τὰς ἀκοὰς πρὸς τὴν τῶν λοιπῶν διήγησιν ἀπολιπών.

* In. Ἀντιπάτρου M. St.

* al. δ' ἰωνῖ.

DEMOSTH.

Cumque Pharsalum cepisset Antipater, minareturque nisi Athenienses oratores dederent, se vrbem obsessurum: Demosthenes, relicta ciuitate, sibi salutem fuga quæsiit, ac primum quidem in Æginam confugit. Sed cum vereretur Antipatri iram, se in Calauriam transtulit. Cum autem Athenienses oratores, ipsumque Demosthenem dedere statuissent, in Neptuni templo supplex consedit. Cumque ad eum Archias, qui Phygadotheres (quasi exsulum venator) cognomento dicebatur, accederet, eique suaderet, vt exiret, benéque de Antipatro speraret. Tunc Demosthenes: Neque cum tragœdias, inquit, ageres, mihi persuasisti, neque hoc nunc suadens, persuadebis. Et cum Archias vim inferre conaretur, prohibuerant illi, qui ad vrbis custodiam erant constituti. Tum Demosthenes strenuè & fortiter: Non salutis, inquit, egens in Calauriam confugi, sed vt impietatis & violentiæ in Deos, Macedones conuincerem. Et codicillum postulans inscripsisse fertur, statuæ inscribendum distichon, quod postea ab Atheniensibus inscriptum:

SI PARIA ELOQVIO DEMOSTHENES ARMA TVLISSES,
NON CADERET MACEDVM GRÆCIA VICTA MANV.

vt refert Demetrius Magnus: aut, vt nonnullis videtur, repertum est hoc scriptum: *Demosthenes Antipatro salutem dicit.*

Genus vero mortis quo obiit, varij tradunt: alij epoto veneno obiisse: alij calamum veneno infectum momordisse, quo epistolam scribere cœperat, eóque gustato, mortuum esse: alij in circulo concauo quem circum brachium ferebat, venenum seruasse. Sunt verò qui eum compresso spiritu, mortem sibi consciuisse dicant: alij venenum, quod in annuli pala condiderat, hausisse. Vixit annos, vt multi dicunt, septuaginta: vt alij, sexaginta septem. Rempublicam duos & viginti annos gessit. Liberos ex vxore nobili reliquit duos. Est autem ipsius imago in Prytaneo, gladio cincta: eo enim habitu orationem habuisse fertur, cum Antipater oratores ab Atheniensibus dedi sibi postulauit. Post paulò Athenienses in Prytaneo victum propinquis Demosthenis præbuerunt, aliisque honoribus mortuũ exornarunt, eique statuam in foro statuerunt. Feruntur plurima illius Apophthegmata, ac sententiæ, quæ identidem apposité proferebat: audientes verò memoriæ ac scriptis mandarunt. Cum aliquando in concione ab Atheniensibus dicere esset prohibitus, dixit pauca habere se quæ illis dicere optaret. Itaque facto ab Atheniensibus silentio: Adolescens, inquit, æstate asinum conducit, quo ex vrbe Megaram proficisceretur. Cum autem dies medius esset, ac Sol vehementer efferuesceret, locator & conductor sub vmbra asini quiescere cupiebant. Vrgebat alter alterum: locator quidem cum diceret, se asinum non vmbram locasse: conductor verò cum se circa asinum omnem potestatem habere confirmaret, & hęc cum dixisset, abiit orator, aures eorum ad reliqua cupidè audienda exacuens

De asini vmbra fabula & prouerbium.

DEMOSTH. Hunc autem cùm Athenienses retinerent, orarentque vt fabulam ad finem perduceret: Itáne, de asini, inquit Demosthenes, vmbra audire vultis, me verò de rebus necessariis dicentem audire recusatis. Batalum nominatum alij dicunt, quòd iuuenis ac lasciuiens vestibus muliebribus abusus esset: alij diminutè ipsum sic cognominatum à nutricis nomine conuiciantur: alij verò, quos inter & Libanius sophista, quòd iuuenis imbecillo esset corpore, & valetudinarius. Quare neque in palæstram venire, vt omnes Atheniensium pueros, solitum. Ideoque virili ætate ab inimicis propter effœminatum animum irrisus est, & Batalus nominatus. Fertur Batalus quidem tibicen fuisse, qui primò calceis muliebribus in scena vsus est, & membris fractis, omnino artem mollem, & eneruatam reddidit, vnde & dissolutos & effeminatos Batalos nominant.

Batalus.

CCLXVI.

HYPERIDIS Orationes.

LEGI varias orationes Hyperidæ: quarum germanæ quinquaginta duæ sunt, & viginti quinque in dubium vocantur. Sunt autem in vniuersum sexaginta septem. In componendis orationibus egregius, vt dubitent nonnulli vtrum Demosthenes eum vincat, an Hyperides Demosthenem. Sunt qui Hyperidem anteponant, & hoc epigramma, quod nonnulli Demosthenis statuæ subscribunt, huic, solo nomine mutato, attribuunt. Scribunt enim:

Hic si quantum animo tantum valuisset & armis,
Argolicas Macedo non domuisset opes.

Ex Plutarcho. Hyperides patre natus erat Glaucippo, Dionysij filio, tribu Colitensis. Filium habuit eodem quo & pater illius erat nomine Glaucippus, rhetorem illum, & orationes scriptitantem. Is cùm Platonis philosophi auditor vnà cum Isocrate fuisset, Rempublicam Athenis gessit, quo tempore Alexander rerum Græciæ potitus est: eique de ducibus & triremibus, quas ab Atheniensibus petiit, contradixit. Idem non dimittendi exercitus, qui in Tænaro erat, auctor fuit. Honores Demostheni decreuit: accusatusque à Diodoro violatarum legum, mox absoluitur. Amicis vsus est, Demosthene, Lysicle, & Lycurgo; quam tamen amicitiam perpetuò non seruauit, sed posteaquam Lysicles, & Lycurgus è vita excessissent, iudiciúmque subiret Demosthenes; quòd ab Harpalo pecunia corruptus videretur, designatus ab omnibus ipsum Demosthené accusauit. Ceterum ab Aristogitone legum male latarū actio contra hūc est intenta, quòd decretum fecisset, vt alienigenæ post pugnam ad Chæroneam, ciues fierent, atq; seruis libertas daretur, & sacra, & liberi, & vxores in Pyræeum deferrentur, quo ille iudicio absolutus est. Cum autem accusaretur, quòd in decreto à se facto multas leges neglexisset: Nisi, inquit, Macedonum arma mihi tenebras offudissent, non ego decretum illud scripsissem, sed pugna ad Chæroneam commissa coëgit.

ἐπιχόντων δὲ αὐτὸν Ἀθηναίων, καὶ πέρας ἐπιθεῖναι τῷ λόγῳ δεομένων· ὑπολαβών, εἶτα, ἔφη, ὑπὲρ μὲν ὄνου σκιᾶς βούλεσθε ἀκούειν, ὑπὲρ δὲ σπουδαίων πραγμάτων, καὶ συμφερόντων τῇ πόλει, οὐ βούλεσθε. * Βάταλον δὲ ὀνομασθῆναι οἱ μὲν αὐτόν φασι, διότι νέος ὢν καὶ κομάζων γυναικείοις ἱματίοις ἐπικέχρητο· οἱ δὲ ὑποκοριστικῶς αὐτὸν ἐπικληθῆναι τοῦτο ἀπὸ τοῦ ὀνόματος τῆς τροφοῦ λέγουσι λοιδορούμενοι. ἕτεροι δέ φασιν (οἷς καὶ Λιβάνιος ὁ σοφιστὴς ἠκολούθησεν) ὡς νέος ὤν, ἀσθενῶς διέκειτο τῷ σώματι, καὶ νοσώδης ἦν. διὸ μηδὲ φοιτᾶν εἰς παλαίστραν, ὡς πάντες οἱ τῶν Ἀθηναίων παῖδες εἰώθεσαν· διὰ τοῦτο καὶ ἀνδρωθεὶς εἰς μαλακίαν ὑπὸ τῶν ἐχθρῶν ἐσκώπτετο, καὶ * βάταλος ἐπωνομάζετο. ἱστόρηται γάρ τις Ἐφέσιος Βάταλος αὐλητὴς γενέσθαι, ὃς πρῶτος ὑποδήμασι γυναικείοις ἐπὶ τῆς σκηνῆς ἐχρήσατο, καὶ μέλεσι κατεαγόσι, καὶ ὅλως τὴν τέχνην ἐμαλάκιζεν· ἀφ' οὗ τοὺς ἐκλύτους καὶ ἀνάνδρους, Βατάλους ἐπονομάζουσιν.

* Βάτταλον.

* al. Βάτταλοι

ΥΠΕΡΕΙΔΟΥ ΛΟΓΟΙ.

σξϛ'. Hyperidis orationes.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Ὑπερείδου λόγοι διάφοροι. τούτων οἱ μὲν εἰς τὸ τοῦ ῥήτορος ἀναφερόμενοι γνήσιον, δύο καὶ πεντήκοντά εἰσιν· οἱ δὲ παραχθέντες ἀμφισβήτησιν, πέντε καὶ εἴκοσι. τὸ γὰρ ὅλον αὐτῶν πλήρωμα εἰς ἑπτὰ συντείνει καὶ ἑβδομήκοντα. ἄριστος δὲ γέγονεν ἐν ταῖς τῶν λόγων ἐργασίαις. ὡς ποτὲ μὲν ἀμφισβήτησιν παρέχειν, πότερον ὁ Δημοσθένης κατὰ τοὺς λόγους ἐκείνου περιέχει, ἢ Δημοσθένους ὁ Ὑπερείδης. εἰσὶ δὲ οἳ καὶ τὴν νικῶσαν ἔθεντο ψῆφον Ὑπερείδῃ. ἀλλὰ καὶ τὸ ἐπίγραμμα, ὅ τινες ἐπιγράφουσι τῇ τοῦ Δημοσθένους στήλῃ, εἰς ἐκεῖνον μεταφέρουσι, τὸ ὄνομα μόνον ἀμειψάμενοι. γράφουσι γάρ·

Εἴπερ ἴσην γνώμῃ ῥώμην Ὑπερείδης εἶχεν,
οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

Ἦν δὲ ὁ Ὑπερείδης, παῖς μὲν γέγονε Γλαυκίππου τοῦ Διονυσίου, * κολυτεὺς δὲ τὸν δῆμον· ἔσχε δὲ καὶ ὁμώνυμον υἱὸν τῷ πατρὶ Γλαύκιππον ῥήτορα, ὃς καὶ λόγους συνεγράψατο. Πλάτωνος δὲ τοῦ φιλοσόφου ἠκροάσατο, καὶ δὴ καὶ Ἰσοκράτους. ἐπολιτεύσατο δὲ Ἀθήνησιν, ὅτε Ἀλέξανδρος ὁ Μακεδὼν τῶν ἑλληνικῶν ἥπτετο πραγμάτων· καὶ δείκνυται ἀντειπὼν αὐτῷ τῇ αἰτήσει, ἥν τινα τοὺς στρατηγοὺς τῶν Ἀθηναίων, καὶ τὰς τριήρεις, ἀπῄτει. συνεβούλευσε δὲ τοῖς Ἀθηναίοις, καὶ τὸ ἐπὶ Ταινάρῳ ξενικὸν διαλῦσαι. ἔγραψε δὲ καὶ Δημοσθένει τιμάς· καὶ γραφεὶς ὑπὸ τοῦ * Διοδότου παρανόμων τοῦ ψηφίσματος, ἀπέφυγε. φίλος δὲ τοῖς περὶ Δημοσθένην καὶ Λυσικλέα καὶ Λυκοῦργον γεγονώς, οὐ μέχρι τέλους τὴν φιλίαν συνετήρησεν· ἀλλ' ἐπεὶ Λυσικλέα μὲν καὶ Λυκοῦργον ὁ βίος ἀπέλιπε, Δημοσθένης δὲ εἰς κρίσιν ἤγετο, ὡς παρὰ Ἁρπάλου * δωροδοκήσας· ἐξ ἁπάντων αὐτὸς κατήγορος προεχειρίσθη τοῦ ῥήτορος. κριθεὶς δὲ παρανόμων ὑπὸ τοῦ Ἀριστογείτονος, διότι μετὰ τὴν Χαιρώνειαν τοὺς μετοίκους πολίτας ἔγραψε ποιήσασθαι, ἐλευθέρους δὲ τοὺς δούλους, ἱερὰ δὲ καὶ παῖδας καὶ γυναῖκας εἰς τὸν Πειραιᾶ παραθέσθαι· κἀνταῦθα κρείττων τοῦ δεινοῦ δ' ἱκανῶς ἐγένετο. αἰτιωμένων δὲ αὐτὸν οὐκ ὀλιγωρίας πολλοὺς τῶν νόμων ἐν τῷ ψηφίσματι παριδόντα· * ἐπισκότει γάρ μοι τὰ Μακεδόνων, ἔλεγεν, ὅπλα· καὶ οὐκ ἐγὼ μᾶλλον τὸ ψήφισμα, ἀλλ' ἡ ἐν Χαιρωνείᾳ μάχη ἔγραψε.

* al. κολυττεύς.

* al. Διωνδίου.

* al. δωροδοκήσας.

* al. ἐπισκότει

περὶ-

HYPERIDES

[* al. δημηγόρων] προέστη δὲ μή πω * δημηγόρος αἱρεθεὶς Ἀθηναίοις, μηδὲ δίκας ἔλεγε. δόξας δὲ τῶν περσικῶν μετεσχηκέναι χρημάτων Ἐφιάλτῃ, εἶτα τριήραρχος αἱρεθεὶς, ὅτε Φίλιππος ἐπολιόρκει Βυζάντιον, καὶ βοηθήσας προθύμως Βυζαντίοις· ὑπέστη χορηγῆσαι κατὰ τὸν ἐνιαυτὸν τοῦτον, τῶν ἄλλων ἁπάσης λειτουργίας ἀφειμένων. ἐψηφίσατο δ' οὖν πολιτευόμενος καὶ τιμὰς Ἰόλᾳ, ὃς Ἀλεξάνδρῳ τὸ δηλητήριον ἐνεχέατο φάρμακον. ἐκοινώνησε δὲ καὶ τοῦ * λαβαϊκοῦ πολέμου τῷ Δημοσθένει, καὶ ἐπὶ τοῖς ἐν τῇ μάχῃ πεσοῦσιν ἐπιτάφιον εἶπεν, πολλῶν ἐπὶ τούτῳ θαῦμα καὶ ἔπαινον καρπωσάμενος. [* λαμιακοῦ] Φιλίππου δὲ πλεῖν ἐπ' Εὐβοίας παρεσκευασμένου, καὶ τῶν Ἀθηναίων εὐλαβῶς διακειμένων· τριήρεις ἠθροίσθησαν τεσσαράκοντα ἐξ ἐπιδόσεως. καὶ πρὸ τῶν ἄλλων αὐτὸς ὑπέρ τε αὐτοῦ καὶ τοῦ παιδὸς δύο τριήρεις ἐπέδωκε. συστάντος δὲ τοῦ πρὸς Δηλίους ἀμφισβητήματος, πότερος δεῖ προΐστασθαι τοῦ ἱεροῦ, ᾑρέθη μὲν Αἰσχίνης συνειπεῖν. ἡ δὲ ἐξ Ἀρείου πάγου βουλὴ Ὑπερείδην προεστήσατο· καὶ ἔστιν ὁ λόγος τὴν ἐπιγραφὴν Δηλιακὸς ἐπιφερόμενος. ἐπαινούντων δὲ καὶ παρὰ Ἀντιπάτρου * πρέσβεων, καὶ δι' ἐπαίνου τὸν Ἀντίπατρον ποιουμένων, καὶ πολλὴν ἐπιμαρτυρουμένων χρηστότητα: οἶδα μὲν, εἶπεν, ὡς χρηστὸς ὁ Ἀντίπατρος, ἀλλ' ἡμεῖς γε οὐ δεόμεθα χρηστοῦ δεσπότου. [* [illegible]] γραψάμενος μέν τοι γε τὴν Φωκίωνος δωρεὰν, ἣν εἶπε * Μειδίας Μειδίου Ἀναγυράσιος· κατὰ τοῦτον τὸν ἀγῶνα τὸ ἔλαττον ἤνεγκε. [* al. Μειδίας. Μειδίου.] συμβάντος δὲ τοῦ περὶ Κράνωνα πάθους, ἐξαιτηθεὶς ὑπὸ Ἀντιπάτρου, ἐπεὶ ἔμελλεν αὐτὸν ὁ δῆμος ἐκδιδόναι, ἐκ τῆς Ἀθηναίων πόλεως· εἰς * Αἴγιναν ἀποδιδράσκει. [* al. [illegible]] καὶ συγγενόμενος Δημοσθένει, καὶ ἀπολογησάμενος ὑπὲρ ὧν πρὸς αὐτὸν διηνέχθη· ἀπαλλαγεὶς ἐκεῖθεν ὑπ' Ἀρχίου τοῦ ἐπονομασθέντος φυγαδοθήρα, ἐν αὐτῷ τῷ τοῦ Ποσειδῶνος ἱερῷ συνελήφθη. καὶ τοῦ ἀγάλματος ἐχόμενος, ἐντεῦθεν πρὸς Ἀντίπατρον ἀχθεὶς ἐν Κορίνθῳ διατρίβοντα. καὶ βασανιζόμενος ἐφ' ᾧ τὰ ἀπόρρητα τῆς πόλεως ἐξειπεῖν· ἐπὶ τοσοῦτον ἀνδρίσατο μηδὲν κατὰ τῆς πατρίδος * ἐξειπεῖν, ὥστε καὶ τὴν γλῶσσαν διαφαγὼν, ἵνα μὴ ἄκων τι παραφθέγξηται, μετήλλαξε τὸν βίον. [* al. [illegible]] εἰσὶ δὲ οἵ φασιν αὐτὸν εἰς Μακεδονίαν ἀχθέντα, τήν τε τῆς γλώττης ἐκτομὴν ὑποστῆναι, καὶ μετὰ θάνατον ἄταφον ῥιφῆναι. πλὴν οἵ γε προσήκοντες αὐτῷ, παρὰ τὸ δόγμα τῶν Μακεδόνων, καύσαντες τὰ ὀστᾶ εἰς Ἀθήνας μετεκόμισαν.

Primum, nondum orator ab Atheniensibus electus, mercede accusauit. Persicæ visus est pecuniæ cum Ephialte participasse: deinde commissa illi cura triremium, quando Philippus Byzanthium obsidebat, & prompte Byzantinis suppetias cùm portasset, choragi officium suscepit eo anno, omnibus aliis à publico munere abdicatis. Decreti quoque ab eo sunt honores Iolæ, qui Alexandro Magno venenum lethiferum miscuerat, fuitque socius ac particeps belli Lamiaci cum Demosthene, funebremque pro iis qui in eo bello cecidissent orationem, magna cum omnium admiratione habuit. Cùm verò Philippus in Eubœam nauigare contenderet, Athenienséſque sibi ab eo metuerent, ex publicis largitionibus triremes confecit quadraginta, primúsque pro se ac filio duas triremes dedit. Cúmque Delij cum Atheniensibus contenderent, vtros templo Apollinis Delphici præesse necesse esset, delectúsque esset Æschines, qui ea de re diceret, decreuit Areopagitarum consilium, vt ad id muneris Hyperides vocaretur, estque ipsius Hyperidis Deliaca inscripta oratio. Cumque ab Antipatro legati venissent, ipsumque Antipatrum, vt optimum, laudarent, his se opponens, Hyperides, Scimus, inquit, istum esse optimum, sed tamen nobis nihil optimo domino est opus. At cum Phocionis largitionem accusasset, quam Midias Anagyrasius retulerat, causa cecidit. Post illam ad Cranonem cladem acceptam postulatus est ab Antipatro, cúmque eum populus dedere vellet, Athenis fugit Æginam. Cúmque Demostheni occurrisset, propter illam quæ ex causæ dictione contra illum orta fuerat contentionem, illinc discessurus, vi (licet simulacrum amplexaretur) comprehensus in templo Neptuni ab Archia est, qui Phygadotheras nomine dicebatur, hinc ad Antipatrum, qui tum Corinthi agebat ductus. Cumque torqueretur, vt proferret arcana ciuitatis, adeò se virum præbuit, ne quid contra patriam diceret, vt linguam corrodens, ne quid inuito sibi excideret, mortem oppetierit. Referunt nonnulli hunc linguam sibi præcidisse, cùm in Macedoniam duceretur, cumque à morte insepultum proiectum, nisi quòd amici illius, inuitis Macedonibus, ossa eius cremantes Athenas retulerint.

ΔΕΙΝΑΡΧΟΥ ΛΟΓΟΙ.

σξζ. [Dinarchi orationes.]

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Δεινάρχου λόγοι διάφοροι. φέρονται δὲ αὐτοῦ τέσσαρες καὶ ἑξήκοντα, οὓς οἱ πλεῖστοι τῶν κριτικῶν γνησίους τίθενται. εἰσὶ δὲ οἵ τινας ἐξ αὐτῶν εἰς Ἀριστογείτονα Ὑπερείδῃ συνακμάσαντα μεταφέρουσιν. οἱ δὲ λόγοι αὐτοῦ τοῖς μὲν τοῦ Ὑπερείδου ἰδιώμασιν ἔσθ' ὅτε διαμορφοῦνται, μᾶλλον δὲ πρὸς Δημοσθένην ἀποκεκλικότες φαίνονται. ἐν οἷς τὸ παθητικὸν αὐτοῦ καὶ σφοδρὸν, καὶ τῶν σχημάτων τὸν τύπον, καὶ τὴν ποικιλίαν, σπουδὴν ἔχον ἐκμιμήσασθαι. οὗτος, υἱὸς μὲν ἦν Σωκράτους, ἢ Σωστράτου, ἰθαγενὴς τὴν πατρίδα· ὡς δ' ἄλλοις ἐρρήθη, Κορίνθιος. ἀφικόμενος δὲ εἰς Ἀθήνας, ἔτι νέος ὤν,

DINARCHI *orationes.*

CCLXVII.

LECTÆ sunt variæ orationes Dinarchi, quæ sunt numero sexaginta quatuor, quas omnes plurimi Critici germanas esse dicunt. Sunt qui nonnullas Aristogitoni, qui tempore Hyperidis floruit, attribuunt. Orationes autem eius interdum Hyperidis stylum redolent: magis verò ad Demosthenem inclinare videntur, quibus incitationem ipsius & vehementiam, & schematum formas & varietatem imitari conatur. Socratis, aut Sostrati erat filius, indigena vt nonnullis videtur, vt quibusdam, Corinthius. Cùm verò admodum adolescens Athenas venisset,

DINARCH. quo tempore in Asiam duxit exercitum Alexander, Theophrastum audiuit, versatusque cum Demetrio Phalereo est. Maximè verò se reipublicæ tradidit post Antipatri mortem, ex oratoribus aliis quidem morte è medio sublatis: aliis vero fuga ereptis. Hic quum Cassandro Macedonum duci amicitia esset coniunctus, maximam vim argenti coacervauit, venditis orationibus, quas orantibus conscripsit. Porrò se quibusque clarissimis oratoribus opposuit, non quod publicè causas ageret, (neque enim poterat) sed cùm orationes iudicio aduersus illos disceptantibus scriberet. Cúmque Athenas Harpalus fugisset, plures scriptæ sunt ab eo contra eos, qui accusati pecuniarum ab hostibus acceptarum essent. Pòst verò illud tempus, accusatus quod ad Cassandrum colloquendi gratia venisset, ex facultatibus conflata ingenti pecunia fugit in Chalcidem. In exsilio verò cùm mansisset annis quindecim, multis opibus comparatis, rediit opera ac studio Theophrasti, qui illi, cæterisque, qui vna exsulabant, reditum in patriam aperuit. Cùm autem diuerteret apud Proxenum eius socium, iamque senex, & oculorum acie debilis argentum amisisset, diem Proxeno dixit, ac tum primum in iudicio dixit, eáque exstat oratio. Nouem oratorum orationes, quas legimus, his continentur.

CCLXVIII.

LYCVRGI *Orationes.*

NON fuit otium legendi orationes Lycurgi, qui non pauciores, quàm cæteri oratores, orationes scripsit. Scriptas verò ex eius historia solùm quindecim didicimus. Patrem habuit Lycophronem, Lycurgi filium, quem triginta tyranni interfecerunt, tribu Eteobutades fuit. Primum quidem, vt historia testatur, Philosophiæ studio se dedit, in quo magistro est vsus Platone philosopho. Deinde factus Isocratis familiaris, versabatur in republica præclare, tum dicendo tum faciendo: & iam illius fidei pecuniarum administratio erat commissa. Quæstor verò est creatus, & per tria lustra quæsturam gessit * quatuordecim millium talentorum. Ad bellicos apparatus delectus, rempublicam fractam multis rebus meliorem & firmiorem reddendo instaurauit, triremésque populo trecentas instruxit, multáque opera interfecta relicta ad finem perduxit: naualia item & rerum necessariarum armamentarium: ipse quoque fundamentorum iaciendorum in stadio Panathenaico auctor fuit. Penes hunc fuit ciuitatis custodia, & sceleratos comprehendendi potestas: quos omnes ita eiecit, vt sophistarum nonnulli dicerent, Lycurgum non atramento, sed sanguine calamum contra improbos intingentem conscribere. Tantum sui desiderium, amorem que Atheniensibus reliquit, vt cum esset ab Alexandro cum cæteris oratoribus postulatus, populus nequaquam hunc dedendum existimarit. Legationes multas obiit: cum * Demosthene vero ad Peloponnesios. Magna fuit Athenis gloria, temperque æquitatis laude valuit,

Ex Plutarcho.

Hodie sunt octo myriades & quadraginta millia sestertiorum Budæo, vt singula talenta sexcentis coronatis æstimentur.

* *Polyeuctum hic tertium addit legatum in Peloponnesum Plutarchus.*

Θεοφράστου ἠκροάσατο. Ἀλέξανδρος δὲ τηνικαῦτα ἐπὶ τὴν ἀσίαν διέβαινεν. ὁμιλητὴς δὲ καθέστηκε Δημητρίου τοῦ Φαληρέως. μετὰ δὲ τὴν Ἀντιπάτρου τελευτὴν, ἐπεὶ τῶν ῥητόρων οἱ μὲν ἔφυγον, οἱ δὲ ἀνῃρέθησαν* ἀυτὸς ἐδείχθη πολιτευόμενος. εἰς φιλίαν δὲ Κασάνδρῳ τῷ μακεδόνων ἡγεμόνι συνάψας, καὶ χρήματα τῶν λόγων εἰσπραττόμενος, οὓς τοῖς δεομένοις συνέταττεν ἐπὶ πλεῖστον εὐδαιμονίας ἀφίκετο. ἀντετάττετο δὲ πρὸς τοὺς ῥήτορας, οὐκ εἰς τὸν δῆμον αὐτὸς παριὼν (οὐ γὰρ οἷός τε ἦν) τοῖς ἐναντιουμένοις δὲ τοὺς λόγους παρεχόμενος. διὸ καὶ Ἁρπάλου διαφυγόντος ἐξ ἀθηνῶν, πλείστους λόγους τοῖς κατηγόροις ἐξέδωκε κατὰ τῶν δωροδοκῆσαι λαβόντων αἰτίας. χρόνῳ δὲ ὕστερον ἐμπεσὼν εἰς αἰτίαν ὡς Κασάνδρῳ * κοινολογεῖται καὶ τῆς πόλεως τὰ πλεῖστα τῆς περιουσίας εἰς ἀργύριον μεταβαλὼν, ἔφυγεν εἰς χαλκίδα. ἐπὶ δὲ τῆς φυγῆς διαμείνας ἐγγὺς ἔτη δέκα πέντε, καὶ πολλὴν οὐσίαν περιβαλλόμενος, πράξαντος αὐτῷ τὴν κάθοδον τοῦ περὶ Θεόφραστον, συνκατῆλθεν ἅμα τοῖς ἄλλοις φυγάσι. παρὰ δὲ Προξένῳ τῷ αὐτοῦ καταλύσας ἑταίρῳ, καὶ τὸ χρυσίον ἀπολωλεκὼς, ἤδη γηραιὸς ὢν, καὶ τὰς ὁράσεις ἀσθενὴς, λαγχάνει τῷ Προξένῳ δίκην. καὶ τότε πρῶτον ὤφθη λέγων ἐν δικαστηρίῳ. φέρεται δὲ αὐτοῦ καὶ ὁ κατὰ Προξένου λόγος. τῶν μὲν οὖν ἐννέα ῥητόρων οἱ λόγοι, ὧν ἐποιησάμεθα τὴν ἀνάγνωσιν, ἐν τούτοις περιγράφεται ἡ μνήμη.

*alt.: αἰτιαθεὶς

ΛΥΚΟΥΡΓΟΥ ΛΟΓΟΙ.

ΛΥΚΟΥΡΓΟΥ δὲ, οὐδενὸς τῶν ἄλλων, ὅσα γε τελεῖν εἰς ῥήτορας καὶ δημαγωγοὺς, τὸ ἔλαττον φερομένου, οὔπω παρέσχεν ἡμῖν ὁ χρόνος λόγους ἀναγνῶναι. φέρεσθαι δὲ αὐτοῦ ἐξ ἱστορίας πεντεκαίδεκα μεμαθήκαμεν. ἦν δὲ υἱὸς μὲν ἦν Λυκόφρονος τοῦ Λυκούργου, ὃν οἱ τῶν τριάκοντα τυραννὶς ἀνεῖλε, τὸν δῆμον ἐτεοβουτάδης. ἠκροάσατο δὲ τὰ μὲν πρῶτα (ὡς ἡ ἱστορία λέγει) Πλάτωνος τοῦ φιλοσόφου, ἔπειτα δὲ καὶ τοῦ ῥήτορος Ἰσοκράτους. ἐπολιτεύσατο δὲ καὶ λέγων καὶ πράττων ἐπιφανῶς. καὶ τὰ τῆς πόλεως χρήματα διοικεῖν κατασταθεὶς ἐπὶ τρεῖς πενταετηρίδας κατὰ τὸ ἄριστον ταῦτα καὶ φιλοπονώτατον, ταλάντων μυρίων ὄντα καὶ τετρακισχιλίων, διῳκήσατο. χειροτονηθεὶς δὲ ἐπὶ τῆς τοῦ πολέμου παρασκευῆς ἄλλα τε πολλὰ τῆς πόλεως κατερρηκότα ἐπανέλαβε, καὶ τριήρεις τῷ δήμῳ τετρακοσίας παρεσκεύασε. πολλὰ δὲ καὶ τῶν ἔργων ἡμιτελῆ παραληφθεὶς, εἰς τέλος * προήνεγκε* νεώς τε οἴκους ἐδείματο, καὶ τὴν σκευοθήκην ἐπεσκεύασατο, καὶ τῷ παναθηναϊκῷ σταδίῳ τὴν κρηπῖδα ὑπεβάλετο. ἐπεστάθη δὲ καὶ τοῦ ἄστεος τὴν ἐπιμέλειαν, καὶ μὴν καὶ τῶν κακούργων τὴν αἵρεσίν τε καὶ σύλληψιν. καὶ οὕτως * ἐκάθηρε τῶν κακούργων τὴν πόλιν, ἐξελάσας ἅπαντας, ὡς καὶ παρ᾽ ἐνίοις τῶν * σοφῶν λέγεσθαι, ὅτι μὴ μέλανι Λυκοῦργος, ἀλλὰ τῷ θανάτῳ χρίων τὸν κάλαμον, τὰ κατὰ τῶν πονηρῶν ψηφίσματα * ἔγραψε. τοσοῦτον δὲ πόθον αὐτοῦ καὶ αἰδῶ τοῖς ἀθηναίοις ἐνεποίησε πολιτευόμενος, ὡς αἰτησαμένου αὐτὸν Ἀλεξάνδρου τοῦ βασιλέως, ὥσπερ καὶ τοὺς ἄλλους, ὁ δῆμος οὐ προήκατο. ἐπρέσβευσε δὲ καὶ πρὸς διαφόρους πόλεις, καὶ μετὰ Δημοσθένους εἰς πελοπόννησον. καὶ διετέλεσε τὸν τοῦ βίου χρόνον εὐδοκιμῶν, καὶ δίκαιος εἶναι παρ᾽ ἀθηναίοις νομιζόμενος.

σξη΄. *Lycurgi orationes.*

* alt.: ἀπηρτίωσε
* alt.: ἐκάθηρε
* alt.: σοφιστῶν
* alt.: ἔγραφε.

διὸ

διὸ καὶ τὸν λόγον τινὰ προενεγκεῖν ἐν τοῖς δικαστηρίοις ὑπὲρ αὐτοῦ, μεγάλη τῆς συνηγορίας θέντι βοήθεια ἐγένετο. ἐποιήσατο δὲ καὶ νόμους εἰσφορὰς διαφόρους· ὧν ἐστι πέμπτος, ὃς οὐκ ἐᾷ τὰς γυναῖκας Ἐλευσῖνάδε ἐπὶ ζεύγους ὀχουμένας ἀφικνεῖσθαι, ὡς ἂν δημοτικαὶ μὴ ὦσιν ὑπὸ τῶν πλουσίων ἐλαττούμεναι. Ξενοκράτει δέ ποτε φιλοσόφῳ τὰς χεῖρας ἐπιβαλόντος τελώνου, καὶ πρὸς τὸ μετοίκιον αὐτὸν ἄγοντος συναντήσας, τὸν μὲν φιλόσοφον ἀπέλυσε, τὴν δὲ κεφαλὴν τοῦ τελώνου ῥάβδῳ παίσας, ἅτε δὴ κατὰ τοῦ πρέποντος ἀποθρασυνομένου, δεσμωτήριον οἰκεῖν παραδέδωκε· καὶ πολλῶν ἔπαινον ἐπὶ ταύτῃ τῇ πράξει τετύχηκε. διὸ καὶ μεθ' ἡμέρας τινὰς τοῖς παισὶ τοῦ Λυκούργου Ξενοκράτης συντυχών, ταχύ γε, ἔφη, τῷ πατρὶ ὑμῶν, ὦ παῖδες, ἀποδέδωκα τὴν χάριν· ἐπαινεῖται γὰρ ὑπὸ τῶν πλειόνων, ὅτι μοι γέγονε βοηθὸς προπηλακιζομένῳ. ἓν δὲ ἱμάτιον περιεβάλλετο θέρους τε καὶ χειμῶνος, καίτοι τὴν τῆς πόλεως εὐπορίαν οὐδενὸς ἐλαττούμενος. ἀλλὰ καὶ ἀνυπόδετος τὰ πολλὰ διῆγεν, εἰ μὴ τὸ πρέπον αὐτὸν ἐβιάζετο πρὸς τὴν τῶν ὑποδημάτων κατελθεῖν χρείαν. οὐκ εὖ δὲ πεφυκὼς πρὸς τὰ αὐτοσχέδια, νυκτὸς καὶ ἡμέρας ἐμελέτα· τὸ ἐνδέον τῇ φύσει ἀναπληρῶν τοῖς πόνοις. καὶ τὸ κλινίδιον δὲ αὐτῷ, ἐφ' ᾧ ἐκάθευδε, κῳδίῳ μόνῳ καὶ προσκεφαλαίῳ ἐστρώννυτο, ὡς ἂν ῥᾳδίως ἀνιστάμενος τῶν ὕπνων, μελετῴη. καὶ παρρησιαστὴς δὲ διὰ τὴν εὐγένειαν ὑπῆρχε. διὸ καὶ ἀθηναίων ποτὲ δημηγοροῦντος αὐτοῦ μὴ ἀνεχομένων, εἰς ὑπήκοον ἀνέκραγε πάντων· ὦ Κερκυραία μάστιξ, ὡς πολλῶν ταλάντων εἶ ἀξία. μέλλων δὲ τελευτᾶν, εἰς τὸ μητρῷον καὶ τὸ βουλευτήριον προστάξας ἐκομίσθη, εὐθύνας δοῦναι τῶν πολιτευμάτων βουλόμενος. οὐδενὸς δὲ κατηγορήσαντος πλὴν Μενεσαίχμου, * τῶν διαβολῶν ὑπέρτερος φανείς, εἰς τὴν οἰκίαν ἀπεκομίσθη, καὶ ἐτελεύτησεν. οὐκ ἐν τούτῳ δὲ μόνον τῷ ἀγῶνι τὴν νικῶσαν ἔσχεν· ἀλλὰ καὶ πολλάκις κατηγορηθείς, καὶ τὰς αἰτίας εὖ μάλα διαλυσάμενος, ἐκράτησε τῶν * ἀνταγωνιστῶν. πολλάκις δὲ καὶ στεφάνων ἠξιώθη παρὰ τοῦ δήμου. κατέλιπε δὲ καὶ παῖδας ἐκ Καλλιστοῦς * Ἄβρωνα, Λυκοῦργον, Λυκόφρονα· οὓς καὶ τελευτήσαντος Λυκούργου, οἱ ἀγνώμονες ἀθηναῖοι τοῖς * ἕνδεκα παρέδωκαν, Μενεσαίχμου μὲν κατηγορήσαντος, γραψαμένου δὲ Θρασυκλέους. ὕστερον μέν τοι τούτους ἠθώωσαν, Δημοσθένους ἐπιστείλαντος ἀπὸ τῆς φυγῆς τοῖς ἀθηναίοις, ὡς πολλὴν αὐτῶν κατασκέδασαν διαβολήν, τηλικούτου παῖδας ἀνδρὸς δεσμωτήριον οἰκεῖν παραδεδωκότες, ἀνθ' ὧν ὁ πατὴρ ἐπολιτεύσατο, ὃν καὶ αὐτοὶ ζῶντα δι' αἰδοῦς εἶχον, καὶ ἐθαύμαζον.

* al. τῶν διαβολῶν.
* al. ἀγωνιστῶν.
* al. Ἄβρωνα.
* ὧ δεσμωτηρίῳ παρέδωκαν.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ διαφόρων ἱερῶν ἀνδρῶν λόγοι κά, διαφόρους ὑποθέσεις μετερχόμενοι, ὧν ἡ παροῦσα ἐκλογή, τὸ τῶν ῥημάτων καλλονῆς καὶ ὡραιότητος ἔρωτα λαβοῦσα, πρὸς ἐκείνας ὡς ἐπίπαν καὶ τὸ πλεῖστον σκοπὸν τῆς ἐκδόσεως ἀναφερόμενον ἔχει· εἰ καὶ ἕτερά τινα ταύταις συνεισάγεται).

σξθ'. Hesychij presbyteri Hierosolym. Encomion in S. Thomam.

ΗΣΥΧΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ ἐκ τοῦ εἰς τὸν ἅγιον Θωμᾶν ἐγκωμίου.

ΑΝΕΓΝΩΣΘΗΣΑΝ Ἡσυχίου πρεσβυτέρου ἱεροσολύμων, ἐκ τοῦ εἰς τὸν ἅγιον Θωμᾶν ἐγκωμίου:

vt in iudiciis Lycurgi sermonem protulisse, patrocinio adderet auctoritatem. Tulit verò leges, quarum quinta est, ne mulier Eleusinem vehiculo iter faceret, ne tenuiores ditioribus essent inferiores. Cùm autem vectigalium exactor quidam manus in Xenocratem Philosophum iniecisset, eúmque in custodiam abduceret, huic datus obuiam Lycurgus baculum in caput impegit, ipsúmque Xenocratem liberauit: illum autem turpis atque infamis facinoris auctorem, in carcerem compingi iussit. Hanc ob caussam cùm esset collaudatus Lycurgus, paucisque elapsis diebus Lycurgi filij Xenocrati obuij fuissent, Citò, inquit, ò filij, patri vestro gratiam reddidi. A multis enim laudatur, quòd me contumelia & iniuria affectum vindicarit. Tametsi verò abundaret diuitiis, vt nemo in vrbe magis, vestem tamen vnicam gestabat & æstate, & hyeme: quin & non calceatus plerumque incedebat, nisi cùm honestas calceis vti cogebat. Dies noctésque rerum meditatione defixus erat, quòd cùm natura ad dicendum ex tempore non satis aptum genuisset, vt quod naturæ deerat, labore pensaret: quo facilius excitaretur, & cogitatione vti posset, lectulum habebat suppositum, in quo † pellis tantùm erat villosa, & ceruical. Erat in eo summa in loquendo libertas propter generositatem. Cùm Atheniensibus aliquando ipsum concionantem non ferrent ad eos exclamauit: O flagrum Corcyræum, quam multis talentis es dignum? Cùm verò instare mors videretur, se in * matris Deûm delubrum, ad Senatum deferri iussit, cupiens rerum à se in Republica gestarum rationem reddere: vbi cùm illum vt omni calumnia superiorem accusare præter Menesæchmum auderet nemo, domum est relatus & mortuus. Neque in hac modo contentione victor, sed & sæpenumero accusatus criminibus facile refutatis, aduersarios superauit. Sæpe etiam coronas à populo accepit. Filios autem ex Calliste Abronem, Lycurgum, & Lycophronem reliquit, quos, mortuo Lycurgo, ingrati Athenienses Vndecemuiris tradiderunt, accusante Menesæchmo, Thrasycle accusationem scribente. Sed cùm Demosthenes in exsilio agens, per litteras Atheniensibus significaret, malè illos audire ob tanti viri filios vinculis traditos, quod pater Rempub. administrarit, quem etiam viuum reuerenter admirati essent, & coluissent: insontes declararunt.

LYCVRGI oratoris vita.
† κῴδιον
* μητρῷον

LEGI diuersorum sanctorum virorum libros viginti & vnum, diuersorum omnino argumentorum: vnde hæc epitome, pulchritudinem venustatémque verborum comprehendens, eò hisce omnibus Exceptis respicit, quanquam alia nonnulla cum his coniungantur.

EX HESYCHII PRESBYTERI Hierosolymitani Encomio in beatum Thomam,

[*Dominica in Albis fortè pronuntiato. Ioan. 20.*] CCLXIX.

LEGIMVS nonnulla Hesychij presbyteri Hierosolymitani ex encomio S. Thomæ:

HESYCHIUS — *S. Andreae laus.*

ὥστε οὐκ ἂν εἴη ὁ Ἀρειανὸς, ὁ τὴν ἔκφρασιν τῆς εἰκόνος δεῖγμα λόγων ὑποβαλών. ἐπειδὴ λόγῳ καταγγέλλων τοῖς Ἰουδαίοις τὴν ἀλήθειαν ὁ σωτὴρ, οὐκ ἔπειθεν εὐσεβεῖν. παρεστὼς ἀπεκρύβη, καὶ φαινόμενος οὐκ ἐβλέπετο· ἵνα ἐκ τῆς τοιαύτης αὐτοὺς θαυματουργίας ἑλκύσῃ πρὸς συγκατάθεσιν τοῦ, ὅτι καὶ θεὸς ἐτύγχανεν ὁ μὴ βλεπόμενος· καὶ οὐκ ἄλλος· ἀλλ' ὁ πρὸς Μωσῆν λαλῶν, καὶ φαινόμενος. ἑωρᾶτο γὰρ καὶ τότε πῦρ, καὶ βάτος, ἀμφότερα ἄφωνα· ἀλλ' ὅμως καὶ φωνὴ ἠκούετο, καὶ λόγος ἐπαίδευε, καὶ ἀσφαλῶς τὸ μέλλον προηγόρευε. καὶ χρὴ τοὺς νοῦν ἔχοντας ἐκ τῆς συγγενείας τῶν πραγμάτων γνωρίζειν τὸ πρόσωπον. θεασάμενος δὲ τὸν τυφλὸν ὁ σωτὴρ, ἔστη· καὶ πρὸς τὴν θεραπείαν ἕτοιμος ἦν, θεραπείας ἀνθρωπίνης σοφίας καὶ τέχνης κρείττονα. ἰατρικὴ μὲν γὰρ καὶ ὁ κατ' αὐτὴν λόγος ἐκείνοις τῶν νοσημάτων ἐπιβάλλει τὴν θεωρίαν, ὅσα (τῆς φύσεως ἀπαρτισάσης τὸ ζῶον, καὶ εἰς φῶς * προαγαγούσης) χρόνοις ὕστερον κατά τινας περιστάσεις ἐπισυμβαίνει. τῆς δὲ συντεχθείσης τῷ σώματι λώβης οὐκ ἐπαγγέλλεται θεραπείαν, ἀλλ' οὐδὲ πάντων παθῶν τῶν εἰς ὕστερον συμβαινόντων· οὔτε γὰρ ἠκρωτηριασμένοις μέλη ἀποσώζεται, οὔτ' ἄλλο τι παραπλήσιον θεραπεύειν ἀναδέχεται. διόπερ οἱ μαθηταὶ τὸ πάθος κατελεήσαντες, καὶ βλέποντες ἄνθρωπον τῆς καλλίστης ἡδονῆς τοῦ φωτὸς μὴ γευσάμενον τὴν αἰτίαν ἐπυνθάνοντο· ἀλλ' οὐκ ἐπιστημόνως προσῆγον τὴν ἐρώτησιν. οὔτε γὰρ ἂν ὑπὲρ τῶν πατέρων, οὐδενὸς ὢν ὑπόχρεος, ὁ παῖς κατεγνώσθη· οὔτε μὴν ἰδίων πλημμελημάτων ὁ μή που προελθὼν εἰς τὸν βίον ἀπέτισε δίκας. τὸ πάθος, φησὶν ὁ Χριστὸς, τοῦ τυφλοῦ οὐχ ἁμαρτημάτων ἐστὶν ἀπόδοσις, ἀλλ' ἑτοιμασία μελλούσης οἰκονομίας ἄλλα τε διαπραττούσης, καὶ ὅπως ὁ κτίστης τῶν ὅλων μετὰ τὴν πρώτην ποίησιν εὕρῃ καὶ νῦν δημιουργεῖν ἀφορμάς· ἐκ δὲ τῶν μερικῶν, καὶ τὰ καθόλου πιστώσηται. ἀνθρώπου μέρος, καὶ μέρος τὸ κάλλιστον, οὐκ ἂν ἐποίησεν ἄλλος, εἰ μή γε ὁ τῆς πρώτης ἀρχῆς τοῦ γένους τὴν δημιουργίαν ἐπιδεδειγμένος. ἐν δὴ τῷ ὀφθαλμῷ * μικροῦ μορίου καὶ μέλους περιγραφῇ τὴν παντοδύναμον καὶ ποικίλην τοῦ θεοῦ σοφίαν ἐστὶ * κατόψεσθαι, τοσαύτην ἐπιδειξαμένου τὴν φιλοτιμίαν τῆς τέχνης. πρῶτον μὲν γὰρ αὐτῷ χάρις τις ἐπικέχυται, καὶ ἔστιν ἁπαλώτατός τε καὶ ἄσαρκος· ὡς ἂν εἴποι τις, ἐν τῷ τρυφερῷ τὸ στερεὸν ἔχων, καὶ ἐν τῷ μαλακῷ τὸ διατεταγμένον· καὶ ποικίλαις διηύθυνται ταῖς χρόαις. τὸ γοῦν μέσον αὐτοῦ τὴν περιγραφὴν ἔχει τοῦ μέλανος, καὶ ταύτην οὐ δι' ὅλου μονοειδῆ, ἀλλὰ ποικίλοις τισὶ κύκλοις συνδεδεμένην. τοῦ κέντρου μὲν αὐτοῦ καὶ μέσου τὸ βαθύτερον ἔχοντος, τῆς δὲ ἐξωτέρας περιφερείας πρὸς τὴν * κατὰ μέρος ξανθοτέραν ἀποληγούσης βαφήν. ταύτην ἔξωθεν τὸ λευκὸν περιβέβληται στιλπνὸν, καὶ διαυγὲς οὐκ ἄκρατον ἔχον τὴν λευκότητα, ἀλλ' ἐν κρυσταλλοειδεῖ τινι καὶ * αὐγαζούσῃ πεποιημένον τῇ μορφῇ. τὸ ἐρυθρὸν κεῖται περὶ τὴν κόρην, ἵνα τῷ μέλανι κεράσῃ τὴν χάριν. ἐπὶ τούτοις οὕτως ἐστὶ διαυγὴς καὶ λεῖος ἐν τῇ πυκνότητι, ὥστε καὶ τὰς τῶν ἐγγιζόντων εἰδωλοποιεῖν μορφὰς, καὶ οἱονεὶ κάτοπτρον ἀκριβὲς ἐντυποῦσθαι τοὺς χαρακτῆρας· καὶ τὸ μέσον τοῦ κύκλου διὰ τοῦτο προσηγόρευται κόρη, ὡς ἀεὶ τὴν μορφὴν τῷ κατ' ἀντικρὺ βλέποντι παραδεικνύον ἀνθρωπίνην. εἰς ἀλλήλους γοῦν οἱ ἄνθρωποι βλέποντες, ἀλλήλων γίνονται κάτοπτρα.

Exod. 3. v. 3. 4.

* al. προαγαγούσης

Ioan. 9. v. 2.

* al. μικρῷ.

* al. τὸ ψεύσασθαι τοσαύτην.

* ξανθοτέραν κτ. μέρος H. St.

* al. διαυγαζούσῃ.

θαύματος

θαυμαστὸς γοῦν ἄξιος ἐν τοῖς κτίσμασιν ὁ ὀφθαλμός. οὗτος καὶ θεόν μοι διερμηνεύει. πᾶσαν καταμανθάνων τὴν κτίσιν· καὶ δι' αὐτῆς, τὸν τεχνίτην ἐπιδεικνύς· καὶ ἐκ τῶν ὁρωμένων ἑρμηνεύων τῇ ψυχῇ τὰ ἀόρατα. διὰ τοῦτον, ἄλλα τε τῆς κτίσεως ἔμαθον, καὶ χρωμάτων ποικίλην βαφὴν, σκότους τε κατήφειαν, καὶ φωτὸς λαμπηδόνα. ὡς εἴ γε ὀφθαλμὸς ὑπῆρχεν, ἀμάρτυρος ἂν ἡ κτίσις * ἐγήρασεν, οὐδενὸς καθορῶντος τὴν ἐν αὐτῇ σωζομένην θεοῦ σοφίαν καὶ δύναμιν. διὰ ταύτην τοίνυν τὴν θαυμαστὴν τῶν ὄψεων κατασκευὴν, ὀφθαλμοὶ καὶ νῦν ἐκτίσθησαν αὐτοσχέδιοι· ἵνα τὰς μικροπρεπεῖς ἐννοίας, τὰς ἐκ τῆς σαρκὸς ἐγγινομένας ἡμῖν, περὶ τοῦ μονογενοῦς ἀποθώμεθα· καὶ τῇ μεγαλουργίᾳ τῶν γινομένων τῆς ψυχῆς πᾶσαν ἐκβάλλοντες ταπεινὴν ὑπόληψιν καὶ χαμαίζηλον, γνωρίσωμεν. ὅτι τὸ μακάριον φῶς καὶ κάλλος τῆς θεότητος ὀστράκινον σκεῦος ἐδέξατο, διακονοῦν ἡμῖν κατὰ τοὺς λύχνους τὴν λαμπηδόνα. αὐτουργεῖ δὲ τὴν θεραπείαν ὁ κύριος νῦν οὐ λόγῳ μόνον, ὥσπερ ἀλλαχοῦ πολλαχοῦ· ἀλλὰ καὶ στόματι, καὶ χειρὶ, καὶ ἄλλῃ προνοίᾳ· ἵνα διὰ πολλῶν πραγμάτων τὴν πίστιν τοῖς ἀπίστοις ἐνεργάσηται. πτύει δὲ, καὶ πηλὸν ποιεῖ τῇ μὲν γῇ συγχεόμενος, ἵν' ὅθεν τὸ ὅλον κατ' ἀρχὰς ἐπλάσθη ζῶον, καὶ τὸ μέρος δείξῃ πλαττόμενον· σιάλῳ δὲ παριστῶν, ὡς τῇ δυνάμει τοῦ στόματος αὐτοῦ ὁ λόγος πάντα κατώρθωσε. τῷ λόγῳ γὰρ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ ἑξῆς. εἰ δὲ καὶ τοῦτο συνιδεῖν ἐθέλοις, ἵν' εὐλαβεῖσθαι παρασκευάσῃ τοὺς μέλλοντας μικρὸν ὕστερον τοῖς πτύσμασιν ὑβρίζειν αὐτὸν, εἰ καὶ τὸ τῶν μαινομένων θράσος μεῖζον ἦν καὶ προνοίας πάσης καὶ διορθώσεως. ὁ δὲ Σιλωὰμ, τὴν δι' ὕδατος ὑμῖν σωτηρίαν προοιμιάζεται, ἣν * πᾶσιν ὁ ἀπεσταλμένος Σιλωὰμ ἐχαρίσατο· τότε γὰρ ὡς ἀληθῶς βλέπομεν, ὅταν τῷ μυστικῷ καθαρθῶμεν ὕδατι. οὐδὲν τοὺς ἀγνώμονας καὶ ἀχαρίστους Ἰουδαίους ἦγεν εἰς συναίσθησιν· οὐ λόγος, οὐ πρᾶξις, οὐ θαυματουργήματα. ἀλλὰ καὶ αὐτὰ ταῦτα, τὰ πρὸς σωτηρίαν παρακαλοῦντα αὐτοὺς, πᾶσιν ἐπεχείρουν τρόποις ἀφανίζειν, εἰ καὶ πρὸς τοὐναντίον αὐτοῖς * περιετρέπετο ἡ κακουργία. ὅσῳ γὰρ ἠπίστουν καὶ προσερωτῶντες ἀνέτρεπον ἐξήταζον· τοσούτῳ πλέον ἐβεβαιοῦτο ἡ ἀλήθεια. πρώτη αὐτοῖς πολυπραγμοσύνη, εἰ αὐτὸς οὗτός ἐστιν ὁ τυφλός· δευτέρα, εἰ ἐκ γενετῆς ἦν τυφλός· καὶ ὁ ἰαθεὶς τὸν * σωτῆρα ἐβόα, καὶ τῇ ὁμολογίᾳ τὴν χάριν ἀντεδίδου τῆς ἰάσεως. ἀπίστων πατέρων ὅμοιοι παῖδες. καὶ γὰρ καὶ οἱ τικόντες ἐκ πολέμων ἐσώζοντο παρ' ἐλπίδας, καὶ τῷ διδόντι τὴν σωτηρίαν ἠπίστουν. ἐτρέφοντο τροφαῖς ὑπερβαινούσαις τὴν φύσιν, καὶ τῶν λιμωττόντων πλέον * ἦσαν ἀχάριστοι. * ὄντως κληρονόμοι καὶ ὑμεῖς τῆς τῶν πατέρων ἀγνωμοσύνης, οὐ ῥάβδου καρυΐνης ἐπιστασίας, ἀλλὰ σιδηρᾶς χρήζοντες.

Quare oculus in creaturis admiratione sanè dignus est. Hic & Deum mihi interpretatur, omnem cognoscens creaturam, & per ipsam creatorem ostendit, & è visibilibus animæ inuisibilia explicat. Per hunc cùm alia multa intellexi: tum colorum varietatem, & tenebrarum caliginem: tum denique lucis splendorem. Quod si * oculus non esset, sine teste creatura senesceret, nemine vidente Dei sapientiam, & virtutem in illa seruatam. Propter hoc igitur admirandum oculorum opificium, etiam nunc, pro re nata, visus est restitutus, vt cogitationes parum decentes de vnigenito, quas nobis caro ingenerauit, repellamus: & magnitudine eorum quæ facta sunt, animi abiectam omnem ac vilem opinionem deponentes, cognoscamus fictile ac luteum vas beatum lumen, ac diuinitatis splendorem suscepisse, vnde lux nobis, tanquam è lucernis, administretur. Dominus verò nunc medicinam facit non solùm verbo, vt aliâs passim, sed & ore, manu, aliaque prouidentia, vt per plurimas res fidem infidelibus inderet. Spuit, & lutum facit, terra simul visus, vt vnde totum animal ab initio condidit, inde & partes eius singulas factas esse ostendat: saliua demonstrant, virtute oris eius per verbum omnia esse facta: *Verbo enim Domini cœli firmati sunt, &c.* Si verò & hoc scire libet, vt detestari assuefacit eos, qui illum paulò post sputis fœdabunt: etsi furiosorum audacia maior fuit omni prouidentia, & correctione. Siloë salutem nostram per aquas inchoat, quam Siloë emissus omnibus largitur. Tunc enim verè videmus, quando mystica mundamur aqua. Nihil ingratos Iudæos ad intelligendum traxit, non verbum, non opera, non miracula, sed etiam hæc ipsa quæ ad salutem eos vocabant, omnibus modis obscurare nitebantur, etsi in contrarium illos malitia impelleret. Quantum enim non credidere, & interrogando inuertere omnia conati sunt, tanto magis veritas inualuit prima ipsorum curiositas, an hic esset ille cæcus: secunda an à natiuitate cæcus fuisset! Ac sanatus cœcus Saluatorem aperte voce prædicat, & remunerationis loco confessionem dedit. Incredulorum patrum similes filij. Etenim parentes etiam è bello præter spem seruabantur, & danti salutem non credebant: nutriebantur cibis naturam superantibus, & magis ingrati erant quàm esurientes. Sic hæredes & vos patrum ingratitudinis, quibus est opus correptione, non virgâ nuceæ, sed ferreæ.

Marginal notes: ASTERIVS. — * al. ἐγήρασεν. — * ὀφθαλμὸς οὐχ ὑπῆρχεν [illegible] — Matth. 8. 13. Ioan. 9. 6. — Psal. 32. 6. — Psal. 32. v. 6. — Ioan. 9. 6. — Mat. 26. v. 67. — * al. πᾶσιν. — * ἀπετρέπετο H. St. — * πατέρα H. St. — * al. [illegible]

Eiusdem Asterij de Iairo, & muliere sanguinis profluuio laborante.

Τοῦ αὐτοῦ, εἰς τὸν Ἰάειρον, καὶ τὴν αἱμοῤῥοοῦσαν.

Eivsdem In Iairum, & mulierem sanguinis profluuio laborantem.

Δυσάγωγόν τὸ τῶν ἀνθρώπων γένος εἰς * ἀρετὴν, ὡς ἔοικε, καὶ μικρὰ φροντίζον τῆς * ἐκ λόγων διδασκαλίας. διὰ τοῦτο καὶ ὁ σωτὴρ συγκαταβὰς τοῖς ἀνθρώποις μέχρι τῆς θνητῆς καὶ ἐπικήρου σαρκὸς, ὡς εἶδε τοὺς Ἰουδαίους πρὸς τοὺς λόγους κωφεύοντας· μετετάξατο πρὸς τὰ πράγματα, καὶ θεραπείαν συνάπτει θεραπείᾳ καὶ θαῦμα θαύματι.

* al. [illegible] — * al. εἰς λόγους.

Difficvltèr homines ad virtutem trahuntur, vt apparet, & parum curant ea quæ verbo docentur. Ideò Saluator ad homines fragili & mortali carne condescendens, quia vidit Iudæos surdos, res mutauit, factum facto addit, & miraculum miraculo,

ASTERIVS.

& diuinitatem quam non credebant, beneficiorum experimento confirmare contendit. Verùm res malè homini cessit. Filia, eaque vnica, domus fundamentũ, familiæ hæres, quæ ante nuptias efferenda erat in tumulum, & ante torum in sepulchrũ: mulier quædam grauiter infirma venarum inordinatione, & omnem vitæ substantiã exhauriens, quæ tabe corpus, & propter medicos opes consumpsit, vnam in re dubia spem vidit, ad Christi pedes procidere. Dominus mulierem non cogitata proloquentem intellexit, & tacendo tacentem sanauit, cùm fimbriam tetigisset: & hæc quidem donum surripuisse videbatur sibi: at ille gratiã surreptam tolerat. & primò se sanasse non dicebat, tandem verò euulgat, non quærens gloriam (absit: vbi enim præit miraculo vana gloriatio?) Sed mulieris fidei fructum omnibus declarans, & præsentium alios quidem ad Dei cognitionem conuertens, aliorum verò vesaniam, opere verbóque publicè notans: Vidi, inquit, eam quæ à tergo me tetigit: non enim mihi solus oculus qui superciliis subest, & palpebris tegitur, sed etiam alius est, qui terram simul & mare intuetur, omnémque adeò creaturam. Mulier præ pudore tacitè accessit, & non ignorata à Christo. Nouit enim Dominus mentem vniuscuiusque nostrum, etiam tacentis, vt nos libros, legentes nouimus. Quare & Mosis lingua tacente, cordis voluntatem audiuit. Si gratiam qui dedit, tacuisset, fortasse illi quæ accepit, nil profuisset, donum ad casum fortuitum referenti. Hoc vidit miraculum infinita multitudo. Spiritus verò sanctus ante multos annos per Malachiam vaticinatus est: *oritur, inquit, vobis timentibus nomen meum Sol iustitiæ, & sanitas in alis eius.* Solem iustitiæ Dominum vocans: alas verò fimbriam vestimenti. Discamus huius sanatæ mulieris gratitudinem. Cùm enim esset è ciuitate Peneade (est autem hoc opidulum Palæstinæ) ænea statua sanantem honorauit. Hoc donum beneficio non indignum putans, & statua illa per multos annos durauit ad redargutionem eorum, qui Euangelistis mendaciũ ascribere audebant: & statua ad nostra vsque tempora seruata fuisset, vt vtrumque ostenderet, & Dei miraculum, & mulieris gratum animum, nisi Maximinus ille, qui ante Constantinum. Rom. Imperator fuit, impius idolorum cultor, & Christo in statua inuidens, æneam statuam sustulisset, etsi rei factæ memoriam auferre non potuit. Ecce igitur statua quidem non apparet, Euangelium verò miraculum illud vbique prædicat, & hæmorrhousa ab Oriente vsque ad Occidentem celebratur: & laborauit in vanum, qui materiã sensu comprehensibilem sustulit. Statua enim erecta & apparens, tacebat inanime miraculi monumentum, sed fama opus cum verbo assumens, quotidie vrbes, & vicos percurrit, beneficium Domini deprædicans.

Exod. 14. 15.

Malach. 4. 2.

Statua Syrophœnissæ, seu Hæmorrhoussæ.

καὶ τὴν ἀπιστουμένην θεότητα τῇ πείρᾳ τῶν εὐεργεσιῶν ἐπεχείρει βεβαίαν παραστῆσαι. εἰς δεινὸν δὲ ἀνθρώπῳ περιέστηκε τὸ πρᾶγμα. θυγάτηρ, καὶ μόνη, τῆς οἰκίας ἔρεισμα, τοῦ γένους διαδοχή, μέλλουσα φέρεσθαι πρὸ τῶν θαλάμων εἰς ἐκφοράν, πρὸ τῆς παστάδος εἰς τάφον· γυνή τις ἀσθενοῦσα χαλεπῶς, διὰ φλεβῶν ἀταξίαν, καὶ πᾶσαν τὴν ζωτικὴν ὕλην κενώσασα, καὶ δαπανηθεῖσα λοιπὸν ἐκ μὲν τῆς τηκεδόνος τὸ σῶμα, τοῖς ἰατροῖς δὲ τὴν εὐπορίαν· μίαν εἶδεν ἐν ἀπόροις ἐλπίδα, προσπεσεῖν τῷ κυρίῳ. ὁ δὲ κύριος τὸν ἄφωνον ἤκουσε τῆς γυναικὸς λογισμόν, καὶ σιωπῶν σιωπῶσαν ἰάσατο. ἐπειδὴ τοῦ κρασπέδου προσήψατο. καὶ ἡ μὲν ἐνόμιζε κεκλοφέναι τὴν δωρεάν· ὁ δὲ ἐκλαπῆ τὴν χάριν. καὶ τέως μὲν οὐκ ἐξελάλει τὴν θεραπείαν. ὕστερον δὲ δημοσιεύει οὐ φιλοδοξῶν (ἄπαγε, ποῦ γὰρ θαυματουργίας πρόσεστι φιλοδοξία;) ἀλλὰ καὶ τῆς γυναικὸς τῆς πίστεως πᾶσιν ἐπιδεικνὺς τὸν καρπὸν καὶ τῶν παρόντων· τοὺς μὲν εἰς θεογνωσίαν ἐπιστρέφων, τῶν δὲ τὴν ἀπόνοιαν καὶ διὰ τῶν ἔργων καὶ διὰ τῶν λόγων στηλιτεύων. εἶδον, φησί, τὴν ὄπισθεν ἁψαμένην· οὐ γάρ μοι μόνος ὁ ταῖς ὀφρύσιν ὀφθαλμὸς ὑποκαθήμενος, καὶ ταῖς βλεφάροις σκεπόμενος· ἀλλὰ καὶ ἕτερος, ὁ γῆν ὁμοῦ καὶ θάλασσαν ἐποπτεύων, καὶ κτίσιν τὴν σύμπασαν. σιγῇ δὲ προσέρχεται ἡ γυνή, δι' εὐλάβειαν· καὶ οὐ λανθάνει. ἀναγινώσκει γὰρ ὁ θεός, καὶ σιγώντων ἡμῶν, τὸν ἑκάστου νοῦν· ὡς ἡμεῖς βιβλίον *παρερχόμενοι. διὸ καὶ τῆς Μωσέως σιωπώσης γλώσσης, τὸ τῆς καρδίας ἠκούετο βούλημα. εἰ τὴν χάριν οὐδεὶς ἐσιώπησε· τάχα ἂν οὐδ' αὐτὴ τὴν χάριν ἡ λαβοῦσα ὠνήθη, εἰς συντυχίαν τὸ δῶρον αἰχμαλωτίζουσα. τοῦτο τὸ θαῦμα εἶδον μὲν ἄπειρον πλῆθος· τὸ πνεῦμα δὲ τὸ ἅγιον πρὸ πολλῶν γενεῶν διὰ Μαλαχίου προεθέσπισεν. ἀνατελεῖ γὰρ ὑμῖν, φησί, τοῖς φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ. ἥλιον μὲν δικαιοσύνης, τὸν κύριον καλῶν· πτέρυγας δέ, τὰ τοῦ ἱματίου κράσπεδα. καταμάθωμεν τῆς ἰαθείσης γυναικὸς τὸ εὐχάριστον. τῆς γὰρ Πανεάδος οὖσα πολιτείας (πολίχνη δὲ αὕτη τῆς Παλαιστίνης) ἀγάλματι χαλκῷ τὸν εὐεργέτην ἐτίμησε· τοῦτο γέρας οὐκ ἀνάξιον οἰηθεῖσα τῆς χάριτος. καὶ χρόνος πολὺς ἐτήρει τὸ ξόανον, εἰς ἔλεγχον ἀκριβῆ τῶν τὸ ψεῦδος τολμώντων ἐπιφημίζειν τοῖς εὐαγγελισταῖς. καὶ οὐδὲν ἐκώλυε σώζεσθαι τὸν ἀνδριάντα μέχρι νῦν, καὶ δεικνύειν ἀμφότερα, καὶ τοῦ θεοῦ τὸ θαυμάσιον, καὶ τῆς εὖ παθούσης τὸ χαριστήριον· εἰ μὴ Μαξιμῖνος ἐκεῖνος, ὁ πρὸ τοῦ Κωνσταντίνου τῆς ῥωμαίων ἄρξας βασιλείας, ἀνὴρ εἰδωλολάτρης καὶ δυσσεβὴς *ὤν· καὶ ζηλοτυπῶν ἐν τῷ ἀγάλματι τὸν Χριστόν, ἀνείλετο τῆς πολίχνης τὸν χαλκόν. εἰ καὶ μὴ τὴν μνήμην τῶν γενομένων· ἰδοὺ γὰρ ὁ μὲν ἀνδριὰς οὐ φαίνεται, τὸ δὲ εὐαγγέλιον τὸ θαῦμα πανταχοῦ βοᾷ καὶ κηρύσσει· καὶ ἡ αἱμόρροος ἀπ' ἀνίσχοντος ἡλίου μέχρι καὶ δυομένου λαλεῖται· καὶ συνέβη μάταιος πόνος τῷ δυσσεβεῖ ἡ τῆς αἰσθητῆς ὕλης κλοπή. ὁ μὲν γὰρ χαλκὸς καὶ ἑστὼς καὶ φαινόμενος ἐσιώπα, ἄψυχον τῶν θαυμασίων ὑπόμνημα· ἡ δὲ φήμη μετὰ τοῦ λόγου παραλαβοῦσα τὸ ἔργον, καθημέραν διατρέχει πόλεις καὶ κώμας, τὸν εὐεργέτην κηρύττουσα.

Matth. 9. 20.

* [illegible] Exod. 14. 15.

Malach. 4. 2.

[illegible marginal note]
* al. ὢν.

ΛΕΟΝΤΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ἀραβισσοῦ, ἐκ τοῦ εἰς τὴν κτίσιν λόγου, καὶ εἰς τὸν Λάζαρον.

σοβ´. Leontij, Episc. Arabissi, sermo de Creatione, & Lazaro rediuiuo.

ΑΝΕΓΝΩΣΘΗ τοῦ μακαρίου Λεοντίου, ἐπισκόπου ἀραβισσοῦ, ἐκ τοῦ εἰς τὴν κτίσιν λόγου, καὶ εἰς τὸν Λάζαρον.

Τὸ παρὰ καιρὸν σιωπᾶν, τὸ περὶ τοὺς λόγους μιμεῖται θράσος· καὶ ὃν ἔχει ψόγον ὁ τοῖς χείλεσιν ἄστεγος, τοῦτον ἀποφέρεται καὶ ὁ δι' ὄκνου σιγῶν. στρατηγοῦ ἐστιν ἀρίστου, διὰ τῶν ἡττηθέντων ἐγείρειν τὸ κατὰ τῶν ἀντιπάλων τρόπαιον· καὶ οἷς ἐκέχρητο βέλεσιν ὁ πολέμιος, τούτοις ἀναιρεῖν* ἐκεῖνον. ἵνα οὖν μὴ τὸ σιγᾶν ἁμαρτεῖν λογισθῇ, καὶ κινδυνεύσῃ τῆς ἑορτῆς τὸ κάλλος ἐν σαπρίᾳ σιωπῆς· κἂν τολμηρὸν χείλεσιν ἀκαθάρτοις δεσποτικῶν προσιέναι μυστηρίων· πρὸς τὸ παρὸν βλέπων, καταθαρρήσω τὸν ὕμνον, τὸ λεῖπον εἰς ἀξίαν καταπιστεύων τῷ θαύματι· ὁ γὰρ τὴν τοῦ θανόντος ἀναδεχόμενος δυσωδίας, ἵνα τῆς οἰκείας φιλανθρωπίας ἐπιδείξηται τὸ εὐῶδες, καὶ τὸ ἡμῶν στόμα τῷ τάφῳ συνεξανοίξει Λαζάρου· περικαθαίρων* τοῦ βίου τὴν κηλῖδα, ὡς ἐκείνου τὴν νέκρωσιν. ἐζωογόνει τὰ ὕδατα ἡ φωνή· ἔτικτεν ἡ ξηρά, καὶ συνουσίας ἄνευ ὁ τοκετὸς ἐπληθύνετο. τί λέγεις, αἱρετικέ; βλέπεις ἀντὶ καταβολῆς σπέρματος, τὸ τοῦ λόγου γινόμενον πρόσταγμα· καὶ πῶς ἀμφίβολον λέγεις τῆς παρθενικῆς γεννήσεως τὸ μυστήριον; ἃ γὰρ νῦν σπέρματος ἄνευ οὐ τίκτεται, τούτοις ἡ φωνὴ τότε* συνέτρεχε τοῦ καλοῦντος πρὸς γέννησιν· καὶ συλλήψεως τρόπον, ὁ τῆς κελεύσεως ἐμιμεῖτο νόμος· καὶ διὰ μιᾶς φωνῆς ἐσαρκοῦτο τὰ πάντα. καὶ ὁ τότε σαρκώσας τὴν κτίσιν, καὶ σπόρον ἄσπορος χορηγήσας τοῖς πᾶσιν· αὐτὸς ἀπὸ λογικῆς σαρκωθεὶς γῆς, προῆλθεν ἄσπορος, τὴν διὰ σαρκὸς φυτευθεῖσαν τοῦ θανάτου ῥίζαν τῇ δρεπάνῃ τῆς παρθενικῆς ἐκκόπτων γεννήσεως. ἐν παραδείσῳ θέμενος ὁ πλάσας τὸν ἄνθρωπον, ἐργάζεσθαι καὶ φυλάττειν προσέταξεν· ἵνα μὴ τῇ ῥαθυμίᾳ δεδωκὼς τῆς ἐξουσίας τὸ ἕτοιμον, ἀφύλακτος γένηται πρὸς ἐπιβουλὴν τοῦ ἐχθροῦ, φθόνου πρόσοδον τοῦ θεοῦ ποιούμενος τὰ χαρίσματα. ταῦτα ἰδὼν ὁ τοῖς ἡμετέροις ἀεὶ βασκαίνων καλοῖς, ἀπρόφασιστον καθ' ἡμῶν ἔχθραν ἀνελάμβανε. φιλεῖ γὰρ τῶν βασκαίνων ἡ φύσις πολεμεῖν ἀναιτίως, ἐξ ἑαυτῆς σπερματίζουσα τῆς κακίας τὴν ὕλην· καὶ τὴν κατὰ πρόφασιν μάχην ὡς ἐφύβριστον* παραιτεῖται, ἀσθενείας* ταῦτα λογιζομένη ὑπάρχειν ἔλεγχον. ῥιφεὶς δὲ τῶν ἄνω ὁ ἐχθρὸς, *ἐπολέμει τοῖς κάτω· βασιλείαν ἐκδικῶν μετὰ πτῶσιν, ἣν ἔχειν ἑστὼς οὐκ ἠδύνατο. καὶ κατὰ τῆς Εὔας ἐστρατεύετο, βέλεσιν αὐτὴν κατατοξεύων ἀπάτης· καὶ *ἔπληττεν ἀνωδύνως, *ὡς ξίφει χρώμενος τῇ ἐκείνης προθέσει, κἀκείνην λαμβάνων τῆς οἰκείας ἀναιρέσεως ὑπουργόν. ὅθεν, ἐπειδὴ τὴν σφαγὴν ἀναίμακτον ἐπετέλει, οὐδὲ φονευτὴς ἐνομίζετο· ἀλλ' ὡς ἀγαθὸς σύμβουλος ἐπιστεύετο τῇ ἁπλότητι τῆς μαχαίρας μαλακύνων τὰ τραύματα, καὶ γλυκεῖαν δεικνὺς τῆς ἀλγηδόνος τὴν αἴσθησιν. ἡ* δὲ διὰ χειρὸς ἀπειθοῦς ἀποστασίας γράφουσα νόμον, ἐτρύγα καρπὸν ὡραϊζόμενον παραβάσει, καὶ τῇ ἀκμῇ ὀπωριζόμενον τοῦ θανάτου. τῆς Εὔας προπετῶς γευσαμένης τοῦ ξύλου, αὐτὸς τὸν ἐκείνης ὀρεγόμενος ὄλεθρον, ἄπεπτον εἶχε τῆς κακίας τὴν βρῶσιν· καὶ λιμῷ τῆς τηκομένης τρεφόμενος,

* ἀνελεῖν H. St.
* τὴν τοῦ βίου. H. St.
* al. συνέτρεφε.
* al. παραιτεῖται
* al. τοῖσδε.
* al. ἄνω ἐχθρὸς.
* πολεμεῖ H. St.
* al. ἐπέπληττεν.
* al. ξίφει
* δὲ H. St.

LEONTIVS. CCLXXII.

LEONTII EPISCOPI ARABISSI Sermo de Creatione, & Lazaro rediuiuo.

LEGI beati Leontij Episcopi Arabissi sermonem de Creatione, & Lazaro rediuiuo.

Silentium non opportunum, audaciæ orationis simile est, & quod habet vituperium os futile, hoc etiam meretur per negligentiam tacens. Optimi Imperatoris est, per victos excitare de hostibus trophæum, & quibus telis hostis vsus est, iisdem illum interficere. Ne igitur tacens peccare dicatur, & festi diei celebritas taciturnitate putrida periclitetur, etsi audacis facti sit labris impuris Domini Sacramenta attingere, respiciens præsentia, hymnum audacter canam, reliqua dignitati permittam miraculi. Mortui enim ferens fœtorem, vt propriæ humanitatis bonum odorem ostenderet, & nostrum os cum sepulchro Lazari aperiet, mundas vitæ maculam, vt illius mortem. Vox aquas viuificat, peperit terra, & sine congressu fœtu impleta est. Quid dicis, ô hæretice? Vides pro immissione seminis, Verbi mandatum factum, & quomodo dubium dicis virgineæ conceptionis mysterium? Quæ enim iam sine semine non concipiuntur, cum his aliquando concurrit vox vocantis ad generationem, & conceptionis modum præcepti lex imitata est, & vna voce omnia incarnata sunt: & qui tunc creaturam carne induit, & semen sine semine omnibus contulit, ille à carnea terra carne indutus, sine semine descendit, maris radicem, quam caro plantauit, falce virgineæ generationis præcidens. Creator ponens hominem in paradiso, colere terram, & seruare iussit, ne ignauiæ se dedens ad libertatem nimis procliuis, hostium insidiis pateret, inuidiæ accessu Dei beneficium commutans. Hæc videns, qui nostris assiduè bonis inuidet, inimicitiarum occasionem hinc sumpsit. Inuidorum enim natura est pugnare cum aliquo nulla de caussa, ex se malitiæ semen seminans: & pugnã tanquam contumeliosam fugit, quæ certa de caussa accidit, rata hæc esse imbecillitatis argumentum. Inimicus è cœlo lapsus, contra homines in terra bellum gerit: post casum regnum persequens, quod adhuc stans tenere non valuit, & contra Euam arma mouit, fraudulentis illam telis vulnerans, & sine dolore prostrauit, tanquam gladio eius verbis vtens, & sui exitij administram illam capiens. Vnde cùm cædem incruentam perfecisset, neque homicida putabatur, sed vt bonus consiliarius credebatur, simplicitate gladij vulnera molliora reddens, & dulcem doloris sensum exhibens. Ipsa verò manu contumaci defectionis scribens legem, acquisiuit præuaricando sibi pulchrum fructum, & flore mortis maturum. Eua autem cum temerè de ligno gustasset, ipse huius mortem petens, incoctum peccati cibum habuit, & fame liquescentis nutritus,

Ioan. 11. 39.

LEONTIVS. & illius induens nuditatem, purpuram esse regalem ficus folia existimarunt. Deus ex alto peccatum inspexit, & conniuere noluit, iniuriam primæ creaturæ suam esse ratus, & iudicans venit, quamquam rei ad iudicium venire non auderent, fugientes, & priori delicto aliud adiungentes. Cogitarunt Dei præsentiam loco esse circumscriptam. *Adam vbi es?* Non sunt hæc verba irati, sed misericordis: non vox repudiantis, sed miserentis. Mutatam imperij formam video, dignitatis alium ordinem. *Vbi es? Vocem tuam audiui ambulantis, & abscondi me*: & cur timerem satis erat vel pedum tuorum strepitus. Tanti enim iudicis omnia clamant membra, & quum rem cum tali reo habeas non habeo causæ dicendæ libertatem. Suscipe timorem qui peccatum meum purget, & qui sit patronus tuæ iustitiæ. Vincere te ostendi fugiens sententiam tuam: crimina fuga detexi, ostendens errorem defendi non posse. Mulier quam dedisti mihi sociam, dedit mihi de ligno, & comedi. Habuit clementem iudicem, & inuenit causam commiseratione dignam. Ad imbecillitatem Euæ confugit, eudiens iudicem inquirere rem. O patientem iudicem! Permisit omnem causam referri ad serpentem, vt leuius statueret deceptis crimen: *Maledictus tu inter omnia animalia, & bestias terræ*: vt qui aduersus omnem creaturam scelus patrasti: cœlum iniuria affecisti, inuidiæ veneno fœdatus: Angelos tua defectione contristasti, minuere studens beatorum numerum, ignarus sublato peiori succedere melius. Augens augebo dolores tuos, & deinceps, ô Domini commiserationem! indignatio humanitatem supergrediens, legis dolores terminat & gemitus, vt his inualescens mortem ex delectatione exuat, multitudinem humani generis comminatus. Additionem successionis promittit dolens, matrem mundi elegit iratus, cadentem trahens in progressum. *In doloribus paries filios*: per ventrem docet, per quem in mundum venit, vetitum capiens fructum, ipsa puniatur partus doloribus, & magnæ cupiditatis damnum contrahens, & multitudinem generis opponens serpenti, & permultos prosternens lætantem per vnum. Parias cum dolore castè, cum læta peperisti sine damno, *& ad virum tuum conuersio tua*. Subditam Euam Adamo fecit. Libertas enim inutilis iis qui per se sapere nesciunt. Ipse dominabitur tui, habe virum Dominum, & non serpentem. Deinde ad meliorem vitam conuersa, vnde sumpta venisti in mundum. *Et Adam dixit &c.* Noua clementia quæ priorem superat. Animus paterni plenus amoris, minæ plenæ consolationis. Oportuit quidem te, inquit, mihi obedientem mulieris consilium non attendisse, nec legem, quam mea manu scripsi, digitis Euæ delere: cùm verò separatio..ç mulieris, & peccato non separeris, accipe legem, quæ tuis peccatis conueniat: maledicta terra. Adam peccauit, terra pœnam luit,

Genes. 3. 9.

Psal. 50. 5.

Genes. 3. 16.

καὶ τὴν ἐκείνης ἐνδυόμενος γύμνωσιν, πορφυρίδα βασιλικὴν τὰ τῆς συκῆς ἐλογίζετο φύλλα. εἶδεν ἄνωθεν τὴν ἀδικίαν ὁ Θεὸς, καὶ παριδεῖν οὐκ ἠνέσχετο τὴν ὕβριν τοῦ πρώτου πλάσματος, ἑαυτοῦ λογιζόμενος. καὶ κάτεισι δικάσων, κἂν πρὸς τὴν δίκην οὐκ ἐθάῤῥουν ἐλθεῖν οἱ ὑπεύθυνοι, φυγάδες γενόμενοι, καὶ τοῖς φθάσασι προστεθέντες καὶ ἄλλο πλημμέλημα. περιγραπτὴν ἐλογίζοντο τοῦ Θεοῦ τὴν ἐπίσκεψιν. Ἀδὰμ ποῦ εἶ; οὐκ ὀργιζομένου, ἀλλ᾿ ἐλεοῦντος ἡ φωνή· οὐκ ἀποστρεφομένης, ἀλλ᾿ ἐλεοῦντος ἡ κλῆσις. παρηλλαγμένον βλέπω τῆς βασιλείας τὸ σχῆμα, ἐνηλλαγμένην τῆς ἀξίας τὴν τάξιν. ποῦ εἶ; τῆς φωνῆς σου ἤκουσα περιπατοῦντος, καὶ ἐκρύβην. ἤρκεσέ μοι πρὸς δειλίαν, τῶν ποδῶν ἡ φωνή· τοιούτου γὰρ δικαστοῦ, ὅλα φωνὴν ἔχει τὰ μέλη. ὅταν πρὸς ὑπεύθυνον ἔχῃ τοιοῦτον, οὐκ ἔχω παῤῥησίαν φωνῆς. δέξαι τὸν φόβον, καὶ τὸ ἐμὸν δικαιοῦντα πλημμέλημα, καὶ τῆς σῆς γενόμενον δικαιοκρισίας συνήγορον. νικῆσαί σε ἔδειξα δραπετεύσας τὴν ψῆφον· ἀπογυμνώσασα τῇ φυγῇ τὰ ἐγκλήματα, ἀσυνηγόρητα δείξας τὰ πταίσματα. ἡ γυνὴ, ἣν ἔδωκάς μοι, αὕτη μοι ἔδωκε, καὶ ἔφαγον. ἔσχε φιλάνθρωπον δικαστὴν, καὶ εὗρε πρόφασιν συμπαθῆ. ἐπὶ τὸ ἀσθενὲς καταφεύγει τῆς Εὔας, ὑπεκλύων τὴν τοῦ δικαστοῦ τὴν ἐπίτασιν. ὢ μακροθυμίας δικαστοῦ. ἀφῆκεν ὅλον εἰς τὸν ὄφιν συναχθῆναι τὸ αἴτιον, ἵνα κουφότερον καταστήσῃ τοῖς ἐπιβουλευθεῖσι τὸ ἔγκλημα. ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς· ὡς κατὰ πάσης ἐκτείνας τὴν ἀδικίαν τῆς κτίσεως. οὐρανοὺς ἐνύβρισας, τῷ ἰῷ ῥυπώσας τοῦ φθόνου. ἀγγέλους ἐλύπησας τῇ ἀποστασίᾳ, νομίζων ἐλαττοῦν τῶν ὑμνολόγων τὸ μέτρον· οὐκ εἰδὼς, ὅτι τῷ χωρισμῷ τοῦ χείρονος πλεονάζει τὸ κρεῖττον. πληθύνων πληθυνῶ τὰς λύπας σου, καὶ ἑξῆς. βαβαὶ τῆς δεσποτικῆς συμπαθείας. ἀγανάκτησις φιλανθρωπίας ὑπερβαίνουσα νόμου λύπας ὁρίζει, καὶ στεναγμοὺς ἵνα ταύταις ἐγκαρτεροῦσα τὸν ἐκ τῆς τέρψεως ἀποδύσηται θάνατον· πλατύτητα γένους ἀπειλῶν, εὐαγγελίζεται. προσθήκην διαδοχῆς ὑπισχνεῖται λυπούμενος· μητέρα κόσμου χειροτονεῖ ὀργιζόμενος, εἰς προκοπὴν ἄγων τὴν πταίσασαν. ἐν λύπαις τέξῃ τέκνα. διὰ γαστρὸς παιδεύεται, δι᾿ ἧς προῆλθεν εἰς ὄλισθον. ἡ τὸν κεκωλυμένον ὑποδεξαμένη καρπὸν, αὕτη μαστιζέσθω τοῖς τοῦ τόκου πόνοις· καὶ τὴν προπετοῦς ἐπιθυμίας τὴν βλάβην συστέλλουσα, καὶ τὴν πλατύτητα τοῦ γένους ἀντιτιθεῖσα τῷ ὄφει, καὶ διὰ πολλῶν καταβαλοῦσα τὸν δι᾿ ἑνὸς καυχησάμενον. λυπουμένη τίκτε σωφρόνως, ἐπειδὴ χαίρουσα τέτοκας ἀσυμφόρως. καὶ πρὸς τὸν ἄνδρα σου, ἡ ἀποστροφή σου. ὑπεξούσιον τὴν Εὔαν ποιεῖ τῷ ἀνδρί· τὸ γὰρ ἄναρχον ἀνωφελὲς τοῖς ἐξ ἑαυτῶν σωφρονεῖν οὐκ εἰδόσι. καὶ αὐτός σου κυριεύσει. ἔχε τὸν ἄνδρα κύριον, καὶ μὴ τὸν ὄφιν δεσπότην· ἐκεῖθεν ὁδηγουμένη πρὸς κρείττονα βίον, ὅθεν ληφθεῖσα προῆλθες εἰς γένεσιν. καὶ τῷ Ἀδὰμ εἶπε· καὶ ἑξῆς. ἄλλη φιλανθρωπίας ἀπόδειξις, τῆς προτέρας νικῶσα τὸν ἔπαινον. θυμὸς πατρικῆς γέμων στοργῆς· ἀπειλὴ μιμουμένη παράκλησιν. ἔδει μέν σε (φησὶν) ἐμοὶ πειθαρχοῦντα μὴ δέξασθαι γυναικὸς συμβουλήν· μηδὲ τὸν ἀπὸ τῆς ἐμῆς χειρὸς γραφέντα νόμον, δακτύλοις ἀπαλεῖψαι τῆς Εὔας: ἐπεὶ δὲ χωρὶς γυναίου ἀχώριστον ἔχεις τοῦ κακοῦ τὴν ἑρμηνείαν· δέχου νόμον τοῖς σοῖς ἁρμόζοντα πταίσμασιν, ἐπικατάρατος ἡ γῆ. ὁ Ἀδὰμ ἥμαρτε, καὶ ἡ γῆ τὴν δίκην εἰς προστίθεται.

ἐκεῖ

ἐκεῖθεν ἀρχὴν δέχεται ἡ πανουργία, ὅθεν ἐβλάστησε τῆς ἀπάτης τὸ αἴτιον. ἐπειδὴ τοῖς φυτοῖς ἐσφαλλόμενος τῶν ἐμῶν ἀπεσκίρτησας ἐντολῶν, ἀκάνθαις ἔσω συνεχόμενος καὶ τριβόλοις. σοφῶν ἐστιν ἰατρῶν, τῆς νόσου τὴν ὕλην εἰς φάρμακον μετασκευάζειν ὑγείας· καὶ τὰ νομιζόμενα βλάπτειν, ἐπωφελῆ δεικνύειν τοῖς κάμνουσι. πολυσχιδὴς ἡ τοῦ ὄφεως γλῶσσα, ἀκάνθας καὶ τριβόλους μεμιμημένη· ἀπὸ μιᾶς φυῆς εἰς τρία διῃρημένη κέντρα. Ταύτην ἔλαβεν εἰς συμμαχίαν ὁ βάσκανος, ὡς πρὸς αὐτὴν μαχόμενος τὴν τριάδα, καὶ διὰ μιᾶς τῆς Ἀδὰμ εἰκόνος, ὅλον τὸ θεότητος ἐνυβρίζων τὸ πλήρωμα. ὅθεν, ἐπειδὴ ταύτῃ πεισθεὶς, ἠπείθησε θεῷ· διὰ τῶν ὁμοίων δέχεται τὴν παιδείαν. ἵνα ταύτῃ λυπούμενος, χαλεπαίνῃ τῷ ὄφει, ἀκατάλλακτον ἔχων τὴν πρὸς ἐκεῖνον φιλίαν. ἔβλεπε νοσοῦσαν τὴν κτίσιν αἰτίᾳ τε, ἑνὶ κεκλημένην ἀσεβείας συνθήματι· καὶ τρόπον οὐκ εἶναι διορθώσεως ἕτερον, εἰ μὴ φθάσας ὁ φύσεις καὶ γνώμας θεραπεύων τὴν ἰατρείαν προσάγοι τοῖς κάμνουσι· τότε θεραπεύειν εἰδὼς, ὅταν ὅλην λάβοι τὴν ὑγείαν ἡ νόσος. διὸ ἔλεγεν· Κύριε κλῖνον οὐρανοὺς, καὶ κατάβηθι· καὶ πολλὰ τοιαῦτα.

Ἐμιμήσατο Ἰωάννην ὁ Λάζαρος. ἐκεῖνος ἐν τῇ κοιλίᾳ τῆς τεκούσης ἐσκίρτα, τῆς πλάνης ἀγαλλόμενος τὴν κατάλυσιν· καὶ οὗτος ὡς ἐν μήτρᾳ τῷ τάφῳ τῶν πλανηθέντων ἐχόρευε τὴν ἀνάκλησιν. καὶ διπλοῦν εἶχε τάξιν τὸ θαῦμα· καὶ τὴν δεσποτικὴν μεγαλύνουσαν χεῖρα, καὶ τὴν τῶν Ἑβραίων ἀμβλύνουσαν γλῶσσαν. ὁ νεκρὸς ὑπήκουε, καὶ οἱ ζῶντες ἠπείθουν· ἐβλασφήμουν τὸν ᾅδην, ὡς προδεδωκότα τὸν Λάζαρον· ἐλοιδόρουν τὸν Χριστὸν, ὡς καινοτομήσαντα τὴν ἔγερσιν. θεολογίαν εἶχεν ὁ τῶν παίδων ὕμνος, προφητείαν ἐλάλουν· ἕνα καὶ τὸν αὐτὸν ὡμολόγουν τὸν ἄνω καὶ τὸν κάτω· καὶ χωρισμὸν οὐκ εἶχεν ὁ τόπος· βαΐα φοινίκων ἐκράτουν, οὐ φοίνικας· οὔπω γὰρ τὴν ἀκαρπίαν παρελθόντες τοῦ νόμου, τὴν τῆς χάριτος *ἀπεγεύσαντο γλυκασμάτων. ἐπειδὴ ὁ Χριστὸς οὔπω τὴν πικρὰν τοῦ ὄφεως ἀναρριζώσας φυτείαν, τὸν τῆς ἀφθαρσίας ἐγεώργησε γλυκασμόν.

* al. ἐκγευσ.

ΘΕΟΔΩΡΗΤΟΥ ΕΚ ΤΩΝ Ε΄ λόγων εἰς τὸν ἐν ἁγίοις Ἰωάννην τὸν Χρυσόστομον.

σογ΄. Theodoretus in S. Chrysost. lib. V.

ΑΝΕΓΝΩΣΘΗ *ἐκ τῶν τοῦ μακαρίου Θεοδωρήτου λόγων, οὓς εἰς τὸν ἐν ἁγίοις Ἰωάννην τὸν Χρυσόστομον συνετάξατο· ὧν ἡμεῖς πέντε πως ἴσμεν· ἐξ ὧν καί τινας ἐκλογὰς τὰς ὑποτεταγμένας παρεγραψάμεθα.

α΄. Ὅτι τῶν πέντε λόγων ὁ πρῶτος, ἄλλον πρὸ αὐτοῦ δοκεῖ δέχεσθαι, ἢ μέρος αὐτοῦ εἶναι. πλὴν διαλαμβάνει, ὅθεν τε μετακληθεὶς εἰς Κωνσταντινούπολιν ἧκε, καὶ ὅπως αὐτῆς ἀρχιερεὺς κατέστη, καὶ ὡς τὴν ἱερωσύνην καὶ ἀρχιερωσύνην εἰς τὸν ἀρχαῖον κόσμον ἐπανάγειν ἐπειρᾶτο σπουδῇ πάσῃ· καὶ ὅσα πρὸς *Γαΐναν τοῦτο μὲν ὁ γενναῖος ἐπιστομίζων Ἰωάννης, τοῦτο δὲ ὑπὲρ τῶν κοινῶν τῆς πολιτείας διαπρεσβευόμενος πραγμάτων, διεπράξατο· καὶ ὡς φθόνος αὐτῷ τὴν *ὑπερορίαν ἐψηφίσατο· καί τινα τῶν μέχρι τέλους ἱερουργηθέντων τῷ θαυμασίῳ ἀνδρὶ διηνυσμένων· τὰ πολλὰ, μᾶλλον δὲ τὰ πλεῖστα, παρατρέχει.

* al. Τριβιγ.
* ἐξορίαν, fol. 51.

β΄. Ὁ δὲ ἐφεξῆς λόγος ἐπαίνους τινὰς ὀλιγοστίχους, καὶ αὐτὸς ὀλιγόστιχος ὢν, διαπεραίνει, ἀρχόμενος ὧδε· Πάλιν ἡμῖν Ἰωάννου τὸ μνημόσυνον.

γ΄. Ὁ δὲ μετὰ τοῦτον, ἐγκωμίων μὲν καὶ αὐτὸς ὑπερέχεται νόμους·

LEONTIVS.

inde incœpit doctrina, vnde causa fraudis ortum duxit. Cum plantis deceptus mea præcepta neglexisti, tribulos & spinas habeat. Sapientium medicorum est, morbi materiam in sanitatis remedium mutare, & quæ nocere putabantur, vtilia esse laborantibus ostendere. Bifida lingua serpentum, spinas, & tribulos imitata, ex vno ortu in tres diuisa stimulos. Hanc ad opem sumpsit inuidus, tanquam contra Trinitatem pugnaturus, & per vnam Adami imaginem, totam Deitatem calumnians. Vnde illi parens rebellis est Deo, per similes res accipit doctrinam, vt ab hac reprehensus, serpenti meritò indignetur, inimicitias cum illo perpetuo gerens. Vidit creaturam ad remedij desperationem ægrotare, vno impietatis fœdere victam, & alium modum non esse sanandi, nisi is, qui cùm naturas prouidisset, ac voluntates, medicinam adhibuisset ægrotis, tunc demum sciret sanare, cùm sanitatis capax omnino esset, Ideò dixit: *Domine inclina cælos tuos, & descende, & similia.* Psal. 14.4. 5.

Imitatus est Ioannem Lazarus. * Ille in ventre matris exultauit, errorem dissolutum iri exsultans: hic in sepulchri vtero eorum qui errassent, reuersionem demonstrauit. Et miraculum duplicem habuit seriem, & potentiam Domini extollentem, & Iudæorum linguam confundentem. Mortuus obedit, & viui non item. Inferis maledixerunt, quia Lazarum reddebant. Conuitiabantur Christo, nouam à mortuis suscitationem inducenti. Pueri hymnos Deo decantabāt, prophetiam loquebantur, eundem & vnum esse in cœlo, & in terra, & locis non separari, ramos palmarum tenebant, non palmas. Nondum enim legis sterilitatem prætergressi, gratiæ dulcedinem gustarunt. Cùm Christus amaram serpentis euellens plantam, incorruptionis plantauit dulcedinem.

* Luc. 1. 41. 44

Ioan. 12

THEODORETI

In S. Chrysostomum libri V. CCLXXIII.

LEGI è libris S. Theodoreti, quos in S. Ioannem Chrysostomum scripsit, quorum nos tantùm quinque libros vidimus, vnde hæc excerpsimus.

LIBER I. Primus liber, alium pro illo videtur admittere, vel partem illius esse, nisi quod addat, quomodo post vocatus Constantinopolim venerit, vtque Archiepiscopus sit constitutus, & quomodo sacerdotium, & summum sacerdotium ad antiquam normam omnino reuocare niteretur: & quæ contra Cainam egregius ille Ioannes dixerit: hoc vero pro communi reipublicæ negotio peregit, & ob inuidiam in exilium pulsus est, & aliqua eorum vsque ad finem prosequens, quæ vir sanctus perfecit.

II. Secundus liber aliquas paruas laudes, quanquam & ipse paucioribus breuis sit, adiungit, sic incipiens: Iterum nobis Ioannis memoria.

III. Tertius etiam laudandi modum excedit.

THEODORETVS. *Panegyrica, & funebris laudatio praesens.*

Distinguitur ab aliis libris pulchritudine verborum & nominum. Et sic incipit: *Argumentum, viri disertissimi, tuba indigens, in puerili lingua video periclitari, & decus pugilis, mille artificiis descriptum, nunc imbecillo mihi artifici ad describendum impositum.* Hoc est procemium. Alius illum rapiens in auxilium trahit, alius iudicatus patronum vocat, alius famelicus cibum orat, nudus vestem, alius illum exuit, alius dolens consolationem petit, alius ligatus solui postulat, alius trahit illum ad morborum inspectionem, peregrinus hospitium efflagitat, alius sese sistens debitum deplorat, alius arbitrum & pacificatorem domesticarum turbarum accersit, nec seruus ad alium fugit, amaram Domini indignationem exponens. Vidua clamat: Miserere, alia viduitatem deplorat. Multae ac variae patri, te nata in singulos, pro singulis mutationes: rapitur quis, & patronus pater: fames vexat, & nutritor ex patrono fit: aliquis aegrotat, & in medicum pater mutatur: dolore aliquis concidit, & nosocomij curator solatium adfert. Si hospites curandi, omnia factus, benignum se exhiber. Et quid singula attinet, quae per omnem eius vitam gesta sunt, commemorare? cùm de solo sacerdotio referre nequeam, tanta homines operum salutarium varietas supradicta non reliquit. O egregium post mortem ducem! O tristem etiam hostibus post sepulturam militem! O lyram omni harmonia praeditam, morte iam solutam! O theatrum tanto tibicine orbatum! O salutarem hominum sagenam, in coelum raptam! O arborem in coelum iam, & terram extensam, & huic quidem corpus, illi verò animam tradentem! In sepulchro Ecclesiae os conclusum est. Quantus ocellus pietatis hominum raptus est! Non mortuus es, sancte Pater, sed vt Sol occidisti: non te, vt mortuum dolemus, sed vt nobis absconditum: non te vt mortuum quaerimus, sed vt in coelos eleuatum. Sic ferè tertius liber.

IV. Laudantis partes agit quartus, nimirum quod oporteat parentes colere, laudem trahens, vnde & haec deprompta. Ioannes horum pastorum vnus, intellectus sine malitia, mens oculata, Euangelicae experientiae liber, cera commutabilior, pelagus gratiarum, contra dolos hostium infractus, Ecclesiae munimentum. Nullus illum hypocriseos serpens latuit. Vnde tibi vis ostendamus Ioannem celebrem? ab hospitalitate? Ecquis Ioanne magis hospitalis? a grauitate in honore? Ecquae illum potestas prostrauit? A studio in Ecclesiam? Cuiusnam est illa concinna modulatio Psalmorum in hanc vsque diem publicè instituta? Sed haec quarto libro.

V. Sequens liber easdem nectit laudum corollas: clarius verò cogitationum suarum iubar exponit. Videntur illi omnes libri quinque post reuersionem ab exsilio compositi. Haec quoque eius libri fragmenta sunt.

διαφέρει δὲ τῶν πρὸ αὐτοῦ τῇ καλλονῇ τῶν τε ῥημάτων καὶ τῶν νοημάτων. προοιμιάζεται δὲ οὕτω· Πολυστόμου τῆς παρούσης ὑποθέσεως σάλπιγγος δεομένης, ἐν παιδικῇ νῦν ὁρῶ κινδυνεύουσαν γλώττῃ· καὶ κάλλος ἀθλητοῦ, μυρίαις συγγραφόμενον τέχναις, ἀσθενεῖ νῦν, εἰς γραφὴν ἐμοὶ τεχνίτῃ προκείμενον. τὸ μὲν προοίμιον τοιοῦτον. ἄλλος αὐτὸν ἕλκει βοηθὸν, ἁρπαζόμενος· ἄλλος καλεῖ δικαζόμενος σύνδικον· ἄλλος πεινῶν, ὑπὲρ τροφῆς ἱκετεύει· γυμνὸς, ὑπὲρ ἐνδύματος· ἄλλος αὐτὸν ἀποδύει· ἄλλος πενθῶν, εἰς παράκλησιν δεῖται· δεσμώτης ἕτερος ἀπολυθῆναι βοᾷ· ἕλκει τις αὐτὸν ἄλλος πρὸς νόσων ἐπίσκεψιν· ξένος αἰτεῖ καταγώγιον· ἕτερος παραστὰς, χρέος ὀδύρεται· ἄλλος ἐπόπτην καὶ διαλλάκτην τῶν κατ᾿ οἶκον μεταπέμπεται στάσεων. οὐδὲ δοῦλος πρὸς ἄλλον καταφεύγει, δεσπότου πικρὰν ὀλοφυρόμενος ἀγανάκτησιν· χήρα βοᾷ τὸ, ἐλέησον· ἄλλη τὴν ὀρφανίαν ὀδύρεται. μυρίαι τῷ πατρὶ καθ᾿ ἑκάστην πρὸς ἑκάστους ὑπὲρ ἑκάστου τροπαί. ἁρπάζεταί τις, καὶ συνήγορος ὁ πατήρ· λιμὸς ἐνοχλεῖ, καὶ τροφεὺς ἐκ συνηγόρου γίνεται· νοσεῖ τις, καὶ εἰς ἰατρὸν ὁ τροφεὺς μεταβάλλεται· πένθει τις περιπέπτωκε, καὶ ὁ νοσοκόμος ἐπιφέρει τὸ παραμύθιον· ξένων ἐπέστη φροντὶς, καὶ ξενοδόχος ὁ πάντα γεγονὼς ἀναδείκνυται. καὶ τί χρὴ καθ᾿ ἕκαστον λέγειν, ὅσα χρόνου μέρη τὸν ἐκείνου βίον διεμέτρησεν; ἵνα μὴ τὴν ἀρχιερωσύνην μόνην λέγω· τοσαύτη τοὺς ἀνθρώποις ἔργων σωτηρίων ποικιλία περιοῦσα οὐ διέλιπεν. ὦ στρατηγοῦ καὶ μετὰ τελευτὴν ἀρίστου. ὦ λυπηροῦ τοῖς ἐχθροῖς καὶ μετὰ τάφον ὁπλίτου. ὦ παναρμονίας λύρας, τελευτῇ λελυμένης. ὦ δικαστηρίου τηλικοῦτον ῥυθμιστοῦ ζημιωθέντος. ὦ σωτηρίου τοῖς ἀνθρώποις εἰς οὐρανὸν ἀναρπασθείσης σαγήνης. ὦ δένδρου πρὸς οὐρανὸν καὶ γῆν μερισθέντος· καὶ τῇ μὲν τὸ σῶμα, τῷ δὲ τὴν ψυχὴν παρασχόντος. ἐν τάφῳ τὸ τῆς ἐκκλησίας συγκέκλεισται στόμα· οἷος εὐσεβείας ἀνθρώπων ὀφθαλμὸς ἀνηρπάσθη; οὐ τέθνηκας, ὦ μακάριε πάτερ, ἀλλ᾿ ὡς ἥλιος ἔδυς· οὐχ ὡς ἀποθανόντος ἀλγοῦμεν, ἀλλ᾿ ὡς ἡμῖν κεκρυμμένου· οὐχ ὡς τεθνεῶτα ζητοῦμεν, ἀλλ᾿ ὡς εἰς οὐρανοὺς μεταστάντα. ἀλλὰ τοιαῦτα μὲν καὶ ὁ τρίτος (ἢ τέταρτος) λόγος.

Ἐγκωμιαστικοῦ δὲ τύπου καὶ ὁ τέταρτος διασώζει, ἐκ τοῦ δεῖν τιμᾶν πατέρας, τῶν ἐπαίνων ἀπαρχόμενος· οὗ ἐστι καὶ ταῦτα. τούτων τῶν ποιμένων εἷς καὶ ὁ Ἰωάννης, ἡ ἄκακος σύνεσις, ὁ πολυόμματος νοῦς, τῆς εὐαγγελικῆς ἐμπειρίας ἡ βίβλος, ὁ κηροῦ πρὸς διαλλαγὰς εὐπλαστότερος, τὸ πρὸς χαρίσματα πέλαγος, ὁ πρὸς δόλους πολεμίων ἀκέραιος, τῆς ἐκκλησίας ὁ περίβολος. οὐδεὶς ὑποκρίσεως αὐτὸν διελάνθανεν ὄφις. πόθεν σοι βούλει δείξωμεν τὸν Ἰωάννην πολύτιμον; ἐκ φιλοξενίας; καὶ τίς Ἰωάννου φιλοξενώτερος; ἐκ τῆς ἐν προστασίαις στερρότητος; καὶ τίς αὐτὸν δυναστεία κατῄσχυνεν; ἐκ τῆς περὶ τὴν ἐκκλησίαν σπουδῆς; καὶ τίνος ἡ τῆς ψαλμῳδίας τῶν δημοτικῶν ταγμάτων μέχρι νῦν εὐρυθμία; ἀλλὰ τοιαῦτα μὲν καὶ οὗτος ὁ λόγος. δ.

Ὁ δὲ ἐφεξῆς τοὺς αὐτοὺς μὲν τῶν ἐγκωμίων πλέκει στεφάνους, λαμπρότερον δέ πως τὴν τῶν νοημάτων ἰσχὺν ἀπαγγέλλει. ἐοίκασι δὲ οὗτοι πάντες οἱ πέντε λόγοι μετὰ τὴν ἀπὸ τῆς ὑπερορίας ἀνακομιδὴν συντετάχθαι. τοῦ δὲ νῦν λόγου μέρος εἰσὶν αἱ περικοπαὶ τῶν ὑποκειμένων ῥημάτων. ε.

Χρυσοσ

Χρῆσον ἡμῖν, ὦ πάτερ, τὴν λύραν τὴν σὴν, τὸ σὸν εἰς τὴν σὴν εὐφημίαν δάνεισον πλῆκτρον. εἰ γὰρ καὶ αἱ χεῖρες ἐλύθησαν τῷ νόμῳ τῆς φύσεως, ἀλλ' ἡ λύρα διὰ πάσης τῆς οἰκουμένης ἠχεῖ τῷ * δώρῳ τῆς χάριτος. ἐκείνης ἡμῖν τῆς ἀθανάτου γλώττης μεταδός· μόνη γὰρ ἡ σὴ γλῶττα τῶν σῶν κατορθωμάτων ἀξία. διὰ ταῦτα Ἰωάννης Ἰωάννην ἀπείληφεν ὁ πεπαρρησιασμένος τὸν ζηλωτὴν ὁ μετὰ θάνατον ἐλέγχων, τὸν κηρύττοντα μετὰ θάνατον· ὁ τῆς ἐρήμου πολίτης, τὸν πάσης πόλεως σοφιστήν. ἔχεις καὶ ἄλλην πρὸς τοὺς ἀποστόλους συγγένειαν. πρῶτος παρὰ τοῖς ἁμαξοβίοις σκύθαις θυσιαστήρια ἔπηξας· καὶ μόλις τῶν ἵππων ἀποπηδήσας ὁ βάρβαρος, ἔμαθε γόνυ κάμπτειν, καὶ εἰς ἔδαφος ἐξαπλοῦσθαι. καὶ ὁ τοῖς τῶν αἰχμαλώτων δάκρυσι μὴ καμπτόμενος, ἔμαθεν ὑπὲρ ἁμαρτημάτων δακρύειν. καὶ μὴν καὶ τὸν τοξότην πέρσην ἀντιτοξεύσας τῷ κηρύγματι καὶ σιδηρόφρονες προσκυνοῦσιν ἐκεῖνοι τὸν σταυρωθέντα. ἐνίκησεν ἡ σὴ γλῶττα χαλδαίων καὶ μάγων μαγγανευτήρια· καὶ ἡ κεχερσωμένη περσὶς εὐκτηρίους οἴκους ἐβλάστησεν. οὐκέτι τῆς εὐσεβοῦς θρησκείας τὰ βαβυλῶνος ἀλλότρια. ταῦτά σε τοῖς ἀποστόλοις * συνέζευξεν· ἔτι παρ' ἡμῖν τὰ σπέρματα τῆς σῆς γλώττης ἀνθεῖ· κἂν Ἰωάννην τις ὀνομάσῃ, πολὺς ὁ ἦχος ἐξακούεται. ἡ γὰρ ἐκκλησιαστικὴ λύρα τὸ ἀρχαῖον πλῆκτρον ἐπιγινώσκει· καὶ ἀντὶ δακτύλων ἀρκοῦσιν αἱ τοῦ σοῦ ὀνόματος συλλαβαί. ἔβλεπεν ἡ βασιλὶς πόλις τὰ ἐκ σύρων ὑφάσματα, καὶ διέπτυσεν· ἐθεώρει τοὺς ἐξ ἰνδῶν λίθους, καὶ κατεφρόνει. οὐδὲ τῆς τύρου τὸ ἁλουργὲς αὐτὴν ἔτερπεν ἄνθος. πηλίνην ἐπόθει γλῶτταν, ἀθάνατα διδασκαλίας προχέουσαν νάματα. εἶδέ σε καὶ Ἔφεσος ἡ ἀρχαία, καὶ νέον Ἰωάννην προσεῖπεν. εἶδε, καὶ εὐαγγελικῆς * ὑπεμνήσθη βροντῆς. ἐντεῦθεν, ἀγαπητοί, τὸ ῥεῦμα τοῦ λόγου τραχύνεται· ἀλλὰ μὴ φύγωμεν τὴν τραχύτητα τῆς εἰρήνης λοιπὸν ὁδοποιούσης τῷ ῥεύματι. εἰ γάρ τι πρὸς τοὺς σοὺς ναύτας, ὦ πάτερ, ἀγανακτεῖς· εἴ τι πρὸς τοὺς συμπεπλευκότας λυπῇ: ἐννόησον, ὅτι χειμὼν καὶ κλύδων καὶ θάλασσα βρασσομένη ἠνάγκασεν αὐτοὺς καὶ ἄκοντας τὸν Ἰωνᾶν προσρίψαι τοῖς κύμασιν. οὐκ ἐκείνων μῖσος, ἀλλὰ σὸν γυμνάσιον τὸ συμβάν· οὐκ ἐκείνων πόλεμος, ἀλλὰ σὸς ἀγὼν τὰ γινόμενα· οὐκ ἐκεῖνοι τῆς ἀδελφικῆς ἀπῳκίσθησαν ψήφου, ἀλλ' ἔδει καί σε τὸν δίαυλον τῶν μαρτύρων διαδραμεῖν. ἀπόρρητός τις οἰκονομία * σκάμματά σοι καὶ διαύλους ηὐτρέπισε. πάντως ἐρρέθη καὶ περὶ σοῦ πρὸς τὸν κοινὸν ἀντίπαλον τῆς ἀνθρωπότητος· προσέσχες τῇ διανοίᾳ σου κατὰ τοῦ θεράποντός μου Ἰωάννου; καὶ ἑξῆς. ἐχρεωστεῖτο τῷ λαμπρῷ βίῳ καὶ ἡ λαμπρὰ τελευτή. ἐπάλαιε μὲν τῷ Ἰὼβ ὁ διάβολος, ἐδόκουν δὲ προσκρούειν οἱ φίλοι· διὰ τοῦτο ὕστερον ὁ θεὸς ἐξιᾶται τοὺς φίλους, καὶ τοῖς φίλοις φίλον τὸν Ἰὼβ ἀποδίδωσι. τοῦτο καὶ νῦν ὥσπερ αἰσθάνομαι γεγονὸς, ὦ πάτερ· καὶ τὰς δεξιὰς τῶν πατέρων ἀλλήλαις συνεφαπτομένας φαντάζομαι. ἀπέλαβεν Ἰὼβ πολυπλασιασθέντα τὰ κτήματα· ἀπέλαβες καὶ σὺ μετὰ προσθήκης τὴν παρὰ πάντων τιμήν. τοῦτον τὸν ἔσχατον λόγον ἡ ἐπιγραφὴ ἐν τῷ ἀποστολείῳ εἰρῆσθαι λέγει. τὸ δὲ προοίμιον αἰνίττεται, ὡς ἄλλων προειπόντων, ὁ συγχαρεὶς μετ' ἐκείνους δημηγορεῖ· ἔχει γὰρ οὕτως· Ἐπειδὴ κἀμὲ πρὸς τὸ λέγειν ὁ κύκλος ἀνέστησεν,

[Left margin notes: * al. λύρᾳ. — Psal. 136 v. 5. * ἐν ὑπάξιν. al. ἐς. — * ἐπενοήθη Marc. 3. v. 17. — Iona 1. v. 12. — * al. σκάμματα σοι καὶ διαύλους. — Iob. 1. v. 8. — Iob. 42.]

Da nobis, ô Pater, mutuam lyram tuam & tuum ad tuam laudem concede plectrum. Etsi enim manus naturæ solutæ lege sunt, sed lyra per omnem terram sonat dono gratiæ. Da nobis illam immortalem linguam. Sola enim tua lingua par est ad enarrandas res tuas. Propterea Ioannes Ioannem antecessit, liberè loquens æmulantem. Qui morte reprehendit, prædicantem post mortem, deserti incola totius orbis sapientem. Habes aliam cum Apostolis cognationem, primus apud Scythas, quid quod in curribus viuant, Hamaxobij dicti aras erexisti, & barbarus vix ab equis dissiliens, didicit genu flectere, & ad pauimentum incuruari, & qui captiuorum lachrymis non mouetur, didicit pro peccatis flere. Quin etiam iaculatorem Persam vulnerans prædicatione, & ferrei didicerunt crucifixum adorare. Vicit tua lingua Chaldæorum & Magorum imposturas, & Persarum inculta natio templa germinauit. non amplius Babylon pietatem auersata est. Hæc te similem Apostolis fecerunt, adhuc apud nos semina linguæ vigent. Quando Ioannem aliquis nominat, magnus sonus exauditur. Ecclesiastica lyra antiquum plectrum cognoscit, & pro digitis sufficiunt syllabæ nominis tui. Constantinopolis vidit Syrorum vela, & contempsit. Vidit lapillos Indicos, & irrisit, nec Tyri illam color purpureus delectauit. Luteam concupiuit linguam, quæ immortales doctrinæ liquores distillauit. Vidit te antiqua Ephesus, & Ioannem nouum appellauit, vidit, & Euangelici recordatus est tonitrus. Hinc, ô dilecti, fluxus orationis cum impetu currit. Sed ne asperitatem fugiamus, pace tandem fluctui viam sternente. Si quid enim de tuis nautis, pater, conquereris, si quid contra tuos connauigantes contristat, intellige hyemis tempestatem, procellam, & mare efferuescens coëgisse illos vel inuitos Ionam mari immergere. Non eorum odium, sed tua exercitatio: non eorum arma, sed tua certamina ea quæ facta sunt, non illi à fraterna sententia expulsi sunt, sed oportuit & te stadium Martyrum currere. Arcana quædam prouidentia, * scammata tibi, & certaminis locum præparauit. Omnino dictum est de te contra hominum communem hostem: *Numquid considerasti seruum meum Ioannem, &c.* Debuit claræ vitæ clara etiam mors addi. Oppugnauit Diabolus Iob, aduersari amici nolebant. Ideò postea Deus opem tulit amicis Iob, & amicis amicum Iob reddidit. Hoc etiam nunc, vt video, factum in te, ô Pater, & dextras Patrum cùm inuicem copulatas animo cogito. Recepit Iob plura quàm prius habuit, recepisti & tu cum auctario gloriam ab omnibus maiorem. Hanc extremam orationis partem inscriptio in Apostolico templo habitam significat. Procemium verò indicat, auctorem post alia hęc scripsisse. Sic enim ait: *Postquam & ego dicere ordine debui,*

[Right margin notes: THEODORETVS. — Ioan. Baptistam imitatus est Ioannes Chrysostom. — 1. Pet. 5. — Marc. 3. 17. — * Scammatis vocem pro arena meta & palæstra adhibet Tertullianus, & B. Hieronymus. Vide Paulum Leopardum lib. 1. Miscellan. c. 22. & hic Græci exemplaris scholia. — Iob. 1. 8.]

THEODORETVS. *tùm ego cum cæteris assurgere ad dicendum cogor, cùm oporteat & me patriæ benè precari, & multi debitum inexorabile petentes: apud nos verò nihil simile paternæ virtutis: da nobis, ô Ioannes, mutuam lyram.*

ἐπειδὴ τὸ σύνθημα πρὸς τὴν κοινὴν χορείαν ἐγείρει, ἐπειδὴ δεῖ κἀμὲ πρὸς εὐφημίαν πατρικὴν ἀνακρούσασθαι μέλος. καὶ πολλοὶ μὲν οἱ τὸ ὄφλημα τὸ ἀπαραίτητον * ἀπαιτοῦντες· παρ' ἡμῖν δὲ οὐδὲν τῆς πατρικῆς ἰσάμιλλον ἀρετῆς: χρῆσον ἡμῖν, ὦ πάτερ Ἰωάννη, τὴν λύραν τὴν σήν.

* παραιτοῦντες H. St.

IOANNIS CHRYSOSTOMI

CCLXXIV. *In XL. Martyres Oratio.*

LEGI Ioannem Chrysostomum in laudem XL martyrum. Celebrantur martyres non vt ipsi laudem accipiant, verùm vt nos per eorum laudem ad imitationem incendamur. Molestias passi sunt pij & impij, sed illi ad exercitationem iustitiæ, hi ad peccati castigationem. Ideò iustorum mala S. Scriptura *Tribulationes* vocat, malorum contra *Castigationes*. *Vestri beati oculi, quid vident*, id est, quia intelligunt. Si enim in videndo felicitas, etiam Iudæi, qui Saluatorem viderunt, beati fuissent. Sed *videre* in S. Scriptura est capi de intelligenti animi oculo, & profunditatem veritatis intelligere. Ideo Prophetas olim *videntes* vocarunt. Beata prædicat Saluator instrumenta virtutis, etsi corporis sint, oculos benè videntes, & aures cum discretione audientes. Oportet enim audientem intellexisse, & intelligentem audisse, vt scriptum est: *Audi filia, & vide, & inclina aurem tuam.* pro his, obtempera, intellige. Quemadmodum hausturus aquam ad fistulam acclinatur, sic auditus iusti ad diuinæ legis fluenta se inclinat: *Inclinabo enim in parabolam aurem meam.* Quare *inclinabo?* Cùm omnis vrna aquam capiens, capit se inclinando, ideò & omnis auris suscipiens fluxus verbi Dei, ad hoc se inclinare dicitur. Prædico beata martyrum latera, quæ pietatis robur inexpugnagile ostenderunt, pietatem non amisisse. Etenim vt plurimum percussi sunt totis costis, quandoquidem per costam peccatum intrauit. Peccatum enim non est fœmina: ipsa etenim etiam Dei creatura est, sed quia per eam præuaricatio viam inuenit. Poliuntur igitur martyres in costis, vnde peccatum irrepsit. Ideò Saluator in latere hastam suscepit, *& exiuit sanguis & aqua.* quo mundus ablutus est, & antiquum vulnus depulsum. Quemadmodum enim iustorum membra singillatim laudibus celebrantur, sic & impiorum membra infamia notantur, & singillatim infelicia deprædicantur: *Non veniat mihi pes superbiæ, & manus peccatoris non moueat me.* Pes superbiæ via est factus superbiæ, manus verò est actio, vt, neque factum peccati, neque semita accidat mihi, neque profectus in deterius. Ideò Moses aurem dextram Sacerdotis sanguine arietis vngit, & pollicem manus eius dextræ, similiter & pedis. *Aurem* quidem quasi suscepturam Verbum Domini. *Manum* quasi opera ostendat: pedem verò, quia progressionis & perfectionis in virtute signum est. Duo fons Euangelij cooperatur, mundat, potum præbet: potum quidem sitientibus præbet: mũdat verò animas sordidas:

Matth. 13.16.
2. Reg. 9.
Psal. 44.11.
Psa. 48.5.
Martyrum cruciatus.
Genes. 2.
Ioan. 19.34.
Psa. 35.12.
Leuit. 8.23.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟ-
μου ἐκ τοῦ ἐγκωμίου εἰς τοὺς ἁγίους μ' μάρτυρας.

σοδ'. Ioan. Chrysost. in XL. martyres.

ΑΝΕΓΝΩΣΘΗ Ἰωάννου τοῦ Χρυσοστόμου ἐκ τοῦ ἐγκωμίου τοῦ εἰς τοὺς ἁγίους τεσσαράκοντα μάρτυρας.

Ἐγκωμιάζονται μάρτυρες, οὐχ ἵνα αὐτοὶ τὸν ἔπαινον λάβωσιν, ἀλλ' ἵνα ἡμεῖς διὰ τῶν ἐπαίνων διαναστῶμεν πρὸς τὴν μίμησιν. ἐθλίβησαν καὶ δίκαιοι, καὶ ἄδικοι· ἀλλ' οἱ μὲν εἰς γυμνάσιον δικαιοσύνης, οἱ δὲ εἰς ἔλεγχον ἁμαρτίας. διὰ τοῦτο τὰ μὲν τῶν δικαίων πάθη θλίψεις ἡ γραφὴ καλεῖ· τὰ δὲ τῶν ἁμαρτωλῶν, μάστιγας. μακάριοι οἱ ὀφθαλμοὶ ὑμῶν ὅτι βλέπουσιν· ἀντὶ τοῦ, ὅτι καταμανθάνουσιν. εἰ γὰρ ἀπὸ τοῦ ὁρᾶν ἦν ὁ μακαρισμὸς, καὶ οἱ Ἰουδαῖοι τὸν σωτῆρα ὀφθαλμοῖς ἰδόντες ἐμακαρίζοντο ἄν. καὶ γὰρ τὸ βλέπειν παρὰ τῇ γραφῇ τὸ τῷ νοερῷ τῆς ψυχῆς ὄμματι καταλαμβάνεσθαι δηλοῖ, καὶ τὰ τὰ βάθη καθορᾶν τῆς ἀληθείας. διὰ τοῦτο καὶ ἐν τοῖς ἀρχαίοις τοὺς προφήτας βλέποντας ἐκάλουν. μακαρίζει τοίνυν ὁ σωτὴρ τὰ ὄργανα τῆς ἀρετῆς, κἂν τοῦ σώματός ἢ, ὀφθαλμοὺς καλῶς βλέποντας, καὶ ὦτα διακριτικῶς ἀκούοντα. δεῖ γὰρ ἀκούσαντα νοῆσαι, καὶ νοήσαντα ὑπακοῦσαι· κατὰ τὸ γεγραμμένον, Ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου· ἀντὶ τοῦ, ὑπάκουσον, νόησον. ὥσπερ δεξαμενὴ σωλῆνι προσκέκλιται ῥέοντι, οὕτως ἡ ἀκοὴ τοῦ δικαίου προσκέκλιται τοῖς θείου νόμου τοῖς νάμασι. κλινῶ γὰρ εἰς παραβολὴν τὸ οὖς μου. διὰ τί κλινῶ; ἐπειδὴ πᾶσα ὑδρία δεχομένη ὕδωρ, κεκλιμένῳ τῷ σχήματι δέχεται· διὰ τοῦτο καὶ πᾶσα ἀκοὴ, δεχομένη τοῦ θείου λόγου τὰ ῥεύματα, προσκεκλίσθαι τούτοις λέγεται. μακαρίζω τὰς τῶν μαρτύρων πλευρὰς, αἳ τὴν τῆς εὐσεβείας πλευρὰν ἀήττητον ξεόμεναι ἔδειξαν, τὴν εὐσέβειαν μὴ ἀποσμήξασαι· καὶ γὰρ ἐπλήττοντο ὡς ἐπίπαν τὰς πλευρὰς, ἐπειδὴ ἀπὸ πλευρᾶς ἡ ἁμαρτία ἐβλάστησεν. ἁμαρτία δὲ οὐχ ἡ γυνή· θεοῦ γὰρ πλάσμα καὶ αὕτη· ἀλλ' ὅτι δι' ἐκείνης ὁδὸν εὗρεν ἡ παράβασις. ξέονται οὖν οἱ μάρτυρες τὰς πλευρὰς, ἐξ ὧν ἐπήγασεν ἡ ἁμαρτία. καὶ ὁ σωτὴρ δὲ διὰ τοῦτο κατὰ τὰς πλευρὰς ἐδέξατο λόγχην· καὶ ἐξῆλθεν ὕδωρ καὶ αἷμα, τοῦ κόσμου καθάρσιον, καὶ τῆς παλαιᾶς ἐκείνης πληγῆς ἀλεξιτήριον. ὥσπερ δὲ μέλη δικαίων ἐγκωμιάζονται κατὰ μέρος· οὕτω καὶ μέλη ἀσεβῶν στηλιτεύονται, καὶ ταλανίζονται κατὰ μέρος. μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσῃ με. ποὺς ὑπερηφανίας, ἡ ὁδὸς τῆς ὑπερηφανίας· χεὶρ δὲ ἡ πρᾶξις. οἷον, μήτε πρᾶξις ἁμαρτίας μήτε τρίβος προσέλθῃ μοι, μηδὲ προκοπή. διὸ καὶ Μωσῆς οὖς δεξιὸν τοῦ ἱερέως αἵματι τοῦ ἀμνοῦ χρίει, καὶ τὸ ἄκρον τῆς δεξιᾶς χειρὸς καὶ τοῦ δεξιοῦ ποδός· τὸ μὲν, ὡς δεξόμενον τοῦ θείου λόγου μέλλον ἔσεσθαι· τὴν δὲ, ὡς πράξεως δηλωτικήν· τὸν πόδα δὲ, ὡς προκοπῆς τῆς ἐπ' * ἀρετῇ καὶ τελειώσεως σύμβολον. διπλῆ ἐργάζεται ἡ πηγὴ τοῦ εὐαγγελίου, καθαίρει καὶ ποτίζει. ποτίζει μὲν τὰς διψώσας, καθαίρει δὲ τὰς ῥυπώσας (ψυχάς.)

* ἀρετῆς H. St.

ὁ μισθὸς

Divinæ bonitatis imber incipiens hominibus effundi, hodie supra modum auctus est, & magna olim [exhibita] beneficia maioribus hodie obscurauit. Nam erant quidem ante hoc beneficium illustria, & summi amoris signa: Adam è virgineo sanguine nouus factus, corporum morbi fugati, & ex animabus dæmonia eiecta. Latrones prĩcipem latronum vincunt, & de eo triumphant: Resurrectio morti succedit. Sed hactenus hæc plena sunt honoris & splendoris, sed donum quod nunc celebramus, non admittit comparationem. Et amor creatoris erga nos vincit seipsum, & vna cum victoria ornatur: & quæ illam vicit, nihilominus quàm si horum singula victoriæ coronam reportârent. Terrigena natura terram relinquens, quin potius ferens, in cœlum transfertur. Et hoc quod dictum est: *Faciamus hominem ad imaginem & similitudinem nostram*, magis reformationis, quàm formationis esse videtur. Exemplar immortalitatis est forma hodie assumpta, adumbratio huius & typus est initium creationis nostræ ad imaginem Dei. Loqui debet asinus, ne quis sit incredulus: ante locutus est serpens, Virgo parit: Ne tibi nouum videatur, parit quæ antea sterilis fuit, pariendus erat Adamus morte superior, ne quærendo vt credas defatigeris. Primus Adam accipit sententiam de immortalitate. & Enoch habes, & Eliam, qui immortalitatis mysterium adumbrant. Creator enim hos adhuc tenet in corpore, naturam exsulantem consolans, qui etiam post exilium iterum immortalitati sit illam restituturus. Lapsi parentis quæ irrepsit mortalitas, non peccantis filij in solutionem indiget supplicio, quem exspectare natura per Enoch, & Eliam antea consueuit. Te volente non moritur mortalis, vt Enoch, & Elias me docent, & per illos resurrectionem speramus, quia nondum mortui sunt. Mortuis verò, quam quæso præbeant exspectationem resurrectionis ij qui nondum mortui sunt? Sed si quis à mortuis excitatus in cœlo regnat, ille omnibus hominibus certum immortalitatis beneficium dat. Ideò naturæ format Deus immortalitatis è natura faciem, & ostendit supra naturam è natura naturæ ducem. Qui mortem gustauit, in cœlo à mortuis collocatur, vt è terris natura ad eũ qui in cœlis est respiciens,

Genes. 1. 26.
Num. 22. 28.
Genes. 3. 1.
Luc. 1. 36.
Genes. 5. 24.
4. Reg. 2. 11.

NILVS. nihil de immortalitate addubitet, videns regem in æternum in cœlis è se natum regnare. Quis potentias Domini enarrabit? Regnat cum diuinitate natura, quæ prius in paradiso nec diuinam vocem audire sustinuit, sed præ timore fugit, & sese occultauit. O Dei erga me bonitatem! Non meminit transgressionis, non recordatur pacti, quod cum serpente malum pepigimus, ingratitudinem hominum non reputat, lapsum naturæ non erubescit, sed in barathro mortis iacentem, in ipsis impietatis adytis cõplectitur inenarrabilibus amoris diuitiis, & illam ex inferorum penetralibus retrahens, vna cum diuinitate sua creator creaturam eleuans, paterno sinui imposuit. Ideò Paulus clamat: *Conresuscitauit, & consedere nos fecit in cælestibus.* (Ephes. 2. 6.)

μηδὲν * ἐπιδιστάξῃ τῇ ἀθανασίᾳ, τὸν ἐξ αὐτῆς ἀϊδίως ἐν οὐρανοῖς βλέπουσα βασιλεύοντα. τίς λαλήσει τὰς δυναστείας κυρίου; συμβασιλεύει θεότητι φύσις, ἡ πρὶν ἐν παραδείσῳ μηδὲ τῆς θείας φωνῆς τὴν ἀκοὴν στέγουσα, ἀλλὰ τῷ φόβῳ διαπετεύουσα καὶ κρυπτομένη. ὢ τῆς περὶ ἐμὲ χρηστότητος. οὐ μνημονεύει τῆς παραβάσεως, οὐ μνησικακεῖ τῆς πρὸς τὸν ὄφιν συνθήματος, τὰ ἡμῖν τῆς ἀγνωμοσύνην οὐ λογίζεται. τῆς πτῶσιν οὐκ ἐπησχύνθη τῆς φύσεως· ἀλλ᾽ ἐν αὐτοῖς τοῖς τοῦ θανάτου κειμένοις βαράθροις, ἐν αὐτοῖς τοῖς τῆς ἀσεβείας ἀδύτοις περιδράττεται ταύτης ἀρρήτῳ φιλανθρωπίας πλούτῳ. καὶ τῶν μυχῶν ταύτην ἀνασπάσας τοῦ ᾅδου, συναναψώσας αὐτὴν τῇ θεότητι ὁ πλαστουργὸς τὸ πλαστούργημα, τοῖς πατρικοῖς κόλποις ἐνίδρυσε. διὰ τοῦτο καὶ Παῦλος ἐβόα· συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις. (* ἀντιτάξῃ M. M.)

CCLXXVII. Excerpta ex Homilia 1. Ioannis Chrysostomi

De Spiritu Sancto.

Legi primam Homiliam Chrysostomi de Spiritu sancto, cuius hoc initium: Heri nobis, ô amatores Christi, pseudochristi a semetipsis loquebantur, non ex lege, non ex Prophetis, sed à proprio suo animo ac impetu: Saluator autem non recessit à lege, non reliquit Prophetas, sed dixit nunc quidem: *Benè prophetauit Isaias*: nunc verò: *Non est in lege vestra scriptum?* & talia infinita. Cum igitur qui venerunt ante Christum, & illius nomen falso sibi imposuerunt, non è sacra Scriptura, sed ex propria væcordia errorem proferrent, dicit Christus: *Ego à me ipso non loquor*, vt illi. Nam à seipso loqui, est extra sacras litteras loqui, quia verò à seipso loqui, pseudochristorũ & pseudoprophetarum est, dicit Deus per Prophetam Ezechielem: *Non misi illos, à seipsis loquuti sunt, & de corde suo dicunt.* Quia igitur pseudoprophetæ à seipsis loquuti sunt, illam suspicionem amoliri volens: (blasphemabat enim ingrata Iudæorum natio, & mundum in errorem trahebat) ideò dixit: Ego à me ipso non loquor, sed à lege ac Prophetis: *Omnia quæcunque audiui à Patre meo*, in lege, in Prophetis, (in persona carnis hæc dicit, & ad impiam suspicionem tollendam) *Vos verò quæcunque audistis à Patre vestro diabolo*: filij enim paternam hæreditatem suscipiunt, & ideò eorum hæredes fiunt, vt idem hic esse videatur, & eodem recidere ex seipso loqui, & loqui ex patre suo diabolo. Quemadmodum Christus veniens legem & Prophetas impleuit, sic & Spiritus sanctus Euangelium impleuit. Christus veniens confirmauit ea quæ sunt à Patre in lege & Prophetis dicta. Ideò & Paulus dixit: * *Finis legis Christus.* Spiritus sanctus veniens, Euangelium impleuit. Quæcunque sunt in Christi doctrina, Spiritus implet, quæcunque in lege, Christus. Non quòd Pater sit imperfectus, sed quod sit interpres, & perfector eorum quæ sunt Patris.

Matth. 15. 7. Ioan. 8. 17. — Ioan. 14. 10. — Ezech. 13. 6. — Ioan. 15. 15. — Ioan. 8. 44. — * al. vel plenitudo, πλήρωμα.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ ΕΚ ΤΗΣ περὶ τοῦ ἁγίου πνεύματος α΄ ὁμιλίας.

σοζ΄. Excerpta ex homilia 1. Ioan. Chrysostomi de Sp. sancto.

Ἀνεγνώσθη τοῦ Χρυσοστόμου ἐκ τῆς περὶ τοῦ ἁγίου πνεύματος πρώτης ὁμιλίας, ἧς ἡ ἀρχή· Χθὲς ἡμῖν, ὦ φιλόχριστοι, οἱ ψευδόχριστοι ἀφ᾽ ἑαυτῶν ἐλάλουν, οὐκ ἐκ νόμου, οὐκ ἐκ προφητῶν· ἀλλ᾽ ἀπὸ τῆς ἰδίας γνώμης καὶ ὁρμῆς. ὁ δὲ σωτὴρ οὐκ ἀπέστη νόμου, οὐκ ἐγκαταλέλοιπε προφήτας· ἀλλ᾽ ἔλεγε νῦν μὲν, καλῶς εἶπεν Ἠσαΐας· νῦν δὲ, οὐ γέγραπται ἐν τῷ νόμῳ ὑμῶν· καὶ μυρία τοιαῦτα. ἐπεὶ οὖν οἱ ἐλθόντες πρὸ Χριστοῦ, καὶ τὸ ἐκείνου περιθέντες ἑαυτοῖς κακούργως ὄνομα, οὐκ ἀπὸ τῶν ἱερῶν γραφῶν, ἀλλ᾽ ἐκ τῆς ἰδίας ἀπονοίας τὰ τῆς πλάνης προεβάλλοντο. λέγει ὁ σωτήρ· Ἐγὼ ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ, ὥσπερ ἐκεῖνοι· τὸ γὰρ ἀφ᾽ ἑαυτοῦ λαλεῖν, τὸ ἔξω τῶν ἱερῶν γραφῶν ἐστι λαλεῖν. ὅτι δὲ τὸ ἀφ᾽ ἑαυτοῦ λαλεῖν, ψευδοχρίστων ἐστὶ καὶ ψευδοπροφητῶν, λέγει διὰ τοῦ προφήτου Ἰεζεκιὴλ ὁ θεός· Οὐκ ἀπέστειλα αὐτοὺς, ἀφ᾽ ἑαυτῶν ἐλάλησαν, ἐκ τῆς καρδίας αὐτῶν φθέγγονται. ἐπεὶ οὖν οἱ ψευδοπροφῆται ἀφ᾽ ἑαυτῶν ἐκήρυττον· ταύτην ἀποδυόμενος τὴν ὑπόνοιαν (καὶ γὰρ ἐδυσφήμει τὸ ἀχάριστον τῶν Ἰουδαίων ἔθνος πλεῖον, καὶ πλανᾷν τὸν κόσμον) διὰ τοῦτο ἔλεγεν· Ἐγὼ ἀπ᾽ ἐμαυτοῦ οὐ λαλῶ· ἀλλ᾽ ἀπὸ νόμου, ἀπὸ τῶν προφητῶν· ὅσα ἤκουσα παρὰ τοῦ πατρὸς ἐν νόμῳ, ἐν προφήταις (ἐκ προσώπου δὲ τῆς σαρκὸς ταῦτα λέγει, καὶ εἰς διάλυσιν τῆς δυσσεβούσης ὑπονοίας:) ὑμεῖς δὲ, ὅσα ἠκούσατε παρὰ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου. τὰ γὰρ τοῦ πατρὸς κλῆρος γίνεται τοῖς παισί· καὶ διὰ τοῦτο τὰ ἐκείνου γίνεται τῶν κληρονόμων. ὡς ἴσον ἐνταῦθα καθορᾶσθαι, καὶ εἰς ταυτὸν συνιέναι, τὸ ἐξ ἑαυτῶν λαλεῖν, τὸ ἐκ τοῦ πατρὸς αὐτῶν τοῦ διαβόλου λαλεῖν· Ὥσπερ ὁ Χριστὸς ἐλθὼν ἐγένετο πλήρωμα νόμου καὶ προφητῶν· οὕτω καὶ τὸ πνεῦμα πλήρωμα τοῦ εὐαγγελίου. Χριστὸς ἐλθὼν ἐβεβαίωσε τὰ παρὰ τοῦ πατρὸς ἐν τῷ νόμῳ εἰρημένα καὶ προφήταις. διὸ καὶ λέγει Παῦλος· * πλήρωμα νόμου Χριστός. τὸ πνεῦμα τὸ ἅγιον ἐπελθὸν, ἐπλήρωσε τὰ τοῦ εὐαγγελίου· ὅσα ἐστὶν ἐν τῇ τοῦ Χριστοῦ διδασκαλίᾳ, τὸ πνεῦμα πληροῖ· ὅσα ἐν τῇ τοῦ νόμου, ὁ Χριστός. οὐχ ὡς ἀτελοῦς ὄντος τοῦ πατρὸς· ἀλλ᾽ ὡς ἑρμηνευτὴς τῶν τοῦ πατρὸς καὶ τελειωτής.

* τέλος, Rom. 10. v. 4.

οὕτω δὲ τὸ πνεῦμα διασαφεῖ καὶ διαφαίνει τὰ τοῦ υἱοῦ· καὶ γάρ φησι, πολλὰ ἔχω ὑμῖν λαλεῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. ὅταν δὲ ἔλθῃ τὸ πνεῦμα τὸ ἅγιον, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν, καὶ ἑξῆς. Ὅτι ἀφ' ἑαυτοῦ οὐ λαλεῖ· οὐ γὰρ ἀντιφθέγγεται τῷ υἱῷ, ἀλλ' ἀναπληροῖ τὰ τοῦ υἱοῦ, καθ' ὃν τρόπον ὁ υἱὸς τὰ τοῦ πατρός. Ὅτι ἐν τούτῳ τῷ λόγῳ εὑρήσεις πρὸς τῷ τέλει, δεικνύντος τοῦ Χρυσοστόμου, ὅτι ἡ ἀποστολὴ οὔτε τὸν υἱὸν οὔτε τὸ πνεῦμα ἐλάττω ποιεῖ τοῦ πατρός. Ὅτι καὶ αὐτὸς ὁ πατὴρ ἀποστέλλεται παρὰ τοῦ πνεύματος, καὶ παρὰ τοῦ υἱοῦ, λέγει αὐταῖς λέξεσιν· Ἐάν σοι δείξω τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς ἀποστελλόμενον παρὰ τοῦ πνεύματος, καὶ παρὰ τοῦ υἱοῦ· τί ποιεῖς; ἢ ἄρνησαι τὸν Χριστόν, καὶ * ἀπάλειψον τὰς γραφάς· ἢ δοῦλος ὢν τῶν γραφῶν, ὑποτάγηθι ταῖς γραφαῖς. Καὶ ποῦ (φησὶν) εἴρηται τοῦτο; ἄκουε τοῦ θεοῦ διὰ τοῦ προφήτου λέγοντος Ἡσαΐου· Ἄκουέ μου Ἰσραήλ, ὃν ἐγὼ καλῶ· καὶ ὅλην τὴν περικοπὴν ἐκτεθεὶς τοῦ χωρίου, μέχρι τοῦ, Καὶ νῦν κύριος ἀπέστειλέ με καὶ τὸ πνεῦμα αὐτοῦ· διϊσχυρίζεται, τὸν πατέρα ταῦτα εἰπεῖν ἐκ τῶν προτεταγμένων βεβαιῶν τὸν λόγον, καὶ καθιστῶν δῆλον, ὡς ὁ πατὴρ εἴη νῦν ὁ λέγων, καὶ ἀποστελλόμενος παρά τε τοῦ πνεύματος καὶ τοῦ υἱοῦ.

* [illegible] M. M.

Τοῦ αὐτοῦ, ἐκ τοῦ· ὅτι Χριστὸς ἀνατολή· καὶ εἰς τὸ, ἀνέβη καὶ κατέβη· καὶ ὅτι τὸ πνεῦμα τὸ ἅγιον παντοκράτωρ ἐστίν.

Ὅτι ὁ θεὸς λόγος, φησὶν Ἰωάννης, τὸν βραχίονα εἰς τὴν οἰκονομίαν ἐκλαμβάνων τοῦ σωτῆρος καὶ τὴν αὐτοῦ θεότητα. πολλά, φησι, σημεῖα ποιήσαντος τοῦ Ἰησοῦ, οὐκ ἐπίστευσαν εἰς αὐτὸν οἱ Ἰουδαῖοι· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ Ἡσαΐου· κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; αὐτὸς τοίνυν καὶ δικαιοσύνη· ἐγγίζει γὰρ ἡ δικαιοσύνη μου παραγενέσθαι. αὐτὸς καὶ σωτήρ, αὐτὸς καὶ βραχίων. διὰ τοῦτο καὶ ὁ Παῦλος περιλαβὼν ἅπαντα, εἰς ἓν ἀναφέρει, λέγων· Ὃς ἐγενήθη ἡμῖν ἀπὸ θεοῦ σοφία, καὶ ἁγιασμός, καὶ ἀπολύτρωσις. Οὗτος ἡμῖν ἀνέτειλεν ἀνατολὴν δικαίαν· ἰδοὺ γάρ φησιν ἀνατελῶ τῷ οἴκῳ Δαυὶδ ἀνατολὴν δικαίαν. καὶ βασιλεὺς δίκαιος. μία μὲν οὖν ἡ ἀνατολή· πολλαὶ δὲ αὐτῆς αἱ ἀκτῖνες· φιλανθρωπίας, ἰάσεως, εἰρήνης, δικαιοσύνης· ἀκτῖνες καὶ μυρίων ἄλλων. διὸ καὶ ὁ Δαυὶδ προθεσπίζων ᾖδεν· ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη. αὕτη γοῦν ἡ ἀνατολὴ ἐξ ὕψους ἀνέτειλε, καὶ ἀπὸ τῆς γῆς· ἐξ ὕψους μέν, κατὰ τὴν θεότητα· ἀπὸ γῆς δέ, κατὰ τὴν οἰκονομίαν.

Τοῦ αὐτοῦ, ἐκ τοῦ εἰς τὴν ἐνανθρώπησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καί, ὅτι ἑκάστῳ κλίματι ἐφεστήκασιν ἄγγελοι.

Excerpta ex or. Ioan. Chrysost. homil. in Natalem I. Christi, &c.

Sic Spiritus sanctus explicat & illustrat opera Filij. Etenim ait: *Adhuc multa habeo vobis dicere, sed non potestis portare modò: cum autem venerit Spiritus sanctus, docebit vos omnem veritatem &c.* à se ipso non loquitur, non enim contradicit Filio, sed opera Filij implet, vt Filius patris. In hac homilia in fine inuenies Chrysostomum dicere, missionem neque Filium neque Spiritum minorem facere Patre. Quòd & ipse Pater mittatur à Spiritu, & à Filio, dicit his verbis: Si tibi ostendero factorem cœli & terræ missum esse à Spiritu & Filio, quid facies? vel nega Christum, & dele Scripturas, vel seruus Scripturæ, submitte te Scripturis. Et vbi dicitur, inquit, hoc? Audi Deum per Prophetam dicentem Isaiam: *Audi me Israël quem ego voco*, & cùm integrum locum eousque protulisset: *Et nunc Deus misit me & Spiritus eius.* confirmat Patrem hæc dicere, ex prædictis confirmans hanc orationem & statuens: clarum est Patrem nunc loqui, & mitti se à Spiritu & Filio.

IO. CHRYSO. Ioan. 16. 12. Esaia 48. 12. Ibid. 16.

Eiusdem ex oratione; Christum esse orientem, & in illud: Descendit & ascendit: *& quòd Spiritus Sanctus sit omnipotens.*

Luc. 1. 78. Ephes. 4. 9.

DEVS Verbum, ait Ioannes, brachium de dispensatione Saluatoris, & eiusdem deitate interpretans. Multa, inquit, signa faciente in populo IESV, non crediderunt in eum Iudæi, vt impleretur quod dixit Esaias: *Domine quis credidit auditui nostro, & brachium Dei cui reuelatum est.* Ipse igitur etiam iustitia: appropinquat enim iustitia mea accedere, ipse Saluator, ipse brachium: ideò & Paulus omnia comprehendens, ad vnum refert, dicens: *Qui factus est nobis sapientia à Deo, & iustitia & sanctificatio, & redemptio, ille nobis protulit exortum iustitiæ. Ecce enim, inquit, proferam exortum iustitiæ domini Dauid.* Ipse & rex iustus. Vnus igitur exortus [siue oriens] multi eius fuerunt radij, humanitatis, curationis, pacis, iustitiæ, radij infinitorum aliorum. Ideò & Dauid præuidens cecinit: *Orietur in diebus eius iustitia & abundantia pacis, donec auferatur Luna.* Hic igitur oriens ex alto ortus est, & è terra: ex alto quidem, secundùm deitatem: ex terra verò, secundum dispensationem.

Isaia 53. 1. 1. Cor. 1. 30. Psalm 71. 7. Luc. 1.

Eiusdem in Domini incarnationem Iesu Christi, & quod singulis regionibus Angelus præsit.

SERVIVIT creatura homini, Sol & Luna, stella, mare, terra, & quæcunque in eis sunt, non verò vt digno (etenim præuaricator & reus fuit) sed Deo iubente ei seruire: ne per omnia imago iniuria afficeretur; licet homo præuaricatus fuerit. Omni igitur creatura rebellante, Deus creaturæ mandat non repugnare, sed præbere quidem Solem radios suos,

Pauli laus. Roman. 8. expenditur.

Ἐδούλευσεν ἡ κτίσις τῷ ἀνθρώπῳ [οὐχ ὡς ἀξίῳ] ἥλιος καὶ σελήνη, ἄστρα, καὶ θάλασσα, καὶ γῆ, καὶ τὰ ἐν αὐτοῖς· οὐχ ὡς ἀξίῳ ὄντι (καὶ γὰρ παραβάτης ἦν, καὶ ὑπόδικος) ἀλλὰ τοῦ θεοῦ δουλεύειν προστάξαντος: ὡς ἂν μὴ ἐξυβρισθῇ διὰ πάντων ἡ εἰκών, εἰ καὶ παρέβη. πάσης τοίνυν τῆς κτίσεως στασιαζούσης· ὁ θεὸς κελεύει τῇ κτίσει, μὴ ἀφηνιᾶν· ἀλλὰ παρέχειν μὲν τὸν ἥλιον τὰς ἑαυτοῦ ἀκτῖνας,

IOANNES CHRYSOST. mare pisces & negotiationem, & singulas creaturas, vtilitatem suam & commodum hominibus. Hunc sensum Apostolus explicans dicit: *Nam exspectatio creaturæ reuelationem filiorum Dei exspectat. Vanitati enim creatura subiecta est, non volens, sed propter eum qui subiecit eam in spe, & ipsa creatura liberabitur à seruitute corruptionis in libertatem gloriæ filiorum Dei.* (Rom. 8. 20.) Hæc eò pertinent, sciuit Deus hominem lapsurum, & creaturam peccatoris imperium detrectaturam, idcircò refrænauit eam, & etiam nolentem, iussitque parere, vt antea, dum legi parendo, regale ac summum imperium seruabat. Pudebat enim creaturam obnoxio peccatis domino se subiici, & seruire ei, quem seruum peccati esse videret, sed creator iussit transgressorem non abnegare, sed ostendere communis Domini immensam gratiam, & firmum beneficium. Promittens etiam creaturæ, renouato & liberato corrupto & captiuo homine, etiam ipsam renouatum iri, quasi diceret: Cecidit imago, & per lapsum interiit, & per inobedientiam corruptio est. Patere seruire corruptione corrupto, vt quando ipsum renouato, meam imaginem, corruptum hominem, cum illo & te creaturam renouem, & eadem qua ille afflictam miseria, cum gloria resuscitem. Quid est hoc, hominis dominum fugere creaturam: Dicit enim: *Vanitati subiecta est creatura, non volens*: cui vanitati? A quo enim tempore homo à Deo deflexit, vanitas vocatur. Audi canentem Dauidem: *Veruntamen vniuersa vanitas, omnis homo viuens.* Omnis homo vanus est Deum relinquens, & vanitatem sequens.

Rom. 8. 20.

Psal. 38. 8.

a Angeli custodes vniuersi.

Constituit Deus Angelos secundùm climata orbis vniuersi custodes, vt quod & Moses dicit, [a] singuli singulas gentes seruent. Constituit verò, vt inanimatas creaturas frænent, Solem, & Lunam, & mare, & terram, & quæcunque in iis sunt, ad seruiendum hominum vsui. Rursum Angeli angebantur seruientes indignis, & pœnæ obnoxiis hominibus: præsertim videndo illos maximum honorem idolis, vni Deo debitum, exhibere. Protulit terra vinum, & aræ libationes accipiebant, alios fructus idolis consecrabant. Ideò Angeli sunt indignati, videntes ea quæ non sunt, coli loco eius qui est. Hinc & alia quæstio, quæ ad Propheram relata est: *Venit ad illum*, inquit, *Angelus Gabriel, & dicit ei: Daniel serue Dei, ex die primo quo posuisti cor tuum ad intelligendum, vt te affligeres in conspectu Dei tui, exaudita sunt verba tua, & missus sum vt hæc tibi nuntiarem. Princeps autem regni Persarum restitit mihi, nisi Michaël princeps gentis vestræ venisset in adiutorium meum.* Dubitauerit enim aliquis, si Persiæ Angelus præsidens à Deo ordinatus sit. Si verò & Gabriel à Deo missus est, vt populum Israël è captiuitate educeret: quomodo ei Persarum princeps restiterit? Ea quæstio sic solui potest. Mūdus idololatria plenus fuit,

a Vt LXX. habent Deut. 32. 8. Vulg. sic: Constituit terminos populorum iuxta numerum filiorum Israël.

Dan. 10. 14.

τὴν δὲ θάλασσαν ἰχθῦς καὶ τὰς ἐμπορείας, καὶ ἕκαστον τῶν κτισμάτων τὴν ἐξ ἑαυτῶν χρείαν καὶ ὠφέλειαν τοῖς ἀνθρώποις. ταύτην ἀπαγγέλλων ὁ ἀπόστολος τὴν ἔννοιαν, φάσκει· Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται. τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι. Ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. οἷόν τι λέγει. ὡς εἶδεν ὁ Θεὸς τὸν ἄνθρωπον ἐκπεσόντα, καὶ τὴν κτίσιν ἀπαναίνουσαν πρὸς ὑπηρεσίαν τοῦ ἡμαρτηκότος. ἐχαλίνωσεν αὐτὴν καὶ μὴ θέλουσαν, καὶ ἐκέλευσεν ὑπηρετεῖν ὡς πρότερον, ἡνίκα τὸ βασιλικὸν ἑαυτοῦ καὶ ἀρχικὸν τὴν ἐντολὴν φυλάττων συνδιέσωζεν. ᾐσχύνετο γὰρ ἡ κτίσις τὸν αἰχμάλωτον τῇ παραβάσει κύριον ἐπιγράφεσθαι, καὶ ἐξυπηρετεῖν αὐτῷ, τῆς ἁμαρτίας αὐτὸν ὁρῶσα δοῦλον γινόμενον· ἀλλ' ἐκέλευσεν ὁ κτίσας μὴ ἐξαρνεῖσθαι τὸν παραβάτην, ἀλλ' ἐπιδεικνύναι τοῦ κοινοῦ δεσπότου τὴν ἄφθονον χάριν, καὶ τὸ τῆς εὐεργεσίας ἀμετάθετον· ἐπαγγελλόμενος καὶ τῇ κτίσει, ὅτιπερ, ἀνακαινιζομένου καὶ ἐλευθερουμένου τοῦ φθαρέντος καὶ αἰχμαλωτισθέντος ἀνθρώπου, ἀνακαινισθήσεται καὶ αὐτή. ὡς ἂν εἰ ἔλεγεν· Ἔπεσεν ἡ εἰκών. καὶ ὠλίσθησε διὰ τὴν παράβασιν, καὶ φθείρεται διὰ τὴν παρακοήν· ἀνάσχου δουλεῦσαι τῇ τοῦ φθαρέντος φθορᾷ, ἵνα, ὅταν αὐτὸν ἀνακαινίζω, τὴν ἐμὴν εἰκόνα τὸν φθαρέντα ἄνθρωπον, σὺν αὐτῷ καί σε τὴν κτίσιν ἀνακαινίσω, καὶ συνθέρμον αὐτῷ τῇ ταλαιπωρίᾳ, συναναστήσω τῇ δόξῃ. τί δέ ἐστι τὸ, τὴν κτίσιν φεύγειν τὴν τοῦ ἀνθρώπου δεσποτείαν; λέγει γάρ· τῇ ματαιότητι ἡ κτίσις οὐχ ἑκοῦσα ὑπετάγη. ποίᾳ ματαιότητι; ἀφ' οὗ ἂν ἐκτραπῇ ὁ ἄνθρωπος τοῦ Θεοῦ, ματαιότης καλεῖται. ἄκουσον ψάλλοντος τοῦ Δαυῒδ· πλὴν τὰ σύμπαντα ματαιότης, πᾶς ἄνθρωπος ζῶν, πᾶς ἄνθρωπος, μάταιός ἐστιν, ὁ τὸν Θεὸν καταλιμπάνων, καὶ τὰ μάταια μεταδιώκων.

Ἔστησεν ὁ Θεὸς ἀγγέλους κατὰ [*] τὰ κλίματα τῆς οἰκουμένης ἵνα ἕκαστοι ἐπισκοπεύειν, ὡς καὶ [*] Μωσῆς λέγει, ἔθνος ἑκάστου ἔθνους· ἔστησε δὲ, ἵνα τὴν ἄψυχον κτίσιν χαλινώσωσιν, ἥλιον, καὶ σελήνην, καὶ θάλασσαν, καὶ γῆν, καὶ τὰ ἐν αὐτοῖς, ὑπηρετεῖν τῇ τοῦ ἀνθρώπου ἀπολαύσει. πάλιν οἱ ἄγγελοι ἐδυσχέραινον, ὑπηρετούμενοι ἀναξίοις καὶ δίκης ἐνόχοις ἀνθρώποις· μάλιστα, ὁρῶντες αὐτοὺς τὴν δεσποτικὴν ἀξίαν τοῖς εἰδώλοις ἀνάπτοντας, καὶ ἀνιερουμένους. ἔφερεν ἡ γῆ τὸν οἶνον· καὶ οἱ βωμοὶ τὰς σπονδὰς ἐδέχοντο, τοὺς ἄλλους καρποὺς καὶ τοῖς εἰδώλοις ἀνετίθεντο. διὰ τοῦτο ἐδυσφόρουν οἱ ἄγγελοι, τὰ μὴ ὄντα ὁρῶντες ἀντὶ τοῦ ὄντος τιμώμενα. ἐντεῦθεν [*] καὶ τὸ ἕτερον ζήτημα, τὸ εἰς τὸν προφήτην ἀναφερόμενον· Ἦλθε πρὸς αὐτόν, φησιν, ὁ ἄγγελος Γαβριὴλ, καὶ λέγει αὐτῷ· Δανιὴλ ὁ δοῦλος τοῦ Θεοῦ, ἀφ' ἧς ἡμέρας προέθου κακῶσαι τὴν ψυχήν σου ἐναντίον Κυρίου, εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἀπεστάλην ἀπαγγεῖλαί σοι τὰ ῥήματα ταῦτα. ἀλλ' ὁ ἄρχων τῆς βασιλείας Περσῶν ἀντέστη μοι, εἰ μὴ Μιχαὴλ ὁ ἄρχων τοῦ ἔθνους ὑμῶν ἦλθεν εἰς βοήθειαν. ἀπορήσειε γὰρ ἄν τις, εἰ ὁ τῆς Περσίδος ἐπισκοπεύων ἄγγελος, παρὰ Θεοῦ ἐπιτροπεύειν τέτακται· ὡσαύτως δὲ καὶ ὁ Γαβριὴλ ἀνακομίσαι τὸν Ἰσραὴλ τῆς αἰχμαλωσίας παρὰ Θεοῦ ἀπέσταλται: πῶς αὐτῷ τῶν Περσῶν ὁ ἄρχων ἀνθίστατο; λυθείη δ' ἂν τὸ ζητούμενον ὧδε· Ὁ κόσμος εἰδωλολατρίας ἐπεπλήρωτο·

[*] κλίματα. H. St.

[*] ἴσ. Δανιὴλ.

[*] λείπει τι περὶ τό. H. St.

Dan. 3. v. 10. οἱ δὲ ἄγγελοι, οἱ ἐφεστῶτες τῶν ἐθνῶν, ἠγανάκτουν καὶ ἐθλίβοντο. αἰχμάλωτος δὲ Δανιὴλ, εἰς Βαβυλῶνα μετὰ τῶν ὁμοφύλων ἀπαχθεὶς, τὴν θεογνωσίαν ἐκήρυττεν· ὡσαύτως καὶ οἱ τρεῖς παῖδες, οἷς τὸ πῦρ εἰς ἱλαρᾶς αὔρας τὴν καυστικὴν δύναμιν ἀμείψαν ἀνέψυχε. διὸ καὶ πολλοὺς τῆς εἰδωλικῆς μεταστήσαντες πλάνης θεοσεβεῖν παρεσκεύασαν (ἐπ' αὐτῆς.) ὁ οὖν τῆς ἀρχῆς τῶν Περσῶν ἐφεστηκὼς ἄγγελος ἔχαιρεν, ὁρῶν ἐν τοῖς αὐτοῦ μέρεσι τὸν θεὸν ἀντὶ τῶν εἰδώλων λατρευόμενον. τὸν Ναβουχοδονόσορ ἑώρα, ἀντὶ τοῦ καταναγκάζειν θύειν εἰδώλοις, καὶ ἐσχάταις τοὺς μὴ πειθομένους ὑποβάλλειν τιμωρίαις, λαμπρῶς θεολογοῦντα, καὶ λέγοντα· Σιδρὰχ, Μισὰχ, καὶ Ἀβδεναγὼ οἱ δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου· καὶ πολλὰ τοιαῦτα· ἐπεὶ οὖν ὁ μακάριος Δανιὴλ ἐδεῖτο τοῦ θεοῦ, πληρωθέντων τῶν ἑβδομήκοντα ἐτῶν, τῶν ἐπὶ τῇ αἰχμαλωσίᾳ * διορισθέντων, ἀναγαγεῖν τῆς αἰχμαλωσίας τὸν Ἰσραήλ· ἀποστέλλεται δὲ Γαβριὴλ, μηνύσων αὐτῷ τὴν ἀνάρρυσιν· ἀνθίσταται τῷ Γαβριὴλ ὁ τῆς Περσικῆς ἀρχῆς ἐπιστάτης λυπούμενος, ὅτι πάλιν ἡ γῆ ἧς ἐπεστάτει, τῶν διδασκάλων τῆς εὐσεβείας ἐκεῖθεν ἀνακομισθέντων, εἰς τὴν προτέραν ἐπαναστρέψει ἀσέβειαν καὶ πλάνην. ἀνθίστατο δὲ, οὐ μαχόμενος ἀλλὰ δικαιολογούμενος· τίς ἡ σπουδὴ, λέγων, τῆς ἀνόδου; τὴν οἰκείαν οἰκῶν πατρίδα ὁ Ἰσραὴλ, καὶ εὐπαθῶν, εἰς εἰδωλολατρείαν πολλάκις ἐξώλισθε· νῦν δὲ καθαρῶς εὐσεβεῖ, τὴν ἀλλοτρίαν παροικῶν. καὶ οὐκ εὐσεβεῖ μόνον, ἀλλὰ καὶ ὑπεραθλεῖ τῆς εὐσεβείας, πολλοὺς τῶν πεπλανημένων πρὸς τὸν ἀληθινὸν ἐπιστρέφουσι θεόν. ὅτε οὖν καὶ τοῖς τὴν χάριν δεχομένοις οὐδὲν κατὰ ψυχὴν λυσιτελέστερον ἐπακολουθεῖ, καὶ τοὺς εὐσεβεῖν * δι' αὐτοὺς ἀρξαμένους τὸ ἔσχατον κακὸν ἡ δυσσέβεια πάλιν ὑποχειρίους ποιεῖ. πόσον ἦν ἄμεινον, καὶ τὸν Ἰσραὴλ τέως τῆς αἰχμαλωσίας μὴ * ἀνάγειν· καὶ τοὺς ἄρτι πρὸς τὸ φῶς ἀναβλέψαντας τῆς θεογνωσίας, ἐν τῇ αὐτῇ συντηρεῖν εὐσεβείᾳ; Ἀπεστάλην, φησὶ, τὸν λαὸν ἀποκαταστῆσαι τῇ πατρίδι. ποίᾳ πατρίδι· ἣν οἰκοῦντες ἐμίαναν, κνίσαις δαίμοσι θύοντες, καὶ εἰδωλομανίαις. ἃ ταῦτα κατηγορεῖ, λέγων Ἱερεμίας· κατὰ ἀριθμὸν τῶν πόλεών σου ἦσαν οἱ θεοί σου, Ἰούδα· καὶ κατὰ τὰ ἄμφοδα Ἱερουσαλὴμ ἔθυες τῇ Βάαλ; μυρίοις τότε παρὰ θεοῦ περιεπλύζοντο ἀγαθοῖς, καὶ τῆς κακίας καὶ ἀσεβείας οὐκ ἀνεχώρουν. μυρία νῦν ὑπομένουσι κακὰ, καὶ τοῦ θεοῦ οὐκ ἀφίστανται. τί ποτ' οὖν ἔσται τὸ τῆς ἐπανόδου κέρδος; ἦν τοίνυν ἡ ἀντίστασις, οὐ κακοῦ πρὸς ἀγαθὸν (οὐ γὰρ εἶπεν, ἐμάχετο· ἀλλ' ἀνθίστατο. καὶ γὰρ ἔστι πολλάκις ἀντίστασις δικαίου πρὸς ἀγαθόν· ὡς ἀνθίστανται πολλάκις νόμοι φιλανθρωπίᾳ, καὶ φιλανθρωπίᾳ νόμος. ὁ νόμος τὸν ἁμαρτήσαντα κολάζει· φιλανθρωπία πολλάκις βασιλέως τὸν ἁμαρτήσαντα ἐλεεῖ, καὶ ἐξαρπάζει τῆς τιμωρίας:) ὥστε οὖν ἡ μάχη οὐκ ἐναντίου πρὸς ἐναντίον, ἀλλὰ συγγενοῦς πρὸς συγγενές. οὔτε γὰρ τὸ δίκαιον ἔξω ἀγαθότητος, οὔτε τὸ ἀγαθὸν ἔξω δικαιοσύνης εὑρίσκεται). Ὅτι τῆς κτίσεως (φησὶν) ὡς προείρηται δυσχεραινούσης, καὶ ἀγανακτούσης, ἐφ' * ᾧ καὶ ἄκουσα τῷ παραβάτῃ παρεῖχε τὴν χρείαν, καὶ ἐξυπηρέτει· καὶ ἀγγέλων ἀχθομένων ἐπὶ τῇ τῶν εὐεργετουμένων ἀγνωμοσύνῃ· καὶ ὅλου κακωθέντος τοῦ κόσμου διὰ τὰς παρανομίας· (καὶ γὰρ εἶδε, φησὶν, ὁ θεὸς τὴν γῆν, καὶ ἦν κατεφθαρμένη, ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν * αὐτῆς.

* πληρωθέντων H. St.

* al. διὰ τοῦ

* ἀναγαγεῖν.

* ἐ.

* libri edit. ἀντὶ τοῦ ἐπὶ τῆς γῆς.

IOANNES CHRYSOST.

Angeli gentibus præfecti indignabantur & affligebantur. Daniel verò captiuus cum suis contribulibus Babylonem ductus, Dei cognitionem prædicauit: similiter & tres pueri, quibus ignis tanquam suauis aura refrigerationi fuit. Ideò & multos ab idololatria ad pietatem traduxerunt. Angelus igitur Persarum lætatus est, videns in sua regione pro idolis Deum coli. Nabuchodonosorem non iam ad idolis immolandum cogere, neque vltimis suppliciis non parentes subiicere vidit: sed clarè Deum prædicantem & dicentem: *Sidrach, Misach, & Abdenago serui sunt* DEI *altißimi*, taliáque multa. Cum igitur beatus Daniel peteret à Deo, impletis septuaginta annis captiuitati præscriptis, vt è captiuitate Israël educeretur: missus est Gabriel, qui Danieli liberationem significaret, restitit Gabrieli dolens Angelus Persarum, quia iterum terra cui præerat, doctoribus pietatis hinc ablatis, ad pristinam impietatem & errorem reuersura esset. Restitit igitur non pugnando, sed iusta dicendo. Quæ reditus, inquit, festinatio? propriam habitans patriam Israël, rebus secundis, sæpius ad idololatriam conuersus est: Nunc verò piè viuit, regionem alienam inhabitans, & non modò piè viuit, sed etiam pro pietate pugnat, multosque errantes ad verum Deum conuertit. Quando igitur & gratiam suscipientibus nihil secundum animam est vtilius futurum, & qui pietatem per illos colere inceperant, in summum malum, qualis impietas est, iterum sunt lapsuri, quantò meliùs erit Israël è captiuitate non reducere, & ad pietatem reuersos, in ipsa pietate conseruare? Missus, inquis, sum ad restituendum populum in patriam: in quam patriam? quam inhabitantes fœdauerunt, dæmonibus sacrificantes, & idolis. Non hæc accusat Ieremias: *Secundùm numerum ciuitatum tuarum erant Dij tui Iuda, & * secundùm numerum viarum tuarum Ierusalem posuisti aras confusionis ad libandum Baal.* Infinitis tunc à Deo afficiebantur bonis, & à malitia impietatéque non recesserunt. Multa nunc sustinent mala, & à Deo non recedunt. Quod igitur reditus erit emolumentum? Erat igitur Angeli contentio, non mali aduersus bonum: (non enim dixit Scriptura, pugnauit: sed restitit. Etenim sæpe resistit iustus bono, vt sæpe legi clementia, & vicissim clementiæ lex. Lex peccantem castigat, clementia verò regis erga peccantem commiseratione sæpenumero mouetur, & à pœnis liberat. Hic igitur pugna non aduersarij contra aduersarium, sed cognati contra cognatum, neque enim iustitia extra bonitatem, neque bonitas absque iustitia inuenitur. Creatura, inquit, vt dictum est, molestè ferente & indignante, quod inuita transgressori præbuit vsum, & seruiuit, & Angelis dolentibus ob hominum ingratitudinem, & toto mundo malis afflicto propter inobedientiá (*Videras enim*, inquit, *Deus terram esse corruptam, omnis quippe caro corruperat viam suam,*

Ierem. 2. 28. & 11. 13.

* Græci hic est: in biuio Ierusalem sacrificabas Baal.

Genes. 6. 12.

IO. CHRYSO. non erat creatura talis, qualem initio eam Deus crearat. Non erat stellis cœlum, vt antea splendens sine vlla macula. Non dabat terra vt prius, fructus puros, nec mare, nec aliqua alia creatura. Præuaricator enim in eam ingressus, contaminauit ac fœdauit omnia, blasphemiis Deo inuisis, turpibusque vocibus, & cædibus, mare piratis & latronibus, fontes & fluuios idolis & nymphis statuisque complendo, omnes res conditas in Deos homines formabant. Nihil autem sic creaturam maculat & adulterat, quam si in Deum confletur. Ideò Saluator mundi venit in illam per carnem, & eandem ab infinitis illis maculis mundatam renouauit, & à longe difficilioribus morbis & affectionibus, quam corporea corruptione liberauit, renouat per primum aduentum creaturam, vt discas eundem esse, qui eam in principio creauit. Non enim alterius est creare, & alterius corruptam instaurare, sed eiusdem vtrumque est sapientiæ & artis. Renouat creaturam priori aduentu, vt credas secundo etiam aduentu eam instauratum iri, & te ante illam renouatum in incorruptibilitatem, perturbationum vacuitatem, & ineffabilem pulchritudinem. Si enim quando volens in infirmitate carnis erat in sudoribus, in doloribus, quandó seductor & Samaritanus vocabatur, creaturam ab his tantisque & maximè diuturnis morbis, & maculis mundauit, quando veniet iudex viuorum & mortuorum, quando Angelorum infinitis myriadibus stipatus, quando omnium dominator & dominus quãdo omnia horrore concutientur & trement, quomodo mutatio corruptionis in incorruptibile, non videatur quam facillimè consecuta, Deo digna?

Venit Saluator prædicentibus Prophetis, ne quis putet, quomodo homo à primo proposito & auxilio aberrans, aliud arripuerit, eodem agendum esse Deo. ne igitur quis hoc putet, longo ab hinc tempore Prophetæ illius aduentum prædixerunt, vt ostenderent, Deum non meditando inuenire commodum, sed à principio omnia præuidisse. Nam nos quidem homines meditamur, ac si priori conatu frustremur, ad alium accedimus. Deus vero non sic, sed dedit Legem, Prophetas, & post illa Euangelium, non tempore, quod esset vtile, discens, verum ab initio videns, non aliter potuisse creaturam, & in ea hominem fieri, nec manu-duci, neque incorruptionis dignitatem recipere, nisi eo modo, quo ineffabilis prouidentia & humanitas dispensauit.

Si, inquit, Deus præuidit Adam peccaturum, quare eum produxit? Et multa sunt, & perpulchræ huius dubij solutiones. Dicit itaque Chrysostomus: Non hoc solum aio, quod præsciuit, sed etiam quod lapsum hominem per dispensationem reparaturus esset. Et non primo quidẽ sciuit lapsum, nisi etiam præsciuisset resurrectionem. Sciebat eum lapsurum, sed resurrectionẽ tanquã remedium præparauit, & permisit hominem vsque ad periculum mortis peruenire,

οὐκ ἦν ἡ κτίσις, οἵαν ὑπέστησεν αὐτὴν ὁ θεὸς ἀπ' ἀρχῆς· οὐκ ἦν τοῖς ἄστροις ὁ οὐρανὸς, ὡς τὸ πρὶν, ἄνευ τινὸς μιάσματος καταλαμπόμενος· οὐκ ἦν ἡ γῆ τοὺς καρποὺς ἀμολύντους, ὡς τὸ πρὶν, ἀναδιδοῦσα· οὐ θάλασσα, οὐκ ἄλλο τι τῶν ἐν τῇ κτίσει. ὁ γὰρ παραβάτης εἰσελθὼν ἐν αὐτῇ, κατεμίανε καὶ ἀπεπάλαισεν ἅπαντα, ταῖς βλασφημίαις ταῖς θεομάχοις, καὶ αἰσχραῖς φωναῖς, ταῖς μιαιφονίαις· τοῖς πειραταῖς καὶ λῃσταῖς τὴν θάλατταν· τὰς πηγὰς καὶ ποταμοὺς τῆς εἰδωλολατρείας, νύμφαις καὶ δαίμοσιν ἀνάπτοντες αὐτά. πᾶσα τοῖς ἀνθρώποις ἡ * κτίσις εἰς θεοὺς ἀνεπλάττετο· οὐδὲν δὲ κτίσιν οὕτω μιαίνει καὶ κιβδηλεύει, ὡς τὸ θεοποιεῖσθαι αὐτήν. διὰ ταῦτα εἰσῆλθεν ὁ σωτὴρ τοῦ κόσμου διὰ σαρκὸς ἐν αὐτῇ. καὶ ταύτην τῶν μυρίων τούτων ἀπαλλάξας μιασμάτων, ἀνεκαίνισε· πολὺ χαλεπωτέρων ἢ σωματικῆς διαφθορᾶς ἐλευθερώσας αὐτὴν κακώσεων καὶ παθῶν· ἀνακαινίζει διὰ τῆς προτέρας παρουσίας τὴν κτίσιν· ἵνα μάθῃς, ὅτι αὐτός ἐστιν, ὁ καὶ ἀπ' ἀρχῆς αὐτὴν δημιουργήσας. οὐ γὰρ ἄλλου μὲν κτίζειν, ἄλλου δὲ διαφθαρεῖσαν ἀνακαινίζειν· ἀλλὰ τοῦ αὐτοῦ ἑκάτερον σοφίας καὶ τέχνης. ἀνακαινίζει τὴν κτίσιν κατὰ τὴν προτέραν ἐπιδημίαν· ἵνα μηδεμία σοι χώρα καταλειφθῇ ἀπιστίας, ὡς κατὰ τὴν δευτέραν παρουσίαν οὐ καινισθήσεται· καὶ σὺ πρὸ αὐτῆς εἰς ἀφθαρσίαν, εἰς ἀπάθειαν, εἰς ἄφατον καλλονήν. εἰ γὰρ, ὅτε ἦν ἑκὼν ἐν ἀσθενείᾳ σαρκὸς, ἐν ἱδρῶσιν, ἐν πάθεσιν ὁ Χριστὸς, ὅτε πλάνος καὶ Σαμαρείτης ἐσυκοφαντεῖτο, τὴν κτίσιν ἐκάθαρε τῶν τοσούτων καὶ τηλικούτων καὶ πολυχρονιωτάτων παθῶν καὶ μιασμάτων· ὅταν ὡς κριτὴς ζώντων παραγένηται καὶ νεκρῶν, ὅταν μυριάσιν ἀγγέλων δορυφορούμενος τάγμασιν, ὅταν πάντων δεσπόζων καὶ κύριος, ὅταν πάντα φρίσσῃ καὶ τρέμῃ: πῶς ἡ ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μεταβολὴ οὐ (κατὰ) τὸ ῥᾷστον ἔχουσα καθορᾶται καὶ τὸ ἀκόλουθον καὶ θεοπρεπές;

Ὅτι παραγίνεται ὁ σωτὴρ προκηρυττόντων τῶν προφητῶν, ἵνα μή τις νομίσῃ, ὅτι καθ' ὃν τρόπον ἄνθρωπος τῆς προτέρας διαμαρτὼν ἐπιβολῆς καὶ βοηθείας ἐπὶ δευτέραν ἔρχεται, οὕτω καὶ ὁ θεός· ἵνα οὖν μή τις ὑπονοήσῃ τοῦτο· ἄνωθεν προέλεγον οἱ προφῆται τὴν παρουσίαν αὐτοῦ· ἵνα δείξωσιν, ὅτι θεὸς οὐ σκεπτόμενος εὑρίσκει τὸ συμφέρον, ἀλλ' ἀπ' ἀρχῆς προεῖδεν ἅπαντα. ἡμεῖς μὲν γὰρ οἱ ἄνθρωποι σκεπτόμεθα· καὶ ἐὰν ἀποτυγχάνωμεν τῆς προτέρας πείρας, ἐφ' ἑτέραν μεταβαινόμεθα. ὁ δὲ θεὸς οὐχ οὕτως· ἀλλ' ἔδωκε νόμον, προφήτας, καὶ μετὰ ταῦτα τὸ εὐαγγέλιον· οὐ χρόνῳ τὸ συμφέρον μεταμαθών· ἀπ' ἀρχῆς δὲ εἰδὼς, ὡς οὐχ οἷόν τε ἄλλως ἦν τὴν κτίσιν καὶ τὸν ἐν αὐτῇ ἄνθρωπον οὔτε γενέσθαι, οὔτε παιδαγωγηθῆναι, οὔτε τὸ τῆς ἀφθαρσίας ἀξίωμα ἀναλαβεῖν, εἰ μὴ καθ' ὃν τρόπον ἡ ἄφατος πρόνοια καὶ φιλανθρωπία ᾠκονόμησεν.

Matth. 27. v. 63. Ioan. 8. 48

1. Petr. 4. v. 5.

Iude v. 14.

Luc. 24. v. 25.

Heb. 1. v. 1.

* ἴσως μ. μ.

Ὅτι φασὶν, εἰ προῄδει ἁμαρτήσαι τὸν Ἀδὰμ ὁ θεὸς, τί καὶ προήγαγεν αὐτόν; καὶ πολλαὶ μὲν εἰσὶ καὶ πάγκαλοι τοῦδε τοῦ ἀπορήματος ἐπιλύσεις. λέγει δὲ οὖν καὶ ὁ θεόσοφος Ἰωάννης ὁ Χρυσόστομος, ὅτι οὐ τοῦτο μόνον φημὶ, ὅτι προῄδει· ἀλλ' ὅτι καὶ πεσόντα ἀναστήσει αὐτὸν διὰ τῆς οἰκονομίας. καὶ οὐ πρότερον εἶδε τὴν πτῶσιν, εἰ μὴ προεγνώκει τὴν ἀνάστασιν. ᾔδει ὅτι πεσεῖται, ἀλλὰ προαπέθετο τῆς ἀναστάσεως φάρμακον· καὶ συνεχώρησεν εἰς πεῖραν ἐλθεῖν θανάτου τὸν ἄνθρωπον.

* συμφέρον τοῦτο τὸ κεφάλαιον ἐστι καὶ δεῖ ὅτι ὀρθόν.

ἵνα

ἵνα μάθοι, τίνος μὲν ἀπολαύει δι' ἑαυτὸν, τίνος δὲ τῇ τοῦ πλάστου χάριτι. ᾔδει πεσούμενον τὸν Ἀδάμ· ἀλλ' ἔβλεπεν ἐξ αὐτοῦ προελευσόμενον τὸν Ἄβελ, τὸν Ἐνὼς, τὸν Ἐνὼχ, τὸν Νῶε, τὸν Ἡλίαν, τοὺς προφήτας, τοὺς θαυμαστοὺς ἀποστόλους, τὴν εὐγένειαν τῆς φύσεως, τὰ θεοκίνητα τῶν μαρτύρων καὶ στάζοντα τὴν εὐσέβειαν νέφη. ἔβλεπε ταῦτα καὶ ποῦ ἦν καλόν; ποῦ δὲ δίκαιον; ποῦ δὲ θεοπρεπὲς [ἵνα] διό τι ἔμελλεν εἷς ἄνθρωπος ἁμαρτάνειν, τοῦτον μὴ ἀγαγεῖν ἐκ μὴ ὄντων; καὶ τοσούτων ἀνδρῶν, ὧν οὐδὲ καθ' ἕνα ἄξιος ὁ κόσμος, φορὰν ἀνακόψαι, καὶ θερίσαι πρόρριζον τὴν τοσαύτην τοῦ γένους βλάστησιν καὶ καλλονήν. καὶ κατ' αὐτῆς ἐπαφιέναι τὴν ἐκτομὴν καὶ ὀργήν· καὶ τότε τοῦ τὴν ἁμαρτίαν ὕστερον ἑλομένου, οὔτε ἁμαρτόντος οὔτε ἁμαρτεῖν *μεμελετηκότος *ἅτε μήπω μηδὲ ὑφεστῶτος; εἰ γὰρ συνετῶν ἐστιν ἀνδρῶν, τὸ μελετήσαντα μὲν ἁμαρτῆσαι, μὴ ἁμαρτήσαντα δὲ, μὴ εἰσπράττειν εὐθύνας ἁμαρτημάτων· ἢ πού γε ἂν εἴη θεοῦ, τὸν μηδὲ μελετήσαντα ἐξαμαρτῆσαι, τὰς τῶν ἡμαρτηκότων ἀπαιτεῖν δίκας, καὶ τότε χαλεποῦ μὲν ὄντος τοῦ ἁμαρτήματος; πῶς γὰρ οὐ χαλεπὸν, ἀθέτησις δεσποτικῆς ἐντολῆς; οὐκ ἀνιάτου δὲ ἐσομένου, τῇ ἀφάτῳ φιλανθρωπίᾳ τοῦ πλάστου, καὶ τοῦ πρωτοπλάστου, εἰς τὴν ἀρχαίαν ἐπανάγεσθαι μέλλοντος εὐγένειαν. ὥστε εἰ μὴ παρῆκτο, διότι ἔμελλεν ἁμαρτεῖν ὁ ἀρχέγονος, ἐδείκνυτο ἂν τὸ θεῖον τὸν μήπω ἁμαρτήσαντα κολάζον, καὶ τῆς ὕστερον ἀνακλήσεως καὶ σωτηρίας ἀποστεροῦν, καὶ τοσούτων ἀνδρῶν καλῶν τε καὶ ἀγαθῶν ἔρημον τὴν κτίσιν ἀποφαῖνον.

Ὅτι, τοῦ θείου Παύλου εἰπόντος, πρωτότοκος πάσης κτίσεως, οἱ αἱρετικοί φησι μὴ νοήσαντες, περὶ ποίας κτίσεως λέγει· εἰς κτίσμα τὸν υἱὸν οἱ ἀνόητοι καταβιβάζουσι. διττὴ δὲ ἡ κτίσις· ἡ μὲν γάρ ἐστιν, ἡ γενομένη· ἡ δὲ, ἡ ἀνακαινιζομένη. αὐτὸς γὰρ πάλιν Παῦλος βοᾷ· Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις· ἵνα δὲ *λαμπρὸν ἐπιδείξῃ, ὅτι τῆς ἀνακαινισθείσης κτίσεως λέγει πρωτότοκον τὸν Χριστὸν· ἐπάγει, πρωτότοκος ἐκ νεκρῶν· ἵνα γένηται ἐν πᾶσι πρωτεύων. πρωτεύων τῶν ἀνακαινιζομένων, τῶν εἰς ἀφθαρσίαν καλουμένων, τῶν ἐκ νεκρῶν *ἐγειρομένων, [καὶ *ἐγερθησομένων.] πρωτεύων οὐ κατὰ τὴν θεότητα (ἄπαγε· ὕβρις γὰρ θεοῦ, τὸ καλεῖσθαι πρῶτον τῶν κτισμάτων, ὃς ἀρρήτῳ λόγῳ καὶ ἀπερινοήτῳ ὑπεροχῇ πάσης ὑπερῆρται καὶ ὑπερίδρυται φύσεως:) ἀλλὰ πρωτεύει κατά γε τὴν ἀνθρωπότητα, ἀρχηγὸς ἡμῶν γενόμενος τῆς ἀναστάσεως, καὶ τῆς ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μεταστοιχειώσεως. εἰ γὰρ καὶ Ἡλίας τὸν υἱὸν τῆς χήρας ἤγειρε, καὶ Ἐλισσαῖος τὸν τῆς Σωμανίτιδος, καὶ αὐτὸς ὁ σωτὴρ τεταρταῖον τὸν Λάζαρον ἐξανέστησεν· ἀλλ' οὐδεὶς αὐτῶν εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν ἐξανέστη, πάλιν γὰρ αὐτῶν ὁ θάνατος ἐκυρίευσε. Χριστὸς δὲ ἀναστὰς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει· ἀλλ' οὐδὲ ἐκείνων, οὓς κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν ἀναστήσει. ὢ κακῆς καὶ ἄφρονος ὑμῶν γνώμης. ἦλθεν ὁ Χριστὸς πρὸς ἡμᾶς, ἔδωκεν ἡμῖν τὸ αὐτοῦ πνεῦμα, καὶ ἀνέλαβε τὸ ἡμέτερον σῶμα, καὶ τὸ συνάλλαγμα περιῆλθε, καὶ λαβὼν ἡμῶν τὸ φύραμα ἀνύψωσεν αὐτὸ, καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ πατρός. καὶ ἡ ἀγνωμοσύνη τὴν εὐεργεσίαν ὑβρίζει. ἔλαβε παρ' ἡμῶν τὸ πλάσμα, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ πατρός·

* al. μεμεληκότος.
* al. οὔπω.
* λαμπρῶς. R. St.
* al. ἐγηγερμένων.

vt disceret, quid sua culpa consequatur, & quid per Creatoris gratiam. Sciuit fore vt Adam caderet, sed vidit ex illo proditurum Abel, Enos, Enoch, Noe, Eliam, Prophetas, admirandos Apostolos, nobilitatem naturæ, vidit Martyrum nubes, diuinitus motas, pietatem destillare. Vidit hæc: & vbi erat honestas, vbi iustitia, vbi dignum opus Deo? Propterea quod vnus erat peccaturus, ideone ex nihilo illum producere non debuit? & tot hominum, quorum nec vno dignus erat mundus, fructum amputare, & demetere radicitus tantum germen generis humani & florem, & contra illud subornare iram ac falcem, præsertim cum post peccaturus, tum neque peccarit, neque peccare cogitarit, quippe nondum existens. Si enim prudentum virorum est non ab eo pœnas exigere, qui peccare quidem cogitarit, nondum tamen peccarit, quomodo Dei esset ab eo, qui ne meditatus quidem sit peccare, pœnas peccatorum exigere, præsertim cùm graue quidem tunc esset peccatum (quomodo enim non graue relinquere Domini præceptum) non vero incurabile ineffabili conditoris clementiæ, primum hominem ad pristinam reuocaturi dignitatē. Itaque si non productus fuisset primus parens quod peccaturus erat, efficeretur Deum punire nondum peccantem, & posteriore vocatione & salute priuare: & creaturam tot tantisque viris orbam ostendere.

Cum dicat B. Paulus: *Primogenitus omnis Creaturæ*, hæretici, inquit, non intelligentes de qua creatura loquatur, ad creaturam filium ipsi insipientes referunt. Duplex enim est creatura, vna quidem facta, altera renouata. Paulus namque iterum clamat: *Si qua in Christo noua Creatura*, vtque manifeste ostendat se dicere Christum esse primogenitum creaturæ renouatæ, addit *primogenitus ex mortuis*, vt sit in omnibus primus. Primus renouatorum, ad incorruptionem vocatorum, ex mortuis resuscitatorum, & suscitandorum. Primus non secundum deitatem (Apage: contumelia enim est in Deum, vocari illum primum creaturarum, qui ineffabili verbo, & incomprehensibili excellentia super omnes creaturas ascendit sedétque.) sed primus est secundum humanitatem, princeps factus resurrectionis nostræ, & mutationis ex corruptione in incorruptionem. Si enim Elias filium viduæ excitauit, & Elisæus filium Sumanitidis, & Saluator quatriduum Lazarum excitauit; sed nemo eorum ad incorruptionem, & immortalitatem excitatus est, Iterum enim eos mors postea oppressit. Christus verò surgens è mortuis, non amplius moritur, nec mors amplius illi dominatur, sed neque illis quos in secundo suo aduentu excitabit. O malam & dementem vestram opinionem! Venit Christus ad nos: dedit nobis spiritum suum sanctum, & assumpsit corpus nostrum, & contractus præcessit, & induens nostram humanitatem exaltauit illam, & constituit illam in dextera Patris: & ingratitudo beneficium contumeliā afficit. Accepit à nobis figmentum, & constituit illud in dextera patris.

IO. CHRYSO.
Martyres.
Coloss. 1. 15.
Duplex creatura.
2. Cor. 5. 17.
Coloss. 1. 18.
3 Reg. 17. 22.
4. Reg. 4. 34.
Ioan. 11. 39.
Rom. 6.
Ephes. 1. 20.
1. Cor. 2. 12.

IO. CHRISO. Accepimus ab illo spiritum, & iniuriam facimus, in creaturarum & seruorum ordinem illum redigentes.

Orationes desiderantur. Petitio quidem dicitur, quando Deum aliquis rogat, rei cuiusdam gratia; precatio vero quando Deum laudat; gratiarum actio, quando quis pro acceptis beneficiis gratias agit Deo; * ἐντυχία. * Intercessio vero, quando quis contra iniquos accedit ad Deum, vocans illum ad vltionem. Intercedere vero non est, inquit, supplicare, sed interrogare, & responsum accipere. Dicit Deus ad Eliam: Quid tu hic Elia? respondet Propheta interrogatus: 3. Reg. 19. 10. *Zelatus sum pro Domino exercituum, quia dereliquerunt pactum Domini filij Israel, &c.* non est hic petitio, sed interrogatio & responsio, & intercessio [vel, interpellatio] fit ex vtroque. Et vnde id manifestum? Rom. 11. 2. Paulum dicentem audi: *An nescitis in Elia quid dicit scriptura, quemadmodum interpellat Deum aduersum Israel.* Igitur ἐντυχία non est δέησις: Sed hæc Chrysostomus. Oportet vero adhuc subtilius differentias dictorum nominum perpendere, & considerare, vt non solum satis idonea sint quæ plebi dicantur; sed & eorum, qui eas voces volent acrius excutere, reprehensionem & iniuriam effugiant.

Ex oratione, quod antiqui Testamenti vnus sit Legislator, & in vestes Sacerdotum Exodi 28. & de Pœnitentia.

Rom. 1. 16. 17. Ait Paulus: *Non enim erubesco Euangelium, Iustitia enim Dei in eo reuelatur.* Quomodo igitur Iustitia Dei in illo reuelatur? Quomodo? cum prima lex Iudæis solis data sit, licet alij homines eiusdem existerent naturæ & originis, Euangelium vero omnibus æqualiter gentibus, merito in illo Iustitia Dei reuelatur, & iustitiæ Euangelium vocatur. In veteri igitur testamento non erat vocatio iusta, non enim similiter omnes vocabat & illuminabat, sed solos Iudæos. Non erat igitur iusta, sed dispensatio præparans viam iustitiæ, non dico hác iustam, illam verò iniustam, sed illam viam huius & præparationem. Putabant Iudæi sibi solis etiam Euangelium datum iri, quemadmodú Legem, sed exspectatio præter spem euenit, Psal. 47. 10. * λαοῦ vulg. ναοῦ. ideò & Dauid dicit: *Suscepimus Domine misericordias in medio * populi tui.* Deinde: *Secundum nomen tuum Deus sic & laus tua.* Non solum in medio populi tui, sed etiam in fines terræ; & vt ostendat quod misereri finium terræ iustitiæ sit, addit: *Iustitia plena est dextera tua.*

Ps. 29. 2 96. 1. *Dominus regnauit*, inquit, Quomodo *Dominus regnauit*: an quasi nouam capiens dignitatē regni? Nam si dixisset, *Dominus regnat*, æternam Domini potestatem ostendisset. dicens verò: *regnauit*: dispensationem per carnem dicit, per quam natura nostra iugo diaboli, peccati, mortis excusso, creatorem cognouit, vt verum regem, largitorem incorruptionis, resurrectionis. Nuncium igitur lætum adfert Dauid iis, qui à peccato, morte, diabolo olim regebátur,

ἐλάβομεν ἐξ αὐτοῦ τὸ πνεῦμα, καὶ ὑβρίζομεν, ἐν * κτίσμασι καὶ δούλοις αὐτὸ καταλέγοντες. * κτίσματι. Δ... ἐντυχία.

Ὅτι, φησὶ, δέησις μὲν λέγεται, ὅταν τις τὸν θεὸν ἀξιοῖ εἰς πρᾶγμα· προσευχὴ δὲ, ὅταν ὑμνῇ τὸν θεόν· εὐχαριστία δὲ, ὅτ' ἄν τις ὑπὲρ ὧν ἔπαθε, χάριν ἀνθομολογῇ τῷ θεῷ. ἐντυχία δὲ, ὅταν τις κατὰ τῶν ἀδικούντων ἐντυγχάνῃ τῷ θεῷ, προσκαλούμενος αὐτὸν εἰς ἐκδίκησιν. Ὅτι δὲ τὸ ἐντυγχάνειν οὐκ ἔστι, φησὶν, ἱκετεύειν, ἀλλ' ἐρωτᾶν καὶ ἀπόκρισιν δέχεσθαι: λέγει ὁ θεὸς πρὸς τὸν Ἡλίαν· τί σὺ ἐνταῦθα Ἡλία; ἀποκρίνεται ἐρωτηθεὶς ὁ προφήτης· ζηλῶν ἐζήλωκα κυρίῳ παντοκράτορι, ὅτι ἐγκατέλιπόν σε οἱ υἱοὶ Ἰσραήλ, καὶ ἑξῆς. καὶ οὐκ ἔστιν ἐνταῦθα δέησις, ἀλλ' ἐρώτησις καὶ ἀπόκρισις· καὶ γέγονε τὸ ἐξ ἀμφοῖν ἔντευξις. καὶ πόθεν δῆλον; Παύλου λέγοντος ἄκουσον· Οὐκ οἴδατε ἐν Ἡλίᾳ τῷ προφήτῃ τί λέγει ἡ γραφή; ὡς ἐντυγχάνει τῷ θεῷ κατὰ τοῦ Ἰσραήλ. οὐκοῦν ἡ ἐντυχία οὐκ ἔστι δέησις. ἀλλὰ ταῦτα μὲν ὁ Χρυσόστομος. δεῖ δ' οὖν ἔτι λεπτομερέστερον τὰς διαφορὰς τῶν εἰρημένων ὀνομάτων διασκέψασθαι, καὶ ἐπιθεωρῆσαι· ὥστε μὴ τῷ πλήθει μόνον ἱκανὰ εἶναι λέγεσθαι, ἀλλὰ καὶ τοῖς δεινότερον διακωδωνίζειν ταῦτα βουλομένοις, ἀνάλωτα καὶ ἀνεπηρέαστα διαμένειν.

Ἐκ τοῦ λόγου, ὅτι παλαιᾶς διαθήκης εἷς ὁ νομοθέτης· καὶ εἰς τὸ ἔνδυμα τοῦ ἱερέως καὶ περὶ μετανοίας.

Ὅτι φησὶν ὁ Παῦλος· Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον, δικαιοσύνη γὰρ θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται. πῶς οὖν δικαιοσύνη θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται; πῶς; ἐπειδὴ ὁ πρῶτος νόμος ἰουδαίοις μόνοις ἐδίδοτο, καὶ τῶν ἄλλων ἀνθρώπων τῆς αὐτῆς ὑπαρχόντων δημιουργίας καὶ φύσεως· τὸ δὲ εὐαγγέλιον πᾶσιν ὁμοτίμως τοῖς ὁμοφυέσιν: εἰκότως ἐν αὐτῷ δικαιοσύνη θεοῦ ἀποκαλύπτεται, καὶ καλεῖται δικαιοσύνης εὐαγγέλιον. ἐν τοίνυν τῇ παλαιᾷ διαθήκῃ οὐκ ἦν ἡ κλῆσις δικαία. οὐ γὰρ ὁμοίως πάντας ἐκάλει καὶ ἐφώτιζε, τοὺς ἰουδαίους δὲ μόνους. οὐκ ἦν οὖν δικαία. ἀλλ' οἰκονομικὴ, προοδοποιοῦσα καὶ προπαρασκευάζουσα ὁδὸν τῇ δικαιοσύνῃ; οὐ λέγω ταύτην δικαίαν, κἀκείνην ἄδικον· ἀλλ' ἐκείνην ὁδὸν ταύτης, καὶ προκατασκευὴν ταύτης. ὑπελάμβανον οἱ ἰουδαῖοι, ὅτι καὶ τὸ εὐαγγέλιον αὐτοῖς δοθήσεται μόνοις, ὥσπερ καὶ ὁ νόμος· ἐξέβη δὲ παρ' ἐλπίδας ἡ προσδοκία. διὸ καὶ Δαυὶδ λέγει· Ὑπελάβομεν, ὁ θεὸς, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου. εἶτα. Κατὰ τὸ ὄνομά σου, ὁ θεὸς, οὕτω καὶ ἡ αἴνεσίς σου· οὐκ ἐν μέσῳ τοῦ λαοῦ σου μόνον, ἀλλ' ἐπὶ τὰ πέρατα τῆς γῆς. καὶ ἵνα δείξῃ, ὅτι τὸ ἐλεῆσαι τὰ πέρατα τῆς γῆς, δικαιοσύνης ἐστὶν, ἐπάγει· Δικαιοσύνης πλήρης ἡ δεξιά σου.

Ὁ κύριος [φησιν] ἐβασίλευσε. πῶς ὁ κύριος ἐβασίλευσεν, ἄρ' ὡς πρόσφατον λαβὼν τὸ τῆς βασιλείας ἀξίωμα; εἰ μὲν γὰρ εἶπεν· ὁ κύριος βασιλεύει· τὴν ἀΐδιον αὐτοῦ ἡρμήνευσεν ἐξουσίαν: εἰπὼν δὲ, ἐβασίλευσε· τὴν διὰ σαρκὸς αὐτοῦ οἰκονομίαν λέγει, δι' ἧς ἡ φύσις ἡμῶν τὴν ἐπικράτειαν τοῦ διαβόλου, τῆς ἁμαρτίας, τοῦ θανάτου ἀποσεισαμένη, ἐπέγνω πλάστην, τὸν ὡς ἀληθῶς βασιλέα, τὸν χορηγὸν τῆς ἀφθαρσίας, τῆς ἀναστάσεως. εὐαγγελίζεται τοίνυν ὁ Δαυὶδ τοῖς ὑπὸ τῆς ἁμαρτίας, ὑπὸ τοῦ θανάτου, ὑπὸ τοῦ διαβόλου πάλαι βασιλευομένοις,

ὅτι

ὑπὸ ζυγὸς ἐκεῖνος συντέτριπται, τὸ κράτος λέλυται, καὶ βασιλεύει πάντων ὁ κύριος. ὡς καὶ αὐτὸς μετὰ τὴν ἀνάστασιν ἔφη· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. πρὶν δὲ, ἐβασίλευεν ἡμῶν ὁ θάνατος καὶ ἡ ἁμαρτία. Ἐβασίλευσε γὰρ ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, καὶ ἑξῆς. καὶ ὁ σωτὴρ περὶ τοῦ διαβόλου· Καὶ εἰ ὁ σατανᾶς τὸν σατανᾶν ἐκβάλλει, ἐμερίσθη ἡ βασιλεία αὐτοῦ. ὥστε ἐβασίλευσε πρὸ τῆς ἐπιδημίας τοῦ Χριστοῦ τοῦ γένους ἡμῶν ὁ σατανᾶς. ἀλλὰ καὶ ἡ ἁμαρτία. λέγει γὰρ πάλιν Παῦλος· Ὥσπερ γὰρ ἐβασίλευσεν ἡ ἁμαρτία ἐν τῷ θνητῷ ἡμῶν σώματι· οὕτω καὶ ἡ χάρις βασιλεύσει διὰ [Psal. 96. & 2.] Χριστοῦ. Ὁ κύριος ἐβασίλευσε· (πέπαυται τῆς ἁμαρτίας τὸ κράτος, τοῦ θανάτου, τοῦ διαβόλου.) οὐκοῦν ἀγαλλιάσθω ἡ γῆ· ἡ φύσις ἡ γηγενὴς, ἡ ποτὲ πλανωμένη, νῦν δὲ δοξαζομένη· ἡ ποτὲ ἐν τάφοις, νῦν [δὲ] ἐν θρόνοις.

Ὅτι φησὶν οἰκονομίας ἦν τὰ πλεῖστα τῶν ἐν τῇ παλαιᾷ, ἀλλ' οὐκ ἀρεσκείας θεοῦ καὶ προηγουμένης εὐδοκίας· καὶ τύποι τῶν μελλόντων, καὶ σκιαί, ἀλλ' οὐκ αὐτὰ τὰ πράγματα. καὶ ἔστιν ἰδεῖν ἐπ' αὐτῶν ἄλλα μὲν τὰ σχήματα, ἄλλα δὲ τὰ νοήματα· οἷον· οὐ πάντως θεὸς ἀναπαύεται ὑακίνθῳ καὶ πορφύρᾳ, καὶ κόκκῳ, καὶ βύσσῳ (θεὸς γὰρ ψυχῶν ἀπαιτεῖ καθαρότητα, οὐ σωμάτων ἄνθη καὶ λαμπρότητας·) ἀλλ' ἐν ταῖς σωματικαῖς φαιδρότησι τὴν εἰκόνα τῶν ἀρετῶν διαγράφει. εἰ γὰρ ταῖς στολαῖς ἐκείναις ὡς ἀληθῶς ἀνεπαύετο· πῶς τὸν Μωϋσῆν πρὸ τοῦ Ἀαρὼν οὐκ ἐνέδυσεν· ἀλλ' ἣν ἐκεῖνος οὐκ ἐνεδύσατο, ταύτῃ τοὺς ἱερέας ἠμφίασε; καὶ Μωϋσῆς μὲν οὐκ ἐλούσθη ὕδατι, καὶ ἔλουε. διὰ τί; ἵνα μάθῃς, ὅτι οὐκ ἦν ταῦτα προηγούμενα τῷ θεῷ. ὅτι τῷ τελείῳ πρὸς κόσμον ἀρκεῖ ἡ ἀρετή· καὶ ὅτι ταῦτα τύπος ἦν τῆς ἀρετῆς, [ἀλλ'] οὐκ ἀρετή.

[περὶ τῆς τιάρας τοῦ ἀρχιερέως.] Ὅτι ἐπὶ τῆς κεφαλῆς, φησιν, ἔφερεν ὁ ἀρχιερεὺς τιάραν· διότι τὸν προχειριζόμενον ἁπάντων κεφαλὴν, [καὶ] κατὰ κεφαλῆς ἔχειν τὴν ἐξουσίαν ἔδει, καὶ εἰδέναι, ὅτι κεφαλὴν τῶν ἄλλων προβαλλόμενος, καὶ αὐτὸς ὑπὸ κεφαλήν ἐστι τὸν κοινὸν ἁπάντων δεσπότην καὶ ἐξουσιαστήν· ἀπολελυμένη καὶ αὐθεντία καὶ αὐτόνομος, ἀφόρητός ἐστι καὶ χαλεπή. διὰ τοῦτο καὶ ἐν [ὅτι Εὐαγγέλιον τίθεται ἐν τῇ κεφαλῇ τῶν χειροτονουμένων.] τῇ χάριτι οἱ ἀρχιερατεύειν τελούμενοι, τὸ εὐαγγέλιον ἐπὶ κεφαλῆς δέχονται· ἵνα μάθῃ ὁ χειροτονούμενος, ὅτι τὴν ἀληθινὴν τοῦ εὐαγγελίου τιάραν λαμβάνει· καὶ ὅτι εἰ καὶ τῶν ἄλλων ἱερουργεῖται κεφαλὴ, ἀλλ' οὖν καὶ αὐτὸς ὑπὸ τούτους τελεῖ τοὺς νόμους· καὶ τῶν ἄλλων κρατῶν, τῷ νόμῳ κρατεῖται. ἀλλ' ἡ μὲν τιάρα τὴν ἐξουσίαν ἐτύπου, ἣν τε αὐτὸς εἶχε τοῦ λαοῦ, καὶ ὑφ' ἣν αὐτὸς ἀνεφέρετο τοῦ θεοῦ.

[περὶ τοῦ χρυσοῦ πετάλου.] Τὸ δὲ πέταλον τὸ χρυσοῦν, ἐν ᾧ τὸ ὄνομα ἐκεκόλαπτο τοῦ θεοῦ, ἐπέκειτο μὲν τῷ στήθει, φυλακῆς δ' ἐπεῖχε τύπον τῶν ἐν καρδίᾳ κινημάτων· καὶ ὡς δεῖ ταῦτα [καὶ] καταρρυθμίζειν τῇ πρὸς τὸ θεῖον νεύσει καὶ ἀναφορᾷ.

quod iugum illud contritum, imperium solutum sit, & omnibus Dominus dominetur, vt ipse quoque post resurrectionem dixit: *Data est mihi omnis potestas in cælo & in terra*, prius [Matt. 28.] vero dominata est nobis mors, & peccatum. Regnauit enim mors ab Adam vsque ad Moysen & cætera. & Dominus de diabolo: *Si Satanas satanam eiiciat, diuisum est regnum eius.* Itaque regnauit ante aduentum Christi super genus humanum diabolus, imo & peccatum. Dicit enim iterum Paulus: *Quemadmodum regnauit peccatum in mortali nostro corpore, sic & gratia regnabit per Christum. Dominus regnauit*, (finita est victoria diaboli, peccati, & mortis) exultet igitur terra. natura terrigena, olim errans, nunc vero gloriosa, olim in sepulcris, nunc in thronis.

[Rom. 5. 14. Matth. 12. 26.]

[Rom. 5. 21.]

Dispensationis erant plurima in veteri testamento, non autem satis Deo placebant, serum futurarum figuræ, & vmbræ, sed non res ipsæ, & est videre in illis alias quidem figuras, alias vero notiones. Veluti non omnino placent Deo hyacinthus, purpura, & coccus, & byssus (Deus enim requirit animarum puritatem, non corporis florem aut nitorem) Sed corporeâ elegantiâ imaginem virtutum depingit. Si enim vere stolis illis acquiescebat, quomodo Mosen ante Aaron nō induit, sed qua ipse non vestiebatur, illâ sacerdotibus attribuit? Et Moses quidem aqua ablutus non est, sed lauit. Quamobrem? vt discas, non hæc Deo potiora esse, & perfecto ad sui ornatum sufficere virtutem, & hæc fuisse typum Virtutis, non ipsam virtutem. [Sacerdotis vestes. Exodi 28.]

In capite, inquit, ferebat Pontifex tiaram, [Tiara.] quia caput omnibus designatum oportuit capite habere potestatem, & scire, quod creatus caput aliorum, & ipse sub capite sit communi omnium Domino & principe. Absoluta enim auctoritas, nec cuiusquam subiecta imperio, intolerabilis est & difficilis. Ideo in Lege gratiæ, qui Pontifices maximi sunt, Euangelium in capite recipiunt, vt electus intelligat, quod veram Euangelij tiaram accipiat, & tametsi aliorum caput constituatur, legibus tamen iisdem subiiciatur, & aliis imperanti Lex imperet. Sed tiara potestatem designabat, quam ipse in populum habebat, & qua ille Deo tenebatur.

Aurea vero bractea, in qua Dei nomen exaratum erat, in pectore erat, custodiam designans cogitationum cordis, & quod oporteat has aptare ad Dei nutum & referre. [Lamina aurea.]

In humeris erant Smaragdi duo, quorū alter hinc sex tribus, totidem alter cōtinebat. Erant autem typus aspectus sacerdotalis: habet enim Smaragdus & viriditatem egregiam, & claram puritatem, instar speculi radians. Etenim oportet sacerdotem & pia exercitatione sobriū esse, & vitam subditis suam tanquam speculum virtutum ostendere. Erat vero in humeris, quod actionum signum est, smaragdus. Actionis enim potentia ab humeris dependet, [Smaragdus.]

[περὶ τῶν ἐπὶ τῶν ὤμων δύο λίθων σμαράγδου. Exod. 28. 9.] Ἐπὶ δὲ τῶν ὤμων σμαράγδου λίθοι δύο, ἔχοντες τὰς ἓξ φυλὰς ἐντεῦθεν, καὶ τὰς ἓξ ἐντεῦθεν· οὗτοι δὲ σύμβολον ἦσαν τῆς ὄψεως τῆς ἀρχιερατικῆς. ἔχει γὰρ ἡ τοῦ σμαράγδου ψῆφος καὶ χλωρότητα εὐπρεπῆ, καὶ καθαρότητα διαυγῆ, κατόπτρου δύναμιν ὑποφαίνουσα. καὶ γὰρ δεῖ τὸν ἱερέα καὶ ἀσκήσει νήφειν, καὶ τὸν βίον τοῖς ὑπ' αὐτὸν ὥσπερ κάτοπτρον παρέχειν. ἐπὶ τῶν ὤμων δὲ ἡ σμάραγδος· ἐπειδὴ πράξεώς ἐστι σημεῖον. ἡ γὰρ πρακτικὴ δύναμις τῶν ὤμων ἤρτηται·

IO. CHRYSO. Ideo & Deus ad Hierusalem loquitur : *Dirige cor tuum in viam rectam , in qua ambulasti, filia vaga , quia creauit Dominus nouum super terram.* Etenim manus & humeros ad actionem scriptura accommodat , vt quando de Dauide loquitur , *& in intellectu manuum suarum deduxit eos.* Inerant verò * Logio in pectore duodecim etiā lapides impositi, qui duodecim tribus significabant. Et vide, supra quidē, & in humeris vna erat natura lapidū smaragdus , infra vero & in pectore duodecim. Quo significatur, Antea quidem ab vna omnes prodiisse natura: progressu vero temporis, diuersis opinionibus diuisos esse, & hoc quidē tribuit opinioni, illud vero naturæ. Intra vero in fimbria sacerdotis, quæ dicitur ora, aurea mala, & punica, & campanulæ dependebant. Et quomodo, hæc, prima ratione Deo vt diximus, placerent ? Sed in vestitu & habitu sacerdotis virtutes effinxit , infra flores & fructus, virtutum opera , cuiusmodi sunt Eleemosyna , Iustitia , & humanitas, & chorus reliquarum ipsis affinium.

Ier. 31.22. Sed Graeca editio aliter quam vt hic vulg. editio. Psal. 77. v. vlt.

* λογείῳ.

Exod. 28.

Deut. 4.2. *Non mutabis verba Dei viui.* In Patrem & Filium, & Spiritum sanctum baptizatus es , quid tollis nomina viua , & introducis nomina cogitationum tuarum, dicens; ingenitum, genitum, semper exsistens, & non semper exsistens. Deúsne hæc inania verba toleret ? Vnum verbum vt mutaret, Propheta olim de vita periclitatus est : Et vide emphasim exigui verbi. Verba Prophetarum vocarunt quidam per ignorantiam Domini * onus. Dicit Dominus per Esaiam : *Si igitur interrogauerit te populus iste, vel Propheta aut Sacerdos dicens , quod est onus Domini ? dices ad eos , quia vos Domini onus estis. Proiiciam quippe vos , & relinquam , ne dicatis onus.* Vnum verbum ne mutetur, minatur Deus, & tu totam doctrinam commutans, putas te manus Domini effugiturum.

* λῆμμα. Iere. 23.33.

2. Cor. 12. 9. Eiusdem in illud : *Sufficit tibi gratia mea , virtus enim in infirmitate perficitur.*

VEnit à Patre Christus ad homines legatus [mactatus legatus est] & tunc pacem fecit. Sed legati venientes, & dona ferunt, & dona accipiunt. Quod igitur donum tulit, & quod accepit? nouum donum, quia & nouus Legatus. Tulit nobis donum corpus & sanguinem suum: & quid à nobis accepit? Fidem. Et quid pro illa nobis dat? Gratiam. Credidimus nos, ille gratiam dedit, soluta est [ira &] odium. Cum venit legatus ad aliquam gentem , non dignatur cum aliquo paupere aut plebeio loqui, sed statim ad Regem accedit. Hic vero legatus cum venit, statim cum meretrice, latrone, telonario, & Magis locutus est. Vides legati benignitatem? Non enim ad vnum & alterum venit, sed ad communem naturam, & venit carne nostra indutus , ne pura diuinitate accedens bestiam terreat.

Legatorum munus.

2. Cor. 5. 17. Ex eadem Homilia in dictum Apostoli : *Siqua ergo in Christo noua creatura: vetera transierunt, ecce facta sunt omnia noua.*

IVdæi & gentes dicunt : quid gloriatur Paulus dicens : *Vetera transierunt , ecce facta*

διὸ καὶ ὁ θεὸς πρὸς τὴν ἱερουσαλὴμ λέγει· Θὲς τὴν καρδίαν σου ἐπὶ τῶν ὤμων σου, θύγατερ ἠτιμωμένη· ὅτι κύριος κτίζει σε εἰς σωτηρίαν. καὶ γὰρ τὰς χεῖρας, καὶ τοὺς ὤμους, εἰς πρᾶξιν ἡ γραφὴ λαμβάνει· ὡς ὅταν λέγει περὶ τοῦ Δαυίδ· καὶ ἐν τῇ συνέσει τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς. ἐνῆσαν δὲ τῷ λογείῳ τῷ ἐπὶ τοῦ στήθους καὶ οἱ δώδεκα λίθοι ἐνηρμοσμένοι, τὰς δώδεκα φυλὰς ὑποδηλοῦντες. καὶ ὅρα, ἄνω μὲν καὶ ἐπὶ τῶν ὤμων μία ἦν φύσις τῶν λίθων ὁ σμάραγδος· κάτω δὲ, καὶ ἐπὶ τοῦ στήθους, οἱ δώδεκα. αἰνιττομένου τοῦ λόγου· ὅτι ἄνωθεν μὲν ἐκ μιᾶς ἅπαντες προήλθομεν φύσεως. προϊόντος δὲ τοῦ χρόνου, διαφόροις γνώμαις ἐμερίσθημεν· καὶ τὸ μὲν δίδωσι τῇ γνώμῃ, τὸ δὲ τῇ φύσει. ὑπὸ δὲ τὸ κράσπεδον τοῦ ἱερέως, τὸ λεγόμενον λῶμα, ἄνθη ῥόαι, καὶ ῥοΐσκοι χρυσοῖ, καὶ κώδωνες ἀπῃώρηντο. καὶ πῶς ἂν εἴη θεῷ ταῦτα κατὰ πρῶτον λόγον ἀρέσκοντα ; ἀλλ' ἐν τῷ σχήματι τοῦ ἱερέως ἐφῆκεν ἐξεικονίζεσθαι τὰς ἀρετάς. κάτω ἄνθη καὶ καρποὶ, τὰ τῶν ἀρετῶν κατορθώματα, ἅ τινά ἐστιν ἐλεημοσύνη καὶ δικαιοσύνη καὶ φιλανθρωπία, καὶ τῶν ἄλλων ὁ σύστοιχος αὐταῖς χορός.

* ἀλλὰ ... περὶ ... (note illegible)

Ὅτι, φησὶ, μὴ μεταβάλῃς ῥήματα θεοῦ ζῶντος· εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ἐβαπτίσθης, τί ἀναιρεῖς τὰ ὀνόματα τὰ ζῶντα, καὶ εἰσάγεις * ὀνόματα λογισμῶν, γέννημα λέγων, καὶ ἀγέννητον, καὶ γεννητὸν, ὂν ἀεὶ καὶ μὴ ὂν ἀεί. τούτων ἀνέχεται θεὸς τῶν ματαίων ῥημάτων ; ἓν ῥῆμα ἵνα μεταβάλῃ, προφήτης ποτὲ ἐκινδύνευσεν ἀπολέσθαι. καὶ βλέπε ῥήματος μικροῦ ἀκριβολογίαν. τὰ ῥήματα τῶν προφητῶν τινες ἐκάλουν ὑπὸ ἀπειρίας λῆμμα κυρίου. λέγει ὁ θεὸς διὰ * Ἡσαΐου· ἐὰν ἐρωτήσῃ σε ὁ λαὸς, ἢ ὁ ἱερεὺς, ἢ ὁ προφήτης, καὶ εἴπῃ σοι, τί τὸ λῆμμα ; εἰπὲ αὐτοῖς, ὅτι τὸ λῆμμα κυρίου ὑμεῖς ἐστέ. λήψομαι γὰρ ὑμᾶς λῆμμα, καὶ ῥάξω ὑμᾶς, ἵνα μὴ λέγητε λῆμμα· ἓν ῥῆμα ἵνα μὴ μεταποιηθῇ, ἀπειλεῖ ὁ θεός· καὶ σὺ ὁλόκληρον δογμάτων ἀκρίβειαν διαστρέφων, νομίζεις διαφυγεῖν τὰς τοῦ θεοῦ χεῖρας ;

* al. ὀνόματα λογισμῶν γεννήματα.

* Ieremiou. c. 23. v. 33.

Ἐκ τοῦ, εἰς τό· Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται.

ΟΤι ἦλθε παρὰ τοῦ πατρὸς (φησὶν) ὁ Χριστὸς πρὸς τοὺς ἀνθρώπους πρεσβευτὴς [ἐσφάγη ὁ πρεσβευτὴς·] καὶ τότε γέγονεν ἡ εἰρήνη. ἀλλ' οἱ πρέσβεις ἐρχόμενοι, καὶ δῶρα φέρουσι, καὶ δῶρα λαμβάνουσι. ποῖον οὖν ἦκε φέρων δῶρον, καὶ ποῖον ἀντέλαβε ; παράδοξον τὸ δῶρον, ὡς καὶ ὁ πρεσβευτὴς παράδοξος. τὸ αἷμα αὐτοῦ φέρων ἦλθε δῶρον, τὸ σῶμα αὐτοῦ φέρων ἦλθε δῶρον. καὶ τί παρ' ἡμῶν ἔλαβε δῶρον ; πίστιν. καὶ τί ἀντ' αὐτῆς μοι παρέσχε ; χάριν. ἐπίστευσα ἐγὼ, ἐχαρίσατο ἐκεῖνος· ἐλύθη ἡ ἔχθρα. ὁ πρεσβευτὴς ὅταν ἔλθῃ πρὸς ἔθνος, οὐκ ἀξιοῖ τινι τῶν ἀγοραίων ἢ πενήτων διαλεχθῆναι· ἀλλ' εὐθὺς τῷ βασιλεῖ προσέρχεται. οὗτος δὲ ὁ πρεσβευτὴς ἦλθε, καὶ εὐθέως πόρνῃ καὶ λῃστῇ, [καὶ] τελώνῃ, καὶ μάγοις διελέχθη. εἶδες πρεσβευτοῦ φιλανθρωπίαν ; οὐ γὰρ πρὸς ἕνα καὶ δεύτερον ἦλθεν, ἀλλὰ πρὸς τὴν κοινὴν φύσιν· καὶ ἦλθε, τὸ ἐμὸν περιβεβλημένος ἱμάτιον, ἵνα μὴ γυμνῇ τῇ θεότητι παραγενόμενος φοβήσῃ τὸ θηρίον.

Excerpta ex homilia in dict. Sufficit tibi gratia mea.

Ἐκ τοῦ αὐτοῦ, εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου· Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα.

ΟΤι φασὶν οἱ ἑλληνισταὶ καὶ τὸ ἰουδαϊζον· τί κομπάζει Παῦλος, λέγων· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέ-

Ex eadem homil. in dictum ... Si qua ergo in Christo noua creatura. 2. Cor. 5. v. 17.

γονε

IOANNES CHRYSOST.

* al. [illegible]

γονε καινὰ τὰ πάντα. εἴ τις ἐν Χριστῷ καινὴ κτίσις· ἐγὼ γάρ φησι καινὸν οὐδὲν βλέπω. οὐ γὰρ ἔχεις ὀφθαλμοὺς, ἵνα ἴδῃς ταῦτα. δεῦρο, καὶ ποιήσω σοι ὀφθαλμούς. καὶ ὁρᾷς, καὶ σὺ ποιεῖς ὀφθαλμούς; ναί. καὶ δημιουργὸς εἶ; καὶ πάνυ. σὺ ἀπενόησας; οὐχί. οὐκοῦν ποίησον ὀφθαλμοὺς τοῦ σώματος; οὐκ· ἀλλὰ τὸ μεῖζον, τῆς διανοίας. καὶ ποιεῖς μοι ὀφθαλμούς; μάλιστα. οὐ γὰρ ἔχεις; οὐχί. σὺ δὲ ἔχεις; ναί. πῶς, εἰπέ μοι; ὅταν ἀπέλθῃς εἰς ναὸν, καὶ ἴδῃς ἐκεῖ ξόανον γυμνὸν, λίθον ἄφωνον, καὶ εἴπῃς, οὗτος ὁ θεός ἐστιν· ἆρα ὀφθαλμοὺς ἔχεις; μὴ γὰρ ὄφελός τι τῶν ἔξωθεν ὀφθαλμῶν, τῶν ἔνδοθεν πεπηρωμένων; ὁρᾷς ὅτι χρείαν ἔχεις, ἵνα ποιήσω σοι ὀφθαλμοὺς, ὥστε τὸν λίθον σε ἰδεῖν λίθον, καὶ τὸ ξύλον, ξύλον. ὀφθαλμοὺς ἔχεις, ὅταν ἴδῃς ξύλον, καὶ προσκυνήσῃς; * ὅτ' ἂν λαβὼν ἐγὼ αὐτὸ καύσω, ἆρα ἔχεις ὀφθαλμοὺς, τὸ καιόμενον θεὸν ὀνομάζων; ὅταν τὰ πάθη θεοποιῇς, ὀφθαλμοὺς ἔχεις; μεθύει ὁ ἄνθρωπος, καὶ περιφέρεται, καὶ καταγελᾶται, καὶ γίνεται ἀντὶ ἀνθρώπου ἄλογος. σὺ δὲ λέγεις· ἡ μέθη, θεὸς ὁ Διόνυσος· ἡ κλοπὴ, θεὸς ὁ Ἑρμῆς. ὁρᾷς, ὅτι χρεία σοι ὀφθαλμῶν; ὁ νόμος τὰ πάθη κολάζει· καὶ σὺ ταῦτα θεοποιῶν οὐκ αἰσθάνῃ. εἰ βούλει δὲ, πρόσεχε, ὅπως γέγονε πάντα καινά. κτίσις ἐν τῇ γραφῇ λέγεται οὐ μόνον ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγὴ· ἀλλὰ καὶ ἡ ἐκ τοῦ ὄντος ἐπὶ τὸ βέλτιον μεταβολή. ἔκτισεν ὁ θεὸς τὸν οὐρανόν· τουτέστιν ἐκ τοῦ μὴ ὄντος εἰργάσατο. κτίζει καὶ ὅταν τὸν πονηρὸν ἄνθρωπον, καλὸν ἀπεργάσηται· ἐνταῦθα τὸ κτίζειν, πραγμάτων ἐστὶν ἐπὶ τὸ βέλτιον μεταβολή. καὶ ἄκουσον τοῦ Δαυὶδ λέγοντος. ἐπειδὴ γὰρ ἦν αὐτὸς καὶ ἡ καρδία αὐτοῦ ἐκτισμένη, ἐρρυπώθη δὲ τῇ μοιχείᾳ καὶ τῷ φόνῳ, καὶ πρὸς φθορὰν κατεφέρετο· παρακαλεῖ τὸν θεὸν, καὶ λέγει· Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός. οὐχ, ὅτι πρότερον οὐκ εἶχε καρδίαν, οὐδὲ περὶ τῆς οὐσίας τῆς καρδίας λέγει· ἀλλὰ περὶ τῆς κοσμούσης αὐτὴν ἀρίστης πολιτείας. ἰδοὺ τοίνυν κτίσις λέγεται, οὐ μόνον ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγωγὴ, ἀλλὰ καὶ ἡ τῆς οὐσίας διαφθαρείσης εἰς τὸ βέλτιον μεταβολή. οὕτω κτίζεται σώφρων ἡ πόρνη· οὕτως ἐλεήμων, ὁ ἅρπαξ· οὕτω μεταβάλλεται εἰς πρόβατον ὁ λύκος· καὶ ὁ ἱέραξ, εἰς περιστεράν. δύο κτίσεις· διὰ τοῦτο καὶ τὸ λουτρὸν, κτίσμα λέγεται, τὸ λουτρὸν λέγω τῆς παλιγγενεσίας. * ἀπολυσάμενοι γάρ φησι τὸν παλαιὸν ἄνθρωπον * ἐνδυσάμενοι δὲ τὸν νέον, τὸν * ἀνακαινούμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. ὁρᾷς οὖν ὅτι ἐστὶ καινὴ κτίσις. τί γάρ μοι ὄφελος, ἐὰν γένηται οὐρανὸς καινὸς, καὶ γῆ καινή· ἐγὼ δὲ ταῖς ἁμαρτίαις παλαίωμαι; ὁ οὐρανὸς οἶκός ἐστιν· ἐγὼ δὲ διαιτώμενος ἐν αὐτῷ, καὶ νοσῶν. ἐὰν ἰατρὸς εἰς τὴν οἰκίαν τοῦ ἀρρωστοῦντος εἰσέλθοι· καὶ τοῦ μὲν οὐδεμίαν πρόνοιαν λάβοι, λευκαίνῃ δὲ τοὺς τοίχους καὶ χρυσογραφῇ τὸν ὄροφον: οὐκ ἂν εἴποις αὐτῷ· ἄνθρωπε, ἀνάστησον τὸν νοσοῦντα, τί τὴν οἰκίαν καλλωπίζεις. βοήθησον τῷ κειμένῳ. καὶ ὁ Χριστὸς εἰσῆλθεν εἰς τὸν κόσμον τοῦτον ἐν ᾧ καταπεσμένην εὗρε τὴν φύσιν μου [καὶ] νοσοῦσαν· καὶ πρὸς τὴν θεραπείαν αὐτῆς ἅπαντα δέχεται τὸν ἀγῶνα, καὶ ἀνακαινίζει καὶ ἀνορθοῖ τὴν φύσιν. τί οὖν τὸν ἰατρὸν μέμφῃ, ὅτι μὴ ταῦτα ποιεῖ· τὸν Χριστὸν δὲ πάλιν ὑπὸ μῶμον ποιεῖς, ὅτι ταῦτα ποιεῖ; οὕτω παρῆλθε τὰ ἀρχαῖα· οὕτω γέγονε τὰ πάντα, καινά· οὕτω καινὴ κτίσις. καὶ μυρία ἄν τις τοιαῦτα ἐπισωρεύσῃ.

* al. ἢ λαβὼν.

* ἀπεκδυσάμενοι. Colos. 3. v. 9.

* ἐνδυσάμενοι τὸν H. St.

* ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' libri editi.

sunt omnia noua. Si qua in Christo noua creatura. Ego vero, inquit, nihil nouum video. Non enim habes oculos, vt videas hæc. accede huc, & faciam tibi oculos? Et vides, & tu facis oculos? Ita. Et creator es? omnino. Túne demens es? nequaquam. Igitur facies oculos corporis? nequaquã; sed maius aliquid, Oculos mentis. & facis mihi oculos? Ita. Non enim habeo? nequaquam. Tu verò habes? Ita. Quomodo, dic mihi. Cum veneris in templum, nudamque ibi statuam videris, lapidem mutum edixeris, ille Deus est, an oculos habes? Non enim vtilitas aliqua oculorum externorum, si interni caligant. Vides opus esse, vt faciam tibi oculos, vt videas lapidem esse lapidem, & lignum esse lignum, Oculósne habes quando vides lignum, & adoras? Atqui ego si accipiens comburam, num habes oculos, id Deum: quod exustum est, vocans? Quando affectus & * perturbationes Deos esse dicis, oculósne habes? Ebrius est homo, & circumagitur, & irridetur, & ex homine fit bestia. Tu vero dicis, ebrietas Deus Bacchus est. Furtum Deus Mercurius. Vidésne indigere te oculis? Lex affectus punit, & hos te Deos facere non vides? Si autem vis attende, quomodo facta sint omnia noua. Dicitur in Scriptura, creatio non solum è nihilo in aliquid productio, sed etiã ex aliquo in melius immutatio. Creauit Deus cœlũ, hoc est, è nihilo fecit. Creat & quando malum hominem bonum reddit. Hic vero creatio est rerum mutatio in melius. Et audi Dauidem dicentem. Cum enim erat ipse, & cor eius creatum, sordibus vero adulterij & cædis maculatum est, & ad corruptionem ferebatur, prouocat Deum dicens: *Cor mundum crea in me Deus.* Non quod prius cor non habuerit, nec de cordis substantia loquitur, sed de meliori eius conditione. Ecce igitur creatio dicitur, non solum eorum, quæ è nihilo producta sunt, sed etiam corruptæ naturæ in melius mutatio. Sic creatur munda ipsa adultera; sic misericors qui antea raptor; sic mutatur in ouem lupus, in columbam vultur. duplex creatio. Ideo & lauacrum creatio dicitur, lauacrum, inquam, regenerationis. *Exuentes enim, inquit, veterem hominem, & induentes nouum cum qui renouatur secundum imaginem eius, qui creauit illum.* Vides igitur nouam esse creaturam. Quid enim mihi prodest, si fiat cœlum nouum, & terra noua, ego verò in peccatis meis inueterascam: Cœlum domus est, ego verò habito in ea ægrotus. Si quando medicus in domum ægroti veniret, & nulla morbi ratione habitã; inalbaret parietes, & auro laquearia incrustaret: nonne diceres illi, bone vir cura ægrotum, quid domum exornas? adiuua decumbentem. Christus venit in hunc mundum, in quo decumbentem naturam meam inuenit, & ægrotantem, & ad eam sanandam omne subit certamen, & renouat instauratque naturam. Quid igitur medicum tu reprehendis, quia non illa facit, Christum vero reprehendis, quod hæc faciat? Sic transierunt antiqua, sic facta sunt noua omnia; sic noua creatura; & alia multa similia quis coaceruet.

* *Virgil. IX. Æneid. vers. 184.----Dine hunc ardorem mentibus addũt Euryale? an sua cuique Deus fit dira cupido? & in Hippolyto Seneca Tragicus.*

Creatio duplex externa & spiritalis.

Psal. 50. 12.

Luc. 7. 37. Luc. 19. 5. Act. 9. 21.

Colos. 3. 9.

IO. CHRYSO.

Ex Homilia post Calendas, &c. & contra ebrios.

Math. 14. 13. CHristus magnam multitudinem in deserto conuiuio excipiens, non illos ad temosium & somnum misit, sed ad diuina verba audienda vocauit. Sic & nos faciamus, & tantum nos edere assuescamus, quantum ad vitam tuédam sufficit, non quantum noceat & grauet. Non enim idcirco nati sumus & viuimus, vt edamus & bibamus, sed ideo edimus vt viuamus. Non vita propter cibum, sed cibus propter vitam ab initio factus est. Nos vero quasi ideo in mundum venerimus, sic omnia in eam rem consumimus.

1. Thess. 4. 13. In dictum Apostoli: *Nolumus vos ignorare de dormientibus, vt non constristemini, sicut & cæteri, &c.*

Mors & dormitio. Rom. 6. 3. 1. Cor. 11. 30. 1. Cor. 15. 6. 18. 20. 51. 1. Thess. 4. 14. 15. QVare Paulus, cum de Christo loquitur, mortem ipsius vocat *mortem*, cum vero de nostra morte verba facit, *dormitionem* illam, & non *mortem* appellat. Nam in eadem oratione ter mentionem mortis hominum faciens, nunquam *mortem* dicit, sed *dormitionem* decessum nominat. Non enim temere his vsus verbis Apostolus est, sed magnum & sapiens quiddam præparat. In Christo igitur *mortem* vocat, vt passio credatur, in nobis verò *dormitionem*, vt dolorem consoletur. Vbi enim præcessit Resurrectio, confidens vocat mortem: vbi verò in spe adhuc manet dormitionem appellat: & hac appellatione nos consolans in bonam [vitæ] spem erigit. Dormiens enim omnino resurget, cùm mors nihil sit aliud, quàm diuturnus somnus.

Ex Homilia Chrysostomi de Pœnitentia.

Exod. 16. Peccatum & pœnitentia. COmederunt Iudæi manna, & cepas Ægyptias quærebant. Adeò turpis res est consuetudo, quin pessima. Licet per decem dies præclarè te geras, licet per viginti, per triginta, non acquiesco, non gratiam habeo, non te complector: modo ne defatigaris, sed suffundaris pudore, téque accuses. Iterum de charitate disseruimus; audisti, abiisti, rapuisti, non operibus sermonem ostendisti: ne iterum ingredi Ecclesiam erubescas, erubesce peccare, non erubesce pœnitere. Duo hæc sunt, Peccatum & Pœnitentia: vulnus quidem peccatum, remedium pœnitentia: in vulnere putredo; in pœnitentia putredinis mundatio: in peccato probrum & derisio, in pœnitentia laus, & libertas dicendi, ac è seruitute liberatio. Sed Satanas ordinem immutat, dátque iis qui illi obediunt, in peccato licentiam, in pœnitentia pudorem. Tu vero ne credas illi, sed vtrique actioni suum tribuere stude.

Visio quam vidit Esaias contra Iudæam & Ierusalem.

Esaia 1. 2. DIc visionem quam vidisti. Ipse auté dicit: *Audite cæli & auribus percipe terra, quoniam Dominus locutus est.* Alia promisisti, alia loqueris. Incipiés, dixisti, *visio super Iudæam & Ierusalem.*

Ἐκ τοῦ, μετὰ τὰς Καλάνδας, καὶ ἑξῆς· καὶ κατὰ μεθυόντων.

ΟΤοίνυν Χριστὸς τὰ ἄπειρα πλήθη ἑστιάσας ἐπὶ τῆς ἐρήμου, οὐκ ἐπὶ σκηνὴν καὶ ὕπνον αὐτοὺς ἔπεμψεν, ἀλλ' ἐπὶ θείων ἀκρόασιν ἐκάλεσε λογίων. οὕτω καὶ ἡμεῖς ποιῶμεν, καὶ τοσοῦτο ἐθιζώμεθα ἑαυτοὺς ἐσθίειν, ὅσον πρὸς τὸ ζῆν μόνον, οὐχ ὅσον διασπαράττεσθαι καὶ βαρύνεσθαι. οὐ γὰρ διὰ τοῦτο ἐγενόμεθα καὶ ζῶμεν, ἵνα φάγωμεν καὶ πίωμεν. ἀλλὰ διὰ τοῦτο ἐσθίομεν, ἵνα ζῶμεν. οὐ τὸ ζῆν διὰ τὸ φαγεῖν· ἀλλὰ διὰ τὸ ζῆν, τὸ φαγεῖν γέγονεν ἐξ ἀρχῆς. ἡμεῖς δὲ ὡς διὰ τοῦτο ἐλθόντες εἰς τὸν κόσμον, οὕτως ἅπαντα εἰς τοῦτο καταναλίσκομεν.

Ἐκ τοῦ εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου· περὶ δὲ τῶν κεκοιμημένων, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί· ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ, καὶ τὰ ἑξῆς.

ΤΙ δήποτε, ὅταν μὲν περὶ τοῦ Χριστοῦ διαλέγηται Παῦλος, θάνατον καλεῖ τὸν ἐκείνου θάνατον· ὅταν δὲ περὶ τῆς ἡμετέρας τελευτῆς, κοίμησιν αὐτὴν καὶ οὐ θάνατον ὀνομάζει; καὶ γὰρ ἐν τῷ αὐτῷ λόγῳ τρίτον μνησθεὶς τῆς τελευτῆς τῶν ἀνθρώπων, οὐδαμοῦ θάνατον λέγει· ἀλλὰ κοίμησιν, τὴν ἀναχώρησιν ὀνομάζει. οὐ γὰρ παρέργως ταύτῃ κέχρηται τῇ λέξει ὁ παρατηρήσας, ἀλλὰ σοφόν τε καὶ μέγα κατασκευάζει. ἐπὶ μὲν οὖν τοῦ Χριστοῦ θάνατον καλεῖ, ἵνα τὸ πάθος πιστώσηται· ἐπὶ δὲ ἡμῶν, κοίμησιν· ἵνα τὴν ὀδύνην παραμυθήσηται. ἔνθα μὲν γὰρ προεχώρησεν ἡ ἀνάστασις, θαρρῶν καλεῖ θάνατον· ἔνθα δὲ ἐν ἐλπίσιν ἔτι μένει, κοίμησιν καλεῖ· καὶ διὰ ταύτης παραμυθούμενος, ἡμᾶς τῆς προσηγορίας, καὶ χρηστὰς ἐλπίδας ὑποτείνων ἡμῖν. ὁ γὰρ κοιμώμενος, ἀναστήσεται πάντως· ἐπεὶ καὶ θάνατος οὐδὲν ἕτερόν ἐστιν ἢ μακροχρόνιος ὕπνος.

Τοῦ αὐτοῦ Χρυσοστόμου ἐκ τοῦ περὶ μετανοίας.

Ex homilia Io. Chrysostomi, de Pœnitentia. Exod. 16. ΜΑννα ἤσθιον οἱ ἰουδαῖοι, καὶ τὰ ἐν αἰγύπτῳ κρόμμυα ἐπεζήτουν. οὕτως αἰσχρὸν ἡ συνήθεια πρᾶγμα, καὶ κάκιστον. κἂν εἰς δέκα ἡμέρας κατορθώσῃς, κἂν εἰς εἴκοσι, κἂν εἰς τριάκοντα· οὐκ ἀγαπῶ, οὐ χάριν ἔχω, οὐ περιπτύσσομαί σε· μόνον μὴ ἀποκάμῃς, ἀλλ' αἰσχύνου καὶ καταγίνωσκε. πάλιν διελέχθην περὶ ἀγάπης· ἤκουσας, ἀπῆλθες, καὶ ἥρπασας. οὐκ ἐπεδείξω διὰ τῶν ἔργων τὸν λόγον· μὴ αἰσχυνθῇς πάλιν εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν. αἰσχύνου ἁμαρτάνων, μὴ αἰσχύνου μετανοῶν. δύο ταῦτά ἐστιν, ἁμαρτία καὶ μετάνοια· τραῦμα μὲν, ἡ ἁμαρτία· φάρμακον δὲ ἡ μετάνοια. ἐν τῷ τραύματι, σηπεδών· ἐν τῷ φαρμάκῳ, τῆς σηπεδόνος καθαρισμός. ἐν τῇ ἁμαρτίᾳ ὄνειδος, γέλως· ἐν τῇ μετανοίᾳ, ἔπαινος, παῤῥησία, ἐλευθερία. ἀλλ' ἀντιστρέφει τὴν τάξιν ὁ σατανᾶς, καὶ δίδωσι τοῖς πειθομένοις αὐτῷ ἐν μὲν τῇ ἁμαρτίᾳ τὴν παῤῥησίαν, ἐν δὲ τῇ μετανοίᾳ τὴν αἰσχύνην. σὺ δὲ μὴ πεισθῇς αὐτῷ· ἀλλ' ἑκατέρᾳ πράξει τὸ οἰκεῖον ἀπονέμειν σπούδασον.

Ὅρασις, ἣν εἶδεν Ἡσαΐας κατὰ Ἰουδαίας καὶ κατὰ Ἱερουσαλήμ.

ΕΙπὲ τὴν ὅρασιν, ἣν εἶδες. ὁ δὲ λέγει. Ἄκουε οὐρανὲ, καὶ ἐνωτίζου γῆ· ὅτι κύριος ἐλάλησεν. ἄλλα ἐπηγγείλω, καὶ ἄλλα λέγεις. ἀρχόμενος εἶπες, ὅρασις κατὰ ἰουδαίας καὶ κατὰ Ἱερουσαλήμ·

Ἱερουσαλήμ· καὶ ἀφεὶς τὴν διήγησιν, οὐρανῷ καὶ γῇ διαλέγῃ. ἀφῆκας τοὺς ἀνθρώπους, καὶ τοῖς ἀλόγοις στοιχείοις προσδιαλέγῃ. ναί φησιν, ἐπειδὴ τῶν ἀλόγων ἀλογώτεροι γεγόνασιν οἱ λογικοί. καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διότι μέλλων ὁ Μωσῆς εἰσάγειν αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ προορῶν τὰ μέλλοντα ἔσεσθαι· οὕτω πως φησίν· Ἄκουε οὐρανὲ, καὶ λαλήσω· προσεχέτω ἡ γῆ ῥήματα ἐκ στόματός μου. διαμαρτύρομαι ὑμῖν φησιν Ἰουδαῖοι τὸν οὐρανὸν καὶ τὴν γῆν ὁ Μωϋσῆς· ὅτι ἐὰν εἰσέλθητε εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ ἐγκαταλίπητε κύριον τὸν θεὸν· διασπαρήσεσθε εἰς πάντα τὰ ἔθνη. ἦλθε λοιπὸν Ἡσαΐας, ἔμελλεν ἡ ἀπειλὴ παραγίνεσθαι. οὐκ ἠδύνατο καλεῖν Μωσέα, τὸν ἤδη τεθνηκότα, οὐδὲ τούς ποτε ἀκηκοότας· λοιπὸν τὰ στοιχεῖα καλεῖ, ἅπερ διαμαρτυρόμενος αὐτοῖς ἐκάλει καὶ ὁ Μωϋσῆς. καί τοι γε ἐκεῖνος ἠδύνατο καὶ τὸν Ἀαρὼν καλεῖν εἰς μαρτυρίαν, καὶ πολλοὺς ἄλλους· ἀλλὰ διὰ τοῦτο (φαίη ἂν) οὐκ ἐκάλεσα τούτους, ἐπειδήπερ ἔμελλον ἐκεῖνοι τελευτᾷν, καὶ μὴ παρεῖναι μάρτυρες. ἐπεὶ δὲ αὖ εἰς παρανομίαν ἐξέκλινεν ὁ Ἰσραὴλ, διὸ τὰ μένοντα στοιχεῖα εἰκότως εἰς μαρτυρίαν καλῶ. οὕτω καὶ Ἡσαΐας ποιεῖ· οὐ διὰ τὰ εἰρημένα μόνον, ἀλλὰ καὶ ἐπειδὴ διαλεχθεὶς τοῖς Ἰουδαίοις, εὗρεν αὐτοὺς μὴ ἀκούοντας αὐτοῦ, ἐπὶ τὰ στοιχεῖα τρέπεται, καὶ μάρτυρας παραλαμβάνει αὐτοῦ. Ἄκουε οὐρανὲ, σὺ γὰρ τὸ μάννα ἔβρεξας· ἐνωτίζου γῆ, σὺ γὰρ τὴν ὀρτυγομήτραν ἔδωκας. ἄκουε οὐρανὲ, τὰ γὰρ ὑπὲρ φύσιν αὐτοῖς ἐχορήγησας· ἄνω καθ' ὃν τρόπον ἐστερεώθης ἔμεινας, καὶ μίμησιν οὐχ ὑπερεῖδες ἅλωνος. ἐνωτίζου γῆ· σὺ γὰρ κάτω ἦς, καὶ τράπεζαν αὐτοῖς παρετίθεις αὐτοσχέδιον. διὰ τοῦτο καὶ ἕτερος προφήτης ὁρῶν τὸν βασιλέα μαινόμενον, τὸ εἴδωλον λατρευόμενον, τὸν θεὸν ὑβριζόμενον, τοὺς ἄλλους ἐπτηχότας· πρὸς οὐδένα τούτων ποιεῖται (τὸν) λόγον, ἀλλ' ἀποστραφείς· Ἄκουσον (φησὶν) θυσιαστήριον, ἄκουσόν μου. τί οὖν λίθῳ προσδιαλέγῃ; ναί φησιν, ἐπειδὴ λίθου ἀναισθητότερος ὁ βασιλεύς. ἄκουσον θυσιαστήριον, τάδε λέγει κύριος. καὶ εὐθέως ἐσχίσθη τὸ θυσιαστήριον, καὶ ἐρράγη, καὶ ἐξέχεε τὴν θυσίαν. ὁ δὲ ἄνθρωπος οὐκ ἤκουσεν, ἀλλ' ἐκτείνει τὴν χεῖρα ὁ βασιλεὺς τὸν προφήτην ἁρπάσαι βουλόμενος. ὁ δὲ θεὸς τί ποιεῖ; ἐξήρανεν αὐτοῦ τὴν χεῖρα· οὐ ξηραίνει δὲ αὐτοῦ ἐξ ἀρχῆς τὴν χεῖρα, ἵνα τῷ τοῦ λίθου πάθει σωφρονέστερος γένηται. * ἐβούλετο γὰρ [illegible] αὐτὸν τῆς εἰς αὐτὸν κολάσεως σωφρονισθῆναι· ἀλλ' ἐπειδή, φησιν, ὁ λίθος ἐσχίσθη, καὶ σὺ οὐ διωρθώθης, ἐπὶ σὲ τὴν δικαίαν ὀργὴν ἐπιστρέφω.

* al. ἄνευ μάστ.

Ἐκ τοῦ εἰς τὸν ἄσωτον, καὶ εἰς μετάνοιαν, καὶ εἰς τὸ ξύλον γνωστὸν καλοῦ καὶ πονηροῦ, καὶ εἰς τὸν λῃστήν.

Ὅτι τὸ τάγμα τῶν δικαίων οὐ βούλεται εἰς ἑαυτὸ ἁρπάσαι τὴν ἐξουσίαν τῶν κτισμάτων, ἀλλ' ὑπὸ τὴν τοῦ πατρὸς πρόνοιαν θέλει κεῖσθαι τὰ τῆς οἰκονομίας. διὸ καὶ ἡ παραβολὴ τὸν νεώτερον εἰσάγει, λαβόντα τὴν πατρικὴν οὐσίαν, εἰς χώραν ἀποδημῆσαι μακράν. τὸ δὲ μῆκος, οὐ σταδίοις διατείνεται· ἀλλὰ τρόποις * ἐξετοπίζετο. καὶ γὰρ ὁ ἁμαρτάνων, μακρὰν γίνεται θεοῦ οὐ τόπῳ, ἀλλὰ τρόπῳ. λαβὼν δὲ τὴν οὐσίαν τὴν πατρικὴν, ἀπώλεσεν αὐτὴν, ἀσώτως ζῶν. ἔλαβεν ἥλιον εἰς ἀπόλαυσιν, καὶ τὸ δῶρον ὡς θεὸν προσεκύνησεν. ἔλαβε πηγὰς εἰς τρυφὴν, καὶ τὸ δῶρον ἐθεοποίησεν. ἠγνόησε τὸν χαρισάμενον, καὶ τὸ χάρισμα ὑπερεδόξασεν.

* al. ἐκτοπίζετο.

IO. CHRYSO.

Ierusalem: & omissa narratione, cum terra & cœlo loqueris. Homines relinquis, & cum brutis elementis loqueris. Ita, inquit; cum homines ipsis brutis magis sint facti irrationabiles, & non ideo solum, sed etiam quia Moses ducturus illo in promissionis terram, & præuidens futura, sic ait: *Audi cœlum & loquar, attende terra verba oris mei.* Testor vobis, inquit Moses, Iudæi, cœlum & terram, quia cum veneritis in terram promissionis, & reliqueritis Deum vestrum, in omnes gentes dispergemini. Venit igitur Isaias, minæ erant cessaturæ. Non potuit vocare Mosem, iam mortuum, nec qui aliquando audiuerunt: elementa tandem vocat, quæ etiam in testimonium ipsis Moses vocarat, & quanquam ille potuit Aaronem etiam vocare in testimonium, & alios multos, sed ideo (diceret) illos non vocaui, quandoquidem illi erant morituri, neque testari poterant. Cum vero Israel præuaricatus sit, ideo adhuc durantia elementa merito in testimonium voco. Sic & Isaias facit, non modo propter ea quæ diximus, sed etiam postquam cum Iudæis locutus, vidit illos sibi non attendere, ad elementa se conuertit, & testes sibi assumit: *Audi cœlum.* Tu enim manna pluisti. *Inclina autem tuam terra.* Tu enim coturnices dedisti. Audi cœlũ, nam illis ea quæ supra naturam dedisti. sursum mansisti, quomodo te Deus firmauit, & imitationẽ areæ non despexisti. Attende terra, tu enim infra eras, & mensam illis subito apposuisti. Ideo & alius Propheta videns regem insanientem, idolum colentem, Deúmque contumeliis afficientem, alios timentes: nullum horum alloquitur, sed conuersus ait: *Audi altare, audi me,* cur lapidi loqueris? certè inquit: cum minus quam lapis rex sentiat, *Audi altare, hæc dicit Dominus*, & statim diuisum est altare, & fractum, & effudit hostiam. Homo autem non audiuit. sed Rex manum suam extendit, cupiẽs Prophetam comprehendere. Deus verò quid fecit? manum eius arefecit, non autem arefecit manum à principio, vt ille ruptura lapidis fieret prudentior. Cupiuit enim eum sine castigatione sapere, cum, inquit, discissus sit lapis, & tu non emendaris te, iustam in te iram conuerto.

Deut. 32. 1.

Exod. 16. 13. 14.

3. Reg. 13. 2.

Ex oratione in prodigum, in pœnitentiam, in lignum scientiæ boni & mali, & in latronem.

Agmen iustorum non vult in se rapere potestatem creaturarũ, sed quæ sũt dispẽsationis, Patris prouidentiæ subiecta esse. Ideo etiã parabolã iuniorem introducit, accepta paternã hæreditate, proficiscentem in regionem longinquam. Sed longitudo stadiis non determinatur. sed moribus circumscribitur. Etenim peccator non tam loco remotus est, quam moribus. Accepta itaque bona paterna, perdidit prodige viuẽdo. Accepit Solem ad perfruitionem, & donum vt Deum adorauit. Accepit fontes ad delicias, & donum Deum fecit. Ignorauit donantem, & donũ supra modum coluit.

Luc. 15. 12.

IOANNES CHRYSOST. Eadem creatura, sed non omnibus eodem modo conspicua. Paterna substantia ille quidem recte vsus est, hic vero abusus. Ordo autem hic & ibi, tametsi diuersus, pius pulchritudinem videt cœli, & inde Creatorem laudat: *Videbo enim cœlos opera digitorum tuorum* (Psal. 8. 4.): Vidit impius, & ad creatorem sensum non conuertit: sed persistens in pulchritudine cœli, creaturam esse Deum imaginatus est. Pius non iniuriam facit creaturæ, sed Domino adorationem tribuit. Honorat creaturam, sed vt conseruam, non auferens autem cultum creatori, præstat creaturæ: laudat artificium, sed artificis gloriam illi non attribuit, impius vero benè quidem vidit, sed malè adorauit, & omnem ordinem inuertit.

Diabolus cur dictus.

Sæpe Scriptura Diabolum vocat draconem & serpentem tortuosum.

Luc. 10. 19. IDeo & Saluator dicit: *Ecce dedi vobis potestatem ambulandi super serpentes, & scorpiones.* Et ne reptilia intelligas, subiecit, *& super omnem virtutem inimici.* Diabolus draco & serpens est, non tanquam mali radix, vt Manichæi dicunt, sed vt princeps dæmonum, & auctor illis factus defectionis.

Manichæorum error.

Ex adhortatione ad pœnitentiam.

Luc. 12. 18. DE illo qui dixit: *Destruam horrea mea, & maiora faciam,* sententiam à Deo latam, in memoriam homines, reuocantes ipsi vobis, aperite thesauros vestros, & date eleemosynas, facite vobis thesauros indeficientes in cœlo, vt Dominus iubet, qui futiles diuitias è fœnore & iniustitia colligitis, *facite vobis amicos de mammona,* vt Dominus imperat, *vt cum vos dereliquerint, recipiant vos in æterna tabernacula.* (*Luc. 16. 9.*)

Ex oratione in terræmotum, & Lazarum, & diuitem.*

* *Integram hanc de terra motu concionem vulgauit nuper P. Fronto Ducæus Societ. Iesu, Burdegalæ, Anno 1604.*

NOn cesso dicere, etsi non audiar. Medicus sum, medicamenta appono, præceptor sum, monere iussus sum. Et nemo se emendat? Quid hoc rei est? sed ego nihilo minus mercedem accipio, & hoc incredibiliter dixi. Fieri enim non potest in tanta hominum multitudine vt nemo se emendet. Audio, inquit, in dies, & non facio: audi, etsi non facias. Ex auditione enim factum oritur, etsi non facias, pudefies ob peccatum: etsi non facias, mutas sententiam, etsi non facias, condemnas teipsum, quod non facias. Accusare enim se, principium est emendationis. Quando dicis, hei mihi audiui, & non facio. illud, *hei mihi,* initium est mutationis in melius.

Luc. 16. 24.

In illud dictum: Mitte Lazarum, &c.

ET vbi nunc sunt pincernæ tui, parasiti, & adulatores? vbi nunc arrogantia, & phantasiæ: Folia fuerunt, & hiems abstulit, omniaque perierunt. Somnium erat, & ortus est dies, & somniū dissipatū. Ideo vero non Noë, vel Iacob, vel Isaac, sed Abraham diues vidit. (*Sapient. 2. 8.*)

ἡ αὐτὴ κτίσις, ἀλλ' οὐ πᾶσιν ὁμοίως ὁρωμένη. πατρικὴ ἡ οὐσία· ἀλλ' ὁ μὲν καλῶς αὐτῇ, ὁ δὲ κακῶς ἀπεχρήσατο. τάγμα τοῦτο, κἀκεῖνο· εἰ καὶ διάφορον. ὁ εὐσεβὴς τὸ κάλλος ὁρᾷ τοῦ οὐρανοῦ, καὶ ἀπὸ τοῦ κάλλους τὸν δημιουργὸν αἰνιμεῖ. ὄψομαι γάρ φησι τοὺς οὐρανοὺς, ἔργα τῶν δακτύλων σου. εἶδεν ὁ ἀσεβὴς· καὶ πρὸς μὲν τὴν κτίσιν τὴν διάνοιαν οὐκ ἐπέστρεψεν, ἐναπομείνας δὲ τῷ κάλλει τοῦ οὐρανοῦ, θεὸν ἐφαντάσθη τὸ δημιούργημα. ὁ εὐσεβὴς οὐχ ὕβριζει τὴν κτίσιν, ἀλλὰ τῷ δεσπότῃ τὴν προσκύνησιν ταμιεύε[τα]ι. τιμᾷ τὴν κτίσιν, ἀλλ' ὡς ὁμόδουλον· οὐκ ἀφαιρῶν δὲ τὸ σέβας τὴν κτίσαντος, περιάπτει τῷ κτίσματι. ἐπαινεῖ τὸ φιλοτέχνημα, ἀλλ' οὐχὶ τὴν τοῦ τεχνίτου δόξαν εἰς ἐκεῖνο περιΐστησιν. ὁ δὲ δυσσεβὴς * καλῶς μὲν εἶδε, κακῶς δὲ προσεκύνησε, καὶ πᾶσαν τὴν τάξιν ἀνέτρεψεν.

* καλῶς.

Ὅτι δράκοντα πολλάκις ἡ γραφὴ καλεῖ τὸν διάβολον, καὶ ὄφιν σκολιόν.

Apo. 12. v. 9. Esai. 27. v. 1.

ΔΙὸ καὶ ὁ σωτήρ φησιν· ἰδοὺ δίδωκα ὑμῖν ἐξουσίαν, πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. καὶ ἵνα μὴ τὰ ἕρποντα ὑπολάβῃς, ἐπήγαγε· καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. δράκων καὶ ὄφις, ὁ διάβολος· οὐχ ὡς ῥίζα κακίας, ὥς φασιν οἱ μανιχαῖοι· ἀλλ' ὡς κατάρχων τῶν * δαιμόνων, καὶ ἀρχηγὸς αὐτοῖς τῆς ἐκπτώσεως γεγονώς.

Luc. 10. v. 19.

* δαιμονίων.

Ἐκ τοῦ παραινετικοῦ λόγου τοῦ περὶ μετανοίας.

ΤΟῦ εἰπόντος· Καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω. τούτου τὴν ἐκ θεοῦ ἐπενεχθεῖσαν ἀπόφασιν εἰς μνήμην οἱ ἄνθρωποι λαβόντες, ἀνοίξατε τοὺς θησαυροὺς ὑμῶν, καὶ δότε ἐλεημοσύνην. ποιήσατε ἑαυτοῖς θησαυρὸν ἀνέκλειπτον ἐν τῷ οὐρανῷ, καθὼς προστάσσει ὁ κύριος· οἱ τὸν ἐμπαίκτην πλοῦτον ἐκ τόκου καὶ ἐξ ἀδικίας συλλέξαντες, ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ, καθὼς ὁ δεσπότης παρακελεύεται, ἵνα ὅτ' ἂν ἐκλίπητε, δέξονται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς.

Ἐκ τοῦ εἰς τὸν σεισμὸν, καὶ εἰς τὸν Λάζαρον, καὶ εἰς τὸν πλούσιον.

ΟΥ * παύομαι λέγων ἐγὼ, κἂν μηδεὶς ἀκούων ᾖ. ἰατρός εἰμι, τὰ φάρμακα ἐπιτίθημι, διδάσκαλός εἰμι, παραινεῖν ἐκελεύσθην. οὐδεὶς διορθοῦμαι; καὶ τί τοῦτο; ἀλλ' ἐγὼ τὸν μισθὸν ἔχω, καὶ τοῦτο καθ' ὑπερβολὴν εἶπον. * ἀδύνατον γὰρ ἐν τοσούτῳ πλήθει μὴ διορθωθῆναί τινα. ἀκούω, φησὶ, καθ' ἡμέραν, καὶ οὐ ποιῶ. ἄκουε, κἂν μὴ ποιῇς· ἐκ γὰρ τοῦ ἀκούειν, καὶ τὸ πράττειν περιγίνεται. κἂν μὴ ποιεῖς, αἰσχύνῃ ἐπὶ τῇ ἁμαρτίᾳ· κἂν μὴ ποιεῖς, μεταβάλλει τὴν γνώμην· κἂν μὴ ποιεῖς, καταδικάζεις ἑαυτὸν ὅτι οὐ ποιεῖς. τὸ δὲ κατηγορεῖν ἑαυτῶν ἀρχὴ διορθώσεως· ὅταν εἴπῃς, Οἴμοι, ἤκουσα, καὶ οὐ ποιῶ. τὸ οἴμοι, προοίμιόν ἐστι τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς.

* οὐ παύσομαι.

* ἀμήχανον.

Εἰς τὸ πέμψον Λάζαρον, καὶ τὰ ἑξῆς.

ΚΑὶ ποῦ νῦν οἱ οἰνοχόοι σου, οἱ τράπεζοι, οἱ παράσιτοι, οἱ κόλακες; ποῦ ὁ τῦφος, ποῦ ἡ φαντασία; φύλλα ἦν, καὶ χειμὼν κατέλαβε, καὶ πάντα ἀπώλετο. ὄναρ ἦν, καὶ ἡμέρα γέγονε, καὶ τὸ ὄναρ διελύθη. διὰ τοῦτο δὲ οὐ τὸν Νῶε, ἢ τὸν Ἰακὼβ, ἢ τὸν Ἰσαὰκ, ἀλλὰ τὸν Ἀβραὰμ ὁ πλούσιος ὁρᾷ· διατί;

Gen. 18. v. 2. διά τι; ἐπειδὴ φιλόξενος ἦν ὁ Ἀβραάμ, καὶ τῆς ἀπανθρωπίας τούτου μείζων γίνεται κατηγορία ἡ ἐκείνου φιλοξενία.

Quare: quia Abraham benignus in peregrinos fuerat, & illius inhumanitatis maior est accusatio, huius hospitalitas. IO. CHRYSO.

Ἐκ τῆς, μὴ ἄγαν σφοδρῶς θρηνεῖν τοὺς τελευτῶντας.

ΘΑνατος, μοχθημάτων λύσις. εἰ μὴ θάνατος ἦν, ἑαυτοὺς ἂν κατησθίομεν· εἰ μὴ κόλασιν ἐξεδεχόμεθα, οὐδαμῶς τῶν κακῶν ἐπαυσάμεθα. εἶδες δεσπότου φιλανθρωπίαν; τὸ ἐκ παραβάσεως ἐπιτίμιον, ἀφορμὴν σωτηρίας ἀπειργάσατο. εἰ μὲν οὖν δίκαιός ἐστιν ὁ ἀποθανών· χαῖρε, διότι θαρρῶν πρὸς τὸν δεσπότην πορεύεται: εἰ δὲ ἁμαρτωλὸς, μὴ λυποῦ· ἐκέρδησεν, ἐφ' οἷς τὴν προσθήκην τῶν ἁμαρτημάτων ἀφῄρηται.

Ex Homilia: Non adeo vehementer deflendos esse mortuos.

MOrs, ærumnarum solutio. Nisi mors esset, nos ipsos ederemus: nisi puniremur, nequaquam à malis cessaremus. Vides Domini benignitatem? pœnam ex præuaricatione in salutis ansam conuertit. Si igitur iustus est qui mortuus est, gaude, quia cum fiducia ad dominum profectus est. Sin peccator, ne doleas: lucratus est, quod accumulatione peccatorum priuatus sit.

Ὅτι ἐν τῇ πρὸς τὸν ἐπίσκοπον Κυριακὸν ἐπιστολῇ, ἣν ἀπὸ τῆς δευτέρας ἐξέπεμψεν ἐξορίας, καθάπτεται μὲν τοῦ Ἀρσακίου, λῆρον αὐτὸν καὶ μοιχὸν καλῶν· ἐπαινεῖ δὲ τοὺς ἀποστρεφομένους τὴν αὐτοῦ κοινωνίαν, ὡς διὰ θεὸν καὶ τὸ εἰς τὴν ἀρχιερέα αὐτῶν ἀδίκημα, τὴν ἀποστροφὴν αὐτοῦ ποιουμένους. καί τοι γε ἐν ἄλλοις φαίνεται παραινῶν μὴ ἀφίστασθαι ἀπὸ τῆς ἐκκλησίας. εἰς τοῦτο δὲ ὕστερον (ὡς ἔοικε) μετέστη, ἐπειδὴ καὶ οἱ τοῦτον ἀδίκως * ἐκβάλλοντες, οὐχ οἷς ἐπεραξεν ἔστερξαν, ἀλλὰ καὶ καταδρομὰς καὶ ἐπιβουλὰς κατὰ τῶν * αὐτοῖς προσπανακειμένων καὶ ἐξορίας ἐπαλαμήσαντο.

* ἐκβαλόντες.
* αὐτοῦ.

In epistola ad Cyriacum Episcopum, quam scripsit post secundum exsilium, pungit Arsacium, vocans illum delirum, & adulterum. Laudátque eos, qui illius familiaritatē auersantur, vt qui propter Deum, & impietatem in Archiepiscopum suum ab illo declinent. quamuis in aliis videatur hortari, ne ab Ecclesia recedant. id autem postea, vt apparet, voluit, cum ij, qui hunc iniustè eiecerant facto non acquieuerint, sed moliti etiam fuerint impetum, insidias, & exsilium iis, qui ipsi addicti essent.

Epistola ad Cyriacum.

ΘΕΟΦΡΑΣΤΟΥ ΠΕΡΙ ΤΩΝ ΜΕΤΑΒΑΛΛΟΝΤΩΝ ΤΑΣ ΧΡΟΑΣ.

ΑΝΕΓΝΩΣΘΗ (ἐκ τῶν) Θεοφράστου μεταβαλλόντων τὰς χρόας. Ὅτι τὰς χρόας μεταβαλλόμενοι, καὶ ἐξομοιούμενοι φυτοῖς καὶ τόποις καὶ λίθοις, οἷς ἂν πλησιάσωσι, πολύπους ἐστὶ, καὶ χαμαιλέων, καὶ τὸ θηρίον ὁ τάρανδος, ὃ ἐν σκύθαις φασὶν ἢ σαρμάταις γίνεσθαι. μεταβάλλει δὲ ὁ χαμαιλέων εἰς πάντα τὰ χρώματα· πλὴν τὴν εἰς τὸ λευκὸν καὶ τὸ ἐρυθρὸν οὐ δέχεται μεταβολήν. καὶ οὐ πρὸς τὰ παρακείμενα μόνον χρώματα μεταβάλλει, ἀλλὰ καὶ αὐτὸς καθ' ἑαυτὸν, ἐάν τις μόνον ἅψηται αὐτοῦ, τὸ χρῶμα μεταβάλλει. ὁ δὲ τάρανδος, τὸ μὲν μέγεθός ἐστι, κατὰ βοῦν, τὸ πρόσωπον δὲ ὅμοιος ἐλάφῳ· πλὴν πλατύτερος, ὡσανεὶ ἐκ δύο συγκείμενος ἐλαφείων προσώπων. * δίχηλον δέ ἐστι καὶ κερασφόρον. ἔχει δὲ τὸ κέρας ἀποφυάδας, ὥσπερ τὸ ἔλαφος· καὶ * τριχωτόν ἐστι δι' ὅλου. περὶ γὰρ τὸ ὀστοῦν, δέρματός ἐστιν * ἐπίτασις, ὅθεν ἡ ἔκφυσις. τὸ (δὲ) δέρμα τὸ πάχος δακτυλιαῖόν ἐστιν, ἰσχυρὸν δὲ σφόδρα. διὸ καὶ τοὺς θώρακας * ἐξαυαίνοντες αὐτὸ * ποιοῦνται. σπάνιον δὲ τὸ ζῶον καὶ ὀλιγάκις φαινόμενον. θαυμαστὴ δὲ ἡ μεταβολὴ, καὶ ἐγγὺς ἀπιστίας. τοῖς μὲν γὰρ ἄλλοις ἐν τῷ δέρματι γίνεται ἡ μεταβολὴ, ἀλλοιουμένης τῆς ἐντὸς ὑγρότητος, εἴτε αἱματώδους ἢ καί τινος ἄλλης τοιαύτης οὔσης. ὥστε φανερὰν εἶναι τὴν συμπάθειαν. ἡ δὲ τριχῶν μεταβολὴ, ξηρῶν τε ὄντων καὶ ἀπηρτημένων, καὶ ἀθρόον οὕτω πεφυκότων ἀλλοιοῦσθαι, παράδοξος ἀληθῶς καὶ ἀπίθανος, μάλιστα πρὸς πολλὰ ποικιλλομένη. ὁ δὲ * χαμαιλέων δοκεῖ τῷ πνεύματι ποιεῖν τὰς μεταβολάς· πνευματικὸν γὰρ φύσει. σημεῖον δὲ, τὸ τοῦ πνεύμονος μέγεθος, σχεδὸν γὰρ δι' ὅλου τοῦ σώματος τέταται. ἅμα δὲ καὶ ἐξαιρόμενος αὐτὸς καὶ φυσώμενος δῆλός ἐστι.

τοῦ. Theophrasti fragmentum de animalibus quæ colorem mutant.
* δίχηλον.
* τριχωτὸν ... ἐστι.
* ἐξυφαίνοντες. * ποιοῦνται.
* πνεύμονι.

THEOPHRASTI

Fragmentum de animalibus, quæ colorem mutant. CCLXXIIX.

LEGI ex Theophrasti libro de animalibus, quæ colorem mutant. Quibus verò mutatur color, & plantis, locis, lapidibus, quibus se applicant, similis redditur, polypus sunt, & chamæleon, & fera tarander, quæ apud Scythas vel Sarmatas nasci fertur. Mutatur igitur chamæleon in omnes colores, præterquam in album, & rubrum, & non solùm ad subiectos colores, sed etiam ipse in se, si quis solum ipsum tetigerit, colorem mutat. Tarander quidem magnitudine bouis est, similis figura ceruo, nisi quod latior, tanquam è duorum ceruorum figuris compositus, bifida est ei vngula, & cornu. Habet verò hoc ramos vt ceruorum cornua, & omnino pilosum est. Ossa tegit extensa cutis, vnde pili exsistunt. Pellis digitum densa est, admodum dura, ideò & eam aptantes, pro thorace militari vtuntur. Rarò hoc animal videtur: mira eius est mutatio, & penè incredibilis, Alia quidem animalia in pelle mutantur, mutato interno humore vel sanguineo, vel alio, vt manifesta sit sympathia; hoc est, naturæ consensus. Pilorum verò mutatio, cùm aridi sint ac pendentes, & frequenter mutari non soleant, omnino admiranda & incredibilis est, maximè cùm variè illa fiat. Polypus autem videtur anhelitu colores mutare: est enim naturâ flatuosus. Argumentum verò respirationis pulmonis magnitudo est: penè enim per totum corpus diffunditur. Simul verò & eleuatur manifestè, & inflatur.

Inter opera Theophrasti nuper editū Francof. apud Wechelios.
Chamæleon.
Tarander.
Π. λύπης.

THEOPHR.

Ex eiusdem de resolutione neruorum.

Paralysis.

Dicit resolutionem neruorum è frigiditate, vt omnes sentiunt, oriri: & alij quidem à spiritu, (est enim morbus pulmonarius) alij defectu & priuatione spiritus. Hunc enim esse, qui calorem & motum omnino faciat. Cùm autem motus non est, frigiditas est sanguinis, vel, vt paucis perstringam, humoris. Ideò in pedibus oritur torpedo, vel in partibus superioribus, quando à sede expulsi fuerint, vel alio modo: tunc enim diducit compressione spiritum, & motu proprio priuatur, sistit & refrigerat sanguinem.

Eiusdem de animi deliquio.

Animi deliquium priuatio est caloris, vel frigiditatis circa pulmonem, id etiã contingit ab ipso calore. Maior enim ignis tollit minorem, id experientia testatur. Nam ab æstu præfocante & alio calore, & maximè condensato, cùm hæc nos opprimunt, animo deficimus, & deliquium patimur. Extinguitur verò quod in* nobis frigiditatem non recipit. Fortassis verò respirationem omnino suffocatio impedit, vnde & πνῖγος nominatur. Suffocatur enim, vel suffocato similis est is, qui respirare non potest. Testatur id defectus animi in balneis, ac fotionibus. Manifestum enim est deliquia illa calore, & propter calorem fieri, extinguente externo calore internum. Fit verò animi defectus, deficientibus his, in quibus calor nascitur, vt sanguine, vel simpliciter naturali humore. Quemadmodum in sanguinis fluxu, & vterum gestantibus videmus animi defectiones: sed propter labores etiam fiunt deliquia.

** ἀφῄρει lege.*

Nimium etiam adfert animi deliquium: nam & minus tabefacit, & respirationem impedit, & refrigerationi aditum intercludit.

Propterea plerumque qui † lauantur, animi deliquium non patiuntur, frequentius verò quiescentes, quia humorem factum à liquefactione eorum qui lauantur, calidum esse contingit: eorum verò qui qui lauarunt, frigidum. Frigidus verò cum sit humor, incidens in locos principes, gignit animi deliquium, nisi spiritus remissio ante dissoluat. Ideò continere iubent in deliquiis spiritum. Prohibet enim continens exire calorem: remissus verò ingerit.

** λουόμενοι.*

Aspergens aqua animo delinquentes, concludens poros, & condensans meatus, & cogens intus calorem (resistit enim) adiuuat.

Gaudium ac mœror etiam animi deliquium generant. Per vtrumque enim humorum copia nascitur. Gaudium quidem liquefaciendo ac dilatando: mœror verò coarctando. Cùm autem ad pulmonis sedem humor peruenerit, hinc animi deliquium patimur.

Eiusdem de vertigine.

Vertigines sunt, quando alienus spiritus in caput venit, vel redundans humor, vel ab aliquo nutrimento, vt à vino, vel ab aliquo alio succo. Ad hæc, cum quis mouerit caput in orbem. Locus enim circum cerebrum humidus cùm sit, si susceperit aliquid alienum,

Ἐκ τοῦ αὐτοῦ, περὶ παραλύσεως.

De neruorum resolutione.

Ὅτι ὑπὸ καταψύξεως φησίν, ὡς κοινὸς λόγος φασί, τὴν παράλυσιν γίνεσθαι· καὶ ταύτην οἱ μὲν ὑπὸ πνεύματος (πνευματικὸν γὰρ τὸ πάθος) οἱ δὲ ἐκλείψει καὶ στερήσει τοῦ πνεύματος. τοῦτο γὰρ εἶναι, τὸ τὴν θερμότητα καὶ τὴν κίνησιν ὅλως ποιοῦν. ἀκινησίας δὲ γινομένης, κατάψυξις γίνεται τοῦ αἵματος, ἢ, ἁπλῶς εἰπεῖν, τῆς ὑγρότητος. διὰ τοῦτο γὰρ καὶ ἡ νάρκη γίνεται ἐν τοῖς ποσίν, ἢ καὶ ἐν τοῖς ἄνω μέρεσιν, ὅταν ἀποπιεσθῶσιν ἀπὸ καθέδρας, ἢ ἄλλου τινὸς τρόπου. τότε γὰρ διαλαμβάνει τῇ πιέσει τὸ πνεῦμα, καὶ οὐ δυναμένην τὴν οἰκείαν κίνησιν κινεῖσθαι, ἵστησι καὶ ἀποψύχει τὸ αἷμα.

Τοῦ αὐτοῦ, περὶ λειποψυχίας.

De animi defectione.

Ὅτι ἡ λειποψυχία, στέρησις ἢ κατάψυξις τοῦ θερμοῦ περὶ τὸν ἀναπνευστικὸν τόπον. τοῦτο δὲ συμβαίνει ἢ καὶ ὑπ᾽ αὐτοῦ τοῦ θερμοῦ· τὸ γὰρ πλεῖον πῦρ ἀναιρεῖ τὸ ἔλαττον. μαρτυρεῖ δὲ καὶ ἡ πεῖρα. ὑπὸ γὰρ πνίγους ἢ * ἄλλης θέρμης, καὶ μάλιστα πολλῆς, ἀθρόον τούτων προσπεσόντων ἡμῖν, ἐκλυόμεθα καὶ λειποθυμοῦμεν· καταμαραίνεται γὰρ τὸ ἐν ὑμῖν κατάψυξιν οὐ λαμβάνον. τάχα δὲ καὶ τὴν ἀναπνοὴν ὅλως τὸ πνῖγος κωλύει· ὅθεν καὶ πνῖγος ὠνομάσθη. πνίγεται γάρ, ἢ καὶ πνιγομένῳ ὅμοιός ἐστιν, ὁ μὴ δυνάμενος ἀναπνεῖν. μαρτυρεῖ δὲ καὶ ἡ (διὰ) τῶν λουτρῶν καὶ τῶν πυριάσεων ἔκλυσις. δῆλον γὰρ ὡς αὗται γίνονται ἐκλύσεις τῷ θερμῷ καὶ διὰ τὸ θερμὸν γίνονται, μαραινομένου τῷ ἔξωθεν θερμῷ τὸ ἐν ἡμῖν συμφύτου. γίνεται δὲ λειποψυχία, καὶ τῶν ἐν οἷς πέφυκεν ἡ θερμότης ἐκλιπόντων, οἷον αἵματος, ἢ τῆς φυσικῆς ἁπλῶς ὑγρότητος· ὥσπερ ἐν ταῖς αἱμοῤῥαγίαις καὶ ἐν ταῖς τῆς γαστρὸς φοραῖς ὁρῶμεν λειποψυχούσας. καὶ διὰ πόνους δὲ γίνονται ἐκλύσεις·

** ἄλλως.*

Ὅτι τὸ πλεῖον λειποψυχίαν ποιεῖ, καὶ ὡς μαραῖνον τὸ ἔλαττον, καὶ ὡς κωλῦον τὴν ἀναπνοήν, καὶ ἔτι ὡς μὴ παραχωροῦν τῇ καταψύξει εἴσοδον. Ὅτι διὰ τοῦτο ὡς ἐπὶ πολὺ λουόμενοι μὲν οὐ λειποψυχοῦσι· παυσάμενοι δέ, μᾶλλον: διότι τὴν ὑγρότητα τὴν γινομένην ἀπὸ τῆς συντήξεως, λουομένων μέν, θερμὴν εἶναι συμβαίνει· λυσαμένων δέ, ψύχεσθαι. ψυχρὰ δὲ οὖσα, καὶ ἐμπίπτουσα κυρίοις τόποις, ποιεῖ λειποψυχίαν. εἰ μὴ ἄρα καὶ ἡ ἄνεσις* αὕτη τοῦ πνεύματος * προεκλύει. διότι κατέχειν κελεύουσιν ἐν ταῖς λειποψυχίαις τὸ πνεῦμα. κωλύει γὰρ ὁ κατέχων, ἐξιέναι τὸ θερμόν. ὁ δὲ ἀνιείς, ἐνδίδωσιν.

** al. ἄνεσ.* ** προεκλύει.*

Ὅτι ὁ ῥαίνων ὕδατι τοὺς λειποψυχοῦντας, συμφράττων καὶ πυκνῶν τοὺς πόρους, καὶ συναθροίζων ἐντὸς τὸ θερμὸν (ἀντιπερίσταται γάρ) ὠφελεῖ.

Ὅτι ἡδοναὶ καὶ λῦπαι ποιοῦσι λειποψυχίαν. καὶ γὰρ ἀμφότεραι πλῆθος ὑγρότητος ἐπάγουσιν· ἡ μὲν ἡδονή, τῷ συντήκειν καὶ διαχέειν. ἡ λύπη δέ, τῷ πηγνύειν. ὅταν οὖν ἡ ὑγρότης ῥυῇ πρὸς τὸν πνευματικὸν τόπον, ποιεῖ λειποψυχεῖν.

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ ἰλίγγων λόγου.

De vertigine.

Ὅτι οἱ ἴλιγγοι γίνονται, ὅταν πνεῦμα ἀλλότριον εἰς τὴν κεφαλὴν ἔλθῃ, ἢ ὑγρότης περιττωματική, ἢ ἀπό τινος τροφῆς, ὡς ἀπὸ τοῦ οἴνου, ἢ ἀπό τινος ἄλλου χυμοῦ· ἔτι δὲ καὶ ὅταν τις κινῇ τὴν κεφαλὴν κύκλῳ. ὁ γὰρ τόπος ὁ περὶ τὸν ἐγκέφαλον ὑγρὸς ὤν, ὅταν δέξηταί τι * πλέον ἀλλότριον.

** πλεῖον ἀλλ. τρ.*

(* τὸ

al. τὸ δὲ / *al. προσλαμβ.* / THEOPHR.

(* τὸ δὲ) βιάζεται διαδυόμενον, (καὶ) πρὸς τὰς φλέβας ὠθεῖ κύκλῳ τὸ προϋπάρχον ὑγρὸν ὥσπερ (δὲ) οἷον δίνης τῆς φορᾶς, καὶ τοῦ ὑγροῦ μὴ συνεχοῦς, ἀλλ' ἐν τῇ κινήσει τοῦ μὲν * προσλαμβανομένου, τοῦ δὲ ὑστεροῦντος, διὰ τὸ μὴ ἰσορροπεῖν, ὁμοίως τὸν ἴλιγγον ποιεῖ καὶ καταβάλλει πολλάκις.

plus æquo tranſeundo vim infert, & ad venas agitat priorem humorem in gyrum. Cùm autem agitatio ſit inſtar turbinis, & humor non ſit admodum denſus, ſed in continuo motu, altero accipiente, altero deficiente ob inæqualitatem ponderis, ſimiliter vertiginem parit, & ſæpe proſternit.

Quare cruda oua circumuerti non poſſint. / * ἐπιστρ. / ἔσω τὰ ὠὰ

Διὰ τί τὰ ὠμὰ ὠὰ οὐ περιδινεῖται;

Ὅτι τὰ ὠμὰ ὠὰ διὰ τοῦτο οὐ * περιδινεῖται· διότι τὰ μὲν ὑπὸ ὑγροῦ ἀνωμάλου καὶ οὐκ ἰσορρόπου ὄντος, σφάλλεται· τὰ δὲ, διὰ τὸ μὴ ἔχειν τὸ σφάλλον, ὑφιστάμενον· ἑνὸς ὄντος καὶ συνεχοῦς τοῦ ἐντός. ἐκ δὲ τῆς αὐτῆς θεωρίας ἐπιλύεται καὶ τὸ, διὰ τί κύκλῳ περιπατοῦντες ἰλιγγιῶσι; καὶ ὅτι μᾶλλον, ἐὰν ἐν ἐλάττονι κύκλῳ· καὶ ἔτι, ἐὰν θᾶττον θέωσι· καὶ ὅτι, εἰ μετὰ πολλῶν, μᾶλλον, ἢ μόνοι. καὶ διὰ τί ἐπ' ἀριστερὰ θέοντες μᾶλλον, ἢ ἐπὶ δεξιά; πάντων γὰρ τούτων καὶ τῶν ὁμοίων προείρηται ἡ αἰτία. εἰ γὰρ ὁ ἴλιγγος γίνεται, ἐάν τις ἐν τῷ αὐτῷ στρέφῃ τὴν κεφαλήν· δῆλον ὡς εἴ τις ἐγγὺς τούτου στρέφοιτο, τάχιστα καὶ μάλιστα τῶν ἄλλων ἰλιγγιῴη. ἐγγυτάτω δὲ, ὁ ἐν ἐλάττονι κύκλῳ στρέφων τὴν κεφαλήν. καὶ ὅσον ἂν θᾶττον, μᾶλλον. διόπερ καὶ οἱ θέοντες, τῶν περιπατούντων μᾶλλον ἰλιγγιῶσι· καὶ οἱ ταχέως, τῶν βραδέως. θέουσι γὰρ ἐγκεκλικότες πρὸς τὸ κέντρον (μᾶλλον ἰλιγγιῶσιν.) οἱ δ' ἐπ' ἀριστερὰ θέοντες, τῶν ἐπὶ δεξιὰ μᾶλλον· διότι ὀξυτέραν γωνίαν ποιοῦσι πρὸς τὸν κύκλον. ἐμβριθέστερα γὰρ ὄντα τὰ δεξιὰ, προσβιάζεται μᾶλλον ἐντὸς, διὰ τὴν ἀσθένειαν τῶν ἀριστερῶν. καὶ εἰ μετὰ πολλῶν θέουσι, μᾶλλον ἢ μόνοι· διότι πρὸς τῇ κύκλῳ περιφορᾷ, καὶ ἡ ὄψις προσβάλλουσα τοῖς θέουσι μὴ συνεχὴς οὖσα, ποιεῖ τινα κίνησιν ἐν τῷ ἐγκεφάλῳ καὶ ταραχήν. διότι ἰλιγγιῶσι μᾶλλον, διὰ τὸ διπλῆν τὸν ἐγκέφαλον ὑφίστασθαι κίνησιν· τήν τε ἀπὸ τῆς περιδινήσεως, καὶ ἣν ἡ ὄψις πεμφθεῖσα, τῷ ἐγκεφάλῳ παρέπεμψεν. Ὅτι δὲ διὰ τὴν τῆς ὄψεως κίνησιν ἰλιγγιῶσι πολλάκις, φανερὸν ἐκ πολλῶν. οἵ τε γὰρ πλέοντες, θᾶττον καὶ μᾶλλον ἰλιγγιῶσιν· ἐπειδὰν τοῖς κύμασιν ἐμβλέψωσιν· καὶ οἱ τὰς αἰώρας καὶ τοὺς τροχοὺς θεωροῦντες, ταχὺ σκοτοῦνται. ἰλιγγιῶσι δὲ καὶ οἱ πρὸς τὰ ὑψηλὰ καὶ μεγάλα καὶ ἀπότομα ἀποβλέποντες, διὰ τὸ συμβαίνειν μακρὰν * τεινομένην σείεσθαι καὶ κραδαίνεσθαι τὴν ὄψιν. σειομένη δὲ καὶ κραδαινομένη, ταράττει καὶ κινεῖ τὰ ἐντός. τοῖς δ' ἄνω βλέπουσιν οὐ συμβαίνει τὸ πάθος, διὰ τὸ μὴ ἀποτείνειν μακρὰν, ἀλλ' * ἀποτέμνεσθαι τῷ φωτί. γίνονται ἴλιγγοι, καὶ ὅταν βλέπωσι συνεχῶς καὶ ἐνατενίζωσιν. * ὃ καὶ διαπορεῖται· τί δή * ποτε κύκλῳ κινουμένης τῆς ὄψεως, καὶ ἠρεμούσης, τὸ αὐτὸ πάθος συμβαίνει; τὸ δ' αἴτιον τῆς μὲν κύκλῳ φορᾶς, εἴρηται· διὰ τί δὲ ἐν τῇ ἐπιστάσει καὶ τῷ ἀτενισμῷ τὸ αὐτὸ πάθος συμβαίνει, διότι τὰ ἐν τῇ κινήσει σωζόμενα ἡ στάσις διΐστησι. στάσης οὖν τῆς ὄψεως, καὶ τὰ ἄλλα συνεχῆ τὰ ἐν τῷ ἐγκεφάλῳ ἵσταται. ἱστάμενα δὲ, καὶ * συνδιΐσταται καὶ χωρίζεται τὰ βαρέα, καὶ καταβαρύνει, καὶ ποιεῖ τὸν ἴλιγγον. καὶ ἡ κύκλῳ φορὰ δὲ διΐστησι τὰ βαρέα καὶ τὰ κοῦφα. ποιεῖ δὲ καὶ τὸ κύπτειν, ἰλίγγους. καὶ γὰρ ἐν τῷ κύπτειν, χωρίζεται τὰ βαρέα καὶ τὰ ἐλαφρά· τὰ μὲν ἄνω τὰ δὲ κάτω. δεῖ δὲ ἅμα εἶναι.

** ἀποτεινομένην* / ** ἀποτέμνεσθ.* / ** al. διὰ τί.* / ** ποτε.* / ** συνδιΐσταται.*

Quare crudà oua non circumuerti poſſint.

Oua.

OVA cruda circumuerti ideò non poſſunt: partim quia ab humore inæquali, & non eiuſdem ponderis proſternuntur: partim verò, quia non habent ſubſtratum quod deiiciatur, cùm vnum ſit & continuum intus. Ex hac conſideratione ſoluitur hoc, quare in circo agitari vertiginem capitis patiuntur, & magis ſi in paruo circo. & adhuc ſi celeriter currant, & quod, ſi cum aliis, magis quàm ſoli. Et quare in ſiniſtram currentes potius quàm in dextram? Omnium enim horum & ſimilium cauſſa dicta eſt. Si enim vertigo fit, ſi quis eodem verterit caput, manifeſtum eſt quod ſi quis iuxta hunc ſimiliter vertatur, celerrimè & maximè ante alios vertiginem patiatur. Proximè verò qui in minore circulo caput vertit, & quo celerius, eò magis. Ideò & currentes magis quàm ambulantes vertiginem patiuntur, & qui celerius magis quàm qui tardius: (currunt enim inclinantes ad centrum.) Qui verò in ſiniſtram currunt, potius quàm ij qui in dextram, quòd acutiorem angulum faciant ad circulum. Grauiora enim cùm ſint dextra, magis ad interiorem partem vi tendunt, propter imbecillitatem partium ſiniſtrarum, & ſi cum multis currunt, magis quàm qui ſoli: propterea quod ad circumferentiam circuli aſpectus accedens currentibus non continuus, facit aliquem motum & turbationem in cerebro. Ideò vertiginem magis patiuntur, eò quòd dupliciter moueatur cerebrũ, partim agitatione in gyrũ, partim aſpectu in cerebrum delato. Quod autem propter oculorum motum ſæpe vertiginem multi patiantur, ex multis patet. Nauigantes enim celerius & magis vertiginem patiuntur, cùm fluctus intuentur, & agitationes & trochos videntes, ſtatim tenebras patiuntur. Vertiginem quoque patiuntur ij, qui profunda admodum & prærupta aſpiciunt, quod contingat oculos longius extenſos moueri & agitari. Oculi verò moti & agitati turbant & mouent interiora, qui verò ſuperna aſpiciunt, hoc non contingit, quia non longè aſpiciunt, ſed lumine impediuntur. Fiunt vertigines, quando continuò rem vnam aſpiciunt. Illud autem dubium eſt, cur interdum oculo in orbem agitato, & quieſcente idem vſu veniat? Cauſſa verò motus illius in circulo, dicta eſt. Cur vero in attentione & in continuo aſpectu iſte dolor contingat? quod quæ in motu ſalua erant, ſtatio ac quies agitat. Stantibus igitur oculis, & alia continenter in cerebro ſtant. Stantia vero diuiduntur, & ſeparantur grauia, & grauantur & faciunt vertiginem. Et curſus in gyrum ſeparat grauia à leuibus. Facit vero oculorum demiſſio etiam vertigines. Nam demiſſione oculorum ſeparantur grauia à leuibus. Hæc quidem ſurſum, illa vero deorſum feruntur. Oportet vero ſimul eſſe,

Vertigo.

THEOPHR. vt dictum est. Vertiginem quoque adfert abundantia & indigentia. Indigentia consumptionem, abundantia superfluitatem facit, vt pleni sint pori. Hęc enim vbi ascendit, mox descendit, & diuidit circuitus: hinc vertigo.

Ebrietates & veneficium, & alia similia, vertigines faciunt. Humor enim aliundè incidens, turbationes creat.

Stantes magis quàm sedentes vertiginem patiuntur. Nam quiescentium humor in capite magis consistit. Quando verò idem mouentur, humor dissipatur, & in vnam partem incidens vertiginem facit.

Eiusdem de lassitudine.

DESCENDENTIVM, loco decliui, femora maximè lassantur, ascendentium contra tibiæ: quia in ascensu labor est eleuandi corporis onus. cui igitur onus incumbit, & à quo tollitur, eius maximus est labor. At in descendendo labor fit, quia corpus decidit, & contra naturam portatur. Quapropter in quod magis incidit pondus, huic maximus quoque est labor. Verùm vt tibiæ descendendo magis laborant, sic femora in ascendendo. Quod autem grauia deorsùm ferantur, difficilius est ascendere, quàm descendere.

Molestius est brachio per vacuum iacere lapidem, vel aliud quid graue, quia magis conuellit. Non enim incumbit alicui, quemadmodum qui iacit, ponderi quod in manu est.

Æquales viæ magis defatigant, quàm inæquales, quod nimius motus faciat lassitudinem: nimius autem, continuus, & vnus: inæquales verò propter mutationes quietem adferunt: in æqualibus verò, similitudo figuræ facit continuum motum.

Defessi semen ægrius continent, quia calida & humida sunt corpora propter consumptionem. Tale verò quid est seminalis vis.

Qui supini iacent, solutionis virium habent caussam, iis cooperatur situs ille ad nocturnam seminis emissionem. Corpora humida magis laboriosa sunt quàm dura, quia imbecilliora: etsi alio modo dura sint * audaciora.

* Ἰσχυρότερα. * al. τερπνότερα.

*Eiusdem de animantibus, quæ * cum copia visuntur.*

ANIMANTIVM quæ cum copia visuntur, nó eadem est omnium caussa: sed alia horum generantur subitò, vt muscæ, quæ in exercitibus, & hominum frequentia, & hisce finitis, plures præterea fiunt. Fimus enim & aliarum rerum putredo, harum ortus caussa. Alia verò prius quidem exsistunt, sed apparent post pluuias, vt cochleæ, & paruæ ranæ. Non enim pluuiâ decidunt, vt nonnulli putant, sed tunc prodeunt, cùm antea in terra fuerint, quod aqua in eorum foramina influat. Est & aliud ranarum genus præter eas quæ in lacubus & paludibus sunt. Multitudinem autem harum & aliarum [animantium] gignit ipsarum prosperitas.

Muscæ. Vide Lucianū de musca ēbellum, & Geraldum de Diis gentium.

Ranæ.

Potius post finem conuentuum & exercituum quàm dum adhuc durant, muscæ oriuntur. Contingit enim, iis præsentibus, propter quotidianos vsus & motus.

καθάπερ ἐλέχθη. ποιεῖ δὲ τὸ πάθος, καὶ πλησμονὴ καὶ ἔνδεια· ἡ μὲν ἔνδεια, σύντηξιν· ἡ δὲ πλησμονὴ περίττωσιν ποιοῦσα· ὥστε πλήρεις γίνεσθαι τοὺς πόρους. ἀνιοῦσα γὰρ παρ' αὐτὰ καὶ καταβαίνει, καὶ διΐστησι τὰς περιόδους· ὅπερ ἐστὶν ἴλιγγος.

Ὅτι καὶ αἱ μέθαι, καὶ αἱ φαρμακεῖαι, καὶ τὰ παραπλήσια, ποιοῦσιν ἰλίγγους. ἡ γὰρ ὑγρότης ἡ * ἀλλοτρίως ἐμπίπτουσα, ποιεῖ τὴν ταραχήν.

* al. ἀλλοτρία.

Ὅτι ἀνιστάμενοι μᾶλλον ἢ καθίζοντες, ἰλιγγιῶσι. διότι ἠρεμούντων μὲν συνίσταται τὸ ὑγρὸν ἐν τῇ κεφαλῇ πλέον. ὅταν δὲ κινῶνται, διΐσταται, καὶ εἰς ἓν μέρος ἐμπῖπτον ποιεῖ τὸν ἴλιγγον.

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ κόπων.

De lassitudine

ΟΤι καταβαίνοντες μὲν τόπον κατάντη, τοὺς μηροὺς μάλιστα πονοῦσιν· ἀναβαίνοντες δὲ, τὰς κνήμας· διότι κατὰ μὲν τὴν ἀνάβασιν, ὁ πόνος τὴν αἴρειν φορτίον τὸ σῶμα γίνεται· ᾧ οὖν ἐπίκειται τὸ βάρος, καὶ ὃ αἴρεται· τούτῳ μάλιστα ὁ πόνος. ἐν δὲ τῷ καταβαίνειν, ὁ πόνος. ἐν τῷ ἐμπίπτειν γίνεται τὸ σῶμα, καὶ * παραφέρεσθαι παρὰ φύσιν· ὥστε οὖν ᾧ μάλιστα ἐμπίπτει καὶ σαλεύει, τούτῳ μάλιστα καὶ τὸν πόνον ἐμποιεῖ. ὡς οὖν ἡ κνήμη μᾶλλον ἐν τῷ καταβαίνειν κακοπαθεῖ. οὕτως ὁ μηρὸς ἐν τῷ ἀναβαίνειν. διότι δὲ τὰ βάρη κάτω φέρεται, χαλεπώτερον τὸ ἀναβαίνειν τοῦ καταβαίνειν.

* φέρεσθαι. H. St.

Ὅτι κοπιαρώτερον τῷ βραχίονι διὰ κενῆς ῥίπτειν ἢ λίθον, ἢ ἄλλο τι βάρος· διότι σπασματωδέστερον. οὐ γὰρ ἀπερείδονται, καθάπερ ὁ βάλλων, πρὸς τὸν ἐν τῇ χειρὶ ὄγκον.

Ὅτι οἱ ὁμαλοὶ περίπατοι, τῶν ἀνωμάλων κοπιαρώτεροι· διότι ἡ πολλὴ κίνησις ποιεῖ κόπον. πολλὴ δὲ ἡ συνεχὴς καὶ μία. αἱ δὲ ἀνώμαλοι, κατὰ τὰς μεταβολὰς ποιοῦσιν ἀνάπαυσιν· ἐν δὲ τοῖς ὁμαλοῖς, ἡ ὁμοιότης τοῦ σχήματος ἀπεργάζεται συνεχῆ τὴν κίνησιν.

Ὅτι ἐξονειρωττικοὶ οἱ κοπιῶντες· διότι θερμὰ καὶ κάθυγρα τὰ σώματα γίνεται, διὰ τὴν σύντηξιν. ἡ δὲ τοιαύτη διάθεσις, σπερματική.

Ὅτι καὶ ὕπτιοι κατάκεινται· διὰ τὴν ἔκλυσιν. συνεργεῖ δὲ τὸ σχῆμα τοῦτο καὶ πρὸς τοὺς ἐξονειρωγμούς.

Ὅτι τὰ ὑγρὰ σώματα, κοπιαρώτερα τῶν σκληρῶν· διότι ἀσθενέστερα· εἰ καὶ ἄλλον τρόπον τὰ σκληρὰ * θρασύτερα.

* Ἰσχυρότερα. H. St.

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ τῶν ἀθρόως φαινομένων ζώων.

De animantibus quæ cum copia visuntur.

ΟΤι τῶν ἀθρόον φαινομένων ζώων οὐχ ἡ αὐτὴ πάντων αἰτία· ἀλλὰ τῶν μὲν καὶ ἡ γένεσις εὐθὺς φανερὰ, ὥσπερ τῶν μυιῶν καὶ ἐν τοῖς στρατοπέδοις καὶ ἐν τῇ πανηγύρει, καὶ μετὰ τὸ πορευθῆναι αὐτὰ, ἔτι μᾶλλον γίνονται. τούτων γὰρ ἥ τε κόπρος αἰτία, καὶ ἡ τῶν ἄλλων σῆψις. ἀλλὰ δὲ πρὸ ὑπάρχει μὲν * καὶ ἐκφαίνεται διὰ τοὺς ὑετοὺς, ὥσπερ οἵ τε κοχλίαι καὶ οἱ μικροὶ βάτραχοι. οὐ γὰρ ὕονται, ὥς τινες ᾠήθησαν, ἀλλὰ προφαίνονται μόνον, κατὰ γῆς ὄντα πρότερον. διὰ τὸ εἰσρεῖν τὸ ὕδωρ εἰς τὰς θαλάμας αὐτῶν. ἄλλο δὲ γένος ἐστὶ τοῦτο βατράχων παρὰ τὸ ἐν τοῖς λίμναις καὶ τοῖς τέλμασι. τὸ δὲ πλῆθος καὶ τούτου καὶ τῶν ἄλλων, ὅταν εὐθυνήσωσιν.

* ὑποφαίνονται δὲ

Ὅτι μᾶλλον μετὰ τὰς διαλύσεις καὶ τῶν πανηγύρεων καὶ τῶν στρατοπέδων, ἢ ἔτι συνισταμένων, αἱ μυῖαι γίνονται. συμβαίνει γὰρ, παρόντων μὲν, διὰ τὰς καθημερινὰς χρείας καὶ κινήσεις,

φθείρεσθαι

φθείρεσθαι τὰς γενέσεις αὐτῶν· κινήσεως ἀεὶ καὶ μεταβολῆς γινομένης, ὡς ἐν τοῖς ἄλλοις, καὶ ἐν αὐτοῖς τοῖς καθάρμασιν ἐκβαλλομένοις αὐτῶν. ὅταν δὲ διαλυθῶσιν, ἡσυχίας γινομένης, ταχὺ συντελεῖται· διὰ τὸ μὴ ὑπ' οὐδενὸς κωλύεσθαι, μέχρις οὗ ἂν ξηρανθῇ τὸ ἐν τοῖς καθάρμασιν ὑγρόν. ἡ μὲν γὰρ τῶν μυιῶν γένεσις ταχεῖαν καὶ πολλὴν, ὡς εἴρηται, τὴν γένεσιν λαμβάνει. οἱ δὲ ἀττέλεβοι καὶ αἱ ἀκρίδες πανταχοῦ μέν εἰσιν, ὡς εἰπεῖν· πληθύνονται δὲ ταῦτα τῷ τε τόπους οἰκείους λαμβάνειν, καὶ τῷ μὴ διαφθείρεσθαι αὐτῶν τὰ ὠά. ὃ συμβαίνει διὰ τὴν ἀργίαν τῆς χώρας. ἐν γὰρ τῇ γεωργουμένῃ ἀπόλλυνται, διὸ καὶ ἐκ τῆς ἐρήμου καὶ ἀργούσης καταφέρονται πρὸς τὴν οἰκουμένην καὶ ἐργάσιμον. ἐγχρονίζουσι δὲ, ἢ διὰ τὸ περιέχεσθαι τὸ χωρίον ὄρεσιν ὑψηλοῖς, καὶ ὑπερβῆναι ταῦτα μὴ δύνασθαι· ἢ διὰ τὸ ἐπιτήδειον τῆς χώρας. τοιαύτη δὲ ἥτε μαλακὴ καὶ νοτίδα ἔχουσα καὶ δροσοβόλος. χαλεπαὶ μὲν οὖν καὶ αἱ ἀκρίδες, χαλεπώτεροι δὲ οἱ ἀττέλεβοι· καὶ τούτων μάλιστα, οὓς καλοῦσι βαρούχους. ἡ δὲ γένεσις αὐτῶν, ἐξ ἀλλήλων. τινὲς δὲ οἴονται, οὐκ ἀκριβεῖ σημείῳ, τῷ χρώματι παραπλήσιά τινας αὐτῶν ἔχειν τοῖς ἐν τῇ χώρᾳ. Ὅτι καὶ αὐτόματον· δῆλον γὰρ ὅτι τὸ τοιοῦτον ἀπὸ τῆς τροφῆς, ἀλλ' οὐκ ἀπὸ τῆς γενέσεως προσλαμβάνουσιν. ἡ δὲ φθορὰ τούτων, ἡ μέν ἐστιν οἷον φυσική τις καὶ λοιμώδης· ὑπὸ κύνα γὰρ οἰστρᾷ, καὶ ἐγγίνεταί τι σκωλήκιον ἐν τῇ κεφαλῇ, καὶ φθείρεται. ἡ δὲ, ἐν τῇ μετακινήσει, καὶ τῇ πτήσει. ὅταν γὰρ ἀρθῶσιν, ὑπὸ τῶν ἀνέμων καταφέρονται εἰς τὴν θάλασσαν, καὶ φθείρονται. φθείρονται δὲ καὶ διὰ χειμῶνα καὶ ψῦχος καὶ αὐτὰ καὶ τὰ ὠὰ αὐτῶν. φθείρονται δὲ καὶ ἐκ μηχανῆς ἀνθρώπων. τάφρους γὰρ ποιοῦντες συνελαύνουσιν αὐτὰ εἰς αὐτὰς, καὶ καταχωννύντες διαφθείρουσιν.

Ὅτι τῶν ὄφεων δύο τινὰ τῆς γενέσεως αἴτιά ἐστιν· ἢ γὰρ ἀὴρ ἔπομβρος, ἢ πόλεμοι καὶ χύσεις αἱμάτων. ὃ σχεδὸν καὶ τῶν ἄλλων θηρίων τῆς γενέσεως αἴτιον. ἐξ οὗ ποτε καὶ περὶ Θετταλίαν πλῆθος ὄφεων ἱστοροῦσι γενέσθαι.

Ὅτι καὶ οἱ μύες ἐν ταῖς ἀρούραις ἀθρόοι γίνονται, καὶ ἐν τοῖς αὐχμοῖς μᾶλλον ἢ ἐν ταῖς ἐπομβρίαις· πολέμιον γὰρ αὐτοῖς τὰ ὕδατα. πολύγονον δὲ τὸ ζῶον· ἀπόλλυται δὲ τῇ μὲν ἐμφανεῖ καὶ ἔξωθεν φθορᾷ διὰ πλῆθος ὑδάτων. τοῦτο γὰρ καὶ ἔξω χειμάζει, καὶ εἰς τὰς μυωπίας παρεισρεῖ. φθείρουσι δ' αὐτοὺς καὶ αἱ ἄγριαι γαλαῖ. ἔστι δέ τις αὐτῶν καὶ ἀφανὴς καὶ ἀθρόα φθορὰ καθάπερ τις ἐστὶ συμβαίνουσα λοιμώδης· τίκτεται γὰρ καὶ * τούτων ἐν τῇ κεφαλῇ σκώληξ, καὶ φθείρονται· ὃ καὶ οἱ ἔμπειροι ἐπισημειοῦντες, ἐπὰν ἴδωσι, τὴν φθορὰν αὐτῶν προγνοῦσι καὶ προαγγέλλουσιν.

Margin: * τούτων.

Ὅτι οἱ μύες ἱστοροῦνται καὶ σίδηρον κατεσθίειν καὶ χρυσίον· διὸ καὶ ἀνατέμνοντες αὐτοὺς οἱ ἐν τοῖς χρυσείοις, τὸν χρυσὸν ἀνιμῶνται.

Ὅτι ἐν Αἰγύπτῳ δίποδάς φασι μύας γίνεσθαι καὶ μεγάλους. ἔχουσι δὲ οὗτοι καὶ τοὺς ἐμπροσθίους πόδας, ἀλλ' οὐ βαδίζουσιν ἐπ' αὐτοῖς. χρῶνται δὲ αὐτοῖς, οἷα χερσίν. ὅταν δὲ φεύγωσι, πηδῶσι.

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ τῶν λεγομένων ζώων φθονεῖν.

De animantibus quæ inuidia laborare falsò dicuntur.

Ὅτι ὁ γαλεώτης, φασὶ, φθονῶν τῆς ὠφελείας τοῖς ἀνθρώποις, καταπίνει τὸ δέρμα ὅταν ἐκδύηται· ἔστι γὰρ βοήθημα ἐπιληπτικοῖς. καὶ ὁ ἔλαφος τὸ δεξιὸν κατορύττει κέρας, πρός τε τὰ τῆς φρύνης φάρμακα, καὶ πρὸς ἄλλα πολλὰ χρήσιμον. Καὶ ἡ ἵππος ἀπεσθίει τῶν πώλων τὸ ἱππομανές· καὶ γὰρ καὶ τὸ

THEOPHR.

corrumpi generationes earum, motu semper & mutatione facta, quo modo & in aliis, occidit, sic & in his cum sordibus eiectis. Quando vero soluta fuerint castra, & conuentus, quiete facta, statim generantur, quia nemo prohibet, donec in ipsis sterquiliniis humor exaruit, muscæ, vt diximus, celeriter, & cum copia gignuntur: bruci vero & locustæ vbique sunt, vt sic dicam. Abundant vero quia propria loca occupant, & eorum oua non corrumpuntur. Accidit hoc quia non colitur regio. Si enim ager colatur, extinguntur, inde ex deserta & inculta regione feruntur ad frequenter habitatam & cultam. Durant vero diu, vel quia locus altis montibus cingitur, & hos superare non valent, vel propter commoditatem regionis: Talis est, mollis, trãquilla, & humida, & roscida. Molestæ porro sunt locustæ, at molestiores bruci: & horum maximè, quos vocant baructos, sed eorum ortus ex sese inuicem mutuus. Aliqui vero putant, non euidenti signo, colore similes aliquos eorum esse regionalibus, sponte sua nasci: manifestum enim quod tale quid à nutrimento, sed non à generatione accipiãt. Corruptio vero horum alia quidem naturalis est, & pestilens: sub canicula enim œstro agitatur, & oritur illi vermiculus in capite, & corrumpitur: alia vero ex motu, & volatu. Nam sublati [bruci] à ventis in mare feruntur & corrumpuntur. Corrumpuntur vero etiam propter hiemem & frigus, ipsi, & oua eorum: extinguuntur vero & hominum machinatione. Fossas enim effodien..s hos in eas deiiciunt, & terra obruentes interficiunt.

Bruci & locustæ.

Serpentes duabus de causis oriuntur: vel è cœlo pluuio, vel in bello, & fusione sanguinis, vnde penè alia quoque venenata animalia prodeunt. Vnde quondam & in Thessalia magnam aiunt natam esse copiam serpentum.

Serpentes.

Mures in aruis plurimi fiunt, & magis in siccis, quàm in humidis: inimicæ enim illis sunt aquæ. Fecundum autem animal est. Manifestus eis ex aqua interitus. Illis enim & foris molesta, & in eorum cauernas influit. Occidunt etiam illos mustellæ agrestes. Occidũtur etiam occulto & frequente pestilentiæ malo. Nascitur enim in capite ipsorum vermis, quem periti obseruantes, re cognita præsagiunt, ac prænuntiant interitum eorumdem.

Mures.

Dicuntur mures ferrum & aurum arrodere: Ideo aurifabri illis dissectis aurum inde tollunt.

Vide Q. Curt. de Tyro lib. 4. Mures ferum arrodentes.

In Ægypto bipedes, & magnos nasci perhibent mures. Habent enim & anteriores pedes, iis vero non incedunt, sed vtuntur pro manibus: quando vero fugiunt saltant.

De animantibus, quæ inuidia laborare dicuntur.

STELLIO, vt aiunt, inuidens hominis vtilitati, deglutit exutam pellem. Est enim auxilium habenti comitialem morbum.

Stellio. Vide Interem. fuit. de Stellione, vt Alexam. Ceruus.

Ceruus dextrum cornu defodit, contra * bufonis venena aliáque multa perutile. Equa deuorat hippomanes ex pullis, ad

** φρύνης. Vide Prouerbia. Equa vide Plutarch.*

THEOPHR. *Phoca.* quædam vtile. Phoca iam capiẽda euomit coagulum, quod etiam comitiali morbo vtile est.

Stellio. Terrestris Echinus pellem vrina inquinat, & corrumpit. *Lynx.* Lynx defodit vrinam, quæ ad sigilla & alias res prodest. Cæterum animalia hoc per inuidiam non facere, sed homines è propria sua opinione hoc crimen illis affinxisse, patet. Vnde enim brutis animantibus tanta scientia, quam homines multo labore vix discunt? Phoca quidem timore forsan turbata, coagulum emittit, & stellio pellem deglutit à natura, quemadmodum canes & sues, & penè omnia quadrupedia. Comedunt enim à partu partus inuolucra, seu membranas. Echinus timore, vel alio quodam naturali affectu vrinam mittit, sed non vt corrumpat pellem. Multa alia fiunt à brutis, quorum rationem reddere non possumus: vt quamobrem gallina cùm peperetit, paleas circumiicit. Quare canes eleuato crure vrinam mittant: Quare capra, cùm eryngium comedit stet, & alias stare faciat? Quódque de lynce & ceruo narratum est, eodem modo diiudicandum.

Plutarch. lib. 7. Sympos. qu. 2. & lib. de tarda Dei vindicta.

De Sudoribus.

SVDOR salsus est, quia alienum excernitur ab adhærente carne, exhausta & leuitate & dulcedine. Tale enim excrementum exsistens circa vesicam, vrina: in carne verò sudor vocatur. Excernitur verò sudor per motum, vel laborem, vel per caloris & spiritus virtutem. Sudor cùm sit salsus, accipit acrimoniam, vel acerbitatem, vel malum vel bonum odorem, propter multas & varias rationes.

Iuuenes difficilius sudant quàm viri, & maximè pueri, quanquam natura calidi sint & humidi, vnde oritur sudor, quia densissima est puerorum cutis, & tanquam conclusa. Adhæc verò calor superans concoquit dum crescunt. Si quid verò sit excrementi, hoc egeritur per aluum. Vtplurimum enim puerorum aluus facilis est: senes verò raræ quidem cutis, sed siccæ. Oportet verò sudori tanquam materiam subesse humidam: præsertim cùm perquod halitus facile transit, quodque est ratum, sufficientem excretionem faciat: & quia fit continenter, & multus humor non inest. Ideo quorum ventres humidi sunt, & excrementum fluxit in vesicam, non multum sudant, eo quod omnem humorem illuc mittunt.

Qui cibos non cõcoquunt, & non dormiunt, multum sudant, eo quod concoctio distribuat humorem, & somnus concoquat.

Qui se exercent, & benè valent, magis sudant quàm qui non laborant.

Qui coctum & qui crudum habent cibum, multum sudant, quod quanquam absurdum videatur, non tamen est. Qui enim se exercent, quod soluta habeant corpora, & poros exercitatos, & quod sint sudoribus assueti, multum sudant. Aliorum vero pori clausi sunt, quia non se exercent. Qui vero cibum crudum edunt ob humorum multitudinem sudant plurimum: qui vero cocto vescuntur, per concoctionem alterius succi, facile sudant.

πρὸς ἔνια χρήσιμον. Καὶ ἡ φώκη, ὅταν μέλλῃ ἁλίσκεσθαι, ἐξεμεῖ τὴν πιτύαν, χρησιμεύουσαν καὶ ταύτην τοῖς ἐπιληπτικοῖς. Καὶ ὁ χερσαῖος ἐχῖνος ἐνουρεῖ τῷ δέρματι, καὶ διαφθείρει. Καὶ ἡ λύγξ καταχρύπτει τὸ οὖρον, ὅτι πρὸς τὰς σφραγῖδας καὶ πρὸς ἄλλας χρείας ἐπιτήδειον. ἀλλ' ὅτι μὲν οὐ διὰ φθόνον ταῦτα ποιεῖ τὰ ζῶα, ἀλλ' οἱ ἄνθρωποι ἐκ τῆς ἰδίας ὑπολήψεως ταύτην αὐτοῖς προσῆψαν τὴν αἰτίαν παντὶ δῆλον. πόθεν γὰρ τοῖς ἀλόγοις ἡ τοσαύτη σοφία, ἣν καὶ οἱ λογικοὶ μετὰ συχνῆς μελέτης μανθάνουσιν; ἀλλ' ἡ μὲν φώκη, διὰ τὸν φόβον ἴσως ταραττομένη, ἐμεῖ τὴν πιτύαν. καὶ ὁ γαλεώτης καταπίνει τὸ δέρμα, φυσικόν τι ποιῶν πάθος, καθάπερ οἱ κύνες καὶ αἶγες, σχεδὸν καὶ τὰ τετράποδα πάντα· κατεσθίει γὰρ τὰ * χόρια μετὰ τοὺς τόκους. Καὶ ὁ ἐχῖνος δὲ διὰ φόβον ἢ δι' ἄλλο τι πάθος φυσικὸν ἐνουρεῖ, ἀλλ' οὐχ ἵνα φθείρῃ τὸ δέρμα. πολλὰ δὲ καὶ ἄλλα πράττεται τοῖς ἀλόγοις, ὧν οὐκ ἔχομεν λόγον ἀποδοῦναι. οἷον, διὰ τί ἡ ὄρνις ὅταν τέκῃ, περιρριπτεῖ τὰ κάρφη; διὰ τί οἱ κύνες ἐπαίροντες τὰ σκέλη, προσουροῦσι; διὰ τί ἡ αἴξ, ὅταν λάβῃ τὸ ἠρύγγιον εἰς τὸ στόμα, μένει, καὶ τὰς ἄλλας ἵστασθαι ποιεῖ. καὶ τὸ τῆς λυγγὸς οὖν, καὶ τὸ τῆς ἐλάφου, ὁ αὐτὸς κατάλογος περιέξει.

** al. χόρτα*

Τοῦ αὐτοῦ, περὶ ἱδρώτων.

De Sudoribus.

ΟΤι ἁλμυρὸς γίνεται ὁ ἱδρὼς, διότι τὸ ἀλλότριον ἐκκρίνεται τῇ προσφύσει τῆς σαρκὸς, ἐξαναλωμένου τοῦ γλυκυτάτου καὶ κουφοτάτου. τὸ γὰρ τοιοῦτον περίττωμα ἐν μὲν τῇ κατὰ τὴν κύστιν ὑποστάσει, οὖρον· ἐν δὲ τῇ σαρκὶ, ἱδρὼς καλεῖται. ἐκκρίνεται δὲ ὁ ἱδρὼς, διὰ κίνησιν ἢ πόνον, ἢ διὰ τὴν τοῦ θερμοῦ καὶ τοῦ πνεύματος δύναμιν. Ὅτι ὁ ἱδρὼς ἁλμυρὸς ὢν προσλαμβάνει ὀξύτητα, ἢ πικρότητα, ἢ δυσωδίαν, ἢ εὐωδίαν, διὰ πολλὰς καὶ διαφόρους αἰτίας.

Ὅτι παῖδες τῶν ἀνδρῶν μᾶλλον δυσίδρωτες, καὶ μάλιστα τὰ παιδία, καίτοι τὴν φύσιν ὄντα θερμὰ καὶ ὑγρὰ, ἐξ ὧν ἡ τῶν ἱδρώτων γένεσις· διότι πυκνόταται τῶν παίδων οἱ χρῶτες, καὶ ὥσπερ συγκεκλεισμένοι. ἔτι δὲ ἡ θερμότης ἐπικρατοῦσα πέττει διὰ τὴν αὔξησιν. ἐὰν δέ τι καὶ γίνηται περίττωμα, τοῦτο ἐκκρίνεται κατὰ κοιλίαν. εὔροι γὰρ ὡς ἐπίπαν αἱ τῶν παιδίων. οἱ δὲ γέροντες, μανόχροες μὲν, ἀλλὰ ξηροί. δεῖ δὲ τῷ ἱδρῶτι καθάπερ ὕλην ὑπάρχειν τὸ ὑγρόν. ἄλλως τε δὲ καὶ αὐτὸ τὸ εὔπνευν καὶ μανὸν ἱκανὴν τὴν ἔκκρισιν ποιεῖ, καὶ τῷ συνεχῶς γίνεσθαι, καὶ τῷ μὴ πολλὰ ἐνυπάρχειν τὰ ὑγρά. διὰ * τοῦτο καὶ ὧν αἱ κοιλίαι ὑγραὶ, καὶ εἰς κύστιν ἡ ἐπιρροὴ τοῦ περιττώματος, οὐκ εὐίδρωτες· διότι πᾶν τὸ ὑγρὸν ἐνταῦθα ὥρμησεν.

** ταῦτα M.S.*

Ὅτι οἱ μὴ πέψαντες τὰ σιτία, καὶ οἱ ἄγρυπνοι ὄντες, εὐίδρωτες· διότι ἡ πέψις μερίζει τὴν ὑγρότητα, καὶ ὁ ὕπνος πέττει.

Ὅτι οἱ γυμναζόμενοι καὶ εὖ ἔχοντες, εὐίδρωτες μᾶλλον τῶν ἀγυμνάστων.

Ὅτι καὶ οἱ πεπεμμένην καὶ οἱ ἄπεπτον ἔχοντες τὴν τροφὴν, εὐίδρωτες· καίτοι δόξει ἄτοπον εἶναι· οὐκ ἔστι δέ. οἱ μὲν γὰρ γεγυμνασμένοι τῷ, μανὰ τὰ σώματα ἔχειν, καὶ γεγυμνασμένους τοὺς πόρους, καὶ τῷ συνήθεις εἶναι πρὸς τοὺς ἱδρῶτας, εὐίδρωτες· τῶν δὲ μεμύκασιν οἱ πόροι, διὰ τὸ μὴ γυμνάζεσθαι. οἱ δὲ μὴ πεπεμμένην ἔχοντες τὴν τροφὴν, τῷ πλήθει τῆς ὑγρότητος εὐίδρωτες. οἱ δὲ πεπεμμένην, τῷ τὴν ὑγρότητα διαμερίζεσθαι τῇ πέψει τοῦ ἄλλου χυλοῦ, ῥᾳδίαν ἔχουσι τὴν ἐξόρμησιν.

Ὅτι

Ὅτι οὐ πονοῦντες, ἀλλ' ὅταν παύωνται, μᾶλλον ἱδροῦσιν· οὐδὲ συντείνοντες οὐδὲ κατέχοντες τὸ πνεῦμα, ἀλλ' ὅταν ἀνῶσι. διότι πονούντων μὲν ὑπὸ τοῦ πνεύματος αἱ φλέβες ἐμφυσώμεναι, συμμύειν ποιοῦσι τοὺς πόρους· ὥστε δι' εὐρυτέρων μᾶλλον ἐξέρχεται τὸ ὑγρόν. καὶ ἡ κάθεξις δὲ τοῦ πνεύματος πληροῖ τὰς φλέβας, ὥστε κωλύειν διιέναι.

Ὅτι μετὰ τοὺς πόνους καὶ τοὺς δρόμους οἱ ἐν σκιᾷ μᾶλλον καθεζόμενοι ἱδροῦσιν, ἤπερ οἱ ἐν τῷ ἡλίῳ· διότι ὁ ἥλιος ἀναξηραίνει καὶ πυκνοῖ τοὺς πόρους.

Ὅτι τοὺς πόδας οἱ τῷ ὕδατι ἐμβάλλοντες, οὐχ ἱδροῦσι. διότι τὸ ὕδωρ κωλύει τὴν τῆξιν. ὁ δὲ ἱδρὼς, τῆξίς ἐστι τῶν κακῶς προσῳκοδομημένων τῇ σαρκὶ, ὅταν ἐκκρίνηται διὰ τὸ θερμόν.

Ὅτι τὸ γυμνάσιον, ἐὰν γίνοιτο συνεχῶς, ἀναξηραίνει, καθάπερ ὁ ἥλιος. διὸ ἧττον ἱδροῦσιν.

Ὅτι τὸ μέτωπον πρῶτον καὶ μάλιστα ἱδροῦσι. διὰ τὸ ὑπὸ τὸν ἐγκέφαλον εἶναι ὑγρὸν ὄντα. καὶ ἡ κεφαλὴ δὲ μάλιστα ἱδροῖ, διὰ τὸ μανόν. σημεῖον δὲ αἱ τρίχες· καὶ διότι τοῦ πνεύματος ἡ κάθεξις διατείνεταί πως εἰς τὴν κεφαλήν.

Ὅτι οἱ ἀγωνιῶντες, τοὺς πόδας ἱδροῦσι, τὸ δὲ πρόσωπον οὔ. διότι ἡ ἀγωνία, οὐ μετάστασις θερμότητος, ἀλλ' αὔξησις, καθάπερ ὁ θυμός. διὸ τὸ μὲν πρόσωπον ἐξερυθροὶ γίνονται, διὰ τὸ μᾶλλον ἐκθερμαίνεσθαι (ξηραίνει γὰρ ἡ θερμότης ἐπιπολάζουσα) τὸ δ' ἐν τοῖς ποσὶ συντήκει, διὰ τὸ *ἔλαττον εἶναι ὥστε ξηρᾶναι, *πλείω δὲ τῆς ἐμφύτου καὶ προϋπαρχούσης.

Ὅτι ἐν τοῖς ὕπνοις μᾶλλον οἱ ἱδρῶτες, ἢ κατὰ τὴν ἐγρήγορσιν· διότι καὶ τὰ ὑγρὰ καὶ τὰ θερμὰ μᾶλλον διὰ τὴν ἀντιπερίστασιν· ἐξ ἀμφοῖν δὲ τούτων, ὁ ἱδρώς.

Τοῦ αὐτοῦ, ἐκ τοῦ περὶ μελιττῶν.

Ὅτι αἱ τοῦ μέλιτος γενέσεις τριτταί· ἡ ἀπὸ τῶν ἀνθῶν, καὶ ἐν οἷς ἄλλοις ἐστὶν ἡ γλυκύτης. ἄλλη δὲ ἐκ τοῦ ἀέρος, ὅταν *ἀναχυθὲν ὑγρὸν ἀπὸ τοῦ ἡλίου συνεψηθὲν πέσῃ· γίνεται δὲ τοῦτο μάλιστα ὑπὸ πυραμητόν. ἄλλη δὲ ἐν τοῖς καλάμοις. πίπτει δὲ τὸ ἐκ τοῦ ἀέρος μέλι καὶ ἐπὶ τὴν γῆν, καὶ ἐπὶ τὰ προστυχόντα τῶν φυτῶν. εὑρίσκεται δὲ μάλιστα ἐπὶ τοῖς φύλλοις τῆς δρυὸς, καὶ ἐπὶ τῆς φιλύρας· διότι πυκνότητα ἔχει ταῦτα, καὶ ἔνικμά ἐστι. δεῖ δὲ μήτε τελείως εἶναι ξηρὰ, ἵνα μὴ εἰς αὑτὸ ἕλκῃ· μήτε μανὰ, ἵνα μὴ διίῃ. ταῦτα δὲ καὶ ἔνικμα, καὶ πυκνότητα ἔχει· τὸ δὲ τῆς φιλύρας, καὶ γλυκύτητα. ἔχει δέ πως ἡ μέλισσα οἰκείωσίν τινα πρὸς τὴν δρῦν.

*διάτονον H. St. *πλείων

De apibus.

*ἀναλυθέν.

ΕΚ ΤΗΣ ΕΛΛΑΔΙΟΥ ΒΗΣΑΝΤΙΝΟΟΥ ἐπιγραφομένης πραγματείας Χρηστομαθειῶν.

σοθ'. Helladij Besantinoi Chrestomathia.

ΑΝΕΓΝΩΣΘΗ ἐκ τοῦ Ἑλλαδίου Βησαντινόου ἐπιγραφομένης πραγματείας χρηστομαθειῶν α' β' γ' δ'.

Ὅτι φλυαρεῖ καὶ τὸν Μωσῆν ἄλφα καλεῖσθαι, διότι ἀλφοῖς τὸ σῶμα κατάστικτος ἦν· καὶ καλεῖ τοῦ ψεύδους τὸν Φίλωνα μάρτυρα.

Ὅτι Διονύσιός φησι μὴ λέγειν τοὺς Ἀττικοὺς ᾐτησάμην, ἀλλ' ἀντ' αὐτοῦ τὸ ᾐτημένην· καί τοι καὶ αἰτεῖσθαι, καὶ αἰτήσατο, καὶ αἰτήσιμος, καὶ τὰ ἄλλα λέγοντας. Ὅτι καλὸς καὶ ἀγαθὸς οἱ Ἀττικοὶ λέγοντες, ἀγαθὸς καὶ καλὸς οὐ λέγουσι· καί τοι λέγοντες ἀγαθῇ τύχῃ, λέγουσι καὶ τύχῃ ἀγαθῇ.

THEOPHR.

Non laborantes, sed cùm iam quiescunt magis sudant, neque intendentes, neque continentes spiritum, sed quando remittunt, propterea quod laborantium à spiritu venæ inflatæ, claudere poros faciant. Quare per latiores poros magis prodit humor: spiritus autem retentio complet venas: vt prohibeatur exire.

Post labores & cursus, qui in vmbra sedent magis sudant quam qui in Sole sunt: quod Sol exiccet & condenset meatus.

Qui pedes in aquam immittunt, non sudant, quia aqua prohibet liquefactionem. Sudor verò liquefactio est eorum, quæ malè carni adhærent, quando per calorem excernitur.

Quia exercitatio continua exsiccat quemadmodum Sol, ideò minus sudant.

Fronte primùm & maximè sudatur, quia subest cerebro quod humidum est: caput quoque maximè sudat, quia rarum, idque maximè crines indicant, quodque spiritus retentio in caput redundat.

Qui animo anxij sunt, pedibus sudant, in facie nequaquam: quia mœror non est diminutio caloris, sed incrementum, quemadmodum ira, ideò in facie rubescunt, quia magis incalescunt (siccat enim supereminens calor) At ille in pedibus liquefacit, quia minor est, quàm vt possit exsiccare: maior verò, quam qui antè fuit, & insitus est.

In somnis magis quàm in vigilia sudores excitantur, propterea quòd humores & calores ob contrariorum pugnantiam maiores sint, ex ambobus autem fit sudor.

Eiusdem de * *Apibus.*

* In Græco fort. legendum περὶ μέλιτος, de melle.

MEL tribus modis nascitur, vel è floribus, & ex aliis, quibus inest dulcedo, vel ex aëre, quando humor liquefactus à Sole, & concoctus cadit: idque maximè messis tempore accidit, vel ex † arundinibus. Cadit autem mel ex aëre in terram, & in obuias plantas, & maximè in foliis quercus & in tilia inuenitur, quia densitatem illa habent, & humida sunt. Oportet verò nec omnino esse arida, ne in se trahant, nec omnino arida, ne perfluant. Hæc verò humida sunt & densa, & tilia etiam dulcedinem habet. Familiaritatem autem quodammodo cum quercu habet apis.

† Calamis.

* Virgilius. Et duræ quercus sudabunt roscida mella.

HELLADII BESANTINOI Chrestomathia. CCLXXIX.

LEGI ex Helladio Besantinoo librum Chrestomathiæ primum, secundum, tertium, quartum

Nugatur Mosem ἄλφα vacari, quod corpus habuerit ἀλφοῖς, id est, vitiligine distinctum, & ad mendacium Philonem testem adhibet.

Dionysius dicit, Atticos non dicere † ᾐτησάμην ἐμοὶ, sed eius loco ᾐτημένην, etsi αἰτεῖσθαι, & αἰτήσατο & αἰτήσιμος & alia id genus in vsu sint.

Καλὸς & ἀγαθὸς Attici dicunt, sed non ἀγαθὸς καὶ καλός: quanquam ἀγαθῇ τύχῃ dicant, & τύχῃ ἀγαθῇ.

Ælius Dionysius.

* Vide Phrynichum in ἐπιτομῇ ... pag. 22.

HELLADIUS.

Dicunt auctores ὑπὸ μάλης, *sub maxilla*: μάλην vero absolutè non vsurpant: κιθάρας dicunt & κιθαριστήν, sed dicunt λύραν, non item λυριστήν.

Dicit, lapidem, qui ferrum trahat, non μαγνῆτιν, *magnetem*, sed ἡρακλείαν λίθον vocari, multi verò alij dicunt & μαγνῆτιν & ἡρακλείαν vocari, reddentes variæ appellationis causas. Dicit Galenus electrum ad se trahere putamina fabarum.

Mariti fratrem mulieres δαέρα vocant: sororem vero non item δάειραν, sed γάλων, vnde & Homerus ait:

Iliad. γ v. 121. Εἰδομένη γαλόῳ Ἀντηνορίδαο δάμαρτι.

& θεῖον vocant patris fratrem, non sic verò θείαν sororem, sed τηθίδα. Et πάππον dicunt patrem patris, μάμμην non item matris matrem, sed τηθήν. Antiqui vero matres suas μάμμας vocare solent.

Prouerbia seu adagia. Didymus decem libros prouerbiorum composuit, & prouerbiorum scriptoribus hæc nuncupauit.

Quæ nunc vocantur κουρίδες, Attici vocant κομμωτρίας, quanquam Menander etiam κουρίδα dixerit.

Versus ille prouerbialis: Ὅρκους ἐγὼ γυναικὸς εἰς ὕδωρ γράφω, *Iuramenta mulieris* * *in aqua scribo*, Est Sophoclis, quod Philonides per Parodiam exprimens dixit: Ὅρκους δὲ μοιχῶν εἰς τέφραν γράφω, *Iuramenta Mœchorum cineri inscribo*. Qui mulieres irrident, sic dicunt; Ὅρκους ἐγὼ γυναικῶν εἰς οἶκτον γράφω, *Iuramenta mulierum eiulatibus inscribo*.

* *Catullus*: --mulier cupido quod dicit amanti In vento & rapida scribere oportet aqua. *Et Tibullus.* --periuria ridet amantum Iupiter, & ventos irrita ferre iubet. *Xenarchus apud Athenæũ.* Inscribo vino si qua iurat fœmina. *Prouerb.* In aqua scribere.

Inter viginti quatuor litteras μῦ, νῦ, & ῦ duobus temporibus æquiualent & circumflectuntur: & aliæ monosyllabæ, & diphthongo syllaba terminantur & circumflectuntur, verbi gratia φεῖ, χεῖ, ψεῖ. ὦ apertè circumflectitur: inter disyllabas verò quædam habent primam longam, quæ natura sua circumflectitur, vt βῆτα, θῆτα, ἦτα: quæ verò non circumflectuntur, in penultima acuuntur, vt ἄλφα, κάππα, δέλτα.

Ancillæ nomen Pelusium erat, per quam Pyrrhus Molossus veneno matrem interfecit.

Ἀνθρακεὺς vocatur qui vulgo carbonarius.

Dionysius filius fuit agasonis, qui Siciliæ annis duodequadraginta præfuit. * Agathocles figuli filius multos etiam annos Siciliæ præfuit. Hermeas castratus & seruus cum esset, Aternæ (quæ Thraciæ ciuitas est) rex fuit. Porus Indorum rex filius tonsoris. Bradillis carbonarius cùm fuisset, Illyricum duxit exercitum. Orthagoras coquus Sicyoniæ dominatus est.

Ex humili qui emerserint, vide Valerium Max. lib. 3. cap. * *Ausonius Fi. Fictilibus fama est cœnasse Agathoclea regem.*

Verbum μόγις, *vix*, aptissimè per γ scribi ait, positum pro iis quæ fiunt cum labore. Iones & Æoles ineptè per λ scribunt μόλις, & pronuntiant.

Ὦ τᾶν, (pro ὦ ἐτᾶν, *beati bone vir*) diuisum esse dicit, ὦ quidem solum, τᾶν reiecto ε. Integrum est enim ἐτᾶν, & coalitione cum ὦ fit ὦ'τάν. ἐτὸς enim amicus verus est: nam ἐτεὸν verum significat.

Νεβρὸς dicitur de priuatis anima, quasi νηκηρός, & per syncopen νεκρός. Aiunt νε & νη priuatiuas particulas. Ideo & * νεβρὸς (hinnulus) qui cibum alimentumque accipere nondum potest.

* *νεβρὸς emenda pro νεκρός.*

Ὅτι ὑπὸ μάλης λέγουσι συντιθέντες, αὐτὴν δὲ καθ' ἑαυτὴν μάλην οὐ λέγουσι. καὶ κιθάραν λέγοντες, λέγουσι καὶ κιθαριστήν· λύραν δὲ λέγοντες, λυριστὴν οὐ λέγουσιν.

Ὅτι οὗτος μὲν φησὶν οὐχὶ μαγνῆτιν, ἀλλ' ἡρακλείαν καλεῖσθαι τὴν λίθον, ἥτις ἕλκει τὰ σιδήρεια· πολλοὶ δὲ ἄλλοι τὴν αὐτὴν καλεῖσθαι καὶ μαγνῆτιν καὶ ἡράκλειαν λέγουσιν, ἀποδιδόντες καὶ τὰς αἰτίας τῆς διαφόρου ὀνομασίας. λέγει δὲ καὶ ὡς ὁ Γαληνὸς τὸ ἤλεκτρόν φησιν ἕλκειν τὰ κηρύβια.

Ὅτι τὸν μὲν ἀνδρὸς τὸν ἀδελφὸν αἱ γυναῖκες δαέρα καλοῦσι· τὴν δὲ ἀδελφὴν οὐκέτι δάειραν, ἀλλὰ γάλων, καθὼς καὶ Ὅμηρός φησι·

Εἰδομένη γαλόῳ Ἀντηνορίδαο δάμαρτι.

καὶ θεῖον μὲν ὀνομάζουσι τὸν τοῦ πατρὸς ἀδελφόν· οὐκέτι δὲ θείαν τὸ θῆλυ, ἀλλὰ τηθίδα. καὶ πάππον μέν φασι τὸν πατέρα τοῦ πατρός· μάμμην δ' οὐκέτι τὴν τοῦ πατρὸς μητέρα, ἀλλὰ τηθήν. μάμμας δὲ οἱ παλαιοὶ τὰς αὐτῶν μητέρας καλεῖν εἰώθασιν.

Ὅτι Δίδυμος περὶ παροιμιῶν δεκαδύο βιβλία συντέταχε, [καὶ] πρὸς τοὺς περὶ παροιμιῶν συντεταχότας ἐπιγράψας αὐτά.

Ὅτι τὰς νῦν λεγομένας κουρίδας οἱ ἀττικοὶ κομμωτρίας ἐκάλουν. εὕρηται δὲ παρὰ Μενάνδρῳ καὶ τὸ κουρίδα.

Ὅτι ὁ στίχος ὁ καὶ παροιμιαζόμενος, Ὅρκους ἐγὼ γυναικὸς εἰς ὕδωρ γράφω, ἐστὶ μὲν * Σοφοκλέους, τοῦτον δὲ παρῳδήσας ὁ Φιλωνίδης, ἔφη· Ὅρκους δὲ μοιχῶν εἰς τέφραν γράφω. οἱ δὲ τὰς γυναῖκας σκώπτοντες, φασιν· Ὅρκους ἐγὼ γυναικῶν εἰς οἶκτον γράφω.

* Φιλοκλέους

Ὅτι τῶν κδ' στοιχείων τὸ μῦ, καὶ τὸ νῦ, καὶ τὸ ῦ, ἐκτεταμένον ἔχουσι τὸ δίχρονον, καὶ περισπῶνται, καὶ τὰ ἄλλα δὲ, τὰ εἰς μονοσύλλαβα καὶ δίφθογγον ἔχει τὴν συλλαβὴν, καὶ περισπᾶται· οἷον φεῖ ψεῖ χεῖ. τὸ δὲ ὦ, δῆλον ὅτι περισπᾶται. τῶν δὲ δισυλλάβων, ὅσα μὲν ἔχει τὴν παραλήγουσαν μακρὰν, φύσει περισπᾶται, οἷον βῆτα, θῆτα, ἦτα· ὅσα δὲ μὴ, παροξύνεται, ἄλφα, κάππα, δέλτα.

περὶ τῶν κδ' στοιχείων.

Ὅτι ὄνομα θεραπαίνης Πηλούσιον ἦν· δι' ἧς ὁ μολοσσὸς Πύῤῥος ἀνεῖλε φαρμάκῳ τὴν μητέρα.

Ὅτι ἀνθρακεὺς, ὁ ἐν τῇ συνηθείᾳ καλούμενος καρβωνάριος.

Ὅτι ὀνηλάτου μὲν υἱὸς Διονύσιος ἦν, ὁ τῆς σικελίας ἄρξας ἔτη μ', δυοῖν ἀποδέοντα. Ἀγαθοκλῆς δὲ κεραμέως, καὶ αὐτὸς συχνὸν χρόνον σικελίας ἄρξας. τῆς δ' ἀταρνέως (πόλις δ' αὕτη θρᾳκίας) ἐκτομίας ὢν, καὶ δοῦλος, ἦρξεν Ἑρμείας. Πῶρος δ' ὁ βασιλεὺς ἰνδῶν, κουρέως ἦν υἱός. Βράδυλλις δέ τις ἰλλυριῶν ἐστρατήγησεν, ἀνθρακεὺς γεγονώς. καὶ Ὀρθαγόρας σικυῶνος ἐτυράννησεν ὁ μάγειρος.

Humili genere nati.

Ὅτι τὸ μόγις ἀναλογώτερον διὰ τοῦ γ, φησὶ γράφεται, ἐπὶ τῶν μετὰ πόνου γινομένων ταττόμενον· οἱ δὲ Ἴωνες καὶ Αἰολεῖς παραλόγως διὰ τοῦ λ, μόλις λέγοντες, ἐκφέρουσι καὶ γράφουσι.

Ὅτι τὸ ὦ τᾶν, μέρη φησὶν εἶναι· τὸ μὲν ὦ καθ' αὑτὸ τὸ δὲ τᾶν κατὰ ἀποβολὴν τοῦ ε· τὸ γὰρ πλῆρες, ἐτάν ἐστι, καὶ συναλιφέντος τοῦ ω, γέγονεν ὦ τάν. ἐτὸς γὰρ ὁ ἀληθὴς φίλος. καὶ γὰρ ἐτεὸν τὸ ἀληθές.

περὶ τοῦ ὦ τᾶν.

Ὅτι νεκρὸς λέγεται, κατὰ στέρησιν τοῦ κηρός, νήκηρός τις ὢν, καὶ κατὰ συγκοπὴν νεκρός. τὸ γὰρ νη στερητικὸν καὶ νε φασί· διὸ καὶ νεκρὸς, ὁ μήπω δυνάμενος νομῆς καὶ βορᾶς μετέχειν.

** δεῖν νεβρός.*

γάλακτι

νέκταρ. γάλακτι δὲ μόνῳ τρεφόμενος. καὶ νέκταρ, ὃ μὴ ἔστι δυνατὸν τοῖς θνητοῖς, τουτέστι τοῖς κτεινομένοις μεταχεῖν. ἔστι γὰρ κτὰρ ῥηματικὸν ὄνομα, ἀπὸ τοῦ ῥήματος παρηγμένον τοῦ κτῶ τοῦ δηλοῦντος τὸ κτείνω.

αὐτὸ τὸ ὦ, ὅτι ὦ κλητικόν. Ὅτι τὸ ὦ, οἱ ἄρθρον κλητικὸν ὑπειληφότες, πλανῶνται· τὰ γὰρ ἄρθρα οὐ χρήζουσι κλητικῆς. καὶ γὰρ αὐτὰ μὲν τῶν μὴ παρόντων τὴν ἀναφορὰν δηλοῖ· τὸ δὲ ὦ κατ᾽ ἐνέργειαν μόνον τῆς δείξεως τῇ κλητικῇ προσῆλθεν. ὅτι δὲ ἁμαρτάνουσιν, οἱ νομίζοντες αὐτὸ κλητικόν, καὶ χρόνος καὶ ὁ τόνος δηλοῖ καὶ τὸ πνεῦμα. καὶ γὰρ ψιλοῦται, τῶν ἄλλων ἄρθρων, ὅσα πνεῦμα δέχεται, δασυνομένων· καὶ τὰ μὲν ὀξύνονται, τὸ δὲ περισπᾶται· καὶ τὰ μὲν βραχύνονται, τὸ δὲ μακρόν ἐστι φύσει. ὅτι δὲ οὐκ ἔστι τὸ ὦ εὐθείας τοιοῦτο κλητικὸν, κἀντεῦθέν ἐστι καταφανές· ἡ κλητικὴ τῇ ἰδίᾳ εὐθείᾳ ἰσοχρονεῖ, ἢ τὸν ἐλάττονα προσδέχεται χρόνον· οἷον Ἀγαμέμνων καὶ ὦ Ἀγάμεμνον. ἐνταῦθα δὲ τοὐναντίον. οὐκ ἔστιν οὖν ἄρθρον, ἀλλ᾽ ἐπίρρημα. συντάττεται δ᾽ ὅμως τῇ κλητικῇ, ἐπίρρημα ὄν· ὥσπερ καὶ ἄλλα τῶν ἐπιρρημάτων γενικῇ συντάττεται, ὡς παρὰ τῷ ποιητῇ, ἐν τῷ ω τῆς Ὀδυσσείας. καὶ αἰτιατικῇ, τὸ νὴ καὶ τὸ μά· καὶ γὰρ ὀμνύοντες αἰτιατικῇ συνάπτουσι τὰ ἐπιρρήματα ταῦτα.

κνέφας. Ὅτι τὸ κνέφας οἱ μέν φασιν ἀπὸ τοῦ κενὸν φάους γενέσθαι, κενὸν γάρ ἐστι φάους· οἱ δὲ κατὰ πλεονασμὸν τοῦ κ. νέφος γὰρ εἶναι καὶ νέφας τὸ αὐτοτελὲς, διὰ τοῦ στερητικοῦ τὸ ἐστερημένον τοῦ φωτὸς ὑποσημαῖνον· ὥσπερ καὶ τὸ κτύπος γέγονε, κατὰ πλεονασμὸν τοῦ κ. τύπος γάρ ἐστι ὁ κτύπος, ῥηματικὸν ὄνομα, παρὰ τὸ τύπτω. καὶ τὸ καίνυτο, αἴνυτο ὄν, περισσὸν ἔχει τὸ κ. καὶ τὸ ναῦρος· αὖρος γάρ ἐστιν· οἷον, ὁ κατὰ νοῦν ἐλαφρός.

Musa unde sit appellata. Ὅτι τὴν Μοῦσαν οἱ μὲν ἐτυμολογοῦσιν ἀπὸ τοῦ μαιοῦσάν τινα εἶναι· ἡ γὰρ μουσικὴ παίδευσις, οὐδὲν μυστηρίων διαφέρει. οἱ δὲ παρὰ τὸ μαίεσθαι· τὸ γὰρ ζητεῖν Δωριεῖς λέγουσι μῶ. καὶ μῶται τὸ τρίτον πρόσωπον παρ᾽ Ἐπιχάρμῳ, καὶ μῶνται παρ᾽ Εὐφρονίωνι, καὶ μώμενοι ἡ μετοχὴ παρὰ Σοφοκλεῖ. ἀληθέστερον οὖν, τὴν μοῦσαν ἐντεῦθεν εἰρῆσθαι, παντὸς νομιζομένην εὑρέτιν μαθήματος· μαίεσθαι δὲ καὶ Ὅμηρος οἶδε, τὸ ζητεῖν. μαῖαν φαμὲν, τὴν ζητοῦσαν ἰατρὸν, τὸ κρυπτόμενον.

Ὅτι ἡ μάκαρ φησὶ μονήρης ἐστὶ λέξις, καὶ ἐν τοῖς θηλυκοῖς, τὸ δάμαρ. τὸ δὲ μάκαρ, ἐκ τοῦ μακάριος ἀποκέκοπται, ὥσπερ καὶ τὸ ὑμέναιε γέγονεν ἀποκοπὴν ὑμήν.

Ὅτι τὸ μακκοᾶν, ἀρχαϊκῶς ἐστὶ τὸ μὴ ἀκούειν ἢ τὸ μὴ κοεῖν, ὅπερ τὸ νοεῖν ἐδήλου. Καλλίμαχος δὲ ἐν Ἑκάβῃ, ἐκόησε φησὶν, ἀντὶ τοῦ ἐνόησεν.

Ὅτι τὸ μακραῖος τινὲς ἐτυμολογοῦσιν, ἐκ τοῦ

sed solo lacte nutritur. νέκταρ quod mortales edere non possunt. κτεινόμενοι enim qui occisi sunt. Est autem κτὰρ verbale à verbo κτῶ, quod significat κτείνω, occido.

Qui ὦ articulum vocandi putant, falluntur. Articuli enim Vocatiuo non opus habent. Etenim articuli absentium relationem quandam significant. ὦ verò ad energiam demonstrationum solum vocatiuo adiungitur. Errare autem eos ait, qui putant illud vocatiuum esse, & tempus, & accentus, & spiritus indicant. Etenim leuigatur, cùm omnes articuli, qui spiritum recipiunt, aspiratione notentur, & illi acuuntur, hoc circumflectitur, illi corripiuntur, hoc natura longum est. Quòd ὦ non sit vocatiuus à recto, hinc etiam manifestum est. Vocatiuus recto suo æquiualet tempore; vel tempus minus suscipit; vt Ἀγαμέμνων, & ὦ Ἀγάμεμνον. Hic verò contrarium. Non est igitur articulus, sed aduerbium: Coniungitur tamen cum vocatiuo, cum sit Aduerbium. Quemadmodum & alia Aduerbia cum genitiuo iunguntur, vt apud Poëtam in Odys. ω. Et cum Accusatiuo νὴ & μὰ iungitur. Etenim iurantes Accusatiuo iungunt.

Κνέφας alij putant esse à κενὸν φάος. est enim κενὸν φάους lumine vacuum: alij verò per pleonasmum κ. νέφος enim esse, & νέφας perfectum per ν priuatiuum, *priuatum luce* significans. Quemadmodum & κτύπος per pleonasmum κ. τύπος est enim κτύπος, nomen verbale à verbo τύπτω. & καίνυτο αἴνυτο per pleonasmum habet κ. & ναῦρος, αὖρος, enim est qui mente leuis est.

Musam alij deriuant à μαιοῦσάν τινα, id est, *inuestigatricem*: doctrina enim Musarum nihil à mysteriis discrepat. Alij à μαίεσθαι deriuant. Quærere enim Dores dicunt μῶ. Et tertia persona μῶται extat apud Epicharmum, μῶνται apud Euphronionem & μώμενοι participium apud Sophoclem. Aptius igitur est Musam sic dici, tanquam inuentricem omnium disciplinarum existimatam. Μαίεσθαι Homerus quoque pro *quærere* dixit, & μαῖαν illam dicimus, quæ consulit Medicum de abscondito. — Plato in Cratylo aliter.

Μάκαρ, inquit, sola vox hac terminatione inuenitur, & in fœminis δάμαρ.

Μάκαρ per apocopen à μακάριος, sicuti ὑμὴν pro ὑμέναιε per apocopen.

Μακκοᾶν antiquum est, μὴ ἀκούειν, vel μὴ κοεῖν, quod κοεῖν significat *intelligere*. Callimachus in Hecuba ἐκόησε pro ἐνόησε dixit.

Μακραῖος alij deriuant ex μηκήεις; verbi gratia ex μακηεῖον, quod fato non subiacet, immortalis, vel ex ἀκήριος pleonasmo τῆς literæ μ μακραῖος.

Ἄλευρον addito μ inuenitur μάλευρον *farina*. & μία ἐκ ἴα factum addito μ.

De Philomela hæc narrat: Zeten filium Borei accepisse Philomelam, filiam Dulichij Pandarei, illis filium natum esse nomine Actylum: Philomela autem suspicata virum Nympham quandam Hamadryadē adamare, zelotypa

Philomela fabula. Vide Ovid. in Metamorph. & supra Ptolemaeum.

* Ἴσ. μὴ ἀκηρ. μηκήεος, οἷον ἐκ τοῦ * μηκήειν ὑπόκεισθαι τὸν ἀθάνατον· ἢ ἐκ τοῦ ἀκήριος, κατὰ πλεονασμὸν τοῦ μ μακραῖος.

Ὅτι τὸ ἄλευρον κατὰ πλεονασμὸν τοῦ μ ἐστὶν εὑρεῖν μάλευρον, καὶ τὸ μία δὲ, ἐκ τοῦ ἴα γεγονὸς, κατὰ πλεονασμὸν ἔχει τὸ μ. Ὅτι περὶ τῆς ἀηδόνος μυθολογεῖται, ὡς Ζήτης ὁ Βορέου [παῖς] ἔλαβεν Ἀηδόνα τοῦ Δουλιχίως Πανδάρεω τὴν θυγατέρα, Ἄκτυλος δὲ αὐτοῖς υἱὸς γίνεται. ἡ οὖν Ἀηδὼν ὑπονοήσασα, τὸν ἄνδρα νύμφης ἁμαδρυάδος ἐρᾶν τινος· ζηλοτυπήσασα

HELLADIVS.

cùm filius Actylus illi videretur conscius ac adiutor furtiui concubitus, à venatione redeuntem illum interfecit. Venus autem tantam miserata calamitatem, in volucrem lusciniam matrem mutauit. Pœnitens autem quæ antea fœmina, nunc verò auis, luget filium, non reperto mali fine.

Iliad. Δ. Homerus illustratus.

Τέττα, quod apud Homerum est, quod dixit Diomedes ad Sthenelum, scripturæ vitium est. Quid enim significet τέττα ignotum hactenus fuit: Sed alij quidem vocem honoris esse amici ad amicum dicunt: nonnulli verò, *gratule bene tu*, vel *ô bone vir*, significare aiunt: alij rursum, *te appello*: plures verò Grammatici iunioris esse vocem ad seniorem dicunt, quanquam ostendere nequeant, Diomedem Sthenelo iuniorem fuisse. Neque etiam vsquam alibi Homerus hac voce vsus, vt ex sensu aliunde noto, ambiguitas verbi tolli posset: quod in ἴλλον, quod *hinnulum* significat, fecit. Ibi enim dicit, πόδεσσι ἴλλον εἷλε ποικίλον κύων, *canis pedibus variegatum hinnulum comprehendit*, obscuritatem verbi detegit quod subnectitur, mortuum hinnulum. Similiter & λάε ex etymologia apertam vocem ostendit, cùm ἀλαὸς sit, *non videns lucem*. Vel quia λάειν idem est ac *frui*, quod vehementiorem ostendit affectionem. & alia multa sunt apud Homerum peregrina, quæ Homeri posteris vsu facta sunt perspicua, & dubia omnia submota sunt. Non eadem tamen ratio in τέττα. Neque enim τέττα scribendum, est, sed τέτλα, vltima syllaba ablata, à τέτλαθι. Etenim inuenire est τέτλα, multos dixisse, vt Aratum, vbi ait, ὦ χαίρετον πρῶτη τέτλα. Ideo & nonnulli versum Homeri non per τέττα, sed per τέτλα protulerunt, legentes & significantes, errorem accidisse, quòd aliqui secundum τ pro λ accipiant, dante illis breuiore in linea λ imaginationem litteræ τ, cuius vni apici recto alter incumbit transuersus.

Odyss. τ. ἴλλον ἔχε ποικίλον κύων.

Aratus. Vide indicem Homer. & Eustath.

Mater regis Corinthi vxor Amphionis, altero læso pede claudicans, Labda vocata est.

Rectius χροιὰ dicitur: sed per ellipsin χρόα. & herba, potius ποία quàm πόα dicta est.

Ἄττα ait leui spiritu scribi: alij secundùm significata accuratius distinguentes, spiritibus etiam variare volunt.

Ἐλαύνω *fruor* irregulare est: ante finem enim verbum consonantem habens, & in penultima habens syllabam in ω terminatam, nunquam grauatur. Duorum enim alterum est, vel purum Barytonum, vel consonantem habens, circũflectitur, vt φαίνω vnde ἔφανον: alterius exemplum ἀμαυρῶ, & similia. χαύνω non bene grauatur. Formant autem nonnulli ἐλαύνω ab ἐλῶ. Nonnulli vero vt à βῶ fit βαίνω, sic aiunt etiam ab ἐλῶ, ἐλαίνω factum, & transmutatione diphthongi ἐλαύνω. Sed solum est ἐλαύνω, & ideò nec regularem coniugationem habet, heteroclitum namque est perfectum, ab ἐλάζω enim ἐλήλακα formatur.

Coniunctio τὶ sola est enclitica, forte quia voce eadem cum expletiuis vtũtur. Æoles verò,

ἐπεὶ αὐτῇ ἐδόκει ὁ υἱὸς Ἄκτυλος τῆς κλοπῆς τῆς μίξεως συνειδέναι τε καὶ συνεργῆσαι: ἀνεῖλεν ἀπὸ θήρας ἐρχόμενον τὸν παῖδα. ᾤκτειρε δὲ αὐτὴν ἡ Ἀφροδίτη τοῦ πάθους, καὶ εἰς ὄρνεον μετέβαλε τὴν Ἀηδόνα. μεταγνοῦσα δὲ ἡ πάλαι μὲν γυνή, νῦν δὲ ὄρνις, θρηνεῖ τὸν παῖδα, λύσιν οὐχ εὑρίσκουσα τοῦ πλημμελήματος.

Ὅτι τὸ τέττα, ὃ παρ' Ὁμήρῳ κεῖται, εἰρημένον ὡς ἀπὸ τοῦ Διομήδους πρὸς Σθένελον, γραφικῆς ἐστι πλάνης. τί ποτε γὰρ δηλοῖ τὸ τέττα, μέχρι νῦν οὐ συνωμολόγηται· ἀλλ' οἱ μὲν τιμητικὴν αὐτὸ φωνὴν εἶναι, φίλου πρὸς ἑταῖρον, φασίν· οἱ δέ, Κώπλλε ὦ ἐσθλέ· ἄλλοι δὲ πάλιν, σὲ λέγω· οἱ πλείους δὲ τῶν γραμματικῶν, νεωτέρου φασὶν εἶναι προσφώνησιν ὡς πρεσβύτερον. καίτοι γε οὐδ' ἔχουσι δεῖξαι, Διομήδην Σθενέλου νεώτερον. οὐ μὴν ἀλλ' οὐδὲ φαίνεται Ὅμηρος ἀλλαχοῦ χρησάμενος τῇ φωνῇ, ἵν' ἐκ τῆς ἀλλαχόθι φανερᾶς διανοίας, καὶ τὸ ἐνταῦθα τῆς λέξεως ἀνακαθαρθείη ἀμφίβολον· ὥσπερ ἐπὶ τοῦ (ἴλλον) ἐποίησε. Καὶ γὰρ εἰπὼν ἐκεῖ πρότερον. πόδεσσι ἴλλον εἷλε ποικίλον κύων· τὸ ἄδηλον τῆς λέξεως διεσάφησεν ἐπαγαγών, νεκρὸν τὸν ἴλλον ὀνομάσας. ὡσαύτως τὸ, λάε, ἐκ τῆς ἐτυμολογίας σαφῆ παρίστησι τὴν φωνήν· ἐπεὶ ἀλαός ἐστιν, ὁ μὴ βλέπων τὸ φάος. ἢ ὅτι τὸ λάειν, τὸ ἀπολαυστικῶς ἔχειν, ἐστίν· ὅπερ διάθεσιν ἐμφατικώτερον διατίθησι. καὶ ἄλλα δέ ἐστι ξενίζοντα ἐν τοῖς Ὁμήρου, μεθ' Ὅμηρον δὲ τοῖς νεωτέροις σαφῆ τῇ χρήσει γεγονότα, καὶ τὴν λύσιν τῆς ἀπορίας ἐπιδεξάμενα. τὸ δὲ τέττα οὐδὲν τοιοῦτον τῆς ἀγνωσίας τοῦ καὶ μὴ διημαρτῆσθαι ἐξείλετο. οὐ τοίνυν τέττα δεῖ γράφειν, ἀλλὰ *τέτλα. τῆς ἐπὶ τέλους συλλαβῆς ἀποκοπείσης τοῦ τέτλαθι. ἔστι γὰρ εὑρεῖν τὸ τέτλα λεγόμενον παρὰ διαφόροις· ὡς καὶ Ἄρατος φησὶν ὦ χαίρετον πρῶτη τέτλα· διὸ καὶ τὸν παρ' Ὁμήρῳ στίχον τινές, οὐ τέττα, ἀλλὰ τέτλα προήνεγκαν· ἀναγινώσκοντες καὶ ἐπισημαινόμενοι, ὡς ἡ ἀπάτη γέγονεν ἐκ τοῦ, τινὰς τὸ δεύτερον τ, ἀντὶ τοῦ λ. λαβεῖν. τῆς βραχυτέρας γραμμῆς τοῦ λ φαντασίαν αὐτοῖς τῆς ὀρθῆς κεραίας τοῦ τ παραγομένης· τῆς δὲ μείζονος, τῆς ἐπικειμένης ἐγκαρσίας.

τέττα

λάειν

* al. τέτλα.

Ὅτι, φησί, τοῦ βασιλέως Κορίνθου ἡ μήτηρ, γυνὴ δὲ Ἀμφίονος, χωλοτέρῳ σκάζουσα τῷ ἑτέρῳ ποδί, λάβδα ἐκαλεῖτο.

Λάβδα.

Ὅτι ἀναλογώτερον ἡ χροιά, κατὰ πάθος δὲ ἐλλειπτικὸν ἡ χρόα. καὶ ἡ βοτάνη, ποία μᾶλλον, ἢ πόα λεγομένη.

Ὅτι τὸ ἄττα φησὶ ψιλοῦσθαι· οἱ δὲ ἄλλοι ἀκριβέστερον εἰς τὰ σημαινόμενα διαιροῦντες, οἰκειότερον καὶ περὶ τὰ πνεύματα διείλοντο.

Ὅτι τὸ ἐλαύνω παράλογόν ἐστι, φησί· πρὸ τέλους γὰρ ῥῆμα σύμφωνον ἔχων, καὶ παραλήγουσαν τὴν αυ, οὐδέ ποτε βαρύνεται. δυοῖν γὰρ θάτερον, ἢ καθαρεῦον βαρύτονόν ἐστιν, ἢ σύμφωνον ἔχον, περισπᾶται. τὸ μὲν φαίνω, ἐξ οὗ καὶ τὸ ἔφαινε· τοῦ δευτέρου δὲ, ἀμαυρῶ, καὶ τὰ ὅμοια. τὸ δὲ χαύνω, παραλόγως βαρύνεται. τεχνολογοῦσι δὲ τὸ ἐλαύνω, οἱ μὲν ἀπὸ τοῦ ἐλῶ ἐλαύνω· τινὲς δὲ ὥσπερ ἀπὸ τοῦ βῶ βαίνω, οὕτω φασὶ καὶ ἀπὸ τοῦ ἐλῶ γέγονεν ἐλαίνω, καὶ μεταθέσει τοῦ διφθόγγου, ἐλαύνω. πλὴν μονῆρές ἐστι τὸ ἐλαύνω, καὶ διὰ τοῦτο οὐδὲ κλίσιν βεβαίαν ἔχει. ἑτερόκλιτος γὰρ ἐστιν ὁ παρακείμενος. ἀπὸ γὰρ τοῦ ἐλάζω γίνεται τὸ ἐλήλακα. Ὅτι ὁ (τε) συμπλεκτικὸς ἐγκλίνεται μόνος· ἴσως, διότι τοῖς παραπληρωματικοῖς κατὰ φωνὴν συνεμπίπτει. οἱ δὲ Αἰολεῖς

ἐλαύνω.

περὶ τοῦ τέ.

αὖ μὲν

αἰ μὲν ὡς συμπλεκτικὸν αὐτὸ παραλάβωσιν, ὁμοίως ἡμῖν ἐκφωνοῦσι τὸν τε· αἰ δὲ παραπληρωματικῶς, εἰς ὃ τρέπουσι τὴν συλλαβὴν, καὶ τὸ λέγουσιν ἀντὶ τοῦ τε.

[γλωσσοκομεῖον.] Ὅτι τὸ γλωσσοκομεῖον κυρίως μέν ἐστι τὸ ἀγγεῖον ὃ τὰς αὐλητικὰς ὑποδέχεται γλώσσας· οἱ δὲ νῦν καταχρώμενοι, καὶ ἐπὶ τὴν ἑτέρα τινὰ δεχομένων τιθέασι τὴν λέξιν. καὶ τοῦτο μὲν ἀνεκτόν. οἱ δὲ προσδιαστρέφουσι καὶ τὸν τόνον καὶ τὸν χρόνον. δέον γὰρ προπαροξύνειν τὴν παραλήγουσαν μακρὰν, οὗτοι καὶ συστέλλουσι καὶ προπαροξύνουσιν.

[θριδακίνη. θρίδαξ.] Ὅτι μάζης μὲν εἶδος οἱ παλαιοὶ θριδακίνην καλοῦσι, τὴν δὲ βοτάνην θρίδακα. οἱ δὲ ἰατροὶ, θρίδακα μὲν τὸ ἥμερον λάχανον. θριδακίνην δὲ, τὸ ἄγριον καλοῦσιν.

[ὅτι ἄκλιτα τὰ τῶν στοιχείων ὀνόματα.] Ὅτι ὥσπερ τὰ νῦ φαμὲν, καὶ τὰ μῦ, πληθυντικῶς ἐκφωνεῖν ἐθέλοντες τὰ στοιχεῖα· οὕτω καὶ τὰ σίγμα δεῖ λέγειν, ἀλλ' οὐχὶ τὰ σίγματα. καὶ γὰρ ἄκλιτα τῶν στοιχείων τὰ ὀνόματα. διὸ καὶ τὸ παρὰ τῷ Ξενοφῶντι ἐν τοῖς ἑλληνικοῖς εἰρημένον, οὐχ ὑφ' ἓν τὰ σίγματα τῶν ἀσπίδων ἀναγνωστέον, ἀλλὰ δισυλλάβως μὲν τὰ σίγμα, καὶ ἀπ' ἄλλης ἀρχῆς τὰ τῶν ἀσπίδων, κατὰ διάστασιν.

[ἀρχέτυπον.] Ὅτι τὸ ἀρχέτυπόν φασιν οὐδενὶ τῶν ἀρχαίων συγγραφέων, οὐδὲ ῥητόρων, οὐδὲ τῶν μούσαις κατόχων εἴρηται, ὡς Διονύσιος ὁ Ἁλικαρνασεὺς ἱστορεῖ.

[κρήγυον.] Ὅτι κρήγυον τὸ ἀληθὲς εἴρηται, καρίγυόν τι ὄν. οἱ γὰρ ἀληθῶς τι πράττειν μέλλοντες, ἐγγυῶνται τοῦτο, τῇ κεφαλῇ κατανεύοντες. οἱ δὲ κρήγυον, οὐ τὸ ἀληθὲς, ἀλλὰ τὸ ἀγαθὸν σημαίνειν φασὶ, καρήγυον ἐτυμολογοῦντες. οἷον, ἡδύνον τὸ κῆρ, τουτέστι τὴν ψυχήν· ἡδύνειν γὰρ πέφυκε τὴν ψυχὴν τὸ ἀγαθόν.

Ὅτι ὀργιζομένων ἐστὶ, τὸ τὰ αὐτὰ πολλάκις λέγειν· καὶ γὰρ τὸ τῆς ὀργῆς πάθος ἄγονον. διὸ καὶ Ἀγαμέμνων ὀργιζόμενος τῷ Κάλχαντι, ἐν τοῖς αὐτοῖς ῥήμασι τὴν βλασφημίαν περιφέρει· Μάντι, λέγων, κακῶν· καὶ,

αἰεί τοι τὰ κάκ' ἐστὶ φίλα φρεσὶ μαντεύεσθαι· καὶ ἐσθλὸν οὐδέ τί πω εἶπες·

[ἐπιτάξ.] Ὅτι τὸ ἐπιτὰξ παρὰ Καλλιμάχῳ καὶ Ἀράτῳ κείμενον, ἀπὸ τοῦ ὁριστικοῦ μέλλοντος γέγονε, κατὰ ἀποβολὴν τῆς ἐπὶ τέλει μακρᾶς συλλαβῆς· ὥσπερ καὶ τὸ χρεὶς τοῦ χρείσω, καὶ τὸ πέλας, τοῦ πελάσω· καὶ τὸ μὶξ, ἀπὸ τοῦ μίξω. ὅθεν καὶ τὸ ἐπιμὶξ παρ' Ὁμήρῳ. καὶ τὸ δὰξ, ἀπὸ τοῦ δάξω· καὶ γὰρ οἱ Ἴωνες ἀπὸ τοῦ δάκνω τὸ δάξω ἐκφέρουσιν. ἐκ δὲ τοῦ δὰξ, τὸ ὀδάξ. καὶ ἀπὸ τοῦ πτύξω δὲ, πτύξ. καὶ ἀποβολῇ τοῦ τ πύξ. οὕτως οὖν καὶ ἀπὸ τοῦ ὑδρίσω ὑδρὶς καὶ ἀμφουδίς· ἀμύξω, ἀμύξ, παρὰ Νικάνδρῳ· καὶ πλήξω, πλὴξ καὶ ἀμφιπλήξ· καὶ ἀγκάσω, ἀγκάς· καὶ τύψω, τὺψ καὶ προτύψ. ὡσαύτως καὶ ὀκλάσω, ὀκλὰς καὶ ὀκλάξ. πρίσω, πρὶς, πρὶξ καὶ ἀπρίξ. οὕτως οὖν καὶ ἐκ τοῦ ἐπιτάξω ἐπιτάξ, ὃ κατ' ἐπίταγμα καὶ κέλευσιν πράττεται.

[Καλ. ἢ Λύκ.] Ὅτι τὸ κύρβεις οἱ μὲν ἀττικοὶ, ἀρρενικῶς ἐκφωνοῦσι· Καλλίμαχος δὲ οὐδετέρως. καὶ τὸ φοιτάζειν δὲ Καλλίμαχος παραλόγως εἶπε φοιτίζειν, φάμενος, ὦ ῥὰ δ' ἀγαθοὶ πολλάκις ἠΐθεοι καὶ τὰ ἑξῆς. ῥύψαι δὲ σημαίνει. βρενθύεται δὲ, τὸ ἀλαζονεύεται. γέγονε δὲ ἀπὸ τοῦ βρένθιον, ὅ ἐστι μύρον· οἱ γὰρ ἀλαζονευόμενοι, μύρῳ χρῆσθαι εἰώθασιν.

Ὅτι μύρων εἴδη, φησὶ, βακχάρις, ναρκίτταρος, στάκτη, πλαγγόνιον· ὅπερ εὗρε γυνὴ Ἠλεία καλουμένη Πλαγγών. μεταλλεῖον, ὅπερ εὗρε Μέταλλος Συρακούσιος.

si quidem vt copulatiuam assumpserint, similiter vt nos τε efferunt. Si verò expletiuè, in [HELLADIVS.] vertunt syllabam, & τὸ dicunt pro τε.

Γλωσσοκομεῖον propriè est vas, quod linguas tibiarum recipit: hodie verò abutentes ad receptacula aliarum rerum accommodant, & hoc quidem tolerabile: alij verò inuertunt & sonum & tempus. Oportet enim penultimam longam circumflecti, illi corripiunt, & acutum in antepenultima ponunt. [Vide Phrynichum pag. 17.]

Speciem mazæ antiqui θριδακίνην vocant: herbam verò θρίδακα. Medici θρίδακα lactucam, siue olus hortense θριδακίνην verò siluestre vocant.

Quemadmodum dicimus τὰ νῦ, & τὰ μῦ, cùm litteras in plurali efferre volumus: sic & τὰ σίγμα dicendum est, non τὰ σίγματα. Etenim non declinantur nomina litterarum, ideoque quod à Xenophonte in ἑλληνικοῖς dictum est τὰ σίγματα τῶν ἀσπίδων, non coniunctim legendum est, sed duabus syllabis τὰ σίγμα, & ab alio principio τὰ τῶν ἀσπίδων diuisim. [Litterarum nomina.] [Xenophon emendatus.]

Aiunt Ἀρχέτυπον à nullo antiquo scriptore, nec oratore, nec poëta dictum esse, vt scribit * Dionysius Halicarnasseus. [* Ter tamen nunc video in Rhetoricis.]

Κρήγυον verum significare dicitur, quasi εὖ ῥίγυον. Qui enim verè aliquid facturi sunt, illud promittunt capite annuentes. Alij verò κρήγυον, non verum, sed bonum significare aiunt, quasi καρήγυον deriuantes, vt demulcens cor, id est animum: bonum enim demulcere animum solet.

Irati est eadem sæpe dicere: infœcundus est enim iræ affectus. Ideo & Agamemnon iratus Calchanti, iisdem sæpe verbis conuitiatur. Vates dicens improbe, [Iliad. α.]

Mala soles semper prædicere. Et, nihil vnquam boni prædixisti.

Ἐπιτὰξ apud Callimachum & Aratum, à futuro fit, reiecta syllaba longa finali, quemadmodum & χρεὶς à χρείσω, & πέλας à πελάσω, μὶξ à μίξω, vnde & ἐπιμὶξ apud Homerum, & δὰξ à futuro δάξω. Iones enim à δάκνω δάξω formant, ex δὰξ venit ὀδάξ, à πτύξω πτύξ, & reiecto etiam τ πύξ. Sic & ab ὑδρίσω ὑδρὶς, & ἀμφουδίς, ἀμύξω ἀμύξ apud Nicandrum, & à πλήξω πλὴξ & ἀμφιπλήξ: ab ἀγκάσω ἀγκάς, τύψω τὺψ & προτύψ. Similiter & ab ὀκλάσω ὀκλάς, & ὀκλάξ. πρίσω, πρὶς, πρὶξ & ἀπρίξ. Sic ergo & ex ἐπιτάξω ἐπιτὰξ quod imperio & iussione fit. [Vide Platonem.]

Κύρβεις Attici in masculino efferunt, Callimachus in neutro. & idem præter rationem φοιτίζειν pro φοιτάζειν dixit, cùm inquit, profecto boni sæpe sint iuueniliter affecti, detergere verò significat. Superbit autem & gloriatur est βρενθύεται. Fit vero à βρένθιον, quod vnguentum est. Iactabundi enim & superbi, vnguento vti solent. [Vide Gelenium, & Vulcanium.]

Vnguentorum species sunt Bacarius, Narcitanus, Stacte, Plangonion, quod inuenit mulier Elea nomine, Plangon, Metalęum, quod Metalus Syracusius reperit. [Vnguenta.]

HELLADIVS
Euphorion Chalcidensis poeta.

Apud Euphorionem origine Chalcidensem, incolam verò Atheniensem, non imitandas voces licet reperire. Nam Iasonem ναύαγον dixit, quod non tam significat naufragum, quàm nauem regentem. & serpentē aurea mala Hesperidum ferentem, Κηπουρὸν nominauit. Malè autem æmulatus est primum Dionysium Siciliæ tyrannum, qui licentia adulatorum, & deliciis corruptus, cœpit* tragœdias scribere, in quibus has voces congessit, ἀκόντιον vocans βαλάντιον. κάδον verò ἑλκύδριον. σκέπαρνον ἔρειον, χλαῖναν ἐριώλην, vt quæ fuerit pernicies lanarum, & talia multa ridicula.

** Cicero Tusculan. Poetam nominat Dionysium maiorem Athenæum lib. 9. Δειπνοσοφ. versum eius expendit ex Adonide Plutarchus quoque de Alexandri virtute hunc ex Tragœdia Dionysij versum memorat. ἐκ τοῦ τυραννὶς ἀδικίας μήτηρ ἔφυ. qui & Antiphontem oratorem, vt quidam ferunt, quod Tragœdias eius reprehenderet, interfecerit Philoxenum eadem de causa ad latomias damnatum, atque Æschyli Tragici tabellas ovarmore solitum iocatus Luciano.*

Mortarij pistillum, [a] δοίδυξ ab Atticis vocatur. ἀλετρίβανος verò communiter & Atticè dicitur. Dionysius verò tyrannus, de quo ante dictum est, δοίδυκα vocat θυίστην. merito igitur maluit [b] ad latumias damnari Philoxenus, quam talia audire.

a Vide Glossarium.
b De hoc Dionysij carcere Cicero 7. Verr. & ibi interpret.

Comici plerumque seruis nominā à natali solo indunt, vt Syrum, Carionem, Midam, Getam. & similia: partim ex adiunctis, vt à colore quidem Pyrrian, & Xanthian: à moribus Parmenonem, Pistum, Dromonem: item à die, quo emptus est seruus: vnde & Numenias vocant.

Tres dicuntur phthiriasi, id est morbo pediculari, mortui esse: perpaucorū enim hic morbus. Fit autem cùm totum corpus in pediculos resoluitur, sed ex heroibus, qui hoc morbo extincti sunt, est Acastus Peliæ F. Secundus Pherecides Syrus, qui Genealogiam conscripsit, quem & aiunt ab ortu hoc malum habuisse. *Tertius Romanorum sæpe consul Sylla iam senex, vt etiam Felix propter fortunā dictus sit.

** Plutarchus in Sylla, & Casaubon. in Laert.*

Ες melius secundùm analogiam quam præpositio εἰς dicitur, & ἐκ quàm ἐξ. Omnis enim præpositio vltima breui est. Sed alia contra ratio ἐκ peregrinationis accusat. Nulla enim vox apud Atticos in κ desinit.

Κυθνιάλης *calamitosus* per λ scribunt, sed non per δ. Apud Argos enim regio Cythnion vocata, cuius viros olim Amphytrion interfecit, exceptis admodum paucis.

Mercenarius ab aliis θὴς vocatur, vel à θῆναι, quod significat manibus operari & facere. Antiquis enim dicendi formula erat ἰθῆναι pro ἰθὺ δρᾶν *aliquid agere*, vt & laboriosissimus heros ideo vocatus est Θησεὺς, Theseus, vel mutatione τ in θ, penuria enim vitæ & indigentia multos ad opera seruilia cogit.

Multa contra analogiam committuntur errata, vt pro σίκυος dicunt errantes, σίκυς *cucumis*, & pro ἀνδράχλη per λ (sic enim dicunt Attici) dicunt ἀνδράχνη.

Εἴσω rectius est quam ἔσω. & ὅμιλλαν proferunt vulgus vero per α.

De Atlantibus vide Geographos.

Euphorion, inquit, refert quædam somnia alicubi non videri.

Mulā, qua ferimur, cùm iugū non ferat, Attici ἀστράβην vocant: inde dicitur & ἀστραβηλάτης.

Ὅτι παρὰ Εὐφορίωνι τῷ φύσει μὲν χαλκιδεῖ, θέσει δὲ ἀθηναίῳ, κακοζήλους ἔστιν εὑρεῖν λέξεις. καὶ γὰρ τὸν Ἰάσονα ναύαγον εἶπεν· οὐχ ὡς ναυαγηκότα μᾶλλον, τὸν δὲ ναῦν ἄγοντα, δηλοῖ· καὶ τὸν τὰ χρυσᾶ μῆλα τῶν ἑσπερίδων φρουροῦντα ὄφιν, κηπουρὸν ὠνόμασε. παρεζήλωσε δὲ πρῶτον Διονύσιον τὸν σικελίας τύραννον· ὃς ὑπὸ τῆς ἐξουσίας καὶ τῶν κολάκων καὶ τῆς τρυφῆς διαφθειρόμενος, ἐπιχείρησε καὶ τραγῳδίας γράφειν. ἐν αἷς καὶ τοιαῦτα συνεφόρησε ῥήματα· τὸ μὲν ἀκόντιον, καλῶν βαλάντιον· τὸν δὲ κάδον, ἑλκύδριον. σκέπαρνον δὲ, τὸ ἔρειον· τὴν δὲ χλαῖναν, ἐριώλην, οἷον, ὄλεθρον οὖσαν τῶν ἐρίων· καὶ πολλὰ τοιαῦτα καταγέλαστα.

Ὅτι ὁ τῆς θυΐας τρίβολος, δοίδυξ μὲν παρὰ τοῖς ἀττικοῖς ὀνομάζεται, ἀλετρίβανος δὲ παρά τε τῇ συνηθείᾳ· καὶ οὐδὲν ἧττον παρὰ ἀθηναίοις· Διονύσιος δὲ ὁ προειρημένος τύραννος, θυίστην τὸν δοίδυκα ἐκάλει. εἰκότως ἄρα τῆς τῶν τοιούτων ἀκροάσεως τὰς λατομίας μᾶλλον ἠρεῖτο Φιλόξενος.

Ὅτι οἱ κωμικοὶ τοὺς οἰκέτας τὸ μὲν πλεῖον ἀπὸ τῶν ἐθνῶν ἐκάλουν· οἷον, σύρον, καρίωνα, μίδαν, γέταν, καὶ ὅμοια. ἐκάλουν δὲ καὶ τὰ ἐξ ἐπιθέτων· ὡς ἀπὸ τοῦ χρώματος μὲν, πυῤῥίαν καὶ ξανθίαν· ἀπὸ τοῦ τρόπου δὲ παρμένοντα, καὶ πιστὸν, καὶ δρόμωνα. ἐκάλουν δὲ καὶ ἀπὸ τῆς ἡμέρας, ἐν ᾗ ὠνήσαντο τὸν οἰκέτην· ἐξ οὗ καὶ τοὺς νουμηνίας ὠνόμαζον.

Seruorum nomina unde apud Comicos.

Ὅτι τρεῖς ἱστοροῦνται φθειριάσει τεθνηκέναι (ἔστι δὲ τὸ νόσημα μὲν, τῶν σπανίων· γίνεται δὲ ὅταν εἰς φθεῖρας ἀναλυθῇ ἅπαν τὸ σῶμα) ἀλλὰ τῶν ἐκ τῆς νόσου ταύτης τεθνεώτων, τῶν μὲν ἡρώων, Ἄκαστός ἐστιν ὁ Πελίου· δεύτερος, ὁ σύρος Φερεκύδης, ὁ τὴν γενεαλογίαν συγγράψας, ὃν καὶ λέγουσι γενικῶς τὴν συμφορὰν ἐνεγκεῖν· τρίτος, ὁ ῥωμαίων πολλάκις ὑπατεύσας Σύλλας, ἤδη σφόδρα γηραιὸς ὢν, ὡς καὶ Ἐπαφρόδιτος, διὰ τὴν τύχην ἐπωνομάζετο.

Phthiriasi.

Ὅτι ἀναλογώτερον ἀντὶ μὲν τῆς ΕΙΣ προθέσεως, τὸ ΕΣ λέγειν· ἀντὶ δὲ τῆς ἐξ, τὸ ἐκ. πᾶσα γὰρ πρόθεσις βραχυκατάληκτον θέλει. ἀλλ' ἕτερος πάλιν λόγος τὸ ΕΚ ξενίας διώκει. οὐδεμία γὰρ παρὰ ἀττικοῖς λέξις εἰς Κ καταλήγει.

ἐς, ἐκ, &

Ὅτι τὸ κυθνιάλης διὰ τοῦ λ γράφουσιν, ἀλλ' οὐ διὰ τοῦ δ. ἐν ἄργει γὰρ ἦν χωρίον τι καλούμενον κύθνιον, οὗ τοὺς ἄνδρας ποτὲ Ἀμφιτρύων ἀνεῖλε πάντας· πλὴν ὀλίγων πάνυ.

Ὅτι ὁ παρ' ἄλλοις μισθῷ δουλεύων, θὴς καλεῖται, ἢ παρὰ τὸ θῆναι, ὃ δηλοῖ τὸ χερσὶν ἐργάζεσθαι καὶ ποιεῖν· καὶ γὰρ τοῖς παλαιοῖς λέγειν ἔθος, τὸ ἰθηκεν ἀπὸ τοῦ τι δρᾶν· ὡς καὶ δραστικώτατος ἥρως, διὰ τοῦτο κέκληται Θησεύς: ἢ κατὰ μετάθεσιν τοῦ τ εἰς τὸ θ. τὸ γὰρ πένεσθαι καὶ ἐνδεεῖσθαι τοῦ βίου, οἷον στέρεσθαι, ἀναγκάζει πολλοὺς τὰ δούλων πράττειν.

Θῆς.

Ὅτι παρὰ γράμμα φησὶ μυρία ἐστὶν ἡμαρτημένα· ὥσπερ ἀντὶ τοῦ, ὁ σίκυος, ἁμαρτάνοντες λέγουσιν ὁ σίκυς· καὶ ἀντὶ τοῦ ἀνδράχλη, διὰ τοῦ λ (οὕτω γὰρ φασὶν οἱ ἀττικοί) λέγουσιν ἀνδράχνη.

σίκυος. ἀνδράχλη.

Καὶ τὸ εἴσω δὲ, ἀναλογώτερον τοῦ ἔσω. Καὶ τὴν ὅμιλλαν προφέρουσιν· ἡ δὲ συνήθεια, διὰ τοῦ α.

Ὅτι ὁ Εὐφορίων, φησὶν, ἱστορεῖ τινα ἐνύπνια μηδέπω ἑωρακέναι. Ὅτι τὴν ἡμίονον, ἐφ' ἧς ὀχούμεθα, φησιν, ἄζυγον οὖσαν, ἀθηναῖοι καλοῦσιν ἀστράβην· ἔνθεν λέγεται καὶ ὁ ἀστραβηλάτης.

ἀστράβη.

λέγε-

λέγεται μὲν τι ἀστράβη, καὶ τὸ κατασκεύασμα. ὡς Δημοσθένης ἐν τῷ κατὰ Μειδίου λόγῳ· ἐπ' ἀστράβης ὀχούμενος ἀργυρᾶς.

ἄρτος. Ὅτι ἄρτος, ἐκ τοῦ ἄρειν εἴρηται, φησίν· ὃ δηλοῖ τὸ προσφέρεσθαι. καὶ γὰρ καθ' ἑκάστην τοῦτον προσφερόμεθα. ἅρμα. καὶ ἅρμα δὲ ἡ τροφὴ παρὰ Ἱπποκράτει καὶ πολλοῖς ἄλλοις.

ὁ τάριχος. Ὅτι τὸ τάριχος ὡς ἐπὶ τὸ πολὺ μὲν λέγουσιν οὐδετέρως οἱ ἀττικοί, ἐπ' ἔλαττον δὲ καὶ ἀρσενικῶς· οἱ δὲ γραμματικοὶ τεχνολογοῦντες, ἀναλογώτερόν φασι τὸν τάριχον λέγεσθαι.

ἄριστος. ἀριστεῖς. Ἄρης. Ὅτι τὸ ἄριστος, κυρίως μὲν ἐπὶ τῶν κατὰ πόλεμον εὐδοκιμούντων ἂν ῥηθείη· διότι καὶ ἀριστέας τούτους καλοῦμεν, καὶ τὸν Ἄρην, ἔφορον τῶν πολεμικῶν ἔργων νομίζουσιν. ἐν καταχρήσει δὲ, καὶ ἐπὶ τῶν ἄλλο τι κατορθούντων λέγεται.

Μάκτρα. Ὅτι τὸ μάκτραν καλεῖν, ἐν αἷς τὰς μάζας μάττουσιν, ἀττικὸν καὶ οὐχ (ὥς τινες δοκοῦσιν) ἰδιωτικόν. ἀλλὰ καὶ τῆς βελόνης ἡ ῥαφὶς παλαιότερον· καὶ ἡ ξύστρα, τῆς στλεγγίδος· καὶ τοῦ ὀχετοῦ, ἡ ὑδρορρόη. καὶ ὁ ἀλέτων δὲ τοῦ μύλου· τὸν γὰρ ἄνω τοῦ μύλου λίθον οὕτως ἐπονομάζομεν· ὄνον δὲ, τὸν κάτω μύλον. καὶ ἡ μαγὶς δὲ, ἀντὶ τῆς τραπέζης, αἰγύπτιον δόξει, καὶ παντελῶς ἔκθεσμον. Ἐπίχαρμος δὲ ὁ δωριεύς, καὶ Κερκίδας ὁ μελοποιὸς, ἐπὶ τῆς αὐτῆς διανοίας ἐχρήσαντο τῇ λέξει, καὶ μὴν καὶ ὁ ἀττικὸς Σοφοκλῆς.

(Margin: ῥαφίς. ξύστρα. ὑδρορρόη. ἀλέτων. μαγίς.)

Ὅτι, φησὶν οὗτος, Ἀριστοτέλης ὁ τοῦ περιπάτου προστάτης, ὑπὸ Πλάτωνος *πῶλος ἐπωνομάζετο, ἐναντιοῦσθαι δοκῶν τῷ διδασκάλῳ· καὶ γὰρ ὁ ἵππος τὸν ἑαυτοῦ φιλεῖ πατέρα δάκνειν.

(Margin: * πωλάριον. Laërt.)

Ὅτι παροιμίαν εἶναί φησι τὸ δεξιὸν ὑποδύου πόδα, τὸν δὲ ἀριστερὸν νίζε· φησὶ γὰρ ὁ Πολέμων, ὡς μαρτυρεῖ Δίδυμος, δεξιὸν εἰς ὑπόδημα, ἀριστερὸν εἰς ποδανιπτῆρα.

Ὅτι δήμιον μὲν φησι καλεῖσθαι, τὸν τῶν ἐπὶ θανάτῳ καταδικασθέντων φονέα· δημόκοινον δὲ, τὸν βασανιστήν.

Ὅτι ἱππεῖς μὲν καὶ νομεῖς δεῖ γράφειν καὶ λέγειν, τὴν εὐθεῖαν τῶν πληθυντικῶν· οὐκέτι δὲ καὶ τὰς αἰτιατικὰς, ἀλλ' ἱππέας καὶ νομέας. εἰ δὲ καὶ Ξενοφῶν εἴρηκε τοὺς νομεῖς· οὐδὲν θαυμαστὸν, ἀνὴρ ἐν στρατείαις σχολάζων καὶ ξένων συνουσίαις, εἴ τινα παρακόπτει τῆς πατρίου φωνῆς· διὸ νομοθέτην αὐτὸν οὐκ ἄν τις ἀττικισμοῦ παραλάβοι.

(Margin: Xenophon.)

Ὅτι πρῶτα μὲν τὰ παναθήναια συνέστη· εἶτα τὰ ἐλευσίνια ἐπὶ Πελίᾳ τεθνηκότι προὔθηκαν ἆθλα Θετταλοί· εἶτα τὰ ἴσθμια, ἐπὶ Μελικέρτῃ· ἔπειτα ὁ τῶν ὀλυμπίων ἀγὼν ἀρχὴν λαμβάνει ὑφ' Ἡρακλέους. εἶτα τὰ νέμεα ἐπ' Ἀρχεμόρῳ τεθέντα· εἶτα μετὰ τὸ τὴν Κίρραν πεσεῖν, τὰ πύθια.

ποτνιᾶσθαι. Ὅτι τὸ ποτνιᾶσθαι κυριώτερον ἐπὶ γυναικὸς τάττεται, φησίν· ὅταν κακόν τι πάσχῃ, καὶ θήλεια ἱκετεύῃ θεόν· ποτνιώμενον δὲ ἄνδρα ἄν τις εἴπῃ, ἁμαρτάνει.

μόνος. μονώτατος. Ὅτι τὸ μόνος ἐπίτασιν φασὶ μὴ λαμβάνειν οἱ γραμματικοί· διὸ τὸ μονώτατος σόλοικον ἡγοῦνται, Ἀριστοφάνης δὲ ὅμως κέχρηται τῇ φωνῇ.

Dicitur etiam ἀστράβη pro sella equestri vt Demosthenes in oratione aduersus Midiam: ἐπ' ἀστράβης ὀχούμενος ἀργυρᾶς: *Argenteo insidens ephippio.* (Margin: HELLADIVS)

ἄρτος, inquit, dicitur ex ἄρειν, quod significat admouere vel capere. Etenim singulis hunc diebus capimus. & ἅρμα *nutrimentum* ab Hippocrate & aliis dicitur.

Τάριχος *salsamentum* in neutro genere plerumque dicunt Athenienses: minus vero frequenter in masculino. Grammatici verò in vocibus occupati, dicunt in masculino magis analogiæ respondere.

Ἄριστος propriè de iis, qui in bello aliquid præclarè gesserunt. Ideò & ἀριστέας eos vocamus, & Ἄρην, *Martem*, rei bellicæ ephorum putant, abusiuè verò etiam pro quauis in re excellentibus dicitur.

Μάκτραν vocant vas in quo polenta aut massa subigitur. Atticum est, & non, vt nonnulli dicunt tritum. ῥαφὶς acus est antiquius quam βελόνη, & ξύστρα *strigilis*, quam στλεγγίς, ὑδρορρόη *alueolus* quam ὀχετός, & ἀλέτων mola quam μύλος. Lapidem enim superiorem molæ sic vocant, ὄνον vero molam inferiorem. Et μαγὶς pro *mensa*, Ægyptium videtur, & omnino illegitimum Epicharmus vero Doricus, & Cercidas poëta hoc sensu vsi sunt eadem voce, & etiam Sophocles, qui Atticus est. (Margin: Epicharmus)

Aristoteles Peripateticæ princeps scholæ, à Platone * pullus nominatus est, quod præceptori contradiceret. equo enim volupe est etiam patrem mordere. (Margin: Laërt. & Ælianus. * πωλάριον.)

Prouerbium esse dicit, dextrum calceare pedem, & sinistrum lauare. Dicit enim Polemo, teste Didymo, dextrum in calceum, sinistrum in polubrum. (Margin: Prouerbium.)

Ait vocari δήμιον *carnificem*, qui eos occidit qui ad mortem condemnati sunt, δημόκοινον vero *tortorem*.

Ἱππεῖς & νομεῖς in nominatiuo plurali dicendum & scribendum, non vero in accusatiuo, sed ἱππέας *equites*, νομέας *pastores*, tametsi Xenophon dixerit, τοὺς νομεῖς, ne mireris si homo bellis assuetus, nec vrbanus, aliquam è patriis vocibus adulterat: ideo non est quod quis illum Atticæ linguæ iudicem sumat. (Margin: Xenophon. Dictum tamen de illo Xenophontis ore Musas locutas videri, &c.)

Primo quidem instituta fuerunt Panathenea: deinde Eleusinia mortuo Peliæ certamina Thessali instituerunt: post Isthmia in honorem Melicertæ: inde ab Hercule Olympia: dehinc Nemæa, mortuo Archemo: postremo post casum Cirrhæ, Pythia instituta sunt. (Margin: Ludi Græcorum quatuor. Archia Epigramma primum Anthologia.)

Ποτνιᾶσθαι propriè de fœmina dicitur, quando aliquod malum patitur, & supplicat Deæ. Si quis de viro ποτνιᾶσθαι dicat, peccat.

Μόνος secundum Grammaticos non comparatur, ideo μονώτατος, solœcismum putant, etsi * Aristophanes vtatur. (Margin: * vtitur illo & Theocritus, & LXX. interpr. Lucas.)

Templum Veneris in Thessalia ἀνοσίας vocatur. quia Laidem meretricem illuc venientem mulieres supra modum zelotypia prosecutæ sunt, & ligneis scabellis eam occiderunt.

Mos fuit Atheniensibus duos habere expiatores; vnum pro viris, alterum pro fœminis: qui ad expiationem ducerentur,

Λαΐς. Ὅτι τὸ ἐν Θετταλίᾳ ἱερὸν Ἀφροδίτης ὀνομάζεται ἀνοσίας· διότι τὴν ἑταίραν τὴν Λαΐδα, παραγενομένην αὐτόθι, ἐζηλοτύπησαν ἐκτόπως αἱ γυναῖκες, καὶ ξυλίναις αὐτὴν ἀπώλεσαν χελώναις. Ὅτι ἔθος ἦν ἐν Ἀθήναις φαρμακοὺς ἄγειν δύο· τὸν μὲν, ὑπὲρ ἀνδρῶν· τὸν δὲ ὑπὲρ γυναικῶν, πρὸς τὸν καθαρμὸν ἀγομένους.

(Margin: * [illegible] Ms. H.)

HELLADIVS.

Virorum expiator nigras caricas circum collum habuit, alter vero albas. & *συμβάκχοι* nominati sunt. Hæc vero expiatio fiebat ad pestilentes morbos depellendos: & ab Androgeo Cretensi initium sumpsit: quo inique Athenis interfecto, Athenienses peste laborarunt: & inualuit hic ritus lustrandi vrbem perpetuo expiationibus.

Ὀργὰς quidem communiter omnis dicitur terra quæ est apta ad fructus procreandos. *ὀργάδα* autem propriè Athenienses vocant terram, quæ est inter Atticam & Megaridem duabus sacratam Deabus. Quemadmodum & *Idam* communiter quidem vnumquemque montem, vnde inferiora cernuntur, propriè vero Cretæ & Troiæ montes. Et *ῥίον* omnem montis verticem dicimus, propriè vero Molycrion. Isthmum etiam communiter, omne quod duplici vtrimque mari clauditur, proprie vero locum quem Isthma Corinthij vocant. Similiter & Chersonesus communiter omne quod maxima parte mare clauditur, & ab vna parte continens est, propriè vero locus Thraciæ. Et *Aigialon* quidem & *ἀκτὴν* communiter omnia littora vocamus, propriè vero Atticam *ἀκτὴν* nominant. Similiter & *αἰγιαλὸν* simpliciter dicunt locum circa Helicen maritimum, quum sit Achaiæ, vnde Achæos *αἰγιαλεῖς* quidam appellare solent. *ἤπειρος* omnis terra, Epirus vero proprie & Thesprotias.

Idamons. *Isthmus.*

Anticyram, vbi album helleborum nascitur, nullo alibi crescente deteriorem vrbem Phocensem esse dicit.

Anticyra.

In sequentibus quarti libri, apophthegmata nonnulla refert, & argumenta quædam Atheniensium humanitatis, misericordiæ, prudentiæ, & decori curæ, aliusque sanctitatis: vnde etiam hæc sunt. Fugiens accipitrem struthio in ariopago, vni Ariopagitæ in sinum decidit; ille perfugam, cum seruare debuisset, interfecit. Senatus iudicauit hunc vt qui impie fecerit. Dedit igitur pœnas non struthionis gratia, sed ob crudelitatem.

LIB. IIII. Pierij Hieroglyphica. Quintil. de puero cornicum oculos configente, & hæc pag. sequen.

*Humanitatis item & commiserationis exemplum Demosthenem inducit, accusatum ob pecuniam quam ab Harpalo acceperat, quem iam fugam adornantem, Athenienses retinuerunt, & trepidantem circumsteterunt. Vnusquisque aliquid sub axilla tenens illi pro viatico dedit, hic aurum, ille argentum, & clementer illum dimiserunt, bonoque esse animo iusserunt, & calamitatem fortiter ferre. Ille suspirans quomodo, inquit, ferre potero talem deserens vrbem, in qua multi tales sunt hostes, quales alibi amicos quis non reperiat. Hoc apophthegma Æschinem dixisse quidam ferunt, quando fugientem arripiens Demosthenes, & amicum se ostendens, hortatus est ad calamitatem fortiter ferendam.

** Humanitatis in Demosthenē. Harpalus. Plutarch. in Demosthene, & in X. Græciæ oratoribus. Nos in vitis parallelis ad Olympiadem XIII. an. 1. & CXIII. an. 2.*

Et Calliclem in eadem causa pecuniarum Harpali suspectum, cum adduci iuberent Areopagitæ, ad domum accedentes qui missi fuerant, vbi vestibulum coronatum viderunt, & cognito nuptias illum iam celebrare, desinentes quærere abierunt. Non enim æquum esse duxerunt ad mulierem ingredi quæ nupsisset.

Callicles.

καὶ ὁ μὲν τῶν ἀνδρῶν, μελαίνας ἰσχάδας περὶ τὸν τράχηλον εἶχε· λευκὰς δ', ἅτερος. *συμβάκχοι δέ φησιν ὠνομάζοντο. τὸ δὲ καθάρσιον τοῦτο, λοιμικῶν νόσων ἀποτροπιασμὸς ἦν· λαβὸν τὴν ἀρχὴν ἀπὸ Ανδρόγεω τοῦ κρητός. οὗ τεθνηκότος ἐν ταῖς ἀθήναις παρανόμως τὴν λοιμικὴν ἐνόσησαν οἱ ἀθηναῖοι νόσον, καὶ ἐκράτει τὸ ἔθος ἀεὶ καθαίρειν τὴν πόλιν τοῖς φαρμάκοις

al. συβάκχοι.

Ὅτι ὀργὰς μὲν κοινῶς φησι πᾶσα ἡ γῆ, ὅσα ἐπιτηδεία πρὸς καρπῶν γονάς· ὀργάδα δὲ ἰδίως ἐκάλουν οἱ ἀθηναῖοι, τὴν ταῖν θεαῖν ἀνειμένην τῆς ἀττικῆς μεταξὺ καὶ τῆς μεγαρίδος. ὥσπερ καὶ Ἴδην μὲν κοινῶς ἕκαστον ὄρος, ἐξ οὗ ῥάδιόν ἐστιν ἰδεῖν τὰ κάτω· ἰδίως δὲ κρήτης τε καὶ τροίας ὄρη. καὶ ῥίον μέν φησι λεγόμενον ἅπαν ὄρους ἀκρωτήριον· ἰδίως δὲ τὸ Μολύκρειον. καὶ ἰσθμὸς μὲν κοινῶς, ἅπαν τὸ ὑπὸ δυοῖν πελαγῶν περιεχόμενον· ἰδίως δὲ τὸ χωρίον, ὅπερ ἰσθμὸν κορίνθιοι λέγουσιν. ὡσαύτως καὶ χερρόνησος, κοινῶς μὲν πᾶν τὸ ὑπὸ θαλάσσης ἐπὶ πλεῖστον περιεχόμενον· καθ' ἓν δὲ μέρος, τῇ γῇ συναπτόμενον· καὶ ἴδιον δὲ ὄνομα θρακίου τόπου. Καὶ αἰγιαλὸν μὲν, καὶ ἀκτὴν ἁπλῶς, τὰ παραθαλάττια πάντα λέγομεν· ἰδικώτερον δὲ τὴν ἀττικὴν, ἀκτὴν λέγουσιν. ὡσαύτως καὶ αἰγιαλὸν ἐξῃρημένως φασὶ τὸ περὶ τὴν ἑλίκην παράλιον μέρος· ἔστι δὲ τῆς ἀχαΐας, ἀφ' οὗ καὶ τοὺς ἀχαιοὺς, αἰγιαλεῖς τινες εἰώθασι καλεῖν. καὶ μὴν καὶ ἤπειρος μὲν, πᾶσα ἡ γῆ· ἤπειρος δὲ ἰδίως, καὶ ἡ θεσπρωτίας.

ὀργάς. Ἴδη. ῥίον. ἰσθμός. αἰγιαλός. ἀκτή. Ἀχαιοί. ἤπειρος.

Ὅτι τὴν ἀντίκυραν, ἐν ᾗ φασὶ γίνεσθαι τὸν λευκὸν ἐλλέβορον, οὐδενὸς χείρω *τῶν ἀλλαχόθι γινομένων, φωκικὴν εἶναι πόλιν λέγει.

*Ἀντίκυρα. *al. ἀλλαχόθι.*

Ὅτι ἐν τοῖς ἐφεξῆς τοῦ τετάρτου λόγου ἀποφθέγματά τινα λέγει καὶ σύμβολα τῆς ἀθηναίων φιλανθρωπίας τε καὶ συμπαθείας, καὶ τῆς προνοίας καὶ ἐπιμελείας τοῦ πρέποντος, καὶ τῆς ἄλλης ὁσιότητος· ὧν ἐστι καὶ ταῦτα. ἱέρακα φεύγων στρουθὸς ἐν ἀρείῳ πάγῳ, τῶν ἀρεοπαγιτῶν ἑνὸς κατέπεσεν εἰς τὸν κόλπον· ὁ δὲ τὸν πρόσφυγα, δέον σώζειν, ἀνεῖλε. τὸ δὲ συνέδριον ἀπεκήρυξεν ὡς οὐχ ὅσια δράσαντα τοῦτον. ἔδωκε τοίνυν οὐχ στρουθοῦ χάριν δίκην, τῆς δ' ὠμότητος τῶν τρόπων. φιλανθρωπίας τε καὶ συμπαθείας παράδειγμα τὸν Δημοσθένην φησὶν, ἐπὶ τοῖς ἁρπαλείοις χρήμασιν αἰτίαν λαβόντα· καὶ φεύγειν μέλλοντα, συνέσχον μὲν οἱ Ἀθηναῖοι. καὶ περιστάντες, εἶχον ὀρρωδοῦντα. ἕκαστος δ' ὑπὸ μάλης ἔχων τι, εἰς ἐφόδιον ἐπεδίδου. ὁ μὲν ἀργύριον ὁ δὲ, χρυσίον· καὶ προὔπεμπον αὐτὸν εὐμενῶς, καὶ θαρρεῖν ἐκέλευον, καὶ φέρειν τὴν συμφορὰν γενναίως· ὁ δὲ ἀναστενάξας, πῶς, ἔφη, φέρειν δυνήσομαι, τοιαύτην ἀπολιμπάνων πόλιν, ἐν ᾗ τοιοῦτοι τυγχάνουσιν ἐχθροὶ, οἵους οὐκ ἄν τις ἀλλαχόθι φίλους εὕρησι. οἱ δὲ τοῦτο τὸ ἀπόφθεγμα Αἰσχίνην λέγουσιν εἰπεῖν, ἡνίκα φεύγοντα καταλαβὼν Δημοσθένης, καὶ φιλοφρονησάμενος, παρεγγυᾷ φέρειν τὸ συμβεβηκὸς γενναίως. Καὶ Καλλικλέα δὲ ἐπὶ τῇ αὐτῇ τῶν ἁρπαλείων χρημάτων, αἰτίᾳ ὑπόνοιαν παρεσχηκότα, ἐπείπερ ἄγειν ἐκέλευσαν οἱ ἀρεοπαγῖται· τὴν οἰκίαν καταλαβόντες οἱ ἀπεσταλμένοι, τὰ πρόθυρα ἰδόντες ἐστεφανωμένα, καὶ γνόντες ὡς εἴη τεθεικὼς τοὺς γάμους: ἀφέντες τὴν ζήτησιν, ἀνεχώρησαν. οὐ γὰρ ᾠήθησαν εὖ ἔχειν ἐπεισελθεῖν γυναικὶ νεογάμῳ.

καὶ τοῦ

καὶ τῶν πρὸς Φίλιππον δὲ τοῖς ἀθηναίοις ἐπισυνεστῶτος πολέμου, ἐπεὶ γράμματα αὐτοῦ πρὸς διαφόρους συνελήφθησαν: τὰ μὲν ἄλλα ἐν τῇ ἐκκλησίᾳ ἀνεγινώσκετο, ἐπιγραφὴν δέ τινος γράμματος ἔχοντος, Ὀλυμπιάδι Φίλιππος· ὁ δῆμος ἅμα ἰδόντι, Μήτε λύειν, μήτε ἀναγινώσκειν. πρὸς γὰρ γαμετὴν γυναῖκα τὴν διὰ * γραμμάτων ὁμιλίαν ἀπόρρητον ἀνδρὸς οὐκ ἐνόμισαν δημοσιεύειν εὐπρεπὲς εἶναι. καίτοι συνέφερεν αὐτοῖς, μηδὲν λανθάνειν. ἀλλ' ὡς ἀθηναῖοι τὸ πρὸς εὔκλειαν φέρον, τοῦ λυσιτελοῦντος οὐκ ἔθεντο δεύτερον. τὸ δὲ πολλῆς εὐλαβείας τεκμήριον, ὅτι στάσεως ἐν ἄργει γενομένης σφοδρᾶς, ἣν σκυταλισμὸν ἐκάλεσαν, διότι παίοντες ἀλλήλους ἀνεῖλον χιλίους πεντακοσίους· τοῦτο ἀπαγγελθὲν εἰς τὰς ἀθήνας, ἕνεκα τῆς ἀκοῆς μόνης ἐψηφίσαντο, καταπλαγέντες τὸ ξένον, ὅλην καθῆραι τὴν πόλιν περιρράναντα. Καὶ Πραξιτέλης δέ τις ὄνομα, κριὸν ἐξέδειρε ζῶντα· ἀλλὰ καὶ τοῦτον ὀργισθέντες ἀπετυμπάνισαν οὐχὶ τοῦ προβάτου τιμωρίαν λαβεῖν ἐθέλοντες, ἀλλὰ καὶ τὸν ἄνδρα μισήσαντες, ὡς τυραννικὸν ἔχοντα φρόνημα, καὶ καινὸν τρόπον ἔτι παρανόμων ἐπινοοῦντα κολάσεως

* γράμματος, M. M.

* σκυταλισμός

Ὅτι τὸ μὴ λέγειν δύσφημα πᾶσι τοῖς παλαιοῖς μὲν φροντὶς ἦν, μάλιστα δὲ τοῖς ἀθηναίοις. διὸ καὶ τὸ δεσμωτήριον, οἴκημα ἐκάλουν· καὶ τὸν δήμιον, κοινόν· τὰς δὲ ἐριννύας, εὐμενίδας ἢ σεμνὰς θεάς· τὸ δὲ μύσος, ἄγος· τὸ δὲ ὄξος, μέλι· καὶ τὴν χολήν, γλυκεῖαν· τὸν δὲ βόρβορον, ὀχετόν. οἱ δὲ γραμματικοὶ τὰ τοιαῦτα κατ' ἀντίφρασιν ὀνομάζουσιν· οἶδα δέ τινάς φησι τῶν φιλολόγων, καὶ τὸν πίθηκον ὀνομάζοντας Καλλίαν.

Ὅτι τὸ νὺξ μὲν ἀπὸ τοῦ νύξω γέγονε, κατ' ἀποκοπήν· νυττόμεθα γὰρ ἐν τῷ σκότει προσπταίοντες, καὶ οὐχ ὁρῶντες· ἐξ ὧν νυγμοί τε καὶ πληγαί. πέντε δέ εἰσι μονοσύλλαβα εἰς υξ λήγοντα θηλυκά· τρύξ, στύξ, νύξ, πτύξ καὶ πνύξ. τούτων διὰ μὲν τοῦ γ κλίνεται τὸ τρύξ καὶ τὸ στύξ: διὰ δὲ τοῦ χ, τὸ πτύξ καὶ τὸ νύξ. πτὺξ γὰρ πτυχός, καὶ νὺξ νυχός· ἐξ οὗ καὶ πάννυχος καὶ παννυχίς, καὶ παννύχιον· καὶ κατ' ἀντιστοιχίαν, νυκός, καὶ ἐπενθέσει τοῦ τ νυκτός. φιλεῖ γὰρ πλεονάζειν ἐν ταῖς γενικαῖς τὸ τ, ὥσπερ ἐπὶ τοῦ ἄνακτος καὶ γάλακτος. τὸ δὲ πνὺξ μόνον διὰ τοῦ κ κλίνεται.

Ὅτι ἐν ταῖς ἀθήναις καὶ ἕτερα τέσσαρα δικαστήρια φονικὰ εἶναι λέγει: α', τὸ ἐν ἀρείῳ πάγῳ, ὃ δικάζει τοὺς ἐκ προνοίας τὸν φόνον δεδρακότας. β', τὸ ἐπὶ παλλαδίῳ, ὅπερ ἐτάζει τοὺς ἀκουσίως. γ', τὸ (δὲ) ἐπὶ Δελφινίῳ, ὃ συνίσταται ἐπὶ τῶν λεγόντων δικαίως τὴν ἀναίρεσιν πεποιηκέναι. καὶ τέταρτον, τὸ ἐν φρεατοῖ, ὃ δικάζει τὸν χρόνον μέν τινα φυγόντα ῥητόν, αἰτίαν γε πρότερον ἔχοντα φόνου· ὃς καὶ κρινόμενος ἐπὶ νηός, ἔξωθεν τοῦ πειραιῶς ἀπολογούμενος ἄγκυραν καθίει, διότι ὁ νόμος αὐτὸν οὐκ ἐδίδου τῆς γῆς ἐπιβῆναι. Ἀρεοπαγῖται μὲν οὖν ἐκαλοῦντο, οἱ τὸν ἑκούσιον φόνον κρίνοντες· οἱ δὲ ἐν τοῖς ἄλλοις δικαστηρίοις, κοινῶς ἐφέται.

Ὅτι μυθολογεῖ ἄνδρα τινά, ὀνομαζόμενον Ὠὴν, τῆς ἐρυθρᾶς θαλάσσης ἀνελθεῖν, τἄλλα μὲν τὰ μέλη, ἰχθύος ἔχοντα, κεφαλὴν δὲ καὶ πόδας καὶ χεῖρας ἀνδρός· καὶ καταδεῖξαι τήν τε ἀστρονομίαν, καὶ τὰ γράμματα. οἱ δὲ αὐτὸν ἐκ τοῦ πρωτογόνου πεφηνέναι λέγουσιν Ὠου, καὶ μαρτυρεῖν τοὔνομα: ἄνθρωπον δὲ ὄντα τὰ πάντα, ἰχθὺν δόξαι, διότι περ ἠμφίεστο κήτους δοράν.

HELLADIVS.

Cum contra Philippum Athenienses bellum gererent, & multas epistolas eius ad varios intercepissent, alias quidem in conuentu legerunt, cum vero quædam sic inscripta esset: Philippus Olympiadi, populus simul acclamauit, ne aperirent neque legerent, quod putarent secreta viri cum vxore communicanda non esse in vulgus, etsi profuisset illis scire. Adeo Athenienses vtile honesto non anteponebant. Magnæ vero pietatis signum, quod tumultu & seditioni Argi concitata, quam Scytalismum vocarunt, quod se inuicem ferientes mille quingentos interfecerint, hoc Athenis nuntiatum est, qua re solum audita, & peregrino facinore perculsi, decreuerunt ciuitatem statim vniuersam expiandam. Et Paxiteles quidam nomine arietem viuum excoriauit, & hoc factum execrantes illum * fustibus cædentes punierunt, non arietis vindictam capere volentes, sed virum exosi, quod tyrannicam mentem haberet, & nouam rationem cruciatus excogitasset.

Vide σκυταλη in Thesauro. Agellius XVII cap. 9.

Praxiteles. Vide simile in controuersia vltima Seneca, & apud Quintilianum de puero cornicum oculos configente. Vide Adagium.

* ἀπετυμπάνισαν.

Antiqui solliciti fuerunt, ne male ominosa dicerent, maximè vero Athenienses, ideo & δεσμωτήριον carcerem οἴκημα vocabant, & δήμιον carnificem κοινὸν appellabant, ἐριννύας Eumenides, vel venerandas deas, μύσος sceleratum vocabant ἄγος: ὄξος vinum acescens μέλι nominabant: χολὴν, γλυκεῖαν: βόρβορον lutum, ὀχετὸν, sed Grammatici illa per antiphrasim nominant. Noui etiam quosdam Philosophos, qui Simiam Calliam vocarunt.

Νὺξ nox à νύξω, id est, *stimulo*, factum est per apocopen. Stimulamur enim in tenebris offendentes & non videntes: vnde & vulnera, & læsuræ. Quinque sunt monosyllaba in υξ desinentia fœminina: τρύξ, *fex*, στύξ palus inferorum, νύξ nox, πτύξ plicatura, & πνύξ concio Athenis seu tribunal. Per γ declinantur τρύξ, & στύξ, per χ. πτύξ, & νύξ: πτὺξ πτυχὸς, & νὺξ νυχὸς, vnde & πάννυχος & παννυχὶς & παννύχιον, & per litterarum mutationem νυκὸς, & additione τ in medio νυκτὸς: κ enim in casu genitiuo abundare solet, vt in ἄνακτος & γάλακτος: πνὺξ vero solum per κ declinatur.

Athenis quatuor iudicia de cæde esse dicit, Primum in Ariopago, quod iudicat eos, qui deliberato animo cædem fecerunt. Secundum in Palladio, quod in illos inquirit, qui inuiti cædem patrarunt. Tertium in Delphinio in eos qui se* iure occidisse assererent. Quartum Phreaticum, quod iudicat vadimonia deserentem, prius cædis accusatum. Qui in naui iudicatus extra Pyræum defensus, anchoram demittit, quod lex illi non permittat in terram descendere. Areopagitæ igitur vocabantur qui voluntariam cædem iudicabant: qui autem in alis iudiciis communiter ἐφέται dicti.

Iudicia Ath. de Cæ. Sigonius de Rep. Atheniensium. lib. 3. cap. 1. 2. 3.

* *Vt Orestes Clytemnestram matrem. Cicero in Miloniana, & alibi in Rhetoricis.*

Areopagita.

Narrat virum quendam nomine Oën in rubro mari visum, habentem cætera membra piscis, caput & pedes & manus hominis, & ostendisse Astronomiam, & literas. Quidam dicunt illum natum esse è primo parente Ωυ, & testari nomen, hominem autem omnino esse, piscem vero videri, quod piscis pelle indueretur.

HELLADIVS

αὖτις Ionicum est, αὖθις vero Atticum: sic etiam μέχρι & ἄχρι sine σ Attica sunt, cum σ Ionica.

Attici more aliquo patrio non vtuntur diphtongo ει, dicentes ἐς κόρακας ad coruos, vel ἐς μακαρίαν in Beatorum sedem: sed sine diphthongo præpositionem ἐς pronuntiant: in aliis vero omnibus & cum diphthongo & sine diphthongo præpositionem εἰς vsurpant.

φιλητὴν lege

Attici boni ominis gratia κλέπτην furem φιλητὴν dicunt, quasi exosum, vel φιλητὴς fur, quia accipere amat aliena.

* Dionysius Halicarn. Dictatorem sic vocat.

*αἰσυμνήτης dicitur, qui colit officium. (etenim officium αἶσαν appellant antiqui) aut qui manet ἐν τῇ αἴσῃ, hoc est in officio. Hoc autem nomen verbale irregulariter Barytonum est. Quidam vero non ἀπὸ τοῦ μένειν, sed à νέμειν αἰσυμνητείαν fieri dicunt.

Ἔαρ Ver, ab εὔαρ ductum est; iucundissima enim est veris temperies.

Μέλιττα apis, vel à μέλειν dicitur: est enim rei familiaris studiosa, vel quasi μήλιζα, dicitur, tanquam insidens fructibus. μῆλον enim malum pro omnibus fructibus ponitur. Apum vero examen propriè ἑσμὸς dicitur, quod simul eant, & non separentur. Ideo & rectè Poëta [Homerus] ἀδινὰς eas vocat, quod ἄδην dense & confertim volitent. Est enim animal hoc congregabile.

ὄνειρον somnium deriuant tanquam τὸ ὂν εἴρει, hoc est, id quod dicit. Quare pro veris somniis hæc vox ponenda est: in falsis vero & aliis potius ἐνύπνια, insomnia.

Plutarch. in Poplicola, & M. Ant. Muretus lib. 1. Variar. cap. 17. Hinc fores dictæ.

Ideo, inquit, apud Comicos exeuntes pulsant * fores, quia non, vt apud nos nunc, ostia olim aperiebantur interius, sed aduerso modo. Foras enim trudentes exibant, manu pulsantes prius, vt audirent si qui ad fores essent, & cauerent, ne inscij læderentur, foribus repente in viam protrusis. Loxiam [*Apollinem*] enim adorabant, quem pro foribus singuli ponebant. Præterea aram ibi rotundam collocabant, & myrteis coronabant, cui prætereuntes adstabant, aram autem illam ἀγυιαῖ λοξίαν viam obliquam vocarunt, hoc Dei nomen aræ tribuentes. At κνισᾶν ἀγυιάς, apud Hesiodum significat Deis sacrificare.

Suidas.

Scriptor qui hæc collegit, natione Ægyptius fuit ciuitate Antinoi, vel vt de se ipse scribit, Besantinoi, Iambico autem carmine hæc conscripsit. Vixit temporibus Licinij & Maximiani, ethnicus, quantum è scriptis colligas, religione. Eodem carminis genere scripsit & alios libros: quorum vnus inscribitur *Athena*, alius *Aegyptius*, item *Adhortarius*, item Fama, alius Victoria, item Ciuitas Antinoi; vnde constat titulis cuiusque argumentum operis indicari.

In eodem codice simili carminis genere continebantur patriæ Hermiæ Hermopolitani, & alia nonnulla. Sereni quoque Grammatici varia dramata vario carminis genere, & Andronici Hermopolitani ad comitem Phœbammonem communem vrbis conditorē. Et hic dramatū auctor variis versibus libros composuit.

* αὖθις * αὖτις

Ὅτι τὸ μὲν αὖτις, ἰωνικόν· τὸ δὲ αὖθις, ἀττικόν· ὡσαύτως δὲ καὶ τὸ μέχρι καὶ ἄχρι, χωρὶς μὲν τοῦ σ, ἀττικόν· μετὰ δὲ τοῦ σ ἰωνικόν.

Ὅτι οἱ ἀττικοί, κατά τι πάτριον ἔθος, οὐ χρῶνται τῇ ει διφθόγγῳ ἐν τῷ λέγειν ἐς κόρακας, ἢ ἐς μακαρίαν· ἀλλ' αὐτὴν τοῦ διχρόνου ἐκφωνοῦσι τὴν πρόθεσιν: ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων, καὶ μετὰ τοῦ διχρόνου καὶ χωρὶς τοῦ διχρόνου τὴν πρόθεσιν λέγουσιν.

Ὅτι κατ' εὐφημισμὸν οἱ ἀττικοὶ τὸν κλέπτην φιλητὴν λέγουσιν· οἱονεὶ μισητόν· ἢ καὶ φιλητὴς ὁ κλέπτης, διότι φιλεῖ λαμβάνειν τὰ ἀλλότρια. φιλητήν.

Ὅτι τὸ αἰσυμνήτης· ἢ ὁ τὸ καθῆκον ὑμνῶν καὶ σέβων· καὶ γὰρ τὸ καθῆκον, αἶσαν φασίν· ἢ ὁ μένων ἐν τῇ αἴσῃ· τουτέστι, τῷ καθήκοντι· τοῦτο δὲ ῥηματικὸν ὄν, παραλόγως βαρύνεται. τινὲς δὲ οὐκ ἀπὸ τοῦ μένειν ἐν τῇ αἴσῃ, ἀλλ' ἀπὸ τοῦ νέμειν τὴν αἰσυμνητείαν φασὶ γεγονέναι. αἰσυμνῆτα.

Ὅτι τὸ ἔαρ, παρὰ τὸ εὔαρ εἴρηται· ἡ ἡδίστη γὰρ τότε τοῦ ἔαρος κρᾶσις.

Ὅτι ἡ μέλιττα ἢ ἀπὸ τοῦ μέλειν * εἴρηται· οἰκονομικὸν γὰρ τὸ ζῷον. ἢ μήλιζαν αὐτὴν λεκτέον, ὡς ἐφιζάνουσαν πᾶσι τοῖς καρποῖς. τὸ γὰρ μῆλον, κατὰ πάντων λαμβάνεται τῶν καρπίμων. τὸ δὲ τῶν μελισσῶν σμῆνος, ἑσμὸς κυρίως λέγοιτο, παρὰ τὸ τὴν ἕσιν ὁμοῦ ποιεῖσθαι, καὶ μὴ διεστώσας ἀπ' ἀλλήλων. διὸ καλῶς ὁ ποιητὴς ἀδινὰς αὐτὰς ἔφη, οἷον καὶ ἀθρόας πετομένας· ἀγελαστικὸν γάρ ἐστι τὸ γένος. * αἱ λέγεται. σμῆνος.

Ὅτι τὸν ὄνειρον ἐτυμολογοῦσι, φησί, διότι τὸ ὂν εἴρει, τουτέστι, λέγει· ὥστε ἐπὶ τῶν ἀληθῶν ὀνείρων τακτέον τὴν φωνήν. τὰ γὰρ ἄλλως ἔχοντα, μᾶλλον ἐνύπνια. ὄνειροι. ἐνύπνιον.

Ὅτι φησὶ τούτου χάριν κόπτουσι παρὰ τοῖς κωμικοῖς οἱ ἐξιόντες τὰς θύρας, διότι οὐχ, ὡς παρ' ἡμῖν νῦν, τὸ παλαιὸν ἀνεῴγνυντο αἱ θύραι, ἀλλ' ἐναντίῳ τρόπῳ. ἔξωθεν γὰρ αὐτὰς ἀναρριπτοῦντες, ἔνδοθεν ἐξῄεσαν. πρότερον δὲ τῇ χειρὶ ψόφον ἐποίουν κρούοντες, ἐπὶ τῷ γνῶναι τοὺς ἐπὶ τῶν θυρῶν, καὶ φυλάξασθαι μὴ πληγεὶς ἴσως λάθῃ, τῶν θυρῶν ὠθουμένων ἔξω. τὸν Λοξίαν γὰρ προσεκύνουν, ὃν πρὸ τῶν θυρῶν ἕκαστος ἱδρύοντο. καὶ πάλιν βωμὸν παρ' αὐτῷ στρογγύλον ποιοῦντες, καὶ μυρρίναις στέφοντες, ἵσταντο οἱ παριόντες· τὸν δὲ βωμὸν ἐκεῖνον, ἀγυιαῖον λοξίαν ἐκάλουν, τὴν τοῦ παρ' αὐτοῖς θεοῦ προσηγορίαν νέμοντες τῷ βωμῷ. τὸ δὲ κνισᾶν ἀγυιὰς παρὰ Ἡσιόδῳ, τοῖς θεοῖς θύειν λέγει. κνισᾶν ἀγυιάς.

Ὅτι οὗτος ὁ συγγραφεύς, ὁ ταῦτα συνταξάμενος, γένος μὲν αἰγύπτιος ἦν, πόλεως δὲ τῆς Ἀντινόου, ἢ (ὡς αὐτὸς ἐπιγράφει,) Βησαντινόου, ἰαμβικῷ δὲ μέτρῳ διεξῆλθε τὰ προκείμενα. γέγονε δὲ κατὰ τοὺς χρόνους Λικιννίου καὶ Μαξιμιανοῦ, ἕλλην ἐξ ὧν γράφει τὴν θρησκείαν. ἔγραψε δὲ τῷ αὐτῷ μέτρῳ καὶ ἑτέρους λόγους· ὧν ὁ μὲν ἐπιγέγραπται Ἀθηνᾶ, ὁ δὲ, Αἰγύπτιος· ὁ δὲ, προτρεπτικός· ὁ δὲ, φήμη· ὁ δὲ, νίκη· ὁ δὲ, πόλις Ἀντινόου. δῆλον δὲ ὅτι ἑκάστη ἐπιγραφή, ὑπόθεσίς ἐστι τοῦ ἐπιγραφομένου λόγου. Ἐν δὲ τῷ αὐτῷ τεύχει τῷ αὐτῷ περιείχετο μέτρῳ καὶ Ἑρμείου ἑρμοπολίτου πάτριά τε τῆς ἑρμουπόλεως, καὶ ἕτερά τινα. καὶ μὴν καὶ Σηρήνου γραμματικοῦ ἐν διαφόροις μέτροις δράματα διάφορα. καὶ Ἀνδρονίκου πολιτευομένου, καὶ αὐτοῦ ἑρμοπολίτου, πρὸς τὸν κόμητα Φοιβάμμωνα τὸν κοινοπολίτην. καὶ οὗτος δὲ δραμάτων ἐστὶ ποιητής, διαφόροις μέτροις τοὺς λόγους ἐντείνων.

Hermias Hermopolitanus. Serenus Grammaticus. Andronicus Hermopolitanus.

ὅτι

Horapollo.

ἔτι δὲ καὶ Ὡραπόλλωνος γραμματικοῦ περὶ τῶν πατρίων Ἀλεξανδρείας. συντίθησι δὲ καὶ αὐτὸς δράματα τῷ ὁμοίῳ τύπῳ. ἀλλὰ καὶ Κύρου Ἀντιπολίτου εἰς Μαυρίκιον δοῦκα καὶ τὸν ἡγεμόνα παρόντα τῇ ἀκροάσει. ἐν ἰαμβικῷ δὲ μέτρῳ καὶ οὗτος τὸν αὐτοῦ συντίθησι πόνον. εἰσὶ δὲ αὐτοῦ ἐπιστολαὶ διάφοροι, πρὸς διαφόρους, γραφαῖς ποικιλλόμεναι διαφόροις, καὶ ἕτεροί τινες ἐγκωμιαστικοὶ λόγοι.

Cyrus Antipolitanus.

Ad hæc verò Horapollinis Grammatici * de patriis rebus Alexandrinorum. Composuit & ille dramata simili stylo. Sed & Cyri Antipolitani in Mauritium ducem, & Imperatorem, qui recitationi interfuit. Iambis & ille laborem suum comprehendit.

Sunt eius variæ epistolæ ad varios pigmentis adumbratæ, & aliæ nonnullæ orationes laudatorij generis.

HELLADIVS

Horapollis Grammatici, cuius extant Hieroglyphica. Meminit & Suidas. Cyrus. An hic Cyrus prodromus cuius quædam à Stobæo afferuntur, quædam cum Nicephori Callisti versibus edita.

* περὶ πατρίων. Vide sup. in Appiano Alexandrino.

ΕΥΛΟΓΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ Ἀλεξανδρείας σύνταγμα κατὰ Ναυατιανῶν.

σπ'.

Eulogius, Archiepiscopus Alexandriæ, contra Nouatianos.

ΑΝΕΓΝΩΣΘΗ τὸ ἐν ἁγίοις Εὐλογίου, Ἀρχιεπισκόπου Ἀλεξανδρείας, βιβλίον, τὸ κατὰ Ναυατιανῶν, διὰ πέντε λόγων ἀπαρτιζομένου, ὅσα εἰς ἑρμηνείαν γραφικῶν ῥητῶν ἥκοι.

Ἐκ τοῦ πρώτου λόγου.

ΟΤι ματαίως, φησίν, οἱ Ναυατιανοί, εἰ καὶ καθαροὶ ἦσαν καὶ ἐξηρτημένοι τὸν βίον, ὅπερ οὐκ εἰσί, τὸ μετὰ τῶν ἄλλων συνάγεσθαι, καὶ τὰς εὐχὰς καὶ ψαλμῳδίας ποιεῖσθαι, παραιτοῦνται. Ἄβελ γὰρ τῷ Κάϊν, πλεῖστον ἐν πᾶσι διενηνοχώς, συνεθυσίαζε· καὶ τοῦ μὲν ὁ Θεὸς τὴν θυσίαν ἐδέχετο, τοῦ δὲ ἀπεπέμπετο. καὶ οὐδὲν γέγονεν ἐμποδὼν ὁ βέβηλος τῷ θεοσεβεῖ, εἰς τὸ μὴ προσδεχθῆναι αὐτοῦ τὰ δῶρα. καὶ Νῶε, φησί, τὰ καθαρὰ τῶν ζώων καὶ τὰ ἀκάθαρτα ἅμα προσετάττετο ἐν τῇ κιβωτῷ παραδέχεσθαι. καὶ τὸν Φαρισαῖον τῷ τελώνῃ ἅμα προσεύχεσθαι, ἡ δεσποτικὴ παραβολὴ δείκνυσι. καὶ τὴν τροφὴν τῷ προφήτῃ Ἠλίᾳ κόραξ τὸ ἀκάθαρτον διηκόνει ζῶον. καί, τὸ ἐγγύτερον, οὐ γεγόνασιν ἐμπόδιον οἱ τῶν δαιμόνων ἱερεῖς παρόντες αὐτοῦ τῇ θυσίᾳ· οὐδ' αὐτὸς ἐμολύνετο ἐφεστηκὼς αὐτοῖς θυομένοις, ὅτε καὶ τὸν πίονα βοῦν ἐκείνοις θύειν, καὶ πρότερον, ἀνῆκε. καὶ Λὼτ δὲ Σοδομίταις συνοικῶν, οὐκ ἀπήλαυσεν αὐτῶν τοῦ ὀλέθρου· ὅτι, κἂν τὴν πόλιν συνῴκει, τοῖς ἔργοις διεστήκει· σώζει δὲ μᾶλλον δι' ἑαυτοῦ καὶ τὴν Σηγὼρ πόλιν, ἐν αὐτῇ καταφυγών, μίαν τῶν περὶ Σόδομα οὖσαν. οἶδε γὰρ ὁ δίκαιος σώζειν τοὺς ἀσεβεῖς, οὐκ ἐκείνοις συναπόλλυσθαι. καὶ ὁ Ἀπόστολός φησιν, ὁμοθυμαδὸν ἐπεύχεσθαι πάντας, καὶ ἐνὶ στόματι δοξάζειν τὸν Θεόν. καὶ πολλὰ ἄλλα. ὥστε δυσσεβοῦσι, φησί, Ναυατιανοί, οὐκ ἀνεχόμενοι τοῖς ἄλλοις *συνεύχεσθαι ἀνθρώποις.

* συνέρχεσθαι. M. M.

Ὅτι καὶ αὐτὸς τὰ ἐπὶ τῆς δεσποτικῆς παραβολῆς εἰρημένα τὸν ἀπὸ Ἱεριχὼ κατιόντα καὶ τραυματισθέντα ὑποβάλλει, καὶ ὁμοίως τῷ Χρυσοστόμῳ ἀναπτύσσει: πανδοχεῖον μέν, τὴν ἐκκλησίαν ἐκλαμβάνων· δύο δὲ δηνάρια, τὴν παλαιὰν καὶ καινὴν διαθήκην, πανδοχέα δέ, τὸν τῆς ἐκκλησίας προεστῶτα. ἐμπεπτωκότα δὲ εἰς τοὺς λῃστάς, τὸν ἡμαρτηκότα.

* al. ἁμαρτίαι.

Ὅτι ἐπὶ τοῦ· μακάριοι ὧν ἀφέθησαν αἱ *ἀνομίαι, καὶ τὰ ἑξῆς· τὸ μὲν ἀφέθησαν, φησίν, ἐπὶ τοῦ βαπτίσματος· τὸ δέ, ἐπεκαλύφθησαν, ἐπὶ τῆς μετανοίας τάττεται. καὶ τό· μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, ἐπεξήγησιν τοῦ ἐπεκαλύφθησαν φησίν. ἡ γὰρ ὀρθὴ μετάνοια ἐπικαλύπτει τὰς ἁμαρτίας, καὶ οὐ λογίζεται ταύτας ὁ Κύριος.

Ὅτι ὁ μακάριος Παῦλος λέγων Ἰησοῦς Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι· διὰ τοῦτο οὐκ εἶπεν, ὧν πρῶτος ἐγενόμην ἐγώ· ἀλλ' εἰμὶ ἐγώ· ἵνα μὴ νομίσῃς λέγειν αὐτόν, τὴν πρὸ τῆς κλήσεως· ἀλλὰ περὶ τοῦ μετὰ τὴν κλῆσιν βίου, καὶ ἐν ᾧ ταῦτα ἔλεγε. τοῦτο δὲ ἔλεγε, φησίν, ἅμα μὲν ταπεινῶν ἑαυτόν· ἅμα δὲ ὑπογραμμὸν ἡμῖν τοῦ ταπεινοῦ φρονήματος εἰσηγούμενος.

EVLOGIVS ARCHIEPISCOPVS *Alexandriæ contra Nouatianos.*

CCLXXX.

LEGI è B. Eulogio Archiepiscopo Alexandriæ librum contra Nouatianos, quinque libris distinctum, quæ ad S. Scripturę interpretationem pertinent.

Ex lib. 1.

FRustra, inquit, Nouatiani, etiamsi mundi sint, vitáque absoluti, quod non sunt, cum aliis conuenire, & preces Psalmodiásque facere detrectant. Abel enim cum Caino, plurimũ in omnibus superans, sacrificauit, & illius sacrificium Deus accepit, huius vero respuit: Neque impediuit impius, quo minus iusti dona Deo grata essent. Noë, inquit, omnia animalia munda & immunda simul in arcam recipere iussus fuit. Et Pharisæum cum publicano orasse ostendit Dominica Parabola: & coruus immundum animal cibum Prophetæ Heliæ tulit. Et hoc amplius, non impediuerunt illum sacerdotes dæmonum in sacrificiis quibus intererant: neque ipse pollutus est adstans illis sacrificantibus, quando ille & pinguem ouem illis sacrificare etiam prius permisit. Lot Sodomitis cohabitans, cum iisdem non est extinctus, quia, etsi simul in eadem vrbe habitaret, operibus tamen longe ab illis dissidebat. Seruauit verò ipse vrbem Segor, in quam se receperat, vnam ex his quæ circum Sodoma erant. Nouit enim iustus seruare impios ita vt cum illis minime pereat. Et Apostolus dicit: *Vnanimes omnes orare, & vno ore honorificare Deum*, & id genus alia. Quare impij sunt Nouatiani, qui cum aliis conuenire nolunt.

Genes. 4.
Ibidem cap. 5.
Luc. 18.
3. Reg. 17.
3. Reg. 18, 22.
Genes. 19.
Ibidem v. 22.
Rom. 15. 6.

Etiam ea quæ in Domini parabola de homine Iericho descendente vulnerato leguntur apponit, & similiter vt Chrysostomus explicat: hospitium Ecclesiam esse dicens, duo vero denaria antiquum nouúmque Testamentum, hospitem vero Ecclesiæ præsides: Eum vero qui in latrones inciderit, peccatorem.

Luc. 10. 30.

De his: *Beati quorum remissæ sunt iniquitates*, &c. *remissæ sunt*, inquit, de Baptismo, *tecta vero peccata*, de Pœnitentia dicitur. Et ibi: *Beatus vir, cui non imputabit Dominus peccatum*, explicationem esse ait verbi, *tecta sunt*. Recta enim Pœnitentia tegit peccata, & Deus hæc non amplius reputat. Diuus Paulus ait, *Iesus Christus venit in mundum peccatores saluare*, propterea non dixit, *quorum primus fui ego*, sed *sum ego*, ne putes illũ de vita ante vocationẽ, sed post vocationẽ agere, quo tẽpore hęc dicit. hoc vero inquit, dixit Apostolus, tũ se ipsũ humilians, tũ vt humilis animi exemplar nobis relinqueret.

Psal. 31. 4.
Ibid. v. 2.
1. Tim. 1. 1

EVLOGIVS.

Luc. 18. 13. In Euangelio publicanus cum Pharisæo orans in templo, ideo percussit pectus, quia, inquit, receptaculum id peccatorum est. Ex corde enim veniunt, vt ait Christus, cogitationes malæ, & cætera. (Matth. 15. 19.) Vnde percutit fontem malorum, conscientia victus, vt fluenta peccatorum exsiccet.

Gen. 3. 5. Diabolus, inquit, ex διαβάλλειν, eo quod creatorem creaturis criminatus est. Dicit enim ad illos: *Scit enim Deus quod oculi vestri aperientur, & eritis sicut Dij. Ideo prohibuit, ne de ligno comederetis.*

2. Cor. 4. 4. In hoc Apostoli dicto: *Deus sæculi huius*, ille quoque ad diabolum refert.

Matth. 12. 31. *Omne peccatum, & blasphemia remittetur hominibus*, &c. Simplicius ille accipit, & secundum litteram. Ait enim: alia quidem peccata peccatoribus resipiscentibus remitti: Qui vero in Deitatem contumelia vtantur, iis neque in hoc sæculo, neque in futuro remitti, ac ne à Christo quidem ipso Deo nostro, quanquam apertè ab his diuersum sentiat (Cornelium enim propugnans defendit, à quo Nouatus auulsus est) quia negantes Christum, in quo videlicet diuinitas iniuria affecta est, pœnitentes suscepit. Tamen hoc dictum, fortassis contra Nouatum pugnans, sic accepit.

Ex lib. II.

Matth. 16. 19. IDeo, inquit, nec Ioanni, nec alteri cuiquã discipulo dixit Saluator: *Tibi dabo claues regni cælorum*, &c. sed soli Petro, qui Deum negaturus erat, & peccatum lachrymis, & pœnitẽtia expiaturus, vt suo ipsius exemplo erga peccatores humanior esset: alij enim non tentati forsan seuerius cum peccatoribus egissent. Hoc ait Eulogius verisimilius magis quam verius. etsi enim Petro dictum est, veruntamen in persona coryphæi & cæteris Apostolis talis potestas data est. Quandoquidẽ & sequentibus illos sacerdotibus, eandem datam esse soluendi ligandique potestatem credimus. Acceptâ

Matth. 18. 22. Petrus potestate ligandi soluendique, interrogat quoties debeat dimittere: *Quoties*, inquit, *si peccarit in me frater meus, dimittam illi*, vsque septies dicit, Caini condemnationem soluere volens dimittendo toties peccantibus. Saluator vero non hanc solum soluens, sed etiã La-

Genes. 4. mech illatam, respondet: non dico tibi septies, sed septuagies septies. Narrationem porro de Lamech sic exponit: Septimus erat a Cain, & vltimus stirpis. Huic enim diluuium anteuertens, deleuit Caini genus: & tantum superauit Lamechum, vt multò plura fuerint peccata quam Cain, secundum illud *se-*

Genes. 4. d. *ptuagies septies*. Quemadmodum ipse Lamech vxoribus peccata annuncians ostendit, interitum stirpis totius narrans. In tantum enim virorum creuerunt peccata, quibus cum floruit etiã Lamech, vt Deum ad vniuersum ipsorum genus diluuio perdendum excitarint.

Ὅτι ὁ ἐν τῷ εὐαγγελίῳ σὺν τῷ φαρισαίῳ προσευχόμενος ἐν τῷ ἱερῷ τελώνης, διὰ τοῦτο ἔτυπτε τὸ στῆθος, διότι δοχεῖον τοῦτο τῶν ἁμαρτημάτων καθέστηκε, φησίν. ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται, φησὶν ὁ σωτὴρ, διαλογισμοὶ πονηροὶ, καὶ τὰ ἑξῆς. ὅθεν τύπτει τὴν πηγὴν τῶν κακῶν, τῇ συνειδήσει πληττόμενος· ἵνα ξηράνῃ τῶν ἁμαρτημάτων τὰ ῥεύματα.

Ὅτι διάβολος, φησὶν, ἐκ τοῦ διαβάλλειν τὸν πλάστην τοῖς πλάσμασιν εἴρηται. ἔφη γὰρ πρὸς αὐτούς· ὡς εἰδὼς ὁ θεὸς, ὅτι διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς θεοί· διὰ τοῦτο τῆς τοῦ ξύλου ἐκώλυσε βρώσεως. * διάβολον.

Ὅτι ἐν τῷ ἀποστολικῷ ῥητῷ, τῷ· ὁ θεὸς τοῦ αἰῶνος τούτου, καὶ οὗτος τὸν διάβολον ἐκλαμβάνει.

Ὅτι τὸ, πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, καὶ τὰ ἑξῆς ἁπλούστερον οὗτος ἐκλαμβάνεται, καὶ κατὰ τὸ γράμμα. φησὶ γὰρ, τὰ μὲν ἄλλα τῶν ἁμαρτημάτων, μετανοούντων τῶν ἡμαρτηκότων, ἀφίεσθαι· τοῖς δὲ εἰς τὴν θεότητα ἐξυβρικόσιν, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι ἀφίεσθαι, οὐδὲ παρ' αὐτοῦ χριστοῦ τοῦ θεοῦ ἡμῶν· καίτοι τούτων ἐναντία φανερῶς φρονεῖ. Κορνηλίῳ γὰρ ὑπεραγωνίζεται, οὗ Ναυάτος * ἀπέρρωγεν· ὅτι τοὺς ἀρνησαμένους τὸν χριστὸν, ἐν ᾧ δηλονότι ἡ θεότης συνεξυβρίζετο, μετανοοῦντας ἐδέξατο. ὅμως οὖν οὕτω τὸ ῥητὸν τάχα πρὸς Ναυάτον ἀγωνιζόμενος ἐδέξατο. *al. ἀπερρήγνυτο.

Ἐκ τοῦ β'. λόγου.

Ὅτι διὰ τοῦτο, φησὶν, οὔτε πρὸς Ἰωάννην, οὔτε πρὸς ἕτερόν τινα τῶν μαθητῶν ἔφη ὁ σωτὴρ τό· καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, καὶ τὰ ἑξῆς. ἀλλ' ἢ πρὸς Πέτρον: ὃς ἔμελλε τῷ τῆς ἀρνήσεως περιπίπτειν ὀλισθήματι. καὶ διὰ δακρύων καὶ μετανοίας ἀπονίπτειν τὸ ἁμάρτημα, ἵνα τῷ καθ' ἑαυτὸν ὑποδείγματι πρὸς τοὺς ἐξαμαρτάνοντας φιλανθρωπότερος διατίθοιτο. οἱ γὰρ ἄλλοι ἀπείρατοι μεμενηκότες, τάχα ἂν ἀποτομώτερον αὐτοῖς ἐνεχείρησαν. τοῦτο μὲν φησὶν ὁ Εὐλόγιος, πιθανώτερον μᾶλλον, ἢ ἀληθέστερον λέγων. εἰ γὰρ καὶ πρὸς Πέτρον * εἴρηται· ἀλλ' οὖν ἐν προσώπῳ τοῦ κορυφαίου, καὶ τοῖς λοιποῖς τῶν μαθητῶν ἡ τοιαύτη ἐξουσία ἐδίδοτο· ὅπου γε καὶ τοῖς ἀπ' ἐκείνων τὸ ἀρχιερατικὸν κατὰ διαδοχὴν περιβεβλημένοις ἀξίωμα, τὴν αὐτὴν προσεῖναι τοῦ δεσμεῖν καὶ λύειν ἐξουσίαν πιστεύομεν. εἶτα, ὡς οὖν λαβὼν, φησὶν, ὁ Πέτρος τὴν ἐξουσίαν τοῦ δεσμεῖν καὶ λύειν, ἐρωτᾷ καὶ τὸ μέτρον τῆς ἀφέσεως· ποσάκις, λέγων, ἐὰν ἁμαρτήσῃ εἰς ἐμὲ ὁ ἀδελφός μου, ἀφήσω αὐτῷ: ἕως ἑπτάκις εἰπὼν, τὴν ἐπὶ τοῦ Κάϊν κατάκρισιν λῦσαι σπουδάζων ἐν τῷ ἀφιέναι τοσαυτάκις τοῖς ἁμαρτάνουσιν. ὁ δὲ σωτὴρ οὐ ταύτην μόνον λύων, ἀλλὰ καὶ τὴν ἐπὶ τοῦ Λάμεχ ἐξενεχθεῖσαν, ἐπήνεγκεν. Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά. * al. εἴρητο.

τὸ δὲ διήγημα τὸ περὶ τοῦ Λάμεχ, τοιοῦτον φησίν. ἕβδομος ἦν ἀπὸ Καϊν, καὶ τελευταῖος τῶν ἀπογόνων. τοῦτον γὰρ ὁ κατακλυσμὸς φθάσας, ἐξήλειψε τὸ τοῦ Κάϊν γένος· καὶ τοσοῦτον ὑπερέβαλε τὸ τοῦ Λάμεχ, φησὶν, ὡς εἶναι τῶν τοῦ Κάϊν ἁμαρτημάτων πολλαπλάσια, κατὰ τό· ἑβδομηκοντάκις ἑπτά. ὡς καὶ αὐτὸς Λάμεχ ταῖς γυναιξὶν ἀπαγγέλλων τὰ ἁμαρτήματα, ἐδήλωσεν, ἀνδρῶν ὄλεθρον κατὰ τῆς γενεᾶς αὐτοῦ διηγούμενος. ἐπὶ τοσοῦτον γὰρ τῶν τότε ἀνδρῶν ηὐξήθη τὰ ἁμαρτήματα, οἷς καὶ ὁ Λάμεχ συνήκμασεν, ὡς εἰς πανωλεθρίαν αὐτῶν τὴν φιλανθρωπίαν τοῦ θεοῦ παροξῦναι, κατακλυσμοῦ τὴν δίκην αὐτοῖς ἐπιτιθεῖσαν.

καὶ σπέρμα

καὶ σάρκα διὰ τὴν τότε γενεὰν ἐκάλεσεν ὁ Θεός· Οὐ μὴ μείνῃ τὸ πνεῦμά μου ἐν αὐτοῖς, λέγων, διὰ τὸ εἶναι αὐτοὺς σάρκα. ἐπεὶ ὅλοι τῆς σαρκὸς καὶ τῶν ἐμπαθῶν λογισμῶν γεγονότες, καὶ πάσης ἄλλης ἁμαρτίας, ὄντως ὅπερ ἐδέξαντο πνεῦμα καθ' ὁμοίωσιν Θεοῦ, εἰς σάρκα μετέβαλλον. οὕτω μὲν, ἐξ ὧν φησιν ὁ ἀρχιερεὺς Εὐλόγιος, τὸν Λάμεχ ἀπολωλέναι φησίν· οἱ δὲ πλεῖστοι τῶν πατέρων διὰ τῆς ἐπαγγελίας καὶ μετανοίας συγγνώμην εὑρεῖν τοῦ ἁμαρτηθέντος αὐτὸν ἀπαγγέλλουσι.

Ὅτι, φησὶν, ἐπειδὰν Πέτρου τοῦ κορυφαίου τὴν ἄρνησιν καὶ μετάνοιαν εἰς ἔλεγχον τῆς Ναυατιανῆς ἀπονοίας προβαλώμεθα· ἀνταποκρίνεσθαι πειρῶνται, ὅτι ὁ Πέτρος τὸ ἀτελὲς τότε βάπτισμα ἦν βεβαπτισμένος· τὸ Ἰωάννου μόνον ἐβεβάπτιστο· τὸ δὲ ἅγιον πνεῦμα οὔπω ἦν δεδεγμένος. μετὰ γὰρ τὴν ἀνάστασιν τοῦτο, πεντήκοντα ἡμερῶν διαγεγονότων, ἐδέξατο. ἀλλ' ἔστιν εἰπεῖν πρὸς αὐτούς· ὅτι καὶ τὸ Ἰωάννου τότε τέλειον ἦν· ὕστερον δὲ ἀπέβη τοῖς χρωμένοις ἀτελὲς, μετὰ τὸ τὸν τρόπον τοῦ βαπτίσματος ὁ σωτὴρ παραδιδοὺς τοῖς μαθηταῖς, ἔλεγε· πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. ὅτε οὖν τὸ μυστικὸν τοῦτο βάπτισμα παρεδόθη, τότε τὸ Ἰωάννου βάπτισμα ἤργησε· καὶ οἱ βαπτίζοντες αὐτὸ λοιπὸν, ἀτελῶς ἐβάπτιζον, τὴν δεσποτικὴν παρορῶντες παράδοσιν. πρὶν δὲ, τέλειον ἦν. ὅτι δὲ τέλειον ἦν· δῆλον, φασὶ, καὶ ἐξ ὧν οὐδαμοῦ φαίνεται τοὺς μαθητὰς τὸ παρὰ Ἰωάννου δεδεγμένους βάπτισμα, ἀναβαπτίσας. Ἰησοῦς γάρ φησιν οὐδένα ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταί. ἐξ ὧν πάλιν δῆλον ὅτι τέλειον ὑπῆρχε. καὶ ὁ σωτὴρ δὲ βαπτισθῆναι αὐτὸ οὐκ ἀπαξιώσας, ὅτι τέλειον ἦν ἔδειξεν. οὐκ αὐτὸς, ὡς δῆλον ἐστὶ, *καθάρσεως δεόμενος, ἀλλὰ καθάρσιον τῶν ὑδάτων γινόμενος, καὶ ἁγιασμὸς, καὶ τελείωσις, τοῖς τότε βαπτιζομένοις. εἴσοδον δὲ οἱ τότε βαπτιζόμενοι τῆς εἰς Χριστὸν γνώσεως τὸ βάπτισμα παρεδέχοντο. ἐπεὶ γὰρ τοῦτο εἰς τὸν ἐρχόμενον ἐβαπτίζοντο, ἐζήτουν λοιπὸν, τίς ὁ ἐρχόμενος; καὶ ζητοῦντες, εὕρισκόν τε καὶ ἐμαθητεύοντο· καὶ προσιόντες τῷ σωτῆρι, οὐχ ἕτερον βάπτισμα προσελάμβανον, μόνον δὲ τὰς ἐντολὰς προσεδέχοντο. ἕως μὲν οὖν οὐδέπω ἐδοξάσθη διὰ τοῦ σταυροῦ ὁ Ἰησοῦς, τέλειον ἦν τὸ Ἰωάννου βάπτισμα. μετὰ ταῦτα δὲ, οὐκέτι. διὸ καὶ τὸν Ἀπολλὼ βαπτισθέντα ὑπὸ Ἰωάννου κατὰ τὸν ἁρμόζοντα καιρὸν, οὐδεὶς ἀνεβάπτισεν· ἀλλὰ Πρίσκιλλα καὶ Ἀκύλας κατὰ τὴν Ἔφεσον παραγεγονότα ἐξ Ἀλεξανδρείας τῆς πατρίδος, προσελάβοντο μὲν αὐτὸν, καὶ ἀκριβέστερον ἐδίδαξαν τὰ περὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ· βαπτίσαι δὲ οὐκ ἐτόλμησαν. τοὺς μέντοιγε ὑπ' αὐτοῦ βαπτισθέντας, ἐπεὶ μετὰ τὴν τοῦ κυρίου εἰς οὐρανοὺς ἄνοδον τῷ Ἰωάννου βαπτίσματι ἐβαπτίσθησαν· ὅτι οὐκέτι ἦν ἐρχόμενος ὁ Χριστὸς, ἀλλ' ἐληλυθὼς ἤδη καὶ πᾶσαν πεπληρωκὼς οἰκονομίαν, καὶ βάπτισμα δεδωκὼς οἰκεῖον: εἰκότως τούτους εὑρὼν ὁ Παῦλος, καὶ ὅτι οὐδὲ εἰ πνεῦμα ἅγιόν ἐστιν ᾔδεσαν, τῷ δεσποτικῷ βαπτίσματι παρεσκεύασεν ἀναβαπτισθῆναι. πολλαχόθεν δὲ, φησίν, ἐστι λαβεῖν, ὡς τέλειον ἦν τὸ Ἰωάννου βάπτισμα πρὸ τῆς παραδόσεως τοῦ δεσποτικοῦ. καὶ γάρ, φησιν, ὁ σωτὴρ τῷ Ἰωάννου βαπτίσματι Πέτρον καὶ τοὺς ἄλλους μαθητὰς βεβαπτισμένους

* καθάρσεως, M. M.

EVLOGIVS.

Et carnem tunc vocauit Deus generationem hominum: *Non maneat*, inquit, *Spiritus meus in illis, quia caro sunt.* Quia toti carni & prauis cogitationibus, & aliis peccatis dediti, verè quem acceperant spiritum ad similitudinem Dei, tunc in carnem cõuertebant. Sic quidem, vt dicit Eulogius Archiepiscopus, Lamech damnatus fuerit, plures vero patres per promissionem & pœnitentiam, veniam peccati illum aiunt reperisse.

Gen. 6. 3.

Cum Petri principis Apostolorum negationem & pœnitentiam, ad redarguendam insaniã Nouatianorum proferimus, respondere conãtur, quod Petrus nõ perfectè baptizatus fuerit, baptismate videlicet * Ioannis: Spiritum vero sanctum nõdum acceperit. Nam hunc post resurrectionem quinquaginta elapsis diebus accepit. Sed contra illos asserere oportet, Ioannis etiam tunc perfectum fuisse baptisma, at postea vtentibus imperfectum fuisse, postquam Saluator modum baptizandi suis tradens discipulis dixit: *Euntes docete omnes gentes, baptizantes eos in nomine Patris, & Filij, & Spiritus S.* Quando igitur mysticum hoc baptisma traditum fuit, tunc Ioannis Baptisma cessauit, & qui sic postea baptizarunt, imperfectè baptizarunt, Domini traditionem contemnentes. Prius vero perfectum fuit, idque ostenditur, quia illos, quos Ioannes baptizauit, iterum baptizatos fuisse nullibi legitur. Iesus enim, inquit, neminem baptizauit, sed eius discipuli. Vnde rursum apparet perfectum fuisse. Dehinc quia Saluator eo baptismo baptizari non est dedignatus, ostendit perfectum fuisse Ioannis baptisma, ipse, vt constat, purificatione non indigens, sed factus purificatio aquarum & sanctificatio, & perfectio iis qui tunc baptizabantur. Accessum verò ad Christi notitiam illi qui tunc baptizati erant, baptisma acceperunt. Cum enim baptizarentur in nomine eius qui venit, quæsierunt deinceps, quis esset ille, qui venit, & quærentes inuenerunt, & instituti sunt, & accedentes ad Christum, non aliud baptisma acceperunt, sed solum præcepta receperunt; quamdiu vero Christus per Crucem nondum glorificatus fuit, perfectum erat Ioannis baptisma, postea non amplius. Ideo & Apollo baptizatum à Ioanne, cum baptismus eius adhuc valeret, nemo rebaptizauit: Sed Priscilla & Aquila, cum adesset Ephesi ex patria Alexandria, assumpserunt quidem eum, & Christi doctrinam accuratius docuerunt, sed baptizare non ausi sunt. Ab illo autem baptizatos, quia post Domini ascensum in cœlos Ioannis baptismate baptizati erant. non enim amplius erat venturus Christus, sed iam venerat, & omnem dispensationem impleuerat; & proprium baptisma dederat: merito hos inueniens Paulus, & quia neque an Spiritus sanctus esset sciuerant, Dominico baptismate rebaptizari curauit. Et multis autem, inquit, licet colligere, Ioannis baptisma perfectum fuisse, antequam Dominus suum traderet. Nam Christus Petrum, inquit, & alios discipulos Ioannis baptismo baptizatos,

* Ioannis baptisma quale. Vide P. Maldonatum aliosque Theologos.

Matth. 28. 19.

Ioan. 4. 2.

Matth. 3. 13.

EVLOGIVS. tempore passionis tremendis sacramentis dignatus est, non communicaturus illis immaculatum corpus & sanguinem, nisi perfectum Ioannis baptisma largitus fuisset. Sed & quum Petrus recusauit lauari pedes, audit Saluatorem dicentem :
Ioan. 13. 10. *Qui lotus est, non indiget, vt iterum lauetur, sed est mundus totus, & vos mundi estis.* Vnde, Qui Ioannis baptismate suo tempore baptizatus erat, secundo baptismate non indiguisse ostenditur : & facultatem habuisse illo baptizatos reddere mundos. Et vero sic Eulogius, cum plurimi patres ostendant Ioannis baptisma omnino fuisse imperfectum.

Act. 19. Quod dictum est in Actis de iis qui Baptismum Ioannis accepissent : *His auditis, baptizati sunt in nomine Domini Iesu*, hoc est, inquit, quia baptizati sunt iuxta traditionem, doctrinámque Domini IESV. Quare & alibi cum di-
Rom. 6. 3. cit : *In Christo vel in morte Christi baptizati sunt*, eundem sensum debemus intelligere significari : hoc est, in nomine *Patris & Filij, & Spiritus sancti* baptizati sunt. Sic enim docuit & tradidit Iesus Christus Dominus noster, vt baptisma fieret.

Apostolus, inquit, maiorem quandam commiserationem ostendens erga Israëlitas, qui nondum crediderunt, ait :
Rom. 9. 3. *Optabam enim ego ipse anathema esse*, &c. hoc est, cupiui, inquit, ego condemnari, solum vt conuerterentur filij Israël ad Dominum.

Paulus, inquit, timens Galatarum casum, ait : *Timeo, ne forte sine causa laborauerim in vo-*
Gal. 4. 11. *bis.* Deinde subdit : *Estote sicut ego, & ego sicut vos.* O summam Apostoli commiserationem: quæ tantum se demittit, quantum peccatores ceciderant, vt demissione lapsos ad proprium statum reduceret.

Gal. 4. 19. *Filiolos*, inquit, Apostolus lapsos vocat, *quos se iterum parere dicit, donec formetur in illis Chri-*
1. Ioan. 2. 12. *stus.* Tales & Ioannes *filiolos* vocat : *Scribo vobis*, inquit, *filioli, quoniam remittuntur vobis peccata propter nomen eius.* Postquam vero conuersione [virtutibus] perfecti essent, non amplius eos *filiolos* vocat, sed *patres*, & *fratres.* Addit enim : *Scribo vobis, patres, quia cognouistis eum, qui ab initio est, scribo vobis adolescentes, quia vicistis malignum.*

Proferunt, inquit, Nouatiani dictum Apo-
Heb. 6. 4. stoli hoc : *Eos qui semel sunt illuminati, gustauerunt etiam donum cœleste, & participes facti sunt Spiritus Sancti, gustauerunt nihilominus bonum Dei verbum, & prolapsi sũt, rursus renouari ad pœnitẽtiã.* & quod ad Hebræos scribit credentes, patet ex ipsis verbis epistolæ : imo vero plurimi ex Iudæis fidelibus, & ad Christum accesserunt, & Legẽ Iudaicã seruarũt, ideoque diuersis vsi sũt baptismatis. Ad illos igitur se conuertens Paulus, & à cæteris, excepto vno baptismo, eos dehortatus, hoc dixit. Nequaquam vero pœnitentiam, quod absit, quam sæpe alias prædicauit, vt auferret. Quod ergo iam dixit, tale est : impossibile est eos qui illuminati sunt,

κατὰ τὸν καιρὸν τοῦ πάθους ἠξίωσε τῶν φρικτῶν μυστηρίων· οὐκ ἂν μεταδοὺς τοῦ ἀχράντου σώματος αὐτοῖς καὶ τοῦ αἵματος, εἰ μὴ τέλειον αὐτοῖς τὸ Ἰωάννου ἐνεχάριστο βάπτισμα. ἀλλὰ καὶ ὅτι Πέτρος παρῃτεῖτο τοὺς πόδας νίψασθαι, ἀκούει παρὰ τοῦ σωτῆρος· ὁ λελουμένος, οὐ χρείαν ἔχει *πάλιν λούσασθαι, ἀλλ' ἔστι καθαρὸς ὅλος· καὶ ὑμεῖς καθαροί ἐστε. διὸ καὶ, ὅτι ὁ τὸ τοῦ Ἰωάννου ἐν καιρῷ βαπτισθεὶς βάπτισμα οὐ δεῖται δευτέρου βαπτίσματος, ἐπιδείκνυται· καὶ ὅτι δύναμιν εἶχε τοὺς βεβαπτισμένους ὑπ' αὐτοῦ ἀποφαίνειν καθαρούς. ἀλλ' οὕτω μὲν ὁ Εὐλόγιος, τῶν πλείστων πατέρων ἀτελὲς δι' ὅλου τὸ Ἰωάννου βάπτισμα δεικνυόντων.

* Libri etiam τὰς πόδας.

Ὅτι τὸ ἐν ταῖς Πράξεσιν εἰρημένον περὶ τῶν ἐχόντων τὸ Ἰωάννου βάπτισμα· Ὅτι ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ κυρίου Ἰησοῦ· τοῦτό ἐστι, φησὶν, ὅτι ἐβαπτίσθησαν κατὰ τὴν παράδοσιν καὶ διδασκαλίαν τοῦ Κυρίου Ἰησοῦ, ὥστε καὶ ἀλλαχοῦ, ὅταν λέγῃ· ὅτι εἰς Χριστὸν ἢ εἰς θάνατον τοῦ Χριστοῦ ἐβαπτίσθησαν· τὴν αὐτὴν ἔννοιαν ὀφείλομεν ἐννοεῖν δηλοῦσθαι· τουτέστιν, ὅτι εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐβαπτίσθησαν. οὕτω γὰρ ἐδίδαξε καὶ παρέδωκε βαπτίζειν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός.

Ὅτι, φησὶν, ὁ ἀπόστολος πλεῖόν τι τῆς συμπαθείας ἐνδεικνύμενος περὶ τοὺς μηδέπω πεπιστευκότας Ἰσραηλίτας, φησίν· ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι, καὶ τὰ ἑξῆς. ἀντὶ τοῦ ἤθελον, φησιν, ἐγὼ ἐν κατακρίσει γενέσθαι· μόνον ἵνα ἐπιστρέψωσιν οἱ υἱοὶ Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Ὅτι Παῦλος, φησι, δεδοικὼς τὴν Γαλατῶν ἔκπτωσιν, φοβοῦμαι, μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς, φησιν· εἶτα ἐπάγει, Γίνεσθε ὡς ἐγὼ, ὅτι κἀγὼ ὡς ὑμεῖς. ὢ συμπάθεια ἀποστόλου. τοσοῦτον συγκαταβαίνουσα, ὅσον οἱ ἡμαρτηκότες καταπεπτώκασιν· ἵνα τῇ συγκαταβάσει τοὺς πεσόντας εἰς τὸ οἰκεῖον μέτρον ἐπαναγάγῃ.

Ὅτι τεκνία, φησὶν, ὁ ἀπόστολος τοὺς παραπεσόντας λέγει, οὓς καὶ ὠδίνειν πάλιν φησὶν, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν αὐτοῖς. τοὺς τοιούτους καὶ ὁ Ἰωάννης τεκνία καλεῖ, γράφων ὑμῖν λέγω, τεκνία, ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι, διὰ τὸ ὄνομα αὐτοῦ. ὅταν δὲ λοιπὸν διὰ τῆς ἐπιστροφῆς τελειωθῶσιν, οὐκέτι τούτους καλεῖ τεκνία, ἀλλὰ πατέρας καὶ ἀδελφούς. ἐπιφέρει γάρ· ἔγραψα ὑμῖν πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς· ἔγραψα ὑμῖν νεανίσκοι, ὅτι νενικήκατε τὸν πονηρόν.

Ὅτι προφέρουσι, φησιν, οἱ ἀπὸ Ναυάτου τὸ ἀποστολικὸν ῥητὸν, τὸ φάσκον· τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους δὲ τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γεγονότας πνεύματος ἁγίου, καὶ καλῶν γευσαμένους ῥημάτων θεοῦ, καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν. καὶ ὅτι μὲν πρὸς Ἑβραίους γέγραφε πεπιστευκότας, δῆλον ἐξ αὐτοῦ τοῦ τῆς ἐπιστολῆς ῥητοῦ. πλὴν οἵγε πλεῖστοι τῶν τότε πεπιστευκότων Ἰουδαίων, καὶ τῷ Χριστῷ προσιόντων, καὶ τὰς νομικὰς καὶ ἰουδαϊκὰς παρατηρήσεις τὰς πλείστας ἐφύλαττον. διὸ καὶ διαφόροις ἐχρῶντο βαπτίσμασι. πρὸς γοῦν ἐκείνους ἀποτεινόμενός, φησιν, ὁ θεσπέσιος Παῦλος, καὶ τῶν ἄλλων παρὰ τὸ ἓν βάπτισμα τούτους ἀπάγων τέθεικε τὸ ῥητὸν, οὐχὶ δὲ (μὴ γένοιτο) τὴν μετάνοιαν, ὃ πολλαχοῦ ταύτην καὶ πολλάκις κηρύξας, ἀναιρεῖν. ὃ γοῦν λέγει διὰ τοῦ ῥητοῦ, τοιοῦτόν ἐστιν. ἀδύνατόν, φησι, τοὺς ἅπαξ φωτισθέντας,

πάλιν

πάλιν δεύτερον βάπτισμα προσδοκᾶν. ἅπαξ γὰρ ὁ χριστὸς ἐπὶ συντελείᾳ τῶν αἰώνων ἔπαθεν· ὅθεν καὶ εἰς τὸν θάνατον αὐτοῦ βαπτιζόμεθα. συνετάφημεν οὖν αὐτῷ βαπτισμῷ καὶ συνηγέρθημεν. ὁ γοῦν ζητῶν φυλάττειν τὰ νομικὰ βαπτίσματα, ἀνασταυροῖ τὸν υἱὸν τοῦ θεοῦ, καὶ παραδειγματίζει τὸν ἅπαξ σταυρωθέντα. εἰ δ' ἦν πλείονα βαπτίσματα, ἔδει καὶ τὸν χριστὸν πολλάκις παθεῖν. νυνὶ δὲ ἅπαξ πεπονθώς, οὐκ εἰς χειροποίητα ἅγια εἰσῆλθεν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ ὑπὲρ ἡμῶν. ἀδύνατον οὖν, τοὺς ἅπαξ εἰς τὸν θάνατον αὐτοῦ φωτισθέντας, ἐκ δευτέρου εἰ καὶ πλεονάκις βαπτίζεσθαι, καὶ ἀνασταυροῦν πειρᾶσθαι τὸν υἱὸν τοῦ θεοῦ. ἐγκαλεῖ γοῦν τοῖς ἰουδαίοις τοῦτο τολμῶσι, καὶ ἐπὶ τὰ νομικὰ ἐπανιοῦσι βαπτίσματα, ἃ οὐ δύναται ψυχὴν καθαρίσαι. διὸ καί φησιν· ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ, καὶ τὰ ἑξῆς. στοιχεῖα δὲ τῆς ἀρχῆς τῶν λογίων τοῦ θεοῦ, ἡ εἰς αὐτὸν ἐπίγνωσις. οἷον, τοὺς προσιόντας τῷ χριστῷ, δεῖ πρῶτον ἀποστῆναι τῶν ἁμαρτημάτων, οἷς ἐνείχοντο· τουτέστιν, ἀναχωρεῖν τῶν νεκρῶν ἔργων. δεύτερον, τὴν ἀπολύτρωσιν τῶν προτέρων ἁμαρτημάτων διὰ τοῦ βαπτίσματος δέξασθαι· καὶ δεξαμένους ἐν πίστει τοῦτο, διδαχὴν μανθάνειν. τοῦτο μὲν, τίνα ἦν τὰ ἰουδαϊκά. τί δὲ τὸ σωτήριον; εἶτα κατὰ προκοπὴν ἰόντας, ἀξιοῦσθαι τῆς τοῦ παναγίου πνεύματος ἐπιφοιτήσεως, ἥτις διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων ἐγίνετο· διδάσκεσθαί τε τὴν τῶν νεκρῶν ἀνάστασιν, καὶ τὸ μέλλον κριτήριον. αὕτη τοίνυν ἡ διδασκαλία, ἀπαρχὴ τῆς τῶν πιστευόντων μαθήσεως γίνεται. ἣν οἱ ἐξ ἰουδαίων δεξάμενοι, καὶ τῷ πολλῷ χρόνῳ διδάσκαλοι ἑτέρων ὀφείλοντες εἶναι, καὶ τελειοῦν ἄλλους· αὐτοὶ μαθήσεως πάλιν δέονται. ἀλλ' ὅμως, φησὶν, εἰ καὶ αὐτοὶ γεγόνατε, ὥστε πάλιν δεῖσθαι μαθεῖν, τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ χριστοῦ· ἀλλ' ἡμεῖς οὐ τὴν ἀρχὴν πάλιν τῆς πίστεως ὑμᾶς ἐκδιδάξομεν. φησὶ γάρ· διὸ τὸν τῆς ἀρχῆς τοῦ χριστοῦ λόγον ἀφέντες, ἐπὶ τὴν τελειότητα φερόμεθα. οὐ χρὴ γὰρ ἡμᾶς πάλιν εἰς τὰ στοιχεῖα τῆς ἀρχῆς ἀνάγειν ὑμᾶς· ἵνα μὴ δόξωμεν πάλιν ἕτερον θεμέλιον καταβάλλεσθαι· οὐ γάρ, φησι, μὴ πάλιν θεμέλιον καταβαλλόμενοι [μετανοίας] ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ θεὸν, βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν, καὶ κρίματος αἰωνίου. τοῦτο τοιγαροῦν δηλοῖ τό· διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ θεοῦ λόγον, καὶ τὰ ἑξῆς. τὸ δὲ, καὶ τοῦτο ποιήσομεν, ἐὰν ἐπιτρέπῃ ὁ κύριος, εἰς τὸν αὐτὸν συντείνει νοῦν. τὸ μηκέτι, φησὶν, ἀπάρχεσθαι τῆς στοιχειώδους διδασκαλίας ὑμῖν, ἥνπερ κατ' ἀρχὰς οἱ τῷ βαπτίσματι προσιόντες ἐδιδάσκοντο· ἀλλ' ἐπὶ τὴν τελειότητα ἀναγόμεθα. εἰ γὰρ καὶ ἀλισθήσατε, ἀλλ' οὐ δύνασθε θεμέλιον πίστεως πάλιν δέχεσθαι, οὐδὲ βάπτισμα δεύτερον, οὐδὲ χειρῶν ἐπιθέσεις. οὕτως οὖν ἀφίησι τὴν τοιαύτην στοιχειώδη διδασκαλίαν ὁ Παῦλος, καὶ ἐπὶ τὴν τελειότητα ἔρχεται, τὴν ἱερωσύνην τοῦ σωτῆρος διηγούμενος. καὶ ταύτην κατὰ μέρος διέξεισι, καὶ ὅπως κατὰ τὴν τάξιν Μελχισεδὲκ τυγχάνει ὁ κύριος ἀρχιερεύς. τὸ τοίνυν βούλημα τοῦ ἀποστολικοῦ ῥητοῦ, ὡς πολλάκις εἴρηται, οὐδὲν (κἂν αὐτὸ προφέρωσι) τοῖς ναυατιανοῖς συμφωνεῖ.

iterum secundum baptisma exspectare. Semel enim Christus in consummatione sæculorum passus est, vnde & in morte eius baptizamur. *Consepulti enim sumus illi in baptismo, & simul resurreximus.* Rom. 6. 4. Qui enim quærit seruare baptismata legis, iterum Filium Dei crucifigit, & ostentui habet semel crucifixum. Si vero essent plures baptismi, oportuisset Christum etiam sæpius pati: nunc vero semel passus, non manu factum sanctuarium intrauit, sed in ipsum cœlum, nunc vt appareret coram Deo pro nobis. Impossibile est igitur eos, qui semel illuminati sunt in morte eius, secundo, vel sæpius baptizari, & conari iterum crucifigere Filium Dei. Accusat igitur Iudæos, qui hoc audeant, & ad legis baptismata reuertuntur, quæ animam mundare non valent, ideoque dicit: Heb. 5. 12. *Cum deberetis magistri esse propter tempus, rursum indigetis, vt vos doceamini, quæ sint elementa exordij sermonum Dei &c. Elementa autem exordij sermonis Dei* est Dei cognitio: vt, oportet accedentes ad Christum primum peccatis renunciare, quibus constringebantur, hoc est seiungi ab operibus mortuis. Secundo redemptionem priorum peccatorum per baptismum accipere, & hoc in Fide recipientes doctrinam discere. Quid nimirum Iudaicum fuerit, quid vero salutare? Deinde, progressione facta, dignos reddi aduentu sancti Spiritus, quid per impositionem manuum Apostolorum fiebat, docerique mortuorum resurrectionem, ac futurum iudicium. Hæc igitur doctrina initium disciplinæ credentium est. quam cum à Iudæis oriundi receperint, & receptam alios docere debuerint, & illos perfectos reddere, ipsi contra iterum disciplina indigent. Veruntamen, inquit, etsi tales estis, vt rursum discere debeatis, quænam sint elementa exordij sermonis Dei, nos non rudimenta fidei iterum vos docebimus. Ait enim: Heb. 6. 1. *Quapropter intermittentes inchoationis Christi sermonem, ad perfectionem feramur.* Non oportet iterum vos reducere ad elementa initij, ne videamur aliud fundamentum iacere. Ait enim: *Non rursum iacientes fundamentum pœnitentiæ ab operibus mortuis, & fidei ad Deum, baptismatum doctrinæ, impositionis quoque manuum, resurrectionis mortuorum & iudicii æterni.* Hoc igitur significat illud: Ibid. v. 3. *Quapropter intermittentes inchoationis Christi sermonem*, &c. & illud: *Et hoc faciemus, si quidem permiserit Deus.* Eiusdem sensus est, non amplius incipiendum à doctrina elementali vobis, quam initio baptizati didicerũt, sed ad perfectionem feramur. Etsi enim lapsi estis, non potestis fundamentũ fidei iterũ recipere, nec Baptisma secundum, neque manuum impositiones. Sic igitur omittit elementalẽ illam doctrinã Paulus, & ad perfectionem venit, Saluatoris sacerdotium narrans. Et hoc singulatim prosequitur, & quomodo secundum ordinem Melchisedech Dominus sit sacerdos. Heb. 5. Sententia igitur dicti Apostoli, vt sæpe diximus (etsi illud pro se adducant) pro Nouatianis non facit.

EVLOGIVS. sed ostendit eum, qui semel illuminatus sit, non indigere secundo baptismo. *Qui enim lotus est*, vt Dominus ait, *non indiget nisi vt pedes*
Ioan. 13. 10. *lauet*, hoc est, non iterum baptismate indiget postquam peccauit, sed vt lachrymis pedes lauentur, hoc est carnis gressus.

Matth. 10. 11. Luc. 10. 8. Domini, inquit, præceptum: *In quamcumque ciuitatem intraueritis, & susceperint vos, manducate quæ apponentur vobis*, [nihil diiudican-
1. Cor. 10. 31. tes] conuenit cum illo Apostoli: *Si quis vocat vos infidelium, & vultis ire, omne quod vobis apponitur, manducate, nihil interrogantes.*

Nouatiani explicationi prius allati dicti repugnantes, de iis intelligi asserunt, qui secundum baptisma requirunt, non autem de secundo baptismate. Impossibile enim esse ait per pœnitentiam renouari eos, qui semel illuminati sint, & postea lapsi, non autem per Baptisma. Baptismus autem à pœnitentia multum differt. Baptismus enim donum & gratia est, & felix peccatorum remissio, Pœnitentia vero miseratione, lachrymis, & ab ore suum opus peragit. Sic quidem illi dicunt, & nusquam Baptisma vocari pœnitentiam inueniri. quod vero dicunt, licet multum inter se Baptismus & pœnitentia differant, ostenditur tamen ante Baptisma, & post Baptisma pœnitentiæ nomen vsurpari. Si quis enim priori vitæ rationi non renunciat, & vitam quæ credenti conueniat, ante oculos posuerit, sicque ad Baptisma accesserit, frustra accedit, de prioribus improbè factis non pœnitendo, & conuersionis vitæ in melius nullam rationem habendo. Sic igitur, etsi varia est pœnitentia, tamen ante Baptismum habet locum considerationis, & post Baptismum. Pœnitentiam igitur, quæ Baptisma præcedit, impossibile est, inquit, iterare, quia Baptisma nemo potest secundo accipere. Sic & Ioannes baptizans, quando Christi
Matth. 3. 11. discipulos baptizabat, dicit: *Ego quidem vos*
Luc. 3. 8. *baptizo in aqua* ad pœnitentiam: & iterum, *Facite vobis fructus dignos pœnitentiæ.* Videlicet pœnitentiæ per baptismum, & coryphæus, inquit, Apostolis loquens de iis, quæ in Christum contra legem admisissent: quando compuncti doctrina dixerunt: *Quid*, inquit,
Act. 2. 38. *faciemus, viri fratres? Pœnitentiam*, inquit, *agite, & baptizetur vnusquisque vestrum in nomine Patris, & Filij, & Spiritus sancti*, & cætera. Quare pœnitentiæ vox nihil eorum qu[illegible] voluerunt, tribuit Nouatianis.

Quod dictum est à Simone Mago coryphæo
Act. 8. 24. Petro: *Precamini vos pro me apud Deum, vt nihil veniat super me horum quæ dixistis*: Non erat, inquit, pœnitentiæ, nec ex affectu. Nam precati essent, & veniam dedissent. Vidit vero magis Petrus, Spiritu sancto reuelante, mentem illius subsannationem esse & fraudem.

An ignorantis quia quicunque baptizati sumus
Rom. 6. 3. *in Christo* IESV, *in morte ipsius baptizati sumus?* In Christo IESV baptizari significat, secundum præceptum, & traditionem IESV Christo baptizari: hoc est in Patre, & Filio,

ἀλλὰ θεσπίζει, τὸν ἅπαξ φωτισθέντα, μὴ περιεργάζεσθαι δεύτερον βάπτισμα. ὁ λελουμένος γὰρ, ὡς καὶ ὁ κύριός φησιν, οὐκ ἔχει χρείαν λούσασθαι, ἀλλ᾽ ἢ τοὺς πόδας, τουτέστιν, οὐ πάλιν βάπτισμα χρείαν ἔχει, μετὰ τὸ ἁμαρτῆσαι, δέξασθαι· ἀλλ᾽ ἢ διὰ δακρύων ἀποκαθαρθῆναι τοὺς πόδας, ἤτοι τὰ σαρκικὰ διαβήματα.

Ὅτι, φησὶν, ἡ κυριακὴ ἐντολὴ, ἡ λέγουσα. Εἰς ἣν δ᾽ ἂν πόλιν εἰσέρχησθε, καὶ δέχωνται ὑμᾶς, πάντα τὰ παρατιθέμενα ὑμῖν ἐσθίετε, [μηδὲν ἀνακρίνοντες·] αὕτη σύνδρομός ἐστι τῷ ἀποστολικῷ ῥητῷ, ἐν ᾧ φησιν· εἰ δέ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων, καὶ βούλεσθε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνοντες.

Ὅτι, φησὶν, ἀντιπίπτοντες οἱ ἀπὸ Ναυάτου τῇ * * al. ἀνακρίσει.
ἀναπτύξει τοῦ προειρημένου ῥητοῦ περὶ τὸ δεύτερον ἐπιζητοῦντων βάπτισμα, φασὶν οὐ περὶ δευτέρου βαπτίσματος τοῦτο εἰρῆσθαι· εἰς μετάνοιαν γάρ φησιν ἔσεσθαι ἀνακαινίζεσθαι τοὺς ἅπαξ φωτισθέντας καὶ παραπεσόντας ἀδύνατον εἶναι, οὐχὶ εἰς βάπτισμα. βάπτισμα δὲ καὶ μετάνοια πάντη διέστηκε. τὸ μὲν Βάπτισμα.
γὰρ δωρεὰ καὶ χάρις ἐστὶ, καὶ ἄφεσις ἀπαλαίπωρος τῶν ἡμαρτημένων· ἡ δὲ μετάνοια, ἐλέῳ καὶ δάκρυσι καὶ καμάτῳ τὸ οἰκεῖον ἔργον περαίνει. οὕτω μὲν ἐκεῖ- μετάνοια.
νοί φασι, καὶ ὅτι οὐδαμοῦ τὸ βάπτισμα καλούμενον εὕρομεν μετάνοιαν. ὃ δέ φασιν, ὡς εἰ καὶ πολλὴ διαφορὰ μεταξὺ βαπτίσματος καὶ μετανοίας, ἀλλ᾽ οὖν δείκνυται, ὅτι καὶ πρὸ βαπτίσματος, καὶ μετὰ τὸ βάπτισμα, τὸ τῆς μετανοίας ὄνομα παραλαμβάνεται. εἰ γάρ τις μὴ ἀποτάξεται τῷ προτέρῳ βίῳ, καὶ πολιτείαν ἁρμόζουσαν τῷ πιστῷ πρὸ ὀφθαλμῶν θείη, καὶ οὕτω τῷ βαπτίσματι προσέλθοι, μάτην προσέρχεται, ἀμετανοήτως ἔχων ἐπὶ τοῖς προτέροις αὐτῷ πεπονηρευμένοις, καὶ πρὸς ἐπιστροφὴν ἀμείνονος βίου οὐδένα ποιούμενος λόγον. οὕτως οὖν εἰ καὶ διάφορος ἡ μετάνοια, ἀλλ᾽ οὖν καὶ πρὸ τοῦ βαπτίσματος ἔχει χώραν ἐννοεῖσθαι, καὶ μετὰ τὸ βάπτισμα. τὴν γοῦν μετάνοιαν τὴν πρὸ τοῦ βαπτίσματος, ἀδύνατον ἐκ δευτέρου, φησὶ, κατεργάσασθαι· ὅτι μηδὲ τὸ βάπτισμα δυνατόν ἐστι δεύτερόν τινα δέξασθαι. οὕτω καὶ Ἰωάννης βαπτίζων, ὅτε καὶ τοὺς τοῦ κυρίου μαθητὰς ἐβάπτισε, λέγει· ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι, εἰς μετάνοιαν. καὶ πάλιν τοῖς ὄχλοις· ποιήσατε ὑμῖν καρποὺς ἀξίους τῆς μετανοίας· δηλονότι τῆς κατ᾽ αὐτό φησι τὸ βάπτισμα μετανοίας. καὶ ὁ κορυφαῖος, φησὶ, τοῖς ἀποστόλοις διαλεγόμενος περὶ τῶν εἰς Χριστὸν αὐτοῖς παρανομηθέντων, ὅτε κατανυγέντες τῇ διδασκαλίᾳ εἶπον· τί ποιήσωμεν ἄνδρες ἀδελφοί; ἔφη αὐτοῖς· μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐν τῷ ὀνόματι [τοῦ κυρίου] Ἰησοῦ Χριστοῦ, καὶ τὰ ἑξῆς· καὶ μυρία ἄλλα. ὥστε ἡ τῆς μετανοίας λέξις οὐδὲν, ὧν ἐβούλοντο, δίδωσι τοῖς Ναυατιανοῖς.

Ὅτι τὸ παρὰ τοῦ Σίμωνος μάγου εἰρημένον τῷ κορυφαίῳ Πέτρῳ· δεήθητε οὖν ὑμεῖς ὑπὲρ ἐμοῦ, ὅπως μηδὲν ἐπέλθῃ μοι ὧν εἰρήκατε· οὐκ ἦν μετανοίας, φησὶν, οὐδὲ ἐκ διαθέσεως. ἢ γὰρ ἂν καὶ ἐδεήθησαν, καὶ συγγνώμης μετεσχήκει. εἶδε δὲ μᾶλλον ἐκ τοῦ ἁγίου πνεύματος τὰ τῆς αὐτοῦ διανοίας ὁ Πέτρος, ὡς χλεύης καὶ ἀπάτης τὰ ἐκείνου παρέδραμε ῥήματα. Ὅτι τὸ, ἢ ἀγνοεῖτε, ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; τὸ μὲν εἰς Χριστὸν Ἰησοῦν βαπτισθῆναι, σημαίνοι ἂν τὸ κατὰ τὴν ἐντολὴν καὶ παράδοσιν τοῦ Χριστοῦ Ἰησοῦ βαπτισθῆναι· τουτέστιν, εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον

καὶ ἅγιον πνεῦμα· τὸ δὲ εἰς τὸν θάνατον αὐτοῦ, τυπῶντες ἐν τῷ βαπτίσματι τὸν θάνατον αὐτοῦ.

Ὅτι προφερόμενοι παρὰ τοῖς Ναυατιανοῖς τό· ἑκουσίως γὰρ ἡμῶν ἁμαρτανόντων, μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς (μετανοίας καὶ) ἀληθείας· οὐκ ἔτι περὶ ἁμαρτιῶν ὑπολείπεται θυσία, φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ τὰ ἑξῆς. τοῦτο οὖν τὸ ῥητὸν εἰς ἀναίρεσιν τῆς μετανοίας προβαλλόμενον ἐπιλύεται, καί φησιν· ὅτι ἐνταῦθα οὐχ ἁπλῶς θυσίαν ἀποξενοῖ, ἀλλὰ νομικὴν θυσίαν· καὶ οὐχ ἁπλῶς ἀπαγορεύει, ἀλλὰ καὶ κρίσιν ἐσχάτην ἀπειλεῖ τοῖς μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας, καὶ τῆς μυστικῆς θυσίας τὴν ἀπόλαυσιν, εἰς ἐκείνην τὴν νομικήν, τὴν διὰ μόσχων καὶ ταύρων τελουμένην, ἐπανιοῦσι. τοῦτο λέγειν φησὶ τὸν ἀπόστολον, ἀφιστᾶν σπουδάζοντα τοὺς Ἰουδαίους, ἤδη Χριστῷ προσεληλυθότας, ἀπὸ τῆς νομικῆς παρατηρήσεως. ὥσπερ οὖν τὰ νομικὰ βαπτίσματα κωλύει τούτους ἐπιτελεῖν, οὕτω καὶ τὰς ἐναίμους θυσίας. καὶ γὰρ τὸ Ἑβραίων γένος ἁμαρτάνοντες, πρότερον μὲν ἡγνίζοντο· εἶτα βαπτίσμασιν ἀπελούοντο· καὶ λοιπὸν ἤδη τὰς ὑπὲρ τῶν ἡμαρτημένων θυσίας προσέφερον. ὧν αὐτοὺς ἀπάγων ὁ ἀπόστολος, καὶ τὴν ἀπειλὴν φοβερὰν ἐπήνεγκε. καὶ γὰρ ἔδει τῆς ἀληθινῆς θυσίας ἅπαξ ἐπὶ συντελείᾳ τοῦ αἰῶνος ὑπὲρ ἁμαρτιῶν προσενεχθείσης, ἤτοι τοῦ ἀμνοῦ τοῦ θεοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου σφαγιασθέντος, μηκέτι ὑπολελεῖφθαι, ἀλλ' ὅλως πεπαῦσθαι τὰς πολλὰς καὶ τυπικὰς θυσίας ὑπὲρ ἁμαρτιῶν προσφερομένας. ἀδύνατον γάρ, ὡς *αὐτὸς ὁ ἀπόστολός φησι, πάλιν αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας, ἅπαξ τοῦ *ἀμνοῦ τοῦ θεοῦ προσενεχθέντος· μιᾷ γὰρ προσφορᾷ τετελείωκε, φησιν, εἰς τὸ διηνεκὲς τοὺς ἁγιαζομένους. ὃν οὖν τρόπον εἴρηκεν ἀδύνατον, αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας· τὸν αὐτὸν καὶ τὸ ἐπαγόμενον ἔφη· ὅτι, ἑκουσίως ἡμῶν ἁμαρτανόντων μετὰ τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκέτι περὶ ἁμαρτιῶν ὑπολείπεται θυσία, καὶ τὰ ἑξῆς. καὶ γὰρ καὶ ἡ παρ' ἡμῶν ἐπιτελουμένη τοῦ σώματος τοῦ κυρίου φρικτὴ τελετή, οὐ θυσιῶν ἐστι (καὶ) διαφόρων προσαγωγή, ἀλλὰ τῆς ἅπαξ προσενεχθείσης θυσίας ἀνάμνησις. τοῦτο γάρ φησι ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. καὶ ὁσάκις γὰρ τοῦτο ποιοῦμεν, τὸν θάνατον τοῦ κυρίου καταγγέλλομεν. ταῦτα μὲν ὁ τῆς Ἀλεξανδρείας Εὐλόγιος ἐπ' ἀνατροπῇ τῆς Ναυατιανῆς δόξης ἀντέφησεν.

* ἐξ αὐτῆς. M M
* al. ἀμνοῦ.

Ἐκ τοῦ τρίτου λόγου.

Ὅτι ἀπαγορεύει, φησίν, ὁ κύριος ἐν τῷ παρόντι βίῳ διαχωρίζεσθαι τοὺς ἁμαρτωλοὺς ἀπὸ τῶν δικαίων· καὶ τοῦτο δῆλον, φησίν, ἐκ τῆς παραβολῆς, ἥτις λέγει· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα, καὶ τὰ ἑξῆς ἕως τοῦ, Θέλεις (οὖν) ἀπελθόντες συλλέξωμεν αὐτά; ὁ δέ φησιν, οὔ. μήποτε συλλέγοντες τὰ ζιζάνια, ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον. ἄφετε συναυξάνεσθαι *αὐτὰ ἕως τοῦ θερισμοῦ, καὶ τὰ ἑξῆς· αὕτη οὖν ἡ παραβολή, φησίν, ἀπαγορεύει πρὸ τῆς τοῦ αἰῶνος συντελείας διαχωρίζειν τοὺς ἁμαρτωλοὺς ἀπὸ τῶν δικαίων, κἂν οἱ τὰ Ναυάτου νοσοῦντες τοῦτο λέγωσιν, ὡς *καθαροὺς ἑαυτοὺς κρίνοντες τῶν ἄλλων ἀνθρώπων. εἰς τὸ αὐτὸ δὲ ἀφορᾷ καὶ τὸ παρὰ τοῦ βαπτιστοῦ εἰρημένον· Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ καὶ τὰ ἑξῆς· καὶ μυρία ἄλλα. Ὅτι τό, ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, τοὺς τότε φίλους φησὶ ποιήσασθαι τοὺς ἐν τῷ κόσμῳ τούτῳ πενομένους, πλουσίους δὲ παρὰ θεῷ

* [illegible] libr. alii.

& Spiritu sancto. illud autem: *In morte ipsius*, typo demonstrantes in baptismate mortem eius. EVLOGIVS.

Quod proferunt Nouatiani: *Voluntariè enim peccantibus nobis post acceptam notitiam veritatis, iam non relinquitur pro peccatis hostia, terribilis autem quædam exspectatio iudicij, &c.* Hoc igitur dictum ad tollendam pœnitentiam prolatum dissoluitur, cum ait; hic non simpliciter sacrificium amouet, sed legis sacrificium: & non simpliciter interdicit, sed & iudicium vltimum iis comminatur, qui post agnitionem veritatis, & mystici sacrificij fruitionem, ad illud legale per vitulos & tauros sacrificium reuertuntur. Hæc dicendo, ait, Apostolum auocare conatum Iudæos, qui iam Christo se adiunxerant, ab obseruatione legis. Quemadmodum ergo vetat eos Baptismata legis exequi, sic & cruenta sacrificia. Etenim Iudæi in peccatum lapsi, primum quidem purificabantur, deinde aqua abluebantur: denique offerebant victimas pro peccatis, à quibus auocans illos Apostolus, terribiles minas adfert. Etenim oportebat vera victima semel in consummatione sæculorum pro peccatis oblata, videlicet agno Dei tollente peccatum mundi occiso, non amplius reliqua esse, sed omnino cessare multa illa & typica sacrificia pro peccatorum expiatione. Fieri enim non potest, quemadmodum idem Apostolus ait, vt iterum sanguis taurorum & hircorum tollat peccata, cum semel agnus Dei oblatus sit. Vna enim oblatione, inquit, consummauit, in omnem perpetuitatem eos qui sanctificantur. quem igitur ad modum impossibile dixit, sanguinem hircorum & taurorum auferre peccata mundi, ad eundem modum & sequentia dicit: *Voluntarie peccantibus nobis post notitiam veritatis, iam non relinquitur pro peccatis hostia &c.* Etenim tremendum sacrificium corporis Dei, quod à nobis perficitur, non varia sacrificia producit, sed commemoratio est hostiæ semel oblatæ: *Hoc*, inquit, *facite in meam commemorationem.* & : *Quotiescunque enim hoc facimus, mortem Domini annunciamus.* Hæc omnia Eulogius Alexandrinus, ad refellendum Nouatianorum dogma dixit.

Hebr. 10. 26.

Hebr. 10. 26.

Luc. 22. 19.
1. Cor. 11. 26.

E LIBRO TERTIO.

Vetat, inquit, Dominus in hac vita separari peccatores à iustis, & hoc patet ex parabola, quæ dicit: *Simile est regnum cælorum homini seminanti bonum semen*, & reliqua, vsque ad illa, *Vis imus, & colligamus illa.* & ait. non, *ne forte colligentes zizania eradicetis cum eis simul & triticum: sinite vtraque crescere vsque ad messem, &c.* Hæc igitur parabola, inquit, vetat ante consummationem sæculi separari peccatores à iustis, etsi Nouati morbo affecti hoc dicant, seipsos tanquam puros aliis meliores iudicantes. Huc etiam pertinet, quod Baptista dixit: *Cuius ventilabrum in manu sua, & permundabit aream suam, &c.*

Matth. 13. 24.

Matth. 3. 12.

Facite vobis amicos de mammona iniquitatis, significat, facite vobis amicos, qui in mundo egent, & apud Deum diuites sunt,

Luc. 16. 9.

EVLOGIVS. Prouerb. 3. 9.

sed melius est illos comparare amicos de propriis laboribus: *Honora enim Deum de tua substantia*, & iustis laboribus. Si vero nihil superest ex iustis laboribus, tunc quæ ex iniquitate collegimus, iis eos amicos faciamus: *mammona enim iniquitatis* habendi cupiditatem vocat. Tales autem opes per pauperes accipit Deus, si modò caueamus, ne in posterum peccemus. Pulcrum enim, etsi per auaritiæ pecuniam, amicos possidere, vt cum vitam reliquerimus, non aliam habentes vitæ iustitiam propter beneficia à nobis in illos collata, in sua nos tabernacula eleemosynis affecti suscipiant. Si vero non ex mammona iniquitatis, id est, auaritiæ, benefacere voluerimus, quomodo quis credat, si accessissent è propriis laboribus nobis pecuniæ: fore vt illis indigentes commiserando subleuaremus? Si enim his quæ sine molestia laboréque iusto facile, & auara manu nobis accesserunt, adeo facile paratis, & alienis reuera, nulli pauperi benigne facimus, quomodo, de iis quæ & propria videntur esse, & laborum fructus sunt, alicui pauperum communicare quid credemur?

Amos 3. 12. Pastoris boni officium.

Dicit Propheta: *Quomodo si eruat pastor de ore Leonis duo crura, aut extremum auriculæ*: his innuitur, non oportere prorsus illum despicere, qui in diaboli os inciderit, sed sigillum quod homo in baptismate acceperit, eripiendum diabolo, ne ob extremum ouis ratione præditæ interitum puniamur. Quædam enim bruta animalia in aure, quædam in crure signantur. Propterea necesse est pastorem vel aurem, vel crus in numerando præbere, & exhibere Domino. Pastor vero ratione præditarum ouium, quandoquidem oues, quarum est pastor, signum per Baptismum, & confessionem fidei in animo acceperunt, & ibi Domini signum gestant, merito illud eripere diabolo, omni ratione conari debet, vt si aliis actionibus ouis esca fiat dæmonis, saltem sigillum fidei, quod in animo per Baptismum insculptum habemus, possit illinc ereptum tempore visitationis exhibere Deo: magnum argumentum præferens, non sua negligentia, & interitu oues amissas esse.

Ioan. 21. 15.

Interrogans Dominus Petrum: *Simon Iona diligis me plus his*, ipse qui nouit omnia, non interrogauit ad cognoscendum, sed cum pastorem illum constituturus esset, vt ostenderet quantam curam ouilis gerat, hoc fecit. idem enim qui se dominum ingenti amore prosequutum, in pastorem coaptauit, magnam sine dubio erga oues amorem præbuit: ideo & * tertio interrogauit, magnam erga ratione præditas oues curá ostendens. Deinde & gradum quendam ouium facit, primo iubens agnos pascere, deinde ouiculas: quæ enim oues fuerunt per aliqua peccata imminutæ à virtutis perfectione, ad ouiculas reuerterunt: & demum tertio perfectas oues producit. Agnis ergo assimilantur, qui adhuc lacte & elementis doctrinæ indigent: ouiculis vero, qui per aliqua peccata à perfectione deficiunt:

* Alia redditur ratio à Greg. Naz. Orat. in Epitaphio.

ἀλλ' ἄμεινον μὲν αὐτοὺς κτᾶσθαι φίλους ἐξ ἰδίων κόπων· τίμα γὰρ τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων. εἰ δὲ μὴ περίεστι τὰ ἐκ δικαίων πόνων, κἂν γοῦν ἃ ἐξ ἀδικίας συνελέξαμεν, δι' ἐκείνων αὐτοὺς (φίλους) ποιησώμεθα. μαμωνᾶν γὰρ ἀδικίας, τὴν πλεονεξίαν καλεῖ. δέχεται δὲ καὶ ταῦτα διὰ τῶν πενομένων ὁ θεὸς, εἰ μόνον τοῦ λοιποῦ τὸ ἁμαρτάνειν διαφυλαξαίμεθα. καλὸν γὰρ, κἂν διὰ τῶν τῆς πλεονεξίας χρημάτων, φίλους κτᾶσθαι. ἵνα ὅταν ἐκλίπωμεν, μηδὲν ἕτερον ἔχοντες ζωτικὸν δικαίωμα, δι' ὧν αὐτοὺς εὖ ἐποιήσαμεν, εἰς τὰς ἑαυτῶν ἡμᾶς σκηνὰς οἱ ἠλεημένοι ὑποδέξωνται. εἰ δὲ μηδὲ ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἤτοι τῆς πλεονεξίας, εὖ ποιεῖν ἐθελήσομεν· πῶς ἂν πιστευθείημεν, ὅτι εἰ περιῆσαν ἐξ οἰκείων κόπων ἡμῖν χρήματα, τούτοις ἂν τοὺς ἐνδεεῖς ἠλεήσαμεν; εἰ γὰρ ἃ χωρὶς μόχθου τινὸς καὶ πόνου δικαίου, ἐκ τῆς ῥᾴστης δὲ καὶ πλεονεκτικῆς χειρὸς, ἡμῖν περιεγένετο, τούτων οὕτω ῥᾳδίως κτηθέντων καὶ ἀλλοτρίων ὄντων κυρίως οὐδενὶ τῶν ἐνδεῶν μεταδιδόαμεν· ἃ καὶ οἰκεῖα δοκεῖ εἶναι καὶ πόνων καρποὶ, πῶς ἄν τινι τούτων μεταδοῦναι πιστευθείημεν;

Ὅτι ὁ προφήτης, φησὶ, λέγων· ὃν τρόπον ὁ ποιμὴν ἐκσπάσῃ ἐκ τοῦ στόματος τοῦ λέοντος * σκέλος, ἢ λοβὸν ὠτίου· αἰνίττεται διὰ τούτων· ὡς οὐ χρὴ παντελῶς ἀφορᾶν οὐδὲ τὸν ἐμπεσόντα εἰς αὐτὸ τὸ στόμα τοῦ διαβόλου. ἀλλὰ τὴν σφραγῖδα, ἣν ὁ ἄνθρωπος ἐν τῷ βαπτίσματι ἐδέξατο, ἐκσπᾶν προσήκει ἀπὸ τοῦ διαβόλου· ἵνα μὴ τὴν παντελῆ ἀπώλειαν τοῦ λογικοῦ προβάτου ζημιωθῶμεν. τῶν γὰρ ἀλόγων ἔνια μὲν ἐπὶ τοῦ ὠτὸς, ἄλλα δὲ ἐπὶ τοῦ σκέλους σφραγίζονται. διὸ ἀνάγκην ἔχει ὁ ποιμὴν ἢ τὸ οὖς, ἢ τὸ σκέλος, ἐν τῇ ἀπαριθμήσει παρέχειν, καὶ παραστῆσαι τῷ δεσπότῃ. ὁ δὲ τῶν λογικῶν προβάτων ποιμὴν, ἐπεὶ τὰ πρόβατα, ὧν ἐστι ποιμὴν, τὴν σφραγῖδα διὰ τοῦ βαπτίσματος καὶ τῆς ὁμολογίας τῆς πίστεως ἐπὶ τῆς ψυχῆς ἐδέξατο, κἀκεῖ τὸ σημεῖον τὸ δεσποτικὸν φέρει· εἰκότως ταύτην ἀποσπᾶν τοῦ διαβόλου, πολλὴν σπουδὴν ὀφείλει ποιεῖσθαι· ἵνα, εἰ καὶ ταῖς ἄλλαις πράξεσι κατάβρωμα γένηται τὸ πρόβατον τοῦ πονηροῦ, ἀλλ' οὖν κἂν γοῦν τὴν σφραγῖδα τῆς πίστεως, ἣν ἐνεσημάνθημεν διὰ τοῦ βαπτίσματος τῇ ψυχῇ, δυνηθῇ ἐκεῖθεν ἀποσπάσας ἐν καιρῷ ἐπισκοπῆς ἐπιδεῖξαι τῷ δεσπότῃ· μέγα σύμβολον ἐπιφέρων, τοῦ μὴ ἐκ τῆς ἰδίας ῥᾳθυμίας καὶ ἀπωλείας παραπολωλέναι τὰ πρόβατα.

* δύο σκέλη

Ὅτι ἐρωτῶν ὁ κύριος τὸν Πέτρον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; οὐκ αὐτὸς, ὁ πάντα εἰδὼς, θέλων μαθεῖν ἐπηρώτα· ἀλλ' ἐπεὶ ἔμελλεν αὐτῷ τὸ ποίμνιον καταπιστεύειν, ἵνα δείξῃ ὅσην ἔχει πρόνοιαν τοῦ ποιμνίου, τοῦτο ποιεῖ. ὁ γὰρ τὸν φίλτρῳ πολλῷ πρὸς τὸν δεσπότην ἀγαπώμενον ἐφιστῶν τῷ ποιμνίῳ, τὴν ὅσην περὶ τὰ πρόβατα διάθεσιν παρίστησιν ἀναμφιβόλως. διὰ τὴν αὐτὴν αἰτίαν καὶ τρίτον ἐρωτᾷ· τὴν πολλὴν περὶ τὰ λογικὰ πρόβατα ἐπιμέλειαν ἐνδεικνύμενος· ἅμα δὲ καὶ βαθμόν τινα τῶν ποιμαινομένων δεικνὺς, ἀρνία πρότερον ποιμαίνειν ἐγκελευόμενος· εἶτα * προβάτια· ἃ πρόβατα ὄντα διά τινα πταίσματα κατασμικρυνθέντα τῆς ἀρετῆς καὶ τῆς τελειότητος, εἰς προβάτια αὖθις ἐτράπη· καὶ λοιπὸν τὸ τρίτον, τὰ τέλεια ἐπιφέρει πρόβατα. ἀρνίοις γοῦν εἰκάζονται, οἱ ἔτι γάλακτος καὶ στοιχειώδους διδασκαλίας δεόμενοι· προβατίοις δὲ, οἱ διά τινα παραπτώματα κατασμικρυνθέντες τῆς τελειότητος·

Ioan. 21. 15.

προβάτοις

προβάταις δὲ, οἱ εἰς τὸ πλάτος ἀναβεβηκότες καὶ τῆς πίστεως καὶ τῆς πράξεων. καὶ σκόπει ὅπως προτάττει τὰ ἀτελῆ τῶν τελείων· προηγούμενος γὰρ τῷ δεσπότῃ σκοπὸς, ἡ τῶν ἁμαρτωλῶν σωτηρία· οὐ γὰρ ἦλθον, φησὶ, καλέσαι δικαίους· ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Ἐκ τοῦ δ' λόγου.

Ὅτι μέγα μὲν φησὶν ἄνθρωπος, καθ' ὃ εἰκὼν Θεοῦ, καὶ χερσὶ θείαις ἐπλάσθη· τίμιον δὲ ἀνὴρ ἐλεήμων διὰ τῶν διακονικὸν ἐντολῶν γίνεται· τὴν τιμὴν ἑαυτοῦ, δι' ὧν πράττει, κατασκευαζόμενος.

Philip. 3. 13. Ὅτι ὁ μακάριος, φησὶ, Παῦλος λέγων· Ἐγὼ οὐ λογίζομαι ἐμαυτὸν κατειληφέναι· ἓν δὲ, τῶν μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, καὶ τὰ ἑξῆς. εἶτα ἐπάγων. Ibid. v. 16. πλὴν εἰς ὃ ἐφθάσαμεν, (ἐν) τῷ αὐτῷ κανόνι στοιχεῖν. κανόνα λέγει τὸν κατὰ Θεὸν δρόμον, τὸν προαποδιδομένον. ποῖον τοῦτον; τὸ λήθην μὲν ποιεῖσθαι τῶν προκατορθωμένων, ἐπακμάζειν δὲ καὶ ἐπεκτείνεσθαι τοῖς ἔμπροσθεν, ὡς ἄρτι τῶν ἀγαθῶν πράξεων ἀπαρξαμένους, πάντοτε τὸ σήμερον καὶ ἐννοοῦντας καὶ λέγοντας ἑαυτοῖς, ἄχρις οὗ τὸ τέλος τῆς ζωῆς ἡμῖν ἐπιστῇ. δεῖ γὰρ μέχρι τότε τὸν κατὰ Θεὸν τρέχειν ἡμᾶς δρόμον, καὶ πρὸς τὸν ἀντίπαλον ἀνταγωνίζεσθαι.

Ὅτι εἰπὼν, φησὶν, ὁ ἀπόστολος· Κρεῖσσον γαμῆσαι ἢ πυροῦσθαι· πύρωσιν τὴν εἰς ἀσέλγειαν ἄγουσαν εἶπε. βέλτιον λέγων ἐννόμῳ γάμῳ τὸ ἀσθενὲς ψυχαγωγῆσαι τῆς φύσεως, ἢ τοῦτον ἐκκλίνοντα, διὰ τῆς πυρώσεως ἀναφλεγῆναι πρὸς ἀσέλγειαν.

Ὅτι τὸ, μηδεὶς πειραζόμενος λεγέτω, ὅτι ἀπὸ Θεοῦ πειράζομαι, καὶ τὰ ἑξῆς· ἰδίως οὗτος ἐπὶ τοῦ κατὰ τὴν πορνείαν ἐκλαμβάνει πειρασμοῦ· ἕκαστος γάρ φησι διὰ τῆς θέας τὴν ἐπιθυμίαν δεξάμενος, ἑαυτῷ τὸν πειρασμὸν προξενεῖ· οὐκ ἔξωθεν μόνον ἔχων προσπαλαίοντα, ἀλλὰ καὶ ἔνδοθεν ὑφ' ἑαυτοῦ ἀναπτόμενον. ἐγκειμένης γὰρ τῆς ἐπιθυμίας πρὸς τὴν ὄψιν τῆς θεαθείσης καὶ εἰδωλοποιούσης αὐτὴν ἐν τῇ ψυχῇ, ὁ πειρασμὸς αὔξει καὶ αἴρεται, ὃν αὐτοὶ ἑαυτοῖς διὰ τῆς θέας ἀνηψάμεθα. λοιπὸν δὴ τοῦτο τὸ ἔμβρυον τῶν καὶ ἐμπαθῶν λογισμῶν τῷ χρόνῳ θρέψασα καὶ διαπλάττουσα ἡ δεξαμένη καρδία, κυοφορεῖ τε καὶ ἀπογεννᾷ τὴν ἁμαρτίαν, ἧς ἐστιν ὁ θάνατος ἀποτέλεσμα.

Ὅτι τὸ, Εἰ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, καὶ τὰ ἑξῆς· ἀναπτύσσων, ὀφθαλμοὺς φησὶν ἐνταῦθα τοὺς στερεοὺς τῆς καρδίας αἰνίττεσθαι λογισμούς· ὃν ἐκκόπτεσθαι κελεύει, ὅταν εἰς ἁμαρτίαν ἀπάγῃ· ἐκκόπτεσθαι δὲ διὰ τοῦ ἐπιλογισμοῦ καταστελλόμενον, καὶ ἀπορριπτόμενον τῆς ψυχῆς· χεῖρα δὲ, τὴν πρᾶξιν δηλοῦν· ἣν ἐπειδὰν εἰς ἁμαρτίαν ῥέπηται, ἐκκόπτειν αὐτίκα χρὴ τῇ τῆς ἀρετῆς ὀξείᾳ καὶ ταχείᾳ ἐπαγωγῇ. ὁ ποὺς δὲ, τῶν ἐν τῷ βίῳ διαβημάτων καὶ τῆς πολιτείας τὴν κίνησιν ὑποδηλοῖ· ὃν, ὥσπερ καὶ τὴν χεῖρα, καὶ τὸν ὀφθαλμὸν, ἐκκόπτειν προσήκει, ἀγαθῇ κινήσει τὴν πονηρὰν διακόπτοντα. οὕτω μὲν οὗτος παρὰ τοὺς ἄλλους ἀναπτύσσειν ἔγνω τὸ ῥητόν· τάχα συντελούσης αὐτῷ τῆς τοιαύτης ἀναπτύξεως εἰς τὴν κατὰ τῶν Ναυατιανῶν μάχην, οἳ ῥᾳδίως ἀφ' ἑαυτῶν τοὺς καὶ μικρόν τι παρασφαλέντας, καὶ ἀπὸ τῆς ἐκκλησίας, ἐκκόπτεσθαι βούλονται. δεῖ οὖν φησιν ἀφελομένους τὸν τὰ ἐναντία βλέποντα ὀφθαλμὸν, καὶ τὴν μεριζομένην πρᾶξιν καὶ κίνησιν εἰς τὸ πονηρὸν, μοναχῶς ὁρῶντας καὶ πράττοντας τὸ ἀγαθὸν, καὶ πρὸς αὐτὸ κινουμένους μόνον, οἷον μονοχειράς τε καὶ μονόποδας καὶ μονοφθάλμους εἰς τὴν τῶν οὐρανῶν ἐπείγεσθαι εἰσελθεῖν βασιλείαν.

ouibus vero, qui ad culmen vsque fidei & operum peruenerunt. Et attende quomodo præponat imperfecta perfectis. Propositus enim domino scopus peccatorum salus: *Non enim veni, inquit, vocare iustos, sed peccatores ad pœnitentiam.* EVLOGIVS. Matth. 9. 13.

EX LIBRO QVARTO.

Magnum quid, inquit, est homo quod imago Dei sit, & manibus Dei conditus. Vt misericors honorandus sit præceptis Dei, honorem sibi operibus suis comparans. Diuus Paulus ait: *Ego me non arbitror comprehendisse. Vnum autem: quæ quidem retro sunt obliuiscens, ad ea vero quæ sunt priora extendens meipsum.* Philip. 3. 13. Et deinde ait: *Verumtamen ad quod peruenimus, in eadem permanere regula.* Regulam intelligit cursus secundum Deum, quæ ante tradita est. Ibid. v. 16. Quę illa est? Obliuisci priorum benefactorum, florere vero & extendi vsque in priora, vt quasi modo bona inchoantes opera, quotidie intelligentes illud HODIE, & dicentes sibi ad extremum vsque vitæ spiritum. Oportet enim ad id vsque tempus currere cursum Dei, & cum aduersariis pugnare.

Apostolus ait: *Melius est nubere quam vri;* 1. Cor. 7. 9. dicens ardorem, qui ad libidinem ducit. Melius enim esse legitimo matrimonio naturæ infirmitatem iuuare, quam ardore inflammari ad libidinem, & matrimonium fugere. *Nemo cum tentatur dicat, quod à Deo tentetur &c.* Iacob. 1. 13. Propriè ille accipit de tentatione libidinosa. Vnusquisque enim, inquit, visu concupiscentiam accipiens, sibi ipsi tentationem parit, non modo extrinsecus habens aduersus se luctantem, sed & intrinsecus per se incẽsum. Incumbente enim concupiscentia ob aspectum eius quam vidit, & se in animo efformante, tentatiõ crescit, & augetur, quã oculis ipsi contẽplando incendimus. Tandem hunc fœtum imperfectũ turpium cogitationum tempore nutriens, & formans, cor suscipiens, gerit tanquam in vtero, & parit peccatum, cuius effectus est mors.

Illud: *Si oculus dexter scandalizet te, &c.* Matth. 5. 29. explicans, ait Saluatorem *oculo* intelligere cordis cogitationes, quem exscindi iubet, quando ad peccatum trahit. Exscindi verò per cogitationem repressum, & animo eiectum: manus verò actionem significat: quæ postquam ad peccandum conuertitur, abscindere eam statim oportet, virtutis acuta & celeri inductione. Ibid v. 30. Et pes gressitum in vita, & conuersationis motum significat; quem sicut & manum & oculum exscindere par est, motu bono malũ amputando. Sic quidem ille præter alios explicans intellexit supra dictum. Fortasse conducente tali explicatione ad pugnam contra Nouatianos, qui facile à se, & ab Ecclesia resecant eos, qui vel minimum peccarunt. Igitur oportet, inquit, resecto oculo contraria cernente, & actione, ac motu in malum diuisis, singulariter videre, ac facere bonum, & ad ipsum solum moueri, & tanquam mancos, vnipedes, & vnoculos in regni cœlorum introitum properare.

EVLOGIVS.

Quod apud Iob dictum est: * *Tigris periit, eo quòd non haberet prædam*, diabolum intelligit, *qui tanquam leo circuit quærens quem deuoret.* Superatus verò non amplius vt leo, sed vt formica pudore motus decidit, & periit, prædam in hominibus non inueniens. Præda verò & fortitudo diaboli est peccatum, quod in homine vbi non est, ille perit.

* *myrmecoleon eius est.* Iob. 4. 11. 1. Pet. 5. 8.

Diabolus ipse, inquit, hominem & ad peccandum prouocat, & iterum ipse contra eum qui sibi obedit, vltor est: Dei & inimicus, & vindex in Scriptura vocatus. Inimicus quidem, quia aduersas leges diuinæ legi opponēs, persuadet hominibus, vt peiora pro melioribus eligant: Vltor verò, quia cogitur ipse peccatores rursum punire. *Tradite enim*, inquit, *huiusmodi Satanæ in interitum carnis, vt spiritus saluus sit in die Domini.* Vide igitur caritatem Dei, & malitiam diaboli. Deus quidem peccatorem mundare volens, tradit, vt Apostolus ait, tortori Diabolo. Ille vero stat, vt leo, cupiens deuorare, quem ipse ad peccatum traxit. Et non nouit quod corpus sibi traditum sit non in perditionem, sed castigationem, vt spiritus seruetur: in animam enim nullam sortitur potestatem, quod & in forti Iob ostenditur. Etenim in illo aliarum rerum potestatem nactus, prohibetur tangere animam, hoc est, mentem non eripere. Et nota, in iusto Iob, & in peccatore Corinthio, non accepisse dæmonem in animam potestatem, sed ab illa potius expelli. Traditus enim illi Corinthius est, *vt spiritus saluus sit.* Incidens enim peccator tentatione in interitum carnis, & corporis doloribus pressus, cùm cognoscit è qua radice huiusmodi dolores exsistant, cogitur etiam nolens odisse peccatum, & conuerti, & cum corpore etiam animam seruare. Quomodo autem Satanas potestatem accepit in peccatorem? resecto illo ab omnibus, & ab Ecclesia, Sacramentorúmque communione. Idcircò scribit, vt pro merito punitus, & plagis affectus, & conuersus, iam iterum in gratiam recipiatur, à qua antea arcebatur, quod consecutus, non amplius in potestate est Satanæ, quam in eius corpus habebat.

1. Cor. 5. 5. Iob. 1. 12. 1. Cor. 5. 5.

Qui sponte ad pœnitentiam conuertuntur, eos Dominus amplectens suscipit: qui verò non sponte pœnitentiam agunt, castigans reuocat, & hunc sensum Apostolus explicans dicit: *Quod si nosmetipsos iudicaremus, non vtique iudicaremur. Dum iudicamur autem, à Deo corripimur, vt non cum hoc mundo damnemur.* Illud autem, *vt non cum hoc mundo*, non *creatura* dicit: pulchrum enim est Dei opus. Sed mundum hic intelligit, improbitatem mundi, & scandala diaboli. Ideò & Dominus dicit: *Væ mundo à scandalis eius.*

1. Cor. 11. 31. Matt. 18. 7.

Hoc: *Contemplantes ne quis desit gratiæ Dei, ne qua radix amaritudinis sursum germinans impediat &c.* De cogitationibus ait ab Apostolo dici, hoc est, ne qua sit in nobis cogitatio

Heb. 12. 15.

Ὅτι τὸ παρὰ τῷ Ἰὼβ εἰρημένον· Μυρμηκολέων ὤλετο, παρὰ τὸ μὴ ἔχειν βορὰν· τὸν διάβολόν φησιν αἰνιγματίζειν. ὡς λέων μὲν περιέρχεται ὠρυόμενος, καὶ τίνα καταπίῃ ζητῶν· ἡττηθεὶς δὲ, οὐκέτι ὡς λέων, ἀλλ' εἰς μύρμηκα συσταλεὶς, κατῃσχυμμένος ἀφίσταται, καὶ διόλλυται, βορὰν ἐν ἀνθρώποις μὴ εὑρίσκων. βορὰ δὲ καὶ ἰσχὺς τοῦ διαβόλου, ἡ ἐν ἀνθρώποις εὑρισκομένη ἁμαρτία· ἧς ἀπούσης, ἐκεῖνος ὄλλυται.

Ὅτι, φησὶν, αὐτὸς ὁ διάβολος, τὸν ἄνθρωπον καὶ ἐπὶ τὰ ἁμαρτήματα προσκαλεῖται, καὶ πάλιν αὐτὸς κατὰ τοῦ πεισθέντος αὐτῷ ἔκδικος γίνεται τοῦ θεοῦ· (καὶ) ἐχθρὸς καὶ ἐκδικητὴς παρὰ τῆς γραφῆς ὀνομαζόμενος. ἐχθρὸς μὲν, καθότι ταῖς θείαις ἐντολαῖς ἀντινομοθετῶν, πείθει τοὺς ἀνθρώπους ἀντὶ τῶν κρειττόνων τὰ χείρονα αἱρεῖσθαι· ἐκδικητὴς δὲ, καθότι πάλιν αὐτὸς ἀναγκάζεται τὸν ἁμαρτήσαντα κολάζειν. παράδοτε γάρ φησι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου. καὶ ὅρα λοιπὸν φιλανθρωπίαν θεοῦ, καὶ κακίαν τοῦ διαβόλου. ὁ μὲν θεὸς τὸν ἁμαρτήσαντα θέλων καθᾶραι, παραδίδωσι διὰ τῆς ἀποστολικῆς φωνῆς ὡς δημίῳ τῷ διαβόλῳ· ὁ δὲ ἕστηκε βουλόμενος ὡς λέων καταπιεῖν, ὃν αὐτὸς ἔπεισεν ἐξαμαρτεῖν. καὶ οὐκ ἔγνω, ὅτι τὸ σῶμα παρεδόθη αὐτῷ, οὐχ εἰς παντωλεθρίαν, ἀλλ' εἰς σωφρονισμόν· ἵνα τὸ πνεῦμα σωθῇ. τῆς γὰρ ψυχῆς οὐδεμίαν ἐγχειρίζεται ἐξουσίαν, ὡς δέδεικται καὶ ἐπὶ τοῦ γενναίου Ἰώβ. καὶ γὰρ καὶ ἐπ' ἐκείνου λαβὼν τὴν ἄλλων τὴν ἐξουσίαν, ἐπιτάττεται μὴ τολμῆσαι ἅψασθαι τῆς ψυχῆς, τουτέστι, φρενῶν ἔκστασιν μὴ ἐπενεγκεῖν. καὶ σημείωσαι, ὅτι καὶ ἐπὶ τοῦ δικαίου Ἰὼβ, καὶ ἐπὶ τοῦ ἡμαρτηκότος ἐν Κορίνθῳ, οὐ δέχεται τὴν τῆς ψυχῆς ἐξουσίαν ὁ πονηρὸς· μᾶλλον μὲν οὖν ἀφορίζεται αὐτῆς. παραδίδοται γὰρ αὐτῷ καὶ ὁ ἐν Κορίνθῳ· ἵνα, φησὶ, τὸ πνεῦμα σωθῇ. ἐμπεσὼν γὰρ ὁ ἡμαρτηκὼς τῷ πειρασμῷ εἰς ὄλεθρον τῆς σαρκὸς, καὶ ταῖς ἀλγηδόσι τοῦ σώματος καταξυχόμενος, ἐπιγνοὺς τε ἐκ ποίας ῥίζης αὐτῷ βλαστάνει τὰ ἄλγεα: καὶ ἀναγκάζεται καὶ μὴ θέλων μισῆσαι τὴν ἁμαρτίαν, καὶ πρὸς τὴν ἐπιστροφὴν δραμεῖν, συνδιασώσασθαί τε τῷ σώματι τὴν ψυχήν. πῶς δὲ ἔλαβεν ὁ σατανᾶς τὴν ἐξουσίαν κατὰ τοῦ ἡμαρτηκότος; ἀφορισθέντος αὐτοῦ ἀπὸ πάντων, ἀπό τε τῆς ἐκκλησίας καὶ τῆς τῶν φρικτῶν μυστηρίων κοινωνίας. διὸ ἀξίως ἐπιτιμηθέντι, καὶ πληγέντι, καὶ ἐπιστραφέντι, πάλιν χαρισθῆναι αὐτῷ, ὧν ἐκεκώλυτο, γράφει. ὧν ἀξιωθέντος οὐκέτι ἤδη τὴν ἐξουσίαν εἶχεν ὁ σατανᾶς, ἥνπερ εἰλήφει κατὰ τοῦ σώματος αὐτοῦ.

Ὅτι φησὶ τοὺς μὲν ἀφ' ἑαυτῶν ἐπιστρέφοντας εἰς μετάνοιαν, ἐναγκαλιζόμενος ὁ κύριος ἐπιδέχεται· τοὺς δὲ μὴ οἴκοθεν μετανοοῦντας, σωφρονίζων ἀνακαλεῖται. καὶ ταύτην δὲ ἀναπτύσσων τὴν ἔννοιαν ὁ ἀπόστολος, λέγει· Εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ, ὑπὸ τοῦ κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. τὸ δὲ, ἵνα μὴ σὺν τῷ κόσμῳ, οὐ τῷ ποιήματι λέγει· καλὸν γὰρ τὸ τοῦ θεοῦ ποίημα, ἀλλὰ κόσμον νῦν τὴν ἐν τῷ κόσμῳ λέγει πονηρίαν, τὰ σκάνδαλα τοῦ πονηροῦ. διὸ καὶ ὁ κύριός φησιν· Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων αὐτοῦ.

Ὅτι τὸ· ἐπισκοποῦντες, μή τις ὑστερῶν (ἀπὸ) τῆς χάριτος τοῦ θεοῦ, μή τις ῥίζα * κακίας ἐνοχλῇ, καὶ τὰ ἑξῆς· περὶ τῶν λογισμῶν εἰρῆσθαι τῷ ἀποστόλῳ, φησὶ, τουτέστι, μή τις ᾖ λογισμὸς ἐν ἡμῖν

* πικρίας ἄνω φύουσα, lib. edit.

πονηροί-

προσκείμενος ἔτι τῷ διαβόλῳ, καὶ ὑστερούμενος τῆς χάριτος τοῦ Θεοῦ. ὅταν γάρ τις λογισμὸς, ὥσπερ τις ῥίζα πονηρίας ἐγκεχωσμένος ἐν ἡμῖν ᾖ, κἂν τοὺς πλείους διὰ ἐπιστροφῆς ἐξερριζώσαμεν, ἀλλ' οὖν ἐκεῖνος ὁ ὑπολειφθεὶς, κατὰ μέρος αὐξανόμενος, καὶ εἰς ἐπιφάνειαν προελθὼν, ἐπικρατέστερος γίνεται, καὶ μαίνει τοὺς ἄλλους τοὺς τὸ ἀγαθὸν μεπόντας λογισμούς. ἐκκόπτειν οὖν παραινεῖ πάσης ἁμαρτίας ῥίζαν, ἵνα διὰ πάντων ὁ ἄνθρωπος τὰς ἐντολὰς κυρίου ἀνενοχλήτως καρποφορῇ.

Ὅτι καὶ διὰ τῶν κυνῶν, φησὶν, ἡ παραβολὴ ἀπηνέστερον ἐλέγχει τὸν πλούσιον ἐκεῖνον, οὗ πρὸ τοῦ πυλῶνος ὁ Λάζαρος ἔρριπτο. οἱ μὲν γὰρ κύνες οἰκτείροντες αὐτοῦ τὴν πολλὴν ταλαιπωρίαν, ὅπερ ἠδύναντο ποιεῖν ἔπραττον, περιλείχοντες καὶ οἷον ἀποσμήχοντες αὐτοῦ τὸ ἕλκος ταῖς γλώσσαις. ὁ δὲ καὶ τῶν κυνῶν περὶ τὸ ὁμόφυλον ἀπηνέστερος, καὶ δι' αὐτῶν ἠλέγχετο τῶν κυνῶν. διὰ τοῦτο κἀκεῖνον τὸ πῦρ ἀδυσωπήτως * ἐπέρχεται.

* μενή, γέται.

Ὅτι τὴν παραβολὴν τὴν περὶ τὸν γάμον καὶ τοὺς καλοῦντας, καὶ τοὺς καλουμένους καὶ μὴ ὑπακούοντας, καὶ τὰ ἄλλα τὰ περὶ αὐτήν, οὕτως ἀναπτύσσει· γάμον μὲν, τὴν βασιλείαν τοῦ Θεοῦ· καλοῦντας δὲ τινὰς, τοὺς προφήτας· καλουμένους δὲ, πρῶτον τοὺς ἐξ Ἰσραήλ· οἳ οὐδὲ ἠθέλησαν εἰσελθεῖν. ὅθεν ἀποστείλας ὁ βασιλεὺς τὰ στρατεύματα αὐτοῦ, ἤτοι τὴν ῥωμαϊκὴν ἀρχὴν, πάντας τοὺς μὴ ὑπακούσαντας ἐπὶ τὸ πιστεῦσαι τῷ κηρυττομένῳ Χριστῷ καὶ σωτῆρι ἡμῶν ἀπέσφαξε, καὶ τὴν πόλιν, ἤτοι τὰ Ἱεροσόλυμα, ἐνέπρησε πυρί. καὶ λοιπὸν πέμπει δούλους ἑτέρους, ἤτοι τοὺς ἀποστόλους. καὶ ἐξελθόντες εἰς τὰς ὁδοὺς καὶ φραγμοὺς, τουτέστι, τοὺς εὐτελεῖς καὶ τῆς πόλεως τοῦ Θεοῦ ἀναξίους, ἤτοι τοὺς ὑπὸ* διερριμμένους τε καὶ ποικίλῃ πλάνῃ Θεοῦ διαπεφραγμένους, τούτους καλοῦσι. καὶ οἰκεῖοι ἢ οἱ δοκοῦντες οἰκεῖοι, τῇ κλήσει ὑπακούουσι. καὶ μαθητεύουσιν ἀπόστολοι πονηρούς τε καὶ ἀγαθούς. ἐν δὲ τῇ συντελείᾳ· τότε γὰρ ὁ γάμος * πληροῦται τῶν ἀνακειμένων, τότε καὶ τοὺς κεκλημένους ὁ βασιλεὺς * φιλοφρονεῖ, καὶ οὐδένα ἐξωθεῖ, πλὴν τοὺς οὐκ ἐνδεδυμένους ἔνδυμα γάμου, ἤτοι, ὅτι τὸ τῆς ἀφθαρσίας ἔνδυμα οὐκ ἐνεδύσαντο διὰ τοῦ βαπτίσματος· καὶ οὐδὲ εἶχον ἔνδυμα· καὶ ἢ καθαρὸν αὐτὸ ἀμφιέννυντο, ἢ καὶ ῥυπώσαντες, ἐλεημοσύνης καὶ τῆς μετανοίας ἀπεπλύναντο· καὶ εἰς τὸν νυμφῶνα* εἰσάγει φιλοφροσύνης τοῦ νυμφίου μετόχους ἀποφαίνει.

* ἐνδιδώται. M.

* al. ἀνακειμ.

* ἴσ. φιλοξενεῖ ὁ φιλοφρονεῖ mss.

Ἐκ τοῦ ε. λόγου

Ὅτι ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ δικαίου, ᾄδει ὁ Δαυίδ· [ταὐτὸν] περιέπειν φησὶ καὶ τοὺς ἐν τῇ Ἀλεξανδρείᾳ Ναυατιανοὺς, κατὰ τῶν μαρτύρων τοῦ Χριστοῦ κατολογοῦντας· παρεστῶν φησὶν, ὅτι κατὰ τὴν μέλλουσαν ἡμέραν, οὐκ αὖ ἕξουσιν ἀπολογίαν, οὐδὲ διᾶραι στόμα, καὶ κινῆσαι χείλη δυνήσονται· ὅτι ἐν τῷ παρόντι κατὰ τῶν Χριστοῦ μαρτύρων τὴν γλῶσσαν ἠκόνησαν. Ὅτι τὸ περὶ Ἀλεξάνδρου τοῦ χαλκέως εἰρημένον παρὰ τοῦ ἀποστόλου· Ἀλέξανδρος χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο· ἀποδώσει αὐτῷ * κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· οἱ μὲν ἄλλοι τῶν πατέρων οὐκ ἀρὰν εἶναί φασι τὸν λόγον, ἀλλὰ μόνον ἀπόφασιν ὧν ἔμελλεν

* κύριος κατὰ τὰ ἔργα αὐτοῦ. lubr. edit.

adhærens adhuc diabolo, quæ nos Dei gratia priuet. Quando enim aliqua cogitatio tanquam radix quædam malitiæ in nobis pullulat, etsi plures per conuersionem eradicauimus, tamen illa occultè relicta, ex parte crescens & prodiens, inualescit, & * inquinat alias cogitationes ad bonum inclinantes. Exscindere igitur hortatur omnis peccati radicem, vt omnino homo Dei præcepta sine molestia cum fructu exequatur.

EVLOGIVS.

* μιαίνει legendum puto.

Per canes, inquit, parabola crudeliorem illum diuitem coarguit, cuius ante fores Lazarus iacebat. Canes enim commiseratione magnæ illius calamitatis, quantum facere poterant præstiterunt, lambentes vlcera linguis suis. Ille verò canibus erga fratrem suum truculentior, etiam per ipsos canes reprehensus est. Ideò illum ignis sine misericordia ambit.

Luc. 16. 20.

Parabolam de iis, qui ad nuptias vocant, & vocati sunt, & venire noluerunt, aliaque id genus, sic explicat; nuptias quidem regnum DEI, vocantes verò Prophetas, vocatos autem, primum Iudæos, qui venire noluerunt, vnde mittens rex exercitum suum, videlicet Romanorum Imperatorem, omnes, qui non obedierunt ad credendum Christo prædicato, & Saluatori nostro, occidit, & vrbem Hierosolymam incendit. Postremo misit alios seruos, scilicet Apostolos, & exeuntes in vias, & sepes, hoc est, viles & Dei ciuitate indignos, videlicet qui proiecti, & variis erroribus à Deo separati sunt, illos vocant, & domestici aut qui videntur domestici, vocationem audierunt. Et docuerunt Apostoli malos & bonos. In consummatione autem: Tunc enim nuptiæ impletæ sunt discumbentibus, tumque vocatos Rex amicè suscipit, & neminem eiicit, nisi qui vestem nuptialem nō haberent, scilicet qui incorruptionis vestem non induerunt per baptismum, & nec habuerunt vestem, vel puram illam induerunt, vel impuram pœnitentia & eleemosynis abluerunt, & ad nuptias introduxit, & amoris sponsi participes ostendit.

Matth. 22.

E LIBRO QVINTO.

MVTA *fiant labia dolosa, quæ loquuntur aduersus iustum*, vt canit David. Hoc facere ait Nouatianos Alexandriæ, contra Martyres Christi blaterantes. Comparituri autem, inquit, in vltimo iudicij die, non habebunt sui defensionem, nec aperire os, nec mouere labra poterunt, qui hoc tempore contra CHRISTI Martyres linguam exacuerunt.

Psal. 30. 19.

Quod dictum est ab Apostolo de Alexandro ærario fabro: *Alexander ærarius multa mala mihi ostendit: reddet illi Dominus in illo die.* alij quidem Patres imprecationem esse negant, sed tantùm denuntiationem eorum quæ passurus

2. Tim. 4. 14.

EVLOGIVS. esset à Deo Alexander: Hic verò Eulogius planè maledictionem esse illatam affirmat, Alexandro, qui pœnitentiam non egerit, & ab improbitate sua non conuersus fuerit.

Psal. 33. 20. De sanctorum reliquiis.

Dauid de iustificatis tribulatione loquens ait: *Custodit Dominus omnia ossa eorum, vnum ex his non confringetur.* ostendit ossa illa vitam dare posse, & accedentibus medicinam præbere. Hæc enim ipsa ossa, quæ à Christo nunc conseruantur, sibi inuicem vnita animæ coniungentur, & mercedem simul certaminum accipient. Et multa alia possem sumere ad demonstrandum inesse virtutem aliquam ossibus sanctorum. Indicat autem mortuus quidam, quem in hostium irruptione ferentes, cùm decenter non possent propter vim vrgentem suo sepulchro condere, ibi eum sepelierunt, vbi * sancti viri ossa iacebant. Nam cum mortuus sancti viri reliquiis admoueretur, dicto citius è sepulchro assurrexit, & cùm domum se contulisset, deprehensum postea est capsam illam sancti viri corpus continere.

* Elisei Prophetæ. 4. Reg. 13. 21.

Dimitti ait peccata aliis per baptismum, eos in cæteris beatos prædicans: quibusdam verò superesse vt per confessionem & pœnitentiam dimittantur. Sunt vero alij Patres, qui aliter hoc dictum explicant.

Non videtur mihi rectè dicere, quòd Apostolus ponat tres ordines hominum. Vnum quidem martyrum, & iustorum, quos ait non iudicandos, sed iudices fore, his verbis: *An nescitis quod sancti de mundo iudicabunt.* Secundus autem ordo eorum qui non iudicabuntur, vt impiorum, & qui non seruierunt Deo. Resurgent enim illi, nec ad iudicium deducentur. Ait enim Dauid: *Ideo non resurgent impij in iudicio* cum iudicandis. Tertius ordo est eorum, qui Deum quidem coluerunt, peccatis autem multis obnoxij fuerunt, pro quibus vt respondeant iudicio sistentur, quorum inuicem participes fuimus. Sic quidem Eulogius: Sed neque exactè oratio conuincit, iudices constitutos cum Christo esse; neque, non omnes ante tribunal comparituros. Semper enim impij seipsos condemnant, verumtamen iudicium sustinebunt, ad reddendam rationem. Apostolus enim non collocat sanctos cum Christo iudices, sed redargutionem mundi, & condemnationem eorum, qui sanctorum more non vixerunt, ostendit futuram. Quemadmodum dicitur in Euangeliis, Niniuitas & reginam austri, quæ tunc fuit, iudicaturos generationem, quæ Christo non credidit.

Matth. 12. 41. & 42.

Psal. 1. 5.

Dauid tres nominat ordines his verbis: *Ideo non resurgent impij in iudicio.* Vide vltimum ordinem, *neque peccatores in consilio iustorum.* Vide eum qui sequitur, *quia nouit Dominus viam iustorum.* Vide, inquit, optimum ordinem, & horum singulos habere proprium, & attributum sibi pro meritis locum.

Ἀλέξανδρος πέπονθεν ὑπὸ κυρίου. οὗτος δὲ, κατάραν αὐτόχρημα εἶναί φησι, καὶ ἐπενηνέχθαι Ἀλεξάνδρῳ διὰ τὸ ἀμεταμέλητον καὶ ἀνεπίστροφον τῆς αὐτοῦ μοχθηρίας.

Ὅτι ὁ Δαυὶδ φησὶ περὶ τῶν διὰ θλίψεως δικαιωθέντων, λέγων· φυλάσσει κύριος πάντα τὰ ὀστᾶ αὐτῶν, ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται· δείκνυσιν, ὅτι * ζωτικὰς ἔχουσι, καὶ παρέχειν ἐστὶν ἱκανὰ τοῖς προσιοῦσιν ἰάματα. διὰ γὰρ τὰ αὐτὰ ταῦτα νῦν ὑπὸ τοῦ κυρίου φυλασσόμενα ὀστᾶ, ἑνωθέντα ἀλλήλοις, ἀπολαμβάνει αὐτῶν τὴν οἰκείαν ψυχὴν, καὶ κοινωνεῖ τῶν ἐπάθλων, ἃ ἐν τοῖς ἄθλοις ἀπέλαβον. Καὶ πολλὰ μὲν ἐστὶ καὶ ἄλλα λαβεῖν εἰς ἀπόδειξιν, ἐνεῖναι δύναμίν τινα τοῖς τῶν ἁγίων ὀστέοις. δηλοῖ δὲ καὶ ὁ νεκρὸς, ὃν οἱ κομίζοντες κατά τινα ἐχθρῶν ἐπιδρομὴν, μὴ δυνηθέντες τῷ ἁρμόζοντι τάφῳ παραδοῦναι, τῆς περιστάσεως αὐτοὺς ἐκβιαζομένης, τῷ τάφῳ ἔνθα τὰ ὀστᾶ τοῦ ἀνθρώπου ἐτέθαπτο τοῦ θείου * συγκατέθαψαν. καὶ γὰρ ὁ νεκρὸς πελάσας τοῖς τοῦ προφήτου λειψάνοις, θᾶττον λόγου τοῦ τάφου ἀνίσταται. καὶ δρόμῳ τὸν οἶκον καταλαβὼν ἐξετάζεται ἔμψυχος στήλη καὶ ἀπόδειξις τοῖς τῶν ἁγίων προστιθέμενος. καὶ πολλὰ ἄλλα.

* ἴσ. ζωτικὰς δύναμιν.

* al. ἐνεταφίασαν.

Ὅτι τοῖς μὲν ἀφεθῆναί φασι τὰς ἁμαρτίας διὰ τοῦ βαπτίσματος: τῶν μὲν ἄλλων μακαρίζων τοὺς τοιούτους: τοῖς δὲ περιλείπεται καὶ ἀφεθῆναι δι' ἐξομολογήσεως καὶ μετανοίας. εἰσὶ δὲ ἄλλοι τῶν πατέρων, οἳ ἄλλως τὴν τοῦ ῥητοῦ ποιοῦνται ἀνάπτυξιν.

Ὅτι φησίν· οὔ μοι δοκεῖ ἀκριβῶς λέγειν, ὅτι τρία τάγματα τῶν ἀνθρώπων ὁ ἀπόστολος μηνύει· ἓν μὲν τῶν μαρτύρων καὶ δικαίων, οὓς οὐ κρίνεσθαι διαμένοις ἀλλὰ κριτὰς αὐτοὺς ἀποφαίνει κατὰ τὸ εἰρημένον φησίν· οὐκ οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσι; δεύτερον δὲ, μὴ κρινομένων τῶν ἀσεβῶν τυγχάνειν, τῶν μὴ λελατρευκότων θεῷ· ἀναστήσονται μὲν γὰρ καὶ οὗτοι, εἰς κρίσιν δὲ οὐκ ἀχθήσονται, ἀλλ' εἰς κατάκρισιν καὶ γάρ φησιν ὁ Δαυὶδ· διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει μετὰ κρινομένων. τρίτον δὲ εἶναι τάγμα, ὃ θεοσεβεῖν ᾑρετίσατο· τοῖς ἁμαρτήμασι δὲ πολλοῖς ἐνέχεται, ὧν καὶ ἡ κρίσις ἔσται πρὸς ἀπολογίαν ἐκκαλουμένη, ὧν ἔστιν οἳ ἑτέροις ἐκοινώσαμεν. οὕτω μὲν ὁ Εὐλόγιος. ἀλλ' οὔτε τὸ κριτὰς συγκαθεσθῆναι τῷ Χριστῷ, ἀκριβῶς λόγος δίδωσιν· οὔτε τὸ μὴ πάντας παραστῆναι τῷ βήματι. ἀεὶ γὰρ καὶ οἱ ἀσεβεῖς αὐτοκατάκριτοι. ἀλλ' οὖν λόγον ἀπαιτούμενοι, τὴν κρίσιν λαβοῦσι. καὶ τὸ ἀποστολικὸν δὲ ῥητὸν οὐ συγκαθίζει Χριστῷ κριτὰς τοὺς ἁγίους· ἀλλὰ ἔλεγχον τοῦ κόσμου καὶ κατάκρισιν τῶν ὅσοι μὴ κατ' ἐκείνους ἐπολιτεύσαντο, παρέστησεν ἔσεσθαι. ὥσπερ λέγεται καὶ ἐν τοῖς εὐαγγελίοις· Νινευίτας καὶ βασίλισσαν νότου τὴν τότε κατακρίνειν ἄπιστον ἔχουσαν τῷ Χριστῷ γενεάν.

Ὅτι ὁ Δαυὶδ τὰ τρία προσαγορεύει τάγματα διὰ τούτων τῶν ῥημάτων· Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει· ἰδοὺ τὸ ἔσχατον τάγμα· οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων. [ἰδοὺ τὸ] ἐχόμενον· ὅτι γινώσκει κύριος ὁδὸν δικαίων, ἰδού φησι, καὶ τὸ ἄριστον τάγμα· καὶ τούτων ἕκαστον ἰδίαν ἔχειν ἀπονενεμημένην αὐτοῖς δι' ἃς ἔπραξε χώραν.

Ἐκ τῶ

Ἐκ τοῦ ϛ´ λόγου.

Ὅτι ἐν τῷ ἕκτῳ λόγῳ ἐλέγχει τὸ φερόμενον Ναυάτου ψευδομαρτύριον, ὃ καὶ εἰς Ναυάτον μὲν, λέγει ἕνα ὄντα τῶν ὑπὸ Μακεδόνιον ἐπίσκοπον ῥώμης τεταγμένων * ὀκτὼ πρεσβυτέρων μόνον τὸ μαρτύριον τῆς εἰς χριστὸν ὁμολογίας διενεγκεῖν. τοὺς δὲ ἑπτὰ ἅμα Μακεδονίῳ * ἐπιθῦσαι τοῖς εἰδώλοις, μεμαρτυρηκέναι δὲ σὺν αὐτῷ μόνους ἐκ πάντων σχεδὸν τῶν τῆς δύσεως χριστιανῶν Μάρκελλον καὶ Ἀλέξανδρον ἐπισκόπους ἀκυλιΐας, καὶ Ἀγαμέμνονα ἐπίσκοπον τιβερίας. ὡς ἅμα Ναυάτῳ μετὰ τὸ μαρτύριον ἰδίᾳ συνοικοῦντας καὶ συνάγοντας μὴ ἀνέχεσθαι τοῖς ἐπιτεθυκόσι συνιερᾶσθαι. ἐπιθεῖναί τε τούτους αὐτῷ τοὺς ἐπισκόπους τὰς χεῖρας, τὴν τῆς ῥώμης ἀρχιερατικὴν ἀξίαν * τελεσιουργούσας. γενέσθαι δὲ τὸ μαρτύριον, Δεκίου μὲν καὶ Οὐαλλεριου ῥωμαίων βασιλεύοντος, Περεννίου δὲ δουκηναρίου τὴν κατὰ τῶν χριστιανῶν ἀπόνοιαν καὶ τιμωρίαν ἐγκεχειρισμένου. καὶ μαρτύριον ἐκεῖνο τὸ γράμμα τὴν ἐπιγραφὴν ἔχει· οὔτε δὲ μάστιγας οὔτε ποινὴν ἢ βάσανον τὸν Ναυάτον διενεγκεῖν ἀναγράφει. καίτοι τὸν πώποτε ὠμότατον κατὰ χριστιανῶν γεγονότων Περέννιον ἀναγράφων, εἰς διαλέξεις περὶ μαρτυρίου ἀλλοκότους Ναυάτου τὴν μαρτυρίαν περιελκύσας, οὕτως αὐτὸν ἐξάγει τοῦ ζῆν, ὀνείρων ἄνθεσιν ἐστεφανωμένον. τοῦτο δὴ τὸ κακόπλαστόν τε καὶ ἀδόξαστον γραμματίδιον ἐν τῷ ἕκτῳ αὐτοῦ διελέγχει λόγῳ. λέγει δὲ αὐτὸς τὸν Ναυάτον, ἀρχιερατεύοντος Κορνηλίου ῥώμης, τὸν πρῶτον βαθμὸν τῶν διακόνων ἔχειν * λαβόντα παρὰ Κορνηλίου. εἶναι δὲ τότε θεσμὸν τῇ ἐκκλησίᾳ ῥωμαίων, τὸν ἀρχιδιάκονον, τελευτήσαντος τοῦ ἐπισκόπου, εἰς τὸν τῆς ἐπισκοπῆς ἀντιχειροτονεῖσθαι θρόνον· τὸν δὲ Κορνήλιον θείᾳ ἐμπνεύσει τὸ φύλαρχον καὶ νεωτεροποιὸν ἀνάξιον τοῦ τηλικούτου ἀξιώματος διορῶντα, εἰς πρεσβυτέρους χειροτονήσαντα μετατάξαι, τὴν πάροδον αὐτῷ τὴν εἰς τὸν ἀρχιερατικὸν θρόνον ῥώμης παντελῶς ἀποκλείσαντα. τὸν δὲ καιροφυλακήσαντα τὸ νομοθετηθὲν διατελεῖν, Κορνήλιος ἄλλα τε τῶν ἡμαρτηκότων εἰλικρινῶς μετανοοῦντας, καὶ τοὺς ὅσοι προσεκύνησαν εἰδώλοις, σπλάγχνοις πατρικοῖς ὀδυρόμενος προσεδέχετο· τοῦτο ἐκεῖνος πρόφασιν θέμενος, ἔρραγη τε τῆς ἐκκλησίας, καὶ Κορνηλίου * κατηυθαδίσατο· καθαροὺς μὲν τοὺς ὅσοι αὐτῷ ἐπλήρωσαν τὸ κατὰ τῆς ἐκκλησίας ὀνομάσας σύνταγμα Κορνηλιανοὺς δὲ, τοὺς τὴν αὐτοῦ βδελυξαμένους φιλαρχίαν, καὶ κατὰ τῶν μετανοούντων ἀπόνοιαν. Κορνήλιον μέντοι, τὸν τῆς ῥώμης ἐπίσκοπον μετὰ ταῦτα, καὶ καλλινίκῳ μαρτυρίου τέλει τὸν βίον ἀναλῦσαι, ὁ ἀρχιερεὺς Ἀλεξανδρείας Εὐλόγιος ἀναγράφει. Ἔστι δὲ τὴν φράσιν ὁ ἀνὴρ οὐ τῶν ἐπὶ παιδείᾳ διενεγκόντων ἡ συγγραφὴ ὄνομα ἔχειν· ὅς γε οὐδ᾽ αὐτὸ τὸ σόλοικα καὶ ὑποβάρβαρα γράφειν ἐνίοτε * παραιρεῖται. ἐν μέντοι τοῖς γραφικοῖς νοήμασι πολλαχοῦ οὐδὲ τῶν ἀρίστων ἀπολείπεται· τὸ πιθανὸν δὲ καὶ ἡδὺ, ὡς τοιαύτη φράσει, οὐκ ἀδύνατός ἐστιν ἐνεργάσασθαι.

Ἃ μὲν οὖν φιλολογουμένοις ἡμῖν καθ᾽ ἑαυτοὺς εἰς ἀνάμνησιν ἐλθεῖν συνηνέχθη, χωρὶς

* al. Ἐπιθῦσαι
* ἐλθόντα παρὰ M. M.
* ἠξίου δαδίσασθαι. M. M.
* παραιτεῖται M. M.

E LIBRO SEXTO.

